ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

№ 3

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ
Ἀριθμὸς Εἰσαγωγῆς: 41634
Ἡμερομηνία Εἰσαγωγῆς: 2-11-81
Ταξινομικὸς Ἀριθμός: 090 ΕΦΗΜ

GRVER_00703

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Nº 3



# ἈΝΘΟΛΟΓΙΟΝ
## ΤΟΥ
## ὍΛΟΥ ἘΝΙΑΥΤΟΥ͂,

Περιέχον τὰς Ἀκολουθίας τῶν Δεσποτικῶν Ἑορτῶν, καὶ τῶν Ἑορταζομένων Ἁγίων. Ἔτι δὲ Ἀνωνύμους Ἀκολουθίας, πᾶσάν τε τὴν Ὀκτώηχον, καὶ τὰ ἕνδεκα Ἑωθινὰ Εὐαγγέλια. Καὶ ἄλλα ὡς ἐν τῷ Πίνακι φαίνονται, προσέτι καὶ Πασχάλιον Ἐτῶν, μγ΄. 43.

Νεωστὶ μετατυπωθὲν, καὶ μεθ᾽ ὅσης ἐπιμελείας ἐκ πολλῶν σφαλμάτων ἐκκαθαρθέν.



αψος΄. ἘΝΕΤΙΗΣΙ, 1776.

Παρὰ Δημητρίῳ Θεοδοσίου τῷ ἐξ Ἰωαννίνων.
Con Licenza de' Superiori.




Αρ. Εισ 41634
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΠΙΝΑΞ
## ΤΩΝ ΕΝ ΤΩ͂ΔΕ ΤΩ͂ ΑΝΘΟΛΟΓΙΩ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.


### ΜΗΝ ΣΕΠΤΕΜΒΡΙΟΣ.

ΕΙΣ τὴν α΄. Τοῦ Ὁσίου Συμεὼν τοῦ Στυλίτου, καὶ τὴν ἑξῆς. Φύλ. 7
Εἰς τὴν ζ΄. Προεόρτια τῆς Γεννήσεως τῆς Ὑπεραγίας Θεοτόκου. 21
Εἰς τὴν η΄. Τὸ Γενέσιον τῆς Ὑπεραγίας Θεοτόκου. 24
Εἰς τὴν θ΄. Τῶν Ἁγίων Θεοπατόρων Ἰωακεὶμ, καὶ Ἄννης. 33
Εἰς τὴν ιγ΄. Μνήμη τῶν Ἐγκαινίων τῆς Ἁγίας τοῦ Χριστοῦ ἡμῶν Ἀναστάσεως· καὶ Προεόρτια τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ, καὶ τοῦ Ἁγίου Ἱερομάρτυρος Κορνηλίου. 36
Εἰς τὴν ιδ΄. Ἡ Ὕψωσις τοῦ τιμίου Σταυροῦ. 43
Εἰς τὴν ιε΄. Τὰ Μεθέορτα τῆς Ὑψώσεως τοῦ Σταυροῦ. 52
Εἰς τὴν κγ΄. Ἡ Σύλληψις τοῦ Προδρόμου. 53
Εἰς τὴν κϛ΄. Ἡ Μετάστασις τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου. 58

### ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ.

Κυριακὴ μετὰ τὴν ια΄. Μνήμη τῶν Ἁγίων Πατέρων τῆς Ἁγίας Οἰκουμενικῆς Ἑβδόμης Συνόδου. 67
Εἰς τὴν ιη΄. Τοῦ Ἁγίου Ἀποστ. καὶ Εὐαγγελιστοῦ Λουκᾶ. 72
Εἰς τὴν κϛ΄. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Δημητρίου. 77

### ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ.

Εἰς τὴν α΄. Τῶν Ἁγίων Ἀναργύρων, Κοσμᾶ, καὶ Δαμιανοῦ. 89
Εἰς τὴν η΄. Ἡ Σύναξις τῶν Ταξιαρχῶν. 94
Εἰς τὴν ιγ΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου. 104
Εἰς τὴν ιϛ΄. Τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ματθαίου. 113
Εἰς τὴν κ΄. Προεόρτια τῆς ἐν τῷ Ναῷ Εἰσόδου τῆς Ὑπεραγίας Θεοτόκου. 117
Εἰς τὴν κα΄. Ἡ ἐν τῷ Ναῷ Εἴσοδος τῆς Ὑπεραγίας Θεοτόκου. 121
Εἰς τὴν κε΄. Τῆς Ἁγίας Μεγαλομάρτ. Αἰκατερίνης. 131
Εἰς τὴν λ΄. Τοῦ Ἁγίου Ἀποστόλου Ἀνδρέου. 135

### ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ.

Εἰς τὴν δ΄. Τῆς Ἁγίας Μάρτυρος Βαρβάρας, καὶ τοῦ Ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ. 148
Εἰς τὴν ε΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σάββα. 154
Εἰς τὴν ϛ΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου. 161
Εἰς τὴν θ΄. Ἡ Σύλληψις τῆς Ἁγίας Ἄννης. 169
Εἰς τὴν ιβ΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Σπυρίδωνος. 173
Κυριακὴ τῶν Ἁγίων Προπατόρων. 178
Κυριακὴ πρὸ τῆς Χριστοῦ Γεννήσεως, τῶν Ἁγίων Πατέρων. 184
Εἰς τὴν κ΄. Προεόρτια τῶν Χριστοῦ Γεννῶν, καὶ τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰγνατίου. 197
Εἰς τὴν κα΄. Προεόρτια, καὶ τῆς Ἁγίας Μάρτυρος Ἰουλιανῆς. 205
Εἰς τὴν κβ΄. Προεόρτια, καὶ τῆς Ἁγίας Μεγαλομάρτυρος Ἀναστασίας. 208
Εἰς τὴν κγ΄. Προεόρτια, καὶ τῶν ἐν Κρήτῃ Ἁγίων Δέκα Μαρτύρων. 211
Εἰς τὴν κδ΄. Προεόρτια, καὶ τῆς Ἁγίας Ὁσιομάρτυρος Εὐγενίας. 214
Ἡ Ἀκολουθία τῶν Ὡρῶν τῆς Χριστοῦ Γεννήσεως. 218
Εἰς τὴν κε΄. Ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 222
Εἰς τὴν κϛ΄. Ἡ Σύναξις τῆς Θεοτόκου. 234
Κυριακὴ μετὰ τὴν Χριστοῦ Γέννησιν. 236
Εἰς τὴν κζ΄. Τοῦ Ἁγίου Πρωτομάρτυρος, καὶ Ἀρχιδιακόνου Στεφάνου. 240

### ΜΗΝ ΙΑΝΝΟΥΑΡΙΟΣ.

Εἰς τὴν α΄. Ἡ Περιτομὴ τοῦ Χριστοῦ, καὶ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου. 246
Εἰς τὴν β΄. Προεόρτια τῶν Φώτων, καὶ τοῦ Ἁγίου Σιλβέστρου Πάπα Ῥώμης. 255
Εἰς τὴν γ΄. Προεόρτια τῶν Φώτων, καὶ τοῦ Ἁγίου Προφήτου Μαλαχίου. 260
Εἰς τὴν δ΄. Προεόρτια τῶν Φώτων. 263
Εἰς τὴν ε΄. Προεόρτια τῶν Φώτων, καὶ τῶν Ἁγίων Μαρτύρων, Θεοπέμπτου, καὶ Θεωνᾶ. 266
Ἡ Ἀκολουθία τῶν Ὡρῶν τῶν Ἁγίων Θεοφανείων. 270
Εἰς τὴν ϛ΄. Τὰ Ἅγια Θεοφάνεια. 274
Εἰς τὴν ζ΄. Ἡ Σύναξις τοῦ τιμίου Προδρόμου. 292
Εἰς τὴν ια΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδοσίου τοῦ Κοινοβιάρχου. 296
Εἰς τὴν ιϛ΄. Ἡ Προσκύνησις τῆς τιμίας Ἁλύσεως τοῦ Ἁγίου Ἀποστόλου Πέτρου. 302
Εἰς τὴν ιζ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου. 306
Εἰς τὴν ιη΄. Τῶν Ἁγίων Πατέρων ἡμῶν Ἀθανασίου, καὶ Κυρίλλου. 312
Εἰς τὴν κ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐθυμίου τοῦ Μεγάλου. 317
Εἰς τὴν κε΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου. 324
Εἰς τὴν λ΄. Τῶν Ἁγίων Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου. 330

### ΜΗΝ ΦΕΒΡΟΥΑΡΙΟΣ.

Εἰς τὴν α΄. Προεόρτια τῆς Ὑπαπαντῆς. 340
Εἰς τὴν β΄. Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. 343
Εἰς τὴν γ΄. Τοῦ Ἁγίου καὶ Δικαίου Συμεὼν τοῦ Θεοδόχου. 350
Εἰς τὴν η΄. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου. 351
Εἰς τὴν ια΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Βλασίου. 356
Εἰς τὴν κδ΄. Ἡ Εὕρεσις τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου. 357


ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΜΗΝ ΜΑΡΤΙΟΣ.

Εἰς τὴν θ'. Τῶν Ἁγίων Τεσσαράκοντα Μαρτύρων. 363
Εἰς τὴν κδ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ζαχαρίου, καὶ Προεόρτια τοῦ Εὐαγγελισμοῦ. 369
Εἰς τὴν κε'. Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Θεοτόκου. 371
Εἰς τὴν κϛ'. Ἡ Σύναξις τοῦ Ἀρχιστρατήγου Γαβριήλ. 377

## ΜΗΝ ΑΠΡΙΛΛΙΟΣ.

Εἰς τὴν ιη'. Ἡ Ἀκολουθία τοῦ Ἁγίου Ἰωάννου τοῦ Νέου Μάρτυρος, τοῦ ἐξ Ἰωαννίνων. 380
Εἰς τὴν κγ'. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου. 386
Εἰς τὴν κε'. Τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Μάρκου. 393

## ΜΗΝ ΜΑΙΟΣ.

Εἰς τὴν κα'. Τῶν Ἁγίων Θεοστέπτων Βασιλέων, Κωνσταντίνου καὶ Ἑλένης. 398

## ΜΗΝ ΙΟΥΝΙΟΣ.

Εἰς τὴν κδ'. Τὸ Γενέσιον τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου. 406
Εἰς τὴν κθ'. Τῶν Ἁγίων Πρωτοκορυφαίων Ἀποστόλων, Πέτρου, καὶ Παύλου. 415

## ΜΗΝ ΙΟΥΛΙΟΣ.

Μετὰ τὴν ιγ'. Ἡ Ἀκολουθία τῶν Ἁγίων ἓξ Οἰκουμενικῶν Συνόδων. 425
Εἰς τὴν ιζ'. Τῆς Ἁγίας Μεγαλομάρτ. Μαρίνης. 429
Εἰς τὴν κ'. Τοῦ Ἁγίου Προφήτου Ἠλιοῦ. 434
Εἰς τὴν κβ'. Τῆς Ἁγίας Μυροφόρου Μαρίας τῆς Μαγδαληνῆς. 440
Εἰς τὴν κϛ'. Τῆς Ἁγίας Ὁσιομάρτ. Παρασκευῆς. 441
Εἰς τὴν κζ'. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Παντελεήμονος. 445
Εἰς τὴν λα'. Τοῦ Ἁγίου καὶ Δικαίου Εὐδοκίμου. 450

## ΜΗΝ ΑΥΓΟΥΣΤΟΣ.

Εἰς τὴν α'. Ἡ Πρόοδος τοῦ τιμίου Σταυροῦ· καὶ τῶν Ἁγίων ἑπτὰ Μακκαβαίων. 451
Εἰς τὴν ε'. Προεόρτια τῆς Μεταμορφώσεως τοῦ Κυρίου. 458
Εἰς τὴν ϛ'. Ἡ Ἁγία Μεταμόρφωσις τοῦ Κυρίου. 461
Εἰς τὴν ιδ'. Προεόρτια τῆς Κοιμήσεως τῆς Θεοτόκου. 470
Εἰς τὴν ιε'. Ἡ Κοίμησις τῆς Ὑπεραγίας Θεοτόκου. 472
Εἰς τὴν ιϛ'. Ἡ Ἀνακομιδὴ τῆς ἀχειροποιήτου Εἰκόνος τοῦ Κυρίου. 481
Εἰς τὴν ιζ'. Τοῦ Ἁγίου Μάρτυρος Μύρωνος, καὶ μεθέορτα τῆς Κοιμήσεως τῆς Θεοτόκου. 481
Εἰς τὴν κθ'. Ἡ ἀποτομὴ τῆς τιμίας Κεφαλῆς τοῦ Προδρόμου. 482
Εἰς τὴν λα'. Ἡ κατάθεσις τῆς τιμίας Ζώνης τῆς Θεοτόκου. 491

Τέλος τῶν Ἑορτῶν τῶν ιβ'. Μηνῶν.

# Π Ι' Ν Α Ξ
## ΤΩΝ ΑΝΩΝΥΜΩΝ ΑΚΟΛΟΥΘΙΩΝ.

Ἀκολουθία εἰς ἕνα Ἀπόστολον. 497
Ἀκολουθία εἰς δύο, καὶ πολλοὺς Ἀποστόλους. 498
Ἀκολουθία εἰς ἕνα Προφήτην. 499
Ἀκολουθία εἰς δύο, καὶ πολλοὺς Προφήτας. 501
Ἀκολουθία εἰς ἕνα Μάρτυρα. 502
Ἀκολουθία εἰς δύο, καὶ πολλοὺς Μάρτυρας. 503
Ἀκολουθία εἰς ἕνα Ἱεράρχην. 505
Ἀκολουθία εἰς δύο, καὶ πολλοὺς Ἱεράρχας. 506
Ἀκολουθία εἰς ἕνα Ἱερομάρτυρα. 508
Ἀκολουθία εἰς δύο, καὶ πολλοὺς Ἱερομάρτυρας. 509
Ἀκολουθία εἰς ἕνα Ὅσιον. 510
Ἀκολουθία εἰς δύο, καὶ πολλοὺς Ὁσίους. 511
Ἀκολουθία εἰς ἕνα Ὁσιομάρτυρα. 513
Ἀκολουθία εἰς Δύο, καὶ πολλοὺς Ὁσιομάρτυρας. 514
Ἀκολουθία εἰς Γυναῖκα Μάρτυρα. 515
Ἀκολουθία εἰς Μάρτυρας Γυναῖκας. 517
Ἀκολουθία εἰς Ὁσίαν Γυναῖκα. 518
Ἀκολουθία εἰς Ὁσίας Γυναῖκας. 520

Τέλος τῶν Ἀνωνύμων Ἀκολουθιῶν.

Στιχηρὰ προσόμοια Θεοτοκία, ψαλλόμενα ἐν τῷ Ἑσπερινῷ, ὅταν τύχῃ Ἀλληλούϊα. 521
Ἀκολουθία τῆς ὅλης Ἑβδομάδος, ψαλλομένη αὐτὶ τῆς Παρακλητικῆς. 523
Κανὼν Παρακλητικὸς εἰς τὴν Ὑπεραγίαν Θεοτόκον, ψαλλόμενος εἰς τὸν Ὄρθρον μετὰ τῶν Κανόνων τῶν δοξολογουμένων Ἁγίων. 542
Κανὼν ἕτερος Παρακλητικὸς εἰς τὴν Ὑπεραγίαν Θεοτόκον. 543

# Π Ι' Ν Α Ξ
## ΤΗΣ ΝΕΑΣ ΠΡΟΣΘΗΚΗΣ.

Ἀκολουθία τῆς Ἑορτῆς τῶν Βαΐων. 545
Ἀκολουθία τῆς Ἁγίας Κυριακῆς τοῦ Πάσχα. 550
Ἀκολουθία τῆς Ἀναλήψεως τοῦ Κυρίου. 555
Ἀκολουθία τῆς Ἁγίας Πεντηκοστῆς. 561
Ακολουθία τῆς Γονυκλισίας. 567
Ἡ Ὀκτώηχος. 572
Τὰ Ἀναστάσιμα Ἐξαποστειλάρια, καὶ τὰ Ἑωθινὰ Ἰδιόμελα. 621
Ἰδιόμελα Δοξαστικὰ εἰς πάντας τοὺς Ἁγίους. 623
Τὰ Ἕνδεκα Ἑωθινὰ Εὐαγγέλια. 625
Ἀποστολοευάγγελον εἰς Κοιμηθέντας. 628
Πασχάλιον ἐτῶν μγ'. 629



# ΑΝΘΟΛΟΓΙΟΝ
## ΣΥΝ ΘΕΩ ΑΓΙΩ,
## ΠΕΡΙΕΧΟΝ
## ΤΗΝ ΑΠΑΣΑΝ ΑΚΟΛΟΥΘΙΑΝ
## ΤΟΥ ΟΛΟΥ ΕΝΙΑΥΤΟΥ,

Ἤτοι τῶν Δεσποτικῶν, καὶ Θεομητορικῶν Ἑορτῶν, καὶ τῶν ἑορταζομένων Ἁγίων.

Ἔτι δὲ καὶ τὰς ἁπλῶς εἰς Προφήτας, Ἀποστόλους, Μάρτυρας, Ἱερομάρτυρας, Ἱεράρχας, Ὁσίους, καὶ τοὺς λοιποὺς Ἁγίους, ἀνηκούσας ἀνενδεῶς Ἀκολουθίας.

## ΜΗΝ ΣΕΠΤΕΜΒΡΙΟΣ.

Ἔχων ἡμέρας λ΄. ἡ Ἡμέρα ἔχει ὥρας ιβ΄. καὶ Νὺξ ὥρας ιβ΄.

Εἰς τὴν πρώτην, Ἀρχὴ τῆς Ἰνδίκτου, ἤτοι τοῦ νέου Ἔτους. καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου, καὶ Ἀρχιμανδρίτου. Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου τῶν Μιασηνῶν. καὶ τοῦ Ἁγίου Μάρτυρος Ἀειθαλᾶ. Τῶν Ἁγίων τεσσαράκοντα Γυναικῶν, καὶ Ἀμμοῦν Διακόνου, καὶ Διδασκάλου αὐτῶν. Μνήμη τῶν Ἁγίων Μαρτύρων, Καλλίστης, Εὐόδου, καὶ Ἑρμογένους τῶν Αὐταδέλφων. Μνήμη Ἰησοῦ τοῦ Ναυῆ· καὶ ἡ ἀνάμνησις τοῦ μεγάλου Ἐμπρησμοῦ.

Ἑσπέρας, στιχολογοῦμεν τὸ α΄. Ἀντίφωνον, τὸ, Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ι΄. καὶ ψάλλομεν στ. τῆς Ἰνδίκτου γ΄. καὶ τοῦ Ὁσίου προσόμοια γ΄. καὶ ἕτερα Ἰδιόμελα τοῦ Ὁσίου δ΄.

Τῆς Ἰνδίκτου, ἦχος α΄.

Τῶν Οὐρανίων ταγμάτων.

Ὡς αὐτολέκτου, καὶ θείας, διδασκαλίας Χριστοῦ, τὴν προσευχὴν μαθόντες, καθ᾽ ἑκάστην ἡμέραν, βοήσωμεν τῷ Κτίστῃ· Πάτερ ἡμῶν, ὁ ἐν τοῖς Οὐρανοῖς κατοικῶν, τὸν ἐπιούσιον ἄρτον δίδου ἡμῖν, παρορῶν ἡμῶν τὰ πταίσματα.

ΩΣ τῶν Ἑβραίων τὰ κῶλα, ἐν τῇ ἐρήμῳ ποτὲ, ἀπαθησάντων ὄντως, σοὶ τῷ πάντων Δεσπότῃ, ἀξίως κατεστρώθη· οὕτω καὶ νῦν, τὰ ὀστᾶ διασκόρπισον, τῶν δυσσεβῶν, καὶ ἀπίστων Ἀγαρηνῶν, ψαλμικῶς παρὰ τὸν Ἅδην Χριστέ.

Ὁ ἐν Σιναίῳ τῷ ὄρει, τὰς πλάκας γράψας ποτὲ, αὐτὸς καὶ νῦν ἐν Πόλει, Ναζαρὲτ κατὰ σάρκα, βιβλίον κατεδέξω προφητικὸν, ἀναγνῶναι Χριστὲ ὁ Θεός. καὶ τοῦτο πτύξας, ἐδίδασκες τοὺς Λαοὺς, πεπληρῶσθαι τὴν γραφὴν ἐπὶ σοί.

Ἕτερα γ΄. τοῦ Ὁσίου, ἦχος πλ. α΄.

Ὅσιε Πάτερ.

Ὅσιε Πάτερ, καλὴν ἐφεῦρες κλίμακα, δι᾽ ἧς ἀνῆλθες ἐν τῷ ὕψει, ἣν εὗρεν Ἠλίας ἅρμα πυρός. ἀλλ᾽ ἐκεῖνος μὲν τὴν ἄνοδον, ἄλλοις οὐκ ἔλιπε· σὺ δὲ καὶ μετὰ θάνατον, ἔχεις τὸν στύλον σου. Οὐράνιε Ἄνθρωπε, ἐπίγειε Ἄγγελε, Φωστὴρ ἀκοίμητε τῆς Οἰκουμένης, Συμεὼν Ὅσιε, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὅσιε Πάτερ, εἰ καὶ τὸν στύλον φθέγξασθαι, οὐκ ἂν ἐπαύσατο βοῶν σου, τοὺς πόνους, τοὺς μόχθους, τοὺς ὀδυρμούς· ἀλλ᾽ ἐκεῖνος ἐβαστάζετο, ἅπερ ἐβάσταζεν, ὡς δένδρον πιαινόμενος ἐκ τῶν δακρύων σου. ἐξέστησαν Ἄγγελοι, ἐθαύμασαν ἄνθρωποι,

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

δαίμονες ἐπτήξαν τὴν ὑπομονήν σου, Συμεὼν Ὅσιε. πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὅσιε Πάτερ, δυνάμει θείου Πνεύματος, τὸν σὸν μιμούμενος Δεσπότην, ἐν ξύλῳ ἀνῆλθες ὡς ἐν Σταυρῷ. ἀλλ' ἐκεῖνος τὸ χειρόγραφον πάντων ἐξήλειψε· σὺ δὲ τὴν ἐπανάστασιν τῶν παθῶν ἔλυσας. ἐκεῖνος ὡς πρόβατον· καὶ σὺ ὥσπερ σφάγιον. ἐκεῖνος ἐν Σταυρῷ· καὶ σὺ ἐν τῷ ξύλῳ. Συμεὼν Ὅσιε, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερα γ΄. Ἰδιόμελα τοῦ Ὁσίου, ... Ἦχος β΄.

Ἐκ ῥίζης ἀγαθῆς, ἀγαθὸς ἐβλάστησε καρπὸς, ὁ ἐκ βρέφους ἱερὸς Συμεὼν, χάριτι μᾶλλον, ἢ γάλακτι τραφείς. καὶ ἐπὶ πέτραν τὸ σῶμα ὑψώσας, πρὸς Θεὸν δὲ ὑπερύψωσε τὴν διάνοιαν. αἰθέριον διεδομήσατο ταῖς ἀρεταῖς ἐνδιαίτημα, καὶ ταῖς θείαις δυνάμεσι συμμετεωροπορῶν, Χριστοῦ γέγονεν οἰκητήριον, τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Τὸ μνημόσυνόν σου εἰς τὸν αἰῶνα μένει, Ὅσιε Πάτερ Συμεών· καὶ τὸ πρᾶον τῆς καρδίας σου θεράπον μακάριε. εἰ καὶ μετέστης ἐξ ἡμῶν ὁ ποιμὴν ὁ καλὸς, ἀλλ' οὐκ ἀπέστης ἀφ' ἡμῶν τῷ Πνεύματι, ἐν ἀγάπῃ Θεῷ παριστάμενος, καὶ σὺν Ἀγγέλοις χορεύων ἐν Οὐρανοῖς. μεθ' ὧν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Ἡ τῶν λειψάνων σου θήκη, πανεύφημε Πάτερ, πηγάζει ἰάματα· καὶ ἡ ἁγία σου ψυχὴ Ἀγγέλοις συνοῦσα, ἀξίως ἀγάλλεται. ἔχων οὖν πρὸς Κύριον Ὅσιε παρρησίαν, καὶ μετὰ τῶν Ἀσωμάτων χορεύων ἐν Οὐρανοῖς, σὺν αὐτοῖς ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός. Γερμανοῦ.

Ἠγάπησας Θεοφόρε, τὴν ἀνωτάτω φιλοσοφίαν· καὶ ἔξω Κόσμου ἐγένου, ζῶν ὑπὲρ τὰ ὁρώμενα, καὶ ἔσοπτρον ἀκηλίδωτον Θεοῦ, θεῖον ἀνεδείχθης. καὶ ὢν ἀεὶ ἑνούμενος φωτὶ, φῶς προσελάμβανες, καὶ τρανώτερον τοῦ μακαρίου ἔτυχες τέλους. πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν, σοφὲ Συμεών.

Δόξα, ἦχος πλ. β΄. Γερμανοῦ.

Θεία χάρις ἀπόρρητος, ἐπὶ τῇ θήκῃ τῶν λειψάνων σου, ἡγιασμένε Συμεών. διὸ καὶ εἰς ὀσμὴν μύρου, τῶν θαυμάτων σου δραμούμεθα, τῶν νοσημάτων τὴν ἴασιν ἀρυσόμενοι. ἀλλὰ Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Βυζαντίου.

Ὁ Πνεύματι Ἁγίῳ συνημμένος, ἄναρχε Λόγε, καὶ Υἱέ. ὁ πάντων ὁρατῶν, καὶ ἀοράτων, συμπαντουργὸς, καὶ συνδημιουργὸς, τὸν στέφανον τοῦ Ἐνιαυτοῦ εὐλόγησον. φυλάττων ἐν εἰρήνῃ τῶν Ὀρθοδόξων τὰ πλήθη, πρεσβείαις τῆς Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων σου.

Εἴσοδος. τὸ Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρι- Κεφ. ξα΄. 1.
σέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· ἰάσασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ· κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν· καλέσαι Ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως τῷ Θεῷ ἡμῶν· παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν δόξαν ἀντὶ σποδοῦ. ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσι· καταστολὴν δόξης, ἀντὶ πνεύματος ἀκηδίας. καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν. Καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίους ἐξηρημωμένας τὸ πρότερον. Ἐξαναστήσονται, καὶ ἀνακαινιοῦσι Πόλεις ἐρήμους, ἐξηρημωμένας ἀπὸ γενεῶν εἰς γενεάς· καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες, καὶ ἀμπελουργοὶ ὑμῶν· Ὑμεῖς δὲ Ἱερεῖς Κυρίου κληθήσεσθε λειτουργοὶ Θεοῦ ἡμῶν. Ῥηθήσεται ὑμῖν· ἰσχὺν Ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε. Ἀντὶ τῆς αἰσχύνης ὑμῶν τῆς διπλῆς, καὶ ἀντὶ τῆς ἐντροπῆς, ἀγαλλιάσεται ἡ μερὶς αὐτῶν. Διὰ τοῦτο τὴν γῆν αὐτῶν ἐκ δευτέρου κληρονομήσουσι, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. Ἐγὼ γάρ εἰμι Κύριος, ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας. Καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις. καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς. Καὶ γνωσθήσεται



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐν τοῖς Ἔθνεσι τὸ σπέρμα αὐτῶν, καὶ τὰ ἔγκονα αὐτῶν ἐν μέσῳ τῶν Λαῶν. Καὶ ὁ ὁρῶν αὐτοὺς, ἐπιγνώσεται αὐτοὺς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον εἰς τοὺς αἰῶνας ὑπὸ Θεοῦ, καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ Κύριον.

Δεύτερον τὸ Ἀνάγνωσμα.

Ἐλάλησε Κύριος τοῖς Υἱοῖς Ἰσραὴλ, λέγων· Ἐὰν τοῖς προστάγμασί μου πορεύησθε, καὶ τὰς ἐντολάς μου φυλάσσητε, καὶ ποιῆτε αὐτὰς, δώσω τὸν ὑετὸν ἐν καιρῷ αὐτοῦ, καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς, καὶ τὰ ξύλα τῶν πεδίων ἀποδώσει τὸν καρπὸν αὐτῶν. Καὶ καταλήψεται ὑμῖν ὁ ἀλοητὸς τὸν τρυγητὸν, καὶ ὁ τρυγητὸς καταλήψεται τὸν σπόρον. Καὶ φάγεσθε τὸν ἄρτον ὑμῶν εἰς πλησμονὴν, καὶ κατοικήσετε μετὰ ἀσφαλείας ἐπὶ τῆς γῆς ὑμῶν. καὶ δώσω εἰρήνην ἐν τῇ γῇ ὑμῶν, καὶ οὐκ ἔσται ὑμᾶς ὁ ἐκφοβῶν. Καὶ ἀπολῶ θηρία ἐκ τῆς γῆς ὑμῶν, καὶ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν. Καὶ πεσοῦνται οἱ ἐχθροὶ ὑμῶν ἐνώπιον ὑμῶν· καὶ διώξονται ἐξ ὑμῶν πέντε ἑκατὸν, καὶ ἑκατὸν ὑμῶν διώξονται μυριάδας. Καὶ ἐπιβλέψω ἐφ' ὑμᾶς, καὶ εὐλογήσω ὑμᾶς, καὶ αὐξανῶ ὑμᾶς, καὶ πληθυνῶ ὑμᾶς. καὶ στήσω τὴν διαθήκην μου μεθ' ὑμῶν. καὶ φάγεσθε παλαιὰ, καὶ παλαιὰ παλαιῶν, καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε. καὶ οὐ βδελύξεται ἡ ψυχή μου ὑμᾶς. Καὶ ἐμπεριπατήσω ἐν ὑμῖν· καὶ ἔσομαι ὑμῶν Θεὸς, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός. Ἐὰν δὲ μὴ ὑπακούσητέ μου, μηδὲ ποιήσητε τὰ προστάγματά μου ταῦτα, ἀλλὰ ἀπειθήσητε αὐτοῖς, καὶ τοῖς κρίμασί μου μὴ προσοχθίσῃ ἡ ψυχὴ ὑμῶν, ὥστε ὑμᾶς μὴ ποιεῖν πάσας τὰς ἐντολάς μου, καὶ ἐγὼ ποιήσω οὕτως ὑμῖν. Ἐπιστήσω ἐφ' ὑμᾶς τὴν ἀπορίαν, καὶ σπερεῖτε διακενῆς τὰ σπέρματα ὑμῶν. καὶ ἔδονται τοὺς πόνους ὑμῶν οἱ ὑπεναντίοι ὑμῶν, καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐφ' ὑμᾶς, καὶ πεσεῖσθε ἐναντίον τῶν ἐχθρῶν ὑμῶν· καὶ διώξονται ὑμᾶς, καὶ φεύξεσθε, οὐδενὸς διώκοντος ὑμᾶς. καὶ συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας ὑμῶν. καὶ θήσω τὸν Οὐρανὸν ὑμῖν ὡς σιδηροῦν, καὶ τὴν γῆν ὡς χαλκῆν. Καὶ ἔσται εἰς κενὸν ἡ ἰσχὺς ὑμῶν, καὶ ἡ γῆ ὑμῶν οὐ δώσει τὸν σπόρον αὐτῆς· καὶ τὰ ξύλα τοῦ ἀγροῦ οὐ δώσει τὸν καρπὸν αὐτῶν. Καὶ ἀποστελῶ ἐφ' ὑμᾶς τὰ θηρία τὰ ἄγρια τῆς γῆς, καὶ ἐξαναλώσει τὰ κτήνη ὑμῶν, καὶ ὀλιγοστοὺς ποιήσει ὑμᾶς ἐπιπορευομένη μάχαιρα. Καὶ ἔσται ἡ γῆ ὑμῶν ἔρημος, καὶ αἱ ἐπαύλεις ὑμῶν ἔσονται ἔρημοι. ὅτι ὑμεῖς ἐπορεύθητε πρός με πλάγιοι, κἀγὼ πορεύσομαι πρὸς ὑμᾶς ἐν θυμῷ πλαγίῳ, λέγει Κύριος ὁ Θεὸς, ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. Ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον. ὅτι χάρις, καὶ ἔλεος ἐν τοῖς Ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ. Κεφ. δ. 7.

Ἐπέστη ἡ εἴσοδος τοῦ Ἐνιαυτοῦ, συγκαλοῦσα γεραίρειν ταύτην, τοὺς λαμπρύνοντας, Καλλίστην, Εὔοδον, καὶ Ἑρμογένην, τοὺς αὐταδέλφους ἀθλητάς. Συμεὼν τὸν ἰσάγγελον. Ἰησοῦν τὸν τοῦ Ναυῆ. τοὺς ἐν Ἐφέσῳ ἑπταρίθμους Παῖδας. καὶ τὴν τεσσαρακονταπύργιον τῶν Ἁγίων Γυναικῶν χορείαν. ὧν ταῖς μνείαις κοινωνοῦντες φιλέορτοι, βοήσωμεν ἐκτενῶς· Κύριε εὐλόγησον τὰ ἔργα τῶν χειρῶν σου, καὶ καταξίωσον ἡμᾶς, λυσιτελῶς περαιῶσαι τὴν τοῦ χρόνου περίοδον.

Σοὶ πρέπει Ὕμνος ὁ Θεὸς ἐν Σιών.

Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ ἐν σοφίᾳ τὰ πάντα δημιουργήσας, καὶ ἐκ μὴ ὄντων εἰς

τὸ εἶναι παραγαγών, εὐλόγησον τὸν στέφανον τοῦ Ἐνιαυτοῦ· καὶ τὴν Πόλιν ἡμῶν φύλαττε ἀπολιόρκητον· τοὺς δὲ πιστοὺς Βασιλεῖς ἡμῶν, ἐν τῇ δυνάμει σου εὔφρανον, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων. διὰ τῆς Θεοτόκου, δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Ἦχος β.

Πλησθησόμεθα ἐν τοῖς ἀγαθοῖς τοῦ οἴκου σου.

Κυπριανοῦ.

Θαυμαστὸς εἶ ὁ Θεός, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ αἱ ὁδοί σου ἀνεξιχνίαστοι. τέλειος γὰρ σοφία τοῦ Θεοῦ, καὶ ὑπόστασις τελεία, καὶ δύναμις, συνανάρχός τε, καὶ συναΐδιος, καὶ συνεργάτις, παντοδυνάμῳ ἐξουσίᾳ Κόσμῳ ἐπεδήμησας, ζητῶν ὃ ἐκάλλυνας πλάσμα σου, ἀνεκφράστως ἐξ ἀπειράνδρου Μητρός, μὴ τραπεὶς τῇ Θεότητι. διαθέμενος ὅρους, καὶ χρόνους, εἰς σωτηρίαν ἡμῶν ἀναλλοίωτε· διὰ τοῦτό σοι βοῶμεν, ἀγαθὲ Κύριε δόξα σοι.

Ὁ αὐτός.

Εὐλόγησον τὸν στέφανον τοῦ Ἐνιαυτοῦ τῆς χρηστότητός σου.

Τοῦ Δαμασκηνοῦ.

Ὁ ἐν σοφίᾳ τὰ πάντα δημιουργήσας, προαιώνιε Λόγε τοῦ Πατρός, καὶ τὴν σύμπασαν Κτίσιν, παντοδυνάμῳ σου λόγῳ συστησάμενος, εὐλόγησον τὸν στέφανον τοῦ Ἐνιαυτοῦ τῆς χρηστότητός σου. καὶ τὰς αἱρέσεις κατάβαλε, διὰ τῆς Θεοτόκου, ὡς ἀγαθός, καὶ φιλάνθρωπος.

Δόξα, ἦχος πλ. δ.

Ὅσιε Πάτερ, καλὴν ἐφεῦρες κλίμακα, δι' ἧς ἀνῆλθες ἐν τῷ ὕψει, ἣν εὗρεν Ἠλίας ἅρμα πυρός. ἀλλ' ἐκεῖνος μὲν τὴν ἄνοδον, ἄλλοις οὐκ ἔλιπε· σὺ δὲ καὶ μετὰ θάνατον, ἔχεις τὸν στῦλόν σου. Οὐράνιε Ἄνθρωπε, ἐπίγειε Ἄγγελε, Φωστὴρ ἀκοίμητε τῆς Οἰκουμένης, Συμεὼν Ὅσιε· πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Ὑπερβασιλεῦ, ὁ ὢν ἀεί, καὶ διαμένων, καὶ εἰς αἰῶνας ἀτελευτήτους. δέξαι δυσώπησιν, αἰτούντων ἁμαρτωλῶν σωτηρίαν. καὶ παράσχου φιλάνθρωπε τῇ γῇ σου εὐφορίαν, εὐκράτους τοὺς ἀέρας χαριζόμενος. τῷ πιστοτάτῳ Βασιλεῖ συμπολέμει, κατὰ ἀθέων Βαρβάρων, ὡς ποτὲ τῷ Δαβίδ, ὅτι ἤλθοσαν οὗτοι ἐν σκηνώμασί σου, καὶ τὸν πανάγιον τόπον ἐμίαναν Σῶτερ. ἀλλ' αὐτὸς δώρησαι νίκας Χριστὲ ὁ Θεός, τῇ πρεσβείᾳ τῆς Θεοτόκου. νίκη γὰρ σὺ τῶν ὀρθοδόξων, καὶ καύχημα.

Τροπάριον, τῆς Ἰνδίκτου. ἦχος β.

Ὁ πάσης Δημιουργὸς τῆς Κτίσεως, ὁ καιροὺς, καὶ χρόνους ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, εὐλόγησον τὸν στέφανον τοῦ Ἐνιαυτοῦ, τῆς χρηστότητός σου Κύριε, φυλάττων ἐν εἰρήνῃ τοὺς Βασιλεῖς, καὶ τὴν Πόλιν σου. πρεσβείαις τῆς Θεοτόκου, καὶ σῶσον ἡμᾶς.

Δόξα, τοῦ Ὁσίου, ἦχος α.

Ὑπομονῆς στῦλος γέγονας, ζηλώσας τοὺς Προπάτορας Ὅσιε, τὸν Ἰὼβ ἐν τοῖς πάθεσι, τὸν Ἰωσὴφ ἐν τοῖς πειρασμοῖς, καὶ τὴν τῶν Ἀσωμάτων πολιτείαν ὑπάρχων ἐν σώματι, Συμεὼν Πατὴρ ἡμῶν Ὅσιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, τῆς Θεοτόκου. ἦχος βαρύς.

Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε, λιμὴν, καὶ προστασία τοῦ γένους τῶν ἀνθρώπων· ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ λυτρωτὴς τοῦ Κόσμου. μόνη γὰρ ὑπάρχεις Μήτηρ, καὶ Παρθένος, ἀεὶ εὐλογημένη, καὶ δεδοξασμένη. πρέσβευε Χριστῷ τῷ Θεῷ, εἰρήνην δωρήσασθαι πάσῃ τῇ Οἰκουμένῃ.

Τὰ αὐτά, καὶ εἰς τό, Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α. στιχολ. κάθισμα τῆς Ἰνδίκτου. ἦχος δ.

Κατεπλάγη Ἰωσήφ.

Ὡς Δεσπότῃ τοῦ Παντὸς, καὶ χορηγῷ τῶν ἀγαθῶν, σοὶ προσπίπτομεν πιστῶς, ἀναβοῶντες ἐκτενῶς ὑπὸ τῆς σῆς δυσωπούμενος εὐσπλαγχνίας, Σωτὴρ καὶ ταῖς εὐχαῖς τῆς τεκούσης σε, καὶ πάντων τῶν ἀεὶ εὐαρεστούντων σοι, Ἐνιαυτὸν εὐπρόσδεκτον προσάξαι σοι, ὡς ἀγαθὸς καταξίωσον, τοὺς ἐν ὁσίαις θυσίαις τιμῶντας, καὶ πιστῶς σε δοξάζοντας.

Εἰς τὴν β. στιχολ. κάθισμα τῶν Μαρτύρων, ἦχος δ.

Ταχὺ προκατάλαβε.

Εἰσῆλθες ἐν τῷ σκάμματι, τοῦ μαρτυρίου πιστῶς, Καλλίστη κηρύττουσα, σὺν τοῖς δυσὶν ἀδελφοῖς, Χριστὸν τὸν Θεὸν ἡμῶν. πόθῳ γὰρ θρεψαμένη, νοερὰ σκηνὴ ὄντως, τῆς Χριστοῦ Ἐκκλησίας, ἀπετέλεσας

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

τούτους. διὸ καὶ συνηρμόσθης αὐτοῖς, Μάρτυς εἰς τὴν ἄνω ζωήν.

Ἕτερον, ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἀμνάδες λογικαί, τῷ ἀμνῷ, καὶ ποιμένι, προσήχθητε πιστῶς διὰ τοῦ μαρτυρίου, τὸν δρόμον τελέσασαι, καὶ τὴν Πίστιν τηρήσασαι. ὅθεν σήμερον, περιχαρῶς εὐφημοῦμεν, ἀξιάγαστοι, τὴν ἱερὰν ὑμῶν μνήμην, Χριστὸν μεγαλύνοντες.

Θεοτοκίον. Ὅμοιον.

Ὁδήγησον ἡμᾶς, ἐν ὁδῷ μετανοίας, ἐκκλίνοντας ἀεὶ πρὸς κακῶν ἀνοδίας, καὶ τὸν ὑπεράγαθον παροργίζοντας Κύριον· Ἀπειρόγαμε, εὐλογημένη Μαρία. καταφύγιον, ἀπεγνωσμένων ἀνθρώπων, Θεοῦ ἐνδιαίτημα.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα τοῦ Ὁσίου, ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Ἐγκρατείᾳ τὸν βίον σου κατεκόσμησας, καὶ νεκρώσας τὸ σῶμά σου ἐξηφάνισας, τοῦ ἐχθροῦ τὰς προσβολάς, Πάτερ μακάριε. καὶ μετέστης πρὸς Θεόν, εἰς τὴν αἰώνιον ζωήν, ὡς ἄξιος κληρονόμος. διὸ μὴ παύσῃ πρεσβεύων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Παναγία Παρθένε ἡμᾶς ἐλέησον, τοὺς προσφεύγοντας πίστει, πρὸς σὲ τὴν εὔσπλαγχνον, καὶ αἰτουμένους τὴν θερμήν σου νῦν ἀντίληψιν. δύνασαι γὰρ ὡς ἀγαθή, τοὺς πάντας σῴζειν ὡς οὖσα, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, ταῖς μητρικαῖς σου πρεσβείαις, ἀεὶ χρωμένη Θεοχαρίτωτε.

Τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου.

Εὐαγγέλιον Ὁσιακόν. Ζήτει εἰς Ὁσίων.

Ὁ Ν΄. Δόξα.

Ταῖς τοῦ σοῦ Ὁσίου, πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων. Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

Εἶτα τό, εἰς ἦχον πλ. β΄.

Ἐλέησόν με ὁ Θεός.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου. διὸ ἐν τοῖς Οὐρανοῖς εὗρες μισθὸν τῶν καμάτων σου. τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα· ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας· παρρησίαν ἔχων πρὸς Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Ὁ Κανὼν τῆς Ἰνδίκτου μετὰ τῶν Εἱρμῶν εἰς ς΄. τῶν Ἁγίων Γυναικῶν εἰς δ΄. καὶ τοῦ Ὁσίου εἰς δ΄. Ὁ Κανὼν τῆς Ἰνδίκτου.

Ὠδὴ α΄. ἦχος α΄. Ὁ Εἱρμός.

Ἰωάννου Μοναχοῦ.

Ἄσωμεν πάντες λαοί, τῷ ἐκ πικρᾶς δουλείας Φαραώ, τὸν Ἰσραὴλ ἀπαλλάξαντι, καὶ ἐν βυθῷ θαλάσσης ποδὶ ἀβρόχῳ ὁδηγήσαντι, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασαι.

Ἄσωμεν πάντες Χριστῷ, δι᾿ οὗ συνέστη τὰ πάντα, καὶ ἐν ᾧ διατελεῖ ἀδιάπτωτα. ὡς ἐξ ἀνάρχου φωτί, Θεοῦ Πατρὸς ἐνυποστάτῳ Λόγῳ, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασαι.

Ἄσωμεν πάντες Χριστῷ, τῷ Πατρικῇ εὐδοκίᾳ, ἐπιφανέντι ἐκ Παρθένου καὶ κηρύξαντι, ἐνιαυτὸν Κυρίου δεκτόν, ἡμῖν εἰς ἀπολύτρωσιν, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασαι.

Εἰς Ναζαρὲτ εἰσελθών, ὁ παροχεὺς τοῦ Νόμου, ἐν ἡμέραις τῶν Σαββάτων ἐδίδασκε, νομοθετῶν Ἑβραίοις τὴν ἔλευσιν αὐτοῦ τὴν ἀνέκφρασον· δι᾿ ἧς ὡς ἐλεήμων, σῴζει τὸ γένος ἡμῶν.

Θεοτοκίον.

Ἄσωμεν πάντες πιστοί, τὴν ὑπερθαύμαστον Κόρην, τὴν τὸν Χριστὸν τῇ Οἰκουμένῃ ἀνατείλασαν, καὶ χαρᾶς τὰ πάντα πληρώσασαν τῆς ἀϊδίου ζωῆς, ἀεὶ ἀνυμνήσωμεν, ὅτι δεδόξασαι.

Ἕτερος Κανὼν τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς.

Στερρῶν Γυναικῶν Μαρτύρων μέλπω πόνους.

Ὠδὴ α΄. ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Στερρῶς τὸν ἀντίπαλον, κατηγωνίσασθε Μάρτυρες· ἀσκήσει μὲν πρότερον, εἶτα δεύτερον, τῇ δι᾿ αἵματος, ἀθλήσει· διὰ τοῦτο, ὑμῶν τὰ μνημόσυνα, πίστει γεραίρομεν.

Τρωθεῖσαι τῷ ἔρωτι, τοῦ δι᾿ ἡμᾶς ὑπομείναντος, Σταυρόν τε καὶ θάνατον. τούτου τοῖς ἴχνεσιν, ἠκολούθησαν, αἱ Ἅγιαι Γυναῖκες, σαρκὸς τὴν ἀσθένειαν, ἐπιλαθόμεναι.

Ἑλλήνων θρησκεύματα, καὶ τῶν δαιμόνων ἱδρύματα, τῷ ὅπλῳ τῆς Πίστεως, κατηδαφίσατε· καὶ προσήχθητε, Ναῷ ἐπουρανίῳ, κειμήλια ἔμψυχα, Μάρτυρες πάνσεμνοι.

Θεοτοκίον.

Ῥωσθεῖσαι τῇ χάριτι, τοῦ ἐκ τῆς σῆς ἀνατείλαντος, νηδύος Πανάμωμε, Κόραι Νεάνιδες, διεκρούσαντο, βασάνων τρικυμίαν, καὶ σοῦ ἀπηνέχθησαν, ὀπίσω χαίρουσαι.

Ἕτερος Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστ.

Δέχου τὸν ὕμνον, ὦ Συμεὼν πανόλβιε.

Ἄνευ τῶν Θεοτοκίων. Ὠδὴ α΄. Ἦχος πλ. δ΄.

Ἄσωμεν τῷ Κυρίῳ. Ἰωάννου Μοναχοῦ.

Δίδου μοι ἐν ὀργάνῳ, γλώττης σαθρῷ, ὦ Θεοφόρε Συμεὼν, τὴν ᾠδήν σοι πλέκοντι, ταῖς δεήσεσι ταῖς σαῖς, γνώσεως φῶς θεοδίδακτον.

Ἔγνωσαν τὴν σοφίαν, Πάτερ τὴν σὴν, Πέρσαι Αἰθίοπες Ἰνδοὶ, καὶ Σκύθαι καὶ Ἀράβων πληθὺς, καὶ ἐδόξασαν Χριστὸν, τὸν διὰ σοῦ δοξαζόμενον.

Χάριτος ἐπληρώθης, πνευματικῆς ποιμαντικῶν γὰρ ἐκ σηκῶν, ὡς Ἰακὼβ Δαβὶδ, καὶ Μωσῆς ἀρχηγέτης λογικῶν, ὤφθης θρεμμάτων μακάριε.

Θεοτοκίον.

Ἄχραντε Θεοτόκε, χαῖρε σεμνὴ, ἡ τὸν ἀχώρητον Θεὸν, ἐν σῇ Γαστρὶ χωρήσασα, λυτρωθῆναι τῶν δεινῶν, αἴτησαι τοὺς ἀνυμνοῦντάς σε.

Καταβασία.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον. διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Στερέωσόν με Χριστὲ, ἐπὶ τὴν ἄσειστον πέτραν τῶν ἐντολῶν σου, καὶ φώτισόν με φωτὶ τοῦ προσώπου σου. ὅτι οὐκ ἔστιν Ἅγιος πλήν σου φιλάνθρωπε.

Στερέωσον ἀγαθὲ, ἣν κατεφύτευσε πόθῳ, ἐπὶ τῆς γῆς ἡ δεξιά σου κατάκαρπον ἄμπελον. φυλάττων σου τὴν Ἐκκλησίαν Παντοδύναμε.

Ἐν ἔργοις πνευματικοῖς, θεοτερπέσι κομῶντας, τὸ ἐφεξῆς Κύριε ἔτος, διάγαγε Δέσποτα, τοὺς πίστει σε ὑμνολογοῦντας, Θεὸν τοῦ παντός.

Τ'Ἀλλήνιόν μοι Χριστὲ, τὸν ἐνιαύσιον κύκλον, δίδου οἰκτίρμον. καὶ ἔμπλησόν με τῶν λόγων τῶν θείων σου· οὓς ὤφθης φάσκων, Ἰουδαίοις ἐν Σάββασιν.

Θεοτοκίον.

Ὡς μόνην ὑπερφυῶς, τὴν ὑπὲρ ἄνθρωπον χάριν, ἐν γαστρί σου δεξαμένην, ἀτρέπτως σκηνώσαντα, Χριστὸν τὸν Θεὸν ἡμῶν, ᾄσμασι δοξάζομεν.

Ἄλλος. Τόξον δυνατῶν.

Ῥώμῃ πανσθενεῖ ῥωννύμεναι, τὴν τῶν ἀντιπάλων κατεπαλαίσατε δύναμιν. διὰ τοῦτο ὡς νικηφόροι, πρὸς Χριστοῦ ἐστεφανώθητε.

Ἔφθη τῶν θηρῶν τὰ χάσματα, θείᾳ δυναστείᾳ τοῦ Χριστοῦ ἀνενέργητα· καὶ ἐρρύσθητε Θεοφόροι, ἀβλαβεῖς Θεὸν γεραίρουσαι.

Νεύσει πρὸς Θεὸν θεούμεναι, τῆς πολυθείας τὸν κρυμνὸν ἀπεκρούσασθε· καὶ πρὸς θάλψιν τῆς ἄνω δόξης, Ἀθληφόροι κατηντήσατε.

Θεοτοκίον.

Ἐννοοῦντες εὐσεβῶς κηρύττομεν, σὲ τὴν ἀληθῆ Θεοῦ Μητέρα Πανάμωμε. διὰ σοῦ γὰρ ἡμῖν ὁ Πλάστης, ὁμιλῆσαι κατηξίωσεν.

Ἄλλος. Τὸν φόβον σου Κύριε.

Ὀξέως φυγὼν, τὴν νιφετώδη φορὰν τῶν πνευμάτων, πρὸς σωτήριον ηὐτομόλησας μονὴν Συμεὼν· ἐξ ἧς καὶ τὴν ἀγήρω ζωὴν ἐκαρπώσω.

Ὑπέκλινας χαίρων, τὴν πειθήνιον ἀκοήν σου παμμακάριστε, τῷ Δεσπότῃ μακαρίζοντι, καὶ μακαριζομένην εὗρες πολιτείαν.

Τοῦ λόγου δεξάμενος τὰ σπέρματα, τῆς καρδίας σου ταῖς αὔλαξι, δακρύων ἐπικλύσεσι, Χριστῷ πολύχουν στάχυν, ἀρετῶν ἐδρέψω.

Θεοτοκίον.

Ἀρρήτως συνέλαβες Θεόνυμφε, τὸν Σωτῆρά τε, καὶ Κύριον, τὸν λυτρούμενον ἡμᾶς τῶν δεινῶν, τοὺς σὲ ἐν ἀληθείᾳ ἐπικαλουμένους.

Καταβασία.

Ῥάβδος εἰς τύπον τοῦ Μυστηρίου παραλαμβάνεται. τῷ βλαστῷ γὰρ προκρίνει τὸν Ἱερέα. τῇ στειρευούσῃ δὲ πρώην, Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ εἰς κράτος, καὶ στερέωμα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κάθισμα τοῦ Ὁσίου, ἦχος πλ. δ'.
Τὴν Σοφίαν καὶ Λόγον.

Ἐγκρατείᾳ, καὶ πόνοις, καὶ προσευχαῖς, τὴν ψυχήν σου ἀσκήσας θεοπρεπῶς, γέγονας συμμέτοχος, τῶν Μαρτύρων μακάριε. καὶ τῶν θαυμάτων ὄντως, χαρίσματα ἔλαβες, τοῦ ἰᾶσθαι τὰς νόσους, τῶν πίστει τιμώντων σε. ὅθεν καὶ δαιμόνων ἀπελαύνεις τὰ στίφη, ἐκ τόπων τῇ ἄνωθεν, ἐξουσίᾳ δοθείσῃ σοι, Συμεὼν παμμακάριστε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Δίς.

Τῆς Ἰνδίκτου; Ὅμοιον.

Ὁ Καιροὺς καρποφόρους, καὶ ὑετούς, οὐρανόθεν παρέχων τοῖς ἐπὶ γῆς. καὶ νῦν προσδεχόμενος, τὰς αἰτήσεις τῶν δούλων σου, ἀπὸ πάσης λύτρωσαι ἀνάγκης τὴν Πόλιν σου· οἱ οἰκτιρμοί σου γὰρ ὄντως, εἰς πάντα τὰ ἔργα σου. ὅθεν τὰς εἰσόδους, εὐλογῶν, καὶ ἐξόδους, τὰ ἔργα κατεύθυνον, ἐφ' ἡμᾶς τῶν χειρῶν ἡμῶν· καὶ πταισμάτων τὴν ἄφεσιν, δώρησαι ἡμῖν ὁ Θεός. σὺ γὰρ ἐξ οὐκ ὄντων τὰ σύμπαντα, ὡς δυνατὸς εἰς τὸ εἶναι παρήγαγες.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Κατενόησα παντοδύναμε τὴν σὴν οἰκονομίαν, καὶ μετὰ φόβου ἐδόξασά σε Σωτήρ.

Ἀπαρχήν σοι ἐνιαύσιον, ὁ λαός σου προσφέρει, Ἀγγέλων ὕμνοις δοξολογῶν σε Σωτήρ.

Ὡς φιλάνθρωπος καταξίωσον, ἀρξαμένους τοῦ ἔτους, καὶ συμπληρῶσαί σοι εὐαρέστως Χριστέ.

Αὐτοκράτορ μόνε Κύριε, τῶν ἐτῶν τὰς ἑλίξεις γαληνιώσας τῷ Κόσμῳ δώρησαι.

Θεοτοκίον.

Ὡς λιμένα νῦν τῶν ψυχῶν ἡμῶν, καὶ βεβαίαν ἐλπίδα, τὴν Θεοτόκον πάντες ὑμνήσωμεν.

Ἄλλος. Ὁ καθήμενος ἐν δόξῃ.

Ὑπομείνασαι βασάνους, καὶ στρεβλώσεις τοῦ σώματος, διαφόροις τρόποις, θλάσιν τε μελῶν, καὶ κατάφλεξιν, τὰς οὐρανίους σκηνώσεις ἐκληρώσασθε, ἀπολαύουσαι ξύλου ζωῆς ἀξιάγαστοι.

Νεανίδων μακαρίων, τὸν ἀγῶνα ἐθαύμασαν, Οὐρανῶν δυνάμεις, ὅπως τὸν ἐχθρὸν ἐτροπώσαντο, ἐν γυναικείᾳ τῇ φύσει δυναμούμεναι, τῇ δυνάμει τοῦ ἐκ Γυναικὸς ἀνατείλαντος.

Ἀπορρίψασαι τοῦ Κόσμου, ματαιότητα ἅπασαν, τῷ Θεῷ, καὶ μόνῳ, ὅλῃ τῇ ψυχῇ ἐκολλήθητε. ὅθεν ἀσκήσεως πόνους, καὶ ἀθλήσεως, ὑπεμείνατε, Νύμφαι Χριστοῦ καρτερώταται.

Ἰσχυρότατον ὡς ὅπλον, τὸν Σταυρὸν περιφέρουσαι, πρὸς τὰς ἐναντίας, ἀντιπαρετάξασθε φάλαγγας. μετὰ Χριστοῦ δὲ τὴν νίκην ἀπηνέγκασθε, τοῦ νικήσαντος Κόσμον δυνάμει Θεότητος.

Θεοτοκίον.

Καταβήσεται ὡς ὄμβρος, ἐπὶ πόκον ἐν μήτρᾳ σου, Θεηγόρος πάλαι, ἔφησε Προφήτης πανάμωμε· ὃν ἐν δυσὶ ταῖς οὐσίαις ἀπεγέννησας· ᾧ κραυγάζομεν, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Οὐκ ἐν ψάμμῳ πανόλβιε, ἀλλ' ἐν βαθυτάτοις πόνοις σου θέμενος, τὴν κρηπῖδα τῆς ἀσκήσεως, ἀρετῶν ἐκτήσω πύργον ἄσειστον.

Νεκρωμένης τὸ σῶμά σου, χοίνου τραχυτάτης φόβῳ καθήλωσο, τῷ τοῦ Πνεύματος, καὶ χοίνισμα, κληρουχίας θείας εὗρες Ὅσιε.

Ὑπονόσει τοῦ σώματος, τὰ ἐγκεκρυμμένα πάθη πανόλβιε, ἐν στρατείᾳ κοιταζόμενον, τῶν σκωλήκων Πάτερ δεδοίκασί σε.

Μετὰ πάθος ἑκούσιον, τὸν ζωοποιὸν νεκρὸν ἐκμιμούμενος, ὥσπερ μνήματι τῷ φρέατι, σεαυτὸν ζοφώδει, ζῶντα δέδωκας.

Θεοτοκίον.

Ὃν Θεὸν ὃν ἐκύησας, ἄχραντε Μαρία δυσώπει πάντοτε, τοῖς οἰκέταις σου δωρήσασθαι, τῶν πλημμελημάτων τὴν συγχώρησιν.

Καταβασία.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου, τὸ Μυστήριον· κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Ἐκ νυκτὸς ὀρθρίζοντες, ὑμνοῦμέν σε Χριστέ. τὸν τῷ Πατρὶ συνάναρχον, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν· τὴν εἰρήνην τῷ Κόσμῳ παράσχου φιλάνθρωπε.

Ὁ Πληρῶν τὰ σύμπαντα, χρηστότητος Χριστέ, σὺ εὐκραῆ καὶ εὔφορον, εὐλογίαις ἐστεφανωμένον, τὸν πολύκυκλον χρόνον, τοῖς δούλοις σου δώρησαι.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ΤΗν τοῦ ἔτους ἄμειψιν, ἀνάδειξον ἡμῖν, μεταβολὴν πρὸς κρείττονα, εἰρηναίαν τε κατάστασιν, τοῖς ᾄδουσί σε Λόγε Θεοῦ, ὁμοιωθέντα βροτοῖς.

ΕΠὶ γῆς ἐλήλυθας, συνάναρχε Πατρί, τοῖς αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν πρὸς Πατρὸς ἀναγγέλλων, ὁ χρόνων ἐπέκεινα.

Θεοτοκίον.

ΤΑς ἡμῶν ἐλπίδας, Θεοτόκε ἁγνή, καὶ τὴν ἡμῶν πεποίθησιν, ἐπὶ σὲ ἀνατιθέμεθα· ἀμοιβὴν ἡμῖν δίδου, Παρθένε ὃν ἔτεκες.

Ἄλλος. Ἀσεβεῖς οὐκ ὄψονται.

ὩΣ Ἀμνάδες ἄμωμοι, ὡς θύματα δεκτά, τῷ ἀμνῷ τῷ ἀληθινῷ, καὶ ποιμένι Μάρτυρες προσηνέχθητε, προσφοραὶ ὁλόκληροι, καὶ δεκτὰ ὁλοκαυτώματα.

ΝΕκρωθεῖσαι σώματι, ἐζήσατε ψυχῇ, τοῦ νεκρώσαντος τὴν ἰσχύν, τοῦ θανάτου Μάρτυρες ὡς μιμησάμεναι, καὶ Σταυρὸν καὶ θάνατον, καὶ τὰ πάθη τὰ ἑκούσια.

ΜΙαν γνώμην φέρουσαι, ἐν σώμασι πολλοῖς, ἕνα Κύριον Ἰησοῦν, διαφόροις μάστιξι καταξαινόμεναι, καὶ πυρὶ καιόμεναι, ὡμολόγουν αἱ Θεόφρονες.

Θεοτοκίον.

ἈΝόρθωσον πεσόντα με, ἐν λάκκῳ πειρασμῶν, καὶ κυβέρνησον ἡ Θεὸν, κυβερνήτην τέξασα, μόνη παναμώμε, τὸν τὰ πρὶν εὐώσαντα, διεσῶτα ἀγαθότητι.

Ἄλλος. Φώτισον ἡμᾶς.

ΝΕον Δανιὴλ, Συμεὼν Χριστός σε ἔδειξεν. ἐκ γὰρ λάκκου θηριώδους σε, δι' ἐμφανείας, ἀλώβητον ἀνεκόμισεν.

ὍΛον σεαυτὸν, τῷ Κυρίῳ ἀναθέμενος, νιφετοῦ κρυμοῦ καὶ καύσωνος, ταῖς ἐναντίαις, ἐγγεγύμνασο ποιότησι.

ΝΕος Μωϋσῆς, καὶ Ἠλίας ἀναδέδειξαι, ἐν μιᾷ τεσσαρακονθήμερον, τροφὴν ἀνύων, διὰ βίου παντὸς Ὅσιε.

ὩΣ ἐν χρυσαυγεῖ, Συμεὼν ὁρμίσκῳ ὅσιε, δι' ἁλύσεως πεδούμενος, οὐρανοπόρος ἀνεδείχθης θείαις πτέρυξι.

Θεοτοκίον.

ΛΥτρώσαι σε ἀεὶ, τὸν Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἀπειρόγαμε Μαρία ἁγνὴ, τοῦ καταπέμψαι ἡμῖν τοῖς πιστοῖς τὸ ἔλεος.

Καταβασία.

ὮΤρισμακάριστον ξύλον, ἐν ᾧ ἐτάθη Χριστὸς, ὁ Βασιλεὺς καὶ Κύριος. δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθεὶς, Θεῷ τῷ προσπαγέντι σαρκὶ, τῷ παρέχοντι τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

ΤΟν Προφήτην διέσωσας, ἐκ τοῦ κήτους φιλάνθρωπε, κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων, ἀνάγαγε δέομαι.

ΠΟλιτείας ἀπάρξασθαι, εὐαρέστου σοι Δέσποτα, σὺν τῇ ἐτησίῳ ἀπαρχῇ, ἡμᾶς καταξίωσον.

ἩΜερῶν τῶν τοῦ Πνεύματος, ἐν μεθέξει τοῦ Νόμου σου, ἀνάδειξον πλήρεις Οἰκτίρμων, Σωτὴρ τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον.

ΤΟὺς εἰς σὲ καταφεύγοντας, ἀπὸ πάσης δεόμεθα, ῥῦσαι ἀπειλῆς ἡ τεκοῦσα, Χριστὸν τὸν Θεὸν ἡμῶν.

Ἄλλος. Ἐβόησε, προτυπῶν,

ΡΗγνύμενον, καὶ ποσὶ γυναικῶν συμπατούμενον, καθορῶσα, ἡ Προμήτωρ εὐθέως ἀγάλλεται, τὸν αὐτὴν δολίως, Παραδείσου τὸ πρὶν ἐξορίσαντα.

ΤΗν ἄσκησιν, τῇ ἀθλήσει προθύμως συνάψασαι, τῷ Νυμφίῳ, τῶν ψυχῶν νῦν ἀφθόρως συνήφθητε· καὶ νυμφῶνι θείῳ, γηθομένῃ ψυχῇ ἐναυλίζεσθε.

ὙΨούμενα, τῶν βασάνων τὰ ἄγρια κύματα. τῶν Μαρτύρων, τὰς ὁλκάδας βυθίσαι οὐκ ἴσχυσαν. κραταιᾷ χειρὶ γὰρ, πρὸς τοὺς θείους λιμένας κατηύθυνσαν.

Θεοτοκίον.

ΡΗμάτων σου, τὰς ἐκβάσεις ὁρῶσα μεγάλυνον, ἐπιπλεῖον, Θεομῆτορ τὸν σὲ μεγαλύναντα. γενεαὶ γὰρ πᾶσαι, σὲ ἰδοὺ ἀληθῶς μακαρίζουσιν.

Ἄλλος. Χιτῶνά μοι.

ΣΗμείων καὶ τεράτων σε Χριστὸς, αὐτουργὸν ἀνέδειξε, τῆς θείας Μακάριε, ἐνεργείας δεδεγμένος ἐνδιαίτημα.

ὙΨώθη σου τὸ σῶμα Συμεὼν, ὡς Σταυρῷ τῷ κίονι· διὸ συνδεδόξασαι, τῷ ἐν ξύλῳ διὰ σὲ ὑψωθέντι Χριστῷ.

ΜΕτάρσιον πορείαν ἐφευρὼν, Συμεὼν θεσπέσιε, πρὸς ὕψος οὐράνιον, τοὺς ὑμνοῦντάς σε πιστῶς ἀνακόμιζε.

Θεοτοκίον.

Ναόν σε τοῦ Θεοῦ, καὶ Κιβωτὸν καὶ παστάδα ἔμψυχον, καὶ πύλην οὐράνιον, Θεοτόκε οἱ πιστοὶ καταγγέλλομεν.

Καταβασία.

Νοτίου θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον πάθος προδιετύπου σαφῶς· ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει, τὸν Κόσμον φωτίσαντος.

Κοντάκιον τοῦ Ὁσίου, ἦχος β΄.
Τὰ ἄνω ζητῶν.

Τὰ ἄνω ζητῶν, τοῖς κάτω συναπτόμενος, καὶ ἅρμα πυρὸς τὸν στῦλον ἐργασάμενος, δι᾽ αὐτοῦ συνόμιλος τῶν Ἀγγέλων γέγονας Ὅσιε· σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ, πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Τοῦ Συμεὼν τὸν ἄμεμπτον βίον, ποία γλῶσσα ἀνθρώπων ἐξαρκέσει ποτὲ πρὸς ἔπαινον ἐξηγήσασθαι; ὅμως ὑμνήσω Θεοῦ σοφίᾳ τὰ τοῦ Ἥρωος ἆθλα, καὶ τοὺς ἀγῶνας τοῦ ἐν τῇ γῇ ὡς Φωστὴρ φανέντος, τοῖς πᾶσι βροτοῖς μεγάλως τῇ καρτερίᾳ, τῷ χορῷ τῶν Ἀγγέλων ἐκλάμψαντος. σὺν τούτοις γὰρ ψάλλων ἀπαύστως Χριστῷ, ἐγκρατείᾳ ἁγνείαν ἐκτήσατο. πρεσβεύων ἀπαύστως ὑπὲρ πάντων ἡμῶν.

Μὴν Σεπτέμβριος, ἔχων ἡμέρας λ΄. ἡ ἡμέρα ἔχει ὥρας ιβ΄. καὶ ἡ νὺξ ὥρας ιβ΄.

Εἰς τὴν α΄. Ἡ Ἀρχὴ τῆς Ἰνδίκτου, ἤτοι τοῦ Νέου Ἔτους.

Στ. Ἴνδικτον ἡμῖν εὐλόγει Νέου χρόνου.
Ὦ καὶ παλαιέ, καὶ δι᾽ ἀνθρώπους Νέε.

Ἰστέον οὖν, ὅτι τὴν Ἰνδικτιῶνα ἑορτάζει ἡ τοῦ Θεοῦ Ἐκκλησία, ἀπὸ τῶν Ἀρχαίων παραλαβοῦσα, διὰ τὸ νομίζεσθαι παρὰ Ῥωμαίοις ἀρχὴν εἶναι τοῦ Ἔτους ἀπὸ ταύτης τῆς Ἰνδικτιῶνος. Ἰνδικτιὼν δὲ λέγεται παρὰ Ῥωμαίοις ὁ ὁρισμός. Καὶ προσέτι διὰ τὸ κατ᾽ αὐτὴν τὴν ἡμέραν ἀπελθεῖν τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τὴν συναγωγὴν τῶν Ἰουδαίων· καὶ ἐπιδοθέντος αὐτῷ βιβλίου, ὅπερ ἦν Ἡσαΐου τοῦ Προφήτου, ἀναπτύξαντα, εὑρεῖν τὸν τόπον, οὗ ἦν γεγραμμένον· Πνεῦμα Κυρίου ἐπ᾽ ἐμέ, οὗ ἕνεκεν ἔχρισέ με· εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· ἰάσασθαι τοὺς συντετριμμένους τῇ καρδίᾳ· κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν. ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει· κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν. Εἶτα τὸ βιβλίον ἀποδόντα τῷ ὑπηρέτῃ, καὶ καθίσαντα, εἰπεῖν· ὅτι σήμερον πεπλήρωται ἡ Γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. Ὅτε καὶ ἐθαύμαζον οἱ ὄχλοι ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμην ποιοῦμεν τοῦ γενομένου Θαύματος παρὰ τῆς Ἁγίας Θεοτόκου ἐν τῇ Μονῇ τῶν Μιασηνῶν καὶ τοῦ γενομένου Ἐμπρησμοῦ.

Στ. Αὐθαιρέτως ἄνεισιν ἄγρα τις ξένη,
Λίμνης βυθοῦ πάντιμος Εἰκὼν Παρθένου.

Ἡ Μνήμη τῆς Θεοτόκου τῶν Μιασηνῶν τελεῖται, διὰ τὴν παραδοξοποιὸν καὶ ἁγίαν Εἰκόνα τῆς Θεοτόκου, τὴν ἐν τῇ Λίμνῃ μὲν τῆς Γαζουροῦ, Μονῆς δὲ τῶν Μιασηνῶν, διὰ τὸν φόβον τῶν Εἰκονομάχων ῥιφεῖσαν, καὶ μετὰ πολὺν χρόνον, εὐδοκίᾳ Θεοῦ ἄσπιλον ἀναδοθεῖσαν.

Ἡ δὲ τοῦ Ἐμπρησμοῦ μνήμη, διὰ τὸ συμβῆναι διὰ τὰς ἁμαρτίας ἡμῶν, γενέσθαι ἐμπρησμὸν μέγιστον ἐν Κωνσταντινουπόλει, ἐπὶ Λέοντος τοῦ Μεγάλου Βασιλέως, καὶ πυρποληθῆναι τὸ πλεῖστον μέρος τῆς Πόλεως ἐπὶ ἡμέρας ἑπτά.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου.

Στ. Λιπὼν Συμεὼν τὴν ἐπὶ Στύλου βάσιν,
Τὴν ἐγγὺς εὗρε τοῦ Θεοῦ Λόγου στάσιν,
Ὑψιβάτης Συμεὼν Σεπτεμβρίου ἔκθανε πρώτῃ.

Συμεὼν ὁ Στυλίτης, ὑπῆρχεν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Μεγάλου, καὶ Μαρτυρίου τῆς Ἀντιοχέων Ἱεραρχοῦντος, ὁρμώμενος ἀπὸ τῆς Κιλίκων ἐπαρχίας, Κώμης Σισαῦ. Ὃς ὑπελθὼν τὸν μονήρη βίον, καὶ ἐπὶ κίονος ἀνελθών, καὶ τεσσαράκοντα ἑπτὰ χρόνους ἐν αὐτῷ προσκαρτερήσας, καὶ πολλῶν θαυμάτων γενόμενος αὐτουργός, ἐν εἰρήνῃ ἐκοιμήθη.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῆς Ὁσίας Μάρθας Μητρὸς τοῦ Ὁσίου Συμεών· Καὶ τῆς Ὁσίας Εὐανθίας. καὶ ἡ Κοίμησις Ἰησοῦ τοῦ Ναυῆ.

Ἐν γῇ ξενίζει Μάρθα τὸν Χριστὸν πάλαι.
Σὲ δὲ ξενίζει Μάρθα Χριστὸς ἐν πόλῳ.
Ὅνπερ τρέχειν ἔστησεν Ἥλιον πάλαι,
Αἰτῶν Ἰησοῦς, Ἥλιον δόξης βλέπει.

Οὗτος ὁ Ἰησοῦς ἐγένετο μὲν Υἱὸς τοῦ Ναυῆ, διάδοχος δὲ τοῦ Μωσέως, τοῦ τῶν Ἑβραίων Νομοθέτου. Ὃς καὶ τὴν Ἱεριχὼ παρέλαβε, πόλιν ὑπάρχουσαν τῶν Ἀλλοφύλων. καὶ τὸν Ἀρχιστράτηγον Μιχαὴλ ἐθεάσατο, κρατοῦντα ῥομφαίαν. καὶ μαθὼν ὅτι Ἀρχιστράτηγός ἐστι τῆς δυνάμεως Κυρίου, ῥίψας τὰ ὅπλα, ἔπεσεν εἰς τοὺς πόδας αὐτοῦ. Πολεμῶν δὲ τοῖς Ἀλλοφύλοις, καὶ τοῦ Ἡλίου μέλλοντος δύνειν, ἔχων προθυμίαν εἰς τὸν πόλεμον, ηὔξατο πρὸς τὸν Θεὸν, καὶ εἶπε· Στήτω ὁ Ἥλιος. καὶ εὐθέως ἔστησε τὸν Ἥλιον τοῦ δρόμου αὐτοῦ τοῦ μὴ δύνειν, ἕως ἔτρεψε τοὺς Ἀλλοφύλους κατὰ κράτος. Στρατηγήσας δὲ τοῦ Λαοῦ, καὶ διαγαγὼν αὐτοὺς ἐκ τῆς ἐρήμου, καὶ διαμερίσας αὐτοῖς τὴν Γῆν τῆς Ἐπαγγελίας, ἥτις ἐστὶ τὰ Ἱεροσόλυμα, καὶ κρίνας τὸν Λαὸν τῆς Ἱερουσαλὴμ ἔτη εἰκοσιεπτὰ, καὶ φοβερὸς τοῖς πολεμίοις γενόμενος, καὶ ἐν πολλοῖς πολέμοις τὴν ἀνδρείαν αὐτοῦ καὶ ἀρετὴν ἐπιδειξάμενος, ἐτελεύτησε, καὶ ἐτάφη ἐντίμως παρὰ τοῦ οἰκείου Λαοῦ.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων τεσσαράκοντα Γυναικῶν, Μαρτύρων, Παρθένων, καὶ Ἀσκητριῶν, καὶ Ἀμμοῦν Διακόνου, καὶ Διδασκάλου αὐτῶν.

Δὶς τετραρίθμοις Παρθένοις πῦρ καὶ ξίφος,
Θεοῦ προεξένησαν Υἱὸν Νυμφίον.
Ἀμμοῦν καλύπτραν ἔμπυρον δεδεγμένος,
Τὸ σαρκικὸν κάλυμμα χαίρων ἐξέδυ.

Αὗται ἐγένοντο ἐξ Ἀδριανουπόλεως τῆς Μακεδονίας. καὶ Χριστιαναὶ οὖσαι, τῷ Χριστῷ ἠκολούθησαν, ἔχουσαι καὶ Διδάσκαλον τὸν Διάκονον Ἀμμοῦν. Κρατηθεῖσαι δὲ παρὰ Βάβδου τοῦ τῆς Ἀδριανουπόλεως ἄρχοντος, καὶ πολλὰ τιμωρηθεῖσαι τοῦ προσκυνῆσαι τὰ Εἴδωλα, ηὔξαντο πρὸς τὸν Θεὸν, καὶ ἐκρεμάσθη εἰς τὸν ἀέρα ὁ Ἱερεὺς τῶν Εἰδώλων, ἐπὶ πολλὰς ὥρας τιμωρηθεὶς. καὶ πεσὼν ἀπώλετο. Κρεμᾶται δὲ ὁ Ἅγιος Ἀμμοῦν, καὶ ξέεται τὰς πλευράς· εἶτα κασσίδα πεπυρωμένην δέχεται κατὰ τῆς κεφαλῆς. καὶ ταύτης ῥυσθεὶς, παρεπέμφθη μετὰ τῶν Ἁγίων Παρθένων ἀπὸ Βερόης εἰς Ἡράκλειαν τῆς Θρᾴκης, Λικινίῳ τῷ Τυράννῳ. Καὶ διὰ ἀποφάσεως τούτου, αἱ μὲν Δέκα εἰς πῦρ ἐνεβλήθησαν· αἱ δὲ Ὀκτὼ μετὰ τοῦ Διδασκάλου αὐτῶν ἀπεκεφαλίσθησαν. καὶ ἕτεραι Δέκα ξίφος κατὰ στόμα καὶ καρδίαν δεξάμεναι ἐτελειώθησαν. Καὶ ἐξ ὑπὸ μαχαιρῶν κατεκόπησαν, καὶ αἱ λοιπαὶ ἐξ σίδηρα πεπυρακτωμένα κατὰ στόμα λαβοῦσαι, πρὸς Κύριον ἐξεδήμησαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Τῶν Ἁγίων Μαρτύρων καὶ Αὐταδέλφων, Εὐόδου, Καλλίστης, καὶ Ἑρμογένους.

Κάλλιστον ὄντως εὗρε Καλλίστη τέλος.
Σὺν τοῖς καλοῖς τμηθεῖσα διττοῖς συγγόνοις.

Οὗτοι οἱ Ἅγιοι Μάρτυρες, αὐτάδελφοι ὄντες, ὡς ἀπὸ μιᾶς γαστρὸς γεννηθέντες, διὰ τῆς θείας Κολυμβήθρας πνευματικῶς ἀνεγεννήθησαν, κατὰ τοὺς καιροὺς τοῦ κηρύγματος. Ἐπεὶ δὲ ὡς Χριστιανοὶ τῷ Ἄρχοντι διεβλήθησαν, καὶ διεγνώσθη τὸ εὐγενὲς τῆς τούτων ψυχῆς παράσημα, καὶ ἀκατάπληκτον φρόνημα, τὸν διὰ ξίφους θάνατον κατ᾽ αὐτῶν ἀπεφήνατο· καὶ τὸν τοῦ Μαρτυρίου δρόμον οὕτω τελέσαντες, πρὸς Κύριον ἐξεδήμησαν.

Ταῖς αὐτῶν πρεσβείαις ὁ Θεὸς, ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν· ἀλλ᾽ ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ. „

Ἐρχόμενοι τοῦ Ἔτους, καὶ τῶν ὕμνων, ἀπαρχὴν ποιούμεθα, τῷ βασιλεύοντι Χριστῷ, βασιλείαν τὴν ἀπέραντον, ὁ ὀρθόδοξος λαὸς εὐσεβῶς μέλποντες· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὁ ὢν πρὸ τῶν αἰώνων, ἐπ᾽ αἰῶνά τε, καὶ ἔτι Κύριος, τοῖς ἀναμέλπουσι Χριστὲ, ἡ πηγὴ τῆς ἀγαθότητος, τῶν χρηστῶν σου δωρεῶν τὸ ἔτος πλήρωσον. ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Οἱ δοῦλοι τῷ Δεσπότῃ εἰς πρεσβείαν, τὴν Ἁγνήν Μητέρα σου σοὶ προβαλλόμεθα,

Χριστέ, ἀπὸ πάσης περιστάσεως, τὸν λαόν σου ἀγαθὲ ῥυσθῆναι ψάλλοντα· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Ὁ διασώσας ἐν πυρί.

ΩΣ ἀκατάπληκτον τὸ σὸν, φρόνημα Ἀμμιανὲ Θεοφόρε. καὶ γὰρ ἐξάρχων τοῦ χοροῦ, τῶν Παρθενῶν βασάνους οὐκ ἐπτήξας, σὺν αὐταῖς τελειούμενος, ὡς Διάκονος καὶ Μύστης τῆς θείας δόξης.

ΝΥμφαγωγὸς οἷα σοφὸς, λόγοις ὑπαλείφας ἀνδρείας, πρὸς τὸν Νυμφίον ἀφορᾶν, καὶ σαρκὸς καρτερεῖν τὰ ἐπίπονα, κραυγαζούσας τὰς Μάρτυρας· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

ΜΗ ἀποκάμωμεν ἰδοὺ, ἠνέῳκται τὸ στάδιον Κόραι· στῶμεν ἀνδρείως, ὁ Χριστὸς, τοὺς στεφάνους προτείνει· τοῦ σώματος, ἑαυτῶν μὴ φεισώμεθα, ἀνεβόων αἱ γενναῖαι ἐν τῷ σταδίῳ.

Θεοτοκίον.

ΕΥλογημένος ὁ Καρπὸς, τῆς εὐλογημένης γαστρός σου· ὃν εὐλογοῦσιν Οὐρανῶν, αἱ Δυνάμεις βροτῶν τε συστήματα, ὡς ἡμᾶς λυτρωσάμενον, τῆς κατάρας τῆς ἀρχαίας εὐλογημένη.

Ἄλλος. Παῖδες Θεοσεβεῖς.

ἜΛυσας μὲν αὐχμὸν ἀπορουμένοις, καὶ πύλας αὐτοῖς ὑετοῦ ἠνέῳξας, καὶ τὴν γῆν κλονουμένην εὐτάκτως ἔστησας, καὶ λαοὺς κραυγάζειν ἐδίδαξας· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

ΩΣ μέγιστος Φωστὴρ τῆς Ἐκκλησίας, πολύφωτός τε Συμεὼν ἥλιος, πανταχοῦ τὰς ἀκτῖνας ἐκπέμπων ἐφώτιζες, καὶ λαοὺς κραυγάζειν ἐδίδασκες· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

ΝΑματα πανταχόθεν συῤῥέοντα, θεραπῶν Χριστοῦ ἀνθρώπων πέλαγος, ἐν τῇ μάνδρᾳ τῆς σῆς συνεκρότει ἀσκήσεως, ὑπὸ σοῦ βοᾶν παιδευόμενοι· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

ΠΑλαι μὲν τοῦ Πρεσβύτου ταῖς ἀγκάλαις, πλαξὶ δὲ τῆς σῆς καρδίας Ὅσιε, ἀοράτῳ δυνάμει, Χριστὸς ἀνεπαύσατο, Συμεών. διὸ ἀνεκραύγαζες· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

ἜΠρεπε τῷ ἀσπόρως σαρκωμένῳ, ἐκ σοῦ προελθόντι Παρθένε ἄχραντε· σὺ γὰρ ἔφυσας τὸν πάντων Ἁγνὴ ἀνυπέρβλητον· ᾧ βοῶντες, ὕμνοις κραυγάζομεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Καταβασία.

ἜΚνοον πρόσταγμα τυράννου, δυσσεβοῦς, λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς· ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον. ἀλλ' ἀντηχοῦντι δροσοβόλῳ Πνεύματι, πυρὶ συνόντες ἔψαλλον· ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ὁ Εἱρμός.

ΤΟν τοὺς ὑμνολόγους ἐν καμίνῳ, διαφυλάξαντα Παῖδας, καὶ τὴν βροντῶσαν κάμινον μεταβαλόντα εἰς δρόσον, Χριστὸν τὸν Θεὸν ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

ΩΣ ἀρχηγῷ τῆς σωτηρίας Χριστέ, ἀπαρχήν σοι προσφέρει τὴν ἐνιαύσιον, ἡ σεπτὴ Ἐκκλησία κραυγάζουσα. Ἱερεῖς ὑμνεῖτε, καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

ΤΟν ἐκ μὴ ὄντων τὰ πάντα σοφῶς δημιουργήσαντα Κτίσιν, καὶ διεξάγοντα τῶν καιρῶν τὰς ἑλίξεις βουλήματι, ὡς Θεὸν ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΤΩ διεξάγοντι τὰ πάντα Θεῷ, καὶ καιροὺς ἀλλοιοῦντι, πρὸς τὴν πολύτροπον, τῶν ἀνθρώπων κυβέρνησιν κράξωμεν. σὲ Θεὲ ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

ΤΗν Θεομήτορα Παρθένον Ἁγνὴν, ἐν ἐτῶν περιόδοις τε καὶ ἑλίξεσιν, ὀρθοδόξως βροτῶν τὰ συστήματα, Πανάγνε ὑμνοῦμεν, σὲ ὡς Θεοτόκον, καὶ πάντων σωτηρίαν.

Ἄλλος. Παῖδας εὐαγεῖς.

ΛΑμπρὰς ἑαυτὰς ὡς ἐξ αἱμάτων, χιτῶνας μαρτυρικῶς περιεβάλετε, συναπεκδυσάμεναι, ὄντως τὸν φθαρόμενον, ταῖς ἁμαρτίαις ἄνθρωπον, καὶ ἀναμέλπουσαι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΠΑυσία φωτὸς φωτοχυσίαις, Ἡλίου τοῦ νοητοῦ θείας λαμπρότητι, Μάρτυρες λαμπόμεναι, νύκτα παρεδράμετε, τῆς ἀθείας ψάλλουσαι ἐν ὁμονοίᾳ ψυχῆς· τὸν Κύ-

ειον ὑμνᾶτε τὰ ἔργα, καὶ ὑπερυψᾶτε εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ἄρνες ὡς ἄσπιλοι ἀμνάδες, ὡς θεῖαι περιστεραὶ, ὡς ἐθελόθυτα, θύματα προσήχθητε, Μάρτυρες τῷ κτίσαντι, καὶ ὡς θυσίαι ἄμωμοι συμφώνως ψάλλουσαι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα.

Ῥοσάξε τυράννων παρανόμων, τὸν ἄδικον θάνατον ὑπέστητε· μέλη συγκοπτόμεναι, ῥάβδοις συντριβόμεναι, ἀνηλεῶς τυπτόμεναι, ξίφει τεμνόμεναι. διὸ τῆς ἀθανάτου κληροῦσθε, ἐν ἀγαλλιάσει πλουσίας ἀντιδόσεις. Θεοτοκίον.

Ὀπίσω σου ἔδραμον γυναῖκες, τῶν μύρων τῶν ἡδυπνόων ἐπαισθόμεναι, Πανάγνε Θεόνυμφε, μόνη ἀπειρόγαμε, τοῦ ἐκ γαστρός σου λάμψαντος μονογενοῦς σου Υἱοῦ· καὶ σοὶ συμβασιλεύουσιν ὄντως, ἀνυμνολογοῦσαι, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἄλλος. Τὸν ἐν ὄρει ἁγίῳ.

Ὑπὸ πάσης χωρήσας προσπαθείας, καὶ μητρῴας ἀσθενείας οἰκτείρας, ὥσπερ ζῶσιν ὤφθης μετὰ θάνατον· Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, βοῶν εἰς τοὺς αἰῶνας.

Ἑστίαν συσφίγξας παρεθεῖσαν, καὶ τὴν κλίνην τὸν φύλαρχον προστάττεις, ἐπὶ τῶν ὤμων φέρειν ἱερώτατε, Κύριον ὑμνοῦντα, καὶ ὑπερυψοῦντα, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ λαμπρύνας, Ἰωβ διὰ τοῦ πάθους, ἡλκωμένης σαρκός σου τὴν σηπεδόνα, εἰς μαργαρίτην ἔτρεψε πολύτιμον, σὲ Χριστοῦ θεράπον, Συμεὼν δοξάζων, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ ἠσαρχοῦντα ἀλάστορα ὡς πάλαι, ἐπὶ ξύλου λῃστὴν προσεκαλέσω, ταῖς Συμεὼν ὦ Δέσποτα ἐντεύξεσιν. ὅθεν σε ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Τὴν Ἀγγέλου, τὸ χαῖρε δεξαμένην, καὶ τεκοῦσαν τὸν Κύριον τῆς δόξης, καὶ τὸ φῶς τῷ Κόσμῳ ἀνατείλασαν· πάντες σε ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν Παρθένε Θεοτόκε.

Καταβασία.

Εὐλογεῖτε Παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεὸν ὑμνεῖτε, τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μετατοιήσαντα, καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Τύπον τῆς Ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος ἔδειξεν ἄφλεκτος· καὶ νῦν καθ' ἡμῶν τὸν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον· ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν.

Ὄντως τοῦ Θεοῦ καὶ δύναμις, ἡ ἀληθὴς Σοφία καὶ ἐνυπόστατος, ἡ συνέχουσα καὶ κυβερνῶσα τὰ σύμπαντα σοφῶς, καὶ τὴν νῦν ἐπισαυτὰ τοῖς δούλοις σου, καιρὸν ἐν καταστάσει, γαληνιαίᾳ διεξάγαγε.

Αἰνεῖτωσάν σε τὰ ἔργα Κύριε, οἱ Οὐρανοὶ ἡ γῆ, τὸ φῶς καὶ ἡ θάλασσα, ὕδατα καὶ πᾶσαι πηγαὶ, καὶ ὁ Ἥλιος, ἡ Σελήνη, τὸ σκότος, τὰ ἄστρα, τὸ πῦρ καὶ τὸ φῶς, ἄνθρωποί τε καὶ κτήνη, σὺν τοῖς Ἀγγέλοις εὐφημοῦσί σε.

Κοινὴ πρὸ αἰώνων πέφυκας, ὡς ποιητὶς αἰώνων καὶ βασιλεύουσα, τρισυπόστατε μία Θεότης ἀμέριστε, ταῖς λιταῖς τῆς Ἁγνῆς Θεομήτορος, τὸ ἔτος κυοφόρον, τῇ κληρουχίᾳ σου ἀνάδειξον. Θεοτοκίον.

Ὥσπερ τοῦ παντὸς καὶ πρύτανις, δημιουργὲ καὶ παντοκράτορ τῆς κτίσεως, ταῖς δεήσεσι τῆς ἀλοχεύτως τεκούσης σε, τὴν εἰρήνην τῷ Κόσμῳ σου δώρησαι, τηρῶν τὴν Ἐκκλησίαν, ἀκαταπαύστως ἀστασίαστον.

Ἄλλος. Εὖα μὲν τῷ τῆς παρακοῆς.

Νάουσιν ἰάσεως κρουνοὺς τοῖς χρήζουσιν, ὡς ἐκ κρήνης αἱ πανόλβιοι, παύουσι λύμην νοσημάτων, παθῶν ἀποδιώκουσι καύσωνα, καρδίας τῶν φιλοθέων ἀρδεύουσι, πρὸς εὐκαρπίαν θείων πράξεων.

Ὁ θεῖος Διάκονος Ἀμμοῦν, Κελσῖνα τε, καὶ πρὸς τούτοις τεσσαράκοντα, θεῖαι θεόφρονες γυναῖκες, ἀθλήσασαι νομίμως ἐστέφθησαν. καὶ νῦν μετὰ Ἀγγέλων χορεύουσιν· ἃς καταχρέως μακαρίζομεν.

Ὑψώθητε κράτος κατ' ἐχθρῶν, ἀράμεναι καὶ Ἀγγέλοις ὡμοιώθητε, ξύλου τρυφᾶτε ἀκωλύτως, ζωῆς ἐν Παραδείσῳ Θεόνυμφοι· πηγὴν νῦν τῶν καλῶν καταλήψατε, ὑπὲρ τοῦ Κόσμου ἱκετεύουσαι. Θεοτοκίον.

Σοφίας χωρίον ὑπὲρ νοῦν, τῆς κρείττονος ἀνεδείχθης Κόρη ἄμωμε, ἔμψυχος

θρό-

θρόνος τε καὶ πύλη. διὸ ὡς βασιλίδα ἠγάπησαν, παρθένοι σε Παρθένε ὀπίσω σου, ἀπενεχθῆσαι τῆς θεόπαιδος.

Ἄλλος. Τὸν προδηλωθέντα.

Βεβασιλευκότα παθῶν διὰ καρτερίας, ὁ Χριστὸς προσήκατο, Συμεὼν Θεοφόρε, τῆς αὐτοῦ κοινωνὸν κληρουχίας. ὅθεν σε ὕμνοις μεγαλύνομεν.

Τ'Αματικῆς χάριτος κατηξιωμένος, ἐξ ἀΰλων τοῦ Πνεύματος θησαυρῶν Θεοφόρε, Συμεὼν τὰς ἰάσεις βραβεύεις, τοῖς πανηγυρίζουσι τὴν μνήμην σου.

Ἐ'Πιβεβηκὼς ὅσιε τῆς οὐρανοδρόμου ἀρετῆς, καὶ αἰθέριον ἆθλον ἐνδεδαγμένος· καὶ πρὸς σκηνὰς ἀναπτὰς οὐρανίους· πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Βάτος καιομένη πυρί, καὶ μὴ φλεγομένη, ἀνεδέχθης ὦ Παρθένε· συλλαβοῦσα ἀσπόρως, τὸν Θεὸν καὶ Σωτῆρα τοῦ Κόσμου· ὃν ἀκαταπαύστως μεγαλύνομεν.

Καταβασία. Μυστικὸς εἶ Θεοτόκε.

Ὁ διὰ βρώσεως τοῦ ξύλου.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Φωστῆρος δίκην Ὅσιε, ὁ φωσφόρος σου βίος, ἀστράψας κατεφώτισε, τὴν ὑφήλιον πᾶσαν, ταῖς τῶν θαυμάτων ἀκτῖσι. διὰ στύλου γὰρ Πάτερ, ἀνῆλθες ὡς ἐν κλίμακι, πρὸς Θεόν, ἔνθα πάντων τῶν ὀρεκτῶν, Συμεὼν τὸ ἔσχατον ὄντως τέλος, ὑπὲρ ἡμῶν δεόμενος, τῶν τιμώντων σε μάκαρ.

Θεοτοκίον. Ὅμοιον.

Δημιουργὸς καὶ πρύτανις, πάσης κτίσεως πέλων, καιρούς, καὶ χρόνους θέμενος, ἐν τῇ σῇ ἐξουσίᾳ, τὸν ἐνιαύσιον κύκλον, εὐλογίαις Οἰκτίρμων, χρηστότητος στεφάνωσον. ἐν εἰρήνῃ φυλάττων, σοῦ τὸν λαόν, ἀβλαβῆ ἀτήμαντον δυσωποῦμεν, πρεσβείαις τῆς Τεκούσης σε, καὶ τῶν θείων Ἀγγέλων.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχ. ἰδιόμ. τῆς Ἰνδίκτου, ἦχος γ΄.

Ἰωάννου Μοναχοῦ.

Προαιώνιε Λόγε τοῦ Πατρός, ὁ ἐν μορφῇ Θεοῦ ὑπάρχων, καὶ συστησάμενος τὴν κτίσιν, ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι. ὁ καιροὺς καὶ χρόνους, ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ θέμενος, εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου. δωρούμενος εἰρήνην ταῖς Ἐκκλησίαις σου, νίκας τῷ πιστοτάτῳ βασιλεῖ, εὐφορίαν τε τῇ γῇ, καὶ ἡμῖν τὸ μέγα ἔλεος.

Τοῦ αὐτοῦ, ἦχος δ΄.

Ἡ Βασιλεία σου Χριστὲ ὁ Θεός, βασιλεία πάντων τῶν αἰώνων· καὶ ἡ δεσποτεία σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. πάντα γὰρ ἐν σοφίᾳ ἐποίησας, καιροὺς ἡμῖν καὶ χρόνους προθέμενος. διὸ εὐχαριστοῦντες κατὰ πάντα, καὶ διὰ πάντα βοῶμεν· εὐλόγησον τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου. καὶ καταξίωσον ἡμᾶς, ἀκατακρίτως βοᾷν σοι, Κύριε δόξα σοι.

Ὁ αὐτός. Ἀνδρέου Πυροῦ.

Τί τὰ ὡραῖά σου ὁ Θεός, αἱ ὡραῖαί σου μεγάλαι καὶ θαυμασταί· διὸ τῆς οἰκονομίας σου, τὴν δυναστείαν μεγαλύνομεν· ὅτι φῶς ἐκ φωτός, ἐπεδήμησας εἰς παλαίπωρον Κόσμον σου. καὶ τὴν πρώτην ἀνῆλες ἀράν, τοῦ παλαιοῦ Ἀδὰμ ὡς εὐδόκησας Λόγε. καὶ ἡμῖν ἐν σοφίᾳ, καιροὺς καὶ χρόνους ὑπέθου, τοῦ δοξάζειν τὴν παντουργικήν σου ἀγαθότητα, Κύριε δόξα σοι.

Τῶν Ἁγίων Γυναικῶν, ἦχος β΄.

Γερμανοῦ.

Ὅτε τῷ πάθει σου Κύριε, τὴν Οἰκουμένην ἐστερέωσας. τότε καὶ οἱ ἀσθενοῦντες, περιεζώσαντο δύναμιν. γυναῖκες ἠνδρίσαντο, κατὰ τοῦ πικροτάτου Τυράννου· καὶ τὴν ἧτταν τοῦ Πατρὸς ἀνακαλεσάμεναι, πάλιν ἐν τῇ τρυφῇ τοῦ Παραδείσου γεγόνασιν. εἰς δόξαν σοῦ τοῦ γεννηθέντος ἐκ Γυναικός, καὶ σώσαντος τὸ γένος τῶν ἀνθρώπων.

Δόξα, τοῦ Ὁσίου, ἦχος β΄.

Ἐ'Κ ῥίζης ἀγαθῆς, ἀγαθὸς ἐβλάστησε καρπός, ὁ ἐκ βρέφους ἱερὸς Συμεών. χάριτι μᾶλλον, ἢ γάλακτι τραφείς. καὶ ἐπὶ πέτραν τὸ σῶμα ὑψώσας, πρὸς Θεὸν δὲ ὑπερυψώσας τὴν διάνοιαν, αἰθέριον διεδομήσατο ταῖς ἀρεταῖς ἐνδιαίτημα. καὶ ταῖς θείαις δυνάμεσι, συμμετεωροπορῶν, Χριστοῦ γέγονεν οἰκητήριον, τοῦ Θεοῦ καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, ἦχος τῆς Ἰνδίκτου.

Ὁ Ἀρρήτῳ σοφίᾳ, συστησάμενος τὰ σύμπαντα, Λόγε Χριστὲ ὁ Θεός. ὁ καιροὺς καὶ χρόνους ἡμῖν προθέμενος, τὰ ἔργα τῶν

χαρῶν σου ἀλόγιστον. τὸν δὲ πιστὸν Βασιλέα, ἐν τῇ δυνάμει σου εὔφρανον. διδοὺς αὐτῷ κατὰ βαρβάρων τὴν ἰσχύν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Εἰς δὲ τὴν Λειτουργίαν, τὰ Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἰνδίκτου, ᾠδὴ γ´. καὶ τοῦ Ἁγίου, ᾠδὴ ς´.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος γ´.

Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

Αἰνεῖτε τὸν Κύριον ὅτι ἀγαθός.

Ὁ Ἀπόστολος, Πρὸς Τιμόθεον α´.

Κεφ. β´. 1. Τέκνον Τιμόθεε, παρακαλῶ πρῶτον πάντων, ποιεῖσθαι δεήσεις, προσευχάς, ἐντεύξεις, εὐχαριστίας ὑπὲρ πάντων ἀνθρώπων· Ὑπὲρ Βασιλέων, καὶ πάντων τῶν ἐν ὑπεροχῇ ὄντων. ἵνα ἤρεμον καὶ ἡσύχιον βίον διάγωμεν ἐν πάσῃ εὐσεβείᾳ καὶ σεμνότητι. Τοῦτο γὰρ καλὸν καὶ ἀπόδεκτον ἐνώπιον τοῦ Σωτῆρος ἡμῶν Θεοῦ· Ὃς πάντας ἀνθρώπους θέλει σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Εἷς γὰρ Θεός, εἷς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς· Ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων, τὸ μαρτύριον καιροῖς ἰδίοις. Εἰς ὃ ἐτέθην ἐγὼ Κήρυξ καὶ Ἀπόστολος, (ἀλήθειαν λέγω ἐν Χριστῷ, οὐ ψεύδομαι) διδάσκαλος ἐθνῶν ἐν πίστει καὶ ἀληθείᾳ.

Καὶ τοῦ Ἁγίου. Ζήτει εἰς Ὅσιον.

Ἀλληλούϊα, ἦχος δ´.

Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιών.

Εὐλογήσας τὸν στέφανον τοῦ ἐνιαυτοῦ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. δ´. 16. Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν Ναζαρέτ, οὗ ἦν τεθραμμένος. Καὶ εἰσῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ, ἐν τῇ ἡμέρᾳ τῶν Σαββάτων, εἰς τὴν συναγωγήν. καὶ ἀνέστη ἀναγνῶναι. Καὶ ἐπεδόθη αὐτῷ βιβλίον Ἡσαΐου τοῦ Προφήτου. Καὶ ἀναπτύξας τὸ βιβλίον, εὗρε τὸν τόπον, οὗ ἦν γεγραμμένον· Πνεῦμα Κυρίου ἐπ᾽ ἐμέ, οὗ εἵνεκεν ἔχρισέ με. εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με· ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν· Κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν· ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει· κηρύξαι ἐνιαυτὸν Κυρίου δεκτόν. Καὶ πτύξας τὸ βιβλίον, ἀποδοὺς τῷ ὑπηρέτῃ, ἐκάθισε. καὶ πάντων ἐν τῇ συναγωγῇ οἱ ὀφθαλμοὶ ἦσαν ἀτενίζοντες αὐτῷ· Ἤρξατο δὲ λέγειν πρὸς αὐτούς· Ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν. καὶ πάντες ἐμαρτύρουν αὐτῷ, καὶ ἐθαύμαζον ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος αὐτοῦ.

Καὶ τοῦ Ἁγίου. Ζήτει εἰς Ὅσιον.

Κοινωνικόν. Εὐλογήσας τὸν Στέφανον τοῦ ἐνιαυτοῦ.

Καὶ τοῦ Ὁσίου.

Εἰς μνημόσυνον αἰώνιον.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ πρώτη τοῦ Σεπτεμβρίου Μηνὸς ἐν Κυριακῇ, προηγοῦνται τὰ ἀναστάσιμα τῆς Ὀκτωήχου, καὶ καταλιμπάνεται ἡ Ἀκολουθία τῶν Ἁγίων Γυναικῶν, καὶ ψάλλεται, ὅταν ὁ Ἐκκλησιάρχης βούληται.

Μηνὶ τῷ αὐτῷ β´.

Τοῦ Ἁγίου Μάρτυρος Μάμαντος. Καὶ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Νηστευτοῦ, Πατριάρχου Κωνσταντινουπόλεως. Ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα, καὶ εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ γ´.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀνθίμου, Ἐπισκόπου Νικομηδείας· Καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοκτίστου, συνασκητοῦ τοῦ μεγάλου Εὐθυμίου. Ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα, καὶ εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ δ´.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Βαβύλα, Ἐπισκόπου Ἀντιοχείας· Καὶ τοῦ Ἁγίου καὶ Θεόπτου Μωϋσέως τοῦ Προφήτου. Ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα, καὶ εἰς Προφήτην.

Μηνὶ τῷ αὐτῷ ε´.

Τοῦ Ἁγίου Προφήτου Ζαχαρίου, τοῦ Πατρὸς τοῦ Προδρόμου. Ζήτει τὴν Ἀκολουθίαν εἰς Προφήτην.

Μηνὶ τῷ αὐτῷ ς´.

Ἡ Ἀνάμνησις τοῦ γεγονότος θαύματος ἐν Κολασσαῖς, ἤτοι ἐν Χώναις, παρὰ τοῦ Ἀρχαγγέλου Μιχαήλ. Ζήτει τὴν Ἀκολουθίαν εἰς τὰς η´. τοῦ Νοεμβρίου Μηνός.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τῷ αὐτῷ Μηνὶ Ζ'.

Προεόρτια τῆς Γεννήσεως τῆς Ὑπεραγίας Θεοτόκου· καὶ τοῦ Ἁγίου Μάρτυρος Σώζοντος.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς Θεοτόκου γ'. καὶ τοῦ Ἁγίου γ'. Ἦχος α'.

Τῶν Οὐρανίων ταγμάτων.

Τῆς παγκοσμίου τῷ Κόσμῳ, χαρᾶς ἀνέτειλαν, αἱ νοηταὶ ἀκτῖνες προμηνύουσαι πᾶσι, τὸν Ἥλιον τῆς δόξης, Χριστὸν τὸν Θεόν, ἐν τῇ γεννήσει σου Ἄχραντε. σὺ γὰρ μεσῖτις ἐδείχθης τῆς ἀληθοῦς, εὐφροσύνης τε καὶ χάριτος.

Ἡ Προεόρτιος αὕτη δόξα σου Ἄχραντε, προκαταγγέλλει πᾶσι, τὰς τῆς σῆς ὑπὲρ λόγον, λαοῖς εὐεργεσίας· σὺ γὰρ τῆς νῦν, εὐφροσύνης ἡ πρόξενος, καὶ τῆς μελλούσης αἰτία χαρᾶς ἡμῖν, Θεοτόκε Ἀειπάρθενε.

Ἡ Θεοχώρητος Κόρη καὶ Θεοτόκος ἁγνή, τῶν Προφητῶν τὸ κλέος, τοῦ Δαβὶδ ἡ θυγάτηρ, σήμερον γεννᾶται ἐξ Ἰωακείμ, καὶ τῆς Ἄννης τῆς σώφρονος, καὶ τοῦ Ἀδὰμ τὴν κατάραν τὴν εἰς ἡμᾶς, ἀνακαλεῖται ἐν τῷ τόκῳ αὐτῆς.

Καὶ τοῦ Ἁγίου γ'. Ζήτει εἰς Μάρτυρα.

Δόξα, καὶ νῦν, Ἦχος δ'.

Τὴν πανσεπτόν σου Γέννησιν, Παναγία Παρθένε ἁγνή, τῶν Ἀγγέλων τὰ πλήθη ἐν Οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος ἐπὶ τῆς γῆς μακαρίζομεν. ὅτι Μήτηρ γέγονας, τοῦ Ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ. αὐτὸν ἱκετεύουσα, ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμεθα, τῶν εἰς σὲ μετὰ Θεὸν τὰς ἐλπίδας θεμένων, Θεοτόκε πανύμνητε, καὶ ἀπειρόγαμε.

Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια, Ἦχος πλ. δ'.

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, ὡς ἐξ ἀγόνου μητρός, καὶ ἀκάρπου στειρώσεως, ῥάβδος ἄνθος φέρουσα, ἀναφύεται σήμερον, ἡ Θεομήτωρ καὶ ἀπειρόγαμος, ἐκ τῶν δικαίων Ἰωακεὶμ καὶ Ἄννης. ὅθεν καὶ χαίρει νῦν, Προφητῶν τὸ σύστημα, Πατριαρχῶν, πᾶσα ἡ ὁμήγυρις, ἐν τῇ γεννήσει αὐτῆς.

Στίχ. Ἄκουσον Θύγατερ, καὶ ἴδε.

Σήμερον Δαβὶδ ἀγάλλεται, καὶ Ἰεσσαὶ νῦν σκιρτᾷ, καὶ Λευῒ μεγαλύνεται, καὶ χαίρει τῷ πνεύματι, Ἰωακεὶμ ὁ δίκαιος, καὶ ἀτεκνία τῆς Ἄννης λύεται, τῇ σῇ γεννήσει Μαρία Ἄχραντε, Θεοχαρίτωτε. καὶ Ἀγγέλων σύστημα σὺν τοῖς βροτοῖς, ἅμα νῦν γεραίρουσι, τὰ σὰ γενέθλια.

Στίχ. Τὸ πρόσωπόν σου.

Χαῖρε τῶν βροτῶν τὸ σύστημα, χαῖρε Κυρίου ναέ. Χαῖρε ὄρος τὸ ἅγιον. χαῖρε θεία τράπεζα, χαῖρε λύχνε ὁλόφωτε. χαῖρε τὸ κλέος τῶν ὀρθοδόξων σεμνή. χαῖρε Μαρία Μήτηρ Χριστοῦ τοῦ Θεοῦ. χαῖρε παναμώμητε. χαῖρε θρόνε πύρινε. χαῖρε σκηνή. χαῖρε βάτε ἄφλεκτε. χαῖρε ἡ πάντων ἐλπίς.

Δόξα, καὶ νῦν, Ἦχος δ'. Γερμανοῦ.

Ἡ Παγκόσμιος χαρά, ἐκ τῶν δικαίων ἀνέτειλεν ἡμῖν, ἐξ Ἰωακείμ, καὶ τῆς Ἄννης, ἡ πανύμνητος Παρθένος. ἥτις δι' ὑπερβολὴν καθαρότητος, ναὸς Θεοῦ ἔμψυχος γίνεται, καὶ μόνη κατὰ ἀλήθειαν Θεοτόκος γνωρίζεται. αὐτῆς ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεός, τῷ Κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον, Ἦχος δ'.

Ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἐξ ὀσφύος τοῦ Δαβίδ, ἡ Θεόπαις Μαριάμ, τίκτεται σήμερον ἡμῖν. διὸ καὶ χαίρει ἡ σύμπασα, καὶ καινουργεῖται. συγχάρητε ὁμοῦ, ὁ Οὐρανός, καὶ ἡ γῆ. Αἰνέσατε αὐτὴν αἱ πατριαὶ τῶν ἐθνῶν. Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα. ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Εἰς τὸν Ὄρθρον ἡ συνήθης στιχολογία.

Εἰς δὲ τὴν α'. στιχολογίαν, Κάθισμα, Ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

Τεχθεῖσα παραδόξως στειρωτικῶν ἐξ ὠδίνων, παρθενικῶν ἐκ λαγόνων, ἐκύησας ὑπὲρ φύσιν. ὡραῖος φανεῖσα γὰρ βλαστός, ἐξήνθησας τῷ Κόσμῳ τὴν ζωήν. διὰ τοῦτο αἱ δυνάμεις τῶν Οὐρανῶν βοῶσί σοι Θεοτόκε· δόξα τῇ προόδῳ σου σεμνή· δόξα τῇ κυήσει σου· δόξα τῇ παρθενίᾳ σου, μόνη πανάχραντε. Δίς.

Εἰς τὴν β'. στιχολογίαν, Κάθισμα, Ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Τὰ οὐράνια πάντα νῦν ἐπαγάλλονται. τῶν ἀνθρώπων τὸ γένος συνεορτάζει αὐτοῖς. καὶ οἱ Προφῆται μυστικῶς συνευφραίνονται. ἣν γὰρ προεῖδον τυπικῶς, ἐν ταῖς ἀρχαίαις γενεαῖς, βάτον, καὶ στάμνον, καὶ ῥάβδον, νεφέλην, πύλην καὶ θρόνον, καὶ μέγα ὄρος, γεννᾶται σήμερον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ Κανὼν τῆς Ὀκτωήχου, καὶ ὁ προεόρτιος τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου. τῆς Θεοτόκου, οὗ ἡ ἀκροστ.

Γέννησιν ὑμνῶ τῆς Θεόπαιδος Κόρης. Ἰωσήφ. Ὠδὴ α΄. ἦχος δ΄.

Ἀνοίξω τὸ στόμα μου.

Τηθόμενοι σήμερον, μετ᾽ εὐφροσύνης ὑμνήσωμεν, τὸ θεῖον γενέθλιον τῆς Θεομήτορος. καὶ γὰρ τέτοκε, χαρὰν τῇ Οἰκουμένῃ, λύπην τῆς Προμήτορος ἐξαφανίζουσαν.

Ἐκ στείρας προέρχεται, τῆς ἁμαρτίας ἡ στείρωσις· ἣν Νόμος προέγραψε, καὶ τὰ κηρύγματα, προεδήλωσαν τῶν θείων Θηγόρων, ἡ πάναγνος Δέσποινα, καὶ παναμώμητος.

Ναὸς καὶ παλάτιον, τοῦ Βασιλέως γεγέννησαι· ἐν ᾧ τὴν κατοίκησιν αὐτοῦ ποιούμενος, οἰκητήριον τῆς ἁγίας Τριάδος, πιστοὺς ἀπεργάζεται ὁ Ὑπερούσιος.

Θεοτοκίον.

Νυμφὼν ὡραιότατος, θρόνος Θεοῦ ὑψηλότατος, ἐδείχθης Θεόνυμφε, ἐν ᾧ καθίσας σαρκί, τοὺς καθημένους ἐν σκότει ἀπωλείας, ἐγείρει πρὸς γνώσεως φῶς ἀγαθότητι.

Καὶ τοῦ Ἁγίου. Ζήτει εἰς Μάρτυρας.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

„ Ὅτι στεῖρα ἔτεκεν ἡ ἐξ Ἐθνῶν Ἐκκλησία,
„ καὶ ἡ πολλὴ ἐν τέκνοις ἠσθένησε συναγωγή· τῷ θαυμαστῷ Θεῷ ἡμῶν βοήσωμεν,
„ Ἅγιος εἶ Κύριε.

Ἡ γῆ ἡ κατάκαρπος ἐκ γῆς ἀκάρπου γεννᾶται· ἥτις καρπογονήσει τὸν γεωργὸν τῶν ἀγαθῶν, καὶ ζωηφόρον ἄσταχυν, τὸν τρέφοντα πάντα θείῳ νεύματι.

Σήμερον ἐβλάστησε τῆς Παρθενίας ἡ ῥάβδος· ἐξ ἧς ἀνθήσει ἄνθος ὁ φυτουργὸς ἡμῶν Θεός, τὰ πονηρὰ βλαστήματα, ἀποτέμνων ἄκρᾳ ἀγαθότητι.

Ἴδε τὸ ἀλάξευτον ὄρος ἐκ πέτρας ἀγόνου ἀποτεχθέν, τὸν λίθον καρπογονεῖ τὸν νοητόν· ὃς συντριβὴν ἐργάζεται, τῶν ξοάνων πάντων τοῦ ἀλάστορος.

Τόμου προχαράγματα, σὲ προεδήλωσαν Κόρη· τὸν Νομοδότην σὺ γάρ, νομίμων δίχα ἐν γαστρί, κυοφορήσεις τηροῦντα σέ, ὑπὲρ λόγον ἄφθορον ἀμίαντον.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

Ἀγαλλιάσθω Οὐρανός, γῆ εὐφραινέσθω. ὁ τοῦ Θεοῦ γὰρ Οὐρανός, ἐν γῇ ἐτέχθη, ἡ Θεόνυμφος αὕτη ἐξ ἐπαγγελίας. ἡ στεῖρα βρέφος θηλάζει τὴν Μαριάμ, καὶ χαίρει ἐπὶ τῷ τόκῳ Ἰωακείμ, ῥάβδος λέγων ἐτέχθη μοι, ἐξ ἧς τὸ ἄνθος Χριστός, ἐβλάστησεν ἐκ ῥίζης Δαβίδ. ὄντως θαῦμα παράδοξον. Δίς.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ὑπερτέρα τῶν Ἀγγέλων, ἐπὶ γῆς Κόρη τίκτεται, ἐν ἁγιωσύνῃ, ὅσα καὶ καθαρὰ ἀσύγκριτος, ἥτις τὴν κάθαρσιν πάντων Χριστὸν τέξεται, ἁγιότητι, καὶ παντελῆ ἀπολύτρωσιν.

Μακαρία ἡ κοιλία, ἡ τῆς Ἄννης γεγένηται. τὴν γὰρ ἐν κοιλίᾳ, μέλλουσαν χωρεῖν τὸν μακάριον, καὶ μὴ χωρούμενον Λόγον ἀπεγέννησεν, ἀναγέννησιν πᾶσι πιστοῖς παρεχόμενον.

Ὕπνος ὁ ζόφος τῆς κακίας, ἐκμαυροῦσθαι ἀπάρχεται. ἡ γὰρ τοῦ Ἡλίου, ἔμψυχος νεφέλη ἀνέτειλε, στειρωτικῶν ἐκ λαγόνων ἡ Παναμώμητος. ἧς τὴν γέννησιν, τὴν φωταυγῆ ἑορτάσωμεν.

Θεοτοκίον.

Ὡς κατάκαρπος ἐλαία, ἡ ἐκ ῥίζης βλαστήσασα, Ἰεσσαὶ Παρθένε, Ἄννα σε βλαστάνει βλαστάνουσαν, τὸν ἐλεήμονα Λόγον. οὗ τὸ ἔλεος, καὶ ἡ ἀλήθεια, διὰ παντὸς προπορεύεται.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Τὸ ἐσφραγισμένον νῦν, βιβλίον ἀποτίκτεται, ὅπερ ἀναγνώσεται ἀδόλως, φύσεως νόμῳ βροτοὺς τηρούμενον, Λόγου εἰς κατοίκησιν καθώς, βίβλοι προεδήλωσαν θηγόρων ἐν Πνεύματι.

Ἡ Ἄμπελος σήμερον, ἐτέχθη ἡ σωτήριος, ἥτις τὸν ἀκήρατον ἀνθήσει, βότρυν τὸν θεῖον γλεῦκος προχέοντα, ἐξ οὗ πᾶς ὁ πίνων μυστικῶς, θείαν καὶ σωτήριον, εὐφροσύνην καρπώσεται.

Σκιρτήσατε Ἄγγελοι, ἀνθρώποις συγχορεύοντες, σήμερον ἐκ στείρας ἡ Παρθένος, ἀποτεχθεῖσα τὴν λύπην ἔπαυσε, καὶ προοιμιάζεται χαράν, τοῖς πανηγυρίζουσι, τὴν αὐτῆς θείαν γέννησιν.

Θεῖος προδιέγραψε, Προφήτης προδηλότατα, τόμον σε καινὸν ἐν ᾧ δακτύλῳ, Λόγος πατρῷος Κόρη γραφήσεται, βίβλῳ καταγράφων τῆς ζωῆς, πάντας ἀγαθότητι, τοὺς αὐτῷ πειθαρχήσαντας.

Ὠδὴ ς΄. Τὴν θείαν ταύτην.

Ἐτέχθη σήμερον γέφυρα, μετάγουσα πρὸς φῶς τὸ ἀνθρώπινον· κλίμαξ οὐράνιος,

ὄρος Θεοῦ ἐμφανέστατον, ἡ Θεοτόκος Κόρη, ἣν μακαρίσωμεν.

Ὁ Κόχλος Ἄννα προήγαγε, πορφύραν τὴν τὸ ἔριον βάψασαν, τῆς σωματώσεως, τοῦ Βασιλέως εἰς ὕστερον. ἣν ἐπαξίως πάντες, ὑμνολογήσωμεν.

Ἡ Πηγὴ νῦν προελήλυθε, ῥανίδος ἐκ μικρᾶς ἡ πανάμωμος, ἥτις τὴν ἄβυσσον, τῆς σωτηρίας κυήσασα, πολυθείας παύει ἄπαρα ῥεύματα.

Ἀκάρπου ῥίζης ἐβλάστησας, καὶ πρόρριζον κακίας τὴν ἄκανθαν, τῷ ὑπὲρ φύσιν σου, θείῳ βλαστῷ ἐναπέτεμες, Θεογεννῆτορ Κόρη ἀειμακάριστε.

Κοντ. ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Ἡ Παρθένος σήμερον, καὶ Θεοτόκος Μαρία, ἡ παστὰς ἡ ἄληκτος τοῦ Οὐρανίου Νυμφίου, τίκτεται ἀπὸ τῆς στείρας θεοβουλήτως, ὄχημα τοῦ θείου Λόγου εὐτρεπισθῆναι. εἰς τοῦτο γὰρ καὶ προωρίσθη, ἡ θεία πύλη, καὶ Μήτηρ τῆς ὄντως ζωῆς. Ὁ Οἶκος.

Ἡ στειρεύουσα καρπὸς ἐδόθη ἡ Θεόπαις Μαρία, ἣν προεῖδον ποτὲ θεῖοι Προφῆται ἐν Πνεύματι. ταύτην ἡμᾶς σήμερον ὁρῶντες, ἐν τοῖς κόλποις τῆς Ἄννης σκιρτῶσαν, σὺν τῷ πιστῷ Ἰωακείμ, νοητῶς πρὸς ἑστίασιν συνέλθωμεν. καὶ τοὺς πόρρω καλέσωμεν λέγοντες· τοῦ Κόσμου νῦν ἡ ἀνάκλησις, ἐξ ἀκάρπου γαστρὸς ἀνεβλάστησεν, ἡ θεία πύλη, καὶ Μήτηρ τῆς ὄντως ζωῆς.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ἰωακείμ τε, καὶ Ἄννα μακαρίζονται, ἀποκυήσαντες, τὴν μακαρίαν σαφῶς, ἁγνὴν Θεομήτορα, τὴν τὸν μακάριον, Λόγον τέξασαν, τὸν μακαρίους ἅπαντας, τοὺς πιστοὺς ἀποτελοῦντα.

Δῶρον τίμιον, ἐκτήσαντό σε Πάναγνε, οἱ σοὶ Γεννήτορες, τὴν συλλαβοῦσαν Θεόν, τὸν καταπλουτίσαντα δωρεαῖς κρείττοσι, τοὺς κραυγάζοντας· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Οἱ μαστοί σου, ὑπὲρ οἶνον ἀγαθώτατοι, Ἄννα θεόκλητε· ὅτι μαστοῖς ἀγαθοῖς, τὴν τὸν ἀγαθώτατον Λόγον θηλάσασαν, σὺ ἐθήλασας, τὸν χορηγὸν τοῦ γάλακτος, καὶ πνοῆς τροφέα πάσης.

Σκίρτα χαῖρε, τὴν κινύραν σου, θεόπνευσε Δαβίδ, καὶ χόρευε. ἡ Κιβωτὸς γὰρ ἰδού, ἣν πάλαι προήγγειλας, ἐκ στειρώσης γαστρός, προελήλυθε· τῷ Βασιλεῖ τῆς Κτίσεως, καὶ Θεῷ τετηρημένη.

Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Κινήσωμεν γλῶτταν ὑμνῳδίας, τὸ θεῖον γενέθλιον γεραίροντες, τῆς τὸν ὑπερύμνητον, Λόγον καὶ ὑπέρθεον, σωματωσάσης Πνεύματι, καὶ ἀνακράξωμεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Οἱ θεῖοι σκιρτήσατε Προφῆται, τιμῶντες Παρθένου τὸ γενέθλιον. αὕτη γὰρ ἐπλήρωσε, πάντα τὰ κηρύγματα, τὸν ὑφ' ὑμῶν δηλούμενον ἀποκυήσασα, Χριστὸν τὸν τοῦ παντὸς Βασιλέα· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ῥήξατε τὰ ὄρη εὐφροσύνην, Ἀπόστολοι Μάρτυρες χορεύσατε. Ὅσιοι, καὶ Δίκαιοι, νῦν ἀγαλλιάσθητε, τῷ γενεθλίῳ σήμερον τῆς τοῦ Κυρίου Μητρός. καὶ Κύριον ὑμνεῖτε βοῶντες, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἤνθησε τὸ μῆλον τὸ εὐῶδες, τὸ ῥόδον τὸ θεῖον πεφανέρωται. καὶ κατευωδίασε, σήμερον τὰ πέρατα· καὶ τὸ δυσῶδες ἔπαυσε τῆς ἁμαρτίας ἡμῶν, ἡ πάναγνος, καὶ Μήτηρ τοῦ Λόγου· ἣν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Στειρεύουσα φύσις τῶν ἀνθρώπων, σεπτῶν χαρισμάτων θείου Πνεύματος, σήμερον εὐφράνθητι, στείρας τὴν Θεόπαιδα, ἀποτεχθεῖσαν βλέπουσα, καὶ ἀναβόησον· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἅπας γηγενής.

Ἴδε τοῦ Θεοῦ, ὁ τόπος ὁ ἅγιος προφανῶς δέδεκται. πόλις ἡ περίδοξος, τοῦ Βασιλέως ᾠκοδόμηται· ὁ φωταυγὴς Παράδεισος φαιδρῶς ἐξήνθησε. Παραδείσου πρόξενος ὑπάρχουσα, πρὸς Χριστόν τε ἀνθρώπων οἰκείωσις.

Ὤφθη ἡ λαμπάς, λυχνία τε σήμερον ἡ χρυσαυγίζουσα, φῶς τὸ προαιώνιον, ἐν ᾗ οἰκῆσαν, τοὺς νυκτὶ τῶν δεινῶν, καταφωτίσει, παύσατε τῆς ἀθείας ἀχλύν. καὶ ἡμέρας, πάντας ἀπεργάσεται, κοινωνοὺς ἀληθῶς διὰ πίστεως.

Σήμερον ἡ γῆ, χορεύει τὸν νέον γάρ, Οὐρανὸν ἔβλεψε, Θεοῦ τὸν τερπνότατον,

ἀποτεχθέντα, ἐν ᾧ οἰκήσας σαρκὶ, τῶν Οὐρανῶν ἐπέκεινα· ἀναβιβάσαι βροτοὺς, καὶ θεῶσαι, πάντως ἀγαθότητι· ὃν ὑμνοῦντες πιστῶς μεγαλύνομεν.

Ἡ Περικαλλὴς, δυὰς ἀνεβλάστησεν, Ἄννα, καὶ Ἰωακεὶμ, δάμαλιν τὴν ἄσπιλον· ἐξ ἧς ὁ μόσχος, ὁ σιτευτὸς προελθὼν, ὑπὲρ τοῦ Κόσμου τέθυται, αἴρων τὰ πταίσματα τῶν ἀνθρώπων, τὰς προσαγομένας τε, καταπαύων θυσίας τοῖς Δαίμοσι.

Φώτισον ἡμᾶς, τὸ φῶς ἡ κυήσασα, τοὺς τὴν φωσφόρον σου, γέννησιν ἐν Πνεύματι, Θεογεννῆτορ πανηγυρίζοντας· καὶ τοῦ φωτὸς τοῦ μέλλοντος, δεῖξον ἁγνὴ κοινωνούς. καὶ εἰρήνην βράβευσον, καὶ λύτρωσιν, τῶν δεινῶν μητρικαῖς ἱκεσίαις σου.

Ἐξαποστειλ. Τοῖς Μαθηταῖς.

Τἄλλα κτίσις ἅπασα, τὴν χαρὰν αἰσθομένη, ἐξ Ἄννης τῆς θεόφρονος, ἥτις λέγεται χάρις, Ἰωακείμ τε τοῦ θείου, τίκτεσθαι παρ' ἐλπίδα, Μαρίαν τὴν πανάχραντον, καὶ ἁγνὴν Θεοτόκον· ἧς ὁ καρπὸς, σωτηρία γέγονε τοῖς ἀνθρώποις, Χριστὸς ὁ σαρκωθεὶς Θεὸς, ἐξ αὐτῆς ἀπορρήτως. Δίς.

Εἰς τὸν Στ. Στ. προσόμοια. ἦχος β'.

Οἶκος τοῦ Ἐφραθᾶ.

Δεῦτε οἱ ἐξ Ἀδὰμ, τὴν ἐκ Δαβὶδ φυεῖσαν, καὶ τὸν Χριστὸν τεκοῦσαν, ὑμνήσωμεν Παρθένον, Μαρίαν τὴν πανάχραντον.

Στ. Ἄκουσον Θύγατερ.

Γόνον τῷ Λυτρωτῇ, προσάξωμεν Κυρίῳ, τῷ ἐκ τῆς στείρας δόντι, ἡμῖν τὴν Θεοτόκον, καὶ μόνην Ἀειπάρθενον.

Στ. Τὸ πρόσωπόν σου.

Σήμερον ἡ χαρὰ, πάσης τῆς οἰκουμένης, στειρωτικῆς ἐκ μήτρας, γεννᾶται παραδόξως, ἡ Μήτηρ τοῦ Παντάνακτος.

Δόξα, καὶ νῦν, ἦχος β'.

Ἡ προορισθεῖσα Παντάνασσα, Θεοῦ κατοικητήριον. Ζήτει εἰς τὴν Λιτήν.

Τῇ αὐτῇ Μηνὶ Η'.

## Τὸ Γενέσιον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

Δεῖ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ παροῦσα ἑορτὴ ἐν Κυριακῇ, ἀλλὰ δὴ καὶ αἱ πᾶσαι τῆς Θεοτόκου Ἑορταὶ, προηγοῦνται τὰ ἀναστάσιμα. οὐ μέντοι λέγεται Εὐαγγέλιον Ἑωθινὸν, ἀλλὰ καὶ Προκείμενον, καὶ Εὐαγγέλιον τῆς Ἑορτῆς, ἄνευ τῆς Εἰσόδου. ἐν αὐτῇ γὰρ τῇ Ἑορτῇ τῆς Εἰσόδου, ἀναστάσιμον Εὐαγγέλιον λέγεται, εἰ τύχῃ ἐν Κυριακῇ. ἔτι δὲ εἰς τὸν Εὐαγγελισμὸν, κἂν οἵα τύχῃ Κυριακῇ τῆς Τεσσαρακοστῆς, λέγεται Εὐαγγέλιον τῆς Ἑορτῆς, ἄνευ μέντοι τῆς Κυριακῆς τῶν Βαΐων· τότε γὰρ ἀλλάσσεται καὶ τὸ Προκείμενον, καὶ τὸ Εὐαγγέλιον πρὸς τὴν Ἑορτήν. εἰς δὲ τὴν Λειτουργίαν λέγονται καὶ τὰ δύο.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, τὸ Μακάριος ἀνὴρ, τὸ α'. Ἀντίφωνον, ἀλλ' εἰ τύχῃ Κυριακῇ, στιχολογοῦμεν, καὶ τὸ ἐπίλοιπον Κάθισμα. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. η'. καὶ ψάλλομεν τὰ παρόντα Ἰδιόμ. ἦχος β'. Σεργίου.

Σήμερον, ὁ τοῖς νοεροῖς θρόνοις, ἐπαναπαυόμενος Θεὸς, θρόνον ἅγιον ἐπὶ γῆς ἑαυτῷ προητοίμασεν. ὁ στερεώσας ἐν σοφίᾳ τοὺς Οὐρανοὺς, Οὐρανὸν ἔμψυχον, ἐν φιλανθρωπίᾳ κατεσκεύασεν. ἐξ ἀκάρπου γὰρ ῥίζης, φυτὸν ζωηφόρον, ἐβλάστησεν ἡμῖν τὴν Μητέρα αὐτοῦ. ὁ τῶν θαυμασίων Θεὸς, καὶ τῶν ἀνελπίστων ἐλπὶς, Κύριε δόξα σοι. Δίς.

Αὕτη ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε Λαοί. ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ νυμφὼν, καὶ ἡ βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε. καὶ ἡ κατὰ ἀνατολὰς πύλη ἀποκυηθεῖσα, προσμένει τὴν εἴσοδον τοῦ Ἱερέως τοῦ μεγάλου. μόνη καὶ μόνον εἰσάγουσα Χριστὸν, εἰς τὴν Οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Δίς.

Εἰ καὶ Θείῳ βουλήματι, περιφανεῖς στεῖραι γυναῖκες ἐβλάστησαν, ἀλλὰ πάντων ἡ Μαρία τῶν γεννηθέντων, θεοπρεπῶς ὑπερέλαμψεν, ὅτι καὶ ἐξ ἀγόνου παραδόξως τεχθεῖσα Μητρὸς, ἔτεκεν ἐν σαρκὶ τὸν ἁπάντων Θεὸν, ὑπὲρ φύσιν ἐξ ἀσπόρου γαστρός. ἡ μόνη πύλη, τοῦ μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ. ἣν διελθὼν, κεκλεισμένην διεφύλαξε. καὶ πάντα σοφῶς οἰκονομήσας, ὡς οἶδεν αὐτὸς, πᾶσι τοῖς ἀνθρώποις σωτηρίαν ἀπειργάσατο.

Ὁ αὐτὸς. Στεφάνου Ἁγιοπολίτου.

Σήμερον στειρωτικαὶ πύλαι ἀνοίγονται, καὶ πύλη παρθενικὴ, θεία προέρχεται. σήμερον καρπογονεῖν ἡ χάρις ἀπάρχεται,

ἐμφα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμφανίζουσα τῷ Κόσμῳ Θεοῦ μητέρα. δι' ἧς τὰ ἐπίγεια τοῖς Οὐρανοῖς συνάπτεται, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Σήμερον τῆς παγκοσμίου χαρᾶς τὰ προοίμια. σήμερον ἔπνευσαν αὖραι, σωτηρίας προάγγελοι. ἡ τῆς φύσεως ἡμῶν διαλέλυται στείρωσις. ἡ γὰρ στεῖρα μήτηρ δείκνυται, τῆς παρθενευούσης μετὰ τόκον τοῦ κτίσαντος· ἐξ ἧς τὸ ἀλλότριον οἰκειοῦται ὁ φύσει Θεός. καὶ τοῖς πλανηθεῖσι διὰ σαρκός, σωτηρίαν ἀπεργάζεται, Χριστὸς ὁ φιλάνθρωπος, καὶ λυτρωτὴς τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός.

Σήμερον ἡ στεῖρα Ἄννα, τίκτει Θεόπαιδα, τὴν ἐκ πασῶν τῶν γενεῶν προεκλεχθεῖσαν, εἰς κατοίκησιν τοῦ Παμβασιλέως, καὶ κτίστου Χριστοῦ τοῦ Θεοῦ, εἰς ἐκπλήρωσιν τῆς θείας οἰκονομίας· δι' ἧς ἀνεπλάσθημεν οἱ γηγενεῖς, καὶ ἀνεκαινίσθημεν ἐκ τῆς φθορᾶς, πρὸς ζωὴν τὴν ἄληκτον.

Δόξα, καὶ νῦν, ἦχος πλ. β'. Τὸ ἰδ.

Σήμερον ὁ τοῖς νοεροῖς θρόνοις. Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. Γενέσεως τὸ Ἀνάγνωσμα.

Κεφ. 28. Ἐδά. 10. Ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἐπορεύθη εἰς Χαρράν, καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ Ἥλιος. Καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλὴν αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν Οὐρανόν· καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον, καὶ κατέβαινον ἐπ' αὐτήν. Ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς, καὶ εἶπεν. Ἐγὼ ὁ Θεὸς Ἀβραὰμ τοῦ Πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ, μὴ φοβοῦ. Ἡ γῆ ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡσεὶ ἄμμος τῆς γῆς, καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν, καὶ Λίβα, καὶ Βορρᾶν, καὶ ἐπὶ ἀνατολάς· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγὼ εἰμὶ μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἂν πορευθῇς. Καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν· ὅτι ἐστὶ Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη, καὶ εἶπεν· Ὡς φοβερὸς ὁ τόπος οὗτος. Οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ Οὐρανοῦ.

Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.

Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης, καὶ Κεφ.
ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ θυ- 43. Ἐδά.
σιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ 27.
σωτηρίου ὑμῶν. καὶ προσδέξομαι ὑμᾶς, λέγει Κεφ.
Κύριος, Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν 44. Ἐδά.
ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς ἐξωτέρας, τῆς 1.
βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται· οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς. Καὶ ἔσται κεκλεισμένη. Διότι ὁ ἡγούμενος οὗτος κάθηται ἐν αὐτῇ, τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου. κατὰ τὴν ὁδὸν τοῦ Ἐλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῆς πρὸς Βορρᾶν κατέναντι τοῦ οἴκου. Καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ Κεφ.
ὑπήρεισε στύλους ἑπτά. Ἔσφαξε τὰ ἑαυ- 9. Ἐδά.
τῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν 1. 27.
ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος, ἐπὶ κρατῆρα λέγουσα. Ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με. Καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν· Ἔλθετε, φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. Ἀπολείπετε ἀφροσύνην, καὶ ζήσεσθε· καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει. Ὁ παιδεύων κακούς, λήψεται ἑαυτῷ ἀτιμίαν. Ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν· οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ. Μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε. Ἔλεγχε σοφόν, καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται. γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας, φόβος Κυρίου, καὶ βουλὴ Ἁγίων σύνεσις. Τὸ δὲ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς. Τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

Εἰς τὴν Λιτὴν, Ἰδιόμελα, ἦχος α'.
Στεφάνου Ἁγιοπολίτου.

Ἡ Ἀπαρχὴ τῆς ἡμῶν σωτηρίας λαοί, σήμερον γέγονεν. ἰδοὺ γὰρ ἡ προορισθεῖσα ἀπὸ γενεῶν ἀρχαίων, Μήτηρ καὶ Παρθένος, καὶ δοχεῖον Θεοῦ, ἐκ στείρας γεννηθῆναι προέρχεται. ἄνθος ἐκ τοῦ Ἰεσσαί, καὶ ἐκ τῆς ῥίζης αὐτοῦ ῥάβδος ἐβλάστησεν. εὐφραινέσθω Ἀδὰμ ὁ Προπάτωρ, καὶ ἡ Εὔα ἀγαλλιάσθω χαίρουσα. ἰδοὺ γὰρ ἡ οἰκοδομηθεῖσα ἐκ πλευρᾶς τοῦ Ἀδὰμ, τὴν θυγατέρα, καὶ ἀπόγονον μακαρίζει ἐμφανῶς, ἐτέχθη μοι γὰρ φησὶ λύτρωσις· δι᾽ ἧς ἐκ τῶν δεσμῶν τοῦ Ἅδου ἐλευθερωθήσομαι. ἀγαλλιάσθω ὁ Δαβὶδ κρούων τὴν κινύραν, καὶ εὐλογείτω τὸν Θεόν. ἰδοὺ γὰρ ἡ Παρθένος προέρχεται ἐκ μήτρας ἀγόνου, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'.

Δεῦτε φιλοπάρθενοι πάντες, καὶ τῆς ἁγνείας ἐρασταί· δεῦτε ὑποδέξασθε πόθῳ τῆς παρθενίας τὸ καύχημα· ἐκ πέτρας βλυσάνουσαν στερεᾶς, τὴν πηγὴν τῆς ζωῆς. καὶ ἐκ τῆς ἀτεκνούσης, τὴν βάτον τοῦ ἀΰλου πυρός· τοῦ καθαίροντος, καὶ φωτίζοντος τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός. Ἀνατολίου.

Τίς ὁ ἦχος τῶν ἑορταζόντων γίνεται; Ἰωακεὶμ, καὶ Ἄννα πανηγυρίζει μυστικῶς συγχάρητέ μοι λέγοντες, Ἀδὰμ, καὶ Εὔα σήμερον. ὅτι οἷς πάλαι παραβᾶσι, κλείσασι Παράδεισον, καρπὸς εὐκλεέστατος ἡμῖν ἐδόθη, ἡ Θεόπαις Μαρία. ἀνοίγουσα τούτοις πᾶσι τὴν εἴσοδον.

Ὁ αὐτός.

Ἡ Προορισθεῖσα Παντάνασσα, Θεοῦ κατοικητήριον, ἐξ ἀκάρπου σήμερον, νηδύος προῆκται, τῆς Ἄννης ἠγλαϊσμένης, τῆς ἀϊδίου οὐσίας τὸ θεῖον τέμενος. δι᾽ ἧς ἰταμὸς Ἅδης καταπεπάτηται, καὶ παγγενὴς Εὔα ἐν ἀσφαλεῖ ζωῇ εἰσοικίσεται. ταύτῃ ἐπαξίως, ἐκβοήσωμεν· Μακαρία σὺ ἐν γυναιξί, καὶ ὁ καρπὸς τῆς κοιλίας σου εὐλογημένος.

Δόξα, καὶ νῦν, ἦχος πλ. β'.
Σεργίου Ἁγιοπολίτου.

Ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν, σαλπίσωμεν πνευματικῇ κιθάρᾳ. καὶ γὰρ ἐκ σπέρματος Δαβὶδ σήμερον τίκτεται, ἡ Μήτηρ τῆς ζωῆς. τὸ σκότος λύουσα, τοῦ Ἀδὰμ ἡ ἀνάπλασις, καὶ τῆς Εὔας ἡ ἀνάκλησις, τῆς ἀφθαρσίας ἡ πηγὴ, τῆς φθορᾶς ἀπαλλαγή· δι᾽ ἧς ἡμεῖς ἐθεώθημεν, καὶ τοῦ θανάτου ἐλυτρώθημεν. καὶ βοήσωμεν αὐτῇ, σὺν τῷ Γαβριὴλ οἱ πιστοί· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. διὰ σοῦ χαριζόμενος ἡμῖν, τὸ μέγα ἔλεος.

Εἰς τὸν Στίχον Ἰδιόμελα, Ἦχος δ'.
Γερμανοῦ Πατριάρχου.

Ἡ Παγκόσμιος χαρὰ, ἐκ τῶν δικαίων ἀνέτειλεν ἡμῖν, ἐξ Ἰωακεὶμ, καὶ τῆς Ἄννης ἡ πανύμνητος Παρθένος. ἥτις δι᾽ ὑπερβολὴν ἀγαθότητος, ναὸς Θεοῦ ἔμψυχος γίνεται, καὶ μόνη κατὰ ἀλήθειαν, Θεοτόκος γνωρίζεται. αὐτῆς ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς, τῷ Κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Πρὸς τὸ, Ἄκουσον Θύγατερ.

Διὰ Ἀγγέλου προρρήσεως, γόνος πανσέπτος, ἐξ Ἰωακεὶμ, καὶ τῆς Ἄννης τῶν δικαίων, σήμερον προῆλθες Παρθένε. Οὐρανὸς, καὶ θρόνος Θεοῦ, καὶ δοχεῖον καθαρότητος, τὴν χαρὰν προμηνύουσα παντὶ τῷ Κόσμῳ· τῆς ζωῆς ἡμῶν πρόξενε. κατάρας ἀναίρεσις, εὐλογίας ἡ ἀντίδοσις. διὸ ἐν τῇ γεννήσει σου, Κόρη θεόκλητε, τὴν εἰρήνην αἴτησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Πρὸς τὸ, Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Στεῖρα ἄγονος ἡ Ἄννα, σήμερον χεῖρας κροτείτω φαιδρῶς· λαμπροφορείτω τὰ ἐπίγεια, Βασιλεῖς σκιρτάτωσαν, Ἱερεῖς ἐν εὐλογίαις εὐφραινέσθωσαν, ἑορταζέτω ὁ σύμπας Κόσμος. ἰδοὺ γὰρ ἡ Βασίλισσα, καὶ ἄμωμος Νύμφη τοῦ Πατρὸς, ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαὶ ἀνεβλάστησεν. οὐκ ἔτι γυναῖκες ἐν λύπαις τέξουσι τέκνα. ἡ χαρὰ γὰρ ἐξήνθησε, καὶ ἡ ζωὴ τῶν ἀνθρώπων, ἐν Κόσμῳ πολιτεύεται. οὐκ ἔτι τὰ δῶρα τοῦ Ἰωακεὶμ ἀποστρέφονται. ὁ θρῆνος γὰρ τῆς Ἄννης εἰς χαρὰν μετεβλήθη, συγχάρητέ μοι λεγούσης πᾶς ἐκλεκτὸς Ἰσραήλ. ἰδοὺ γὰρ δέδωκέ μοι Κύριος τὸ ἔμψυχον παλάτιον, τῆς θείας δόξης αὐτοῦ, εἰς κοινὴν εὐφροσύνην, καὶ χαρὰν, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος πλ. δ'.
Σεργίου Ἁγιοπολίτου.

Δεῦτε ἅπαντες πιστοὶ, πρὸς τὴν Παρθένον δράμωμεν. ἰδοὺ γὰρ γεννᾶται ἡ πρὸ γαστρὸς προορισθεῖσα τοῦ Θεοῦ ἡμῶν Μήτηρ· τὸ τῆς παρθενίας κειμήλιον, ἡ τοῦ Ἀαρὼν βλαστήσασα ῥάβδος, ἐκ τῆς ῥίζης τοῦ Ἰεσσαί. τῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Προφητῶν τὸ κήρυγμα, καὶ τῶν δικαίων Ἰωακεὶμ, καὶ Ἄννης τὸ βλάστημα· γεννᾶται τοίνυν, καὶ ὁ Κόσμος σὺν αὐτῇ ἀνακαινίζεται· τίκτεται, καὶ ἡ Ἐκκλησία τὴν ἑαυτῆς εὐπρέπειαν καταστολίζεται. ὁ Ναὸς ὁ ἅγιος, τὸ τῆς Θεότητος δοχεῖον, τὸ παρθενικὸν ὄργανον, ὁ βασιλικὸς θάλαμος· ἐν ᾧ τὸ παράδοξον τῆς ἀπορρήτου ἑνώσεως, τῶν συνελθουσῶν ἐπὶ Χριστοῦ φύσεων, ἐτελεσιουργήθη Μυστήριον. ὃ προσκυνοῦντες ἀνυμνοῦμεν, τὴν τῆς Παρθένου πανάμωμον γέννησιν.

Ἀπολυτίκιον, ἦχος δ΄.

Ἡ Γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ Οἰκουμένῃ. ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ ἥλιος τῆς δικαιοσύνης Χριστὸς ὁ Θεὸς ἡμῶν. καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν. καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον. Ἐκ γ΄.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. Στιχ. Κάθ. ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Ἀναβόησον Δαβὶδ, τί ὤμοσέ σοι ὁ Θεός; ἅ μοι ὤμοσε φησὶ, καὶ ἐκπεπλήρωκεν ἰδού. ἐκ τοῦ καρποῦ τῆς κοιλίας μου δοὺς τὴν Παρθένον. ἐξ ἧς ὁ πλαστουργὸς, Χριστὸς ὁ νέος Ἀδὰμ, ἐτέχθη Βασιλεὺς ἐπὶ τοῦ θρόνου μου. καὶ βασιλεύει σήμερον, ὁ ἔχων τὴν βασιλείαν ἀσάλευτον. ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν. Δίς.

Μετὰ τὴν β΄. Στιχ. Κάθ. Ὅμοιον.

Ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἐξ ὀσφύος τοῦ Δαβὶδ ἡ Θεόπαις Μαριὰμ, τίκτεται σήμερον ἡμῖν. καὶ νευργεῖται ἡ σύμπασα, καὶ θευργεῖται. συγχάρητε ὁμοῦ ὁ Οὐρανὸς, καὶ ἡ γῆ. αἰνέσατε αὐτὴν, αἱ πατριαὶ τῶν ἐθνῶν. Ἰωακεὶμ εὐφραίνεται, καὶ Ἄννα πανηγυρίζει κραυγάζουσα· ἡ στεῖρα τίκτει, τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν. Δίς.

Κάθισμα, μετὰ τὸν Πολυέλεον. Ὅμοιον.

Ἡ Παρθένος Μαριὰμ, καὶ Θεοτόκος ἀληθῶς, ὡς νεφέλη τοῦ φωτὸς, σήμερον ἔλαμψεν ἡμῖν, καὶ ἐκ Δικαίων προέρχεται εἰς δόξαν ἡμῶν. οὐκ ἔτι ὁ Ἀδὰμ κατακέκριται, ἡ Εὔα τῶν δεσμῶν ἠλευθέρωται. καὶ διὰ τοῦτο κράζομεν, βοῶντες ἐν παρρησίᾳ τῇ μόνῃ ἁγνῇ· χαρὰν μηνύει, ἡ γέννησίς σου, πάσῃ τῇ Οἰκουμένῃ. Δίς.

Οἱ Ἀναβαθμοί, τὸ πρῶτον Ἀντίφωνον τοῦ δ΄ ἤχου. Προκείμενον, ἦχος δ΄.

Μνησθήσομαι τοῦ ὀνόματός σου. Στίχ.

Ἐξηρεύξατο ἡ καρδία μου. Τὸ Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριὰμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς εἰς πόλιν Ἰούδα. καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. καὶ ἐγένετο ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας, ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς, καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ Μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γὰρ ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ Πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου· ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ. Ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί· ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατὸς, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς. Κεφ. α΄. 39.

Ὁ Ν΄. Δόξα. Ταῖς τῆς Θεοτόκου. Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου. Εἶτα, τό. Εἰς ἦχον πλ. β΄.

Ἐλέησόν με ὁ Θεός. καὶ τὸ Ἰδιόμελον. Αὕτη ἡ ἡμέρα Κυρίου. Ζήτει εἰς τὸν Ἑσπερινόν.

Οἱ Κανόνες, τοῦ Κυρίου Ἰωάννου μετὰ τῶν Εἱρμῶν εἰς η΄. καὶ τοῦ Κυρίου Ἀνδρέου εἰς Τροπάρια εἰς ς΄. Ὁ Κανὼν τοῦ Κυρίου Ἰωάννου.

Ὠδὴ α΄. ἦχος β΄. Ὁ Εἱρμός.

Δεῦτε λαοὶ, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι τὸν λαὸν, ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται.

Δεῦτε πιστοὶ, Πνεύματι θείῳ γηθόμενοι, τὴν ἐξ ἀκάρπου σήμερον ἐπιδημήσασαν, εἰς βροτῶν σωτηρίαν, Ἀειπάρθενον Κόρην, ὕμνοις τιμήσωμεν.

Χαῖρε σεμνὴ, Μήτηρ, καὶ δούλη Χριστοῦ τοῦ Θεοῦ, ἡ τῆς ἀρχαίας πρόξενος, μακαριότητος, τῶν ἀνθρώπων τὸ γένος, σὲ πάντες ἐπαξίως ὕμνοις δοξάζομεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ἡ τῆς ζωῆς, τίκτεται σήμερον γέφυρα. δι᾽ ἧς βροτοὶ ἀνάκλησιν, τῆς καταπτώσεως, τῆς τοῦ ᾍδου ἀραμένοι, Χριστὸν τὸν ζωοδότην ὕμνοις δοξάζουσιν.

Ἕτερος Κανὼν τοῦ Κυρίου Ἀνδρέου.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Τῷ συντρίψαντι.

Χορευέτω πᾶσα κτίσις, εὐφραινέσθω, καὶ Δαβίδ, ὅτι ἐκ φυλῆς αὐτοῦ, καὶ ἐκ τοῦ σπέρματος αὐτοῦ προῆλθε ῥάβδος, ἄνθος φέρουσα τὸν Κύριον, καὶ λυτρωτὴν τοῦ παντός.

Ἡ Ἁγία τῶν Ἁγίων, ἐν Ἁγίῳ Ἱερῷ, βρέφος ἀνατίθεται, ἀνατραφῆναι ἐκ χειρὸς Ἀγγέλου. πάντες οὖν πιστῶς συνεορτάσωμεν, ἐν τῇ γεννήσει αὐτῆς.

Στεῖρα ἄγονος ἡ Ἄννα, ἀλλ᾽ οὐκ ἄτεκνος Θεῷ. ἤδη γὰρ προωρίσθη ἐκ γενεῶν ἁγνῆς, Παρθένου Μήτηρ. ὅθεν ὁ τῆς κτίσεως ἐβλάστησε Κτίστης, ἐν δούλου μορφῇ.

Σὲ τὴν ἄσπιλον ἀμνάδα, τὴν τὸν ἔριον Χριστῷ, μόνην ἐκ κοιλίας σου, προσαγαγοῦσαν, τὴν ἡμῶν οὐσίαν, πάντες ἐκ τῆς Ἄννης τικτομένην σε, ὕμνοις γεραίρομεν. Δόξα.

Τρία ἄναρχα δοξάζω, τρία ἅγια ὑμνῶ, τρία συναΐδια, ἐν ἑνότητι μιᾷ κηρύττω. εἷς γὰρ ἐν Πατρί, Υἱῷ, καὶ Πνεύματι, δοξολογεῖται Θεός. Καὶ νῦν. Θεοτοκίον.

Τίς ἑώρακε παιδίον, ὃ οὐκ ἔσπειρε Πατήρ, γάλακτι τρεφόμενον; ἢ ποῦ τεθέαται Παρθένος Μήτηρ; ὄντως ὑπὲρ ἔννοιαν ἀμφότερα, Θεογεννήτορ ἁγνή.

Καταβασία. Σταυρὸν χαράξας Μωσῆς.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Ἀμέμπτως τῷ Θεῷ πολιτευσάμενοι, τὴν πάντων ἐκύησαν σωτηρίαν, οἱ θεόφρονες γεννήτορες, τῆς τὸν Κτίστην τεκούσης, καὶ Θεὸν ἡμῶν.

Ὁ πᾶσι τὴν ζωὴν πηγάζων Κύριος, ἐκ στείρας προήγαγε τὴν Παρθένον· ἣν εἰσδῦναι κατηξίωσε, μετὰ τόκον φυλάξας ἀδιάφθορον.

Τῆς Ἄννης τὸν καρπὸν Μαριὰμ σήμερον τὴν βότρυν κυήσασαν ζωηφόρον, ὡς Θεοτόκον ἀνυμνήσωμεν, προστασίαν τε πάντων, καὶ βοήθειαν. Ἐστερεώθη ἡ καρδία μου.

Εὐλογημένη ἡ κοιλία σου σώφρων Ἄννα. καρπὸν γὰρ ἤνθησε παρθενίας, τὴν ἀσπόρως τὸν τροφέα τῆς κτίσεως, τεκοῦσαν, καὶ Λυτρωτὴν Ἰησοῦν.

Σὲ μακαρίζει Ἀειπάρθενε πᾶσα κτίσις. τὴν ἐξ Ἄννης σήμερον γεννηθεῖσαν, τὴν ἐκ ῥίζης Ἰεσσαὶ ῥάβδον ἄχραντον, τὸ ἄνθος Χριστὸν βλαστήσασαν.

Σὲ ἀνωτέραν πάσης Κτίσεως Θεοτόκε, δεικνύων ἄχραντε ὁ Υἱός σου, τὴν ἐξ Ἄννης μεγαλύνει σου γέννησιν, καὶ πάντας εὐφραίνει σήμερον.

Ἀνατραφεῖσα εἰς τὰ Ἅγια τῶν Ἁγίων, Παρθένε ἄχραντε Θεοτόκε, ἀνωτέρα ἀνεδείχθης τῆς κτίσεως, ἡ τὸν Κτίστην σαρκὶ κυήσασα. Δόξα.

Σὲ προσκυνοῦμεν Πάτερ, ἄναρχε τῇ οὐσίᾳ, ὑμνοῦμεν ἄχρονον τὸν Υἱόν σου, καὶ τὸ Πνεῦμα συναΐδιον σέβομεν, ὡς ἕνα τὰ τρία φύσει Θεόν. Καὶ νῦν. Θεοτοκίον.

Τὸν φωτοδότην, καὶ ἀρχίζωον τῶν ἀνθρώπων, τεκοῦσα ἄχραντε Θεοτόκε, ἀνεδείχθης θησαυρὸς τῆς ζωῆς ἡμῶν, καὶ πύλη τοῦ ἀπροσίτου φωτός.

Καταβασία. Ῥάβδος εἰς τύπον.

Κανὼν Ἦχος ὁ αὐτός. Τὸ προσαχθέν.

Ἀγαλλιάσθω Οὐρανός, γῆ εὐφραινέσθω. ὁ τοῦ Θεοῦ γὰρ Οὐρανός, ἐν γῇ ἐτέχθη, ἡ Θεόνυμφος αὕτη ἐξ ἐπαγγελίας. ἡ στεῖρα βρέφος θηλάζει τὴν Μαριάμ, καὶ χαίρει ἐπὶ τῷ τόκῳ Ἰωακείμ, ῥάβδος λέγων ἐτέχθη μοι· ἐξ ἧς τὸ ἄνθος Χριστός, ἐβλάστησεν ἐκ ῥίζης Δαβίδ. ὄντως θαῦμα παράδοξον. Δίς.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν τῆς σῆς οἰκονομίας, καὶ ἐδόξασά σε μόνε φιλάνθρωπε.

Ἀνυμνοῦμέν σε Κύριε, τὸν τοῖς πιστοῖς σωτήριον λιμένα, παρασχόντα πᾶσι τὴν σὲ κυήσασαν.

Σὲ Θεόνυμφε καύχημα, πᾶσι Χριστὲ ἀνέδειξε καὶ κράτος, τοῖς ὑμνοῦσι πίστει σου τὸ μυστήριον.

Ἀπειρόγαμε Δέσποινα, ταῖς σαῖς λιταῖς λυτρούμενοι πταισμάτων, εὐγνωμόνως πάντες σὲ μακαρίζομεν.

Ἄλλος. Ἀκήκοα Κύριε.

Τὴν πάνσεπτον γέννησιν τῆς Θεοτόκου, ψαλμοῖς, καὶ ὕμνοις δοξολογοῦντες πιστοί, τὸν Θεὸν τὸν ἄφραστον, τὸν τῷ Δαβὶδ προομόσαντα καρπόν, ἐκ τῆς ὀσφύος παρασχεῖν, πίστει προσκυνήσωμεν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Διανοίξας Κύριε τὴν μήτραν Σάῤῥας, καρπὸν ἐν γήρᾳ τὸν Ἰσαὰκ παραχών. ὁ αὐτὸς, καὶ σήμερον τῇ ἀστείρᾳ Ἄννῃ, δέδωκας Σωτὴρ, ἐκ μήτρας γόνιμον καρπὸν, ἄσπιλον Μητέρα τὴν σήν.

Ἐπήκουσας Κύριε τῆς προσευχῆς μου, λεγέτω Ἄννα, ἐπαγγελίας καρπὸν παραχών μοι σήμερον τὴν ἐκ πασῶν γενεῶν, καὶ γυναικῶν προκριθεῖσαν εἰς ἁγνὴν, ἀκήρατον Μητέρα σου.

Συγχαίρει σοι σήμερον Θεόφρων Ἄννα, ἡ Οἰκουμένη. τοῦ λυτρωτοῦ γὰρ αὐτῆς, τὴν Μητέρα κυήσασα, τὴν ἐκ τῆς ῥίζης βλαστήσασαν Δαβὶδ, ῥάβδον δυνάμεως ἡμῖν, φέρουσαν τὸ ἄνθος Χριστόν.

Δόξα.

Δοξάζω σε ἄναρχε, Τριὰς ἀμέριστε τῇ οὐσίᾳ, χερουβικῶς ἐκβοῶν τῇ πηλίνῃ γλώσσῃ μου. Ἅγιος, Ἅγιος, Ἅγιος, ὁ ὢν, καὶ διαμένων εἰς αἰεὶ, εἷς Θεὸς ἀΐδιος.

Καὶ νῦν. Θεοτοκίον.

Πεπλήρωνται Ἄχραντε, τῶν Θεηγόρων αἱ προφητεῖαι, τῶν πιστῶς καλούντων σε σκηνὴν, καὶ πύλην, καὶ ὄρος νοητὸν, βάτον καὶ ῥάβδον Ἀαρὼν, φυεῖσαν ἐκ ῥίζης Δαβίδ.

Καταβασία. Εἰσακήκοα Κύριε.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ὁ σκιόγραφον ἀχλὺν, αἰνιγμάτων σκεδάσας, καὶ τῶν πιστῶν ἐκβάσει τῆς ἀληθείας, διὰ τῆς Θεόπαιδος, καταυγάσας τὰς καρδίας, καὶ ἡμᾶς τῷ φωτί σου Χριστὲ καθοδήγησον.

Ἀνυμνήσωμεν λαοὶ, τὴν τῶν πάντων αἰτίαν, τοῦ καθ' ἡμᾶς γενέσθαι τὸν αἴτιον. ἧς τὸν τύπον ἔχαιρον, ἀξιούμενοι Προφῆται, ἐναργῆ σωτηρίαν ἐκ ταύτης καρπούμενοι.

Ἧς ἀνίκμου ὁ βλαστὸς, ῥάβδου τοῦ Ἱερέως, τῷ Ἰσραὴλ ἐδήλωσε πρόκρισιν· καὶ νῦν τῇ λαμπρότητι τῶν φυσάντων παραδόξως, δαδουχεῖ τὸ ἐκ στείρας πανένδοξον κύημα.

Ἄλλος. Κύριε ὁ Θεὸς ἡμῶν.

Ἄχραντός σου ἡ γέννησις Παρθένε ἄχραντε, ἄφραστος καὶ ἡ σύλληψις. καὶ ἡ ὠδὶς, ἄῤῥητος ὁ τόκος σου, Νύμφη ἀνύμφευτε. Θεὸς γὰρ ὢν, ὅλον φορέσας ἐμέ.

Σήμερον εὐφραινέσθωσαν Ἀγγέλων τάγματα, ᾄσμασι χορευέτωσαν οἱ ἐξ Ἀδάμ· ἐτέχθη γὰρ ῥάβδος τὸ ἄνθος βλαστάνουσα, Χριστὸν τὸν μόνον λυτρωτὴν τοῦ Ἀδάμ.

Σήμερον Εὔα λέλυται τῆς καταδίκης
λυται καὶ ὁ Ἀδὰμ, τῆς ἀρχαίας
ἐπὶ τῇ γεννήσει τῇ σῇ βοᾷ Ἄχραντε.
γὰρ φθορᾶς ἐλυτρώθημεν.

Δόξα σοι τῷ δοξάσαντι τὴν στεῖρ
μερον· ἔτεκε γὰρ τὴν ῥάβδον τ
θαλῆ ἐξ ἐπαγγελίας· ἐξ ἧς ἀνέβλα
Χριστὸς τὸ ἄνθος τῆς ζωῆς ἡμῶν.

Ἄναρχον προσκυνοῦμέν σε Τριὰς ἀμέριστε, ἄκτιστον, συναΐδιον, καὶ συμφυῆ, ἐν μιᾷ οὐσίᾳ, τρισὶν ὑποστάσεσιν, ὑπερφυῶς κηρυττομένην ἀεί.

Καὶ νῦν. Θεοτοκίον.

Γέγονεν ἡ κοιλία σου ἁγία τράπεζα· ἔμεινεν ἡ ἁγνεία σου ὥσπερ τὸ πρὶν, ἀσινὴς Παρθένε. Χριστὸς γὰρ ὁ Ἥλιος, ὡς ἐκ παστοῦ Νυμφίος ὤφθη ἐκ σοῦ.

Καταβασία. Ὢ τρισμακάριστον ξύλον.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Πρὸς Κύριον ἐκ κήτους ὁ Ἰωνᾶς ἐβόησε. σύ με ἀνάγαγε, ἐκ πυθμένος ᾍδου δέομαι· ἵνα ὡς λυτρωτῇ ἐν φωνῇ αἰνέσεως, ἀληθείας τε Πνεύματι θύσω σοι.

Πρὸς Κύριον ἐν θλίψει στειρώσεως, ἐβόησαν τῆς Θεομήτορος, οἱ Θεόφρονες γεννήτορες. καὶ ταύτην γενεαῖς γενεῶν ἐκύησαν, εἰς κοινὴν σωτηρίαν, καὶ καύχημα.

Ἐδέξαντο Οὐράνιον δῶρον ἀξιόθεον, τῆς Θεομήτορος οἱ Θεόφρονες γεννήτορες, αὐτῶν τῶν Χερουβὶμ ὑπέρτερον ὄχημα, τὴν τοῦ Λόγου, καὶ Κτίσου λοχεύτριαν.

Ἄλλος. Ὡς ὕδατα θαλάσσης.

Ὑμνοῦμεν τὴν ἁγίαν σου Γέννησιν, τιμῶμεν καὶ τὴν ἄσπορον Σύλληψιν, σοῦ Νύμφη Θεόνυμφε, καὶ Παρθένε. σκιρτῶσι δὲ σὺν ἡμῖν, Ἀγγέλων τάξεις, καὶ τῶν Ἁγίων ψυχαί.

Ἁγίαν τῶν Ἁγίων ὑπάρχουσαν, οἱ σώφρονες Πατέρες σου Ἄχραντε, ἀνέθεντό σε ἐν οἴκῳ Κυρίου, ἀνατραφῆναι σεμνῶς, καὶ εἰς Μητέρα ἑτοιμασθῆναι αὐτοῦ.

Στεῖραι, καὶ Μητέρες χορεύσατε, θαῤῥεῖτε καὶ σκιρτήσατε ἄγονοι· ἡ ἄτεκνος γὰρ στεῖρα τὴν Θεοτόκον βλαστάνει. ἥτις λύσει τῶν ὠδίνων τὴν Εὔαν, καὶ τῆς ἀρᾶς τὸν Ἀδάμ.

Ἀκούω τοῦ Δαβὶδ μελῳδοῦντός σοι. ἀχθήσονται Παρθένοι ὀπίσω σου. ἀχθήσονται εἰς ναὸν Βασιλέως. καὶ σὺν αὐταῖς σὲ καγὼ, θυγατέρα τοῦ Βασιλέως ὑμνῶ.

Δόξα.

Ἐν σοὶ τὸ τῆς Τριάδος Μυστήριον, ὑμνεῖται, καὶ δοξάζεται Ἄχραντε. Πατὴρ γὰρ ηὐδόκησε, καὶ ὁ Λόγος ἐσκήνωσεν ἐν ἡμῖν, καὶ θεῖον Πνεῦμα σοὶ ἐπεσκίασε.

Καὶ νῦν, Θεοτοκίον.

Χρυσοῦν θυμιατήριον γέγονας· τὸ πῦρ γὰρ ἐν γαστρί σου ἐσκήνωσεν, ὁ Λόγος ἐκ Πνεύματος τοῦ Ἁγίου· καὶ ἐν ἀνθρώπου μορφῇ ἐκ σοῦ ὡράθη, Θεογεννήτωρ ἁγνή.

Καταβασία. Νοτίου θηρός.

Κοντάκιον, ἦχος δ'.

Ἰωακὴμ, καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ, καὶ Εὔα ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου. αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι· ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Ὁ Οἶκος.

Ἡ Προσευχὴ ὁμοῦ, καὶ στεναγμὸς τῆς στειρώσεως, καὶ ἀτεκνώσεως, Ἰωακείμ τε, καὶ Ἄννης εὐπρόσδεκτος, καὶ εἰς ὦτα Κυρίου ἐλήλυθε, καὶ ἐβλάστησαν καρπὸν ζωηφόρον τῷ Κόσμῳ. ὁ μὲν γὰρ Προσευχὴν ἐν τῷ ὄρει ἐτέλει, ἡ δὲ ἐν Παραδείσῳ ὄνειδος φέρει. ἀλλὰ μετὰ χαρᾶς ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Τῷ αὐτῷ Μηνὶ Η'. Τὸ Γενέσιον τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας.

Πάσας ἀληθῶς, Ἄννα, νικᾷς μητέρας.
Μήτηρ ἕως ἂν σὴ γένηται Θυγάτηρ.
Ἐξήγαγε πρὸς φῶς Θεομήτορα ὀγδόη, Ἄννα.

Ἧς ὁ Πατὴρ Ἰωακεὶμ, ἐκ βασιλικῆς φυλῆς εἷλκε τὸ γένος. οὗτος εἰ καὶ διπλᾶ τὰ δῶρα αὐτοῦ τῷ Θεῷ προσέφερεν, ὡς φιλόθεος, καὶ πλούσιος, ἀλλὰ τὴν ἀπαιδίαν ὠνειδίζετο. Ἐπὶ τούτῳ δηχθεὶς τὴν καρδίαν, αὐτὸς μὲν ἐν τῷ ὄρει, ἡ δὲ τούτου σύνευνος Ἄννα ἐν τῷ Παραδείσῳ, δάκρυσι τὸν Θεὸν ἱκέτευον. Ὃς καὶ παρέσχεν αὐτοῖς καρπὸν κοιλίας ἅγιον, τὴν Ὑπεραγίαν Θεοτόκον. Ἵνα δὲ καὶ τῆς Ἄννης ἐξ ἑκατέρων τῶν μερῶν ἴδωμεν τὰ γνωρίσματα, τὸ ἀκριβὲς διηγήσομαι. Εἰκοστὸς τρίτος ἀπὸ γένους Δαβὶδ, καὶ Σολομῶντος εὑρίσκεται ὁ Ματθάν· ὃς ἔγημε Μαρίαν ἐκ τῆς Ἰούδα φυλῆς, καὶ ἐγέννησεν Ἰακὼβ τὸν Πατέρα Ἰωσὴφ τοῦ τέκτονος. καὶ θυγατέρας τρεῖς, Μαρίαν, Σωβὴν, καὶ Ἄνναν. καὶ ἡ μὲν Μαρία, γεννᾷ Σαλώμην τὴν Μαῖαν. ἡ δὲ Σωβὴ, γεννᾷ τὴν Ἐλισάβετ. ἡ δὲ Ἄννα, γεννᾷ τὴν Θεοτόκον· ὡς εἶναι τὴν Θεοτόκον ἐγγόνην Ματθὰν, καὶ Μαρίας τῆς γυναικὸς αὐτοῦ. τὴν δὲ Ἐλισάβετ, καὶ τὴν Σαλώμην, ἀνεψιὰς μὲν τῆς Ἄννης, ἐξαδέλφας δὲ τῆς Θεοτόκου· ἧς ταῖς πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Βάτος ἐν ὄρει πυράφλεκτος, καὶ δροσοβόλος κάμινος χαλδαϊκὴ, σαφῶς προγράφει σε Θεόνυμφε. τὸ γὰρ θεῖον ἄϋλον ἐν ὑλικῇ γαστρὶ, πῦρ ἀφλέκτως ἐδέξω. διὸ τῷ ἐκ σοῦ τεχθέντι κράζομεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Οὐ ταῖς ἀΰλοις ἐμφάσεσιν, ὁ Νομοθέτης εἴργετο κατανοεῖν, τὸ μέγα πανσέμνε μυστήριον· μὴ φρονεῖν χαμαίζηλα, συμβολικῶς παιδευόμενος ποτέ. διὸ ἐκπλαγεὶς τὸ θαῦμα ἔλεγεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὄρος, καὶ πύλην Οὐράνιον, καὶ νοητὴν σε κλίμακα θεοπρεπῶς, χορὸς ὁ θεῖος προηγόρευσεν. ἐκ σοῦ γὰρ λίθος τέτμηται, οὐχ ὑποστὰς ἐγχειρίδιον ἀνδρός· καὶ πύλην δι' ἧς διῆλθε μόνος Κύριος, τῶν θαυμασίων Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Τῶν Χαλδαίων ἡ κάμινος.

Ἑορτάζομεν Ἄχραντε, καὶ πιστῶς προσκυνοῦμεν, τὴν ἁγίαν σου Γέννησιν, τὴν ἐξ ἐπαγγελίας. δι' ἧς ἐλυτρώθημεν, τῆς παλαιᾶς τοῦ Ἀδὰμ νῦν ἀποφάσεως.

Νῦν ἡ Ἄννα εὐφραίνεται, καὶ βοᾷ καυχωμένη, στεῖρα ὅσα γεγέννηκα, τοῦ Θεοῦ τὴν Μητέρα· δι' ἧς τὸ κατάκριμα τῆς Εὔας λέλυται, καὶ ἡ ἐν λύπαις ὠδίς.

Ὁ Ἀδὰμ ἠλευθέρωται, καὶ ἡ Εὔα χορεύει· καὶ βοῶσιν ἐν Πνεύματι πρὸς σὲ τὴν Θεοτόκον· σοὶ ἐλυτρώθημεν τῆς ἀρχεγόνου ἀρᾶς, ἐπιφανέντος Χριστοῦ.

Στεῖραι ἄγονοι ᾀσατε, ψυχαὶ ἠτεκνωμέναι· ὅτι Ἄννα πολύτεκνος, καὶ νῦν εὐφραινομένη. μητέρες χορεύσατε σὺν τῇ Μητρὶ τοῦ Θεοῦ, καὶ συναγάλλεσθε.

Δόξα.

Τὸν Πατέρα δοξάσωμεν, τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα, ἐν μονάδι Θεότητος, Τριάδα



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

παναγίαν, ἀχώριστον ἄκτιστον, καὶ συναΐδιον, καὶ ὁμοούσιον. Καὶ νῦν. Θεοτοκίον.

Σὺ Θεὸν μόνη ἔτεκες, Παρθένε μετὰ τόκον. σὺ τὴν φύσιν ἐκαίνισας τῷ τόκῳ σου Μαρία. σὺ τὴν Εὔαν ἔλυσας τῆς πρωτογόνου ἀρᾶς, Θεογεννήτωρ ἁγνή.

Καταβασία. Ἔκνοον πρόσταγμα Τυράννου:

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Ἐν τῇ καμίνῳ τῇ τῶν Παίδων, προαπεικόνισας ποτὲ, τὴν σὴν Μητέρα Κύριε. ὁ γὰρ τύπους τούτους, πυρὸς ἐξείλετο, ἀφλέκτως ἐμβατεύοντας. ἣν ὑμνοῦμεν ἐμφανισθεῖσαν, διὰ σοῦ τοῖς πέρασι σήμερον, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἧς πρὸς Θεὸν ἡμῶν καταλλαγῆς, ἡ προεισελθοῦσα σκηνὴ, τοῦ εἶναι νῦν ἀπάρχεται· τεξομένη Λόγον, ἡμῖν παχύτητι, σαρκὸς ἐμφανιζόμενον. ὃν ὑμνοῦμεν, οἱ ἐκ μὴ ὄντων δι᾿ αὐτοῦ, τὸ εἶναι λαβόντες, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἡ τῆς στειρώσεως μεταβολὴ, τὴν κοσμικὴν τῶν ἀγαθῶν διέλυσε στείρωσιν. καὶ τρανῶς τὸ θαῦμα Χριστὸν ὑπέδειξε, βροτοῖς ἐπιδημήσαντα. ὃν ὑμνοῦμεν, οἱ ἐκ μὴ ὄντων δι᾿ αὐτοῦ, τὸ εἶναι λαβόντες, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ὁ στεγάζων ἐν ὕδασι.

Ὁ ποιήσας παράδοξα τῇ στειρωθείσῃ γαστρὶ, ὁ ἀνοίξας Ἄννης, ἄγονον μήτραν, καὶ καρπὸν αὐτῇ δοὺς. σὺ Θεὸς Ἅγιος, σὺ Υἱὸς τῆς Παρθένου. σὺ ἐκ ταύτης σάρκα προσελάβου, τῆς ἀειθαλοῦς Παρθένου, καὶ Θεοτόκου.

Ὁ σφραγίζων τὴν ἄβυσσον, καὶ ἐξανοίγων αὐτήν· ὁ ἀνάγων ὕδωρ ἐν ταῖς νεφέλαις, καὶ διδοὺς ὑετόν. σὺ ὁ δοὺς Κύριε ῥίζης ἐκ τῆς ἀκάρπου ἐξανθῆσαι, Ἄννης τῆς Ἁγίας, ἄχραντον καρπὸν, τὴν ῥάβδον τὴν Θεοτόκον.

Σὺ ὁ λύσας τὰ ἄλυτα, τῆς ἀπαιδίας δεσμά. σὺ ὁ δοὺς τῇ στείρᾳ γόνιμον τόκον, καὶ καρπὸν εὐκλεῆ· ἧς Υἱὸς γέγονας, καὶ βλαστὸς ἀνεφύης· ἣν Μητέρα ἔχεις κατὰ σάρκα, ἐν τῇ πρὸς ἡμᾶς Οἰκτίρμων ἐπιδημίᾳ.

Γεωργὲ τῶν φρενῶν ἡμῶν, καὶ φυτουργὲ τῶν ψυχῶν ἡμῶν, σὺ ὁ ἄκαρπον γῆν εὔκαρπον δείξας· σὺ τὴν πάλαι ξηρὰν, γόνιμον εὔσταχυν, ἄρουραν καρποφόρον ἀπεργάσω· Ἄνναν τὴν ἁγίαν, ἄχραντον καρπὸν ἀνθῆσαι τὴν Θεοτόκον.

Δόξα.

Ὦ Τριὰς ὑπερούσιε, μονὰς συνάναρχε, σὲ ὑμνεῖ, καὶ τρέμει πληθὺς Ἀγγέλων, Οὐρανὸς, καὶ ἡ γῆ. ἄβυσσοι φρίττουσιν, ἄνθρωποι εὐλογοῦσι. πῦρ δουλεύει, πάντα ὑπακούει, σοὶ Τριὰς Ἁγία, φόβῳ τὰ ἐν τῇ κτίσει. Καὶ νῦν. Θεοτοκίον.

Ὢ καινότατον ἄκουσμα, Θεὸς Υἱὸς γυναικός. καὶ ἀσπόρου τόκου, ἄνανδρος Μήτηρ, καὶ Θεὸς τὸ τεχθέν. ὢ φρικτὸν θέαμα. ὢ συλλήψεως ξένης τῆς Παρθένου. ὢ ἀφράστου τόκου. ὄντως ὑπὲρ νοῦν τὰ πάντα, καὶ θεωρίαν.

Καταβασία. Εὐλογεῖτε Παῖδες.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Τὸν πρὸ Ἡλίου φωστῆρα, τὸν Θεὸν ἐξανατείλαντα, σωματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων παρθενικῶν ἀφράστως σωματώσασα, εὐλογημένη πάναγνε, σὲ Θεοτόκε μεγαλύνομεν.

Τοῖς ἀπαθοῦσι, λαοῖς ἐξ ἀκροτόμου βλύσας νάματα, τοῖς ἀπειθοῦσιν ἔθνεσι χαρίζεται, ἐκ λαγόνων στειρωτικῶν, καρπὸν εἰς εὐφροσύνην ἡμῖν, σὲ Θεομῆτορ ἄχραντε, ἣν ἐπαξίως μεγαλύνομεν.

Ἣν τῆς ἀποτόμου, ἀρχαίας ἀναίρεσιν ἀποφάσεως. καὶ τῆς Προμήτορος τὴν ἐπανόρθωσιν· τὴν τοῦ γένους τῆς πρὸς Θεὸν αἰτίαν οἰκειώσεως. τὴν πρὸς τὸν Κτίστην γέφυραν, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἄλλος. Ἀπότομον τῶν Μητέρων.

Ἀπάξιον Θεομήτωρ τῆς σῆς ἁγνείας, τὸν τόκον ἐκληρώσω δι᾿ ἐπαγγελίας. τῇ ποτὲ γὰρ ἀκάρπῳ, θεόβλαστος καρπὸς ἐδόθης. διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μακαρίζομεν.

Ἐπλήρωται τοῦ βοῶντος ἡ Προφητεία. φησὶ γὰρ ἀναστήσω σκηνὴν τὴν πεπτωκυῖαν, τοῦ Ἱεροῦ Δαβὶδ, ἐν σοὶ Ἄχραντε προτυπωθεῖσαν· δι᾿ ἧς ὁ σύμπας τῶν ἀνθρώπων χοῦς, εἰς σῶμα ἀνεπλάσθη Θεῷ.

Ἀ[illegible] προσκυνοῦμέν σε Θεοτόκε, δοξάζομεν τὸν δόντα, καρπὸν τῇ πρώην στείρᾳ, καὶ ἀνοίξαντα μήτραν, τὴν ἄγονον ἐκ παραδόξου. ποιεῖ γὰρ πάντα ὅσα βούλεται, Θεὸς, ὢν παντεξούσιος.

Βλαστήσασα νυμφοτόκε Ἄννα θεόφρον, ἐκ μήτρας παρ᾿ ἐλπίδα, καὶ ἐξ ἐπαγγελίας, παρθενόφυτον αὐτὸς, θεόβλαστον ἁγνείας

κάλλος. διό σε πάντες μακαρίζομεν, ὡς ῥίζαν τῆς ζωῆς ἡμῶν.

Δόξα.

Ἀλλότριον τοῖς ἀνόμοις ἐστὶ δοξάζειν, τὴν ἄναρχον Τριάδα, Πατέρα, καὶ Υἱόν τε, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν ἄκτιστον παντοκρατορίαν. δι᾽ ἧς ὁ σύμπας Κόσμος ἥδρασται, τῷ νεύματι τοῦ κράτους αὐτῆς.

Χωρήσας ἐν γαστρί σου Παρθενομῆτορ, τὸν ἕνα τῆς Τριάδος, Χριστὸν τὸν Βασιλέα· ὃν ὑμνεῖ πᾶσα Κτίσις, καὶ τρέμουσιν οἱ ἄνω θρόνοι. αὐτὸν δυσώπει πανσεβάσμιε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καταβασίαι. Μυστικὸς εἶ Θεοτόκε.

Ὠδὴ διὰ βρώσεως.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἐπάλλονται τὰ πέρατα, τῆς Οἰκουμένης σήμερον, ἐν τῇ γεννήσει σου Κόρη, Θεοκυῆτορ Μαρία, καὶ ἀπειρόγαμε Νύμφη. ἐν ᾗ καὶ τῶν φυσάντων σε, τὸ λυπηρὸν διέλυσας, τῆς ἀτεκνίας ὄνειδος, καὶ τῆς Προμήτορος Εὔας, τὴν ἐν τῷ τίκτειν κατάραν.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή, ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Ἰδιόμελα προσόμοια, ἦχος α΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος. ἡ πηγὴ τῆς ζωῆς, ἐκ τῆς στείρας τίκτεται· ἡ χάρις καρπογονεῖν, λαμπρῶς ἀπάρχεται. Εὐφραίνου Ἰωακείμ, τῆς Θεοτόκου Γεννήτωρ γενόμενος. οὐκ ἔστιν ἄλλος ὡς σύ, τῶν γηγενῶν γεννητόρων Θεόληπτε· ἡ γὰρ θεοδόχος Κόρη, τοῦ Θεοῦ τὸ σκήνωμα, τὸ πανάγιον ὄρος, διὰ σοῦ ἡμῖν δεδώρηται.

Ὢ τοῦ παραδόξου θαύματος. ὁ ἐκ στείρας καρπός, ἀναλάμψας νεύματι, τοῦ πάντων δημιουργοῦ, καὶ παντοκράτορος, ἀτόνως τὴν κοσμικήν, τῶν ἀγαθῶν διαλέλυκε στέρησιν. μητέρες σὺν τῇ Μητρί, τῆς Θεοτόκου χορεύσατε κράζουσαι· κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Ἡ τῆς σωφροσύνης ἔμψυχος, καὶ λαμπρὸν δοχεῖον, ἀποστίλβον χάριτι, ἡ Ἄννα ἡ εὐκλεὴς φανεῖσα τέτοκε, τὴν πρόβολον ἀληθῶς, τῆς παρθενίας τὸ θεῖον ἀπαύγασμα, τὴν ταῖς πάσαις παρθενικαῖς, καὶ παρθενίας ποθούσαις τὸ χαίρε δίδουσαν, τὸ τῆς παρθενίας κάλλος, ἐμφανῶς βραβεύουσαν, καὶ παρέχουσαν πᾶσι, τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος πλ. β΄.

Αὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιᾶσθε λαοί. ἰδοὺ γὰρ τοῦ φωτὸς ὁ νυμφών, καὶ ἡ βίβλος τοῦ λόγου τῆς ζωῆς, ἐκ γαστρὸς προελήλυθε. καὶ ἡ κατὰ ἀνατολὰς πύλη ἀποκυηθεῖσα, προσμένει τὴν εἴσοδον τοῦ Ἱερέως τοῦ μεγάλου. μόνη καὶ μόνον εἰσάγουσα Χριστόν, εἰς τὴν Οἰκουμένην, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά. καὶ ἐκ τῶν Κανόνων, ᾠδὴ γ΄ καὶ ς΄.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος γ΄.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν.

Πρὸς Φιλιππησίους Ἐπιστολῆς.

Ἀδελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ· ἀλλ᾽ ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτόν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ Σταυροῦ. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα. ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ, πᾶν γόνυ κάμψῃ, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων. καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Κεφ. 2. Ἐδά. 5.

Ἀλληλούϊα, ἦχος πλ. δ΄.

Ἄκουσον Θύγατερ, καὶ ἴδε.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά. γυνὴ δέ τις ὀνόματι Μάρθα ὑπεδέξατο αὐτὸν εἰς τὸν οἶκον αὐτῆς. Καὶ τῇδε ἦν ἀδελφὴ καλουμένη Μαρία, ἣ καὶ παρακαθίσασα παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ, ἤκουε τὸν λόγον αὐτοῦ. Ἡ δὲ Μάρθα περιεσπᾶτο περὶ πολλὴν διακονίαν. Ἐπιστᾶσα δὲ εἶπε· Κύριε, οὐ μέλει σοι, ὅτι ἡ ἀδελφή μου μόνην με κατέλιπε διακονεῖν; εἰπὲ οὖν αὐτῇ, ἵνα μοι συναντιλάβηται. Ἀποκριθεὶς δέ, εἶπεν αὐτῇ ὁ Ἰησοῦς· Μάρθα, Μάρθα, μεριμνᾷς, καὶ τυρβάζῃ περὶ πολλά, ἑνὸς δέ ἐστι χρεία. Μαρία δὲ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς. Ἐγένετο δὲ ἐν τῷ λέγειν αὐτὸν ταῦτα, Κεφ. 10. Ἐδά. 38. Διακοπή.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Κεφ. ιά. 27. ἐπάρασά τις Γυνὴ φωνὴν ἐκ τοῦ ὄχλου εἶπεν αὐτῷ· Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε, καὶ μαστοὶ οὓς ἐθήλασας. Αὐτὸς δὲ εἶπε, μενοῦνγε· μακάριοι οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ φυλάσσοντες αὐτόν.

Κοινωνικόν. Ποτήριον σωτηρίου λήψομαι. [illegible]έον, ὅτι, διὰ τὸ ἐγγίζειν τὴν Ἑορτὴν τοῦ Σταυροῦ, ἑορτάζομεν τὴν παροῦσαν Ἑορτὴν ἡμέρας πέντε.

Μηνὶ τῷ αὐτῷ Θ'.

Τῶν Ἁγίων, καὶ Δικαίων Θεοπατόρων Ἰωακεὶμ, καὶ Ἄννης. Καὶ τοῦ Ἁγίου Μάρτυρος Σεβηριανοῦ. Ἡ Ἀκολουθία τοῦ Ἁγίου ψάλλεται ἐν τοῖς Ἀποδείπνοις. Ζήτει εἰς Μάρτυρας. Ἐν δὲ τῷ Λυχνικῷ οὐ στιχολογοῦμεν, διὰ τὸν κόπον τῆς ἀγρυπνίας. οὕτω γὰρ ποιοῦμεν, ἐν πάσαις ταῖς ἀγρυπνίαις.

Ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν Ψαλμὸν [illegible] Κύριε ἐκέκραξα, ἱστῶμεν [illegible] ψάλλομεν [illegible] Προσόμοια τῆς Ἑορτῆς γ'. καὶ τῶν Ἁγίων γ'. Ἦχος δ'.

[illegible] Ἔδωκας σημείωσιν.

Λ Εὖ τε νῦν χορεύσωμεν, ᾀσματικῶς ὦ φιλέορτοι· καὶ πιστῶς ἑορτάσωμεν, τὴν μνήμην γεραίροντες, Ἰωακεὶμ, καὶ Ἄννης, τῆς σεπτῆς δυάδος. αὐτοὶ γὰρ ἔτεκον ἡμῖν, τὴν Θεομήτορα, καὶ Παρθένον ἁγνήν. διόπερ καὶ μετέστησαν, ἐκ τῶν προσκαίρων πρὸς ἄληκτον, καὶ ἀΐζωον οἴκησιν, δυσωποῦντες σωθῆναι ἡμᾶς.

Εὐφρόσυνον πρέπεται, σήμερον κτίσις ἡ σύμπασα, Θεοτόκε πανύμνητε, ἐτήσιον ἄγουσα, μνήμην ὁμοφρόνως τῶν σῶν Γεννητόρων, Ἰωακεὶμ τοῦ θαυμαστοῦ, ὁμοῦ καὶ Ἄννης πανηγυρίζουσα. χαρᾶς γὰρ προεξένησαν, σὲ παρ' ἐλπίδα βλαστήσαντες, τὴν τὸ φῶς ἀπαστράψασαν, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.

Ἀγάλλεται σήμερον Ἄννα σκιρτῶσα ἐν Πνεύματι, καὶ εὐφραίνεται χαίρουσα, τυχοῦσα ἐφέσεως, ἧσπερ ἐπετόθει, πάλαι ἀτεκνίας. ἐπαγγελίας γὰρ καρπὸν, καὶ εὐλογίας θεῖον ἐβλάστησε, Μαρίαν τὴν πανάμωμον, τὴν τὸν Θεὸν ἡμῶν τέξασαν, καὶ τὸν Ἥλιον λάμψασαν, τοῖς ἐν σκότει καθεύδουσι.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β'. Ἐφραὶμ Καρίας.

Ὦ Μακαρία Δυὰς, ὑμεῖς πάντων Γεννητόρων ὑπερήρθητε, ὅτι τὴν τῆς κτίσεως πάσης ὑπερέχουσαν ἐβλαστήσατε. ὄντως μακάριος εἶ Ἰωακεὶμ, τοιαύτης παιδὸς χρηματίσας Πατήρ. μακαρία ἡ μήτρα σου Ἄννα, ὅτι τὴν Μητέρα τῆς ζωῆς ἡμῶν ἐβλάστησε. μακάριοι οἱ μαστοὶ, οὓς ἐθήλασας, τὴν γαλακτοτροφήσασαν τὸν τρέφοντα πᾶσαν πνοήν. ὃν δυσωπεῖν ὑμᾶς παμμακάριστοι αἰτούμεθα, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπόστιχα τῆς Ἑορτῆς, [illegible]

Δόξα, καὶ νῦν, Ἦχος [illegible]

ΟΙ ἐξ ἀκάρπων λαγόνων, ῥάβδον ἁγίαν τὴν Θεοτόκον βλαστήσαντες, ἐξ ἧς ἡ σωτηρία τοῦ Κόσμου ἀνέτειλε Χριστὸς ὁ Θεός· τὸ ζεῦγος τὸ ἅγιον, ἡ ξυνωρὶς ἡ ἁγία, Ἰωακεὶμ, καὶ Ἄννα. οὗτοι μεταστάντες πρὸς οὐρανίους σκηνὰς, σὺν τῇ αὐτῶν θυγατρὶ, ὑπεραγνῷ αὐτῷ Παρθένῳ, μετ' Ἀγγέλων χορεύουσιν, ὑπὲρ τοῦ Κόσμου πρεσβείας ποιούμενοι. οἷς καὶ ἡμεῖς συνελθόντες, εὐσεβῶς ὑμνοῦντες λέγομεν· οἱ διὰ τῆς Θεόπαιδος, καὶ πανάγνου Μαρίας, Προπάτορες Χριστοῦ χρηματίσαντες· πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τροπάριον τῶν Ἁγίων, Ἦχος α'.

Ὧν δικαίων Θεοπατόρων σου Κύριε, τὴν μνήμην ἑορτάζοντες, δι' αὐτῶν σε δυσωποῦμεν, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τὸν Ὄρθρον, [illegible]

Κατεπλάγη Ἰωσήφ. Ἀναβόησον Δαβίδ.

Ζήτει [illegible] Ἑορτῇ [illegible]

Μηνὶ [illegible]

Τὸ προσταχθέν. Ἀγαλλιάσθω Οὐρανός.

Ζήτει τῇ [illegible] Ἑορτῇ.

Ὁ Κανὼν τῆς Ἑορτῆς μετὰ τῶν [illegible] καὶ τῶν Ἁγίων [illegible] Ὁ Κανὼν τῶν Ἁγίων [illegible]

Τοὺς σοὺς Γονεῖς, Πάναγνε, μέλπω προφρόνως.

[illegible] ν βυθῷ κατέστρωσε.

Τὴν λαμπάδα τὴν τὸν νοητὸν, Ἥλιον ἀστράψασαν, σωματικῶς ἐξ αὐτῆς ἀνατέλλοντα, ἀρετῆς λαμπρότησι, διαπρέποντες ἐκτεκεῖν ἠξιώθησαν, Ἄννα ἡ θεόφρων, καὶ Ἰωακεὶμ ὁ πανοίδιμος.

Ἀτρέπτῳ νεύσει πρὸς Θεὸν, ὄντως ὁ θεόληπτος, Ἰωακεὶμ, καὶ ἡ Ἄννα ἡ ἔνθεος, ἀκλινῶς προσέχοντες, τὴν πανάχραντον, Θεοτόκον ἐκύησαν, τὴν ὑπερκειμένην, κτίσεως ἁπάσης ἁγιότητι.

Ὑπερτέραν ἔχοντες ζωὴν, βίου τε λαμπρότητα, πάντων ὁμοῦ γεννητόρων γεγόνατε, γηγενῶν ὑπέρτεροι, τὴν ἀκήρατον Παρθένον ὡς γεννήσαντες, καὶ Θεοῦ Πατέρες, ὄντως διὰ ταύτης χρηματίσαντες.

Σωτηρίας πάσης ἀρχηγοὶ, ὁ μακαριώτατος Ἰωακεὶμ, καὶ ἡ Ἄννα ἡ ἔνδοξος, τὴν ἁγνὴν, καὶ ἄμωμον, καὶ παναχράντον Θεοτόκον ἐγεννήσατε, τῆς θεοσεβείας, ταύτην εἰληφότες τὴν ἀντίδοσιν.

Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

Στειρεύουσα, καὶ παίδων ἀπορουμένη, καὶ δάκρυσι τὸν Κτίστην ἐκδυσωποῦσα, τὴν μόνην ἠξιώθης εὐλογημένην, τεκεῖν Θεόληπτε, Ἄννα κραυγάζουσα, ὡς οὐκ ἔστιν ἅγιος πλὴν σοῦ Κύριε.

Σύνοικον πλουτήσας τὴν θείαν χάριν, Ἰωακεὶμ ὁ θεῖος, καὶ θηγόρος, τὴν πρόξενον ἀνθρώποις τῆς σωτηρίας, γεννᾷν ἠξίωται. πρὸς ἣν κραυγάζομεν, ὡς οὐκ ἔστιν ἄμεμπτος πλὴν σοῦ Δέσποινα.

Ὑμνήσωμεν τὴν πάνσεπτον Ἰωακεὶμ ὠδίνα, δι᾽ ἧς ἡμῖν ἐξέλαμψεν ἡ Παρθένος, ἡ πάντων ποιημάτων Ἁγιωτέρα. Θεὸν γὰρ τέτοκε, πρὸς ὃν κραυγάζομεν, ὡς οὐκ ἔστιν ἅγιος πλὴν σοῦ Κύριε.

Θεοτοκίον.

Στειρώσεως τὸ ὄνειδος ἐκφυγοῦσα, γεγέννηκεν ἡ Ἄννα τὴν Θεοτόκον, τὸ ὄνειδος τῆς Εὔας μοὶ παραδόξως, ἐξαφανίζουσαν. πρὸς ἣν κραυγάζομεν, ὡς οὐκ ἔστιν ἄμεμπτος πλὴν σοῦ Δέσποινα.

[illegible] Τὸν συνάναρχον.

Ἰωακεὶμ, καὶ ἡ Ἄννα πανηγυρίζοντες, τῷ Θεῷ ἐπαξίως χαίρειν ἐφθέγγοντο. καὶ ἐγέννησαν ναὸν τὸν θεοδόχον καρπὸν, τὴν Παρθένον, καὶ ἁγνὴν, τὴν Μητέρα τοῦ Θεοῦ, τὴν μόνην εὐλογημένην, πρεσβεύουσαν ἀεννάως, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Δίς.

Ὠδὴ δ΄. Ἐλήλυθας.

Ἡ θεόμενος, τὴν Παρθένον ἐκ στείρας κομίζεται. δι᾽ ἧς περ ἡ στείρωσις ἡ κοσμικὴ διαλέλυται, τόκῳ παρθενεύοντι, Ἰωακεὶμ ὁ θεόφρων, καὶ θεόληπτος.

Ὁ Προπάτωρ, τοῦ Χριστοῦ Ἰωακεὶμ νῦν πρόκειται, ἡμῖν εἰς ἑστίασιν Πνευματικὴν ὁ πανόλβιος. ὃς τὴν Θεομήτορα, καὶ πανακήρατον Κόρην ἀπεγέννησε.

Νεκρώσεως, καὶ φθορᾶς τοὺς ἀνθρώπους τὴν σώζουσαν, ἡ χάρις προβάλλεται, τὴν ἐσομένην Μητέρα Θεοῦ, Λόγον τὸν ἀΐδιον, τὴν δεξαμένην ἀφράστως σωματούμενον.

Ἐκ τῆς ῥίζης Ἰεσσαὶ Ἰωακεὶμ ἀναπέπαλκεν ἐξ ἧς ἀνεβλάστησε, ῥάβδος τὸ ἄνθος ἡ φέρουσα, ὅλον με τὸν ἄνθρωπον, εὐωδιάζον τῷ μύρῳ τῆς Θεότητος.

Θεοτοκίον.

Ἰθυνόν μου, Θεοτόκε τὸν βίον προσάγγελσιν, ἐνθέοις ῥυθμίζουσα τοῦ σαρκωθέντος Λόγου ἐκ σοῦ· καὶ πρὸς φῶς ὁδήγησον, Παρθενομῆτορ Μαρία Θεονύμφευτε.

Ὠδὴ ε΄. Ὁ φωτισμός.

Σώφρων δυὰς, καθαρότητος αἴγλῃ λελαμπρυσμένη, τὴν τῆς Παρθενίας τῷ θείῳ φέγγει, κατακοσμοῦσαν τὴν στειρεύουσαν φύσιν, τῶν ἀνθρώπων ἡμῖν ἐκτέτοκεν, Ἄννα, καὶ Ἰωακεὶμ οἱ θεόληπτοι.

Παρθενικὸν, θεοκόσμητον θρόνον τῷ τῶν ἁπάντων, περιδεδραμμένῳ παλάμῃ θείᾳ, τῆς σωφροσύνης σεπτὴ συζυγία, καὶ θεόφρων δυὰς ἐκτέτοκεν, Ἄννα, καὶ Ἰωακεὶμ οἱ πανεύφημοι.

Ἀνατολῆς, τῆς ἐξ ὕψους φανείσης εἰς ὁδηγίαν, τῶν πεπλανημένων, τὴν φωτοφόρον, πύλην ὁ θεῖος Ἰωακεὶμ, καὶ Ἄννα, θεοφρόνως πολιτευσάμενοι, τίκτειν οἱ θεόπται σαφῶς ἠξιώθησαν.

Νόμου καινοῦ, τὴν θεόγραφον πλάκα, ἐν ᾗ τὴν λύσιν, τῶν ἁμαρτημάτων τοῦ πάλαι νόμου, ὁ θεῖος Λόγος προετύπωσε πρώην, ὡς ἐκ πέτρας, καὶ νῦν ἐλατόμησε, νεύματι ὁ πάντων κρατῶν ἐκ στειρώσεως.

Αἴγλῃ τῇ σῇ, Θεομῆτορ τὸν νοῦν μου καταυγασθῆναι, τὸν ἐσκοτισμένον τῇ ἁμαρτίᾳ, νεῦσον Παρθένε, τῆς ἀγνοίας τὸν ζόφον, καὶ πταισμάτων ἐξαφανίζουσα. ἄλλην γὰρ ἐκτός σου φρουρὸν οὐκ ἐπίσταμαι.

Ὠδὴ ϛ΄. Ἐν ἀβύσσῳ.

Τὸν τιμιώτατον σπόρον ἡ στεῖρα τὸ πρὶν, Ἄννα δεξαμένη ἐκ θείας ἐλλάμψεως, παῖδα τεκεῖν ἠξίωται, τὴν τῶν πάντων κτισμάτων δεσπόζουσαν.

Ἡ νῦν ἡ στεῖρα γεννῶσα βουλήσει Θεοῦ, πάθει παραδέχεσθαι Παρθένον τίκτουσαν, ἄνευ σαρκὸς θελήματος, τὸν αὐτὸν βουληθέντα Θεὸν προφανῶς.

Ἐλλαμφθεὶς Ἡσαΐας τῷ Πνεύματι, τοῦ Ἰωακεὶμ καὶ τῆς Ἄννης τὸ κύημα, τόμον καινὸν ἑώρακεν, ᾧ ἐγγράφη ὁ Λόγος σαρκούμενος.

Μυστηρίου προτρέχει Μυστήριον. πρὶν γὰρ ἡ στειρεύουσα χάρις γεγέννηκε, τῆς σωτηρίας πρόξενον, παρθενίας γεννήσασα φανεῖσαν ἡμῖν.

Κοντάκιον, ἦχος β'. Τὰ ἄνω ζητῶν.

Εὐφραίνεται νῦν, ἡ Ἄννα τῆς στειρώσεως, λυθεῖσα δεσμῶν, καὶ τρέφει τὴν Πανάχραντον, συγκαλοῦσα ἅπαντας ἀνυμνῆσαι τὸν δωρησάμενον, ἐκ νηδύος αὐτοῖς τοῖς βροτοῖς, τὴν μόνην Μητέρα, καὶ ἀπείρανδρον.

Ὁ Οἶκος.

Ἡ τῶν δεσμῶν τῆς πρὶν ἀτεκνίας δι' εὐχῆς λυθεῖσα, προσκαλεῖται ἡμᾶς συνεορτάσαι τῷ θαύματι, καὶ δῶρα προσάξαι τῇ γεννηθείσῃ. λιτανεύοντες ἔμπροσθεν μετὰ πόθου, ὥσπερ ποτὲ αἱ Παρθένοι ἐν τάχει προέτρεχον χορεῦσαι, καὶ βοῶσαι· ἰδοὺ ἦλθεν ἡ πάντων ἀνάκλησις· ἰδοὺ Ἀδὰμ ἠλευθέρωται, ὅτι Ἄννα καρπὸν ἀνεβλάστησε, τὴν μόνην Μητέρα, καὶ ἀπείρανδρον.

Τῷ αὐτῷ Μηνὶ Θ'. Ἡ σύναξις τῶν Δικαίων Ἰωακεὶμ, καὶ Ἄννης.

Ἰωακεὶμ τέρφθητι σὺν τῇ Συζύγῳ.
Τεκόντες ἄμφω ψυχικὴν τέρψιν κτίσει.
Ἐν δ' ἐννάτῃ τοκέων Θεομήτορος εὗρε σύναξιν.

Ταύτην ἑορτάζομεν, διὰ τὴν γέννησιν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ὅτι πρόξενοι οὗτοι τῆς παγκοσμίου σωτηρίας, διὰ τῆς πανυπεράγνου ἁγίας αὐτῶν θυγατρὸς τῆς Θεοτόκου γεγόνασι. τὴν γὰρ τελείωσιν τούτων, ἡ εἰκοστὴ πέμπτη τοῦ Ἰουλίου Μηνὸς γνωρίζει.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

Ἐκ ῥίζης βλαστήσασα δυὰς ἁγία, Δαβὶδ τοῦ θεόφρονος, τὴν ῥάβδον τὴν πανίερον, Παρθένον τὴν ἄχραντον τῷ Κόσμῳ τέτοκεν, αὐτὴ ἱερώτατον ἡμῖν, Χριστὸν ἀσπόρως ἐξανατείλασαν.

Λαμπάδα πολύφωτον τὴν Θεοτόκον, ἡ Ἄννα ἡ ἔνθεος, καθάπερ χρυσαυγίζουσα, λυχνία βαστάζουσα τὸν Κόσμον ἅπαντα, θείῳ κατελάμπρυνε φωτὶ, καὶ Παρθενίας λαμπροῖς πυρσεύμασι.

Προστάτορες ἔνδοξοι τοῦ σαρκωθέντος, δι' ἄφατον ἔλεος, Θεοῦ τοῦ παντοκράτορος, παιδὸς ἐκ θεόφρονος ὑμῶν πανόλβιοι, νῦν μοι τῷ προσφεύγοντι ὑμῖν, πλημμελημάτων λύσιν βραβεύσατε.

Θεοτοκίον.

Ὡς ὄντες ὑπέρτεροι τῶν Γεννητόρων, τὴν πάντων δεσπόζουσαν κτισμάτων ἐκτετόκατε, Μαρίαν τὴν ἄχραντον, τὴν τεξαμένην Θεὸν, σάρκα περιθέμενον ἡμῖν, ὁμοίαν ταύτῃ, δι' εὐσπλαγχνίαν πολλήν.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ἡλύτῳ κομῶντες ἀρετῶν, τὴν ἐν δόξῃ θεϊκῇ πεποικιλμένην, Βασιλίδα Παρθένον, Ἰωακεὶμ ὁ σεπτὸς, καὶ Ἄννα ἡ σώφρων τετόκασιν· ἣν πᾶσα ἡ κτίσις ὑμνεῖ ὡς Θεοτόκον.

Ῥάβδος δυνάμεως ἡμῖν, δι' ὑμῶν φίλοι Θεοῦ ἐξαπεστάλη, ἡ παναμώμητος Νύμφη. δι' ἧς ἐν μέσῳ ἐχθρῶν, ἀθέων κατακυριεύομεν, τὰς μηχανουργίας αὐτῶν καταπατοῦντες.

Ὅπλον ἡμῖν παρὰ Θεοῦ, εὐδοκίας παρὰ σοῦ ἱερωτάτη, ξυνωρὶς ἐδωρήθη. ᾧ νῦν ἡμᾶς οἱ πιστοὶ, ὡραίως ἀεὶ στεφανούμεθα· ἡ Θεὸν τεκοῦσα, ἁγνὴ Παρθενομήτωρ.

Φωτοχυσίαις τοῦ ἐκ σοῦ, σαρκωθέντος δι' ἡμᾶς λελαμπρυσμένη, ἡ δυὰς ἡ ἀείζη τῶν Γεννητόρων τῶν σῶν, γεννῶσι πανάμωμε Δέσποινα, πρόξενον ἡμῖν ἀγαθῶν ἐπουρανίων.

Θεοτοκίον.

Ῥώμῃ Θεοῦ καρπογονεῖ, ἡ στειρεύουσα γαστὴρ ἀνοιγομένη· καὶ προέρχεται πύλη παρθενικὴ παμφαής· ὁ Λόγος δι' ἧς ἐπεδήμησε, τοῖς ἐπὶ τῆς γῆς σαρκωθεὶς ἀφράστῳ λόγῳ.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Ὁμόφρονες σύμψυχοι τὴν ἀρετὴν ὑπάρχοντες, τῆς Παναγνοῦ Παρθένου σεπτοὶ Γεννήτορες, τοὺς ἐπιτελοῦντας προθύμως τὴν εὔκλειαν, καὶ ἔνδοξον μνήμην, ὑμῶν ἱερώτατον, λυτρωθῆναι δυσωπήσατε.

Ὁμοῦ κατεπαύσατε τὴν τοῦ θανάτου ἔνδοξοι, τῆς ζωῆς τὴν Μητέρα λαμπρῶς γεννήσαντες, τὴν ἐξαφανίσασαν τούτου τὴν προσβολὴν, καὶ τῆς ἀθανάτου, ζωῆς προξενήσασαν, τὴν ἐλπίδα διὰ πίστεως.

Ὡραῖος ὡς Ἥλιος, Ἰωακεὶμ εὐδαιμονῶν, τῇ φωσφόρῳ Σελήνῃ τῇ Ἄννῃ τέτοκε, τὴν τῆς Παρθενίας ἀκτῖνα, δι' ἧς αὐγὴ, τῆς θείας οὐσίας, σαρκὶ καθ' ὑπόστασιν, ἐνωθεῖσα ἡμῖν ἔλαμψε.

Σωφρόνως βιώσαντες, καὶ εὐσεβῶς μακάριοι, νῦν τρυφῆς τῆς ἀφράστου κατηξιώθητε, τῆς θεοφανείας τυχόντες, τοῦ ἐξ ὑμῶν,

τῷ Κόσμῳ φανέντος, ὅνπερ δυσωπήσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

[illegible] Ἐπεσκέψατο ἡμᾶς.

Ἡ Τῆς Εὔας τὴν ἀρὰν, ἐξάρασα νῦν τίκτεται, ἐκ γηραλαίων ἀκάρπων, ἐξ Ἄννης καὶ Ἰωακείμ. Ἣν σὺν Ἀγγέλοις ἅπαντες, καταχαρέως ἐν ὕμνοις, πιστοὶ εὐφημήσωμεν.

Καὶ τῆς Ἑορτῆς. Εἰς τοὺς Αἴνους, ζήτει εἰς τὴν Ἑορτήν. Δόξα, καὶ νῦν, ἦχος β΄.

Πρὸς, Σήμερον ὁ Χριστὸς ἐν Βηθλεέμ.

Σήμερον ἡ παναμώμος ἁγνὴ προῆλθεν ἐκ τῆς στείρας, σήμερον τὰ πάντα εὐφραίνονται ἐν τῇ αὐτῆς γεννήσει. ὁ Ἀδὰμ τῶν δεσμῶν ἀπολύεται, καὶ ἡ Εὔα τῆς ἀρᾶς ἠλευθέρωται. τὰ οὐράνια πάντα ἀγάλλονται, καὶ εἰρήνη τοῖς ἀνθρώποις βραβεύεται. ἡμεῖς δὲ δοξολογοῦντες βοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Εἰς τὴν Λειτουργίαν Τυπικά. καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς, ᾠδὴ γ΄, καὶ ἐκ τῆς Ἁγίας [illegible] ς΄.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Ὁ Ἀπόστολος. Πρὸς Γαλάτας Ἐπιστολῆς.

Κεφ. δ΄. 22. Ἀδελφοί, Ἀβραὰμ δύο Υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. Ἀλλ᾽ ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ τῆς ἐπαγγελίας. Ἅτινά ἐστιν ἀλληγορούμενα. Αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι· μία μὲν ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ. Τὸ γὰρ Ἄγαρ, Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλήμ, δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς. Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ Μήτηρ πάντων ἡμῶν. Γέγραπται γάρ· Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον, καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

[illegible] Ἀλληλούϊα, ἦχος δ΄.

Ἐκέκραξαν οἱ Δίκαιοι.

Στ. Σωτηρία δὲ τῶν Δικαίων.

Εὐαγγέλιον [illegible]

Κεφ. η΄. 16. Εἶπεν ὁ Κύριος, Οὐδεὶς λύχνον ἅψας, καλύπτει αὐτὸν σκεύει, ἢ ὑποκάτω κλίνης τίθησιν· ἀλλ᾽ ἐπὶ λυχνίας ἐπιτίθησιν, ἵνα οἱ εἰσπορευόμενοι βλέπωσι τὸ φῶς. Οὐ γάρ ἐστι κρυπτὸν, ὃ οὐ φανερὸν γενήσεται· οὐδὲ ἀπόκρυφον, ὃ οὐ γνωσθήσεται, καὶ εἰς φανερὸν ἔλθῃ. Βλέπετε οὖν πῶς ἀκούετε. Ὃς γὰρ ἂν ἔχῃ, δοθήσεται αὐτῷ· καὶ ὃς ἐὰν μὴ ἔχῃ, καὶ ὃ δοκεῖ ἔχειν, ἀρθήσεται ἀπ᾽ αὐτοῦ. Παρεγένοντο δὲ πρὸς αὐτὸν ἡ Μήτηρ, καὶ οἱ Ἀδελφοὶ αὐτοῦ, καὶ οὐκ ἠδύναντο συντυχεῖν αὐτῷ διὰ τὸν ὄχλον. Καὶ ἀπηγγέλθη αὐτῷ, λεγόντων· Ἡ Μήτηρ σου, καὶ οἱ Ἀδελφοί σου ἑστήκασιν ἔξω, ἰδεῖν σε θέλοντες· Ὁ δὲ ἀποκριθεὶς, εἶπε πρὸς αὐτούς· Μήτηρ μου, καὶ Ἀδελφοί μου οὗτοί εἰσιν, οἱ τὸν λόγον τοῦ Θεοῦ ἀκούοντες, καὶ ποιοῦντες αὐτόν.

Κοινωνικόν. Ἀγαλλιᾶσθε Δίκαιοι.

Μηνὶ τῷ αὐτῷ ι΄.

Τῶν ἁγίων Μαρτύρων Γυναικῶν, Μηνοδώρας, Μητροδώρας, καὶ Νυμφοδώρας.

Ἡ Ἀκολουθία τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων Γυναικῶν. ζήτει εἰς Μάρτυρας Γυναῖκας.

Μηνὶ τῷ αὐτῷ ια΄.

Τῆς Ὁσίας Μητρὸς ἡμῶν Θεοδώρας τῆς ἐν Ἀλεξανδρείᾳ. Ἐν ταύτῃ τῇ ἡμέρᾳ ψάλλεται, καὶ ἡ Ἀκολουθία τοῦ Ἁγίου Μάρτυρος Αὐτονόμου, διὰ τὸ ἀποδίδοσθαι ἐν τῇ ιβ΄. τὴν Ἑορτὴν τῆς Ὑπεραγίας Θεοτόκου. Ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίαν Γυναῖκα· καὶ τοῦ Ἁγίου, ζήτει εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιβ΄.

Τοῦ Ἁγίου Μάρτυρος Αὐτονόμου. Ἰστέον, ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ Ἑορτὴ, καὶ ψάλλονται πάντα τῆς Ἑορτῆς ἔν τε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ. ἡ δὲ τοῦ Ἁγίου Ἀκολουθία ψάλλεται τῇ ια΄.

Μηνὶ τῷ αὐτῷ ΙΓ΄.

Μνήμη τῶν Ἐγκαινίων τῆς Ἁγίας τοῦ Χριστοῦ ἡμῶν Ἀναστάσεως, καὶ προεόρτια τῆς Ὑψώσεως τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, καὶ τοῦ Ἁγίου Ἱερομάρτυρος Κορνηλίου τοῦ Ἑκατοντάρχου.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ ιγ΄. τοῦ Σεπτεμβρίου ἐν Κυριακῇ, καταλιμπάνεται ἡ Ἀκολουθία τοῦ Ἁγίου Κορνηλίου, καὶ ψάλλεται ὅτε θέλῃ ὁ Ἐκκλησιάρχης. ψάλλονται δὲ τὰ Ἀναστάσιμα μετὰ τῆς Ἀκολουθίας τῶν Ἐγκαινίων, καὶ τῶν προεορτίων τοῦ τιμίου Σταυροῦ.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν τὰ ἰδιόμελα τῶν Ἐγκαινίων γ΄. καὶ τοῦ Ἁγίου προσόμοια γ΄. ἦχος πλ. β΄.

Ἐγκαίνια τιμᾶσθαι, παλαιὸς νόμος, καὶ καλῶς ἔχων· μᾶλλον δὲ τὰ νέα τιμᾶσθαι, δι᾽ ἐγκαινίων. ἐγκαινίζονται γὰρ νῆσοι πρὸς Θεόν, ὥς φησιν Ἠσαΐας, ἅς τινας ὑποληπτέον τὰς τῶν Ἐθνῶν Ἐκκλησίας, ἄρτι καθισταμένας, καὶ πῆξιν λαμβανούσας βάσιμον τῷ Θεῷ. διὸ καὶ ἡμεῖς τὰ παρόντα Ἐγκαίνια, πνευματικῶς πανηγυρίσωμεν.

Ὁ αὐτός.

Ἐγκαινίζεσθε ἀδελφοί, καὶ τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενοι, ἐν καινότητι ζωῆς πολιτεύεσθε, πᾶσι χαλινὸν ἐπιθέντες, ἐξ ὧν ὁ θάνατος· πάντα τὰ μέλη παιδαγωγήσωμεν, πᾶσαν πονηρὰν τοῦ ξύλου βρῶσιν μισήσαντες, καὶ διὰ τοῦτο μόνον μεμνημένοι τῶν παλαιῶν, ἵνα φύγωμεν. οὕτως ἐγκαινίζεται ἄνθρωπος, οὕτω τιμᾶται ἡ τῶν Ἐγκαινίων ἡμέρα.

Ὁ αὐτός. Ἀνατολίου.

Ὡς πύργον ἰσχύος, τὴν Ἐκκλησίαν σου Χριστέ, προαιώνιε Λόγε. ἐθεμελίωσας γὰρ αὐτὴν, ἐπὶ πέτραν τῆς Πίστεως. διὸ ἀσαλεύτως διαμένει εἰς τὸν αἰῶνα, ἔχουσα σὲ τὸν δι᾽ αὐτὴν ἐπ᾽ ἐσχάτων, ἀτρέπτως γενόμενον ἄνθρωπον. Εὐχαριστοῦντες οὖν, ἀνυμνοῦμέν σε λέγοντες· Σὺ εἶ ὁ πρὸ τῶν αἰώνων, καὶ ἐπ᾽ αἰῶνα, καὶ ἔτι Βασιλεὺς ἡμῶν, δόξα σοι.

Καὶ τοῦ Ἁγίου προσόμοια γ΄. Ζήτει εἰς Ἱερομάρτ.

Δόξα, ἦχος πλ. β΄. Ἰωάννου Μοναχοῦ.

Τὴν μνήμην τῶν Ἐγκαινίων, ἐπιτελοῦντες Κύριε. σὲ τὸν τοῦ ἁγιασμοῦ δοτῆρα δοξάζομεν. δεόμενοι, ἁγιασθῆναι ἡμῶν τὰ αἰσθητήρια τῶν ψυχῶν, τῇ πρεσβείᾳ τῶν ἐνδόξων Ἀθλοφόρων, ἀγαθὲ παντοδύναμε.

Καὶ νῦν. Ὁ αὐτός.

Σήμερον ξύλον ἐφανερώθη· σήμερον γένος Ἑβραίων ἀπώλετο. σήμερον διὰ πιστῶν Βασιλέων, ἡ Πίστις φανεροῦται. καὶ ὁ Ἀδὰμ διὰ τοῦ ξύλου ἐξέπεσε· καὶ πάλιν διὰ ξύλου δαίμονες ἔφριξαν, παντοδύναμε Κύριε δόξα σοι.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα.

Κεφ. η. 22. Ἔστη Σολομὼν κατὰ πρόσωπον τοῦ θυσια-
στηρίου Κυρίου, ἐνώπιον πάσης Ἐκκλη-
σίας Ἰσραήλ. καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ
εἰς τὸν Οὐρανόν, καὶ εἶπε· Κύριε ὁ Θεὸς Ἰσ-
ραήλ, οὐκ ἔστι Θεὸς ὡς σὺ ἐν τῷ Οὐρανῷ ἄνω,
καὶ ἐπὶ τῆς γῆς κάτω. Εἰ ὁ Οὐρανὸς καὶ ὁ Οὐ- 27.
ρανὸς τοῦ Οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πῶς ὁ οἶ-
κος οὗτος, ὃν ᾠκοδόμησα ἐν τῷ ὀνόματί σου.
Πλὴν καὶ ἐπιβλέψῃ ἐπὶ τὴν προσευχήν μου
καὶ ἐπὶ τὴν δέησίν μου, Κύριε ὁ Θεὸς Ἰσραήλ,
ἀκούειν τῆς δεήσεως, καὶ τῆς προσευχῆς, ἧς ὁ
δοῦλός σου προσεύχεται ἐνώπιόν σου πρὸς σὲ σή-
μερον. Τοῦ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμέ-
νους εἰς τὸν οἶκον τοῦτον ἡμέρας καὶ νυκτός, εἰς
τὸν τόπον τοῦτον ὃν εἶπας, ἔσται τὸ ὄνομά μου
ἐκεῖ. Τοῦ εἰσακούειν τῆς προσευχῆς, ἧς προ-
σεύχεται ὁ δοῦλός σου εἰς τὸν τόπον τοῦτον ἡ-
μέρας καὶ νυκτός. Καὶ εἰσακούσῃ τῆς δεήσεως
τοῦ δούλου σου, καὶ τοῦ λαοῦ σου Ἰσραήλ, ἃ ἂν
προσεύχωνται εἰς τὸν τόπον τοῦτον. καὶ σὺ
εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς κατοικήσεώς σου
ἐν τῷ Οὐρανῷ, καὶ ποιήσεις, καὶ ἵλεως ἔσῃ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν, Κεφ.
ἡτοίμασε δὲ Οὐρανοὺς ἐν φρονήσει. Ἐν γ. 19
αἰσθήσει αὐτοῦ Ἄβυσσοι ἐῤῥάγησαν, νέφη
δὲ ἐῤῥύη δρόσον. Υἱὲ μὴ παραῤῥυῇς, τή-
ρησον δὲ ἐμὴν βουλὴν καὶ ἔννοιαν· Ἵνα ζήσῃ
ἡ ψυχή σου, καὶ χάρις ᾖ περὶ σῷ τραχή-
λῳ. ἔσται δὲ ἴασις ταῖς σαρξί σου, καὶ ἐπιμέ-
λεια τοῖς ὀστέοις σου. Ἵνα πορεύῃ πεποιθὼς ἐν
εἰρήνῃ πάσας τὰς ὁδούς σου· ὁ δὲ πούς σου οὐ μὴ
προσκόψῃ. Ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ·
ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις. Καὶ οὐ φο-
βηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀ-
σεβῶν ἐπερχομένας. Ὁ γὰρ Κύριος ἔσται ἐπὶ
πασῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν πόδα, ἵνα μὴ
σαλευθῇς. Μὴ ἀπόσχου εὖ ποιεῖν ἐνδεῆ, ἡνί-
κα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν. Μὴ εἴπῃς,
ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνα-
τοῦ σου ὄντος εὖ ποιεῖν. οὐ γὰρ οἶδας τί τέξε-
ται ἡ ἐπιοῦσα. Μὴ τέκταινε ἐπὶ σὸν φίλον
κακά, παροικοῦντα καὶ πεποιθότα ἐπὶ σοί.
Μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην,
ἵνα μή τι εἰς σὲ ἐργάσηται κακόν. Μὴ κτή-
σῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλώσῃς τὰς ὁδοὺς
αὐτῶν. Ἀκάθαρτος γὰρ ἔναντι Κυρίου πᾶς
παράνομος, ἐν δὲ δικαίοις οὐ συνεδρεύει.
Κατάρα Κυρίου ἐν οἴκοις ἀσεβῶν· ἐπαύλεις
δὲ δικαίων εὐλογοῦνται. Κύριος ὑπερηφάνοις
ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.



Δημόσια Κεντρική Βιβλιοθήκη

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον. Ζήτει Σεπτεμβρίῳ ηʹ.

Εἰς τὴν Λιτήν, ἃ θέλεις ποιῆσαι, Στιχηρὰ ἰδιόμελα. Ἦχος αʹ. Ἰωάννου Μοναχοῦ.

Ἐγκαινίζου ἐγκαινίζου ἡ νέα Ἱερουσαλήμ· ἧκε γάρ σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκε. τοῦτον τὸν οἶκον, ὁ Πατὴρ ᾠκοδόμησε. τοῦτον τὸν οἶκον, ὁ Υἱὸς ἐστερέωσε· τοῦτον τὸν οἶκον, τὸ Πνεῦμα τὸ Ἅγιον ἀνεκαίνισε· τὸ φωτίζον, καὶ στηρίζον, καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός. Ἀνατολίου.

Πάλαι μὲν ἐγκαινίζων τὸν Ναὸν ὁ Σολομὼν, ἀλόγων ζώων θυσίας, καὶ ὁλοκαυτώματα προσέφερε Κύριε. ὅτε δὲ ηὐδόκησας Σωτὴρ, τοὺς τύπους μὲν ἀργῆσαι, γνωσθῆναι δὲ τὴν ἀλήθειαν, ἀναιμάκτους θυσίας, τὰ πέρατα τοῦ Κόσμου προσφέρει τῇ δόξῃ σου. πάντων γὰρ δεσπόζων, τὰ πάντα ἁγιάζεις τῷ Ἁγίῳ Πνεύματι.

Ἦχος δʹ. Ἰωάννου Μοναχοῦ.

Ἐγκαινίζεται σήμερον, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, τῷ τιμίῳ, καὶ ζωηῤῥύτῳ αἵματι, τῆς ἀχράντου, καὶ ἀκηράτου πλευρᾶς, τοῦ σαρκωθέντος ἐκ τῆς Ἁγίας Παρθένου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. διὸ ἀθροισθεῖσαι τῶν πιστῶν αἱ χορεῖαι, δοξάσωμεν τὸν Πατέρα, καὶ Υἱὸν, καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν μίαν Θεότητα, τὴν κρατοῦσαν τὰ σύμπαντα.

Δόξα, ἦχος πλ. αʹ.

Ὁ ἐπὶ τῶν κόλπων τῶν Πατρικῶν ἐπαναπαυόμενος Λόγε, τὸ Πνεῦμά σου τὸ Ἅγιον ἐγκαίνισον ἐν τῷ Ναῷ, τῷ εἰς τὸ ὄνομά σου ἀνεγηγερμένῳ.

Καὶ νῦν, ἦχος πλ. βʹ.

Σήμερον ξύλον ἐφανερώθη. Ζήτει ἔνωθεν εἰς τὸν Ἑσπερινόν.

Εἰς τὸν Στ. Στ. τοῦ Σταυροῦ, ἦχος πλ. αʹ.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ ζωηφόρος Σταυρός. Ζήτει εἰς τὴν ιδʹ. τοῦ αὐτοῦ.

Δόξα, καὶ νῦν, ἦχος βʹ. Ἀνατολίου.

Τὸν Ἐγκαινισμὸν τελοῦντες, τοῦ πανιέρου ναοῦ τῆς σῆς Ἀναστάσεως, σὲ δοξάζομεν Κύριε, τὸν ἁγιάσαντα τοῦτον, καὶ τελειώσαντα τῇ αὐτοτελεῖ σου χάριτι· καὶ τερπόμενον ταῖς ἐν αὐτῷ ἱερουργουμέναις, ὑπὸ πιστῶν μυστικαῖς, καὶ ἱεραῖς τελεταῖς· καὶ προσδεχόμενον ἐκ χειρὸς τῶν δούλων σου, τὰς ἀναιμάκτους, καὶ ἀχράντους θυσίας. ἀντιδιδόντα δὲ τοῖς ὀρθῶς προσφέρουσι, τὴν τῶν ἁμαρτημάτων κάθαρσιν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός.

Θεῖος θησαυρὸς ἐν γῇ κρυπτόμενος. Ζήτει εἰς τὴν Λιτὴν τοῦ Σταυροῦ.

Τροπάριον, ἦχος δʹ.

Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν, καὶ τὴν κάτω συναπέδειξας ὡραιότητα, τοῦ ἁγίου σκηνώματος τῆς δόξης σου Κύριε. κραταίωσον αὐτὸν εἰς αἰῶνα αἰῶνος, καὶ πρόσδεξαι ἡμῶν, τὰς ἐν αὐτῷ ἀπαύστως προσαγομένας σοι δεήσεις· πρεσβείαις τῆς Θεοτόκου, ἡ πάντων ζωή, καὶ ἀνάστασις.

Δόξα, καὶ νῦν, ἦχος βʹ.

Ὃν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις Κύριε, σοὶ προσάγομεν εἰς πρεσβείαν. σῶζε τοὺς Βασιλεῖς, καὶ τὴν Πόλιν σου, ἱκετεύοντας διὰ τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν αʹ. Στιχολογίαν, Κάθισμα, ἦχος πλ. δʹ.

Τὸ προσταχθὲν μυστικῶς.

Οὗ μαρτυρίου τὴν σκηνὴν Χριστὸς παρέδειξε, καὶ ὁ θεσπέσιος Μωσῆς ἐν γῇ ἐπήξατο, καὶ Ναὸν ἐγκαινίζει, Σολομὼν ἐν θυσίαις. ἡμεῖς δὲ οἱ πρὸς τὴν νέαν Ἱερουσαλήμ, τῇ πίστει καταφεύγοντες δαβιτικῶς, δῶμεν θείαν ἀνύμνησιν, τῷ σταυρωθέντι δι' ἡμᾶς, αἰτούμενοι συγχώρησιν, πάντων ὧνπερ ἡμάρτομεν. Δίς.

Μετὰ τὴν βʹ. Στιχολογίαν, Κάθισμα, ἦχος δʹ.

Ταχὺ προκατάλαβε.

Ἑόρτιος σήμερον, τῶν Ἐγκαινίων πιστοί, ἡμέρα κατέλαβεν ἡμᾶς προτρέπουσα, τὴν ἐκλογὴν τοῦ Χριστοῦ, πάντας ἐγκαινισθῆναι, καὶ φαιδρῷ τῷ προσώπῳ, ᾄσματα τῷ Δεσπότῃ, ἐκ μυχοῦ τῆς καρδίας, αἰνέσαι πιστῶς ὡς λυτρωτῇ, καὶ ἡμᾶς ἐγκαινίζοντι. Δίς.

Κανόνες γʹ. ὁ προεόρτιος τοῦ Σταυροῦ μετὰ τῶν Εἱρμῶν εἰς ϛʹ. καὶ τῶν Ἐγκαινίων εἰς δʹ. καὶ τοῦ Ἁγίου εἰς δʹ. Κανὼν προεόρτιος, οὗ ἡ ἀκροστιχὶς, κατ' Ἀλφάβητον, ἄνευ τῶν Θεοτοκίων. Ἰωσήφ.

ᾨδὴ αʹ. Ἦχος δʹ. Ὁ Εἱρμός.

Τριστάτας κραταιοὺς, ὁ τεχθεὶς ἐκ Παρθένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς τὸ

τρι-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

τερμερὲς καταπόντισον δέομαι, ὅπως σοι ὡς ἐν τυμπάνῳ τῇ νεκρώσει τοῦ σώματος, ἐπινίκιον ᾄσω μελῴδημα.

Ἀγάλλου Οὐρανέ, καὶ ἡ γῆ εὐφραινέσθω, ὁ πανάγιος Σταυρός, προέρχεται ἡμᾶς, ἁγιάζων ἐν χάριτι, τοῦτον κατασπαζομένους, ὡς πηγὴν ἁγιάσματος, καὶ τῆς πάντων θεώσεως αἴτιον.

Βαδίζειν εὐσεβῶς, τὴν οὐράνιον τρίβον, ἐνδυνάμωσον ἡμᾶς, πανάγιε Σταυρέ, τοὺς πιστῶς προσκυνοῦντάς σε· ὅπως τὰ τῶν ἐναντίων, ἀποκλίναντες βάραθρα, κοινωνοὶ θείας δόξης γενώμεθα.

Γνωστοὶ τῷ Ποιητῇ, διὰ σοῦ γεγονότες, πανσεβάσμιε Σταυρέ, καρδίᾳ καὶ ψυχῇ, προσπτυσσόμεθα πάντοτε, σὲ προκείμενον ὁρῶντες, καὶ τὸν νοῦν φωτιζόμεθα, τὸν παναίτιον Λόγον δοξάζοντες. Θεοτοκίον.

Ἡ Πόλις τοῦ Θεοῦ, τὸ τοῦ παμβασιλέως, θεοδόχον εὐαγές, κειμήλιον σεπτόν, Θεοτόκε Παναμώμε, φρούρησον τὴν κληρουχίαν, τὴν ἀεὶ εὐφημοῦσάν σε, καὶ γεραίρουσαν πίστει τὸν τόκον σου.

Ἕτερος Κανὼν τῶν Ἐγκαινίων, ἦχος δ'.
ᾨδὴ α'. Θαλάσσης τὸ ἐρυθραῖον.
Ἰωάννου Μοναχοῦ.

Ὁ Στύλῳ καθοδηγῶν τὸ πρότερον, τὸν ἐκλεκτὸν Ἰσραήλ, διὰ λουτροῦ βαπτίσματος Χριστέ, ἐν Σιὼν κατεφύτευσας, τὴν Ἐκκλησίαν κράζουσαν· ᾄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Σήμερον τῆς ἀπροσίτου δόξης σου, ἡ ἐπιφοίτησις, τὸν ἐπὶ γῆς παγέντα σοι Ναόν, Οὐρανὸν κατεσκεύασεν, ἐν ᾧ συμφώνως ψάλλομεν· ᾄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν.

Οὐ νόμῳ ἡ Ἐκκλησία Κύριε, ἐγκαλλωπίζεται, οὐ δουλικῶν ἐκτάσεσι χειρῶν, τοῦ Σταυροῦ δὲ τῇ χάριτι, ἐγκαυχωμένη ψάλλει σοι· ᾄσωμεν ᾆσμα τῷ Θεῷ ἡμῶν. Θεοτοκίον.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱόν· καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Καὶ τοῦ Ἁγίου.
Ζήτει εἰς ἕνα Ἱερομάρτυρα.
Καταβασία. Σταυρὸν χαράξας Μωσῆς.
ᾨδὴ γ'. Ὁ Εἱρμός.

Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει, καὶ πλούτῳ καυχώμεθα· ἀλλ' ἐν σοὶ τῇ τοῦ Πατρός, ἐνυποστάτῳ Σοφίᾳ Θεοῦ. οὐ γάρ ἐστιν ἅγιος, πλὴν σοῦ φιλάνθρωπε.

Δόξαν Χριστοῦ σε, χρηματίσαντα πιστοὶ δοξάζομεν, δοξαζόμενοι ταῖς σαῖς, δεδοξασμένε Κυρίου Σταυρέ, σεπταῖς περιπτύξεσι, καὶ φωτιζόμενοι.

Ἐν εὐφροσύνῃ, προσελθόντες πιστοὶ ἀρυσώμεθα, ὡς ἐκ κρήνης καθαρᾶς, τοῦ Σταυροῦ ἀέναα νάματα· καὶ διασωζόμενοι, Θεὸν ὑμνήσωμεν.

Ζωὴ ὑπάρχων, Ἰησοῦς κρεμασθεὶς τεθανάτωται, ἐπὶ ξύλου τοῦ Σταυροῦ· ὃν νῦν πιστῶς προσπτυσσόμενοι, πάθη ἀποφεύγομεν, θανάτου πρόξενα. Θεοτοκίον.

Ἐπιφανοῦσα, τῆς ψυχῆς μου τὸ σκότος ἀπέλασον, ἁμαρτίας τὰς σειράς, Ἁγνὴ Παρθένε διάρρηξον. σῶσόν με κυήσασα, τὸν πανοικτίρμονα.

Ἄλλος. Εὐφραίνεται ἐπὶ σοί.

Ἡγίασας ἐπὶ γῆς, τὴν Ἐκκλησίαν σου Χριστὲ Πνεύματι, χρίσας αὐτὴν σήμερον, σῆς ἀγαλλιάσεως ἔλαιον.

Θεμέλιόν σε Χριστέ, ἡ Ἐκκλησία ἀρραγὲς ἔχουσα, τῷ σῷ Σταυρῷ στέφεται, ὡς βασιλικῷ διαδήματι.

Ἀνέδειξας ἀγαθέ, τὴν χειροποίητον σκηνὴν σήμερον, τῆς ὑπὲρ νοῦν δόξης σου, οἰκονομικῶς οἰκητήριον. Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας. ὅθεν σοι τὸ χαῖρε προσάγομεν.

Κάθισμα. ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὰ πάντα ἐφώτισε, τῇ παρουσίᾳ Χριστός, τὸν Κόσμον ἀνεκαίνισε Πνεύματι θείῳ αὐτοῦ· ψυχαὶ ἐγκαινίζονται. οἶκος γὰρ ἀνετέθη, νῦν εἰς δόξαν Κυρίου. ἔνθα καὶ ἐγκαινίζει τῶν πιστῶν τὰς καρδίας, Χριστὸς ὁ Θεὸς ἡμῶν, εἰς σωτηρίαν βροτῶν. Δίς.

Τοῦ Σταυροῦ, Ὅμοιον.

Σταυρόν, καὶ τὸν θάνατον, ὑπὲρ ἡμῶν ἀγαθέ, δι' ἄμετρον ἔλεος ἑκὼν ὑπέμεινας, καὶ κρίσιν τὴν ἄδικον· ὅπως τῆς καταδίκης, καὶ ἀρχαίας κατάρας, ταύτης ἐλευθερώσῃς, τοὺς ἀπάτῃ φθαρέντας. διό σου καὶ προσκυνοῦμεν, Λόγε τὴν Σταύρωσιν.

ᾨδὴ δ'. Ὁ Εἱρμός.

Δι' ἀγάπησιν Οἰκτίρμων τῆς σῆς εἰκόνος, ἐπὶ Σταυροῦ σου ἔστης, καὶ ἐτάκησαν



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἔθνη. σὺ γὰρ ὦ φιλάνθρωπε, ἰσχύς μου καὶ ὕμνησις.

Ἡ Διόμορφος ὁρώμενος προσκυνᾶται, ὑπὸ πιστῶν ἀνθρώπων, ὁ Σταυρὸς τοῦ Κυρίου· ὃν κατασπαζόμενοι, ψυχὰς φωτιζόμεθα.

Θεὸς Κύριος σαρκούμενος ἐπεφάνη, καὶ ὑψωθεὶς ἐν ξύλῳ, τοὺς αὐτὸν προσκυνοῦντας, φωτίζει ἑκάστοτε, δεινῶν ἐξαιρούμενος.

Ἱλασμὸν ἡμῖν, καὶ ἄφεσιν τῶν πταισμάτων, Λόγε Θεοῦ παράσχου, τοῖς πιστῶς προσκυνοῦσι, σήμερον προκείμενον, Σταυρόν σου τὸν τίμιον. Θεοτοκίον.

Μὴ κενώσας τοὺς πατρῴους ὁ Λόγος κόλπους, σοῦ ἐν τοῖς κόλποις Κόρη, ἀνεκλίθη ὡς βρέφος, θέλων ἀναπλάσαι με φθορᾷ ὑποκείμενον.

Ἄλλος. Ἐπαρθεύτα σε.

Οὐκ ἐν θύμασιν ἀλόγων ἡ Ἐκκλησία, ἀλλὰ τῷ σῷ τιμίῳ, ἐκ πλευρᾶς ζωηφόρου, αἵματι ῥαντίζεται, ἀκόπως κραυγάζουσα· δόξα τῇ δυνάμει σου Κύριε.

Τὰ Σκηνώματα Κυρίου ἠγαπημένα, τοῖς κατιδεῖν ποθοῦσιν ἀνακεκαλυμμένως, τὴν δόξαν τοῦ προσώπου αὐτοῦ, συμφώνως κραυγάζουσι· δόξα τῇ δυνάμει σου Κύριε.

Εἰκονίζουσα τὴν χάριν ἡ Ἐκκλησία, τοῦ ἐκλεκτοῦ λαοῦ σου τὸ πολύτιμον μύρον, σήμερον ἀλείφεται, τὴν θείαν τοῦ Πνεύματος, χάριν ἀοράτως λαμβάνουσα. Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας, ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν. ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Τὸν φωτισμόν σου Κύριε, κατάπεμψον ἡμῖν, καὶ τοῦ ἀχλύος ἡμᾶς τῶν πταισμάτων λῦσον ἀγαθέ, τὴν σὴν εἰρήνην οὐρανόθεν δωρούμενος.

Ἀπὸ παθῶν ἐνίσχυσον ἡμᾶς φθοροποιῶν, τοὺς σὲ τιμῶντας, καὶ ἀσπαζομένους τίμιε Σταυρέ, ἁγίου Πάθους, ἁγιώτατον σύμβολον.

Λελαμπρυσμένοι σήμερον, καρδίας καὶ ψυχάς, καλῶν ἰδέαις, προσέλθωμεν πιστοί· καὶ τὸ ἱερόν, καὶ θεῖον ξύλον, τοῦ Σταυροῦ προσκυνήσωμεν.

Μερρᾶς γλυκαίνει πρότερον, τὰ ὕδατα Μωσῆς, σημαίνων ξύλῳ, σὲ τίμιε Σταυρέ, δι' οὗ γλυκασμὸν σωτηριώδη, τοῖς βροτοῖς ἐναπέσταξας. Θεοτοκίον.

Ὑπὲρ ἡμῶν δυσώπησον, Χριστὸν τὸν ἐκ τῶν σῶν, ἁγνῶν αἱμάτων περιθέμενον Κόρη, σάρκα ὑλικὴν ἠμφιεσμένον, καὶ βροτοὺς ἀναπλάσαντα.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Σὺ πάλαι ἐν Σινᾷ, σκηνὴν ἀχειροποίητον, ὑπέδειξας τῷ θεόπτῃ, Μωϋσῇ διαγράφων, Χριστὲ τὴν Ἐκκλησίαν σου.

Σὺ Κύριε σκηνήν, ἐπὶ γῆς κατεσκεύασας· σὺ τάξεσιν οὐρανίαις, τῶν βροτῶν τὰς χορείας, συνάπτεις τῇ δυνάμει σου.

Σὲ Κύριε πηγήν, τῆς ζωῆς ἐπιστάμεθα· σὺ Ἅγιε τὴν εἰρήνην, ἐλθὼν εὐηγγελίσω, Χριστὲ τῇ Ἐκκλησίᾳ σου. Θεοτοκίον.

Σὲ ὅπλον ἀρραγές, κατ' ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν, καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ κατεπόντισέ με, καταιγὶς πολλῶν ἁμαρτημάτων. ἀλλ' ὡς Θεός, ἐκ φθορᾶς ἀνάγαγε, τὴν ζωήν μου ὡς φιλάνθρωπος.

Νυγεὶς ἐπὶ σοὶ πλευρὰν ὁ Κτίστης, Σταυρὲ ἐθελουσίως, ἀνηρτημένος αἷμα, καὶ ὕδωρ, ἀποκενοῖ· δι' ὧν ἀνεπλάσθημεν, οἱ πιστῶς σε ἀσπαζόμενοι.

Ζυγὸν ζωοδώρητον Κυρίου, πηγὴ ἀθανασίας, ἀπολύτρωσις παντὸς τοῦ Κόσμου, σῶζε ἡμᾶς, τοὺς ἀσπαζομένους σε, ὡς φρουρὸν ἡμῶν σωτήριον.

Ὅπλον ἡμῖν ἄρρηκτον ἐδόθης, δι' οὗ νικῶμεν πάσας, τὰς ἐνέδρας τῶν ἀντικειμένων, θεῖε Σταυρέ, οἱ ψυχῆς εὐθύτητι, ἱερῶς σε ἀσπαζόμενοι. Θεοτοκίον.

Ἅγιος ναὸς τοῦ ἐν Ἁγίοις, ἐπαναπεπαυμένου, ἐχρημάτισας Θεογεννῆτορ. ὅθεν ἡμᾶς, τοὺς πιστῶς ὑμνοῦντάς σε, ἁγιάζεις Μητροπάρθενε.

Ἄλλος. Θύσω σοι, μετὰ φωνῆς.

Τοῦ κάλλους, ὁ Βασιλεὺς Χριστός, ἐπεθύμησε, νῦν τῆς σεπτῆς Ἐκκλησίας. καὶ Ἐθνῶν μητέρα ἀπέδειξεν, ἐκ δουλείας, υἱοθετουμένων διὰ τοῦ Πνεύματος.

Φρίττουσι, τῶν δυσμενῶν δαιμόνων αἱ φάλαγγες, τὴν τοῦ Χριστοῦ Ἐκκλησίαν, τοῦ Σταυροῦ τῷ τύπῳ σημασμένην. καὶ σκιά-

ζει,

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζει, ἁγιαστικὴ τοῦ Πνεύματος ἔλλαμψις.

Οὐ ψάμμον, ἀλλὰ Χριστὸν θεμέλιον ἔχουσα, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, στεφανοῦται κάλλει τῷ ἀπροσίτῳ, καὶ διαδήματι, τῆς Βασιλείας ἐγκαλλωπίζεται. Θεοτοκίον.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον· ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα, περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Κοντάκ. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Οὐρανὸς πολύφωτος ἡ Ἐκκλησία, ἀνεδείχθη ἅπαντας φωταγωγοῦσα τοὺς πιστούς, ἐν ᾧ ἑστῶτες κραυγάζομεν· τοῦτον τὸν οἶκον στερέωσον Κύριε. Ὁ Οἶκος.

Ἐπιδημήσαντος ἡμῖν τοῦ Λόγου κατὰ σάρκα, ὁ τῆς βροντῆς μὲν γόνος φησὶ καθυπογράφων· ἐθεασάμεθα φαιδρῶς τὴν δόξαν, ἣν εἶχεν ὁ Υἱὸς παρὰ Πατρός, ἐν ἀληθείᾳ καὶ χάριτι. ὅσοι δὲ πίστει τοῦτον ἐλάβομεν, ἔδωκε τοῖς πᾶσιν ἐξουσίαν, τοῦ γενέσθαι τέκνα Θεοῦ. οἱ οὐκ ἐξ αἱμάτων, οὐδὲ ἐκ θελήματος σαρκὸς ἀναγεννηθέντες, ἀλλ' ἐκ Πνεύματος Ἁγίου ἐπαυξηθέντες, οἶκον προσευχῆς ἐπήξαμεν, καὶ βοῶμεν. Τοῦτον τὸν οἶκον στερέωσον Κύριε.

Μηνὶ τῷ αὐτῷ ΙΓ΄. Μνήμη τῶν Ἐγκαινίων τῆς Ἁγίας τοῦ Χριστοῦ, καὶ Θεοῦ ἡμῶν Ἀναστάσεως.

Νόμον παλαιὸν Ἰσραὴλ πληρῶν Νέος, ἐγκαινίοις σοι τὸν Τάφον τιμᾷ Λόγε.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Νέοι τρεῖς ἐν Βαβυλῶνι, πρόσταγμα τυραννικόν, εἰς φληνάφον θέμενοι, μέσον τοῦ πυρὸς ἀνεβόων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Πάλαι ἐν ταῖς εὐλογίαις, τῶν παίδων ὁ Ἰακώβ, σὲ προδιεχάραττε τίμιε Σταυρέ. ἀλλ' ἡμεῖς σε νῦν προσκυνοῦντες πάντοτε, φωτισμὸν ἀρυόμεθα.

Ῥάβδῳ σε προεικονίζει, θεῖος πάλαι Μωϋσῆς, Σταυρὲ τέμνων θάλασσαν. ἡμεῖς δέ σε νῦν προσκυνοῦντες, παθῶν ἀβρόχως πέλαγος, χαλεπὸν περαιούμεθα.

Στόματί σε, καὶ καρδίᾳ, πανσεβάσμιε Σταυρέ, νῦν περιπτυσσόμενοι, τὸν ἁγιασμὸν τὴν ὑγείαν, τὴν σωτηρίαν πάντοτε, ἀπαντλοῦμεν ψυχῆς τε, καὶ σώματος. Θεοτοκίον.

Παρθένε εὐλογημένη, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἱκετευόντων σε. εἰς σὲ γὰρ ἐλπίζομεν πάντες, καὶ σοὶ βοῶμεν Δέσποινα, μὴ παρίδῃς τὴν ποίμνην σου.

Ἄλλος. Ἐν τῇ καμίνῳ.

Δροσοβόλος μέν, ἡ καμιναία φλὸξ ἐδείχθη ποτὲ νῦν δὲ τῆς ἐλαίας χρίσμα Πνευματικόν, ἁγιάζει τοὺς κραυγάζοντας· Εὐλογημένος εἶ ἐν τῷ ναῷ, τῆς δόξης σου Κύριε.

Ὡς ἐν καμίνῳ, τῇ θεοδόχῳ ταύτῃ νέᾳ σκηνῇ, πάντες οἱ ἐξ Ἰσραὴλ τοῦ Πνευματικοῦ, δροσιζόμενοι βοήσωμεν· εὐλογημένος εἶ ἐν τῷ ναῷ, τῆς δόξης σου Κύριε.

Οἱ τετρωμένοι τῷ γλυκυτάτῳ θείῳ ἔρωτι, δεῦτε ἐν παστάδι ταύτῃ βασιλικῇ, συνευφρανθῶμεν τῷ Νυμφίῳ Χριστῷ· εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε. Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις Παναμώμε Δέσποινα.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Τὸν ὑπερυψούμενον... Ὑπερυψωτὰ τοῦ παντὸς παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Τὸ σωτήριον ὅπλον, καὶ ἄρρηκτον, τῶν πιστῶν τὴν ἑτοίμην βοήθειαν, τὴν κραταιὰν ἀντίληψιν, τὸν Σταυρὸν τοῦ Κυρίου, νῦν προσκυνοῦμεν, κατενώπιον πάντων προκείμενον.

Ὑψηλῶς ἐπὶ ξύλου ἀνήρτησεν, ἐγκαρσίως τὸν ὄφιν ὡς γέγραπται, ὁ Μωϋσῆς προγράφων σε, πανσεβάσμιον ξύλον· δι' οὗ τῆς πλάνης, νοητῶν ἐκλυτρούμεθα ὄφεων.

Φωτισμὸς τῶν ψυχῶν ἡμῶν πέφυκας, φωτοδότα Σταυρὲ πανσεβάσμιε. σὲ γὰρ περιπτυσσόμενοι. τὰς ἀρχάς τε τοῦ σκότους, καὶ ἐξουσίας, ἐκτρεπόμεθα θείᾳ δυνάμει σου. Θεοτοκίον.

Τὴν ἁγνήν, καὶ Παρθένον τιμήσωμεν, τὴν τὸν ἄναρχον Λόγον, καὶ ἄκτιστον, ὑπερφυῶς κυήσασαν, εἰς ἡμῶν σωτηρίαν ἀναβοῶντες· εὐλογοῦμεν Παρθένε τὸν τόκον σου.

Ἄλλος. Χεῖρας ἐκπετάσας.

Σήμερον χιτῶνα νοητόν, τὸν ἄνωθεν ὑφαντόν, ἐκ θείας χάριτος, ἡ Ἐκκλησία σου Κύριε, ὥσπερ Νύμφη ἐστολίσατο. καὶ τοὺς οἰ-



Δημόσια Κεντρική Βιβλιοθήκη

κάους συγκαλεῖ πρὸς εὐφροσύνην λαούς, ἐκβοῶντας· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Σήμερον ὁ δεύτερος Ἀδάμ, Χριστὸς ἀνέδειξε, Παράδεισον νοητόν, τὴν νέαν ταύτην σκηνήν, φέρουσαν, κατὰ ξύλου τοῦ τῆς γνώσεως, τὸ ζωηφόρον τοῦ Σταυροῦ, ὅπλον τοῖς ψάλλουσιν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Πατρὸς ἐξ ἀνάρχου σε Υἱόν, καὶ Πνεῦμα Ἅγιον, μίαν Θεότητα, τελείαν ἄναρχον ἄτμητον, ὁμοούσιον ἀσύγχυτον, ἐν ὑποστάσεσι τρισί, σέβοντες ψάλλομεν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ· σὺ τῆς Θεότητος γέγονας ἐνδιαίτημα πανάμωμε· μὴ φλογισθεῖσα τῷ πυρί, τοῦ ἀπροσίτου φωτός. ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ὁ τόκος σου ἄφθορος ἐδείχθη, Θεὸς ἐκ λαγόνων σου προῆλθε, σαρκοφόρος ὡς ὤφθη, ἐπὶ γῆς καὶ τοῖς ἀνθρώποις συνανεστράφη. σὲ Θεοτόκε, διὸ πάντες μεγαλύνομεν.

Χριστὸς ἐπὶ σοὶ ἀνηρτημένος, τὸν Κόσμον ἀνύψωσε πεσόντα, εἰς βυθὸν ἀπωλείας, ἀληθῶς Σταυρὲ Κυρίου. ὅθεν σὲ πόθῳ νῦν προσκυνοῦμεν, καὶ τιμῶμεν, καὶ δοξάζομεν·

Ψυχὰς ἁγνισθῶμεν, καὶ καρδίας, καλῶν ἐπὶ μόνης ἐργασίας, καὶ προκείμενον μέσον τὸ σωτήριον ὁρῶντες τοῦ Σταυροῦ ξύλον, πίστει καὶ πόθῳ, θεοφρόνως προσκυνήσωμεν.

Ὡς Ἥλιος μέγας ταῖς ἀκτῖσι, ταῖς σαῖς καταυγάζεις τοὺς ἐν σκότει, καὶ τοὺς δαίμονας φλέγεις, ὡραιότατε Σταυρέ. ὅθεν βοῶμεν· φώτισον πάντας, τοὺς ἐν πίστει προσκυνοῦντάς σε. Θεοτοκίον.

Φωτὶ με καταύγασον τῷ θείῳ, φωτὸς οἰκητήριον Παρθένε, τῶν παθῶν μου τὸ σκότος, καὶ τῶν ἡδονῶν τὴν βαθυτάτην, ὄντως νύκτα, Θεοκυῆτορ Παναγία ἀπελαύνουσα.

Ἄλλος. Λίθος ἀχειρότμητος.

Ἴδετε καθαρᾷ τῇ καρδίᾳ, καὶ νηφαλαίοις ὄμμασι νοός, τῆς τοῦ Βασιλέως Θυγατρός, τῆς Ἐκκλησίας τὴν ὡραιότητα, ὑπὲρ χρυσίον λάμπουσαν, κατανοοῦντες μεγαλύνομεν.

Χαῖρε, καὶ εὐφραίνου ἡ Νύμφη, τοῦ Βασιλέως τοῦ μεγάλου, κατοπτριζομένη τηλαυγῶς, τοῦ σοῦ Νυμφίου τὴν ὡραιότητα. σὺν τῷ λαῷ σου κράζουσα, σὲ ζωοδότα μεγαλύνομεν.

Ἣν ἐξ ὕψους ἄμυναν Σῶτερ, τῇ Ἐκκλησίᾳ σου παράσχου. ἄλλον γὰρ πλὴν σοῦ οὐκ οἶδεν, εἰμὴ σὲ τὸν ὑπὲρ ταύτης τὴν σήν, πάλαι ψυχὴν προθέμενον, ὃν ἐπιγνοῦσα μεγαλύνουσα. Θεοτοκίον.

Χαῖρε κεχαριτωμένη ἡ Νύμφη, τοῦ Βασιλέως τοῦ μεγάλου. ὅτι διὰ σοῦ τῆς κατάρας, τῆς Εὔας πάντες ἁγνὴ ἐρρύσθημεν· καὶ τὴν ζωὴν εὑράμεθα, ἐν τῇ κυήσει σου ἀνύμφευτε.

Ἐξαποστειλάριον. Τῶν Μαθητῶν.

Ἡ τῶν Ἀγγέλων τάξις, καὶ τῶν ἀνθρώπων, τῶν Ἐγκαινίων μνήμην συνεορτάζει. ἐν ᾧπερ οἴκῳ σήμερον ἀνετέθη, φαιδρῶς πανηγυρίζουσα, εἰς κατοικίαν, καὶ δόξαν, τοῦ τῶν ἁπάντων Δεσπότου.

Τοῦ Σταυροῦ, Ὅμοιον.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς Οἰκουμένης. Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας. Σταυρὸς Βασιλέων τὸ κραταίωμα. Σταυρὸς πιστῶν τὸ στήριγμα. Σταυρὸς Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή, ἵσταμεν [illegible]

Ἦχος δ'. Ἔδωκας σημείωσιν.

Σήμερον ὁ ἔνθεος, καὶ ἱερός, καὶ σεβάσμιος, τῆς Χριστοῦ ἀναστάσεως, φαιδρῶς ἐγκαινίζεται, φωτοφόρος οἶκος, καὶ μένει ἐν Κόσμῳ, τάφος ὁ θεῖος τὴν ζωήν. καὶ ἐμπερέχει πηγὴν ἀθάνατον, βλυστάνει ῥεῖθρα χάριτος, θαυμάτων βρύει τὰ νάματα. καὶ δωρεῖται ἰάματα, τοῖς αὐτὸν πίστει μέλπουσιν.

Ἤστραψεν ἡ ἄνωθεν, φωτοφανὴς αἴγλη λάμπουσα, καὶ τὰ πάντα φωτίζουσα. πιστῶς οὖν τιμήσωμεν, τὴν Χριστοῦ τοῦ κτίστου, Ἀνάστασιν πάντες, καὶ Ἐγκαινίων ἱερῶν, τὴν ζωηφόρον θείαν πανήγυριν, ἐν ὕμνοις ἑορτάσωμεν, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν. ὅπως ἵλεων εὕρωμεν, τὸν Σωτῆρα, καὶ Κύριον.

Μέσον γῆς ὑψούμενον, προκατιδόντες ἐφιέμενοι, τοῦ Σταυροῦ σκῆπτρον ἅγιον, ψυχὰς προκαθάρωμεν, ἀστραφθῶμεν φρένας, φωτὶ λαμπρυνθῶμεν, καὶ ἐν δυνάμει θεϊκῇ, καταυγασθέντες Χριστὸν ὑμνήσωμεν, τῷ ξύλῳ τῷ σεπτῷ αὐτοῦ, ἁγιασμὸν παρεχόμενον, τοῖς ἐν πίστει κραυγάζουσι, καὶ θερμῶς αὐτὸν μέλπουσι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δευτεροῦμεν τὸ α΄. Δόξα, ἦχος γ΄.

Πρὸς ἑαυτὸν ἐπανάγου ἄνθρωπε, γενοῦ καινὸς ἀντὶ παλαιοῦ, καὶ ψυχῆς ἑόρταζε τὰ Ἐγκαίνια. ἕως καιρὸς, ὁ βίος ἐγκαινιζέσθω σοι, πάσης πολιτείας ὁδός· τὰ ἀρχαῖα παρῆλθεν, ἰδοὺ γέγονε τὰ πάντα καινά. τοῦτο τῇ Ἑορτῇ καρποφόρησον, τὴν καλὴν ἀλλοίωσιν ἀλλοιούμενος. οὕτως ἐγκαινίζεται ἄνθρωπος. οὕτω τιμᾶται ἡ τῶν Ἐγκαινίων ἡμέρα.

Καὶ νῦν, ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἑκούσιόν σου Σταύρωσιν, εἰς κοινὴν ἐξανάστασιν, τοῦ γένους τῶν ἀνθρώπων καταδεξάμενος· καὶ τῷ καλάμῳ τοῦ Σταυροῦ, βαφαῖς ἐρυθραῖς τοὺς σαυτοῦ δακτύλους αἱματώσας, τοῖς ἀφεσίμοις ἡμῖν βασιλικῶς ὑπογράψαι φιλανθρωπευσάμενος. μὴ παρίδῃς ἡμᾶς κινδυνεύοντας, καὶ πάλιν τὴν ἀπὸ σοῦ διάστασιν. ἀλλ᾽ οἰκτείρησον μόνε μακρόθυμε, τὸν ἐν περιστάσει λαόν σου, καὶ ἀνάστηθι πολέμησον τοὺς πολεμοῦντας ἡμᾶς, ὡς παντοδύναμος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος. Ὠδὴ γ΄. καὶ ς΄. Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον. Καὶ τὸ ἄλλο. Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου.

Μηνὶ τῷ αὐτῷ ΙΔ΄.

Ἡ παγκόσμιος Ὕψωσις τοῦ Τιμίου, καὶ ζωοποιοῦ Σταυροῦ.

Ἰστέον ὅτι, εἰ τύχῃ ἡ παροῦσα Ἑορτὴ ἐν Κυριακῇ, οὐδὲν τῶν Ἀναστασίμων ψάλλεται, οὔτε Εὐαγγέλιον Ἑωθινὸν, ἀλλὰ πάντα τοῦ Σταυροῦ.

Εἰς τὸν μικρὸν Ἑσπερινὸν μετὰ τὸν Προοιμιακὸν Ψαλμὸν, εἰ μὲν ἐστὶ Κυριακὴ, στιχολογοῦμεν τό, Μακάριος ἀνήρ. εἰ δὲ Κάθισμα ὅλον. Εἶτα, μετὰ τὸν Προοιμιακὸν, ψάλλομεν τὸ Κύριε ἐκέκραξα, καὶ ἱστῶμεν στ. δ΄. καὶ ψάλλομεν, ἦχος πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Σταυρὸς ἀνυψούμενος, τοῦ ἐν αὐτῷ ὑψωθέντος, τὸ Πάθος τὸ ἄχραντον, ἀνυμνεῖν προτρέπεται κτίσιν ἅπασαν. ἐν αὐτῷ κτείνας γὰρ, τὸν ἡμᾶς κτείναντα, νεκρωθέντας ἀνεζώωσε, καὶ κατεκάλλυνε. καὶ εἰς Οὐρανοὺς πολιτεύεσθαι, ἠξίωσεν ὡς εὔσπλαγχνος, δι᾽ ὑπερβολὴν ἀγαθότητος. ὅθεν γεγηθότες, ὑψώσωμεν τὸ ὄνομα αὐτοῦ· καὶ τὴν αὐτοῦ μεγαλύνωμεν, ἄκραν συγκατάβασιν.

Μωσῆς προετύπωσε, χεῖρας ἐκτείνας εἰς ὕψος, καὶ καταπροπούμενος, Ἀμαλὴκ τὸν τύραννον, Σταυρὲ τίμιε. τῶν πιστῶν καύχημα, Ἀθλητῶν στήριγμα. Ἀποστόλων ἐγκαλλώπισμα, Δικαίων πρόμαχε, πάντων τῶν Ὁσίων διάσωσμα. διό σε ἀνυψούμενον, βλέπουσα ἡ κτίσις εὐφραίνεται. καὶ πανηγυρίζει, δοξάζουσα Χριστὸν τὸν διὰ σοῦ, τὰ διεστῶτα συνάψαντα, ἄκρᾳ ἀγαθότητι.

Σταυρὲ πανσεβάσμιε, ὃν περιέπουσι τάξεις, Ἀγγέλων γηθόμεναι. σήμερον ὑψούμενος θείῳ νεύματι, ἀνυψοῖς ἅπαντας, τοὺς κλοπῇ βρώσεως, ἀπωσθέντας, καὶ εἰς θάνατον κατολισθήσαντας. ὅθεν σε καρδίᾳ, καὶ χείλεσι, πιστῶς περιπτυσσόμενοι, τὸν ἁγιασμὸν ἀρρυόμεθα. ὑψοῦτε βοῶντες, Χριστὸν τὸν ὑπεράγαθον Θεόν. καὶ τὸ αὐτοῦ προσκυνήσωμεν θεῖον ὑποπόδιον.

Δόξα, καὶ νῦν. Ἦχος β΄.

Δεῦτε ἅπαντα τὰ Ἔθνη, τὸ εὐλογημένον Ξύλον προσκυνήσωμεν, δι᾽ οὗ γέγονεν ἡ αἰώνιος Δικαιοσύνη. τὸν γὰρ προπάτορα Ἀδὰμ ὁ ἀπατήσας ἐν ξύλῳ, τῷ Σταυρῷ δελεάζεται· καὶ πίπτει κατενεχθεὶς πτῶμα ἐξαίσιον, ὁ τυραννίδι κρατήσας τοῦ βασιλέως πλάσματος· αἵματι Θεοῦ, ὁ ἰὸς τοῦ ὄφεως ἀποπλύνεται. καὶ κατάρα λέλυται καταδίκης δικαίας, ἀδίκῳ δίκῃ τοῦ δικαίου κατακριθέντος. ξύλῳ γὰρ ἔδει τὸ ξύλον ἰάσασθαι, καὶ πάθει τοῦ ἀπαθοῦς, τὰ ἐν ξύλῳ λῦσαι πάθη τοῦ κατακρίτου. ἀλλὰ δόξα Χριστὲ Βασιλεῦ, τῇ περὶ ἡμᾶς σου φρικτῇ οἰκονομίᾳ· δι᾽ ἧς ἔσωσας πάντας, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος.

Εἴσοδος, Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

Ἐξῆρε Μωϋσῆς τοὺς Υἱοὺς Ἰσραὴλ ἀπὸ Θαλάσσης ἐρυθρᾶς, καὶ ἤγαγεν αὐτοὺς εἰς τὴν ἔρημον Σούρ. καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ, καὶ οὐχ εὕρισκον ὕδωρ ὥστε πιεῖν. Ἦλθον δὲ εἰς Μερρὰν, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ Μερρᾶς, πικρὸν γὰρ ἦν. διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, πικρία. Καὶ διεγόγγυζεν ὁ λαὸς κατὰ Μωϋσῆ, λέγοντες· τί πιόμεθα; Ἐβόη- Κεφ. ιε΄. 22.

σε δὲ Μωϋσῆς πρὸς Κύριον, καὶ ἔδειξεν αὐτῷ Κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ. ἐκεῖ ἔθετο αὐτῷ ὁ Θεὸς δικαιώματα καὶ κρίσεις. καὶ ἐκεῖ αὐτὸν ἐπείραζε, καὶ εἶπεν· Ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιήσῃς, καὶ ἐνωτίσῃ ταῖς ἐντολαῖς αὐτοῦ, καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον, ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σέ. ἐγὼ γάρ
Κεφ. ϛ΄. 1. εἰμι Κύριος ὁ ἰώμενός σε. Καὶ ἦλθον εἰς Ἐλὴμ, καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα στέλεχοι φοινίκων. Παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα. Ἀπῆραν δὲ ἐξ Ἐλεὶμ, καὶ ἦλθε πᾶσα ἡ συναγωγὴ Υἱῶν Ἰσραὴλ εἰς τὴν ἔρημον Σὶν, ὅ ἐστιν ἀνὰ μέσον Ἐλεὶμ, καὶ ἀνὰ μέσον Σινά.

### Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κεφ. γ΄. 11. Υἱὲ, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα Υἱὸν, ὃν παραδέχεται. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν. οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν. εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτῇ. πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστι. Μῆκος γὰρ βίου καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς, ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα. Ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Αἱ ὁδοὶ αὐτῆς, ὁδοὶ καλαὶ, καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς ἐν εἰρήνῃ. Ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν, ὡς ἐπὶ Κύριον ἀσφαλής.

### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. ξ΄. 11. Τάδε λέγει Κύριος. ἀνοιχθήσονται αἱ πύλαι σου Ἱερουσαλὴμ διὰ παντὸς, ἡμέρας καὶ νυκτὸς, καὶ οὐ κλεισθήσονται, τοῦ εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν, καὶ Βασιλεῖς αὐτῶν ἀγομένους. Τὰ γὰρ ἔθνη, καὶ οἱ Βασιλεῖς, οἵτινές σοι οὐ δουλεύσουσιν, ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσεται. Καὶ ἡ δόξα τοῦ Λιβάνου πρὸς σὲ ἥξει, ἐν κυπαρίσσῳ, καὶ πεύκῃ, καὶ κέδρῳ, ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου, καὶ τὸν τόπον τῶν ποδῶν μου δοξάσω. Καὶ πορεύσονται πρὸς σὲ δεδοικότες οἱ Υἱοὶ τῶν ταπεινωσάντων σε, καὶ παροξυνάντων σε, καὶ προσκυνήσουσιν ἐπὶ τὰ ἴχνη τῶν ποδῶν σου πάντες οἱ παροξύναντές σε. καὶ κληθήσῃ πόλις Κυρίου Σιὼν, τοῦ ἁγίου Ἰσραὴλ, διὰ τὸ γεγενῆσθαί σε ἐγκαταλελειμμένην, καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν σοι. καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεαῖς γενεῶν. Καὶ θηλάσεις γάλα ἐθνῶν, καὶ πλοῦτον Βασιλέων φάγεσαι. καὶ γνώσῃ, ὅτι ἐγὼ Κύριος ὁ σώζων σε, καὶ ὁ ἐξαιρούμενός σε ὁ Θεὸς Ἰσραήλ.

### Εἰς τὴν Λιτὴν, Στιχηρὰ Ἰδιόμελα, ἦχος α΄. Ἀνδρέου Ἱεροσολυμίτου.

Σήμερον ὡς ἀληθῶς, ἡ ἁγιόφθογγος ῥῆσις τοῦ Δαβὶδ πέρας εἴληφεν· ἰδοὺ γὰρ ἐμφανῶς, τὸ τῶν ἀχράντων ποδῶν σου προσκυνοῦμεν ὑποπόδιον. καὶ ἐν τῇ τῶν πτερύγων σου ἐλπίζοντες σκιᾷ, Πανοικτίρμων βοῶμέν σοι· σημειωθήτω ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου. τοῦ ὀρθοδόξου λαοῦ σου τὸ κέρας ἀνυψῶν, τῇ τοῦ τιμίου Σταυροῦ σου ἀνυψώσει, Χριστὲ πολυέλεε.

### Ἦχος β΄. Θεοφάνους.

Εἷς θησαυρὸς ἐν γῇ κρυπτόμενος, τοῦ ζωοδότου ὁ Σταυρὸς, ἐν Οὐρανοῖς ἐδείκνυτο Βασιλεῖ εὐσεβεῖ, καὶ νίκας κατ' ἐχθρῶν, ὑπογραμμὸς δηλῶν νοερῶς. ὃν γεγηθὼς, πίστει καὶ φόβῳ θεόθεν ἀναδραμὼν, πρὸς θεωρίας ὕψωσιν· σπουδῇ δὲ τοῦτον ἐκ γῆς λαγόνων ἀνέθωρεν, εἰς Κόσμου λύτρον, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

### Ὁ αὐτός. Κυπριανοῦ.

Ἡ τῶν χειρῶν ἐναλλαγὴ τοῦ Πατριάρχου Ἰακὼβ, ἐπ' εὐλογίᾳ τῶν τέκνων, τὸ κραταιὸν τοῦ Σταυροῦ σου προεδήλωσε σύμβολον. ὅνπερ ἡμεῖς κατέχοντες ἄρραγὲς φυλακτήριον, τὴν τῶν Δαιμόνων πανσθενῶς ἐκδιώκομεν φάλαγγα. καὶ τοῦ Βελίαρ ἐν αὐτῷ, τὴν ὀφρὺν καταβαλόντες, τοῦ ἐχθίστου Ἀμαλὴκ, τροπούμεθα τὴν πανόλεθρον δύναμιν. αὐτὸν, καὶ νῦν ἀνυψούμενον, εὐσεβοφρόνως οἱ πιστοὶ, εἰς ἱλασμὸν ἁμαρτιῶν, τῇ σῇ ἀγαθότητι, ἐν πολλῷ πλείονι φωνῇ βοῶντες προσφέρομεν· Κύριε ἐλέησον, ὁ ἐκ Παρθένου σαρκωθείς. οἰκτείρον τὸ τῶν χειρῶν σου ἀγαθὲ σοφὸν δημιούργημα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἦχος ὁ αὐτός. Λέοντος Δεσπότου.

Ὕμα σκέπη κραταιά, ὑπάρχεις ὁ τρισμερής, Σταυρὸς τοῦ Χριστοῦ. ἁγίασόν με τῇ δυνάμει σου, ἵνα πίστει, καὶ πόθῳ προσκυνῶ, καὶ δοξάζω σε.

Δόξα, καὶ νῦν, ἦχος ὁ αὐτός. Ἀνατολίου.

Τοῦ τιμίου Σταυροῦ σου Χριστὲ τὴν ἐνέργειαν, προδιατυπώσας Μωϋσῆς, ἐτροπώσατο τὸν ἐναντίον Ἀμαλὴκ ἐν τῇ ἐρήμῳ Σινᾶ. ὅτε γὰρ ἐφήπλου τὰς χεῖρας, Σταυροῦ τὸν τύπον ποιῶν, ἐνίσχυεν ὁ λαός. νυνὶ δὲ τῶν προσαγμάτων ἡ ἔκβασις, εἰς ἡμᾶς πεπλήρωται. σήμερον Σταυρὸς ὑψοῦται, καὶ δαίμονες φυγαδεύονται. σήμερον ἡ κτίσις πᾶσα ἐκ τῆς φθορᾶς ἠλευθέρωται. πάντα γὰρ διὰ Σταυροῦ, ἐπέλαμψεν ἡμῖν τὰ χαρίσματα. διὸ γηθόμενοι πάντες, προσπίπτομέν σοι λέγοντες· ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε δόξα σοι.

Εἰς τὸ Κύριε ἐκέκραξα. Προσόμοια. Ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ ζωηφόρος Σταυρός, τῆς εὐσεβείας, τὸ ἀήττητον τρόπαιον, ἡ θύρα τοῦ Παραδείσου. ὁ τῶν πιστῶν στηριγμός, τὸ τῆς Ἐκκλησίας περιτείχισμα. δι᾽ οὗ ἐξηφάνισται, ἡ φθορά, καὶ κατήργηται, καὶ καταπέποθη, τοῦ θανάτου ἡ δύναμις, καὶ ὑψώθημεν, ἀπὸ γῆς πρὸς οὐράνια· ὅπλον ἀκαταμάχητον, Δαιμόνων ἀντίπαλε, δόξα Μαρτύρων, Ὁσίων, ὡς ἀληθῶς ἐγκαλλώπισμα, λιμὴν σωτηρίας, ὁ δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Χαίροις ὁ τοῦ Κυρίου Σταυρός, δι᾽ οὗ ἐλύθη τῆς ἀρᾶς τὸ ἀνθρώπινον, τῆς ὄντως χαρᾶς σημεῖον, ὁ καταράσσων ἐχθρούς, ἐν τῇ σῇ ὑψώσει πανσεβάσμιε· ἡμῶν ἡ βοήθεια, Βασιλέων κραταίωμα, σθένος δικαίων, Ἱερέων εὐπρέπεια· ὁ τυπούμενος, καὶ δεινῶν ἐκλυτρούμενος, ῥάβδος ἡ τῆς δυνάμεως, ὑφ᾽ ἧς ποιμαινόμεθα, ὅπλον εἰρήνης ἐν φόβῳ, ὃ περιέπουσιν Ἄγγελοι· Χριστοῦ θεία δόξα, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Χαίροις ὁ τῶν τυφλῶν ὁδηγός, τῶν ἀσθενούντων ἰατρὸς ἡ ἀνάστασις, ἁπάντων τῶν τεθνεώτων, ὁ ἀνυψώσας ἡμᾶς, εἰς φθορὰν πεσόντας Σταυρὲ τίμιε. δι᾽ οὗ διαλέλυται, ἡ φθορά, καὶ ἐξήνθησεν, ἡ ἀφθαρσία, καὶ βροτοὶ ἐθεώθημεν· καὶ διάβολος, παντελῶς καταβέβληται. σήμερον ἀνυψούμενον, χερσὶ καθορῶντές σε, Ἀρχιερέων ὑψοῦμεν, τὸν ὑψωθέντα ἐν μέσῳ σου. καὶ σὲ προσκυνοῦμεν, ἀρυόμενοι πλουσίως τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος ὁ αὐτός.

Ἰωάννου Μοναχοῦ.

Ὅνπερ πάλαι Μωϋσῆς, προτυπώσας ἐν ἑαυτῷ, τὸν Ἀμαλὴκ καταβαλὼν ἐτροπώσατο· καὶ Δαβὶδ ὁ μελῳδός, ὑποπόδιόν σοι βοῶν, προσκυνεῖσθαι διετάξατο. τίμιον Σταυρόν σου Χριστὲ ὁ Θεός, σήμερον ἁμαρτωλοὶ προσκυνοῦμεν χείλεσιν ἀναξίοις, σὲ τὸν καταξιώσαντα παγῆναι ἐν αὐτῷ, ἀνυμνοῦντες βοῶμέν σοι· Κύριε σὺν τῷ Λῃστῇ, τῆς Βασιλείας σου ἀξίωσον ἡμᾶς.

Τροπάριον, ἦχος α΄.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· νίκας τοῖς Βασιλεῦσι κατὰ Βαρβάρων δωρούμενος· καὶ τὸ σὸν φυλάττων, διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα, ἦχος δ΄.

Σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον. ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε, καὶ ξύλον σωτηρίας δεξάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν ἐλευθερίας ἐτύχομεν, πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε. Δίς.

Μετὰ τὴν β΄ Στιχολογίαν, ἦχος ὁ αὐτός.

Μόνον ἐπάγη τὸ ξύλον Χριστὲ τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθη τοῦ θανάτου Κύριε· ὃν γὰρ κατέπιε πόθῳ ὁ Ἅδης, ἀπέλυσε τρόμῳ. ἔδειξας ἡμῖν, τὸ σωτήριόν σου Ἅγιε, καὶ δοξολογοῦμέν σε, Υἱὲ Θεοῦ ἐλέησον ἡμᾶς. Δίς.

Μετὰ τὸν Πολυέλεον, ἦχος πλ. δ΄.

Τὸ προσαχθὲν μυστικῶς.

Προδιετύπου μυστικῶς πάλαι τῷ χρόνῳ, ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ, Σταυροῦ τὸν τύπον, ὡς τὰς χεῖρας ἐξέτεινε σταυροφανῶς Σωτήρ μου. καὶ ἔστη ὁ Ἥλιος, ἕως ἐχθροὺς ἀνεῖλεν, ἀνθιστάμενος σοὶ τῷ Θεῷ· νῦν γὰρ ἔδυνεν ἐπὶ Σταυροῦ σε ὁρῶν· καὶ κράτος θανάτου λύσας, πάντα Κόσμον συνήγειρας.

Οἱ Ἀναβαθμοί, τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον, ἦχος δ΄.

Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Πᾶσα πνοή.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ιβʹ. 28. Εἶπεν ὁ Κύριος. Πάτερ, δόξασόν σου τὸ ὄνομα. ἦλθεν οὖν φωνὴ ἐκ τοῦ Οὐρανοῦ· καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω. Ὁ οὖν ὄχλος ὁ ἑστὼς καὶ ἀκούσας, ἔλεγε βροντὴν γεγονέναι. ἄλλοι ἔλεγον Ἄγγελος αὐτῷ λελάληκεν. Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν· οὐ δι' ἐμὲ αὕτη ἡ φωνὴ γέγονεν, ἀλλὰ δι' ὑμᾶς. Νῦν κρίσις ἐστὶ τοῦ Κόσμου τούτου. νῦν ὁ Ἄρχων τοῦ Κόσμου τούτου ἐκβληθήσεται ἔξω. Κἀγὼ, ἐὰν ὑψωθῶ ἐκ τῆς γῆς, πάντας ἑλκύσω πρὸς ἐμαυτόν. Τοῦτο δὲ ἔλεγε, σημαίνων ποίῳ θανάτῳ ἔμελλεν ἀποθνήσκειν. Ἀπεκρίθη αὐτῷ ὁ ὄχλος· ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει εἰς τὸν αἰῶνα· καὶ πῶς σὺ λέγεις, ὅτι δεῖ ὑψωθῆναι τὸν Υἱὸν τοῦ ἀνθρώπου; τίς ἐστιν οὗτος ὁ Υἱὸς τοῦ ἀνθρώπου; Εἶπεν οὖν αὐτοῖς ὁ Ἰησοῦς· ἔτι μικρὸν χρόνον τὸ φῶς μεθ' ὑμῶν ἐστι· περιπατεῖτε ἕως τὸ φῶς ἔχετε, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ. καὶ ὁ περιπατῶν ἐν τῇ σκοτίᾳ, οὐκ οἶδε ποῦ ὑπάγει. Ἕως τὸ φῶς ἔχετε, πιστεύετε εἰς τὸ φῶς, ἵνα Υἱοὶ φωτὸς γένησθε.

Τό, Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Ὁ Ν. στίχ. Δόξα, ἦχος βʹ.

Σύμου σκέπη κραταιά.

Καὶ νῦν, πάλιν τὸ αὐτό. Ζήτει εἰς τὴν Λιτήν. Εἶτα τὸ ἰδιόμελον, ἦχος πλ. βʹ.

Σταυρὲ τοῦ Χριστοῦ, Χριστιανῶν ἡ ἐλπίς.

Ζήτει καὶ τοῦτο εἰς τὸ τέλος τῆς Ἀκολουθίας, εἰς τὰ Ἰδιόμελα τῆς Σταυροπροσκυνήσεως. Καὶ εὐθὺς ὁ Κανὼν, οὗ τὴν ἀκροστιχίδα φέρει.

Σταυρῷ πεποιθὼς, ὕμνον ἐξερεύγομαι.

Ποίημα τοῦ Κυρίου Κοσμᾶ. Λέγομεν δὲ τοὺς Εἱρμοὺς ἐκ βʹ. τὰ δὲ Τροπάρια ὁμοῦ εἰς ιβʹ. ὕστερον δὲ πάλιν τὸν Εἱρμόν.

Ὠδὴ αʹ. ἦχος πλ. δʹ. Ὁ Εἱρμός.

Σταυρὸν χαράξας Μωσῆς, ἐπ' εὐθείας ῥάβδῳ, τὴν Ἐρυθρὰν διέτεμε, τῷ Ἰσραὴλ πεζεύσαντι· τὴν δὲ ἐπιστρεπτικῶς, Φαραὼ τοῖς ἅρμασι κροτήσας ἥνωσεν, ἐπ' εὔρους διαγράψας, τὸ ἀήττητον ὅπλον. διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασαι.

Ὃν τύπον πάλαι Μωσῆς, τοῦ ἀχράντου Πάθους, ἐν ἑαυτῷ προέφηνε, τῶν ἱερῶν μεσούμενος. Σταυρῷ δὲ σχηματισθεὶς, τεταμέναις τρόπαιον, παλάμαις ἤγειρε, τὸ κράτος διολέσας Ἀμαλὴκ τοῦ παμφθόρου. διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασαι.

Ἀνέθηκε Μωϋσῆς, ἐπὶ στήλης ἄκος, φθοροποιοῦ λυτήριον, καὶ ἰοβόλου δήγματος. καὶ ξύλῳ τύπῳ Σταυροῦ, τὸν πρὸς γῆν συρόμενον ὄφιν προσέδησεν, ἐγκάρσιον ἐν τούτῳ, θριαμβεύσας τὸ πῆμα. διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασαι.

Ὑπέδειξεν Οὐρανὸς, τοῦ Σταυροῦ τὸ τρόπαιον, τῷ εὐσεβείας Κράτορι, καὶ Βασιλεῖ θεόφρονι. ἐχθρῶν ἐν ᾧ δυσμενῶν, κατεβλήθη φρύαγμα, ἀπάτη ἀνετράπη δέ. καὶ πίστις ἐφηπλώθη, γῆς τοῖς πέρασι θεία. διὸ Χριστῷ ᾄσωμεν, τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασαι.

Καταβασία. Σταυρὸν χαράξας.

Ὠδὴ γʹ. Ὁ Εἱρμός.

Ῥάβδος εἰς τύπον τοῦ Μυστηρίου παραλαμβάνεται. τῷ βλαστῷ γὰρ προκρίνει τὸν Ἱερέα. τῇ στειρευούσῃ δὲ πρώην, Ἐκκλησίᾳ νῦν ἐξήνθησε, ξύλον Σταυροῦ εἰς κράτος, καὶ στερέωμα.

Ὡς ἐπαφῆκε ῥαπιζομένη ὕδωρ ἀκρότομος, ἀπειθοῦντι λαῷ, καὶ σκληροκαρδίῳ, τῆς θεοκλήτου ἐδήλου Ἐκκλησίας τὸ μυστήριον. ἧς ὁ Σταυρὸς τὸ κράτος, καὶ στερέωμα.

Ἡ πλευρὰ τοῦ ἀχράντου λόγχῃ τρωθείσης, ὕδωρ σὺν αἵματι, ἐξεβλύσθη ἐγκαινίζον διαθήκην, καὶ ῥυπτικὸν ἁμαρτίας. τῶν πιστῶν γὰρ Σταυρὸς καύχημα, καὶ Βασιλέων κράτος, καὶ στερέωμα.

Κάθισμα, ἦχος πλ. δʹ. Τὸ προσταχθέν.

Ἐν Παραδείσῳ μὲν τὸ πρὶν, ξύλῳ ἐγύμνωσεν, ἐπὶ τῇ γεύσει ὁ ἐχθρὸς, εἰσφέρων νέκρωσιν. τοῦ Σταυροῦ δὲ τὸ ξύλον, τῆς ζωῆς τὸ ἔνδυμα, ἀνθρώποις φέρον ἐπάγη ἐπὶ τῆς γῆς· καὶ Κόσμος ὅλος ἐπλήσθη πάσης χαρᾶς. ὃν ὁρῶντες ὑψούμενον, Θεῷ ἐν πίστει λαοὶ, συμφώνως ἀνακράξωμεν· πλήρης δόξης ὁ οἶκός σου. Δίς.

Ὠδὴ δʹ. Ὁ Εἱρμός.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου.

Πικρογόνους μετέβαλε, ξύλῳ Μωϋσῆς πηγὰς ἐν ἐρήμῳ πάλαι, τῷ Σταυρῷ πρὸς τὴν εὐσέβειαν, τῶν ἐθνῶν προφαίνων τὴν μετάθεσιν.

Ὁ Βυθῷ κολπωσάμενος, πέμψας τὸν ἀνέδωκεν Ἰορδάνης ξύλῳ, τῷ Σταυρῷ, καὶ τῷ βαπτίσματι, τὴν τομὴν τῆς πλάνης τεκμαιρόμενος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐμῶς

Ἱερῶς προσοιβάζεται, ὁ τετραμερὴς λαὸς προηγούμενος, τῆς ἐν τύπῳ μαρτυρίου σκηνῆς, σταυροτύποις τάξεσι κλεϊζόμενος.

Θαυμαστῶς ἐφαπλούμενος, τὰς ἡλιακὰς βολὰς ἐξηκόντισεν, ὁ Σταυρός, καὶ διηγήσαντο, Οὐρανοὶ τὴν δόξαν τοῦ Θεοῦ ἡμῶν.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Ὢ Τρισμακάριστον ξύλον, ἐν ᾧ ἐτάθη Χριστός, ὁ Βασιλεύς, καὶ Κύριος. δι' οὗ πέπτωκεν ὁ ξύλῳ ἀπατήσας, τῷ ἐν σοὶ δελεασθείς, Θεῷ τῷ προσπαγέντι σαρκί. τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Σὲ τὸ ἀοίδιμον ξύλον, ἐν ᾧ ἐτάθη Χριστός, ἡ τὴν Ἐδὲμ φυλάττουσα, στρεφομένη ῥομφαία Σταυρὲ ᾐδέσθη. τὸ φρικτὸν δὲ Χερουβίμ, εἶξε τῷ σοὶ παγέντι Χριστῷ τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὑποχθονίων δυνάμεις, ἀντίπαλοι τοῦ Σταυροῦ, φρίττουσι χαραττόμενον, τὸ σημεῖον ἐν ἀέρι, ᾧ πολοῦσιν· οὐρανίων γηγενῶν, γένος δὲ γόνυ κάμπτει Χριστῷ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Μαρμαρυγαῖς ἀκηράτοις, φανεὶς ὁ θεῖος σταυρός, ἐσκοτισμένοις ἔθνεσιν, τοῖς ἐν πλάνῃ ἀπάτης, τὸ θεῖον φέγγος, ἀπαστράψας οἰκειοῖ, τῷ ἐν αὐτῷ παγέντι Χριστῷ, τῷ παρέχοντι, τὴν εἰρήνην ταῖς ψυχαῖς ἡμῶν.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Ἐν Ὀτίῳ θηρὸς ἐν σπλάγχνοις, παλάμας Ἰωνᾶς, σταυροειδῶς διεκπετάσας, τὸ σωτήριον Πάθος προδιετύπου σαφῶς. ὅθεν τριήμερος ἐκδύς, τὴν ὑπερκόσμιον Ἀνάστασιν ὑπεζωγράφησε, τοῦ σαρκὶ προσπαγέντος Χριστοῦ τοῦ Θεοῦ, καὶ τριημέρῳ ἐγέρσει, τὸν Κόσμον φωτίσαντος.

Ὁ Γήρᾳ καμφθείς, καὶ νόσῳ τρυχωθείς, ἀνωρθοῦτο Ἰακὼβ χεῖρας ἀμείψας, τὴν ἐνέργειαν φαίνων τοῦ ζωηφόρου Σταυροῦ. τὴν παλαιότητα καὶ γάρ, τοῦ νομικοῦ σκιώδους γράμματος ἐκαινογράφησεν. ὁ ἐν τούτῳ σαρκὶ προσπαγεὶς ὁ Θεός, καὶ τὴν ψυχόλεθρον νόσον, τῆς πλάνης ἀπήλασε.

Εαξύσαις θείας παλάμας, ὁ θεῖος Ἰσραήλ, σταυροειδῶς κάραις ἐδήλου, ὡς πρεσβύτερον κλέος ὁ νομολάτρης λαός. ὑποπτευθεὶς ὅθεν ὅπως ἐξηπατῆσθαι, οὐκ ἠλλοίωσε τὸν ζωηφόρον τύπον. ὑπερέξει λαὸς γὰρ Χριστοῦ τοῦ Θεοῦ, νεοπαγὴς ἀνεβόα, Σταυρῷ τειχιζόμενος.

Κοντάκιον. Ἦχος δ'.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ Θεός. εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σήν, ὅπλον εἰρήνης ἀήττητον τρόπαιον.

Ὁ Οἶκος.

Ὁ Μετὰ τρίτον Οὐρανόν, ἀρθεὶς ἐν Παραδείσῳ, καὶ ῥήματα ἀκούσας τὰ ἄρρητα, καὶ θεῖα, ἃ οὐκ ἐξὸν γλώσσαις λαλεῖν, τί τοῖς Γαλάταις γράφει· ὡς ἐρασταὶ τῶν γραφῶν ἀνέγνωτε, καὶ ἔγνωτε. ἐμοὶ φησὶ καυχᾶσθαι μὴ γένοιτο, πλὴν εἰ μὴ ἐν μόνῳ τῷ Σταυρῷ τοῦ Κυρίου, ἐν ᾧ παθών, ἔκτεινε τὰ πάθη. αὐτὸν οὖν καὶ ἡμεῖς, βεβαίως κρατῶμεν τοῦ Κυρίου τὸν Σταυρόν, καύχημα πάντες. ἔστι γὰρ σωτήριον ἡμῖν τοῦτο τὸ ξύλον. Ὅπλον εἰρήνης ἀήττητον τρόπαιον.

Τῷ αὐτῷ Μηνὶ ΙΔ'. Ἡ παγκόσμιος Ὕψωσις τοῦ τιμίου, καὶ ζωοποιοῦ Σταυροῦ.

Τὰς ἐν λάρυγγι Σῶτερ ὑψώσεις φέρει,
Ὑψούμενον βλέπουσα τὸν Σταυρὸν κτίσις.
Ὑψώθη δεκάτῃ, Σταυροῦ ξύλον, ἠδὲ τετάρτῃ.

Κωνσταντῖνος ὁ Μέγας, καὶ πρῶτος ἐν Χριστιανοῖς Βασιλεύς, εἶχέ ποτε πόλεμον, ὡς μέν τινες λέγουσι τῶν τὰς ἱστορίας συγγραψαμένων, ἐν τῇ Ῥώμῃ κατὰ Μαγνεντίου, πρὸ τοῦ κρατῆσαι τῆς Βασιλείας. Ὡς δὲ ἕτεροι, εἰς τὸν Δανούβιν ποταμὸν κατὰ τῶν Σκυθῶν. Ὁρῶν δὲ τὴν τῶν ἐναντίων πληθὺν ὑπὲρ τὸν οἰκεῖον ὄντα στρατόν, ἀπορίᾳ, καὶ φόβῳ συνείχετο. Οὕτως οὖν ἔχοντι, τύπος αὐτῷ σταυρικός, μεσούσης ἡμέρας ἐφάνη κατ' Οὐρανὸν δι' ἀστέρων. καὶ γραφὴ περὶ τὸν Σταυρὸν Ῥωμαϊκοῖς στοιχείοις, καὶ αὐτοῖς δι' ἀστέρων τυπουμένοις, καὶ φράζουσιν· Ἐν τούτῳ νίκα. Ἐκ χρυσοῦ τοίνυν σχεδιάσας αὐτίκα Σταυρὸν κατὰ τὸν φανέντα τύπον αὐτῷ, καὶ τοῦτον κελεύσας τῆς στρατιᾶς αὐτοῦ προπορεύεσθαι, τοῖς ἐναντίοις συρρήγνυται, καὶ ὑπερτερεῖ, ὡς τοὺς πλείους ἐκείνων ἀναιρεθῆναι. τοὺς δὲ λοιποὺς εἰς φυγὴν ἀπιδεῖν. Ἐντεῦθεν τὴν τοῦ ἐν αὐτῷ σταυρωθέντος δύναμιν ἐννοήσας, καὶ τοῦτον μόνον ἀληθῆ πιστεύσας Θεόν, καὶ τῷ εἰς αὐτὸν βαπτίσματι τυχιοθείς, μετὰ τῆς οἰκείας Μητρός,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

εἰς Ἱεροσόλυμα ταύτην ἐκπέμπει, ἐρευνῆσαι τὸν Σταυρὸν τοῦ Χριστοῦ. Ἥτις καὶ εὗρεν αὐτὸν κεκρυμμένον, καὶ τοὺς ἑτέρους δύο Σταυρούς, εἰς οὓς οἱ λῃσταὶ ἐσταυρώθησαν. ἀλλὰ δή, καὶ τοὺς ἥλους. Διαπορούσης δὲ τῆς Βασιλίσσης, τίς οὖν εἴη ὁ τοῦ Κυρίου Σταυρός, διὰ τῆς εἰς θανοῦσαν γυναῖκα χήραν θαυματουργίας δείκνυται· ἣ καὶ ἀνέστη τῇ τούτου προσψαύσει. Τῶν δὲ λοιπῶν δύο Σταυρῶν τῶν λῃστῶν μηδὲν εἰς τοῦτ᾽ ἐνδειξαμένων εἰς θαυματοποιίας ὑπόδειγμα. Ὃν δῆτα τίμιον Σταυρὸν προσεκύνησεν ἡ Βασίλισσα, καὶ ἠσπάσατο μετὰ τῆς Συγκλήτου ἁπάσης. Ζητῶν δὲ καὶ ὁ κοινὸς λαὸς προσκυνῆσαι. οὐκ ἠδύνατο· καὶ ᾐτήσατο κἂν ἰδεῖν αὐτόν. Τότε ἀνῆλθεν ὁ Μακάριος Πατριάρχης Ἱεροσολύμων, καὶ ὕψωσεν ἐπὶ τοῦ ἄμβωνος τὸν τίμιον Σταυρόν. καὶ ἰδόντες, ἤρξατο ὁ λαὸς κράζειν, τό, Κύριε ἐλέησον. Καὶ ἔκτοτε ἐπεκράτησεν ἡ τιμία Ἑορτὴ τῆς Ὑψώσεως.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Ἔκνοον πρόσταγμα τυράννου, δυσσεβοῦς λαοὺς ἐκλόνησε, πνέον ἀπειλῆς, καὶ δυσφημίας θεοστυγοῦς. ὅμως τρεῖς Παῖδας οὐκ ἐδειμάτωσε, θυμὸς θηριώδης, οὐ πῦρ βρόμιον. ἀλλ᾽ ἀντηχοῦντι δροσοβόλῳ Πνεύματι, πυρὶ συνόντες ἔψαλλον· ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὕλου γευσάμενος ὁ πρῶτος, ἐν βροτοῖς φθορᾷ παρῴκησε. ῥῖψιν γὰρ ζωῆς ἀτιμοτάτην κατακριθείς, ὅλῳ τῷ γένει σωματοφθόρος τις, ὡς λύμη τῆς νόσου μετέδωκεν. ἀλλ᾽ εὑρηκότες γηγενεῖς ἀνάκλησιν, Σταυροῦ τὸ ξύλον κράζομεν· ὁ ὑπερύμνητος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἔλυσε πρόσταγμα Θεοῦ παρακοή, καὶ ξύλον ἤνεγκε θάνατον βροτοῖς, τὸ μὴ εὐκαίρως μεταληφθέν· ἐν ἀσφαλείᾳ τῆς ἐντίμου δέ, ἐντεῦθεν ζωῆς τὸ ξύλον εἴργετο· ὃ νυκτιλόγου δυσθανοῦς ἠνέῳξεν, εὐγνωμοσύνη κράζοντος· ὁ ὑπερύμνητος, τῶν Πατέρων, καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ῥάβδου προσπτύσσεται τὸ ἄκρον, Ἰωσὴφ ὁ γενησόμενα, βλέπων Ἰσραήλ, τῆς Βασιλείας τὸ κραταιόν, ὅπως συνέξει ὁ ὑπέρδοξος, Σταυρὸς προδηλῶν. οὗτος γὰρ τοῖς Βασιλεῦσι, τροπαιοῦχον καύχημα, καὶ φῶς τοῖς πιστοῖς κράζουσιν· ὁ ὑπερύμνητος, τῶν Πατέρων, καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Εὐλογεῖτε παῖδες, τῆς Τριάδος ἰσάριθμοι, δημιουργὸν Πατέρα Θεὸν ὑμνεῖτε, τὸν συγκαταβάντα Λόγον, καὶ τὸ πῦρ εἰς δρόσον μεταποιήσαντα· καὶ ὑπερυψοῦτε τὸ πᾶσι ζωὴν παρέχον, Πνεῦμα πανάγιον εἰς τοὺς αἰῶνας.

Ὑψουμένου ξύλου, ῥαντισθέντος ἐν αἵματι, τοῦ σαρκωθέντος Λόγου Θεοῦ ὑμνεῖτε, αἱ τῶν Οὐρανῶν δυνάμεις, βροτῶν τὴν ἀνάκλησιν ἑορτάζουσαι. λαοὶ προσκυνεῖτε Χριστοῦ τὸν Σταυρόν, δι᾽ οὗ τῷ Κόσμῳ ἀνάστασις εἰς τοὺς αἰῶνας.

Ἠγγενεῖς παλάμαις, Οἰκονόμοι τῆς χάριτος, Σταυρὸν οὗ ἔστη Χριστὸς ὁ Θεὸς ὑψοῦτε· ἱεροπρεπῶς καὶ λόγχην, Θεοῦ Λόγου σῶμα ἀντιτορήσασαν· ἰδέτωσαν ἔθνη πάντα τὸ Σωτήριον τοῦ Θεοῦ, δοξάζοντα εἰς τοὺς αἰῶνας.

Οἱ τῇ θείᾳ ψήφῳ, προκριθέντες ἀγάλλεσθε, Χριστιανῶν πιστοὶ Βασιλεῖς καυχᾶσθε, τῷ τροπαιοφόρῳ ὅπλῳ, λαχόντες θεόθεν Σταυρὸν τὸν τίμιον· ἐν τούτῳ γὰρ φῦλα πολέμων, θράσος ἐπιζητοῦντα, σκεδάννυνται εἰς τοὺς αἰῶνας.

Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται, ἀλλ᾽ οὐδὲ ἐν τῇ Ἀποδόσει. Δίδονται δὲ κηρία τοῖς Ἀδελφοῖς.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Μυστικὸς εἶ Θεοτόκε Παράδεισος, ἀγεωργήτως βλαστήσασα Χριστόν· ὑφ᾽ οὗ τὸ τοῦ Σταυροῦ ζωηφόρον ἐν γῇ πεφυτούργηται δένδρον. δι᾽ οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν.

Ἀγαλλέσθω τὰ δρυμοῦ ξύλα σύμπαντα, ἁγιασθείσης τῆς φύσεως αὐτῶν· ὑφ᾽ οὗπερ ἐξ ἀρχῆς ἐφυτεύθη, Χριστοῦ τανυθέντος ἐν ξύλῳ. δι᾽ οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν.

Ἱερὸν ἠγέρθη κέρας θεόφροσι, τῆς κεφαλῆς τῶν ἁπάντων ὁ Σταυρός· ἐν ᾧ ἁμαρτωλῶν νοουμένων, συνθλῶνται τὰ κέρατα πάντα. δι᾽ οὗ νῦν ὑψουμένου, προσκυνοῦντες αὐτόν, σὲ μεγαλύνομεν.

Εἱρμὸς ἄλλος.

Ὁ διὰ βρώσεως τοῦ ξύλου, τῷ γένει προσγενόμενος θάνατος, διὰ Σταυροῦ κατήρ-

γηται σήμερον. τῆς γὰρ Προμήτορος ἡ παγγενὴς, κατάρα διαλέλυται, τῷ βλαστῷ τῆς Ἁγνῆς Θεομήτορος· ἣν πᾶσαι αἱ δυνάμεις, τῶν Οὐρανῶν μεγαλύνουσι.

Μὴ τὴν πικρίαν τὴν τοῦ ξύλου, ἐάσας ἀναιρέσιμον Κύριε, διὰ Σταυροῦ τελείως ἐξήλειψας. ὅθεν καὶ ξύλον ἔλυσε ποτὲ, πικρίαν ὑδάτων Μερρᾶς, προτυποῦν τοῦ Σταυροῦ τὴν ἐνέργειαν· ἣν πᾶσαι αἱ δυνάμεις, τῶν Οὐρανῶν μεγαλύνουσιν.

Ἀδιαλείπτως βαπτομένους, τῷ ζόφῳ τοῦ Προπάτορος Κύριε, διὰ Σταυροῦ ἀνύψωσας σήμερον· ὡς γὰρ τῇ πλάνῃ ἄγαν ἀκρατῶς, ἡ φύσις προκατηνέχθη, παγκλήρως ἡμᾶς πάλιν ἀνώρθωσε, τὸ φῶς τὸ τοῦ Σταυροῦ σου· ὃν οἱ πιστοὶ μεγαλύνομεν.

Ἵνα τὸν τύπον ἀποδείξῃς, τῷ Κόσμῳ προσκυνούμενον Κύριε, τὸν τοῦ Σταυροῦ ἐν πᾶσιν ὡς ἔνδοξον, ἐν Οὐρανῷ ἐμόρφωσας, φωτὶ ἀπλέτῳ ἠγλαϊσμένον, Βασιλεῦ πανοπλίαν ἀήττητον. διό σε αἱ δυνάμεις, τῶν Οὐρανῶν μεγαλύνουσιν.

[illegible] τῶν μαθητῶν.

Σταυρὸς ὁ φύλαξ πάσης τῆς Οἰκουμένης, Σταυρὸς ἡ ὡραιότης τῆς Ἐκκλησίας. Σταυρὸς Βασιλέων τὸ κραταίωμα. Σταυρὸς πιστῶν τὸ στήριγμα. Σταυρὸς Ἀγγέλων ἡ δόξα, καὶ τῶν δαιμόνων τὸ τραῦμα.

Εἰς γ.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, [illegible] δ.

[illegible] Ἦχος πλ. δ.

[illegible] τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, τὸ ζωηφόρον φυτὸν, ὁ Σταυρὸς ὁ πανάγιος, εἰς ὕψος αἰρόμενος, ἐμφανίζεται σήμερον. δοξολογοῦσι πάντα τὰ πέρατα. ἐνδειματοῦνται δαίμονες ἅπαντες. ὢ οἷον δώρημα, τοῖς βροτοῖς κεχάρισται· δι᾽ οὗ Χριστὲ, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

Ὢ τοῦ παραδόξου θαύματος, ὡς βότρυν πλήρη ζωῆς, ὁ βαστάσας τὸν ὕψιστον, ἀπὸ γῆς ὑψούμενος, Σταυρὸς ὁρᾶται σήμερον. δι᾽ οὗ πρὸς Θεὸν, πάντες εἱλκύσθημεν, καὶ κατεπόθη εἰς τέλος θάνατος. ὢ ξύλον ἄχραντον, ὑφ᾽ οὗ ἀπολαύομεν τῆς ἐν Ἐδὲμ, ἀθανάτου βρώσεως, Χριστὸν δοξάζοντες.

Ὢ τοῦ παραδόξου θαύματος, εὖρος καὶ μῆκος Σταυροῦ, Οὐρανοῦ ἰσοστάσιον, ὅτι θείᾳ χάριτι, ἁγιάζει τὰ σύμπαντα. ἐν τούτῳ ἔθνη βάρβαρα ἡττῶνται· ἐν τούτῳ σκῆπτρα Ἀνάκτων ἑδραιοῦνται· ὢ θείας κλίμακος, δι᾽ ἧς ἀνατρέχομεν εἰς Οὐρανοὺς, ὑψοῦντες ἐν ᾄσμασι, Χριστὸν τὸν Κύριον.

Δόξα, καὶ νῦν, Ἦχος [illegible]

Σήμερον προέρχεται ὁ Σταυρὸς τοῦ Κυρίου, καὶ πιστοὶ εἰσδέχονται αὐτὸν ἐκ πόθου, καὶ λαμβάνουσιν ἰάματα, ψυχῆς τε καὶ σώματος, καὶ πάσης μαλακίας. αὐτὸν ἀσπασώμεθα τῇ χαρᾷ, καὶ τῷ φόβῳ. φόβῳ, διὰ τὴν ἁμαρτίαν, ὡς ἀνάξιοι ὄντες· χαρᾷ δὲ, διὰ τὴν σωτηρίαν, ἣν παρέχει τῷ Κόσμῳ· ὁ ἐν αὐτῷ προσπαγεὶς Χριστὸς ὁ Κύριος, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δοξολογία Μεγάλη.

Ψαλλομένης δὲ τῆς μεγάλης Δοξολογίας, ἀλλάσσει ὁ Ἱερεὺς πᾶσαν τὴν ἱερατικὴν στολὴν, καὶ εἰσέρχεται μετὰ τοῦ θυμιατοῦ ἐν τῇ ἁγίᾳ Τραπέζῃ, καὶ θυμιῶν τὸν τίμιον Σταυρὸν σταυροειδῶς, αἴρει αὐτὸν μετὰ δίσκου ἐπὶ τῆς κεφαλῆς. καὶ προπορευομένων δύο λαμπάδων, φέρει αὐτὸν μέχρι τῶν βασιλικῶν πυλῶν τοῦ Ναοῦ, κἀκεῖσε ἵσταται. καὶ πληρουμένης τῆς Δοξολογίας, καὶ τοῦ Τρισαγίου, λέγει ὁ Ἱερεὺς μεγαλοφώνως.

Σοφία ὀρθοί. καὶ Ἀρχόμεθα τοῦ Τροπαρίου. Σῶσον Κύριε τὸν λαόν σου. Καὶ οὕτως εἰσοδεύει μετὰ τοῦ τιμίου Σταυροῦ. καὶ ὄντος ηὐτρεπισμένου Τετραποδίου, τίθεται ὁ τίμιος Σταυρὸς ἐπάνω αὐτοῦ, καὶ θυμιᾷ σταυροειδῶς ὁ Ἱερεύς. εἶθ᾽ οὕτω βαλὼν μετανοίας τρεῖς, κἂν ὁποία ἐστὶν ἡμέρα, καὶ λαβὼν ἐπὶ χεῖρας τὸν τίμιον Σταυρὸν γυμνὸν μετὰ Βασιλικῶν κλάδων, ἵσταται ἔμπροσθεν τοῦ Τετραποδίου, βλέπων κατὰ Ἀνατολάς. καὶ λέγει εἰς ἐπήκοον πάντων.

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον ἡμῶν, καὶ ἐλέησον·

Καὶ ἀρχόμεθα τῆς πρώτης ἑκατοντάδος. τὸ, Κύριε ἐλέησον. σφραγίζοντος τοῦ Ἱερέως ἐν ταῖς ἐνάρξεσι μετὰ τοῦ τιμίου Σταυροῦ, τρίς. Εἶτα κλίνει τὴν κεφαλὴν ὅσον σπιθαμὴν ἀπέχειν τῆς γῆς, καὶ κατὰ μικρὸν ἀνίσταται, ἄχρι συμπληρώσεως τῆς ἑκατοντάδος. Ἡνίκα δὲ φθάσῃ εἰς τὸ ἐννενηκοστὸν ἕβδομον, Κύριε ἐλέησον, ὑψοῖ τὴν φωνὴν ὁ Ἐκκλησιάρχης. Καὶ αἰσθόμενος ὁ

Ἱερεὺς, τέλος λαμβάνων τὴν ἑκατοντάδα, σφραγίζει πάλιν τρίς. Εἶτα στραφεὶς ἐπὶ τὸ Νότιον μέρος, λέγει.

Ἔτι δεόμεθα ὑπὲρ τῶν Εὐσεβεστάτων, καὶ θεοφυλάκτων Βασιλέων ἡμῶν, κράτους, νίκης, διαμονῆς, εἰρήνης, ὑγείας, σωτηρίας αὐτῶν, καὶ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι, κατευοδῶσαι αὐτοὺς ἐν πᾶσι, καὶ ὑποτάξαι ὑπὸ τοὺς πόδας αὐτῶν, πάντα ἐχθρὸν, καὶ πολέμιον.

Καὶ ἀρχόμεθα τῆς δευτέρας ἑκατοντάδος, καὶ ποιεῖ ὁ Ἱερεὺς τὴν δευτέραν ὕψωσιν, ὡς προγέγραπται. Εἶθ' οὕτω στραφεὶς ἐπὶ Δυσμὰς, λέγει.

Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ, τοῦ Πατρὸς ἡμῶν) τοῦ δεῖνος) (ἤγουν τοῦ Προεστῶτος) καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν Ἀδελφότητος, εἴπωμεν.

Καὶ ἀρχόμεθα τῆς τρίτης ἑκατοντάδος. πληρουμένης δὲ αὐτῆς, στρέφεται ὁ Ἱερεὺς ἐπὶ τὸ Βόρειον μέρος, καὶ λέγει.

Ἔτι δεόμεθα ὑπὲρ πάσης ψυχῆς χριστιανῶν, ὑγείας, σωτηρίας, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν, εἴπωμεν.

Καὶ γίνεται ἡ τετάρτη ὕψωσις, καὶ αὖθις στρέφεται κατὰ Ἀνατολὰς, καὶ λέγει.

Ἔτι δεόμεθα ὑπὲρ πάντων τῶν διακονούντων, καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ Μονῇ ταύτῃ, ὑγείας, σωτηρίας, καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν, εἴπωμεν.

Καὶ ἀρχόμεθα τῆς πέμπτης ἑκατοντάδος. μετὰ δὲ τὴν πέμπτην ὕψωσιν, ψάλλομεν τὸ Κοντάκιον.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Εἶτ' οὖν.

Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου ἀνάστασιν δοξάζομεν. Τρίς.

Ψαλλόντων δὲ τῶν Ἀδελφῶν, ἀποτίθησιν ὁ Ἱερεὺς τὸ τίμιον Ξύλον ἐν τῷ Τετραποδίῳ. καὶ ἄρχονται προσκυνεῖν ὅ, τε Ἱερεὺς, καὶ ὁ Προεστὼς, βάλλοντες μετανοίας γ'. κατενώπιον τοῦ τιμίου Σταυροῦ. εἶτα ἀσπάζονται αὐτόν. καὶ μετὰ τὸ ἀσπάσασθαι, βάλλουσι μίαν μετάνοιαν. Εἶθ' οὕτως εἰς τοὺς Χοροὺς δεξιὰ, καὶ ἀριστερά. Εἶτα ἀνέρχονται οἱ Ἀδελφοὶ δύο, δύο, κατὰ τάξιν, καὶ προσκυνοῦσι, καὶ ἀσπάζονται ὁμοίως. Καὶ ψάλλομεν τὰ ἰδιόμελα, ἕως οὗ προσκυνήσουσιν οἱ Ἀδελφοί. ἦχος β'.

Δεῦτε πιστοὶ, τὸ ζωοποιὸν ξύλον προσκυνήσωμεν· ἐν ᾧ Χριστὸς ὁ Βασιλεὺς τῆς δόξης, ἑκουσίως χεῖρας ἐκτείνας, ὕψωσεν ἡμᾶς εἰς τὴν ἀρχαίαν μακαριότητα· οὓς πρὶν ὁ ἐχθρὸς, δι' ἡδονῆς συλήσας, ἐξορίστους Θεοῦ πεποίηκε, δεῦτε πιστοὶ ξύλον προσκυνήσωμεν, δι' οὗ ἠξιώθημεν τῶν ἀοράτων ἐχθρῶν συντρίβειν τὰς κάρας. δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, τὸν Σταυρὸν τοῦ Κυρίου ὕμνοις τιμήσωμεν. χαίροις Σταυρὲ, τοῦ πεσόντος Ἀδὰμ ἡ τελεία λύτρωσις. ἐν σοὶ οἱ πιστότατοι Βασιλεῖς ἡμῶν καυχῶνται, ὡς τῇ σῇ δυνάμει, Ἰσμαηλίτην λαὸν κραταιῶς ὑποτάττοντες. σὲ νῦν μετὰ φόβου Χριστιανοὶ ἀσπαζόμενοι, τὸν ἐν σοὶ προσπαγέντα Θεὸν, δοξάζομεν λέγοντες· Κύριε ὁ ἐν αὐτῷ σταυρωθεὶς, ἐλέησον ἡμᾶς, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος.

Ἦχος πλ. α.

Δεῦτε λαοὶ, τὸ παράδοξον θαῦμα καθορῶντες, τοῦ Σταυροῦ τὴν δύναμιν προσκυνήσωμεν. ὅτι ξύλον ἐν Παραδείσῳ θάνατον ἐβλάστησε· τὸ δὲ, τὴν ζωὴν ἐξήνθησεν, ἀναμάρτητον ἔχον προσηλωμένον τὸν Κύριον. ἐξ οὗ πάντα τὰ ἔθνη, ἀφθαρσίαν τρυγῶντες κραυγάζομεν· ὁ διὰ Σταυροῦ θάνατον καταργήσας, καὶ ἡμᾶς ἐλευθερώσας δόξα σοι.

Ἦχος πλ. β.

Σταυρὲ τοῦ Χριστοῦ, Χριστιανῶν ἡ ἐλπὶς, πεπλανημένων ὁδηγὲ, χειμαζομένων λιμὴν· ἐν πολέμοις νῖκος, Οἰκουμένης ἀσφάλεια· νοσούντων ἰατρέ· νεκρῶν ἡ ἀνάστασις, ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν, ἦχος ὁ αὐτός.

Ἡ Φωνὴ τοῦ Προφήτου σου Μωϋσέως ὁ Θεὸς, πεπλήρωται ἡ λέγουσα· ὄψεσθε τὴν ζωὴν ἡμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ἡμῶν. σήμερον Σταυρὸς ὑψοῦται, καὶ Κόσμος ἐκ πλάνης ἐλευθεροῦται. σήμερον τοῦ Χριστοῦ ἡ ἀνάστασις ἐγκαινίζεται, καὶ τὰ πέρατα τῆς γῆς ἀγάλλονται· ἐν κυμβάλοις δαβιτικοῖς ὕμνον σοι προσφέροντα, καὶ λέγοντα· εἰργάσω σωτηρίαν ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεὸς, Σταυρὸν, καὶ τὴν Ἀνάστασιν· δι' ὧν ἡμᾶς ἔσωσας, ἀγαθὲ, καὶ φιλάνθρωπε, παντοδύναμε Κύριε δόξα σοι.

Καὶ μετὰ τὸ προσκυνῆσαι πάντας, [illegible] ὁ Ἱερεὺς, Σοφία. [illegible]

Εἰς τὴν Λειτουργίαν, Ἀντίφωνα.

Ἀντίφωνον α΄. Ἦχος α΄.

Ὁ Θεός, ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με; Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Ὁ Θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Δόξα. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Καὶ νῦν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον β΄. Ἦχος β΄.

Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ σαρκὶ σταυρωθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.
Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ᾽ ἀρχῆς. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.
Ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.
Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.
Δόξα. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.
Καὶ νῦν. Ὁ Μονογενὴς Υἱός, καὶ Λόγος.

Ἀντίφωνον γ΄. Ἦχος α΄.

Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.
Σῶσον Κύριε τὸν λαόν σου.
Κύριος ἐν Σιὼν μέγας, καὶ ὑψηλός ἐστι.
Σῶσον Κύριε τὸν λαόν σου.
Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ.
Σῶσον Κύριε τὸν λαόν σου. Εἰσοδικόν.
Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν, καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ.
Σῶσον Κύριε τὸν λαόν σου.
Εἶτα. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος βαρύς.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.
Στ. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Ὁ Ἀπόστολος. Πρὸς Κορινθίους α΄.

Κεφ. 18. Ἀδελφοί, ὁ λόγος ὁ τοῦ Σταυροῦ, τοῖς μὲν ἀπολλυμένοις, μωρία ἐστί. τοῖς δὲ σωζομένοις ἡμῖν, δύναμις Θεοῦ ἐστι. Γέγραπται γάρ· Ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν. καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω. Ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ Κόσμου τούτου; Ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ Κόσμος διὰ τῆς σοφίας τὸν Θεόν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας. Ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι, καὶ Ἕλληνες σοφίαν ζητοῦσιν. Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι δὲ μωρίαν. Αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι, Χριστὸν Θεοῦ δύναμιν, καὶ Θεοῦ σοφίαν. Ὅτι τὸ μωρὸν τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστί. καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί. Βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, Ἀδελφοί, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα, οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς. Ἀλλὰ τὰ μωρὰ τοῦ Κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα τοὺς σοφοὺς καταισχύνῃ. καὶ τὰ ἀσθενῆ τοῦ Κόσμου ἐξελέξατο ὁ Θεός, ἵνα καταισχύνῃ τὰ ἰσχυρά. Καὶ τὰ ἀγενῆ τοῦ Κόσμου, καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεός, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ. Ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ. Ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ; δικαιοσύνη τε, καὶ ἁγιασμός, καὶ ἀπολύτρωσις. Ἵνα, καθὼς γέγραπται, ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω. Κἀγὼ δὲ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοί, ἦλθον οὐ καθ᾽ Κεφ. β΄. 1.
ὑπεροχὴν λόγου, ἢ σοφίας, καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ. Οὐ γὰρ ἔκρινα τοῦ εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστόν, καὶ τοῦτον ἐσταυρωμένον.

Ἀλληλούϊα, ἦχος α΄.

Μνήσθητι τῆς συναγωγῆς σου.
Στ. Ὁ δὲ Θεὸς, Βασιλεὺς ἡμῶν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ, Συμβούλιον ἐποίησαν Κεφ. ιθ΄. 6.
οἱ Ἀρχιερεῖς, καὶ οἱ Πρεσβύτεροι, κατὰ τοῦ Ἰησοῦ, ὅπως αὐτὸν ἀπολέσωσι. Καὶ παρεγένοντο πρὸς Πιλάτον, λέγοντες· ἆρον, ἆρον, σταύρωσον αὐτόν. λέγει αὐτοῖς ὁ Πιλάτος· λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε· ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. Ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· ἡμεῖς νόμον ἔχομεν, καὶ κατὰ τὸν νόμον ἡμῶν ὀφείλει ἀποθανεῖν, ὅτι ἑαυτὸν Υἱὸν Θεοῦ ἐποίησεν. Ὅτε



Δημόσια Κεντρική Βιβλιοθήκη

οὖν ἤκουσεν ὁ Πιλάτος τοῦτον τὸν λόγον, μᾶλ-
λον ἐφοβήθη. Καὶ εἰσῆλθεν εἰς τὸ Πραιτώ-
ριον πάλιν, καὶ λέγει τῷ Ἰησοῦ· πόθεν εἶ
σύ; ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ.
Λέγει οὖν αὐτῷ ὁ Πιλάτος· ἐμοὶ οὐ λαλεῖς;
οὐκ οἶδας, ὅτι ἐξουσίαν ἔχω σταυρῶσαί σε, καὶ
ἐξουσίαν ἔχω ἀπολῦσαί σε; Ἀπεκρίθη ὁ Ἰη-
σοῦς· οὐκ εἶχες ἐξουσίαν οὐδεμίαν κατ᾽ ἐμοῦ, εἰ
μὴ ἦν σοι δεδομένον ἄνωθεν. Ὁ οὖν Πιλά-
τος ἀκούσας τοῦτον τὸν λόγον, ἤγαγεν ἔξω
τὸν Ἰησοῦν, καὶ ἐκάθισεν ἐπὶ τοῦ βήματος,
εἰς τόπον λεγόμενον λιθόστρωτον, Ἑβραϊστὶ
δὲ, Γαββαθᾶ. Ἦν δὲ παρασκευὴ τοῦ Πά-
σχα, ὥρα δὲ ὡσεὶ ἕκτη. καὶ λέγει τοῖς Ἰου-
δαίοις· ἴδε ὁ Βασιλεὺς ὑμῶν. Οἱ δὲ ἐκραύ-
γασαν· ἆρον, ἆρον, σταύρωσον αὐτόν. Λέ-
γει αὐτοῖς ὁ Πιλάτος. τὸν Βασιλέα ὑμῶν
σταυρώσω; Ἀπεκρίθησαν οἱ Ἀρχιερεῖς· οὐκ
ἔχομεν Βασιλέα, εἰμὴ Καίσαρα. Τότε οὖν
παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ. πα-
ρέλαβον δὲ τὸν Ἰησοῦν, καὶ ἀπήγαγον· Καὶ
βαστάζων τὸν Σταυρὸν αὐτοῦ, ἐξῆλθεν εἰς τὸν
λεγόμενον Κρανίου τόπον, ὃς λέγεται Ἑ-
βραϊστὶ, Γολγοθᾶ. Ὅπου αὐτὸν ἐσταύρωσαν,
καὶ μετ᾽ αὐτοῦ ἄλλους δύο, ἐντεῦθεν, καὶ ἐν-
τεῦθεν, μέσον δὲ τὸν Ἰησοῦν. Ἔγραψε δὲ
καὶ Τίτλον ὁ Πιλάτος, καὶ ἔθηκεν ἐπὶ τοῦ
Σταυροῦ. ἦν δὲ γεγραμμένον· Ἰησοῦς ὁ Να-
ζωραῖος, ὁ Βασιλεὺς τῶν Ἰουδαίων. Τοῦτον οὖν
τὸν Τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων,
ὅτι ἐγγὺς ἦν τῆς Πόλεως ὁ τόπος, ὅπου
ἐσταυρώθη ὁ Ἰησοῦς· καὶ ἦν γεγραμμένον,
Ἑβραϊστὶ, Ἑλληνιστὶ, Ῥωμαϊστί. Εἱστήκεισαν
δὲ παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ, ἡ Μήτηρ αὐ-
τοῦ, καὶ ἡ ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ, Μα-
ρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαλη-
νή. Ἰησοῦς οὖν ἰδὼν τὴν Μητέρα, καὶ τὸν
Μαθητὴν παρεστῶτα, ὃν ἠγάπα, λέγει τῇ
Μητρὶ αὐτοῦ· Γύναι, ἴδε ὁ Υἱός σου. Εἶτα
λέγει τῷ Μαθητῇ· ἰδοὺ ἡ Μήτηρ σου. Καὶ
ἀπ᾽ ἐκείνης τῆς ὥρας, ἔλαβεν ὁ Μαθητὴς
αὐτὴν εἰς τὰ ἴδια. Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς,
ὅτι πάντα ἤδη τετέλεσται· κλίνας τὴν κεφα-
λὴν, παρέδωκε τὸ πνεῦμα· Οἱ οὖν Ἰουδαῖοι,
ἵνα μὴ μείνῃ ἐπὶ τοῦ Σταυροῦ τὰ σώματα ἐν
τῷ Σαββάτῳ, ἐπεὶ Παρασκευὴ ἦν· (ἦν
γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ Σαββάτου.)
ἠρώτησαν τὸν Πιλάτον, ἵνα κατεαγῶσιν αὐ-
τῶν τὰ σκέλη, καὶ ἀρθῶσιν. Ἦλθον οὖν οἱ
στρατιῶται, καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ
σκέλη, καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐ-
τῷ. Ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον
αὐτὸν ἤδη τεθνηκότα, οὐ κατέαξαν αὐτοῦ τὰ
σκέλη. Ἀλλ᾽ εἷς τῶν στρατιωτῶν λόγχῃ αὐτοῦ
τὴν πλευρὰν ἔνυξε, καὶ εὐθέως ἐξῆλθεν αἷ-
μα καὶ ὕδωρ. Καὶ ὁ ἑωρακὼς μεμαρτύρηκε,
καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ.

Κοινωνικὸν [illegible]

Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς.

Ἰστέον, ὅτι ἢ ἂν ἡμέρα τύχῃ ἡ σεβάσ-
μιος αὕτη Ἑορτὴ, εἴτε Κυριακὴ, εἴτε
Σαββάτῳ, τυρὸν, ἢ ὠὸν, ἢ ἰχθὺν οὐκ ἐ-
σθίομεν, εἰμὴ ἔλαιον καὶ οἶνον, εὐχαριστοῦντες
Χριστῷ τῷ Θεῷ ἡμῶν.

Μηνὶ τῷ αὐτῷ ΙΕ.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Νικήτα.

Εἰς τό, Κύριε ἐκέκραξα, [illegible]
[illegible] προσόμοια τῆς Ἑορτῆς. [illegible]

Τῶν οὐρανίων ταγμάτων.

Τὸ ἀνυψούμενον ξύλον τῆς σωτηρίας ἡ-
μῶν, ἐν ᾧ Χριστὸς τὰς χεῖρας, ἡ ζωὴ
τῶν ἁπάντων, προσήλωσε βουλήσει, πάντας
πιστοὺς, προσκαλεῖται ἐν ᾄσμασιν, ἑορταζόν-
των μετ᾽ ἤχου τοῦ προσκυνεῖν, ὑποπόδιον τὸ
θεῖον αὐτοῦ.

Τῶν ἐγκαινίων τὴν μνήμην τῆς ἀναστά-
σεως, δι᾽ ἧς τοῖς ἐν τῷ σκότει, φῶς
ἐπέλαμψε μέγα, ζωῆς καὶ ἀφθαρσίας,
δεῦτε πιστοὶ, ἐκτελοῦντες ὑψώσωμεν, τὸ ζωο-
πάροχον ξύλον τὸ τοῦ Σταυροῦ, προσκυνοῦν-
τες τὸν Σωτῆρα Χριστόν.

Μωσῆς ὁ μέγας ὁ πάλαι, ἐπὶ τοῦ ὄρους Σι-
νᾶ, σταυροειδῶς τὰς χεῖρας, ἐκπετάσας εἰς
ὕψος, ἐτύπου τὸν σταυρόν σου, Χριστὲ ὁ Θεὸς,
τὸν ὑψούμενον σήμερον, καὶ ἁγιάζοντα πάντας
τοὺς ἐπὶ γῆς, σὲ ἐν τούτῳ προσκυνοῦντας πιστῶς.

Καὶ τοῦ Ἁγίου, Ζήτει εἰς Μάρτυρας.
Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς, Ἦχος α΄.

Σήμερον ὡς ἀληθῶς.

Ζήτει ὄπισθεν εἰς τὴν Λιτήν.

Εἰς τὸν [illegible] Οἶκος τοῦ Ἐφραθᾶ.

Ὕψος τὸ τοῦ Σταυροῦ, ὑψούμενον ὁρῶντες,
μεγαλωσύνην δῶμεν, Θεῷ τῷ σταυρω-
θέντι, σαρκὶ δι᾽ ἀγαθότητα.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Τὴν ἴασιν τῶν δυσχερῶν, καὶ κτῆσιν τῶν ἀρίστων, ὑψούμενος βραβεύει, τῷ γένει τῶν ἀνθρώπων, Σταυρὸς Χριστοῦ ὁ ἅγιος.

Στίχ. Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν.

Ὅτε τὸν Ἀμαλὴκ, Μωσῆς κατετροποῦτο, Χριστοῦ προγράφων πάθος, Σταυρὸν προδιετύπου, δαιμόνων ἀμυντήριον.

Δόξα, καὶ νῦν. Ἦχος ...

Ὁ θεῖος θησαυρὸς ἐν γῇ κρυπτόμενος.

Ζήτει εἰς τὴν Λιτήν. Ταῦτα ψάλλονται ἄχρι τῆς ἀποδόσεως τῆς Ἑορτῆς, ὡς Μεθέορτα.

Μηνὶ τῷ αὐτῷ ιϛ΄.

Τῆς Ἁγίας Μεγαλομάρτυρος, καὶ πανευφήμου Εὐφημίας. Ἡ Ἀκολουθία τῆς Ἑορτῆς, καὶ τῆς Ἁγίας. ζήτει εἰς Γυναῖκα Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιζ΄.

Τῆς Ἁγίας Μάρτυρος Σοφίας, καὶ τῶν τριῶν θυγατέρων αὐτῆς, Πίστεως, Ἀγάπης, καὶ Ἐλπίδος. Ἡ Ἀκολουθία τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων. Ζήτει εἰς Γυναῖκας Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ ιη΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐμενίου Ἐπισκόπου Γορτυνῆς τοῦ Θαυματουργοῦ. Ἡ Ἀκολουθία τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου. Ζήτει εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ ιθ΄.

Τῶν Ἁγίων Μαρτύρων Τροφίμου, Σαββατίου, καὶ Δορυμέδοντος. Ἡ Ἀκολουθία τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων. Ζήτει εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ κ΄.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου, καὶ τῆς συνοδίας αὐτοῦ. Ἡ Ἀκολουθία τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων. Ζήτει εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ κα΄.

Τοῦ Ἁγίου Ἀποστόλου Κοδράτου, τοῦ ἐν Μαγνησίᾳ. Δεῖ γινώσκειν, ὅτι ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ Ἑορτὴ τοῦ τιμίου Σταυροῦ, καὶ ψάλλονται πάντα τὰ τῆς Ἑορτῆς, εἴτε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ: ἡ δὲ τοῦ Ἁγίου Ἀκολουθία ψάλλεται τῇ ἐπαύριον μετὰ τοῦ Ἁγίου Ἱερομάρτυρος Φωκᾶ.

Μηνὶ τῷ αὐτῷ κβ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Φωκᾶ, καὶ τοῦ Ἁγίου Ἀποστόλου Κοδράτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀπόστολον, καὶ εἰς Ἱερομάρτυρα.

Μηνὶ τῷ αὐτῷ κγ΄.

Ἡ Σύλληψις τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ...

... Ἦχος δ΄. Ὡς γενναῖον. Ὕψιστε κληθείς.

Ἱερατεύων ὁ θεῖος Ζαχαρίας, καὶ ἔνδον γενόμενος τοῦ θειοτάτου ναοῦ, καὶ τοῦ λαοῦ τὰ αἰτήματα, προσαναφέρων, τῷ εὐεργέτῃ, καὶ πανοικτίρμονι, θειότατον Ἄγγελον εἶδε βοῶντα αὐτῷ· ἡ προσευχή, καὶ ἡ δέησις, σοῦ εἰσηκούσθη, θάρσει πρεσβῦτα, καὶ μὴ ἀπίει μοι. ἕξεις γὰρ παῖδα θεῖον Πρόδρομον, γεννητοῖς γυναικῶν ὑπερέχοντα, Ἡλιοῦ ἐν δυνάμει, τοῦ Χριστοῦ προπορευόμενον.

Ξένος μοι φαίνῃ τῇ θέᾳ, καὶ τῷ τρόπῳ, ξένος καὶ τοῖς ῥήμασι, καὶ τοῖς μηνύμασιν, ὁ Ζαχαρίας ἀντέφησεν· ἐγὼ γὰρ ἦλθον, τὴν σωτηρίαν λαοῦ αἰτήσασθαι, οὐχὶ δὲ κομίσασθαι, παῖδα ὡς σὺ προσφωνεῖς· ἀπεναντίας εὑρίσκω σε, τῶν αἰτημάτων, καὶ ὑποπτεύω μὴ ἀληθεύειν σε. πῶς γὰρ ὃ λέγεις βεβαιότατον, ἀποδειχθῇ; Ἐλισάβετ γὰρ στεῖρα ἐστί· κἀγὼ δὲ ὡς σὺ οἶδας, καὶ ἐπίστασαι πρεσβύτατος.

Τί ἀπιστεῖς μου τοῖς λόγοις Ζαχαρία; ψευδῆ εὐαγγέλια λέγεις κομίζειν με; Θεοῦ Ἀρχάγγελος πέφυκα· ἃ προσετάχθην, ταῦτά σοι λέγω σὺν σοὶ ἱστάμενος. ἐπεὶ δὲ ἠπίστησας, καὶ οὐκ ἐπίστευσας, ἔσῃ κωφεύων καὶ ἄλαλος, ἕως ἂν ἴδῃς, ἐμῶν ῥημάτων τὴν θείαν ἔκβασιν· ἐπεὶ δὲ τέξῃ Ἐλισάβετ σοι, τὴν τοῦ Λόγου φωνὴν μέγαν Πρόδρομον, τρανουμένης τῆς γλώττης, εὐλογήσεις τὸν Θεὸν Ἰσραήλ.

Δόξα, καὶ νῦν. Ἦχος ...

Ἐκ στειρευούσης σήμερον νηδύος, καρπὸς προσευχῆς ἀνεβλάστησεν, Ἰωάννης ὁ Πρόδρομος. ἀγάλλου ἡ ἔρημος, καὶ χόρευε ἡ ἀνθρωπότης. ὁ τῆς μετανοίας Κῆρυξ ἰδοὺ ἔρχεται, ἐν κοιλίᾳ μητρικῇ σαρκοῦσθαι· δεῦτε ἀγαλλόμενοι ἐν τῇ ἐνδόξῳ αὐτοῦ συλλήψει, οἱ φιλέορτοι χορεύσωμεν βοῶντες· ὁ ἐν γεννητοῖς γυναικῶν μείζων ὑπάρχων, μὴ διαλίπῃς πρεσβεύειν, ὑπὲρ τῶν πίστει τελούντων τὴν θείαν σου σύλληψιν· ὅπως εὕρωμεν ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.



Δημόσια Κεντρική Βιβλιοθήκη

Καὶ νῦν. Θεοτοκίον. ὁ αὐτός.

Τίς μὴ μακαρίσασε.

Εἰς τὸν ἑ. φ. ἦχος πλ. β.

Ὅλην ἀποθέμενοι.

Μολόντι εἰς Ἅγια, τὰ τῶν Ἁγίων ἁγίως, ἱερῶς Προφῆτά σοι, τῶν ἁγίων Ἅγιος καθὼς γέγραπται, ἐπιστὰς Ἄγγελος, προσεφώνει λέγων· εἰσηκούσθη σου ἡ δέησις, καὶ διαλύεται, νῦν τῆς Ἐλισάβετ ἡ στείρωσις· καὶ τέξεταί σοι πρεσβύτατε, Υἱὸν Ἰωάννην τὸν Πρόδρομον· λύχνον τοῦ Ἡλίου, Προφήτην τοῦ Ὑψίστου καὶ φωνήν, τοῦ ἐκ Παρθένου Θεόπαιδος, Λόγου ἀνατέλλοντος.

Καὶ σὺ Παιδίον, Προφήτης.

Λέγε μοι τρανώτατα, κατὰ τί γνώσομαι τοῦτο; αὖθις πρὸς τὸν Ἄγγελον, ὁ μακαριώτατος, Πρέσβυς ἔφησεν. ὡς ὁρᾷς πλήρης γὰρ, ἡμερῶν ὑπάρχω· Ἐλισάβετ στεῖρα πέφυκε. πῶς οὖν μοι ῥήματα, φθέγγῃ ὑπὲρ φύσιν; ἐξίσταμαι· οὐδ' ὅλως ἀληθεύοντα, νῦν ὑπονοῶ σε, ὦ ἄνθρωπε. ἄπιθι, ἐγὼ γὰρ, λαοῦ τὴν σωτηρίαν ἐξαιτῶ. οὐχὶ δὲ Παῖδα κομίσασθαι, πρᾶγμα δυσπαράδεκτον.

Λατρεύειν αὐτῷ ἐν ὁσιότητι.

Θεοῦ Παντοκράτορος, ἐγὼ Ἀρχάγγελος πέλω· Γαβριὴλ μοι ὄνομα, τῷ πρεσβύτῃ ἔφησεν ὁ Ἀσώματος· τὸ παρὸν κώφευσον, καὶ σιγὴν ἄσκησον, ἀπιστήσας ἐμοῖς ῥήμασιν. ἐπὰν δὲ τέξεταί σοι, σάλπιγγα τοῦ Λόγου ἡ σύζυγος, τοῦ Πνεύματος τρανοῦντός σοι, γλῶτταν ἐκβοήσεις τρανώτατα· Προφήτης ὑψίστου, κληθήσῃ ὦ Παιδίον τὰς αὐτοῦ, προετοιμάσαι ἐν χάριτι, τρίβους ὡς ηὐδόκησεν.

Δόξα, ἦχος πλ. β.

Ἄγγελος ἐκ στειρωτικῶν ὠδίνων προῆλθες Βαπτιστὰ, ἐξ αὐτῶν τῶν σπαργάνων τὴν ἔρημον οἰκήσας· σφραγίς τε πάντων τῶν Προφητῶν ἐδείχθης· ὃν γὰρ ἐκεῖνοι πολυτρόπως ἐθεάσαντο, καὶ αἰνιγματωδῶς προεκήρυξαν, τοῦτον βαπτίσαι ἐν Ἰορδάνῃ κατηξιώθης. φωνῆς τε ἀκήκοας Πατρικῆς οὐρανόθεν, μαρτυρούσης αὐτοῦ τὴν υἱότητα. καὶ τὸ Πνεῦμα εἶδες, περιστερᾶς ἐν εἴδει, τὴν φωνὴν ἕλκον ἐπὶ τὸν βαπτιζόμενον. ἀλλ' ὦ πάντων τῶν Προφητῶν ὑπέρτερε, μὴ διαλίπῃς πρεσβεύων ὑπὲρ ἡμῶν τῶν πιστῶς σου τελούντων τὸ μνημόσυνον.

Καὶ νῦν. Θεοτοκίον. Σὺ εἶ ἡ ἄμπελος.

Ἀπολυτίκιον, ἦχος δ.

Ἡ πρώην οὐ τίκτουσα στεῖρα εὐφράνθητι. ἰδοὺ γὰρ συνέλαβες Ἡλίου λύχνον σαφῶς, φωτίζειν τὸν μέλλοντα, πᾶσαν τὴν Οἰκουμένην, ἀβλεψίαν νοσοῦσαν. χόρευε Ζαχαρία, ἐκβοῶν παῤῥησίᾳ· Προφήτης τοῦ ὑψίστου ἐστὶν, ὁ μέλλων τίκτεσθαι.

Καὶ Θεοτοκίον.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α. στιχολ. Κάθ. ἦχος πλ. δ.

Τὸν συνάναρχον Λόγον.

Ἐλισάβετ στειρώσεως ἠλευθέρωται· ἡ Παρθένος δὲ πάλιν Παρθένος ἔμεινεν, ὅτε φωνῇ τοῦ Γαβριὴλ γαστρὶ συνέλαβεν. ἀλλ' ἐν νηδύϊ προσκιρτᾷ τὸν ἐν γαστρὶ παρθενικῇ, Θεὸν προγνοὺς καὶ Δεσπότην, ὁ Πρόδρομος Ἰωάννης, εἰς σωτηρίαν ἡμῶν σαρκούμενον. Δόξα, τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε ἅγιον ὄρος καὶ θεοβάδιστον. χαῖρε ἔμψυχε βάτε, καὶ ἀκατάφλεκτε. χαῖρε ἡ μόνη πρὸς Θεὸν Κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς, πρὸς τὴν αἰώνιον ζωήν. χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὴν β. στιχολ. Κάθ. ἦχος δ.

Κατεπλάγη Ἰωσήφ.

Ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὁ ἐκ Παρθένου δι' ἡμᾶς, σαρκωθῆναι βουληθεὶς, διαπιστούμενος τῆς σῆς, κυοφορίας τὸ ξένον μυστήριον· τῇ στείρᾳ τὸν Υἱὸν παρ' ἐλπίδα αὐτῆς, ἐν γήρᾳ δεδωκὼς, τὸν θεῖον Πρόδρομον, ὁδοποιὸν προσέταξας, ἐν θαύμασι τὰ θεῖα ὄντως σου θαύματα αὐτοῦ τελοῦντας, τὴν θείαν ὄντως, Σύλληψιν σῶσον πάντας ἡμᾶς. Δίς.

Κανόνες τῆς Ὀκτωήχου, ἢ τῆς Θεοτόκου, καὶ τοῦ Προδρόμου εἰς ς. ὁ Κανὼν Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ὠδὴ α. ἦχος πλ. δ. Ὡς ἐν ἠπείρῳ.

Τῆς στειρωσάσης ψυχῆς μου τοὺς λογισμοὺς, τοὺς ἀκάρπους ἔκτιλον, στειρώσεως ὁ βλαστὸς, εὐφημεῖν ὁρμήσαντος τὴν σὴν, ἐν νηδύϊ μητρικῇ ἁγίαν Σύλληψιν.

Ὁ Ἱερὸς Ζαχαρίας ἐν τῷ ναῷ, εἰσελθὼν τεθέαται, θεῖον Ἄγγελον αὐτῷ, ἐμφανῶς μηνύοντα Υἱὸν, μετὰ γῆρας Ἱερεῦ, ἕξεις τὸν Πρόδρομον.

Λύχνος Ἡλίου τῆς δόξης ὁ φωταυγὴς, ἐν νηδύϊ ἄρχεται, ἀναλάμπειν μητρι-

κῇ· δι᾽ οὗ σκότος λέλυται παθῶν, καὶ στειρώσεως δεσμὰ, ὁ μέγας Πρόδρομος. Θεοτ.

ΣΟν ἐν Γαστρὶ σε Δεσπότιν τῇ μητρικῇ, Θεοτόκε πάναγνε, βασταζόμενον Γαστρὶ, κατιδὼν ἐσκίρτησε σαφῶς, Ἰωάννης ὡς αὐτοῦ ὑπάρχων Πρόδρομος.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. Οὐκ ἔστιν Ἅγιος.

Η Στεῖρα σήμερον καρπὸν, ἱερὸν συλλαμβάνει, τὸν μετέπειτα πᾶσαν, ἀκαρπίαν τῶν ψυχῶν, ἀξίνῃ τῇ νοητῇ, ἀποτέμνειν μέλλοντα ἐν χάριτι.

ΚΩφεύσας ἔνδον τοῦ ναοῦ, Ζαχαρίας ὁ μέγας, καὶ φωνὴν τὴν τοῦ Λόγου, ἀγγελίᾳ φοβερᾷ, κομίζεται καὶ λαμπρῶς, μεγαλύνει Κύριον τὸν εὔσπλαγχνον.

Ο Δεῖξας τρίβον ἀσφαλῆ, τοῖς πιστοῖς μετανοίας, προτροπῇ τοῦ Ἀγγέλου, ἐν νηδύϊ μητρικῇ, βλαστάνει θείᾳ βουλῇ, παρ᾽ ἐλπίδα, ὁ ἔνδοξος Πρόδρομος. Θεοτ.

ΓΑστρὶ φερόμενον Χριστὸν, τῆς Παρθένου ὡς ἔγνω, ὁ ἐκ στείρας ἐσκίρτα. προμηνύων τὴν χαρὰν, ἐπιδημήσασαν γῇ, καὶ τῆς φθορᾶς ταύτης ἐκλυτρώσασθαι.

Κάθισμα. Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

ΘΥμιῶντι ἐν ναῷ, τῷ Ζαχαρίᾳ Ἱερεῖ, Γαβριὴλ ἐξ Οὐρανοῦ, ἐπέστη λέγων πρὸς αὐτόν· ὅτι ἐν γήρᾳ σου ἕξεις καρπὸν εὐκλεῆ· καὶ στείρωσις ἡ πρὶν, τῆς Ἐλισάβετ νυνὶ, λυθήσεται εὐθὺς, καὶ ἀκαρπίας γονή· καὶ συλλαβοῦσα τέξεται τὸν Κήρυκα, τοῦ Ἰησοῦ τε, καὶ πρόδρομον. αὐτοῦ πρεσβείαις, Σωτὴρ τοῦ Κόσμου, σῶσον τὰς ψυχὰς ἡμῶν. Δίς.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

ΚΑτεπλάγη Ἰωσὴφ, τὸ ὑπὲρ φύσιν θεωρῶν· καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετὸν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε. βάτον ἐν πυρὶ ἀκατάφλεκτον· ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν. καὶ μαρτυρῶν ὁ Μνήστωρ σου, καὶ φύλαξ, τοῖς Ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον πάλιν μένει Παρθένος.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

ΦΩνὴ Ἀγγέλου σε, τὸν ὄντως Ἄγγελον, τῆς Χριστοῦ παρουσίας τῷ Ἱερεῖ, ἱερῶς προήγγειλε, στειρωτικῆς ἀπὸ γαστρὸς, ἐκβλαστάνειν μάκαρ Πρόδρομε.

ΗΠρώην ἄγονος, καὶ ἡ οὐ τίκτουσα, νῦν εὐφράνθητι στεῖρα, ὅτι Χριστοῦ, Βαπτιστὴν καὶ Πρόδρομον, καρπογονεῖς πανευκλεῶς, Ἐλισάβετ ἀξιάγαστε.

ΑΞίνῃ Πρόδρομε τῆς σῆς δεήσεως, τὰς παθῶν μου ἀκάνθας, καὶ λογισμῶν ἔκτιλον προσκόμματα· καὶ καρποφόρον μου τὸν νοῦν, ἀρεταῖς παμμάκαρ ποίησον. Θεοτ.

ΝΗδύς σε ἔφερε, τὸν πάντα φέροντα, τῆς Παρθένου ἡνίκα ὁ Βαπτιστὴς, ἐν γαστρὶ φερόμενος, σὲ προσεκύνησε Χριστὲ. καὶ σκιρτῶν ἠγαλλιάσατο. Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου.

ΜΟλοῦντι ἔνδον τοῦ ἱεροῦ, καὶ τὰς νομικὰς τῷ Ποιητῇ, λατρείας προσαναφέροντι, ὤφθη τῷ Προφήτῃ ἅγιος Ἄγγελος, μηνύων τοῦ Προδρόμου τὴν θείαν Σύλληψιν.

ΠΩς ἔσται τοῦτό μοι τηλαυγῶς; πέλω γὰρ πρεσβύτης ὡς ὁρᾷς, καὶ στεῖραν σύζυγον κέκτημαι, ἔφη Ζαχαρίας πρὸς τὸν Ἀρχάγγελον, φύσεως ἐναντία, λέγεις μοι ῥήματα.

ΠΡὸς Σάῤῥαν βλέψον τοῦ Ἀβραὰμ, ἴδε πῶς ἐκείνη Ἰσαὰκ, ἐν γήρᾳ τέτοκεν ἄνθρωπε, καὶ τοῖς λεγομένοις δικαίως πίστευε, πρεσβύτῃ προσεφώνει ὁ μέγας Ἄγγελος. Θεοτ.

ΕΥλογημένη ἐν γυναιξὶ, σὺ Θεοχαρίτωτε σαφῶς, ἡ Ἐλισάβετ ἐβόα σοι· ὅτι κυοφόρον ἀνάνδρως ἔγνων σε, τὴν μόνην μετὰ τόκον, ἄφθορον μείνασαν.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

ΑΜφίβολον κέκτημαι, τὴν διάνοιαν ἐγὼ, καὶ ἀπιστῶ τοῖς λόγοις σου, τῷ Ἀρχαγγέλῳ ἔφη ὁ Ἱερεὺς· λαοῦ σωτηρίαν γὰρ, οὐκ ἐμῆς ἐξ ὀσφύος καρπὸν ᾔτησα.

Ο Πλάστης τῆς φύσεως, τῶν Ἀγγέλων Βασιλεὺς, ὁ Λειτουργὸς ἀντέφησε, τῆς παρουσίας Ἄγγελον τῆς αὐτοῦ, ηὐδόκησε τίκτειν σε· τοῖς ἐμοῖς μὴ ἀπίστει λόγοις ἄνθρωπε.

ΦΟ ἀδός σου πύρινον, καὶ ἡ θέα σου φρικτὴ, καὶ θαυμαστὸς ὁ λόγος σου, ὁ Ζαχαρίας ἔφη τῷ Λειτουργῷ. ἀλλ᾽ οὖν οὐ πιστεύω σοι, ὑπὲρ φύσιν λαλοῦντι ξένα ῥήματα. Θεοτ.

Ο Λύχνος τὸν Ἥλιον, ἐν νεφέλῃ μητρικῇ, γαστρὸς κατακρυπτόμενον, ἐπεγνωκὼς ὑπάρχων ἐν ζοφερῷ, τῆς μήτρας σκηνώματι, προσεκύνησε χαίρων, καὶ ἐσκίρτησε.

Κοντάκιον. Ἦχος α'. Χορὸς Ἀγγελικός.

ΕΥφραίνεται λαμπρῶς Ζαχαρίας ὁ μέγας, σὺν τῇ πανευκλεεῖ Ἐλισάβετ συζύγῳ, ἀξίως συλλαμβάνοντες, Ἰωάννην τὸν Πρόδρομον· ὃν Ἀρχάγγελος εὐηγγελίσατο

χαίρων· καὶ οἱ ἄνθρωποι ἀξιοχρέως τιμῶμεν, ὡς μύστην τῆς χάριτος. Ὁ Οἶκος.

Τὸ ἱερὸν Εὐαγγέλιον ἀναπτύξωμεν, ὃ Λουκᾶς ἡμῖν ἔγραψεν, ὁ ἱερὸς καὶ θαυμάσιος· καὶ τὴν τοῦ Προδρόμου θεασώμεθα σύλληψιν, τὴν φαιδρὰν, καὶ ἐπίσημον. φησὶ γὰρ, ὡς εἰσῆλθεν ὁ πρεσβύτης, καὶ δίκαιος Ζαχαρίας εἰς τὰ Ἅγια τῶν Ἁγίων, τοῦ θυμιᾶσαι τῷ τῆς ἐφημερίας καιρῷ, ἐπέστη αὐτῷ Γαβριὴλ εὐαγγελιζόμενος, καὶ λέγων· ἕξεις Ἱεράρχα Υἱὸν ἐν τῷ γήρᾳ, Προφήτην τε, καὶ Πρόδρομον, φωνήν τε, καὶ Κήρυκα, καὶ λύχνον ἀίφωτον, τὸν μύστην τῆς χάριτος.

Τῇ αὐτῇ Μηνὶ κγ΄. Ἡ Σύλληψις τοῦ Ἁγίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

Ἀνδρὶ Προφήτῃ χρησμὸς ἐξ Ἀρχαγγέλου.

Τεκὼν Προφήτην, καὶ Προφήτου τί πλέον.

Εἰκάδι τριτάτῃ γαστὴρ λάβε Πρόδρομον εἴσω.

Ταύτην τὴν θείαν Σύλληψιν εὐηγγελίσατο τῷ Προφήτῃ, καὶ Ἱερεῖ Ζαχαρίᾳ, ὁ θεῖος Ἀρχιστράτηγος Γαβριὴλ, εἰσηκούσθη ἡ δέησίς σου, εἰπών. ὡς ἐκ τούτου προμηνύεσθαι διὰ τὸ παράδοξον τοῦ τε γήρως, καὶ τῆς στειρώσεως τῆς Ἐλισάβετ, τὸν θεῖον, καὶ παρθενικὸν τῆς παναχράντου Θεοτόκου Τόκον.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἀπιστήσας μου τοῖς ῥήμασι τὴν κώφευσιν, κομίζει προδηλότατα· καὶ τικτομένην ὁπηνίκα ἴδῃς τὴν φωνὴν, τοῦ Λόγου ἀνάλαβε φωνήν· Εὐλογητὸς εἶ ἐκβοῶν, τοῦ Ἰσραὴλ ὁ Θεός.

Ἡ σελήνη Ἐλισάβετ προσευχόμενος, πολύφωτος ὡς Ἥλιος, ὁ Ζαχαρίας σελασφόρον λύχνον τοῦ φωτὸς, ἐκτέτοκε φαίνοντα ἡμῖν, τοῖς ἐν τῷ σκότει τῶν παθῶν, κατασχεθεῖσι δεινῶς.

Τοῖς σκιρτήμασιν ὡς ῥήμασι χρησάμενος, Χριστοῦ ὁ μέγας Πρόδρομος, προσεκύνησεν ἐν νηδύϊ σε παρθενικῇ. αὐτὸς βασταζόμενος γαστρὶ, τῆς Ἐλισάβετ Ἰησοῦ, ὁ τῶν Πατέρων Θεός. Θεοτοκίον.

Ἡ Σελήνη Ἐλισάβετ ἔνδον φέρουσα, ἀστέρα θεῖον Πρόδρομον, προσεκύνησε φωτεινὴν νεφέλην Μαριὰμ, τὸν Ἥλιον φέρουσαν Χριστὸν, σαρκοφορούμενον ἐκ σοῦ, διὰ τὸ σῶσαι ἡμᾶς.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ὁ τοῦ Νυμφίου ὁ φίλος προετοιμάζεται, ἡ φωνὴ δὲ τοῦ Λόγου ἀρχὴν εἰσδέχεται, καὶ στειρωτικαῖς νῦν λαγόσιν ἐκτρέφεται, τοῦ Παμβασιλέως ὁ μέγας Στρατιώτης.

Ἐσταρωμέναις καρδίαις γεωργὸς ὤθησε, τῶν παθῶν ἡ ἀξίνη ἤδη χαλκεύεται. μόσχος ὁ σεπτὸς, ἐγκρατείᾳ σιτεύεται, Πρόδρομος ὁ μέγας, λαοὶ ἀγαλλιᾶσθε.

Τὰ δεσμὰ ὥσπερ πάλαι τὰ τῆς στειρώσεως, τῆς ἐμῆς διανοίας, οὕτω τὴν πώρωσιν, λῦσον Βαπτιστὰ, καὶ καρποὺς μετανοίας με, ποίησον βλαστάνειν, καὶ ζῆν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Κυοφόρον σε Κόρη ὡς ἐθεάσατο, Ἐλισάβετ εὐθέως ἠγαλλιάσατο, ἔνδοθεν αὐτῆς τοῦ ἐμβρύου σκιρτήσαντος. ὡς ἐπεγνωκότος τὸν ἑαυτοῦ Δεσπότην.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν.

Χριστοῦ ὁ μέγας καὶ θεῖος Πρόδρομος, στειρωτικὰς νῦν πύλας, διανοίξας αὐλίζεται, ὡς ἐν βασιλείοις ἐν νηδύϊ Μητρός. ὅπως ὡς Στρατιώτης προεξελεύσεται, τοῦ Παμβασιλέως τὰς ὁδοὺς ἑτοιμασόμενος.

Θεοῦ Προφῆται πρεσβῦται χορεύετε. τέξας Υἱὸν, οὗ μείζων ἐν βροτοῖς οὐκ ἐγήγερται, Ἰωάννην Κυρίου τὸν Πρόδρομον. σκίρτησον Ἐλισάβετ, γῆ πᾶσα γήθησον, αἴνεσιν τῷ πάντων Ποιητῇ Θεῷ προσάγουσα.

Ἡμῶν τῶν πίστει ἀνευφημούντων σε, μέμνησο νῦν, Προφῆτα τοῦ Κυρίου καὶ Πρόδρομε, ψυχικῶν ἐκ παθῶν ἐκλυτρούμενος, σῴζων ἐκ τῶν κινδύνων, πρὸς τὴν οὐράνιον, τρίβον ὁδηγῶν θεοπρεπῶς ἀειμακάριστε. Θεοτοκίον.

Ἁγνὴν Μητέρα σαφῶς ἐπέγνω σε, στειρωτικῶν δεσμῶν ἡ Ἐλισάβετ ὡς ᾔσθετο, ἑαυτὴν λελυμένην καὶ φέρουσαν, Πρόδρομον τοῦ ἐν μήτρᾳ, σοῦ κατοικήσαντος, ἄχραντε Παρθένε Μαριὰμ θεοχαρίτωτε.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Ἡ τοῦ Προδρόμου ἔνδοξος, Σύλληψις προμηνύει, τὸν ἐκ Παρθένου μέλλοντα, τίκτεσθαι Βασιλέα, ὡς οὗτος ἐξ Ἐλισάβετ, τῆς ἀκάρπου καὶ στείρας, πρεσβύτου Ἱερέως τε, Ζαχαρίου τοῦ πάνυ. ὧν ταῖς εὐχαῖς, καὶ τῆς Θεοτόκου, καὶ Ἰωάννου, τοῦ Βαπτιστοῦ Κύριε, σῶσον οἰκτίρμον πάντας. Δίς.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχ. δ. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἠγαλλίαται ἡ κτίσις ἐν τῇ Συλλήψει σου, Πρόδρομε καὶ Προφῆτα, Βαπτιστὰ Ἰωάννη. ὁ θεῖος γάρ σου τόκος σημαίνει ἡμῖν, τοῦ Δεσπότου τὴν γέννησιν. καὶ διὰ τοῦτο συμφώνως οἱ ἐπὶ γῆς, ἐπαξίως εὐφημοῦμέν σε.

Ὅμοιον.

Ὡς θαυμαστὴν μαρτυρίαν, φέρων ὁ Ἄγγελος, τὴν σύλληψιν τῆς στείρας, τῇ Μαρίᾳ προσάγει, πρὸς πίστωσιν προσφέρων. διὸ καὶ ἡμεῖς, Ἐλισάβετ τὴν στεῖρωσιν, καὶ Ζαχαρίαν ὁμόζυγον τὸν αὐτῆς, καὶ Ἰωάννην εὐφημήσωμεν.

Ὅμοιον.

Ὁ θεοσκεύαστος λύχνος τοῦ ἀϊδίου φωτός, ὁ τοῦ νυμφίου φίλος, τοῦ Ἡλίου τῆς δόξης, ὁ μέγας ἑωσφόρος, ἡ ζῶσα φωνή, θείου Λόγου ὁ Πρόδρομος, τῇ παρουσίᾳ Κυρίου Ἀγγελικῇ, προσφωνήσει νῦν συλλαλεῖται.

Ὅμοιον.

Θυσιαστήριον θεῖον τῆς εὐωδίας Χριστοῦ, ἐκ δεξιῶν τὴν στάσιν, ἀληθῶς καὶ τὴν γνῶσιν, αὐτοῦ εὐωδιάζων συμβολικῶς, διαγινώσκει σὺ Πρόδρομε, ἐπιστασίᾳ Ἀγγέλου ἐκ δεξιῶν, τῶν Ἁγίων προτυπούμενος.

Δόξα, καὶ νῦν, ἦχος πλ. β΄.

Ἡ Ἐλισάβετ συνέλαβε τὸν Πρόδρομον τῆς χάριτος, ἡ δὲ Παρθένος τὸν Κύριον τῆς δόξης. ἠσπάσαντο ἀλλήλας αἱ μητέρες, καὶ τὸ βρέφος ἐσκίρτησεν. ἔνδοθεν γὰρ ὁ δοῦλος ᾔνει τὸν Δεσπότην. θαυμάσασα ἡ Μήτηρ τοῦ Προδρόμου, ἤρξατο βοᾷν· πόθεν μοι τοῦτο, ἵνα ἡ Μήτηρ τοῦ Κυρίου μου ἔλθῃ πρός με; ἵνα σώσῃ λαὸν ἀπεγνωσμένον, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

[illegible] Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος, ᾠδὴ γ΄. καὶ ϛ΄.

Προκείμ. τοῦ Ἀποστόλου, ἦχος βαρύς.

Εὐφρανθήσεται Δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Ὁ Ἀπόστολος, πρὸς Γαλάτας.

Κεφ. 22. Ἀδελφοί, Ἀβραὰμ δύο Υἱοὺς ἔσχεν· ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας. Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης, κατὰ σάρκα γεγέννηται· ὁ δὲ ἐκ τῆς ἐλευθέρας, διὰ τῆς ἐπαγγελίας, ἅτινά ἐστιν ἀλληγορούμενα. Αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι. μία μέν, ἀπὸ ὄρους Σινᾶ, εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ. τὸ γὰρ Ἄγαρ, Σινᾶ ὄρος ἐστὶν ἐν τῇ Ἀραβίᾳ, συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλήμ, δουλεύει δὲ μετὰ τῶν τέκνων αὐτῆς. ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν, ἥτις ἐστὶ μήτηρ πάντων ἡμῶν. Γέγραπται γάρ· Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον, καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

Ἀλληλούϊα. ἦχος δ΄.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, ἐγένετο ἐν ταῖς ἡμέραις Κεφ. ά. 5.
Ἡρώδου τοῦ Βασιλέως τῆς Ἰουδαίας, Ἱερεύς τις ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ Γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ. Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς, καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι. Καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθ' ὅ, τι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς ἐφημερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιᾶσαι, εἰσελθὼν εἰς τὸν Ναὸν τοῦ Κυρίου. Καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. Ὤφθη δὲ αὐτῷ Ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. Καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ φόβος ἐπέπεσεν ἐπ' αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἄγγελος. Μὴ φοβοῦ Ζαχαρία, διότι εἰσηκούσθη ἡ δέησίς σου. Καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει Υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. καὶ ἔσται χαρά σοι, καὶ ἀγαλλίασις. καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. ἔσται γὰρ μέγας ἐνώπιον Κυρίου. Καὶ οἶνον καὶ σίκερα οὐ μὴ πίῃ· καὶ Πνεύματος ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ. Καὶ πολλοὺς τῶν Υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν. Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλιοῦ, ἐπιστρέψαι καρδίας πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον. Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν Ἄγγελον· Κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προ-

βεβη-

βεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. Καὶ ἀποκριθεὶς ὁ Ἄγγελος, εἶπεν αὐτῷ· ἐγώ εἰμι Γαβριήλ, ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρὸς σέ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. Καὶ ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα. ἀνθ' ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου, οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ Ναῷ. Ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς· καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ Ναῷ. Καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κωφός. Καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Μετὰ δὲ ταύτας τὰς ἡμέρας, συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ, καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα· ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ κδʹ.

Τῆς Ἁγίας Μεγαλομάρτυρος, καὶ Ἰσαποστόλου Θέκλης. Τὴν Ἀκολουθίαν, ζήτει εἰς Γυναῖκα Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ κεʹ.

Τῆς Ὁσίας μητρὸς ἡμῶν Εὐφροσύνης. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίαν Γυναῖκα.

Μηνὶ τῷ αὐτῷ κςʹ.

Ἡ μετάστασις τοῦ Ἁγίου ἐνδόξου, καὶ πανευφήμου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου.

Ἑσπέρας ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακόν, τὸ πρῶτον Ἀντίφωνον, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ηʹ. καὶ ψάλλομεν στιχ. προσόμοια γʹ. δίς, καὶ ποιοῦμεν ὀκτώ. ἦχος αʹ.

Τῶν οὐρανίων ταγμάτων.

Ὁ Θεατὴς τῶν ἀρρήτων ἀποκαλύψεων, καὶ Ἑρμηνεὺς τῶν ἄνω, τοῦ Θεοῦ μυστηρίων. ὁ παῖς τοῦ Ζεβεδαίου γράψας ἡμῖν, τὸ Χριστοῦ Εὐαγγέλιον· θεολογεῖν τὸν Πατέρα, καὶ τὸν Υἱόν, καὶ τὸ Πνεῦμα ἐξεπαίδευσεν.

Ὅμοιον.

Ἡ θεοκίνητος λύρα, τῶν οὐρανίων ᾠδῶν, ὁ Μυστογράφος οὗτος, τὸ θεόγραφον στόμα, τὸ ᾆσμα τῶν ᾀσμάτων ᾄδει τερπνῶς, τὰ μὲν χείλη κινῶν ὡς νευράς· ὥσπερ δὲ πλῆκτρον τὴν γλῶτταν ἀνακινῶν, καὶ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς.

Ὅμοιον.

Τῇ βροντοφώνῳ σου γλώττῃ ἀναφθεγγόμενος, τῆς τοῦ Θεοῦ σοφίας, τὸν ἀπόκρυφον λόγον, Θεῷ ἠγαπημένε, κράζεις ἀεί, ἀναπτύσσων τὰ χείλη πυκνῶς· τὸ ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ δαδουχεῖς, πάντα ἀνθρώπων πρὸς γνῶσιν Θεοῦ.

Δόξα. ἦχος βʹ. Γερμανοῦ, οἱ δέ, Βυζαντίου.

Τὸν Υἱὸν τῆς βροντῆς, τὸν θεμέλιον τῶν θείων λόγων, τὸν ἀρχηγὸν τῆς Θεολογίας, καὶ Κήρυκα πρώτιστον, τῆς ἀληθοῦς δογμάτων Θεοῦ σοφίας· τὸν ἠγαπημένον Ἰωάννην, καὶ παρθένον, μερόπων γένος κατὰ χρέος εὐφημήσωμεν. οὗτος γὰρ ἄληκτον ἔχων τὸ θεῖον ἐν ἑαυτῷ, τὸ ἐν ἀρχῇ μὲν ἔφησε τοῦ Λόγου, αὖθίς τε τὸ πρὸς τὸν Πατέρα ἀχώριστον, καὶ τὸ ἴσον μετὰ ταῦτα τῆς τοῦ Πατρὸς οὐσίας. δεικνύων ἡμῖν δι' αὐτοῦ, τὴν ὀρθοδοξίαν τῆς Ἁγίας Τριάδος. δημιουργόν τε ὄντα σὺν τῷ Πατρί, ζωὴν φέροντα, καὶ φῶς ἀληθινόν, τὸν αὐτὸν ἔδειξεν ἡμῖν. ὢ θαύματος ἐκστατικοῦ, καὶ πράγματος σοφιστικοῦ, ὅτι πλήρης ὢν τῆς ἀγάπης, πλήρης γέγονε, καὶ τῆς Θεολογίας. δόξῃ καὶ τιμῇ, καὶ πίστει, θεμέθλος ὑπάρχων τῆς ἀκραιφνοῦς ἡμῶν Πίστεως. δι' ἧς τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν· τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα, ἐν οἷς, καὶ ἱστάμεθα.

Καθολικῆς αʹ. Ἐπιστολῆς Ἰωάννου.

Ἀγαπητοί, ἐὰν ἡ καρδία ἡμῶν μὴ καταγινώσκῃ ἡμῶν, παρρησίαν ἔχομεν πρὸς τὸν Θεόν· καὶ ὃ ἐὰν αἰτῶμεν, λαμβάνομεν παρ' αὐτοῦ, ὅτι τὰς ἐντολὰς αὐτοῦ τηροῦμεν, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιοῦμεν. Καὶ αὕτη ἐστὶν ἡ ἐντολὴ αὐτοῦ, ἵνα πιστεύωμεν τῷ ὀνόματι τοῦ Υἱοῦ αὐτοῦ Ἰησοῦ Χριστοῦ, καὶ ἀγαπῶμεν ἀλλήλους, καθὼς ἔδωκεν ἡμῖν ἐντολήν· καὶ ὁ τηρῶν τὰς ἐντολὰς αὐτοῦ, ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν αὐτῷ. Καὶ ἐν τούτῳ γινώσκομεν, ὅτι μένει ἐν ἡμῖν, ἐκ τοῦ Πνεύματος οὗ ἔδωκεν ἡμῖν. Ἀγαπητοί, μὴ παντὶ πνεύματι πιστεύετε, ἀλλὰ



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

δοκιμάζετε τὰ πνεύματα, εἰ ἐκ τοῦ Θεοῦ ἐστιν· ὅτι πολλοὶ ψευδοπροφῆται ἐξεληλύθασιν εἰς τὸν Κόσμον. Ἐν τούτῳ γινώσκετε τὸ Πνεῦμα τοῦ Θεοῦ· πᾶν Πνεῦμα, ὃ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ ἐστι. Καὶ πᾶν Πνεῦμα, ὃ μὴ ὁμολογεῖ Ἰησοῦν Χριστὸν ἐν σαρκὶ ἐληλυθότα, ἐκ τοῦ Θεοῦ οὐκ ἔστι. Καὶ τοῦτό ἐστι τὸ τοῦ Ἀντιχρίστου, ὃ ἀκηκόατε, ὅτι ἔρχεται, καὶ νῦν ἐν τῷ Κόσμῳ ἐστὶν ἤδη. Ὑμεῖς ἐκ τοῦ Θεοῦ ἐστε, τεκνία, καὶ νενικήκατε αὐτούς· ὅτι μείζων ἐστὶν ὁ ἐν ὑμῖν, ἢ ὁ ἐν τῷ Κόσμῳ. αὐτοὶ ἐκ τοῦ Κόσμου εἰσί, διὰ τοῦτο ἐκ τοῦ Κόσμου λαλοῦσι, καὶ ὁ Κόσμος αὐτῶν ἀκούει· ἡμεῖς ἐκ τοῦ Θεοῦ ἐσμεν· ὁ γινώσκων τὸν Θεόν, ἀκούει ἡμῶν· ὃς οὐκ ἔστιν ἐκ τοῦ Θεοῦ, οὐκ ἀκούει ἡμῶν.

### Καθολικῆς α΄. Ἐπιστολῆς Ἰωάννου.

Ἀγαπητοί, εἰ οὕτως ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ ἡμεῖς ὀφείλομεν ἀλλήλους ἀγαπᾶν. Θεὸν οὐδεὶς πώποτε τεθέαται. Ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα, καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν σωτῆρα τοῦ Κόσμου. Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν, καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. Ὁ Θεὸς ἀγάπη ἐστί· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ.

### Καθολικῆς α΄. Ἐπιστολῆς Ἰωάννου.

Ἀγαπητοί, ἐάν τις εἴπῃ, ὅτι ἀγαπῶ τὸν Θεόν, καὶ τὸν ἀδελφὸν αὐτοῦ μισῇ, ψεύστης ἐστίν. Ὁ γὰρ μὴ ἀγαπῶν τὸν ἀδελφὸν αὐτοῦ ὃν ἑώρακε, τὸν Θεὸν ὃν οὐχ ἑώρακε, πῶς δύναται ἀγαπᾶν; καὶ ταύτην τὴν ἐντολὴν ἔχομεν ἀπ' αὐτοῦ, ἵνα ὁ ἀγαπῶν τὸν Θεόν, ἀγαπᾷ καὶ τὸν ἀδελφὸν αὐτοῦ. Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστός, ἐκ τοῦ Θεοῦ γεγέννηται. Καὶ πᾶς ὁ ἀγαπῶν τὸν γεννήσαντα, ἀγαπᾷ καὶ τὸν γεγεννημένον ἐξ αὐτοῦ. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἀγαπῶμεν τὰ τέκνα τοῦ Θεοῦ, ὅταν τὸν Θεὸν ἀγαπῶμεν, καὶ τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. Αὕτη γάρ ἐστιν ἡ ἀγάπη τοῦ Θεοῦ, ἵνα τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν· καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν· Ὅτι πᾶν τὸ γεγεννημένον ἐκ τοῦ Θεοῦ νικᾷ τὸν Κόσμον· καὶ αὕτη ἐστὶν ἡ νίκη, ἡ νικήσασα τὸν Κόσμον, ἡ Πίστις ἡμῶν. Τίς ἐστιν ὁ νικῶν τὸν Κόσμον, εἰ μὴ ὁ πιστεύων, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.

### Εἰς τὴν Λιτὴν Ψαλλόμενα Ἰδιόμελα. Ἦχος α΄. Γερμανοῦ.

Ποταμοὶ Θεολογίας, ἐκ τοῦ τιμίου σου στόματος, ἀνέβλυσαν Ἀπόστολε. ἐξ ὧν ἡ Ἐκκλησία τοῦ Θεοῦ ἀρδευομένη, προσκυνεῖ ὀρθοδόξως Τριάδα ὁμοούσιον. ἣν καὶ νῦν αἴτησαι Ἰωάννη Θεολόγε, στηριχθῆναι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ὁ αὐτός, Ἀνδρέου Πυρός.

Ὁ φυτὸν τῆς ἁγνείας, τὸ μύρον τῆς εὐωδίας, πάλιν ἀνέτειλεν ἡμῖν, εἰς τὴν παροῦσαν Ἑορτήν, βοῆσαι πρὸς αὐτόν· ὁ ἀναπεσὼν ἐπὶ τὸ στῆθος τὸ Δεσποτικόν, καὶ ἐπομβρήσας τῷ Κόσμῳ τὸν λόγον, Ἰωάννη Ἀπόστολε· ὁ τὴν Παρθένον φυλάξας ὡς κόρην ὀφθαλμοῦ, αἴτησαι ἡμῖν παρὰ Χριστοῦ, τὸ μέγα ἔλεος.

### Ὁ αὐτός.

Μαθητὰ τοῦ Σωτῆρος, Παρθένε καὶ Θεολόγε, σοὶ ὡς Παρθένῳ, τὴν Παρθένον, καὶ Θεοτόκον παρέθετο, Χριστὸς ὁ Θεὸς σταυρούμενος. καὶ ταύτην ἐφύλαξας ὡς κόρην ὀφθαλμοῦ. διὸ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

### Ὁ αὐτός.

Ὡς τῶν ἀπορρήτων μυστηρίων αὐτόπτης, ἐκέκραγες βοῶν· τὸν προαιώνιον Λόγον, ἐν ἀρχῇ ὑπάρχειν πρὸς τὸν Θεόν, Ἰωάννη Ἀπόστολε ἐπιστήθιε Χριστοῦ, καὶ φίλε γνήσιε, καὶ τῆς Τριάδος τὸ ἐνδιαίτημα. τῆς Ἐφέσου, καὶ τῆς Πάτμου, τὸ στήριγμα τὸ ἄσειστον· ἡμῶν δὲ βοήθεια· πρέσβευε Θεολόγε παμμακάριστε. ἐκ δυσσεβῶν ἐχθρῶν, αἰσθητῶν καὶ νοητῶν, λυτρωθῆναι λαόν, τὸν τὴν μνήμην σου ἀεὶ ἐκτελοῦντα πιστῶς.

### Ἦχος β΄. Θεοφάνους.

Ἡ τῶν Ἀποστόλων ἀκρότης, τῆς Θεολογίας τὴν σάλπιγγα, τὸν πνευματικὸν στρατηγόν, τὸν τὴν Οἰκουμένην Θεῷ καθυποτάξαντα· δεῦτε οἱ πιστοὶ μακαρίσωμεν, Ἰωάννην τὸν ἀοίδιμον· ἐκ γῆς μεθιστάμενον, καὶ γῆς οὐκ ἀφιστάμενον· ἀλλὰ ζῶντα καὶ μένοντα, τὴν φοβερὰν τοῦ Δεσπότου δευτέραν ἔλευσιν· ἣν ἀκατακρίτους ὑπαντῆσαι ἡμᾶς

αἰτη-

αἴτησαι, φίλε μυστικὲ, Χριστοῦ ἐπιστήθιε, τοὺς ἐκ πόθου ἐκτελοῦντας τὴν μνήμην σου.

Δόξα, ἦχος δ΄. Βυζαντίου.

Ἀναπεσὼν ἐν τῷ στήθει τοῦ διδασκάλου Χριστοῦ, ἐν τῷ δείπνῳ Κυρίου, ἠγαπημένε Μαθητὰ, ἐκεῖθεν ἔγνως τὰ ἄῤῥητα, καὶ τὴν οὐράνιον πᾶσιν ἐβρόντησας φωνήν· ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος. τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον πάντα ἄνθρωπον εἰς τὸν Κόσμον ἐρχόμενον, Χριστὸς ὁ Θεὸς, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον. Ὁ αὐτός.

Ὁ σὺν Πατρὶ, καὶ Πνεύματι δοξολογούμενος Υἱὸς, ἐν ὑψίστοις ὑπὸ τῶν Χερουβὶμ, τὸν πρωτόπλαστον ἀναπλάσαι βουλόμενος, ὅλον ἑαυτὸν ἐκένωσεν ἀφράστως ἐν μήτρᾳ σου, Θεοτόκε πανύμνητε, καὶ ἐκ σοῦ ἀνατείλας, ἐφώτισε πάντα τὸν Κόσμον Θεότητι, ῥυσάμενος εἰδωλομανίας· καὶ ἐν ἑαυτῷ θεώσας, εἰς Οὐρανοὺς συνανήγαγε τὸ ἀνθρώπινον, Χριστὸς ὁ Θεὸς, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον, προσόμοια. Ἦχος πλ. δ΄.

Ὁ ἐξ Ὑψίστου κληθείς.

Τὸν τοῦ Ὑψίστου Υἱὸν θεολογήσας, Πατρὶ συναΐδιον, καὶ ὁμοούσιον. φῶς ἐκ φωτὸς ἀπαράλλακτον, καὶ χαρακτῆρα τῆς ὑποστάσεως τοῦ γεννήτορος, ἀχρόνως ἐκλάμψαντα, καὶ ἀπαθῶς ἐξ αὐτοῦ, δημιουργόν τε, καὶ Κύριον, πάντων αἰώνων, ἠγαπημένε σὺ ἀνεκήρυξας. τοῦτον τῷ Κόσμῳ τὸν ἐξάγοντα, φῶς ἐκ σκότους Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Εἰς πᾶσαν τὴν γῆν.

Τοῦ Παρακλήτου τὸ φῶς εἰσδεδεγμένος, ᾧ καὶ φωτιζόμενος ἐθεολόγησας, ἐκ τοῦ Πατρὸς προερχόμενον· διὰ Υἱοῦ δὲ, τῇ ἀνθρωπότητι φανερούμενον· ὁμότιμον σύνθρονον, καὶ ὁμοούσιον, ὄντα Πατρὶ τῷ ἀνάρχῳ τε, καὶ θείῳ Λόγῳ, ἠγαπημένε πᾶσιν ἐκήρυξας. ὅθεν ἐν ὕμνοις σὲ γεραίρομεν, ὡς τῆς Πίστεως θεῖον θεμέλιον· ἣν ἀσάλευτον τήρει, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Οἱ Οὐρανοὶ διηγοῦνται.

Τῆς ὑψηλῆς ἐπιβὰς Θεολογίας, ἐμυήθης ἄῤῥητα Θεοῦ μυστήρια· μίαν οὐσίαν Θεότητος, καὶ μίαν δόξαν, καὶ βασιλείαν. καὶ κυριότητα, τρισὶν ὑποστάσεσι διαιρουμένην θείαν, οὐσιωδῶς ἀδιαίρετον, καὶ ἡνωμένην, ἐν ἀσυγχύτῳ θείᾳ ἑνότητι. οὕτω δοξάζων ἀνεκήρυξας, Θεολόγε Τριάδα ἀχώριστον· ἣν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. β΄. Ἰωάννου Μοναχοῦ.

Ἀπόστολε Χριστοῦ, Εὐαγγελιστὰ Θεολόγε, τῶν ἀποῤῥήτων μύστης γενόμενος, τῆς σοφίας τὰ ἀπόῤῥητα, ἡμῖν ἐβρόντησας δόγματα. τὸ ἐν ἀρχῇ ἦν τρανώσας τοῖς πιστοῖς· καὶ τὸ ἐκ ἦν ἀποβαλὼν, τῶν αἱρετιζόντων ἀπεκρούσω τοὺς λόγους. ἐπιστήθιος φανεὶς, καὶ φίλος ἠγαπημένος, ὡς Ἡσαΐας ὁ μεγαλοφωνότατος, καὶ Μωσῆς ὁ θεόπτης. παῤῥησίαν ἔχων πρὸς Θεὸν, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Ὁ Ποιητὴς, καὶ Λυτρωτής μου Πάναγνε.

Ἀπολυτίκιον, ἦχος β΄.

Ἀπόστολε Χριστῷ τῷ Θεῷ ἠγαπημένε, ἐπιτάχυνον, ῥῦσαι λαὸν ἀναπολόγητον. δέχεταί σε προσπίπτοντα, ὁ ἐπιπεσόντα τῷ στήθει καταδεξάμενος. ὃν ἱκέτευε Θεολόγε, καὶ ἐπίμονον νέφος ἐθνῶν διασκεδάσαι· αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ Θεοτοκίον. Πάντα ὑπὲρ ἔννοιαν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄ στιχολογίαν, Κάθισμα, ἦχος πλ. δ΄.

Τὴν Σοφίαν, καὶ Λόγον.

Υἱὸς ἐπεκλήθης θείας βροντῆς, ὡς τὰ ὦτα κωφώσας τῶν δυσσεβῶν· καὶ σάλπιγγος ἡδύτερον, διηχήσας ὦ πάνσοφε, εἰς ἀληθείας καρδίας τοῦ Λόγου τὴν σάρκωσιν. καὶ ὡς γνήσιος φίλος τῷ στήθει ἀνέπεσας· ὅθεν ἐξαντλήσας, τὴν τῆς γνώσεως δήλωσιν, τοῖς πᾶσιν ἀνεκήρυξας, τοῦ Πατρὸς τὸν συνάναρχον, Ἰωάννη Ἀπόστολε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

Τὴν Σοφίαν, καὶ Λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον κατέχοντα· καὶ ἐν ἀγκάλαις ἔσχες τὸν πάντα συνέχοντα, τὸν τροφοδότην πάντων, καὶ πλάστην τῆς φύσεως. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πιστῶς δοξάζω σε, τοῦ ῥυσθῆναι πταισμάτων με, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου. Δέσποινα Παρθένε ἁγνὴ, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ γὰρ δύνασαι, ὅσα θέλεις Πανύμνητε.

Μετὰ τὴν β΄. Στιχολ. Κάθ. Ὅμοια.

ΤΟν βυθὸν τῆς ἁλιείας καταλιπὼν, τοῦ Σταυροῦ τῷ καλάμῳ πάντα σαφῶς, τὰ Ἔθνη ἐζώγρησας, ὡς ἰχθύας πανεύφημε. καὶ γὰρ καθὼς σοι ἔφη, Χριστὸς ἀναδέδειξαι, ἁλιεὺς ἀνθρώπων, ζωγρῶν πρὸς εὐσέβειαν. ὅθεν καταστέρας, καὶ τοῦ Λόγου τὴν γνῶσιν, τὴν Πάτμον, καὶ τὴν Ἔφεσον, ἐκαρπώσω τοῖς λόγοις σου, Θεολόγε Ἀπόστολε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

ΕΝθυμοῦμαι τὴν κρίσιν, καὶ δειλιῶ, ἔργα πράξας αἰσχύνης ὁ ταπεινὸς, ἄξια καὶ δέομαι, Θεοτόκε πανύμνητε. πρὸ τοῦ νύξ με φθάσει, θανάτου ἐπίστρεψον, πρὸς τὴν τῆς μετανοίας, ὁδὸν ὁδήγησόν με. ἵνα εὐχαρίστως, προσκυνῶν ἀνυμνῶ σου, τὴν ἄμετρον δύναμιν, καὶ τὴν θείαν ἀντίληψιν, Παναγία Θεόνυμφε· πρέσβευσα Χριστῷ τῷ Θεῷ, ὑπὲρ οὗ αἰτοῦμαί σε δοθῆναί μοι, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ΄.

Τὴν Σοφίαν, καὶ Λόγον.

ἈΝαπεσὼν ἐν τῷ στήθει τοῦ Ἰησοῦ, παρρησίας τυγχάνων ὡς Μαθητὴς, πυθόμενος τίς ἐστιν, ὁ προδότης σου Κύριε. ἠγαπημένος λίαν, ὑπάρχων πανεύφημε, διὰ τοῦ ἀρτιότος, σαφῶς ὑπεδείχθη σοι· ὅθεν καὶ ὡς μύστης, τῶν ἀρρήτων γενόμενος, τοῦ Λόγου τὴν σάρκωσιν, ἐκδιδάσκεις τὰ πέρατα, Θεολόγε Ἀπόστολε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

ΠΑναγία Παρθένε Μήτηρ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπὰ, ἴασαι δέομαι, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμα, μολύνας ὁ ἄθλιος. οἴμοι τί ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι, τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος. τότε Δέσποινα βοηθός μοι γενοῦ, καὶ προστάτης θερμότατος. σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ δ΄ ἤχου...

Προκείμενον. Ἦχος δ΄.

Εἰς πᾶσαν τὴν γῆν·

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Πᾶσα πνοή. Εὐαγγέλιον Ἑωθινόν... Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀποστόλου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, τὸ Ἰδιόμελον. Ἦχος πλ. β΄.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

ΘΕολόγε παρθένε, μαθητὰ ἠγαπημένε τοῦ Σωτῆρος, ταῖς ἱκεσίαις σου ἡμᾶς περίσωζε δεόμεθα, ἀπὸ βλάβης παντοίας, ὅτι σοῦ ἐσμὲν ποίμνιον.

Οἱ Κανόνες, ὁ ἐξ Κυριακῆς, ὁ Ἀναστάσιμος εἰς δ΄. ... Θεοτόκου εἰς δύο, καὶ ... Ἀποστόλου εἰς η΄. Οἱ δύο Κανόνες ... τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν ... τοῦ Ἁγίου ... Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς.

Βροντῆς τὸν Υἱὸν χαριστοτερπῶς αἰνέσω.

Ὠδὴ α΄. Ἦχος β΄. Ὁ Εἱρμός,

Ἐν βυθῷ κατέστρωσε.

ΒΑσιλείαν τὴν τῶν Οὐρανῶν, μάκαρ ἣν ἐκήρυξας, ἀπολαβὼν καὶ τῷ Λόγῳ συνόμιλος, γεγονὼς οὐράνιος, τοὺς πιστεύοντας τῷ σεπτῷ σου κηρύγματι, καὶ θεολογίᾳ, ταῖς σαῖς ἱκεσίαις διαφύλαξον.

ΡΩμαλαῖον φρόνημα δεικνὺς, πάντων κατεφρόνησας, τῶν ἐπὶ γῆς, καὶ θεσμῶν τῶν τῆς φύσεως, τῷ σῷ λόγῳ πάνσοφε, λογικῶς τε καὶ συνεχῶς συγγινόμενος, ἐκ τῆς ἀλογίας, τοὺς ἀλογωθέντας ἠλευθέρωσας.

ΟΥρανίων γνῶσιν εἰληφὼς, θεολογικώτατα, τὸν τοῦ Θεοῦ Θεὸν Λόγον ἐκήρυξας, ἐν ἀρχῇ ὁ Λόγος ἦν, καὶ ὁ Λόγος ἦν πρὸς τὸν αὐτοῦ Γεννήτορα, καὶ Θεὸς ὁ Λόγος, εὐαγγελιζόμενος ἐκήρυξας.

Θεοτοκίον.

ΝΕανίδων θείων ὁ χορὸς, ἐνθεαστικώτατα, ἐν γυναιξί σε καλὴν ᾀσματίζουσι, Θεοτόκε Δέσποινα, καλλοναῖς ὡραϊζομένην Θεότητος, τὸν καλλοποιὸν γὰρ, Λόγον ὑπὲρ λόγον ἀπεκύησας.

Ἕτερος Κανὼν τοῦ Ἁγίου ...

Ἐκτὴν δέησιν τῷ Θεῷ Μωσῇ φέρω.

Ἰωσήφ. Ὠδὴ α΄. Ἦχος ...

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

ΕἸς τὰ τοῦ Πνεύματος βάθη τὸν λογισμὸν, ἐλλαμφθεὶς ἐνέκυψας, καὶ τὴν γέννησιν ἡμῖν, τὴν φρικτὴν ἐτράνωσας βοῶν· Θεολόγε ἐν ἀρχῇ, ὁ Λόγος ἦν τοῦ Θεοῦ.



Δημόσια Κεντρική Βιβλιοθήκη

Κατακαμπτόμενοι πλήθη τῶν πειρασμῶν, καὶ παθῶν, καὶ θλίψεων, καὶ δεινῶν ἐπαγωγαῖς, τίς καταφεύγομεν πρὸς σέ· Θεολόγε βοηθὸς γενοῦ τοῖς δούλοις σου.

Τὰ τῶν ψυχῶν ἡμῶν πάθη τὰ χαλεπά, Ἰατρὸς ὡς ἄριστος, ἰασάμενος σοφέ, αἰωνίου λύτρωσαι ἡμᾶς, καταδίκης, καὶ πυρὸς τῇ μεσιτείᾳ σου. Θεοτοκίον.

Ἡ τὸν Θεὸν συλλαβοῦσα τὸν δι' ἡμᾶς, γεγονότα ἄνθρωπον, τοῦτον αἴτησαι Ἁγνή, ἐν ἡμέρᾳ κρίσεως ἡμᾶς, οἰκτειρῆσαι τοὺς πολλὰ ἡμαρτηκότας αὐτῷ.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ΄. Ἐξήνθησεν ἡ ἔρημος.

Τριάδος ἐφανέρωσας, Θεολόγῳ γλώττῃ σου, τὸ ὑπὲρ νοῦν μυστήριον, Ἰωάννη θεομακάριστε, ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

Ἡ γλῶσσά σου γεγένηται, γραμματέως κάλαμος, τοῦ Παναγίου Πνεύματος, θεογράφως ὑποσημαίνουσα, τὸ σεπτόν τε, καὶ θεῖον Εὐαγγέλιον.

Σοφίας σὺ τὴν ἄβυσσον, ἀνιμήσω πάνσοφε, ἀναπεσὼν θεόφρονι, παρρησίᾳ τῇ τῆς σοφίας πηγῇ, καὶ ταύτης θεοκήρυξ ἐχρημάτισας.

Τὴν μόνην παρθενεύουσαν, καὶ Μητέρα σέβομεν, ὡς σωτηρίας πρόξενον, γενομένην ἡμῖν παναμώμητε, καὶ Κόσμον ῥυομένην ταῖς πρεσβείαις σου. Ἄλλος. Οὐκ ἔστιν Ἅγιος.

Τῷ λαμπρῷ καὶ καθαρῷ, ὁμιλήσας τῷ Λόγῳ, Θεολόγε τρισμάκαρ, ἐμυήθης παρ' αὐτοῦ, τὰ ὑπὲρ λόγον σαφῶς, καὶ τὴν κτίσιν, πᾶσαν κατεφώτισας.

Δεσμῶν με ῥῦσαι χαλεπῶν, ἁμαρτίας τρισμάκαρ, τῇ στοργῇ συνδεσμῶν με, τοῦ Δεσπότου, καὶ Θεοῦ. ὃν ἀγαπήσας θερμῶς, Θεολόγος τούτου ἐχρημάτισας.

Ἐδόθης πρόμαχος ἡμῖν, καὶ μεσίτης, καὶ ῥύστης, καὶ πρὸς Κύριον πρέσβυς, καὶ θαυμάτων αὐτουργός, καὶ ἰαμάτων πηγή, Θεολόγε, ὅθεν σε γεραίρομεν. Θεοτοκίον.

Ἡνίκα Λόγος ὁ ἐκ σοῦ, σαρκωθεὶς ἀπορρήτως, Θεοτόκε ἐν ξύλῳ, ἀνυψοῦτο τοῦ Σταυροῦ, Παρθένῳ τῷ Μαθητῇ, ὡς Παρθένον, κόρην σε παρέθετο.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Ὠδὴ δ΄. Τὴν Σοφίαν, καὶ Λόγον.

Τῆς Σοφίας τοῖς στήθεσιν ἀναπεσών, καὶ τὴν γνῶσιν τῶν ὄντων καταμαθών, ἐβρόντησας δόγματι· ἐν ἀρχῇ ἦν ὁ Λόγος. καλλιγραφήσας πρῶτος, τὴν ἄναρχον Γέννησιν. καὶ προκηρύξας πᾶσι, τοῦ Λόγου τὴν σάρκωσιν. ὅθεν καὶ τῇ γλώττῃ, σαγηνεύσας τὰ ἔθνη, τὴν χάριν τοῦ Πνεύματος, ἐκδιδάσκεις τοῖς τέρασι, Θεολόγε Ἀπόστολε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Θεοτοκίον.

Ἐλεήμονα Λόγον καὶ συμπαθῆ, ὡς κυήσασα Δέσποινα τοῦ παντός, ἐλέησον ἅπαντας, τοὺς εἰς σὲ καταφεύγοντας. πειρασμῶν καὶ νόσων, καὶ πάσης κακώσεως, καὶ τῆς αἰωνιζούσης φλογὸς ἐλευθέρωσον. ὅπως εὐχαρίστως, τῶν πολλῶν οἰκτιρμῶν σου, τὸ πλοῦτον δοξάζομεν, καὶ τὸ ἄμετρον ἔλεος, καὶ βοῶμέν σοι πάντοτε· μὴ ἐλλίπῃς πρεσβεύουσα Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἀνυμνοῦσι τὸν τόκον σου ἄχραντε.

Ὠδὴ δ΄. Ἐλήλυθας, ἐκ Παρθένου.

Ὁ Λόγος σε, Θεολόγον ἀξίως ἀνέδειξε, τὴν αὐτοῦ Θεότητα, μυσταγωγήσας πανάριστε καὶ τὴν κατ' ἄνθρωπον, οἰκονομίαν διδάξας τὴν ἀπόρρητον.

Νοῦν ἔνθεον, καὶ Παρθένον τὸ σῶμα κτησάμενος, ναὸς ἐχρημάτισας, ζῶν τε καὶ ἔμψυχος ἔνδοξε, καὶ κατοικητήριον, τῆς πανυμνήτου Τριάδος Ἱερώτατε.

Υἱότητι, τῆς ἀχράντου Παρθένου τετίμησαι, Παρθένε Μακάριε, καὶ ἀδελφὸς ἀναδέδειξαι, τοῦ ἐκλεξαμένου σε, καὶ μαθητὴν Θεολόγον ἐκτελέσαντος. Θεοτοκίον.

Ἰώμενος, τὴν τῆς Εὔας ἀρχαίαν παράβασιν, σὲ τὴν παναμώμητον, καὶ Παναγίαν κατῴκησεν· ὅλον με τὸν ἄνθρωπον, ἀναμορφώσας πεσόντα ὁ ὑπέρθεος.

Ἄλλος. Χριστός μου δύναμις.

Σταγόσιν ἤρδευσας, τοῦ λόγου ἔνδοξε, τὴν ὑφήλιον πᾶσαν τὰ θολερά, ἀσεβείας ὕδατα, ἀποξηράνας εὐσεβῶς. διὰ τοῦτό σε γεραίρομεν.

Ἰσχὺν περίζωσον, καὶ κράτος δέομαι, παραμένειν παντοίαις ἐπιφοραῖς, τὴν ψυχήν μου πάνσοφε, τῶν ἀκαθάρτων δυσμενῶν, προσφυγοῦσαν ἐν τῇ σκέπῃ σου.

Ναὸς γενόμενος, τοῦ θείου Πνεύματος, τοὺς τῷ θείῳ ναῷ σου διηνεκῶς, πίστει

προσεδρεύοντας, ναὸς ἀνάδειξον Θεοῦ, Θεολόγε μεσιτείᾳ σου.

Θεοτοκίον.

Ὡς θεῖον τέμενος, Θεοῦ ὑμνήσωμεν, τὴν ἁγίαν Παρθένον περιφανῶς, πάντες μακαρίσωμεν, οἱ θεωθέντες δι' αὐτῆς, καὶ δεινῶν ἀπολυτρούμενοι.

Καταβασία. Τὴν ἀνεξιχνίαστον θείαν.

Ὠδὴ δ'. Μεσίτης Θεοῦ.

Οὐράνιος νοῦς, Θεολόγε πέφηνας τῇ χάριτι, ὅλος φῶς γενόμενος, τῇ πρὸς τὸν ἀρχίφωτον ἐγγύτητι, καὶ συντόνῳ σου νεύσει, τῇ πρὸς αὐτὸν θεούμενος.

Νοῒ καθαρῷ, καὶ ἁγίοις χείλεσι θεόπνευστε, καὶ παναγνῷ στόματι, τὸ σὸν Εὐαγγέλιον ἐκήρυξας· καὶ κοινὴν σωτηρίαν, πᾶσι πιστοῖς προτέθεικας.

Χριστῷ συνοικῶν, ἀπὸ βρέφους ὄργανον τῆς χάριτος, ὑπ' αὐτοῦ προβέβλησαι, τὴν Θεολογίαν ἐξασκούμενος· καὶ Τριάδος τὴν δόξαν, ὑπερφυῶς μυούμενος.

Θεοτοκίον.

Ῥημάτων τῶν σῶν, μεμνημένοι σε νῦν μακαρίζομεν. διὰ σοῦ Πανάμωμε, τὴν μακαριότητα τὴν ἄφραστον, καὶ ζωὴν τὴν ἀγήρω, παναληθῶς πλουτήσαντες.

Ἄλλος. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ὡς ὄρθρος ἔλαμψας τοῖς ἐν γῇ, τὴν ἀνατολὴν τὴν νοητὴν, ἀνακηρύττων Ἀπόστολε, Κόσμῳ μετὰ σώματος ἐνδημήσασαν, καὶ τῆς πολυθείας τὸ σκότος λύσασαν.

Θεολογίαις σου ἱεραῖς, ἁπάσας κατήρδευσας ψυχὰς, Ἱεροκήρυξ Ἀπόστολε. ὅθεν σοι κραυγάζω τὴν χερσωθεῖσάν μου, καρδίαν ἁμαρτίαις, ὅλην κατάρδευσον.

Πληγέντα βέλεσι τοῦ ἐχθροῦ, ὅλον με ὑγίωσον σοφὲ, ἐπιστασίᾳ σου δέομαι· καὶ πρὸς τὰς ὁδούς με Θεοῦ κατεύθυνον, τὸν ταῖς ἀνοδίαις ἀποπλανώμενον.

Θεοτοκίον.

Ὅτε παρέστης σὺν μαθητῇ, τῷ ἠγαπημένῳ ἐν Σταυρῷ, τοῦ σοῦ Υἱοῦ Παναμώμητε, ἔστενες δακρύουσα καὶ ἐθαύμαζες, αὐτοῦ τὴν πρὸς ἀνθρώπους πολλὴν συμπάθειαν.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ε'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἰησοῦς ὁ Θεός μου καὶ Κύριος, σὲ τῆς καθαρότητος ἀποδεξάμενος, καὶ παντελοῦς ἁγνότητος, ἀδελφὸν Θεολόγε προσήκοντα.

Ἐστεφανώσας ἁγίως τὸν βίον σου, ὅπου πεποιθὼς τῆς σοφίας ἀνέπεσες, ἐπὶ τῷ στήθους εὔδοξε, καὶ τὴν χάριν ἐκεῖθεν ἀνείλκυσας.

Τὰ μεγάλα καὶ θεῖα πυρσεύματα, τῆς Θεολογίας σου πᾶσαν ἐφώτισαν, τὴν Οἰκουμένην εὔδοξε, καὶ φωτὶ τρισηλίῳ κατηύγασαν.

Θεοτοκίον.

Οὐρανὸν ὁ τανύσας βουλήματι, Οὐρανὸν ἐπίγειον ἄλλον ἐπλάτυνε, σὲ Θεομῆτορ ἄχραντε, καὶ ἐκ σοῦ ἀνατείλας ἐπέφανεν.

Ἄλλος. Τοῦ βίου τὴν θάλασσαν.

Ὑπῆρξεν ὡς κάλαμος, ὀξυγράφου ἀληθῶς, ἡ Θεολόγος γλῶττά σου, καλλιγραφοῦσα γνῶσιν ἀληθινὴν, καὶ νόμον καινότατον, ἐν πλαξὶ Θεολόγε καρδιῶν ἡμῶν.

Μαράνας προθέλυμνα, ἀσεβείας τὰ φυτὰ, ὡς γεωργὸς πανάριστος, ἐν τῇ ψυχῇ μου φόβον τὸν τοῦ Θεοῦ, ἐμφύτευσον εὔδοξε, ἀρετῶν ἀκαρπίαν ἀναθάλλουσαν.

Υἱὸν τῆς Παρθένου σε, ὁ ἐκ ταύτης προελθὼν, περιφανῶς ὠνόμασε· μεθ' ἧς δυσώπει θέσει πάντας Υἱοὺς, Θεοῦ παναοίδιμε, χρηματίσαι, ποιοῦντας τὰ ἀρεστά.

Σαρκὸς ὁμοιώματι, ἐγνωρίσθη τοῖς βροτοῖς, Θεὸς ἐκ σοῦ Πανάμωμε. ὃν ἐκδυσώπει πάντοτε τῆς σαρκὸς, ἡμῶν τὰ φρονήματα, Παναγία νεκρῶσαι τὰ ὀλέθρια.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον, ἦχος β'.

Τὰ μεγαλεῖά σου Παρθένε, τίς διηγήσεται; βρύεις γὰρ θαύματα, καὶ πηγάζεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν, ὡς Θεολόγος καὶ φίλος Χριστοῦ.

Ὁ Οἶκος.

Ὕψη οὐράνια ἐκμανθάνειν, καὶ θαλάσσης τὰ βάθη ἐρευνᾷν, τολμηρὸν ὑπάρχει καὶ ἀκατάληπτον. ὥσπερ γὰρ ἄστρα ἐξαριθμῆσαι, καὶ παράλιον ψάμμον οὐκ ἔστιν ὅλως, οὕτως οὐδὲ τὰ τοῦ Θεολόγου ἐπαινεῖν ἱκανῶς. τοσούτοις αὐτὸν στεφάνοις ὁ Χριστὸς, ὃν ἠγάπησεν, ἔστεψεν· οὗ ἐν τῷ στήθει ἀνέπεσε, καὶ ἐν τῷ μυστικῷ δείπνῳ συνεστιάθη, ὡς Θεολόγος καὶ φίλος Χριστοῦ.

[illegible] μετάστασις τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ, φίλου, ἐπιστηθίου, Παρθένου, ἠγαπημένου, Ἰωάννου τοῦ Θεολόγου.

Πατρὸς παρέστης ἠγαπημένῳ Λόγῳ.

Πάντων μαθητῶν, ἠγαπημένε πλέον.

…ρός γε Θεὸν μετέστη Βροντῆς παῖς [illegible] ἐκτυ-

Ἰωάννης ὁ Εὐαγγελιστής, καὶ ἀδελφὸς Ἰακώβου, ὁ ἐπὶ τὸ στῆθος τοῦ Χριστοῦ ἀναπεσών, ἐν τῇ Ἀσίᾳ ἐκήρυξε τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ. Ἐξορισθεὶς δὲ ὑπὸ Τραϊανοῦ τοῦ Βασιλέως ἐν Πάτμῳ τῇ νήσῳ, διὰ τὸν λόγον τοῦ Κυρίου, ἐκεῖ συνεγράψατο τὸ Εὐαγγέλιον. Πολλὰ δὲ πλήθη προσαγαγὼν τῷ Χριστῷ, ὑποστρέψας εἰς Ἔφεσον, ἐν εἰρήνῃ ἀνεπαύσατο, πλήρης ἡμερῶν ὑπάρχων. Ταῖς τοῦ Θεολόγου Ἀποστόλου πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

Ἡ θεία λαμπόμενος φωτοχυσία, τὸ Πνεῦμα τὸ Ἅγιον τρανῶς ἐθεολόγησας, τὸ ἐκπορευόμενον ἐκ τοῦ ἀνάρχου Πατρός, καὶ ἀναπαυόμενον Υἱῷ, ἀνεκφοιτήτως ὡς ὁμοούσιον.

Ἐν σοὶ μάκαρ ἔθετο δικαιοσύνης, ὁ Ἥλιος σκήνωμα, Οὐρανὸν ἀκίνητον, ὁ σὲ ἐργασάμενος, καὶ Θεολόγῳ σου γλώττῃ κηρυττόμενος Χριστός, ἠγαπημένε ὁ ὑπερένδοξος.

Ῥημάτων ἡ δύναμις ὁ θεῖος φθόγγος, τῶν σῶν ἐξελήλυθε πανμάκαρ ἀξιάγαστε. καὶ τὸ ὑπερκόσμιόν σου Εὐαγγέλιον, πᾶσαν περιέλαβε τὴν γῆν, τῇ τῶν δογμάτων μεγαλειότητι.

Θεοτοκίον.

Ἀνάλγητον σύλληψιν, ἄφθορον τόκον, σὺ μόνη ὑπέδειξας, Παρθένος διαμείνασα. Θεὸν γὰρ συνέλαβες, τὸν ἐπὶ πάντων Ἁγνή, ἄνθρωπον γενόμενον πιστῶν, πρὸς σωτηρίαν καὶ ἀπολύτρωσιν.

Ὠδὴ η'. Δροσοβόλον μέν.

Τὴν βροντὴν τὴν διηχήσασαν εἰς ἅπαντα, τὰ πέρατα ὑμνήσωμεν, τὸν Θεολόγον, δι' οὗ πᾶσα ὄντως ἀκοή, ἐμβρόντητος ἤρθη ἀπὸ γῆς, καὶ μεγαλύνεται Χριστός, ὁ τοῦ παντὸς Ποιητής.

Ἡ περίβλεπτος τοῦ οἴκου σου ἀπρέπεια, πᾶσαν φαιδρύνει ἔννοιαν· ἐν ᾧ πάντοτε ἀθροιζόμενοι θεοπρεπῶς, ὑμνοῦμεν τὸν πάντων Ποιητήν, καὶ ἀφημνοῦμέν σε πιστῶς, ὄντα προστάτην ἡμῶν.

Φωτοβόλον ὡς ἀστέρα σε γινώσκομεν, ταῖς σελασφόροις λάμψεσι, σοῦ φωτίζεσθαι, Μαθητὰ δεόμεθα Χριστοῦ, ῥυόμενοι σκότους τῶν παθῶν, καὶ πειρασμῶν παντοδαπῶν τῇ μεσιτείᾳ σου.

Θεοτοκίον.

Εὐλογοῦμέν σε πανάμωμε κυήσασαν, εὐλογημένον Κύριον, τὸν εὐλογίαις καταστέψαντα ταῖς θεϊκαῖς, ἐπάρατον φύσιν τῶν βροτῶν· καὶ καινουργήσαντα ἡμᾶς, παλαιωθέντας φθορᾷ.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ θ'. Κάμινος ποτέ.

Ὥσπερ ἀστραπή, φωτὸς διερχομένη, τὴν Οἰκουμένην Μάκαρ ἔφανας, ἁγνείας λαμπρότητι παρθενίας τε φανότητι, καὶ εὐσεβείας δόγμασι, Κόσμον καταλαμπρύνων, ἠγαπημένε Χριστῷ τῷ Θεῷ.

Σῶμα καὶ ψυχήν, καὶ νοῦν κεκαθαρμένος, εὐηγγελίσω τὸ ὡραῖον Χριστοῦ Εὐαγγέλιον. καὶ Ἀγγέλοις ὁμοδίαιτος, ἐν Οὐρανοῖς γενόμενος, κράζεις νῦν εὐλογεῖτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Ἄγαλμα φαιδρόν, ἀνάθημά τε θεῖον, ἐπουρανίου ναοῦ γέγονας, καὶ θρόνος αἰσθήσεως, καὶ σοφίας ἐνδιαίτημα, Θεολογίας ὄργανον, μέλπων ὑπερυψοῦτε, πάντα τὰ ἔργα τὸν Κύριον.

Θεοτοκίον.

Ἵνα τὴν ἀράν, τὴν πρώτην ἀφανίσῃς, καὶ τοῦ θανάτου τὸ κατάκριμα, τῆς πάλαι Προμήτορος, ἐκ Παρθένου Θεομήτορος, Λόγε Θεοῦ γεγέννησαι, πᾶσι δεδωρημένος, ἀθανασίαν ἀνώλεθρον.

Ἄλλος. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ῥητορεύσασαν γλῶσσαν μάκαρ ἠπόρησας, καὶ θανόντας κακίᾳ πάντας ἐζώγρησας, τοὺς τὸ ἱερὸν δεξαμένους σου κήρυγμα. ὅθεν σε τιμῶμεν ὡς μύστην τῶν ἀρρήτων.

Ὡς παράδεισος ἄλλος ὁ θεῖος οἶκός σου, ἀναδέδεικται θαύμασιν, ὥσπερ ἄνθεσι, πάντων τὰς ψυχὰς εὐωδιῶν Ἀπόστολε, καὶ τῶν παθημάτων, διώκων τὸ δυσῶδες.

Ὁ Θεὸς ὁ Θεός μου πρόσχες, καὶ ῥῦσαί με, ἐξ ἐχθρῶν καθ' ἑκάστην ἐπεμβαινόντων μοι· καὶ τὴν ταπεινὴν συντριβόντων καρδίαν μου· ἔχων δυσωποῦντα, τὸν θεῖον Μαθητήν σου.

Θεοτοκίον.

Ἰησοῦν τὸν Σωτῆρα, ὃν ἐσωμάτωσας, ἐξ ἁγνῶν σου αἱμάτων, Θεοχαρίτωτε, αἴτησαι ἡμᾶς οἰκτειρῆσαι τοὺς δούλους σου, καὶ τῆς αἰωνίου κολάσεως ἐξάραι.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Σὺ οὐκ ἐν αἰνίγματι, πρὸς πρόσωπον δὲ πρόσωπον, τῆς τρυφῆς τὸν χείμαρρον ὁρᾶν ἠξίωσαι, καὶ τὸν ποταμὸν τῆς εἰρήνης,

καὶ

καὶ τὴν πηγὴν τῆς ἀθανασίας· ἧς νῦν ἀρδόμενος, ἀπολαύεις τῆς θεώσεως.

Ἐπίγειον ᾔτησας παρὰ Χριστοῦ καθέδραν λαβεῖν· ἀλλ' αὐτός σοι τὸ στῆθος αὐτοῦ χαρίζεται. ᾧ ἐπικληθεὶς Θεολόγε τὴν ἀσφαλῆ, καὶ μόνιμον ἕδραν, τοῦ καλοῦ πεπλούτηκας, Ἀποστόλων ἐγκαλλώπισμα.

Σοφίας κατέσβεσας, Ἑλληνικῆς τὸ ἄθεον, ἐν ἀρχῇ ἦν ὁ Λόγος σοφὲ φθεγξάμενος. καὶ πρὸς τὸν Θεὸν ἦν ὁ Λόγος, καὶ ἀληθῶς, Θεὸς ἦν ὁ Λόγος· δι' οὗ πάντα γέγονεν, ὁρατά τε καὶ ἀόρατα. Θεοτοκίον.

Ὡς ὄρθρος εὑρέθης πρωϊνός, ἐν τῇ τοῦ βίου νυκτί, παρθενίας ἀκτῖσι περιαστράπτουσα, τὴν ἀνατολὴν τοῦ Ἡλίου, τοῦ νοητοῦ τῆς δικαιοσύνης, ἡμῖν φανερώσασα, Θεομῆτορ πανσεβάσμιε.

Ἄλλος. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ὡρῶν καὶ χρόνων ὑπάρχων Κύριος, ὁ λυτρωτὴς μεσούσης τῆς ἡμέρας ἐκρέματο, ἐπὶ ξύλου καὶ σοὶ παρετίθετο, οἷα Παρθένῳ μάκαρ τὴν Ἀειπάρθενον, κλέος ἀναφαίρετον διδούς, καὶ μεγαλύνων σε.

Ὑμνῶν ταῖς ἄνω θείαις Δυνάμεσι, καὶ σὺν αὐταῖς τὸ θεῖον ἀνακράζων μελῴδημα, τοὺς ἐν οἴκῳ ἁγίῳ σου ψάλλοντας, καὶ ἀνυμνολογοῦντας τὸν ὑπεράγαθον, σῶζε μεσιτείαις σου σεπταῖς, Χριστοῦ Ἀπόστολε.

Ἡμᾶς τοὺς πίστει παρακαλοῦντάς σε, σῶζε παντὸς κινδύνου Θεολόγε μακάριε, πορείας ἡμῶν τὰς πρὸς Κύριον, πνεύματι κατευθύνων, καὶ ὁδηγῶν ἡμᾶς, εἰς ὁδὸν εἰρήνης ἐντολῶν τοῦ Παντοκράτορος. Θεοτοκίον.

Φωνὴν προσάξωμεν χαριστήριον, τῇ τοῦ Θεοῦ Μητρὶ περιφανῶς καὶ βοήσωμεν· χαῖρε θρόνε Θεοῦ ὑψηλότατε, χαῖρε φωτὸς νεφέλη, χαῖρε Παράδεισε· δι' ἧς παραδείσου τῆς τρυφῆς κατηξιώθημεν.

Καταβασία. Ἅπας γηγενής.

Εἱρμός. Γυναῖκες ἀκουτίσθητε.

Βροντῆς Υἱὸς γενόμενος, βροτοῖς ἐθεολόγησας, τὸ ἐν ἀρχῇ ἦν ὁ Λόγος, Ἀπόστολε Ἰωάννη. ἐπιπεσὼν τῷ στήθει γάρ, πιστῶς τῷ τοῦ Δεσπότου σου, κἀκεῖθεν ἀρυσάμενος, Θεολογίας τὰ ῥεῖθρα, τὴν Κτίσιν πᾶσαν ἀρδεύεις. Σταυροθεοτοκίον. Ὅμοιον.

Σταυρῷ τῷ τοῦ Κυρίου σου, παριστάμενος Πάναγνε, σὺν Μαθητῇ τῷ παρθένῳ, ἰδοὺ φησὶν ὁ Υἱός σου, ἀκήκοας τοῦ Πλάσαντος· τῷ Μαθητῇ ὡσαύτως δέ, ἰδοὺ φησὶν ἡ Μήτηρ σου. μεθ' … πάντες ὑμνοῦμεν, Θεογεννῆτορ Παρθένε.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, [illegible] προσόμοια, [illegible] τοῦ παραδόξου θαύματος.

Μάκαρ Ἰωάννη πάνσοφε, περιουσίᾳ θερμῇ, τῆς Χριστοῦ ἀγαπήσεως, πλέον πάντων πέφυκας, Μαθητῶν ἀγαπώμενος, τῷ παντεπόπτῃ Λόγῳ καὶ κρίνοντι, δικαίοις πᾶσαν τὴν Οἰκουμένην ζυγοῖς. τῆς καθαρότητος, καὶ ἁγνείας κάλλεσι καταυγασθείς, σῶμα καὶ διάνοιαν θεομακάριστε. Ὅμοιον.

Θεολογίας τὰ νάματα, ἐπὶ τοῦ στήθους πεσών, τῆς σοφίας ἐξήντλησας, καὶ τὸν Κόσμον ἤρδευσας, Ἰωάννη πανάριστε, τῇ τῆς Τριάδος γνώσει τὴν θάλασσαν, καταξηράνας τῆς ἀθεότητος, στῦλος γενόμενος, καὶ νεφέλη ἔμψυχος καθοδηγῶν, πρὸς τὴν ἐπουράνιον κληροδοσίαν ἡμᾶς.

Τὸ παρθενίας ἀπάνθισμα, τὸ τῶν σεπτῶν ἀρετῶν, δεκτικὸν ἐνδιαίτημα, τῆς σοφίας ὄργανον, τὸ τοῦ Πνεύματος τέμενος, τὸ φωτοφόρον, στόμα τῆς χάριτος, τῆς Ἐκκλησίας τὸ φαεινότατον, ὄμμα τὸ πάνσεπτον, Ἰωάννην ᾄσμασι πνευματικοῖς, νῦν ἀνευφημήσωμεν, ὡς ὑπηρέτην Χριστοῦ.

Εὐαγγελιστὰ Θεσπέσιε, τῶν ἀγαθῶν τὴν πηγήν, Βασιλείαν ἀσάλευτον, καὶ ζωὴν αἰώνιον, καὶ χαρὰν ἀνεκλάλητον, καὶ θεωρίας θείας ἀπόλαυσιν, καὶ πλουτοδότως Χριστοῦ χαρίσματα, νοῦν ὑπερβαίνοντα, καὶ βροτῶν διάνοιαν, γόνε βροντῆς, εὐαγγελιζόμενος, τῷ Κόσμῳ ἔλαμψας.

Δόξα, ἦχος [illegible]

Εὐαγγελιστὰ Ἰωάννη, ἰσάγγελε Παρθένε, Θεολόγε θεοδίδακτε, ὀρθοδόξως τῷ Κόσμῳ τὴν ἄχραντον πλευράν, τὸ αἷμα καὶ τὸ ὕδωρ βλύζουσαν ἐκήρυξας· ἐν ᾧ τὴν αἰώνιον ζωήν, πορίζόμεθα ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, [illegible]

Προκείμενον τὸ Ἀποστ[illegible]

Εἰς πᾶσαν τὴν γῆν.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται.



Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

Καθολικῆς α΄. Ἐπιστολῆς Ἰωάννου.

Κεφ. δ΄. 12. Θεὸν οὐδεὶς πώποτε τεθέαται. ἐὰν ἀγαπῶμεν ἀλλήλους, ὁ Θεὸς ἐν ἡμῖν μένει, καὶ ἡ ἀγάπη αὐτοῦ τετελειωμένη ἐστὶν ἐν ἡμῖν. Ἐν τούτῳ γινώσκομεν, ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ Πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν. Καὶ ἡμεῖς τεθεάμεθα, καὶ μαρτυροῦμεν, ὅτι ὁ Πατὴρ ἀπέσταλκε τὸν Υἱὸν σωτῆρα τοῦ Κόσμου. Ὃς ἂν ὁμολογήσῃ, ὅτι Ἰησοῦς ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ Θεὸς ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ Θεῷ. Καὶ ἡμεῖς ἐγνώκαμεν, καὶ πεπιστεύκαμεν τὴν ἀγάπην, ἣν ἔχει ὁ Θεὸς ἐν ἡμῖν. ὁ Θεὸς ἀγάπη ἐστί· καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ, ἐν τῷ Θεῷ μένει, καὶ ὁ Θεὸς ἐν αὐτῷ. Ἐν τούτῳ τετελείωται ἡ ἀγάπη τοῦ Θεοῦ μεθ' ἡμῶν, ἵνα παῤῥησίαν ἔχωμεν ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως· ὅτι καθὼς ἐκεῖνος ἐστὶ, καὶ ἡμεῖς ἐσμὲν ἐν τῷ Κόσμῳ τούτῳ. Φόβος οὐκ ἔστιν ἐν τῇ ἀγάπῃ. ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φόβον, ὅτι ὁ φόβος κόλασιν ἔχει· ὁ δὲ φοβούμενος οὐ τετελείωται ἐν τῇ ἀγάπῃ. Ἡμεῖς ἀγαπῶμεν αὐτὸν, ὅτι αὐτὸς πρῶτος ἠγάπησεν ἡμᾶς.

Ἀλληλούϊα. ἦχος.

Ἐξομολογήσονται οἱ Οὐρανοί.

Στίχ. Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ιθ΄. 25. Τῷ καιρῷ ἐκείνῳ, εἱστήκεισαν παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ, ἡ Μήτηρ αὐτοῦ, καὶ ἡ ἀδελφὴ τῆς Μητρὸς αὐτοῦ, Μαρία ἡ τοῦ Κλωπᾶ, καὶ Μαρία ἡ Μαγδαληνή· Ἰησοῦς οὖν ἰδὼν τὴν Μητέρα, καὶ τὸν Μαθητὴν παρεστῶτα, ὃν ἠγάπα, λέγει τῇ Μητρὶ αὐτοῦ· Γύναι, ἴδε ὁ Υἱός σου. Εἶτα λέγει τῷ Μαθητῇ· ἰδοὺ ἡ Μήτηρ σου. Καὶ ἀπ' ἐκείνης τῆς ὥρας, ἔλαβεν ὁ Μαθητὴς αὐτὴν εἰς τὰ ἴδια.

Κεφ. κα΄. 24. Οὗτός ἐστιν ὁ Μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, καὶ γράψας ταῦτα· καὶ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. Ἔστι δὲ καὶ ἄλλα πολλὰ, ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα, ἐὰν γράφηται καθ' ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν Κόσμον χωρῆσαι τὰ γραφόμενα βιβλία. Ἀμήν.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Μηνὶ τῷ αὐτῷ κζ΄.

Τοῦ Ἁγίου Μάρτυρος Καλλιστράτου, καὶ τῶν σὺν αὐτῷ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ κη΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν, καὶ ὁμολογητοῦ Χαρίτωνος. ζήτει τὴν Ἀκολουθίαν εἰς ἕνα Ὅσιον.

Μηνὶ τῷ αὐτῷ κθ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κυριακοῦ τοῦ ἀναχωρητοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς ἕνα Ὅσιον.

Μηνὶ τῷ αὐτῷ λ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Γρηγορίου τῆς μεγάλης Ἀρμενίας· ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

# ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ.

Ἔχων ἡμέρας λα΄. Ἡ ἡμέρα ἔχει ὥρας ια΄. καὶ ἡ νὺξ ὥρας ιγ΄.

Εἰς τὴν α΄. Τοῦ Ἁγίου Ἀποστόλου Ἀνανίου, ἑνὸς τῶν ο΄. καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ῥωμανοῦ τοῦ μελῳδοῦ. τὴν Ἀκολουθίαν ζήτει εἰς ἕνα Ἀπόστολον, καὶ εἰς ἕνα Ὅσιον.

Μηνὶ τῷ αὐτῷ β΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Κυπριανοῦ, καὶ Ἰουστίνης τῆς Παρθένου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα, καὶ εἰς Γυναῖκα Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ γ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Διονυσίου τοῦ Ἀρεοπαγίτου· ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Μηνὶ τῷ αὐτῷ δ΄.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἱεροθέου Ἐπισκόπου Ἀθηνῶν. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ ε΄.

Τῆς Ἁγίας Μάρτυρος Χαριτίνης. τὴν Ἀκολουθίαν ζήτει εἰς γυναῖκα Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ϛ΄.

Τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου Θωμᾶ. ζήτει τὴν Ἀκολουθίαν εἰς ἕνα Ἀπόστολον.

Μηνὶ τῷ αὐτῷ ζ΄.

Τῶν Ἁγίων Μαρτύρων Σεργίου, καὶ Βάκχου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ η΄.

Τῆς ὁσίας Μητρὸς ἡμῶν Πελαγίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίαν Γυναῖκα.

Μηνὶ τῷ αὐτῷ θ΄.

Τοῦ Ἁγίου Ἀποστόλου Ἰακώβου τοῦ Ἀλφαίου. ζήτει τὴν Ἀκολουθίαν εἰς ἕνα Ἀπόστολον.

Μηνὶ τῷ αὐτῷ ι΄.

Τῶν Ἁγίων Μαρτύρων Εὐλαμπίου, καὶ Εὐλαμπίας. ζήτει τὴν Ἀκολουθ. εἰς Μάρτυρας.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Μηνὶ τῷ αὐτῷ ιαʹ.

Τοῦ Ἁγίου Ἀποστόλου Φιλίππου, ἑνὸς τῶν ἑπτὰ Διακόνων· καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοφάνους τοῦ ὁμολογητοῦ, Μητροπολίτου Νικαίας, τοῦ ποιητοῦ, καὶ γραπτοῦ· ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀπόστολον, καὶ εἰς Ἱεράρχην.

Κυριακῇ μετὰ τὴν ἑνδεκάτην τοῦ παρόντος Μηνός, Μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων Πατέρων τῆς Ἁγίας Οἰκουμενικῆς Ἑβδόμης Συνόδου, τῶν ἐν Νικαίᾳ συνελθόντων τὸ, βʹ. ἐπὶ καθαιρέσει, καὶ ἀνατροπῇ τῶν ἀθέων δογμάτων τῶν μισοχρίστων, καὶ χριστιανοκατηγόρων Εἰκονομάχων, τοῦτε Κοπρωνύμου, καὶ τῶν αὐτῷ συμφρονούντων ἀθλίων Ἐπισκόπων, καὶ ἀνιέρων Ἀρχιερέων, καὶ τοῦ αὐτῶν ἀθέσμου, καὶ ἐξαγίστου Συνεδρίου. Ψάλλεται δὲ ἡ τοιαύτη Ἑορτὴ κατὰ τὴν ἑνδεκάτην, ἤπερ τύχῃ ἐν Κυριακῇ. Ἑσπέρας εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν [illegible] ψάλλομεν [illegible] Ἀναστάσιμα γʹ. καὶ Ἀνατολικὰ [illegible] καὶ τῶν Ἁγίων Πατέρων τὰ προσόμοια [illegible] ἦχος πλ. βʹ.

Ὅλην ἀποθέμενοι.

Τὰς σεπτὰς Συνόδους τὰς τῶν Πατέρων, κατὰ διαφόρους καιροὺς συστάσας, εἰς ἓν συνήθροισεν ἐν Κανόνι τῷδε, μάλα καλῶς ὁ Πατριάρχης, ὁ Γερμανὸς ὁ νέος· γράφων ὁμοῦ τε, καὶ κρατύνων, τὰ δόγματα τὰ τούτων· οὓς καὶ πρέσβεις αὐτοὺς ἀγρύπνους, τῆς σωτηρίας τῷ Κυρίῳ προβάλλεται, καὶ τοῦ ποιμνίου συμποίμενας.

Ὁ τοῦ νόμου γράμμα πᾶσιν Ἑβραίων, ἔθετο τιμίαν τὴν Ἑβδομάδα, σκιᾷ προσανέχουσι, καὶ λατρεύουσι ταύτῃ· ὥσπερ Πατέρες συνδραμόντες, ἐν ἑπτάδι Συνόδῳ, νόσει Θεοῦ τοῦ ἐν ἑξάδι, ἡμερῶν σύμπαν τόδε, ἀπαρτίσαντος, καὶ τὴν ἑβδόμην εὐλογήσαντος, σεμνοτέραν ἐργάσασθε, Ὅρον ἐκθέμενοι Πίστεως.

Τὴν Τριάδα πᾶσιν ἐκ τῶν πραγμάτων, τῆς κοσμογενείας οὖσαν αἰτίαν, τρανῶς παρεδώκατε τρισόλβιοι Πατέρες· τρεῖς γὰρ καὶ τέσσαρας Συνόδους, μυστικωτάτῳ λόγῳ θέντες, καὶ ἔκδικοι φανέντες, τοῦ ὀρθοδόξου λόγου· τὰ στοιχεῖα τὰ τέσσαρα ὄντα, καὶ τὴν Τριάδα ἐνεφήνατε, κτίσασαν ταῦτα, καὶ Κόσμον ποιήσασαν.

Ἤρκεσε καὶ μία ζωὴν ἐμπνεῦσαι, τῷ καμμένῳ γόνῳ τῆς ὑπαργυρούσης, Προφήτου ἀνάκαμψις Ἐλισσαίου τοῦ πάνυ. ὅμως ἀνέκαμψεν ἑπτάκις, καὶ συνέκυψε τούτῳ. οἷα προόπτης προαγγέλλων, τὰς ὑμῶν συνελεύσεις· αἷς τὴν νέκρωσιν τοῦ Θείου Λόγου, ἐμψυχώσατε, θανατώσαντες Ἄρειον, καὶ τοὺς ἐκείνῳ συγκάμνοντας.

Ὃν διερρημμένον Χριστοῦ χιτῶνα, καὶ διερρηγμένον κυσὶν ὑλακταῖς, σοφῶς συνερράψατε σεβάσμιοι Πατέρες· βλέποντες τὴν γύμνωσιν τὴν τότε, μηδαμῶς ἐνεγκόντες, ὥσπερ ὁ Σὴμ τε καὶ Ἰάφεθ, τὴν πατρῴαν τὸ πάλαι. καταισχύναντες τὸν πατραλοίαν, καὶ τοὺς ἐκείνῳ συμφρονήσαντας Ἄρειον, τὸν τῆς μανίας ἐπώνυμον.

Οὓς Μακεδονίους καὶ Νεστορίους, καὶ τοὺς Εὐτυχέας καὶ Διοσκόρους, Ἀπολιναρίους τε Σαβελλιοσεβήρους, λύκους βαρεῖς ἀποδειχθέντας, ἐν δέρμασι προβάτων, πόρρω τῆς ποίμνης τοῦ Σωτῆρος, ὡς ἀληθεῖς ποιμένες, ἀπηλάσατε γυμνοὺς κωδίων, τοὺς τρισαθλίους καταστήσαντες ἄριστα. ὅθεν ὑμᾶς μακαρίζομεν. Δόξα, ἦχος πλ. βʹ.

Τὰς μυστικὰς σήμερον, τοῦ Πνεύματος σάλπιγγας, τοὺς θεοφόρους Πατέρας ἀνευφημήσωμεν, τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς Ἐκκλησίας, μέλος ἐναρμόνιον θεολογίας· Τριάδα μίαν ἀπαράλλακτον, οὐσίαν τε καὶ Θεότητα. τοὺς καθαιρέτας Ἀρείου, καὶ Ὀρθοδόξων προμάχους· τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον. Τὸ αʹ. τοῦ ἤχου. Εἴσοδος. Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα, [illegible] πρὸ τῆς Χριστοῦ Γεννήσεως. Εἰς τὸν στίχον [illegible] τῆς Ὀκτωήχου [illegible] ψάλλονται. Δόξα, [illegible]

Ἡν ἐτήσιον μνήμην σήμερον, τῶν θεοφόρων Πατέρων, τῶν ἐκ πάσης τῆς Οἰκουμένης συναθροισθέντων, ἐν τῇ λαμπρᾷ Πόλει Νικαιέων, τῶν ὀρθοδόξων τὰ συστήματα, εὐσεβοῦντες πιστῶς ἑορτάσωμεν· οὗτοι γὰρ τοῦ δεινοῦ Ἀρείου τὸ ἄθεον δόγμα, εὐσεβοφρόνως καθεῖλον. καὶ τῆς καθολικῆς Ἐκκλησίας, συνοδικῶς τοῦτον ἐξωστράκισαν. καὶ τρανῶς

τὸν Υἱὸν τοῦ Θεοῦ, ὁμοούσιον καὶ συναΐδιον, πρὸ τῶν αἰώνων ὄντα, τοῖς πᾶσιν ἐδίδαξαν ὁμολογεῖν, ἐν τῷ τῆς πίστεως Συμβόλῳ, ἀκριβῶς καὶ εὐσεβῶς τοῦτο ἐκθέμενοι. ὅθεν καὶ ἡμεῖς τοῖς θείοις αὐτῶν δόγμασιν ἑπόμενοι, βεβαίως πιστεύοντες, λατρεύομεν σὺν Πατρὶ τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ πανάγιον, ἐν μιᾷ Θεότητι, Τριάδα ὁμοούσιον.

Καὶ νῦν. Θεοτοκίον, τὸ τοῦ ἤχου,

Τροπάριον, ἦχος πλ.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς, τοὺς Πατέρας ἡμῶν, θεμελιώσας. καὶ δι᾽ αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν, πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε δόξα σοι.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολ. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων Πατέρων εἰς ϛ'. ὁ Κανὼν τῶν Ἁγίων.

Οὗ ἡ ἀκροστιχίς.

Ὑμνῶ μακάρων συνδρομὴν τὴν ἑβδόμην.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ἁρματηλάτην.

Ὑμνολογῆσαι τὴν ἑβδόμην ἄθροισιν, ἐφιέμενοι νῦν, τὴν τῶν ἑπτὰ δίδου, χαρισμάτων συνόδου, τοῦ Παρακλήτου Πνεύματος. τὴν σοφίσασαν ταύτην, γλωσσοτυρσεύτως καὶ βλάσφημον, πᾶσαν γλωσσαλγίαν σιγήσασαν.

Μείζων ἀρχῆθεν ἀριθμῶν ὁ ἕβδομος. δημιουργίας καὶ γὰρ, τῆς τοῦ Θεοῦ πάσης, πρωτότυπος γέγονεν, ἡ παντελὴς κατάπαυσις, εἰς ἑβδόμην ἡμέραν· καὶ νῦν πασῶν τῶν αἱρέσεων, λῆξις εἰς ἰσάριθμον Σύνοδον.

Νενικηκὼς, τὸν θεομάχον Ἄρειον, ἐν τῇ Νικαίᾳ τὸ πρὶν, ποιμαντικῇ ῥάβδῳ, ὀρθοδόξοις ἴθυνε, τὴν Ἐκκλησίαν δόγμασιν, ὁ χορὸς τῶν Πατέρων, καὶ νῦν ἐν ταύτῃ κατήχησε, τοὺς εἰκονομάχους ὁ σύμμαχος.

Ὡς οἱ Πατέρες εὐσεβῶς ἐδίδαξαν, ὁμολογοῦμεν πιστῶς, παρθενικὴν μήτραν, ἀνωδίνως τέξασαν, μετὰ σαρκὸς τὸν ἄσαρκον· προσκυνοῦμεν τε τοῦτο, στηλογραφοῦντες τὴν μόρφωσιν, καὶ τιμητικῶς ἀσπαζόμεθα.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Μὴ σαλευθῆναι τοῦ Χριστοῦ, τὴν ἀρραγῆ Ἐκκλησίαν, ὑπ᾽ αὐτοῦ μυσταγωγούμενοι θεῖοι, Ποιμενάρχαι τοὺς αὐτὴν, παρασαλεῦσαι θέλοντας, ὡς Ἀντιχρίστου μοίρας, τῶν εὐσεβῶν παρεσάλευσαν.

Ἀνακαθαίρει θολερὰς, καὶ βορβορώδεις χαμάρρους, ἐκ πηγῶν τοῦ σωτηρίου ἀντλήσας, καὶ διψῶντα τὸν λαὸν, τὸν τοῦ Χριστοῦ κορεννύσι, τῶν διδαχῶν τοῖς ῥείθροις, ὁ τῶν Πατέρων κατάλογος.

Κατὰ τῶν ὄντως μισητῶν, χριστιανοκατηγόρων, συνδρομὴ τῶν φιλοχρίστων ἑβδόμη, ἐν τῇ Πόλει τῇ λαμπρᾷ, τῶν Νικαέων γέγονεν· ἧς Βασιλεῖς Εἰρήνη, καὶ Κωνσταντῖνος συνήγοροι. Θεοτοκίον.

Ἅπας ἀπίστω δυσσεβὴς, ὁ τὴν Εἰκόνα μὴ σέβων, τὴν σεπτὴν τῆς Θεοτόκου, καὶ ταύτην, μὴ κηρύττων τὸν Χριστὸν, θεανδρικῶς κυήσασαν, καὶ τῷ πυρὶ τιμπρέσθω, κατακαιόμενος ἄκαυστα.

Κάθ. ἦχος δ'. Ταχὺ προκατάλαβε.

Φωστῆρες ὑπέρλαμπροι, τῆς ἀληθείας σαφῶς, τῷ Κόσμῳ ἐδείχθητε, μακαριώτατοι, Πατέρες θεόφθογγοι· τήξαντες τὰς αἱρέσεις, τῶν βλασφήμων γλωσσαλγῶν· σβέσαντες τὰς φλογώδεις, τῶν δυσφήμων συγχύσεις. διὸ ὡς Ἱεράρχαι Χριστοῦ, πρεσβεύσατε σωθῆναι ἡμᾶς.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ταχὺ ἡμᾶς πρόφθασον, Παρθενομήτωρ ἁγνή· ἐχθρῶν ἡμᾶς λύτρωσαι, τῶν βλασφημούντων εἰς σὲ, καὶ μὴ προσκυνούντων σε. θραῦσον τὰς γλωσσαλγίας, τῶν αἱρέσεων πάσας. λῦσον τῇ σῇ ἰσχύϊ, συμμορίας τὰς τούτων. γνώτωσαν ὅτι μόνη, Θεομήτωρ ὑπάρχεις. πρεσβείαις σου ὀρθοδόξων τὸ σύστημα σῴζουσα.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Ῥῆμα Θεοῦ, ἔχοντες βέλος, καὶ μάχαιραν, πάντων ἄρδην, τούτους κατασφάττουσι, τοὺς δυσμενεῖς, τύπῳ σταυρικῷ, τοὺς μὴ σεβομένους, ἐπίσης τὰ ἐκτυπώματα, Χριστοῦ, τῆς Θεοτόκου, τῶν Ἁγίων τε πάντων, οἱ Πατέρες οἱ θεοειδέστατοι.

Ὥσπερ ἑπτὰ, σάλπιγγες Ἱεριχώντια, εἰς ἑβδόμην, τείχη κατηδάφισαν, περιδρομὴν, οὕτως αἱ ἑπτὰ, Σύνοδοι πᾶν στίφος, κατὰ Θεοῦ ἐπαιρόμενον, κατήγαγον εἰς χάος, συνδρομὴν εἰς ἑβδόμην, τῶν εὐήχων σαλπίγγων τοῦ Πνεύματος.

Νεανικὴν, ἔνστασιν ἐπιδεικνύμενος, καὶ τῷ θείῳ, ζήλῳ πυρπολούμενος, ὁ πατρικὸς δῆμος Ἠλιοῦ, οἷα τῆς Αἰσχύνης, τοὺς Ἱερεῖς ἐθανάτωσε. διὸ σὺν παρρησίᾳ, τοῦ Χριστοῦ τὴν

Εἰκό-

Εἰκόνα, σχετικῶς προσκυνεῖν ἐδογμάτισε.

Θεοτοκίον.

Σὺ μου ἐλπὶς, Πάναγνε σύ μου, καὶ ὕμνησις. σὺ λιμήν μου, σύ μου, καὶ κυβέρνησις, ἡ τὸν Θεὸν Λόγον τοῦ Πατρὸς, σεσωματωμένον, ἀσυνδυάστως κυήσασα. διό σε ἀδιστάκτως, προσκυνῶ τὴν Εἰκόνα, τῇ ἰσχύϊ σου ἐνδυναμούμενος.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ὑψηλῇ διανοίᾳ, συνδιασκεψάμενοι ἀνεθεμάτισαν, τοὺς εἰκονομάχους, ὡς ἀλλόκοτα τούτων φρονήσαντας, οἱ σεπτοὶ Πατέρες· καὶ τὴν τιμὴν Χριστοῦ τῷ τύπῳ, ὡς εἰκὸς ἀπονέμειν ἐθέσπισαν.

Νῦν καιρὸς εὐφροσύνης, ἄρτι σωτηρίας ἡμέρα ἐπέφανεν· εὐφρανθῶμεν τοίνυν, καὶ Χριστῷ εὐφροσύνως βοήσωμεν. τὴν εἰρήνην δίδου, τὴν σὴν ἡμῖν λιταῖς Πατέρων, τῆς ἑβδόμης Συνόδου φιλάνθρωπε.

Θκ.

Διὰ σπλάγχνα ἐλέους, ἀπὸ τῆς Παρθένου ὁ Υἱὸς γεγέννηται, τοῦ Θεοῦ ἀτρέπτως. τὸ ἀλλότριον φέρων ὡς ἴδιον· καὶ μορφῇ τῇ τούτου, περιγραπτὸς ὁρᾶται θέλων, κατ᾽ οὐσίαν ὁ ὢν ἀπερίγραπτος.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι.

Ῥανάτωσαν γλυκασμὸν, τὰ ὄρη καὶ ἀγαλλίασιν, αἱρετικῶν ἡ πληθὺς, ἀπεσκορακίσθη γάρ, πικρὸν ἡ προχέουσα, ἰὸν τῶν Εἰκόνων, τῶν Ἁγίων τὴν ἀθέτησιν.

Οὐρανὸς καὶ ἡ γῆ, συμφώνως ἑορταζέτωσαν, τῆς θυγατρὸς τοῦ Θεοῦ, τὴν μεγαλειότητα· καὶ γὰρ μεγαλύνεται, ἀποβαλλομένη, τοὺς αὐτὴν κατασμικρύνοντας.

Θκ.

Μητρὸς Υἱὸς ὁ Πατρὸς, ἀπάτωρ ὁ πρὶν, ἀμήτωρ δὲ, θεοπρεπῶς γεννηθεὶς, καὶ ἀναγεννήσας με. διὸ τὴν γεννήσασαν, σὺν τῷ γεννηθέντι, εἰκονίζων κατασπάζομαι.

Κοντάκ. Ἦχος β΄. Ἀχειρόγραφον Εἰκόνα.

Ὁ ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς ἀῤῥήτως, ἐκ γυναικὸς ἐτέχθη διπλοῦς τὴν φύσιν. ὃν εἰδότες, οὐκ ἀρνούμεθα τῆς μορφῆς τὸ ἐκτύπωμα. αὐτὸ δὲ εὐσεβῶς ἀνιστοροῦντες, σέβομεν πιστῶς. καὶ διὰ τοῦτο τὴν ἀληθινὴν Πίστιν κρατοῦσα ἡ Ἐκκλησία, ἀσπάζεται τὴν Εἰκόνα τῆς Χριστοῦ ἐνανθρωπήσεως.

Ὁ Οἶκος.

Θέλων ὁ πανοικτίρμων Θεὸς, ἡμᾶς διεγείρειν ἀεὶ πρὸς μνήμην τελείαν τῆς αὐτοῦ ἐνανθρωπήσεως, τὴν ὑπόθεσιν ταύτην παρέδωκε τοῖς ἀνθρώποις, διὰ τῆς χρωματουργίας τῶν Εἰκόνων, τὴν σεβάσμιον ἀνατυποῦσθαι μορφήν. ὅπως ταύτας ἐπ᾽ ὄψεσιν ὁρῶντες πιστεύωμεν, ἅπερ λόγῳ ἀκηκόαμεν. γνωρίζοντες σαφῶς τὴν πρᾶξιν καὶ τὸ ὄνομα, τὸ σχῆμα καὶ τοὺς ἄθλους τῶν Ἁγίων ἀνδρῶν. καὶ Χριστὸν τὸν στεφοδότην στεφάνους παρεχόμενον, τοῖς Ἁγίοις ἀθληταῖς τε καὶ Μάρτυσι. δι᾽ ὧν ἄρτι τρανώτερον τὴν ἀληθινὴν Πίστιν κρατοῦσα ἡ Ἐκκλησία, ἀσπάζεται τὴν Εἰκόνα τῆς Χριστοῦ ἐνανθρωπήσεως.

Κυριακῇ μετὰ τὴν ἑνδεκάτην τοῦ [illegible] Μηνὸς. Μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων καὶ μακαρίων Πατέρων, τῶν ἐν Νικαίᾳ συνελθόντων τὸ δεύτερον, ἐπὶ τῶν εὐσεβῶν, καὶ φιλοχρίστων Βασιλέων, Κωνσταντίνου, καὶ Εἰρήνης, κατὰ τῶν δυσσεβῶς, καὶ ἀμαθῶς, καὶ ἀπεριλσκέπτως τὴν Ἐκκλησίαν τοῦ Θεοῦ εἰδωλολατρεῖν εἰπόντων, καὶ τὰς σεπτὰς καὶ ἁγίας Εἰκόνας καταβαλλόντων.

Ὑπέρμαχοί σοι τοῖς λόγων ὅπλοις Λόγε,
Ἐχθροὺς τροποῦνται τῶν σεβαστῶν Εἰκόνων.

Ἡ Ἁγία αὕτη καὶ Οἰκουμενικὴ ἑβδόμη Σύνοδος γέγονεν ἐν Νικαίᾳ τὸ δεύτερον, ἐπὶ Κωνσταντίνου Βασιλέως, καὶ Εἰρήνης τῆς Μητρὸς αὐτοῦ, καὶ ἐπὶ Ἀδριανοῦ Πάπα Ῥώμης, Ταρασίου Κωνσταντινουπόλεως, Πολιτιανοῦ Ἀλεξανδρείας, Ἀντιοχείας Θεοδωρήτου, καὶ Ἠλία Ἱεροσολύμων. Ὑπῆρχον δὲ οἱ συνελθόντες ἅγιοι Πατέρες, τριακόσιοι ἑξήκοντα πέντε. καὶ συνῆλθον κατὰ τῶν εἰκονομάχων, καὶ ἀνεθεμάτισαν ἐγγράφως πᾶσαν αἵρεσιν, καὶ τοὺς τῶν αἱρέσεων ἐξάρχους, εἶτα καὶ τοὺς εἰκονομάχους ἅπαντας. ἐγγράφως ἐκθέμενοι καὶ τυπώσαντες· ὅτι ὁ τὰς ἁγίας Εἰκόνας μὴ προσκυνῶν, ἀλλότριός ἐστι τῆς τῶν ὀρθοδόξων Πίστεως· καὶ ὅτι ἡ τῆς Εἰκόνος τιμὴ, ἐπὶ τὸ πρωτότυπον διαβαίνει· Καὶ ὅτι, ὁ προσκυνῶν καὶ τιμῶν τὴν Εἰκόνα, προσκυνεῖ ἐν αὐτῇ τοῦ ἐγγραφομένου τὴν ὑπόστασιν. καὶ οὕτω διαταξάμενοι, καὶ τὴν ὀρθόδοξον Πίστιν κρατύναντες, ἕκαστος εἰς τὴν ἑαυτοῦ Ἐπισκοπὴν ἀπῆλθε. Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Ἡττῶνται τοῖς δόγμασιν, αἱρεσιάρχαι τῶν θεηγόρων ἀνδρῶν, τῶν τὸ σέβας τῶν

τύπον, τοῖς ἀρχετύποις μεθαρμοζόντων ὀρθῶς, καθάπερ ἔφυ ὁ μέγας Βασίλειος· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ναοὶ καλλωπίζονται, φαιδραῖς Εἰκόσι κατακοσμούμενοι νῦν· διὰ τοῦτο ὁ Κόσμος, ἐν Ἐκκλησίαις τῷ ὑπὲρ ταύτης βροτοὺς, ὡραίῳ κάλλει συμψάλλει τῷ ψάλλοντι· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τὸ φῶς ἀνατέταλκε, μακρὰν τὸ σκότος, οἱ δυσσεβεῖς ἐκποδών· διὰ τοῦτο τὰ πάντα, φωτὸς πλησθέντα τὸν φωτοδότην Χριστὸν, μετ' εὐθυμίας ὑμνοῦσι καὶ λέγουσιν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἡ Πανάγνος Δέσποινα, ἡ μόνη πάντων τῆς σωτηρίας ἐλπὶς, ἡ φρικτῶς τετοκυῖα, τὸν Βασιλέα τῶν Βασιλέων Χριστὸν, ἐν ταῖς ὠλέναις αὐτὸν βρέφος φέρουσα, συμπροσκυνεῖται κρατίστως, ὡς οἱ Πατέρες φασίν.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Νομοθετεῖ μὲν ἄριστα, τῶν Πατέρων ὁ σύλλογος, τοῖς θεοσεβέσι σχετικὴν προσκύνησιν, καὶ τὴν ἀναστήλωσιν, τῆς ἱερᾶς Εἰκόνος Χριστοῦ. οἱ φιλόσεβεῖς δὲ, τὴν ἐτήσιον μνήμην, ὡς παῖδες ἐκτελοῦμεν, εὐπαθῶς τὴν ἐκείνων· καὶ πόθῳ τὴν Εἰκόνα, Χριστοῦ καταφιλοῦμεν.

Ἑπταπλασίως ἔκαμπτον, τιτᾶνες ὑψηλόφρονες, καὶ τῶν φιλαρέτων τὰς ὁρμὰς ἀνέκοπτον, δι' ὧν ἐνδιέβαλλον, ὡς τὰς εὐθεῖς πράξεις αὐτῶν. ἀλλ' οἱ τῆς ἑβδόμης, συνελθόντες Συνόδου, Πατέρες ἐν Νικαίᾳ, τὴν ὀφρὺν τὴν ἐκείνων, αὐτίκα καταπατῶσιν, ἑπταπλασιωτέρως.

Βέλη νηπίων γίνονται, ψαλμικῶς γηραιόφροσι, τῶν νηπιοφρόνων αἱ πληγαὶ, καὶ μάστιγες· τῇ θείᾳ δυνάμει δὲ, ἐξασθενοῦσι γλῶσσαι πολλαὶ, τῶν τῆς βλασφημίας εἰς τὸ ὕψος λαλούντων. καὶ πᾶς τις τὸν Πατέρα, τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα, Θεὸν ἕνα γινώσκει, ταυταίτιον, καὶ μόνον.

Θεοτοκίον.

Δημιουργεῖται νήπιος, ἑκόντι διὰ ἔλεος, ὁ δημιουργὸς ἐκ τῶν ἁγνῶν αἱμάτων σου, τηρῶν μετὰ τόκον σε, κεκαθαρμένην ὅλην ἁγνή· καὶ τὴν ῥυπωθεῖσαν, ἐκκαθαίρων εἰκόνα. διόπερ ἐν Εἰκόσι, συμμορφοῦταί σοι φύσει· βροτὸς γεγεννημένος, Θεὸς ὑπάρχων φύσει.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ὁ μέγας τῇ ἰσχύϊ, καὶ τῇ βουλῇ, ὁ τὸ πᾶν συγκρατῶν ἀκατάληπτε, μόνε Θεὲ, κράτιστε παντάρχα Παμβασιλεῦ, τὴν Ἐκκλησίαν κράτυνον, τῇ ὀρθοδοξίᾳ σου σωτηρῶν, Πατέρων πανενδόξων, παραδειγματισάντων, κακοδοξίαν παρακλήσεσι.

Μεγάλων ἠξιώθητε τῶν τιμῶν, ἐπὶ γῆς, οὐρανόφρονες Ἅγιοι· ὅτι Χριστοῦ, τύπον ἐτιμήσατε σχετικῶς. καὶ νῦν σκιὰν ἐκθέμενοι, καὶ τὸ περικάλυμμα τῆς σαρκὸς, αὐτὸν αὐτοπροσώπως, ὡς πρόσωπον ὁρᾶτε, καὶ τῶν μειζόνων ἀξιούμενοι.

Ἣν ἵνα παιδευθῶμεν πανστρατιᾶς, βαρβαρώδους ἱππείας ἠρέθισας, ῥύμην αὐτὸς, θραῦσον, καὶ τὸ θράσος τὸ καθ' ἡμῶν. καὶ Βασιλεῖ συμμάχησον, τῷ τεθαρρηκότι σοι παντεργέ· ταῖς εὐπαρρησιάστοις, πρεσβείαις τῶν Πατέρων, ὧν ἐκτελοῦμεν τὸ μνημόσυνον.

Θεοτοκίον.

Νοῆσαι τὸ Μυστήριον οὐδαμῶς, τῆς φρικτῆς σου λοχείας δεδύνηται, βρότειος νοῦς, ἀλλ' οὐδ' ὑψηλόνους Ἀγγελικός. ὅτι Θεὸν ἐγέννησας, σὺ σεσαρκωμένον ὑπερφυῶς. διό σε Θεοτόκον, εἰδότες σὺν ἐκείνῳ, καθισορῶντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ ἱερῷ.

Πατέρες οὐρανόφρονες, οἱ Συνόδου ἑβδόμης, συναθροισθέντες δέησιν, ἐκτενῆ τῇ Τριάδι, προσάξατε τοῦ ῥυσθῆναι, ἐκ πάσης αἱρέσεως, καὶ κρίσεως αἰωνίου. Βασιλείας τε τυχεῖν, οὐρανῶν τοὺς τὴν ὑμῶν, σύναξιν θείαν ὑμνοῦντας.

Θεοτοκίον. Ὅμοιον.

Πρεσβείαις ὑπεράγαθε Κύριε τῆς Μητρός σου, καὶ τῶν ἐν ἑπτὰ Συνόδοις, ἀθροισθέντων Πατέρων, τὴν Ἐκκλησίαν στήριξον, καὶ τὴν Πίστιν κράτυνον· καὶ Οὐρανῶν Βασιλείας, δεῖξον ταύτης κοινωνοὺς, ὅταν ἔλθῃς ἐπὶ γῆς, τοῦ κρῖναι πᾶσαν τὴν Κτίσιν.

Εἰς τοὺς Αἴνους, Στιχηρὰ Ἀναστάσιμα δ΄. καὶ Ἀνατολικὸν α΄. καὶ τῶν Ἁγίων, προσόμοια γ΄. Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὅλην συγκροτήσαντες, τὴν τῆς ψυχῆς ἐπιστήμην, καὶ τῷ θείῳ Πνεύματι, συνδιασκεψάμενοι, τὸ οὐράνιον, καὶ σεπτὸν Σύμβολον, οἱ σεπτοὶ Πατέρες, θεογράφως διεχάραξαν· ἐν ᾧ σαφέστατα, τῷ γεγεννηκότι

συνανάρχον, τὸν Λόγον ἐκδιδάσκουσι, καὶ πανaληθῶς ὁμοούσιον. ταῖς τῶν Ἀποστόλων, ἑπόμενοι προδήλως διδαχαῖς, οἱ ἀκλεεῖς, καὶ πανόλβιοι, ὄντως καὶ θεόφρονες.

Στ. Εὐλογητὸς εἶ Κύριε ὁ Θεός.

Ὅλην εἰσδεξάμενοι, τὴν νοητὴν λαμπηδόνα, τοῦ Ἁγίου Πνεύματος, τὸ ὑπερφυέσατον χρησμολόγημα, τῷ βραχεῖ ῥήματι, καὶ πολλῇ συνέσει, θεοπνεύστως ἀπεφθέγξαντο, οἱ Χριστοκήρυκες, εὐαγγελικῶν προϊστάμενοι, δογμάτων οἱ μακάριοι, καὶ τῶν εὐσεβῶν παραδόσεων, ἄνωθεν λαβόντες, τὴν τούτων ἀποκάλυψιν σαφῶς, καὶ φωτισθέντες ἐξέθεντο, Πίστιν θεοδίδακτον.

Στ. Συναγάγετε αὐτῷ τοὺς ὁσίους αὐτοῦ.

Ὅλην συλλεξάμενοι, ποιμαντικὴν ἐμπειρίαν, καὶ θυμὸν κινήσαντες, νῦν τὸν δικαιότατον ἐνδικώτατα. τοὺς βαρεῖς ἤλασαν, καὶ λυμώδεις λύκους, τῇ σφενδόνῃ τῇ τοῦ Πνεύματος, ἐκσφενδονήσαντες, τοῦ τῆς Ἐκκλησίας πληρώματος, πεσόντας ὡς πρὸς θάνατον, καὶ ὡς ἀνιάτως νοσήσαντας. οἱ θεῖοι Ποιμένες, ὡς δοῦλοι γνησιώτατοι Χριστοῦ, καὶ τοῦ ἐνθέου κηρύγματος, μύσται ἱερώτατοι.

Δόξα, ἦχος πλ. δ'.

Τῶν ἁγίων Πατέρων ὁ χορός, ἐκ τῶν τῆς Οἰκουμένης περάτων συνδραμών, Πατρός, καὶ Υἱοῦ, καὶ Πνεύματος Ἁγίου, μίαν οὐσίαν ἐδογμάτισε, καὶ φύσιν. καὶ τὸ μυστήριον τῆς Θεολογίας, τρανῶς παρέδωκε τῇ Ἐκκλησίᾳ. οὓς εὐφημοῦντες ἐν πίστει, μακαρίσωμεν λέγοντες· ὦ θεία παρεμβολή, θεηγόροι ὁπλῖται παρατάξεως Κυρίου. ἀστέρες πολύφωτοι, τοῦ νοητοῦ στερεώματος. τῆς μυστικῆς Σιὼν, οἱ ἀκαθαίρετοι πύργοι. τὰ μυρίπνοα ἄνθη τοῦ Παραδείσου. τὰ πάγχρυσα στόματα τοῦ Λόγου. Νικαίας τὸ καύχημα, Οἰκουμένης ἀγλάϊσμα· ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων Πατέρων. ᾠδὴ γ'. καὶ ς'. Προκείμενον τοῦ Ἀποστόλου, ἦχος δ'.

Ὠδὴ τῶν Πατέρων.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Στ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν.

Πρὸς Τίτον Ἐπιστολῆς.

Τέκνον Τίτε, πιστὸς ὁ λόγος· καὶ περὶ Κεφ. γ'. 8.
τούτων βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες τῷ Θεῷ· ταῦτά ἐστι τὰ καλά, καὶ ὠφέλιμα τοῖς ἀνθρώποις. Μωρὰς δὲ ζητήσεις, καὶ γενεαλογίας, καὶ ἔρεις, καὶ μάχας νομικὰς περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς, καὶ μάταιοι. Αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην, καὶ δευτέραν νουθεσίαν παραιτοῦ· εἰδὼς ὅτι ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν αὐτοκατάκριτος. Ὅταν πέμψω Ἀρτεμᾶν πρὸς σέ, ἢ Τυχικόν, σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ γὰρ κέκρικα παραχειμάσαι. Ζηνᾶν τὸν νομικόν, καὶ Ἀπολλῶ σπουδαίως πρόπεμψον, ἵνα μηδὲν αὐτοῖς λείπῃ. Μανθανέτωσαν δὲ καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι. Ἀσπάζονταί σε οἱ μετ' ἐμοῦ πάντες. ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει. Ἡ χάρις μετὰ πάντων ὑμῶν, Ἀμήν.

Ἀλληλούϊα, ἦχος δ'.

Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.

Στ. Ἐκέκραξαν οἱ Δίκαιοι.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Κεφ.
ὑμεῖς ἐστε τὸ φῶς τοῦ Κόσμου. οὐ δύναται ε'. 14.
πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. Οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς Οὐρανοῖς. Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν νόμον, ἢ τοὺς Προφήτας· οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν, ἕως ἂν παρέλθῃ ὁ Οὐρανός, καὶ ἡ γῆ, ἰῶτα ἓν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ νόμου, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν. ὃς δ' ἂν ποιήσῃ, καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν.

Μηνὶ αὐτῷ ιβ'.

Τῶν Ἁγίων Μαρτύρων Πρόβου, Ταράχου,

καὶ Ἀνδρονίκου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ ιγ΄.

Τῶν Ἁγίων Μαρτύρων Κάρπου, καὶ Παπύλου. τὴν Ἀκολουθίαν ζήτει εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ ιδ΄.

Τῶν Ἁγίων Μαρτύρων Ναζαρίου, Γερβασίου, Προτασίου, καὶ Κελσίου· καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κοσμᾶ τοῦ Ποιητοῦ, Ἐπισκόπου Μαϊουμᾶ τοῦ Ἁγιοπολίτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας, καὶ εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ ιε΄.

Τοῦ Ἁγίου Ὁσιομάρτυρος Λουκιανοῦ Πρεσβυτέρου τῆς μεγάλης Ἀντιοχείας. ζήτει τὴν Ἀκολουθίαν εἰς ἕνα Ὁσιομάρτυρα.

Μηνὶ τῷ αὐτῷ ις΄.

Τοῦ Ἁγίου Μάρτυρος Λογγίνου τοῦ Ἑκατοντάρχου, τοῦ ἐπὶ τοῦ Σταυροῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιζ΄.

Τοῦ Ἁγίου Προφήτου Ὠσηέ· καὶ τοῦ Ἁγίου Ὁσιομάρτυρος Ἀνδρέου τοῦ ἐν τῇ Κρίσει, ἐκ τῆς νήσου Κρήτης· τὴν Ἀκολουθίαν ζήτει εἰς Προφήτην, καὶ εἰς Ὁσιομάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιη΄.

Τοῦ Ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Λουκᾶ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος πλ. δ΄.

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι;

Τί σε ὀνομάσω Ἀπόστολε; Οὐρανόν; ὅτι τὴν δόξαν διηγήσω τοῦ Θεοῦ, ἀστραπήν; ὅτι τὸν Κόσμον καταυγάζεις φωτισμῷ. νεφέλην, ἐπομβροῦσαν θεῖα νάματα; κρατῆρα, τῆς Σοφίας ἐνθεώτατον; οἶνον ἡμῖν ἀναβρύοντα, τὸν τὰς καρδίας εὐφραίνοντα· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν προσείπω Θεόληπτε; ποταμὸν ἐκ Παραδείσου προερχόμενον ἡμῖν; κιβωτὸν τῆς διαθήκης, ἣς διέθετο Χριστός; φωστῆρα, νοητὸν φῶς ἀπαστράπτοντα; λυχνίαν, Ἐκκλησίαν καταυγάζουσαν; ἄρτον ζωῆς, θείαν τράπεζαν; ποτήριον θείου Πνεύματος; ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν Θεόπτα καλέσωμεν; λειτουργὸν τῶν μυστηρίων, δραστικώτατον Χριστοῦ; τῆς σκηνῆς τῆς νοουμένης ἀρχιτέκτονα σοφόν; τὰς πλάκας, λατομοῦντα τὰς τῆς χάριτος. τὸν νόμον γεγραφότα τὸν καινότατον. τὸν ἐκ Σιὼν προερχόμενον, καὶ διὰ σοῦ κηρυττόμενον. ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. δ΄. Ἀνατολίου.

Ἀπόστολε Χριστοῦ, καὶ τῶν θείων δογμάτων συγγραφεῦ, καὶ τῆς Ἐκκλησίας ἑδραίωμα· σὺ ὡς ἀληθῶς, τὰς ἐν ζόφῳ τῆς ἀγνωσίας καρδίας, ἀποδύσας ἐν τῷ βυθῷ τῆς ἀπωλείας, ἰάτρευσας θεηγορίαις. διέσωσας ὡς ἐκ σάλου τρικυμίας, ὀπαδὸς γενόμενος τοῦ σκεύους τῆς ἐκλογῆς Παύλου, ἀλλὰ καὶ μιμητής. ὅθεν αἰτούμενός σε Λουκᾶ ἀξιάγαστε, τῶν Ἀντιοχέων τὸ ἐγκαλλώπισμα, πρέσβευε τῷ Σωτῆρι, καὶ Θεῷ, ὑπὲρ τῶν πίστει ἐκτελούντων, τὴν ἀεισέβαστον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν στίχ. στιχ. ἦχος ὁ αὐτός.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χάρις τοῖς χείλεσί σου Λουκᾶ, πυρίνῃ γλώσσῃ ἐξεχύθη Ἀπόστολε, καὶ γλῶσσα πυρὸς ἐδείχθης, λόγους ἐκπέμπων φωτὸς, τοῖς φωτὸς ἀξίοις τῷ κηρύγματι. βολίδας φλέγουσας δὲ, τοῖς τὸ σκότος ποθήσασι, γράφων διδάσκων, τὸ σεπτὸν Εὐαγγέλιον. καὶ ὀσμὴ ζωῆς, τοῖς ζωὴν ὄντως θέλουσιν, ὤφθης ὡς Παῦλος ἔφησεν, ὃν ἔχεις Διδάσκαλον· ὀσμὴ θανάτου δὲ πάλιν, τοῖς μὴ ζωὴν ἀγαπήσασιν. ἀλλ' ἡμῖν εἰρήνην, καὶ ζωὴν καὶ φῶς παράσχου, καὶ μέγα ἔλεος.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν.

Ἔγνωμεν ἐκ τῶν λόγων τῶν σῶν, καθώσπερ ἔφης τὴν τῶν λόγων ἀσφάλειαν. ὧν ἔφης, εὐθέως Μύστα, ἐπείπερ γράψαι ἡμῖν, περὶ τῶν πραγμάτων ἐπεχείρησας· ὧν πεπληροφόρησαι, καὶ καθώς σοι παρέδοσαν, οἱ πρὶν Αὐτόπται· ὧν καὶ σὺ ἴσος γέγονας, ὑπηρέτης τε, τῆς τοῦ Λόγου σαρκώσεως. ὃν μετὰ τὴν ἀνάστασιν, εἰς Ἐμμαοὺς ἔβλεψας, καὶ καιομένῃ καρδίᾳ, μετὰ Κλεόπα συνέφαγες. αὐτοῦ θείας θέρμης, καὶ ἡμῶν τῶν σὲ τιμώντων, τὰς ψυχὰς πλήρωσον.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Χαῖρε ὁ μόνος γράψας ἡμῖν, τὸ Χαῖρε χαίρων τῆς Ἁγνῆς Εὐαγγέλιον. καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταύτην Κυριοτόκον, εἰπόντα τὸν Βαπτιστήν, ἐκ γαστρὸς οὗ γράφεις, καὶ τὴν σύλληψιν· καὶ Λόγου τὴν σάρκωσιν, πειρασμούς, καὶ τὰ θαύματα. λόγους καὶ πάθη, τὸν Σταυρόν, καὶ τὸν θάνατον. καὶ τὴν ἔγερσιν, ἥνπερ εἶδες, καὶ ἄνοδον. Πνεύματός τε τὴν κάθοδον. Κηρύκων τὰς Πράξεις τε, καὶ ἐξαιρέτως τοῦ Παύλου· οὗπερ ἐδείχθης συνέκδημος, Ἀκέστωρ καὶ Μύστα, καὶ Φωστὴρ τῆς Ἐκκλησίας, ἣν φρούρει πάντοτε.

Δόξα, ἦχος πλ. β΄.

ΠΆνσοφε Ἁλιεῦ, Ἅγιε Μαθητά, ἐργάτα τοῦ Σωτῆρος, καὶ θρίαμβε τῶν αὐτοῦ παθημάτων· ὁ τὴν κτίσιν τῇ πίστει διαδραμών, καὶ τῆς πλάνης τὰ ἔθνη συναγαγών, καὶ Θεῷ προσενέγκας, ὡς θυμίαμα καλόν, εἰς Οὐρανοὺς ἀνοδωθείς. διὸ παριστάμενος τῷ Κριτῇ, πρέσβευε ῥυσθῆναι ἡμᾶς τῶν ἀνομιῶν ἡμῶν· καὶ ἐν ἡμέρᾳ κρίσεως, λυτρωθῆναι τῆς κολάσεως.

Καὶ νῦν. Θεοτοκίον, ἦχος ὁ αὐτός.

Ὁ Ποιητὴς καὶ Λυτρωτής μου Πάναγνε.

Τροπάριον, ἦχος γ΄.

ἈΠόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Λουκᾶ, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Δόξα, τὸ αὐτό, καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἀποστόλου εἰς ς΄. Θεοφάνους.

Ὠδὴ α΄. Ἦχος πλ. Ἡ κεκομμένη.

ΤΗς ἀνωτάτω σοφίας τὸ στόμα σου, κρατῆρα θεῖον σοφὲ πάντες ἐπιστάμενοι, Ἀπόστολε Λουκᾶ, τὸν μέγαν καὶ ἀπόρρητον τῆς χάριτος πλουτοῦντες θησαυρόν, προθύμως ἀρυόμεθα, τῷ Κυρίῳ ψάλλοντες· ἐνδόξως γὰρ δεδόξασται.

ΜΥσταγωγῶν σοι Χριστὸς τὰ οὐράνια, καὶ θεοπνεύστους γραφὰς ἀμέσως διανοίγων σοι, Ἀπόστολε Λουκᾶ, καὶ μύστην ἀναδείκνυσι· καὶ Κήρυκα σοφὸν τῶν ὑπὲρ νοῦν, ἀπαύστως ἀνακράζοντα. τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

ΧΕιροτονεῖ σε τῷ Παύλῳ συνέκδημον, ἡ Ἐκκλησία Χριστοῦ, Λουκᾶ παμμακάριστε, τῇ χάριτι αὐτοῦ ἐνθέως διαλάμποντα, καὶ ἴχνεσιν αὐτοῦ ἀκολουθεῖν, αὐτῷ συνανακράζοντα. τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Θεοτοκίον.

ΤΗς ἀνεκφράστου καὶ θείας συλλήψεως, τῆς πανυμνήτου Ἁγνῆς τὸν τρόπον διεσάφησας, Ἀπόστολε Λουκᾶ. τὸ Πνεῦμα τὸ πανάγιον, ἐλήλυθε σαφῶς γὰρ ἐπ' αὐτήν, καὶ Λόγος ἐπεσκίασεν· ᾧ συμφώνως ψάλλομεν· ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

ΣΟῦ τὸ Εὐαγγέλιον, Λουκᾶ θεσπέσιε ἄνωθεν, ἀνάπλασιν ἐπισκεψαμένην, τοὺς ἀνθρώπους παρίστησι.

ΠΡάξεις ἐνθεώτατα, διαπραττόμενος ἄριστε, πανευσεβῶς, τὰς τῶν Ἀποστόλων, γραφικῶς ἀνιστόρησας.

ΠΑῦλος ὁ μακάριος, τῶν ἐγκωμίων σοι ἔπλεξε, τὰς ἀπαρχάς, καὶ τοὺς σοὺς ἐπαίνους, ἐπιστέλλων ἐξέθετο.

Θεοτοκίον.

ΣΈ νῦν μακαρίζουσιν, ὡς προεφήτευσας ἄχραντε, αἱ γενεαί, πᾶσαι τῶν ἀνθρώπων, διὰ σοῦ νῦν σῳζόμεναι.

Κάθισμα. Ἦχος πλ. Τὴν Σοφίαν, καὶ Λόγον.

ΩΣ συνέκδημος Παύλου ἀναδειχθείς, τοὺς ποικίλους κινδύνους καρτερικῶς, ὑπέμεινας πανεύφημε, τοῦ Κυρίου Ἀπόστολε. καὶ τὸν δρόμον ἀθλήσας, τελέσας τῆς πίστεως, σὺν αὐτῷ ἐν ὑψίστοις, εὐφραίνῃ μακάριε. ὅθεν καὶ τῷ Κόσμῳ, τὸ Χριστοῦ Εὐαγγέλιον, κηρύξας ἐφώτισας, τὴν ὑφήλιον ἅπασαν, Λουκᾶ πανσεβάσμιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δίς.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

ΤΗν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, βάτον τὴν ἀκατάφλεκτον, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας ἀνάκλησιν, τῆς Οἰκουμένης πάσης τὸ μέγα κειμήλιον. ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ Κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. διὰ τοῦτο βοῶμεν αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸν ἄχραντον τόκον σου.

Ὠδὴ δ΄. Ἐπέβης ἐφ' ἵππους.

ΩΣ ὤφθης τῇ αἴγλῃ, πεφωτισμένος τοῦ Πνεύματος, ἠξιώθης χερσί σου τοὺς νό-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μας αὐτοῦ, τοῖς θεοφίλοις ἄρρητα διατυπώσασθαι, τοῖς πιστῶς μελῳδοῦσι· δόξα τῇ δυνάμει σου Κύριε.

Ἡ Χάρις εὑροῦσα, τοῦ Παρακλήτου σε σκήνωμα, ἐξεχύθη πλουσίως σοῖς χείλεσι, καὶ τῆς εἰρήνης Κήρυκα πᾶσιν ἀνέδειξε, τοῖς πιστῶς μελῳδοῦσι· δόξα τῇ δυνάμει σου Κύριε.

Ἀγώνων τῷ Παύλῳ, ὡς κοινωνὸς ὀφθεὶς ἔνδοξε, τῶν στεφάνων ἐνδίκως ἠξίωσαι, τῆς βασιλείας τούτῳ τε συναγαλλόμενος, συμφώνως κραυγάζετε· δόξα τῇ δυνάμει σου Κύριε.

Ἱερῶν σου τὸ κάλλος, τῆς διανοίας ὁ Κύριος, ὡς ταῖς θείαις ἀκτῖσιν ὡραίως διαλαμπούσης, Κήρυκά σε προχειρίζεται, τοῖς πίστει κραυγάζουσι· δόξα τῇ δυνάμει σου Κύριε. Θεοτοκίον.

Καθεῖλε Δυνάστας, ἀπὸ τῶν θρόνων ὁ Κύριος, ἡ Παρθένος, καὶ Μήτηρ ὡς ἔφησε. τοὺς δὲ πεινῶντας θείων ἀγαθῶν ἐνέπλησε, τοὺς πιστῶς μελῳδοῦντας· δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Φῶς τὸ νοητόν, τῇ καρδίᾳ σου δεξάμενος, τῶν μολυσμάτων ὡς τὸ πρὶν καθαρθείς, ἀγάπης νόμῳ, τοῖς πᾶσι Λουκᾶ μετέδωκας.

Ἐν ταῖς ἀστραπαῖς, ταῖς τῆς χάριτος πανόλβιε, κατηυγασμένος καθωράθης σαφῶς, πυρίνῃ γλώσσῃ, ἐνθέως Λουκᾶ φθεγγόμενος.

Παύλῳ τῷ σοφῷ, συνοδίαν ἐπεπόθησας· ἀγαπητὸς γοῦν προσηγορεύσαι, ὡς ὑπηρέτης Εὐαγγελιστὰ τῆς χάριτος. Θε.

Χαίροις ἀληθῶς, παρθενίας τὸ κειμήλιον, ἡ τῆς προμήτορος ἀνάκλησις, καὶ τῆς κατάρας ἡ λύσις τῆς τοῦ προπάτορος.

Ὠδὴ ς΄. Τὴν δέησιν ἐκχεῶ.

Εἰς ὄρος τῶν ἀρετῶν Ἀπόστολε, ἀναβὰς τῷ ποθουμένῳ ὡμίλησας· καὶ ὡς Μωσῆς, θεογράφους τὰς πλάκας, ἐγγεγραμμένας δακτύλῳ τοῦ Πνεύματος, ἐδέξω μακάριε διττάς, Λουκᾶ τῆς οἰκουμένης Διδάσκαλε.

Τὸν Κόσμον σαῖς διδαχαῖς ἐφώτισας, οἷα Ῥήτωρ τῆς σεπτῆς Ἐκκλησίας. ταῖς γὰρ αὐγαῖς, τῆς ἀκτίστου Τριάδος, πεπυρσευμένος ὡράθης Θεόληπτε. καὶ γέγονας ὥσπερ ἀστήρ, δᾳδουχῶν οἰκουμένης τὰ πέρατα.

Τὰς νόσους νῦν τῶν ψυχῶν θεόπνευστε, ἰατρεύεις τῶν σωμάτων ὡς πάλαι, ἐμπιστευθείς, ἰάσεων τὸ δῶρον, καὶ ὡς πλουτήσας τὴν χάριν τοῦ Πνεύματος. ὁ Παῦλος γάρ σε μαρτυρῶν, ἰατρὸν γεγονέναι παρίστησιν. Θεοτοκίον.

Ἐπέβλεψεν ἐπὶ σὲ ὁ Κύριος, τὴν ἐμὴν ἀνακαινίζων οὐσίαν, ὡς δυνατός, μεγαλεῖα ποιήσας, Θεογεννῆτορ ὡς ἔφης πανάμωμε· καὶ ἔσωσέ με διὰ σοῦ, ἐκ φθορᾶς ὡς Θεός, καὶ φιλάνθρωπος.

Κοντάκιον, Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Μαθητὴς γενόμενος τοῦ Θεοῦ Λόγου, σὺν τῷ Παύλῳ ἅπασαν, ἐφωταγώγησας τὴν γῆν· καὶ τὴν ἀχλὺν ἀπεδίωξας, τὸ θεῖον γράψας Χριστοῦ Εὐαγγέλιον. Ὁ Οἶκος.

Ὡς Ἰατρός, καὶ Μαθητής, Λουκᾶ, ἠγαπημένος, μυστικῇ χειρουργίᾳ τὰ πάθη τῆς ψυχῆς μου, καὶ τὰ τοῦ σώματος ὁμοῦ ἴασαι. καὶ δός μοι κατὰ πάντα ἀλεκτᾶν, καὶ σοῦ τὴν πανασίδιμον γηθόμενος γεραίρειν πανήγυριν. ὄμβροις τε δακρύων ἀντὶ μύρων, τὸ σεπτόν σου, καὶ πάντιμον σῶμα καταβρέχειν· ὡς στήλη γὰρ ζωῆς ἐγγεγραμμένη, τῷ ναῷ τῷ θαυμαστῷ τῶν Ἀποστόλων, πᾶσιν ἐκφωνεῖ, καθάπερ καὶ σὺ τὸ πρῶτον, τὸ θεῖον γράψας Χριστοῦ Εὐαγγέλιον.

Τῷ αὐτῷ Μηνὶ ιη΄. Τοῦ Ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Λουκᾶ.

Στ. Εἰς Ἐμμαοῦς βλέπουσί σε κἂν πρὶν ἀργόμην.
Λουκᾶς λέγει, τρανῶς σε νῦν, Χριστέ, βλέπω.
Ὀγδοάτῃ δεκάτῃ τέρατος βίου ἔμμορε Λουκᾶς.

Λουκᾶς ὁ μέγας Εὐαγγελιστὴς ἦν ἀπὸ Ἀντιοχείας τῆς μεγάλης, Ἰατρὸς τὴν τέχνην, καὶ ἄκρως τὴν Ζωγραφικὴν ἐπιστάμενος ἐπιστήμην. Οὗτος τὸ ἴδιον Εὐαγγέλιον συγγραψάμενος, ὑπαγορεύοντος αὐτῷ τοῦ μακαρίου Παύλου. ἔτι δὲ καὶ τὰς Πράξεις τῶν Ἀποστόλων. Μετὰ δὲ τὸ αὐτὸν ὑπαναχωρῆσαι ἀπὸ Ῥώμης, ἐγκαταλειφθέντος ἐκεῖσε τοῦ Παύλου, καὶ πᾶσαν τὴν Ἑλλάδα διδάξας, ἐν Θήβαις τῆς Βοιωτίας, ὥς φασιν, ὀγδοήκοντα ἐτῶν γενόμενος, ἐν εἰρήνῃ τελευτᾷ. Φασὶ δὲ αὐτὸν πρῶτον τὴν Εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ, καὶ τῆς αὐτοῦ Τεκούσης, καὶ τῶν Κορυφαίων Ἀποστόλων, διὰ ζωγραφικῆς τέχνης



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζωγραφῆσαι. κἀκεῖθεν εἰς πᾶσαν τὴν Οἰκουμένην ἐξενεχθῆναι τὸ Ἄσεβὲς τοῦτο, καὶ πάντιμον ἔργον. Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Ὢ Πῶς Λουκᾶ τε, καὶ Κλεόπα, ἐμφανίζεται Δεσπότης ἐκ τοῦ τάφου. ἀναστὰς γὰρ αὐτοὺς ἐδίδασκε κραυγάζειν· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Τρίβον τοῦ βίου διατρέχων, συνοδεύοντα τὸν Λόγον εὗρες μάκαρ, οὐρανίων σκηνῶν ἀνοίγοντά σοι πύλας· εὐλογητὸς εἶ κράζοντι, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Αὔρα τοῦ Πνεύματος ἐδέχθης, μελῳδήματα θεόθεν φθεγγομένη· τοὺς ἀνθρώπους Λουκᾶ, φωτίζουσα βοῶντας· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θτ.

Χαῖρε Μαρία Θεοτόκε, ὁ Ἀσώματος ἐβόα σοι Παρθένε, σὺν αὐτῷ δὲ πιστοὶ βοῶμεν σου τῷ τόκῳ· εὐλογημένος πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὠδὴ η'. Ὁ Εἱρμός.

» Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ
» πυρὶ τὸ τῆς Ἀειπαρθένου, τῷ Μωσῇ
» μυστήριον γνωρίσαντα, Κύριον ὑμνεῖτε, καὶ
» ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεογράφους ὡς πλάκας δεδεγμένοι, τὰς σὰς βίβλους πιστῶς κατατρυφῶμεν, τῷ φωτισμῷ τῆς χάριτος πανόλβιε· Κύριον ὑμνοῦντες, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ὀργάνῳ τοῦ πνεύματός σου τῇ γλώττῃ, κεχρημένον φωτίζει τοὺς ἀνθρώπους, μυσταγωγοῦν τῆς χάριτος τὰ δόγματα. Κύριον ὑμνοῦντας, καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Συνεδέθης τῇ σχέσει μετὰ Παύλου, θεοῤῥῆμον Λουκᾶ τοῦ θεηγόρου, καὶ ξυνωρὶς πανέντιμος ἐδείχθητε· Κύριον ὑμνοῦντες, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Εὐπλόκῳ σαγήνῃ σου τῶν λόγων, ἐφαπλώσας τοὺς πλάνῃ κρατουμένους, τῷ φωτισμῷ τῆς Πίστεως ἐζώγρησας· Κύριον ὑμνοῦντας, καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐλισάβετ Μητέρα σε Κυρίου, προσεφώνει προφήτις δεδεγμένη, τὸν Βαπτιστὴν, καὶ Πρόδρομον βαστάζουσα, Κύριον ὑμνοῦσα, καὶ ὑπερυψοῦσα εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ὅρους παρῆλθες τῆς φύσεως, τὸν Δημιουρ- »
γὸν συλλαβοῦσα, καὶ Κύριον, καὶ πύλη »
σωτηρίας τῷ Κόσμῳ γέγονας. διό σε Θεο- »
τόκε, ἀκαταπαύστως μεγαλύνομεν. »

Ἔστης Λουκᾶ τῆς ἐφέσεως, τῶν ὀρεκτῶν διαφθάσας τὸ ἔσχατον, καὶ τέλος μακαρίου σαφῶς ἐπέτυχες, λυθέντων τῶν ἐσόπτρων, τῆς ἀληθείας ταῖς ἐμφάσεσι.

Λάμψας τῷ Κόσμῳ ὡς ἥλιος, ἐνθεαστικῶς τῇ Τριάδι παρίστασαι, σὺν Παύλῳ τῷ θεόπτῃ Λουκᾶ πανεύφημε· μεθ᾽ οὗ σε θεοφάντορ, ἀκαταπαύστως μεγαλύνομεν.

Αἴγλῃ Λουκᾶ τῇ φωσφόρῳ σου, τοὺς σοὺς ὑμνητὰς φαιδρυνθῆναι δυσώπησον, καὶ Κόσμῳ τὴν εἰρήνην παμμάκαρ βράβευσον· ὅπως σε θεηγόρε, ἀκαταπαύστως μεγαλύνωμεν.

Χαίρων Λουκᾶ νῦν παρίστασαι, τῷ παμβασιλεῖ τῷ στεφάνῳ κοσμούμενος, τῆς θείας εὐπρεπείας καὶ ὡραιότητος. διό σε Θεοῤῥῆμον, ἀκαταπαύστως μεγαλύνομεν.

Θτ.

Λόγον ἐδέξω τὸν ἄσαρκον, φύσιν τὴν ἐμὴν ἀναπλάσαι βουλόμενον, καὶ τοῦτον σαρκωθέντα Παρθένε τέτοκας. διό σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Λουκᾶ Χριστοῦ Ἀπόστολε, μύστα τῶν ἀποῤῥήτων, καὶ τῶν ἐθνῶν Διδάσκαλε, μετὰ Παύλου τοῦ θείου, καὶ τῆς ἁγνῆς Θεοτόκου, ἧς τὴν θείαν εἰκόνα, ἐκ πόθου ἀνιστόρησας. ἐκδυσώπει θεόπτα, ὑπὲρ ἡμῶν, τῶν μακαριζόντων σε, καὶ τελούντων, τὴν ἱεράν σου κοίμησιν, πάνσοφε μυστολέκτα.

Θεοτοκίον. Ὅμοιον.

Δέσποινα πάντων Ἄνασσα, πρόφθασον ἐν κινδύνοις. πρόφθασον ἐν ταῖς θλίψεσι, πάρεσο ἐν ἀνάγκαις, τῆς τελευταίας ἡμέρας· μὴ Σατὰν ἡμᾶς λάβῃ, μὴ Ἅδης, μὴ ἀπώλεια· βήματι τοῦ Υἱοῦ σου, τῷ φοβερῷ, ἀνευθύνους ἅπαντας παραστῆναι, ὦ Θεομῆτορ Δέσποινα, ποίησον σαῖς πρεσβείαις.

Εἰς τοὺς Αἴνους [illegible] προσόμοια, [illegible] δ'. ἦχος [illegible]

Νεφέλην σε φωτός.

Χριστοῦ τὸν Μαθητὴν, τὸν τοῦ Εὐαγγελίου συγγραφέα σοφώτατον, σκεῦος τῆς ἐκλογῆς τὸν ὡραῖον χαρακτῆρα ἔμψυχον πιστοί· ὃν ἐν ταῖς Ἐκκλησίαις ἁπάσαις ὁ ἐπαι-

νος, Λουκᾶν τὸν Ἀπόστολον ἐν ὕμνοις τιμήσωμεν. αὐτὸς γὰρ ἐκήρυξε τοῦ Θεοῦ τὰ παράδοξα θαύματα, φωτίσας τοὺς ἐπὶ γῆς, Θεολογίας ἀκτῖσι διὰ τῆς χάριτος.

Ψυχῶν ἰατρικὴν, ὑπὲρ τὴν τῶν σωμάτων ἐκμαθὼν ἐπιστήμην σοφὲ, κατ' ἄμφω πανκαλῆς ἀνεδείχθης, τὴν τοῦ Θεοῦ σοφίαν ἐμπνευσθείς. ἐν ᾗ καὶ θεραπεύων, ψυχὰς καὶ τὰ σώματα, Λουκᾶ παμμακάριστε, καλεῖς πρὸς ἐπίγνωσιν· ἑτέροις πρὸς τὸν ἔρωτα τοῦ Θεοῦ, τοὺς ἀνθρώπους ἑκάστοτε, ἀνάγεις εἰς Οὐρανόν· καὶ ὑπὲρ τούτων πρέσβευε, τῶν εὐφημούντων σε.

Ἐπίστρω λογικῷ, τοὺς ἐν βάθει ἀγνοίας, ὡς ἰχθύας εἰσδύσαντας, ἑλκύσας εἰς ἐπίγνωσιν θείαν, τῷ Χριστῷ ὀψώνιον καλὸν, προσηγάγου παμμάκαρ· τιμὴν ἀξιόχρεων, ζωὴν τὴν ἀκήρατον, Λουκᾶ ἱερώτατε. διὸ καὶ Ἀπόστολος τοῦ Χριστοῦ ἐχρημάτισας, σοφὸς Εὐαγγελιστὴς, ἐξηγητὴς τῶν πρακτέων ἔργων τῆς χάριτος.

Ἦχος πλ. δ'.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν.

[illegible]

Δεῦτε πᾶσα κτίσις, τὸν ἀληθῶς Ἰατρὸν πνευματικὸν, καὶ τοῦ Σωτῆρος μαθητὴν Λουκᾶν τὸν ἀοίδιμον ἐν ᾠδαῖς εὐφημήσωμεν. οὗτος γὰρ ἀσθενείας τὴν νόσον, τῷ ἐπιχρίσματι τῆς Χριστοῦ κολυμβήθρας ἐθεράπευσε. καὶ ποταμοὺς θεοβρύτων ναμάτων, ἐκ στόματος ἐμψυχωμέναις χώραις, τοῦ Εὐαγγελίου κατήρδευσεν. ὅθεν ἐξῆλθε προφητικῶς, ὁ φθόγγος αὐτοῦ εἰς τὴν Οἰκουμένην. καὶ πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος ὁ αὐτός.

Λαβιτικῶς συνελθόντες οἱ πιστοὶ ἐν ᾄσμασι, τῷ μυστικῷ Ῥήτορι τοῦ Λόγου, Λουκᾷ ἐκβοήσωμεν· ἡ γλῶσσά σου κάλαμος γραμματέως ἐδείχθη, Χριστοῦ τοῦ ὀξυγράφου. ὡραΐζουσα τὰς ὄψεις, πρὸς τὴν γνῶσιν τῶν ἐθνῶν τῆς θείας ἐπιγνώσεως. ἐν ᾗ ἀνεκήρυξας τὸ Εὐαγγέλιον, καὶ τῶν Συναποστόλων σου τὰς πράξεις συνεγράψω. διὸ παριστάμενος τῇ Τριάδι, καὶ μόνῳ Θεῷ, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον.

[illegible]

Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἀποστόλου ᾨδὴ γ'. καὶ ς'. Ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου, τὸ Ἀνάγνωσμα.

Ἀδελφοὶ, ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι. Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ἡμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι. Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ ἀγαπητὸς ἀδελφὸς, καὶ πιστὸς διάκονος, καὶ σύνδουλος ἐν Κυρίῳ· ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ τοῦτο, ἵνα γνῷ τὰ περὶ ὑμῶν, καὶ παρακαλέσῃ τὰς καρδίας ὑμῶν, σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν γνωριοῦσι τὰ ὧδε. Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός μου, καὶ Μάρκος ὁ ἀνεψιὸς Βαρνάβα, περὶ οὗ ἐλάβετε ἐντολάς· ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε αὐτόν. Καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, οἱ ὄντες ἐκ περιτομῆς. οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρηγορία. Ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ Ἰατρὸς ὁ ἀγαπητὸς, καὶ Δημᾶς. Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ ἀδελφοὺς, καὶ Νυμφᾶν, καὶ τὴν κατ' οἶκον αὐτοῦ Ἐκκλησίαν. Καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολὴ, ποιήσατε ἵνα καὶ ἐν τῇ Λαοδικέων Ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας, ἵνα καὶ ὑμεῖς ἀναγνῶτε. Καὶ εἴπατε Ἀρχίππῳ· Βλέπε τὴν διακονίαν, ἣν παρέλαβες ἐν Κυρίῳ, ἵνα αὐτὴν πληροῖς. Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. μνημονεύετέ μου τῶν δεσμῶν. ἡ χάρις μεθ' ὑμῶν. Ἀμήν. Κεφ. δ'. 5.

Ἀλληλούϊα, ἦχος α'.

Ἐξομολογήσονται οἱ Οὐρανοί.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει· καὶ ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ· ὁ δὲ ἐμὲ ἀθετῶν, ἀθετεῖ τὸν ἀποστείλαντά με. Ὑπέστρεψαν δὲ οἱ ἑβδομήκοντα μετὰ χαρᾶς, λέγοντες· Κύριε, καὶ τὰ Δαιμόνια ὑποτάσσεται ἡμῖν ἐν τῷ ὀνόματί σου. Εἶπε δὲ αὐτοῖς· Ἐθεώρουν τὸν Σατανᾶν, ὡς ἀστραπὴν ἐκ τοῦ Οὐρανοῦ πεσόντα. Ἰδοὺ δίδωμι ὑμῖν τὴν ἐξουσίαν, τοῦ πατεῖν ἐπάνω ὄφεων, Κεφ. ί. 1

καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· καὶ οὐδὲν ὑμᾶς οὐ μὴ ἀδικήσει. Πλὴν ἐν τούτῳ μὴ χαίρετε, ὅτι τὰ πνεύματα ὑμῖν ὑποτάσσεται. Χαίρετε δέ, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς. Ἐν αὐτῇ τῇ ὥρᾳ ἠγαλλιάσατο τῷ Πνεύματι ὁ Ἰησοῦς, καὶ εἶπεν· Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ Οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναὶ ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου.

Μηνὶ τῷ αὐτῷ ιθʹ.

Τοῦ Ἁγίου Προφήτου Ἰωὴλ· καὶ τοῦ Ἁγίου Μάρτυρος Οὐάρου· τὴν Ἀκολουθίαν ζήτει εἰς Προφήτην, καὶ εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ κʹ.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἀρτεμίου. τὴν Ἀκολουθίαν ζήτει εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ καʹ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἱλαρίωνος τοῦ Μεγάλου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ κβʹ.

Τοῦ Ἁγίου, καὶ Ἰσαποστόλου Ἀβερκίου, Ἐπισκόπου Ἱεραπόλεως τοῦ Θαυματουργοῦ· καὶ τῶν Ἁγίων ἑπτὰ Παίδων τῶν ἐν Ἐφέσῳ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην, καὶ εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ κγʹ.

Τοῦ Ἁγίου Ἱερομάρτυρος, καὶ Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀπόστολον.

Μηνὶ τῷ αὐτῷ κδʹ.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἀρέθα, καὶ τῆς συνοδίας αὐτοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ κεʹ.

Τῶν Ἁγίων Μαρτύρων, καὶ Νοταρίων, Μαρκιανοῦ, καὶ Μαρτυρίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ κϛʹ.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλύτου. καὶ ἡ ἀνάμνησις τοῦ γεγονότος Σεισμοῦ. Ἑσπέρας μετὰ τὸν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν [illegible] καὶ ψάλλομεν τὰ παρόντα προσόμοια. Ἦχος πλ. δʹ.

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, ἐν Οὐρανῷ, καὶ ἐν γῇ, ἀγαλλίαμα σήμερον, ἐν τῇ μνήμῃ ηὔγασαι, Δημητρίου τοῦ Μάρτυρος, ἐκ τῶν Ἀγγέλων, ἐπαίνοις στέφεται, καὶ ἐξ ἀνθρώπων ᾄσματα δέχεται· ὢ οἷον ἤθλησε, πῶς καλῶς ἠγώνισται· δι' οὗ ἐχθρός, πέπτωκεν ὁ δόλιος, Χριστοῦ νικήσαντος.

Ὢ τοῦ παραδόξου θαύματος, ταῖς τῶν θαυμάτων βολαῖς, τοῦ Ἡλίου φανώτερον, ὡς ἀεὶ Δημήτριος, διαλάμπει τοῖς πέρασιν, ἐξ ἀνεσπέρου φωτὸς λαμπόμενος, καὶ τῷ ἀδύτῳ φωτὶ τερπόμενος. οὗ ταῖς ἐλλάμψεσι, νέφη ἀπηλάθησαν βαρβαρικά, νόσοι ἐδιώχθησαν, Δαίμονες ἥττηνται.

Ὢ τοῦ παραδόξου θαύματος, ὑπὲρ Χριστοῦ λογχευθείς, ὁ τρισμάκαρ Δημήτριος, πρὸς ἐχθροὺς ἑκάστοτε, ῥομφαία ὤφθη δίστομος, ἀποθερίζων ἐχθρῶν γαυρίαμα, καὶ καταράκτων Δαιμόνων φρύαγμα. ᾧ ἐκβοήσωμεν· Ἅγιε Δημήτριε σκέπε ἡμᾶς, σοῦ τὴν σεβάσμιον μνήμην γεραίροντας.

Πύργος εὐσεβείας πέφηνας, ἐρηρεισμένος στερρῶς, ἐπὶ πέτραν τῆς πίστεως, πειρασμοῖς ἀνάλωτος, καὶ κινδύνοις ἀκλόνητος. μετὰ σφοδροῦ γὰρ σάλου, καὶ κλύδωνος, σοὶ τῶν ἀθέων προσρήξαν κύματα, σὴν οὐ κατέβαλον, ἀκλινῆ στερρότητα· μαρτυρικῷ, στέφει γάρ, ἐπόθησας, ἐγκαλλωπίζεσθαι.

Πάθει τὸ πάθος μιμούμενος, τὸ ζωηφόρον Χριστοῦ, παρ' αὐτοῦ τὴν ἐνέργειαν, τῶν θαυμάτων εἴληφας, ἀθλοφόρε Δημήτριε. καὶ διασῴζεις, τοὺς σοὶ προστρέχοντας, πολλῶν κινδύνων αὐτοὺς ῥυόμενος· ἔχων ἀναφαίρετον, παρρησίαν ἔνδοξε, πρὸς τὸν Χριστόν· ᾧ καὶ νῦν παρίστασαι, δόξης πληρούμενος.

Αἵματι τῷ σῷ στιζόμενος, τῷ ζωοδότῃ Χριστῷ, τῷ τὸ αἷμα τὸ τίμιον, διὰ σὲ κενώσαντι, προσηνέχθης Δημήτριε· καὶ κοινωνόν σε δόξης εἰργάσατο, καὶ βασιλείας αὐτοῦ συμμέτοχον· ὡς ἀριστεύσαντα, κατὰ τοῦ ἀλάστορος, καὶ τὰ δεινά, τούτου μηχανήματα, τελείως σβέσαντα.

Δόξα, Ἦχος [illegible] Βυζαντίου.

Σήμερον συγκαλεῖται ἡμᾶς, τοῦ Ἀθλοφόρου ἡ παγκόσμιος πανήγυρις. δεῦτε οὖν φιλέορτοι φαιδρῶς ἑορτάσωμεν, τὴν μνήμην αὐτοῦ λέγοντες· χαίροις ὁ τὸν χιτῶνα τῆς ἀσεβείας διαρρήξας διὰ τῆς πίστεως, τὴν δὲ ἀνδρείαν τοῦ Πνεύματος σεαυτῷ περιθέμενος. χαίροις ὁ καταργήσας τὰς ἐπινοίας

τῶν παρανόμων, τῇ ἰσχύϊ τῇ δοθείσῃ σοι παρὰ τοῦ μόνου Θεοῦ. χαίροις ὁ λογχευθέντων τῶν μελῶν, τὸ μακάριον πάθος, πνευματικῶς ἡμῖν ἀναζωγραφήσας τοῦ Χριστοῦ. ὃν καθικέτευε, Ἀθλητῶν ἐγκαλλώπισμα Δημήτριε, λυτρωθῆναι ἡμᾶς ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε, Εἴσοδος.

Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. ξγ΄. 15. Ἐπίβλεψον ἐκ τοῦ Οὐρανοῦ Κύριε, καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου καὶ δόξης. Ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τῶν οἰκτιρμῶν σου; ὅτι ἀνέσχου ἡμῶν Κύριε; Σὺ γὰρ ἡμῶν εἶ Πατήρ, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς. ἀλλὰ σὺ Κύριε Πατὴρ ἡμῶν, ῥῦσαι ἡμᾶς. Ἀπ' ἀρχῆς τὸ ὄνομά σου ἐφ' ἡμᾶς ἐστι. Τί ἐπλάνησας ἡμᾶς Κύριε ἀπὸ τῆς ὁδοῦ σου, ἐσκλήρυνας τὰς καρδίας ἡμῶν, τοῦ μὴ φοβεῖσθαί σε; Ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου. Οἱ ὑπεναντίοι ἡμῶν κατεπάτησαν τὸ ἁγίασμά σου. Ἐγενόμεθα ὡς τὸ ἀπαρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐπεκλήθη τὸ
Κεφ. ξδ΄. 1. ὄνομά σου ἐφ' ἡμᾶς. Ἐὰν ἀνοίξῃς τὸν Οὐρανόν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται ὡσεὶ κηρὸς τήκεται ἀπὸ πυρός· καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους σου. Καὶ φανερὸν ἔσται τὸ ὄνομά σου τοῖς ὑπεναντίοις σου. Ἀπὸ προσώπου σου ἔθνη ταραχθήσονται. ὅταν ποιῇς τὰ ἔνδοξα, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη. Ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεὸν πλὴν σοῦ. Καὶ τὰ ἔργα σου ἀληθινά· καὶ ποιήσεις τοῖς ὑπομένουσί σε
Ἐδ. 8. ἔλεος. Συναντήσεται γὰρ ἔλεος τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται. Καὶ νῦν Κύριε, Πατὴρ ἡμῶν σὺ εἶ. Ἡμεῖς δὲ πηλός, καὶ σὺ ὁ Πλάστης ἡμῶν. Ἔργα χειρῶν σου πάντες ἡμεῖς. Μὴ ὀργίζου ἡμῖν Κύριε ἕως σφόδρα, καὶ μὴ ἐν καιρῷ μνησθῇς ἁμαρτιῶν ἡμῶν. Καὶ νῦν ἐπίβλεψον Κύριε, ὅτι λαός σου πάντες ἡμεῖς.

Ἱερεμίου Προφήτου τὸ Ἀνάγνωσμα.

Κεφ. β΄. 1. Τάδε λέγει Κύριος. Ἐμνήσθην ἐλέους νεότητός σου, καὶ ἀγάπης τελειώσεώς σου, τοῦ ἐξακολουθῆσαί σε τῷ Ἁγίῳ Ἰσραήλ, λέγει Κύριος ὁ Ἅγιος τοῦ Ἰσραήλ. Τῷ Κυρίῳ ἀρχὴ γεννημάτων αὐτοῦ. Πάντες οἱ ἐσθίοντες αὐτὸν πλημμελήσουσι. κακὰ ἥξει ἐπ' αὐτούς, λέγει Κύριος. Ἀκούσατε λόγον Κυρίου οἶκος Ἰακώβ, καὶ πᾶσα πατριὰ οἴκου Ἰσραήλ. Τάδε λέγει Κύριος· τί εὕροσαν οἱ Πατέρες ὑμῶν ἐν ἐμοὶ πλημμέλημα, ὅτι ἀπέστησαν μακρὰν ἀπ' ἐμοῦ· καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων, καὶ ἐματαιώθησαν; καὶ οὐκ εἶπον, ποῦ ἐστι Κύριος, ὁ ἀναγαγὼν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ὁ καθοδηγήσας ἡμᾶς ἐν τῇ ἐρήμῳ, ἐν γῇ ἀπείρῳ καὶ ἀβάτῳ, ἐν γῇ ἀνύδρῳ καὶ ἀκάρπῳ, καὶ σκιᾷ θανάτου· ἐν γῇ, ἐν ᾗ οὐ διώδευσεν ἐν αὐτῇ ἀνήρ, οὐδὲ κατῴκησεν Υἱὸς ἀνθρώπου ἐκεῖ; Καὶ εἰσήγαγον ὑμᾶς εἰς τὸν Κάρμηλον, τοῦ φαγεῖν τοὺς καρποὺς αὐτοῦ, καὶ τὰ ἀγαθὰ αὐτοῦ. καὶ εἰσήλθετε, καὶ ἐμιάνατε τὴν γῆν μου, καὶ τὴν κληρονομίαν μου ἔθεσθε εἰς βδέλυγμα. Οἱ Ἱερεῖς οὐκ εἶπον, ποῦ ἐστι Κύριος; καὶ οἱ ἀντεχόμενοι τοῦ νόμου, οὐκ ἠπίσταντό με. καὶ οἱ Ποιμένες ἠσέβουν εἰς ἐμέ. καὶ οἱ Προφῆται προεφήτευον τῇ Βάαλ, καὶ ὀπίσω ἀνωφελοῦς ἐπορεύθησαν. Διὰ τοῦτο ἔτι κριθήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος· καὶ πρὸς τοὺς Υἱοὺς τῶν Υἱῶν ὑμῶν κριθήσονται. Διέλθετε εἰς νήσους Χεττιείμ, καὶ ἴδετε· καὶ εἰς Κηδάρ, καὶ ἀποστείλατε. Καὶ νοήσατε σφόδρα, καὶ ἴδετε, εἰ γέγονε τοιαῦτα· εἰ ἀλλάξονται ἔθνη Θεοὺς αὐτῶν, καὶ αὐτοὶ οὐκ εἰσὶ Θεοί. Ὁ δὲ Λαός μου ἠλλάξατο τὴν δόξαν αὐτοῦ, ἐξ ἧς οὐκ ὠφεληθήσονται. Ἐξέστη ὁ Οὐρανὸς ἐπὶ τούτῳ, καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει Κύριος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν Κεφ. γ΄. 1.
ὀφθαλμοῖς ἀφρόνων τεθνάναι· καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. Οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης· καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτὴν, τὰ παρόντα Ἰδιόμελα.
Ἦχος α'. Γεωργίου Σικελιώτου.

Εὐφραίνου ἐν Κυρίῳ Πόλις Θεσσαλονίκη. ἀγάλλου καὶ χόρευε, πίστει λαμπροφοροῦσα· Δημήτριον τὸν πανένδοξον ἀθλητὴν, καὶ Μάρτυρα τῆς ἀληθείας, ἐν κόλποις κατέχουσα ὡς θησαυρόν, ἀπόλαβε τῶν θαυμάτων τὰς ἰάσεις καθορῶσα. καὶ βλέπε καταρράσσοντα τῶν Βαρβάρων τὰ θράση. καὶ εὐχαρίστως τῷ Σωτῆρι ἀνάκραξον. Κύριε δόξα σοι.

Ὁ αὐτός. Ἀνατολίου.

Τῇ τῶν ᾀσμάτων τερπνότητι, τὴν παροῦσαν φαιδρύνωμεν ἡμέραν, καὶ ἠχήσωμεν τὰ τοῦ Μάρτυρος ἀγωνίσματα· πρόκειται γὰρ ἡμῖν εἰς εὐφημίαν ὁ μέγας Δημήτριος. καὶ γὰρ τὰς τῶν Τυράννων ἐπιφορὰς ἀνδρείως ἐλῶν, πρὸς τὸ στάδιον προθύμως ἥλατο· καὶ τὰ νικητήρια ἐνδόξως ἀπενεγκάμενος, τὸν Σωτῆρα δυσωπεῖ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Ἦχος β'. Γερμανοῦ.

Εἰς τὰ ὑπερκόσμια σκηνώματα, τὸ πνεῦμά σε Δημήτριε Μάρτυς σοφὲ, Χριστὸς ὁ Θεὸς προσήκατο ἀμώμητον. σὺ γὰρ τῆς Πατρίδος γέγονας ὑπέρμαχος, καὶ ἐν σταδίῳ ἀνδρείως ἐναθλήσας, ὡς ἀδάμας στερρός. λογχευθεὶς δὲ τὴν πλευρὰν, τὴν ἀκήρατόν σου πανσεβάσμιε, μιμούμενος τὸν ἐπὶ ξύλου παγυθέντα, εἰς σωτηρίαν παντὸς τοῦ Κόσμου, τῶν θαυμάτων εἴληφας τὴν ἐνέργειαν· ἀνθρώποις παρέχων τὰς ἰάσεις ἀφθόνως. διό σου σήμερον τὴν κοίμησιν ἑορτάζοντες, ἐπαξίως δοξάζομεν, τὸν σὲ δοξάσαντα Κύριον.

Καὶ νῦν, Θεοτοκίον. ὁ αὐτός.

Τοῦ μεγίστου μυστηρίου· βλέπων τὰ θαύματα, ἀνακηρύττω τὴν Θεότητα, οὐκ ἀρνοῦμαι τὴν ἀνθρωπότητα. ὁ γὰρ Ἐμμανουὴλ, φύσεως μὲν πύλας ἤνοιξεν ὡς ἄνθρωπος, παρθενίας δὲ κλεῖθρα οὐ διέρρηξεν ὡς Θεός. ἀλλ' οὕτως ἐκ μήτρας προῆλθεν, ὡς δι' ἀκοῆς εἰσῆλθεν. οὕτως ἐσαρκώθη, ὡς συνελήφθη. ἀπαθῶς εἰσῆλθεν, ἀφράστως ἐξῆλθε, κατὰ τὸν Προφήτην τὸν λέγοντα· αὕτη ἡ πύλη κεκλεισμένη ἔσται. οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς, εἰ μὴ Κύριος ὁ Θεὸς Ἰσραὴλ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν στ. στ. Ἰδιόμελα τοῦ Σεισμοῦ, ἦχος α'. Συμεὼν τοῦ Θαυμαστορείτου.

Τῆς γῆς συνταρασσομένης τῷ τῆς ὀργῆς σου φόβῳ, βουνοὶ καὶ τὰ ὄρη συσσείονται Κύριε· ἀλλ' εὐσπλαγχνίας ὄμματι, ἐφ' ἡμᾶς ἐπιβλέψας, μὴ τῷ θυμῷ σου ὀργισθῇς ἡμῖν. ἀλλὰ σπλαγχνισθεὶς ἐπὶ τὸ πλάσμα τῶν χειρῶν σου· τῆς φοβερᾶς ἡμᾶς τοῦ σεισμοῦ ἀπειλῆς ἐλευθέρωσον, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἦχος β'.

Ὁ συσσείσας τὴν γῆν, καὶ συνταράξας αὐτήν.

Φοβερὸς εἶ Κύριε, καὶ τίς ὑποστήσεται τῆς δικαίας σου ὀργῆς; ἢ τίς σε δυσωπήσει; ἢ τίς παρακαλέσει ἀγαθὲ, ὑπὲρ λαοῦ ἡμαρτηκότος καὶ ἀπεγνωσμένου; τὰ οὐράνια τάγματα, Ἄγγελοι, Ἀρχαὶ, καὶ Ἐξουσίαι, Θρόνοι, Κυριότητες, τὰ Χερουβὶμ καὶ τὰ Σεραφὶμ, ὑπὲρ ἡμῶν σοὶ βοῶσιν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Κύριε· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς ἀγαθέ· διὰ σπλάγχνα ἐλέους, σῶζε Πόλιν κινδυνεύουσαν.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν.

Νινευῗται τοῖς παραπτώμασι, τὴν διὰ σεισμοῦ ἀπειλῆς κατασκαφὴν ἤκουον. ἐν δὲ τῷ μεσιτεύοντι σημείῳ τοῦ κήτους, τὴν διὰ τοῦ Ἰωνᾶ ἀνάστασιν, ἡ μετάνοια παρακαλεῖ. ἀλλ' ὡς ἐκείνους βοῇ λαοῦ σου, μετὰ νηπίων καὶ κτηνῶν, οἰκτείρας προσεδέξω. καὶ ἡμᾶς παιδευομένους, διὰ τῆς τριημέρου ἀναστάσεως, φεῖσαι καὶ ἐλέησον.

Δόξα, τοῦ Ἁγίου, ἦχος πλ. δ'.

Ἔχει μὲν ἡ θεοπτική σου ψυχὴ καὶ ἄμωμος, ἀοίδιμε Δημήτριε, τὴν οὐράνιον Ἱερουσαλὴμ κατοικητήριον· ἧς τὰ τείχη, ἐν ταῖς ἀχράντοις χερσὶ τοῦ ἀοράτου Θεοῦ ἐζωγράφηνται. ἔχει δὲ καὶ τὸ πανέντιμον καὶ ἀθλητικώτατόν σου σῶμα, τὸν περικαλλῆ τοῦτον ναὸν ἐπὶ γῆς, ταμεῖον ἄσυλον θαυμάτων, νοσημάτων ἀλεξιτήριον. ἔνθα προστρέχον-

τες, τὰς ἰάσεις ἀῤῥυόμεθα. φρούρησον πανεύφημε, τὴν σὲ μεγαλύνουσαν Πόλιν, ἀπὸ τῶν ἐναντίων προσβολῶν. παῤῥησίαν ὡς ἔχων πρὸς Χριστὸν, τὸν σὲ δοξάσαντα.

Καὶ νῦν. Θεοτοκίον. ὁ αὐτός.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί. Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις, δέχου πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων. νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Τροπάριον, ἦχος γ'.

Μέγαν εὕρατο ἐν τοῖς κινδύνοις, σὲ ὑπέρμαχον ἡ Οἰκουμένη, Ἀθλοφόρε τὰ ἔθνη τροπούμενον· ὡς οὖν Λυαίου καθεῖλες τὴν ἔπαρσιν, καὶ ἐν σταδίῳ θαῤῥύνας τὸν Νέστορα, οὕτως Ἅγιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον, τοῦ Σεισμοῦ, ἦχος πλ. δ'.

Ὁ Ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ῥῦσαι ἡμᾶς τῆς φοβερᾶς τοῦ σεισμοῦ ἀπειλῆς, Χριστὲ ὁ Θεὸς ἡμῶν· καὶ κατάπεμψον ἡμῖν, πλούσια τὰ ἐλέη σου, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Τὰ αὐτὰ, καὶ εἰς τὸ, Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. Στιχολ. Κάθισμα ἦχος δ'.

Ταχὺ προκατάλαβε.

Ἡ Μνήμη σου εὔδοξε, Μάρτυς Δημήτριε, ἐφαίδρυνε σήμερον τὴν Ἐκκλησίαν Χριστοῦ· καὶ πάντας συνήγαγεν, ᾄσμασιν ἐπαξίως, εὐφημεῖν σε θεόφρον, ὡς ὄντως στρατιώτην, καὶ ἐχθρῶν καθαιρέτην. διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, ῥῦσαι ἡμᾶς πειρασμῶν.

Ὅμοιον.

Ἀθλήσεως καύχημα, Μάρτυς Δημήτριε, Χριστὸν ἐνδυσάμενος, κατεπολέμησας, ἐχθρὸν τὸν ἀνίσχυρον. πλάνην γὰρ τῶν εἰδώλων, ἐν αὐτῷ καταργήσας, γέγονας τοῖς ἐν πίστει, εὐσεβείας ἀλείπτης. διό σου καὶ τὴν μνήμην σεπτῶς πανηγυρίζομεν.

Θεοτοκίον. Ὅμοιον.

Ἐλπὶς ἀκαταίσχυντε, τῶν πεποιθότων εἰς σὲ, ἡ μόνη κυήσασα ὑπερφυῶς ἐν σαρκὶ, Χριστὸν τὸν Θεὸν ἡμῶν. τοῦτον σὺν τοῖς ἁγίοις Ἀποστόλοις δυσώπει, δοῦναι τῇ Οἰκουμένῃ, ἱλασμὸν καὶ εἰρήνην, καὶ πᾶσιν ἡμῖν πρὸ τέλους, βίου διόρθωσιν.

Τὸν συνάναρχον Λόγον.

Ἀδιασείστῳ τῇ πίστει ὁ ἀθλοφόρος Χριστοῦ, τῶν τυράννων τὰ θράση καταβαλὼν ἀνδρικῶς, ἀθλητικῶς τὸν πονηρὸν κατεπάλαισε. καὶ τῶν βασάνων ἀμοιβὴν, τὴν τῶν θαυμάτων παροχὴν, ἐδέξατο ἐκ τοῦ μόνου, Θεοῦ τοῦ ἀγωνοθέτου, ᾧ καὶ πρεσβεύει ἐλεηθῆναι ἡμᾶς.

Δίς. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος, καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμὴν, καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ, τὸν ποιητήν σου, καὶ Θεόν. πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

Ἕτερα Καθ. μετὰ τὸν Πολυέλεον, ἦχος γ'.

Τὴν ὡραιότητα.

Τὸν συμπαθέστατον, Κυρίου Μάρτυρα, ἐνδυσωπῶμέν σε, πιστῶς Δημήτριε, ῥῦσαι ἡμᾶς παντοδαπῶν, κινδύνων ἐπερχομένων. ἴασαι ψυχῶν ἡμῶν, καὶ σωμάτων τὰ τραύματα. θραῦσον τὰ φρυάγματα, τῶν ἐχθρῶν ἡμῶν Ἅγιε. εἰρήνευσον ἡμῶν τὴν ζωὴν, ὅπως ἀεί σε δοξάζωμεν. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Θεομακάριστε, Μήτηρ ἀνύμφευτε, τὴν ἀσθενήσασάν μου ψυχὴν θεράπευσον· ὅτι συνέχομαι πολλοῖς, ἐν πταίσμασι Θεοτόκε. ὅθεν καὶ κραυγάζω σοι, στεναγμῷ τῆς καρδίας μου· δέξαι με πανάχραντε, τὸν πολλὰ ἁμαρτήσαντα. ἵνα ἐν παῤῥησίᾳ κραυγάζω σοι· χαῖρε ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοὶ, τὸ α'. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ'.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. Κεφ. κα'. 12.
προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακὰς, ἀγομένους ἐπὶ Βασιλεῖς, καὶ Ἡγεμόνας, ἕνεκεν τοῦ ὀνόματός μου. Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν, μὴ προμελετᾷν ἀπολογηθῆναι. Ἐγὼ γὰρ δώσω ὑμῖν στόμα, καὶ σοφίαν ἣ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθή-

σεσθε δὲ καὶ ὑπὸ γονέων, καὶ ἀδελφῶν, καὶ συγγενῶν, καὶ φίλων· καὶ θανατώσουσιν ἐξ ὑμῶν. καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόληται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ἡμῶν.

Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα τό. Ἐλέησόν με ὁ Θεός.

Καὶ ψάλλομεν τὸ Ἰδιόμ. τοῦ ἁγίου, ἦχ. πλ. β'.

Ζήτει εἰς τὸν Ἑσπερινόν, τὸ

Σήμερον συγκαλεῖται ἡμᾶς.

Οἱ Κανόνες τοῦ Σεισμοῦ μετὰ τῶν εἱρμῶν εἰς ϛ'. καὶ τοῦ Ἁγίου οἱ δύο ἀνὰ τέσσαρας.

Ὁ Κανὼν τοῦ Σεισμοῦ, οὗ ἡ ἀκροστιχίς.

Ὦ Χριστὲ τῆς γῆς τὸν κλόνον παῦσον τάχος. Ἰωσήφ.

Ὠδὴ α'. ἦχος πλ. β'. Ὁ Εἱρμός.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ, ἐν ἀβύσσῳ ἴχνεσι, τὸν διώκτην Φαραὼ, καθορῶν ποντούμενον Θεῷ, ἐπινίκιον ᾠδὴν ἐβόα ᾄσωμεν.

Ὡς φοβερὰ ἡ ὀργή σου ἐξ ἧς ἡμᾶς, ἐλυτρώσω Κύριε, μὴ συγχώσας ἐν τῇ γῇ, ἅπαν τὸ ἀνάστημα ἡμῶν. εὐχαριστῶς σε διὸ ἀεὶ δοξάζομεν.

Χαίρων ἀεὶ καθ' ἑκάστην τῇ παντελεῖ, διορθώσει Δέσποτα, ὥσπερ φύλλον ἀτελὲς, διασείεις ἅπασαν τὴν γῆν, εἰς τὸν φόβον σου πιστοὺς στηρίζων Κύριε.

Ῥῦσαι Σεισμοῦ βαρυτάτου πάντας ἡμᾶς, καὶ μὴ δῷς Κύριε, ἀπολέσθαι παντελῶς, τὴν κληρονομίαν σου πολλοῖς, παροργίζουσαν κακοῖς, σὲ τὸν μακρόθυμον. Θεοτοκίον.

Ἱκετικῶς σοι βοῶμεν Μῆτερ Θεοῦ, τὰ συνήθη σπλάγχνα σου, ἐπὶ Πόλιν καὶ λαὸν, συμπαθῶς δεικνύουσα Σεισμοῦ, βαρυτάτου, καὶ φθορᾶς ἡμᾶς ἀπάλλαξον.

Ὁ Κανὼν τοῦ Ἁγίου. οὗ ἡ ἀκροστιχίς.

Τῷ καλλινίκῳ προσλαλῶ Δημητρίῳ.

Θεοφάνους. Ὠδὴ α'. ἦχος δ'.

Θαλάσσης τὸ ἐρυθραῖον.

Τὸν θεῖον τοῦ μαρτυρίου στέφανον, ἀναδησάμενος, περὶ Θεὸν χορεύεις ἀστραπαῖς, ταῖς ἐκεῖθεν λαμπόμενος· καὶ φωτισμοῦ πληρούμενος, Μάρτυς ἀοίδιμε Δημήτριε.

Ὡς ὄντα τῆς ἀληθείας Μάρτυρα, καὶ μέχρις αἵματος, ἠγωνισμένον μάκαρ καρτερῶς, στεῤῥάν τε τὴν ἔνστασιν, πρὸς τοὺς ἀγῶνας δείξαντα, σὲ ὁ Δεσπότης προσεδέξατο.

Κακίας τὴν ἐπιφάνειαν κατέῤῥαξας, πρὸς γῆν Δημήτριε, μαρτυρικῇ σου λόγχῃ καθελὼν, θεϊκῆς ἀγαθότητος, ταῖς ὑπὲρ νοῦν δυνάμεσιν, εἰς τοῦτο μάκαρ δυναμούμενος. Θεοτοκίον.

Ἀμήτωρ καθ' ὃ Θεὸς τὸ πρότερον, ὑπάρχων γέγονε, τὸ καθ' ἡμᾶς Ἀπάτωρ ὁ ἐκ σοῦ, Θεοτόκε πανύμνητε, σάρκα λαβὼν καθ' ἕνωσιν, τὴν ὑπὲρ λόγον, καὶ διάνοιαν.

Ἕτερος Κανὼν τοῦ Ἁγίου, Ποίημα τοῦ Ἁγιωτάτου, καὶ οἰκουμενικοῦ Πατριάρχου Κυρίου Φιλοθέου, ὑπόθεσιν ἔχων ἐγκωμίων ὁμοῦ, καὶ δεήσεως εἰς τὸ ἱερὸν αὐτοῦ μύρον. οὗ ἡ ἀκροστιχίς.

Μύρῳ νοητῷ προσπλακεὶς, μύρον γίνῃ.

Ἐν δὲ τοῖς Θεοτοκίοις.

Φιλοθέου. Ὠδὴ α'. ἦχος, ὁ αὐτός.

Ἀνοίξω τὸ στόμα μου.

Μ Ἐρίς μου Δημήτριε, καὶ δόξα θεία γεγένησαι· τῆς μάνδρας γὰρ πρόβατον κἀγὼ τῆς φίλης σου· διὸ δέξαι μου τὸν ὕμνον στεφηφόρε, κροτοῦντα τοῦ μύρου σου, τὴν χάριν σήμερον.

Ὑπῆλθες Δημήτριε, λαμπρῶς Μαρτύρων τὸ στάδιον, ἐλαίῳ ἀλείψας σου τῶν ἀρετῶν τὴν ψυχήν. καινῷ τρόπῳ δὲ, πεσὼν νικᾷς γενναῖε· καὶ μύρου τὸ σῶμά σου, κρήνην ἀνέδειξας.

Ῥευμάτων βορβόρου με, καὶ δυσωδίας Δημήτριε, ἀπόσμηξον δέομαι, τῶν ἀκαθάρτων παθῶν· καὶ τῷ μύρῳ σου, λαμπρῶς εὐωδιάσας, Χριστοῦ μύρου ποίησον, ἄξιον σκήνωμα.

Ὡς μύρον μὲν ἔφησε, Δαβὶδ ὁ θεῖος ἐν Πνεύματι, τὴν ἕνωσιν ἔδοξε, τῶν ἀδελφῶν τὴν τερπνήν· τὰ δὲ μῦρά σου, σοφὲ τὴν νέαν κτίσιν, συνάγεις πρὸς ἕνωσιν, μύρου τοῦ κρείττονος. Θεοτοκίον.

Ἀνασσαν πανάμωμε, μύρου τοῦ θείου ἀλάβαστρον, καὶ σκεῦος ἐξαίρετον τῆς εὐωδίας Χριστοῦ, ἱκετεύω σε, παθῶν τῆς δυσωδίας, βορβόρου τε λύτρωσαι τῆς ἁμαρτίας με.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν σου ἀγαθέ. καὶ στερεώσας ἡμᾶς ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου.

Ἡ Γῆ μαστίζεται ἡμῶν, κακῶς διακειμένων, καὶ ἀεὶ τὴν ὀργήν σου, συγκινούντων

καθ᾽ ἡμῶν, οἰκτίρμον Παμβασιλεῦ. ἀλλὰ φεῖσαι, Δέσποτα τῶν δούλων σου.

ΣΥσσείσας Κύριε τὴν γῆν, ἐστερέωσας πάλιν, καθεστῶν ἐπιστρέφων, τὴν ἀσθένειαν ἡμῶν, στηρίξεσθαι ἐν τῷ σῷ, θείῳ φόβῳ, θέλων ὑπεράγαθε.

Εννώσας θάνατον πικρὸν, καὶ σεισμοὺς βαρυτάτους, καὶ πληγὰς ἀνηκέστους, ἁμαρτίας ἀδελφοὶ, ἐκφύγωμεν, καὶ Θεὸν, μετανοίας τρόποις ἐκμειλίξωμεν. Θεοτ.

Ἡ Μόνη οὖσα ἀγαθὴ, τὸν πανάγαθον Λόγον, ἐκτενῶς ἐκδυσώπει, τῆς ἀνάγκης τοῦ σεισμοῦ, ῥυσθῆναι πάσης ὀργῆς, Θεοτόκε, ἀκαταπαύστως δεόμεθα.

Ἄλλος. Εὐφραίνεται.

Ελόγισαι παρ᾽ οὐδὲν, τὸ τῶν τυράννων παρὰ σοὶ πρόσταγμα· τὸν τοῦ Θεοῦ Λόγον γὰρ, πάντων Ἀθλοφόρε προέκρινας.

Υχνία φωτοειδὴς, τοῦ μαρτυρίου ἐν σκηνῇ γέγονας, θείῳ φωτὶ λάμπουσα, Μάρτυς ἀθλοφόρε Δημήτριε.

ἸΑσεών σε πηγὴν, ἡ ἱερὰ καὶ θαυμαστὴ Πόλις σου, καὶ Θησαυρὸν ἄσυλον, πάσης εὐφροσύνης πεπλούτηκεν. Θεοτ.

ἸΩμενος τὴν μορφὴν τὴν σαθρωθεῖσαν τῶν βροτῶν Πάναγνε, ταύτην ἐκ σοῦ ἐνδύεται, μόνος ὅπερ ἦν ὁ φιλάνθρωπος.

Ἄλλος. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

ΝΑμάτων ἐπέβης ζωηρρύτων, βαπτίσματι θείῳ καθαρθείς· αἵματι δὲ λουσάμενος, μαρτυρικῷ Δημήτριε, κρᾶσιν καινὴν τετέλεκας, πηγὴ τῶν μύρων γενόμενος.

Ὁ Μέγας φρουρὸς Θεσσαλονίκης, ὡς μέγας Κυρίου ποταμὸς, τέρπεις λαμπρῶς τὴν Πόλιν σου, τοῦ μύρου τοῖς ὁρμήμασιν, ὡς θεῖα δὲ σκηνώματα, καθαγιάζεις τὰ σύμπαντα.

Ἡ Πόλις σου Μάρτυς, ὥσπερ κρήνη, ναμάτων ὁρᾶται ζωτικῶν, ὡς ῥεύματα τὰ μῦρά σου, ποταμηδὸν προχέουσα, θαλάσσας τῶν αἱρέσεων, καὶ τῶν παθῶν κατακλύζοντα.

ΤὸΟ μῦρον Χριστὸς ἐν τῇ ψυχῇ σου, Δημήτριε ῥεῦσαν νοητῶς, ὡς χείλεσι τοῖς μέλεσι, μύρου πηγὴν ἐξέχεε, τῆς χάριτος τοῦ Πνεύματος, σεπτὸν δεικνύων σε σκήνωμα. Θεοτ.

ἸΔοὺ ἡ Παρθένος ἀνακράζει, τῷ πάντων Δεσπότῃ, καὶ Υἱῷ· καλὸς εἶ ὁ Νυμφίος μου· ἰδοὺ καλὸς ὡραῖός τε, εἰς τὴν ὀσμὴν τοῦ μύρου σου, σπουδῇ δραμοῦμαι ὀπίσω σου.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθισμα, τοῦ Ἁγίου, ἦχος πλ. δ΄.

Τὴν Σοφίαν, καὶ Λόγον.

ΕΥσεβείας τοῖς τρόποις καταπλουτῶν, ἀσεβείας τὴν πλάνην καταβαλὼν, Μάρτυς κατεπάτησας, τῶν τυράννων τὰ θράση. καὶ τῷ θείῳ πόθῳ, τὸν νοῦν πυρπολούμενος, τῶν εἰδώλων τὴν πλάνην, εἰς χάος ἐβύθισας. ὅθεν ἐπαξίως, ἀμοιβὴν τῶν ἀγώνων, ἐδέξω τὰ θαύματα, καὶ πηγάζεις ἰάματα, ἀθλοφόρε Δημήτριε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ἕτερον. Ὅμοιον.

ΒΑσιλεῖ τῶν αἰώνων εὐαρεστῶν, Βασιλέως ἀνόμου πᾶσιν βουλὴν, ἐξέκλινας ἔνδοξε, καὶ γλυπτοῖς οὐκ ἐπέθυσας. διὰ τοῦτο θῦμα, σεαυτὸν προσενήνοχας, τῷ τυθέντι Λόγῳ, ἀθλήσας στεῤῥότατα. ὅθεν καὶ τῇ λόγχῃ, τὴν πλευρὰν ἐξωρύχθης, τὰ πάθη ἰώμενος, τῶν πιστῶς προσιόντων σοι, ἀθλοφόρε Δημήτριε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ἕτερον, ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΗς ἐπελθούσης σου ὀργῆς ἀφορήτου, ὅτι ἠλέησας ἡμᾶς, καὶ ἐῤῥύσω, φιλανθρωπίας πέλαγος δεικνύων Χριστὲ, νῦν εὐχαριστοῦμέν σοι, παιδευθέντες ἐκκλίναι, ἀπὸ τῶν κακῶν ἡμῶν, τῶν ἡμᾶς θανατούντων. ἀλλ᾽ ἐπιβλέψας οἰκτειρον ἡμᾶς, ταῖς ἱκεσίαις Σωτὴρ τῆς τεκούσης σε.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

ΧΡιστός μου δύναμις, Θεὸς καὶ Κύριος, ἡ σεπτὴ Ἐκκλησία θεοπρεπῶς, μέλπει ἀνακράζουσα, ἐκ διανοίας καθαρᾶς, ἐν Κυρίῳ ἑορτάζουσα.

ΣΑλεύεις Κύριε, τὴν γῆν βουλόμενος, ἑδραιωμῷ ἀληθείας πάντας ἡμᾶς, Δέσποτα στηρίξασθαι, σαλευομένους προσβολαῖς τοῦ δολίου πολεμήτορος.

ΤΗ θείᾳ νεύσει σου, κλονεῖς τὰ σύμπαντα, καὶ δονεῖς τὰς καρδίας τῶν ἐπὶ γῆς, κατοικούντων Δέσποτα· τῆς οὖν δικαίας σου ὀργῆς, ἄνες Κύριε τὰ κύματα.

ΟΥ᾽ δ᾽ ὅλως ἔχοντες, εἰς νοῦν τὸν φόβον σου, ἐκφοβεῖς τὰς καρδίας τῶν ἐπὶ γῆς, μόνε

ἄσυμ-

ἀσυμπάθητε· ἀλλὰ συνήθως ἐφ' ἡμᾶς, τὰ ἐλέη σου θαυμάστωσον. Θεοτοκίον.

Ἠκούσας σε Δέσποινα, Θεοῦ γινώσκοντες, ἐν ἁγίῳ ναῷ σου χεῖρας οἰκτρὰς, αἴρομεν εἰς δέησιν· ἴδε τὴν κάκωσιν ἡμῶν, καὶ ταράχου τὴν βοήθειαν.

Ἄλλος. Ἐπαρθένευσε ἰδοῦσα.

Ἠνικηκότα τὸ ψεῦδος τῆς ἀσεβείας, ὁ τοῦ Θεοῦ πανύψιστος, θεώμενος Λόγος, δόξῃ ἐστεφάνωσε, Δημήτριον ψάλλοντα· δόξα τῇ δυνάμει σου Κύριε.

Ἰθυνόμενος παλάμῃ τῇ ζωηφόρῳ, πρὸς τοὺς λιμένας ἔφθασας τοὺς γαληνοτάτους. ἔνθα νῦν γηθόμενος, κραυγάζεις Δημήτριε· δόξα τῇ δυνάμει σου Κύριε.

Κατὰ τῆς πλάνης τὸ τρόπαιον ἀναστήσας, νικητικὸν διάδημα τῆς δικαιοσύνης, εἴληφας Δημήτριε, κραυγάζων τῷ Κτίστῃ σου· δόξα τῇ δυνάμει σου Κύριε. Θεοτοκίον.

Ὡς τῶν κτισμάτων ἁπάντων ἱερωτέρα, Μήτηρ Θεοῦ γενέσθαι μόνη κατηξιώθης. τοῦτον γὰρ γεννήσασα, τὸν Κόσμον ἐφώτισας, τῆς θεογνωσίας τῇ χάριτι.

Ἄλλος. Τὴν ἀνεξιχνίασον.

Ὥριμον ὡς βότρυν σε Μάκαρ Χριστὸς, θείας ἐξ ἀμπέλου δρεψάμενος, ἐν πατοθλίβῃ, μαρτυρίου τοῖς λιθοῖς· τὸ καταρρεῦσαν γλεῦκος δὲ, μύρου θείαν βλῦσιν εἰργάσατο.

Ἡ οὐ μέσας Νυμφίε μου, τοῦ τὴν σκηνὴν σου ἐν μεσημβρίᾳ κατέπηξας; ὁ στεφανίτης, ἀνεβόα τῷ Χριστῷ· εἰς τὴν ὀσμὴν τῶν μύρων σου, μῦρον ἐκδραμοῦμαι ληψόμενος.

Ῥεύματα Δημήτριε πλάνης δεινῶς, κλύσας τῶν αἱμάτων σου ῥεύμασιν· ἁμαρτιῶν μου, καὶ παθῶν τοὺς ποταμοὺς, εἰς τέλος ἀποξήρανον, μύρων σου τοῖς ῥεύμασι δέομαι.

Θεοτοκίον.

Εἰπέ μοι Νυμφίε μου, λέγε τρανῶς, τοῦ ποτε ποιμαίνεις τὰ πρόβατα; ἡ Νύμφη κράζει, τῷ Νυμφίῳ, καὶ Υἱῷ. ἡ ὀσμὴ γὰρ τῶν μύρων σου, πάντας τοὺς φιλοῦντάς σε εἵλκυσε.

Καταβασία. Τὴν ἀνεξιχνίασον.

Ὠδὴ έ. Ὁ Εἱρμός.

" Φωτὶ θείῳ φέγγασου ἀγαθὲ, τὰς τῶν ὀρ-
" θριζόντων σοι ψυχὰς, πόθῳ καταύγασον
" δέομαι. σὲ εἰδέναι Λόγε Θεοῦ τὸν ὄντως Θεὸν,
" ἐκ ζόφου τῶν πταισμάτων ἀνακαλούμενον.

Τροπάριον.

Καὶ σὺ καρδίᾳ σάθητι νῦν, βλέπουσα Θεοῦ τὴν ἀπειλὴν, ἐπικαμφθεῖσα καὶ βόησον· φεῖσαι τοῦ λαοῦ σου Δέσποτα Κύριε, καὶ παῦσον τὴν δικαίαν ὀργήν σου εὔσπλαγχνε.

Λαὸν καὶ Πόλιν ὥσπερ τῷ σῷ, αἵματι ἐκτήσω Ἰησοῦ, μὴ παραδῷς εἰς ἀπώλειαν, ἐν τῷ σωτηριώδει τὴν γῆν, σεισμῷ φοβερῷ, χορὸς τῶν Ἀποστόλων καθικετεύει σε.

Ὁδοὺς σου Δέσποτα τὰς ὀρθὰς, γνώμῃ ὑπεκκλίναντες στρεβλῇ, εἰς ἀγανάκτησιν τρέπομεν, σὲ τὸν συμπαθῆ τε, καὶ ἀμνησίκακον· ἀλλ' ἵλεως οἰκτίρμων γενοῦ τοῖς δούλοις σου. Θεοτοκίον.

Ἡ τῆς βοηθείας ἦλθε καιρὸς, νῦν καταλλαγῆς χορηγὲ Ἁγνὴ, πρὸς τὸν Υἱόν σου, καὶ Κύριον· ὅπως οἰκτειρήσῃ προσκεκρουκότας ἡμᾶς, καὶ τῆς ἐπικειμένης ὀργῆς λυτρώσηται.

Ἄλλος. Σὺ Κύριέ μου φῶς.

Τῷ πόθῳ Θεϊκῷ, ἐν καρδίᾳ δεξάμενος, τὸ πῦρ ἔσβεσας τῆς ἀθέου, τῶν εἰδώλων μανίας, ἀοίδιμε Δημήτριε.

Ῥυόμενος ἡμᾶς, ἐκ κινδύνων ἐπίφανον, Δημήτριε, ταῖς εὐχαῖς σου, περισκέπων τοὺς πίστει, καὶ πόθῳ εὐφημοῦντάς σε.

Οἱ πίστει πρὸς τὸν σὸν, ἐπαγόμενοι τέμενος, Δημήτριε νοσημάτων, καὶ παθῶν ψυχοφθόρων, συντόμως ἀπαλλάττονται.

Θεοτοκίον.

Ὁ Λόγος τοῦ Θεοῦ, ὁ Πατρὶ ὁμοούσιος, σὸς γίνεται Θεομήτωρ, ὑπὲρ νοῦν τε καὶ λόγον, Υἱός σοι ὁμοούσιος.

Ἄλλος. Ἐξέστη τὰ σύμπαντα.

Ὁ Μέγας ἐν μάρτυσι, Δημήτριος τοῖς αἵμασι, ἱδρῶτας κεράσας τῶν ἀγώνων, μῦρον τὸ θεῖον ἡμῖν ἐσκεύασε, πυρὶ τῷ τοῦ Πνεύματος καλῶς, ἑψήσας τὸ φάρμακον, εἰς ψυχῶν κοινὴν κάθαρσιν.

Σωμάτων τὰ τραύματα, καὶ τῶν ψυχῶν Δημήτριε, ὥσπερ ἀντιδότῳ δραστηρίῳ, μύρῳ καθαίρεις τῷ ἐκ τοῦ τάφου σου. ἰὸν ἀποπλύνων νοητὸν, ζήλῳ τοῦ Δεσπότου σου, σταλαγμοῖς τῶν αἱμάτων σου.

Πρὸς εὐεργέτερον, τὸ μῦρον σου Δημήτριε, πᾶσαν διατρέχον Ἐκκλησίαν, βλύζει πηγάζει. ζῇ τε καὶ δρᾷ μυστικῶς, τοῖς πίστει προστρέχουσιν αὐτῷ, φλέγον τὰ νοσήματα, καὶ διῶκον τοὺς δαίμονας.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Θεοτοκίον.

Ὁ Λόγος ἐν μήτρᾳ σου, Κόρη σκηνώσας εἰργάσατο, ταύτην μυροθήκην καινοῦ μύρου. ὅθεν Παρθένοι, Ἁγίων θείων ψυχαί, ὀπίσω σου ἔδραμον θερμῶς. ἡ καλὴ βοῶσαί σοι· ἡ καλὴ Κόρη Δέσποινα.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Τοῦ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ ἀδίῳ λιμένι σου προσδραμών, βοῶ σοι· ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου πολυέλεε.

Οὐκ ἔχοντες Δέσποτα, παῤῥησίαν δυσωπεῖν, οἱ ταπεινοὶ τὸ ὕψος σου, τοὺς ἐκλεκτοὺς Ἀγγέλους σου εἰς θερμήν, κινοῦμεν παράκλησιν· δι᾽ αὐτῶν τῆς ὀργῆς σου ἐξελοῦ ἡμᾶς.

Νῦν ἔγνωμεν Κύριε, ὡς ἠλέησας ἡμᾶς, καὶ οὐδαμῶς συνέχωσας, ὑπὸ τὴν γῆν συμπτώμασι χαλεποῖς, πολλὰ πλημμελήσαντας· ἀχαρίστως διό σε μεγαλύνομεν.

Προστάττεις σαλεύεσθαι, τὰ θεμέλια τῆς γῆς, ὅπως ἡμεῖς παυσώμεθα, οἱ ταπεινοὶ σαλεύεσθαι ἀρετῶν, τῆς κρείττονος στάσεως, καὶ τῷ φόβῳ σου Λόγε στηριζώμεθα.

Θεοτοκίον.

Ἁγία Θεόνυμφε, ἀπορούμενον νυνί, τὸν σὸν λαὸν οἰκτείρησον· καὶ μητρικαῖς πρεσβείαις τὴν καθ᾽ ἡμῶν, Θεοῦ ἀγανάκτησιν, μεταποίησον τάχος δυσωποῦμέν σε.

Ἄλλος. Θύσω σοι, μετὰ φωνῆς.

Συμφώνως συνελθόντες ὑμνοῦμεν Δημήτριε, τὴν φωτοφόρον σου μνήμην, καὶ θαυμάτων πλήρη, καὶ χαρισμάτων, τοῦ Ἁγίου καὶ σεπτοῦ παμμακαρίστου Πνεύματος.

Λῦσον μου τὰς σειρὰς τῶν πταισμάτων πρεσβείαις σου· ὡς γὰρ ἀήττητος μάρτυς, παῤῥησίαν ἔχεις πρὸς τὸν Δεσπότην. καὶ γενοῦ μοι, καταφυγὴ καὶ σκέπη Δημήτριε.

Θεοτοκίον.

Ἄσπιλον τῶν ἀκανθῶν ἐν μέσῳ εὑράμενος, ὡς καθαρώτατον κρίνον, καὶ κοιλάδων ἄνθος ὦ Θεομῆτορ, ὁ Νυμφίος ἐν τῇ γαστρί σου Λόγος ἐσκήνωσεν.

Ἄλλος. Τὴν θείαν ταύτην.

Λουτρὸν τοῦ θείου βαπτίσματος, λουσάμενος ἐχρίσθης ἀοίδιμε, μύρον τοῦ Πνεύματος· ὃ τηρηθέν σοι ἀμόλυντον, τῆς σῆς πλευρᾶς τὸ αἷμα μύρον εἰργάσατο.

Ἀνάστα δεῦρο πλησίον μου, ψυχὴ τοῦ Δημητρίου προσφθέγγεται, Νυμφίος Κύριος. οἶκον τοῦ νάρδου εἰσέλθωμεν, καὶ τῆς ὀσμῆς τοῦ μύρου μου μεταλάβωμεν.

Καινὰ Δημήτριε κράζει σοι, Νυμφίος ὁ Χριστὸς τὰ τελούμενα, ὁ χειμὼν λέλυται, δεῦρο τὸ ῥόδον ἐξήνθησεν. εἰς τὴν ὀσμὴν ὦ φίλε, δράμε τῶν μύρων μου.

Ἐγώ φησιν ὁ ἐρώμενος, ἐγὼ Νυμφίε ἀπελεύσομαι ὀπίσω σου· ὀσμὴ γὰρ μύρων σου, πάντων τῶν μύρων ὑπέρκειται, ἥτις ἡμῶν τὸ αἷμα, μύρον εἰργάσατο.

Θεοτοκίον.

Θανάτῳ θάνατος λέλυται, ζωὴ ἀπὸ τοῦ τάφου ἀνέτειλε, τῷ ξένῳ τόκῳ σου, νόμων λυθέντων τῆς φύσεως. Μαρτύρων δὲ τὸ αἷμα μύρον γεγένηται.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἰδιόμελον, ἦχος β΄.

Τοῖς τῶν αἱμάτων σου ῥείθροις Δημήτριε, τὴν Ἐκκλησίαν Θεὸς ἐπορφύρωσεν. ὁ δούς σοι τὸ κράτος ἀήττητον, καὶ περιέπων τὴν Πόλιν σου ἄτρωτον. αὐτῆς γὰρ ὑπάρχεις τὸ στήριγμα.

Ὁ Οἶκος.

Τοῦτον τὸν μέγαν πάντες συμφώνως οἱ πιστοὶ συνελθόντες, ὡς ὁπλίτην Χριστοῦ, καὶ μάρτυρα τιμήσωμεν, ἐν ᾠδαῖς, καὶ ὕμνοις ἀναβοῶντες τῷ Δεσπότῃ, καὶ κτίστῃ τῆς οἰκουμένης· ῥῦσαι ἡμᾶς τοῦ σεισμοῦ τῆς ἀνάγκης φιλάνθρωπε, πρεσβείαις τῆς Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων Μαρτύρων σου. εἰς σὲ γὰρ ἐλπίζομεν τοῦ ῥυσθῆναι κινδύνων, καὶ θλίψεων· ὅτι σὺ ὑπάρχεις ἡμῶν τὸ στήριγμα.

Μηνὶ τῷ αὐτῷ Κς΄. Μνήμη τοῦ Ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλύτου, καὶ Θαυματουργοῦ.

Στίχ. Δημήτριον νύττουσι λόγχαι Χριστέ μου.

Ζηλοῦντα πλευρᾶς λογχονύττου σῆς Πάθος.

Εἰκοστῇ μελίαι Δημήτριον ἔκτῃ ἀνεῖλον.

Οὗτος ἦν ἐπὶ Διοκλητιανοῦ, καὶ Μαξιμιανοῦ τῶν Βασιλέων, ἐκ τῆς Θεσσαλονικέων ὁρμώμενος Πόλεως, εὐσεβὴς ὢν ἄνωθεν, καὶ τῆς εἰς Χριστὸν διδάσκαλος πίστεως. Ἐπιδημήσαντος δὲ τοῦ Μαξιμιανοῦ τῇ Θεσσαλονικέων, κατεσχέθη ὁ Ἅγιος, ὡς τῇ εὐσεβείᾳ διαβόητος. Σεμνυνομένου δὲ τοῦ Βασι-

λέως ἐπί τινι ἀνδρὶ Λυαίῳ τοὔνομα, καὶ προτρεπομένου τοὺς τῆς χώρας ἐξελθεῖν, καὶ διαγωνίσασθαι πρὸς αὐτὸν, (ἦν γὰρ ὁ Λυαῖος μεγέθει σώματος, καὶ ῥώμῃ τοὺς κατ' αὐτὸν ὑπερβάλλων,) Νεανίας τις, τὴν πίστιν Χριστιανὸς, τοὔνομα Νέστωρ, προσελθὼν τῷ Ἁγίῳ Δημητρίῳ ὄντι ἐν τῇ φρουρᾷ, ἔφη· Δοῦλε τοῦ Θεοῦ, βούλομαι συμπλακῆναι τῷ Λυαίῳ, ἀλλὰ εὖξαι ὑπὲρ ἐμοῦ. Ὁ δὲ τῷ σημείῳ τοῦ Σταυροῦ κατασφραγίσας τὸ μέτωπον αὐτοῦ· καὶ τὸν Λυαῖον, φησὶ, νικήσεις, καὶ ὑπὲρ Χριστοῦ μαρτυρήσεις. Τούτοις ὁ Νέστωρ τοῖς ῥήμασι θαῤῥήσας, αὐτέσῃ τῷ Λυαίῳ, καὶ τὴν ἀλαζονείαν αὐτοῦ κατέβαλεν, ἀποκτείνας αὐτόν. Διὰ τοῦτο ὁ Βασιλεὺς αἰσχυνθεὶς, ἐπεὶ καὶ ἐρευνήσας τὸ πρᾶγμα ἔμαθεν· ἐν ᾧ ἐφυλάττετο τόπῳ, λόγχαις τὴν πλευρὰν διαπαρῆναι ἐκέλευσε τὸν Ἅγιον Δημήτριον πρῶτον, ὡς αἴτιον γενόμενον τῆς τοῦ Λυαίου σφαγῆς. καὶ τούτου γενομένου, ἀθλέως ἀφῆκεν ὁ Ἅγιος τὴν ψυχήν· πολλῶν θαυμάτων, καὶ ἰάσεων παραδόξων μετὰ τὴν τελευτὴν γενόμενος ποιητής. εἶτα τῇ τοῦ Βασιλέως κελεύσει, καὶ ὁ Ἅγιος Νέστωρ ἀπετμήθη τὴν κεφαλήν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Μεγάλου καὶ φρικώδους Σεισμοῦ.

Στίχ. Ἔσεισας, ἀλλ' ἔστησας αὖθις γῆν, Λόγε.
Τῆς σῆς γὰρ ὀργῆς οἶκτος ἐστὶ τὸ πλέον.

Τῷ εἰκοστῷ τετάρτῳ ἔτει τῆς Βασιλείας Λέοντος τοῦ Ἰσαύρου, Ἰνδικτιῶνος ἐννάτης, εἰκοστῇ ἕκτῃ μηνὸς Ὀκτωβρίου, ἐγένετο Σεισμὸς μέγας, καὶ φοβερὸς ἐν Κωνσταντινουπόλει, ὥστε τὰ ὑπερῷα, καὶ τῶν ἄλλων ὡραιότερα οἰκήματα καταπεσεῖν, καὶ πολλοὺς συγκαταχωσθῆναι τοῖς καταπεσοῦσι. Διὸ καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ τοῦ Μεγαλομάρτυρος Δημητρίου, ποιούμεθα καὶ τὴν μνήμην τῆς φοβερᾶς ἐκείνης ἀπειλῆς τοῦ Σεισμοῦ, ἀπερχόμενοι μετὰ λιτῆς εἰς τὸν ἐν Βλαχέρναις Ναὸν τῆς Παναχράντου, καὶ ἁγίας ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, ἐκτελοῦντες ἐν αὐτῷ καὶ τὴν θείαν μυσταγωγίαν. Ἧς ταῖς πρεσβείαις ῥυσθείημεν ἀπὸ πάσης ἀπειλῆς, καὶ τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο, Ἄγγελος τοῖς Ὁσίοις Παισί· τοὺς Χαλδαίους δὲ, καταφλέγον πρόσταγμα Θεοῦ, τὸν τύραννον ἔπεισε βοᾶν· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπερύμνητος εἶ Κύριε μακρόθυμε, ὅτι οὐκ ἐθανάτωσας τοὺς οἰκέτας σου, σπαραγμῷ, καὶ κλόνῳ φοβερῷ, τῆς γῆς· ἀλλ' ἐφόβησας ζητῶν, τοῦ ἐπιστρέψαι τῶν κακῶν, καὶ ζῆσαι πάντας ἡμᾶς.

Στεναγμὸν ἀπὸ καρδίας ἀναπέμψωμεν, καὶ δάκρυα προχέωμεν· ὅπως ἵλεων τὸν Δεσπότην ἔξωμεν Χριστόν· ἐκτρίψαι Σεισμῷ πάντας ἡμᾶς, διὰ πληθὺν ἁμαρτιῶν, ἐπαπειλοῦντα δεινῶς.

Οἴμοι κράξωμεν, καὶ χεῖρας ἐκπετάσωμεν, πρὸς τὸν Θεὸν τὸν ὕψιστον, καὶ παυσώμεθα τοῦ λοιποῦ ποιεῖν τὰ πονηρά· ἰδοὺ ὁ Σωτὴρ ἀγανακτῶν, σαλεύει ἅπασαν τὴν γῆν, στηρίξαι θέλων ἡμᾶς. Θεοτοκίον.

Νεῦσον ἄχραντε σωθῆναι τοὺς οἰκέτας σου, ἀπολεσθῆναι μέλλοντας, ἐν ὀργῇ Θεοῦ, καὶ θυμῷ μεγάλῳ, καὶ φρικτῷ, τῆς νῦν ἐπελθούσης ἀπειλῆς, διὰ τὸ πλῆθος τῶν πολλῶν ἁμαρτημάτων ἡμῶν.

Ἄλλος. Ἐν τῇ καμίνῳ.

Λελαμπρυσμένος τῇ θείᾳ δόξῃ, καὶ τῇ χάριτι, Μάρτυς Ἀθλοφόρε, λάμπεις φωτοειδῶς, καὶ φωτίζεις τοὺς κραυγάζοντας· Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε.

Ὡς πορφυρίδι κεκοσμημένος τῷ σῷ αἵματι, ἔχων ἀντὶ σκήπτρου ἔνδοξε τὸν Σταυρὸν, τῷ Χριστῷ συμβασιλεύεις νῦν, Μάρτυς Δημήτριε, εἰς αἰῶνας βασιλείαν, τὴν μὴ διαπίπτουσαν. Θεοτοκίον.

Δεδοξασμένη πεφωτισμένη Μητροπάρθενε, πάντας τοὺς τιμῶντάς σε τὴν πανάληθῆ, Θεοτόκον περιφρούρησον. Εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Ἄλλος. Οὐκ ἐλάτρευσαν.

Ἱερούργησας τὸ αἷμά σου Δημήτριε, ἀνάρας πανάριστε, τῷ Βασιλεῖ τοῦ παντός· πλευρὰν δὲ λελόγχευσαι, τοῦτον μιμούμενος. ὅθεν δίδωσι, τὴν ἀμοιβὴν κατάλληλον, μῦρον ἄλλο δεδεχὼς σε.

Σεσωμάτωται τὸ μῦρον τὸ οὐράνιον, Χριστὸς ὁ Κύριος, διὰ φιλίαν βροτῶν. αὐ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν δὲ Δημήτριος φιλήσας ἄριστα, Χριστὸς γίνεται, μύρῳ καινῷ χρησάμενος, καὶ σαρκὸς ἐκβλύζει μῦρα.

Μύρῳ χρίσας με Χριστὸς ἀγαλλιάσεως, δουλείας ἔλυσε, καὶ τυραννίδος πικρᾶς. ἀλλ᾽ αὖθις δεδούλωμαι, αἰσχίσταις πράξεσιν· ἐλευθέρωσον, αἰσχρᾶς δουλείας ἄριστε, σὺ τῷ μύρῳ καταχρίσας. Θε.

Ἐκλεξάμενος Νυμφίος ὁ ὡραῖός σε, Παρθένε Δέσποινα, τῶν γηγενῶν τῆς φυλῆς, λαμπρῶς παρεστήσατο ἐκ δεξιῶν αὐτοῦ· δεῦρο Νύμφη μου, ἀπὸ Λιβάνου λέγων σοι, δεῦρο Νύμφη μου, καὶ Μήτηρ.

Καταβασία. Οὐκ ἐλάτρευσαν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας, καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας. ἅπαντα γὰρ δρᾷς Χριστὲ, μόνῳ τῷ βούλεσθαι. σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τῆς δικαίας σου ταύτης ὀργῆς φιλάνθρωπε, ἐπελθούσης ἀθρόως συνεταράχθημεν· καὶ ἀπελπισμῷ παντελεῖ συνεσχέθημεν, προσαγανακτοῦντος δι᾽ ὅλου καθ᾽ ἡμῶν σου.

Ἀνατείνωμεν χεῖρας πιστοὶ, καὶ ὄμματα, πρὸς τὸν μόνον Δεσπότην, σώζειν δυνάμενον. κράζοντες Χριστὲ τὸν θυμόν σου ἀπόστρεψον, ἀφ᾽ ἡμῶν ταχέως, φιλάνθρωπος ὑπάρχων.

Χιλιάδες Ἀγγέλων, Μαρτύρων, σύλλογος, Προφητῶν, Ἀποστόλων, Ὁσίων Ἱεραρχῶν, ἅγιος χορὸς ἱκέτευσε Δέσποτα. φεῖσαι τοῦ λαοῦ σου, τοῦ τεταπεινωμένου.

Ὁ γινώσκων οἰκτίρμων τὸ ἀσθενὲς ἡμῶν, καὶ εὐόλισθον πάντως, καὶ ἀδιόρθωτον, παῦσον τὴν ὀργὴν, καὶ τὸν τάραχον κόπασον, καὶ τῷ σῷ ἐλέει, οἰκτείρησον τὸν Κόσμον.

Θεοτοκίον.

Συμπαθὴς Θεοτόκε τὸν ἀσυμπάθητον, ἡ τεκοῦσα Σωτῆρα ἴδε τὴν κάκωσιν, καὶ τὸν στεναγμὸν τοῦ λαοῦ σου, καὶ πάχυνον, τοῦ παρακαλέσαι, ἡμᾶς οἰκτειρηθῆναι.

Ἄλλος. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ἠμαύρωσας πᾶσαν τοῦ ἐχθροῦ, μανίαν ἔνδοξε, καὶ τὰ παλαίσματα, τὴν ἀκαθαίρετον δύναμιν, τοῦ Χριστοῦ περιζωσάμενος, καὶ νικηφόρος γεγονὼς, Μάρτυς Δημήτριε ἀνεβόας· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Μαρτύρων εὐστάθειαν δεικνὺς, Μαρτύρων εὔκλειαν, Μάρτυς Δημήτριε, λουτρὸν λουσάμενος ἅγιον, ὃ δι᾽ ἑτέραις οὐ μολύνεται, ἁμαρτημάτων προσβολαῖς, λόγχῃ νυττόμενος, καὶ κραυγάζων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἡ τῶν θαυμασίων σου πληθὺς, τῶν ὑπὲρ νοῦν δωρεῶν, ἣν σοι παρέσχε Χριστὸς, τοῖς πᾶσιν ἔνδοξε δείκνυσι· καὶ ἡ χάρις τῶν ἰάσεων, τὴν ὑπὲρ λόγον σοι σαφῶς, χάριν κηρύττει ἡμῖν τοῖς βοῶσι· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον. Θεοτοκίον.

Τὴν μόνην ἐν πάσαις γενεαῖς, Παρθενομήτορα, καὶ Θεοτόκον Ἁγνὴν, ὑμνολογήσωμεν. Αὕτη γὰρ, σωτηρίας ἡμῖν πρόξενος, ὡς τὸν τοῦ Κόσμου λυτρωτὴν Λόγον γεννήσασα, ᾧ βοῶμεν· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ἄλλος. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ὑψώσας Χριστὸν ἐν Ἐκκλησίᾳ, ἀλήθειαν σου ὁ λάρυγξ ἐμελέτησε. στόμα σὸν λελάληκε, σοφίας τὰ ῥήματα· τῶν ἀρωμάτων ὤφθησαν αἱ σιαγόνες σου· φιάλαι διὰ τοῦτο Χριστός σε, μύρου θείου κρήνην ἀνέδειξε τῷ Κόσμῳ.

Ῥημάτων ἰσχύϊ σου στεφηφόρε, ὡς βέλη τοῦ δυνατοῦ ὁ σὸς ἀντίπαλος, φρίττων ἀνὰ χεῖράς σου, πόρρωθεν στρεφόμενα, σοῦ τὴν πλευρὰν ἀνώρυξε, μυρίῳ δόρατι· ἣ μύρων ἀναδοῦσα θαλάσσας, ὡς τοὺς Αἰγυπτίους αὐτὸν καταβαπτίζει.

Ὁ μέγας φρουρὸς Θεσσαλονίκης, ὁ ῥύστης ἐν τοῖς κινδύνοις ὁ ἐξαίρετος, πρόμαχος ὁ κράτιστος, πάσης Ἐκκλησίας τε, οἷα Πατὴρ φιλόστοργος τοῖς τέκνοις δίδωσι, θηλὴν αὐξητικὴν ψυχοτρόφον, τὴν πλευρὰν ὡς γάλα, τὸ μῦρον χορηγοῦσαν.

Ὅσων καὶ δεινῶν ἀρρωστημάτων, δαιμόνων ἐπιβουλῆς τε σὺ διέσωσας, μέγιστε Δημήτριε, μύρου ταῖς ἀρδείαις σου, τὴν πατρικὴν οἰκίαν μοι, ἥνπερ ἐφίλησας, τιμῶν τὴν ἀρετὴν τῶν τεκόντων· οἷς ἡμᾶς συνάπτεις, ὑμνοῦντάς σου τὴν χάριν.

Θεοτοκίον.

Ὄλβον σε κοινὸν, ὦ Θεοτόκε, καὶ δόξαν οἱ σὲ τιμῶντες πάντες ἔχοντες, πίστει σοι προστρέχομεν, πόθῳ σου δεόμεθα, τῆς ἀδοξίας λυτρῶσαι τῆς ἐν τῷ μέλλοντι, τρυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φῆς τῆς αἰωνίου, καὶ δόξης, ἐν σκηναῖς δικαίων, ἡμᾶς καταξιοῦσα.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα, διὰ σοῦ δὲ Πάναγνε ὡράθη βροτοῖς, Λόγος σεσαρκωμένος, ὃν μεγαλύνομεν, σὺν ταῖς οὐρανίαις στρατιαῖς σὲ μακαρίζοντες.

Ἰδοὺ οἱ πάντες ἡμᾶς ἐπταίσαμεν, καὶ φοβερῶς ἡ γῆ μηδὲν σφαλοῦσα κολάζεται. νουθετῶν γὰρ ἡμᾶς ὁ φιλάνθρωπος, ὅλην αὐτὴν σαλεύει· λάβωμεν αἴσθησιν, καὶ τῆς σωτηρίας ἑαυτῶν ἐπιμελώμεθα.

Ὥρων καὶ χρόνων ὑπάρχων Κύριος, μιᾷ ῥοπῇ ἠθέλησας ἐκτρίψαι τοὺς δούλους σου. ὑπὸ δὲ τῆς πολλῆς εὐσπλαγχνίας σου, Δέσποτα ἐκωλύθης. εὐχαριστοῦμέν σοι, οἱ ἀνταπολόγητοι ἡμεῖς, μόνε φιλάνθρωπε.

Σεισμοῦ μαχαίρας, πικρᾶς ἁλώσεως, καὶ ἐθνικῆς Χριστὲ ἐπιδρομῆς, καὶ συμβάσεως, καὶ λιμοῦ, καὶ λοιμοῦ, καὶ κακώσεως, πάσης ἄλλης οἰκτίρμων, ῥῦσαι τὴν Πόλιν σου, ἅπασάν τε χώραν τῶν πιστῶς ὑμνολογούντων σε.

Ἡ Γῆ ἀγλώσσως βοᾷ στενάζουσα· τί με κακοῖς μιαίνετε πολλοῖς πάντες ἄνθρωποι; καὶ ὑμῶν ὁ Δεσπότης φειδόμενος, ὅλην ἐμὲ μαστίζει. λάβετε αἴσθησιν, καὶ ἐν μετανοίᾳ, τὸν Θεὸν ἐξιλεώσασθε. Θεοτοκίον.

Φθορὰν τῷ τίκτειν μὴ ὑπομείνασα, πάσης φθορᾶς Παρθένε ἐξελοῦ ἡμᾶς ἅπαντας. καὶ σεισμοῦ βαρυτάτου, καὶ θλίψεως, παύουσα τοῦ Δεσπότου τὴν ἀγανάκτησιν, ταῖς σαῖς μητρικαῖς καταλλαγαῖς Θεοχαρίτωτε.

Ἄλλος. Λίθος ἀχειρότμητος.

Ῥῆξον τὰ δεσμὰ τῶν πταισμάτων, τῶν σὲ ὑμνούντων ἀθλοφόρε· παῦσον τῶν παθῶν τὰς προσβολάς, τὸν σάλον λῦσον τὸν τῶν αἱρέσεων· τῶν πειρασμῶν κατεύνασον, τὴν καταιγίδα ταῖς πρεσβείαις σου.

Ἵνα τῶν στεφάνων τῆς δόξης, καὶ οὐρανίου Βασιλείας, τύχῃς τοὺς ὑμνοῦντάς σε ταύτης, τυχεῖν δυσώπει Μάρτυς Δημήτριε, τὸν ζωοδότην Κύριον, καὶ Βασιλέα τῶν Δυνάμεων.

Ἴθυνον πρὸς τρίβους εὐθείας, τῆς οὐρανίου Βασιλείας, τὴν ἱερωτάτην σου ποίμνην, στεφανηφόρε Μάρτυς Δημήτριε, ἐπὶ νομὴν σωτήριον, ἐπὶ τὸν τόπον τὸν αἰώνιον.

Θεοτοκίον.

Ὡς ῥίζαν πηγήν, καὶ αἰτίαν, τῆς ἀφθαρσίας σου Παρθένε, πάντες οἱ πιστοὶ πεπεισμένοι, ταῖς εὐφημίαις καταγεραίρομεν. σὺ γὰρ τὴν ἐνυπόστατον, ἀθανασίαν ἡμῖν ἔβλυσας. Ἄλλος. Ἅπας γηγενής.

Γῆ, καὶ Οὐρανός, τὸ πρᾶγμα θαυμάζουσι τὸ σὸν Δημήτριε. τὴν γὰρ ἐν σαρκὶ ζωήν, καλῶν παντοίων κοσμήσας εἴδεσι, τὸ κατ' εἰκόνα βέλτιστε λαμπρῶς ἀπείληφας· τὸ δὲ σῶμα, βάψας σου τοῖς αἵμασι, Βασιλεὺς ὡς λαμπρὸς μύρῳ κέχρισαι.

Ἵνα τὴν στολήν, ἐνδύσῃ Δημήτριε, ἣν ἐξεδύσατο, πρὶν ὁ παλαιὸς Ἀδάμ, Ἀδὰμ τὸν νέον καλῶς ἐνδέδυκας, καὶ τῆς σαρκὸς τὸ κώδιον χαίρων ἀπέρριψας. διὰ τοῦτο μύροις τε, καὶ στέμμασι, Βασιλέα λαμπρά σοι μνηστεύεται.

Νοῦς οὐκ ἐξαρκεῖ, καὶ λόγος ἀνθρώπινος ἐκδιηγήσασθαι, τὰς ὑπερφυεῖς τιμάς, καὶ δόξαν Μάρτυς, ἥνπερ ἀπείληφας, συμβασιλεύων ἄληκτα Χριστῷ μακάριε· τὸ δὲ μῦρον, σύμβολον σαφέστατα, ὑπὲρ φύσιν ἐκβλύζον τῆς κόνεως.

Ἥνπερ ἀθλητά, Χριστὸς ἐξηγόρασε ποίμνην τῷ αἵματι, λόγοις ἱεροῖς, καὶ σύ, καὶ νόμοις, αἵμασί τε συνέστησας. ἀλλὰ καὶ νῦν τοῖς μύροις σου, τρέφων καὶ θαύμασιν, εἰς αἰῶνας ἄτρωτον συντήρησον, χαλεπῶν ἐξ αἱρέσεων μέγιστε. Θεοτοκίον.

Ὕμνους εὐτελεῖς, δεήσεις τε πρόσδεξαι τὰς ἡμῶν Δέσποινα· λῦσον συμφορῶν πικρῶν, ἡμῖν τὸ νέφος, κοινῶν ἰδίων τε τῆς Ἐκκλησίας κοίμισον Ἁγνὴ τὸν κλύδωνα. τῶν βαρβάρων, σκόρπισον τὰς φάλαγγας, καὶ μελλούσης κολάσεως λύτρωσαι.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Μάρτυς Χριστοῦ Δημήτριε, ὡς ποτὲ τοῦ Λυαίου, τὴν ὀφρύν, καὶ τὴν ἔπαρσιν, καὶ τὸ ἵππειον θράσος, καθεῖλες χάριτι θείᾳ, τὸν γενναῖον κρατύνας, ἐν τῷ σταδίῳ Νέστορα, τοῦ Σταυροῦ τῇ δυνάμει· οὕτω κἀμὲ, ταῖς εὐχαῖς σου κράτυνον Ἀθλοφόρε, κατὰ δαιμόνων πάντοτε, καὶ παθῶν ψυχοφθόρων.

Θεοτοκίον. Ὅμοιον.

Τὸν σαρκωθέντα Κύριον, ἐξ ἁγνῶν σου αἱμάτων, Παρθενομῆτορ ἄχραντε,



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

δυσωποῦσα μὴ παύσῃ, ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, ὅπως εὕρωμεν χάριν, καὶ εὔκαιρον βοήθειαν. ἐν ἡμέρᾳ ἀνάγκης, γένος βροτῶν· ἀπαλλῆς σεισμοῦ τε τοῦ βαρυτάτου, κινδύνων τε ἐξαίρουσα, μητρικαῖς σου πρεσβείαις.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν Στίχ. δ'. καὶ ψάλλομεν Στιχ. προσόμοια, ἦχος πλ. α'.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Δεῦρο Μάρτυς Χριστοῦ πρὸς ἡμᾶς, σοῦ δεομένους συμπαθοῦς ἐπισκέψεως· καὶ ῥῦσαι κεκακωμένους, τυραννικαῖς ἀπειλαῖς, καὶ δεινῇ μανίᾳ τῆς αἱρέσεως· ὑφ' ἧς ὡς αἰχμάλωτοι, καὶ γυμνοὶ διωκόμεθα, τόπον ἐκ τόπου, συνεχῶς διαμείβοντες, καὶ πλανώμενοι, ἐν σπηλαίοις καὶ ὄρεσιν· οἴκτειρον οὖν πανεύφημε, καὶ δὸς ἡμῖν ἄνεσιν, παῦσον τὴν ζάλην, καὶ σβέσον, τὴν καθ' ἡμῶν ἀγανάκτησιν· Θεὸν ἱκετεύων, τὸν παρέχοντα τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Δίς.

Τεῖχος ὠχυρωμένον ἡμῖν, τὰς ἑλεπόλεις τῶν ἐχθρῶν μὴ πτοούμενος, ἐδόθης· τὰς τῶν βαρβάρων ἐπιδρομὰς καταργῶν, καὶ τῶν νόσων παύων τὰ συμπτώματα. κρηπὶς ἀκατάβλητος, καὶ θεμέλιος ἄρρηκτος· καὶ πολιοῦχος, οἰκιστής, καὶ ὑπέρμαχος, ἐχρημάτισας, τῇ σῇ Πόλει Δημήτριε· ἣν καὶ νῦν παμμακάριστε, δεινῶς κινδυνεύουσαν, καὶ τρυχομένην ἀθλίως, ταῖς σαῖς πρεσβείαις διάσωσον· Χριστὸν ἱκετεύων, τὸν παρέχοντα τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Πᾶσαν τὴν ἀρετὴν συλλαβών, τῶν Ἀθλοφόρων ὁ χορὸς ἀναδείκνυται· ἐντεῦθεν τῆς ἀκηράτου, καὶ μακαρίας ζωῆς, τὴν τρυφὴν ἀξίως ἐκληρώσαντο· ἐν οἷς ἀξιάγαστε, διαπρέπων Δημήτριε. καὶ τῇ μιμήσει, τοῦ Χριστοῦ σεμνυνόμενος, καὶ καυχώμενος, τῇ τῆς λόγχης ἰσότητι. αἴτησαι ἐκτενέστερον, ἡμᾶς τοὺς τιμῶντάς σε, τῶν παθημάτων ῥυσθῆναι, καὶ χαλεπῶν περιστάσεων· θερμῶς ἱκετεύων, τὸν παρέχοντα τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, ἦχος δ'. Ἀνδρέου Ἱεροσολυμίτου.

Τὸν λόγχαις κληρωσάμενον, τῆς σωτηρίου πλευρᾶς τὴν χάριν, τῆς νυγείσης τῇ λόγχῃ· ἐξ ἧς ἡμῖν πηγάζει ὁ Σωτήρ, ζωῆς καὶ ἀφθαρσίας νάματα, Δημήτριον τιμήσωμεν. τὸν σοφώτατον ἐν διδαχαῖς, καὶ στεφανίτην ἐν Μάρτυσι. τὸν δι' αἵματος τελέσαντα τὸν τῆς ἀθλήσεως δρόμον, καὶ θαύμασιν ἐκλάμψαντα πάσῃ τῇ οἰκουμένῃ. τὸν ζηλωτὴν τοῦ Δεσπότου, καὶ συμπαθῆ φιλόπτωχον. τὸν ἐν πολλοῖς, καὶ πολλάκις κινδύνοις χαλεποῖς, τοῖς Θεσσαλονικεῦσι προϊστάμενον· οὗ καὶ τὴν ἐτήσιον μνήμην γεραίροντες, δοξάζομεν Χριστὸν τὸν Θεόν, τὸν ἐνεργοῦντα δι' αὐτοῦ πᾶσι τὰ ἰάματα.

Καὶ νῦν. Θεοτοκίον.

Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν, Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ἡ τεκοῦσα τὸν τῶν ὅλων ποιητήν· ἵνα πάντες κράζωμέν σοι· χαῖρε ἡ μόνη προστασία τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Δίδοται καὶ Ἅγιον Μῦρον ἐκ τοῦ Ἁγίου, ψαλλομένων τῶν Ἰδιομέλων αὐτοῦ.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τῶν Κανόνων τοῦ Ἁγίου. Ὠδὴ γ'. καὶ ς'. Ὁ Ἀπόστολος. Προκείμ. ἦχος βαρύς.

Εὐφραινθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πρὸς Τιμόθεον β'. Ἐπιστολῆς Παύλου.

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χά- Κεφ. β'. 1.
ριτι τῇ ἐν Χριστῷ Ἰησοῦ· καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι. σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ. οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ. τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν. Νόει ἃ λέγω. δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι. Μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν, ἐκ σπέρματος Δαβίδ, κατὰ τὸ Εὐαγγέλιόν μου· ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν, ὡς κακοῦργος· ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται. Διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς, ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι, τῆς ἐν Χριστῷ Ἰησοῦ, μετὰ δόξης αἰωνίου.

Ἀλληλούϊα, ἦχος δ'.

Δίκαιος ὡς φοῖνιξ.

Στίχ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς, Κεφ. ιέ. 17.
ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ Κόσμος ὑμᾶς μισεῖ,

γινώ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γινώσκετε, ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. εἰ ἐκ τοῦ Κόσμου ἦτε, ὁ Κόσμος ἂν τὸ ἴδιον ἐφίλει. ὅτι δὲ ἐκ τοῦ Κόσμου οὐκ ἐστὲ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ Κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ Κόσμος. Μνημονεύετε τοῦ λόγου, οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ Κυρίου αὐτοῦ. οὐδὲ Ἀπόστολος μείζων τοῦ πέμψαντος αὐτόν. Εἰ ἐμὲ ἐδίωξαν, καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν, καὶ τὸν ὑμέτερον τηρήσουσιν. ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν, καὶ τὸν Πατέρα μου μισεῖ. εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς, ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον. νῦν δὲ καὶ ἑωράκασι, καὶ μεμισήκασι καὶ ἐμὲ, καὶ τὸν Πατέρα μου. ἀλλ' ἵνα πληρωθῇ ὁ λόγος ὁ γεγραμμένος ἐν τῷ νόμῳ αὐτῶν· ὅτι ἐμίσησάν με δωρεάν. Ὅταν δὲ ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμψω ὑμῖν παρὰ τοῦ Πατρὸς, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ. καὶ ὑμεῖς δὲ μαρτυρεῖτε, ὅτι ἀπ' ἀρχῆς μετ' ἐμοῦ ἐστε. Ταῦτα λελάληκα ὑμῖν, ἵνα μὴ σκανδαλισθῆτε. ἀποσυναγώγους ποιήσουσιν ὑμᾶς. ἀλλ' ἔρχεται ὥρα, ἵνα πᾶς ὁ ἀποκτείνας ὑμᾶς, δόξῃ λατρείαν προσφέρειν τῷ Θεῷ.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ κζ΄.

Τοῦ Ἁγίου Μάρτυρος Νέστορος. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ κη΄.

Τῶν Ἁγίων Μαρτύρων Τερεντίου, καὶ Νεονίλλης· καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Στεφάνου τοῦ Σαββαΐτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα, καὶ Ὅσιον.

Μηνὶ τῷ αὐτῷ κθ΄.

Τῆς Ἁγίας Μεγαλομάρτυρος Ἀναστασίας τῆς Ῥωμαίας, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀβραμίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Γυναῖκα Μάρτυρα, καὶ εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ λ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Ζηνοβίου, καὶ Ζηνοβίας τῆς ἀδελφῆς αὐτοῦ. τὴν Ἀκολουθίαν ζήτει εἰς Ἱερομάρτυρα, καὶ εἰς Γυναῖκα Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ λα΄.

Τῶν Ἁγίων Ἀποστόλων Στάχυος, Ἀμπλίου, Οὐρβανοῦ, Ἀριστοβούλου, Ναρκίσσου· καὶ τοῦ Ἁγίου Μάρτυρος Ἐπιμάχου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀποστόλους, καὶ εἰς Μάρτυρα.

# ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ.

Ἔχων ἡμέρας λ΄. Ἡ ἡμέρα ἔχει ὥρας ι΄. καὶ ἡ νὺξ ὥρας ιδ΄.

Εἰς τὴν α΄. Μνήμη τῶν Ἁγίων Ἀναργύρων Κοσμᾶ, καὶ Δαμιανοῦ.

Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Ὅλην ἀποθέμενοι, ἐν Οὐρανοῖς τὴν ἐλπίδα, θησαυρὸν ἀσύλητον, ἑαυτοῖς οἱ Ἅγιοι ἐθησαύρισαν. δωρεὰν ἔλαβον, δωρεὰν δίδωσι, τοῖς νοσοῦσι τὰ ἰάματα· χρυσὸν ἢ ἄργυρον, εὐαγγελικῶς οὐκ ἐκτήσαντο. ἀνθρώποις τε καὶ κτήνεσι, τὰς εὐεργεσίας μετέδωκαν. ἵνα διὰ πάντων, ὑπήκοοι γενόμενοι Χριστῷ, ἐν παρρησίᾳ πρεσβεύωσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὅλην ἐβδελύξαντο, τὴν ἐπὶ γῆς φθειρομένην, Οὐρανοπολῖται δὲ, ἐν σαρκὶ ὡς Ἄγγελοι ἐχρημάτισαν. ἡ ὁμόφρων σύσκηνος ξυνωρὶς ὁμότροπος, τῶν Ἁγίων καὶ ὁμόψυχος. Διὸ τοῖς κάμνουσι, πᾶσι τὰς ἰάσεις βραβεύουσιν, ἀνάργυρον παρέχοντες, τὴν εὐεργεσίαν τοῖς χρήζουσιν. οὓς ἐν ἐτησίοις, ὑμνήσωμεν ἀξίως ἑορταῖς, ὡς παρρησίᾳ πρεσβεύοντας, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὅλην ἐσοικήσασαν, ἐν ἑαυτῇ τὴν Τριάδα, δυὰς ἡ ἀοίδιμος, Κοσμᾶς καὶ Δαμιανὸς οἱ θεόφρονες. ὡς κρουνοὶ βλύζουσιν, ἐκ πηγῆς νάματα, ζωηφόρου τῶν ἰάσεων· ὧν καὶ τὰ λείψανα, πάθη δι' ἀφῆς θεραπεύουσι. καὶ μόνα τὰ ὀνόματα, νόσους ἐκ βροτῶν ἀπελαύνουσι· πάντων τῶν προσφύγων, σωτήριοι λιμένες ἐν Χριστῷ. καὶ παρρησίᾳ πρεσβεύουσιν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερα στιχ. Ἰδιόμελα. ἦχος α΄.

Ἡ Πηγὴ τῶν ἰαμάτων, οὐδὲ καὶ μόνον ἐθεράπευε τοῦ ἔτους· ἡ σκηνὴ τῶν Ἀναργύ-



Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

ρων, ἅπαν τὸ πλῆθος θεραπεύει τῶν νοσούντων. ἀνενδεὴς γὰρ ὑπάρχει, καὶ ἀδαπάνητος ὁ πλοῦτος τῶν Ἁγίων. ταῖς αὐτῶν ἱκεσίαις, Χριστὲ ἐλέησον ἡμᾶς. Θεοφάνους.

Πόθῳ θείῳ καὶ ἔρωτι τῶν μελλόντων, πρακτικῶς πολιτευσάμενοι, τὰς σωτηρίους ὁδοὺς διηνύσατε. ὅθεν τὸ καρτερὸν τῆς ψυχῆς, ἀκηλίδωτον τηρήσαντες, τῶν ἐνύλων τελείως ἀντέστητε. Πνεύματι δὲ θείῳ χρυσωθέντες, ἀχρύσως τὰς ἰάσεις τοῖς νοσοῦσι παρέχετε· δυὰς ἱερά, φωταυγὴς ξυνωρίς, πεφωτισμένον θεῖον ζεῦγος Ἀνάργυροι· ἐν θλίψεσι, καὶ νόσοις ἐπισκεπτόμενοι ἡμᾶς, καὶ τῶν ψυχῶν ἡμῶν τὰς νόσους, Ἀναργύρως ἰώμενοι. Γερμανοῦ.

Μεγάλων ἀξιωθέντες δωρεῶν πανεύφημοι, ἐν ταπεινότητι βίου, ἐν τῇ γῇ πολιτεύσασθε. Καὶ διερχόμενοι πανταχοῦ, δωρεὰν τῶν νοσούντων τὰ πάθη ἰώμενοι, ὤφθητε Ἀγγέλων συνόμιλοι, Κοσμᾶ σὺν τῷ Δαμιανῷ τῷ σοφῷ, ἀδελφοὶ τερπνότατοι. καὶ ἡμῶν τὰ πάθη, ταῖς εὐχαῖς ὑμῶν ἰάσασθε.

Δόξα, ἦχος πλ. β'. Ἀνατολίου.

Ἀτελεύτητος ὑπάρχει, τῶν Ἁγίων ἡ χάρις, ἣν παρὰ Χριστοῦ ἐκομίσαντο. Ὅθεν αὐτῶν καὶ τὰ λείψανα, ἐκ θείας δυνάμεως διηνεκῶς ἐνεργοῦσι τοῖς θαύμασιν. ὧν καὶ τὰ ὀνόματα μόνα, ἐκ πίστεως ἐπιβοώμενα, τῶν ἀνιάτων ἀλγηδόνων ἀπαλλάττουσι. Δι᾽ ὧν Κύριε, καὶ ἡμᾶς, τῶν τῆς ψυχῆς, καὶ τοῦ σώματος παθῶν, ἐλευθέρωσον ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου. Δόξα, ἦχ. πλ. β'.

Πάντοτε ἔχοντες Χριστόν, ἐνεργοῦντα ἐν ὑμῖν, ἅγιοι Ἀνάργυροι, θαυματουργεῖτε ἐν Κόσμῳ, ἀσθενοῦντας θεραπεύετε· καὶ γὰρ τὸ ἰατρεῖον ὑμῶν, πηγὴ ὑπάρχει ἀνεξάντλητος· Ἀντλουμένη δὲ μᾶλλον, ὑπερεκβλύζει, καὶ χεομένη περιοσσεύεται. καθ᾽ ἑκάστην κενουμένη, καὶ πληθυνομένη· πᾶσι χορηγοῦσα, καὶ μὴ λειπομένη. καὶ οἱ ἀρυόμενοι κορέννυνται ἰάματα· καὶ αὕτη διαμένει ἀδαπάνητος· τί ὑμᾶς καλέσωμεν; θεράποντας Ἰατροὺς ψυχῶν τε, καὶ σωμάτων· ἰατῆρας παθῶν ἀνιάτων, δωρεὰν ἰωμένους ἅπαντας. εἰληφότας χαρίσματα παρὰ τοῦ Σωτῆρος Χριστοῦ, τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Ἀπολυτίκιον, ἦχος πλ. δ'.

Ἅγιοι Ἀνάργυροι, καὶ θαυματουργοί, ἐπισκέψασθε τὰς ἀσθενείας ἡμῶν. δωρεὰν ἐλάβετε, δωρεὰν δότε ἡμῖν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία.

Οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων εἰς ς'. οὗ ἡ ἀκροστιχίς.

Ὕμνοις γεραίρω τοὺς σοφοὺς Ἀναργύρους.

Ποίημα τοῦ Δαμασκηνοῦ.

Ὠδὴ α'. ἦχος α'. Ἄσωμεν πάντες.

Ὑπὸ τῆς χάριτος, τῆς ἀρχικῆς Τριάδος, ἡ δυὰς ἡ θαυμαστή, καὶ σεβάσμιος, φωτιζομένη πᾶσιν ἰάματα, τοῖς προσιοῦσι πιστῶς, παρέχει ἀενάως ἀναβλύζουσα.

Μυσταγωγούμενοι, τοῖς ζωηφόροις λόγοις, ὡς φωστῆρες ἐν Κόσμῳ ἐξέλαμψαν, τὴν τῶν παθῶν ὁμίχλην, εὐκόλως διασκεδάζοντες, τῇ ζέσει τῆς πίστεως οἱ παμμακάριστοι.

Ὁμοπαθόμενοι, τῷ τοῦ Σωτῆρος πάθει, ἡδυπάθειαν σαρκὸς μὲν ἀπέθεντο· ταῖς ἀρεταῖς, ψυχὰς δὲ φανώτατα καταλαμπρυνάντες, ἐν Κόσμῳ διέπρεψαν οἱ ἀξιάγαστοι. Θεοτοκίον.

Ὅλον τὸν ἄνθρωπον, ἐν σῇ γαστρὶ σκηνώσας Θεομήτωρ ἀπορρήτως ἠμφιάσατο, ὁ ἐκ Πατρὸς ἐκλάμψας, Υἱὸς ἀχρόνως ὁ ὑπέρθεος· αὐτὸν ἀνυμνήσωμεν, ὅτι δεδόξασται.

Ὠδὴ γ'. Στερέωσόν με Χριστέ.

Τὰς τῶν ἰάσεων πηγάς, τῶν δωρεῶν τε τῶν θείων τοὺς ὀχετούς, τοῦ ἀΰλου φωτὸς τὰ λαμπρότατα δοχεῖα, ἅπαντες ἀξίως ὑμνήσωμεν.

Σωμάτων τε καὶ ψυχῶν, ὡς ἰατρεύοντες πάθη τῆς ἀρρωστίας, τῶν προσιόντων ὑμῖν πανσεβάσμιοι, προθύμως νῦν ὡς εὐεργέται θεραπεύετε.

Τιμίοις ἐν ἀρεταῖς, κατακοσμούμενοι πᾶσαν, τὴν φθειρομένην τρυφὴν τοῦ βίου, σαφῶς ἀπεκρούσαντο, τῷ θείῳ κάλλει ἀνενδότως ἀτενίζοντες. Θεοτοκίον.

Ἐν ἔδει τῷ καθ᾽ ἡμᾶς, ὁ πρὶν ἀνείδεος ὤφθη, Θεογεννήτωρ, συναναδραμούσης σαρκὶ τῆς Θεότητος, ἐν μήτρᾳ, σοῦ τῆς Παναγίας Θεόνυμφε.

Κάθισμα, ἦχος πλ. δ'. Τὴν σοφίαν, καὶ Λόγον.

Ἰαμάτων δοτῆρες θαυματουργοί, καὶ θαυμάτων λαμπτῆρες φωταγωγοί, πᾶσιν ἀνεδείχθητε, τῇ τοῦ Πνεύματος χάριτι. τῶν γὰρ παθῶν τὴν φλόγα, τῇ πίστει δροσίζον-

τες,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τες, τῶν πιστῶν ἐν ταύτῃ, τὸ φρόνημα θάλπετε. ὅθεν ἰατρεῖον, τῶν ψυχῶν κεκτημένοι, τὸν θεῖον Ναὸν ὑμῶν, ἐν αὐτῷ καταφλέγομεν, θεοφόροι Ἀνάργυροι. πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν. Θεοτοκίον.

Τὴν Βασίλισσαν πάντες δεῦτε πιστοί, τὴν Μητέρα τοῦ πάντων Δημιουργοῦ, συμφώνως μεγαλύνωμεν, καὶ ὑμνοῦντες βοήσωμεν· ἡ τῆς χαρᾶς αἰτία, Παρθένε πανύμνητε, τοὺς τιμῶντάς σε σῶζε, καὶ σκέπε πρεσβείαις σου, ἐκ πειρασμῶν παντοίων, καὶ νόσων καὶ θλίψεων. ἔχεις γὰρ ὡς Μήτηρ, τοῦ Θεοῦ παρρησίαν, οἰκτείρειν, βραβεύειν τε, νοσημάτων τὴν ἴασιν. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τοῦ δοθῆναι συγγνώμην τοῖς δούλοις σου. Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἀμνὸν καὶ ποιμένα ἐν τῷ Σταυρῷ, ὡς ἑώρα κρεμάμενον ἡ Ἁγνή, τὰ σπλάγχνα ἐκόπτετο, καὶ θρηνοῦσα ἐφθέγγετο· οἴμοι φῶς τοῦ Κόσμου, Θεέ μου καὶ Κύριε, τίνος χάριν ταῦτα, ἑκὼν νῦν ὑφίστασαι; θέλων πάντας σῶσαι, γηγενεῖς, καὶ πρὸς θείαν, ζωὴν μετοικήσασθαι, τὴν φθαρεῖσαν ἀκόνα σου. μεγαλύνω τὰ πάθη σου, ἀνεξίκακε Κύριε. ὅτι μακροθύμως ὑπήνεγκας, διὰ σπλάγχνα οἰκτιρμῶν, τὰς ὀδύνας, τοῖς τραύμασι τοῖς σοῖς, πάντων ἰώμενος.

Ὠδὴ δ'. Κατενόησα Παντοδύναμε.

Κτῆσιν θείαν σαφῶς ἐκτώμενοι, οὐ χρυσοῦ λαμπηδόνας, οὐδὲ ἀργύριον ὄντως ἐκτήσασθε.

Ἀπαστράπτοντες θείοις θαύμασιν, οἱ Ἀνάργυροι πάντας εὐεργετοῦσι, χάριν βραβεύοντες.

Ἰατροὶ σοφοὶ ἀνεδείχθητε, τῶν παθῶν ταῖς ὀδύναις, ἀλεξικάκους χεῖρας προσάγοντες. Θεοτοκίον.

Ῥαπιζέσθωσαν νῦν τὰ πρόσωπα, τῶν μή σε Θεοτόκον ὁμολογούντων, πάναγνε Δέσποινα.

Ὠδὴ ε'. Ἐκ νυκτὸς ὀρθρίζοντες.

Ὡς κρουνοὶ θεόρρυτοι, πηγάζετε πιστοῖς, εὐεργεσίας νάματα, τῆς ψυχῆς τε, καὶ τοῦ σώματος, θεραπεύοντες νόσους, Ἀνάργυροι ἔνδοξοι.

Τὴν πηγὴν τῆς χάριτος, Ἀνάργυροι σεπτοί, ἀνασπῶντες ἅπασιν, εὐρωσίαν διανέμετε, τοῖς ἐν πίστει, καὶ πόθῳ ὑμῖν νῦν προστρέχουσιν.

Οἱ λαμπροὶ καὶ πάνσοφοι, ἀστέρες οἱ τὴν γῆν, προφανῶς οὐρανώσαντες, τῇ μιμήσει τῆς λαμπρότητος, τῶν Ἀγγέλων ἀπαύστως, ἡμᾶς καταυγάζουσιν. Θεοτοκίον.

Ὑπερτέρα πέφηνας, τὸν πάντων ποιητήν, τὸν τῷ Πατρὶ συνάναρχον, συλλαβοῦσα Μητροπάρθενε, καὶ τεκοῦσα τῷ Κόσμῳ, Σωτῆρα καὶ Κύριον.

Ὠδὴ ς'. Τὸν Προφήτην διέσωσας.

Σωτηρίας θεράποντας, εὐεργέτας θεόφρονας, Κοσμᾶν καὶ Δαμιανὸν τοὺς θείους, προθύμως τιμήσωμεν.

Σωφροσύνην τηρήσαντες, καὶ φρονήσει κοσμούμενοι, Κοσμᾶς, καὶ Δαμιανὸς οἱ θεῖοι, Χριστῷ συναγάλλονται.

Ὁμοφρόνως οἰκήσαντες, ὁμοψύχως ἀσκήσαντες, ὁμοῦ τὰς ἰάσεις βραβεύειν, ἡμῖν ἐπιστεύθητε. Θεοτοκίον.

Φῶς ἀπρόσιτον τέτοκας, μετὰ σώματος Πάναγνε, τὸ πάντα τὸν Κόσμον φωτίζον, αὐγαῖς τῆς Θεότητος.

Κοντάκιον, ἦχος β'. Τοὺς ἀσφαλεῖς.

Οἱ τὴν χάριν λαβόντες τῶν ἰαμάτων, ἐφαπλοῦτε τὴν ῥῶσιν τοῖς ἐν ἀνάγκαις, ἰατροὶ θαυματουργοὶ ἔνδοξοι. ἀλλὰ τῇ ὑμῶν ἐπισκέψει, καὶ τῶν πολεμίων τὰ θράση καταβάλλετε, τὸν Κόσμον ἰώμενοι ἐν τοῖς θαύμασιν. Ὁ Οἶκος.

Πάσης συνέσεως, καὶ σοφίας ὑπέρκειται ὁ λόγος τῶν σοφῶν Ἰατρῶν, καὶ πᾶσι γνῶσιν παρέχει· τοῦ γὰρ Ὑψίστου χάριν λαβόντες ἀοράτως, τὴν ῥῶσιν δωροῦνται πᾶσιν. ὅθεν κἀμοὶ διηγήσεως χάριν δεδώρηται, ὑμνῆσαι ὡς θεοφόρους, εὐαρέστους Θεοῦ, καὶ θεράποντας, ἰαμάτων πλήθη παρέχοντας. ἀλγηδόνος γὰρ πάντας λυτροῦνται. τὸν Κόσμον ἰώμενοι ἐν τοῖς θαύμασι.

Μὴν Νοέμβριος, ἔχων ἡμέρας λ'. ἡ ἡμέρα ἔχει ὥρας δέκα, καὶ ἡ νὺξ ὥρας ιδ'.

Εἰς τὴν πρώτην, Μνήμη τῶν Ἁγίων, καὶ Θαυματουργῶν Ἀναργύρων Κοσμᾶ, καὶ Δαμιανοῦ, Υἱῶν Θεοδότης τῆς ἐξ Ἀσίας.

Στίχ. Εἰ καὶ παρῆκαν γῆν Ἀνάργυροι δύο,
Πληροῦσιν ὡς πρὶν, καὶ πάλιν γῆν θαυμάτων.
Πρώτῃ ἀκέστορε φῶτε Νοεμβρίου ἔκτατον ἐκ γῆς.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὗτοι οἱ Ἅγιοι εἷλκον τὸ γένος ἐκ τῆς Ἀσιάτιδος γῆς· Πατρὸς μὲν ὑπάρχοντες Ἕλληνος, Μητρὸς δὲ Χριστιανῆς, τοὔνομα Θεοδότης, ἥτις χηρείαν ἐκ τοῦ ἀνδρὸς ὑποστᾶσα, καὶ ἀδείας ἐν καιρῷ λαβομένη, πᾶσαν ἰδέαν ἀρετῆς τελείας αὐτοὺς ἐξεπαίδευσε. Πάσης δὲ ἐπιστήμης ἐν πείρᾳ γενόμενοι, ταῖς λοιπαῖς χαίρειν εἰπόντες, τὴν ἰατρείαν τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἠσπάσαντο, θεραπεύοντες πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. καὶ οὐκ ἀνθρώποις μόνον ἐπικουροῦντες, ἀλλὰ καὶ κτήνεσι. Διὸ οὐδὲν παρά τινός τι λαβεῖν ἠνέσχοντο πώποτε, ἀλλὰ δωρεὰν, καὶ ἀμισθὶ ἰατρεύοντες. καὶ οὕτω καλῶς τὸν ἑαυτῶν βίον διαπεράσαντες, καὶ εὐσεβῶς ἐν εἰρήνῃ τελειωθέντες, κατετέθησαν τὰ τίμια αὐτῶν Λείψανα ἐν τόπῳ καλουμένῳ Φερεμάν.

Ὠδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε.

Ὅλοι Θεοῦ, θεοφρόνως ὤφθητε, ὅλοι Θεοῦ χωρητικοί· τὸν γὰρ Κόσμον διὰ Θεόν, πάντα κατελίπετε, ἴχνεσιν ἑπόμενοι, τοῖς τοῦ Σωτῆρος πανένδοξοι, θεοπρεπῶς τῶν Πατέρων, Θεὸν καταγεραίροντες.

Ὑπερφυῶς Ἰατροὶ πανάριστοι, τῶν ἀσθενούντων τὰς πληγάς, χειρουργίαις ταῖς μυστικαῖς, πάσας θεραπεύετε, φάρμακα σωτήρια, ἐκ θησαυρῶν ἀρυόμενοι, τῶν θείων ἀνυμνοῦντες, Θεὸν τὸν ὑπερένδοξον.

Στέφει τῆς σῆς, Βασιλείας Δέσποτα, καὶ διαδήματι λαμπρῷ, κατεκόσμησας εὐπρεπῶς, τοὺς ὑπερποθήσαντας, κάλλος τὸ ἀμήχανον, Χριστὲ τῆς σῆς ὡραιότητος· καὶ τοῖς πιστοῖς εὐεργέτας, κοινοὺς τούτους ἀνέδειξας.

Θεοτοκίον.

Ἀνατολῆς, τῆς ἐξ ὕψους πάναγνε, φανερωθείσης ἐπὶ γῆς, ἀνεδείχθης πανευπρεπής, πύλη καὶ ὁλόφωτος, Κόσμον καταυγάζουσα, μαρμαρυγαῖς καθαρότητος, καὶ τοῖς πιστοῖς λαμπηδόνας, ἀεὶ θαυμάτων πέμπουσα.

Ὠδὴ η΄. Ἐν καμίνῳ Παῖδες.

Νεκρωθέντες Κόσμου τοῖς τερπνοῖς, καὶ τῆς φιλαργυρίας, τὴν νόσον ἀποτεμόντες, ὠνομάσθητε σοφοὶ τοῖς πᾶσιν Ἀνάργυροι, τοῖς βοῶσι· πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Αἰωνίου μέτοχοι ζωῆς, γεγόνατε προδήλως. ζωῆς γὰρ τῆς φθαρομένης, κατελίπετε τερπνά, συμφώνως κραυγάζοντες· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ῥῦσαι πάντας Δέσποτα Χριστέ, δεινῶν ἀρρωστημάτων, πρεσβείαις τῶν Ἀναργύρων· καὶ ἀξίωσον ἀεί, συμφώνως κραυγάζειν σοι. Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Γεννηθέντες πάντες οἱ πιστοί, καὶ χάριτι ῥυσθέντες, οἱ τόκῳ λελυτρωμένοι, Μητροπάρθενε τῷ σῷ, ἀπαύστως κραυγάζομεν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Σὲ τὴν φαεινὴν λαμπάδα.

Ὕμνοις τὴν σοφὴν δυάδα, τοῦ φωτὸς τοῦ νοητοῦ, ἀπαστράπτουσαν αἴγλην, καὶ φωτισμοῦ τοῖς πᾶσι μεταδιδοῦσαν, ἀπαύστως μακαρίζομεν.

Ῥώμην ψυχικῆς ὑγείας, ἐμποιοῦντες τοῖς πιστοῖς, καὶ σωμάτων ἰᾶσθε, πεπιστευμένοι πάθη. οἷα σωτῆρες, ἀπαύστως ἀνυμνεῖσθε ἀεί.

Οἱ θεοφεγγεῖς φωστῆρες, νοητῶς τὸν Οὐρανόν, τῆς σεπτῆς Ἐκκλησίας, φωτοδοσίας χύσει νῦν δαδουχοῦντες, ἀπαύστως καταυγάζουσιν.

Ὑπὸ τῆς σεπτῆς Τριάδος ἡ θεόκλητος δυάς, κροτουμένη προχέει τῶν ἰαμάτων, πᾶσι τὰς χορηγίας, τοῖς πόθῳ μακαρίζουσι.

Θεοτοκίον.

Σὲ τὴν τοῦ φωτὸς νεφέλην, καὶ ἁγίαν κιβωτόν, τὴν ὁλόφωτον πύλην, τοῦ νοητοῦ Ἡλίου, ὡς Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν.

Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ Θεῷ.

Τὴν χάριν τῶν ἰάσεων, ἐκ Θεοῦ εἰληφότες, Ἀνάργυροι μακάριοι, τοῦ ἰᾶσθαι τὰς νόσους, καὶ θεραπεύειν ἅπαντας τοὺς πιστῶς προστρέχοντας, τῷ θείῳ ὑμῶν τεμένει. διὰ τοῦτο συμφώνως, μακαρίζομεν ἀξίως, τὴν σεπτὴν ὑμῶν μνήμην.

Θεοτοκίον. Ὅμοιον.

Ἐκύησας πανάχραντε, τοῦ Θεοῦ Θεὸν Λόγον, τῷ Κόσμῳ τὴν σωτήριον, ἐκτελοῦντα πανσόφως, οἰκονομίαν ἄρρητον. διὰ τοῦτό σε πάντες ὑμνολογοῦμεν ἀξίως, ὡς πρεσ-



Δημόσιες Βιβλιοθήκες
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βεύσαν τούτῳ, λυτρωθῆναι ἡμᾶς νόσου, καὶ παντοίων κινδύνων.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχ. Ἰδιόμελα τὰς δύο α΄. α΄. καὶ τὰς δύο δευτέρας.

Ἦχος α΄. Ἀνατολίου.

ΤΗν χάριν τῶν ἰαμάτων, ἐκ Θεοῦ εἰληφότες, ἀναργύρως τὰ πάθη τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν, θερμῶς θεραπεύετε, παγκόσμιοι Ἀνάργυροι· ὅθεν δι' ὑμῶν Χριστὸς τοῖς πιστοῖς τὴν δεδομένην δωρεὰν χαριζόμενος, φωστῆρας ἀπλανεῖς, ὑμᾶς ἀναδείκνυσι τῇ οἰκουμένῃ. αὐτῷ πρεσβεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

ΕΚ τῆς ἄνωθεν προμηθείας, τὴν τῶν ἰαμάτων ἄβυσσον ἐξαντλήσαντες, πᾶσιν ἀναβλύζετε τοῖς πιστοῖς, τὰς ἰάσεις Ἀνάργυροι. ὑπερφυῶς γὰρ τῶν νοσούντων τὰ πάθη, ἐν χειρουργίαις μυστικαῖς, ἐκ θησαυρῶν τοῦ Πνεύματος, φάρμακα προτιθέντες σωτήρια τοῖς κάμνουσι, θεραπεύετε. ὅθεν ναὸς σεπτὸς γεγονότες, τῆς ζωαρχικῆς Τριάδος, ἣ ἐν ὑμῖν σαφῶς, τὴν κατοικίαν ἐποιήσατο. αὐτῇ πρεσβεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β΄. Γερμανοῦ.

ΑΓάλλεται ὁ χορὸς τῶν Ἁγίων εἰς αἰῶνας· Βασιλείαν γὰρ Οὐρανῶν ἐκληρονόμησαν. γῆ τὰ λείψανα αὐτῶν δεξαμένη, εὐωδίαν διέπνευσε. δοῦλοι Χριστοῦ γεγόνασι, κατασκηνώσαντες εἰς ζωὴν αἰώνιον.

Ὁ αὐτός.

ΙΑτροὶ τῶν ἀσθενούντων, θησαυροὶ τῶν ἰαμάτων, σωτήριοι τῶν πιστῶν, Ἀνάργυροι πανεύκλεεῖς, τοὺς ἐν ἀνάγκαις κράζοντας, καὶ ὀδυνωμένους ἰάσασθε, σὺν τῇ Θεοδότῃ ἱκετεύσατε Θεὸν τὸν ἀγαθὸν, λυτρώσασθαι ἡμᾶς τῶν παγίδων τοῦ ἐχθροῦ.

Δόξα, ἦχος δ΄. Θεοφάνους.

ΠΗγὴν ἰαμάτων ἔχοντες, Ἅγιοι Ἀνάργυροι, τὰς ἰάσεις παρέχετε πᾶσι τοῖς δεομένοις, ὡς μεγίστων δωρεῶν ἀξιωθέντες, παρὰ τῆς ἀενάου πηγῆς τοῦ Σωτῆρος Χριστοῦ. Φησὶ γὰρ πρὸς ὑμᾶς ὁ Κύριος, ὡς ὁμοζήλους τῶν Ἀποστόλων· ἰδοὺ δέδωκα ὑμῖν τὴν ἐξουσίαν, κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε αὐτὰ ἐκβάλλειν, καὶ θεραπεύειν πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν. διὸ τοῖς προστάγμασιν αὐτοῦ καλῶς πολιτευσάμενοι, δωρεὰν ἐλάβετε, δωρεὰν παρέχετε, ἰατρεύοντες τὰ πάθη τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν στίχ. στιχ. τῆς Ὀκτωήχου.

Δόξα, ἦχος πλ. δ΄.

ΤΙς μὴ θαυμάσει; τίς μὴ δοξάσει; τίς μὴ ὑμνήσει πιστῶς, τῶν σοφῶν καὶ ἐνδόξων Ἀναργύρων τὰ θαύματα; ὅτι καὶ μετὰ τὴν ἁγίαν αὐτῶν μετάστασιν, πᾶσι χορηγοῦσι τοῖς προστρέχουσι πλουσίως τὰ ἰάματα. καὶ τὰ τίμια καὶ ἅγια λείψανα αὐτῶν, βρύουσι τὴν χάριν τῶν ἰάσεων. ὦ δυὰς ἁγία. ὦ τίμιαι κάραι. ὦ σοφία καὶ δόξα, τῆς ἐκ Θεοῦ δοθείσης ὑμῖν χάριτος. διὸ ὕμνοις ᾄσωμεν τῷ εὐεργέτῃ Θεῷ, τῷ ἀναδείξαντι τούτους, εἰς ἰατρείαν τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθ.

Εἰς τὴν Λειτουργίαν. Τυπικὰ, καὶ ἀπὸ τοῦ Κανόνος τῶν Ἁγίων ᾨδὴ γ΄. καὶ ς΄.

Ὁ Ἀπόστολος. Προκείμενον, ἦχος δ΄.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Στίχ. Προωρώμην τὸν Κύριον ἐνώπιόν μου.

Πρὸς Κορινθίους α΄. Ἐπιστολῆς.

ΑΔελφοὶ, ὑμεῖς ἐστε σῶμα Χριστοῦ, καὶ Κεφ. ιβ΄. 27.
μέλη ἐκ μέρους. καὶ οὓς μὲν ἔθετο ὁ
Θεὸς ἐν τῇ Ἐκκλησίᾳ, πρῶτον Ἀποστόλους,
δεύτερον Προφήτας, τρίτον Διδασκάλους,
ἔπειτα δυνάμεις, εἶτα χαρίσματα ἰαμάτων,
ἀντιλήψεις, κυβερνήσεις, γένη γλωσσῶν.
Μὴ πάντες Ἀπόστολοι; μὴ πάντες Προφῆται; μὴ πάντες Διδάσκαλοι; μὴ πάντες
δυνάμεις; μὴ πάντες χαρίσματα ἔχουσιν ἰαμάτων; μὴ πάντες γλώσσαις λαλοῦσι; μὴ
πάντες διερμηνεύουσι; Ζηλοῦτε δὲ τὰ χαρίσματα τὰ κρείττονα. καὶ ἔτι καθ' ὑπερβολὴν
ὁδὸν ὑμῖν δείκνυμι. Ἐὰν ταῖς γλώσσαις τῶν Κεφ. ιγ΄. 1.
ἀνθρώπων λαλῶ, καὶ τῶν Ἀγγέλων, ἀγάπην δὲ μὴ ἔχω, γέγονα χαλκὸς ἠχῶν, ἢ
κύμβαλον ἀλαλάζον. καὶ ἐὰν ἔχω προφητείαν, καὶ εἰδῶ τὰ μυστήρια πάντα, καὶ πᾶσαν
τὴν γνῶσιν, καὶ ἐὰν ἔχω πᾶσαν τὴν πίστιν, ὥστε ὄρη μεθιστάνειν, ἀγάπην δὲ μὴ ἔχω,
οὐδέν εἰμι. Καὶ ἐὰν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου, καὶ ἐὰν παραδῶ τὸ σῶμά μου ἵνα
καυθήσωμαι, ἀγάπην δὲ μὴ ἔχω, οὐδὲν ὠφελοῦμαι. Ἡ ἀγάπη μακροθυμεῖ, χρηστεύε-



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ται· ἡ ἀγάπη οὐ ζηλοῖ· ἡ ἀγάπη οὐ περπερεύεται, οὐ φυσιοῦται, οὐκ ἀσχημονεῖ, οὐ ζητεῖ τὰ ἑαυτῆς, οὐ παροξύνεται, οὐ λογίζεται τὸ κακὸν, οὐ χαίρει ἐπὶ τῇ ἀδικίᾳ, συγχαίρει δὲ τῇ ἀληθείᾳ. Πάντα στέγει, πάντα πιστεύει, πάντα ἐλπίζει, πάντα ὑπομένει. ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει.

Ἀλληλούϊα, ἦχος β΄.

Ἴδε δὴ τί καλὸν, ἢ τί τερπνόν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ι΄. Τῷ καιρῷ ἐκείνῳ, προσκαλεσάμενος ὁ Ἰησοῦς τοὺς δώδεκα Μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν, κατὰ πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ, καὶ θεραπεύειν πᾶσαν νόσον,
Ἐδ. ε΄. καὶ πᾶσαν μαλακίαν. Τούτους ἀπέστειλεν ὁ Ἰησοῦς, παραγγείλας αὐτοῖς, λέγων· Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε. πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ. Πορευόμενοι δὲ, κηρύσσετε λέγοντες· ὅτι ἤγγικεν ἡ βασιλεία τῶν Οὐρανῶν. ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαρίζετε, νεκροὺς ἐγείρετε, δαιμόνια ἐκβάλλετε. δωρεὰν ἐλάβετε, δωρεὰν δότε.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ β΄.

Τῶν Ἁγίων Μαρτύρων, Ἀκινδύνου, Πηγασίου, Ἀφθονίου, Ἐλπιδηφόρου, καὶ Ἀνεμποδίστου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ γ΄.

Τῶν Ἁγίων Μαρτύρων, Ἀκεψιμᾶ, Ἀειθαλᾶ, καὶ Ἰωσήφ. καὶ τὰ Ἐγκαίνια τοῦ Ναοῦ τοῦ Ἁγίου μεγαλομάρτυρος Γεωργίου τοῦ ἐν Λύδδῃ, ἤτοι ἡ κατάθεσις τοῦ τιμίου σώματος αὐτοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας. Εἰ δὲ βούλῃ ψάλλειν τὸν Ἅγιον Γεώργιον. ζήτει τὴν Ἀκολουθίαν αὐτοῦ, Ἀπριλλίῳ κγ΄.

Μηνὶ τῷ αὐτῷ δ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωαννικίου τοῦ μεγάλου. καὶ τῶν Ἁγίων Ἱερομαρτύρων Νικάνδρου Ἐπισκόπου Μύρων, καὶ Ἑρμαίου πρεσβυτέρου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον, καὶ εἰς Ἱερομάρτυρας.

Μηνὶ τῷ αὐτῷ ε΄.

Τῶν Ἁγίων Μαρτύρων Γαλακτίωνος, καὶ Ἐπιστήμης. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ ϛ΄.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Παύλου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς ἕνα Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ ζ΄.

Τῶν Ἁγίων τριάκοντα τριῶν Μαρτύρων τῶν ἐν Μελιτινῇ. καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Λαζάρου τοῦ ἐν τῷ Γαλησίῳ ὄρει ἀσκήσαντος. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας, καὶ εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ η΄.

Ἡ σύναξις τῶν Παμμεγίστων Ταξιαρχῶν, Μιχαὴλ, καὶ Γαβριὴλ, καὶ πασῶν τῶν ἐπουρανίων Δυνάμεων. Ἑσπέρας μετὰ τὸν Προοιμιακὸν Ψαλμὸν, στιχολογοῦμεν τὸ α΄. Ἀντίφωνον, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. η΄. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Τρισηλίου Θεότητος, παραστάτης φαιδρότατος, Μιχαὴλ δεικνύμενος Ἀρχιστράτηγε· μετὰ τῶν ἄνω Δυνάμεων, κραυγάζεις γηθόμενος· Ἅγιος εἶ ὁ Πατὴρ, Ἅγιος ὁ συνάναρχος, Λόγος Ἅγιος, καὶ τὸ Ἅγιον Πνεῦμα μία δόξα, Βασιλεία μία Φύσις, μία Θεότης, καὶ δύναμις.

Καὶ τὸ εἶδός σου πύρινον, καὶ τὸ κάλλος θαυμάσιον, Μιχαὴλ πρωτάγγελε. τῇ ἀΰλῳ γὰρ, φύσει διέρχῃ τὰ πέρατα, πληρῶν τὰ προστάγματα, τοῦ τῶν ὅλων Ποιητοῦ. δυνατὸς ἐν ἰσχύϊ σου, γνωριζόμενος, καὶ πηγὴν ἰαμάτων τὸν ναόν σου, ἐργαζόμενος τῇ κλήσει, σου τῇ ἁγίᾳ τιμώμενον.

Ὁ ποιῶν τοὺς Ἀγγέλους σου, ὥσπερ γέγραπται Πνεύματα, καὶ τοὺς λειτουργοῦντάς σοι φλόγα πύρινον. μέσον ταγμάτων προτάττοντα, ἀνέδειξας Κύριε, σοῦ τῶν Ἀρχαγγελικῶν, Μιχαὴλ Ἀρχιστράτηγον, σοῖς νεύμασι, καθυπακούοντα Λόγε, καὶ τὸν ὕμνον, τὸν τρισάγιον ἐν φόβῳ, ἀναφωνοῦντα τῇ δόξῃ σου.

Ἕτερα στιχ. ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Νοῦς ὁ προαιώνιος, φῶς ὑπεστήσατο δεύτερον, Γαβριὴλ σε μεθέξεσιν, εὐθείαις φωτίζοντα, πᾶσαν οἰκουμένην. καὶ τὸ ἀπ' αἰῶνος, ἀνακαλύπτοντα ἡμῖν, θεῖον καὶ μέγα ὄντως μυστήριον· ἐν μήτρᾳ σωματούμενον,



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

παρθενικῇ τὸν ἀσώματον. καὶ γενόμενον ἄνθρωπον, εἰς τὸ σῶσαι τὸν ἄνθρωπον.

Θρόνῳ παρεστάμενος, τῆς τρισηλίου Θεότητος, καὶ πλουσίως λαμπόμενος, ταῖς θείαις λαμπρότησι, ταῖς ἐκπεμπομέναις, ἀπαύστως ἐκεῖθεν, τοὺς ἐπὶ γῆς χαρμονικῶς, χοροστατοῦντας, καὶ εὐφημοῦντάς σε· παθῶν ἀχλύος λύτρωσαι, καὶ φωτισμῷ καταλάμπρυνον, Γαβριὴλ Ἀρχιστράτηγε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

Θραῦσον τὰ φρυάγματα, τῶν ἐκ τῆς Ἄγαρ τῇ ποίμνῃ σου, συνεχῶς ἐπερχόμενα. κόπασον τὰ σχίσματα, τὰ τῆς Ἐκκλησίας. πράϋνον τὸν σάλον, τῶν ἀμετρήτων πειρασμῶν. ῥῦσαι κινδύνων, καὶ περιστάσεων, τοὺς πόθῳ σε γεραίροντας, καὶ σοῦ τῇ σκέπῃ προστρέχοντας, Γαβριὴλ Ἀρχιστράτηγε, πρεσβευτὰ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος πλ. β'. Βυζαντίου.

Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Ἀγγέλων ταξιαρχίαι. ὁ πρωτοστάτης γὰρ ὑμῶν, καὶ ἡμέτερος προστάτης. ὁ μέγας Ἀρχιστράτηγος, τὴν σήμερον ἡμέραν, ἐν τῷ σεπτῷ αὐτοῦ τεμένει παραδόξως, ἐποπτανόμενος ἁγιάζει. ὅθεν κατὰ χρέος, ἀνυμνοῦντες αὐτὸν βοήσωμεν· σκέπασον ἡμᾶς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου, μέγιστε Μιχαὴλ Ἀρχάγγελε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Παρθένων χοροστασίαι. ἡ προστασία γὰρ ἡμῶν, καὶ μεσίτρια, καὶ σκέπη, καὶ μέγα καταφύγιον, τὴν σήμερον ἡμέραν, ἐν τῇ σεπτῇ αὐτῆς, καὶ θείᾳ προμηθείᾳ, τοὺς θλιβομένους παραμυθεῖται. ὅθεν κατὰ χρέος, ἀνυμνοῦντες αὐτὴν βοήσωμεν· σκέπασον ἡμᾶς τῇ ἀγρύπνῳ προστασίᾳ σου, ἄχραντε Θεοτόκε Δέσποινα.

Εἴσοδος, τὸ, Φῶς ἱλαρὸν, τὸ Προκείμενον, τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Ἰησοῦ τοῦ Ναυῆ τὸ Ἀνάγνωσμα.

Κεφ. ε'. 13. Ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχῷ, ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδεν ἄνθρωπον ἑστηκότα ἐναντίον αὐτοῦ, καὶ ἡ ῥομφαία αὐτοῦ ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ· καὶ προσελθὼν Ἰησοῦς, εἶπεν αὐτῷ· ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων; ὁ δὲ εἶπεν αὐτῷ· ἐγὼ Ἀρχιστράτηγος δυνάμεως Κυρίου, νυνὶ παραγέγονα. καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ εἶπεν αὐτῷ· Δέσποτα, τί προστάσσεις τῷ σῷ οἰκέτῃ; καὶ εἶπεν ὁ Ἀρχιστράτηγος Κυρίου πρὸς Ἰησοῦν· λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐφ' ὃν σὺ ἕστηκας ἐπ' αὐτὸν, ἅγιός ἐστι. καὶ ἐποίησεν Ἰησοῦς οὕτως.

Κριτῶν τὸ Ἀνάγνωσμα.

Ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ κατίσχυσε Μαδιὰμ ἐπὶ τοὺς Υἱοὺς Ἰσραήλ. καὶ αὐ- Κεφ. ϛ'. 11.
τοὶ ἐβόησαν πρὸς τὸν Θεόν. Καὶ ἰδοὺ Ἄγγελος Κυρίου παρεγένετο, καὶ ἐκάθησεν ἐπὶ τὴν δρῦν τὴν οὖσαν ἐν Εὐφραθᾷ. καὶ Γεδεὼν ὁ Υἱὸς Ἰωὰς ἐρράβδιζε πυροὺς ἐν ληνῷ, καὶ ἔσπευδε τοῦ ἐκφυγεῖν ἀπὸ προσώπου Μαδιάμ· καὶ ὤφθη πρὸς αὐτὸν Ἄγγελος Κυρίου, καὶ εἶπε πρὸς αὐτόν· Κύριος μετὰ σοῦ δυνατὸς τῇ ἰσχύϊ. Καὶ εἶπε πρὸς αὐτὸν Γεδεών· ἐν ἐμοὶ Κύριέ μου; καὶ εἰ ἔστι Κύριος μεθ' ἡμῶν, καὶ ἵνα τί εὗρεν ἡμᾶς ταῦτα τὰ κακὰ ταῦτα; καὶ ποῦ ἐστι ταῦτα τὰ θαυμάσια αὐτοῦ, ὅσα διηγήσαντο ἡμῖν οἱ Πατέρες ἡμῶν, λέγοντες; οὐχὶ ἐξ Αἰγύπτου ἀνήγαγεν ἡμᾶς Κύριος; καὶ νῦν ἀπώσατο ἡμᾶς, καὶ παρέδωκεν ἡμᾶς ἐν χειρὶ Μαδιάμ; καὶ ἐπέβλεψε πρὸς αὐτὸν ὁ Ἄγγελος Κυρίου, καὶ εἶπεν αὐτῷ· Πορεύου ἐν τῇ ἰσχύϊ σου ταύτῃ, καὶ σώσεις τὸν Ἰσραὴλ ἐκ χειρὸς Μαδιάμ. ἰδοὺ ἐξαπέστειλά σε. καὶ εἶπε πρὸς αὐτὸν Γεδεών· ἐν ἐμοὶ Κύριε; ἐν τίνι σώσω τὸν Ἰσραήλ; ἰδοὺ ἡ χιλιάς μου ταπεινοτέρα ἐν Μανασσῇ, καὶ ἐγώ εἰμι μικρότερος ἐν τῷ οἴκῳ τοῦ πατρός μου. καὶ εἰ εὗρον χάριν ἐν ὀφθαλμοῖς σου, καὶ ποιήσεις μοι σήμερον πᾶν ὅ, τι ἐλάλησας μετ' ἐμοῦ, μὴ δὴ χωρισθῇς ἐντεῦθεν, ἕως τοῦ ἐλθεῖν με πρὸς σὲ, καὶ οἴσω τὴν θυσίαν μου, καὶ θύσω ἐνώπιόν σου. Καὶ εἶπεν ὁ Ἄγγελος Κυρίου· ἐγώ εἰμι, καὶ καθήσομαι ἕως τοῦ ἐπιστρέψαι σε. καὶ Γεδεὼν εἰσῆλθε, καὶ ἐποίησε καθὰ ἐλάλησε πρὸς τὸν Ἄγγελον Κυρίου. καὶ ἐξήνεγκεν αὐτὸν ὑπὸ τὴν δρῦν, καὶ προσεκύνησε· καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἄγγελος Κυρίου· Λάβε τὰ κρέα, καὶ τοὺς ἄρτους τοὺς ἀζύμους, καὶ θὲς πρὸς τὴν πέτραν ἐκείνην. καὶ ἐποίησεν οὕτω. καὶ ἐξέτεινεν ὁ Ἄγγελος Κυρίου τὸ ἄκρον τῆς ῥάβδου τῆς ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἥψατο τῶν κρεῶν, καὶ τῶν ἀζύμων, καὶ ἀνήφθη πῦρ ἐκ τῆς πέτρας, καὶ κατέφαγε πᾶσαν τὴν θυσίαν. Καὶ ὁ Ἄγγελος Κυρίου ἀπῆλθεν ἀπ' ὀφθαλμῶν αὐτοῦ. καὶ εἶδε Γεδεὼν, ὅτι Ἄγγε-

λαὸς Κυρίου ἐστί. καὶ εἶπε Γεδεών, οἴμοι Κύριε, ὅτι εἶδον τὸν Ἄγγελον Κυρίου πρόσωπον πρὸς πρόσωπον. καὶ εἶπεν αὐτῷ Κύριος· εἰρήνη σοι, μὴ φοβοῦ, οὐ μὴ ἀποθάνῃς. Καὶ ᾠκοδόμησε Γεδεὼν θυσιαστήριον τῷ Κυρίῳ· καὶ ἐκάλεσεν αὐτὸ εἰρήνην Κυρίου, ἕως τῆς ἡμέρας ταύτης.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. ιδ'. 7'. Τάδε λέγει Κύριος· πᾶσα ἡ γῆ βοάτω μετ' εὐφροσύνης, καὶ τὰ ξύλα τοῦ Λιβάνου εὐφρανθήσεται ἐπὶ σοί, καὶ αἱ κέδροι τοῦ Λιβάνου ἐροῦσιν· ἀφ' οὗ σὺ κεκοίμησαι, οὐκ ἀνέβη ὁ κόπτων ἡμᾶς, ὁ ᾅδης κάτω ἐπικράνθη συναντήσας σοι· ἐρχομένου σου, διήγειρε κατὰ σοῦ Γίγαντας, πάντας τοὺς ἄρξαντας τῆς γῆς· οἱ ἀνέστησαν ἀπὸ τῶν θρόνων πάντας Βασιλεῖς τῶν ἐθνῶν· πάντες ἀποκριθήσονται, καὶ ἐροῦσί σοι· καὶ σὺ ἑάλως, ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσθης. κατέβη εἰς ᾅδου ἡ δόξα σου, καὶ ἡ πολλή σου εὐφροσύνη. ὑποκάτω σου στρώσουσι σῆψιν, καὶ τὸ κάλυμμά σου σκώληξ. πῶς ἐξέπεσεν ἐκ τοῦ Οὐρανοῦ ὁ Ἑωσφόρος, ὁ πρωῒ ἀνατέλλων; συνετρίβη εἰς τὴν γῆν ὁ ἀποστέλλων εἰς πάντα τὰ ἔθνη. Σὺ δὲ εἶπας ἐν τῇ διανοίᾳ σου· εἰς τὸν Οὐρανὸν ἀναβήσομαι. ἐπάνω τῶν ἀστέρων τοῦ Οὐρανοῦ θήσω τὸν θρόνον μου. καθιῶ ἐν ὄρει ὑψηλῷ, ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βορρᾶν· καὶ ἀναβήσομαι ἐπάνω τῶν νεφελῶν, καὶ ἔσομαι ὅμοιος τῷ Ὑψίστῳ. νῦν δὲ εἰς ᾅδου καταβήσῃ, εἰς τὰ θεμέλια τῆς γῆς. Οἱ ἰδόντες σε, θαυμάσονται ἐπὶ σοί, καὶ ἐροῦσι περὶ σοῦ· οὗτος ὁ ἄνθρωπος ὁ παροξύνων τὴν γῆν, ὁ σείων Βασιλεῖς, ὁ θεὶς τὴν οἰκουμένην ὅλην ἔρημον, καὶ τὰς πόλεις αὐτῆς καθεῖλε. τοὺς ἐν ἐπαγωγῇ οὐκ ἔλυσεν εἰς τὰς οἰκίας αὐτῶν. πάντες οἱ Βασιλεῖς τῆς γῆς ἐκοιμήθησαν ἐν τιμῇ. ἄνθρωπος ἐν τῷ οἴκῳ αὐτοῦ. σὺ δὲ ῥιφήσῃ ἐν τοῖς ὄρεσιν, ὡς νεκρὸς ἐβδελυγμένος μετὰ πολλῶν τεθνηκότων ἐκκεντημένων μαχαίρᾳ, καταβαινόντων εἰς ᾅδου. Ὃν τρόπον ἱμάτιον πεφυρμένον ἐν αἵματι οὐκ ἔστι καθαρόν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρός. διότι τὴν γῆν μου ἀπώλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας.

Εἰς τὴν Λιτήν, Στιχηρὰ Ἰδιόμελα.

Ἦχος α'. Κυπριανοῦ.

Τῶν νοερῶν Δυνάμεων Ἀρχιστράτηγοι, οἱ παρεστῶτες ἀπαύστως τῷ δεσποτικῷ θρόνῳ, πρεσβεύσατε πρὸς Κύριον, εἰρήνην τῷ Κόσμῳ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἦχος ὁ αὐτός. Ἀρσενίου.

Ὁ Ταξιάρχης τῶν ἄνω Δυνάμεων, Μιχαὴλ ὁ πρωτοστάτης τῶν θείων ταγμάτων, σήμερον ἡμᾶς πρὸς πανήγυριν συνεκάλεσεν. ὁ καθ' ἑκάστην μεθ' ἡμῶν πορευόμενος, καὶ φυλάττων τοὺς πάντας, ἐκ πάσης τοῦ Διαβόλου περιστάσεως. Δεῦτε οὖν φιλέορτοι, καὶ φιλόχριστοι, τὰ ἄνθη τῶν ἀρετῶν δρεψάμενοι, καθαραῖς διανοίαις, καὶ συνειδότι εὐστάθμῳ, τοῦ Ἀρχαγγέλου τὴν σύναξιν τιμήσωμεν. αὐτὸς γὰρ ἀδιαλείπτως τῷ Θεῷ παριστάμενος, καὶ τὸν τρισάγιον ὕμνον ἀναμέλπων, πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'. Τοῦ Στουδίτου.

Τὴν ἄϋλον οὐσίαν, τῶν νοερῶν Δυνάμεων προστατεύοντες, καὶ τῆς τρισηλίου δόξης ταῖς μαρμαρυγαῖς φωτοδοτοῦντες, τὴν οἰκουμένην Ἀρχιστράτηγοι, ἀλήκτῳ φωνῇ τὸν τρισάγιον ὕμνον ἐξᾴδετε. Διὸ πρεσβεύσατε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός. Ἀρσενίου.

Τῷ ἀΰλῳ θρόνῳ περικυκλοῦντες, νοεραὶ οὐσίαι, θεῖοι Ἀσώματοι, τὴν τρισάγιον ᾠδὴν τῷ πρυτάνει Θεῷ, ἐν φλογεροῖς τοῖς χείλεσιν ᾄδετε· Ἅγιος ὁ Θεός, ὁ Πατὴρ ὁ ἄναρχος. Ἅγιος Ἰσχυρός, ὁ Υἱὸς ὁ συνάναρχος. Ἅγιος Ἀθάνατος, τὸ ὁμοούσιον Πνεῦμα, τὸ σὺν Πατρί, καὶ Υἱῷ συνδοξαζόμενον.

Ὁ αὐτός. Ἀνατολίου.

Ἀσωμάτοις χείλεσι, καὶ νοεροῖς στόμασι, τῶν Ἀγγέλων αἱ τάξεις, τὸν ἀκατάπαυστον ὕμνον προσφέρουσι, τῇ σῇ ἀπροσίτῳ θεότητι Κύριε· καὶ νόες καθαροί, καὶ λειτουργοὶ τῆς σῆς δόξης, αἰνοῦσί σε δέσποτα. σὺν αὐτοῖς δὲ Μιχαὴλ ὁ ἀσώματος, καὶ Γαβριὴλ ὁ διαπρεπέστατος, οἱ πρωτοστάται τῶν ἄνω δυνάμεων, καὶ ἀρχιστράτηγοι τῶν Ἀγγέλων, ἑστιάτορες ἡμῖν, σήμερον γεγόνασι· τὰ τῶν ᾀσμάτων ᾄσματα προτρεπόμενοι ἡμᾶς, ᾄδειν τῇ ἀπροσίτῳ σου δόξῃ φιλάνθρωπε· ἵνα πρεσβεύωσιν ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'. Ἐφραὶμ Καρίας.

Τῆς ἡλιακῆς ἀκτῖνος τοῦ θείου φωτός, καταλαμπόμενοι Ἀρχιστράτηγοι, τὰς τῶν ἀΰλων καταυγάζετε ταξιαρχίας. ὡς φῶς λά-

χαμο-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

χαιρομονοῦντες ἐν ὑψίστοις, τὸ πῦρ καταυγάζετε ἐν Κόσμῳ, τῆς ἀπροσίτου Θεότητος. ὅθεν καὶ τὸν τρισάγιον ὕμνον, ἐν φλογεροῖς τοῖς χείλεσιν ἀκαταπαύστως ᾄδετε· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν δόξα σοι.

*Ἦχος πλ. β'.*

ΟἹ Ἄγγελοί σου Χριστὲ, τῷ θρόνῳ τῆς μεγαλωσύνης, ἐν φόβῳ παρεστῶτες· τῇ σῇ φωτοχυσίᾳ ἀεὶ λαμπόμενοι, ἐν τοῖς ὑψίστοις ὑμνῳδοὶ, καὶ τῆς βουλῆς σου λειτουργοὶ, ὑπὸ σοῦ ἐκπεμπόμενοι, νέμουσι φωτισμὸν ταῖς ψυχαῖς ἡμῶν. *Δόξα, ἦχος δ'.*

ΤΡιῤῥύθμοις χείλεσιν ὑμνοῦσί σε τὰ Χερουβὶμ Χριστὲ ὁ Θεός· ἀσωμάτοις δὲ στόμασιν, ἀσιγήτως δοξολογεῖ σε τῶν Ἀρχαγγέλων ὁ χορός· Μιχαὴλ δὲ ὁ Ἀρχιστράτηγος τῶν ἄνω δυνάμεων, τὸν ἐπινίκιον ὕμνον, ἀκαταπαύστως προσφέρει τῇ δόξῃ σου. αὐτὸς γὰρ ἡμᾶς σήμερον κατηύγασε, πρὸς πανήγυριν φαιδρὰν, κροτῆσαι ἐπαξίως ψαλμικῶς αἶνον τὸν τρισάγιον, τοῖς πηλίνοις χείλεσιν· ὅτι τὰ πάντα τῆς σῆς αἰνέσεως ἐπλήσθη. καὶ παρέχεις τῷ Κόσμῳ δι' αὐτοῦ τὸ μέγα ἔλεος.

*Καὶ νῦν, Θεοτοκίον. Ὁ αὐτός.*

ΣΗμερον ὁ θεοχώρητος ναὸς, ἡ Θεοτόκος, ἐν ναῷ Κυρίου προσάγεται, καὶ Ζαχαρίας ταύτην ὑποδέχεται. σήμερον τὰ τῶν Ἁγίων ἅγια ἀγάλλονται, καὶ ὁ χορὸς τῶν Ἀγγέλων μυστικῶς πανηγυρίζει. μεθ' ὧν καὶ ἡμεῖς ἑορτάζοντες σήμερον, σὺν τῷ Γαβριὴλ ἐκβοήσωμεν· Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

*Εἰς τὸν στίχον στιχηρὰ, ἦχος α'.* Τῶν οὐρανίων.

ΑΓγελικῶς οἱ ἐν Κόσμῳ πανηγυρίζοντες, τῷ ἐπὶ θρόνου δόξης, Θεῷ ἐποχουμένῳ, βοήσωμεν τὸν ὕμνον· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ οὐράνιος· ὁ συναΐδιος Λόγος Ἅγιος εἶ, καὶ τὸ Πνεῦμα τὸ πανάγιον.

*Στίχ.* Ὁ ποιῶν τοὺς Ἀγγέλους.

ΤΩν οὐρανίων πρωτοστάτων ἐν παῤῥησίᾳ πολλῇ, καὶ παρεστὼς τῷ θρόνῳ, τῷ ἀστέκτῳ ἐν δόξῃ, αὐτόπτα τῶν ἀῤῥήτων σῶσον ἡμᾶς, Μιχαὴλ Ἀρχιστράτηγε, τοὺς ἐν ἀνάγκαις κινδύνων, καὶ πειρασμῶν, ταῖς πρεσβείαις σου δεόμεθα.

*Στίχ.* Εὐλόγει ἡ ψυχή μου.

ΤΩν ἀσωμάτων Ἀγγέλων πρῶτος ὑπάρχεις σαφῶς, καὶ λειτουργὸς τῆς θείας φωταυγίας ἐκείνης, αὐτόπτης τε καὶ μύστης· σῶσον ἡμᾶς, Μιχαὴλ Ἀρχιστράτηγε, τοὺς ἐτησίως τιμῶντάς σε εὐσεβῶς, καὶ ὑμνοῦντας τὴν Τριάδα πιστῶς.

*Δόξα, καὶ νῦν, ἦχος πλ. δ'.*

ΩΣ Ταξιάρχης καὶ πρόμαχος, καὶ τῶν Ἀγγέλων ἀρχηγὸς Ἀρχιστράτηγε, πάσης ἀνάγκης, καὶ θλίψεως, νόσων καὶ δεινῶν ἁμαρτημάτων ἐλευθέρωσον, τοὺς εἰλικρινῶς ἀνυμνοῦντας, καὶ αἰτουμένους σε ἔνδοξε. ἐναργῶς ὡς ἄϋλος τὸν ἄϋλον καθορῶν, καὶ τῷ ἀπροσίτῳ φωτὶ, τῆς τοῦ Δεσπότου δόξης καταλαμπόμενος. αὐτὸς γὰρ φιλανθρώπως, σάρκα δι' ἡμᾶς ἐκ Παρθένου προσέληφε, σῶσαι βουληθεὶς τὸ ἀνθρώπινον.

*Ἀπολυτίκιον, ἦχος δ'.*

ΤΩν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι τειχίσητε ἡμᾶς· σκέπῃ τῶν πτερύγων τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας. ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω δυνάμεων.

*Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. κάθισμα, ἦχ. δ'.*

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΩν Ἀσωμάτων λειτουργῶν Ἀρχιστράτηγε, ὁ κατενώπιον Θεοῦ παριστάμενος, καὶ ταῖς ἐκεῖθεν λάμψεσι λαμπόμενος, φαιδρυνον ἁγίασον, τοὺς πιστῶς σε ὑμνοῦντας· πάσης ἀπολύτρωσαι, τοῦ ἐχθροῦ τυραννίδος. καὶ ἀριωναίαν αἴτησαι ζωὴν, τοῖς Βασιλεῦσι, καὶ πᾶσι τοῖς πέρασι. *Θεοτοκίον.*

ΟΥ σιωπήσωμεν ποτὲ Θεοτόκε, τοῦ ἀχαρίστως ἀνυμνεῖν ἐκ καρδίας, τὰ σὰ ἐλέη Δέσποινα οἱ δοῦλοί σου· κράζοντες καὶ λέγοντες, Παναγία Παρθένε, πρόφθασον, καὶ λύτρωσαι, τῶν ἐχθρῶν ἀοράτων, καὶ ὁρατῶν καὶ πάσης ἀπειλῆς. σοὺς γὰρ δούλους σῴζεις ἀεὶ, ἐκ παντοίων δεινῶν.

*Μετὰ τὴν β'. στιχολ. κάθισμα, ἦχος δ'.*

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΑ Χερουβὶμ, καὶ Σεραφὶμ πολυόμματα, τῶν Ἀρχαγγέλων λειτουργῶν τὰ στρατεύματα, σὺν Ἐξουσίαις Θρόνοι, Κυριότητες, Ἄγγελοι, Δυνάμεις τε, καὶ Ἀρχαὶ δυσωποῦσι, σὲ τὸν ποιητὴν ἡμῶν, καὶ Θεὸν καὶ Δεσπότην, μὴ ὑπερίδῃς δέησιν λαοῦ, ἡμαρτηκότος Χριστὲ πολυέλεε.

Θεοτοκίον.

Ταχὺ προκατάλαβε πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν. ἀνελε τῷ Σταυρῷ σου τοὺς ἡμᾶς πολεμοῦντας. γνώτωσαν πῶς ἰσχύει, ὀρθοδόξων ἡ πίστις. πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα, ἦχος πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς.

Τῶν οὐρανίων ἀρχηγοὶ, καὶ πρωτοστάται, τῶν ὑψιθρόνων, καὶ φρικτῶν τῆς θείας δόξης, Μιχαὴλ, Γαβριὴλ Ἀρχιστράτηγοι, σὺν πᾶσι τοῖς ἀσωμάτοις ὢ λειτουργοὶ, Δεσπότου ὑπὲρ τοῦ Κόσμου διαπαντὸς, πρεσβεύοντες αἰτήσασθε τὴν ἄφεσιν, τῶν ἐπταισμένων ἡμῖν· καὶ ἔλεος, καὶ χάριν δῶρον, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Θεοτοκίον.

Θεοχαρίτωτε Ἁγνὴ εὐλογημένη, τὸν διασπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω δυνάμεσι, καὶ τοῖς Ἀρχαγγέλοις, καὶ πᾶσι τοῖς ἀσωμάτοις ὑπὲρ ἡμῶν, δυσώπει ἀκαταπαύστως δοῦναι ἡμῖν, πρὸ τοῦ τέλους συγχώρησιν· καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν. ὅπως εὕρωμεν ἔλεος.

Οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Ὁ ποιῶν τοὺς Ἀγγέλους.

Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ιη΄. 10. Εἶπεν ὁ Κύριος· ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ Ἄγγελοι αὐτῶν ἐν Οὐρανοῖς, διαπαντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς. ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου ζητῆσαι, καὶ σῶσαι τὸ ἀπολωλός. Τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐννενήκοντα ἐννέα, ἐπὶ τὰ ὄρη πορευθεὶς, ζητεῖ τὸ πλανώμενον; Καὶ ἐὰν γένηται εὑρεῖν αὐτὸ, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ᾽ αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐννενήκοντα ἐννέα τοῖς μὴ πεπλανημένοις. Οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν Οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε, καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ, καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου. Ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα, ἢ δύο, ἵνα ἐπὶ στόματος δύο μαρτύρων, ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. Ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ Ἐκκλησίᾳ. ἐὰν δὲ καὶ τῆς Ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ Ἐθνικὸς, καὶ ὁ Τελώνης. Ἀμὴν λέγω ὑμῖν· ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ Οὐρανῷ. καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ Οὐρανῷ. Πάλιν λέγω ὑμῖν· ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν Οὐρανοῖς. Οὗ γάρ εἰσι δύο, ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.

Ὁ Ν΄. Δόξα. Ταῖς τῶν Ἀρχαγγέλων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα. Ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ παρὸν Ἰδιόμελον, ἦχος β΄.

Σήμερον βροτοὶ συναγάλλονται, αὔλων ταῖς χορείαις, τὴν ὑμῶν πανήγυριν φαιδρῶς ἐπιτελοῦντες, ὡς θείαν καὶ εὔσημον, Ἀρχάγγελοι Κυρίου.

Οἱ Κανόνες τῆς Ὀκτωήχου, ἢ τῆς Θεοτόκου, καὶ τῶν Ἀσωμάτων. Ποίημα Ἰωάννου Μοναχοῦ.

Ὠδὴ α΄. ἦχος πλ. δ΄. Ἆσμα ἀναπέμψωμεν.

Πάντες ἀνυμνήσωμεν πιστοὶ, τὴν πᾶσαν διέλθοῦσαν, τὰς αὔλους τῶν ἄνω, χορῶν ταξιαρχίας, Τριάδα τὴν ἄκτιστον. Ἅγιος εἶ ἐκβοῶντες· Ἅγιος εἶ Θεὲ παντοκράτορ.

Ἔθου τῶν κρεμαίπων σου ἀρχὴν, οὐσίαν τὴν ἀσώματον, ποιητὰ τῶν Ἀγγέλων, τὸν ἀχραντόν σου θρόνον, κυκλοῦσαν κραυγάζειν σοι· Ἅγιος, ἅγιος, ἅγιος εἶ Θεὲ παντοκράτορ.

Χαίροις Γαβριὴλ μυσταγωγὲ, τῆς τοῦ Θεοῦ σαρκώσεως, Μιχαήλ τε ταγμάτων αὔλων πρωτοστάτα, ἀπαύστως κραυγάζοντες· Ἅγιος, ἅγιος, ἅγιος εἶ Θεὲ παντοκράτορ.

Θεοτοκίον.

Εὔα ἡ προμήτωρ τῇ ἀρᾷ, τὸ γένος καθυπέβαλε, τῇ παραβάσει ποτὲ τὸ τῶν ἀνθρώπων. Σὺ δὲ, Παρθένε Θεόνυμφε, ὅλον πρὸς εὐλογίαν, μετηγάγω, τὸν Κτίστην τεκοῦσα.

Ἕτερος Κανὼν ἦχος ὁ αὐτός.

Ποίημα καὶ οὗτος Ἰωάννου Μοναχοῦ.

Ἁρματηλάτην Φαραώ.

Τοὺς νοερὰς τῶν ἀσωμάτων τάξεων, χορὰς ἐν ᾄσμασιν, ὡς λειτουργοὺς θείους, δεῦτε

ἀφη-

εὐφημήσωμεν, χορείαν συγκροτήσαντες, τὴν ἡμῶν σωτηρίαν, ἀδιαλείπτως πρεσβεύοντας, καὶ τῇ μετανοίᾳ συγχαίροντας.

Οἱ τῶν Ἀγγέλων ἀρχηγοί, καὶ πρόκριτοι, καὶ Ταξιάρχαι φαιδροί, τοὺς ἀσωμάτους Νόας, σήμερον ἐγείρουσι, πρὸς τελετὴν ἑόρτιον, τῆς αὐτῶν λαμπρᾶς μνήμης· Μεθ' ὧν συγχαίρουσιν ἄνθρωποι, ὕμνον τῇ Τριάδι προσάγοντες.

Εὐφρανθῶμεν τοῖς Ἀγγέλοις ἄνθρωποι, πνευματικῶς ἐν χαρᾷ. ὁ Γαβριὴλ αὖθις νῦν εὐαγγελίζεται, Ἐκκλησιῶν τὴν ἕνωσιν, καὶ καθαίρεσιν πάσης, τῆς ἐναντίας αἱρέσεως, ἐν τῇ παρουσίᾳ τῆς μνήμης αὐτῶν.

Κυοφορεῖς τὸν ὑπὲρ φύσιν Ἄχραντε, ἐν σοὶ σκηνώσαντα, τὸν τοῦ Πατρὸς Λόγον, ἐν Ἁγίῳ Πνεύματι, δυσὶ μὲν ἐν ταῖς φύσεσι, καὶ θελήμασιν ὄντα, ἐν ὑποστάσει ἀτρέπτως μιᾷ, ἧς καὶ τὴν μορφὴν ἀσπαζόμεθα.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

ᾨδὴ γ΄. Τὸν φόβον σου Κύριε.

Ἰσχύϊ κατέστησας ἀθάνατε, δυνατοὺς ἐξανύοντας, τὸ πανάγιόν σου θέλημα, τοὺς σοὶ ἐν τοῖς ὑψίστοις ἀεὶ παρεστῶτας.

Τοὺς Μύστας τῆς σῆς ἐνανθρωπήσεως, τῆς σεπτῆς τε ἐγέρσεως, τῶν Ἀγγέλων τοὺς ἐξάρχους Χριστέ, ὑπὲρ ἡμῶν πρόσδεχου ἐπικαλουμένους.

Ἀγγέλους ἐπέστησας φύλακας, τοῖς ἀνθρώποις ὡς εὔσπλαγχνος, διακόνους τε ἀνέδειξας, Χριστὲ τῆς σωτηρίας τῶν σῶν θεραπόντων.

Ἀῤῥήτως συνέλαβες τὸν Κύριον, καὶ Σωτῆρα Θεόνυμφε, τὸν λυτρούμενον ἡμᾶς τῶν δεινῶν, τοὺς σὲ ἐν ἀληθείᾳ ἐπικαλουμένους.

Ἄλλος. Σὺ εἶ τὸ στερέωμα.

Τῶν Ἀγγέλων πρώτιστος, καὶ τῆς Τριάδος φῶς δεύτερον, ὤφθης ἡμῖν, Μιχαὴλ ὁ Ἄρχων, τῶν πιστῶς εὐφημούντων σε.

Ἀγγελίας θείας χάριτος, ὁ Γαβριὴλ πιστῶς ἔπλησε, πᾶσαν τὴν γῆν, τοῦ Θεοῦ κηρύξας, τὴν ἐν σώματι κάθοδον.

Συνωρὶς ἀοίδιμε, καὶ φωταυγὴς δυὰς ἄϋλε, φῶτα Θεοῦ, τοὺς πιστῶς τελοῦντας, τὴν ὑμῶν μνήμην δέξατε.

Ἤκουσεν Ἡσαΐας σου, τὴν ὑπὲρ νοῦν Ἁγνὴ κύησιν. ᾄδω κἀγώ, ἵνα τῆς ἐκείνου, ἐπιτύχω καθάρσεως.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

ᾨδὴ δ΄. Ἦχος πλ. δ΄. Τὸ προσαχθέν.

Τῶν Ἀσωμάτων τοὺς χοροὺς ἐφιέμενοι, ἀνευφημεῖν οἱ ἐπὶ γῆς μιμησώμεθα, ὡς ἐφικτὸν τούτων τὴν ἁγιότητα. νεκροῦντες ταῦτα τὰ μέλη τὰ τῆς σαρκός, αἰτοῦντες ὡς ὑπερμάχους τε, καὶ φρουρούς, πάσης πλάνης λυτρώσασθαι, τοῦ ἀοράτου ἐχθροῦ, ἡμᾶς τοὺς ἀνυμνοῦντας αὐτούς· ὅπως εὕρωμεν ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

Εὐχαριστοῦμέν σοι ἀεὶ Θεοτόκε, καὶ μεγαλύνομεν Ἁγνή, καὶ προσκυνοῦμεν, ἀνυμνοῦντες τὸν τόκον σου κεχαριτωμένη, βοῶντες ἀκαταπαύστως· σῶσον ἡμᾶς, Παρθένε παντελέημον ὡς ἀγαθή· καὶ δαιμόνων ἐξάρπασον, λογοθεσίου φοβεροῦ, ἐν ὥρᾳ τῆς ἐτάσεως, μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

ᾨδὴ δ΄. Ἐπέβης ἐφ' ἵππους.

Ἐπέβης Ἀγγέλοις, ὥσπερ ἐφ' ἵπποις φιλάνθρωπε, καὶ ἐδέξω χερσί σου ἡνίας αὐτῶν· καὶ σωτηρία γέγονεν ἡ ἱππασία σου, τοῖς ἀπαύστως βοῶσι· δόξα τῇ δυνάμει σου Κύριε.

Καλύπτει Ἀγγέλους, ἡ ἀρετή σου φιλάνθρωπε. καὶ τῆς γῆς ἐπληρώθη τὰ πέρατα, τῆς σῆς ἐνδόξου, ἄναρχε θείας αἰνέσεως, σὺν αὐτοῖς σοι βοῶσα· δόξα τῇ δυνάμει σου Κύριε.

Ἐξῆλθες οἰκτίρμων, εἰς σωτηρίαν λαοῦ σου Χριστέ· συγκαλεῖς δὲ τὰς φίλας δυνάμεις σου· καὶ εὐφροσύνη γέγονεν ἡ παρουσία σου, τοῖς πιστῶς σοι βοῶσι· δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Παρθένος καὶ Μήτηρ, ὑπερφυῶς ὤφθης πάναγνε, ὡς Θεὸν τὸν αὐτόν τε καὶ ἄνθρωπον, Χριστὸν τεκοῦσα. ᾧ μετὰ δέους κραυγάζουσι, τῶν Ἀγγέλων αἱ τάξεις· δόξα τῇ δυνάμει σου Κύριε.

Ἄλλος. Σύ μου ἰσχύς, Κύριε.

Ἱεριχώ, ὤφθη δυνάμεως Ἀρχιστράτηγος, πολεμοῦντι, πάλαι Ἰησοῦ τοῦ Ναυῆ, νικοποιῶν καὶ ὑπερμαχῶν, Μιχαὴλ ὁ μέγας, τῶν ἀσωμάτων ὁ ἔξαρχος. ὑφ' οὗ λαβὼν τὸ θεῖον, ὁ θεράπων Κυρίου, δοριάλωτον εἷλε τὸ φρούριον.

Ἄρχων ποτέ, τῶν ἀσωμάτων δυνάμεων, ὤφθη φέρων, τέκνα εὐαγγέλια, τῷ Ζαχαρίᾳ τῷ Ἱερεῖ, Γαβριὴλ ὁ μέγας, καὶ θεῖος ὄντως Ἀρχάγγελος. διὸ φωνὴ τοῦ Λόγου, γεννηθεὶς Ἰωάννης, τῷ Πατρὶ τὴν φωνὴν ἀποδίδωσι.

Χαίρει χαρᾷ, πάντα τὰ πέρατα σήμερον, τὴν αἰσίαν, μνήμην ἑορτάζοντα, τῶν Ἀρχαγγέλων σου ὁ Θεός, Μιχαὴλ τοῦ θείου, καὶ Γαβριὴλ τοῦ θεόφρονος. συγχαίρει δὲ καὶ πᾶσα, τῶν Ἀγγέλων ἡ τάξις, ὅτι σώζεται κόσμος τῇ σκέπῃ αὐτῶν. Θεοτοκίον.

Μόνη Ἁγνή, πέφυκας καὶ μετὰ γέννησιν. μόνη ὤφθης, ἀνάνδρως θηλάζουσα, τὸν τοῦ Πατρός, Λόγον ἀληθῆ, Πνεύματι Ἁγίῳ, λαβόντα δούλου μορφὴν καθ' ἡμᾶς, Παρθένε Θεοτόκε. οὗ τὴν θείαν τιμῶντες, τῆς μορφῆς τὴν ἐμφέρειαν σέβομεν.

Ὠδὴ ε'. Τὸν ἐκ νυκτός.

Ἀνεπιστρέπτῳ τῷ πόθῳ, ἀεὶ πρὸς τὸ ἀνάντες, πρὸς σὲ Χριστὲ φερόμεναι, τῷ ἀκροτάτῳ ἁπάντων τῶν ἐφετῶν, τῶν Ἀγγέλων αἱ δυνάμεις, ἀκαταπαύστως σὲ δοξάζουσι.

Σὺ νοεροὺς κατ' οὐσίαν ἀφθάρτους, τῇ χάριτι τῇ σῇ Χριστὲ κατέστησας, ὑμνῳδοὺς τῆς σῆς μεγαλειότητος, τοὺς Ἀγγέλους σου κατ' εἰκόνα, δημιουργήσας ἀκατάληπτε.

Σὺ ἀκλινεῖς πρὸς τὸ χεῖρον, τῇ πρὸς σὲ ἐγγύτητι Χριστέ, τοὺς σοὺς ἐφύλαξας λειτουργούς. πηγὴ γὰρ ἀγαθότητος, σὺ ὑπάρχων ἀγαθύνας, τοὺς ἐπαξίως σοι λατρεύοντας. Θεοτοκίον.

Ἡ μετὰ τόκον Παρθένος, μόνη ἀπειρόγαμε, Ἁγνὴ Μαρία ἄχραντε, τῷ λιμένι σου ἡμᾶς καθόρμισον, ἐκ κινδύνων ὁδηγοῦσα, πρὸς σωτηρίαν τὴν αἰώνιον.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Ἀπαθοῦντι τῷ πάλαι, τοῦ Θεοῦ τὰ ἄρρητα, καὶ θεῖα θαύματα, Βαλαὰμ τῷ μάντει, ἐν ἀμφόδῳ ὁ Ἄγγελος ὄψει φανείς, φοβερῶς ἤλεγξε, καὶ λογικὸν τὸ ζῶον δείξας, τὸ τῆς φύσεως ἤμειψε γνώρισμα.

Σχεθέντι τῷ Πέτρῳ, καὶ εἱρκτῇ προσμένοντι, Ἄγγελος ὤφθη Θεοῦ, τῶν χειρῶν Ἡρώδου, καὶ δεσμῶν καὶ θανάτου λυτρούμενος. διὸ δεῦτε πάντες, ὡς τῶν ψυχῶν φρουροὺς ἐνθέους, τοὺς σοφοὺς Ἀρχαγγέλους τιμήσωμεν.

Τῶν πολέμων τὰς στάσεις, Ἄγγελοι Ἀρχάγγελοι, θεῖαι Δυνάμεις Θεοῦ, καὶ τῆς Ἐκκλησίας, τὰς αἱρέσεις, καὶ πάντα τὰ σκάνδαλα, ταῖς ὑμῶν λύσατε, πρὸς τὸν Θεὸν ἀεὶ πρεσβείαις, καὶ ἡμᾶς ἐν εἰρήνῃ φρουρήσατε. Θε.

Ἐν δυσὶ ταῖς οὐσίαις, ἕνα σε γινώσκομεν Θεὸν τῆς κτίσεως· ἐνεργείαις ἄμφω, καὶ θελήμασιν ὄντα ἀσύγχυτον, τὸν Υἱὸν τοῦ Θεοῦ, ἐκ γυναικὸς σάρκα λαβόντα. ἧς τὴν θείαν τιμῶμεν τοῖς πίναξιν.

Ὠδὴ ς'. Τὸν Ἰωνᾶν ἐν τῷ κήτει.

Θεοπρεπῶς, ἐκ μὴ ὄντων Κύριε, τῷ λόγῳ σου παρήγαγες, οὐσίας τῶν ἐπουρανίων ἀθανάτων στρατιῶν, φωτοειδεῖς αὐτὰς ἐργασάμενος.

Μύσται σεπτοί, τῆς Θεοῦ αἰνέσεως, γεγόνατε ἀσώματοι, πολῖται τῆς ἐπουρανίου, καὶ θείας ὄντως σκηνῆς, τῷ ποιητῇ ἀξίως λατρεύοντες.

Τῶν Ἀσωμάτων τάξεις νοεραί σε, Υἱὲ Θεοῦ προανάρχε. αἰνοῦσιν ἀκαταπαύστως, καὶ δοξολογοῦσιν, ὡς ποιητὴν καὶ κτίστην τοῦ σύμπαντος. Θεοτοκίον.

Τὸν τῷ Πατρὶ ἐν ὑψίστοις ἄχραντε, ἀνάρχως συνεδρεύοντα, ἀγκάλαις ταῖς σαῖς ἐπανακλῖναι ἠξίωσαι. Ὃν ἡμῖν δίδου ἁγνή, τοῖς δούλοις σου ἵλεων.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Ὡς πῦρ καὶ φλόγα καὶ φῶς, τοὺς Ἀσωμάτους ὑπάρχοντας, ἐκ τῆς ὑλώδους φθορᾶς, τὸν νοῦν ἀνιπτάμενοι, πηλίνοις ἐν χείλεσι, τοὺς ἀΰλους φόβῳ, ἐν τοῖς ᾄσμασι τιμήσωμεν.

Νεκρώσατε τῶν παθῶν, τὰς καταιγίδας Ἀρχάγγελοι, καὶ παύσατε σὺν αὐτοῖς, τὰ σκάνδαλα ἅπαντα, τῆς πίστεως Ἅγιοι· τῆς Τριάδος ὄντες, πυρίμορφοι Ἀρχιστράτηγοι.

Ἀρχάγγελοι τοῦ Θεοῦ, τῶν Ἀσωμάτων οἱ ἔξαρχοι, τῇ παρρησίᾳ ὑμῶν, ἐκ πάσης αἱρέσεως, ἡμᾶς διασώσατε, Μιχαὴλ ὁ Ἄρχων, καὶ Γαβριὴλ οἱ Ἀρχιστράτηγοι. Θε.

Νηδύος ὤφθης ἑκών, ἐξ ἀπειράνδρου σαρκούμενος, ὁ ἄσαρκος ὡς Θεός, Χριστὲ σαρκοφόρος δέ, ὡς ἄνθρωπος πέφυκας· οὗ τῆς ἐμφερείας, οἱ πιστοὶ τὸ εἶδος σέβομεν.

Κοντάκιον, ἦχος β'.

Ἀρχιστράτηγοι Θεοῦ, λειτουργοὶ θείας δόξης· τῶν ἀνθρώπων ὁδηγοί, καὶ Ἀρχηγοὶ ἀσωμάτων, τὸ συμφέρον ἡμῖν πρεσβεύσατε, καὶ τὸ μέγα ἔλεος, ὡς τῶν Ἀσωμάτων Ἀρχιστράτηγοι.

Ὁ Οἶκος.

Ἔφης φιλάνθρωπε ἐν γραφαῖς σου, πλήθη χαίρειν Ἀγγέλων ἐν ἀνθρώπῳ ἑνὶ μετανοοῦντι ἀθάνατε. Ὅθεν ἡμᾶς οἱ ἐν ἀνομίαις, ἀναμάρτητε μόνε καρδιογνῶστα, σὲ δυσωπεῖν καθ' ἑκάστην τολμῶμεν, ὡς εὐ-

σπλάγχνον, οἰκτεῖραι, καὶ καταπέμψαι ἀναξίοις κατάνυξιν Δέσποτα, παρέχων ἡμῖν συγχώρησιν· ὑπὲρ πάντων γὰρ ἡμῶν σοὶ πρεσβεύουσιν, οἱ τῶν ἀσωμάτων ἀρχιστράτηγοι.

Τῇ αὐτῇ Μηνὶ η΄. Ἡ σύναξις τῶν παμμεγίστων Ταξιαρχῶν Μιχαὴλ, καὶ Γαβριὴλ, καὶ πασῶν τῶν ἐπουρανίων Δυνάμεων ἀσωμάτων.

Στίχ. Ἐβουλόμην σοι, Μιχαὴλ ᾆσμα πρέπον, Ἆσαι πρεπόντως, ἀλλ᾽ ἄϋλον οὐκ ἔχω.

Ὀγδοάτῃ Οὐρανίου κυδαίνω τάγματος Ἀρχῶν.

Εἰς τὴν σύναξιν τῶν ἐννέα Ταγμάτων, Σεραφίμ, Χερουβίμ, Θρόνων, Κυριοτήτων, Ἐξουσιῶν, Ἀρχῶν, Δυνάμεων, Ἀρχαγγέλων, καὶ Ἀγγέλων.

Στίχ. Ἐπαξιόντι Ταγμάτων τῶν ἐννέα.

Τίς ἂν γόνος φθέγξαιτο μηνῶν ἐννέα.

Μιχαὴλ ὁ διαπρεπέστατος Ταξιάρχος τῶν ἀσωμάτων Δυνάμεων, εἴτε τῇ Παλαιᾷ Διαθήκῃ, εἴτε τῇ νέᾳ Χάριτι, πολλὰς αὐτοῦ τὰς χάριτας, καὶ εὐεργεσίας τῷ ἀνθρωπίνῳ γένει παρέδειξέ τε, καὶ παραδεικνύει. Ἐπεὶ γὰρ ὁ τῆς ἡμῶν σωτηρίας ἀντίπαλος, καὶ πολέμιος τραχηλιάσας κατὰ τοῦ κτίσαντος· καὶ τὸν θρόνον μου ἐπάνω τῶν νεφελῶν θήσομαι, νεανιευσάμενος εἰπὼν, καὶ τῷ Ὑψίστῳ ὅμοιος ἔσομαι καυχησάμενος, τοῦ Ἀρχαγγελικοῦ, ὥς φησιν ὁ Κύριος, ἐξέπεσεν ἀξιώματος. Ἐθεώρουν γάρ φησι, τὸν Σατανᾶν, ὡς ἀστραπὴν ἐκ τοῦ Οὐρανοῦ πεσόντα. τὰ παραπλήσια δὲ τούτῳ, καὶ τὸ ὑπ᾽ αὐτὸν τάγμα ἀλαζονευσάμενον πέπονθεν. Οὗτος ὁ πανάοιδιμος τὴν πρὸς τὸν Δεσπότην εὐγνωμοσύνην, ὡς πιστὸς οἰκέτης διαφυλάττων, καὶ περὶ τὸ γένος ἡμῶν πολλὴν τὴν κηδεμονίαν ἐπιδεικνύμενος, τῶν νοερῶν καὶ Ἀρχαγγελικῶν τάξεων πρωτεύειν ἐτάχθη παρὰ τοῦ Παντοκράτορος. Ἰδὼν γὰρ τὸν ἀποστάτην πεσόντα, συνήγαγε τοὺς τῶν Ἀγγέλων χορούς. καὶ εἰπών· πρόσχωμεν· ὕμνησε μετὰ φωνῆς τὸν τῶν ὅλων Κύριον. ὡσανεὶ λέγων· ὅτι πρόσχωμεν ἡμεῖς οἱ κτιστοὶ γεγονότες, τί πεπόνθασιν οἱ μεθ᾽ ἡμῶν, μέχρι τοῦ νῦν φῶς ὑπάρχοντες, καὶ νῦν γενόμενοι σκότος. Ἡ τοιαύτη οὖν συγκρότησις, ὠνομάσθη σύναξις τῶν Ἀγγέλων, τουτέστι προσοχὴ, καὶ ὁμόνοια, καὶ ἕνωσις. Οὗτος οὖν ὁ μέγας προστάτης, καὶ τῆς σωτηρίας ἡμῶν εὐεργέτης, τὰς σωτηριώδεις εὐεργεσίας πρὸς πάντας πλεονάζων καὶ ἐξαπλῶν, πολλοῖς ὀπτανόμενος καταφαίνεται. ὤφθη γὰρ τῷ Ἀβραάμ, καὶ τῷ Λὼτ ἐν τῇ τῶν Σοδόμων καταστροφῇ. Ἐφάνη τῷ Ἰακὼβ, τὸν ἀδελφὸν αὐτοῦ φεύγοντι. Προεπορεύετο τῆς παρεμβολῆς τῶν Υἱῶν Ἰσραὴλ, ὅτε τοὺς Αἰγυπτίων ἐλυτροῦντο, καὶ ἠλευθεροῦντο κακώσεως. Ἐφάνη τῷ Βαλαὰμ τὸν Ἰσραὴλ ἀπιόντι καταράσασθαι. Πρὸς δὲ τὸν Ἰησοῦν τοῦ Ναυῆ ἔφη, πυθόμενον· ἐγὼ Ἀρχιστράτηγος Κυρίου νυνὶ παραγέγονα. Οὗτος καὶ τοὺς ποταμοὺς παρὰ τῶν δυσσεβῶν, κατὰ τοῦ ἁγιάσματος, καὶ τοῦ εὐκτηρίου ἀπολυθέντας, τελείᾳ χωνείᾳ παρέπεμψε· καὶ πολλὰ ἕτερά ἐστιν ἐν τῇ θεοπνεύστῳ Γραφῇ ἱστορούμενα περὶ αὐτοῦ. Διά τοι τοῦτο καὶ ἡμεῖς προστάτην αὐτὸν καὶ φύλακα τῆς ζωῆς ἡμῶν προβαλλόμενοι, τὴν πάνσεπτον αὐτοῦ πανήγυριν τὰ νῦν ἑορτάζομεν. ἐξαιτούμενοι ταῖς προστασίαις, καὶ πρεσβείαις αὐτοῦ, καὶ ἐν τῷ νῦν αἰῶνι τῶν δυσχερῶν εὑρεῖν ἀπολύτρωσιν, καὶ ἐν τῷ μέλλοντι τῆς ἐπουρανίου χάριτος καὶ τάξεως καταξιωθῆναι. Ἀμήν.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

Ὢ Παρεστήκασιν ἀπαύστως, λειτουργοῦσαι μυριάδες τῶν Ἀγγέλων, τοῦ προσώπου ὁρᾶν, μὴ φέρουσαι τὴν θέαν· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ἀναβοῶσι.

Φῶτα ἀνέδειξας Οἰκτίρμων, τῶν Ἀγγέλων σου τὴν ἄϋλον οὐσίαν, τοῦ ἀρρήτου φωτὸς, πληρούμενα ἀπαύστως· εὐλογητὸς εἶ κράζοντα, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Λόγῳ σου τῷ ἐνυποστάτῳ, τῶν Ἀγγέλων τὴν πληθὺν δημιουργήσας· ἁγιάσας δὲ, θείῳ Πνεύματι Τριάδα, θεολογεῖν ἐδίδαξας, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὑρᾶς μὲν νοοῦντες ὑποστάσεις, ἀπερίγραπτον δοξάζομεν Οὐσίαν, τὸν Πατέρα Υἱὸν, σὺν Πνεύματι βοῶντες· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἄλλος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Σὺν χοροῖς Ἀσωμάτων, καὶ ἀνθρώπων τὸ γένος δεῦτε κροτήσωμεν, τὴν αἴσιον ἡμέραν, τὴν μνήμην ἐκτελοῦντες, τῶν σοφῶν Ἀρχαγγέλων Χριστοῦ· Ἅγιος, Ἅγιος, Ἅγιος ψάλλοντες, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ΩΣ φιλόξενοι πάλαι, Ἀβραὰμ ὁ θεόπτης, καὶ Λὼτ ὁ εὔδοξος, ἐξένισαν Ἀγγέλους, καὶ εὗρον κοινωνίαν, σὺν Ἀγγέλοις κραυγάζοντες· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

ΜΑνωὲ τῷ γενναίῳ, καὶ Τωβὴτ τῷ πανσόφῳ ὤφθησαν Ἄγγελοι, ἀμείβοντες τὰ ἆθλα, τοῦ βίου κατ' ἀξίαν. καὶ τῶν Παίδων ὁ Ἄγγελος, ἔσβεσε φλόγα ποτὲ, πυρὸς καμίνου ὄντως. Θεοτοκίον.

ΤΟ ἡμέτερον ὅλον, ἐκ Παρθένου φορέσας δίχα τροπῆς Ἰησοῦ· ταῖς φύσεσι διπλοῦν σε, ἀλλ' ἐν ᾗ ὑποστάσει πατρικῶς σε κηρύττομεν· ἧς καὶ τὸ εἶδος πιστῶς, σέβομεν ἐκτυποῦντες.

Ὠδὴ η'. Τὸν ἐν ὄρει ἁγίῳ.

ΤΩν Ἀγγέλων, ζηλώσωμεν τὸν βίον, καὶ τὰς φρένας, πτερώσωμεν εἰς ὕψος. καὶ σὺν αὐτοῖς ἀΰλως ἀναμέλψωμεν. Κύριον ὑμνοῦντες, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

ΘΙασῶται, χορείας οὐρανίου, οἱ τὸν θρόνον, ἐφέποντες τῆς δόξης, περὶ Θεόν τε πάντοσε στρεφόμενοι· Ἄγγελοι ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν αὐτὸν εἰς τοὺς αἰῶνας.

ΤΗν ἀΰλου, πυρὸς ποιοῦσαν φλόγα, τοὺς ἐν ὕψει ἀπαύστως λειτουργοῦντας, καὶ τοὺς Ἀγγέλους πνεύματα δεικνύουσαν, Τριάδα προσκυνοῦμεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

ΟΝ ἐν πόλῳ, παρεστήκασιν τρόμῳ, μυριάδες, Ἀγγέλων Ἀρχαγγέλων, ἐν ταῖς ἀγκάλαις φέρειν κατηξίωσαι, τοῦτον Θεοτόκε, πρέσβευε σωθῆναι, τοὺς δοξολογοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

ΑΡχων Ἀγγέλων πέφυκε, Μιχαὴλ ὁ Ἀρχάγγελος· ἀλλὰ συνδοξάζεται αὐτῷ λαμπρότατα, ὁ μύστης τῆς χάριτος, καὶ τῆς Παρθένου Μνήστωρ σεπτὸς, ὁ τῶν ἀσωμάτων Στρατηγὸς ἐπαξίως, χαρὰν προδιαγγέλων Γαβριὴλ τοῖς βοῶσι· λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΤΑ τῶν Ἀγγέλων τάγματα, ἐν ποικίλῃ μορφῇ κατιδὼν, Ἰεζεκιὴλ, προϊστορῶν ἐκήρυττεν. ἐν οἷς ἑξαπτέρυγα, τὰ Σεραφὶμ παρίστανται, καὶ τὰ Χερουβὶμ πολυομμάτως ἐκύκλουν· μεθ' ὧν τοὺς Ἀρχαγγέλους, ἠλεκτρίνους ἑώρα, Χριστὸν δοξολογοῦντας εἰς πάντας τοὺς αἰῶνας.

ΩΣ φοβερὰν τὴν ἔλευσιν, τῆς δευτέρας καθέδρας σου, ἐκδηλοποιῶν, ὁ Δανιὴλ προέλεγεν· ὡς θρόνοι ἐτέθησαν, καὶ Παλαιὸς ἐκάθισε· καὶ τὰς τῶν Ἀγγέλων μυριάδας ἀστάγει, ἐν φόβῳ παρεστώσας, καὶ φωναῖς ἀσιγήτοις, βοώσας τῇ Τριάδι εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

ΟΤῷ Πατρὶ καὶ Πνεύματι, ὁμοούσιος Λόγος ἐκὼν, ὤφθη καὶ ἡμῖν, ἐκ τῆς Παρθένου σύμμορφος, οὐ φύρας εἰς ἄλληλα, τὰς τῆς φρικτῆς ἑνώσεως. εἷς γὰρ ὁ αὐτὸς ἐν ἑκατέροις δείκνυται, ἐν δύο ταῖς οὐσίαις, καὶ μιᾷ ὑποστάσει· ἧς νῦν τῆς ἐμφερείας, τὸν τύπον προσκυνοῦμεν.

Ὠδὴ θ'. Ὄρους παρῆλθες.

ΣΕ τὸν ἀρρήτως ἑνώσαντα, τοῖς ἐπουρανίοις Χριστὲ τὰ ἐπίγεια, καὶ μίαν Ἐκκλησίαν ἀποτελέσαντα, Ἀγγέλων καὶ ἀνθρώπων, ἀκαταπαύστως μεγαλύνομεν.

ΑΓγελοί τε καὶ Ἀρχάγγελοι, Θρόνοι Ἐξουσίαι, καὶ Κυριότητες, Ἀρχαί τε καὶ Δυνάμεις, Χερουβὶμ, καὶ Σεραφὶμ, μετὰ τῆς Θεοτόκου, ὑπὲρ τοῦ Κόσμου ἱκετεύσατε.

ΑΑντων προστάται δεικνύμενοι, Μιχαὴλ σὺν τῷ Γαβριὴλ, ἐπισκέψασθε τοὺς ἐκ πόθου τιμῶντας, τὴν πανέορτον μνήμην ὑμῶν, καὶ πιστῶς ἀνυμνοῦντας, σώζετε παντοίας περιστάσεως. Θεοτοκίον.

ΑΟγον ἐδέξω τὸν ἄναρχον, φύσιν τὴν ἐμὴν ἀναπλάσαι βουλόμενον· καὶ τοῦτον σαρκωθέντα, Παρθένε τέτοκας. διό σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

Ἄλλος. Κυρίως Θεοτόκον.

ΝΟσούντων καὶ πλεόντων, καὶ τῶν ἐν ἀνάγκαις, πρὸς σωτηρίαν ὑπέρμαχοι ὤφθητε, τῶν Ἀσωμάτων οἱ πρῶτοι, Μιχαὴλ καὶ Γαβριήλ.

ΔΥνάμεων καὶ Θρόνων, χοροῖς σὺ πρωτεύων, ὡς στρατηγὸς τῶν Ἀγγέλων καὶ μύστης Θεοῦ, ὑπὲρ ἡμῶν τῷ Σωτῆρι Γαβριὴλ πρέσβευε.

ΩΣ φύλακες τοῦ Κόσμου, καὶ τῆς Ἐκκλησίας, καὶ Ταξιάρχαι τῶν ἄνω Δυνάμεων, ὑπὲρ ἡμῶν τὸν Σωτῆρα καθικετεύσατε. Θεοτοκίον.

ΣΥμφώνως Θεοτόκε, σὲ δοξολογοῦμεν, ὅτι παθῶν καὶ κινδύνων λυτροῦσαι ἡμᾶς. καὶ τὰς ἡμῶν ἱκεσίας ἐπ' ἀγαθοῖς συμπληροῖς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ ἱερῷ.

Ὡς πρόμαχον καὶ πρύτανιν, τοῦ βροτοὺς σε γνόας, καὶ προνομέα ἄριστον, Ἀρχιστράτηγε θεῖε, ἀνέδειξεν ὁ ποιητὴς καὶ Θεός. καὶ δόξῃ σε, τετίμηκεν ἀπορρήτως, τοῦ προσφωνεῖν ἀνενδότως, τὸν τρισάγιον καὶ θεῖον, ἐπινίκιον ὕμνον.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Ἀῤῥήτως πυρσευόμενος, ταῖς θεϊκαῖς ἐλλάμψεσι, τῆς ὑπερφώτου Τριάδος, διέρχῃ πᾶσαν τὴν κτίσιν, ὡς ἀστραπὴ Ἀρχάγγελε; πληρῶν τὸ θεῖον πρόσταγμα, Μιχαὴλ ἀστραπόμορφε, φρουρῶν, φυλάττων, καὶ σκέπων, τοὺς σὲ φαιδρῶς ἀνυμνοῦντας.

Θεοτοκίον. Ὅμοιον.

Εἰκόνος, ἧς μετέλαβον, θεουργικῶς τῆς κρείττονος, ἐξώσθην οἴμοι ὁ τάλας, δι' ἀκρασίας τῆς πάλαι. Σὺ δὲ Χριστὲ ὡς εὔσπλαγχνος, ἀῤῥήτως κοινωνήσας μοι, τοῦ χείρονος μετάληψας, καινοποιήσας Σωτήρ μου, παρθενικῶν ἐξ αἱμάτων.

Εἰς τοὺς Αἴνους, ἱστ. προσόμοια, ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Τῶν οὐρανίων ταγμάτων ὡς προεξάρχοντα, καὶ τῶν ἐν γῇ ἀνθρώπων, ἰσχυρόν σε προστάτην, φύλακα καὶ ῥύστην ὑμνοῦμεν πιστῶς, Μιχαὴλ Ἀρχιστράτηγε, καθικετεύοντες πάσης φθοροποιοῦ, ἀλγηδόνος ἡμᾶς ῥύσασθαι.

Ὁ Ταξιάρχης τῶν ἄνω θείων Δυνάμεων, σήμερον συγκαλεῖται, τῶν βροτῶν τὰς χορείας, μίαν σὺν Ἀγγέλοις φαιδρὰν ἑορτήν, συγκροτῆσαι συνάξεως, αὐτῶν τῆς θείας καὶ ἅμα ὕμνον Θεῷ, ἀναμέλψαι τὸν τρισάγιον.

Ὑπὸ τὴν σκέπην τῶν θείων ἡμᾶς πτερύγων σου, προσπεφευγότας πίστει, Μιχαὴλ θεῖε νόε, φύλαττε καὶ σκέπε, ἐν βίῳ παντί. καὶ ἐν ὥρᾳ Ἀρχάγγελε, τῇ τοῦ θανάτου σὺ πάρεσο βοηθός, ἡμῖν πᾶσιν ἀμενέστατος.

Δεχόμεθα τὸ α΄. Δόξα, ἦχος πλ. δ΄.

Ὅπου ἐπισκιάσει ἡ χάρις σου Ἀρχάγγελε, ἐκεῖθεν τοῦ διαβόλου διώκεται ἡ δύναμις· οὐ φέρει γὰρ τῷ φωτί σου προσμένειν, ὁ πεσὼν Ἑωσφόρος. διὸ αἰτοῦμεν σε, τὰ πυρφόρα αὐτοῦ βέλη, τὰ καθ' ἡμῶν κινούμενα, ἀπόσβεσον τῇ μεσιτείᾳ σου· λυτρούμενος ἡμᾶς, ἐκ τῶν σκανδάλων αὐτοῦ, ἀξιύμνητε Μιχαὴλ Ἀρχάγγελε.

Καὶ νῦν. Θεοτοκίον. Μακαρίζομέν σε.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος, Ὠδὴ γ΄. καὶ ς΄. Ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος δ΄.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα.

Στ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Ἀδελφοί, εἰ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη. Συνεπιμαρτυροῦντος τοῦ Θεοῦ, σημείοις τε καὶ τέρασι, καὶ ποικίλαις δυνάμεσι, καὶ Πνεύματος Ἁγίου μερισμοῖς, κατὰ τὴν αὐτοῦ θέλησιν. Οὐ γὰρ Ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν. Διεμαρτύρατο δέ πού τις, λέγων· Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἢ Υἱὸς ἀνθρώπου, ὅτι ἐπισκέπτῃ αὐτόν; Ἠλάττωσας αὐτὸν βραχύ τι παρ' Ἀγγέλους· δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα τῶν χειρῶν σου. Πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα. Τὸν δὲ βραχύ τι παρ' Ἀγγέλους ἠλαττωμένον, βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον· ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ἔπρεπε γὰρ αὐτῷ δι' ὃν τὰ πάντα, καὶ δι' οὗ τὰ πάντα, πολλοὺς Υἱοὺς εἰς δόξαν ἀγαγόντα, τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.

Κεφ. β΄. 1.

Ἀλληλούϊα, ἦχος β΄.

Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν Οὐρανῶν. αἰνεῖτε αὐτόν.

Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς. ὁ ἀκούων ὑμῶν, ἐμοῦ ἀκούει.

Ζήτει εἰς τὰς [illegible] Ὀκτωβρίου [illegible] εἰς τὴν Λειτουργ[illegible] τοῦ Ἁγίου Λουκᾶ.

Μηνὶ τῷ αὐτῷ θ΄.

Τῶν Ἁγίων Μαρτύρων Ὀνησιφόρου, καὶ Πορφυρίου· καὶ τῆς Ὁσίας Ματρώνης, καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη

Θεοκτίστης τῆς Λεσβίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας, καὶ εἰς Ὁσίας Γυναῖκας.

Μηνὶ τῷ αὐτῷ ι΄.

Τῶν Ἁγίων Ἀποστόλων Ὀλυμπᾶ, Ῥοδίωνος, Σωσιπάτρου, Τερτίου, Ἐράστου, καὶ Κουάρτου· καὶ τοῦ Ἁγίου Μάρτυρος Ὀρέστου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀποστόλους, καὶ εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ια΄.

Τῶν Ἁγίων Μαρτύρων Μηνᾶ, Βίκτορος, καὶ Βικεντίου· καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου τοῦ Στουδίτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας, καὶ εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ ιβ΄.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Ἐλεήμονος, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νείλου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην, καὶ εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ ιγ΄.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, εἰς τὸ Λυχνικόν, ψάλλομεν τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στί. ς΄. καὶ ψάλλομεν στι. ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Τὴν χρυσήλατον σάλπιγγα, τὸ Θεόπνευστον ὄργανον, τῶν δογμάτων πέλαγος ἀνεξάντλητον, τῆς Ἐκκλησίας τὸ στήριγμα, τὸν νοῦν τὸν οὐράνιον, τῆς σοφίας τὸν βυθόν, τὸν κρατῆρα τὸν πάγχρυσον, τὸν προχέοντα, ποταμοὺς διδαγμάτων μελιρρύτων, καὶ ἀρδεύοντα τὴν κτίσιν, μελῳδικῶς ἀνυμνήσωμεν.

Τὸν ἀστέρα τὸν ἄδυτον, τὸν ἀκτῖσι φωτίζοντα, διδαγμάτων ἅπασαν τὴν ὑφήλιον, τῆς μετανοίας τὸν κήρυκα, τὸν σπόγγον τὸν πάγχρυσον, τὸν ὑγρότητα δεινῆς, ἀπογνώσεως αἴροντα, καὶ δροσίζοντα, ἐκτακείσας καρδίας ἁμαρτίαις, Ἰωάννην ἐπαξίως, τὸν χρυσολόγον τιμήσωμεν.

Ὁ ἐπίγειος Ἄγγελος, καὶ οὐράνιος ἄνθρωπος, χελιδὼν ἡ εὔλαλος καὶ πολύφωνος, τῶν ἀρετῶν τὸ θησαύρισμα, ἡ πέτρα ἡ ἄρρηκτος, τῶν πιστῶν ὑπογραμμός· τῶν Μαρτύρων ἐφάμιλλος, ἰσοστάσιος τῶν Ἁγίων Ἀγγέλων, Ἀποστόλων, ὁ ὁμότροπος ἐν ὕμνοις, μεγαλυνέσθω Χρυσόστομος.

Δόξα, ἦχος πλ. β΄.

Ὅσιε τρισμάκαρ, Ἁγιώτατε Πάτερ, ὁ ποιμὴν ὁ καλός, καὶ τοῦ ἀρχιποίμενος Χριστοῦ μαθητής, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων. αὐτὸς καὶ νῦν πανεύφημε, Ἰωάννη Χρυσόστομε, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε.

Εἴσοδος, τό, Φῶς ἱλαρόν, τό, Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Μνήμη Δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος ὃς εὗρε σοφίαν, καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς, ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ. καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν Υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία, κατεσκεύασα βουλὴν καὶ γνῶσιν, καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου, καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ, χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου. οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν· χείλη δὲ Κεφ.
ἀνδρῶν ἐπίστανται χάριτας. στόμα σοφῶν ι. 3
μελετᾷ σοφίαν· Δικαιοσύνη δέ, ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δι-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καίου, οὐκ ὄλλυται ἐλπίς. Υἱὸς γὰρ δίκαιος, γεννᾶται εἰς ζωήν. Καὶ ἐν ἀγαθοῖς αὐτοῦ, καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διαπαντός, καὶ παρὰ Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται, καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ. Φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτὴν οὐ κοπιάσει, καὶ ὁ ἀγρυπνήσας δι' αὐτὴν ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς, αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ. Ὅτι ὁ πάντων δεσπότης ἠγάπησεν αὐτήν. Μύστης γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρετὶς τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ, καὶ φρόνησιν αὕτη διδάσκει· δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν. ἐπίσταται στροφὰς λόγων, καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει, καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων. Καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή. Ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ, καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ, καὶ ἐδεήθην αὐτοῦ, καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου, καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων. Καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ· Δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν, καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου. Ὅτι ἐγὼ δοῦλος σὸς, καὶ Υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου, καὶ ἀπὸ θρόνου δόξης σου, ἵνα συμπαροῦσά μοι διδάξῃ με, τί εὐάρεστόν ἐστι παρὰ σοί. Καὶ ὁδηγήσει με ἐν γνώσει, καὶ φυλάξει με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοὶ, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Ἐγκωμιαζομένου Δικαίου, εὐφρανθήσονται λαοί. ἀθανασία γάρ ἐστιν ἡ μνήμη αὐτοῦ, ὅτι καὶ παρὰ Θεῷ γινώσκεται, καὶ παρὰ ἀνθρώποις. Καὶ ἀρεστὴ Κυρίῳ ἡ ψυχὴ αὐτοῦ. Ἐπιθυμήσατε τοιγαροῦν ὦ ἄνδρες σοφίαν, καὶ ποθήσατε, καὶ παιδευθήσεσθε. Ἀρχὴ γὰρ αὐτῆς ἀγάπη, καὶ τήρησις νόμων. Τιμήσατε σοφίαν, ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε. Ἀπαγγελῶ ὑμῖν, καὶ οὐ κρύψω ἀφ' ὑμῶν μυστήρια Θεοῦ. Ὅτι αὐτὸς καὶ τῆς σοφίας ὁδηγός ἐστι, καὶ τῶν σοφῶν διορθωτής. Καὶ ἐν τῇ χειρὶ αὐτοῦ πᾶσα φρόνησις καὶ ἐργασιῶν ἐπιστήμη. Ἡ πάντων τεχνῖτις, ἐδίδαξέ με σοφία. ἔστι ἐν αὐτῇ, Πνεῦμα νοερὸν ἅγιον· Ἀπαύγασμα φωτὸς ἀϊδίου, καὶ εἰκὼν τῆς ἀγαθότητος τοῦ Θεοῦ. Αὕτη φίλους Θεοῦ καὶ προφήτας κατασκευάζει. Εὐπρεπεστέρα δέ ἐστιν ἡλίου, καὶ ὑπὲρ πᾶσαν ἀστέρων θέσιν. φωτὶ συγκρινομένη, εὑρίσκεται προτέρα. Αὕτη τοὺς θεραπεύσαντας αὐτὴν, ἐκ πόνων ἐρρύσατο, καὶ ὡδήγησεν ἐν τρίβοις εὐθείαις. Ἔδωκεν αὐτοῖς γνῶσιν ἁγίαν, καὶ διεφύλαξεν αὐτοὺς ἀπὸ ἐνεδρευόντων, καὶ ἀγῶνα ἰσχυρὸν ἐβράβευσεν αὐτοῖς· ἵνα γνῶσι πάντες, ὅτι δυνατωτέρα παντός ἐστιν ἡ εὐσέβεια. Καὶ οὐ μὴ κατισχύσῃ ποτὲ κακία σοφίας, οὐδ' οὐ μὴ παρελεύσεται πονηροὺς ἐλέγχουσα ἡ δίκη. Εἶπον γὰρ ἐν ἑαυτοῖς λογισάμενοι οὐκ ὀρθῶς· Καταδυναστεύσωμεν τὸν δίκαιον, μὴ φεισώμεθα τῆς ὁσιότητος αὐτοῦ, μηδὲ ἐντραπῶμεν πολιὰς πρεσβύτου πολυχρονίους. Ἔστω δὲ ἡμῶν ἡ ἰσχὺς, νόμος· Καὶ ἐνεδρεύσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι, καὶ ἐναντιοῦται τοῖς ἔργοις ἡμῶν, καὶ ἐπιφημίζει ἡμῖν ἁμαρτήματα παιδείας ἡμῶν. Ἐπαγγέλλεται γνῶσιν ἔχειν Θεοῦ, καὶ παῖδα Κυρίου ἑαυτὸν ὀνομάζει. Ἐγένετο ἡμῖν εἰς ἔλεγχον ἐννοιῶν ἡμῶν. Βαρύς ἐστιν ἡμῖν καὶ βλεπόμενος, ὅτι ἀνόμοιος τοῖς ἄλλοις ὁ βίος αὐτοῦ, καὶ ἐξηλλαγμέναι αἱ τρίβοι αὐτοῦ. Εἰς κίβδηλον ἐλογίσθημεν αὐτῷ, καὶ ἀπέχεται τῶν ὁδῶν ἡμῶν ὡς ἀπὸ ἀκαθαρσιῶν, καὶ μακαρίζει ἔσχατα δικαίων. Ἴδωμεν οὖν, εἰ οἱ λόγοι αὐτοῦ ἀληθεῖς, καὶ πειράσωμεν τὰ ἐν ἐκβάσει αὐτοῦ. Ὕβρει καὶ βασάνῳ ἐτάσω-

Κεφ. δ. 14.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

μεν αὐτὸν, ἵνα γνῶμεν τὴν ἐπιείκειαν αὐτοῦ. καὶ δοκιμάσωμεν τὴν ἀνεξικακίαν αὐτοῦ. Θανάτῳ ἀσχήμονι καταδικάσωμεν αὐτόν. ἔσται γὰρ αὐτοῦ ἐπισκοπὴ ἐκ λόγων αὐτοῦ. Ταῦτα ἐλογίσαντο καὶ ἐπλανήθησαν· ἀπετύφλωσε γὰρ αὐτοὺς ἡ κακία αὐτῶν. Καὶ οὐκ ἔγνωσαν μυστήρια Θεοῦ, οὐδὲ ἔκριναν ὅτι σὺ εἶ Θεὸς μόνος, ὁ ζωῆς ἔχων, καὶ θανάτου τὴν ἐξουσίαν, καὶ σῴζων ἐν καιρῷ θλίψεως, καὶ ῥυόμενος ἐκ παντὸς κακοῦ. ὁ οἰκτίρμων καὶ ἐλεήμων καὶ διδοὺς τοῖς ὁσίοις σου χάριν, καὶ τῷ σῷ βραχίονι τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος.

Εἰς τὴν Λιτήν, στιχηρὰ Ἰδιόμελα ἦχος α'.

Ἀνατολίου.

ΦΩστὴρ Ἰωάννη, στόμα χρυσεμφανές, ἐγκαλλώπισμα τῶν θεουργῶν ἀρετῶν, καὶ ἐνδιαίτημα γραφῶν μυσταρχικῶν. σὺ τοῦ παναχράντου Ἁγίου Πνεύματος, ἀκήρατος θησαυρὸς ἐχρημάτισας. ὅθεν ἐπεύφρανας πᾶσαν Ἐκκλησίαν, σωτηριώδεσι σου λόγῳ ὑπαρκτικῷ. παῤῥησίαν οὖν κεκτημένος πρὸς τὸν Θεόν, ἐν τῇ ἀπολαύσει τῆς ἄνω κληρουχίας, πρέσβευε ὑπὲρ ἡμῶν Πάτερ ἁγιώτατε.

Ὁ αὐτός.

ΕἘξεχύθη ἡ χάρις ἐν χείλεσί σου, Ὅσιε Πάτερ, Ἰωάννη Χρυσόστομε· διὰ τοῦτο ἐχρισέ σε ὁ Θεὸς Ἀρχιερέα τοῦ λαοῦ αὐτοῦ, ποιμαίνοντα τὸ ποίμνιον αὐτοῦ ἐν ὁσιότητι, καὶ δικαιοσύνῃ. διὸ περιζωσάμενος τὴν ῥομφαίαν τοῦ δυνατοῦ, διέκοψας τὰς γλωσσαλγίας τῶν αἱρέσεων. καὶ νῦν μὴ παύσῃ πρεσβεύων, εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'. Τοῦ Στουδίτου.

ΣΕ τὸν μέγαν Ἀρχιερέα, καὶ ποιμένα, τὸν ἄκακον, καὶ ὅσιον, τῆς μετανοίας τὸν κήρυκα, τὸ χρυσίπνοον στόμα τῆς χάριτος, εὐφημοῦντες πόθῳ δεόμεθα· μετάδος ἡμῖν τῶν πρεσβειῶν σου Πάτερ, εἰς ἀντίληψιν τῶν κατορθωμάτων σου.

Ὁ αὐτός. Γεωργίου Νικομηδείας.

ΧΡυσέοις λόγοις σου ἡ Ἐκκλησία, ὡς κόσμον χρυσοῦν περικοσμηθεῖσα, Ἰωάννη Χρυσόστομε, νυμφικῶς χαίρουσα βοᾷ σοι· κεκόρεσμαι ἐκ σῶν χρυσοβρύτων ναμάτων, καταγλαϊσθεῖσα χρυσοφαέσι, καὶ μελιχρύσοις πόμασιν. ἐκ πράξεως γὰρ εἰς θεωρίαν ἀνάγομαι, διὰ τῶν πραέων σου παραινέσεων· καὶ πρὸς Χριστὸν τὸν νοητὸν Νυμφίον ἑνοῦμαι, συμβασιλεύουσα αὐτῷ. διὸ καὶ ἡμεῖς συναθροισθέντες ἐν τῇ μνήμῃ σου κράζομεν· μὴ ἀποκάμῃς δεόμενος ὑπὲρ ἡμῶν πρὸς Κύριον, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

ΕἼληφας Ἱεράρχα, τὴν ἀνωτάτω Φιλοσοφίαν· καὶ ἔξω Κόσμου ἐγένου, ζῶν ὑπὲρ τὰ ὁρώμενα· καὶ ἔσοπτρον ἀκηλίδωτον Θεοῦ, θεῖον ἀνεδείχθης. καὶ ὢν ἀεὶ ἡνωμένος φωτί, φῶς προσελάμβανες, καὶ τρανώτερον τοῦ μακαρίου ἔτυχες τέλους. πρέσβευε Χρυσόστομε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

ΡἩήμασι χρυσαυγεστάτοις, τὴν ἥτερον σαφῶς κατηρδεύσας, χρυσόῤῥυτον ἔχων τήν τε ψυχὴν καὶ τὸ σῶμα Πανόλβιε, ταῦτα διαχρυσώσας τοῖς λόγοις σου, χρυσουργὲ ἐκ τῶν δογμάτων σου. καὶ βίβλους συγγραψάμενος χρυσογραφικάς, ἀνέπτης εἰς Οὐρανούς. διὸ βοῶμέν σοι· χρυσοῤῥόα, καὶ Χρυσόστομε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος ὁ αὐτός. Γερμανοῦ.

ΕἜπρεπε τῇ Βασιλίδι τῶν Πόλεων, Ἰωάννην ἔχειν Ἀρχιερέα, ὥσπερ τινὰ κόσμον βασιλικόν, καὶ χρυσήλατον σάλπιγγα, ταῦτα περιηχοῦσαν τὰ πέρατα, τὰ σωτήρια δόγματα, καὶ ταύτας συνεγείρουσαν, πρὸς συναυλισμὸν ᾀσμάτων θεοπρεπῶν. πρὸς ὃν βοήσωμεν· Χρυσολόγε, καὶ Χρυσόστομε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

ΣΕ τεῖχος κεκτήμεθα, Θεοτόκε ἄχραντε, καὶ εὔδιον λιμένα, καὶ ὀχύρωμα. διὸ δεόμεθα οἱ ἐν βίῳ χειμαζόμενοι, κυβέρνησον, καὶ διάσωσον ἡμᾶς.

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια, ἦχος πλ. α'.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

ΧΑίροις τὸ χρυσαυγές, καὶ τερπνόν, τῆς Ἐκκλησίας τὸ θεόπνευστον ὄργανον. ἡ γλῶσσα, ἡ φιλανθρώπως τῆς μετανοίας ἡμῖν, τοὺς ποικίλους τρόπους ὑπογράφουσα· ὁ νοῦς ὁ χρυσόμορφος, χελιδὼν ἡ χρυσόστομος. περιστερά τε, ψαλμικῶς τὰ μετάφρενα, χρυσαυγίζουσα, ἀρετῶν ἐν χλωρότητι. ῥεῖθρον χρυσοειδέστατον, προχέον τὰ νάματα, στόμα τὸ θεῖον, καὶ θείας, φιλανθρωπίας

ἐχέγ-

ἐχέγγυον. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

ϛ. Τὸ στόμα μου λαλήσει σοφίαν.

Χαίροις τῶν ὀρφανῶν ὁ Πατὴρ, ἀδικουμένων ὀξυτάτη βοήθεια, πενήτων ἡ χορηγία, ἡ τῶν πεινώντων τροφὴ, τῶν ἁμαρτανόντων ἡ διόρθωσις. ψυχῶν ἀκριβέστατος ἰατρὸς καὶ σεμνότατος. Θεολογίας, ὑψηλῆς ἡ ἀκρίβεια, ἡ σαφήνεια, τῶν γραφῶν τῶν τοῦ Πνεύματος. νόμος ὁ πρακτικώτατος, κανὼν ὁ ἀθύτατος, ἡ θεωρία καὶ πρᾶξις, αἱ τῆς σοφίας ἀκρότητες. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

ζ. Στόμα δικαίου μελετήσει σοφίαν.

Χαίροις ἡ Ἐκκλησία βοᾷ, σοὶ τῷ Νυμφίῳ ἑαυτῆς ὦ Χρυσόστομε· ὁ λάμψας εἰς πάντα Κόσμον, ὑπὲρ Ἡλίου βολὰς, ἀρεταῖς, καὶ λόγοις μαργαρώδεσι. Σοφῶν ὁ σοφώτατος, καὶ Ῥητόρων ὑπέρτατος. τῆς ἀληθείας τῶν δογμάτων ὑπέρμαχος· ψευδοῦς ἔλεγχος, μετανοίας Διδάσκαλος. χαίροις τὸ γαληνότατον, τῆς γνώσεως πέλαγος, ὁ κατὰ Παῦλον τὸν μέγαν, στόμα, καὶ νοῦν κληρωσάμενος. Χριστὸν, ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. β'.

Σάλπιγξ χρυσόφωνος, ἀνεδείχθης χρυσοῤῥῆμον Χρυσόστομε, χρυσουργῶν τὰς καρδίας τῶν πιστῶν, τοῖς χρυσεπόνοις σου διδάγμασι. προφητικῶς γὰρ ἐξῆλθεν ὁ φθόγγος τῶν δογμάτων σου, Ὅσιε Πάτερ, καὶ Κόσμου παντὸς τὰ πέρατα ἐφώτισας.

Καὶ νῦν, Θεοτοκίον. Ὁ αὐτός.

Ὁ ποιητὴς καὶ λυτρωτής μου πάναγνε Χριστός.

Ἀπολυτίκιον, ἦχος πλ. δ'.

Ἡ Τοῦ στόματός σου καθάπερ πυρσὸς ἐκλάμψασα χάρις, τὴν Οἰκουμένην ἐφώτισεν, ἀφιλαργυρίας τῷ Κόσμῳ θησαυροὺς ἐναπέθετο. τὸ ὕψος ἡμῖν τῆς ταπεινοφροσύνης ὑπέδειξεν. ἀλλὰ σοῖς λόγοις παιδεύων, Πάτερ Ἰωάννη Χρυσόστομε. πρέσβευε τῷ Λόγῳ Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. κάθ. ἦχ. πλ. δ'.

Τὴν Σοφίαν, καὶ Λόγον.

Τὴν σοφίαν ἐξ ὕψους καταμαθὼν, καὶ τὴν χάριν τῶν λόγων παρὰ Θεοῦ, τοῖς πᾶσιν ἐξέλαμψας, ὡς χρυσὸς ἐν καμίνῳ· καὶ τὴν Ἁγίαν Τριάδα, Μονάδα ἐκήρυξας· τὴν φιλάργυρον πλάνην, τοξεύσας τοῖς λόγοις σου· ὅθεν καὶ πρὸς ζῆλον, Βασιλίδα ἐλέγξας· Ἀρσάκου κατήσχυνας, τὸ ἀλλόφυλον φρύαγμα, Ἰωάννη Χρυσόστομε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Δίς.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινὴν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν πειρασμῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην πανάμωμε· ἁμαρτιῶν τε φόρτῳ, φανεῖσαν ὑπέραντλον, καὶ εἰς πυθμένα Ἅδου, πεσεῖν κινδυνεύουσαν. φθάσον Θεοτόκε, τῇ θερμῇ σου πρεσβείᾳ, καὶ σῶσον παρέχουσα, σὸν λιμένα τὸν εὔδιον, ἵνα πίστει κραυγάζω σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων δοῦναί μοι τὴν ἄφεσιν. σὲ γὰρ ἔχω ἐλπίδα ὁ ἀνάξιος δοῦλός σου.

Μετὰ τὴν β'. στιχολ. κάθ. ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Τὸν λειμῶνα τῶν λόγων τῶν θεοπνεύστων γραφῶν, τὸν ἡμᾶς ὁδηγοῦντα πρὸς τὴν μετάνοιαν, τὸν τοὺς ποικίλους πειρασμοὺς ὑπομείναντα, τὸν Χρυσόστομον πιστοὶ, ὡς διδαχθέντες ὑπ' αὐτοῦ, τιμήσωμεν κατὰ χρέος· πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς Συλλήψεως; καὶ ὁ ἄφραστος τρόπος ὁ τῆς Γεννήσεως, ἐν σοὶ ἐγνωρίσθαι ἁγνὴ Ἀειπάρθενε. καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμὸν ἡ δόξα σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλωμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὸν Πολυέλεον, κάθ. ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Τοῖς χρυσέοις λόγοις σου ἡ Ἐκκλησία, ἀρδομένη ἅπαντας, ποτίζει νάματα χρυσᾶ, καὶ ἰατρεύει νοσήματα, χρυσοῦ Εὐφράτα, παμμάκαρ Χρυσόστομε.

Δόξα, ἕτερον, ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Οὔτε ἔχθρα συνόδου, οὖσα παράνομος, οὔτε μῖσος Αὐγούστης οὔσης παράφρονος, τὰς ἀρετὰς τὰς ἐν σοὶ Πάτερ κατέσβεσαν. ἀλλ' ὡς χρυσὸς ἐν τῷ πυρὶ, δοκιμασθεὶς τῶν πειρασμῶν, καθικετεύεις ἀπαύστως, πρὸς

τὴν Ἁγίαν Τριάδα· ὑπὲρ ἧς ἠγωνίσω ζέων τῷ Πνεύματι.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν ταχεῖαν σου σκέπην, καὶ τὴν ἀντίληψιν, καὶ τὸ ἔλεος δεῖξον ἐπὶ τὸν δοῦλόν σου. καὶ τὰ κύματα Ἁγνὴ κατάπραϋνον, τῶν ματαίων λογισμῶν· καὶ τὴν πεσοῦσάν μου ψυχὴν ἀνάστησον Θεοτόκε. οἶδα γὰρ οἶδα Παρθένε, ὅτι ἰσχύεις, ὅσα καὶ βούλοιο.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμ. ἦχος δ΄.

Τὸ στόμα μου λαλήσει σοφίαν.

Στ. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ι΄. 1. Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν· ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας εἰς τὴν αὐλὴν τῶν προβάτων, ἀλλὰ ἀναβαίνων ἀλλαχόθεν, ἐκεῖνος κλέπτης ἐστὶ, καὶ λῃστής. Ὁ δὲ εἰσερχόμενος διὰ τῆς θύρας, ποιμήν ἐστι τῶν προβάτων. Τούτῳ ὁ θυρωρὸς ἀνοίγει, καὶ τὰ πρόβατα τῆς φωνῆς αὐτοῦ ἀκούει. καὶ τὰ ἴδια πρόβατα καλεῖ κατ᾿ ὄνομα, καὶ ἐξάγει αὐτά. Καὶ ὅταν τὰ ἴδια πρόβατα ἐκβάλῃ, ἔμπροσθεν αὐτῶν πορεύεται· καὶ τὰ πρόβατα αὐτῷ ἀκολουθεῖ, ὅτι οἴδασι τὴν φωνὴν αὐτοῦ. Ἀλλοτρίῳ δὲ, οὐ μὴ ἀκολουθήσωσιν, ἀλλὰ φεύξονται ἀπ᾿ αὐτοῦ, ὅτι οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν. Ταύτην τὴν παροιμίαν εἶπεν αὐτοῖς ὁ Ἰησοῦς. ἐκεῖνοι δὲ οὐκ ἔγνωσαν, τίνα ἦν ἃ ἐλάλει αὐτοῖς. Εἶπεν οὖν πάλιν αὐτοῖς ὁ Ἰησοῦς· Ἀμὴν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων. Πάντες ὅσοι ἦλθον πρὸ ἐμοῦ, κλέπται εἰσὶ, καὶ λῃσταί· ἀλλ᾿ οὐκ ἤκουσαν αὐτῶν τὰ πρόβατα. Ἐγώ εἰμι ἡ θύρα· δι᾿ ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἱεράρχου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις.

Εἶτα τό. Ἐλέησόν με ὁ Θεός.

Ἰδιόμελον, ἦχος πλ. β΄.

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου Ὅσιε Πάτερ, καὶ γέγονας ποιμὴν, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας· διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Ὁ Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκρ. Πολλοῖς συνεχόμενος, μετὰ τοῦ Εἱρμοῦ εἰς ς΄. καὶ τοῦ Ἁγίου εἰς η΄.

Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς.

Τοῦ Πνεύματος μέλπω σε τὸ χρυσοῦν στόμα.

Θεοφάνους. Ὠδὴ α΄. ἦχος πλ. δ΄.

Ἁρματηλάτην Φαραώ.

Ἧς μετανοίας γεγονὼς θερμότατος, κήρυξ Χρυσόστομε, μετανοεῖν Πάτερ, τῷ Θεῷ με πρέσβευε, ἐξ ὅλης τῆς καρδίας μου. καὶ τῶν πάλαι πταισμάτων, θεραπευθῆναι τὰ τραύματα, τῇ σῇ συμπαθείᾳ δυσώπησον.

Ὅλην τὴν αἴγλην τοῦ Ἁγίου Πνεύματος, Πάτερ δεξάμενος, ὁλολαμπὴς ὤφθης, στῦλος προηγούμενος, τῆς Ἐκκλησίας Ὅσιε, φωτεινή τε νεφέλη, Παμμάκαρ ἐπισκιάζουσα, τὰ τῶν ὀρθοδόξως συστήματα.

Ὑπὸ Χριστοῦ προχειρισθεὶς Διδάσκαλος, θείᾳ διδάγματα, χρυσοειδεῖ γλώσσῃ, γνώμῃ τε θεόφρονι, πλουσίως σὺ ἐπήγασας. τοῦ Θεοῦ ποταμὸς γὰρ, ὑδάτων πλήρης τοῦ Πνεύματος, ὤφθης θεοφάντορ Χρυσόστομε.

Θεοτοκίον.

Πεποικιλμένη ποικιλίᾳ χάριτος, Θεοχαρίτωτε, τὸν τοῦ Πατρὸς Λόγον, σάρκα χρηματίσαντα, δι᾿ εὐσπλαγχνίαν ἄφατον, ὑπὲρ νοῦν τε καὶ λόγον, εὐλογημένη γεγέννηκας, μείνασα Παρθένος ἀμόλυντος.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾿ ἀρχάς.

Νοῦν σὺ Χριστοῦ πεπλουτηκὼς, σῇ καθαρᾷ πολιτείᾳ, τῆς ἀνθρώπων σωτηρίας ἐγένου, συνεργὸς, ὑφηγητὴς, δημιουργὸς Χρυσόστομε, διδασκαλίας βρύων, σωτηριώδους θεόπνευστε.

Ἐκ τῶν ἀΰλων θησαυρῶν, τοῦ Πνεύματος σὺ πλουτήσας, ἐκ πηγῶν τοῦ σωτηρίου ἀντλήσας, τὴν ἀέναον πηγὴν, τῶν διδαγμάτων ἤρδευσας, τῆς Ἐκκλησίας ἅπαν, Ὅσιε Πάτερ τὸ πρόσωπον.

Ὑλομανούσας τῶν ψυχῶν, Χρυσόστομε τὰς ἀρούρας, τῇ πανσόφῳ γεωργίᾳ τῶν λόγων, ἐξεκάθηρας σαφῶς, καὶ καρποφόρους ἔδειξας, τοῖς οὐρανίοις ὄμβροις, ταύτας ἐπάρδων θεόληπτε.

Θεοτοκίον.

Μῶμος ἐν σοὶ, καὶ μολυσμὸς, οὐκ ἔστιν ὅλως Παρθένε· ἐνδιαίτημα δὲ μᾶλλον ἐφάνης, οὐρανίων ἀρετῶν· ἐν σοὶ γὰρ κατεσκήνωσε, τῶν ἀρετῶν ἡ πᾶσα, ἁγιωσύνη Πανάμωμε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἦχος πλ. δ΄. Τὴν σοφίαν, καὶ Λόγον.

Τῆς ἀῤῥήτου σοφίας θεοπτικῶς, ἐξαντλήσας τὸν πλοῦτον τὸν μυστικὸν, πᾶσιν ἐθησαύρισας, ὀρθοδοξίας τὰ νάματα. τῶν μὲν πιστῶν καρδίας, εὐθέως εὐφραίνοντα, τῶν δὲ ἀπίστων ἀξίως, βυθίζων τὰ δόγματα. ὅθεν δι᾽ ἀμφοτέρων, εὐσεβείας ἱδρῶσιν, ἐδείχθης ἀήττητος, τῆς Τριάδος ὑπέρμαχος, Ἰωάννη Χρυσόστομε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτ. Ὅμοιον.

Τὸν φλογμὸν τῆς γεέννης, καὶ ἐμπρησμὸν, τὸν κλαυθμὸν τὸν ἐν ταύτῃ, καὶ ὀδυρμὸν, τὸν ἐλεεινότατον, χωρισμὸν, καὶ πικρότατον, τοῦ τῶν Ἁγίων κλήρου, καὶ τῆς ὁμηγύρεως, ἐνθυμουμένη φρίξον, ψυχή μου, καὶ στέναξον. καὶ τὰ γραμματεῖα, τῶν μυρίων χρεῶν σου, ἀπαλεῖψαι ἐπείχθητι, κατανύξεως δάκρυσι· συνεργὸν ἀκαταίσχυντον, ἔχουσα τὴν ἁγνὴν Θεομήτορα. δι᾽ αὐτῆς γὰρ τῶν πταισμάτων δίδοται ἡ ἄφεσις, τοῖς αὐτὴν Θεοτόκον ὀρθοδόξως δοξάζουσιν.

Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Ἄλλον ἡμῖν, τῶν Ἀποστόλων ὁμότροπον, ὁ προνοίᾳ πάντων προμηθούμενος, ὡς ἀγαθὸς, δέδωκε Χριστὸς, σὲ τῆς οὐρανίου, μυσταγωγίας τὸν κήρυκα, καὶ θεῖον ὑποφήτην, μυστηρίων τῶν ἄνω, Ἰωάννη παμμάκαρ Χρυσόστομε.

Τὸν χρυσαυγῆ, καὶ χρυσολόγον τιμήσωμεν, Ἰωάννην πάντες τὸν χρυσώσαντα, χρυσοειδέσι μαρμαρυγαῖς, τῆς διδασκαλίας, καὶ Κόσμον γνώσει φαιδρύναντα, χρυσίου λαμπροτέρα, καὶ φωτὸς πληρεστάτῃ, ἐκβρυούσῃ τὴν χάριν τὴν ἔνθεον.

Ὅλος Θεοῦ, γέγονας κατοικητήριον. ὅλος ὤφθης, ὄργανον τοῦ Πνεύματος, ἀνάφωνον, πάσης ἀρετῆς, θεόπνευστον μέλος, καὶ σωτηρίας ὑπόθεσιν. καὶ κάλλος ὑποφαῖνον, Οὐρανῶν Βασιλείας, Ἰωάννη παμμάκαρ Χρυσόστομε.

Τοῦ Θεοῦ, τὴν εὐσπλαγχνίαν ἐκήρυξας, μετανοίας τρόπους ἐκτιθέμενος, καὶ τῶν κακῶν τὴν ἀποφυγὴν, ἄριστα διδάσκων, παμμάκαρ, καὶ τελεώτατα· καὶ ἔργων τῶν ἀρίστων, παραινέσεις ὑφαίνων, πανσεβάσμιε Πάτερ Χρυσόστομε.

Θεοτοκίον.

Μετὰ Θεὸν, σὲ προστασίαν κεκτήμεθα. σὺ γὰρ Μήτηρ, Θεοῦ ἐχρημάτισας, τοῦ ποιητοῦ καὶ δημιουργοῦ, τοῦ τὴν ἡμετέραν, μορφὴν λαβόντος πανάμωμε, καὶ ταύτην σεσωκότος, ἐκ φθορᾶς καὶ θανάτου, καὶ τῇ δόξῃ τῇ θείᾳ δοξάσαντος.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ἐκκλησίας φωστῆρα, πάντες σε γινώσκομεν φωτοειδέστατον, καὶ ψυχῶν σωτῆρα, ἀφαρπάζοντα ταύτας τοῦ φάρυγγος, τοῦ θανατηφόρου, καὶ πρὸς ζωὴν καθοδηγοῦντα, τὴν αἰώνιον Πάτερ ἀοίδιμε.

Τὰς τὰς παρατάξεις, τῶν αἱρετιζόντων συμπεριφραξάμενος, εὐσεβείας ὅπλοις, καὶ ἀνδρείᾳ ψυχῆς ἱερώτατε. συγκροτεῖς δὲ χαίρων, περιφανῶς τῶν ὀρθοδόξων, τὰς χορείας συνδέσμῳ τοῦ Πνεύματος.

Πλήρεις ὥσπερ φιάλαι, θείων ἀρωμάτων μὲν αἱ σιαγόνες σου, καὶ τὴν οἰκουμένην νοηταῖς εὐωδίαις εὐφραίνουσι, τῇ τῶν νοημάτων, μυρεψικῇ μυσταγωγίᾳ, καὶ τῷ κάλλει τῶν λόγων σου πάνσοφε.

Θεοτοκίον.

Ὡς Θεὸν συλλαβοῦσαν, τὸν δημιουργόν τε καὶ κτίστην καὶ Κύριον, γενεαί σε πᾶσαι τῶν ἀνθρώπων Ἁγνὴ μακαρίζουσι. καὶ τῶν Ἀσωμάτων, αἱ νοεραὶ ταξιαρχίαι, ὡς Μητέρα Θεοῦ σε δοξάζουσιν.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Σοφίᾳ πνευματικῇ, τὸν Κόσμον ὅλον ἐπλούτισας, τοῦ λόγου διανομεὺς, γενόμενος πλούσιος. πλουσία γὰρ ἄνωθεν, Ἱεράρχα χάρις, ἐξεχύθη σου τοῖς χείλεσιν.

Εἰς πᾶσαν ὡς ἀστραπὴ, τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου· καὶ δύναμις δὲ τῶν σῶν, ῥημάτων Χρυσόστομε, ὡς σάλπιγξ πανεύσημος, Οἰκουμένης πάντα, περιήχησε τὰ πέρατα.

Τὸν ἄνωθεν ὑφαντὸν, χιτῶνα περιβαλλόμενος, παμμάκαρ τῶν ἀρετῶν, καὶ λόγων λαμπρότητα, περιποιησάμενος, ἀληθείας ὤφθης, περιδέξιον ἑδραίωμα.

Θεοτ.

Ὁ Παντοκρατορικῇ, δυνάμει φέρων τὰ σύμπαντα, τὸ ἀσθενὲς τῆς σαρκὸς, ἐκ σοῦ περιβάλλεται, Παρθένε πανάμωμε, ἐπ᾽ εὐεργεσίᾳ, τῶν ἀνθρώπων ὁ φιλάνθρωπος.

Κοντάκ. Ἦχος πλ. β΄. Τὴν ὑπὲρ ἡμῶν.

Ἐκ τῶν Οὐρανῶν ἐδέξω τὴν θείαν χάριν, καὶ διὰ τῶν σῶν χειλέων πάντας διδάσκεις,

προσκυνῶν ἐν Τριάδι τὸν ἕνα Θεόν, Ἰωάννη Χρυσόστομε, παμμακάριστε Ὅσιε, ἐπαξίως εὐφημούμενος· ὑπάρχεις γὰρ καθηγητὴς, ὡς τὰ θεῖα σαφῶν.

Ὁ Οἶκος.

Τῷ τῶν ὅλων ποιητῇ κλίνω τὸ γόνυ, τῷ προαιωνίῳ Λόγῳ χεῖρας ἐκτείνω, λόγου ζητῶν χάρισμα, ἵνα ὑμνήσω τὸν Ὅσιον, ὃν αὐτὸς ἐμεγάλυνε. φησὶ γὰρ τῷ Προφήτῃ, ὁ ζῶν εἰς τοὺς αἰῶνας. δοξάσω τοὺς ἐν πίστει δοξάζοντάς με. ὁ οὖν ἐν τοῖς πάλαι τὸν Σαμουὴλ ἀνυψώσας, ἐδόξασε νῦν τὸν Ἱεράρχην. Τὸ τάλαντον γὰρ ὃ ἐπιστεύθη, καλῶς ἐμπορευσάμενος, τῷ Βασιλεῖ προσήγαγε. διὸ καὶ ὑπερύψωσεν αὐτὸν ὁ ὑπερούσιος. Τούτου χάριν αὐτῷ ὁ ἀνάξιος ἐγὼ, λόγον δέξασθαί με, ἵνα ἰσχύσω εὐσεβῶς ἀνυμνῆσαι αὐτόν. τῶν περάτων γὰρ αὐτὸς ὑπάρχει καθηγητὴς, ὡς τὰ θεῖα σαφῶν.

Τῇ αὐτῇ Μηνὶ ιγ΄. Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

Στ. Μύσας ὁ χρυσοῦς Ἰωάννης τὸ στόμα.
Ἀφῆκεν ἡμῖν ἄλλο τὰς βίβλους στόμα.
Ἀμφὶ τρίτῃ καὶ δεκάτῃ σίγησε χρύσεα χείλη.

Οὗτος ὁ μέγας φωστὴρ, καὶ διαπρύσιος τῆς Οἰκουμένης διδάσκαλος, ἦν ἐκ τῆς μεγαλοπόλεως Ἀντιοχείας, πατρὸς Σεκούνδου στρατηλάτου, καὶ μητρὸς Ἀνθούσης, ἀμφοτέρων εὐσεβῶν καὶ πιστῶν. Εὐθὺς οὖν ἐν ἀρχῇ τοῦ βίου πολὺν περὶ τοὺς λόγους ἐκτήσατο ἔρωτα. Τῇ οὖν περὶ τούτους σπουδῇ, καὶ τῇ τῆς φύσεως ὀξύτητι, πᾶσαν ἑλληνικὴν παιδείαν μετῆλθε, φοιτήσας παρὰ Λιβάνιον, καὶ Ἀνδραγάθιον τοὺς ἐν Ἀντιοχείᾳ Σοφιστὰς, εἶτα τοὺς ἐν Ἀθήναις. Μελετήσας δὲ καλῶς τήν τε τῶν Ἑλλήνων, καὶ Χριστιανῶν γραφὴν, καὶ εἰς τὸ ἄκρον τῆς περὶ αὐτὴν ἐλάσας γνώσεως, καὶ ἁγνείᾳ καὶ καθαρότητι τὸν βίον κοσμήσας, εἰς τὸ τοῦ Κληρικοῦ ἀνάγεται σχῆμα παρὰ τοῦ ἐν Ἁγίοις Μελετίου Πατριάρχου Ἀντιοχείας. παρὰ δὲ Φλαβιανοῦ Διάκονος, καὶ Πρεσβύτερος. Πολλοὺς δὲ συντάξας λόγους κρείττονας ἀριθμοῦ, περί τε μετανοίας, καὶ τῆς ἐν ἤθεσι καταστάσεως, καὶ πᾶσαν τὴν θεόπνευστον Γραφὴν ἑρμηνεύσας. ἐπεὶ Νεκτάριος ὁ τῆς Κωνσταντινουπόλεως Πρόεδρος τὸν βίον ἀπέλιπε, ψήφῳ τῶν Ἐπισκόπων, καὶ τῇ τοῦ Βασιλέως Ἀρκαδίου προστάξει, ἐκ τῆς Ἀντιοχείας παραπεμφθεὶς, Ἀρχιερεὺς τῆς Βασιλίδος καθίσταται Πόλεως, κανονικῶς τὴν χειροτονίαν δεξάμενος. Ἐπέτεινε δὲ πλέον τὴν ἐν ταῖς ἑρμηνείαις τῆς Γραφῆς σπουδὴν, καὶ τὴν ἐν ταῖς διαλέξεσι διδασκαλίαν· δι' ἧς πολλοὺς πρὸς θεογνωσίαν καὶ μετάνοιαν ἤγαγε. Τοσοῦτον δὲ ἑαυτὸν ἐπέδωκε τῇ ἀσκήσει καὶ ἐγκρατείᾳ, ὡς βραχέως μόνου μεταλαμβάνειν τοῦ ἐκ κριθῆς χυλοῦ, καὶ ὕπνου μικροῦ, καὶ τοῦτο οὐκ ἐπὶ κλίνης, ἀλλ' ἱστάμενος, καὶ σχοινίοις τισὶ διαβασταζόμενος· ἀδεὲς ὀκλάσαι, καθεζόμενος. Τῷ δὲ περιόντι τῆς πρὸς τοὺς δεομένους φιλανθρωπίας, καὶ ἑτέροις πολλοῖς εἰς τοῦτο καθίσταται τύπος. Ὅθεν καὶ ἐν λόγοις ἐδίδασκε προσφυῶς, πρὸς τὴν τοιαύτην ἀρετὴν διακεῖσθαι, καὶ τῆς πλεονεξίας ἀπέχεσθαι. Διά τοι τοῦτο καὶ Εὐδοξίᾳ τῇ Βασιλίσσῃ πρῶτον προσέκρουσε, καὶ εἰς ἔχθραν κατέστη. Ἡ μὲν γὰρ ἥρπασεν ἀμπελῶνα χήρας τινός· καὶ ἡ χήρα ἐπεβοᾶτο ζητοῦσα τὸ ἑαυτῆς. Καὶ ὁ Ἅγιος παρῄνει τὸ ἀλλότριον μὴ κατέχειν. καὶ μὴ πειθομένην τὴν Βασιλίδα, διήλεγχε· καὶ τῷ μετὰ τὴν Ἰεζάβελ ὑποδείγματι ἐστηλίτευεν. Ἡ δὲ ἀποθηριοῦται, ἐγκρατῶς ἐχομένη τοῦ ἀμπελῶνος, καὶ τοῦ θρόνου ἀπελαύνει αὐτόν. τὸ μὲν πρῶτον, δι' ἑαυτῆς, τὸ δὲ δεύτερον, δι' Ἐπισκόπων, οἱ ταῖς δυναστείαις μᾶλλον, ἢ τῇ εὐσεβείᾳ ἐπολιτεύοντο. Εἶτα πάλιν ἀποκαθίσταται εἰς τὸν θρόνον αὐτοῦ. καὶ ὁ μὲν Ἅγιος πάλιν τὸ τελευταῖον ἐν Κουκουσῷ τῆς Ἀρμενίας ἐξορισθεὶς, καὶ θλίψεσι προσομιλήσας πολλαῖς, τὴν τιμίαν αὐτοῦ ψυχὴν τῷ Κυρίῳ παρέθετο. Ὡς δὲ ἡ κατ' αὐτὸν Ἱστορία δηλοῖ, ὅτι μετὰ τὴν τούτου ἀπὸ τοῦ θρόνου κάθοδον καὶ ὑπερορίαν, οἱ συνεργήσαντες εἰς τὴν τούτου ἐξορίαν, νόσοις ἐξετασθέντες δειναῖς, καὶ διαφόροις, τοῦ ζῆν ἀπηλλάγησαν, τὰς ψυχὰς ἀπορρήξαντες· τῆς Εὐδοξίας πρώτης τοῦτο παθούσης, ὡς καὶ πρώτης ἀνομησάσης, καὶ τοῖς Ἐπισκόποις γενομένης ἀπωλείας πρόξενος. Φασὶ δὲ, ὅτι μετὰ τὴν αὐτῆς τελευτὴν, πρὸς ἔλεγχον τῆς εἰς τὸν Χρυσόστομον ἀδικίας, ἡ λάρναξ ἔνθα κατετέθη, ἐκινεῖτο ἐπὶ χρόνοις τριάκοντα καὶ δύο. Ἐν

δὲ τῷ ἀνακομισθῆναι τὸ τοῦ Χρυσοστόμου τίμιον λείψανον, καὶ ἀποτεθῆναι ἔνθα νῦν ἐστι, τοῦ κλόνου καὶ τῆς κινήσεως ἔστη. Ταῖς τοῦ Χρυσορρήμονος πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζʹ. Θεοῦ συγκατάβασιν.

Χρηστότητος ἄβυσσον, καὶ εὐσπλαγχνίας μεμυημένος Θεοῦ, ἐγγυόμενος ὤφθης, τοῖς σωτηρίαν μετανοοῦσι θερμῶς, καὶ ὁλοψύχως Κυρίῳ κραυγάζουσιν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ῥυθμίζεις Χρυσόστομε, ταῖς διδαχαῖς σου πάντων διάνοιαν, καὶ ψυχῶν θεραπεύεις τὰς ἀῤῥωστίας, ὡς συμπαθέστατος. καὶ εὐδρομοῦσι συμψάλλεις γηθόμενος· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὑψώθης γηθόμενος, ἐκλελεγμένος Ὅσιος ἄκακος, Ἱερεὺς τοῦ ὑψίστου, δικαιοσύνην ἐνδεδυμένος λαμπρῶς, καὶ εὐφροσύνην, κραυγάζων πανόλβιε· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Συνέλαβες Ἄχραντε, τὸν ἐπὶ πάντων Θεὸν καὶ Κύριον, εὐδοκήσαντα σῶσαι τὸ τῶν ἀνθρώπων γένος θανάτου φθορᾶς· ὃν ἐπαξίως ὑμνοῦντες κραυγάζομεν· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ ηʹ. Ἑπταπλασίως κάμινον.

Οἱ νουνεχῶς τοῖς λόγοις σου, ὁμιλοῦντες Χρυσόστομε, τῆς Θεολογίας τὸ σεπτὸν μυούμεθα· καὶ πᾶσαν καρπούμεθα, τῶν ἀγαθῶν τὴν ὄνησιν· καὶ τὴν τῆς κακίας ἀποφεύγομεν βλάβην. κοινὸν γὰρ πρυτανεῖον, σωτηρίας ἐγένου, βοῶν ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὑπὲρ ἡμῶν δυσώπησον, τὸν Δεσπότην Χρυσόστομε, τῇ συμπαθεστάτῃ παῤῥησίᾳ χρώμενος, καὶ τῇ ἐλεήμονι, καὶ φιλανθρώπῳ Πάτερ στοργῇ. σὲ γὰρ τῷ Σωτῆρι, προβαλλόμεθα πίστει, μεσίτην καὶ προστάτην, καὶ θερμότατον πρέσβιν, θεόφρον Ἱεράρχα, παμμάκαρ Ἰωάννη.

Νεανικὴν τὴν ἔνστασιν, ἀπτόητον φρόνημα, καὶ τοῖς Βασιλεῦσιν ἀδικοῦσιν ἔδειξας, θερμῶς προϊστάμενος, ἀδικουμένων Ὅσιε, καὶ τῶν ὀρφανῶν, καὶ τῶν χηρῶν καὶ πενήτων, Πατὴρ γεγενημένος, στοργικῇ διαθέσει, βοῶν ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Σωματικαῖς μορφώσεσι, καὶ ποικίλοις αἰνίγμασι, καὶ συμβολικαῖς, καὶ τυπικαῖς ἐμφάσεσι, τὴν σὴν προεμήνυον, οἱ Θεηγόροι Γέννησιν, τὴν ὑπερφυῆ, καὶ θαυμαστήν σου Παρθένε. Διό σε γεγηθότες, εὐσεβῶς ἀνυμνοῦμεν, Χριστὸν ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θʹ. Ἐξέστη ἐπὶ τούτῳ.

Τῆς ὄντως ἀπολαύων Πάτερ ζωῆς, ὑπὲρ ἧς ἠγωνίσω πρὸς δύναμιν, ἐπὶ τῆς γῆς, βίῳ διαπρέψας ἀγγελικῶς. καὶ τοῦ Χριστοῦ κτησάμενος, γλῶσσαν καὶ τὸ στόμα τὸ γαληνόν, σωθῆναι θεηγόρε, δυσώπει τοὺς σὲ πίστει, διαφερόντως μακαρίζοντας.

Οἱ λόγοι σου τρισμάκαρ λόγοι ζωῆς, τὴν ζωὴν προξενοῦντες τὴν ἄληκτον· σὲ γὰρ πηγήν, βρύουσαν ἀνέδειξεν ὁ Χριστός, καὶ ποταμὸν προχέοντα, θείων διδαγμάτων ἐπιῤῥοαῖς. τρυφῆς ὄντως χειμάῤῥουν, ἀφέσεώς τε ῥεῖθρον, καὶ μετανοίας λαμπρὸν κήρυκα.

Μεσίτης ἀνεδείχθης, Ἀρχιερεῦ, τοῦ Θεοῦ καὶ ἀνθρώπων ὑπέρλαμπρος. Σὺ γὰρ φωστήρ, ὤφθης εὐσεβείας θεοφεγγής, καὶ τῆς ἐνθέου γνώσεως, ἐλεημοσύνης εἰσηγητής. διό σε Χρυσολόγε καρδίας διαθέσει, νῦν ἐπαξίως μεγαλύνομεν.

Θεοτοκίον.

Ἁγνὴ δεδοξασμένη Μήτηρ Θεοῦ, τοὺς ὑμνοῦντάς σε πόθῳ περίσωζε, τῶν πειρασμῶν, ὄχλον διαλύουσα συμπαθῶς. Ὡς γὰρ Θεὸν γεννήσασα, πάντα ὅσα θέλεις ἐπιτελεῖς· ἀνύεις ἀκωλύτως, καὶ δύνασαι Παρθένε· διό σε πάντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὸν μεγαλοφωνότατον, τῆς μετανοίας κήρυκα, τὸν θησαυρὸν τῶν πενήτων, τὸ στόμα τῆς Ἐκκλησίας, τὸ χρύσεον καὶ εὔλαλον, τῶν Γραφῶν τὴν σαφήνειαν, Ἰωάννην τὸν πάνσοφον, ἀνευφημήσωμεν πάντες, ὡς ὑπ' αὐτοῦ στηριχθέντες.

Θεοτοκίον. Ὅμοιον.

Παρθένε παναμώμητε, Κυρία μου καὶ Δέσποινα, τὸν σὸν Υἱὸν ἐκδυσώπει, σὺν τῷ κλεινῷ Χρυσοστόμῳ, πειρατηρίων ῥύσασθαι, παντοίων τοὺς ὑμνοῦντάς σε. καὶ αἰωνίων τεύξασθαι, τῶν ἀγαθῶν Παναγία. δύνασαι γὰρ ὅσα θέλεις.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. Ἱστῶμεν [illegible] καὶ ψάλλομεν [illegible] προσόμοια, Ἦχος [illegible]

Ἔδωκας σημείωσιν.

Χρυσοῦ τηλαυγέστερον, τὰ ἱερά σου διδάγματα, προχεόμενος πάνσοφε, πλουτίζεις Χρυσόστομε, πενομένας φρένας· καὶ ἀποδιώκεις τῶν παθημάτων τὴν ἀχλὺν, φιλαργυρίας πικρὸν χειμῶνά τε. διό σε μακαρίζομεν, χρεωστικῶς καὶ τὴν κόνιν σου, τῶν λειψάνων σεβόμεθα, ὡς πηγὴν ἁγιάσματος.

Ὁ Στύλος ὁ πύρινος, ὁ ποταμὸς ὁ τοῖς νάμασι, τῶν δογμάτων κατάρρυτος, ὁ νοῦς ὁ οὐράνιος, τῆς Θεολογίας, τὸ πάγχρυσον στόμα, ἁμαρτωλῶν ἐγγυητὴς, τῆς μετανοίας κῆρυξ ὁ εὐθὴς, φωστὴρ ὁ διαυγέστατος, ὁ ἐπουράνιος ἄνθρωπος, ὁ μακάριος σήμερον, ἀνυμνείσθω Χρυσόστομος.

Ἥλιος πολύφωτος, τὴν οἰκουμένην τοῖς λόγοις σου, καταυγάζων γεγένησαι, Ἀστὴρ φαεινότατος, λαμπὰς φανοτάτη, πυρσὸς τοὺς θαλάσσῃ, τῇ κοσμικῇ διαπαντὸς, χειμαζομένους ὁ προσκαλούμενος, πρὸς ὅρμον γαληνότατον, τῆς σωτηρίας ἐν χάριτι, χρυσολόγε Χρυσόστομε, πρέσβευε τὰ τῶν ψυχῶν ἡμῶν.

Ἐκδίκως τῆς ποίμνης σου, ἀπελαθεὶς Πάτερ Ὅσιε, προσωμίλησας θλίψεσι, πικραῖς ἐξορίαις τε, ἐν αἷς ἠξιώθης, μακαρίου τέλους, οἷα γενναῖος ἀθλητὴς, καταπαλαίσας τὸν πολυμήχανον, καὶ νίκης διαδήματι, σὲ ὁ Χριστὸς ἐστεφάνωσεν, Ἰωάννη Χρυσόστομε, πρέσβευε τὰ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Ἦχος πλ. δ΄. Ἀνατολίου.

Χρυσίοις ἔπεσι, καὶ θεοφθόγγοις διδάγμασι, κατακοσμήσας τὴν τοῦ Θεοῦ Ἐκκλησίαν. πλοῦτον πνευματικὸν ἐθησαύρισας ἐν αὐτῇ, τὰ σὰ θεοπαράδοτα λόγια. Διὸ στέφανον ἐξ ἀκηράτων ἀνθέων, πλεξαμένη τοῖς ᾄσμασι, τῇ ἱερᾷ σου προσφέρει μνήμῃ, πάγχρυσε τῇ ψυχῇ σὺ καὶ τῇ γλώττῃ, Ἰωάννη θεόσοφε. ἀλλ' ὡς ἔχων παρρησίαν Ὅσιε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὁ αὐτός.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς Ἀδελφοῖς.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος. Ὠδὴ γ΄. καὶ ς΄.

Ὁ Ἀπόστολος. Προκείμ. ἦχος δ΄.

Τὸ στόμα μου λαλήσει σοφίαν.

Στίχ. Ἀκούσατε ταῦτα τὰ ἔθνη.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Κεφ. ζ. Ἀδελφοὶ, τοιοῦτος ἡμῖν ἔπρεπεν Ἀρχιερεὺς, ὅσιος, ἄκακος, ἀμίαντος, κεχωρισμένος ἀπὸ τῶν ἁμαρτωλῶν, καὶ ὑψηλότερος τῶν Οὐρανῶν γενόμενος. Ὃς οὐκ ἔχει καθ' ἡμέραν ἀνάγκην, ὥσπερ οἱ Ἀρχιερεῖς, πρότερον ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν θυσίας ἀναφέρειν, ἔπειτα τῶν τοῦ λαοῦ. Τοῦτο γὰρ ἐποίησεν ἐφάπαξ ἑαυτὸν ἀνενέγκας. Ὁ νόμος γὰρ ἀνθρώπους καθίστησιν Ἀρχιερεῖς, ἔχοντας ἀσθένειαν. ὁ λόγος δὲ τῆς ὁρκωμοσίας τῆς μετὰ τὸν νόμον, Υἱὸν εἰς τὸν αἰῶνα τετελειωμένον. Κεφάλαιον δὲ ἐπὶ τοῖς λεγομένοις· τοιοῦτον ἔχομεν Ἀρχιερέα, ὃς ἐκάθισεν ἐν δεξιᾷ τοῦ θρόνου τῆς μεγαλωσύνης ἐν τοῖς Οὐρανοῖς. Τῶν Ἁγίων λειτουργὸς, καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος, καὶ οὐκ ἄνθρωπος.

Ἀλληλούϊα, ἦχος β΄.

Στόμα Δικαίου.

Στίχ. Ὁ νόμος τοῦ Θεοῦ αὐτοῦ ἐν καρδίᾳ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Κεφ. ι. 9. Εἶπεν ὁ Κύριος, ἐγώ εἰμι ἡ θύρα. Δι' ἐμοῦ ἐάν τις εἰσέλθῃ, σωθήσεται, καὶ εἰσελεύσεται, καὶ ἐξελεύσεται, καὶ νομὴν εὑρήσει. Ὁ κλέπτης οὐκ ἔρχεται, εἰ μὴ ἵνα κλέψῃ, καὶ θύσῃ, καὶ ἀπολέσῃ. Ἐγὼ ἦλθον, ἵνα ζωὴν ἔχωσι, καὶ περισσὸν ἔχωσιν. Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός. ὁ ποιμὴν ὁ καλὸς τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Ὁ μισθωτὸς δὲ, καὶ οὐκ ὢν ποιμὴν, οὗ οὐκ εἰσὶ τὰ πρόβατα ἴδια, θεωρεῖ τὸν λύκον ἐρχόμενον, καὶ ἀφίησι τὰ πρόβατα, καὶ φεύγει· καὶ ὁ λύκος ἁρπάζει αὐτὰ, καὶ σκορπίζει τὰ πρόβατα. Ὁ δὲ μισθωτὸς φεύγει, ὅτι μισθωτός ἐστι, καὶ οὐ μέλει αὐτῷ περὶ τῶν προβάτων· Ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλὸς, καὶ γινώσκω τὰ ἐμὰ, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν. Καθὼς γινώσκει με ὁ Πατὴρ, κἀγὼ γινώσκω τὸν Πατέρα· καὶ τὴν ψυχήν μου τίθημι ὑπὲρ τῶν προβάτων. Καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν ἐκ τῆς αὐλῆς ταύτης. Κἀκεῖνά με δεῖ ἀγαγεῖν, καὶ τῆς φωνῆς μου ἀκούσουσι· καὶ γενήσεται μία ποίμνη, εἷς ποιμήν.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ ιδ΄.

Τοῦ Ἁγίου καὶ Πανευφήμου Ἀποστόλου Φιλίππου.

Ζήτει τὴν Ἀκολουθίαν εἰς ἕνα Ἀπόστολον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τῇ αὐτῇ ἡμέρᾳ ἐστὶ καὶ ἡ Ἀποκρέα τῆς Τεσσαρακοστῆς τῶν Χριστοῦ Γεννῶν. Ἐὰν δὲ φθάσῃ ἡ τοιαύτη ἡμέρα Τετράδι, ἢ Παρασκευῇ, οὐκ ἐσθίομεν ἐν ταύταις, δηλονότι ταῖς δυσὶν ἡμέραις, κρέα, ἢ τυρὸν, ἢ ὠά· ἀλλ' ἀποκρεύομεν, ὅταν τύχῃ Τετράδι, ἐν Τρίτῃ· ὁπόταν δὲ ἐν Παρασκευῇ, τῇ πρὸ αὐτῆς Πέμπτῃ.

Μηνὶ τῷ αὐτῷ ιε΄.

Τῶν Ἁγίων Μαρτύρων καὶ Ὁμολογητῶν, Γουρία, Σαμωνᾶ, καὶ Ἀβίβου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ Ις΄.

Τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ματθαίου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ Ἐμβατεύων καρδίας τῶν ἀνθρώπων, ὅτε σου τὴν ἔνθεον γνώμην Ἀπόστολε, θεία προγνώσει ἑώρακεν, ἐξ ἀδικίας, καὶ ἐκ τοῦ κόσμου σὲ ἐλυτρώσατο. τότε σε παγκόσμιον φῶς ἀπειργάσατο, τῆς οἰκουμένης τὰ πέρατα, καταφωτίζειν, καὶ διαλάμπειν ἐγκελευσάμενος. Οὗ καὶ τὸ θεῖον Εὐαγγέλιον, ἠξιώθης σαφῶς ἀναγράψασθαι· Ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ Ἐκ Τελώνου κληθεὶς εἰς μαθητείαν, ὅτε σε ὁ ἄναρχος Λόγος ἐφώνησεν, ἀκολουθεῖν προτρεπόμενος· καὶ κοινωνίαν τῆς Βασιλείας ἐπαγγελλόμενος· Τότε παμμακάριστε, πάντων ἀφέμενος, καὶ ταραχώδους συγχύσεως, ἀναχωρήσας, αὐτῷ συντόνως ἐπηκολούθησας. Καὶ νῦν θεότητι ἐμφορούμενος, τῆς ἀφράστου αὐτοῦ θεωρίας τρανῶς· καθικέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Προφητική τις σαφῶς ὀξυδερκία, πάλαι μέν σε ἅγιον λίθον τεθέαται, ἐπὶ τῆς γῆς κυλιόμενον, καὶ τῆς ἀπάτης, τὰς ἑλεπόλεις καταλεαίνοντα. Ὁ Λόγος δὲ πάνσοφε ὁ ἐνυπόστατος, φῶς σε τοῦ κόσμου καὶ κήρυκα, δικαιοσύνης, καὶ ἀληθείας ἀποτετέλεκε, λελαμπρυσμένον ταῖς ἀκτῖσι, τοῦ τρισηλίου φωτὸς πανσεβάσμιε· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος δ΄.

Καλοῦντι Χριστῷ πρὸς μαθητείαν οὐράνιον, προθύμως ἠκολούθησας θεόληπτε· πᾶσαν χολὴν φροντίδος γηΐνης ὑφ' οὗ παρωσάμενος. ἐπαξίως γὰρ τῆς ἄνω βασιλείας, γνώμην ἀγαθὴν ἀναλαβόμενος, τῆς χαμαιζήλου πολιτείας, καὶ δόξης κενῆς ἀπέστης, Εὐαγγελιστὴς ἀπὸ Τελώνου γενόμενος· φῶς τε τῶν ἐν σκότει χρηματίσας, καὶ πεπλανημένων ὁδηγὸς πρὸς σωτηρίαν· νῦν δὲ πρεσβευτὴς παντὸς τοῦ Κόσμου θερμότατος, καὶ τῶν σὲ γεραιρόντων Ματθαῖε φύλαξ σωτήριος.

Καὶ νῦν Θεοτοκίον ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν στίχον στιχηρά. ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἤχησε τῶν λόγων σου σάλπιγγι, τοὺς ἀνθρώπους συνήθροισας. εἰς Θεοῦ ἐπίγνωσιν πανοίδιμε. καὶ τὰ τῆς πλάνης ἀθροίσματα, ἐκ γῆς ἀπεσόβησας, καὶ εἰς μίαν τοὺς πιστοὺς, τὴν ὁμόνοιαν ἴθυνας· ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν πανσέβασμον μνήμην σου.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν.

Ἐν γλώσσῃ πυρίνῃ σε, καθοπλίσας τοῦ Πνεύματος, κραταιὸν ἀνέδειξε πολεμήτορα, κατὰ τῆς πλάνης Ἀπόστολε, Χριστὸς ὁ Θεὸς ἡμῶν· δι' οὗ εἴληφας λαμπρὰ, τὰ βραβεῖα τῆς χάριτος. ὃν ἱκέτευε, ἐκ φθορᾶς, καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν πανσέβασμον μνήμην σου.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Εἰς τὰ βάθη τοῦ Πνεύματος, διακύψας Ἀπόστολε, πλοῦτον τὸν ἀκένωτον κατενόησας· καὶ ἐξ αὐτοῦ ἀρυσάμενος, τὴν χάριν τὴν ἄφθονον, ἡμῖν εὐαγγελικῶς, πᾶσι ταύτην διένειμας· καὶ πρεσβεύεις νῦν, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν πανσέβασμον μνήμην σου.

Δόξα, ἦχος πλ. β΄.

Ἐκ βυθοῦ κακίας ἐσχάτης, πρὸς ἀκρότατον ὕψος ἀρετῆς, ὡς ἀετὸς ὑψιπέτης, παραδόξως ἀνέδραμες, Ματθαῖε πανεύφημε. τοῦ γὰρ καλύψαντος Οὐρανοὺς ἀρετῇ, καὶ τῆς συνέσεως αὐτοῦ πᾶσαν τὴν γῆν πληρώσαντος, Χριστοῦ ἀκολουθήσας τοῖς ἴχνεσι, μιμητὴς διάπυρος ἐν πᾶσιν αὐτοῦ πεφανέρωσαι· εὐαγγελιζόμενος εἰρήνην, ζωὴν καὶ σωτηρίαν, τοῖς πειθαρχοῦσιν εὐσεβῶς τοῖς θείοις προστάγμασιν· ἐν οἷς ἡμᾶς καθοδήγησον, εὐαρεστοῦντας τῷ Κτίστῃ, καὶ σὲ μακαρίζοντας.

Καὶ νῦν, Θεοτοκίον, ἢ Σταυροθεοτ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Τροπάριον, ἦχος γ'.

Ἀπόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Ματθαῖε, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἀποστόλου εἰς ϛ'.

Θεοφάνους. Ὠδὴ α'. ἦχος δ'.

Ἀνοίξω τὸ στόμα μου.

Πλουσίως μετάδος μοι, τῆς ἐνοικούσης σοι χάριτος, Ματθαῖε πανεύδοξε, καὶ ὑπηρέτα Χριστοῦ. καὶ βοήσομαι, λαμπρῶς ἀνακηρύττων, καὶ μέλψω γηθόμενος, τὰ σὰ θαυμάσια.

Τελείως κατέλιπες, τῶν ἐπιγείων τὴν σύγχυσιν, τοῦ Λόγου ὡς ἤκουσας, τοῦ σαρκωθέντος φωνῆς, καὶ τῆς χάριτος ἐδείχθης οἰκονόμος, καὶ Κῆρυξ θεόληπτος, θεομακάριστε.

Ὑπόπτης γενόμενος, καὶ ὑπηρέτης διέπρεψας, τοῦ Λόγου Ἀπόστολε, τοῦ πρὸ αἰώνων Πατρός. καὶ διέδραμες, αὐτοῦ τὴν παρουσίαν, εὐαγγελιζόμενος, πᾶσι τοῖς ἔθνεσι. Θεοτοκίον.

Θανάτου καθαίρεσιν, καὶ τῆς φθορᾶς τὴν κατάλυσιν, ζωῆς τε φανέρωσιν, εὐηγγελίσω σοφέ. τῆς Παρθένου γὰρ, ἐν μήτρᾳ ἐνοικήσας, ὁ ἀπερίγραπτος, Κόσμον ἀνέπλασεν.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Τοὺς σοὺς Ἀποστόλους Θεοῦ Λόγε, φωστῆρας ἀνέδειξας ζωῆς, τὸν ζόφον ἀπελαύνοντας, τῆς ἀθεΐας Δέσποτα· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, τὸν Κόσμον ὅλον φωτίζοντας.

Τῇ σῇ καθοπλίσας πανταλκίᾳ, Ματθαῖον τὸν ἄριστον Σωτήρ. τυράννων δυνατώτερον, τοῦτον εἰργάσω Δέσποτα· καὶ καθαιρέτην ἔδειξας, εἰδώλων πλάνης φιλάνθρωπε.

Γλώσσης τῆς πυρίνης σου ὁ φθόγγος, δαιμόνων ἐνέπρησε βωμούς, Ματθαῖε, τὸ θεότευκτον, τοῦ Παρακλήτου ὄργανον· δι' οὗ Χριστὸς κηρύττεται, πάντων ζωὴ ἐνυπόστατος.

Θεοτοκίον.

Σάλπιγξ θεολόγος φθεγγομένη, συντόνως ἐφώτισε λαούς, Ματθαίου τοῦ θεόφρονος, τὴν τῆς Τριάδος ἔλλαμψιν, τὴν ὑπὲρ νοῦν τε σάρκωσιν, τοῦ Λόγου ἐκ σοῦ Πανάχραντε.

Κάθισμα. ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὁ πρῶτος τοῦ Χριστοῦ, Εὐαγγέλιον γράψας, καὶ πᾶσαν διδάσκων, τὴν ὑφήλιον Κτίσιν, Ματθαῖος ὁ σοφώτατος, καὶ Χριστοῦ μύστης ἄριστος· νῦν τιμώμενος, ταῖς ἱεραῖς μελῳδίαις, πᾶσιν ἄφεσιν, ἁμαρτιῶν ἐξαιτεῖται, τοῖς πόθῳ τιμῶσιν αὐτόν.

Ἕτερον, ἦχος πλ. δ'.

Τὴν σοφίαν, καὶ Λόγον.

Τὸν χρυσὸν καταλείψας ὡς ἀληθῶς, τὸν Χριστὸν δὲ ποθήσας φιλευσεβῶς, Ματθαῖε Ἀπόστολε, τῶν τεράτων ἐδείχθης φωστήρ. καὶ ἐκ τελώνου ὤφθης, Ἀπόστολος ἔνδοξος, Μαθητὴς γενόμενος, καὶ Κῆρυξ τῆς πίστεως. ὅθεν συνελθόντες, κατὰ χρέος τιμῶμεν, τὴν πάνσεπτον μνήμην σου, καὶ πιστῶς ἑορτάζομεν, μελῳδοῦντες, καὶ λέγοντες· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Θεοτοκίον. Ὅμοιον.

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν· τῆς Οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον. ὅτι σωτηρία ἐν αὐτῇ διεπράχθη, τῷ Κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. διὰ τοῦτο βοῶμεν αὐτῇ· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸν ἄχραντον τόκον σου.

Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Τῷ ἐνυποστάτῳ σου Λόγῳ Θεέ, μεμαθητευμένος διέλυσε, Κόσμου σοφίαν, ὁ θεόπτης Μαθητής, μεγαλοφώνως κράζων σοι· δόξα τῇ δυνάμει σου Κύριε.

Ὦ μεμακαρισμένῳ ὑπὸ Χριστοῦ, ποίαν εὐφημίαν προσοίσωμεν, σοὶ θεηγόρε; οὐκ ἰσχύει γὰρ βροτός, τὴν ἐπανθοῦσαν χάριν σοι, λόγῳ ἐξειπεῖν ἀξιάγαστε.

Σοῦ τὸν ἀκηλίδωτον καὶ ἀκραιφνῆ, νοῦν τεθεαμένος ὁ Ὕψιστος, ὥσπερ λαμπάδα, εἰς λυχνίαν ὑψηλήν, τοῖς ἐν τῷ σκότει φαίνουσαν, πᾶσι θεοφάντορ προτέθεικε. Θεοτοκίον.

Τὴν τεθανατωμένην φύσιν βροτῶν, ἡ ἀλογημένη ἀνύψωσας, τὴν τοῦ Ὑψίστου, ὡς κυήσασα ἰσχύν, ὑπερφυῶς Πανάχραντε. Μήτηρ ὡς Ματθαῖος ἐδίδαξεν.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Τὴν χάριν δεξάμενος, τοῦ Παναγίου Πνεύματος, θεῖον ἐνδιαίτημα ἐδείχθης, θείως διδάξας θεογνωσίας τὸ φῶς· πιστωθεὶς τὰ δόγματα Χριστοῦ, γράμμασιν ἐκτίθεσθαι, ὡς αὐτόπτης θεόκριτος.



Δημόσια Κεντρική Βιβλιοθήκη

Ἡ Γλῶσσά σου κάλαμος, τοῦ Παρακλήτου γέγονεν, ὀξέως τοῦ λύτρωσιν διδόντος, τοῖς ἐπιγνοῦσι τὴν δεσποτείαν αὐτοῦ· καὶ ταῖς σοφῶν ἐπιπνέουσα ψυχαῖς, γνῶσιν ἐπουράνιον, ὦ Ματθαῖε πανεύφημε.

Ἀστράπτοντα θαύμασι, καὶ ἰαμάτων χάρισι, σὲ Χριστὸς ἐξέπεμψε τῷ Κόσμῳ, τὴν τῶν δαιμόνων καταπατοῦντα ἰσχύν. καὶ ψυχὰς φωτίζοντα πιστῶν, πάντων τῶν ὑμνούντων σε, τῆς εἰρήνης τὸν κήρυκα. Θεοτοκίον.

Παρθένος γεγέννηκεν, Υἱὸν τὸν προαιώνιον, φύσιν ἐνδυσάμενον ἀνθρώπων, ὡς ἐκδιδάσκων ὁ Θεηγόρος φησί. καὶ σώσαντα ταύτην ἐκ φθορᾶς, πάθη τῷ τοῦ σώματος. καὶ Παρθένος διέμεινεν.

Ὠδὴ ϛʹ. Ἦλθον εἰς τὰ βάθη.

Εὐαγγελιστὴς ἀπὸ τελώνου, ὡς ἠκολούθησέ σοι, μετεσκεύασαι ὁ θεηγόρος, τῇ παναλκεῖ, παντουργὲ δυνάμει σου, ὁ Ματθαῖος ὁ πανάριστος.

Ῥυθμίζεται τοῦ Εὐαγγελίου, τοῖς ψυχοτρόφοις λόγοις, καὶ τῶν ἐθνῶν πληθὺς ἀνυψωμένη, πρὸς ἀρετῶν, ὑψηλὴν ἀκρότητα, ὦ Ματθαῖε παμμακάριστε.

Ματθαίου ζωγρεῖται θεοπλόκοις, τοῦ μαθητοῦ δικτύοις, τὰ συστήματα τῶν πιστευόντων, διαπαντὸς πρὸς τὴν σὴν ἐπίγνωσιν, εὐεργέτα ποδηγούμενα. Θεοτοκίον.

Παρθένον τεκοῦσαν ἀναγράφων, εὐαγγελίζεταί σε, τὸν τὰ σύμπαντα πεποιηκότα, ἄνευ σπορᾶς, καὶ φθορᾶς πανάμωμε, ὁ Ματθαῖος ὁ πανάριστος.

Κοντάκ. ἦχος δʹ. Ὁ ὑψωθείς.

Τοῦ τελωνίου τὸν ζυγὸν ἀπορρίψας, δικαιοσύνης τῷ ζυγῷ προσηρμόσθης, καὶ ἀνεδείχθης ἔμπορος πανάριστος, πλοῦτον κομισάμενος τὴν ἐξ ὕψους σοφίαν. ὅθεν ἀνεκήρυξας, ἀληθείας τὸν λόγον, καὶ τῶν ῥαθύμων ἤγειρας ψυχάς, καθυπογράψας τὴν ὥραν τῆς κρίσεως. Ὁ Οἶκος.

Ἡ τοῦ ἐχθροῦ με τυραννὶς βιάζεται ἀπλήστως, καὶ τῆς ψυχῆς μου ὅλον τὸν σπόρον καθαρπάζει, Ματθαῖε φίλε τοῦ Χριστοῦ. ἀλλ' αὐτὸς τὸν σπόρον τῶν εὐχῶν σου δεδωκώς, πρὸς σὴν δουλείαν καρπωσον· καὶ δεῖξον ὑμνῳδὸν σου σμικρότατον, καὶ ὑφηγητήν με τῶν πολλῶν σου καὶ μεγάλων κατορθωμάτων, καὶ τῆς πρὸς Χριστόν σου πίστεως. πῶς ταῦτα παρευθὺς ἐγκαταλείψας, ἠκολούθησας θερμῶς τῷ κεκληκότι, πρῶτος γεγονὼς Εὐαγγελιστὴς ἐν τῷ Κόσμῳ, καθυπογράψας τὴν ὥραν τῆς κρίσεως.

Τῇ αὐτῇ Μηνὶ ιϛʹ. Μνήμη τοῦ Ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ματθαίου.

Στ. Σώζεις Ἰησοῦ καὶ τελώνας, σοὶ χάρις. Οὕτω βοᾷ Ματθαῖος ἐκ πυρὸς μέσου.

Ἀκάματον Ματθαῖον πῦρ δεκάτῃ κτάνεν ἕκτῃ.

Οὗτος ἐπὶ τὸ τελώνιον καθήμενος, τοῦ Κυρίου ἀκούσας πρὸς αὐτὸν εἰπόντος, ἀκολούθει μοι· αὐτῇ τῇ ὥρᾳ ἀναστάς, ἠκολούθει αὐτῷ· καὶ ποιήσας αὐτῷ δοχὴν μεγάλην, καθὼς φησὶ τὸ Εὐαγγέλιον, τοῖς Ἀποστόλοις συναριθμεῖται. Οὗτος τὴν τοῦ Ἁγίου Πνεύματος δύναμιν δεξάμενος, καὶ σοφισθεὶς τὰ θεῖα, τὸ κατ' αὐτὸν Εὐαγγέλιον συνεγράψατο, καὶ τοῖς Ἰουδαίοις ἀπέστειλε. Πάρθους τε, καὶ Μήδους διδάξας, καὶ Ἐκκλησίαν συστησάμενος, καὶ πολλὰ ἐργασάμενος θαύματα, ὕστερον ὑπὸ τῶν ἀπίστων διὰ πυρὸς τελειοῦται.

Ὠδὴ ζʹ. Οὐκ ἐλάτρευσαν.

Ἐχρημάτισας τοῦ πρώτου ἀπαυγάσματος, θεῖον ἐκτύπωμα, ὡς μαθητὴς ταῖς αὐτοῦ, ἀκτῖσι πυρσούμενος, ὦ ψάλλων ἔλεγες. ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὡς διάκονος τοῦ Λόγου παμμακάριστε, θείοις σκηνώμασιν, ὅπου Χριστὸς κατοικεῖ, αὐτὸς κατεσκήνωσας, ὡς σοὶ ὑπέσχετο, ὁ ὑπέρθεος, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς μόνος τῶν ὅλων.

Τὰ νοσήματα Ματθαῖε φυγαδεύονται, καὶ δραπετεύεται, ἡ τῶν δαιμόνων πληθύς, τοῖς ἐν σοὶ χαρίσμασι τοῦ θείου Πνεύματος· ἐν οἷς ἔψαλλες, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Τὴν πανύμνητον Παρθένον ἐξιστόρησας, τοῖς θείοις λόγοις σου, τὸν Ποιητὴν τοῦ παντός, τεκοῦσαν Ἀπόστολε, ᾧ πάντες ψάλλομεν· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ ηʹ. Παῖδας εὐαγεῖς.

Νεύσεσι πρὸς σὲ ταῖς ἀνενδότοις, Ματθαῖος ὁ ἱερώτατος θεσμὸς, θεῖα χρηματίσας τε, φύσει ὅπερ πέφυκας, τὴν Οἰκουμένην Δέσποτα, εἵλκυσε ψάλλειν σοι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὥσπερ ἀστραπὴν τῇ Οἰκουμένῃ, ὁ Λόγος τὸν Θεολόγον ἐξαπέστειλε, ζόφον μὲν διώκοντα, ἔθνη δὲ φωτίζοντα, Θεολογίας δόγμασιν. ὅθεν καὶ ἔψαλλε· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Λόγῳ καθαρῷ καὶ διανοίᾳ, Θεῷ σοὶ προσομιλῆσαι ἐξεγένετο· ὕλην γὰρ ὡς ἔτεμες, τούτῳ προσεπέλασας, καὶ συνεκράθης ἔνδοξε. ὅθεν καὶ ἔψαλλες· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐπ' εὐεργεσίᾳ τῶν ἀνθρώπων, ὁ Λόγος σωματωθῆναι κατηξίωσε. πύλην παρθενίας γὰρ, ὥδευσεν ὁ Κύριος, καὶ Θεοτόκον ἔδειξε. διὸ κραυγάζομεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Κάλλους νοητοῦ, ἐδέξω διάδημα θεῖον Ἀπόστολε. καὶ τῆς Βασιλείας δὲ, εὐπρεπεστάτῳ στέφει κεκόσμησαι, δεξιᾷ παντοκράτορι, καὶ διαλάμπεις σοφὲ, σὺν Ἀγγέλοις, Θρόνῳ παριστάμενος, τῷ Δεσπότῃ Χριστῷ παμμακάριστε.

Ξύλου τῆς ζωῆς, ἀξίως τετύχηκας, Κῆρυξ τοῦ ζῶντος Θεοῦ, εὐαγγελισάμενος, ζωῆς τῷ Κόσμῳ θείαν ἐπίσκεψιν· τῷ γὰρ φυτῷ τῆς γνώσεως οὐ διεφθάρης τὸν νοῦν. διαμείνας, ἄσειστος ἀκράδαντος, Ἐκκλησίας κρηπὶς παμμακάριστε.

Νύμφην τοῦ Χριστοῦ, εὐθέως ἐκόσμησας, Εὐαγγελίῳ σου, ὥσπερ διαδήματι, τὴν Ἐκκλησίαν θεομακάριστε. καὶ νῦν τὴν θείαν μνήμην σου, πανηγυρίζει φαιδρῶς, ἣν ῥυσθῆναι, πάσης περιστάσεως, καὶ κινδύνων δεινῶν καθικέτευε.

Θεοτοκίον.

Κόλπων ἐκ πατρὸς, ἀνάρχου Γεννήτορος, Λόγος ὁ ἄναρχος, ὡς εὐαγγελίζεται, Ματθαῖος γράφων, Θεὸς σεσάρκωται. ἐκ σοῦ Ἁγνὴ πανύμνητε, τὴν τῶν ἀνθρώπων μορφὴν, ὁλοτρόπως, πᾶσαν ἐνδυσάμενος, καὶ τὰ ταύτης λαβὼν ἰδιώματα.

Ἐξαπος. Ἐν Πνεύματι τῷ ἱερῷ.

Τοῦ τελωνίου τὸν ζυγὸν, ἀπορρίψας ἐμφρόνως, Χριστῷ κατηκολούθησας, ὦ Ματθαῖε θεόφρον. τοῖς ἴχνεσι δὲ τοῖς αὐτοῦ, θαυμαστῶς ἑπόμενος, ἐν μετοχῇ ἐγεγόνεις, τῆς αὐτοῦ βασιλείας, καὶ τῆς δόξης κοινωνὸς, καὶ μύστης τῶν ἀπορρήτων.

Θεοτοκίον. Ὅμοιον.

Τὰς Παναγίας χεῖράς σου, Θεοτόκε Παρθένε, αἷς τὸν Κτίστην ἐβάστασας, ἔπαρον εἰς πρεσβείαν, ὑπὲρ ἡμῶν πρὸς Υἱόν σου. ὅπως ῥύσηται ἡμᾶς, πάσης πείρας δαιμόνων. καὶ τεύξασθαι πανάμωμε, τῶν μελλόντων ἀγαθῶν, ἐκείνων καταξιώσῃ.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ἔλαμψας Ἀπόστολε, φωταυγὴς ὥσπερ Ἥλιος, ταῖς ἀκτῖσι τοῦ Πνεύματος. καὶ πᾶσαν κατηύγασας Οἰκουμένην μάκαρ, τῇ θεογνωσίᾳ, καὶ ἀπεδίωξας ἀχλὺν, πολυθεΐας Ματθαῖε πάνσοφε· διό σου τὴν ὑπέρφωτον, καὶ ἀξιάγαστον σήμερον, ἐκτελοῦμεν πανήγυριν, ὡς πηγὴν ἁγιασμάτων. Δίς.

Ἐν ὕψει καθήμενος, θεογνωσίας Ἀπόστολε, ὑπεδέξω τοῦ Πνεύματος, τὴν αἴγλην φανεῖσάν σοι, τοῦ πυρὸς ἐν εἴδει, καὶ γλώσσῃ πυρίνῃ, πᾶσαν κατέφλεξας σαφῶς, τῆς ἀσεβείας ὕλην πολύθεον· διό σε ὡς Ἀπόστολον, καὶ θεηγόρον γεραίρομεν, τὴν ἁγίαν σου σήμερον, ἐκτελοῦντες πανήγυριν.

Ἐβρόντησας πάνσοφε, τῇ Οἰκουμένῃ διδάγματα, ἱερὰ καὶ σωτήρια, καὶ πᾶσαν ἐκάθηρας εἰδωλομανίας, τὴν κτίσιν Ματθαῖε· καὶ κατεφώτισας λαοὺς, Εὐαγγελίου ταῖς ἐπιλάμψεσιν. εἰδώλων τὰ τεμένη δὲ, καταστρεψάμενος χάριτι, Ἐκκλησίας εἰς αἴνεσιν, τοῦ Θεοῦ ᾠκοδόμησας.

Δόξα, ἦχος β΄. Βυζαντίου.

Ζυγὸν λιπὼν ἀδικίας, καὶ χρυσὸν ἀπορρίψας πλεονεξίας, ζυγῷ δικαιοσύνης προστρέξας, καὶ μὴ κενούμενον πλοῦτον ἁρπάξας. ὡς ἔμφρων ἔμπορος, ἀνταλλαξάμενος τῶν προσκαίρων τὰ μόνιμα, καὶ τῶν ἀπολλυμένων τὰ διαμένοντα. τὸν γὰρ θεολαμπῆ, καὶ πολύτιμον μαργαρίτην κτησάμενος, τὰ Καίσαρος Καίσαρι, τῶν κάτω συρομένων, ἐμφρόνως ἀπέλιπες· καὶ τῷ Παμβασιλεῖ, ἀπαθῶς ἀκολουθήσας Χριστῷ, πᾶσαν τὴν κτίσιν ἐπλούτισας, εὐαγγελικαῖς θεηγορίαις σοφέ. ἀλλ' αἴτησαι καὶ νῦν, Ματθαῖε πανάριστε, τοῖς σὲ τιμῶσι σωτηρίαν, καὶ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθ.

Εἰς τὸν στ. στιχ. τῆς Ὀκτωήχου. Δόξα, ἦχος πλ. δ΄.

Κροτήσωμεν ἐν ᾄσμασι σήμερον πιστοὶ, ἐπὶ τῇ μνήμῃ τοῦ σεπτοῦ Ἀποστόλου, καὶ

Εὐαγγελιστοῦ Ματθαίου. οὗτος γὰρ ῥίψας τὸν ζυγὸν, καὶ τὸν χρυσὸν τοῦ τελωνίου, ἠκολούθησε Χριστῷ, καὶ κήρυξ τοῦ Εὐαγγελίου θεῖος ἐχρημάτισεν. ὅθεν ἐξῆλθε προφητικῶς, ὁ φθόγγος αὐτοῦ εἰς τὴν Οἰκουμένην, καὶ πρεσβεύει σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. ἢ Σταυροθεοτοκίον.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ καὶ ἐκ τοῦ Κανόνος. ᾨδὴ γ΄. καὶ ς΄. Ὁ Ἀπόστολος.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς.

Ἀδελφοὶ, λέγει ἡ γραφή· πᾶς ὁ πιστεύων ἐπὶ τῷ Θεῷ, οὐ καταισχυνθήσεται. οὐ γάρ ἐστι διαστολὴ Ἰουδαίου τε καὶ Ἕλληνος. Ὁ γὰρ αὐτὸς Κύριος πάντων, πλουτῶν εἰς πάντας τοὺς ἐπικαλουμένους αὐτόν. πᾶς γὰρ ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα Κυρίου, σωθήσεται. πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται· Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων τὴν εἰρήνην, τῶν εὐαγγελιζομένων τὰ ἀγαθά. Ἀλλ' οὐ πάντες ὑπήκουσαν τῷ Εὐαγγελίῳ. Ἡσαΐας γὰρ λέγει· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; Ἄρα ἡ πίστις ἐξ ἀκοῆς· ἡ δὲ ἀκοὴ διὰ ῥήματος Θεοῦ. Ἀλλὰ λέγω, μὴ οὐκ ἤκουσαν; μενοῦνγε, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς Οἰκουμένης τὰ ῥήματα αὐτῶν. Ἀλλὰ λέγω· Μὴ οὐκ ἔγνω Ἰσραήλ; Πρῶτος Μωσῆς λέγει· Ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. Ἡσαΐας δὲ ἀποτολμᾷ, καὶ λέγει· Εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν· ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι. Πρὸς δὲ τὸν Ἰσραὴλ λέγει· Ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖράς μου πρὸς λαὸν ἀπειθοῦντα, καὶ ἀντιλέγοντα. Λέγω οὖν· μὴ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ; μὴ γένοιτο. καὶ γὰρ ἐγὼ Ἰσραηλίτης εἰμὶ, ἐκ σπέρματος Ἀβραὰμ, φυλῆς Βενιαμίν· Οὐκ ἀπώσατο ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, ὃν προέγνω.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, παράγων ὁ Ἰησοῦς, εἶδεν ἄνθρωπον καθήμενον ἐπὶ τὸ τελώνιον, Ματθαῖον λεγόμενον, καὶ λέγει αὐτῷ, Ἀκολούθει μοι. Καὶ ἀναστὰς, ἠκολούθησεν αὐτῷ. Καὶ ἐγένετο αὐτοῦ ἀνακειμένου ἐν τῇ οἰκίᾳ, καὶ ἰδοὺ πολλοὶ τελῶναι καὶ ἁμαρτωλοὶ ἐλθόντες, συνανέκειντο τῷ Ἰησοῦ, καὶ τοῖς Μαθηταῖς αὐτοῦ. Καὶ ἰδόντες οἱ Φαρισαῖοι, εἶπον τοῖς Μαθηταῖς αὐτοῦ· Διὰ τί μετὰ τῶν τελωνῶν, καὶ ἁμαρτωλῶν ἐσθίει ὁ Διδάσκαλος ὑμῶν; Ὁ δὲ Ἰησοῦς ἀκούσας, εἶπεν αὐτοῖς· Οὐ χρείαν ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες. Πορευθέντες δὲ μάθετε τί ἐστιν, ἔλεον θέλω, καὶ οὐ θυσίαν. Οὐ γὰρ ἦλθον καλέσαι δικαίους, ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν.

Μηνὶ τῷ αὐτῷ ιζ΄.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου Ἐπισκόπου Νεοκαισαρείας τοῦ Θαυματουργοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ ιη΄.

Τῶν Ἁγίων Μαρτύρων Πλάτωνος, καὶ Ῥωμανοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ ιθ΄.

Τοῦ Ἁγίου Προφήτου Ἀβδιοῦ, καὶ τοῦ Ἁγίου Ἱερομάρτυρος Βαρλαάμ. ζήτει τὴν Ἀκολουθίαν εἰς Προφήτην, καὶ εἰς Ἱερομάρτυρα.

Μηνὶ τῷ αὐτῷ κ΄.

Προεόρτια τῆς ἐν τῷ Ναῷ Εἰσόδου τῆς Ὑπεραγίας Θεοτόκου. καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Δεκαπολίτου· καὶ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Πρόκλου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν, στιχ. προσόμοια τῶν Προεορτίων, ἦχ. α΄.

Τῶν οὐρανίων ταγμάτων.

Λαμπαδηφόροι παρθένοι τὴν ἀειπάρθενον, φαιδρῶς ὁδοποιοῦσαι, προφητεύουσιν ὄντως, ἐν Πνεύματι τὸ μέλλον· Ναὸς γὰρ Θεοῦ, ἡ Θεοτόκος ὑπάρχουσα. πρὸς τὸν Ναὸν μετὰ δόξης παρθενικῆς, νηπιόθεν ἐμβιβάζεται.

Ἐπαγγελίας ἁγίας καὶ ὁ καρπὸς εὐκλεὴς, ἡ Θεοτόκος ὄντως, ἀνεδείχθη τῷ Κόσμῳ, ὡς πάντων ὑπερτέρα, ἡ εὐσεβῶς προσαγομένη ἐν οἴκῳ Θεοῦ, τὴν προσευχὴν τῶν τεκόντων ἀποπληροῖ, συντηρουμένη θείῳ Πνεύματι.

Ἐπουρανίῳ τραφεῖσα Παρθένε ἄρτῳ πιστῶς, ἐν τῷ Ναῷ Κυρίου ἀπεκύησας Κόσμῳ, ζωῆς ἄρτον τὸν Λόγον· ᾧ ὡς ναὸς, ἐκλεκτὸς καὶ πανάμωμος, προεμνηστεύθη τῷ Πνεύματι μυστικῶς, νυμφευθεῖσα τῷ Θεῷ καὶ Πατρί.

Εἰς τὰ τοῦ Ἁγίου Γρηγορίου προσόμοια γ. ζήτει εἰς Ὅσιον. Δόξα, καὶ νῦν, ἦχος δ'.

Γεωργίου Νικομηδέως.

Σήμερον ὁ Θεοχώρητος Ναὸς, ἡ Θεοτόκος, ἐν Ναῷ Κυρίου προσάγεται, καὶ Ζαχαρίας ταύτην ὑποδέχεται. σήμερον τὰ τῶν ἁγίων Ἅγια ἀγάλλονται, καὶ ὁ χορὸς τῶν Ἀγγέλων μυστικῶς πανηγυρίζει. μεθ' ὧν καὶ ἡμεῖς ἑορτάζοντες σήμερον, σὺν τῷ Γαβριὴλ ἐκβοήσωμεν· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν στ. στ. προσόμοια τοῦ Ἁγίου Πρόκλου, ζήτει εἰς Ἱεράρχην, στ. δὲ λέγομεν τοὺς δε.

Τίμιος ἐναντίον Κυρίου.

Στ. β'. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

Δόξα, καὶ νῦν, ἦχος δ'.

Δεῦτε πάντες οἱ λαοὶ, τὴν μόνην ἀμώμητον ἐγκωμιάσωμεν, τὴν ἐκ τῶν Προφητῶν προκηρυχθεῖσαν, καὶ ἐν Ναῷ προσενεχθεῖσαν. τὴν πρὸ αἰώνων προορισθεῖσαν Μητέρα, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἀναδειχθεῖσαν Θεοτόκον. Κύριε πρεσβείαις αὐτῆς τὴν εἰρήνην σου παράσχου ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Τροπάριον τῶν Ἁγίων, ἦχος δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Προεόρτιον, ἦχος ὁ αὐτός.

Χαρὰν προμνηστεύεται σήμερον Ἄννα ἡμῖν, τῆς λύπης ἀντίθετον καρπὸν βλαστήσασα, τὴν μόνην ἀειπάρθενον. ἥνπερ δὴ καὶ προσάγει, τὰς εὐχὰς ἐκπληροῦσα, σήμερον γηθομένη τῷ Ναῷ τοῦ Κυρίου. ὡς ὄντως Ναὸν τοῦ Θεοῦ Λόγου, καὶ Μητέρα Ἁγνήν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν, Κανὼν ὁ Προεόρτιος εἰς ς'. καὶ τῶν Ἁγίων ἀνὰ δ'.

Προηγεῖται δὲ ὁ Προεόρτιος Κανών. οὗ ἡ ἀκροστ. Κατὰ ἀλφάβητον. Ποίημα Ἰωσήφ.

Ὠδὴ α'. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἁγίων εἰς Ἅγια, ἡ Παναγία καὶ ἄμωμος, οἰκῆσαι προέρχεται, Ὑπεραγίου Θεοῦ, ὅπως γένηται, ναὸς ἡγιασμένος· καὶ ταύτῃ προτρέχουσι, κόραι νεάνιδες.

Βουλὴ προαιώνιος, τοῦ πρὸ αἰώνων Θεοῦ ἡμῶν, εἰς πέρας προέρχεται προερχομένης σου, ἀνατραφῆναι εἰς Ἅγια Ἁγίων, εἰς Λόγου κατοίκησιν, Κόρη πανάμωμε.

Γεννήτορες ἔνθεοι, σὲ τοῦ Θεοῦ τὴν Γεννήτειραν, γενήσεσθαι μέλλουσαν ἀνατιθέασιν, εἰς τὰ Ἅγια τραφῆναι τῶν Ἁγίων, εὐχὴν ἥνπερ ηὔξαντο, πληροῦντες πάναγνε.

Δυσώπησον Δέσποινα, τὸ ἀσθενὲς τῆς καρδίας μου, καὶ στήριξον πάθεσι περιτρεπόμενον· ὅπως τίσασε, καὶ πόθῳ μακαρίζω, τὴν ἀμακάριστον καὶ παναμώμητον.

Καὶ τῶν Ἁγίων.

Ζήτει εἰς Ὅσιον, καὶ εἰς Ἱεράρχην.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ἐξάρχουσι κόραι τῆς Παρθένου, λαμπάδας κατέχουσαι φαιδρῶς, τὸ μέλλον ὑπογράφουσαι. ἐκ ταύτης γὰρ τεχθήσεται, ὁ φωτισμὸς τῆς γνώσεως, λύων τῆς πλάνης τὸν ζόφωσιν.

Ζήλωσα τὴν πάλαι θεοφρόνως, ἡ Ἄννα εὐχὴν ἀποπληροῖ· καὶ σὲ προσανατίθεται, τῷ Ἱερῷ πανάμωμε, ἱερωτάτην σύλληψιν, μέλλουσαν ἔχειν καὶ γέννησιν.

Ἥλιος ἐφήπλωσεν ἀκτῖνας, ὁρῶν τὴν νεφέλην τοῦ φωτὸς, ἐφαπλουμένην νάματι, Θεοῦ εἴσοδον εἰς Ἅγια. ἐξ ἧς ὀμβρήσει ἄφεσιν, τοῖς χερσωθεῖσιν ἐγκλήμασι.

Θεοῖ με Θεὸς ἐν σοὶ σκηνώσας, δι' οἶκτον πανάχραντε Ἁγνὴ, κλαπέντα βρώσει πρότερον, ἀπάτῃ τῇ τοῦ ὄφεως. καὶ τῆς φθορᾶς τὴν ἄφθαρτον, πάλιν τρυφὴν ἀντιδίδωσι.

Κα. Τῶν Ἁγίων, καὶ τὸ παρὸν Προεόρτιον, ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Πρὸ συλλήψεως ἁγνὴ, καθηγιάσθης τῷ Θεῷ. καὶ τεχθεῖσα ἐπὶ γῆς, δῶρον προσήχθης νῦν αὐτῷ, ἀποπληροῦσα πατρῴαν ἐπαγγελίαν. τῷ θείῳ δὲ ναῷ, ὡς θεῖος ὄντως ναὸς, ἐκ βρέφους καθαρῶς μετὰ λαμπάδων φαιδρῶν, ἀποδοθεῖσα ὤφθης δοχεῖον, τοῦ ἀπροσίτου καὶ θείου φωτός. μεγάλη ὄντως, ἡ πρόοδός σου, μόνη Θεόνυμφε καὶ ἀειπρόγαμε.

Ὠδὴ δ'. Τὴν ἀνεξιχνίαστον.

Ἱεραὶ προήγγελλον γλῶσσαι σεμνὴ, ἔσεσθαι χωρίον σε φύσεως, τῆς ἀχωρήτου. διὰ τοῦτό σε χοροὶ, παρθενικοὶ προπέμπουσι, λαμπαδηφοροῦντες εἰς Ἅγια.

Κλέος ἀπηνέγκατο Ἰωακὶμ, Ἄννῃ συμβαδίζων καὶ φέρων σε, σὺν εὐχαῖς, εἰς τὸν ἅγιον ναὸν, ναὲ Θεοῦ πανάγιε, ἄχραντε πανάμωμε Δέσποινα.

Λύεται ἀπόφασις προγονική· ἥνθησεν ἰδοὺ γὰρ ἡ ἄμπελος, ἥτις τὸν βότρυν, τὸν ἀκήρατον ἡμῖν, καρπογονήσει φέροντα, οἶνον εὐφροσύνης τοῖς πέρασι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὅλην σε πανάμωμον ὁ πλαστουργὸς, Λόγος ἀρρήτως κατεσκήνωσε, σοῦ ἐνδυθεὶς, ἐργαζόμενος ἡμῶν, τὴν σωτηρίαν ἄχραντε, χάριτι δι᾽ ἄφατον ἔλεος.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Νεφέλαι ῥανάτωσαν, δικαιοσύνην σήμερον· ὡς ἐν Οὐρανῷ γὰρ ἐφαπλοῦται, θεία νεφέλη ἐν τῷ ναῷ τοῦ Θεοῦ. ἥτις ἀποστάξει γλυκασμὸν, πᾶσαν τῶν ψυχῶν ἡμῶν, τὴν πικρίαν ἐξαίροντα.

Ξένη σου ἡ σύλληψις, ξένη σου ἡ γέννησις, ξένη σου ἡ πρόοδος Παρθένε, ἡ ἔνδον τότε τοῦ Ἱεροῦ ἀγωγή. ξένα καὶ παράδοξα τὰ σὰ, λόγον ὑπερβαίνοντα, καὶ διάνοιαν ἄχραντε.

Ὅλως σε ἡγίασε, τὸ Πνεῦμα τὸ πανάγιον, ἔνδον τοῦ ναοῦ διαιτωμένην, καὶ τρεφομένην τροφὴν οὐράνιον· νύμφη τοῦ Πατρὸς περικαλλὴς, ὅθεν ἐχρημάτισας, καὶ τοῦ Λόγου Γεννήτρια.

Πρὸς σέ μου τὴν ἅπασαν, ἐλπίδα Κόρη τίθημι, πρὸς τοὺς οἰκτιρμούς σου καταφεύγω. βλάβης δαιμόνων δεῖξον ἀμέτοχον, τὴν καταπωθεῖσάν μου ψυχὴν, καὶ ἐξασθενήσασαν, ἡδονῶν ἐπικλύσεσιν.

Ὠδὴ ς΄. Τὴν θείαν ταύτην.

Ῥωσθέντες τῇ θείᾳ χάριτι, οἱ θεῖοι τῆς Παρθένου Γεννήτορες, ταύτην ὡς ἄμωμον, περιστερὰν εἰς τὰ Ἅγια, ἀνατραφῆναι πόθῳ ἀνατιθέασι.

Σοῦ τῆς μελλούσης εἰσδέχεσθαι, τὸ φῶς τὸ ἐκ φωτὸς προερχόμενον, φῶτα ὑφάπτουσαι, κόραι σεμναὶ προπορεύονται, φωτοειδῆ πρὸς θεῖον ναὸν χορεύουσαι.

Ὁ πλῆρες δόξης παλάτιον, τὸ μέγα προφητῶν περιήχημα, θρόνος ὁ ἅγιος, ἔνδον εἰς Ἅγια τίθεται, τῷ Βασιλεῖ τῶν ὅλων ἑτοιμαζόμενος.

Ὑμνῶ σου Κόρη τὴν σύλληψιν, ὑμνῶ σου τὴν ἀπόρρητον γέννησιν, ὑμνῶ τὴν σκέπην σου, βλάβης δι᾽ ἧς πάσης ῥύομαι, ὁ πρὸς τὴν σὴν γαλήνην κατεπειγόμενος.

Κοντάκ. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Εὐφροσύνης σήμερον ἡ Οἰκουμένη, ἐπληρώθη ἅπασα, ἐν τῇ εὐσήμῳ ἑορτῇ, τῆς Θεοτόκου κραυγάζουσα· αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Ὁ Οἶκος.

Ὁ Τῶν ἁπάντων ποιητὴς, ὁ πλάστης καὶ Δεσπότης, ἀρρήτῳ εὐσπλαγχνίᾳ καμπτόμενος, καὶ μόνῃ φιλανθρωπίᾳ τῇ αὐτοῦ, ὅνπερ ταῖς οἰκείαις κατεσκεύασε χερσὶν, ἰδὼν πεσόντα ᾤκτειρε, καὶ ἀναστῆναι τοῦτον εὐδόκησε πλάσει θειοτέρᾳ, καὶ κενώσει τῇ ἰδίᾳ, ὡς ἀγαθὸς φύσει, καὶ ἐλεήμων. διὸ τὴν Μαριὰμ μεσίτιν λαμβάνει, ὡς Παρθένον καὶ Ἁγνὴν τοῦ μυστηρίου, ἐκ ταύτης τὸ ἡμῶν φορέσαι, ὡς ἠβουλήθη. Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Φωτοφόρον σε, ὡς ἥλιον εἰσδέχεται, Ναὸς ὁ Ἅγιος, ἔνδον ἀστράπτουσαν, ἀκτῖνας τοῖς πέρασι σωτηριώδεις Ἁγνὴ, ὑπεράγιον, Ναὸν γενέσθαι μέλλουσαν, τοῦ Υἱοῦ Θεοῦ Παρθένε.

Χεῖρας ἅπαντες, κροτήσατε λυτρώσεως, σύμβολα φέρουσαν, τὴν ἀπειρόγαμον, ὁρῶντες. Ἀγγέλου γὰρ, χειρὶ ἐκτρέφεται· τὸν οὐράνιον, ἄρτον ἡμῖν ὡς μέλλουσαν, ἀπορρήτως ἀποτίκτειν.

Ψυχαὶ ἅπασαι, δικαίων ὑποχθόνιοι, εὐαγγελίζεσθε. περιστερὰ ἡ χρυσῆ, κατάπαυσιν φέρουσα, κατακλυσμοῦ νοητοῦ, πεφανέρωται, καὶ εἰς Ἁγίων Ἅγια, εὐσεβῶς περιχορεύει.

Ὡς ὡραία, τὸν ὡραῖον ἀπεκύησας, τὴν ἀμορφίαν ἡμῶν, προσεπανάγοντα, εἰς πρώτην ἐμφέρειαν, Κόρη πανάμωμε. ᾧ καὶ ψάλλομεν· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ἄκουε Κόρη Παρθένε.

Αὕτη ἡ ᾠδὴ ἐστὶ κατ᾽ Ἀλφάβητον, ἔχει δὲ ἐν ἑκάστον τῶν Τροπαρίων αὐτῆς, στοιχεῖα τέσσαρα.

Ἄκουε, συνετὲ πρεσβῦτα σοφὲ, τῷ Ζαχαρίᾳ Ἄννα φησί. Βουλήσει θείᾳ ἣν ἔχον παῖδα σεμνήν. Γενναίᾳ ψυχῇ ὑπόδεξαι. Δι᾽ αὐτῆς γὰρ ἔσται λύτρωσις. καὶ εἰς Ναὸν τὸν ἅγιον, ἀνάθου ταύτην βοῶν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Εὐλογητὸς μόνος Κύριος, ἐβόησεν ὁ Ἱερεύς, Ζωῆς εἰσόδους νυνὶ ἀποφαίνας σαφῶς. Ἡμῖν φανερώσας, ὅπερ μέλλει οἰκεῖν, Θεοχώρητον παλάτιον, Χριστὸς ὁ Βασιλεὺς τοῦ παντός. πρὸς ὃν βοᾷ πᾶσα γῆ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἰδοὺ πρεσβῦτα σοφώτατε, ἡ Ἄννα ἔφησεν εὐλαβῶς. Καλλίστην παῖδα, ἣν δέδωκέ μοι Θεός. Λαμπρῶς ὑποδέχου καὶ προφή-

τάσθε· Μόνην μέλλουσαν εἰς πράγματα, προφέρειν τὰ κηρύγματα, μεθ᾽ ὧν βοᾷς Προφητῶν· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ηὗν ἔγνων γνῶναι σαφέστατα, προφρόνως ἔφη ὁ γηραιός. Ξύλον ἐν μέσῳ, ὡς ἐκβλαστάνειν ἐκ σοῦ. Ὅπερ ἐξανθήσει θεῖον ὄντως καρπόν· Παραδείσῳ εἰσοικίζοντα, τοὺς βροτοὺς τοὺς ἐξωσθέντας φθορᾷ, ἀναβοῶντας χαρᾷ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ρ῾Ητῶν ἀρρήτων μυήσεων, ἡ σὴ ψυχὴ Κόρη σεμνή. Σαφῶς ὑπάρξει ὁ πρέσβυς ἔφη τρανῶς. Τὸν θεῖον ἰδοὺ παρθένε οἶκον ναόν. Ὑπ᾽ Ἀγγέλου τρεφομένη γάρ, βουλῆς μεγάλης Ἄγγελον, κυήσεις ᾧ μελῳδοῦ, εὐλογοῦντα, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Φωνὴν σοι ᾄδομεν Κόρη Ἁγνή, περιχαρῶς τοῦ Γαβριήλ. Χαῖρε τῆς πάντων αἰτία μόνη χαρᾶς. Ψυχῶν χαῖρε καθαρτήριον. Ὡς τέξασα τὴν λύτρωσιν ἡμῶν, καὶ τὴν ἀνάπλασιν, τῶν μελῳδούντων αὐτῷ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἴδε τοῦ Θεοῦ, τὸ ὄρος τὸ ἅγιον, μετὰ λαμπάδων φαιδρῶν, ἔνδον νῦν εἰς Ἅγια, βαδίζει λίθος ἐξ οὗ τμηθήσεται, καὶ τοὺς βωμοὺς καὶ ξόανα δαιμονικὰ λεπτυνεῖ. τοὺς βροτοὺς δέ, τούτους ἀπεργάζεται, καὶ ναοὺς καὶ σεπτὰ καταγώγια.

Ὤμοσε Θεός, καὶ νῦν ἐκπεπλήρωκε, φυλῆς Ἰούδα ἡμῖν, δοὺς τὴν Ἀειπάρθενον, ἧς ἡ κοιλία ξύλον βλαστήσει ζωῆς, θανατηφόρου βρώσεως ἀπολυτρούμενον, τοὺς τὴν πτῶσιν, βρώσει ὑποκύψαντας, καὶ κλαπέντας ἀπάτῃ τοῦ ὄφεως.

Στόματι λαμπρῷ, ἡ Ἄννα ἐβόησεν ἐν τῷ Ναῷ τοῦ Θεοῦ, σοὶ προσανατίθημι, ἥν μοι παρέσχες παῖδα, ὦ Δέσποτα. ἐξ ἧς δι᾽ οἶκτον ἄφατον, σωματοφόρος ὀφθείς, διασώσεις, Κόσμον ὅνπερ ἔπλασας. μεγαλύνων αὐτὴν ὡς Μητέρα σου.

Ηὔγασεν ἰδού, ἡμέρα σωτήριος τοῖς ἐν νυκτὶ τῶν δεινῶν. πύλη ἐπουράνιος, ναοῦ τὰς πύλας ἀναπετάσασα, μετὰ λαμπάδων πρόεισιν ἔνδον εἰς Ἅγια, ὑφ᾽ ἁγίας, τρέφεσθαι δυνάμεως, εἰς Ἁγίου Θεοῦ κατασκήνωσιν.

Φώτισον Ἁγνή, ψυχῆς μου τὰ ὄμματα φῶς ἡ κυήσασα· μὴ καταλαβέτω με, τῆς ἁμαρτίας σκότος βαθύτατον· μηδὲ βυθὸς καλυψάτω με τῆς ἀπογνώσεως. ἀλλ᾽ αὐτή με, σῶσον καὶ κυβέρνησον, πρὸς λιμένα τοῦ θείου θελήματος.

Ἐξαποστειλάριον. Προεόρτιον. Τοῖς Μαθηταῖς.

Θεοῦ σοφίας τέμενος, καὶ ὑπέρτερον θρόνον τῶν Χερουβὶμ ὑπάρχουσαν, τὴν Ἁγνὴν Θεοτόκον, εὐτρέπισον Ζαχαρία, τοῦ ναοῦ τὰς εἰσόδους, τὰ τῶν Ἁγίων Ἅγια, ὑποδέξασθαι ταύτην. καὶ σὺν ἡμῖν, ᾆδε προεόρτιον τῇ Παρθένῳ. ἐξ ἧς Χριστὸς ὁ Κύριος, σαρκωθεὶς Κόσμον σώζει.

Εἰς τοὺς Αἴνους, στιχηρά. ἦχος α΄. Τῶν οὐρανίων.

Δεῦτε πιστοὶ συνελθόντες, ᾠδαῖς τιμήσωμεν, τὴν ἐκ Μητρὸς ἀγόνου, παραδόξως τεχθεῖσαν, Θεόνυμφον Μητέρα τοῦ ποιητοῦ. καὶ σὺν παρθένοις λαμπάσι τε, προϋπαντήσωμεν ταύτῃ ἐν τῷ Ναῷ, εἰσιούσῃ εἰς τὰ Ἅγια.

Στίχ. Ἀπενεχθήσονται τῷ Βασιλεῖ.

Καθάπερ ἄνθη ποικίλα, περιδρεψάμενοι, ἐκ νοητῶν λειμώνων, τῶν τοῦ Πνεύματος λόγων, ἐπαίνων τοὺς στεφάνους χαρμονικῶς, τῇ Παρθένῳ συμπλέξωμεν, καὶ προεόρτιον τούτους δῶρον αὐτῇ, ἐπαξίως προσκομίσωμεν.

Στίχ. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ.

Εὐτρεπιζέσθωσαν πύλαι, καὶ διαιρέσθωσαν, αἱ τοῦ ναοῦ Κυρίου, καὶ τὸν οἶκον τῆς δόξης, καὶ μόνην ὑπερτέραν τῶν Οὐρανῶν, ὑπὲρ νοῦν χρηματίσασαν, ὑποδεχέσθωσαν χαίρουσαι καὶ Χριστόν, τὸν σωτῆρα ἀνυμνείτωσαν.

Δόξα, καὶ νῦν. Ἰδιόμελον, ἦχος α΄.
Γεωργίου Νικομηδείας.

Ἀγαλλιάσθω σήμερον ὁ Οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι εὐφροσύνην ῥανάτωσαν ἐπὶ τὰ λίαν παράδοξα, μεγαλεῖα τοῦ Θεοῦ ἡμῶν. ἰδοὺ γὰρ ἡ πύλη, ἡ κατ᾽ ἀνατολὰς βλέπουσα, ἀποκυηθεῖσα ἐκ στείρας ἀκάρπου, ἐξ ἐπαγγελίας, καὶ τῷ Θεῷ ἀφιερωθεῖσα εἰς κατοίκησιν. σήμερον ἐν τῷ ναῷ, ὡς ἄμωμος προσφορὰ προσάγεται. ἀγαλλιάσθω ὁ Δαβίδ, κρούων τὴν κινύραν. ἀπενεχθήσονται φησι, τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς. αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται, ἔσω ἐν τῇ σκηνῇ τοῦ Θεοῦ, ἔνδον τοῦ ἱλαστηρίου αὐτοῦ·

ἀνατραφῆναι εἰς κατοίκησιν, τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς ἀρρεύστως γεννηθέντος, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος· Ὠδὴ γʹ. καὶ ςʹ.

Μηνὶ τῷ αὐτῷ καʹ.

## Ἡ ἐν τῷ Ναῷ Εἴσοδος τῆς Ὑπεραγίας Θεοτόκου.

Δεῖ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ τοιαύτη Ἑορτὴ ἐν Κυριακῇ, προηγοῦνται ταῦτα τὰ Ἀναστάσιμα.

Ἑσπέρας ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, ψάλλομεν τὸ αʹ. Ἀντίφωνον, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν, στίχ. ηʹ. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος αʹ.

Ὢ τοῦ παραδόξου θαύματος.

Σήμερον πιστοὶ χορεύσωμεν, ἐν ψαλμοῖς καὶ ὕμνοις, τῷ Κυρίῳ ᾄδοντες, τιμῶντες καὶ τὴν αὐτοῦ, ἡγιασμένην σκηνήν, τὴν ἔμψυχον κιβωτόν, τὴν τὸν ἀχώρητον Λόγον χωρήσασαν. προσφέρεται γὰρ Θεῷ, ὑπερφυῶς τῇ σαρκὶ νηπιάζουσα. καὶ Ἀρχιερεὺς ὁ μέγας, Ζαχαρίας δέχεται, εὐφραινόμενος ταύτην, ὡς Θεοῦ κατοικητήριον.

Σήμερον ναὸς ὁ ἔμψυχος, τῆς Ἁγίας δόξης, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἡ μόνη ἐν γυναιξὶν εὐλογημένη Ἁγνή, προσφέρεται τῷ ναῷ, τῷ νομικῷ κατοικεῖν εἰς τὰ Ἅγια. καὶ χαίρουσι σὺν αὐτῇ, Ἰωακείμ, καὶ ἡ Ἄννα τῷ Πνεύματι. καὶ παρθενικαὶ χορεῖαι, τῷ Κυρίῳ ᾄδουσι, ψαλμικῶς μελῳδοῦσαι, καὶ τιμῶσαι τὴν Μητέρα αὐτοῦ.

Σὺ τῶν Προφητῶν τὸ κήρυγμα, Ἀποστόλων δόξα, καὶ Μαρτύρων καύχημα, καὶ πάντων τῶν γηγενῶν ἡ ἀνακαίνισις, Παρθένε Μήτηρ Θεοῦ. διὰ γὰρ σοῦ τῷ Θεῷ κατηλλάγημεν. διὸ τιμῶμεν τὴν σήν, ἐν τῷ ναῷ τοῦ Κυρίου προέλευσιν. καὶ σὺν τῷ Ἀγγέλῳ πάντες, ψαλμικῶς τὸ χαῖρέ σοι, τῇ πανσέμνῳ βοῶμεν, τῇ πρεσβείᾳ σου σῳζόμενοι.

Δευτεροῦντες τὸ αʹ. Εἶτα λέγομεν καὶ ταῦτα. ἦχος δʹ. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῶν Ἁγίων εἰς Ἅγια, ἡ Ἁγία καὶ ἄμωμος, ἐν ἁγίῳ Πνεύματι εἰσοικίζεται. καὶ δι' Ἀγγέλου ἐκτρέφεται, τῷ ὄντι ὑπάρχουσα, ἁγιώτατος ναός, τοῦ Ἁγίου Θεοῦ ἡμῶν, τοῦ τὰ σύμπαντα, ἁγιάσαντος ταύτης εἰσοικήσει, καὶ θεώσαντος τὴν φύσιν, τὴν τῶν βροτῶν ὀλισθήσασαν.

Αἱ νεάνιδες χαίρουσαι, καὶ λαμπάδας κατέχουσαι, τῆς λαμπάδος σήμερον προπορεύονται, τῆς νοητῆς καὶ εἰσάγουσιν, αὐτὴν εἰς τὰ Ἅγια, τῶν Ἁγίων ἱερῶς, προδηλοῦσαι τὴν μέλλουσαν, αἴγλην ἄρρητον, ἐξ αὐτῆς ἀναλάμψαι καὶ φωτίσαι, τοὺς ἐν σκότει καθημένους, τῆς ἀγνωσίας ἐν Πνεύματι.

Ἡθομένη ὑπόδεξαι, Ζαχαρία ἐβόησεν, Ἄννα ἡ πανεύφημος, ἣν ἐκήρυξαν, Θεοῦ Προφῆται ἐν Πνεύματι· καὶ ταύτην εἰσάγαγε εἰς τὸν ἅγιον ναόν, ἱερῶς ἀνατρέφεσθαι. ὅπως γένηται, τοῦ Δεσπότου τῶν ὅλων θεῖος θρόνος, καὶ παλάτιον καὶ κλίνη, καὶ φωταυγὲς ἐνδιαίτημα.

Δευτεροῦντες τὸ αʹ. Δόξα, καὶ νῦν, ἦχος πλ. δʹ.

Μετὰ τὸ τεχθῆναί σε, Θεόνυμφε Δέσποινα, παρεγένου ἐν ναῷ Κυρίου, τοῦ ἀνατραφῆναι εἰς τὰ Ἅγια τῶν Ἁγίων, ὡς ἡγιασμένη· τότε καὶ Γαβριὴλ ἀπεστάλη πρὸς σὲ τὴν πανάμωμον, τροφὴν κομίζων σοι. τὰ οὐράνια πάντα ἐξέστησαν, ὁρῶντα τὸ Πνεῦμα τὸ Ἅγιον ἐν σοὶ σκηνῶσαν. Διὸ ἄσπιλε, ἀμόλυντε, ἡ ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς δοξαζομένη, Μήτηρ Θεοῦ, σῷζε τὸ γένος ἡμῶν.

Εἴσοδος. τό, Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

Ἐλάλησε Κύριος πρὸς Μωσῆν λέγων· ἐν Κεφ. μʹ. 1.
ἡμέρᾳ μιᾷ τοῦ Μηνὸς τοῦ πρώτου, στήσεις τὴν Σκηνὴν τοῦ μαρτυρίου· Καὶ θήσεις τὴν κιβωτόν, καὶ σκεπάσεις αὐτὴν τῷ καταπετάσματι· καὶ εἰσοίσεις τὴν Τράπεζαν, καὶ τὴν λυχνίαν· καὶ θήσεις τὸ θυμιατήριον τὸ χρυσοῦν, εἰς τὸ θυμιᾶν ἐναντίον τῆς κιβωτοῦ τοῦ μαρτυρίου. καὶ θήσεις τὸ κάλυμμα τοῦ καταπετάσματος ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ λήψῃ τὸ ἔλαιον τοῦ χρίσματος, καὶ χρίσεις τὴν Σκηνήν, καὶ πάντα τὰ ἐν αὐτῇ· καὶ ἁγιάσεις αὐτήν, καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ ἔσται ἁγία· καὶ ἁγιάσεις τὸ θυσιαστήριον, καὶ ἔσται τὸ θυσιαστήριον Ἅγιον τῶν Ἁγίων. Καὶ ἐποίησε Μωϋσῆς πάντα, ὅσα συνέταξεν αὐτῷ Κύριος ὁ Θεός, ὁ Ἅγιος τοῦ Ἰσραήλ. Καὶ ἐκάλυψεν ἡ νεφέλη τὴν Σκηνὴν τοῦ μαρτυρίου, καὶ δόξης

Κυ-

Κυρίου ἐπλήσθη ἡ σκηνή. καὶ οὐκ ἠδυνήθη Μωϋσῆς εἰσελθεῖν εἰς τὴν Σκηνὴν τοῦ μαρτυρίου, ὅτι ἐπεσκίαζεν ἐπ' αὐτὴν ἡ νεφέλη. καὶ δόξης Κυρίου ἐπλήσθη ἡ Σκηνή.

Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα.

Κεφ. η. 1. Ἐγένετο, ὡς συνετέλεσε Σολομῶν, τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου. Καὶ ἐξεκκλησίασε πάντας τοὺς πρεσβυτέρους Ἰσραὴλ ἐν Σιών, τοῦ ἀνενεγκεῖν τὴν Κιβωτὸν τῆς διαθήκης Κυρίου, ἐκ πόλεως Δαβίδ, αὕτη ἐστὶ Σιών. Καὶ ἦραν οἱ ἱερεῖς τὴν Κιβωτόν, καὶ τὸ σκήνωμα τοῦ μαρτυρίου, καὶ πάντα τὰ σκεύη τὰ ἅγια, τὰ ἐν τῷ σκηνώματι τοῦ μαρτυρίου. Καὶ ὁ βασιλεὺς καὶ πᾶς Ἰσραήλ, ἔμπροσθεν τῆς Κιβωτοῦ. Καὶ εἰσφέρουσιν οἱ Ἱερεῖς τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου εἰς τὸν τόπον αὐτῆς, εἰς τὸ Δαβὶρ τοῦ οἴκου, εἰς τὰ Ἅγια τῶν

Ἐδ. α. 9. Ἁγίων, ὑπὸ τὰς πτέρυγας τῶν Χερουβίμ. ὅτι τὰ Χερουβὶμ διαπεπετασμένα ταῖς πτέρυξιν ἐπὶ τὸν τόπον τῆς Κιβωτοῦ. καὶ περιεκάλυπτον τὰ Χερουβὶμ ἐπὶ τὴν Κιβωτόν, καὶ ἐπὶ τὰ ἅγια αὐτῆς ἐπάνω. Καὶ οὐκ ἦν ἐν τῇ Κιβωτῷ, πλὴν αἱ δύο πλάκες λίθιναι, πλάκες τῆς διαθήκης, ἃς ἔθηκεν ἐκεῖ Μωϋσῆς ἐν Χωρήβ, ἃς διέθετο Κύριος. Καὶ ἐγένετο ὡς ἐξῆλθον οἱ Ἱερεῖς ἐκ τοῦ ἁγίου, καὶ ἡ νεφέλη ἔπλησε τὸν οἶκον Κυρίου. καὶ οὐκ ἠδύναντο οἱ Ἱερεῖς στῆναι λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέλης, ὅτι ἔπλησεν ἡ δόξα Κυρίου τὸν οἶκον Κυρίου.

Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης, καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν. καὶ προσδέξομαι ὑμᾶς, λέγει Κύριος, Κύριος. Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς ἐξωτέρας, τῆς βλεπούσης κατὰ ἀνατολάς· καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρός με· Υἱὲ ἀνθρώπου, ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, οὐκ ἀνοιχθήσεται, καὶ οὐδεὶς οὐ μὴ διέλθῃ δι' αὐτῆς· ὅτι Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ εἰσελεύσεται δι' αὐτῆς. Καὶ ἔσται κεκλεισμένη, διότι ὁ Ἡγούμενος οὗτος κάθηται ἐπ' αὐτὴν τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου. Κατὰ τὴν ὁδὸν τοῦ Ἐλὰμ τῆς πύλης εἰσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αὐτοῦ ἐξελεύσεται. Καὶ εἰσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων, τῆς πρὸς βορρᾶν, κατέναντι τοῦ οἴκου. Καὶ εἶδον, καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

Εἰς τὴν Λιτήν, Στιχ. Ἰδιόμελα, ἦχος α.
Γεωργίου Νικομηδείας.

Ἀγαλλιάσθω σήμερον ὁ Οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι εὐφροσύνην ῥανάτωσαν, ἐπὶ τὰ λίαν παράδοξα μεγαλεῖα τοῦ Θεοῦ ἡμῶν. ἰδοὺ γὰρ ἡ πύλη, ἡ κατ' ἀνατολὰς βλέπουσα, ἀποκυηθεῖσα ἐκ στείρας ἀκάρπου, ἐξ ἐπαγγελίας, καὶ τῷ Θεῷ ἀφιερωθεῖσα εἰς κατοίκησιν, σήμερον ἐν τῷ Ναῷ ὡς ἄμωμος προσφορὰ προσάγεται. ἀγαλλιάσθω ὁ Δαβὶδ κρούων τὴν κινύραν. ἀπενεχθήσονται φησί, τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς. αἱ πλησίον αὐτῆς ἀπενεχθήσονται, ἔσω ἐν τῇ σκηνῇ τοῦ Θεοῦ, ἔνδον τοῦ ἱλαστηρίου αὐτοῦ, ἀνατραφῆναι εἰς κατοίκησιν, τοῦ πρὸ αἰώνων ἐκ Πατρὸς ἀρρεύστως γεννηθέντος, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Τοῦ αὐτοῦ. Ἦχος δ.

Σήμερον ὁ θεοχώρητος ναός, ἡ Θεοτόκος, ἐν Ναῷ Κυρίου προσάγεται, καὶ Ζαχαρίας ταύτην ὑποδέχεται. σήμερον τὰ τῶν Ἁγίων Ἅγια ἀγάλλονται. καὶ ὁ χορὸς τῶν Ἀγγέλων μυστικῶς πανηγυρίζει. μεθ' ὧν καὶ ἡμεῖς ἑορτάζοντες σήμερον, σὺν τῷ Γαβριὴλ ἐκβοήσωμεν· Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Δεῦτε πάντες οἱ λαοί, τὴν μόνην ἀμώμητον ἐγκωμιάσωμεν· τὴν ἐκ τῶν Προφητῶν προκηρυχθεῖσαν, καὶ ἐν ναῷ προσενεχθεῖσαν, τὴν πρὸ αἰώνων προορισθεῖσαν Μητέρα, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων ἀναδειχθεῖσαν Θεοτόκον. Κύριε πρεσβείαις αὐτῆς, τὴν εἰρήνην σου παράσχου ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος πλ. α. Λέοντος Μαΐστορος.

Ἐπέλαμψεν ἡμέρα χαρμόσυνος, καὶ Ἑορτὴ πανσεβάσμιος. σήμερον γὰρ ἡ πρὸ τόκου Παρθένος, καὶ μετὰ τόκον Παρθένος μένουσα, ἐν Ναῷ ἁγίῳ προσάγεται. καὶ χαίρει Ζαχαρίας ὁ Πρέσβυς, ὁ γεννήτης τοῦ Προδρόμου, καὶ βοᾷ γηθοσύνως· ἤγγικεν ἡ προσδοκία τῶν θλιβομένων, ἐν Ναῷ ἁγίῳ ὡς ἁγία, ἀφιερωθῆναι εἰς κατοίκησιν τοῦ Παντάνακτος. εὐφραινέσθω Ἰωακεὶμ ὁ προπάτωρ, καὶ ἡ Ἄννα ἀγαλλιάσθω· ὅτι προσήνεγκαν Θεῷ, ὡς τριετίζουσαν δάμα-

λιν,

λιν, τὴν ἄμωμον Δέσποιναν. μητέρες συγχάρητε, παρθένοι σκιρτήσατε, καὶ στεῖραι συγχορεύσατε, ὅτι ἠνέῳξεν ἡμῖν τὴν Οὐρανῶν Βασιλείαν, ἡ προορισθεῖσα Παντάνασσα. χαίρετε λαοί, καὶ ἀγαλλιᾶσθε.

Εἰς τὸν στ. στ. προσόμοια, ἦχος πλ. α.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίρει ὁ Οὐρανὸς καὶ ἡ γῆ, τὸν Οὐρανὸν τὸν νοητὸν πορευόμενον, ὁρῶντες εἰς θεῖον οἶκον, ἀνατραφῆναι σεπτῶς, τὴν Παρθένον μόνην καὶ ἀμώμητον. πρὸς ἣν ἐκπληττόμενος, Ζαχαρίας ἐβόησε· Πύλη Κυρίου, τοῦ ναοῦ ὑπανοίγω σοι, πύλας χαίρουσα, ἐν αὐτῷ περιχόρευε. ἔγνων γὰρ καὶ πεπίστευκα, ὡς ἤδη ἡ λύτρωσις, ἐπιδημήσει προδήλως, τῷ Ἰσραὴλ καὶ τεχθήσεται, ἐκ σοῦ Θεὸς Λόγος, ὁ δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Στ. Ἀπενεχθήσονται τῷ Βασιλεῖ.

Ἄννα ἡ θεία χάρις σαφῶς, χαριτωθεῖσα τὴν ἁγνὴν ἀειπάρθενον, προσάγει μετ' εὐφροσύνης εἰς τὸν Ναὸν τοῦ Θεοῦ, προσκαλεσαμένη προπορεύεσθαι, αὐτῆς τὰς νεάνιδας, λαμπαδηφόρους καὶ λέγουσα· ἄπιθι Τέκνον, τῷ δοτῆρι γενήθητι, καὶ ἀνάθημα, καὶ εὐῶδες θυμίαμα. εἴσελθε εἰς τὰ ἄδυτα, καὶ γνῶθι μυστήρια, καὶ ἑτοιμάζου γενέσθαι, τοῦ Ἰησοῦ οἰκητήριον, τερπνὸν καὶ ὡραῖον, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Στ. Ἀπενεχθήσονται ἐν εὐφροσύνῃ.

Ἔνδον ἐν τῷ ναῷ τοῦ Θεοῦ, ὁ θεοχώρητος ναὸς ἀνατίθεται, Παρθένος ἡ Παναγία, καὶ νεάνιδες αὐτῆς, νῦν λαμπαδηφόροι προπορεύονται. σκιρτᾷ Γεννητόρων, ἡ συζυγία ἡ ἄριστος, Ἰωακείμ τε, καὶ ἡ Ἄννα χορεύοντες, ὅτι ἔτεκον τὴν τὸν Κτίστην κυήσασαν. ἥτις περιχορεύουσα, εἰς θεῖα σκηνώματα, καὶ τρεφομένη Ἀγγέλου, διὰ χειρὸς ἡ πανάμωμος, Χριστοῦ ὤφθη Μήτηρ, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος πλ. β.

Σεργίου Ἁγιοπολίτου.

Σήμερον τὰ στίφη τῶν πιστῶν συνελθόντα, πνευματικῶς πανηγυρίσωμεν· καὶ τὴν Θεόπαιδα Παρθένον καὶ Θεοτόκον, ἐν ναῷ Κυρίου προσαγομένην, εὐσεβῶς ἀνευφημήσωμεν. τὴν προεκλεχθεῖσαν ἐκ πασῶν τῶν γενεῶν, εἰς κατοικητήριον τοῦ παντάνακτος Χριστοῦ, καὶ Θεοῦ τῶν ὅλων. παρθένοι λαμπαδηφοροῦσαι προπορεύεσθε, τῆς Ἀειπαρθένου τιμῶσαι τὴν σεβάσμιον πρόοδον. Μητέρες λύπην πᾶσαν ἀποθέμεναι, χαρμονικῶς συνακολουθήσατε, τὴν Μητέρα τοῦ Θεοῦ γενομένην, καὶ τῆς χαρᾶς τοῦ Κόσμου τὴν πρόξενον. Ἅπαντες οὖν χαρμονικῶς, τὸ χαῖρε σὺν τῷ Ἀγγέλῳ ἐκβοήσωμεν· τῇ κεχαριτωμένῃ, τῇ ἀεὶ πρεσβευούσῃ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον, ἦχος δ.

Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον, καὶ τῆς τῶν ἀνθρώπων σωτηρίας ἡ προκήρυξις, ἐν ναῷ τοῦ Θεοῦ τρανῶς ἡ Παρθένος δείκνυται, καὶ τὸν Χριστὸν τοῖς πᾶσι προκαταγγέλλεται. αὐτῇ καὶ ἡμεῖς μεγαλοφώνως βοήσωμεν· χαῖρε τῆς οἰκονομίας τοῦ Κτίστου ἡ ἐκπλήρωσις. Ἐκ γ.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α. στιχολ. κάθισμα ἦχος α.

Χορὸς Ἀγγελικός.

Δικαίων ὁ καρπός, Ἰωακεὶμ καὶ τῆς Ἄννης, προσφέρεται Θεῷ, ἱερῷ ἐν ἁγίῳ, σαρκὶ νηπιάζουσα, ἡ τροφὸς τῆς ζωῆς ἡμῶν. ἣν εὐλόγησεν, ὁ ἱερὸς Ζαχαρίας. ταύτην ἅπαντες, ὡς τοῦ Κυρίου Μητέρα, πιστῶς μακαρίσωμεν. Δίς.

Μετὰ τὴν β. στιχολ. κάθ. ἦχος δ.

Ταχὺ προκατάλαβε.

Δαβὶδ προοδοποίησον ἐν τῷ ναῷ τοῦ Θεοῦ, καὶ χαίρων ὑπόδεξαι τὴν Βασιλίδα ἡμῶν, καὶ ταύτῃ ἐκβόησον· εἴσελθε ἡ Κυρία, εἰς ναὸν Βασιλέως· εἴσελθε ἧς ἡ δόξα κεκρυμμένως νοεῖται· ἐξ ἧς μέλι, καὶ γάλα μέλλει πηγάσαι πᾶσι τὸ φῶς ὁ Χριστός. Δίς.

Μετὰ τὸν Πολυέλεον, κάθ. ἦχος πλ. δ.

Τὸ προσταχθὲν μυστικῶς.

Ἀγαλλιάσθω ὁ Δαβὶδ ὁ ὑμνογράφος, καὶ χορευέτω Ἰωακεὶμ σὺν τῇ Ἄννῃ· ὅτι γόνος ἅγιος ἐξ αὐτῶν προῆλθε, Μαρία ἡ φωτοφόρος θεία λαμπάς. καὶ χαίρει εἰσερχομένη ἐν τῷ ναῷ· ἣν καὶ βλέπων εὐλόγησεν, ὁ Βαραχίου Υἱός, καὶ χαίρων ἀνεκραύγαζε· χαῖρε θαῦμα παγκόσμιον. Δίς.

Οἱ Ἀναβαθμοί, τὸ α. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ.

Ἄκουσον θύγατερ. Στ. Ἐξηρεύξατο ἡ καρδία μου. Τό, Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ.

Ζήτει Σεπτεμβρίου η.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ο Ν. Δόξα. Ταῖς τῆς Θεοτόκου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Εἶτα, Στ. Ἐλέησον ἡμᾶς ὁ Θεός.
Καὶ ψάλλομεν τὸ Ἰδιόμελον, ἦχος πλ. β.
Σήμερον τὰ στίφη τῶν πιστῶν.
Κανόνες δύο, Γεωργίου, ἦχος δ. εἰς ς. καὶ Βασιλείου ὁ α. εἰς η. ὁ Κανὼν, οὗ ἡ ἀκροστ.
Σὺ τὴν χάριν Δέσποινα, τῷ λόγῳ δίδου.
Ὠδὴ α. ἦχος δ. Ἀνοίξω τὸ στόμα μου.
Σοφίας πανάχραντε, σὲ θησαυρὸν ἐπιστάμεθα, καὶ χάριτος βρύουσαν, πηγὴν ἀέναον, τὰς τῆς γνώσεως, ὑπὲρ μοῦ σου ῥανίδας, ἐπόμβρισον Δέσποινα, τοῦ ἀνυμνεῖν σε ἀεί.
Ὑπέρτερος πάναγνε, τῶν Οὐρανῶν χρηματίσασα, ναὸς καὶ παλάτιον, ἐν τῷ ναῷ τοῦ Θεοῦ, ἀνατίθεσαι, αὐτῷ ἑτοιμασθῆναι, εἰς θείαν κατοίκησιν τῆς παρουσίας αὐτοῦ.
Ὁ φῶς ἀνατείλασα, ἡ Θεοτόκος τῆς χάριτος, πάντας κατελάμπρυνε καὶ συνηγάγετο, τὴν ὑπέρλαμπρον, αὐτῆς κατακοσμῆσαι, πανήγυριν ᾄσμασιν, δεῦτε συνδράμωμεν.
Ἡ Πύλη ἡ ἔνδοξος, ἡ λογισμοῖς ἀδιόδευτος, τὰς πύλας διάρασα, τὰς τοῦ ναοῦ τοῦ Θεοῦ, νῦν προτρέπεται, ἡμᾶς συνεισελθόντας, τὰ θεῖα θαυμάσια, κατατρυφῆσαι αὐτῆς.
Ἕτερος Κανὼν εἰς τὴν αὐτὴν Ἑορτήν.
Ποίημα Βασιλείου Πηγουλώτου.
Ὠδὴ α. ἦχος α. Ὠιδὴν ἐπινίκιον.
Συνδράμωμεν σήμερον τῇ Θεοτόκῳ, τιμῶντες ἐν ᾄσμασι, καὶ πανηγυρίσωμεν, πνευματικὴν ἑορτήν. ἐν τῷ Ναῷ γὰρ τῷ Θεῷ, δῶρον προσφέρεται.
Ὠδαῖς ἀνυμνήσωμεν τῆς Θεοτόκου, τὴν ἔνδοξον πρόοδον· τῷ Ναῷ γὰρ σήμερον, ὡς καὶ ναὸς τοῦ Θεοῦ, προσφέρεται προφητικῶς, δῶρον πολύτιμον.
Ἡ Ἄννα ἡ ἄμεμπτος ἠγαλλιᾶτο, ὡς δῶρον πολύτιμον τῷ Θεῷ προσφέρουσα, ἐν τῷ ναῷ μητρικῶς. Ἰωακεὶμ δὲ σὺν αὐτῇ, πανηγυρίζει φαιδρῶς.
Δαβὶδ ὁ προπάτωρ σε ὕμνησε πάλαι, Παρθένε Θεόνυμφε, θυγατέρα λέγων σε, τοῦ Βασιλέως Χριστοῦ. ὃν καὶ τεκοῦσα μητρικῶς, βρέφος ἐθήλασας.
Σαρκὶ τελετίζουσα ἡ Θεοτόκος, Κυρίῳ προσάγεται· Ζαχαρίας ταύτην δὲ, ὁ Ἱερεὺς τοῦ Θεοῦ, δεξάμενος ἐν τῷ Ναῷ, χαίρων ἀνέθετο.

Παρθένοι χορεύσατε λαμπαδηφόροι, ἐξάρξατε σήμερον· καὶ μητέρες ᾄσατε, τῇ Βασιλίδι Μητρὶ, προσερχομένῃ τῷ Ναῷ, τοῦ Βασιλέως Χριστοῦ. Δόξα.
Τριὰς ὁμοούσιε, Πάτερ καὶ Λόγε, καὶ Πνεῦμα τὸ Ἅγιον, σὲ πιστῶς δοξάζομεν, ὡς ποιητὴν τοῦ παντός. καὶ σοὶ βοῶμεν εὐσεβῶς, σῶσον ἡμᾶς ὁ Θεός. Καὶ νῦν.
Ῥαφὴς ἐξ αἱμάτων σου τὴν ἁλουργίδα, φορέσας πανάχραντε, προελθὼν ἀνέπλασεν ὁ Βασιλεὺς καὶ Θεὸς, τὸ γένος ἅπαν τῶν βροτῶν, τῇ εὐσπλαγχνίᾳ αὐτοῦ.
Καταβασία. Χριστὸς γεννᾶται.
Ὠδὴ γ. Τοὺς σοὺς ὑμνολόγους.
Νυμφοστόλος σήμερον ἐδέχθη, τερπνὸς τῆς Παρθένου ὁ Ναός· καὶ θάλαμος δεχόμενος, τὴν ἔμψυχον παστάδα Θεοῦ, τὴν καθαρὰν καὶ ἄμωμον, καὶ λαμπροτέραν πάσης κτίσεως.
Δαβὶδ προεξάρχων τῆς χορείας, σκιρτᾷ καὶ χορεύει σὺν ἡμῖν, καὶ Βασιλίδα κράζει σε, πεποικιλμένην ἄχραντε· παρισαμένην πάναγνε, ἐν τῷ Ναῷ τῷ Βασιλεῖ καὶ Θεῷ.
Ἐξ ἧς ἡ παράβασις προῆλθεν, ἡ πάλαι τῷ γένει τῶν βροτῶν, ἐκ ταύτης ἡ ἀνόρθωσις, καὶ ἀφθαρσία ἐνθήσεν, ἡ Θεοτόκος σήμερον, προσαγομένη ἐν τῷ οἴκῳ Θεῷ.
Σκιρτῶσιν Ἀγγέλων στρατηγίαι, καὶ πάντων ἀνθρώπων ἡ πληθύς· καὶ πρὸ προσώπου πάναγνε, προτρέχουσί σου σήμερον, λαμπαδηφόροι κράζουσαι, τὰ μεγαλεῖα σου ἐν οἴκῳ Θεοῦ.
Ἄλλος. Στερεωθήτω ἡ καρδία μου.
Πανηγυρίσωμεν φιλέορτοι, καὶ συνευφρανθῶμεν τῷ Πνεύματι, ἐν τῇ ἁγίᾳ ἑορτῇ, εὐωχούμενοι σήμερον, θυγατρὸς τοῦ Βασιλέως, καὶ Μητρὸς τοῦ Θεοῦ ἡμῶν.
Ἰωακεὶμ εὐφραίνου σήμερον, καὶ ἀγάλλου Ἄννα τῷ Πνεύματι, τὴν γεννηθεῖσαν καὶ ὑμῶν τῷ Κυρίῳ προσάγοντες, τελετίζουσαν ὡς δάμαλιν, σεμνὴν τὴν πανάμωμον.
Ὁ τοῦ Θεοῦ κατοικητήριον, ἐν Ναῷ ἁγίῳ προσφέρεται, ἡ Θεοτόκος Μαριὰμ, τῇ σαρκὶ τελετίζουσα· καὶ αὐτῇ λαμπαδουχοῦσιν, αἱ παρθένοι προτρέχουσαι.
Τοῦ Θεοῦ ἀμνὰς ἡ ἄσπιλος, ἡ περιστερὰ ἡ ἀμόλυντος, ἡ θεοχώρητος σκηνὴ, τὸ τῆς δόξης ἁγίασμα, ἐν σκηνώματι ἁγίῳ, κατοικεῖν ᾑρετίσατο.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἡ Τελε-

Η Τελετίζουσα τῷ σώματι, καὶ πολυετὴς ἐν τῷ Πνεύματι, ἡ πλατυτέρα Οὐρανῶν, καὶ τῶν ἄνω δυνάμεων, ὑπερτέρα εὐφημείσθω, ἐν ᾠδαῖς ἡ Θεόνυμφος.

Τῆς Θεοτόκου ἑορτάζοντες, τὴν ἐν τοῖς ἀδύτοις προέλευσιν, λαμπαδουχοῦντες νοητῶς, ἐν φαιδρότητι σήμερον. καὶ ἡμᾶς σὺν ταῖς παρθένοις, τῷ Ναῷ πλησιάσωμεν.

Οἱ Ἱερεῖς Θεοῦ ἐνδύσασθε, τὴν δικαιοσύνην ἐν χάριτι, καὶ ὑπαντήσατε φαιδρῶς, τὰς ἀσόδους παρέχοντες, θυγατρὶ τοῦ Βασιλέως, καὶ Θεοῦ εἰς τὰ Ἅγια. Δόξα.

Φῶς ὁ Πατὴρ, φῶς ὁ Υἱὸς αὐτοῦ, καὶ τὸ Πνεῦμα φῶς τὸ Παράκλητον. ὡς γὰρ ἡλίου ἐξ ἑνὸς, ἡ Τριὰς ἀπαστράπτουσα, θεϊκῶς λαμπαδουχεῖ, καὶ σώζει τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν.

Ἣν οἱ Προφῆται προεκήρυξαν, κιβωτὸν σεμνὴν ἁγιάσματος, θυμιατήριον χρυσοῦν, καὶ Λυχνίαν, καὶ Τράπεζαν· καὶ ἡμεῖς ὡς θεοχώρητον, σκηνὴν ἀνυμνοῦμέν σε.

Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.

Ὠδὴ ζ'. ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἀνεβόησον Δαβὶδ, τίς ἡ παροῦσα ἑορτὴ, ἣν ἀνύμνησας ποτὲ, ἐν τῇ βιβλίῳ τῶν ψαλμῶν, ὡς θυγατέρα Θεόπαιδα καὶ Παρθένον· ἀπενεχθήσονταί φησι, τῷ Βασιλεῖ μυστικῶς, παρθένοι ὀπίσω αὐτῆς, καὶ αἱ πλησίον αὐτῆς, καὶ θαυμαστὴν ἐργάζου, καὶ παγκόσμιον, τὴν Ἑορτὴν τοῖς κραυγάζουσιν· ἡ Θεοτόκος. ἡμῖν ἐπέστη, τῆς σωτηρίας ἡ πρόξενος.

Ἕτερον ὅμοιον.

Ἡ Ἀμίαντος ἀμνὰς, καὶ ἀκηλίδωτος πασὰς, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἡ Θεοτόκος Μαριὰμ, μετ' εὐφροσύνης εἰσάγεται παραδόξως· ἣν Ἄγγελοι Θεοῦ, δορυφοροῦσι πιστῶς, καὶ πάντες οἱ πιστοὶ μακαρίζουσιν ἀεί· καὶ εὐχαρίστως ψάλλουσι ταύτῃ, ἀκαταπαύστως μεγάλῃ φωνῇ· ἡμῶν ἡ δόξα, καὶ σωτηρία, σὺ ὑπάρχεις πανάμωμε.

Ὠδὴ η'. Τὴν ἀνεξιχνίαστον.

Ὕλην ἀδιόδευτον ὁ τοῦ Θεοῦ, οἶκος εἰσδεχόμενος σήμερον, ἔπαυσε πᾶσαν, τὴν λατρείαν τοῦ νόμου, ὡς ἀληθῶς ἐπέφανε, κράζων τοῖς ἐν γῇ ἡ ἀλήθεια.

Ὄρος τὸ κατάσκιον, ὃ προορῶν, πάλαι Ἀββακοὺμ προεκήρυξεν, εἴσδον χορεύσαν, τῶν ἀδύτων τοῦ ναοῦ, ὡς ἀληθῶς ἐπέφανε, καὶ κατακαλύπτει τὰ πέρατα.

Ἴδωμεν παράδοξα πᾶσα ἡ γῆ, ξένα καὶ ἐξαίσια πράγματα· πῶς ἡ Παρθένος, δι' Ἀγγέλου τὴν τροφὴν, εἰσδεχομένη σύμβολα, τῆς οἰκονομίας κομίζεται.

Ναὸς καὶ παλάτιον, καὶ Οὐρανὸς, ἔμψυχος ὀφθεῖσα Θεόνυμφε, τοῦ Βασιλέως, ἐν ναῷ τῷ νομικῷ, ἀφιερώθης σήμερον, τούτῳ τηρουμένη πανάχραντε.

Ἄλλος. Ἐν Πνεύματι προβλέπων.

Προφῆτα Ἠσαΐα, προφήτευσον ἡμῖν, ἡ Παρθένος τίς ἐστιν, ἡ ἔχουσα γαστρί; ἡ ἐξ Ἰέσσαι τῆς ῥίζης ἀναφυεῖσα, καὶ γεννηθεῖσα ἐκ Δαβὶδ τοῦ Βασιλέως, σπέρματος ἁγίου, καρπὸς εὐκλεής.

Ἐξάρξατε παρθένοι, καὶ ᾄσατε ᾠδὰς, ταῖς χερσὶ κατέχουσαι, λαμπάδας τῆς ἁγνῆς, καὶ Θεοτόκου τὴν πρόοδον νῦν αἰνούσης, ἐν ναῷ τῷ τοῦ Κυρίου, ἅμα σὺν ἡμῖν ἑορτάζουσαι.

Ἰωακεὶμ καὶ Ἄννα, εὐφραίνεσθε νυνὶ, ἐν ναῷ προσάγοντες, Κυρίῳ τὴν Ἁγνὴν, Θεοῦ Μητέρα Χριστοῦ τοῦ παμβασιλέως, γενησομένην, ἐξ ὑμῶν δὲ γεννηθεῖσαν, οἷον τελετίζουσαν δάμαλιν.

Ἁγία τῶν Ἁγίων, ὑπάρχουσα σεμνὴ, ἐν ναῷ ἠγάπησας, ἁγίῳ κατοικεῖν. καὶ τοῖς Ἀγγέλοις Παρθένε προσομιλοῦσα, προσεκαρτέρεις παραδόξως οὐρανόθεν, ἄρτον δεχομένη, τροφὲ τῆς ζωῆς.

Τεκόντες παρ' ἐλπίδα, τὴν ἄχραντον Ἁγνὴν, εὐσεβῶς ὑπέσχοντο Θεῷ προσαγαγεῖν. καὶ ἐκπληροῦσι, παρέχοντες ὥσπερ θῦμα, τὴν γεννηθεῖσαν ἐξ αὐτῶν, Ἰωακείμ τε, σήμερον καὶ Ἄννα ἐν οἴκῳ Θεοῦ.

Ἐβλάστησεν ἡ ῥάβδος, ποτὲ τοῦ Ἀαρὼν, προτυποῦσα ἄχραντε, τὸν θεῖον τοκετόν. ὅτι ἀσπόρως συλλήψῃ, καὶ οὐ φθαρήσῃ, καὶ μετὰ τόκον παρθενεύουσα ὀφθήσῃ, βρέφος γαλουχοῦσα τὸν πάντων Θεόν.

Παρθένοι τῇ Παρθένῳ, Μητέρες τῇ Μητρὶ, εὐσεβῶς προσδράμετε τιμῆσαι σὺν ἡμῖν, τὴν γεννηθεῖσαν ὡς ἄμωμον ἱερεῖον, καὶ τὴν τεκοῦσαν τῷ Θεῷ καρποφοροῦσαν. πάντες οὖν φαιδρῶς ἑορτάσωμεν.

Δόξα.

Τριάδα τοῖς προσώποις, μονάδα τῇ μορφῇ, εὐσεβῶς δοξάσωμεν, Θεὸν ἀληθινόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

νόν. ὃν ἀνυμνοῦσιν Ἀγγέλων, καὶ Ἀρχαγγέλων ταξιαρχίαι, ὡς τῆς κτίσεως Δεσπότην, ἅπαντες πιστῶς προσκυνοῦντες ἀεί.

Καὶ νῦν.

Ἱκέτευε ἀπαύστως, Παναγιάσαντε Ἁγνή, ὃν σαρκὶ ἐκύησας, Υἱόν σου καὶ Θεόν, ἐκ πολυτρόπων παγίδων τοῦ διαβόλου, καὶ ἐκ παντοίων πειρασμῶν ἐπερχομένων, πάντας λυτρωθῆναι τοὺς δούλους σου.

Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἁγίασμα ἔνδοξον, καὶ ἱερὸν ἀνάθημα, σήμερον ἡ πάναγνος Παρθένος, ἀνατεθεῖσα ἐν τῷ ναῷ τοῦ Θεοῦ, τῷ παμβασιλεῖ ἡμῶν Θεῷ, μόνῳ εἰς ἐνοίκησιν, συντηρεῖται ὡς οἶδεν αὐτός.

Τὸ κάλλος Παναγιάσαντε, τὸ τῆς ψυχῆς σου βλέπων ποτέ, πίστει Ζαχαρίας ἀνεβόα. σὺ εἶ τὸ λύτρον, σὺ εἶ ἡ πάντων χαρά, σὺ εἶ ἡ ἀνάκλησις ἡμῶν, δι᾽ ἧς ὁ ἀχώρητος, χωρητός μοι ὀφθήσεται.

Ὢ τῶν ὑπὲρ ἔννοιαν, θαυμάτων σου Παναγιάσαντε, ξένη σου ἡ γέννησις ὑπάρχει, ξένος ὁ τρόπος, ὁ τῆς αὐξήσεως· ξένα καὶ παράδοξα τὰ σά, πάντα Θεονύμφευτε, καὶ βροτοῖς ἀνερμήνευτα.

Λυχνία πολύφωτος, ὑπάρχουσα Θεόνυμφε, σήμερον ἐξέλαμψας ἐν οἴκῳ, τῷ τοῦ Κυρίου, καὶ καταυγάζεις ἡμᾶς, τοῖς σεπτοῖς χαρίσμασιν Ἁγνή, τοῖς τῶν θαυμασίων σου, Θεοτόκε πανύμνητε.

Ἄλλος. Τὸ φαεινὸν ἡμῖν.

Λαμπροφορήσωμεν οἱ ὀρθόδοξοι, πάντες συντρέχοντες, καὶ δοξάζοντες τὴν Θεομήτορα. ὅτι Κυρίῳ σήμερον προσφέρεται, ὡς θῦμα εὐπρόσδεκτον.

Ἀγαλλιάσθωσαν οἱ Προπάτορες, σήμερον Δέσποινα, καὶ εὐφραινέσθω ἡ τεκοῦσά σε σὺν τῷ Πατρί σου, ὅτι ὁ καρπὸς αὐτῶν Κυρίῳ προσάγεται.

Τὴν πολυώνυμον καὶ περίδοξον, ἄμωμον δάμαλιν, ὡς ἐν σαρκὶ κυοφορήσασαν, τὸν θεῖον μόσχον, πάντες ἀνυμνήσωμεν, πιστῶς ἑορτάζοντες.

Τὰ τῆς νυμφεύσεως ἀπογράφονται, θεῖα συμβόλαια, τῆς ὑπὲρ νοῦν κυοφορίας σου, Ἁγνὴ Παρθένε, σήμερον ἐν Πνεύματι Ἁγίῳ, ἐν οἴκῳ Θεοῦ.

Ἐξανοιγέσθωσαν τὰ προπύλαια, δόξης Θεοῦ ἡμῶν· καὶ δεχέσθωσαν τὴν ἀπειρόγαμον Θεοῦ Μητέρα, ὥσπερ περιπτύξασαν, πολύτιμον δάμαλιν.

Δόξα.

Τὴν ὑπεράρχιον, καὶ ἀΐδιον, μίαν Θεότητα, δοξολογοῦντες προσκυνήσωμεν, τρισὶ προσώποις, φύσει ἀδιαίρετον, καὶ δόξῃ ἰσότιμον.

Καὶ νῦν.

Λιμένα εὔδιον, καὶ ἀπόρθητον, τεῖχος κεκτήμεθα, τὴν πρεσβείαν σου ἐν περιστάσεσι, Θεοκυῆτορ, πάντοτε λυτρούμενοι, κινδύνων καὶ θλίψεων.

Καταβασία. Θεὸς ὢν εἰρήνης.

Ὠδὴ ϛ΄. Τὴν θείαν ταύτην.

Ὁ πάντα φέρων τῷ ῥήματι, εὐχῆς τῆς τῶν δικαίων ἐπήκουσε. διὸ στειρώσεως, λύσας τὴν νόσον ὡς εὔσπλαγχνος, τὴν τῆς χαρᾶς αἰτίαν, τούτοις δεδώρηται.

Ἑνῶσαι θέλων ὁ Κύριος, τοῖς ἔθνεσιν αὐτοῦ τὸ σωτήριον, τὴν ἀπειρόγαμον, νῦν ἐξ ἀνθρώπων παρέλαβε, καταλλαγῆς σημεῖον, καὶ ἀναπλάσεως.

Ὡς οἶκος οὖσα τῆς χάριτος, ἐν ᾧ οἱ θησαυροὶ ἐναπόκεινται, τῆς ἀπορρήτου Θεοῦ, οἰκονομίας Παναγιάσαντε, ἐν τῷ ναῷ μετέσχες, τῆς ἀκηράτου τρυφῆς.

Διάδημά σε Βασίλειον, δεξάμενος ναὸς Θεονύμφευτε, κατεφαιδρύνετο, καὶ ὑπεχώρει τοῖς κρείττοσι, τῶν προρρηθέντων βλέπων, ἐν σοὶ τὴν ἔκβασιν.

Ἄλλος. Τὸν Προφήτην Ἰωνᾶν.

Ἑορτάσωμεν πιστοί, Ἑορτὴν Πνευματικήν, τὴν Μητέρα τοῦ Θεοῦ, ἀνυμνοῦντες εὐσεβῶς· ὑπάρχει γάρ, Ἁγιωτέρα τῶν οὐρανίων Νοῶν.

Ἐν ᾠδαῖς Πνευματικαῖς, εὐφημήσωμεν πιστοί, τὴν Μητέρα τοῦ φωτός. ὅτι σήμερον ἡμῖν, ἐπέφανε, προερχομένη ἐν τῷ Ναῷ τοῦ Θεοῦ.

Ἡ Ἀμίαντος ἀμνάς, καὶ Ἁγνὴ περιστερά, προσηνέχθη κατοικεῖν, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ὡς ἄμωμος, προορισθεῖσα, γενέσθαι Μήτηρ Θεοῦ.

Ἐν ναῷ τῷ νομικῷ, τὰς εἰσόδους ἐκτελεῖ, ὁ ναὸς ὁ τοῦ Θεοῦ, ἡ οὐράνιος σκηνή. ἐξ ἧς ἡμῖν, τοῖς ἐν τῷ σκότει, τὸ φῶς ἐξέλαμψε.

Νηπιάζουσα σαρκί, καὶ τελεία τῇ ψυχῇ, ἡ ἁγία κιβωτός, ἐν τῷ οἴκῳ τοῦ

Θεοῦ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοῦ, ἀπέρχεται, κατατρυφῆσαι τῆς θείας χάριτος.

Ἐκ παντοίων πειρασμῶν, καὶ κινδύνων ψυχικῶν, ἐλευθέρωσον ἡμᾶς, τοὺς προστρέχοντας εἰς σέ, πανύμνητε, ταῖς σαῖς πρεσβείαις Μήτηρ Χριστοῦ τοῦ Θεοῦ. Δόξα.

Ὁ Πατήρ, καὶ ὁ Υἱός, καὶ τὸ Πνεῦμα τὸ εὐθές, Τρισυπόστατε Μονάς, καὶ ἀχώριστε Τριάς, ἐλέησον, τοὺς προσκυνοῦντας τὸ θεῖον κράτος σου. Καὶ νῦν.

Ἐν γαστρί σου χωρητός, ὁ ἀχώρητος παντί, Θεομήτορ γεγονώς, προελήλυθεν ἐκ σοῦ, πανάχραντε, διπλοῦς τῇ φύσει, Θεὸς καὶ ἄνθρωπος.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

Κοντάκιον, ἦχος δ'. Ὁ ὑψωθείς.

Ὁ καθαρώτατος Ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστάς, καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ· ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ. Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Ὁ Οἶκος.

Τῶν ἀπορρήτων τοῦ Θεοῦ, καὶ θείων μυστηρίων, ὁρῶν ἐν τῇ Παρθένῳ τὴν χάριν δηλουμένην, καὶ πληρουμένην ἐμφανῶς, χαίρω, καὶ τὸν τρόπον ἐννοεῖν ἀμηχανῶ, τὸν ξένον καὶ ἀπόρρητον. πῶς ἐκλελεγμένη ἡ ἄχραντος, μόνη ἀνεδείχθη ὑπὲρ ἅπασαν τὴν κτίσιν, τὴν ὁρατὴν καὶ τὴν νοουμένην. διὸ ἀνευφημεῖν βουλόμενος ταύτην, καταπλήττομαι σφοδρῶς νοῦν τε καὶ λόγον· ὅμως δὲ τολμῶν, κηρύττω καὶ μεγαλύνω. Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

Τῇ αὐτῇ Μηνὶ κα'. Ἡ ἐν τῷ Ναῷ τῆς Θεομήτορος Εἴσοδος.

Ἔνδον τρέφει σε Γαβριὴλ Ναοῦ, Κόρη.
Ἧξε δὲ μικρόν, καὶ τὸ χαῖρέ σοι λέγων.
Εἰς ἱερὸν Μαρίη τέμενος παρὰ εἰκάδι πρώτῃ.

Αὕτη ἡ ἐν τῷ Ναῷ τῆς Θεομήτορος Εἴσοδος, Ἑορτὴν τοῖς εὐσεβέσιν εἰργάσατο θαυμαστὴν καὶ παγκόσμιον, ἐκ ταύτης τῆς ὑποθέσεως λαβοῦσα τὴν ἀφορμήν. Ἡ γὰρ πανοίδιμος Ἄννα, ὡς μικροῦ τὸν βίον ὅλον ἐν ἀπαιδίᾳ διήνυε· καθ' ὃν καιρὸν μετὰ τοῦ σώφρονος Ἰωακεὶμ νηστείαις, καὶ δεήσεσι τὸν Δεσπότην τῆς φύσεως καθικέτευον, οἶκτον τῆς αὐτῆς ἀτεκνίας λαβόντα, παῖδα χαρίσασθαι, ἐπαγγελλομένη, εἰ τῆς αἰτήσεως τύχοιεν, τὸ τικτόμενον παιδίον εὐθὺς αὐτῷ ἀναθεῖναι. Καὶ δὴ τεκοῦσα τὴν πρόξενον τῆς σωτηρίας τοῦ τῶν ἀνθρώπων γένους, τὴν καταλλαγὴν τοῦ Θεοῦ πρὸς ἀνθρώπους, καὶ αἰτίαν τῆς ἀναπλάσεως τοῦ πεπτωκότος Ἀδάμ, καὶ τῆς αὐτοῦ ἐγέρσεως καὶ θεώσεως, τὴν Παναγίαν Θεοτόκον Μαρίαν. ταύτην τρίτον ἤδη χρόνον ἄγουσαν ἀπὸ τῆς αὐτῆς παραδόξου Γεννήσεως, κατὰ τὴν ὑπόσχεσιν, ἄγουσι πρὸς τὸ Ἱερόν, καὶ τοῖς Ἱερεῦσι παραδιδόασιν. Ἣν καὶ λαβόντες οὗτοι, τάχα βουλήσει Θεοῦ ὑπηρετοῦντες, τοῦ μέλλοντος ὅσον οὔπω ἐξ αὐτῆς τίκτεσθαι, ἐπὶ διορθώσει καὶ σωτηρίᾳ τοῦ Παντὸς εἰς τὸ ἐνδότατον τοῦ Ναοῦ ἐμβιβάζουσι· χρόνους ὁλοκλήρους δώδεκα, ἐκεῖ σε διατρίβειν αὐτὴν μόνην, ὅπου τοῦ ἐνιαυτοῦ ἅπαξ τοῖς Ἱερεῦσιν εἰσιέναι ἀφώριστο. Ἣ καὶ διαπαντὸς πρὸς τὸ τοιοῦτον ἐνδιαιτωμένη, καὶ τροφῇ οὐρανίῳ ὑπὸ Ἀγγέλου ξενοπρεπῶς διατρεφομένη, ἕως τοῦ θείου Εὐαγγελισμοῦ, καὶ τῶν ὑπερφυῶν μυημάτων, Θεὸν σαρκοῦσθαι τῶν διδασκόντων, ὑπὸ φιλανθρωπίας εὐδοκήσαντα, Κόσμον ἀπολλύμενον ἀνασῶσαι. Καὶ ἐνηυλίζετο, καὶ ἐνδιῃτᾶτο, θείας ἐπιφανείας ἀξιουμένη, καὶ τροφὴν οὐράνιον ἀδιαλείπτως δεχομένη. Ἀγγέλου ἐπὶ τῇ ταύτης, ὡς ἔφην, ἀποστολῇ καθυπηρετοῦντος εἰς δόξαν Θεοῦ. ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ἰδοὺ σήμερον ἐπέλαμψε τοῖς πέρασιν, ἔαρ εὐφρόσυνον, καταφαιδρῦνον ἡμῶν, ψυχὴν καὶ διάνοιαν, καὶ νοῦν τῇ χάριτι, ἡ πανήγυρις, τῆς Θεοτόκου σήμερον, μυστικῶς εὐωχηθῶμεν.

Δορυφορείτωσαν σήμερον τὰ σύμπαντα, τῇ Βασιλίδι Μητρί, ὁ Οὐρανὸς καὶ ἡ γῆ, Ἀγγέλων τὰ τάγματα, καὶ τῶν βροτῶν ἡ πληθύς, καὶ βοάτωσαν· ἐν τῷ ναῷ εἰσάγεται, ἡ χαρὰ καὶ ἡ λύτρωσις.

Ὁ τοῦ γράμματος παρέδραμεν, ἐξέλιπε νόμος καθάπερ σκιά, καὶ αἱ τῆς χάριτος ἀκτῖνες ἐπέλαμψαν, ἐν τῷ ναῷ τοῦ Θεοῦ, εἰσαχθείσης σου, Παρθενομῆτορ ἄχραντε, ἐν αὐτῷ εὐλογημένη.

Ὑποτέτακται τῷ τόκῳ σου πανάχραντε, ὡς ποιητῇ καὶ Θεῷ, ὁ Οὐρανὸς καὶ ἡ γῆ,



Βιβλιοθήκη Κεντρική Βιβλιοθήκη Βεροίας

καὶ τὰ καταχθόνια, καὶ πᾶσα γλῶσσα βροτῶν. ὅτι Κύριος, ὁμολογοῦν ἐπέφανεν, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἄλλος. Ἡ κάμινος Σωτήρ.

Χορεύσωμεν φιλέορτοι σήμερον, ὑμνήσωμεν τὴν ἄχραντον Δέσποιναν, Ἰωακεὶμ καὶ Ἄνναν, ἐπαξίως γεραίροντες.

Προφήτευσον ὁ λέγων ἐν Πνεύματι, ἀχθήσονται παρθένοι ὀπίσω σου· ἀπενεχθήσονταί σοι, εἰς ναὸν τῇ βασιλίδι Μητρί.

Ηὔφραινοντο Ἀγγέλων τὰ τάγματα, ηὐφραίνοντο δικαίων τὰ Πνεύματα, ὅτε Θεοῦ ἡ Μήτηρ, εἰς τὰ Ἅγια προήγετο.

Καὶ σώματι καὶ Πνεύματι ἔχαιρε, χορεύουσα Μαρία ἡ ἄμωμος, ἐν τῷ ναῷ Κυρίου, ὥσπερ σκεῦος ἱερώτατον.

Λαμβάνουσα τροφὴν τὴν οὐράνιον, προέκοπτε σοφίᾳ καὶ χάριτι, ἡ γενομένη Μήτηρ, κατὰ σάρκα τοῦ Σωτῆρος Χριστοῦ.

Εἰσέφερον ναοῦ εἰς ἐνδότατον, οἱ σώφρονες Πατέρες σου ἄχραντε, ἀνατραφῆναι ξένως, εἰς κατοίκησιν Χριστοῦ τοῦ Θεοῦ. Δόξα.

Δοξάσωμεν Τριάδα ἀχώριστον, ὑμνήσωμεν τὴν μίαν Θεότητα, σὺν τῷ Πατρὶ τὸν Λόγον, καὶ τὸ Πνεῦμα τὸ Παναγιον.

Καὶ νῦν.

Ἱκέτευε ὃν ἔτεκες Κύριον, ὡς εὔσπλαγχνον τῇ φύσει ὑπάρχοντα, Θεογεννήτωρ σῶσαι, τὰς ψυχὰς τῶν ἀνυμνούντων σε.

Καταβασία. Οἱ Παῖδες εὐσεβείᾳ.

Ὠδὴ η'. Ἧς ἡ ἀκροστιχίς.

Κατὰ Ἀλφάβητον. Ὁ Εἱρμός.

Ἄκουε Κόρη Παρθένε Ἁγνή, εἰπάτω δὴ ὁ Γαβριήλ, βουλὴν Ὑψίστου, ἀρχαίαν ἀληθινήν· γενοῦ πρὸς ὑποδοχὴν ἑτοίμη Θεοῦ. διὰ σοῦ γὰρ ὁ ἀχώρητος, βροτοῖς συναναστρέφεται. διὸ καὶ χαίρων βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἄχραντον Ναὸν ἐν οἴκῳ Θεοῦ, προσάγουσα Ἄννα ποτέ, Βοῶσα ἔφη ἐν πίστει τῷ ἱερεῖ. Γονὴν τὴν ὑπὸ Θεοῦ δοθεῖσαν κἀμοί, Δεδεγμένος νῦν εἰσάγαγε, ἐν τῷ Ναῷ τοῦ κτίσαντος· καὶ χαίρων ψάλλε αὐτῷ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἔφησεν ἰδὼν τῇ Ἄννῃ ποτέ, ἐν Πνεύματι ὁ Ζαχαρίας· Ζωῆς μητέρα εἰσάγεις ἀληθινήν. Ἣν περ τηλαυγῶς οἱ προφῆται Θεοῦ, Θεοτόκον προεκήρυξαν· καὶ πῶς Ναὸς χωρήσει αὐτήν; διὸ θαυμάζων βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἱκέτις Θεοῦ κατέστην ἐγώ, ἀντέφησεν Ἄννα αὐτῷ. Καλοῦσα τοῦτον ἐν πίστει καὶ προσευχῇ, Λαβεῖν τῆς ἐμῆς ὠδῖνος καρπόν. Μετὰ τόκον δὲ τὸ κύημα, προσάγειν τῷ παρέχοντι. διὸ κραυγάζων βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Νόμιμον ὄντως τὸ ἔργον ἐστίν, ὁ Ἱερεὺς ἔφη αὐτῇ. Ξένον δὲ ταύτῃ τὸ πρᾶγμα κατανοῶν, Ὁρῶν τὴν προσαγομένην ἐν οἴκῳ Θεοῦ, Παραδόξως ὑπερβαίνουσαν, τὰ ἅγια τῇ χάριτι. διὸ καὶ χαίρων βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥώννυμαι ἔφη ἡ Ἄννα αὐτῷ, μανθάνουσα ἅπερ λαλεῖς. Συνεὶς γὰρ ταῦτα τῷ πνεύματι τοῦ Θεοῦ, Τρανῶς τὰ τῆς παρθενίας ἐκήρυξας· Ὑποδέχου οὖν τὴν ἄχραντον, ἐν τῷ ναῷ τοῦ Κτίσαντος· καὶ χαίρων ψάλλε αὐτῷ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Φωσφόρος ἡμῖν ἀνῆψε λαμπάς, ἐβόησεν ὁ Ἱερεύς, Χαρὰν μεγίστην ἐκλάμπουσα ἐν Ναῷ. Ψυχαὶ προφητῶν συνευφραινέσθωσαν. Ὡς παράδοξα θεώμενοι, τελούμενα ἐν οἴκῳ Θεοῦ· καὶ ἐκβοάτω ἀεί· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἄλλος. Ὃν φρίττουσιν Ἄγγελοι.

Εὐφραίνεται σήμερον, φαιδρῶς Ἰωακείμ, καὶ Ἄννα ἡ ἄμεμπτος Κυρίῳ τῷ Θεῷ, προσφέρει θυσίαν, τὴν δοθεῖσαν αὐτῇ, ἐξ ἐπαγγελίας, Ἁγίαν θυγατέρα.

Καυχῶνται οἱ Ἅγιοι, Δαβὶδ καὶ Ἰεσσαί, Ἰούδας σεμνύνεται. ἐκ ῥίζης γὰρ αὐτῶν, ἐβλάστησε γόνος, ἡ Παρθένος Ἁγνή. ἐξ ἧς ἐγεννήθη Θεὸς ὁ πρὸ αἰώνων.

Μαρία ἡ ἄχραντος, καὶ ἔμψυχος σκηνή· προσφέρεται σήμερον ἐν οἴκῳ τοῦ Θεοῦ· καὶ δέχεται ταύτην Ζαχαρίας χερσίν, ὡς ἡγιασμένον κειμήλιον Κυρίου.

Ὡς στύλον σωτήριον, καὶ ὄρος νοητόν, ὡς κλίμακα ἔμψυχον τιμήσωμεν πιστοί, τὴν ὄντως Παρθένον, καὶ Μητέρα Θεοῦ, τὴν εὐλογηθεῖσαν χερσὶ τῶν Ἱερέων.

Προφῆται Ἀπόστολοι, καὶ Μάρτυρες Χριστοῦ, Ἀγγέλων τὰ τάγματα, καὶ πάντες γηγενεῖς, τιμήσωμεν ὕμνοις τὴν Παρθένον Ἁγνήν, ὡς εὐλογημένην μητέρα τοῦ Ὑψίστου.

ΝΑῷ σε προσέφερον, Πανάχραντε Ἁγνή, οἱ θείως τεκόντες σε, ὡς θαῦμα καθαρόν. καὶ ξένως αὐλίζῃ ἐν ἀδύτοις Θεῷ, προετοιμασθῆναι εἰς κατοικίαν Λόγου. Δόξα.

ΥΜνείσθω τρισάγιος, Πατήρ, καὶ ὁ Υἱός, καὶ Πνεῦμα τὸ Ἅγιον, ἀμέριστος Μονάς, ἡ μία Θεότης, ἡ κρατοῦσα δρακί, τὴν σύμπασαν κτίσιν, εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν.

ΟἌναρχος ἄρχεται, ὁ Λόγος ἐν σαρκί, τεχθεὶς ὡς ηὐδόκησε, Θεός τε καὶ βροτός, ἐκ Κόρης Παρθένου ἀναπλάττων ἡμᾶς, τοὺς πρὶν πεπτωκότας, δι' ἄκραν εὐσπλαγχνίαν. Καταβασία. Θαύματος ὑπερφυοῦς.

Ὠδὴ θ'. Ἔχει δὲ ἀκροστιχίδα καὶ αὕτη, κατὰ Ἀλφάβητον, ἀντιστρόφως,

Μεγαλυνάριον.

ΑΓγελοι τὴν εἴσοδον τῆς Πανάγνου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος εἰσῆλθεν εἰς τὰ Ἅγια τῶν Ἁγίων.

Ὁ Εἱρμός.

„ ΩΣ ἐμψύχῳ Θεοῦ κιβωτῷ, ψαυέτω μη-
„ δαμῶς χεὶρ ἀμυήτων. χείλη δὲ πιστῶν
„ τῇ Θεοτόκῳ ἀσιγήτως, φωνὴν τοῦ Ἀγγέλου
„ ἀναμέλποντα, ἐν ἀγαλλιάσει βοάτω. ὄντως
„ ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

ΩΣ ὑπέρλαμπρον Θεοτόκε Ἁγνή, Ψυχῆς τὸ καθαρὸν ἔχουσα κάλλος. Χαῖρε δὲ Θεοῦ ἐμπιπλαμένη οὐρανόθεν. Φωτὶ ἀϊδίῳ καταυγάζεις ἀεί, τοὺς ἐν εὐφροσύνῃ βοῶντας· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

ΥΠερῆπται Θεοτόκε Ἁγνή, Τὸ θαῦμά σου τὴν δύναμιν τῶν λόγων. Σῶμα γὰρ ἐν σοὶ κατανοῶ ὑπὲρ λόγον, Ῥοῆς ἁμαρτίας ἀνεπίδεκτον. ὅθεν εὐχαρίστως βοῶ σοι· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

ΠΑραδόξως προδιετύπου Ἁγνή. Ὁ νόμος σε σκηνὴν καὶ θείαν στάμνον. Ξένην κιβωτόν, καὶ καταπέτασμα καὶ ῥάβδον. Ναὸν ἀκατάλυτον, καὶ πύλην Θεοῦ. ὅθεν ἐκδιδάσκει σοι κράζειν· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

ΜΕλῳδῶν σοι προεκελάδει Δαβίδ, Λαλῶν σε θυγατέρα βασιλέως, Κάλλει ἀρετῶν ἐκ δεξιῶν παρεστηκυῖαν, Ἰδὼν τοῦ Θεοῦ πεποικιλμένην σε. ὅθεν προφητικῶς ἐβόα· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

ΘΕοδόχον προθεωρῶν Σολομών, Ἠνίξατό σε πύλην βασιλέως· Ζῶσάν τε πηγὴν ἐσφραγισμένην· Ἐξ ἧς τὸ ἀθόλωτον ἡμῖν προῆλθεν, ὕδωρ τοῖς ἐν πίστει βοῶσιν· ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

ΔΙανέμας τῶν χαρισμάτων τὴν σήν, Γαλήνην Θεοτόκε τῇ ψυχῇ μου, Βρύουσα ζωὴν τοῖς σὲ τιμῶσι κατὰ χρέος. Αὕτη περιέπουσα καὶ σκέπουσα, καὶ διατηροῦσα βοᾶν σοι, ὄντως ἀνωτέρα πάντων, ὑπάρχεις Παρθένε Ἁγνή.

Ἄλλος. Τὴν φωτοφόρον νεφέλην.

Μεγάλυνον ψυχή μου, τὴν προσενεχθεῖσαν ἐν τῷ Ναῷ Κυρίου, καὶ εὐλογηθεῖσαν χερσὶ τῶν Ἱερέων.

ΕΚ τῶν Δικαίων προῆλθεν, Ἰωακεὶμ καὶ τῆς Ἄννης, ἐπαγγελίας ὁ καρπός, ἡ Θεόπαις Μαρία· καὶ ὡς θυμίαμα δεκτόν, σαρκὶ νηπιάζουσα προσφέρεται, Ἱερῷ ἐν ἁγίῳ ὡς ἁγία, εἰς τὰ ἅγια οἰκεῖν.

ΤΗν νηπιάζουσαν φύσει, καὶ ὑπὲρ φύσιν Μητέρα, ἀναδειχθεῖσαν τοῦ Θεοῦ, εὐφημήσωμεν ὕμνοις· ἐν τῷ Ναῷ τῷ νομικῷ, Κυρίῳ γὰρ σήμερον προσφέρεται, εἰς ὀσμὴν εὐωδίας τῶν δικαίων, ὡς καρπὸς πνευματικός.

ΣΥν τῷ Ἀγγέλῳ τὸ χαῖρε, τῇ Θεοτόκῳ προσφόρως, ἀναβοήσωμεν πιστοί, χαῖρε πάγκαλε Νύμφη. χαῖρε νεφέλη φωτεινή, ἐξ ἧς ἡμῖν ἔλαμψεν ὁ Κύριος, τοῖς ἐν σκότει ἀγνοίας καθημένοις· χαῖρε πάντων ἡ ἐλπίς.

ΗΤῶν Ἁγίων Ἁγία, καὶ Θεομήτωρ Μαρία, ταῖς ἱκεσίαις σου ἁγνή, ἐλευθέρωσον ἡμᾶς, ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ· καὶ πάσης αἱρέσεως καὶ θλίψεως, τοὺς πιστῶς προσκυνοῦντας τὴν εἰκόνα, τῆς ἁγίας σου μορφῆς.

ΥΜνον ἐπάξιον πᾶσα, τῇ Θεοτόκῳ ἡ κτίσις, σὺν τῷ Ἀγγέλῳ Γαβριήλ, ἀνακράζει βοῶσα· χαῖρε ἡ Μήτηρ τοῦ Θεοῦ· δι' ἧς ἐλυτρώθημεν πανάμωμε, τῆς ἀρχαίας κατάρας, γεγονότες, ἀφθαρσίας κοινωνοί.

ΤΩν Χερουβὶμ ὑπερτέρα, τῶν Σεραφὶμ ἀνωτέρα, καὶ πλατυτέρα Οὐρανῶν, ἀνεδείχθης Παρθένε, ὡς τὸν ἀχώρητον παντί, ἐν μήτρᾳ χωρήσασα, Θεὸν ἡμῶν, καὶ τεκοῦσα ἀφράστως· ὃν δυσώπει, ἐκτενῶς ὑπὲρ ἡμῶν.

Δόξα.



Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

Μεγάλυνον ψυχή μου, τῆς τρισυποστάτου, καὶ ἀδιαιρέτου Θεότητος τὸ κράτος.

Τὴν τρισυπόστατον φύσιν, καὶ ἀδιαίρετον δόξαν, τὴν ἐν Θεότητι μιᾷ, ὑμνουμένην ἀπαύστως, ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς, Τριάδα ἄχρονον, δοξάζομεν, σὺν Υἱῷ τὸν Πατέρα, καὶ τὸ Πνεῦμα, προσκυνοῦντες πιστῶς. Καὶ νῦν.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, τοὺς καταφεύγοντας πίστει, καὶ προσκυνοῦντας πιστῶς τὸν Υἱόν σου Παρθένε, Θεογεννῆτορ ὡς Θεόν, τοῦ Κόσμου καὶ Κύριον ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, καὶ παντοίων πειρασμῶν.

Καταβασία. Μυστήριον ξένον.

Ἐξαπος. Γυναῖκες ἀκουτίσθητε.

Ἣν πάλαι προκατήγγελε, τῶν Προφητῶν ὁ σύλλογος, στάμνον καὶ ῥάβδον καὶ πλάκα, καὶ ἀλατόμητον ὄρος, Μαρίαν τὴν Θεόπαιδα, πιστῶς ἀνευφημήσωμεν. σήμερον γὰρ εἰσάγεται, εἰς τὰ Ἅγια τῶν Ἁγίων, ἀνατραφῆναι Κυρίῳ. Ἐκ γ΄.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχηρὰ ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Λαμπαδηφόροι Παρθένοι τὴν Ἀειπάρθενον, φαιδρῶς ὁδοποιοῦσαι, προφητεύουσιν ὄντως, ἐν Πνεύματι τὸ μέλλον· ναὸς γὰρ Θεοῦ, ἡ Θεοτόκος ὑπάρχουσα, πρὸς τὸν ναὸν μετὰ δόξης Παρθενικῆς, νηπιόθεν ἐμβιβάζεται.

Ἐπαγγελίας ἁγίας, καὶ ὁ καρπὸς εὐκλεής, ἡ Θεοτόκος ὄντως, ἀνεδείχθη τῷ Κόσμῳ· ὡς πάντων ὑπερτέρα, ἡ εὐσεβῶς, προσαγομένη ἐν οἴκῳ Θεοῦ, τὴν προσευχὴν τῶν τεκόντων ἀποπληροῖ, συντηρουμένη θείῳ Πνεύματι.

Ἐπουρανίῳ τραφεῖσα Παρθένε ἄρτῳ πιστῶς, ἐν τῷ ναῷ Κυρίου, ἀπεκύησας Κόσμῳ, ζωῆς ἄρτον τὸν Λόγον· ᾧ ὡς ναός, ἐκλεκτὸς καὶ πανάμωμος, προεμνηστεύθης τῷ Πνεύματι μυστικῶς, νυμφευθεῖσα τῷ Θεῷ καὶ Πατρί.

Ἐξανοιγέσθω ἡ πύλη τοῦ θεοδόχου ναοῦ. τὸν γὰρ ναὸν τοῦ πάντων, Βασιλέως καὶ θρόνον, σήμερον ἐν δόξῃ, ἔνδον λαβών, Ἰωακεὶμ ἀνατίθεται, ἀφιερώσας Κυρίῳ τὴν ἐξ αὐτοῦ, ἐκλεχθεῖσαν εἰς Μητέρα αὐτοῦ.

Δόξα, καὶ νῦν, ἦχος β΄.

Λέοντος Μαΐστορος.

Σήμερον τῷ ναῷ προσάγεται, ἡ Παναμώμητος Παρθένος, εἰς κατοικητήριον τοῦ Παντάνακτος Θεοῦ, καὶ πάσης τῆς ζωῆς ἡμῶν τροφοῦ. σήμερον τὸ καθαρώτατον ἁγίασμα, ὡς τριετίζουσα δάμαλις, εἰς τὰ Ἅγια τῶν Ἁγίων εἰσάγεται. ταύτῃ ἐκβοήσωμεν ὡς ὁ Ἄγγελος· χαῖρε μόνη ἐν γυναιξὶν εὐλογημένη.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς Ἀδελφοῖς.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος. ᾨδὴ γ΄. καὶ ϛ΄. Προκείμενον τοῦ Ἀποστόλου, ἦχος γ΄. ᾨδὴ τῆς Θεοτόκου.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν.

Ὁ Ἀπόστ. Πρὸς Ἑβραίους Ἐπιστολῆς.

Ἀδελφοί, εἶχεν ἡ πρώτη σκηνὴ δικαιώματα λατρείας, τό, τε ἅγιον κοσμικόν. σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥτε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται Ἅγια. Μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων· χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης, περικεκαλυμμένην πάντοθεν χρυσίῳ· ἐν ᾗ στάμνος χρυσῆ, ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης. Ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον. Περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἴσιασιν οἱ Ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες· εἰς δὲ τὴν δευτέραν ἅπαξ τοῦ ἐνιαυτοῦ, μόνος ὁ Ἀρχιερεύς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Ἀλληλούϊα, ἦχος δ΄.

Ἄκουσον θύγατερ, καὶ ἴδε.

Στίχ. Τὸ πρόσωπόν σου λιτανεύσουσιν.

Τὸ Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Κώμην τινά. Ζήτει Σεπτεμβρίου η΄.

Κοινωνικόν. Ποτήριον σωτηρίου.

Δεῖ εἰδέναι, ὅτι ἑορτάζεται ἡ παροῦσα Ἑορτή, ἄχρι τῆς κε΄. τοῦ παρόντος Μηνός.

Μηνὶ τῷ αὐτῷ κβ΄.

Τῶν Ἁγίων Ἀποστόλων, Φιλήμονος, Ἀρχίππου, καὶ Ἀπφίας, καὶ τῶν σὺν αὐ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τοῖς. καὶ τῆς Ἁγίας Μάρτυρος Κικιλίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀποστόλους, καὶ εἰς Γυναῖκα Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ κγʹ.

Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, Ἀμφιλοχίου Ἐπισκόπου Ἰκονίου, καὶ Γρηγορίου τοῦ Ἀκραγαντίνων. ζήτει τὴν Ἀκολουθίαν τῆς Ἑορτῆς, καὶ τῶν Ἁγίων εἰς Ἱεράρχας.

Μηνὶ τῷ αὐτῷ κδʹ.

Τῶν Ὁσίων Πατέρων ἡμῶν, καὶ Ἱερομαρτύρων, Κλήμεντος Πάπα Ῥώμης, καὶ Πέτρου Πατριάρχου Ἀλεξανδρείας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρας.

Μηνὶ τῷ αὐτῷ ΚΕʹ.

Τῆς Ἁγίας Μεγαλομάρτυρος τοῦ Χριστοῦ, καὶ πανσόφου Αἰκατερίνης, καὶ τοῦ Ἁγίου Μάρτυρος Μερκουρίου.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ Ἑορτή, καὶ συμψάλλεται καὶ ἡ τῆς Ἁγίας Ἀκολουθία. Τοῦ δὲ Μάρτυρος ἡ Ἀκολουθία ψάλλεται ἐν τοῖς Ἀποδείπνοις· ζήτει ταύτην εἰς Μάρτυρα.

Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛʹ. καὶ ψάλλομεν στιχηρὰ τῆς Ἑορτῆς γʹ. καὶ τῆς Ἁγίας γʹ. ἦχος αʹ. Τῶν οὐρανίων ταγμάτων.

Σήμερον τέρπεται πόλις ἡ Ἀλεξάνδρεια, τὰ σπάργανά σου Μάρτυς, ἐν τῷ θείῳ ναῷ σου, κατέχουσα προφρόνως. διὸ καὶ ἡμᾶς, εὐσεβῶς ἑορτάζομεν, Αἰκατερίνα τὴν μνήμην σου τὴν σεπτήν. ὑπεράσπιζε τῶν τιμώντων σε.

Αἰκατερίνης τὴν μνήμην, νῦν ἑορτάσωμεν. αὕτη γὰρ ὄντως πάσας, τοῦ ἐχθροῦ τὰς δυνάμεις, καὶ λόγῳ τε, καὶ ἔργῳ καθεῖλε στεῤῥῶς, καὶ Ῥητόρων τὴν σύστασιν. ἀλλὰ δεήσεσι ταύτης, ῥῦσαι ἡμᾶς, ὁ Θεὸς ἐκ τῶν αἱρέσεων.

Χαίροις πανένδοξε Μάρτυς, Αἰκατερίνα σεμνή. τὸ γὰρ Σίναιον ὄρος, ἐν ᾧ εἶδε τὴν βάτον, Μωσῆς μὴ φλεγομένην, ἐν τούτῳ Χριστός, τὸ θεάρεστον σκῆνός σου, νῦν μεταθεὶς σὲ φυλάττει ἕως καιροῦ, τῆς δευτέρας παρουσίας αὐτοῦ.

Δόξα, τῆς Ἁγίας, ἦχος βʹ.

Χαρμονικῶς τῇ πανηγύρει, τῆς θεοσόφου Μάρτυρος Αἰκατερίνης, συνδράμωμεν ὦ φιλομάρτυρες, καὶ ταύτην τοῖς ἐπαίνοις, ὡς ἄνθεσι καταστέψωμεν. χαίροις βοῶντες αὐτῇ, ἡ τῶν φλυάρων Ῥητόρων, τὴν θρασυστομίαν ἐλέγξασα, ὡς ἀπαιδευσίας ἀνάπλεων, καὶ τούτους πρὸς πίστιν θείαν χειραγωγήσασα. χαίροις ἡ τὸ σῶμα πολυπλόκοις βασάνοις ἐκδοῦσα, δι᾽ ἀγάπην τοῦ Ποιητοῦ σου, καὶ μὴ καταβληθεῖσα, ὡς ἄκμων ἀνάλωτος. χαίροις ἡ ταῖς ἄνω μοναῖς, ἀντάξια τῶν πόνων εἰσοικισθεῖσα, καὶ δόξης αἰωνίου κατατρυφήσασα· ἧς ἐφιέμενοι οἱ ὑμνῳδοί σου, τῆς ἐλπίδος μὴ ἐκπέσωμεν.

Καὶ νῦν, τῆς Ἑορτῆς, ἦχος πλ. δʹ.

Μετὰ τὸ τεχθῆναί σε, Θεόνυμφε Δέσποινα.

Εἴσοδος, τό Φῶς ἱλαρόν, τὸ Προκείμενον. Τὰ Ἀναγνώσματα, ἡ βόλη, τῆς Ἁγίας, ζήτει εἰς τὴν μνήμην τοῦ Μεγαλομάρτυρος Γεωργίου. Εἰς τὸν στίχον στιχηρὰ τῆς Ἑορτῆς.

Δόξα, ἦχος βʹ.

Βίον ἄϋλον ἐξησκημένη, βῆμα ἄθεον καταλαβοῦσα, ἔστης τροπαιοφόρος Αἰκατερίνα σεμνή, ἀνθηφοροῦσα τοῦ Θεοῦ τὴν λαμπρότητα. καὶ τὸ θεῖον σθένος ἐνδεδυμένη, δόγμα τυράννου κατεμυκτήρισας. καὶ Ῥητόρων ἔπαυσας τὰς φλυάρους ῥήσεις πολύαθλε.

Καὶ νῦν, ἦχος πλ. βʹ. Σήμερον τὰ στίφη.

Τροπάριον, τῆς Ἑορτῆς, καὶ τῆς Ἁγίας, ἦχος δʹ. Ἡ ἀμνάς σου Ἰησοῦ.

Εἰς τὸν Ὄρθρον, ὁ Κανὼν τῆς Ἑορτῆς. καὶ τῆς Ἁγίας, οὗ ἡ ἀκροστιχίς.

Αἰκατερίναν τὴν πανασοίδιμον ᾄσμασι μέλπω.

Ὠδὴ αʹ. ἦχος πλ. δʹ. Ἁρματηλάτην.

Αἰκατερίνης τῆς πανσόφου Μάρτυρος, ταῖς ἱκεσίαις Χριστέ, τὸ ζοφερὸν ὄμμα, τῆς ψυχῆς μου φώτισον· αἴγλην διδούς μοι Δέσποτα, τῆς σῆς φωτοχυσίας, τῶν ψυχοφθόρων πταισμάτων μου, πᾶσαν τὴν ἀχλὺν ἀφανίζουσα.

Ἰθυνομένη τοῦ Δεσπότου πάνσοφε, θείοις προστάγμασι, καὶ τῷ αὐτοῦ πόθῳ, φλεγομένη ἔδραμες, πρὸς τοὺς ἀγῶνας σπεύδουσα· καὶ τυράννων τὰς φρένας, Αἰκατερίνα κατέπτυξας, λόγῳ καὶ σοφίᾳ, καὶ χάριτι.

Κυβερνωμένη τῇ παλάμῃ ἔνδοξε, τῇ κραταιᾷ τοῦ Χριστοῦ, εἰδωλικὴν ζάλην, Μάρτυς ὑπεξέφυγες, ἀβρόχως ὑπερπλεύσασα, τοῦ σταυροῦ τῷ ἱστίῳ, καὶ θείαις αὔραις τοῦ Πνεύματος, ᾆσμα τῷ Θεῷ ἀναμέλπουσα.

Ἀγαλλομένη παρθενίας κάλλεσιν, Αἰκατερίνα σοφή, καὶ θεϊκὴν γνῶσιν, οὐρανόθεν



Δημόσια Κεντρική Βιβλιοθήκη

ἔχουσα, τῆς ψευδωνύμου γνώσεως, ἀθαρσῶς καὶ ἀνδρείως, τοὺς προεστῶτας κατήσχυνας, τούτους κατὰ κράτος νικήσασα. Θεοτοκίον.

Τὸν Θεοτόκον σε κηρύττων ἄχραντε, πάσης αἱρέσεως, ἀποτροπὴν φέρω. σάρκα γὰρ γενόμενον, ἀναλλοιώτως ἔτεκες, τὸν ἐπέκεινα πάσης, Θεοκυῆτορ τῆς κτίσεως, Λόγον τοῦ Θεοῦ τὸν ἀΐδιον.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

Ἐθελουσίοις σου ῥοπαῖς, ἐχώρησας πρὸς τὸ πάθος, τὸ ἑκούσιον Χριστοῦ μιμουμένη. καὶ νικήσασα λαμπρῶς, τοῦ σκότους κοσμοκράτορα, στεφανηφόρος ὤφθης, Αἰκατερίνα θεόληπτε.

Ῥωμαλαιότητι φρενῶν, διήλεγξας τοὺς τυράννους, ἀθείας ἐν βυθῷ κυλιουμένους, ῥητορεύουσα σαφῶς, θεογνωσίας δόγματα, θείᾳ σοφίᾳ Μάρτυς, λαμπρυνομένη πανεύφημε.

Ἰσοθείαν τοῖς ὠσί, τῆς Εὔας ὁ ψιθυρίσας, ὑπὸ κόρης ἁπαλῆς νῦν πατεῖται. τῷ γὰρ ὅπλῳ τοῦ Σταυροῦ, πεφραχθεῖσα ᾔσχυνεν, Αἰκατερίνα Μάρτυς, ἄμετρα τοῦτον καυχώμενον. Θεοτοκίον.

Νενεκρωμένον μου τὸν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῆς ἐκ σοῦ φανερωθείσης τῷ Κόσμῳ, διανάστησον ἁγνή, καὶ τούτους ἐξαλείφουσα, τῆς ἁμαρτίας μόνη, Θεογεννῆτορ πανάμωμε.

Κα. ἦχος πλ. Τὴν σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν τὴν ὄντως ἐξ Οὐρανοῦ, διὰ στόματος Μάρτυς τοῦ Μιχαήλ, λαβοῦσα πανεύφημε, καὶ ἐν ἄθλοις ἀήττητε· τῇ μὲν σοφίᾳ τῇ ἔξω, τοὺς Ῥήτορας ἔπτηξας, τῇ δὲ σοφίᾳ τῇ θείᾳ, τὴν πλάνην ἐμώρανας. ὅθεν καθορῶν σου, τὸν ἀγῶνα ἡ Κτίσις, παρέστη ἐνισχύων σε, δεῦρο λέγων ἀνάβηθι, οἱ θησαυροί γάρ σε μένουσι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Εἶτα τῆς Ἑορτῆς.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Ἀθλητικὴν, Αἰκατερίνα τὴν ἔνστασιν, ἐπεδείξω, Μάρτυς πανοίδιμε, τῷ δυσμενεῖ λίαν καρτερῶς, ἀντικαταστᾶσα, καὶ τοῦτον καταπατήσασα, ποσὶν ὡραϊσμένοις, τοῦ Σταυροῦ τῇ δυνάμει, ἀθληφόρε μαρτύρων τὸ καύχημα.

Νύμφη Χριστοῦ, Αἰκατερίνα πανόλβιε, καθωραΐσθης, θείας ὡραιότητος, φωτοειδέσι μαρμαρυγαῖς, ἀγλαϊζομένη, καὶ κάλλει περιαστράπτουσα. διὸ καὶ γηθομένη, μελῳδεῖς τῷ Δεσπότῃ. τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Τυραννικὴν, ἀλαζονείαν ἐφαύλισας. καὶ τῷ θείῳ, λόγῳ τῆς σοφίας σου, ὡς ἐκ βυθοῦ, τῆς ἀπατηλῆς, δεισιδαιμονίας, τοὺς πλανωμένους ἐξήρπασας. διδάσκουσα κραυγάζειν, τῷ Χριστῷ μελῳδοῦντας. τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ἡ εὐκλεὴς, καὶ φωτοφόρος πανήγυρις, τῆς ἐνδόξου μνήμης σου πανεύφημε, τῆς καρτερῶς θράσος τοῦ ἐχθροῦ, καταπατησάσης, ὡς ἥλιος ἀνατέταλκεν. ἐν ᾗ μεγαλοφώνως, τῷ Δεσπότῃ βοῶμεν· τῇ δυνάμει σου δόξα φιλάνθρωπε. Θεοτοκίον.

Νῦν τὴν ἰσχὺν, τῶν ἀθετούντων κατάβαλε, τῆς ἀκάνος, Κόρη τὴν προσκύνησιν, σοῦ τῆς σεπτῆς, καὶ τοῦ ὑπὲρ νοῦν, ἐκ σοῦ σαρκωθέντος, καὶ Κόσμον ὅλον φωτίσαντος, καὶ πάντων τῶν Ἁγίων· τοὺς δὲ πίστει τιμῶντας, καταφαίδρυνον μόνη Πανύμνητε.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Πόθῳ πυρπολουμένη, Μάρτυς πανοίδιμε τῷ τοῦ Δεσπότου σου· καὶ ζητοῦσα τοῦτο, τὸ ἀμήχανον κάλλος θεάσασθαι, αὐθαιρέτῳ γνώμῃ, τοῖς αἰκισμοῖς σαυτὴν παρέχες, παρθενίας ἐκλάμπουσα χάριτι.

Ἄθλοις ἱερωτάτοις, Κόρη καλλιπάρθενε καταλαμπρύνασα, σεαυτὴν προφρόνως, ἀνελήλυθας πρὸς τὴν οὐράνιον, τοῦ Χριστοῦ παστάδα. καὶ νῦν φαιδρῶς τῷ σῷ Νυμφίῳ, γηθομένη συνήφθης πανόλβιε.

Νεᾶνις φαιδροτάτη, ὤφθης ἀγαπήσασα μόνον ἐράσμιον· καὶ ὀπίσω τούτου, συντονώτατον δρόμον διανύσασα, εἰς ὀσμὴν τοῦ μύρου, τοῦ νοητοῦ τοῦ κενωθέντος, ἀνεβόας δραμοῦμαι Νυμφίε μου. Θεοτοκίον.

Ἀληθῆ Θεοτόκον, πάντες ἐπιγνόντες σε πάναγνε Δέσποινα, τὸν ἐκ σοῦ τεχθέντα, Θεὸν Λόγον εἰδότες κηρύττομεν, ἐν δυσὶν οὐσίαις, θελητικαῖς αὐτεξουσίαις, γνωριζόμενον Κόρη Θεόνυμφε.

Ὠδὴ ς'. Ἄβυσσος ἁμαρτιῶν.

Ὅλην σε περικαλλῆ, παρθενίας ἀπαστράπτουσαν αἴγλῃ, μαρτυρικοῖς τε Κόρη, φοινιχθεῖσαν ἐν αἵμασι, καθορῶν ὁ ἀγαθὸς, Λόγος καὶ ἄχραντος ἐν θαλάμοις, ἐπουρανίοις κατεσκήνωσεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἴσχυσας διὰ Σταυρῦ, τῶν τυράννων καταλῦσαι τὸ κράτος, καὶ κοσμικῆς σοφίας, διελέγξαι τὸ μάταιον, θεοπνεύστου διδαχῆς, βρύουσα δόγματα μεγαλόφρον, Αἰκατερίνα πανοσίδιμε.

Ὁ λόγω πρώην τὸν Ἀδὰμ, Παραδείσου τῆς τρυφῆς ἐκβαλόντα, τῶν αἰκισμῶν τοὺς πόνους, καρτερῶς ὑπομείνασα, καταβέβληκας εἰς γῆν, Μάρτυς πανένδοξε, καὶ στεφάνοις, τῆς Βασιλείας ἐστεφανῶσαι. Θεοτοκίον.

Ἴλεών μοι τὸν Κριτὴν, καὶ Υἱόν σου Θεοτόκε Παρθένε, ταῖς σαῖς λιταῖς γενέσθαι, ἐν ἡμέρᾳ τῆς κρίσεως, λυτρωτήν τε τῶν δεινῶν, Μῆτερ ἀπέργασαι· σοὶ γὰρ μόνῃ, τὰ τῆς ἐλπίδος ἀνατίθημι.

Κοντάκ. τῆς Ἁγίας, ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Χορείαν σεπτὴν, εὐθέως φιλομάρτυρες, ἐγείρατε νῦν, γεραίροντες τὴν πάνσοφον, Αἰκατερίναν· αὕτη γὰρ ἐν σταδίῳ τὸν Χριστὸν ἐκήρυξε, καὶ τὸν ὄφιν ἐπάτησε, Ῥητόρων τὴν γνῶσιν καταπτύσασα. Ὁ Οἶκος.

Τὴν ἐκ Θεοῦ σοφίαν λαβοῦσα ἐκ παιδόθεν ἡ Μάρτυς, καὶ τὴν ἔξω καλῶς σοφίαν πᾶσαν μεμάθηκε· γνοῦσα ἐκ ταύτης τὴν τῶν στοιχείων κίνησίν τε, καὶ ποίησιν κατὰ λόγον, καὶ τὸν αὐτὰ ἐξ ἀρχῆς διὰ Λόγου ποιήσαντα. αὐτῷ τὴν εὐχαριστίαν ἐν νυκτὶ, καὶ ἡμέρᾳ προσέφερε· τὰ εἴδωλα καθελοῦσα, καὶ τοὺς ταῦτα ἀφρόνως λατρεύοντας, Ῥητόρων τὴν γνῶσιν καταπτύσασα.

Τῷ αὐτῷ Μηνὶ κε΄. Μνήμη τῆς Ἁγίας Μεγαλομάρτυρος Αἰκατερίνης.

Στ. Αἰκατερίνα καὶ σοφὴ, καὶ Παρθένος,
Ἐκ δὲ ξίφους καὶ Μάρτυς, ὢ καλὰ τρία.
Πέμπτῃ ἄορ κατέπεφνεν ἀκάδι Ῥήτορα Κόρην.

Αὕτη ἦν ἐκ Πόλεως Ἀλεξανδρείας, Θυγάτηρ Βασιλίσκου τινὸς, τοὔνομα Κώνστου, πάνυ οὖσα ὡραία, καὶ τῷ κάλλει ἀμίμητος· ὑπερμεγέθης τῇ ἡλικίᾳ, καὶ τῷ σώματι ἀστεία, ἦν δὲ ἐτῶν ὀκτωκαίδεκα. Ἥτις πᾶσαν παιδείαν Ἑλληνικὴν καὶ Ῥωμαϊκὴν ἄκρως ἐγγυμνασθεῖσα, Ὁμήρου τε, καὶ Βιργιλίου τοῦ Ῥωμαίων μεγίστου Ποιητοῦ, Ἀσκληπιοῦ τε, Ἱπποκράτους, καὶ Γαληνοῦ τῶν Ἰατρῶν, Ἀριστοτέλους τε, καὶ Πλάτωνος, Φιλιστίωνός τε, καὶ Εὐσεβίου τῶν Φιλοσόφων, Ἰαννῆ, καὶ Ἰαμβρῆ τῶν μεγάλων Μάγων, Διονυσίου καὶ Σιβύλλης, καὶ ὅση Ῥητορικὴ ἐφευρέθη τῷ Κόσμῳ. Οὐ μὴν δὲ, ἀλλὰ καὶ πᾶσαν λέξιν, καὶ γλῶσσαν μεμαθηκυῖα, εἰς ἔκπληξιν ἔφερεν οὐ μόνον τοὺς ὁρῶντας αὐτὴν, ἀλλάγε καὶ τοὺς ἀκούοντας περὶ τῆς φήμης, καὶ σοφίας, καὶ παιδείας αὐτῆς. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν, ὑπὸ τοῦ Βασιλέως Μαξεντίου, πολλῶν βασάνων πεῖραν λαβοῦσα, τὴν κεφαλὴν ἀποτέμνεται· καὶ τὸν τοῦ Μαρτυρίου στέφανον δέχεται παρὰ τοῦ ἀθλοθέτου Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Μαρτύρων τὸ καύχημα, τῆς εὐσεβείας μύστης γεγένησαι, τῷ λαμπρῷ σου Νυμφίῳ, Μαρτύρων δῆμον προσαγαγοῦσα Χριστῷ. μεθ᾽ οὗ κραυγάζεις πανεύφημε ψάλλουσα· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ λόγος σου πάνσοφε, πρὸς σωτηρίαν πολλοὺς ἐξήρπασεν, ἐξ εἰδωλομανίας, καὶ φωτοφόρους ἔδειξε Μάρτυρας, μεγαλοφώνως σὺν σοὶ ἀνακράζοντας· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Νεάνις ὀπίσω σου, ἀκολουθοῦσα σοὶ προσενήνεκται, διὰ ξίφους τμηθεῖσα, σὸν μιμουμένη πάθος τὸ ἄχραντον· καὶ σοὶ τῷ κτίσῃ βοῶσα καὶ λέγουσα· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ἅγιος ὁ Ἅγιος, ἐν σοὶ ἁγίως κατασκηνώσας Ἁγνὴ, Θεοτόκε Παρθένε, σεσαρκωμένος ἐκ σοῦ γεγένηται, διὰ τὸ σῶσαι τοὺς πίστει κραυγάζοντας· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ταῖς διδαχαῖς Βασίλισσα, καθαρχοῦσα προσέδραμε, τῇ θεοσεβείᾳ, καὶ στερρῶς ὑπέμεινε, τῶν πόνων τὴν αἴσθησιν· καὶ Βασιλείας τῶν Οὐρανῶν, τῆς ἀδιαδόχου προφανῶς ἠξιώθη, βοῶσα τῷ Δεσπότῃ· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἐπὶ Μαρτύρων γένοιτο, τῶν πιστῶν τὰ αἰτήματα. ἡ γὰρ ἀθληφόρος, τῷ Χριστῷ παρίσταται, αἰτοῦσα τὰ κρείττονα, καὶ σωτηρίας πρόξενα, τοῖς τὴν παναγίαν, καὶ σεπτὴν αὐτῆς μνήμην, προθύμως ἐκτελοῦσι, καὶ πιστῶς μελῳδοῦσι· λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἀναπετάσας δέχεται, ὁ Νυμφίος σε πάνσοφε, πύλας Παραδείσου, καὶ παστάδα

πάνσεμνον, οἶκον παρεσκεύασε, καὶ Βασιλείας μέτοχον, ὡς συγκοινωνὸν τῶν παθημάτων δεικνύει. ᾯ νῦν παρισταμένη, Βασιλέως Θυγάτηρ, λαμπρῶς πεποικιλμένη, ἡμῶν μὴ ἐπιλάθῃ.

Σεσοφισμένοις ῥήμασιν, ἐπαρᾶτο ὁ τύραννος· πιθανολογίαις ὁ δεινὸς χρησάμενος, ἐκλύειν τὴν ἔνστασιν, τὴν σὴν ἐλπίσας εὔδοξε. ἀλλὰ νυμφευθῆναι, τῷ Χριστῷ βουλομένη, ἐβόας τῷ Δεσπότῃ· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. Θε.

Ἱερωτέρα πέφυκας, Θεοτόκε πανάμωμε, τῆς ὑπερκοσμίου, τῶν Ἀγγέλων τάξεως. τὸν τούτων γὰρ τέτοκας, δημιουργὸν καὶ Κύριον, ἐκ παρθενικῆς, ἀπειρογάμου νηδύος, ἐν δύο ταῖς οὐσίαις, ἀσυγχύτως, ἀτρέπτως, μιᾷ δὲ ὑποστάσει Θεὸν σεσαρκωμένον.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἐπέστης πρὸς θαλάμους φωτοειδεῖς, νυμφικοῖς κοσμουμένη στολίσμασι, παρθενικὴν, ἔχουσα λαμπάδα τῇ δεξιᾷ. τῇ δὲ ἑτέρᾳ φέρουσα, τὴν ἀποτμηθεῖσάν σου κεφαλήν. καὶ νῦν παρισταμένη, Χριστῷ τῷ σῷ Νυμφίῳ, τοὺς σὲ ὑμνοῦντας περιφρούρησον.

Ἐδέχθης σου θεόφρων ἡ προσευχή· τοὺς γὰρ πίστει τὴν σὴν ὀνομάζοντας, κλῆσιν σεμνὴν, σώζει ὁ Δεσπότης ἐκ πειρασμῶν. καὶ εὐρωστίαν δίδωσι, νόσων ἀπαλλάττων παντοδαπῶν, ψυχῶν τε, καὶ σωμάτων. διό σε γεγηθότες, Αἰκατερίνα μακαρίζομεν.

Λιμένι καθωρμίσθης νῦν γαληνῷ, ἀσάλως τε καὶ κούφως τὴν θάλασσαν, τὴν κοσμικὴν, Μάρτυς διελθοῦσα τρικυμιῶν, μὴ περιαθεῖσα πάνσοφε, πλοῦτον πολυποίκιλον τῷ Χριστῷ, προσφέρουσα Παρθένε, τὸν δῆμον τῶν Μαρτύρων, Αἰκατερίνα παμμακάριστε.

Παστάδων οὐρανίων ἔνδον τανῦν, σὺν Παρθένων χορείαις χορεύουσα, μαρτυρικαῖς, περιλαμπομένη μαρμαρυγαῖς, Αἰκατερίνα πάνσοφε, λῦσον τῶν πταισμάτων μου τὰς σειρὰς, προθύμως δυσωποῦσα, τὸν πάντων εὐεργέτην, δι᾿ ὃν τὸ αἷμά σου ἐξέχεας. Θε.

Ὡράθης, ὦ Παρθένε, Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν, Λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ. ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός· ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ ἱερῷ.

Ἀνδρώσας τὸ φρόνημα, γυναικῶν ὦ Παρθένε, Αἰκατερίνα πάντιμε, ἀθλοφόρων ἡ δόξα· καὶ Φιλοσόφων ἄνοιαν, ἐν Θεῷ διήλεγξας, ὡς λῆρον οὖσαν καὶ μῦθον. τὴν πανάμωμον ὄντως, καὶ Μητέρα τοῦ Θεοῦ, συλλήπτορα κεκτημένη.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Τοῦ Ἱεροῦ σε σήμερον, Θεοτόκε Παρθένε, δέχεται τὰ ἐνδότερα, χερσὶν Ἀρχιερέως, ἐν οἷς τριῶν ἀπὸ χρόνων, ἕως δύο καὶ δέκα, διέμεινας τρεφομένη, χειρὶ θείου Ἀγγέλου, ὡς ἁγία κιβωτὸς, τοῦ πάντα τεκτηναμένου.

Εἰς τοὺς Αἴνους, γ΄. προσόμοια, τῆς Ἁγίας ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Μνήμην τὴν πανίερον, Αἰκατερίνα πανεύφημε, τῆς σεπτῆς σου ἀθλήσεως· τελοῦντες δοξάζομεν, ἐν φωναῖς ἀπαύστοις, τὸν δεδωρημένον, ὑπομονὴν σοι καρτερὰν, καὶ νικηφόρον σε ἀναδείξαντα· καὶ λόγον χορηγήσαντα, καταπατοῦντα τοὺς Ῥήτορας, Ἰησοῦν τὸν φιλάνθρωπον, καὶ σωτῆρα καὶ Κύριον. Δίς.

Μάρτυς ἐθελούσιος, Αἰκατερίνα πανεύδοξε, καθωράθης τὸν τύραννον, ἀπόνως ἐλέγξασα, καὶ δεινὴν μανίαν, τῆς πολυθείας, θεογνωσίας φωτισμῷ, καταβαλοῦσα τῇ θείᾳ χάριτι. ἐντεῦθεν καὶ ὡς Μάρτυρα, καὶ ὡς παρθένον πανάμωμον, ὁ Χριστὸς ἐστεφάνωσεν, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Χάριν τὴν τοῦ Πνεύματος, Αἰκατερίνα πανεύδοξε, ἐν ἀνοίξει τοῦ στόματος, ἐξέξω καθάρασα, σεαυτὴν προθύμως, διὰ πολιτείας, καὶ λογισμῷ καρτερικῷ, τὴν τῶν τυράννων ὀφρὺν κατέπαυσας· καὶ κάλλει τῷ τοῦ σώματος, τὴν ψυχικὴν ὡραιότητα, θεοφρόνως ἀντέθηκας, ἀθλητῶν ἐγκαλλώπισμα.

Δόξα, ἦχος β΄. Βαβύλα.

Βίον ἄϋλον ἐξησκημένη, βῆμα ἄθεον.

Ζήτει εἰς τὸν Ἑσπερινόν.

Καὶ νῦν, τῆς Ἑορτῆς, ἦχος ὁ αὐτός.

Σήμερον τῷ Ναῷ προσάγεται.

Εἰ δοκεῖ τῷ Προεστῶτι, Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἀπὸ τῶν Κανόνων τῆς Ἑορτῆς, καὶ τῆς Ἁγίας. Ὠδὴ γ΄. καὶ ς΄. τὸ Ἀποστολοευαγγέλιον τῆς Ἑορτῆς, καὶ τῆς Ἁγίας. ζήτει τῆς Ἑορτῆς ὄπισθεν, τῆς δὲ Ἁγίας ὧδε.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ Ἀπόστολος. Προκείμενον, ἦχος δ΄.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. γ΄. 26. Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι. Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ Υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως, ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν, καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι.
Κεφ. δ΄. 1. Λέγω δὲ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, Κύριος πάντων ὤν. Ἀλλ' ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους, ἄχρι τῆς προθεσμίας τοῦ Πατρός. οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ Κόσμου ἦμεν δεδουλωμένοι. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον· ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν.

Ἀλληλούϊα, ἦχος δ΄.

Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. έ. 24. Τῷ καιρῷ ἐκείνῳ, ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς, καὶ συνέθλιβον αὐτόν. Καὶ γυνή τις οὖσα ἐν ῥύσει αἵματος ἔτη δώδεκα, καὶ πολλὰ παθοῦσα ὑπὸ πολλῶν ἰατρῶν, καὶ δαπανήσασα τὰ παρ' ἑαυτῆς πάντα, καὶ μηδὲν ὠφεληθεῖσα, ἀλλὰ μᾶλλον εἰς τὸ χεῖρον ἐλθοῦσα. ἀκούσασα περὶ τοῦ Ἰησοῦ, ἐλθοῦσα ἐν τῷ ὄχλῳ ὄπισθεν, ἥψατο τοῦ ἱματίου αὐτοῦ. Ἔλεγε γὰρ ἐν ἑαυτῇ· ὅτι κἂν τῶν ἱματίων αὐτοῦ ἅψωμαι, σωθήσομαι. Καὶ εὐθέως ἐξηράνθη ἡ πηγὴ τοῦ αἵματος αὐτῆς. καὶ ἔγνω τῷ σώματι, ὅτι ἴαται ἀπὸ τῆς μάστιγος. Καὶ εὐθέως ὁ Ἰησοῦς ἐπιγνοὺς ἐν ἑαυτῷ τὴν ἐξ αὐτοῦ δύναμιν ἐξελθοῦσαν, ἐπιστραφεὶς ἐν τῷ ὄχλῳ, ἔλεγε· Τίς μου ἥψατο τῶν ἱματίων; Καὶ ἔλεγον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ· Βλέπεις τὸν ὄχλον συνθλίβοντά σε, καὶ λέγεις, τίς μου ἥψατο; καὶ περιεβλέπετο ἰδεῖν τὴν τοῦτο ποιήσασαν. Ἡ δὲ γυνὴ φοβηθεῖσα καὶ τρέμουσα, εἰδυῖα ὃ γέγονεν ἐπ' αὐτῇ, ἦλθε καὶ προσέπεσεν αὐτῷ, καὶ εἶπεν αὐτῷ πᾶσαν τὴν ἀλήθειαν. Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέ σε, ὕπαγε εἰς εἰρήνην, καὶ ἴσθι ὑγιὴς ἀπὸ τῆς μάστιγός σου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ κϛ΄.

Τῶν Ὁσίων Πατέρων ἡμῶν, Ἀλυπίου τοῦ Κιονίτου, καὶ Νίκωνος τοῦ θαυματουργοῦ· ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίους.

Μηνὶ τῷ αὐτῷ κζ΄.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Ἰακώβου τοῦ Πέρσου· ζήτει τὴν Ἀκολουθίαν εἰς ἕνα Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ κη΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Στεφάνου τοῦ νέου, καὶ τοῦ Ἁγίου Μάρτυρος Εἰρηνάρχου. τὴν Ἀκολουθίαν ζήτει εἰς Ὅσιον, καὶ εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ κθ΄.

Τοῦ Ἁγίου Μάρτυρος Παραμόνου, καὶ τοῦ Ἁγίου Μάρτυρος Φιλουμένου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ λ΄.

Τοῦ Ἁγίου καὶ ἐνδόξου Ἀποστόλου Ἀνδρέου τοῦ Πρωτοκλήτου.

Ἑσπέρας ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, λέγομεν τὸ, Μακάριος ἀνήρ. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ή. καὶ ψάλλομεν γ΄. προσόμοια. ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ Τῷ Προδρόμῳ φωτὶ μεμορφωμένος, ὅτε τὸ ἀπαύγασμα τὸ ἐνυπόστατον, τῆς πατρικῆς δόξης ἔφανεν, ἀνθρώπων γένος, δι' εὐσπλαγχνίαν σῶσαι βουλόμενος. τότε πρῶτος ἔνδοξε, τούτῳ προσέδραμες, καταυγασθεὶς τὴν διάνοιαν, τελειοτάτῃ, μαρμαρυγῇ αὐτοῦ τῆς Θεότητος. ὅθεν καὶ Κῆρυξ, καὶ Ἀπόστολος, χρηματίζεις Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ Τῆς Προδρόμου φωνῆς ἐνηχημένος, ὅτε ὁ πανάγιος Λόγος σεσάρκωται, ζωὴν ἡμῖν



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

παρεχόμενος, καὶ σωτηρίαν, τοῖς ἐπὶ γῆς διαγγελιζόμενος. τότε τούτῳ πάνσοφε κατηκολούθησας, καὶ σεαυτὸν ἀκροθίνιον, καὶ παναγίαν, ὡς ἀπαρχὴν αὐτῷ καθιέρωσας. ὃν καὶ ἐπέγνως καὶ ἐμήνυσας, τῷ συγγόνῳ τῷ σῷ, τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ Τῷ ἐκ στείρας βλαστήσαντι φοιτήσας, ὅτε ὁ παρθένιος τόκος ἀνέτειλε, τῆς εὐσεβείας Διδάσκαλος, καὶ σωφροσύνης, ὑποδεικνύων τὴν καθαρότητα. τότε σὺ θερμότατος τῆς ἀρετῆς ἐραστής, Ἀνδρέα μάκαρ γεγένησαι, τὰς ἀναβάσεις, ἐν τῇ καρδίᾳ διατιθέμενος· καὶ ἀπὸ δόξης πρὸς τὴν ἄφραστον, ἤρθης δόξαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος δ΄. Ἀνατολίου.

Τὴν τῶν ἰχθύων ἄγραν, καταλιπὼν Ἀπόστολε, ἀνθρώπους σαγηνεύεις καλάμῳ τοῦ κηρύγματος. χαλῶν ὥσπερ ἄγκιστρον, τῆς εὐσεβείας τὸ δέλεαρ· καὶ ἀνάγων ἐκ τοῦ βυθοῦ τῆς πλάνης, τὰ ἔθνη ἅπαντα, Ἀνδρέα Ἀπόστολε, τοῦ Κορυφαίου ὁμαίμων, καὶ τῆς Οἰκουμένης Ὑφηγητὰ διαπρύσιε· πρεσβεύων μὴ ἐλλείπῃς ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει καὶ πόθῳ εὐφημούντων πανεύφημε, τὴν σεβάσμιον μνήμην σου.

Καὶ νῦν, Θεοτοκίον.

Εἴσοδος. τό, Φῶς ἱλαρόν, καὶ Ἀνάγνωσμα.

Καθολικῆς α΄. Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

Κεφ. Πέτρος Ἀπόστολος Ἰησοῦ Χριστοῦ, ἐκλε-
α΄. 1. κτοῖς παρεπιδήμοις διασπορᾶς Πόντου,
Γαλατίας, Καππαδοκίας, Ἀσίας, καὶ Βι-
θυνίας, κατὰ πρόγνωσιν Θεοῦ Πατρός, ἐν
ἁγιασμῷ Πνεύματος, εἰς ὑπακοὴν καὶ ῥαν-
τισμὸν αἵματος Ἰησοῦ Χριστοῦ· χάρις ὑμῖν καὶ
Ἐδά. εἰρήνη πληθυνθείη. Ἀγαπητοί, περὶ τῆς
10. σωτηρίας τῶν ψυχῶν ὑμῶν ἐξεζήτησαν, καὶ
ἐξηρεύνησαν Προφῆται, οἱ περὶ τῆς εἰς ἡμᾶς
χάριτος προφητεύσαντες, ἐρευνῶντες εἰς τίνα,
ἢ ποῖον καιρὸν ἐδήλου τὸ ἐν αὐτοῖς Πνεῦμα
Χριστοῦ, προμαρτυρόμενον τὰ εἰς Χριστὸν πα-
θήματα, καὶ τὰς μετὰ ταῦτα δόξας. Οἷς ἀπε-
καλύφθη, ὅτι οὐχ ἑαυτοῖς, ἡμῖν δὲ διηκόνουν
αὐτά, ἃ νῦν ἀνηγγέλη ἡμῖν διὰ τῶν εὐαγγε-
λισαμένων ἡμᾶς ἐν Πνεύματι Ἁγίῳ, ἀπο-
σταλέντι ἀπ᾿ Οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν Ἄγ-
γελοι παρακύψαι. Διὸ ἀναζωσάμενοι τὰς
ὀσφύας τῆς διανοίας ὑμῶν, νήφοντες, τελείως
ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν
ἀποκαλύψει Ἰησοῦ Χριστοῦ. Ὡς τέκνα ὑπα-
κοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν
τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις· ἀλλὰ κατὰ τὸν
καλέσαντα ὑμᾶς Ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν
πάσῃ ἀναστροφῇ γενήθητε. Διότι γέγρα-
πται· Ἅγιοι γίνεσθε, ὅτι ἐγὼ ἅγιός εἰμι.
Καὶ εἰ Πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολή-
πτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ
τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε.
Εἰδότες, ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ, ἢ χρυ-
σίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστρο-
φῆς τῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵ-
ματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ.
Προεγνωσμένου μὲν πρὸ καταβολῆς Κόσμου,
φανερωθέντος δὲ ἐπ᾿ ἐσχάτων τῶν χρόνων δι᾿
ὑμᾶς, τοὺς δι᾿ αὐτοῦ πιστεύοντας εἰς Θεόν, τὸν
ἐγείραντα αὐτὸν ἐκ νεκρῶν, καὶ δόξαν αὐτῷ δόν-
τα, ὥστε τὴν πίστιν ὑμῶν καὶ τὴν ἐλπίδα εἶ-
ναι εἰς Θεόν· Τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν
τῇ ὑπακοῇ τῆς ἀληθείας διὰ Πνεύματος,
εἰς φιλαδελφίαν ἀνυπόκριτον, ἐκ καθαρᾶς
καρδίας ἀλλήλους ἀγαπήσατε ἐκτενῶς. Ἀνα-
γεγεννημένοι οὐκ ἐκ σπορᾶς φθαρτῆς, ἀλλὰ
ἀφθάρτου, διὰ λόγου Θεοῦ ζῶντος, καὶ μένον-
τος εἰς τὸν αἰῶνα. Διότι πᾶσα σὰρξ ὡς χόρ-
τος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρ-
του. ἐξηράνθη ὁ χόρτος, καὶ τὸ ἄνθος αὐτοῦ
ἐξέπεσε· τὸ δὲ ῥῆμα Κυρίου μένει εἰς τὸν αἰῶ-
να. τοῦτο δέ ἐστι τὸ ῥῆμα τὸ εὐαγγελισθὲν εἰς
ὑμᾶς. Ἀποθέμενοι οὖν πᾶσαν κακίαν, καὶ Κεφ.
πάντα δόλον, καὶ ὑποκρίσεις, καὶ φθόνους, καὶ β΄. 1.
πάσας καταλαλιάς, ὡς ἀρτιγέννητα βρέφη,
τὸ λογικὸν καὶ ἄδολον γάλα ἐπιποθήσατε,
ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν. Εἴπερ
ἐγεύσασθε, ὅτι χρηστὸς ὁ Κύριος. Πρὸς ὃν
προσερχόμενοι, λίθον ζῶντα, ὑπὸ ἀνθρώ-
πων μὲν ἀποδεδοκιμασμένον, παρὰ δὲ Θεῷ
ἐκλεκτόν, ἔντιμον. καὶ αὐτοὶ ὡς λίθοι ζῶν-
τες οἰκοδομεῖσθε, οἶκος Πνευματικός, ἱερά-
τευμα Ἅγιον, ἀνενέγκαι θυσίας Πνευμα-
τικάς, εὐπροσδέκτους τῷ Θεῷ διὰ Ἰησοῦ Χρι-
στοῦ. Διὸ καὶ περιέχει ἐν τῇ γραφῇ· Ἰδοὺ τί-
θημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον, ἐκλεκ-
τόν, ἔντιμον, καὶ ὁ πιστεύων ἐπ᾿ αὐτῷ, οὐ μὴ
καταισχυνθῇ.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

### Καθολικῆς ἐκ Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

Κεφ. β΄. 21. Ἀγαπητοί, Χριστὸς ὑπὲρ ὑμῶν ἔπαθεν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ. Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· ὃς λοιδορούμενος, οὐκ ἀντελοιδόρει, πάσχων, οὐκ ἠπείλει, παρεδίδει δὲ τῷ κρίνοντι δικαίως. Ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον· ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν. οὗ τῷ μώλωπι αὐτοῦ ἰάθητε. Ἦτε γὰρ ὡς πρόβατα πλανώμενα. ἀλλ' ἐπεστράφητε νῦν ἐπὶ τὸν Ποιμένα, καὶ Ἐπίσκοπον τῶν ψυχῶν ἡμῶν.

Κεφ. γ΄. 1. Ὁμοίως αἱ γυναῖκες ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν, ἵνα καὶ εἴ τινες ἀπειθοῦσι τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσωνται. ἐποπτεύσαντες τὴν ἐν φόβῳ ἁγνὴν ἀναστροφὴν ὑμῶν. Ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς τριχῶν, καὶ περιθέσεως χρυσίων, ἢ ἐνδύσεως ἱματίων κόσμος· ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος, καὶ ἡσυχίου Πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ Θεοῦ πολυτελές. Οὕτω γάρ ποτε καὶ αἱ ἅγιαι γυναῖκες, αἱ ἐλπίζουσαι ἐπὶ τὸν Θεόν, ἐκόσμουν ἑαυτάς, ὑποτασσόμεναι τοῖς ἰδίοις ἀνδράσιν· Ὡς Σάῤῥα ὑπήκουσε τῷ Ἀβραάμ, Κύριον αὐτὸν καλοῦσα· ἧς ἐγενήθητε τέκνα, ἀγαθοποιοῦσαι, καὶ μὴ φοβούμεναι μηδεμίαν πτόησιν. Οἱ ἄνδρες ὁμοίως συνοικοῦντες κατὰ γνῶσιν, ὡς ἀσθενεστέρῳ σκεύει τῷ γυναικείῳ, ἀπονέμοντες τιμήν, ὡς καὶ συγκληρονόμοι χάριτος ζωῆς, εἰς τὸ μὴ ἐκκόπτεσθαι τὰς προσευχὰς ὑμῶν. Τὸ δὲ τέλος, πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, φιλόφρονες· μὴ ἀποδιδόντες κακὸν ἀντὶ κακοῦ, ἢ λοιδορίαν ἀντὶ λοιδορίας. τοὐναντίον δέ, εὐλογοῦντες. εἰδότες, ὅτι εἰς τοῦτο ἐκλήθητε, ἵνα εὐλογίαν κληρονομήσητε.

### Καθολ. ἐκ Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγν.

Κεφ. δ΄. 1. Ἀγαπητοί, Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκί, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε. ὅτι ὁ παθὼν ἐν σαρκί, πέπαυται ἁμαρτίας, εἰς τὸ μηκέτι ἀνθρώπων ἐπιθυμίαις, ἀλλὰ θελήματι Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον. Ἀρκετὸς γὰρ ἡμῖν ὁ παρεληλυθὼς χρόνος τοῦ βίου, τὸ θέλημα τῶν ἐθνῶν κατεργάσασθαι, πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις, καὶ ἀθεμίτοις εἰδωλολατρείαις· ἐν ᾧ ξενίζονται, μὴ συντρεχόντων ὑμῶν εἰς τὴν αὐτὴν τῆς ἀσωτείας ἀνάχυσιν, βλασφημοῦντες· Οἳ ἀποδώσουσι λόγον τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς. Εἰς τοῦτο γὰρ καὶ νεκροῖς εὐηγγελίσθη, ἵνα κριθῶσι μὲν κατὰ ἀνθρώπους σαρκί, ζῶσι δὲ κατὰ Θεὸν Πνεύματι· πάντων δὲ τὸ τέλος ἤγγικε. σωφρονήσατε οὖν, καὶ νήψατε εἰς τὰς προσευχάς· Πρὸ πάντων δὲ τὴν εἰς ἑαυτοὺς ἀγάπην ἐκτενῆ ἔχοντες· ὅτι ἡ ἀγάπη καλύψει πλῆθος ἁμαρτιῶν. Φιλόξενοι εἰς ἀλλήλους, ἄνευ γογγυσμῶν· Ἕκαστος καθὼς ἔλαβε χάρισμα, εἰς ἑαυτοὺς αὐτὸ διακονοῦντες, ὡς καλοὶ οἰκονόμοι ποικίλης χάριτος Θεοῦ. Εἴ τις λαλεῖ, ὡς λόγια Θεοῦ. εἴ τις διακονεῖ, ὡς ἐξ ἰσχύος, ἧς χορηγεῖ ὁ Θεός· ἵνα ἐν πᾶσι δοξάζηται ὁ Θεός, διὰ Ἰησοῦ Χριστοῦ· ᾧ ἐστιν ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

### Εἰς τὴν Λιτήν, Στιχηρὰ Ἰδιόμελα, ἦχος α΄.

Ὁ Πρωτόκλητος μαθητής, καὶ μιμητὴς τοῦ πάθους, συμμορφούμενός σε Κύριε, Ἀνδρέας ὁ Ἀπόστολος, τοὺς ἐν βυθῷ τῆς ἀγνωσίας πλανωμένους ποτέ, τῷ ἀγκίστρῳ τοῦ Σταυροῦ σου ἀνελκύσας, προσήγαγέ σοι. διὸ καὶ σωθέντες οἱ πιστοί, βοῶμέν σοι· ταῖς πρεσβείαις αὐτοῦ ὑπεράγαθε, τὴν ζωὴν ἡμῶν εἰρήνευσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

### Ὁ αὐτός.

Ὑμνήσωμεν οἱ πιστοί, Πέτρου τὸν σύγγονον, Ἀνδρέαν τὸν Χριστοῦ μαθητήν. οὗτος γὰρ τὴν θάλασσαν, δικτύοις ἐρευνήσας ποτέ, ἰχθύας ἐζώγρησε. νῦν δὲ τὴν Οἰκουμένην. τῷ καλάμῳ σαγηνεύει τοῦ Σταυροῦ, καὶ τὰ ἔθνη ἐκ πλάνης ἐπιστρέφει τῷ βαπτίσματι· καὶ Χριστῷ παριστάμενος, αἰτεῖται τὴν εἰρήνην τῷ Κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

### Ὁ αὐτός.

Τὸ πῦρ τὸ νοερόν, τὸ φωτίζον διανοίας, καὶ φλογίζον ἁμαρτίας, ἔνδον λαβὼν ἐν καρδίᾳ ὁ Ἀπόστολος Χριστοῦ, καὶ μαθητής, λάμπει μὲν ταῖς μυστικαῖς ἀκτῖσι τῶν διδαχῶν, ἐν ταῖς τῶν ἐθνῶν ἀφωτίστοις καρδίαις· φλέγει δὲ πάλιν, τὰς φρυγανώδεις τῶν ἀσεβῶν

μυθαρ-

μυθουργίας. τὸ πῦρ γὰρ τοῦ Πνεύματος, τοιαύτην ἔχει τὴν ἐνέργειαν. ὢ θαῦμα ξένον καὶ φοβερόν· ἡ πηλώδης γλῶσσα, ἡ πηλίνη φύσις, τὸ σῶμα τὸ χοϊκὸν, τὴν νοερὰν καὶ ἄϋλον ὑπεδέξατο γνῶσιν. ἀλλ᾽ ὦ μύστα τῶν ἀῤῥήτων, καὶ θεωρὲ τῶν οὐρανίων· ἱκέτευε καταυγασθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. δ΄.

Τὸν κήρυκα τῆς πίστεως, καὶ ὑπηρέτην τοῦ λόγου, Ἀνδρέαν εὐφημήσωμεν. οὗτος γὰρ τοὺς ἀνθρώπους ἐκ τοῦ βυθοῦ ἁλιεύει, ἀντὶ καλάμου τὸν Σταυρὸν ἐν ταῖς χερσὶ διακρατῶν. καὶ ὡς σπαρτίον χαλῶν τὴν δύναμιν, ἐπανάγει τὰς ψυχὰς ἀπὸ τῆς πλάνης τοῦ ἐχθροῦ, καὶ προσκομίζει τῷ Θεῷ δῶρον εὐπρόσδεκτον. ἀεὶ τοῦτον πιστοὶ, σὺν τῇ χορείᾳ τῶν μαθητῶν τοῦ Χριστοῦ εὐφημήσωμεν· ἵνα πρεσβεύῃ αὐτῷ, ὅπως ἵλεως γενήσεται ἡμῖν ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Καὶ νῦν. Θεοτοκίον. Καὶ αἱ συνήθεις εὐχαί.

Εἰς τὸν Στ. Στ. προσόμοια, ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ λογικὸς Οὐρανὸς, δόξαν Θεοῦ διαπαντὸς διηγούμενος· ὁ πρῶτος Χριστῷ καλοῦντι, καθυπακούσας θερμῶς, καὶ ἀμέσως τούτῳ συγγινόμενος. ὑφ᾽ οὗ πυρσευόμενος, καθωράθης φῶς δεύτερον· καὶ τοὺς ἐν σκότει, ἀστραπαῖς σου ἐφώτισας, ἀγαθότητα, τὴν αὐτοῦ ἐκμιμούμενος. ὅθεν τὴν παναγίαν σου, τελοῦμεν πανήγυριν, καὶ τῶν λειψάνων τὴν θήκην, περιχαρῶς ἀσπαζόμεθα· ἐξ ἧς ἀναβλύζει σωτηρίαν τοῖς αἰτοῦσι, καὶ μέγα ἔλεος.

Στ. Εἰς πᾶσαν τὴν γῆν.

Πρῶτον τῶν ἀρετῶν εὑρηκὼς, διὰ εὐσπλαγχνίαν τὴν ἡμῶν περικείμενον, Ἀνδρέα θεόφρον φύσιν, συνανεκράθης αὐτῷ, διαπύρῳ πόθῳ, τῷ συναίμονι, βοῶν, ὃν ἐκήρυξαν, οἱ Προφῆται ἐν Πνεύματι, εὕραμεν δεῦρο, ταῖς αὐτοῦ ὡραιότησι, καταθέλξωμεν, καὶ ψυχὴν καὶ διάνοιαν. ὅπως φωταγωγούμενοι, αὐτοῦ ταῖς λαμπρότησι, νύκτα τῆς πλάνης καὶ σκότος, τῆς ἀγνωσίας διώξωμεν· Χριστὸν εὐλογοῦντες, τὸν παρέχοντα τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Ἔθνη τὰ μὴ εἰδότα Θεὸν, ὡς ἐκ βυθοῦ τῆς ἀγνωσίας ἐζώγρησας, σαγήνῃ τῶν σῶν λογίων, καὶ συνεπράσσετες σαφῶς, ἁλμυρὰς θαλάσσας. ἵππος ἀεὶ ἄριστος, ὀφθεὶς τοῦ δεσπόζοντος, τῆς θαλάσσης ἀοίδιμε, καὶ σηπεδόνα ἀθείας ἐξήρανας, ἅλας τίμιον, ἐμβαλὼν τὴν σοφίαν σου. ἥνπερ καὶ κατεπλάγησαν, Ἀπόστολε ἔνδοξε, τῆς μωρανθείσης σοφίας, οἱ ἀναιδῶς ἀντεχόμενοι· Χριστὸν μὴ εἰδότες, τὸν παρέχοντα τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, ἦχος γ΄.

Τὸν συναίμονα Πέτρου, καὶ Χριστοῦ μαθητὴν, τῶν ἰχθύων ἀγρευτὴν, καὶ ἁλιέα τῶν ἀνθρώπων, ἐν ὕμνοις τιμήσωμεν, Ἀνδρέαν τὸν Ἀπόστολον. τοῦ γὰρ Ἰησοῦ τὰ διδάγματα, πάντας ἐξεπαίδευσε τοῖς δόγμασι· ὡς δέλεαρ ἰχθύσι, τὰς σάρκας τοῖς ἀνόμοις παρέδωκε, καὶ τούτους ἐσαγήνευσεν. αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ, παράσχου τῷ λαῷ σου εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν, ἦχος, ὁ αὐτός.

Ἰωσὴφ εἰπὲ ἡμῖν, πῶς ἐκ τῶν Ἁγίων ἣν παρέλαβες Κόρην, ἔγκυον φέρεις ἐν Βηθλεέμ; ἐγώ φησι, τοὺς Προφήτας ἐρευνήσας, καὶ χρηματισθεὶς ὑπὸ Ἀγγέλου, πέπεισμαι· ὅτι Θεὸν γεννήσει ἡ Μαρία ἀνερμηνεύτως· οὗ εἰς προσκύνησιν, Μάγοι ἐξ Ἀνατολῶν ἥξουσι, σὺν δώροις τιμίοις λατρεύοντες. ὁ σαρκωθεὶς δι᾽ ἡμᾶς, Κύριε δόξα σοι.

Τροπάριον, ἦχος δ΄.

Ὡς τῶν Ἀποστόλων πρωτόκλητος, καὶ τοῦ Κορυφαίου αὐτάδελφος, τῷ Δεσπότῃ τῶν ὅλων Ἀνδρέα ἱκέτευε, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. κάθισμα. ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ὡς θεῖον μαθητὴν, καὶ πρωτόκλητον πάντων, Χριστοῦ τῶν μαθητῶν εὐφημοῦμέν σε πόθῳ, Ἀνδρέα Ἀπόστολε, καὶ πιστῶς ἐκβοῶμέν σοι· ῥῦσαι ποίμνην σου, ἣν ἐκ Θεοῦ ἐπιστεύθης, πάσης θλίψεως, καὶ ἀναγκῶν καὶ σκανδάλων, καὶ πάσης κακώσεως.

Δόξα, τὸ αὐτό, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὰς χεῖράς σου σεμνὴ, τὰς ἁγίας ἐκτείνασα, βοήθειαν ἡμῖν, ἐξ Ἁγίου παράσχου. καὶ δίδου ἀκίνδυνον, τὴν ζωὴν διανύσασθαι, τοὺς δοξάζοντας, τὸν σὸν πανάγιον τόκον, καὶ σὲ Δέσποινα, ἐπιγραφομένους Κόρη, ἐλπίδα καὶ καύχημα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς τὴν β΄. Στιχολογίαν Κάθισμα, ἦχος γ΄. Θείας πίστεως.

Πρῶτον εὗρέ σε, Χριστὸς καλοῦντα, μύστην ἄριστον, Ἀνδρέα μάκαρ· καὶ τὰ προστάγματα αὐτοῦ ὀρθῶς διαγγέλλοντα, τῇ Οἰκουμένῃ καθάπερ ὑπόπτερος· καταφωτίζων ἐθνῶν τὰ συστήματα. αὐτὸν ὡς Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη πάναγνε Θεοκυῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα. τὸν ὑπὲρ πάντας ἐμὲ δὲ γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον σεμνὴ Παναγία, ταῖς σαῖς πρεσβείαις, ὡς πάντα ἰσχύουσα.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα, ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον:

Τὸν Ἀπόστολον πάντες εὐφημήσωμεν, ὡς αὐτόπτην τοῦ Λόγου καὶ θεῖον κήρυκα· καὶ τῶν ἐθνῶν πνευματικὸν, σαγηνευτὴν ὡς ἀληθῶς· Ὅτι προσήγαγεν ἡμᾶς εἰς τὴν ἐπίγνωσιν Χριστοῦ, Ἀνδρέας ὁ θηγορος, ὁ μέγας, ὄντως ἡμῶν προστάτης. καὶ νῦν πρεσβεύει ἀδιαλείπτως, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν ἐν σοὶ τὰς ἐλπίδας Παρθένε ἄχραντε, ἀνενδοιάστως ἐχόντων, σκέπη ὑπάρχουσα· ἐκ ποικίλων πειρασμῶν καὶ περιστάσεων, καὶ κινδύνων χαλεπῶν, ἐλευθέρωσον ἡμᾶς, πρεσβεύουσα τῷ Υἱῷ σου, σὺν τοῖς αὐτοῦ Ἀποστόλοις· καὶ σῶσον πάντας τοὺς ἀνυμνοῦντάς σε.

Οἱ Ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, περιπατῶν ὁ Ἰησοῦς παρὰ τὴν θάλασσαν τῆς Γαλιλαίας, εἶδε δύο ἀδελφοὺς, Σίμωνα τὸν λεγόμενον Πέτρον, καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, βάλλοντας ἀμφίβληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς· καὶ λέγει αὐτοῖς· Δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώπων. Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα, ἠκολούθησαν αὐτῷ. καὶ προβὰς ἐκεῖθεν, εἶδεν ἄλλους δύο ἀδελφοὺς, Ἰάκωβον τὸν τοῦ Ζεβεδαίου, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ ἐν τῷ πλοίῳ, μετὰ Ζεβεδαίου τοῦ Πατρὸς αὐτῶν, καταρτίζοντας τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς. Οἱ δὲ εὐθέως ἀφέντες τὸ πλοῖον, καὶ τὸν Πατέρα αὐτῶν, ἠκολούθησαν αὐτῷ. Καὶ περιῆγεν ὅλην τὴν Γαλιλαίαν ὁ Ἰησοῦς, διδάσκων ἐν ταῖς Συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ Εὐαγγέλιον τῆς βασιλείας· καὶ θεραπεύων πᾶσαν νόσον, καὶ πᾶσαν μαλακίαν ἐν τῷ λαῷ.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἀποστόλου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Ἰδιόμελον, ἦχος πλ. β΄.

Τὸν κήρυκα τῆς πίστεως. Ζήτει εἰς τὴν Λιτήν.

Οἱ Κανόνες, τῆς Θεοτόκου πρῶτον εἰς ς΄. εἶτα τοῦ Ἁγίου εἰς η΄. ὁ Κανὼν τῆς Θεοτόκου.

Ὠδὴ α΄. ἦχος α΄. Ὠδὴν ἐπινίκιον.

Ὡς μόνη τὸν ἄχρονον Υἱὸν ἐν χρόνῳ, τεκοῦσα σαρκούμενον, Παναγία ἄχραντε, πάντα τὰ χρόνια, τῆς παναθλίας μου ψυχῆς, πάθη θεράπευσον.

Τὰ τραύματα Πάναγνε τὰ τῆς ψυχῆς μου, καρδίας τὴν πώρωσιν λογισμοῦ τὴν σκότωσιν, καὶ τοῦ νοὸς ἐκτροπὰς, ἀφάνισον ὡς συμπαθὴς, ταῖς σαῖς δεήσεσι.

Ὁ φῶς ἡ κυήσασα τὸν λυτρωτήν μου, τοῦ σκότους με λύτρωσαι, καὶ βασάνων ἄχραντε, τῶν αἰωνίων ἐκεῖ. ὅπως σῳζόμενος ὑμνῶ τὰ μεγαλεῖά σου.

Νοός μου παναμώμε τὰς ἀμαυρώσεις, φωτὶ σου ἀπέλασον, ἡ τὸ φῶς κυήσασα, τὸ ὑπὲρ ἔννοιαν· καὶ δώρησαί μοι ἀγαθὴ, τὸ φῶς προσβλέψαι τὸ ἐκ σοῦ, ἐξανατεῖλαν ἡμῖν.

Ἕτερος Κανὼν τοῦ Ἀποστόλου.

Ὠδὴ α΄. ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος.

Τὴν τεθολωμένην μου ψυχὴν, τῶν ἐννοιῶν τε καὶ λόγων ἐκκάθαρον, τῇ ἐνσκηνωσάσῃ σοι κήρυξ Χριστοῦ, Ἀνδρέα θεία χάριτι. ὅπως καθαρῶς σοι, πηγάσω ὕμνον ἐπάξιον.

Γίνεται ὁ Πρόδρομος Χριστοῦ, τῶν ἑαυτοῦ μαθητῶν ἀκροθίνιον, ὁ ἐκ στειρευούσης βλαστὸς, τῷ ἐκ Παρθένου φανέντι Χριστῷ, τῷ δεδοξασμένῳ, Ἀνδρέα χαίρων προσήγαγεν.

Ἔρωτι καὶ πόθῳ ἀκλινεῖ, τῆς ἀρετῆς τῶν βαθμίδων ἀρξάμενος· καὶ τὰς ἀναβάσεις ἀεὶ μελετῶν, ἐξ ἀμυδρᾶς δυνάμεως, πρὸς τὴν ἀκροτάτην, Ἀνδρέα δύναμιν ἔφθασας.

Θεοτοκίον.

Χαῖρε ἡ τῆς χάριτος πηγὴ, χαῖρε ἡ κλίμαξ καὶ πύλη οὐράνιος· χαῖρε ἡ λυχνία



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ στάμνος χρυσῆ, καὶ ὄρος ἀλατόμητον· ἡ τὸν ζωοδότην Χριστὸν, τῷ Κόσμῳ κυήσασα.

Ἕτερος Κανὼν τοῦ Ἀποστόλου.

Ὠδὴ α΄. Ἦχος α΄. Διὰ στύλου πυρός.

Τῷ καλάμῳ τοῦ Εὐαγγελίου, ἐκ τοῦ βυθοῦ τῆς πλάνης ἀνελὼν, Ἀνδρέα πολυΰμνητε, σὺ ἐζώγρησας λαοὺς, ὡς ἐπηγγείλατο Χριστὸς, ὁ σαγήνην διδάξας σε, ἀνθρώπους ὡς ἰχθύας ζωγρεῖν.

Ὁ τῆς πίστεως στύλος, ἡ ἕδρα τῶν ἀληθῶν δογμάτων τοῦ Χριστοῦ, Ἀνδρέας ὁ θεόπνευστος, πάντα σήμερον καλεῖ, τῆς γῆς τὰ πέρατα, ἑορτὴν ἐτήσιον συστήσασθαι. συνέλθωμεν οὖν πάντες πιστοί.

Τὸ θαλάσσιον κῆτος, δικτύοις ἐρευνῶν, τῇ τέχνῃ ἁλιεὺς, σαγήνῃ τῇ τοῦ Πνεύματος, ἔθνη φῦλα καὶ λαοὺς, ζωγρεῖς ἐν Πνεύματι· καὶ τὸν ἄνω βυθὸν πολυθαύμαστε, σαφῶς ἀνακαλύπτεις ἡμῖν.

Μυστοπόλε αὐτόπτα καὶ ῥήτωρ, τῆς ἀπορρήτου γνώσεως Χριστοῦ, ὁ δεξάμενος ἄνωθεν Πνεῦμα Ἅγιον, λαλοῦν ἐν γλώσσαις καθήμενον, τῷ πυρὶ διαιροῦν τὰ χαρίσματα· ἱκέτευε σωθῆναι ἡμᾶς.

Δόξα.

Προανάρχου Τριάδος, Μονάδα ὑπερουσίως πίστει προσκυνῶ, οὐ τέμνων τὴν Θεότητα. ἔστι γὰρ ἑνοειδὴς, ἁπλῆ, ἀμέριστος. συνάπτω δὲ αὐτὴν, οὐσιότητι προσώπων, καὶ πιστῶς διαιρῶ.

Καὶ νῦν. Θεοτ.

Βρεφουργεῖται Θεὸς ἐκ Παρθένου, καὶ νεουργεῖ τοὺς φθαρέντας ἐξ Ἀδάμ. καὶ λύει τὸ μεσότοιχον, καὶ τῆς ἔχθρας τὸν φραγμὸν, ἐν τῇ σαρκὶ αὐτοῦ. κατάραν ἀλλοιοῖ τῆς Προμήτορος, ἐξ ἀχράντου Μητρὸς προελθών.

Καταβασία. Χριστὸς γεννᾶται.

Ὠδὴ γ΄. Στερεωθήτω.

Τῆς στειρωθείσης διανοίας μου, ἀκαρπίαν πᾶσαν ἀπέλασον. καὶ καρποφόρον ἀρεταῖς, τὴν ψυχήν μου ἀνάδειξον, Παναγία Θεοτόκε, τῶν πιστῶν ἡ βοήθεια.

Ῥῦσαί με πάσης κατακρίσεως, καὶ πολλῶν σκανδάλων τοῦ ὄφεως, τοῦ αἰωνίζοντος πυρὸς, καὶ τοῦ σκότους πανάμωμε· ἡ τὸ φῶς ἀποκυήσασα, ἡμῖν τὸ ἀνέσπερον.

Τὸ ἀπαραίτητον κριτήριον, καὶ τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον, καὶ τὴν ἀπόφασιν Ἁγνὴ, τὴν φρικτὴν ὅλως δέδοικα. σπεῦσον σῶσον πρὸ τοῦ τέλους, ἀγαθὴ τὸν οἰκέτην σου.

Εὐλογημένος τῆς κοιλίας σου, ὁ καρπὸς Παρθένε πανύμνητε· τοὺς γὰρ φθαρέντας τῷ καρπῷ, διὰ ξύλου Σταυροῦ αὐτοῦ, ἀφθαρτίσας κατεστήσατο, κοινωνοὺς θείας χάριτος.

Ἄλλος. Ὁ μόνος εἰδώς.

Προσέδραμες δίψει οὐ κληθεὶς, Ἀνδρέα, ἀλλ' αὐθαίρετος, τῇ τῆς ζωῆς πηγῇ, ὥσπερ ἔλαφος, καὶ πᾶσι ταύτην εὑρὼν ἐκήρυξας· καὶ τῶν ἐπότισας, ἀφθαρσίας νάματα, κεκμηκότα τῇ δίψει τὰ πέρατα.

Ἐπέγνως τῆς φύσεως θεσμοὺς, Ἀνδρέα ἀξιάγαστε, καὶ κοινωνὸν τὸν σύγγονον εἴληφας, βοῶν εὑρήκαμεν τὸν ποθούμενον, καὶ ὁδοποιήσαντι, τῆς σαρκὸς τὴν γέννησιν, καθηγήσω τὴν γνῶσιν τοῦ Πνεύματος.

Σαγήνῃ τοῦ λόγου ἐκ βυθοῦ, ἀπάτης ἐσαγήνευσας, τοὺς λογικοὺς ἰχθύας Ἀπόστολε· καὶ τῇ τραπέζῃ, Χριστοῦ ὀψώνιον, καθαρὸν προσήγαγες, λαμπρυνθέντας χάριτι, τοῦ φανέντος, σαρκὸς ὁμοιώματι.

Θεοτοκίον.

Θεὸν συλλαβοῦσα ἐν γαστρὶ, Παρθένε διὰ Πνεύματος, τοῦ παναγίου ἔμεινας ἄφλεκτος, ἐπεὶ καὶ βάτος τῷ Νομοθέτῃ Μωσῇ, φλεγομένη ἄκαυστα, σαφῶς προεμήνυσε, τὴν τὸ πῦρ δεξαμένην τὸ ἄστεκτον.

Ἄλλος. Στερεωθήτω ἡ καρδία μου.

Τῷ λόγῳ καλοῦντι δεῦρο ὀπίσω μου, τῷ Χριστῷ εὐθὺς ἠκολούθησε, σὺν τῷ Ἀνδρέᾳ καὶ Κηφᾶς, τὸν γενέτην ἐάσαντες, καὶ τὸ σκάφος καὶ τὰ δίκτυα, ὡς πίστεως πρόβολοι.

Τὰ εἴδωλα μετεποίησας, εἰς ναοὺς Θεοῦ πανσεβάσμιε· καθιερώσας ἐν αὐτοῖς, τοὺς Υἱοὺς τοῦ Βαπτίσματος· οὓς ἡ χάρις ἀνεκαίνισε, δι' ὕδατος Πνεύματι.

Τὸν μαργαρίτην τὸν πολύτιμον, μυστικῶς τῷ Κόσμῳ προέθηκας, τῷ τῆς καρδίας σου ἀγρῷ, κεκρυμμένον Ἀπόστολε· ὃν τῇ πίστει ἐθησαύρισαν, τὰ ἔθνη εὑράμενα.

Ὡς θησαυρὸν τὸ Εὐαγγέλιον, ἐν χερσὶ λαβὼν πολυΰμνητε, πᾶσαν ἐπλούτισας τὴν γῆν, τοῦ ἐνθέου κηρύγματος. διό σου καὶ τὰ μνημόσυνα, τιμᾷ σὺν τοῖς ἄθλοις σου.

Δόξα.

Τὴν ἐν Τριάδι μίαν δύναμιν, ὀρθοδόξως πάντες ὑμνήσωμεν, ἄναρχον, ἄκτιστον Θεὸν, ὁμοούσιον σύνθρονον, τρισυπόστατον τρισήλιον, αὐτὴν ἀναμέλποντες.

Καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Καὶ νῦν. Θεοτοκίον.

Πᾶσα μὲν Μήτηρ γόνον τίκτουσα, παρθένος ἔτι οὐ δύναται. σὺ δὲ τεκοῦσα τὸν Χριστὸν, Μητροπάρθενος πέφηνας· γαλουχοῦσα τὴν ζωὴν ἡμῶν, Ἁγνὴ δὲ διαμείνασα.

Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.

Ὠδὴ ε´. Ἦχος πλ. δ´. Τὴν σοφίαν καὶ Λόγον.

Ὡς πρωτόκλητον πάντων τῶν μαθητῶν, καὶ αὐτόπτην τοῦ Λόγου καὶ ὑπουργὸν, Ἀνδρέα Ἀπόστολε, κατὰ χρέος τιμῶμέν σε. τὸν γὰρ Ἀμνὸν τὸν αἴροντα, τοῦ Κόσμου τὰ πταίσματα, ἀδιστάκτῳ πόθῳ, θερμῶς ἠκολούθησας. ὅθεν καὶ τοῦ πάθους, κοινωνὸς ἀνεδείχθης, σαρκὶ ὑπομείναντος, ἑκουσίως τὸν θάνατον. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Δόξα.

Τῶν εἰδώλων τὰ θράση καταβαλὼν, τοῦ Σωτῆρος τὰ πάθη ἐπιποθῶν, Ἀνδρέα μακάριε, ἀνεδείχθης Ἀπόστολος. οὐρανόθεν πᾶσι, πηγάζων τὰ θαύματα. καὶ ἐθνῶν ἐγένου, παμμάκαρ Διδάσκαλος. ὅθεν σου τὴν μνήμην, ἐπαξίως τιμῶντες, ἐν ὕμνοις δοξάζομεν, καὶ πιστῶς μεγαλύνομεν, τοῦ Κυρίου Ἀπόστολε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Χαῖρε θρόνε πυρίμορφε τοῦ Θεοῦ. χαῖρε Κόρη καθέδρα βασιλική. κλίνη πορφυρόστρωτε. χρυσοπόρφυρε θάλαμε. χλαμὺς ἁλουργόχροε, τιμαλφέστατον τέμενος. ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε. χαῖρε Θεοτόκε, δωδεκάτειχε Πόλις, καὶ πύλη χρυσήλατε· καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα· χαῖρε εὔδοξε Νύμφη ἡλιοστάλακτε· χαῖρε μόνη ψυχῆς μου εὐπρέπεια.

Ὠδὴ ς´. Ἐν Πνεύματι προβλέπων.

Παρθένε Παναγία, ἀμόλυντε σκηνὴ, μολυνθέντα πταίσμασι, καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου ῥανίσι καθαρωτάταις· καὶ δός μοι χεῖρα βοηθείας, ἵνα κράζω· δόξα σοι Ἁγνὴ θεοδόξαστε.

Ναὸς ἡγιασμένος, ἐδείχθης τοῦ Θεοῦ, τοῦ ἐν σοὶ οἰκήσαντος, Παρθένε ὑπὲρ νοῦν. αὐτὸν δυσώπει, ἁμαρτιῶν ἡμᾶς ῥύπου ἀποκαθᾶραι, ὅπως οἶκος γνωρισθῶμεν, καὶ κατοικητήριον Πνεύματος.

Ἐλέησόν με μόνη, ἐλέους ἡ πηγὴ, Θεοτόκε τέξασα, καὶ λῦσον τὴν δεινὴν, τὴν τῆς ψυχῆς μου νόσον, καὶ πώρωσιν τῆς καρδίας. δακρύων ῥεῖθρα, καὶ κατάνυξιν πρὸ τέλους, θείαν δωρουμένη πρεσβείαις σου.

Νοήσας ὁ Προφήτης ἐν Πνεύματι Θεοῦ, ὄρος σε προέγραψε, κατάσκιον Ἁγνή. τοὺς ἐκτακέντας, φλογμῷ πολλῶν ἐγκλημάτων, ἀποκαθάρας μεσιτείαις σου Παρθένε, μόνη τῶν βροτῶν ἡ ἀνόρθωσις.

Ἄλλος. Ὄρος σε τῇ χάριτι.

Ἡ θεία ἐξαναλωτική τε τοῦ χείρονος, τοῦ παντουργοῦ καὶ φωταυγοῦς, Πνεύματος δύναμις ἐν σοὶ, Ἀνδρέα οἰκήσασα, θεοπρεπῶς, πυρίνης γλώττης ἐν σχήματι, τῶν ἀπορρήτων ἀνέδειξε Κήρυκα.

Οὐχ ὅπλα πρὸς ἄμυναν, ἀνείλετο σάρκινα, καὶ πρὸς καθαίρεσιν δεινῶν, ὀχυρωμάτων τοῦ ἐχθροῦ, Ἀνδρέας ὁ πάντιμος. ἀλλὰ Χριστῷ φραξάμενος προσενήνοχεν, αἰχμαλωτίσας τὰ ἔθνη ὑπήκοα.

Τοὺς πόθῳ τελοῦντάς σου, τὴν μνήμην ἐν ᾄσμασιν, ἐκ τῆς ἀφθόνου δωρεᾶς, τοῦ Διδασκάλου σου Χριστοῦ, Ἀνδρέα πανόλβιε, πνευματικῆς ἀγαλλιάσεως νάμασι, ἀναμπιπλῶν μὴ ἐλλείπῃς πρεσβείαις σου.

Θεοτοκίον.

Ὑμνοῦμεν τὸ μέγα, καὶ φρικτόν σου Μυστήριον· ὑπερκοσμίους γὰρ λαθὼν, ταξιαρχίας ἐπὶ σὲ, ὁ ὢν καταβέβηκεν, ὡς ὑετὸς ὁ ἐπὶ πόκον πανύμνητε, εἰς σωτηρίαν ἡμῶν, καὶ ἀνάπλασιν.

Ἄλλος. Ἐν Πνεύματι προβλέπων.

Τὰ δίκτυά σου ῥίψας, καὶ ἄρας τὸν Σταυρὸν, δρόμῳ ἠκολούθησας, καλοῦντι τῷ Χριστῷ. καὶ τὴν σαγήνην τοῦ Πνεύματος ὑφαπλώσας, ἀντὶ ἰχθύων τοὺς ἀνθρώπους σαγηνεύεις· δόξα τῷ δοθέντι σοι Πνεύματι.

Τοῦ Πνεύματος τὴν φλόγα, τῇ γλώσσῃ προσλαβὼν, γέγονας Ἀπόστολε, θεόληπτος ἀνήρ. τῶν οὐρανίων τὰ κάλλη περιπολεύων· καὶ τὰ ἐν τούτοις νοητὰ καταμανθάνων, κάλλη, καὶ ἡμῖν ἐκκαλύπτων αὐτά.

Τὴν ἔρημον διψῶσαν, ἐπότισας σοφὲ, τοῖς ἐνθέοις λόγοις σου· καὶ ἔδειξας αὐτὴν, πολυγονοῦσαν τὰ τέκνα τῆς Ἐκκλησίας, καρποφοροῦντα τοῦ κηρύγματος τὸν ἄσπορον· δόξα τῷ δοθέντι σοι Πνεύματι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Τὸ ἄφραστόν σου κάλλος, Ἀνδρέας προϊδών, Ἰησοῦν τὸν σύγγονον, ἐβόησε λαμπρῶς· Πέτρε ὅμαιμον, εὑρήκαμεν τὸν Μεσσίαν, τὸν ἐν τῷ νόμῳ, καὶ Προφήταις κηρυχθέντα. δεῦρο κολληθῶμεν τῇ ὄντως ζωῇ. Δόξα.

Τριάδα ἐν μονάδι, ὑμνήσωμεν πιστοί· ἐν μιᾷ Θεότητι Πατέρα καὶ Υἱόν, καὶ Πνεῦμα θεῖον, οὐσίαν μίαν καὶ φύσιν, ἀδιαιρέτως, ἀχωρίστως, ἀμερίστως. εἷς γὰρ ἐν Τριάδι προσώπων Θεός. Καὶ νῦν. Θεοτοκίον.

Τὸν ἕνα τῆς Τριάδος, ἀφράστως ἐν γαστρί, συλλαβοῦσα τέτοκας. ἀφθάρτως ὡς Υἱόν· καὶ ἡ Τριὰς μέν, προσθήκην ὅλως οὐκ ἔσχε· καὶ ἡ Ἁγνεία, ὥσπερ ἦν καὶ πρὸ τοῦ τόκου, σῶα Θεομήτωρ διέμεινεν.

Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ὠδὴ ε΄. Τὴν σὴν εἰρήνην.

Τὰς κόρας τῆς καρδίας μου, διάνοιξον Ἁγνή, βλέπειν με τρανῶς τὴν θείαν λαμπρότητα, καὶ τὴν σὴν δόξαν τὴν ἀνέκφραστον, ὅπως ἐλέους τύχω, καὶ αἰωνίου δόξης.

Ἐν δύο ταῖς θελήσεσι, τὸν ἕνα τῆς σεπτῆς, τέτοκας Τριάδος Παναγία ἄχραντε, φέροντα μίαν τὴν ὑπόστασιν. ὃν ἐκτενῶς δυσώπει, πάντας ἡμᾶς σωθῆναι.

Πανάχραντε ὡς τέξασα, Σωτῆρα καὶ Θεόν, πρέσβευε ἐκ πάσης με θλίψεως, καὶ νοσημάτων καὶ κακώσεως, σῶον συντηρηθῆναι, τὸν σὸν ἀχρεῖον δοῦλον.

Δυσώπησον ὃν ἔτεκες, Παρθένε ὑπὲρ νῦν, σώζεσθαι τοὺς πίστει σοι κράζοντας. χαῖρε Παρθένε παναμώμητε· χαῖρε εὐλογημένη, τοῦ Κόσμου προστασία.

Ἄλλος. Ὁ φωτίσας.

Ἀπείληφας, ὃν ἐπόθεις, Ἀνδρέα Ἀπόστολε, ἐν ἀφθάρτοις, σὺν αὐτῷ καταλύσας σκηνώμασι· τὰ τῶν πόνων δράγματα, τῶν σῶν δρεψάμενος ἀξίως· ὅθεν σε ὕμνοις δοξάζομεν.

Ἐπόθησας τὸν Δεσπότην, καὶ τοῦτον ἐδίωξας, τοῖς ἴχνεσι τοῖς αὐτοῦ, πρὸς ζωὴν ποδηγούμενος· καὶ τὰ τούτου πάθη, ἀψευδῶς ὑπέρτιμε Ἀνδρέα, μέχρι θανάτου μιμούμενος.

Ἐντάνας σε, δυνατὸν ὥσπερ βέλος μάκαρ, ἐπαφῆκεν, εἰς τὸν σύμπαντα Κόσμον ὁ Κύριος, τραυματίζων δαίμονας, καὶ δυσσεβείᾳ τοὺς ἀνθρώπους, τραυματισθέντας ἰώμενος. Θεοτοκίον.

Εὐφραίνονται, Οὐρανῶν αἱ δυνάμεις ὁρῶσαί σε· ἀγάλλονται σὺν αὐτοῖς τῶν βροτῶν τὰ συστήματα. τῷ γὰρ τόκῳ ἥνωνται τῷ σῷ, Παρθένε Θεοτόκε, σὲ ἐπαξίως δοξάζοντα.

Ἄλλος. Καταύγασον ἡμῶν.

Ποθήσας τὸν Σταυρὸν Χριστοῦ Μαθητά, ἐπορεύσω τῷ Σταυρῷ σου, τὴν ἀκήρατον Βασιλείαν, ἣν ὑπὲρ πάντας ἑλκύσας, Σταυρῷ τοὺς θεομύστας, κληροδοτῆσαι ὑμῖν, τοῖς Θεολόγοις αὐτοῦ.

Ἐζήτησας Χριστὸν τὴν ὄντως ζωήν· καὶ ζητήσας πρῶτος εὗρες, καὶ εὑρὼν μυστικῶς ἐδράξω· καὶ ἔλαβες αὐτήν, ἐν αὐτῷ τῷ δεδωκότι. καὶ γέγονας θησαυρός, ζωῆς ἀκαταλύτου.

Τὰ ῥήματα τῶν σῶν, ἐνθέων βροντῶν, διηχήθη ἐν τῷ Κόσμῳ· καὶ ἀπ' ἄκρων εἰς ἄκρα γῆς ἦλθεν. ἐκύκλωσαν γὰρ ὥσπερ τροχός, καὶ ἔφαναν σου αἱ ἀστραπαί, ὡς φησὶ Δαβὶδ τῇ οἰκουμένῃ.

Μνημόνευε ἡμῶν, Χριστοῦ Μαθητά, τῶν τελούντων σου τὴν μνήμην, καὶ τιμώντων τὰ λείψανά σου· δεήθητι ἀεὶ ἐκτενῶς ὑπὲρ τῆς ποίμνης, ἧς γέγονας ἀπ' ἀρχῆς, φύλαξ καὶ σωτηρία. Δόξα.

Πατέρα καὶ Υἱόν, καὶ Πνεῦμα Θεόν, ἀδιαίρετον Τριάδα, τρισυπόστατον Βασιλείαν, δοξάσωμεν συμφώνως πιστοί, ἀκαταπαύστοις Θεολογίαις, αὐτὴν πιστῶς ὑμνολογοῦντες. Καὶ νῦν. Θεοτοκίον.

Ἐγέννησας τὸ φῶς, μὴ γνοῦσα τὸ πῶς, ἡ ὁλόφωτος λυχνία, τοῦ ἡλίου λαμπαδηφόρε· καὶ γέγονας αὔλου φωτός, καινὸν δοχεῖον, πηγάζον πάσῃ τῇ γῇ, θεογνωσίας αὐγάς.

Καταβασία. Θεὸς ὢν εἰρήνης.

Ὠδὴ ς΄. Τὸν Προφήτην Ἰωνᾶν.

Μολυνθέντα με πολλαῖς, ἁμαρτίαις δυσωπῶ, σὲ τὴν ὄντως ἀγαθήν, καὶ ἀμόλυντον σκηνήν· ἀπόπλυνον, παντοίου ῥύπου, τῇ μεσιτείᾳ σου.

Κυβερνῆτις μοι γενοῦ, θαλαττεύοντι ἀεί, ἐν πελάγει τῶν δεινῶν, τῶν τοῦ βίου πειρασμῶν· καὶ σῶσόν με, πρὸς σωτηρίας ὅρμον ἰθύνουσα.

Τρικυμίαι λογισμῶν, καὶ παθῶν ἐπαγωγαί, καὶ βυθὸς ἁμαρτιῶν, τὴν ἀθλίαν μου ψυχήν, χειμάζουσι· βοήθησόν μοι, Ἁγία Δέσποινα.

Μεγαλεῖά σοι ἀεί, ἐποιήσατο Χριστός· ὃν ἱκέτευε ἀεί, μεγαλῦναι ἐπ' ἐμοί, τὰ πλούσια, αὐτοῦ ἐλέη, Θεοχαρίτωτε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄλλος. Ἐκύκλωσεν ἡμᾶς.

Τὴν θάλασσαν τοῦ βίου περαιούμενος, ἐν σκάφει τῷ τοῦ σώματος, τὸν τὰ σύμπαντα διέποντα Χριστὸν, εὗρες κυβερνήτην παμμακάριστε, καὶ πρὸς αὐτὸν μάκαρ Ἀνδρέα, χαίρων προσώρμισαι.

Τὰ Πνεύματι τῷ λόγῳ φυγαδεύονται· αἱ νόσοι δραπετεύονται· ψυχικῶν τε παθημάτων ὁ ἑσμὸς, πόρρω τῶν νοσούντων ἀπελαύνονται, τῇ ἐκ Θεοῦ σοι δεδομένῃ, Ἀνδρέα χάριτι.

Ὡς κῦμα γαλήνιον πραεῖ Πνεύματι, κινούμενος μακάριε, ἀπεξήρανας θαλάσσας πονηρὰς, τῆς πολυθείας θείοις ῥεύμασι, καὶ ποταμοὺς θεογνωσίας πᾶσιν ἐξέβλυσας. Θεοτοκίον.

Εὐφραίνονται ἐν σοὶ Παρθένε ἄχραντε, τοῦ γένους οἱ Προπάτορες, τὴν Ἐδὲμ ἀπολαμβάνοντες διὰ σοῦ, ἣν ἐκ παραβάσεως ἀπώλεσαν. σὺ γὰρ ἁγνὴ, καὶ πρὸ τοῦ τόκου, καὶ μετὰ γέννησιν.

Ἄλλος. Τὸν Προφήτην Ἰωνᾶν.

Ὁ ἐκ τῆς Βηθσαϊδὰ, καταγόμενος ἡμᾶς, ἑορτάσαι συγκαλεῖ, τὴν πανήγυριν αὐτοῦ, προθεὶς ἡμῖν, τὰς ἀριστείας τῶν παλαισμάτων αὐτοῦ.

Ὁ τῇ τέχνῃ ἁλιεὺς, καὶ τῇ πίστει μαθητὴς, ὡς βυθὸν διερευνῶν, τὰς καρδίας τῶν πιστῶν, τὸ ἄγκιστρον, χαλᾷ τοῦ λόγου, καὶ σαγηνεύει ἡμᾶς.

Τῆς ἀγάπης τοῦ Χριστοῦ, ἐν καρδίαις σου τὸ πῦρ, περιφέρων μαθητὰ, κατεβόας τῶν ἐθνῶν, ἡ φλὸξ ὑμῶν, ἐσβέσθη ὄντως, ἐπιφανέντος Χριστοῦ.

Οἱ τῷ ἅλατι τὸν νοῦν, ἀρτυθέντες τοῦ Χριστοῦ, τὰ ὀψώνια ὑμῶν, κατεγλύκαναν ἡμῖν, τὰ δόγματα, τῆς Οὐρανίου καὶ ἀκηράτου τρυφῆς. Δόξα.

Τὸν Πατέρα καὶ Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ εὐθὲς, προσκυνήσωμεν πιστοὶ, τρισυπόστατον φύσιν, ἀμέριστον, βοῶντες δόξα τῷ ἐν Τριάδι Θεῷ. Καὶ νῦν. Θεοτοκίον.

Εὐδοκίᾳ τοῦ Πατρὸς, ἐσαρκώθη ὁ Υἱὸς, διὰ Πνεύματος Θεοῦ, ἐν τῇ μήτρᾳ σου ἁγνή· καὶ ἔσωσε, τὴν πρὶν εἰκόνα, Θεοκυήτωρ σαφῶς.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

Κοντάκιον. Ἦχος β. Τὴν ἐν πρεσβείαις.

Τὸν τῆς ἀνδρείας ἐπώνυμον Θεηγόρον, καὶ Μαθητῶν τὸν πρωτόκλητον τοῦ Σωτῆρος, Πέτρου τὸν σύγγονον εὐφημήσωμεν· ὅτι ὡς πάλαι τούτῳ, καὶ νῦν ἡμῖν ἐκέκραγεν· εὑρήκαμεν δεῦτε τὸν ποθούμενον.

Ὁ Οἶκος.

Ἄνωθεν μὲν Δαβὶδ ἀναστέλλει ἁμαρτωλὸν ὡς ἐμὲ, διηγεῖσθαι Θεοῦ ἀλόγως τὰ δικαιώματα. ὅμως πρὸς πίστιν διδάσκει πάλιν, καὶ ἐν δάκρυσι πλείστοις ἐξαγορεύει· σήμερον γὰρ τῆς φωνῆς αὐτοῦ ἐὰν ἀκούσητε, καρδίας μὴ σκληρυνθῆτε, ὥς ποτε Ἰσραὴλ παρεπίκρανεν. ἐπάγει οὖν τῷ ἑξῆς ψαλμῷ, τῷ Κυρίῳ ἡ σύμπασα ᾄσατε· εὑρήκαμεν δεῦτε τὸν ποθούμενον.

Τῷ αὐτῷ Μηνὶ Λ. Μνήμη τοῦ Ἁγίου ἐνδόξου, καὶ πανευφήμου Ἀποστόλου Ἀνδρέου τοῦ Πρωτοκλήτου.

Στίχ. Ἀντίστροφον σταύρωσιν Ἀνδρέας φέρει,
Φανεὶς ἀληθῶς οὐ σκιωδῶς ὢν μύστης.
Σταυρὸν κατὰ κεφαλῆς τριακοστῇ ἀνδρέας ἔτλη.

Οὗτος ὑπῆρχεν ἐκ πόλεως Βηθσαϊδὰ, Υἱὸς μὲν Ἰωνᾶ τινὸς Ἑβραίου, ἀδελφὸς δὲ Πέτρου τοῦ Ἀποστόλου, καὶ Κορυφαίου τῶν μαθητῶν τοῦ Χριστοῦ. Οὗτος πρότερον τῷ Προδρόμῳ, καὶ Βαπτιστῇ Ἰωάννῃ μαθητεύεται. ἔπειτα τὸ, Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, παρὰ τοῦ Διδασκάλου ἀκούσας, δακτυλοδεικτοῦντος τὸν Ἰησοῦν, καταλιπὼν αὐτὸν, ἠκολούθησε τῷ Χριστῷ. Καὶ τῷ Πέτρῳ τὸ, Εὑρήκαμεν Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, εἰπὼν, ἐπεσπάσατο πρὸς τὸν τοῦ Χριστοῦ ἔρωτα. Καὶ ἕτερα πολλά ἐστιν ἐν τῇ θεοπνεύστῳ Γραφῇ κείμενα περὶ αὐτοῦ. Οὗτος ἐπεὶ τῷ Χριστῷ ἠκολούθησε, μετὰ τὴν Ἀνάληψιν αὐτοῦ, ἄλλῳ μὲν Ἀποστόλῳ ἄλλη τις ἐκληρώθη χώρα. τῷ Πρωτοκλήτῳ δὲ, ἥτε Βιθυνῶν, καὶ ὁ Εὔξεινος πόντος· τῆς Προποντίδος τὰ μέρη, σὺν Χαλκηδόνι, καὶ Βυζαντίῳ, καὶ Θράκῃ, καὶ Μακεδονίᾳ, καὶ τὰ ἕως τοῦ Ἴστρου φθάνοντα. Θεσσαλία τε καὶ Ἑλλὰς, καὶ τὰ μέρη Ἀχαΐας. ἀλλὰ καὶ Ἀμινσὸς, καὶ Τραπεζοῦς, καὶ Ἡράκλεια, καὶ Ἄμαστρις. Ταύτας δὲ, οὐχ ὥσπερ ὁ λόγος διέρχεται, οὕτω κἀκεῖνος διῆλθεν, ἀλλ' ἐν ἑκάστῃ πόλει, πολλὰ τὰ ἀντιπίπτοντα ὑποστὰς, πολλαῖς τε πραγμάτων δυσχερείαις ὡμιληκὼς, οἷς καὶ ῥοπῇ Χριστοῦ καὶ βοηθείᾳ πάντων ἐκράτει. ἐξ ὧν μιᾶς Πόλεως ἐπιμνησθεὶς, ταῖς λοιπαῖς τοῖς εἴδοσιν ἐάσατο. Οὗτος τῇ Σινωπέων ἐπιδημήσας,

καὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ τὸν λόγον καταγγείλας, πολλαῖς θλίψεσι καθυποβάλλεται. Κατὰ γῆς γὰρ αὐτὸν ἔῤῥιπτον, καὶ χειρῶν καὶ ποδῶν λαβόμενοι, εἷλκον, καὶ τοῖς ὀδοῦσιν ἐσπάραττον, καὶ ξύλοις ἔπαιον, καὶ λίθοις ἔβαλλον, καὶ μακρὰν τῆς Πόλεως ἀπέῤῥιπτον, ὅτε καὶ τὸν δάκτυλον ὀδοῦσιν ἔκοψαν. Ἀλλ' αὐτὸς αὖθις ὑπὸ τοῦ Σωτῆρος, καὶ διδασκάλου ἄρτιος καὶ ὑγιὴς ἀπὸ τῶν πληγῶν ἐφάνη. Ἐκεῖθεν τε ἀναστὰς, ἤμειψε πλείστας πόλεις καὶ χώρας· τήν τε Νεοκαισάρειαν, τὰ Σαμόσατα, Ἀλανοὺς, Ἀβασγοὺς, Ζήκχους, Βοσποριανοὺς, καὶ Χερσωνίτας. Εἶτα διαπλεύσας εἰς τὸ Βυζάντιον, καὶ τὸν Στάχυν, Ἐπίσκοπον χειροτονήσας, καὶ τὰς λοιπὰς χώρας διελθὼν, πρὸς τὴν περιφανῆ Πελοπόννησον ἔρχεται. Καὶ ξενισθεὶς παρὰ Σωσίῳ χαλεπῶς ἀσθενοῦντι, ἰάσατο αὐτόν. Καὶ παραυτίκα πᾶσα ἡ πόλις ἐκείνη τῶν Πατρῶν προσῆλθε τῷ Χριστῷ. Ὅτε καὶ ἡ τοῦ Ἀνθυπάτου γυνὴ Μαξιμίλλα, τῶν χαλεπῶν λυθεῖσα τῆς νόσου δεσμῶν, καὶ πίστεως τυχοῦσα θεραπείας, ἐπίστευσε. Καὶ Στρατοκλῆς ὁ σοφώτατος, ὁ τοῦ Ἀνθυπάτου Αἰγεάτου αὐτάδελφος, καὶ ἕτεροι πολλοὶ νόσους ἔχοντες ποικίλας, ὑγιώθησαν διὰ τῆς ἐπιθέσεως τῶν χειρῶν τοῦ Ἀποστόλου. Διὰ ταῦτα μανίᾳ περιπεσὼν ὁ Αἰγεάτης, καὶ Σταυρῷ προσηλώσας τὸν Ἀπόστολον, τῆς παρούσης ζωῆς ἐξιστᾷ. Αὐτὸς δὲ ἀπότινος μετεώρου κρημνοῦ εἰς γῆν ἑαυτὸν καταβεβληκὼς, συνετρίβη. Τοῦ δὲ Ἀποστόλου τὸ λείψανον, μετ' οὐ πολὺν χρόνον, μετετέθη ἐν Κωνσταντινουπόλει, ἐπὶ τῆς Βασιλείας Κωνσταντίου, τῇ τούτου κελεύσει, παρὰ Ἀρτεμίου τοῦ Μάρτυρος· καὶ κατετέθη μετὰ Λουκᾶ, καὶ Τιμοθέου ἐν τῷ τῶν Ἁγίων Ἀποστόλων περιβλέπτῳ τεμένει. Ταῖς τοῦ σοῦ Ἀποστόλου πρεσβείαις ὁ Θεὸς, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Τοὺς ἐν καμίνῳ.

Τὴν μιανθεῖσαν ἄχραντε ψυχήν, ἁγίασον, πάντοτε τῶν δούλων σου ἁγνή, καὶ τοῦ νοὸς δεινὰς αἰχμαλωσίας· καὶ καρδίας πώρωσιν, καὶ τῶν δαιμόνων ὁρμὰς, τάχος ἀφάνισον.

Νενεκρωμένον πάθεσι σαρκὸς, πανάμωμε, ζώωσον τὸν νοῦν μου καὶ Θεῷ, τὰ ἀρεστὰ ἐπιτελεῖν ἐνίσχυσόν με· ἵνα μεγαλύνω σε, ἵνα δοξάζω σε, τὴν ἀγαθότητά σου.

Νέκρωσόν μου Δέσποινα ἁγνὴ, τὰ τῆς σαρκὸς πάθη, καὶ ψυχῆς μου ταπεινῆς, ῥύπον δεινὸν, ἐναποσμήχουσα Παρθένε· καὶ λογοθεσίου με τῶν ἀοράτων ἐχθρῶν, ῥῦσαι καὶ σῶσόν με.

Οἱ Παναγία ἄχραντε ἁγνὴ, οἱ δοῦλοί σου, πάντοτε ἡμέρας καὶ νυκτὸς, προσπίπτομεν συντετριμμένῃ διανοίᾳ, δυσωποῦντες λύτρωσιν, ἁμαρτημάτων εὑρεῖν ἡμᾶς, ταῖς σαῖς προσευχαῖς.

Ἄλλος. Σὲ νοητὴν Θεοτόκε.

Ἡ Ἀψευδὴς, ἐμφανῶς πεπλήρωται, ἐπαγγελία σου Χριστέ. τῷ γὰρ σάλῳ ὁ φοιτητὴς, σοῦ ὁ ἐνθεώτατος, λόγῳ ἐμβριμώμενος, πρὸς ἱλαρὰν γαλήνην μετέβαλεν· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὢ νοητῷ, τῆς Σιὼν Ἀπόστολε, προσβῆναι ὄρει κελευσθεὶς, σωτηρίου τε ἀληφὼς, χαίρων τὸ ποτήριον, νέμοις πορθμευόμενος, διὰ θανάτου πρὸς θέαν ζωήν· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὁ γηγενὴς, πεφυκὼς Ἀπόστολε, ὑπερφυῶς τερατουργεῖς. δι' ἀγάπης γὰρ συγκραθεὶς, τούτῳ ἠκολούθησας, Χριστῷ τῷ σὲ ἀγαπήσαντι· ὁ αἰνετὸς ἀναμέλπων, Θεὸς καὶ ὑπερένδοξος.

Θεοτοκίον.

Χαῖρε σεμνὴ, τοῦ Ἀδὰμ τὸ κώδιον, ἐξ οὗ προῆλθεν ὁ ποιμὴν, ἐνδυσάμενος ἀληθῶς, ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρί σου ἀνέπλασεν. ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ἄλλος. Τοὺς ἐν καμίνῳ.

Τοῦ Παναγίου Πνεύματος τὸ πῦρ, ἀπασάμενος, ἄνωθεν Ἀπόστολε Χριστοῦ, γλώσσαις καιναῖς, αἷς μηδαμοῦ ἐφθέγξω, τοῖς τοῦ Κόσμου πέρασι, διεκελεύσθης λαλεῖν, τὰ μεγαλεῖα αὐτοῦ.

Ὑπερεκπλήττει πάντα λογισμὸν, τὸ κήρυγμα. ὅπερ ἐσαλπίσατε τῇ γῇ, μύσται Χριστοῦ, καὶ θεωροὶ τῶν ἄνω. ὅτι μόνοι δώδεκα, τὰς μυριάδας τῆς γῆς κατεφωτίσατε.

Ἐθαυμαστώθη Δέσποτα Χριστὲ, ἡ χάρις σου, ἐν τοῖς θεοσόφοις μαθηταῖς. ὅτι μικροὶ, καὶ ἰδιῶται ὄντες, πᾶσαν γῆν διέδραμον, ἀπὸ τῶν ἄκρων αὐτῆς, ἕως περάτων ταύτης.

Τί τὸ διδάξαν οὕτω σε λαλεῖν, Ἀπόστολε; τί τὸ καταλάμψαν σου τὸν νοῦν; βλέπειν τρανῶς τῆς ἀπροσίτου δόξης, τὴν αὐγὴν τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λαμ-

τὴν λάμψασαν, τῆς ἀληθείας τὸ φῶς, ἐν ταῖς καρδίαις ἡμῶν. Δόξα.

Τριαδικῶς ὑμνήσωμεν πιστοί, δοξάζοντες, ἄναρχον Πατέρα, καὶ Υἱόν, Πνεῦμα εὐθές, μοναδικὴν οὐσίαν μίαν, ἣν τρισσῶς ὑμνήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος, εἰς τοὺς αἰῶνας. Ἀμήν. Καὶ νῦν. Θεοτ.

Ὡς τῆς Τριάδος ἕνα σε Χριστὲ δοξάζομεν· ὅτι ἐκ Παρθένου σαρκωθείς, δίχα τροπῆς ἀνθρωπικῶς ταῦτα ἠνέχου· μὴ ἐκστὰς τῆς φύσεως, τῆς πατρικῆς Ἰησοῦ, εἰ καὶ ἡνώθης ἡμῖν.

Καταβασία. Οἱ παῖδες εὐσεβείᾳ.

Ὠδὴ η΄. Ὃν φρίττουσιν.

Σαρκοῦται ὁ ἄσαρκος, ἐκ σοῦ θεοπρεπῶς· ὃν αἴτησαι πάναγνε, τὰ πάθη τῆς ἐμῆς, ψυχῆς θανατῶσαι, καὶ ζωῶσαι αὐτήν, νεκρωθεῖσαν πάλαι, κακίστῃ ἁμαρτίᾳ.

Ἴασαι τὸ σύντριμμα, Ἀδὰμ τοῦ χοϊκοῦ, σωτῆρα κυήσασα, πανάχραντε Θεόν. αὐτὸν ἐκδυσώπει, τὰς πληγὰς τῆς ἐμῆς, ψυχῆς θεραπεῦσαι, ἀνίατα νοσούσης.

Ἀνάστησον κείμενον, εἰς βάθη με κακῶν, τοὺς νῦν πολεμοῦντάς με, πολέμησον ἐχθρούς. τρωθεῖσαν ἀτόποις ἡδοναῖς τὴν ψυχήν, ἁγνὴ μὴ παρίδῃς, ἀλλ' οἴκτειρον, καὶ σῶσον.

Ἰάτρευσον ἄχραντε, τὰ πάθη τῆς ἐμῆς, καρδίας κυήσασα τὸν πάντων ἰατρόν, καὶ τῆς τῶν δικαίων δεῖξον μέτοχον, Παρθένε μερίδος, Χριστὸν ἐκδυσωποῦσα.

Ἄλλος. Ἐν καμίνῳ παῖδες.

Φωτοφόρος καὶ εὐφραντική, ἀκτῖνας ἰαμάτων, Ἀνδρέα Χριστοῦ Ἀπόστολε, ἐκλάμπουσα ἡμῖν, ἡ ἔνθεος μνήμη σου, τοῖς βοῶσι· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Ἀνθρωπίνης φύσεως λαχών, τοὺς ταύτης ὑπερέβης, θεσμοὺς καὶ πρὸς τὴν Ἀγγέλων, μεταβέβηκας σκηνήν, Ἀνδρέα Ἀπόστολε. καὶ κραυγάζεις· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Ἡ ἐξ ὕψους Πνεύματος Θεοῦ, πνοή σε προεκπυρώσασα, Ῥήτορα Θεηγόρον, ἀναδείκνυσι θερμόν, βοῶντα Ἀπόστολε τῷ Χριστῷ σου· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Φεγγοβόλος ὥσπερ ἀστραπή, εἰς φῶς ἐθνῶν ἐξῆλθες, τὸ σκότος τῆς ἀγνωσίας ἐκδιώκων καὶ πιστούς, φωτίζων κραυγάζοντας· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Θεοτοκίον.

Τὴν ἀσπόρως, καὶ ὑπερφυῶς, ἐξ ἀστραπῆς τῆς θείας, τεκοῦσαν τὸν μαργαρίτην, τὸν πολύτιμον Χριστόν, ὑμνήσωμεν ἅπαντες ἐκβοῶντες· πάντα τὰ ἔργα Κυρίου.

Ἄλλος. Τὸν ἐν Σινᾷ.

Τῇ τέχνῃ τῆς ἁλιείας, ἐκ θαλάσσης ἠγρεύσας ἰχθύας πάνσοφε. νῦν δὲ τῇ πίστει, ἀνθρώπους σαγηνεύεις Χριστῷ, ἐκ πλάνης τοῦ ἐχθροῦ. βυθὸς γὰρ ἦν ἡ πλάνη ποτέ, βυθίζων τὰ ἔθνη. τῇ ζάλῃ τῆς ἀγνοίας.

Τὸν νοητὸν τοῦ βίου, ἀκυμάντως ἔπλευσας βυθὸν Ἀπόστολε, διαπεράσας τῷ ἱστίῳ τοῦ Πνεύματος, τῇ πίστει τοῦ Χριστοῦ. διὸ καὶ εἰς λιμένα ζωῆς, κατήντησας χαίρων, εἰς πάντας τοὺς αἰῶνας.

Τοῦ νοητοῦ ἡλίου, ἐπὶ ξύλου δύναντος, αὐτεξουσίῳ βουλῇ, ὁ τοῦ ἡλίου φωστὴρ συναναλῦσαι ζητῶν, καὶ δῦναι εἰς Χριστόν, ἐν ξύλῳ ἐκρεμάσθη Σταυροῦ, Ἀνδρέας ὁ μέγας, λαμπτὴρ τῆς Ἐκκλησίας.

Ὦ Μαθηταί, καὶ φίλε τοῦ Χριστοῦ, καὶ σύμψηφε τῶν Ἀποστόλων αὐτοῦ, ὅταν ἐν θρόνῳ κάθηται κριτής, σὺν ὑμῖν τοῖς δώδεκα κρῖναι, ὡς ἡ ἐπαγγελία φησί, γενήθητε τότε ἡμῖν, φιλανθρωπίας τεῖχος. Δόξα.

Τρισσοφαῆ μονάδα, καὶ Τριάδα σύνθρονον, δοξολογήσωμεν, οὐ διαιροῦντες, ἑνοῦντες δὲ αὐτὴν συμφυῶς, ὡς μίαν ἀληθῶς οὐσίαν ἡνωμένην, ἐν προσώποις τρισίν, οὐ συναλοιφομένην. Καὶ νῦν. Θεοτ.

Τὸν τῆς Τριάδος ἕνα, συλλαβοῦσα τέτοκας, σεσαρκωμένον ἐκ σοῦ, καινοτομοῦντα τοὺς νόμους τοὺς τῆς φύσεως, τῷ τόκῳ σου Ἁγνή. αὐτὸν ὑπὲρ ἡμῶν ὡς Θεόν, ἀεὶ δυσωποῦσα, μὴ παύσῃ Θεοτόκε.

Καταβασία. Θαύματος ὑπερφυοῦς.

Ὠδὴ θ΄. Τὴν φωτοφόρον.

Φιλαμαρτήμων ὑπάρχων, ἐν ἀμελείᾳ διάγω, καὶ τὸ κριτήριον Ἁγνή, τὸ ἀδέκαστον τρέμω, ἐν ᾧ με τήρησον ταῖς σαῖς ἁγίαις δεήσεσι Θεόνυμφε, ἀκατάκριτον ὅπως, ὡς προστάτιν, μακαρίζωσέ σε.

Φρίττω τὸ βῆμα Παρθένε, καὶ τὸ ἀλάθητον ὄμμα, τοῦ σοῦ Υἱοῦ, πράξας αἰσχράς, ἐπὶ γῆς ἐκτελέσας· καὶ διὰ τοῦτο σοι βοῶ, πανεύσπλαγχνε Δέσποινα, βοήθει μοι, καὶ τῆς τότε ἀνάγκης ἐξελοῦ με, καὶ διάσωσον ἁγνή.

Ὡς φοβερὰ ἡ ἡμέρα, τῆς ἐξετάσεως Κόρη, ὡς ἡ ἀπόφασις φρικτή, ὡς δεινὴ ἡ αἰσχύνη. τίς ὑποστήσεται λοιπόν; πανάχραντε Δέσποινα ἐλέησον, τὴν ἀθλίαν ψυχήν μου, καὶ πρὸ τέλους, δός μοι ἄφεσιν Ἁγνή.

Φῶς ἡ τεκοῦσα τὸ θεῖον, ἐσκοτισμένον με πάσαις, ταῖς προσβολαῖς τοῦ πονηροῦ, καὶ κακίαις ἁπάσαις, καὶ παροργίζοντα Θεόν, πανάμωμε φώτισον· ὁδηγοῦσα πρὸς καλὰς ἐργασίας, ὡς αἰτία οὖσα πάντων τῶν καλῶν.

Ἄλλος. Τύπον τῆς ἁγνῆς.

Ὄντα φοιτητὴς πανάριστος, τοῦ τῷ Σταυρῷ βουλήσει προσομιλήσαντος, τῷ Δεσπότῃ σου, μέχρι θανάτου ἑπόμενος, ἀνελήλυθας χαίρων εἰς ὕψος Σταυροῦ, στελλόμενος πορείαν, πρὸς Οὐρανοὺς μάκαρ Ἀπόστολε.

Πύλη τῆς Ἐδέμ σοι ἠνοικται, καὶ προσετέθη κλίμαξ ἡ ἐπουράνιος· καὶ ἐδέξαντο τῶν Οὐρανῶν τὰ σκηνώματα· καὶ παρέστηκας χαίρων Ἀπόστολε, Χριστῷ τῷ ζωοδότῃ, ὑπὲρ τοῦ Κόσμου πρέσβυς ἄριστος.

Χαίροις ξυνωρὶς πανάριστος, ἐν Οὐρανοῖς λαχοῦσα νῦν τὸ πολίτευμα. ἐποπτεύεις τε, τῶν ὑμνητῶν τὴν προαίρεσιν, ἑαυτῶν ἐκνικῶσα τὴν δύναμιν, καὶ θείων χαρισμάτων, καταγλαΐζουσα λαμπρότησι.

Ῥίζης ἐκ Δαβὶδ ἐβλάστησας, προφητικῆς Παρθένε, καὶ Θεοπάτορος. ἀλλὰ καὶ Δαβὶδ ὡς ἀληθῶς σὺ ἐδόξασας, ὡς τεκοῦσα τὸν προφητευόμενον, τὸν Κύριον τῆς δόξης, ὃν ἐπαξίως μεγαλύνομεν.

Ἄλλος. Τὴν φωτοφόρον νεφέλην.

Ὁ τὴν σαγήνην ἁπλώσας, τῆς μυστικῆς θεωρίας, καὶ ὡς ἰχθύας ἐν αὐτῇ, σαγηνεύσας τὰ κάλλη τῶν οὐρανίων ἐννοιῶν· ἱκέτευε Ἅγιε, τὴν Ἁγίαν Τριάδα, τοῦ πηγάσαι, καὶ ἡμῖν τὸν ἱλασμόν.

Εὐχαριστοῦμεν τὰ ἔθνη, τὰ διὰ σοῦ φωτισθέντα, καὶ ἀπὸ γῆς εἰς Οὐρανούς, διὰ σοῦ ἀναχθέντα. τῆς γὰρ λατρείας τοῦ ἐχθροῦ ἐκστάντες, γεγόναμεν συμμέτοχοι, τῶν Ἁγίων Ἀγγέλων, τοῦ Κυρίου τε τῆς δόξης κοινωνοί.

Ὧν ἀπορρήτων αὐτόπται, καὶ ὑπηρέται τοῦ Λόγου, μυσταγωγοί, καὶ θεωροὶ τῶν ἀνεξιχνιάστων, συγκληρονόμους καὶ ἡμᾶς γενέσθαι, δεήθητε Ἀπόστολοι, τῆς Χριστοῦ Βασιλείας, καὶ μετόχους τῆς Θεότητος αὐτοῦ.

Δεσμεῖν καὶ λύειν λαβόντες, παρὰ Χριστοῦ ἐξουσίαν, λύσατε πάντας τῶν δεσμῶν, τῶν πολλῶν ἐγκλημάτων, ὅταν ἐλεύσεται Χριστός, καὶ πάντες καθήσεσθε, οἱ δώδεκα, ἐπὶ θρόνοις τοσούτοις, κρῖναι πάσας τὰς φυλὰς τοῦ Ἰσραήλ. Δόξα.

Τὴν τρισυπόστατον φύσιν, καὶ ἀδιαίρετον δόξαν, τὴν ἐν Θεότητι μιᾷ, ὑμνουμένην ἀπαύστως, ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς, Τριάδα ἀχώριστον δοξάσωμεν, σὺν Υἱῷ τὸν Πατέρα, καὶ τὸ Πνεῦμα, προσκυνοῦντες εὐσεβῶς.

Καὶ νῦν, Θεοτοκίον.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, τοὺς καταφεύγοντας πίστει, καὶ προσκυνοῦντας εὐσεβῶς, τὸν Υἱόν σου Παρθένε, Θεογεννήτορ ὡς Θεόν, τοῦ Κόσμου καὶ Κύριον· ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, καὶ παντοίων πειρασμῶν.

Καταβασία. Μυστήριον ξένον.

Ἐξαπος. Ἐν Πνεύματι τῷ ἱερῷ.

Ὁ Λόγος ὁ προάναρχος, εὑρηκώς σε παμμάκαρ, Πρωτόκλητον ἀνέδειξε πάντων τῶν Ἀποστόλων, Ἀνδρέα πανασίδιμε. καὶ τοῖς τούτου ἴχνεσιν, ἑπόμενος ἀνεδείχθης, ὁδηγὸς πλανωμένων, πρὸς οὐράνιον αὐτοὺς, ἀνάγων θείαν πορείαν.

Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Τοῦ Πέτρου τὸν συναίμονα, τῶν μαθητῶν τὸν πρώτιστον, αὐτόπτην καὶ ὑπηρέτην, γενόμενον τὸν τοῦ Λόγου, Ἀνδρέαν τὸν Ἀπόστολον, ἐνδόξως εὐφημήσωμεν. τὰ ἔθνη γὰρ ἐφώτισε, καὶ σταυρωθεὶς τελειοῦται, ὡς μαθητὴς τοῦ Δεσπότου.

Θεοτοκίον. Ὅμοιον.

Θεὸν ὅνπερ ἐγέννησας, Παρθένε παναμώμητε, ἱκέτευε ὑπὲρ πάντων, τῶν εὐσεβῶς σε τιμώντων, σὺν τῷ κλεινῷ Ἀνδρέᾳ τε, τυχεῖν θείας ἐλλάμψεως, τοῦ σοῦ Υἱοῦ, καὶ στάσεως, τῶν ἐκλεκτῶν καὶ Ἁγίων. καὶ γὰρ ἰσχύεις ὡς θέλεις.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν, στίχ. δʹ καὶ ψάλλομεν στιχ. ἦχος αʹ.

Τῶν οὐρανίων ταγμάτων.

Βηθσαϊδὰ νῦν ἀγάλλου· ἐν σοὶ γὰρ ἤνθησαν, ἐκ μητρικῆς λιβάδος, εὐωδέστατα κρίνα· Πέτρος καὶ Ἀνδρέας, Κόσμῳ παντί, τὸ τῆς πίστεως κήρυγμα, εὐωδιάζοντες χάριτι τοῦ Χριστοῦ· οὗ καὶ τὰ πάθη ἐκοινώνησαν.

Ἀνδρέα χαῖρε καὶ σκίρτα, ὅτι ἐδέξω σαφῶς, ἐν τῇ τοῦ Λύχνου λάμψει, τὸν ἥλιον τῆς δόξης, Χριστὸν τὸν ζωοδότην· ὃν καὶ κρατῶν, ἐν τῇ πίστει ἐκήρυξας. τοῦτον δυσώπει ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει ἀνυμνούντων σε.

Ὁ Μυστολέκτης τῆς θείας, οἰκονομίας Χριστοῦ, ὁ ἐκλεχθεὶς ἐν πρώτοις, μαθητεῦσαι τῷ Λόγῳ, Ἀνδρέας ὁ θεόπτης, ἐβόα φησί, τὸν σύναιμονα Πέτρον ἰδών· εὑρήκαμεν τὸν Μεσσίαν ὃν ἡ Γραφή, καὶ οἱ Προφῆται προεκήρυξαν.

Ἡ τῶν Πατρέων σε πόλις ποιμένα κέκτηται, καὶ πολιοῦχον θεῖον, καὶ κινδύνων παντοίων, ῥύστην καὶ φρουρόν σε, Ἀνδρέα σοφέ, εὐχαρίστως τιμῶσά σε. ἀλλ᾽ ἐκδυσώπει ἀπαύστως ὑπὲρ αὐτῆς, διασώζεσθαι ἀλώβητον.

Δόξα. Ἰδιόμελον, ἦχος πλ. δ'.

Τὸν Κήρυκα τῆς πίστεως, καὶ ὑπηρέτην τοῦ Λόγου, Ἀνδρέαν εὐφημήσωμεν. οὗτος γὰρ τοὺς ἀνθρώπους, ἐκ τοῦ βυθοῦ ἁλιεύει. ἀντὶ καλάμου, τὸν Σταυρὸν ἐν ταῖς χερσὶ διακρατῶν, καὶ ὡς σπαρτίον χαλῶν τὴν δύναμιν, ἐπανάγει τὰς ψυχάς, ἀπὸ τῆς πλάνης τοῦ ἐχθροῦ· καὶ προσκομίζει τῷ Θεῷ, δῶρον εὐπρόσδεκτον. ἀεὶ τοῦτον πιστοί, σὺν τῇ χορείᾳ τῶν μαθητῶν τοῦ Χριστοῦ εὐφημήσωμεν· ἵνα πρεσβεύῃ αὐτῷ, ὅπως ἵλεως γενήσηται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως.

Καὶ νῦν. Θεοτοκίον. ἦχος ὁ αὐτός.

Ὑποδέξαι Βηθλεέμ, τὴν τοῦ Θεοῦ Μητρόπολιν· φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν Οὐρανῷ· ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς· Μάγοι ἐκ Περσίδος, τὸ τρισόκλεον δῶρον προσκομίσατε· ποιμένες ἀγραυλοῦντες, τὸν τρισάγιον ὕμνον μελῳδήσατε. πᾶσα πνοὴ αἰνεσάτω τὸν Παντουργέτην.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἀπὸ τῶν Κανόνων, τοῦ Ἀποστόλου. Ὠδὴ γ'. καὶ ς'.

Ὁ Ἀπόστολος. Προκείμ. ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Πρὸς Κορινθ. α'. Ἐπιστολῆς Παύλου.

Κεφ. δ'. 9. Ἀδελφοί, ὁ Θεὸς ἡμᾶς τοὺς Ἀποστόλους ἐσχάτους ἀπέδειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ Κόσμῳ, καὶ Ἀγγέλοις, καὶ ἀνθρώποις. Ἡμεῖς μωροὶ διὰ Χριστόν, ὑμεῖς δὲ φρόνιμοι ἐν Χριστῷ· ἡμεῖς ἀσθενεῖς, ὑμεῖς δὲ ἰσχυροί· ὑμεῖς ἔνδοξοι, ἡμεῖς δὲ ἄτιμοι. Ἄχρι τῆς ἄρτι ὥρας καὶ πεινῶμεν, καὶ διψῶμεν, καὶ γυμνητεύομεν, καὶ κολαφιζόμεθα, καὶ ἀστατοῦμεν, καὶ κοπιῶμεν, ἐργαζόμενοι ταῖς ἰδίαις χερσί. Λοιδορούμενοι, εὐλογοῦμεν· διωκόμενοι, ἀνεχόμεθα· βλασφημούμενοι, παρακαλοῦμεν. ὡς περικαθάρματα τοῦ Κόσμου ἐγενήθημεν, πάντων περίψημα ἕως ἄρτι. Οὐκ ἐντρέπων ὑμᾶς γράφω ταῦτα, ἀλλ᾽ ὡς τέκνα μου ἀγαπητὰ νουθετῶ. Ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ, ἀλλ᾽ οὐ πολλοὺς πατέρας. ἐν γὰρ Χριστῷ Ἰησοῦ διὰ τοῦ Εὐαγγελίου ἐγὼ ὑμᾶς ἐγέννησα. Παρακαλῶ οὖν ὑμᾶς, μιμηταί μου γίνεσθε.

Ἀλληλούϊα, ἦχος α'.

Ἐξομολογήσονται οἱ Οὐρανοί.

Στ. Ὁ Θεὸς ὁ ἐνδοξαζόμενος ἐν βουλῇ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ, εἱστήκει ὁ Ἰωάννης, καὶ Κεφ.
ἐκ τῶν Μαθητῶν αὐτοῦ δύο. καὶ ἐμβλέ- α'. 1.
ψας τῷ Ἰησοῦ περιπατοῦντι, λέγει. Ἴδε ὁ Ἐδά.
Ἀμνὸς τοῦ Θεοῦ. καὶ ἤκουσαν αὐτοῦ οἱ δύο Μα- 35.
θηταὶ λαλοῦντος, καὶ ἠκολούθησαν τῷ Ἰησοῦ. Στραφεὶς δὲ ὁ Ἰησοῦς, καὶ θεασάμενος αὐτοὺς ἀκολουθοῦντας, λέγει αὐτοῖς· Τί ζητεῖτε; Οἱ δὲ εἶπον αὐτῷ· Ῥαββί, (ὃ λέγεται ἑρμηνευόμενον, Διδάσκαλε,) ποῦ μένεις; Λέγει αὐτοῖς· ἔρχεσθε καὶ ἴδετε. Ἦλθον, καὶ εἶδον ποῦ μένει, καὶ παρ᾽ αὐτῷ ἔμειναν τὴν ἡμέραν ἐκείνην, ὥρα δὲ ἦν ὡς δεκάτη. Ἦν Ἀνδρέας ὁ Ἀδελφὸς Σίμωνος Πέτρου, εἷς ἐκ τῶν δύο τῶν ἀκουσάντων παρὰ Ἰωάννου, καὶ ἀκολουθησάντων αὐτῷ. Εὑρίσκει οὗτος πρῶτος τὸν ἀδελφὸν τὸν ἴδιον Σίμωνα, καὶ λέγει αὐτῷ. Εὑρήκαμεν τὸν Μεσσίαν, ὅ ἐστι μεθερμηνευόμενον ὁ Χριστός· καὶ ἤγαγεν αὐτὸν πρὸς τὸν Ἰησοῦν. Ἐμβλέψας δὲ αὐτῷ ὁ Ἰησοῦς, εἶπε· Σὺ εἶ Σίμων ὁ Υἱὸς Ἰωνᾶ. σὺ κληθήσῃ Κηφᾶς, ὃ ἑρμηνεύεται Πέτρος. Τῇ ἐπαύριον ἠθέλησεν ἐξελθεῖν εἰς τὴν Γαλιλαίαν· καὶ εὑρίσκει Φίλιππον, καὶ λέγει αὐτῷ, ἀκολούθει μοι. Ἦν δὲ ὁ Φίλιππος ἀπὸ Βηθσαϊδά, ἐκ τῆς Πόλεως Ἀνδρέου καὶ Πέτρου. Εὑρίσκει Φίλιππος τὸν Ναθαναήλ, καὶ λέγει αὐτῷ· ὃν ἔγραψε Μωσῆς ἐν τῷ νόμῳ, καὶ οἱ Προφῆται, εὑρήκαμεν Ἰησοῦν, τὸν Υἱὸν τοῦ Ἰωσήφ, τὸν ἀπὸ Ναζαρέτ. Καὶ εἶπεν αὐτῷ Ναθαναήλ.

Ἐκ Ναζαρὲτ δύναταί τι ἀγαθὸν εἶναι; Λέγει αὐτῷ Φίλιππος· ἔρχου, καὶ ἴδε. Εἶδεν ὁ Ἰησοῦς τὸν Ναθαναὴλ ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει περὶ αὐτοῦ· Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι. Λέγει αὐτῷ Ναθαναήλ· πόθεν με γινώσκεις; Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· Πρὸ τοῦ σε Φίλιππον φωνῆσαι, ὄντα ὑπὸ τὴν συκῆν, εἶδόν σε. Ἀπεκρίθη Ναθαναήλ, καὶ λέγει αὐτῷ· Ῥαββί, σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, σὺ εἶ ὁ Βασιλεὺς τοῦ Ἰσραήλ. Ἀπεκρίθη ὁ Ἰησοῦς, καὶ εἶπεν αὐτῷ· ὅτι εἶπόν σοι, εἶδόν σε ὑποκάτω τῆς συκῆς, πιστεύεις; μείζω τούτων ὄψει. Καὶ λέγει αὐτῷ. Ἀμὴν ἀμὴν λέγω ὑμῖν· ἀπ' ἄρτι ὄψεσθε τὸν Οὐρανὸν ἀνεῳγότα, καὶ τοὺς Ἀγγέλους τοῦ Θεοῦ ἀναβαίνοντας, καὶ καταβαίνοντας ἐπὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου. Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν.

# ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ.

Ἔχων ἡμέρας λα΄. Ἡ ἡμέρα ἔχει ὥρας θ΄. καὶ ἡ νὺξ ὥρας ιε΄.

Εἰς τὴν α΄. Τοῦ Ἁγίου Προφήτου Ναούμ. ζήτει τὴν Ἀκολουθίαν εἰς Προφήτην.

Μηνὶ τῷ αὐτῷ β΄.

Τοῦ Ἁγίου Προφήτου Ἀββακούμ. ζήτει τὴν Ἀκολουθίαν εἰς Προφήτην.

Μηνὶ τῷ αὐτῷ γ΄.

Τοῦ Ἁγίου Προφήτου Σοφονίου. Ὁμοίως.

Μηνὶ τῷ αὐτῷ δ΄.

Τῆς Ἁγίας Μάρτυρος Βαρβάρας, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Εἰς τὸ Λυχνικόν, ἡ συνήθης στιχολ.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν, στίχ. ϛ΄. καὶ ψάλλομεν στιχ. προσόμοια, τῆς Ἁγίας γ΄. ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὅτε ἐν σταδίῳ τῷ φρικτῷ, Ἰουλιανὴ διεσκόπει ἡ παμμακάριστος, Μάρτυρα τὴν ἔνδοξον, Βαρβάραν μάστιξιν, ἐναθλοῦσαν βασάνοις τε, ποικίλοις τὸ σῶμα, ἅπαν συγκοπτόμενον, θερμοῖς τοῖς δάκρυσι. Λόγε τοῦ Θεοῦ ἀνεβόα, ταύτης κοινωνόν με γενέσθαι, ἄρτι καταξίωσον φιλάνθρωπε.

Μίαν ἡ Βαρβάρα ἀληθῶς, Ἰουλιανή τε τὴν γνώμην, πρὸς τὴν εὐσέβειαν, ἔχουσαι αἱ Ἅγιαι, κατηγωνίσαντο, τοῦ ἐχθροῦ, καὶ νικήσασαι, αὐτὸν κατὰ κράτος, δόξης ἠξιώθησαν, παρὰ Χριστοῦ τοῦ Θεοῦ. ὅθεν λοιμικῶν παθημάτων, λώβην ἀφανίζουσαι πᾶσι, τοῖς πιστοῖς παρέχουσιν ἰάματα.

Ὅτε ἀπεφάνθη κατὰ σοῦ, Μάρτυς σεμνοτάτη Βαρβάρα, ὁ γλυκὺς θάνατος, χαίρουσα καὶ ᾄδουσα, τὸν δρόμον ἤνυσας. ἀσεβοῦς δὲ γεννήτορος, χερσὶ παρανόμοις, τέθυσαι, καὶ κάρπωμα, Θεῷ προσενήνεξαι. ὅθεν ταῖς φρονίμοις παρθένοις. ὄντως συγχορεύουσα βλέπεις, Χριστοῦ τοῦ Νυμφίου σου τὴν ἔλλαμψιν.

Ἕτερα στιχ. τοῦ Ὁσίου, ἦχος πλ. δ΄.

Τί ὑμᾶς καλέσωμεν.

Τί σε ὀνομάσωμεν Ἅγιε; Θεολόγον Ἰωάννην, ἢ Δαβὶδ τὸν μελῳδόν; πνευματέμφορον κινύραν, ἢ αὐλὸν ποιμαντικόν; γλυκαίνων ἀκοήν τε καὶ διάνοιαν. εὐφραίνων Ἐκκλησίας τὰ συστήματα. τοῖς μελιρρύτοις σου φθέγμασι, καταγλαΐζων τὰ πέρατα. ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε ὀνομάσω θεσπέσιε, Ἰωάννη γλυκόρρημον, φαεινότατε ἀστήρ; ὁ τῇ αἴγλῃ τῆς Τριάδος, ἐλλαμφθεὶς τὸ ὀπτικόν. εἰσέδυς εἰς τὸν γνόφον τὸν τοῦ Πνεύματος, τοῦ θείου ἐμυήθης τὰ ἀπόρρητα. ὡς Μωϋσῆς διεσάφησας, τὴν μουσικὴν καλλιέπειαν. ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε ὀνομάσω ἀοίδιμε; δᾳδοῦχον φωσφόρον, Ἐκκλησίας ὑφηγητήν; λειτουργὸν ἢ θεωρόν, τῶν μυστηρίων τοῦ Θεοῦ; ἀστέρα Ἐκκλησίαν ἀγλαΐζοντα; λυχνίαν, τοὺς ἐν σκότει καταλάμποντα; ἢ ὄργανον εὐηχέστατον; ἢ σάλπιγγα καλλικέλαδον; ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. β΄.

Πατρίδα, Γένος, ὕπαρξιν, καταλιποῦσα Βαρβάρα, καὶ τὸν ἀσεβῆ πατέρα μισήσασα, Θεὸν ἠγάπησας, ᾧ ἐνυμφεύθης, καὶ γέγονας μεγαλέμπορος κληθεῖσα. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός. Τριήμερος.

Τὸ ὄμμα τῆς καρδίας μου, ἐκτείνω πρὸς σὲ Δέσποινα· μὴ παρίδῃς τὸν μικρόν μου στεναγμόν, ἐν ὥρᾳ ὅταν κρίνῃ, ὁ σὸς Υἱὸς τὸν Κόσμον, γενοῦ μοι σκέπη καὶ βοήθεια.

Σταυ-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἄμεμπτος ὡς εἶδέ σε, ἐπὶ σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα, ἀνεβόα μητρικῶς· Υἱέ μου καὶ Θεέ μου, γλυκύτατόν μου τέκνον, μὴ καταλίπῃς με τὴν δούλην σου.

Εἰς τὸν στ. ἀπ. τοῦ Ὁσίου Ἰωάννου. ἦχος πλ. δ.

Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Ἰωάννη πάνσοφε, τὴν Ἐκκλησίαν Χριστοῦ, κατεφαίδρυνας ᾄσμασιν, ἐνθεαστικώτατα, μελῳδῶν παναοίδιμε. τῇ ἐνεργείᾳ, Πάτερ τοῦ Πνεύματος, τὴν σὴν κινύραν ἀνακρουόμενος, τὴν παναρμόνιον, τοῦ Δαβὶδ μιμούμενος· ἣν ἐνηχῶν, θείοις μελῳδήμασι, πάντας κατέθελξας.

Πάτερ Ἰωάννη ἔνδοξε, τῆς κοσμικῆς ἀποστάς, ταραχώδους συγχύσεως, τοῦ Χριστοῦ προσέδραμες, τῇ γαλήνῃ πανόσιε. καὶ θεωρίας θείας καὶ πράξεως, τὰς πανολβίους σαφῶς λαμπρότητας, ὄντως ἐπλούτησας, καὶ πιστοῖς μετέδωκας. θεοπρεπεῖ, βίῳ λαμπρυνόμενος μακαριώτατε.

Δεῦτε γηγενεῖς ἐν ᾄσμασι, τὴν ἱερὰν καὶ σεπτήν, τοῦ ὁσίου πανήγυριν, Ἰωάννου σήμερον, εὐσεβῶς ἀνυμνήσωμεν. οὗτος γὰρ ὄντως, θείας ἐλλάμψεως, κατηξιώθη τὸ φῶς εἰσδέξασθαι. ὢ τῆς ἀφάτου σου, εὐσπλαγχνίας Κύριε, δι' ἧς ἡμᾶς, ἔγνωμεν δοξάζειν σε τὸν ὑπεράγαθον.

Δόξα. Ἰδιόμελον τοῦ Ὁσίου, ἦχος πλ. β.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν, ὁ φθόγγος τῶν κατορθωμάτων σου. διὸ ἐν τοῖς Οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου. τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας. τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα· ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. παρρησίαν ἔχων πρὸς Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον, ἦχος ὁ αὐτός.

Τριήμερος ἀνέστης Χριστέ.

Παρθένε παναμώμητε, δυσώπησον ὃν ἔτεκες, ὅπως σώσῃ, ἅπαν γένος τῶν βροτῶν· καὶ γὰρ σὲ Θεοτόκον, καὶ γλώσσῃ καὶ καρδίᾳ, ὁμολογοῦμεν Μητροπάρθενε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἀνομώτατον, ἀδίκως καθηλωθέντα σε, ἐπὶ ξύλου, ἡ Παρθένος καὶ ἁγνή, καὶ Μήτηρ σου ὁρῶσα, ὡς Συμεὼν προέφη, τὰ σπλάγχνα Σῶτερ διετέτρωτο.

Τροπάριον, τῆς Ἁγίας, ἦχος δ.

Ἡ Ἀμνάς σου Ἰησοῦ, κράζει μεγάλῃ τῇ φωνῇ. σὲ Νυμφίε μου ποθῶ, καὶ σὲ ζητοῦσα ἀθλῶ· καὶ συσταυροῦμαι καὶ συνθάπτομαι τῷ βαπτισμῷ σου. καὶ πάσχω διὰ σέ, ὡς βασιλεύσω σὺν σοί· καὶ θνήσκω ὑπὲρ σοῦ, ἵνα καὶ ζήσω ἐν σοί. ἀλλ' ὡς θυσίαν ἄμωμον, προσδέχου τὴν μετὰ πόθου τυθεῖσάν σοι· αὐτῆς πρεσβείαις ὡς ἐλεήμων, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ τοῦ Ὁσίου, ἦχος πλ. δ.

Ὀρθοδοξίας ὁδηγέ, εὐσεβείας Διδάσκαλε, καὶ σεμνότητος. τῆς οἰκουμένης ὁ φωστήρ· τῶν μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα· Ἰωάννη σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων. ὁ Κανὼν τῆς Ἁγίας, καὶ τοῦ Ἁγίου συνημμένος.

Ὠδὴ α'. ἦχος β'. Ἐν βυθῷ κατέστρωσε.

Τριὰς ὑπέρθεε σεπτή, ἡ τῶν ὑπὲρ εὔνοιαν, τὴν δωρεὰν σοῖς ἱκέταις βραβεύουσα, φωτοφόρον ἔμπνευσον, τῇ ζοφώδει μου διανοίᾳ ἀμάρυγμα, τὴν σὴν εὐφημῆσαι, Μάρτυρα Βαρβάραν τὴν ἀοίδιμον.

Ἐγκωμίων ἅπαντα θεσμόν, ὄντως ὑπερβέβηκε, τῶν σῶν Μαρτύρων, ἡ δόξα φιλάνθρωπε. ἀλλὰ τὸ ἐκ πίστεως, κατὰ δύναμιν δεδεγμένος ἐφύμνιον, ἀντικαταπέμποις, Δέσποτα πλουσίως τὴν ἀντίδοσιν.

Ἐκ ἀνθώδους ῥίζης ἐκφυέν, ῥόδον ἱερώτατον, τὴν Ἐκκλησίαν Χριστοῦ εὐωδίασεν, ἡ τῷ ἐρυθήματι, τῆς ἀθλήσεως φοινιχθεῖσα δι' αἵματος, ἔνδοξος Βαρβάρα· ἣν ὑπερ ἐπαξίως μακαρίζομεν. Τοῦ Ὁσίου. Ὅμοιος.

ΨΩ, τοῖς σοῖς ἐπαίνοις ἐγχειρεῖν, μέλλοντι παρεῖναί σου, ἔδει φωνὴν τὴν μελίρρυτον Ὅσιε· δι' ἧς τὴν ὀρθόδοξον, κατεφαίδρυνας Ἐκκλησίαν τοῖς ᾄσμασι, Πάτερ Ἰωάννη. ἥτις σου γεραίρει τὸ μνημόσυνον.

Ὡς σοφὸς ἀγχίνους καὶ κριτής, τὴν τῶν ὄντων ἄριστα, φύσιν σκοπῶν τῶν ἀστάτων προέκρινας, τὰ διαιωνίζοντα· τῶν προσκαίρων γὰρ ἀντηλλάξω τὰ κρείττονα, Πάτερ Ἰωάννη. ὅθεν σε καὶ νῦν Χριστὸς ἐδόξασεν. Θε.

Τὸ σωθῆναι πόθον μοι ἐνθείς, ὄφις ὁ παμπόνηρος, τῷ πλαστουργῷ, ὡς αἰχμάλωτον ἥρπασε. διὰ σοῦ δὲ Πάναγνε, ἀνακλη-



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

κλημαι, θεωθεὶς ἀληθέστατα. σὺ γὰρ Θεομήτωρ, τὸν ἐμὲ θεώσαντα γεγέννηκας.

Ὠδὴ γ΄. Ἐξηνθήσεν ἡ ἔρημος.

Τετρωμένη τοῦ πόθου σου, ὡς Νυμφίου Δέσποτα, τῷ γλυκυτάτῳ βέλει, ἡ ἀθληφόρος Βαρβάρα ἅπασαν, πατρικὴν ἀθεΐαν ἐβδελύξατο.

Οὐ τρυφῆς ἡ τερπνότης, οὐκ ἄνθος κάλλους πλοῦτός τε, οὐχ ἡδοναὶ νεότητος, ἔθελξάν σε Βαρβάρα εὔδοξε, τῷ Χριστῷ νυμφευθεῖσαν καλλιπάρθενε.

Πρὸς τελείους ἀγῶνας, οὐδὲν ἐδείχθη κώλυμα, τὸ ἀσθενὲς τοῦ θήλεος, οὐ τὸ νέον τῆς ἡλικίας Χριστέ, ἀκηράτῳ σθένει σου δυναμούμενον.

Τοῦ Ὁσίου.

Ἐσκόρπισας τὸν πλοῦτον, Θεῷ δανείζων ὅθεν σοι, τῶν Οὐρανῶν ἡτοιμάσθη, βασιλεία. ἀλλὰ καὶ νῦν ἀμοιβὴν, Ἰωάννη ἐδέξω πολυπλάσιον.

Τῆς σοφίας τὸ τάλαντον, δεδεγμένος πράξεσι, κατακοσμεῖς ἀοίδιμε, Ἰωάννη τὴν Ἐκκλησίαν Χριστοῦ· ὃν πολυπλασιάζεις, καὶ τὸν βίον λιπών.

Θεοτοκίον.

Τὰ τάγματα ἐξέστησαν, τῶν Ἀγγέλων πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν, αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου. διό σε Θεοτόκον πιστοὶ σέβομεν.

Κάθισμα τῆς Ἁγίας, ἦχος γ΄. Τὴν ὡραιότητα.

Ἐν τῇ ἀθλήσει σου, πάντας ἐξέπληξας, ὅτι ὑπέμεινας τὰς τῶν τυράννων πληγάς. δεσμὰ βασάνους φυλακὰς, Βαρβάρα πανοίδιμε. ὅθεν καὶ τὸν στέφανον, ὁ Θεός σοι δεδώρηται, ὅνπερ ἐπεπόθησας. ψυχικῶς καὶ προσέδραμες. αὐτὸς καὶ τὰς ἰάσεις παρέχει, πᾶσι τοῖς πιστῶς προσιοῦσί σοι.

Ἕτερον, ἦχος δ΄. Ὁ ὑψωθείς.

Τὸν Νυμφίον σου Χριστὸν ἀγαπήσασα, τὴν λαμπάδα σου φαιδρῶς εὐτρεπίσασα, ταῖς ἀρεταῖς διέλαμψας πανεύφημε. ὅθεν εἰσελήλυθας, σὺν αὐτῷ εἰς τοὺς γάμους. τὸ στέφος τῆς ἀθλήσεως, παρ᾽ αὐτοῦ δεξαμένη. ἀλλ᾽ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, τοὺς ἐκτελοῦντας Βαρβάρα τὴν μνήμην σου.

Ἄλλος τοῦ Ὁσίου.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὑμνοῦμεν τοὺς σεπτοὺς, καὶ ἁγίους ἀγῶνας, οὓς ἔτλης ἀληθῶς, ὑπὲρ τῆς Ἐκκλησίας. γεραίροντες ἐν ᾄσμασι, τὰ σεπτὰ μελῳδήματα, ἃ κατέλιπες, εἰς ὑμνῳδίαν Κυρίου, ἀξιάγαστε, καὶ τῶν πιστῶν εὐφροσύνην, Ἰωάννη πανθαύμαστε.

Ἕτερον, ἦχ. πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὴν τοῦ βίου ἀπάτην ἀποκρουσάμενος, τὸν Σταυρὸν τοῦ Κυρίου ἀναλαβόμενος, ἀθλητικῶς τὸν πονηρὸν κατεπάλαισας· τῆς ἐρήμου πολιστὴς, φωστὴρ τοῦ Κόσμου νοητὸς, ἀναδειχθεὶς θεοφόρε. διὸ πρέσβευε τῷ Σωτῆρι, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον. Ὅμοιον.

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄσπορος τόκος ὁ τῆς γεννήσεως, ἐν σοὶ ἐγνωρίσθαι ἁγνὴ ἀειπάρθενε. καταπλήττει μου τὸν νοῦν, καὶ ἐξιστᾷ τὸν λογισμὸν, ἡ δόξα σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλουμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Σταυροθεοτόκιον. Ὅμοιον.

Τῷ Σταυρῷ τοῦ Κυρίου παρισταμένη ποτὲ, θρηνῳδοῦσα ἐβόα ἡ ἀειπάρθενος. οἴμοι τέκνον μου, ὦ φῶς τὸ τῶν ἐμῶν ὀφθαλμῶν. πῶς ἐπάθης ἐν Σταυρῷ, ὁ ἐκτείνας θεϊκῶς, τὸν Οὐρανὸν ὡσεὶ δέῤῥιν· καὶ ἐκ θαλάσσης ἀνάγων, πηγὰς ὑδάτων τῷ σῷ προστάγματι.

Ὠδὴ δ΄. Ἐλήλυθας, ἐκ Παρθένου.

Ἐκ Παρθένου, γεννηθεὶς ἐδωρήσω νεάνισι, παρθένοις τὸ φρύαγμα, καταβαλεῖν τοῦ ἀλάστορος. ὅθεν ἡ καλλίνικος, Βαρβάρα τούτου τὸ θράσος κατεπάτησε.

Τῷ Σταυρῷ σου, τοῦ θανάτου τὴν δύναμιν ἔλυσας. ἐντεῦθεν τοῦ σώματος, Κόρη Χριστὲ ἀφειδήσασα, φέρει γενναιότατα, τοὺς αἰκισμοὺς ἡ Βαρβάρα, στεῤῥοτάτῃ φρενί.

Ἡ Προμήτωρ, μηχαναῖς τοῦ δολίου θελχθεῖσα τὸ πρὶν, τρυφῆς ἐξωστράκισται, τοῦ Παραδείσου, Βαρβάρα δὲ, τοῦτον ἐκφαυλίσασα, ἐν οὐρανίῳ νυμφῶνι νῦν αὐλίζεται.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Διατάξεσι Χριστοῦ, πειθαρχήσας κατέλιπες, τοῦ Κόσμου τερπνότητα, πλοῦτον, τρυφὴν, περιφάνειαν, ᾧ τινι ἀράμενος, τὸν σὸν σταυρὸν Ἰωάννη ἠκολούθησας.

Συμπτωχεύσας, εἰς βροτῶν σωτηρίαν πτωχεύσαντι, Χριστῷ συνδεδόξασαι, ὥσπερ αὐτὸς ἐπηγγείλατο· καὶ συμβασιλεύεις δὲ, τῷ εἰς ἀεὶ, Ἰωάννη, βασιλεύοντι.

Θεοτοκίον.

Σὲ λιμένα, σωτηρίας καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα. σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέρροιας

Ὠδὴ ή. Μεσίτης Θεοῦ.

Θρεισὶ τρισὶ, τὸ λουτρὸν φωτίζεσθαι κελεύσασα, μυστικῶς διέγραψας, βάπτισμα Βαρβάρα, τῆς Τριάδος φωτὶ, τὸ ψυχῆς σελασφόρον, ὑπάρχον καθαρτήριον.

ΜΑνίαν δεινὴν, τοῦ πατρὸς ἐκκλίνουσαν Βαρβάραν χιοθὲν, εὐθὺς ὑπεδέξατο, ὄρος ὥσπερ πάλαι τὴν ἀοίδιμον, Πρωτομάρτυρα Θέκλαν, Χριστοῦ τερατουργήσαντος.

ΤΟῦ ὄντως Θεοῦ, πυρωθεῖσα ζήλῳ ψευδωνύμων θεῶν, εἰς αἴσχρα ἐνέπτυσε, πρόσωπα Βαρβάρα ἡ πανεύφημος, καταπαίζουσα κόρη, τοῦ δῆθεν κοσμοκράτορος.

Τοῦ Ὁσίου.

ΤΩ φόβῳ Χριστοῦ, Πάτερ στοιχούμενος πρὸς θείαν ζωὴν, τῆς σαρκὸς τὸ φρόνημα, ὅλον καθυπέταξας τῷ πνεύματι, τὰς σαυτοῦ Ἰωάννη, αἰσθήσεις καθαιρόμενος.

ΚΑθάρας παντὸς, μολυσμοῦ τὸ σῶμα, καὶ ψυχὴν καὶ τὸν νοῦν, ἐμμελῶς θεόσοφε, αἴγλην ὑπεδέξω τὴν τρισήλιον, Ἰωάννη λαμπροῖς σε, πλουτίζουσαν χαρίσμασι.

Θεοτοκίον.

ΔΥσώπει τὸν σὸν, Υἱὸν καὶ Κύριον, Παρθένε Ἁγνὴ, αἰχμαλώτοις λύτρωσιν, τῆς ἐξ ἐναντίας περιστάσεως, ἐπὶ σοὶ πεποιθόσιν, εἰρηνικὴν δωρήσασθαι.

Ὠδὴ ς', Ἐν ἀβύσσῳ πταισμάτων.

ὩΣ ὑπέχου σοφίαν δεδώρησαι, Σῶτερ θεοδίδακτον, τοῖς ὑπὲρ σοῦ ἑστῶσι, δικαστικοῦ πρὸ βήματος· ἧς Βαρβάρα ἡ Μάρτυς ἐμπέπλησαι.

ΤΩν ἀθέων τὴν πλάνην διήλεγξε, λόγῳ θεοσόφῳ, Βαρβάρα ἡ εὔδοξος, ὑπομονῇ τῶν ἔργων δὲ τῶν τυράννων, τὰς φρένας ἐξέστησεν.

ΑΙκισμοῖς ἀφειδῶς καταξαίνεσθαι, ῥάκεσι τριχίνοις ἀπόνως συντρίβεσθαι, διὰ Χριστὸν ἡ ἄμεμπτος, Ἀθληφόρος τὸ σῶμα προδίδωσιν.

Τοῦ Ὁσίου.

ἘΛλαμφθεὶς τῇ τοῦ Πνεύματος χάριτι, θείων ἀνθρωπίνων τε, γνῶσιν πραγμάτων τρανῶς, πεπλουτηκὼς, τοῖς χρῄζουσιν, Ἰωάννη ἀφθόνως μετέδωκας.

ἘΦαμίλλοις χοροῖς οὐρανίοις σοφὲ, τῶν Ἐκκλησιῶν ὀρθοδόξως ἐρρύθμισας, χοροστασίας ᾄσματα, προσφωνῶν τῇ Τριάδι θεόφθεγκτα.

Θεοτοκίον.

ἈΠαράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις, Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Κοντ. ἦχος δ', Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΩ, ἐν Τριάδι εὐσεβῶς ὑμνουμένῳ, ἀκολουθήσασα Χριστῷ ἀθληφόρε, τὰ τῶν εἰδώλων ἔσβεσας σεβάσματα. μέσον δὲ τοῦ σκάμματος, ἐναθλοῦσα Βαρβάρα, τυράννων οὐ κατέπτηξας, ἀπειλὰς ἀνδρειόφρων. μεγαλοφώνως μέλπουσα ἀεὶ, Τριάδα σέβω τὴν μίαν Θεότητα.

Ὁ Οἶκος.

ΤΗν νυμφευθεῖσαν τῷ Χριστῷ διὰ τοῦ μαρτυρίου Βαρβάραν, συνελθόντες τιμήσωμεν ἀξίως· ὅπως αὐτῆς ταῖς προσευχαῖς, λύμης ψυχοφθόρου λυτρωθέντες, καὶ λοιμοῦ, σεισμοῦ καὶ καταπτώσεως, τὸν βίον ἐν εἰρήνῃ διέλθωμεν· καταξιωθέντες μετὰ πάντων τῶν Ἁγίων, τῶν ἀπ' αἰῶνος εὐαρεστησάντων, διάγειν ἐν φωτὶ, καὶ μέλπειν ἀξίως. Ἐθαυμάστωσας Σῶτερ τὰ σὰ ἐλέη πᾶσι τοῖς πιστοῖς, τοῖς πίστει ὁμολογοῦσι. Τριάδα σέβω τὴν μίαν Θεότητα.

Κοντ. ἕτερον. ἦχος β'. Χειρόγραφον εἰκόνα.

ΤΗν χάριν τῶν θαυμάτων κομισαμένη, παρέχεις τὰς ἰάσεις τοῖς ἐν ἀνάγκαις. καὶ λυτροῦσαι πάντα ἄνθρωπον, λοιμικῆς νόσου πάντοτε. διὸ σου τὸν ναὸν καταλαβόντες, μέλπομεν τὴν σὴν μνήμην βοῶντες· λύτρωσαι τοὺς σοὺς δούλους, ἐκ λοιμικῆς ἀσθενείας, παρθενομάρτυς Βαρβάρα, ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Ὁ Οἶκος.

ἜΧοντες ἰατρεῖον τὸν οἶκον τῆς Ἀθληφόρου, ἐν τούτῳ δεῦτε σπουδαίως προσέλθωμεν φιλομάρτυρες, ἵνα λάβωμεν πάντες τὴν χάριν τῶν ἰαμάτων, ἀπαλλαγέντες ἐκ πάσης λοιμικῆς νόσου καὶ θλίψεως. καὶ ἰαθέντες λοιπὸν προσμένωμεν, καὶ ἴδωμεν τῆς Παιδὸς τὴν γέννησιν, τὴν πατρίδα, καὶ τὴν αὔξησιν. πατρὸς μὲν ἀσεβοῦς, γόνος ἅγιος ἐξέφυσεν, ὡραιοτάτη δὲ Νύμφη τοῦ Χριστοῦ· ἐν ᾧ καὶ τὴν παρθενίαν ἐφύλαξεν ἀμίαντον, ὥσπερ προῖκα αὐτῷ προσενέγκασα τῷ Νυμφίῳ. ᾗ καὶ κράζομεν· Παρθενομάρτυς Βαρβάρα, φύλαττε ἡμᾶς ταῖς πρὸς Κύριον πρεσβείαις σου.

Τῷ αὐτῷ Μηνὶ δ'. Ἡ Ἄθλησις τῆς Ἁγίας Μεγαλομάρτυρος Βαρβάρας.

Στίχ. Ὁ σὸς Πατὴρ κτείνας σε μάρτυς τῷ ξίφει,
Σφοδρῷ κεραυνῷ κατεβλήθη, Βαρβάρα.
Βαρβάρα ἀμφὶ τετάρτῃ χερσὶ τοκῆος ἐτμήθη.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Αὕτη ὑπῆρχεν ἐπὶ Μαξιμιανοῦ τοῦ Βασιλέως, τῶν ἀφ' ἡλίου ἀνατολῶν, Θυγάτηρ Διοσκόρου τινὸς Ἕλληνος, καὶ τὰ ἑξῆς.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου Μοναχοῦ καὶ Πρεσβυτέρου τοῦ Δαμασκηνοῦ.

Στί. Πλήσας μελῶν γῆν ἡδέων Ἰωάννης,
Κἀν Οὐρανοῖς ᾄδεσι συνθεῖναι μέλη.

Οὗτος ἦν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ Ἰσαύρου, καὶ Κωνσταντίνου τοῦ Υἱοῦ αὐτοῦ, ἐκ Δαμασκοῦ τῆς Πόλεως, ἐκ γένους περιφανοῦς, καὶ τῇ ὀρθοδόξῳ διαπρέποντος πίστει. Τυχὼν δὲ καὶ φιλαρέτου Πατρός, ἐπαιδεύθη πᾶσαν τὴν Ἑλληνικὴν ἐγκύκλιον παίδευσιν, καὶ τὸν βυθὸν τῆς θεοπνεύστου Γραφῆς καλῶς ἐξηρεύνησε· τὸν μονήρη δὲ βίον μετὰ Κοσμᾶ τοῦ μακαριωτάτου, τοῦ συναναστραφέντος αὐτῷ, γεγονότος δὲ ὕστερον Ἐπισκόπου Μαϊουμᾶ, ὑπῆλθε. Οὗτοι οὖν, καὶ ἄμφω παρ' ἑνὸς διδασκάλου ἐξεπαιδεύθησαν, Κοσμᾶ κἀκείνου τοὔνομα, καὶ Ἀσηκρίτου ἐπιλεγομένου, ἐξωνηθέντος παρὰ τοῦ Πατρὸς αὐτοῦ, μετὰ καὶ ἑτέρων αἰχμαλώτων. εἰς ἄκρον δὲ σοφίας ἐληλάκασιν, τοιούτου διδασκάλου τυχόντες. Ὧ καὶ ἐμφανισθῆναι κατ' ὄναρ τὴν Ὑπεραγίαν Θεοτόκον λέγεται εἰπεῖν· ἐν ὅσῳ ἔστι ὁ Ἰωάννης σὺν τῷ διδασκάλῳ, ἢ μᾶλλον ἐντέλλεσθαι τῷ αὐτοῦ μαθητῇ Ἰωάννῃ ὕμνους ἐκθεῖναι, εἰς δόξαν τοῦ ἐξ αὐτῆς τεχθέντος ἀπόρως, καὶ καύχημα τῶν ἐκ μέσης καρδίας ὀφειλόντων ταύτην γεραίρειν. Ὃ δὴ καὶ πεποίηκε, τὴν ὑπόθεσιν ταύτην λογογραφίᾳ θέμενος. Ἐπίσης οὖν τὴν ἄσκησιν μετελθόντες, ὁ μὲν μακάριος Κοσμᾶς, πολλὰ συγγράμματα τῇ Ἐκκλησίᾳ καταλελοιπώς, ἐν εἰρήνῃ ἀνεπαύσατο. Ὁ δὲ ἀοίδιμος Ἰωάννης, καὶ αὐτὸς τὰ ὅμοια, καὶ πλεῖστα διαπραξάμενος, καὶ τῇ τῶν λόγων αὐτοῦ δυνάμει, κἀν τῶν γραφῶν σοφαῖς ἀποδείξεσι, πλεῖστα στηλιτεύσας τὴν δυσσεβῆ τῶν Εἰκονομάχων αἵρεσιν, καὶ πολλὰ συγγράμματα τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ καταλελοιπώς, δι' ὧν σχεδὸν παντὸς τοῦ ζητουμένου γνῶσις ἐναργὴς εὑρίσκεται, ἐν γήρᾳ πίονι καταλύει τὸν βίον· ζήσας ἔτη ἑκατὸν πρὸς τοῖς τέσσαρσι.

Ὠδὴ ζ΄. Ἀντίθεον πρόσταγμα.

Ὀργῇ καταλήψεσθαι καὶ ἐξαλείφειν, τὴν θάλασσαν τύραννος, ἀκαίως φρυαττόμενος, ὡς παίγνιον πρόκειται, Βαρβάρας κόρης ποσί· τοῦτον ἐκνευρίσας γὰρ Χριστός, ὥσπερ στρουθίον σαθρὸν ἐδέσμευσε.

Πληγαῖς ἀφορήτοις σου καταξανθέντος, τοῦ σώματος ὅλου τε, βαφέντος ἐν αἱμάτων ῥοαῖς, λαμπάσιν ὑπέμεινας, φλογιζομένη πλευράς, Μάρτυς παναοίδιμε Χριστῷ, εὐαρεστοῦσα, Βαρβάρα ἔνδοξε.

Ὢ τῆς ἀπανθρώπου τε καὶ ἀναλγήτου, τυράννων ὠμότητος, καὶ πλείστης ἀθεότητος. μαστοὺς γὰρ τῆς Μάρτυρος, ὡς ἐν μακέλλῳ δεινῶς, ξίφεσι κατέτεμνον τὸν νοῦν, προσερειδούσης τῷ ζωοδότῃ Χριστῷ.

Τοῦ Ὁσίου, ὁ αὐτός.

Τῷ ζήλῳ πυρούμενος τῶν Θεομάχων, αἱρέσεων ἅπασαν, κακόνοιαν ἀνέτρεψας, συντόνοις συγγράμμασι, διαλευκάνας τρανῶς, πάλαι τὰ σποράδην τοῖς σοφοῖς, ὦ Ἰωάννη συγγεγραμμένα ἰχνῶς.

Θερμῶς ἐστηλίτευσας τῶν δυσωνύμων, τροφίμων τοῦ Μάνεντος, τὴν βλάσφημον ἀσέβειαν, νοθεῦσαι πειράσασαν τὴν Ἐκκλησίαν Χριστοῦ, λόγοις τε, καὶ δόγμασιν ὀρθοῖς, ὦ Ἰωάννη, οἷς περ συντέθεικας. Θεοτ.

Ἁγίων Ἁγίαν σε κατανοοῦμεν, ὡς μόνην κυήσασαν, Θεὸν τὸν ἀναλλοίωτον, Παρθένε ἀμόλυντε, Μῆτερ ἀνύμφευτε· πᾶσι γὰρ ἐπήγασας πιστοῖς, τὴν ἀφθαρσίαν τῷ θείῳ τόκῳ σου.

Ὠδὴ η΄. Κάμινος ποτέ.

Ὤφθη σοι Χριστός, φωτὶ ἐν ἀπροσίτῳ, ἐγκαθειργμένῃ ὦ Βαρβάρα φρουρᾷ· θαῤῥεῖν προτρεπόμενος, καὶ τοὺς μώλωπας ἰώμενος, καὶ χαρμονὴν δωρούμενος. ὅθεν ἀνεπτερώθης, τοῦ σοῦ Νυμφίου τῷ ἔρωτι.

Ἄγγελος φαιδρός, στολὴν φωτοειδῆ σε, διὰ Χριστὸν γεγυμνωμένην σεμνή, Βαρβάρα ἠμφίασεν, ὥσπερ Νύμφην περιάγουσαν τὰ πάθη. τῇ ἐσθῆτι γὰρ Μάρτυς συνεξεδύσω, θείαν ἐκστᾶσα ἀλλοίωσιν.

Δέδεικται σαφῶς, Χριστὲ ἡ πρόῤῥησίς σου, πεπληρωμένη. Πατὴρ τέκνον γάρ, εἰς φόνον προδίδωσιν· αὐτουργός τε τῆς σφαγῆς γεγονώς, ὁ δείλαιος γεννήτωρ τῆς σῆς μάρτυρος οὐρανόθεν, θᾶττον πυρὶ κατηνάλωται.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Ἤλεγξας σαφῶς, ἐγγράφως Ἰωάννη, τοῦ Νεστορίου τὴν διαίρεσιν, Σεβήρου τὴν σύγχυσιν, Μονοθελητῶν παράνοιαν. καὶ πί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σιν μονοενέργητον, φέγγος ὀρθοδοξίας, πᾶσιν ἀστράψας τοῖς πέρασιν.

Ἔσπαρεν ἐχθρὸς, ζιζάνια συνήθης, Αἱρετικῶν ἐν Ἐκκλησίᾳ Χριστοῦ, τὴν τούτου προσκύνησιν, ἀθετεῖσθαι ἐν εἰκόσι σεπταῖς. ἀλλ' εὗρον οὐ νυστάζοντα, πάνσοφε Ἰωάννη, ἀπόρον σε νόθον ἐκτίλλοντα. Θεοτοκίον.

Ὑ'τὸν τοῦ Πατρὸς, ἀχώριστον ἐν μήτρᾳ, θεανδρικῶς πολιτευσάμενον, ἀπόρως συνείλαβες, καὶ ἀφράστως ἀπεκύησας, Θεογεννῆτορ πάναγνε. ὅθεν σε σωτηρίαν, πάντων ἡμῶν ἐπιστάμεθα.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Τὴν ἔνδοξον μέλλουσα, κομίζεσθαι τελέωσιν, διὰ ξίφους Βαρβάρα τοῦ μαρτυρίου σου, σὺν Ἰουλιανῇ τὴν στεφάνων, μαρτυρικῶς καταξιουμένη, φωνῆς θείας ἤκουσας, τελεσούσης τὰς ἐντεύξεις σου.

Πληρῶν σου τὴν αἴτησιν, Βαρβάρα ἀθληφόρε Χριστὸς, τὰς ἰάσεις βραβεύει τοῖς ἐκτελοῦσί σου, πίστει τὴν ἐτήσιον μνήμην, ὡς ἀληθῶς· θαλάσσης γὰρ ψάμμον, τὰ σὰ ὑπερβέβηκεν, εὐκλεῆ τερατουργήματα.

Τῷ σῷ συναφθεῖσα νυνὶ, παντάνακτι νυμφίῳ Χριστῷ, καταστράπτουσα δόξῃ, Βαρβάρα θείου φωτὸς, ἐν ἐπουρανίοις θαλάμοις τοὺς ὑμνητὰς, τοὺς σοὺς ἐποπτεύεις, παθῶν ἀπαλλάττουσα, καὶ προσάγουσα τῷ ζῶντι Θεῷ.

Τοῦ Ὁσίου. Ὁ αὐτός.

Ἐδίδαξας ἅπαντας, τῆς Ἐκκλησίας ᾄδειν Υἱοὺς, ὀρθοδόξως μονάδα τὴν ἐν Τριάδι σεπτὴν, σάρκωσιν τοῦ Λόγου τε θείαν θεολογεῖν, σαφῶς Ἰωάννη, τρανῶν τὰ δυσέφικτα, τοῖς πολλοῖς ἐν ἱεραῖς συγγραφαῖς.

Ἁγίων τὰ τάγματα, ὑμνολογήσας Ὅσιε, τὴν ἁγνὴν Θεοτόκον, Χριστοῦ τὸν Πρόδρομον, αὖθις Ἀποστόλους, Προφήτας, σὺν Ἀσκηταῖς, σοφοὺς Διδασκάλους, Δικαίους καὶ Μάρτυρας, ἐν ταῖς τούτων νυνὶ αὐλίζῃ σκηναῖς. Θεοτοκίον.

Ὡς πόκος πανάμωμε, τὸν ὄμβρον τὸν οὐράνιον, ἐν γαστρὶ δεξαμένη, ἡμῖν ἐκύησας, τὸν τὴν ἀμβροσίαν διδόντα, τοῖς εὐσεβῶς αὐτὸν ἀνυμνοῦσι, καὶ σὲ τὴν πανύμνητον, Θεοτόκον καταγγέλλουσιν.

Ἐξαπος. τῆς Ἁγίας. Ἐν Πνεύματι τῷ ἱερῷ.

Τὴν χάριν τὴν ἰάσεων, ἐκ Θεοῦ δεξαμένη, Βαρβάρα πανοίδιμε, τοῦ ἰᾶσθαι τὰς νόσους, τὴν πίστει προστρεχόντων σοι, τὸν Θεὸν δοξάζουσα, τὸν ἐπὶ πάντων Δεσπότην· ῥῦσαι ταύτης κινδύνων, λοιμικῆς ἀσθενείας, καὶ ψυχικῶν νοσημάτων. Τοῦ Ὁσίου. Ὅμοιον.

Ἀνέτρεψας σοφίᾳ σου, τὰς αἱρέσεις παμμάκαρ, ὦ Ἰωάννη πάνσοφε, καὶ ὀρθόδοξον δόγμα, τῇ Ἐκκλησίᾳ δέδωκας, τοῦ ὀρθῶς δογματίζειν, καὶ δοξάζειν Τριάδα, μονάδα τρισυπόστατον, ἐν μιᾷ τῇ οὐσίᾳ. Θεοτ. Ὅμοιον.

Ἐκύησας Πανάχραντε, τὸν Θεοῦ Θεὸν Λόγον, τῷ Κόσμῳ τὴν σωτήριον, ἐκτελοῦντα πανσόφως, οἰκονομίαν ἄρρητον. διὰ τοῦτό σε πάντες, ὑμνολογοῦμεν ἀξίως, ὡς πρεσβεύουσαν τούτῳ, λυτρωθῆναι ἡμᾶς νόσων, καὶ παντοίων κινδύνων.

Εἰς τοὺς Αἴνους ἱστῶμεν, Στίχ. δ'. καὶ ψάλλομεν Στιχ. ἰδιόμελα τῆς Ἁγίας.

Τὸν α'. καὶ τοὺς τρεῖς δεύτερον. ἦχος α'.

Τῆς γηραιᾶς τρυφῆς τὴν ἀπόλαυσιν ὑπεριδοῦσα, καὶ τοῦ Πατρὸς τὸν ὄλβον ὁμοῦ τε, καὶ δόξαν μισήσασα, τὸν οὐράνιον Νυμφίον ἐπεπόθησας, Βαρβάρα πανοίδιμε. τῷ ξίφει γὰρ τὴν κάραν τμηθεῖσα, σὺν ταῖς φρονίμοις συνεισῆλθες παρθένοις, τῷ Νυμφίῳ Χριστῷ. ὅθεν καὶ τὴν λοιμικὴν νόσον ἐκδιώκουσα, τοὺς πιστοὺς θεραπεύεις, ἐνεργείᾳ τοῦ Πνεύματος. καὶ πρέσβευε ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'. Βυζαντίου.

Ἠσχύνθη ὁ βάσκανος ἐχθρὸς, ὑπὸ γυναικὸς ἡττώμενος, ὅτι τὴν Προμήτορα ἔσχεν ὄργανον πρὸς ἁμαρτίαν. ὁ γὰρ ἐκ Παρθένου σαρκωθεὶς Λόγος τοῦ Πατρὸς, ἀτρέπτως καὶ ἀφύρτως, ὡς οἶδε μόνος αὐτὸς, τὴν κατάραν ἔλυσε τῆς Εὔας καὶ τοῦ Ἀδάμ, Χριστὸς ὁ στεφανώσας ἀξίως, Βαρβάραν τὴν Μάρτυρα· καὶ δι' αὐτῆς δωρούμενος τῷ Κόσμῳ, ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός. τοῦ αὐτοῦ.

Ἡ Θεόκλητος Μάρτυς Βαρβάρα, ἐν τῷ σταδίῳ πάσχουσα ἔλεγε· δεινὰ μὲν τὰ παρόντα κολαστήρια, ὦ δικασταὶ, οὐ προκρίνω δὲ ὅλως τῶν οὐρανίων τὰ ἐπίγεια. διὰ τοῦτο τέμνετε, ξέετε, τὰς σάρκας πυρὶ παραδότε μου. χαίρουσα γὰρ ἄπειμι, πρὸς τὸν Νυμφίον μου Χριστόν· ἧς ταῖς ἱκεσίαις, τὰ ἐλέη σου κατάπεμψον ἡμῖν, καὶ σῶσον τοὺς τὴν ἄθλησιν αὐτῆς ἐκτελοῦντας πιστῶς, μόνε Πολυέλεε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ αὐτός, τῷ αὐτῷ.

Τὴν πανήγυριν σήμερον, τῆς ἀθλοφόρου Βαρβάρας, δεῦτε λαοὶ ὑμνήσωμεν. ταύτην γὰρ οὔτε ξίφος, οὔτε πῦρ, οὔτε ἄλλη βάσανος, οὔτε τοῦ πολυπλόκου Βελίαρ τὰ ἔνεδρα ἐτροπώσαντο. Χριστὸν ἱκέτευε, καλλιμάρτυς πανεύδοξε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. ἦχος πλ. β΄.

Ἀθλητικὴν ὁδεύσασα ὁδόν, προγονικὴν ἐξέφυγες βουλὴν, Βαρβάρα πανσεβάσμιε. καὶ ὡς μὲν παρθένος φρονίμη, λαμπαδηφόρος εἰσῆλθες, εἰς τὰς αὐλὰς τοῦ Κυρίου σου· ὡς δὲ Μάρτυς ἀνδρεία, χάριν ἔλαβες, ἰατρεύειν τῆς σαρκὸς σαθρὰν λύμην. ἀλλὰ καὶ ἡμᾶς τοὺς ἀνυμνοῦντάς σε, ψυχικῶν ἀλγηδόνων ἐκλύτρωσαι, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Καὶ νῦν. Θεοτοκίον. ἦχος ὁ αὐτός.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε· αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Σταυροθεοτοκίον. Τριήμερος ἀνέστης.

Ἐπάγην μὲν ὡς ἄνθρωπος, ἐν ξύλῳ καὶ νενέκρωμαι, καὶ ἐν τάφῳ κατετέθην ὡς θνητός. ὡς δὲ Θεὸς ὦ Μῆτερ, νεκροὺς ἐξαναστήσω, καὶ σὲ δοξάσω τῇ ἐγέρσει μου.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Δόξα, τοῦ Ὁσίου, ἦχος πλ. δ΄.

Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητὴν σε τιμῶμεν Ἰωάννη Πατὴρ ἡμῶν. διὰ γὰρ σοῦ τὴν τρίβον, τὴν ὄντως ἀληθῆ πορεύεσθαι ἔγνωμεν. μακάριος εἶ, τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν. Ἀγγέλων συνόμιλε, δικαίων ὁμόσκηνε καὶ Ὁσίων. μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Σταυροθεοτοκίον. Οἱ Μάρτυρές σου Κύριε.

Οὐ φέρω τέκνον βλέπουσά σε, τὸν τὴν ἐγρήγορσιν πᾶσι διδόντα, ξύλῳ ὑπνώσαντα, ὅπως τοὺς πάλαι, ἐκ παραβάσεως καρποῦ, ὕπνῳ ὀλεθρίῳ ἀφυπνώσαντας, θείαν καὶ σωτήριον ἐγρήγορσιν, παράσχῃς, ἡ Παρθένος, ἔλεγε θρηνῳδοῦσα· ἣν μεγαλύνομεν.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τῶν Κανόνων. Ὠδὴ γ΄. καὶ ς΄. Ἀπόστολον, καὶ Εὐαγγέλιον τῆς Ἁγίας, ζήτει εἰς τὰς κε΄. τοῦ Νοεμβρίου, τῆς Ἁγίας Αἰκατερίνης, τοῦ δὲ Ὁσίου Δαμασκηνοῦ, Ἀπόστολον, καὶ Εὐαγγέλιον, ζήτει εἰς τὰς ιζ΄. τοῦ Ἰανουαρίου, τοῦ Ἁγίου Ἀντωνίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ Ε΄.

Τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν, Σάββα τοῦ Ἡγιασμένου.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. ἢ. καὶ ψάλλομεν στ. προσόμοια. ἦχος πλ. α΄.

Ὅσιε Πάτερ.

Ἀββᾶ θεόφρον, τῶν Ἀγγέλων ἰσοστάσιε. ὁμόσκηνε Ὁσίων, συνόμιλε Προφητῶν, Μαρτύρων, Ἀποστόλων συγκληρονόμε· φῶς τὸ ἀνέσπερον, ᾧ νῦν κατοικῶν, ὃ ταῖς φρυκτωρίαις λαμπόμενος ταῖς θείαις, τῷ ἀκροτάτῳ τῶν ἐφετῶν. ᾧ παρεστὼς παῤῥησίᾳ λελαμπρυσμένος, καὶ ἐνηδόμενος αὐτοῦ ταῖς θεωρίαις, καὶ ἐντρυφῶν αὐτοῦ τῷ κάλλει ἀνενδότως. Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν, εἰρήνην, καὶ μέγα ἔλεος.

Ἀββᾶ παμμάκαρ, ἐγκρατείας λύχνος ἄσβεστος· φωστὴρ τῶν μοναζόντων ὁ διαυγέστατος· ἀγάπης φρυκτωρίαις λελαμπρυσμένος· πύργος ἀκλόνητος τῆς ὑπομονῆς· ἔρασμα καὶ θεῖος τῶν πίστει τιμώντων. τῶν ἰαμάτων ὁ θησαυρός, ὁ πολιστὴς τῆς ἐρήμου ὡς ἀληθῶς ὁ ὡς Παράδεισον αὐτὴν ἔνθεον δείξας, θείους προσφέρουσαν καρποὺς τῶν σῳζομένων. Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν, εἰρήνην, καὶ μέγα ἔλεος.

Ἀββᾶ θεόφρον, ἀρετῶν στύλος ὁ πύρινος· πυρσὸς ὁ ἐκ θαλάσσης, τῆς κοσμικῆς τοὺς λαοὺς, λιμένα πρὸς τὸν θεῖον καθοδηγῶν· πλάνης τὰ πνεύματα ὁ καταβαλὼν· Πνεύματος Ἁγίου τὸ καθαρὸν δοχεῖον. ὁ ποδηγέτης τῶν μοναστῶν, ἠκριβωμένη τε στάθμη τῆς ἐγκρατείας· τῆς ταπεινώσεως περίβλεπτον τὸ ὕψος· κρήνη ἡ βρύουσα ἰάσεων πελάγη. Χριστὸν ἱκέτευε, Χριστὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν, εἰρήνην, καὶ μέγα ἔλεος.

Δόξα. Ἰδιόμελον. ἦχος πλ. β΄.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸ κατ' εἰκόνα τηρήσας ἀλώβητον, νοῦν ἡγεμόνα κατὰ παθῶν ὀλεθρίων, ἀσκητικῶς ἐνστησάμενος, εἰς τὸ καθ' ὁμοίωσιν ὡς δυνατὸν ἀνελήλυθας. ἀνδρικῶς γὰρ τὴν φύσιν ἐκβιασάμενος, ἔσπευσας τὸ χεῖρον καθυποτάξαι τῷ κρείττονι, καὶ τὴν σάρκα δουλῶσαι τῷ πνεύματι. ὅθεν μοναζόντων ἀνεδείχθης ἀκρότης, πολιστὴς τῆς ἐρήμου, ἀθλητῶν ἀλείπτης, κανὼν ἀρετῆς ἀκριβέστατος. καὶ νῦν ἐν Οὐρανοῖς, τῶν ἐσόπτρων λυθέντων μακάριε, καθαρῶς ἐποπτεύεις τὴν ἁγίαν Τριάδα, ἐντυγχάνων ἀμέσως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. τὸ Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. γ΄. 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. οἱ δέ εἰσιν ἐν εἰρήνῃ. καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. ὅτι χάρις, καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. ε΄. 16. Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα. ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. συνεκπολεμήσει αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας. πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἀλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως, ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους Δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς, καὶ συνέτε· μάθετε Δικασταὶ περάτων γῆς· Κεφ. ς΄. 1.
ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται. Κεφ. δ΄. 7.
πολιὰ δέ ἐστι φρόνησις ἀνθρώπων, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη· ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς. ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτὴν, Στιχηρὰ ἰδιόμελα, ἦχος α΄.

Τῷ ξύλῳ τῆς βρώσεως, μὴ ἡττηθεὶς, ὡς οἱ γενάρχαι, παθῶν ἀνώτερος ἐδείχθης, Σάββα Πατὴρ ἡμῶν. ὅθεν καὶ πυρὸς ἐνύλου, τῷ τύπῳ τοῦ Σταυροῦ περιγενόμενος. καὶ τὰς ἐνέδρας πάσας, τῶν ἀοράτων ἐχθρῶν ἐθριάμβευσας. καὶ λαμπρὸς νικητὴς, καὶ στεφανίτης ἀνηγορεύθης, πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Ὁ Μόνος ἐν Ἁγίοις ἀναπαυόμενος Θεὸς, τὴν ἡγιασμένην σου ψυχὴν, καθαρὸν ἀρετῶν καταγώγιον, ἐν αὐτῇ κατῴκησε, καὶ

θείων

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

θείων χαρίτων αὐτὴν ἐνέπλησε. δι' ὧν φωταγωγεῖς τοὺς ὑμνοῦντάς σε, ἡγιασμένε Σάββα μακάριε.

Ὁ αὐτός.

Τὸν ἐπὶ γῆς Ἄγγελον, καὶ ἐν Οὐρανοῖς ἄνθρωπον Θεοῦ, τοῦ Κόσμου τὴν ἀκοσμίαν, τὴν τρυφὴν τῶν ἀγαθῶν, καὶ τῶν ἀρετῶν, τῶν ἀσκητῶν τὸ καύχημα, Σάββαν τιμήσωμεν· πεφυτευμένος γὰρ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἐξηνθήσε δικαίως· καὶ ὡσεὶ κέδρος ἐν ἐρήμῳ, ἐπλήθυνε τὸ ποίμνιον Χριστοῦ, τῶν λογικῶν προβάτων, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ.

Ὁ αὐτός.

Ὅσιε Πάτερ, ἐκ βρέφους τὴν ἀρετὴν ἐπιμελῶς ἀσκήσας, ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος· καὶ παρ' αὐτοῦ λαβὼν τῶν θαυμάτων τὴν ἐνέργειαν, ἔπαυσας τοὺς ἀνθρώπους, καταφρονεῖν τῶν ἡδέων. νῦν δὲ τῷ θείῳ φωτὶ, καθαρώτερον ἐλλαμπόμενος, φώτισον καὶ ἡμῶν τὰς διανοίας, Σάββα Πατὴρ ἡμῶν.

Δόξα, ἦχος ὁ αὐτός. Θεοφάνους.

Τῶν ὑπὲρ νοῦν ἀγαθῶν, δεξάμενος ἔρωτα, πάντα τὰ ἐν Κόσμῳ τερπνὰ, ὑπερεῖδες θεόληπτε· ἐντεῦθεν γὰρ τοῦ καρποῦ οὐχ ἥλως καθάπερ Ἀδάμ. τὸν ὄφιν δὲ ἐναποκρουσάμενος, δι' ἐγκρατείας, Ἀγγελικῶς τὸν βίον διήνυσας. καὶ νῦν ἐν Οὐρανοῖς αὐλίζῃ, ἐναπολαύων τοῦ ξύλου τῆς ζωῆς, Θεὸν ἱλεούμενος ὑπὲρ ἡμῶν, τῶν πιστῶς ἐκτελούντων, ἡγιασμένε Σάββα τὴν μνήμην σου.

Καὶ νῦν, Θεοτοκίον.

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια, ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἀσκητικῶν ἀληθῶς, ἀγωνισμάτων τὸ ἆθλον καμήλιον. Σταυρὸν γὰρ ἐπ' ὤμων ἄρας, καὶ τῷ Δεσπότῃ Χριστῷ, σεαυτὸν παμμάκαρ ἀναθέμενος, σαρκὸς κατεπάτησας, τὸ χαμαίζηλον φρόνημα. ταῖς ἀρεταῖς δὲ, τὴν ψυχὴν κατελάμπρυνας, καὶ πρὸς ἔνθεον, ἀνεπτέρωσας ἔρωτα· ὅθεν τὴν παναγίαν σου, κυκλοῦντες πανεύφημε, λάρνακα Σάββα τῆς θείας, φιλανθρωπίας αἰτούμεθα, τυχεῖν σαῖς πρεσβείαις, καὶ τῷ Κόσμῳ δωρηθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Ἄνθραξ θεοφεγγὴς τῷ πυρὶ, προσομιλήσας θεοφόρε τοῦ Πνεύματος, ἐδείχθης ἐν Κόσμῳ Σάββα, καταλαμπρύνων ψυχὰς, τῶν πιστῶς θεόφρον προσιόντων σοι. πρὸς φῶς ὁδηγῶν αὐτοὺς, τὸ ἀνέσπερον ὅσιε, ἐρημικοὺς δὲ, δροσιζόμενος ἄνωθεν, θείᾳ χάριτι, κατεμάρανας ἄνθρακας. ὅθεν καὶ τὸν τῆς νίκης σοι, προδήλως δεδώρηται, στέφανον Πάτερ τῆς θείας, δικαιοσύνης ὁ πρύτανις, Χριστὸς, ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος.

Κλίμαξ οὐρανομήκης σαφῶς, ἡ πολιτεία σου θεόφρων γεγένηται. δι' ἧσπερ πρὸς ὕψος ἤρθης, καὶ τῷ Δεσπότῃ Χριστῷ, ὁμιλεῖν παμμάκαρ κατηξίωσαι, τὸν νοῦν ἐλλαμπόμενος, ταῖς ἐκεῖθεν ἐλλάμψεσι. μαρμαρυγαῖς δὲ, ταῖς αὐτοῦ φωτιζόμενος, τὴν ἰσάγγελον, ἐκομίσω φαιδρότητα. ᾧ καὶ νῦν παριστάμενος, ἱκέτευε Ὅσιε, τοὺς ἐκτελοῦντας τὴν θείαν, καὶ πανσεβάσμιον μνήμην σου, σὺν σοὶ παραστῆναι, καὶ τῷ Κόσμῳ δωρηθῆναι τὸ μέγα ἔλεος.

Δόξα. Ἰδιόμελον, ἦχος πλ. δ΄.

Τῶν μοναστῶν τὰ πλήθη, τὸν καθηγητήν σε τιμῶμεν Σάββα Πατὴρ ἡμῶν. διὰ γὰρ σοῦ τὴν τρίβον, τὴν ὄντως ἀληθείαν, πορεύεσθαι ἔγνωμεν. μακάριος εἶ τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν. Ἀγγέλων συνόμιλε, Δικαίων ὁμόσκηνε καὶ Ὁσίων. μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτ. Ἀνύμφευτε Παρθένε.

Τροπάριον, ἦχος πλ. δ΄.

Ταῖς τῶν δακρύων σου ῥοαῖς.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. καθισμα. ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Τὸν βίον εὐσεβῶς, ἐπὶ γῆς ἐκτελέσας, δοχεῖον καθαρὸν, σὺ τοῦ Πνεύματος ὤφθης· φωτίζων τοὺς ἐν πίστει σοι, προσιόντας μακάριε· ὅθεν αἴτησαι, τὸν σὸν Δεσπότην φωτίσαι, τὰς ψυχὰς ἡμῶν, τῶν ἀνυμνούντων σε Σάββα, θεόφρων Πατὴρ ἡμῶν. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα. σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν. σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

Μετὰ τὴν β΄. στιχολ. Κάθισμα. ἦχος πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

ΤΟν Σταυρὸν τοῦ Κυρίου ἄρας σοφὲ, καὶ αὐτῷ μέχρι τέλους ἀκολουθῶν, τὸν νοῦν οὐχ ὑπέστρεψας, ἐν τῷ Κόσμῳ θεόσοφε. ἐγκρατείᾳ καὶ πόνοις, τὰ πάθη ἐνέκρωσας· καὶ ναὸν ἡτοίμασας, σεαυτὸν τῷ Κυρίῳ σου. ὅθεν χαρισμάτων, ἀμοιβὴν ἐκομίσω, ἰᾶσθαι νοσήματα, καὶ διώκειν τὰ πνεύματα, θεοφόρε μακάριε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Δίς.

Θεοτοκίον. Ὅμοιον.

ΤΗν σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφράστως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον κατέχοντα· καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα συνέχοντα, τὸν τροφοδότην πάντων, καὶ πλάστην τῆς κτίσεως. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει κραυγάζω σοι, τοῦ ῥυσθῆναι πταισμάτων με, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ κτίστου με. Δέσποινα Παρθένε ἁγνὴ, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι. καὶ γὰρ δύνασαι, ὅσα θέλεις πανάμωμε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. ἦχος πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

ΕΚ γαστρὸς ἡγιάσθης ὡς ἀληθῶς, ἱερώτατε Σάββα καὶ ἐπὶ γῆς, ὡς Ἄγγελος ἐβίωσας, τὴν γὰρ σάρκα ἐνέκρωσας. Εὐθυμίου τὸν βίον, ζηλώσας ἀξίως τε, τῆς Τριάδος ἐδείχθης, θεράπων μακάριε· ὅθεν καὶ πρὸς ζῆλον, τοῦ ἐνθέου σου βίου, χοροὺς συνεκρότησας, μοναζόντων ἀοίδιμε, θεοφόρε πατὴρ ἡμῶν· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι: Δίς. Θεοτοκίον. Ὅμοιον.

ΩΣ πανάμωμος Νύμφη τοῦ ποιητοῦ, ὡς ἀπείρανδρος Μήτηρ τοῦ λυτρωτοῦ, δοχεῖον ὡς ὑπάρχουσα, τοῦ Παρακλήτου πανύμνητε· ἀνομιῶν με ὄντα, αἰσχρὸν καταγώγιον, καὶ δαιμόνων παίγνιον, ἐν γνώσει γενόμενον, σπεῦσον καὶ τῆς τούτων, κακουργίας με ῥῦσαι· λαμπρὸν οἰκητήριον, δι' ἀρετῆς ἀπαρτίσασα, φωτοδόχε ἀκήρατε· δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω μεθέξεως ἀξίωσον, καὶ φωτὸς ἀνεσπέρου πρεσβείαις σου.

Οἱ Ἀναβαθμοί. τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Τό, Πᾶσα πνοή.

Εὐαγγέλιον, ζήτει εἰς τὸν Ὄρθρον τοῦ Μεγάλου Ἀντωνίου.

Ὁ Ν΄. καὶ τὸ Ἰδιόμελον, ἦχος πλ. β΄.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν.

Ὁ Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν, εἰς ϛ΄. καὶ τοῦ Ἁγίου εἰς η΄. οὗ ἡ ἀκροστιχίς.

Τὸν Πανάριστον ἐν Ἀσκηταῖς Σάββαν. ἔξοχα μέλπω.

Ὠδὴ α΄. ἦχος πλ. δ΄. Ἁρματηλάτην.

Ποίημα Θεοφάνους.

ΤΗ φωταυγίᾳ τοῦ Ἁγίου Πνεύματος, Σάββα καταύγασον, τοὺς εὐσεβεῖς πόθῳ, ὕμνοις εὐφημοῦντάς σε, τῶν ἀσκητῶν τὸ καύχημα, μοναζόντων τὸ κλέος, τὸν τῆς ἐρήμου κοσμήτορα, τὸν τῆς παρθενίας διδάσκαλον.

ΟΛον τὸν πόθον πρὸς Χριστὸν ἀνέτεινας, ἀπὸ νεότητος. καὶ πρὸς αὐτὸν ἔχων, πᾶσαν σου τὴν ἔφεσιν, τὰ τῆς σαρκὸς κινήματα, καὶ παθῶν τὰς ἐφόδους, δι' ἐγκρατείας ἐνέκρωσας, Σάββα θεοφόρε πανεύφημε.

ΝΕνικηκὼς τὸν τῷ καρπῷ κρυπτόμενον, ὄφιν ἐπάτησας, καὶ τοὺς αὐτοῦ βρόχους, κούφως ὑπερβέβηκας, θεοσεβείας πτέρυξιν, ἀνιπτάμενος Πάτερ, ζωὴν δὲ χαίρων ἐτρύγησας, ἀπὸ τοῦ φυτοῦ τοῦ τῆς γνώσεως.

ΠΕριλαμπόμενος φωτὶ τῆς χάριτος, τὸ πῦρ εἰσέδραμες, ὥσπερ οἱ τρεῖς Παῖδες, μένεις ἀκατάφλεκτος, σὲ τοῦ Θεοῦ φυλάξαντος, καὶ μηνύοντος πᾶσι, τὴν ἐσομένην σου ὕστερον, Πάτερ προκοπὴν καὶ λαμπρότητα. Θεοτ.

ΑΚατασχέτοις καθ' ἡμῶν ὁ θάνατος, ὁρμαῖς ἐκέχρητο. ἀλλὰ τῷ σῷ τόκῳ, προσεγγίσας ὤλετο, καὶ προσβαλὼν κατήργηται, Θεοτόκε Παρθένε· ζωὴν γὰρ ὄντως ἀΐδιον, σεσωματωμένην γεγέννηκας.

Καταβασία. Χριστὸς γεννᾶται.

Ὠδὴ γ΄. Ὁ στερεώσας κατ' ἀρχάς.

ΝΟῦν ἡγεμόνα τῶν παθῶν, πανόλβιε καταστήσας, βραβευτὴς δικαιοσύνης ἐδείχθης· τῷ γὰρ κρείττονι σαφῶς, τὸ χεῖρον καθυπέταξας, ὅθεν ὡς φοίνιξ Πάτερ, ἐν ταῖς ἐρήμοις ἐξηνθήσας.

ΑΚολουθῆσαι διαγνοὺς, τοῖς ἴχνεσι τοῦ Δεσπότου, μεταναστὴς τῆς Πατρίδος ἐγένου· καὶ τὴν ἔρημον οἰκῶν, τὸ τρόπαιον ἀνέστησας, κατὰ τῶν ἀντιπάλων, θείᾳ δυνάμει ῥωννύμενος.



Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

Ῥωμαλαιότητι φρενῶν, παμμάκαρ ὠχυρωμένος, τὰς ποικίλας τοῦ ἐχθροῦ μεθοδείας, ἐθριάμβευσας σοφέ, καὶ πᾶσιν ἐφανέρωσας. καὶ τὴν ὀφρὺν ἐκείνου, τὴν ἐπηρμένην κατέβαλες.

Ἱλαρωτάτῃ σε ψυχῇ, καὶ προσηνεῖ διαθέσει, ἀρεταῖς κατακοσμούμενον βλέπων, ὁ λαμπρότατος φωστήρ, Εὐθύμιος ἐδέξατο. φωτιστικῶς θεσπίζων, τὴν σὴν παμμάκαρ φαιδρότητα. Θεοτοκίον.

Ὡς πηγὴ ὥφθης δι᾽ ἡμᾶς, τοῦ Λόγου οἰκονομίας, φωτεινὴ σὺ Μητροπάρθενε πύλη, ἐγνωρίσθης ἀληθῶς· σὺ γὰρ ἡμῖν εἰσήγαγες, τὴν νοητὴν ἀκτῖνα. τῆς ὑπερθέου Θεότητος.

Ὠδὴ γ΄. Ἦχος πλ. δ΄. Τὴν σοφίαν καὶ Λόγον.

Τὰ ἐπίγεια πάντα καταλιπών, καὶ ἐν Κόσμῳ ὑπάρχων σωματικῶς, τῷ πνεύματι γέγονας, τῶν Ἀγγέλων συμμέτοχος. τὰ γὰρ παρόντα πάθη, νεκρώσας τοῦ σώματος, τῆς Τριάδος ἐδείχθης, θεράπων μακάριε. ὅθεν καὶ νοσούντων, θεραπεύεις τὰ πάθη, καὶ λόγῳ τὰ πνεύματα, ἀπελαύνεις τῇ χάριτι, θεοφόρε Πατὴρ ἡμῶν· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων. Δίς. Θεοτοκίον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, ἀπὸ βρέφους μολύνας ὁ μιαρός, καὶ λόγοις καὶ πράξεσιν, ἐμαυτὸν κατερρύπωσα· καὶ οὐκ ἔχω τί πρᾶξαι, ἢ ποῦ καταφεύξασθαι. ἀλλ᾽ οὐδὲ ἄλλην ἐλπίδα, πλὴν σοῦ Κόρη ἐπίσταμαι. φεῦ μοι ὁ ἀχρεῖος, διὰ τοῦτο οἰκέτης, πρὸς σὲ τὴν πανάχραντον, νῦν προστρέχω καὶ δέομαι, ὁμολογῶν σοι τὸ ἥμαρτον. πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι. εἰς σὲ γὰρ Παρθένε, τὰς ἐλπίδας ἀνέθηκα.

Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Τὴν τῆς ψυχῆς, ἀνακαθαίρων κατάστασιν, καὶ πλατύνων, θείοις θεωρήμασι, χωρητικὴν, ταύτην ἀληθῶς, θείων χαρισμάτων, εἰργάσω Θεομακάριστε. ἀφῇ δὲ τῶν χειρῶν σου, ἀσθενοῦντας ἰάσω, μιμητὴς τοῦ Δεσπότου γενόμενος.

Ὁ κατὰ σοῦ, Πάτερ δεινῶς θρασυνόμενος, κατεπόθη, ὡς Δαθὰν ὁ δείλαιος, ὡς Ἀβειρὼν ἐξαφανισθείς. σὲ γὰρ ἀοράτως, ἡ θεία χάρις ἐφύλαττε, πολλῶν προνοουμένη, διὰ σοῦ σῳζομένων, καὶ τοῖς σοῖς ἑπομένων διδάγμασι.

Νόμῳ Θεοῦ, παιδαγωγήσας θεσπέσιε, τὰς αἰσθήσεις, πρὸς τὴν κατανόησιν, τῶν ἀσωμάτων καὶ νοητῶν, σοῦ ἐπιτηδείαν, κατέστησας τὴν διάνοιαν· προβαίνων ἀνενδότως, ἀπὸ δόξης εἰς δόξαν, ἐκ δυνάμεως Πάτερ εἰς δύναμιν.

Εὐεργετεῖν, τοὺς ὁμοφύλους προθέμενος, ἐν ἐρήμῳ, πόλεις ᾠκοδόμησας, θεοπρεπεῖς καὶ ψυχωφελεῖς· καὶ ἐν γῇ διψώσῃ, πηγὰς ὑδάτων ἐξήγαγες· καὶ ὄμβρους οὐρανόθεν, παραδόξως θεόφρον, ἐν ἀνύδροις χωρίοις κατήγαγες. Θεοτοκίον.

Νεοθαλὴς, ἀθανασίας Παράδεισος, καὶ ὡραῖος ὄντως ἀναδέδειξαι, ξύλον ζωῆς, ἐν σοὶ φυτευθέν, θεαρχικωτάτως, κυοφοροῦσα καὶ τίκτουσα, τὸ πᾶσιν ἀποστάζον, ζωηφόρους ἐλπίδας, τοῖς πιστῶς Θεοτόκον φρονοῦσί σε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ἀκλινεῖ διανοίᾳ, πρὸς τὸν σὸν ποθούμενον ἀνατεινόμενος. παρ᾽ αὐτοῦ τὴν χάριν, τῶν μεγίστων θαυμάτων τὴν ἄφθονον, ἐκομίσω Πάτερ. καὶ τοὺς πιστῶς προσερχομένους, συμπαθῶς ἐθεράπευσας Ὅσιε.

Ἐαρκικῶν βαρημάτων, ὄγκον ἀποθέμενος, σκεῦος θεόπνευστον, ἐκλογῆς ἐγένου, τοῦ Ἁγίου θεσπέσιε Πνεύματος, ἀποχῇ βρωμάτων, καὶ προσευχῇ καὶ καρτερίᾳ, καὶ ταπεινοφροσύνῃ κοσμούμενος.

Κήρυξ θείων δογμάτων, μεγαλοφωνότατος κεχειροτόνησαι, τῶν συνόδων Πάτερ, τῶν Ἁγίων συνήγορος γέγονας· Βασιλεῖς σοφίζων, οἷς ἐμφανῶς χάριτι θείᾳ, τειχιζόμενος ὤφθης μακάριε.

Ἡ θεόθεν δοθεῖσα, χάρις σοι θεόπνευστε, διαβεβόηται· διεδόθη πᾶσιν, εἰς τὰ τῆς Οἰκουμένης ἀκρότατα, ἐναργεῖς ποιοῦσα, θεοπρεπῶς τὰς ἀποδείξεις, τῶν θαυμάτων τὴν θείαν ἐνέργειαν. Θεοτοκίον.

Τῶν πιστῶν ἡ προστάτις, τεῖχος ἀκατάλυτον τῶν ὑμνούντων σε, ἡ παντὶ τῷ γένει, τῶν ἀνθρώπων φανεῖσα σωτήριος, ὡς Θεὸν τεκοῦσα, σωματικῶς ἐπιφανέντα, τὴν ψυχήν μου διάσωσον πάναγνε.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἀγάπην πρὸς τὸν Θεὸν, καὶ τὸν πλησίον κτησάμενος, τοῦ νόμου καὶ Προφητῶν, πληρῶν τὸ κεφάλαιον. τὴν γὰρ ὑπερέχουσαν, πασῶν ἀσυγκρίτως, ἀρετὴν Πάτερ κατώρθωσας.

Ἰσάγγελον ἐπὶ γῆς, σὺ πολιτείαν κτησάμενος· ἰσάγγελον δὲ τιμήν, Χριστός σοι δεδώρηται, Ἁγίων τὰ τάγματα, συνοδοιποροῦντα, τῇ ψυχῇ σου παραχόμενος.

Σοφίας γόνος ὀφθείς, ἀρχὴν σοφίας ἐπόθησας, τὸν φόβον τὸν τοῦ Θεοῦ· ᾧ καὶ στοιχούμενος, πρὸς τὴν τελειότητα, τὴν ἐνδεχομένην, τοῖς ἀνθρώποις Πάτερ ἔφθασας.

Θεοτοκίον.

Σωτῆρα καὶ λυτρωτήν, Θεὸν τῶν ὅλων καὶ Κύριον, τεκοῦσα διὰ σαρκὸς ἡμῖν ὁμιλήσαντα· διάσωσον Πάναγνε, τοὺς προσκαλουμένους, ἐκ κινδύνων σὲ τὴν Δέσποιναν.

Κοντάκιον. Ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Ὡς ἀπὸ βρέφους τῷ Θεῷ θυσία ἄμωμος, προσενεχθεὶς δι' ἀρετῆς Σάββα μακάριε, φυτουργὸς ἐχρημάτισας εὐσεβείας. ὅθεν πέφυκας ὁσίων ἐγκαλλώπισμα, πολιστής τε τῆς ἐρήμου ἀξιέπαινος. διὸ κράζω σοι· χαῖρε Σάββα πανόλβιε.

Ὁ Οἶκος.

Ὢ Πατέρων ἀκρότης, καὶ Ὁσίων σεμνότης, ἀσκούντων πρὸς Χριστὸν παρρησία, τῆς ἐρήμου πολιοῦχε καὶ φυτουργέ, πῶς ὑμνήσω τὴν σὴν βιοτὴν Ὅσιε; ἀστράπτεις γὰρ τοῖς πέρασιν ὡς Ἥλιος· διὸ βοῶ σοι ταῦτα.

Χαῖρε τερπνὸν Καππαδοκῶν κλέος.
Χαῖρε σεπτὸν Οἰκουμένης γέρας.
Χαῖρε τῆς ἐρήμου τὸ κάλλιστον βλάστημα.
Χαῖρε τῶν Πατέρων τὸ θεῖον ἐντρύφημα.
Χαῖρε, ὅτι τὰ οὐράνια σὺν Ἀγγέλοις κατοικεῖς.
Χαῖρε, ὅτι τὰ ἐπίγεια οὐρανόθεν διοικεῖς.
Χαῖρε τῶν μοναζόντων ἡ εὐθύτης καὶ κανών.
Χαῖρε τῶν ῥαθυμούντων πρὸς Θεὸν ἐγγυητής.
Χαῖρε πηγὴ θαυμάτων θεόβρυτος.
Χαῖρε σεπτὸν τοῦ Πνεύματος ὄργανον.
Χαῖρε, δι' οὗ ἐκοσμήθη Ἑῴα.
Χαῖρε, δι' οὗ τὰ ἑσπέρια λάμπει.
Χαῖρε Σάββα πανόλβιε.

Τῇ αὐτῇ Μηνὶ ε'. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σάββα τοῦ ἡγιασμένου.

Ψυχὴν ὄπισθεν τοῦ Θεοῦ κολλῶν πάλαι,
Ἔμπροσθεν αὐτοῦ, νῦν παρίσταται Σάββας.
Θεσπεσίοιο Πόλου πέμπτῃ Σάββας ἐντὸς εἰσήχθη.

Οὗτος ὑπῆρχεν ἐπὶ Θεοδοσίου τοῦ μικροῦ· χώρας τῶν Καππαδοκῶν, κώμης λεγομένης Μουταλάσκης, Γονέων, Ἰωάννου, καὶ Σοφίας. Εὐθὺς οὖν ἐν ἀρχῇ τοῦ βίου πρὸς τὴν μονήρη κατάστασιν προσδραμών, ἐν Μοναστηρίῳ, Φλαβιαναῖς προσαγορευομένῳ, τοσοῦτον γέγονεν ἐκ πρώτης ἡλικίας ἐγκρατής, ὡς ἐν τῷ κήπῳ ἰδόντα μῆλον, καὶ εἰς ἐπιθυμίαν αὐτοῦ ἐλθόντα, εἰπεῖν· Ὡραῖος ἦν εἰς ὅρασιν, καὶ καλὸς εἰς βρῶσιν, ὁ ἐμὲ θανατώσας καρπός. Καὶ τοῦτο λαβεῖν μὲν ταῖς χερσί, μὴ φαγεῖν δέ, ἀλλὰ τοῖς ποσὶ συμπατῆσαι, καὶ ὅρον ἑαυτῷ θέσθαι, μὴ φαγεῖν ποτε μῆλον. Ἀλλὰ καὶ εἰς κλίβανον πυρὸς εἰσελθών, ἐξῆλθεν ἀβλαβής, μηδὲ τῶν ἱματίων αὐτοῦ τοῦ πυρὸς ἁψαμένου. Ἐν δὲ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς αὐτοῦ ἡλικίας, ἐμφανὴς καθίσταται τῷ μεγάλῳ Εὐθυμίῳ, καὶ παρ' αὐτοῦ πρὸς τὸν ὅσιον Θεόκτιστον ἐν τῷ Κοινοβίῳ πέμπεται. Τούτων ἁπάντων εἷς ἐτύγχανε, τοὺς τρόπους καὶ τὴν ἀρετὴν ἐκλαμβανόμενος καὶ ἀναμανθάνων. Ὃν ὁ μέγας Εὐθύμιος ὁρῶν, διὰ τὴν ὑπερβάλλουσαν ἐν αὐτῷ πνευματικὴν κατάστασιν, Παιδαριογέροντα ἐκάλει. Συμπροϊούσης δὲ αὐτῷ τῆς ἡλικίας, ἐπηύξανε μᾶλλον τὴν ἀρετήν. Ὅθεν καὶ πολλὰ θαύματα κατειργάσατο, καὶ ἐν ἀνύδροις τόποις διὰ προσευχῆς ὕδωρ ἐξήγαγε. Γέγονε δὲ καὶ πολλῶν Μοναχῶν Καθηγητής· καὶ διεπρεσβεύσατο δὶς ἐπὶ τὴν Κωνσταντίνου ἐλθών, παρακληθεὶς ὑπὸ τῶν κατὰ καιρὸν πατριαρχευόντων ἐν Ἱεροσολύμοις, πρός τε τὸν Βασιλέα Ἀναστάσιον, καὶ Ἰουστινιανόν. Φθάσας δὲ εἰς τὸ ἀκρότατον τῆς κατὰ Χριστὸν ἡλικίας, ὡς ἐτῶν γενέσθαι τεσσάρων καὶ ἐνενήκοντα, πρὸς Κύριον ἐξεδήμησεν.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Ἀπέθου τὰ πρόσκαιρα, τῶν αἰωνίων διαμαβόμενος, σὺν Ἀγγέλοις χορεύεις, ὡς τῶν Ἀγγέλων πολιτευσάμενος, τὴν πολιτείαν οἷσπερ καὶ συνέψαλλες· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Βοᾷ χαριστήρια, ἡ σὴ μεγίστη Λαύρα καὶ πάντιμος, οἰκιστήν σε καὶ κτίστην, καὶ πολιοῦχον προβαλλομένη σοφέ. καὶ καυχωμένη κραυγάζει πρὸς Κύριον· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀπαύστως ἱκέτευε, Σάββα θεόφρον ὑπὲρ τῆς ποίμνης σου. ἐκτενῶς ὧν δυσώπει, τοὺς σοὺς καμάτους διαιωνίζειν ἀεί, καρποφοροῦντας τοὺς πόθῳ κραυγάζοντας· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ξύμφωνα παναλ[illegible]αντον, τῆς ὑπὲρ λόγον Λόγου σαρκώσεως, καὶ παστάδα καὶ θρόνον, ὀρθᾶ φρονοῦντες σὲ ὀνομάζομεν· καὶ γεγηθότες τῷ τόκῳ σου ψάλλομεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ἐν εὐφροσύνῃ Ὅσιε, τῶν Ἁγίων τὰ τάγματα, τῇ καθαρωτάτῃ σου ψυχῇ προστρέχουσιν, ὡς τόπον ἀνέσεως, εἰς φωτεινὰ σκηνώματα. ἔνθα τῶν Ἁγίων, οἱ χοροὶ ποδηγοῦνται. μεθ' ὧν νῦν ἀναμέλπεις· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ξένα τὰ σὰ θαυμάσια, τοὺς γὰρ θῆρας ἡμέρωσας, προκατηρεμήσας τῶν παθῶν τὰ κύματα. προλέγεις τὰ μέλλοντα, προφητικῷ χαρίσματι. στίφη τῶν δαιμόνων, φυγαδεύων ἐλαύνεις, ἀτόνοις ἀγρυπνίαις, προσευχαῖς καὶ νηστείαις, Σταυροῦ τε τῇ ἀμάχῳ, δυνάμει θεοφόρε.

Ὁ Μωϋσῆ τὸ πρότερον, ἀπὸ στύλου φθεγγόμενος, στῦλον ἀπὸ γῆς, εἰς οὐρανοὺς ὁλόφωτον, ἀκτῖνάς σοι ἔδειξεν. ἔνθα καὶ νῦν κατοίκηται, τὸ καρτερικόν σου καὶ πολύαθλον σῶμα· ᾧ πίστει παρεστῶτες, εὐσεβῶς μελῳδοῦμεν· λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Χαρμονικῶς ἡ μνήμη σου, ἐκτελεῖται πανεύφημε· τὴν χαροποιὸν γὰρ, ἀρετὴν ἐνδέδυσαι, τὸ ὄντως ἱμάτιον, τοῦ σωτηρίου καὶ καθαρὸν, καὶ φωτοειδῆ τῆς εὐφροσύνης χιτῶνα. ᾧ νῦν ὡραϊσμένος, μελῳδεῖς ἀνενδότως· λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. Θεοτ.

Ἀπειρογάμως τέτοκας, καὶ Παρθένος διέμεινας, καὶ τῷ ξένῳ τόκῳ σου, συνῆψας ἅπαντα. τὸν χρόνιον πόλεμον, καὶ τὴν μακρὰν διάστασιν, λύσασα, Χριστὸν, τὸν τῆς εἰρήνης δοτῆρα, βαστάζουσα ἐν κόλποις· ὃν πιστοὶ εὐλογοῦντες, σὲ πόθῳ ἀνυμνοῦμεν τὴν μόνην Θεοτόκον.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Μυρίζουσα ἡ θήκη πνευματικὴν, εὐωδίαν πλουσίως εὐφραίνουσα, τοὺς σοὺς Υἱοὺς, σὲ περιεστῶτας εἰλικρινῶς, ἐνθυμουμένους Ὅσιε, τὴν Ἀγγελικήν σου διαγωγὴν, καὶ τὴν σοὶ δεδομένην, λαμπρότητα καὶ δόξαν, καὶ τὴν ἀΐδιον τερπνότητα.

Ἐρράγη ἐν ἐρήμῳ ὕδωρ καὶ γῆ, ἡ διψῶσα εἰς ἕλη ἐγένετο, ταῖς προσευχαῖς, μετασκευασθεῖσα Πάτερ ταῖς σαῖς· ἀσκητικῶν γὰρ φάλαγγες, ταύτην κατοικοῦσι ποταμηδόν. ἡ χώρα Ἰορδάνου, ἐξηνθήσεν ὡς κρίνον, ἀρδευομένη τοῖς σοῖς δάκρυσι.

Λαμπρότης τῶν Ἁγίων ἐν Οὐρανοῖς, ὡς δικαίῳ σοι Πάτερ ἀνέτειλε. τὸν γὰρ Χριστὸν, τὴν δικαιοσύνην τὴν ἀληθῆ, περιφανῶς ἠγάπησας. οὗ τὴν πολιτείαν ἰχνηλατῶν, τὴν τούτου ζωηφόρον, παμμάκαρ ἐμιμήσω, ὡς δυνατὸν σὺ ἁγιότητα.

Πλουσίως θεοφόρε λάμπων φωτὶ, καὶ χορείας Ἀγγέλων θεώμενος, φωτοειδεῖς, περιπολεύσας τὸ τρισσὸν φῶς· καὶ δεχομένας χάριτι τὰς τῆς θεοπτίας ἐπιβολάς· μὴ παύσῃ ἱκετεύων, ἀφέσεως πταισμάτων, ἀξιωθῆναι τοὺς ὑμνοῦντάς σε. Θεοτόκιον.

Ὡράθης ὦ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν Λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ. ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός· ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Ἐξαποστειλάριον. Φῶς ἀναλλοίωτον.

Ἡ Ἔρημος εὐφραινέσθω, καὶ ἐξανθήτω ὡς κρίνον· ὅτι ἐπλήθυνας ταύτης, τὰ τέκνα Σάββα θεόφρον. ἡ χώρα τοῦ Ἰορδάνου, ἀγαλλιάσθω νῦν χαρμοσύνως, σὲ ἔχουσα πολιοῦχον, ἐπὶ τῇ θείᾳ σου μνήμῃ.

Χρυσοπλοκώτατε πύργε, καὶ δωδεκατείχε πόλις· ἡλιοστάλακτε θρόνε, καθέδρα τοῦ Βασιλέως· ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στ. ς΄. καὶ ψάλλομεν γ΄. προσόμοια. Ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Ὁ ὑπερόπτης τῶν κάτω, καὶ παρεπίδημος· ὁ ἐραστὴς τῶν ἄνω, καὶ ἐρημοπολίτης, Σάββας ὁ θεόφρων, πάντας ἡμᾶς, ἑορτάσαι προτρέπεται, τῆς πρὸς Θεὸν ἐκδημίας αὐτοῦ πιστῶς, τὴν ἡμέραν τὴν σωτήριον. Δίς.

Ἔξω σαρκὸς καὶ τοῦ Κόσμου, ταῖς ἀρεταῖς γεγονὼς, καὶ δι' αὐτῶν δοξάσας, ἐπὶ γῆς διὰ βίου, τὸν Κύριον τῆς δόξης, Πάτερ σοφὲ, κατ' ἀξίαν δεδόξασαι· καὶ ἰαμάτων ἐδείχθης θεία πηγὴ, παρ' αὐτοῦ Σάββα θεόληπτε.

Μέτριος, ἄκακος, πρᾶος, ἁπλοῦς ἡσύχιος, ὡς ἐχρημάτισας Πάτερ, ὑπὲρ ἄνθρωπον ὄντως· καὶ ἄϋλος ἐν ὕλῃ, οἶκος, Θεοῦ, καθωρά-

θης ἐπάξιος, τὰς ἐξ αὐτοῦ προϊούσας σοι δωρεάς, συμπαθῶς διαπορθμεύων ἡμῖν.

Δόξα. Ἰδιόμελον, ἦχος πλ. β'.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου· διὸ ἐν τοῖς Οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου· τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. παρρησίαν ἔχων πρὸς Θεόν, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν, Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἀπὸ τῶν Κανόνων. Ὠδὴ γ'. καὶ ϛ'. Ἀπόστολον, καὶ Εὐαγγέλιον, ζήτει εἰς τὴν μνήμην τοῦ Μεγάλου Ἀντωνίου, τῇ ιζ'. τοῦ Ἰαν. Μηνός.

Μηνὶ τῷ αὐτῷ ϛ'.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ στιχολογοῦμεν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. η'. καὶ ψάλλομεν γ'. προσόμ. ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Μύροις παροικήσας αἰσθητῶς, μύρον ἀληθῶς ἀνεδείχθης, μύρῳ χρισθεὶς νοητῷ, Ἅγιε Νικόλαε, Ἀρχιεράρχα Χριστοῦ· καὶ μυρίζεις τὰ πρόσωπα, τῶν πίστει καὶ πόθῳ, σοῦ τὴν πανοίδιμον, μνήμην τελούντων ἀεί. λύων συμφορῶν καὶ κινδύνων, τούτους καὶ τῶν θλίψεων Πάτερ, ἐν ταῖς πρὸς τὸν Κύριον πρεσβείαις σου.

Νίκη φερωνύμως ἀληθῶς, τοῦ πιστοῦ λαοῦ ἀνεδείχθης ἐν πειρασμοῖς κραταιά, Ἅγιε Νικόλαε, θεράπων ὄντως Χριστοῦ· πανταχοῦ γὰρ καλούμενος, ὀξέως προφθάνεις, πόθῳ τοὺς προστρέχοντας, ὑπὸ τὴν σκέπην σου. σὺ γὰρ ἐν νυκτὶ καὶ ἡμέρᾳ, πίστει ὀπτανόμενος σώζεις, ἐκ τῶν πειρασμῶν καὶ περιστάσεων.

Ὤφθης Κωνσταντίνῳ Βασιλεῖ, σὺν τῷ Ἀβλαβίῳ κατ᾽ ὄναρ, καὶ τούτους φόβῳ βαλών. οὕτως εἰρηκὼς αὐτοῖς, τοὺς ἀπολῦσαι σπουδῇ, ἐν εἱρκτῇ οὓς κατέχετε, δεσμίους ἐν φρουρᾷ· ἀθῷοι τυγχάνουσι τῆς παρανόμου σφαγῆς. ὅμως ἐὰν παρακούσῃς μου, ἔντευξιν ποιήσομαι Ἄναξ, κατὰ σοῦ πρὸς Κύριον δεόμενος.

Μέγας ἀντιλήπτωρ καὶ θερμός, τοῖς ἐν τοῖς κινδύνοις τελοῦσιν, ὑπάρχεις ἔνδοξε, Ἅγιε Νικόλαε, Ἱεροκήρυξ Χριστοῦ, τοῖς ἐν γῇ καὶ τοῖς πλέουσι, τοῖς πόρρω καὶ πέλας, οἷα συμπαθέστατος, καὶ πρεσβευτὴς κραταιός. ὅθεν συνελθόντες βοῶμεν· πρέσβευε πρὸς Κύριον, ὅπως, πάσης λυτρωθῶμεν περιστάσεως.

Δόξα, Ἰδιόμελον, ἦχος πλ. β'. Σεργίου.

Ἱεραρχῶν τὴν καλλονήν, καὶ τῶν Πατέρων κλέος, τὴν βρύσιν τῶν θαυμάτων, καὶ τῶν πιστῶν ἀντιλήπτορα μέγιστον, συνελθόντες ὦ φιλέορτοι ᾀσματικοῖς ἐγκωμίοις ὑμνήσωμεν λέγοντες· χαίροις ὁ τῶν Μυρέων φρουρός, καὶ πρόεδρος σεπτός, καὶ στῦλος ἀπερίτρεπτος. χαίροις Φωστὴρ παμφαέστατε, ὁ τὰ τοῦ Κόσμου πέρατα, διαλάμπων τοῖς θαύμασι. χαίροις τῶν θλιβομένων ἡ θεία χαρμοσύνη, καὶ ἀδικουμένων θερμότατος προστάτης. καὶ νῦν παμμάκαρ Νικόλαε, μὴ παύσῃ πρεσβεύων Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν πίστει, καὶ πόθῳ τιμώντων ἀεί, τὴν χαρμόσυνον καὶ πανέορτον μνήμην σου.

Καὶ νῦν. Προεόρτιον. Σπήλαιον εὐτρεπίζου.

Εἴσοδος. τό, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα, ζήτει Νοεμβρίῳ ιγ'. Εἰς τὴν Λιτὴν γ'. ἰδιόμελα, ἦχος α'. Κυπριανοῦ.

Ἐνατενίσας ἀκλινῶς τῷ ὕψει τῆς γνώσεως, καὶ κατοπτεύσας ἀδήλως, σοφίας τὸν βυθόν, ταῖς διδαχαῖς Κόσμον κατεπλούτισας. Πάτερ, ὑπὲρ ἡμῶν ἀεὶ Χριστὸν δυσώπει, Ἱεράρχα Νικόλαε. Ὁ αὐτός. Ἀνατολίου.

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπον, καὶ Οἰκονόμε τῶν αὐτοῦ μυστηρίων, καὶ ἀνὴρ ἐπιθυμιῶν τοῦ Πνεύματος. στήλη τε ἔμψυχε, καὶ ἔμπνους εἰκών. ὡς θεῖον γὰρ θησαυρόν σε, ἡ τῶν Μυρέων Ἐκκλησία ἀγαμένη προσήκατο, καὶ πρεσβευτὴν τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'. Βυζαντίου.

Κανόνα Πίστεως, καὶ εἰκόνα πραότητος, ἀνέδειξέ σε τῇ ποίμνῃ σου Χριστὸς ὁ Θεός, Ἱεράρχα Νικόλαε. ἐν γὰρ τοῖς Μύροις μυρίζων, διαλάμπεις φαιδρῶς τοῖς θείοις σου κατορθώμασιν, ὀρφανῶν καὶ χηρῶν προστάτα. διὸ ἱκετεύων μὴ παύσῃ, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός.

Πάτερ Νικόλαε, ἡ μυροθήκη τῶν λειψάνων σου, τὰ Μύρα πολιούχει· ἐν ᾗ καὶ δεσμίους

ἀκατακρίτως κατακριθέντας, ἐν ὀνάρῳ Βασιλεῖ, τῇ ὀπτασίᾳ σου φανείς, ἠλευθέρωσας θανάτου, δεσμῶν καὶ φυλακῆς. ἀλλὰ καὶ νῦν, ὡς τότε καὶ ἀεὶ δι᾽ ὀπτασίας σου φάνηθι· πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός.

Πάτερ Νικόλαε, εἰ καὶ τὰ Μύρα σιωπᾷ, ἀλλ᾽ ὁ Κόσμος ὅλος ὁ ὑπὸ σοῦ φωτισθείς, τῆς τε τοῦ μύρου εὐωδίας, καὶ τῶν θαυμάτων τὰ πλήθη, ἀνακράζει εὐφήμοις ὑμνῳδίαις, καὶ οἱ σωθέντες διὰ σοῦ κατάκριτοι. σὺν τοῖς ἐν Μύροις καὶ ἡμεῖς μέλποντες βοῶμεν· πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ᾽.

Πάτερ Νικόλαε, τοῦ παναγίου Πνεύματος μυροθήκη ὑπάρχων, ὡς ἔαρ μυρίζεις εὐφρόσυνον, τῶν θείων ἀρωμάτων Χριστοῦ. τῶν Ἀποστόλων γὰρ μιμητὴς γενόμενος, τὴν Οἰκουμένην περιπολεύεις διὰ τῶν λόγων τῶν θαυμάτων σου. ὅθεν καὶ τοῖς πόρρω ὡς τοῖς ἐγγύς, δι᾽ ὀνείρων ὀπτανόμενος, ἐκ θανάτου λυτρῶσαι, τοὺς ἀδίκῳ ψήφῳ θνήσκειν μέλλοντας. διασώζων παραδόξως ἐκ κινδύνων, θερμῶς τοὺς ἐπικαλουμένους σε. διὸ καὶ ἡμᾶς τῶν ἐπεμβαινόντων δυσχερῶν, ἐλευθέρωσον ταῖς πρεσβείαις, τοὺς ἀεὶ εὐφημοῦντάς σε. Ἦχος πλ. β᾽.

Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ. σὺ καὶ τὸ βάρος τῆς ἡμέρας ἐβάστασας· σὺ καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας, καὶ τοῖς μετὰ σὲ ἐλθοῦσιν οὐκ ἐφθόνησας. διὸ πύλη σοι Οὐρανῶν ἠνέῳκται. εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· καὶ πρέσβευε ὑπὲρ ἡμῶν, ἅγιε Νικόλαε. Ἦχος πλ. δ᾽.

Εἰς αἶνον ἔδραμες τοῦ Κυρίου Νικόλαε, ἐν τῇ προσκαίρῳ ζωῇ, καὶ αὐτός σε ἐδόξασεν, ἐν τῇ ἐπουρανίῳ καὶ ὄντως ζωῇ. διὸ παῤῥησίαν κεκτημένος πρὸς αὐτόν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Δόξα. ἦχος ὁ αὐτός.

Τῶν ἀνδραγαθημάτων σου Ὅσιε Πάτερ, ὁ καρπός, ἐφαίδρυνε τῶν πιστῶν τὰς καρδίας. τίς γὰρ ἀκούων τὴν ἄμετρόν σου ταπείνωσιν, τὴν ὑπομονὴν οὐκ ἐθαύμασε; τὴν πρὸς τοὺς πένητας ἱλαρότητα, τῶν θλιβομένων τὸ συμπαθές; πάντας θεοπρεπῶς ἐδίδαξας, Ἱεράρχα Νικόλαε. καὶ νῦν τὸν ἀμαράντινον ἀναδησάμενος στέφανον, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν. Ὁ αὐτός.

Βηθλεὲμ ἑτοιμάζου. εὐτρεπιζέσθω ἡ φάτνη. τὸ σπήλαιον δεχέσθω· ἡ ἀλήθεια ἦλθεν, ἡ σκιὰ παρέδραμε· καὶ Θεὸς ἀνθρώποις ἐκ Παρθένου πεφανέρωται· μορφωθεὶς τὸ καθ᾽ ἡμᾶς, καὶ θεώσας τὸ πρόσλημμα. διὸ Ἀδὰμ ἀνανεοῦται, σὺν τῇ Εὔᾳ κράζοντες· ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν.

Εἰς τὸν στίχ. στιχηρὰ προσόμοια, ἦχος πλ. α᾽.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἡ ἱερὰ κεφαλή, τὸ καθαρὸν τῶν ἀρετῶν καταγώγιον· ὁ θεῖος τῆς θεοπάτης ἱερωσύνης κανών· ὁ Ποιμὴν ὁ μέγας, ὁ φανώτατος· πυρσὸς ὁ τῆς νίκης, ἐπιφερόμενος ὄνομα· ὁ δεομένοις συμπαθῶς ἐπικλώμενος· ὁ καμπτόμενος, ἀσθενῶν ταῖς δεήσεσι. ῥύστης ὁ ἑτοιμότατος, φρουρὸς ὁ σωτήριος, πᾶσι τοῖς πίστει τιμῶσι, τὴν πανοίδιμον μνήμην σου. Χριστὸν καταπέμψαι, παμμακάριστε δυσωπεῖ τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Χαίροις ὁ ἱερώτατος νοῦς, τὸ τῆς Τριάδος καθαρὸν ἐνδιαίτημα· ὁ στῦλος τῆς Ἐκκλησίας, ὁ τῶν πιστῶν στηριγμός, καταπονουμένων ἡ βοήθεια· ἀστὴρ ὁ ταῖς λάμψεσιν, εὐπροσδέκτων δεήσεων, διασκεδάζων παρασμῶν τε καὶ θλίψεων, σκότος πάντοτε, Ἱεράρχα Νικόλαε. ὅρμος ὁ γαληνότατος· ἐν ᾧ καταφεύγοντες, οἱ τρικυμίαις τοῦ βίου, περιστατούμενοι σῴζονται. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

Χαίροις ὁ ζήλου θείου πλησθείς, ἀπαγωγῆς τε πονηρᾶς λυτρωσάμενος, ἀδίκως μέλλοντας θνήσκειν, ἐπιστασίᾳ φρικτῇ, καὶ ταῖς δι᾽ ὀνείρων προσφοιτήσεσι· πηγὴ ἡ πηγάζουσα, ἐν τοῖς Μύροις Νικόλαε, μύρα πλουσίως, καὶ ψυχὰς καταρδεύουσα· τὰ δυσώδη τε, τῶν παθῶν ἀπελαύνουσα· μάχαιρα τὰ ζιζάνια, τῆς πλάνης ἐκτέμνουσα· πτύον λικμίζον Ἀρείου, τὰ ἀχυρώδη διδάγματα: Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. β᾽. Ἰωάννου Μοναχοῦ.

Ἄνθρωπε τοῦ Θεοῦ, καὶ πιστὲ θεράπον, λειτουργὲ Κυρίου· ἀνὴρ ἐπιθυμιῶν· σκεῦος ἐκλογῆς· στῦλε καὶ ἑδραίωμα τῆς Ἐκκλησίας· Βασιλείας κληρονόμε. μὴ παρασιωπήσῃς, τοῦ βοᾶν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν, ἦχος ὁ αὐτός.

Ἀνύμφευτε Παρθένε, πόθεν ἥκεις.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας



κύριος κύριος κύριος

Ἀπολυτίκιον, ἦχος δ΄. Κανόνα Πίστεως.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. καθισμ. ἦχ. πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Ἀναβὰς εἰς τὰ ὕψη τῶν ἀρετῶν, καὶ τῇ θέᾳ ἐκείνῃ καταυγασθεὶς, ὦ Πάτερ λαμπρότητι, τῶν θαυμάτων τοῦ Πνεύματος, ἀληθῶς ἐδείχθης, φωστὴρ διαυγέστατος· ἐν πειρασμοῖς ὑπάρχων, προστάτης ἀήττητος. ὅθεν παραδόξως, τὸν ἐχθρὸν ἐκνικήσας, τὸ ψεῦδος ἀπήλασας. καὶ ἀνθρώπους διέσωσας, ἐκ θανάτου Νικόλαε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Ἕτερον, ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ἀστράπτεις ἐν τῇ γῇ, τῶν θαυμάτων ἀκτῖσι, Νικόλαε σοφὲ, καὶ κινεῖς πᾶσαν γλῶσσαν, εἰς δόξαν τε καὶ αἴνεσιν, τοῦ ἐν γῇ σε δοξάσαντος. ὃν ἱκέτευε, πάσης ἀνάγκης ῥυσθῆναι, τοὺς τὴν μνήμην σου, πίστει καὶ πόθῳ τιμῶντας, Πατέρων ἐκλόγιον.

Θεοτοκίον. Ὅμοιον.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία. καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὴν β΄. στιχολ. καθισμ. ἦχ. πλ. δ΄. Τὴν Σοφίαν.

Τοὺς θορύβους τοῦ βίου καταλιπὼν, τὸν Σταυρόν σου ἐπ' ὤμων ἀναλαβὼν, ὅλον ἀνατέθεικας, σεαυτὸν τῷ Κυρίῳ σου. καὶ σαρκὸς δὲ ἔξω, καὶ Κόσμου γενόμενος, τοῦ Ἁγίου ἐγένου, συνόμιλος Πνεύματος. ὅθεν καὶ πρὸς ζῆλον, Βασιλεῖς διελέγχων, ἀπταίστους διέσωσας, ὡς προστάτης θερμότατος, ἐκ θανάτου Νικόλαε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Ἕτερον, ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὧν πιστῶν προΐστασαι, σκέπων φρουρεῖν τούτους μάκαρ, καὶ ἐκ πάσης θλίψεως, ἀπολυτρούμενος σαφῶς. Ἱεραρχῶν ὡραιότατον, κλέος καὶ δόξα, Νικόλαε Ὅσιε.

Θεοτοκίον. Ὅμοιον.

Προστασία ἄμαχε, τῶν ἐν ἀνάγκαις, καὶ πρεσβεία ἕτοιμος, τῶν ἐλπιζόντων ἐπὶ σὲ, ἀπὸ κινδύνων με λύτρωσαι, καὶ μὴ παρόψῃ ἡ πάντων βοήθεια.

Μετὰ τὸν Πολυέλεον, καθισμ. ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Προστάτης θερμότατος, τῆς Ἐκκλησίας Χριστοῦ, ἐδείχθης Νικόλαε, τὰ τῶν αἱρέσεων, διδάγματα ἄθεα, λύων σὺν παρρησίᾳ. καὶ κανὼν ἀνεδείχθης, πᾶσιν ὀρθοδοξίας, ὑπὲρ πάντων πρεσβεύων, τῶν ἑπομένων σου θείαις, διδασκαλίαις καὶ ὑφηγήσεσι.

Θεοτοκίον. Ὅμοιον.

Ταχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία παναμώμε, λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων. σύντριψον μηχανίας, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέων, Πανάγνε κατὰ τῶν δούλων σου.

Οἱ Ἀναβαθμοί. τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, καὶ Εὐαγγέλιον, ζήτει εἰς τὰς ιγ΄. τοῦ Νοεμβρίου Μηνὸς, εἰς τὸν Ὄρθρον τοῦ Χρυσοστόμου. ὁ Ν΄. καὶ τὸ Ἰδιόμελ. ἦχος πλ. β΄.

Εὖγε δοῦλε ἀγαθὲ καὶ πιστὲ, εὖ ἐργάτα.

Ζήτει εἰς τὴν Λιτήν. Ὁ Κανὼν τῆς Θεοτόκου, μετὰ τῶν Εἱρμῶν εἰς ς΄. καὶ τοῦ Ἁγίου εἰς η΄. τὸν Κανόνα τῆς Θεοτόκου, ζήτει εἰς τὴν Ὀκτώηχον. εἶτα τοῦ Ἁγίου. οὗ ἡ ἀκροστιχίς.

Σοὶ Νικόλαε θεῖον ἐξάδω μέλος.

Ὠδὴ α΄. ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε ποτέ.

Στεφηφόρος βήματι Χριστοῦ, πάνσοφε Νικόλαε, παρεστηκὼς σὺν Ἀγγέλων στρατεύμασι, φωτισμόν μοι δώρησαι, καταυγάζοντα τῆς ψυχῆς μου τὴν ζόφωσιν. ὅπως εὐφημήσω, χαίρων σου παμμάκαρ τὸ μνημόσυνον.

Ὁ δοξάζων πάντας τοὺς αὐτὸν, Κύριος δοξάζοντας, σὲ τοῖς πιστοῖς καταφύγιον δέδωκε, πειρασμῶν ῥυόμενον, τοὺς προστρέχοντας τῇ σῇ σκέπῃ Νικόλαε. καὶ προσκαλουμένους, πίστει καὶ πόθῳ παναοίδιμε. Θεοτοκίον.

Ἰσωθῆναι πόθον μοι ἐνθεὶς, ὄφις ὁ παμπόνηρος, τῷ Πλαστουργῷ, ὡς αἰχμάλωτον ἥρπασε. διὰ σοῦ δὲ Πάναγνε, ἀνακέκλημαι, θεωθεὶς ἀληθέστατα. σὺ γὰρ Θεομήτωρ, τὸν ἐμὲ θεώσαντα γεγέννηκας.

Ἕτερος Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς.

Κατὰ ἀλφάβητον.

Χωρὶς τῶν Τριαδικῶν, καὶ τῶν Θεοτοκίων.

Ὠδὴ α΄. ἦχος α΄. Χριστὸς γεννᾶται.

Ἀπόρῳ γλώττῃ καὶ χείλεσιν, ἐγκώμιον βραχὺ καὶ παράκλησιν, προσάξαι τῇ σῇ Νι-

κόλαε, ἥκω θεομιμήτῳ ὑπεροχῇ. ἀλλ᾽ ὡς πλουτοδότης, τὸν Σωτῆρα καὶ Θεὸν ἵλεων δίδου μοι.

Βροτὸς ὑπάρχων οὐράνιος, ἰσάγγελος ἐν γῇ πεφανέρωσαι. χηρῶν ἀντιλήπτωρ μέγιστος, καὶ καταπονουμένων ἐκδικητής. πάντων θλιβομένων, ἐν κινδύνοις βοηθός, Πάτερ Νικόλαε.

Γνωρίζει πᾶσα ὑφήλιος, Νικόλαε τρισμάκαρ τὰ θαύματα, τῶν σῶν ἀρετῶν τὸ πέλαγος. πένητες τὸν προστάτην καὶ ὀρφανοὶ, χῆραι τὸν τροφέα, καὶ τυφλοὶ τὸν ὁδηγὸν, πάντες τὸν πρόμαχον. Τριαδικόν.

Τριάδα σέβω τὴν ἄκτιστον, Πατέρα καὶ Υἱὸν σὺν τῷ Πνεύματι, Οὐσίαν ἁπλῆν θεότητα. Φύσιν μὴ τεμνομένην ὁσιωδῶς· τρεῖς τὰς Ὑποστάσεις, διαιρῶν προσωπικῶς, ὁμοουσίῳ μορφῇ. Θεοτοκίον.

Ἀσπόρως Λόγον συνείληφας, τὸν ἕνα τῆς Τριάδος Πανάχραντε. καὶ τοῦτον σαρκὶ γεγέννηκας, μείνασα μετὰ τόκον, ὥσπερ τὸ πρίν. τοῦτον ὡς Υἱόν σου, καὶ Θεὸν ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε.

Καταβασία. Χριστὸς γεννᾶται.

Ὠδὴ γ᾽. Ἐξώθησεν ἡ ἔρημος.

Νικόλαε μακάριε, τοῦ Δεσπότου γνήσιος, σὺ μαθητὴς γενόμενος, διασώζεις τοὺς σοὶ προστρέχοντας, χαλεπῶν ἐκ κινδύνων, καὶ θανάτου πικροῦ.

Ἱλάσθητι τοῖς δούλοις σου, τῶν πταισμάτων ἄφεσιν, ὡς ἀγαθὸς δωρούμενος, Νικολάου τοῦ σοῦ θεράποντος, ταῖς πρὸς σὲ μεσιτείαις πολυέλεε. Θεοτοκίον.

Κατεύνασον τὸν τάραχον, τῶν παθῶν μου Δέσποινα· καὶ τὴν ζωὴν κυβέρνησον, Παναγία Θεὸν ἡ τέξασα ἐν ᾧ ἐστερεώθη ἡ καρδία μου.

Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.

Δέλτον ἐν καρδίᾳ, κεκτημένος Θεόφρον πολλῶν ἀρετῶν, ἐγγεγραμμένην ἀθανάτῳ, καὶ ἀχράντῳ δακτύλῳ, Χριστοῦ τοῦ Θεοῦ Νικόλαε· ὑπὲρ κηρίον καὶ μέλι γλυκὺ, στάζουσιν οἱ λόγοι σου.

Ἔδειξεν ἡ χάρις, ἐπὶ σοὶ παραδόξως τὰ θαύματα. ἡ φαιδρὰ γάρ σου πολιτεία, ὦ Νικόλαε ὄντως, χρυσοῦ παντὸς τηλαυγέστερον, ὑπεραστράπτει καὶ λάμπει ψυχαῖς, αἴγλῃ θείου Πνεύματος.

Ἧς καὶ μετὰ πότμον, ἐν ὀνείροις σαφῶς ὀπτανόμενος. καὶ νεανίας ἐκ θανάτου, παραδόξως λυτροῦσαι, βοῶν ἐμφανῶς τῷ Ἄνακτι· μὴ ἀδικήσῃς τοὺς ἄνδρας ἐπεὶ, φθόνῳ διεβλήθησαν. Τριαδικόν.

Ἵλεως γενοῦ μοι, Παναγία Τριὰς ὁ Θεὸς ἡμῶν, τῷ ἐν ἀμέτροις πλημμελείαις ῥυπωθέντι τῷ βίῳ, Πατὴρ, ὁ Υἱὸς καὶ Πνεῦμα τὸ ζῶν, διατηροῦσά με πάντοθεν καὶ ἀεὶ, ἄτρωτον ἐκ θλίψεως. Θεοτοκίον.

Η Ε'μοις Θεοτόκε, σωτηρίας ἐλπίδα τοῖς δούλοις σου· καὶ ἐν ἀνάγκαις καὶ κινδύνοις, ταχυδρόμοις πρεσβείαις, φρουρεῖν, βοηθεῖν παράστηθι. σὺ γὰρ τὸ κλέος ἡμῶν τῶν πιστῶν, πέλεις Θεονύμφευτε.

Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.

[illegible] ἦχος πλ. δ᾽. Τὴν Σοφίαν καὶ Λόγον.

Ποταμὸν ἰαμάτων πλήρη σοφὲ, καὶ πηγήν σε θαυμάτων ἀνελλιπῆ, ἔδειξε Νικόλαε, τοῦ ἐλέους ἡ ἄβυσσος. οἱ γὰρ βαρείαις νόσοις, πικρῶς πιεζόμενοι, καὶ συμφοραῖς τοῦ βίου, δεινῶς ἐπαζόμενοι, πάσης ἀθυμίας, ἀκεσώδυνον ὄντως, εὑρίσκουσι φάρμακον, τὴν θερμήν σου ἀντίληψιν. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Τὴν σοφίαν καὶ λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφράστως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὸν Κόσμον κατέχοντα· καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα συνέχοντα, τὸν τροφοδότην πάντων, καὶ πλάστην τῆς κτίσεως. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει κραυγάζω σοι, τοῦ ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ κτίσαντός μου. Δέσποινα Παρθένε Ἁγνὴ, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι· καὶ γὰρ δύνασαι, ὅσα θέλεις Πανάμωμε.

Ὠδὴ δ᾽. Ἐλήλυθας, ἐκ Παρθένου.

Ὡμιλήσας, καθαρῶς ταῖς ἀκτῖσι τοῦ Πνεύματος, φωσφόρος γέγονας, Κόσμου φωτίζων τὰ πέρατα, πᾶσι παριστάμενος, καὶ πάντας σώζων, τοὺς πίστει σοι προστρέχοντας.

Λυτρούμενος, ἐκ θανάτου ὡς ὤφθης τὸ πρότερον, νεανίας Ὅσιε. οὕτω καὶ νῦν με διάσωσον, πάσης περιστάσεως, καὶ πειρασμῶν καὶ κινδύνων παμμακάριστε.

Ἀπήστραψας, ἀρετῶν λαμπηδόνας πανόλβιε, μιμητὴς πανάριστος, τοῦ σοῦ Δεσπότου γενό-

γενό-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γενόμενος· σώζεις δὲ καλούμενος, τοὺς εὐλαβεῖ καὶ πόθῳ σε δοξάζοντας. Θκ.

Ἐλήλυθεν, ἐπὶ σοὶ ὁ Δεσπότης καὶ Κύριος, σωματωθησόμενος, καὶ διασώζων ὡς εὔσπλαγχνος, ὅλον με τὸν ἄνθρωπον. διὸ κραυγάζω σοι, χαῖρε Θεοτόκε πανάμωμε.

Εἱρμὸς ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ἡ κλῆσίς σου μόνη ἀληθῶς, ἐν πάσαις τῶν ἐθνῶν βουλαῖς, προσκαλουμένη θᾶττον ῥύεται, τοὺς κράζοντάς σοι θερμῶς· ἱερὲ Νικόλαε, ὡς πρὶν στρατηλάτας ἐλυτρώσω, διάσωσον καὶ ἡμᾶς, ἐκ πάσης δεινῆς περιστάσεως.

Θρόνῳ παριστάμενος Θεοῦ, πρεσβείαν ἐκτενῶς σοφὲ, μὴ διαλίπης ὑπὲρ πάντων ἡμῶν, τῶν σῶν πιστῶν οἰκετῶν, θαυμαστὲ Νικόλαε· ἵνα τοῦ πυρὸς τοῦ αἰωνίου, ῥυσθῶμεν καὶ τῆς ἐθνῶν, γλώσσης πονηρᾶς καὶ κακώσεως.

Ἰάματα βρύεις πανταχοῦ, τοῖς πίστει σοι προστρέχουσι, καὶ ἐκ δεσμῶν λυτροῦσαι ἅπαντας· διὸ τὴν λύπην ἡμῶν, εἰς χαρὰν μετάβαλλε, ταῖς σαῖς εὐπροσδέκτοις ἱκεσίαις, Νικόλαε φαεινὲ, θραύων τὴν ὀφρὺν τῶν ἐχθρῶν ἡμῶν. Τριαδικόν.

Ἄναρχε Θεότητος ἀρχὴν, Πατέρα καὶ Υἱὸν τιμῶ, καὶ Πνεῦμα σέβω τὸ πανάγιον· τὴν πάντων παντουργικὴν, ἑνιαίαν ἄτμητον, τρισὶ χαρακτῆρσι καὶ προσώποις, διῃρημένην ἀεὶ, μίαν Βασιλείαν ἀμέριστον.

Θεοτοκίον.

Σὺ ὄντως ἐπέκεινα βροτῶν, Ἀγγέλων τε ὑπέρτιμος, Θεογεννήτορ Κόρη πέφηνας· τὸν πάντων γὰρ Ποιητὴν, ἐν γαστρὶ συνείληφας, σάρκα ὑλικὴν ἠμφιεσμένον, τεκοῦσα δίχα σπορᾶς· ὢ καινοπρεποῦς θεωρήματος.

Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Ὠδὴ ε΄. Ὁ φωτισμός.

Θεοπρεπεῖ, πολιτείᾳ τρισμάκαρ λελαμπρυσμένος, τοὺς κατακριθέντας ἀδίκῳ ψήφῳ, θανατωθῆναι, παραστὰς ἐλυτρώσω, τῷ Δεσπότῃ Χριστῷ κραυγάζοντας· ἕτερον ἐκτός σου Θεὸν οὐ γινώσκομεν.

Ἐν Οὐρανοῖς, τὴν ἀΐδιον δόξαν νῦν ἐποπτεύων, καὶ τῆς ἀπροσίτου καὶ θείας αἴγλης, ταῖς φανοτάταις ἐντρυφῶν λαμπηδόσι, σκέπασόν με τῇ προστασίᾳ σου, Ὅσιε θεράπον, Χριστοῦ πανσεβάσμιε. Θκ.

Ἵνα τὴν σὴν, ἐκζητήσῃς εἰκόνα συγκεχωσμένην, τοῖς πάθεσι Σῶτερ τὰς ἐρανίους, λαθὼν δυνάμεις, σαρκωθεὶς ἐκ Παρθένου, ἐπεφάνης τοῖς σοὶ κραυγάζουσιν· ἕτερον ἐκτός σου, Θεὸν οὐ γινώσκομεν.

Ἄλλος. Θεὸς ὢν εἰρήνης.

Κηρύττουσι Πάτερ τὰ θαύματα νῦν, ἡ Μυρέων μεγίστη Μητρόπολις. Λυκίων ἐπαρχία τε, καὶ πᾶσα στρατιὰ, τὰς σὰς τερατουργίας, δι' ὧν πάντας ἐκ πόνων, θλιβερῶν ἐλυτρώσω, ἀξιοθαύμαστε Νικόλαε.

Τιμὴ τῶν χηρῶν καὶ Πατὴρ ὀρφανῶν, βοηθὸς τῶν ἐν θλίψει πανάριστος. πενθούντων καταφύγιον. ποιμὴν καὶ ὁδηγὲ, πάντων τῶν πλανωμένων, Νικόλαε ὑπάρχων, καὶ ἡμᾶς ἐκ κινδύνων, ταῖς σαῖς πρεσβείαις ἀπολύτρωσαι.

Μετέστης ἐκ γῆς πρὸς αὔλους σκηνὰς, ἔνθα βλέπεις τὸ ἄφραστον κάλλος Χριστοῦ, Ἀγγέλων τοῖς στρατεύμασιν, ἐφάμιλλος δειχθείς. διὸ σὺν Ἀποστόλοις, καὶ Μάρτυσι χορεύων· ἐκτενῶς τῷ Σωτῆρι, Πάτερ Νικόλαε ἱκέτευε. Τριαδικόν.

Συνάναρχα τρία ὁμόθρονα, ἀμερίστου μιᾶς δὲ Θεότητος, δοξάζω αὐτεξούσια, τὰ πρόσωπα σαφῶς. δι' ἧς ἐκ τοῦ μὴ ὄντος, παρήχθην εἰς τὸ εἶναι, σὺν Ἀγγέλοις κραυγάζων, Ἅγιος, Ἅγιος, Ἅγιος, εἶ Κύριε. Θκ.

Ἡ σωτήριος σκέπη καὶ πάντων χαρὰ, ἡ προφθάνουσα τάχος καὶ σώζουσα. οἰκτείρησον καὶ νῦν ἡμᾶς, βοῶμεν σοι Ἁγνὴ, τοὺς σὲ προσκαλουμένους, ἀεὶ ἐν περιστάσει. προστασίαν γὰρ ἄλλην, μετὰ Θεὸν ἡμεῖς οὐκ ἔχομεν.

Καταβασία. Θεὸς ὢν εἰρήνης Πατήρ.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὁ τῆς νίκης Νικόλαε στέφανος, τῇ σῇ κορυφῇ ἀξίως ἐπιτέθειται. ὡς νικητὴς οὖν ἄριστος, τοὺς σὲ προσκαλουμένους διάσωσον.

Νεκρωθέντα με Μάκαρ τοῖς πταίσμασι, καὶ ταῖς τῶν παθῶν τρικυμίαις ποντούμενον, ἐπιφανεὶς διάσωσον, πρὸς λιμένα τοῦ θείου θελήματος. Θεοτοκίον.

Ἐπὶ σοὶ τὰς ἐλπίδας ἀνέθηκα, Μῆτερ ἀειπάρθενε τῆς σωτηρίας μου. καὶ σὲ προστάτιν τίθημι, τῆς ζωῆς ἀσφαλῆ τε καὶ ἄσειστον.

Εἱρμὸς ἄλλος. Σπλάγχνων Ἰωνᾶν.

Νέος Ἀβραὰμ, ἐδείχθης Νικόλαε, ὡς μονογενῆ Υἱὸν προσάξας τὸν νοῦν, τῷ Δεσπότῃ σου, ἀναιμάκτους θυσίας προσφέρων ἀεί. κἀντεῦθεν εὐλογήθης ὡς φιλόξενος.



Δημόσια Κεντρική Βιβλιοθήκη

Πάτερ, καὶ Τριάδος γέγονας, οἰκητήριον θεῖον καὶ ἄμωμον.

Ξένα καὶ φρικτά, ἐργάζῃ τεράστια, ἐν πάσῃ τῇ γῇ, καὶ ἐν θαλάσσῃ μακράν, κινδυνεύουσι, ταχυδρόμοις λιταῖς ἐπιστάμενος· ἀσθενούντων Ἰατρός, καὶ πτωχευόντων τροφεύς· νίκη κατ' ἐχθρῶν φερώνυμος, τοῦ λαοῦ τοῦ πιστοῦ ἀναδέδειξαι.

Ὄμματι νοὸς, προβλέπων τὰ μέλλοντα, δογμάτων ὀρθῶν, ταύτας ἐνέπλησας· ὁμοούσιον, τῷ Πατρὶ τὸν Υἱὸν καταγγέλλων ἡμῖν. τοῦ Ἀρείου τὴν μανίαν ἐξωλόθρευσας, στήλην ὀρθοδόξου πίστεως, τὰ σεπτά σου προθεὶς κατορθώματα.

Τριαδικόν.

Σέβω καὶ τιμῶ, Τριάδα ἀμέριστον, προσώποις τρισί, διαιρουμένην σαφῶς· ἑνουμένην δέ, τῇ οὐσίᾳ καὶ φύσει ὡς μίαν ἀρχήν, τὸν Πατέρα καὶ Υἱὸν καὶ Πνεῦμα Ἅγιον. πάντων κραταιῶς δεσπόζουσαν, καὶ τὸ πᾶν συντηροῦσαν ὡς βούλεται.

Θεοτοκίον.

Κλίνας Οὐρανούς, ἐν μήτρᾳ σου πάναγνε, Χριστὸς βληθείς, ὅλος ἐσκήνωσεν. ὃ γὰρ ἔφερε, τῶν ἰδίων χειρῶν τὸ πλαστούργημα, καθορῶν ὑπὸ τοῦ πλάνου τυραννούμενον· ἦλθε δουλομόρφῳ σχήματι, τὸ ἀνθρώπινον γένος λυτρώσασθαι.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

Κοντάκιον, ἦχος γ'. Ἡ Παρθένος.

Ἐν τοῖς Μύροις Ἅγιε, Ἱερουργὸς ἀνεδείχθης. τοῦ Χριστοῦ γὰρ Ὅσιε, τὸ Εὐαγγέλιον πληρώσας. ἔθηκας τὴν ψυχήν σου ὑπὲρ Λαοῦ σου· ἔσωσας τοὺς ἀθώους ἐκ τοῦ θανάτου. διὰ τοῦτο ἡγιάσθης, ὡς μέγας Μύστης Θεοῦ τῆς χάριτος.

Ὁ Οἶκος.

Ἀνυμνήσωμεν νῦν τὸν Ἱεράρχην ᾄσμασι, τὸν ἐν Μύροις λαῶν Ποιμένα καὶ Διδάσκαλον, ἵνα ταῖς πρεσβείαις αὐτοῦ ἐλλαμφθῶμεν. ἰδοὺ γὰρ ὤφθη ὅλος καθάρσιος, ἀκήρατος πνεύματι, Χριστῷ προσάγων θυσίαν ἄμωμον, τὴν εἰλικρινῆ Θεῷ εὐπρόσδεκτον, ὡς Ἱεράρχης κεκαθαρμένος καὶ τῇ ψυχῇ, καὶ τῇ σαρκί. ὅθεν ὑπάρχει ἀληθῶς, τῆς Ἐκκλησίας προστάτης, καὶ ὑπέρμαχος ταύτης. Ὡς μέγας Μύστης Θεοῦ τῆς χάριτος.

Τῷ αὐτῷ Μηνὶ ς'. Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, Ἀρχιεπισκόπου Μύρων τῆς Λυκίας, τοῦ Θαυματουργοῦ.

Στ. Ὁ Νικόλαος πρέσβυς ὢν ἐν γῇ μέγας,
Καὶ γῆς ἀποστάς, εἰς τὸ πρεσβεύειν ζέει.
Ἕκτῃ Νικόλεω γ' ἐφάνη βιότοιο τελευτή.

Οὗτος ὑπῆρχεν ἐν τοῖς χρόνοις Διοκλητιανοῦ, καὶ Μαξιμιανοῦ τῶν τυράννων. πρότερον τῇ μοναδικῇ πολιτείᾳ διαπρέψας, καὶ δι' ὑπερβάλλουσαν ἀρετὴν τὴν Ἀρχιερωσύνην ἐδέξατο. Ἐπεὶ δὲ τὰ Χριστιανῶν ἦν πρεσβεύων, καὶ τὴν εὐσέβειαν κηρύττων ἐλευθέρᾳ φωνῇ, συλλαμβάνεται ὑπὸ τῶν τὰ πρῶτα φερόντων τῆς πόλεως· καὶ πληγαῖς καὶ στρεβλώσεσι παρ' αὐτῶν ὑποβληθείς, τῇ εἱρκτῇ ἐναπορρίπτεται μετὰ καὶ ἄλλων Χριστιανῶν. Τοῦ δὲ Μεγάλου καὶ εὐσεβοῦς Κωνσταντίνου τὴν Βασιλείαν τῶν Ῥωμαίων ψήφῳ Θεοῦ ὑποζωσαμένου, ἀφίενται οἱ κατάκλειστοι τῶν δεσμῶν. μεθ' ὧν καὶ ὁ μέγας Νικόλαος ἀφεθείς, τὰ Μύρα κατέλαβεν. Οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ ἡ ἐν Νικαίᾳ πρώτη Σύνοδος συναθροίζεται ὑπὸ τοῦ Μεγάλου Κωνσταντίνου, ἧς μέρος καὶ ὁ θαυμαστὸς Νικόλαος γίνεται. Οὗτος πολλὰ μὲν καὶ ἄλλα ἐποίησε θαύματα, ὡς ἡ κατ' αὐτὸν ἱστορία δηλοῖ. Διέσωσε δὲ καὶ συκοφαντηθέντας ἄνδρας τρεῖς, ἀδίκως μέλλοντας θνήσκειν. Ὡς γὰρ τὸν καιρόν, καθ' ὃν ἔμελλον οὗτοι ἀποτέμνεσθαι, ἐν φυλακῇ ὄντες ἔμαθον, τὸν Ἅγιον εἰς βοήθειαν ἐπεκαλέσαντο, ὑπομνήσαντες αὐτῷ, καὶ ὧν ἐποίησεν ἄλλων εὐεργεσιῶν. καὶ ὅπως τρεῖς ἄνδρας ἐν τῇ Λυκίᾳ ἀναιρεῖσθαι μέλλοντας, διεσώσατο. Τοιγαροῦν ὁ ταχὺς εἰς βοήθειαν, καὶ θερμὸς εἰς ἀντίληψιν, ὁ Ἅγιος φημὶ Νικόλαος, ὀπτάνεται ὄναρ τῷ Βασιλεῖ, καὶ τῷ Ἐπάρχῳ. καὶ τῷ μὲν ἐπιτιμᾷ, διὰ τὴν πρὸς τὸν Βασιλέα εἰς τοὺς ἄνδρας διαβολήν. τὸν δὲ Βασιλέα ἀναδιδάσκων, καὶ ὑπομιμνήσκων ὡς ἀνεύθυνοί εἰσι, καὶ διὰ φθόνον τῷ τῆς καθοσιώσεως ἐγκλήματι ὑπεβλήθησαν. ὅθεν αὐτοὺς λυτροῦται τῆς ἐπικειμένης ἀνάγκης. Πρὸς τούτοις δὲ καὶ ἕτερα πλεῖστα τεράστια ἐκτελέσας, καὶ ἱερῶς τὸν ὀρθόδοξον ποιμάνας λαόν, καὶ εἰς βαθὺ γῆρας ἐληλακώς, πρὸς Κύριον ἐξεδήμησεν.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Ζηρῷ πειρασμῷ, περιπέπτωκα δεινῶς κατακεντούμενος, καὶ πύλαις Ἅδου προσπέλασα, ταῖς ἀθυμίαις βαλλόμενος· σῶσόν με πρεσβείαις σου Μάκαρ, καὶ ἀνάστησον

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ψάλλοντα· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Α'Δύτε φωτὸς, ταῖς αὐλοις ἀςραπαῖς περιλαμπόμενος, τοὺς ἐν τῷ σκότει τῶν θλίψεων, κεκακωμένους ἐξάρπασον. καὶ πρὸς φωτισμὸν εὐφροσύνης, καθοδήγησον ψάλλοντας· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

ΛΥσῶτα Χριςὸν, τὸν Υἱόν σου καὶ Θεὸν Θεογεννήτρια, τοὺς πεπραμμένους δανοῖς πταίσμασι, καὶ ταῖς ἀπάταις τοῦ ὄφεως, αἵματι αὐτοῦ τῷ τιμίῳ, ἀναρρύσασθαι ψάλλοντας· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Εἱρμὸς ἄλλος. Οἱ Παῖδες εὐσεβείᾳ.

ΠΑντοίων χαλεπῶν τε, νοσημάτων Ἰατρὸς πανάριςος, Πάτερ Νικόλαε φανεὶς, τῆς ψυχῆς μου τὴν ἀσθένειαν, ἰασάμενος παράσχου εὐρωςίαν βοᾶν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

ΡΥσάμενος τοὺς πάλαι, ςρατηλάτας ἐκ θανάτου Ἅγιε. τούτους διήγειρας ὑμνεῖν, καὶ δοξάζειν τὸν Σωτῆρα Χριςὸν, μετὰ πίςεως θερμῆς, καὶ ἀνακράζειν σοι· σὲ ἀνευφημοῦμεν σοφὲ ὡς εὐεργέτην.

ΣΟφίας τῷ κρατῆρι, πλησιάσας μυςικῶς τὰ χείλη σου, Πάτερ Νικόλαε κρουνοὺς, ἀμβροσίας ἔνθεν ἤντλησας, ὑπὲρ μέλι καὶ κηρίον τοῖς λαοῖς ἐκβοῶν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ. Τριαδικόν.

ΤΡιάς σε ἀνυμνοῦμεν, μονὰς τριλαμπεςάτη ὁμοούσιε. Πατὴρ, ὁ Υἱὸς ὁ σαρκωθεὶς, καὶ τὸ Πνεῦμα τὸ πανάγιον. ἐν οἷς πάντες βαπτισθέντες ἀναμέλπομεν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

ΕΚ πάντων δεχομένη, τὰς δεήσεις Θεοτόκε πρέσβευε, τῷ σῷ Υἱῷ τε καὶ Θεῷ, λυτρωθῆναι τῆς κολάσεως, τοὺς τιμῶντάς σε κυρίως καὶ δοξάζοντας· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Καταβασ. Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ.

ΩΣ εὐμενὴς καὶ συμπαθὴς, τοὺς ἐν βάθει πειρασμῶν περιχεθέντας, ἐλευθέρωσον μάκαρ, τῶν κατεχόντων δανῶν· τὴν λύσιν βραβεύων πρεσβείαις σου, ταῖς πρὸς τὸν Σωτῆρα, Χριςὸν Ἱερομύςα.

ΜΥςαγωγὸς τῶν ὑπὲρ νοῦν, τῶν Ἁγίων λειτουργὸς, καὶ οὐρανίων, χρηματίζων θεόφρων, Ἀρχιερεῦς τε πιςὸς, πταισμάτων τὴν ἄφεσιν αἴτησαι, παρὰ τοῦ Σωτῆρος ἡμῶν Ἱεροφάντα. Θεοτοκίον.

ΕΞαθενεῖ μου νῦν ὁ νοῦς, εἰς τὰ βάθη ἐμπεσὼν τῆς ἀτιμίας, ὡς ἐντεῦθεν ποικίλοις, περιπαρῆναι κακοῖς. ἀλλὰ σὺ Παρθένε θεράπευσον, τῷ τῆς ἀπαθείας, φωτὶ περιβαλοῦσα.

Εἱρμὸς ἄλλος. Θαύματος ὑπερφυοῦς.

ΤΑ'γματα Πατριαρχῶν, καὶ Ἀποςόλων, Ἱερέων τε, Μαρτύρων δῆμοι, Προφητῶν ὁ σύλλογος, ἅπας δῆμος τῶν εὐσεβῶν, μακαρίζουσι τὴν θείαν πολιτείαν σου. μεθ' ὧν καὶ ἡμᾶς παρακαλοῦμέν σε. μὴ ἐλλίπης ἀεὶ πρεσβεύων πρὸς Κύριον, διαφυλαχθῆναι, ἡμᾶς ἐκ πάσης βλάβης.

ΥΨισε Παμβασιλεῦ μεγαλοκράτορ, ταῖς εὐχαῖς τοῦ ὁσίου ποιμένος, τὴν ζωὴν εἰρήνευσον, πάντων Λόγε Χριςιανῶν· χορηγῶν κατὰ Βαρβάρων εὐσεβεῖ Βασιλεῖ, τὴν νίκην καὶ τὴν ἰσχὺν δεόμεθα· ἵνα πάντες ἀεὶ ὑμνῶμεν τὸ κράτος σου, καὶ ὑπερυψῶμεν εἰς πάντας.

ΦΩτὶ ἐλλαμφθεὶς τῷ ἀπροσίτῳ Πάτερ, τὰς ψυχὰς τῶν ἐν θλίψει αὐγάζεις, διαλύων ἅπαντα, ζόφον σκότους τῶν πειρασμῶν, ἀπαςράπτεις εὐφροσύνην τὰς καρδίας ἡμῶν, ἐν αἷς τηλαυγῶς καταλαμπόμεθα· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. Τριαδικόν.

ΦΩς καὶ ζωὰς καὶ ἓν καὶ τρία φῶτα, τὴν Τριάδα πιςῶς ἀνυμνοῦμεν, πατρικαῖς ἑπόμενοι, θείαις ὄντως ταῖς διδαχαῖς, τὸν Πατέρα καὶ Υἱὸν, καὶ Πνεῦμα Ἅγιον· μεθ' ὧν εὐσεβοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

ΠΡάγματος ξενοπρεποῦς ἡ βάτος τύπον, προεικόνισεν ἄχραντε Κόρη, καιομένη ἄφλεκτος, πάλαι ὄρει ἐν τῷ Σινᾶ, τὸ μυςήριον τοῦ τόκου σου προγράφουσα. τὸ πῦρ γὰρ ἐν σοὶ τὸ τῆς Θεότητος, ἐνοικῆσαν, ἀλώβητόν σε τετήρηκε. διό σε ὑμνοῦμεν εἰς πάντας.

Καταβ. Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος.

Ὠδὴ θ΄. Ἀνάρχου Γεννήτορος.

ΛΑμπάσι τῆς χάριτος, θεόφρων φωτιζόμενος, καὶ Φωςὴρ εὐσεβείας, σαφῶς γενόμενος, τοὺς ἐν πειρασμοῖς διασώζεις, τοὺς ἐν βυθῷ, θαλάσσης λυτροῦσαι· καὶ τρέφεις

λιμώττοντας, παραδόξως τρισμακάριστε.

Ὡς ἐν Παραδείσῳ τῆς τρυφῆς, νῦν αὐλιζόμενος, καὶ τὴν ἄφρασον δόξαν τρανῶς θεώμενος, ἐκ τῶν οὐρανίων ἁψίδων, τοὺς ὑμνητὰς, τοὺς σοὺς ἐποπτεύεις, παθῶν ἐκλυτρούμενος, θεοφόρε τρισμακάριστε. Θκ.

Σοφίαν καὶ δύναμιν, καὶ Λόγον ἐνυπόστατον, τοῦ Πατρὸς Θεομῆτορ, Ἁγνὴ γεγέννηκας, ἐκ τῶν σῶν ἀχράντων αἱμάτων, τὸν ἑαυτοῦ ναὸν προσλαβοῦσαν· καὶ τούτῳ καθ' ὑπόστασιν, ἑνωθεῖσαν ἀδιαίρετον.

Εἱρμὸς ἄλλος. Μυστήριον ξένον.

Χορεύσατε Πνεύματι, πάντες φιλέορτοι, Οὐρανοὶ εὐφραίνεσθε, ὄρη τε καὶ βουνοὶ, Ἐκκλησίαι παρθένων, καὶ χοροὶ ἀσκητῶν, ἐν τῇ μνήμῃ τοῦ τρισμακάρος· ἐν ᾗ συνελθόντες, τὸν Σωτῆρα μεγαλύνομεν.

Ψαλάτωσαν ὕμνοις, τὰ πέρατα ἅπαντα, ἐγκωμίων στέμμασι, πάντες τὴν κορυφὴν, Νικολάου τοῦ θείου κοσμοῦντες σαφῶς, τοῦ θεράποντος Χριστοῦ τοῦ Θεοῦ· δι' οὗ ἐκ παθῶν τε, καὶ κινδύνων λυτρωθείημεν.

Ὡς ἄξιον δέχου, τὸν ὕμνον Νικόλαε, τοῦ μικροῦ πονήματος τούτου, ὥσπερ Χριστὸς, προσεδέξατο τῆς χήρας τὰ δύο λεπτά. μὴ βδελύξῃ με τὸν ἄθλιον· παθῶν, ὁ κομπάζων γὰρ, τρισμάκαρ κατετόλμησα. Τριαδικόν.

Ἑνίζεται, ὁμουσίῳ θελήματι, ἡ Τριὰς μερίζεται, πάλιν προσωπικῶς, ἀμερίστως συντηροῦσα τὸ κράτος ἀεί· ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ ζῶν· ὁ εἷς τρισυπόστατος Θεὸς, ὃν μεγαλύνομεν. Θεοτοκίον.

Λιέσωσαι πᾶσα, ἡ κτίσις τῷ τόκῳ σου· καὶ ἀφεῖλε Κύριος, θρῆνον καὶ ὀδυρμὸν, καὶ πᾶν δάκρυον, ἐκ παντὸς προσώπου Ἁγνὴ, Θεοτόκε παναμώμητε, ἐν σοὶ καὶ ἡμᾶς τὰς ὀφειλὰς ἀποπληροῦμεθα.

Καταβασ. Μυστήριον ξένον ὁρῶ καὶ παράδοξον.

Ἐξαπος. Γυναῖκες ἀκουτίσθητε.

Τὸν μέγαν Ἀρχιποίμενα, καὶ Ἱεράρχην ἅπαντες, τὸν πρόεδρον τῶν Μυρέων, Νικόλαον εὐφημοῦμεν. πολλοὺς γὰρ ἄνδρας ἔσωσεν, ἀδίκως θνήσκειν μέλλοντας. καὶ Βασιλεῖ ὀπτάνεται, σὺν Ἀβλαβίῳ κατ' ὄναρ, λύων τὴν ἄδικον ψῆφον.

Θεοτοκίον. Ὅμοιον.

Σοφίαν ἐνυπόστατον, καὶ Λόγον ὑπερούσιον, καὶ Ἰατρὸν τῶν ἀπαύστων, Χριστὸν τεκοῦσα Παρθένε, τὰ ἕλκη καὶ τὰ τραύματα, τῆς ψυχῆς μου θεράπευσον, τὰ χαλεπὰ καὶ χρόνια· καὶ τῆς καρδίας μου παῦσον, τὰς ἀπρεπεῖς ἐνθυμήσεις.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν, στ. δ'. καὶ ψάλλομεν στ. ἦχος α'.

Τῶν οὐρανίων ταγμάτων.

Τῆς Ἐκκλησίας τὰ ἄνθη περιϊπτάμενος, ὡς νεοττὸς τῆς ἄνω, καλιᾶς τῶν Ἀγγέλων, Νικόλαε τρισμάκαρ κράζεις ἀεὶ, πρὸς τὸν Θεὸν ὑπὲρ πάντων ἡμῶν, τῶν ἐν ἀνάγκαις κινδύνων καὶ πειρασμῶν, καὶ λυτροῦσαι ταῖς πρεσβείαις σου.

Τῆς ἱερᾶς διπλοΐδος τὴν ὡραιότητα, ταῖς πρακτικαῖς ἐργάσω, ἀρεταῖς λαμπροτέραν, Πάτερ Θεοφόρε· ὅθεν ἡμῖν ἱερουργεῖς τὰ τεράστια· τῶν ἀοιδίμων θαυμάτων ἱερουργὲ, τῶν δεινῶν ἡμᾶς λυτρούμενος.

Τῶν ἀθεάτων τὰ κάλλη περιερχόμενος, τὴν φοβερὰν ἐκείνην, κατενόησας δόξαν, Ἅγιε Ἁγίων. ὅθεν ἡμῖν, τὰ οὐράνια λόγια, τῶν ἀῤῥήτων ἐκείνων θεωριῶν, ἐποπτεύεις ἱερώτατε.

Ὡς ἐν ὀνάρῳ ἐπέστης τῷ εὐσεβεῖ Βασιλεῖ, καὶ τοὺς δεσμώτας Πάτερ, ἐκ θανάτου ἐρρύσω· πρέσβευε ἀπαύστως, ὅπως καὶ νῦν, ταῖς εὐχαῖς σου ῥυσθείημεν, ἐκ πειρασμῶν καὶ κινδύνων καὶ ὀδυνῶν, οἱ ἀξίως εὐφημοῦντές σε.

Δόξα, ἦχος πλ. α'.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, σκιρτήσωμεν ἑόρτια, καὶ χορεύσωμεν ἀγαλλόμενοι, τῇ ἐτησίῳ πανηγύρει τοῦ Θεοφόρου Πατρός· Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὸν δι' ὀνάρου φρικτῆς ἐπιστασίας, Βασιλέα πείθοντα, ἀναιτίους κρατουμένους τρεῖς, ἀπολῦσαι στρατηλάτας ἀνυμνείτωσαν. Ποιμένες καὶ Διδάσκαλοι, τὸν τοῦ καλοῦ Ποιμένος ὁμόζηλον Ποιμένα, συνελθόντες εὐφημήσωμεν. οἱ ἐν νόσοις τὸν Ἰατρόν· οἱ ἐν κινδύνοις τὸν ῥύστην· οἱ ἁμαρτωλοὶ τὸν προστάτην· οἱ πένητες τὸν θησαυρόν· οἱ ἐν θλίψεσι τὴν παραμυθίαν· τὸν συνοδίτην οἱ ὁδοιπόροι· οἱ ἐν θαλάσσῃ τὸν κυβερνήτην. οἱ πάντες, τὸν πανταχοῦ θερμῶς προφθάνοντα, μέγιστον Ἱεράρχην, ἐγκωμιάζοντες οὕτως εἴπωμεν. Παναγιε Νικόλαε, πρόφθασον ἐξελοῦ ἡμᾶς, τῆς ἐνεστώσης ἀνάγκης, καὶ σῶσον τὴν ποίμνην σου ταῖς ἱκεσίαις σου.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Καὶ νῦν. Θεοτοκίον. ἦχος ὁ αὐτός.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων· προκύψασα γὰρ ἄνωθεν, ἡ Παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς ἀνυμνοῦντας αὐτήν. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τεξασαν· τοὺς θανάτῳ κρατουμένους πρὶν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος ὑπέραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν· τὴν λυχνίαν τὴν χρυσαυγῆ, τὴν φωτοφόρον νεφέλην, τὴν τῶν Οὐρανῶν πλατυτέραν, τὴν ἔμψυχόν τε κιβωτόν· τὸν πυρίμορφον τοῦ Δεσπότου θρόνον, τὴν μανναδόχον χρυσέαν στάμνον, τὴν κεκλεισμένην τοῦ Λόγου πύλην· τὴν πάντων Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις, ἐγκωμιάζοντες οὕτως εἴπωμεν· παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς, τῆς Οὐρανῶν Βασιλείας. οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Δίδοται καὶ ἅγιον ἔλαιον ἐκ τῆς Κανδήλας τοῦ Ἁγίου. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ, καὶ ἀπὸ τῶν Κανόνων. Ὠδὴ γ΄. καὶ ς΄. Ἀπόστολον δὲ, καὶ Εὐαγγέλιον, ζήτει τοῦ μεγάλου Ἀντωνίου, τῇ ιζ΄. τοῦ Ἰαννουαρίου Μηνός.

Μηνὶ τῷ αὐτῷ ζ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀμβροσίου Ἐπισκόπου Μεδιολάνων· ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ η΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παταπίου· ζήτει τὴν Ἀκολουθίαν εἰς ἕνα Ὅσιον.

Μηνὶ τῷ αὐτῷ Θ΄.

Ἡ Σύλληψις τῆς Ἁγίας καὶ Θεοπρομήτορος Ἄννης. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν, στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Κ Αρπογονοῦσα ἡ στεῖρα παρ' ἐλπίδα, Παρθένον τὴν μέλλουσαν, τίκτειν Θεὸν ἐν σαρκί. ἀγαλλιάσει φαιδρύνεται· χορεύει χαίρει. μεγαλοφώνως Ἄννα κραυγάζουσα· φυλαί μοι συγχάρητε, ἅπασαι τοῦ Ἰσραήλ· κυοφορῶ, καὶ τὸ ὄνειδος τῆς ἀπαιδίας, ἐναποτίθεμαι ὡς ηὐδόκησεν, ὁ Εὐεργέτης ἐπακούσας μου, τῆς προσευχῆς καὶ κατώδυνον, θεραπεύσας καρδίαν, δι' ὠδίνων ὡς ὑπέσχετο. Δίς.

Ὁ Ἐξ ἀνικμοῦ πηγάσας ὕδωρ πέτρας, καρπὸν τῇ κοιλίᾳ σου, Ἄννα χαρίζεται, τὴν Ἀειπάρθενον Δέσποιναν, ἐξ ἧς τὸ ὕδωρ, τῆς σωτηρίας μέλλει προέρχεσθαι· οὐκ ἔτι ὡς ἄκαρπος, γῆ παροικεῖς ἐπὶ γῆς. ὀνειδισμοῦ ἠλλοτρίωσαι· γῆν γὰρ βλαστήσεις, καρποφοροῦσαν ζωῆς τὸν ἄσταχυν, τὸν τὰ ὀνείδη ἀφαιρούμενον, πάντων βροτῶν ὡς ηὐδόκησε, διὰ σπλάγχνα ἐλέους, μορφωθῆναι τὸ ἀλλότριον. Δίς.

Τ Ὧν Προφητῶν αἱ προρρήσεις ἐκπληροῦνται. ὄρος γὰρ τὸ ἅγιον λαγόσιν ἵδρυται· κλίμαξ ἡ θεία φυτεύεται· θρόνος ὁ μέγας, τοῦ Βασιλέως προετοιμάζεται. τόπος εὐτρεπίζεται ὁ θεοβάδιστος. βάτος ἡ ἄφλεκτος ἄρχεται, ἀναβλαστάνειν. ἡ μυροθήκη τοῦ ἁγιάσματος, ἤδη πηγάζει τῆς στειρώσεως, τοὺς ποταμοὺς ἀναστείλασα, τῆς θεόφρονος Ἄννης. ἣν ἐν πίστει μακαρίσωμεν. Δίς.

Δόξα, καὶ νῦν, ἦχος β΄. Γερμανοῦ.

Τ Ὸ ἀπόρρητον τοῖς Ἀγγέλοις, καὶ ἀνθρώποις μεγαλεῖον, καὶ ἀπ' αἰῶνος χρησμοδοτούμενον μυστήριον παράδοξον, σήμερον ἐν ταῖς λαγόσι τῆς σώφρονος Ἄννης, βρεφουργεῖται Μαρία ἡ Θεόπαις· ἑτοιμαζομένης εἰς κατοικίαν τοῦ Παμβασιλέως τῶν αἰώνων, καὶ εἰς ἀνάπλασιν τοῦ γένους ἡμῶν. ἣν ἐν καθαρῷ συνειδότι καθικετεύσωμεν, ἀναβοῶντες πρὸς αὐτήν· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, ὡς προστασία ὑπάρχουσα ἡμῶν τῶν Χριστιανῶν, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχον. στιχηρὰ προσόμοια. ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Ἄ Ννα ἡ θεία χάρις ποτὲ, προσευχομένη ὑπὲρ τέκνου ἐβόησε, τῷ πάντων Θεῷ καὶ Κτίστῃ· Ἀδωναῒ Σαβαώθ, τὸ τῆς ἀπαιδίας οἶδας ὄνειδος. αὐτὸς τὴν ὀδύνην μου, τῆς καρδίας διάλυσον, καὶ τοὺς τῆς μήτρας, καταῤῥάκτας διάνοιξον, καὶ τὴν ἄκαρπον, καρποφόρον ἀνάδειξον. ὅπως τὸ γεννησόμενον, δῶρον σοι προσάξωμεν, εὐλογοῦντες ὑμνοῦντες, καὶ ὁμοφρόνως δοξάζοντες, τὴν σὴν εὐσπλαγχνίαν. δι' ἧς δίδοται τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Στίχ. Ἄκουσον Θύγατερ.

Η Ἄλαι προσευχομένη πιστῶς, Ἄννα ἡ σώφρων, καὶ Θεῷ ἱκετεύουσα, Ἀγγέλου φωνῆς



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ἀκούει, προσβεβαιοῦντος αὐτῇ, τὴν τῶν αἰτουμένων θείαν ἔκβασιν. πρὸς ἣν ὁ Ἀσώματος, ἐμφανῶς διελέγετο· ἡ δέησίς σου, πρὸς τὸν Κύριον ἤγγισε· μὴ σκυθρώπαζε, τῶν δακρύων ἀπόστηθι. εὔκαρπος χρηματίσεις γάρ, ἐλαία βλαστάνουσα, κλάδον ὡραῖον Παρθένον· ἥτις τὸ ἄνθος ἀνθήσει, Χριστὸν κατὰ σάρκα, παρεχόμενον τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δ. Ὤμοσε Κύριος.

Ζεῦγος καρπογονεῖ τὸ σεπτόν, τὴν θείαν δάμαλιν ἐξ ἧς προελεύσεται, ὁ μόσχος ἀρρήτῳ λόγῳ, ὁ σιτευτὸς ἀληθῶς, ὑπὲρ ὅλου Κόσμου προθυόμενος. διὸ γεγηθότες, ἐξομολόγησιν ἄπαυστον, ἐν κατανύξει τῷ Κυρίῳ προσάγουσι, καὶ τὴν σύμπασαν ἐποφείλουσαν ἔχουσι. τούτους οὖν μακαρίσωμεν, καὶ πίστει χορεύσωμεν, ἐν τῇ συλλήψει ἐνθέως, τῆς ἐξ αὐτῶν τοῦ Θεοῦ ἡμῶν, Μητρὸς τικτομένης· δι' ἧς δίδοται πλουσίως τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος β'.

Σήμερον ἐκ ῥίζης τοῦ Δαβίδ, βασιλικὴ πορφυρὶς ἐκβλαστήσασα, τοῦ Ἰεσσαὶ βλαστάνειν ἀπάρχεται, τὸ ἄνθος τὸ μυστικόν· ἐν ᾗ Χριστὸς ὁ Θεὸς ἡμῶν ἐξηνθήσεν, ὁ σῴζων τὰς ψυχὰς ἡμῶν.

Τροπάριον, ἦχος δ'.

Σήμερον τῆς ἀτεκνίας δεσμὰ διαλύονται. τοῦ Ἰωακεὶμ γὰρ καὶ τῆς Ἄννης εἰσακούων Θεός, παρ' ἐλπίδα τεκεῖν αὐτοὺς σαφῶς ὑπισχνεῖται Θεόπαιδα, ἐξ ἧς αὐτὸς ἐτέχθη ὁ ἀπερίγραπτος, βροτὸς γεγονώς, δι' Ἀγγέλου κελεύσας βοῆσαι αὐτῇ· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Κανόνες τῆς Ὀκτωήχου, καὶ τῆς Ἁγίας Ἄννης, εἰς ς'. ὁ Κανὼν ποίημα τοῦ Κυρίου Ἀνδρέου.

Ὠδὴ α'. ἦχος α'. Ὠδὴν ἐπινίκιον.

Τὴν σύλληψιν σήμερον θεόφρον Ἄννα, τὴν σὴν ἑορτάζομεν. ὅτι τὴν χωρήσασαν, τὸν μηδαμοῦ χωρητόν, συνέλαβες στειρωτικῶν, ἀπολυθεῖσα δεσμῶν.

Δικαίων ἐπήκουσας τὰς ἱκεσίας· Ἁγίων ἐπλήρωσας, τὰς ἐντεύξεις Κύριε, τῶν Προπατόρων σου· καὶ τούτοις δέδωκας καρπόν, τὴν σὲ τεκοῦσαν Ἁγνήν.

Ἡ Ἄννα ἡ ἔνδοξος νῦν συλλαμβάνει, Ἁγνὴν τὴν τὸν ἄσαρκον, συλλαβοῦσαν Κύριον, τὸν ὑπεράγαθον· καὶ τίκτειν μέλλει τὴν σαρκί, μέλλουσαν τίκτειν Χριστόν.

Θεοτοκίον.

Τὸ ὄρος τὸ ἅγιον ὅπερ προεῖδε, Προφήτης ἐν Πνεύματι, ἐξ οὗ λίθος τέτμηται, τοὺς τῶν Εἰδώλων βωμούς, συντρίψας σθένει θεϊκῷ, σὺ εἶ Παρθένε Ἁγνή.

Ὠδὴ γ'. Στερεωθήτω ἡ καρδία μου.

Καρπὸν κοιλίας εἰ παράσχοις μοι, ἀνεβόα Ἄννα πρὸς Κύριον, μεγαλυνθήσομαι καὶ σοί, τοῦτον προσαναθήσομαι. διὰ τοῦτο συλλαμβάνει, τὴν Ἁγνὴν Θεομήτορα.

Ἐν Παραδείσῳ εὐχομένης σου, τῆς φωνῆς ἀκούει ὁ Ὕψιστος, Ἄννα θεόφρον καὶ καρπόν, τῇ κοιλίᾳ σου δίδωσι, Παραδείσου τὴν ἀνοίξασαν, τὴν θύραν τῆς χάριτος.

Τὰ κατὰ νόμον ἐκτελέσασα, καὶ Θεῷ ἀμέμπτως δουλεύσασα, κυοφορεῖς τὴν ἀληθῶς, Νομοδότην κυήσασαν, Ἄννα πάνσεμνε· διό σε οἱ πιστοὶ μακαρίζομεν.

Θεοτ.

Τῆς στειρευούσης διανοίας μου, ἀκαρπίαν πᾶσαν ἀπέλασον, καὶ καρποφόρον ἀρεταῖς, τὴν ψυχήν μου ἀνάδειξον, Παναγία Θεοτόκε, τῶν πιστῶν ἡ βοήθεια.

Κάθισμα. ἦχος α'. Χορὸς Ἀγγελικός.

Χορὸς προφητικός, προεκήρυξε πάλαι, τὴν ἄμωμον Ἁγνήν, καὶ Θεόπαιδα Κόρην· ἣν Ἄννα συνέλαβε, στεῖρα οὖσα καὶ ἄγονος. ταύτην σήμερον, ἀγαλλιάσει καρδίας, μακαρίσωμεν, οἱ δι' αὐτῆς σεσωσμένοι, ὡς μόνην πανάμωμον.

Ἕτερον, ἦχος δ'. Ὁ ὑψωθείς.

Ἰωακεὶμ ὁ ἱερὸς καὶ ἡ Ἄννα, δῶρα προσήγαγον τοῖς πρὶν Ἱερεῦσι· καὶ μὴ δεχθέντες ἄγονοι τυγχάνοντες, δέησιν προσηύξαντο, τῷ δοτῆρι τῶν ὅλων, καὶ τῆς προσευχῆς αὐτῶν, ἐπακούσας δωρεῖται, τούτοις τὴν ὄντως πύλην τῆς ζωῆς· ἧς τὴν ἁγίαν τιμήσωμεν σύλληψιν.

Ὠδὴ δ'. Ἐν Πνεύματι προβλέπων.

Ὢ θείας ἀγγελίας, ὢ ξένης λαλιᾶς· εἰ κἀγὼ συλλήψομαι, Ἀγγέλου πρὸς αὐτήν, ἀποστελέντος, ἡ Ἄννα ἐκπληττομένη, μεγαλοφώνως, ἀνεβόα τῷ Θεῷ μου· δόξα τῷ ποιοῦντι παράδοξα.

Συγχάρητέ μοι πᾶσαι, φυλαὶ τοῦ Ἰσραήλ· ἐν γαστρὶ συνέλαβον, τὸν νέον Οὐρανόν· ἐξ οὗ τὸ Ἄστρον, ἀνατελεῖ μετ' ὀλίγον, τῆς σωτηρίας, Ἰησοῦς ὁ φωτοδότης, Ἄννα γηθομένη ἐκραύγαζεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΥΠήκουσε τῆς Ἄννης, Θεὸς τοὺς στεναγμοὺς, καὶ πρόσεχε Κύριος δεήσεως αὐτῆς. καὶ ἀτεκνίας τὸ νέφος διασκεδάσας, φωτὶ αὐγάζει ἀτεκνίας παραδόξως. ὅθεν συλλαμβάνει τὴν μόνην Ἁγνήν. Θεοτοκίον.

ΠΑρθένε Θεοτόκε, ἀμόλυντε σκηνὴ, μολυνθέντα πταίσμασι, καθάρισόν με νῦν, τῶν οἰκτιρμῶν σου καθαρωτάταις ῥανίσι. καὶ δός μοι χεῖρα βοηθείας ἵνα κράζω· δόξα σοι Ἁγνὴ θεοδόξαστε.

Ὠδὴ ε'. Τὴν σὴν εἰρήνην.

ΕΚ ῥίζης ἡ βλαστήσασα Δαβὶδ καὶ Ἰεσσαὶ, Ἄννα νῦν βλαστάνειν ἀπάρχεται, τὴν θείαν ῥάβδον, τὴν βλαστήσασαν, τὸ μυστικὸν ἄνθος, Χριστὸν τὸν πάντων Κτίστην.

ΜΗτέρα γενομένην με, ἡ Ἄννα ἐκβοᾷ, ὄψονται λαοὶ, καὶ θαυμάσουσιν· ἰδοὺ γὰρ κύων ὡς ηὐδόκησεν, ὁ τὰ δεσμὰ λύσας, τὰ τῆς στειρώσεώς μου.

ΝΕάνιν ἣν συνέλαβον, ἐγὼ προφητικαὶ, πόῤῥωθεν φωναὶ προκατήγγελλον, ὄρος καὶ στύλον ἀδιόδευτον, περιχαρῶς Ἄννα ἐβόα τοῖς παροῦσι. Θεοτοκίον.

ΝΕφέλην καὶ Παράδεισον, καὶ στύλον σε φωτὸς, τράπεζαν καὶ τόκον γινώσκομεν, καὶ στάμνον ἔνδον μάννα φέρουσαν, τὸν γλυκασμὸν τῷ Κόσμῳ, Ἁγνὴ Παρθενομῆτορ.

Ὠδὴ ς'. Τὸν Προφήτην Ἰωνᾶν.

ΠΩς χωρᾶται ἐν γαστρὶ, ἡ χωρήσασα Θεόν; πῶς γεννᾶται τὸν Χριστὸν ἡ γεννήσασα σαρκί; θηλάζει δὲ, πῶς ἡ τὸν Κτίστην γάλα θηλάσασα;

ΤΗς δεήσεως ὑμῶν, ἐπακούσας ὁ Θεὸς, γονιμώτατον καρπὸν, νῦν δεδώρηται ὑμῖν, πανεύφημοι, Ἰωακείμ τε καὶ Ἄννα σήμερον.

ΤΗν Ἁγνὴν περιστερὰν, συλλαβοῦσα ἐν γαστρὶ, χαρμονῆς πνευματικῆς, ἐπληρώθη ἀληθῶς, προσάγουσα, χαριστηρίους ᾠδὰς ἡ Ἄννα Θεῷ. Θεοτοκίον.

ΤΡικυμίαι λογισμῶν, καὶ παθῶν ἐπαγωγαὶ, καὶ βυθὸς ἁμαρτιῶν, τὴν ἀθλίαν μου ψυχὴν, χειμάζουσι· βοήθησόν μοι ἁγία Δέσποινα.

Κοντάκ. ἦχος δ'. Ἐπεφάνης σήμερον.

ΕΟρτάζει σήμερον ἡ Οἰκουμένη, τὴν τῆς Ἄννης σύλληψιν, γεγενημένην ἐκ Θεοῦ. καὶ γὰρ αὐτὴ ἀπεκύησε, τὴν ὑπὲρ λόγον, τὸν Λόγον κυήσασαν.

Ὁ Οἶκος.

ΣΥ ὁ τῇ Σάῤῥᾳ δοὺς ποτὲ, ἐν γήρᾳ βαθυτάτῳ, τῇ σῇ ἐπιστασίᾳ, καὶ ἐν ἐπαγγελίᾳ Υἱὸν τὸν μέγαν Ἰσαάκ. σὺ ὁ διανοίξας τὴν στειρεύουσαν νηδὺν τῆς Ἄννης παντοδυνάμε, μητρὸς Σαμουὴλ τοῦ Προφήτου σου. καὶ νῦν ἐπιδὼν ἐπ' ἐμὲ, πλήρωσόν μου τὰς αἰτήσεις, καὶ δέξαιμου τὰς δεήσεις, ἐβόα ἐν κλαυθμῷ ἡ σώφρων Ἄννα καὶ στεῖρα. καὶ ἐπήκουσεν αὐτῆς ὁ Εὐεργέτης. ὅθεν ἐν χαρᾷ συνέλαβε τὴν Παρθένον, τὴν ὑπὲρ λόγον, τὸν Λόγον κυήσασαν.

Μηνὶ τῷ αὐτῷ Θ'. Ἡ Σύλληψις τῆς Ἁγίας Ἄννης, Μητρὸς τῆς Θεοτόκου.

Στ. Οὐχ ὥσπερ Εὔα καὶ σὺ σὺν λύπαις τέκεις. Χαρὰν γὰρ, Ἄννα, ἔνδον κοιλίας φέρεις. Ἀμφ' ἐννάτῃ τέκε Κούρην ἱερὰν Ἄννα. Τῇ δ' ἐννάτῃ Μαρίην Θεομήτορα σύλλαβεν Ἄννα.

ΟΚύριος ἡμῶν καὶ Θεὸς, θέλων ἑτοιμάσαι ἑαυτῷ ναὸν ἔμψυχον, καὶ οἶκον ἅγιον εἰς κατοικίαν ἑαυτῷ, τὸν Ἄγγελον αὐτοῦ ἀποστείλας πρὸς τοὺς δικαίους Ἰωακεὶμ καὶ Ἄνναν, (ἐξ ὧν ἠθέλησε προελθεῖν τὴν κατὰ σάρκα Μητέρα αὐτοῦ,) προεμήνυσε τὴν σύλληψιν τῆς ἀγόνου καὶ στείρας, ἵνα βεβαιώσῃ τῆς Παρθένου τὴν γέννησιν. Ὅθεν συνελήφθη ἡ Ἁγία Παρθένος Μαρία, καὶ ἐγεννήθη, οὐχ ὥς τινες λέγουσι μηνῶν ἑπτὰ, ἢ χωρὶς ἀνδρός. ἀλλὰ ἐννέα τελείων μηνῶν ἐγεννήθη· καὶ ἐξ ἐπαγγελίας μὲν, ἐξ ἀνδρὸς δὲ συναφείας καὶ σπορᾶς. Ἐγεννήθη δὲ ἐκ τῆς Ἁγίας Παρθένου Μαρίας ἀποῤῥήτως καὶ ἀνερμηνεύτως, ὡς οἶδε μόνος ἐκεῖνος, χωρὶς τῶν τῆς σαρκὸς θελημάτων. καὶ τέλειος ὑπάρχων Θεὸς, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ταύτα αὐτοῦ τῆς κατὰ σάρκα Οἰκονομίας, τέλεια προσελάβετο· καθὼς καὶ τὴν τῶν ἀνθρώπων φύσιν ἐδημιούργησε, καὶ ἔπλασε τὸ καταρχάς. Ταύτην οὖν τὴν ἡμέραν πανηγυρίζομεν, ὡς ἀνάμνησιν ἔχουσαν τῶν ὑπ' Ἀγγέλου δοθέντων χρησμῶν, τὴν ἁγίαν Σύλληψιν εὐαγγελισαμένου τῆς Ἁγνῆς Θεομήτορος. οὗ ἔργα τοιῶν, ὁ ἐκ τοῦ μηδενὸς ὑποστήσας τὰ σύμπαντα Θεὸς, διήγαρε τὴν στειρεύουσαν νηδὺν, εἰς καρπογονίαν· καὶ τὴν ἐν ἀπαιδίᾳ τὸν βίον καταγηράσασαν, παιδοτόκον Μητέρα παραδόξως ἐργάζεται. Ἄξιον τέρας τῆς δικαίας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αἰτήσεως τῶν δικαίων, τοῦτο παραχών, ἐξ ἧς αὐτὸς ἔμελλε σαρκοφόρος Θεὸς προελθεῖν, εἰς ἀναγέννησιν τοῦ παντὸς, Θυγατέρα τεκεῖν τοὺς σώφρονας εὐδοκήσας, Γεννήτορας Θεοῦ, καὶ ἀνθρώπων μεσίτορας, τὴν πρὸ αἰώνων ἐκ πασῶν γενεῶν γενήσεσθαι προωρισμένην τε, καὶ ἐκλελεγμένην. Τελεῖται δὲ αὕτη ἡ σύναξις ἐν τῷ σεβασμίῳ οἴκῳ τῆς Θεοτόκου, τῷ ὄντι ἐν τοῖς Εὐραΐοις, πλησίον τῆς ἁγιωτάτης Ἐκκλησίας.

Ὠδὴ ζ΄. Τοὺς ἐν καμίνῳ Παῖδάς σου.

Τῆς ἀπαιδίας ὄνειδος φυγεῖν, ἱκέτευεν Ἄννα τὸν Δεσπότην τοῦ παντός. καὶ τῆς αὐτῆς ὁ συμπαθὴς φωνῆς ἀκούσας, τὴν αὐτὸν κυήσασαν, καρπὸν παρέχει αὐτῇ, καθὼς ηὐδόκησε.

Βασιλικὴ πορφύρα ἐν τῇ σῇ, ἀπάρχεται Ἄννα, ἐξυφαίνεσθαι γαστρί. ἣν ὁ Θεὸς καὶ Βασιλεὺς πάντων φορέσας, τοῖς βροτοῖς ὀφθήσεται. καὶ ταπεινώσει ἐχθροὺς, τοὺς πολεμοῦντας ἡμᾶς.

Τὸ μύρον τὸ εὐῶδες ἐν γαστρί, συνέλαβες Ἄννα, τὴν τὸ μύρον τῆς ζωῆς, ὑπερφυῶς εἰσδεξαμένην τὸν Δεσπότην, τὸν πνοαῖς τῆς Χάριτος, τὰς διανοίας ἡμῶν εὐωδιάσαντα.

Ὡς τῆς Τριάδος ἕνα σε Χριστὲ, δοξάζομεν· ὅτι ἐκ Παρθένου σαρκωθεὶς, δίχα τροπῆς ἀνθρωπικῶς, πάντα ἠνέγκω· μὴ ἐκστὰς τῆς φύσεως, τῆς πατρικῆς Ἰησοῦ, εἰ καὶ ἡνώθης ἡμῖν.

Ὠδὴ η΄. Ὃν φρίττουσιν Ἄγγελοι.

Δαβὶδ ἣν προέφησε, Βασίλισσαν ἰδοὺ, γαστρὶ ὑποδέχομαι, ἡ Ἄννα ἐκβοᾷ· καὶ τέξω τὴν πάντων, προστασίαν πιστῶν, τὴν τὸν Βασιλέα, Χριστὸν μέλλουσαν τίκτειν.

Ἡ Γῆ ἣν κατῴκησεν, ὁ γῆς Δημιουργὸς, τὸ σκῆπτρον τὸ ἅγιον, ἡ νέα κιβωτὸς, ἡ στάμνος τοῦ μάννα, ἐν νηδύϊ Μητρὸς, τῆς αὐτὸν τεκούσης ἀπάρχεται βλαστάνειν.

Ἡ Βάτος ἡ ἄφλεκτος, λυχνία ἡ χρυσῆ, ὁ ἔμψυχος θάλαμος, Κυρίου τοῦ Θεοῦ· ἡ ἔντιμος ῥάβδος, ἐν Γαστρὶ τῆς Μητρὸς, τῆς αὐτὸν τεκούσης, ἀπάρχεται βλαστάνειν.

Θεοτοκίον.

Ἰάτρευσον κάμνοντα, εἰς βάθη με κακῶν· τοὺς νῦν πολεμοῦντάς με, πολέμησον ἐχθρούς· τρωθέντα ἀτόποις, ἡδοναῖς τὴν ψυχὴν, Ἁγνὴ μὴ παρίδῃς, ἀλλ᾿ οἴκτειρον καὶ σῶσον.

Ὠδὴ θ΄. Τὴν ζωοδόχον πηγήν.

Τὴν ζωοδόχον πηγὴν συλλαμβάνουσα, Ἄννα θεόφρον, χαρᾷ νῦν ἀνάλαβε. τὸν ναὸν τὸν ἅγιον, ἔνδον ἐν κοιλίᾳ σου, εἰσδεχομένη φωτὶ δικαιοσύνης, ἀστραπτομένη τὸν Κτίστην μεγάλυνον.

Ἡ ξυνωρὶς ἡ σεπτὴ καὶ ἀοίδιμος, τοῦ πρὸ αἰώνων Θεοῦ οἱ Προπάτορες, οἱ τοῦ νόμου φύλακες, ἀκριβεῖς γενόμενοι, οἱ ἀπαρχὴν τῆς χαρᾶς γεγεννηκότες, Ἰωακεὶμ τε καὶ Ἄννα τιμάσθωσαν.

Ἣν Δανιὴλ ὄρος μέγα τεθέαται, καὶ Ἰωὴλ γῆν ἁγίαν τετήρηκε, πύλην ἀδιόδευτον, ἄλλος ἣν προέφησεν, ἐσφραγισμένην πηγὴν καὶ θεῖον τόκον, τὴν Θεοτόκον Παρθένον ὑμνήσωμεν.

Θεοτοκίον.

Ἡ πορφυρὶς ἡ τὸ ἔριον βάψασα, τῆς ἀπορρήτου τοῦ Λόγου σαρκώσεως, τὸ θυμιατήριον, τὸ χρυσοῦν, ἡ τράπεζα· ἐν ᾗ ὁ ἄρτος Χριστὸς ἐναπετέθη, ἡ Θεοτόκος Παρθένος δοξάζεται.

Ἐξαποστειλάριον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ἡ τοῦ Θεοῦ Σοφία, οἰκοδομεῖ τὸν ἑαυτῆς, οἶκον ἐκ στείρας νηδύος, τὴν Θεοτόκον Μαριάμ· ἣν μακαρίσωμεν πᾶσαι, αἱ γενεαὶ κατὰ χρέος.

Θεοτοκίον. Ὅμοιον.

Θεοκυῆτορ Μαρία, τῶν γηγενῶν εὐκληρία· ἁμαρτωλῶν προστασία, Χριστιανῶν ἐλπὶς μόνη, καὶ κοσμικὴ προμήθεια, ῥῦσαι πυρὸς ἀπειλῆς με.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἵσταμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ. ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Ἡ τῶν ἀνθρώπων τὸ πρώην φύσις στειρεύουσα, τῆς πρὸς Θεὸν ἐλπίδος, ἀπαρχὴν εὐσεβείας, βλαστάνει τὴν Παρθένον· δι᾿ ἧς τῶν καλῶν, εὐφορία κηρύττεται, ἐν τῇ συλλήψει τῇ ταύτης ἐπὶ τῆς γῆς, ἐπιδοῦναι τῇ ἐλεύσει Χριστοῦ. Δίς.

Ἡ ἀδιόδευτος πύλη τοῦ Βασιλέως Χριστοῦ, τῇ τοῦ Θεοῦ βουλήσει, ἐν ἀκάρπῳ νηδύϊ, τὴν ἵδρυσιν λαμβάνει, ἧς ἐπὶ γῆς, προτιθεμένης ἀρθήσονται, τῶν οὐρανίων αἱ πύλαι, καὶ τοῖς βροτοῖς, παραχωρήσουσι τὴν εἴσοδον.

Ὧν πρὸ αἰώνων ἀρρήτως ὑπὸ Θεοῦ τοῖς βροτοῖς, προκηρυχθέντων θείων, καὶ φρικτῶν μυστηρίων, προοίμιον τῇ πίστει, ἡ τῆς ἁγνῆς, καὶ Θεόπαιδος σύλληψις δι᾿ ἧς τὰ ἔργα τοῦ σκότους καὶ τῶν παθῶν, ἐκκοπῆναι προμηνύεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δόξα, καὶ νῦν, ἦχος β'.

Σήμερον ἐκ ῥίζης τοῦ Δαβίδ, βασιλικὴ πορφυρὶς ἐκβλαστήσασα, τοῦ Ἰωακεὶμ βλαστὸν ἀπάρχεται, τὸ ἄνθος τὸ μυστικόν. ἐν ᾗ Χριστὸς ὁ Θεὸς ἡμῶν ἐξεβλάστησεν, ὁ σῴζων τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν Λειτουργίαν, τὰ τοιαῦτα ζήτει Σεπτεμβρίῳ θ'. Μηνὶ τῷ αὐτῷ ι'.

Τῶν Ἁγίων Μαρτύρων Μηνᾶ, Ἑρμογένους, καὶ Εὐγράφου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας. Μηνὶ τῷ αὐτῷ ια'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Δανιὴλ τοῦ Στυλίτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Τῷ αὐτῷ Μηνὶ ΙΒ'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Θαυματουργοῦ Σπυρίδωνος.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν, στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος πλ. α'.

Χαίροις ἀσκητικῶν.

Χαίροις Ἀρχιερέων κανών, τῆς Ἐκκλησίας ἀδιάσειστον ἔρεισμα, τὸ κλέος τῶν ὀρθοδόξων, ἡ τῶν θαυμάτων πηγή, τῆς ἀγάπης ῥεῖθρον μὴ κενούμενον. φωστὴρ ὁ πολύφωτος· τὸ τοῦ Πνεύματος ὄργανον. ὁ νοῦς ὁ θεῖος, ὁ πρᾶος καὶ ἀκέραιος. ὁ ἁπλότητι ἀληθεῖ καλλυνόμενος. ἄνθρωπε ἐπουράνιε. ἐπίγειε Ἄγγελε, τοῦ ἀμπελῶνος ἐργάτα· ὁ τοῦ Χριστοῦ φίλος γνήσιος. αὐτὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δωρηθῆναι τὸ μέγα ἔλεος.

Πρᾶος καὶ κληρονόμος τῆς γῆς, σὺ τῶν πραέων ἀληθῶς ἀναδέδειξαι, Σπυρίδων Πατέρων δόξα· ὁ ταῖς νευραῖς τῶν σοφῶν, καὶ ἁπλῶν σου λόγων θείᾳ χάριτι, ἐχθρὸν τὸν παμπόνηρον, καὶ παράφρονα Ἄρειον, ἐναποπνίξας. καὶ τὸ δόγμα τὸ ἔνθεον, καὶ σωτήριον, ἀνυψώσας ἐν Πνεύματι. πάντας τοὺς ὀρθοδόξους τε, φωτίσας τρανώτατα, ἵνα δοξάζειν τὸν Λόγον, ὡς ἀληθῶς ὁμοούσιον, Πατρὶ προανάρχῳ, παρεχόμενον τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Πάθη ἀπονεκρώσας σαρκός, νεκροὺς ἐν χάριτι Θεοῦ ἐξανέστησας· καὶ ὄφιν χρυσοῦν εἰργάσω. καὶ ποταμοῦ τὰς ὁρμάς, προσευχῇ σου Πάτερ ἐχαλίνωσας. νυκτὸς Βασιλεῖ δέ, ἐπιφανεὶς κινδυνεύοντι, τοῦτον ἰάσω, τῇ καθ' ὕπαρ ἐγγύτητι, τοῦ Κυρίου σε, παραδόξως δοξάζοντος· ὅθεν μεγαλοφώνως σου, τὴν μνήμην γεραίρομεν, καὶ τῶν λειψάνων Σπυρίδων, τὴν ἱερὰν κόνιν σέβομεν. ἐξ ἧς ἀναβλύζεις, ἰαμάτων θεῖα ῥεῖθρα, καὶ μέγα ἔλεος.

Δόξα. Ἰδιόμελον, ἦχος α'.

Ὅσιε Πάτερ μακάριε, Σπυρίδων σοφέ, τὴν νεκρὰν ὥσπερ ζῶσαν ἐπερωτᾷς, δι' ἀγάπην Θεοῦ. ὄφιν δὲ μετέβαλες εἰς χρυσόν, ὁ πενίαν ἀσκῶν. ῥοῦσιν δὲ ἐπέσχες ποταμοῦ, συμπαθήσας λαῷ. Βασιλεῖ δὲ παρέστης ἰατήρ, τῇ προνοίᾳ Θεοῦ. νεκροὺς δὲ πάλιν ἤγειρας, ὡς αὐτοῦ μαθητής. τὴν πίστιν δὲ ἐτράνωσας, ἀναμέσον Πατέρων πολλῶν. πάντα οὖν ἰσχύων, ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ· αὐτὸν καὶ νῦν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον. Τὴν παγκόσμιον δόξαν.

Τὰ Ἀναγνώσματα, ζήτει εἰς Ἱεράρχην.

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια, ἦχος α'.

Νεφέλην φωτός.

Πανήγυρις φαιδρά, ἱερὰ πανδαισία, δεῦτε πιστοὶ μεθέξωμεν. Σπυρίδων καὶ γὰρ ἡμᾶς συγκαλεῖται, ἑστιάτωρ ὢν πνευματικός. οὗ ἡ τράπεζα θεία, ἡδέα τὰ θαύματα, αἱ πράξεις ἀθάνατοι. αὐτοῦ μιμησώμεθα τὸ πρᾷον, τὸ ἄκακον, τὸ ἁπλοῦν, τὸ φιλάνθρωπον, τὸ περὶ πάντας σοφόν. ἐν οἷς ἐν Ἀρχιερεῦσιν, ὡς φῶς ἐξέλαμψε. Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Μεγίστων ποιητής, ἀρετῶν καὶ θαυμάτων, ἀνεδείχθης Σπυρίδων σοφέ. τοῖς μέντοι καταφαιδρύνας τὸν βίον, ὑπὲρ φέγγος τὸ ἡλιακόν· τοῖς δὲ καταλαμπρύνας Κόσμον τὸν περίγειον, ὑπὲρ ἀστραπὰς Οὐρανοῦ. ἀμφοῖν ὡραιότατος δεικνύμενος ὅσιε, τῶν προσφευγόντων ἐν πίστει ταῖς προστασίαις σου.

Στίχ. Οἱ Ἱερεῖς σου Κύριε.

Ὢ θαύματος φρικτοῦ, ἡ νεκρὰ πυνθομένῳ, φωνὴν ζῶσαν σοι δέδωκεν. ὁ ῥοῦς δὲ τοῦ ποταμοῦ ἀνεστάλη διὰ λόγου σου προστακτικοῦ. ἡ τοῦ ἄνακτος νόσος, εὐχῇ σου φυγαδεύεται. ὁ ὄφις εἰς εἶδος χρυσοῦ ἀντιμετηλλάττετο· νεκροὶ ἐξηγέρθησαν. ἐνήργει γὰρ ἐν σοὶ ὁ Χριστός, Σπυρίδων ἱερουργέ, ὁ τῆς Τριάδος τὸ δόγμα, ἀνακηρύξας τρανῶς.

Δόξα. Ἰδιόμελον, ἦχος β'.

Ἱεραρχῶν τὸ θεῖον καμήλιον, Πάτερ ὅσιε Σπυρίδων σοφέ, σὺ ἐν ἀρεταῖς ἀναδέδειξαι. ὅθεν τῆς Ἐκκλησίας πρόστωρ γενόμε-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νος, Αἱρεσιάρχας ἐξώθησας· καὶ τὸ Ἀρείου τὸ βλάσφημον συνοδικῶς εἰς γῆν κατηδάφισας. διὸ θαυματουργῶν ἐν ἔργῳ καὶ λόγῳ, τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον. Τὴν πᾶσαν ἐλπίδα μου.

Ἀπολυτίκιον, ἦχος δ΄. Κανόνα Πίστεως.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολογίαν. Κάθισμα. ἦχος γ΄.

Τὴν ὡραιότητα.

Ὄφιν μετέβαλες, εἰς χρυσὸν Ἅγιε, καὶ ταῖς τῶν λόγων σου, νευραῖς ἀπέπνιξας, τὸν δυσσεβῆ καὶ πονηρὸν Ἄρειον Θεοφόρε. Βασιλεῖ δὲ γέγονας ἰατρὸς πανοίδιμε. καὶ νεκροὺς ἐξήγειρας, δαίμονάς τε ἀπήλασας. διὸ σοὶ συνελθόντες ὑμνοῦμεν, Ἱεράρχα, τὴν μνήμην τὴν πάντιμον. Δόξα, τὸ τέλος.

Καὶ νῦν. Θεοτοκίον. Τὴν ὡραιότητα.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ Λόγον.

Ἀνακτόροις καὶ μύσαις θεοπρεπῶς, ἐν συλλόγῳ πανσέπτῳ φιλοσοφῶν, τρανῶς διεσάφησας, τῆς Τριάδος τὴν δύναμιν. ἀρρήτως μάκαρ ὤφθης, ἑνάδος ἰσότιμος. καὶ ἐν μιᾷ οὐσίᾳ, σαφῶς ἐδογμάτισας. ὅθεν ὑπὲρ λόγον, κατ᾽ ἐπίπνοιαν θείαν, καθεῖλες τὸν φλύαρον, τῇ δυνάμει τοῦ Πνεύματος, Ἱεράρχα θεσπέσιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Παναγία Παρθένε Μήτηρ Θεοῦ.

Οἱ Ἀναβαθμοί. τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

Στίχ. Ἐν Ἐκκλησίαις εὐλογεῖτε.

Τό, Πᾶσα πνοή. Εὐαγγέλιον, ζήτει εἰς Ἱεράρχην. ὁ Ν΄. καὶ τὸ Ἰδιόμελ. ἦχος πλ. β΄.

Πατέρων ἀγλάϊσμα Σπυρίδων σοφέ, καὶ ἀκροθίνιον, τῇ τῶν θαυμάτων σου αἴγλῃ, τῆς Οἰκουμένης φωτίζων τὰ πέρατα· καὶ τῆς λύσσης Ἀρείου καθαιρέτης φανείς, τὸν Σωτῆρα ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ Κανὼν τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου εἰς η΄.

Ὠδὴ α΄. ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε.

Τὴν πραέων γῆν καταλαβών, Πάτερ ὡς πρᾳότατος, καὶ συμπαθὴς καὶ καθαρὸς γενόμενος, τὸν ἐπανιστάμενον, τῇ καρδίᾳ μου καταπράϋνον κλύδωνα· ὅπως ἐν γαλήνῃ, θείᾳ γεγονὼς ἀνευφημήσω σε.

Γεωργίαις θείαις τὴν ψυχήν, Πάτερ καθηράμενος, θεοειδὴς Σπυρίδων ἐχρημάτισας· καὶ τοῦ θείου Πνεύματος, τὴν ὑπέρλαμπρον, κατεπλούτησας ἔλλαμψιν. ὅθεν καταυγάζεις, τοὺς εἰλικρινῶς σε μακαρίζοντας.

Ἐκ ποιμνίων ὥσπερ τὸν Δαβίδ, σὲ ἀναλαβόμενος, ὁ πλαστουργὸς λογικῆς ποίμνης ἔθετο, ποιμένα πανάριστον, τῇ ἁπλότητι, καὶ πρᾳότητι λάμποντα· καὶ τῇ ἀκακίᾳ, Ὅσιε ποίμνην καλλωπιζόμενον. Θεοτοκίον.

Παναγία ἄχραντε Ἁγνή, φώτισον ἁγίασον, τὸν λογισμὸν καὶ τὴν ψυχήν μου δέομαι· τὰ νέφη σκεδάζουσα, τῆς ἀγνοίας μου, καὶ τοῦ σκότους ἐξαίρουσα, τοῦ τῆς ἁμαρτίας· ὅπως κατὰ χρέος μακαρίζω σε.

Ὠδὴ γ΄. Ἐν πέτρᾳ με τῆς πίστεως.

Τὸν νοῦν σου ἀπαθείᾳ καταλαμπρύνας, καὶ θείᾳ ταπεινώσει καθωραΐσας, χαρίσματα τοῦ Πνεύματος ὑπεδέξω, διώκων πνεύματα, λύων νοσήματα, τῶν πιστῶς τιμώντων σε Ἱερώτατε.

Τὸν ὄφιν τὸν ἀρχέκακον ἀποκτάνας, τὸν τρόπον τὸν φιλάργυρον συμπατήσας. οἰκτείρων τὸν δεόμενον Ἱεράρχα, ὄφιν μετέβαλες χρυσοῦν εἰς κόσμιον, ἱεραῖς ἐντεύξεσι, Πάτερ Ὅσιε.

Ἀνῆλθες πρὸς τὸ ὄρος τῆς ἀπαθείας· εἰσέδυς εἰς τὸν γνόφον τῆς θεωρίας· πλαξὶ δὲ τῆς καρδίας σου εἰσεδέξω, νόμον σωτήριον, ὡς ἱερώτατος, καὶ θεράπων γνήσιος τοῦ Δεσπότου σου. Θεοτοκίον.

Θεράπευσον τὰ τραύματα τῆς ψυχῆς μου, τὸν νοῦν μου σκοτιζόμενον ἀμελείᾳ, Θεόνυμφε καταύγασον, ἵνα ψάλλω. οὐκ ἔστιν ἄμεμπτος, ὡς σὺ Παναμώμε· καὶ οὐκ ἔστιν ἄχραντος, πλὴν σοῦ Δέσποινα.

Κάθισμα. ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Τοῖς λόγοις ἐκόσμησας, τὴν Ἐκκλησίαν Χριστοῦ. τοῖς ἔργοις ἐτίμησας, τὸ κατ᾽ εἰκόνα Θεοῦ, Σπυρίδων μακάριε. ἔλαμψας ἐν τῷ Κόσμῳ, τῇ ἐν σῇ σωφροσύνῃ, χάριτας ἰαμάτων, ἀπαστράπτων τοῖς πᾶσι. διὸ καὶ ἑορτάζομεν πίστει τὴν μνήμην σου.

Ἕτερον. Τὴν σοφίαν καὶ Λόγον.

Ἐκ ποιμνίου προβάτων ἐπιστατῶν, τῆς Χριστοῦ Ἐκκλησίας προχειρισθεὶς, ποιμὴν θεοπρόβλητος, σὺ Σπυρίδων ἀνέλαμψας. κακοδοξίας λύκους, ἐλάσας τοῖς λόγοις σου, ἐν



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀσέβειας πάσης, αὐτὴν ἐκτρεφόμενος. ὅθεν ἀναμέσον, Θεοφόρων Πατέρων, τὴν πίστιν ἐτράνωσας, ἐν σοφίᾳ τοῦ Πνεύματος, Ἱεράρχα μακάριε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι. Θεοτοκίον. Ὅμοιον.

Ὡς παναμώμος Νύμφη τοῦ Ποιητοῦ, ὡς ἀπείρανδρος Μήτηρ τοῦ λυτρωτοῦ· δοχεῖον ὡς ὑπάρχουσα, τοῦ Παρακλήτου πανύμνητε. ἀνομιῶν με ὄντα αἰσχρὸν καταγώγιον, καὶ δαιμόνων παίγνιον, ἐν γνώσει γενόμενον. σπεῦσον καὶ τῆς τούτων, κακουργίας με ῥῦσαι, λαμπρὸν οἰκητήριον, δι' ἀρετῆς ἀπαρτίσασα, φωτοδόχε ἀκήρατε. δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω μεθέξεως ἀξίωσον, καὶ φωτὸς ἀνεσπέρου πρεσβείαις σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὴν σφαγὴν σου καὶ θάνατον Ἰησοῦ, ὁ γλυκὺς καὶ ἡδύτατος φωτισμός, τιμῶσα ἡ σύμπασα, κτίσις φόβῳ δοξάζει σε. ἀλλ' ἐμὴ καρδία, δονεῖται καὶ φλέγεται, κατανοοῦσα Σῶτερ, ὀδύνας σταυρώσεως. ὅθεν τὴν χαράν μοι, ἀναστὰς ἐκ τοῦ τάφου, ἀνάτειλον Δέσποτα· καὶ θεράπευσον ἄλγος μου, ἡ πανάχραντος κλαίουσα, Θεοτόκος ἐκραύγαζεν. ἣν πρεσβείαν βαλλόμεθα, πρὸς σὲ τὸν ὑπεράγαθον, ὅπως ἡμῖν δωρήσῃς, τὸ μέγα σου ἔλεος.

Ὠδὴ δ'. Ἐλήλυθας, ἐκ Παρθένου.

Τοῖς ἄνθραξι, τοῦ σεπτοῦ ἀναπτόμενος Πνεύματος, παθῶν ἀκατάπρηστον, ὕλην παμμάκαρ ἐνέπρησας. Κόσμον δὲ πυρσεύμασι, τῶν ἀρετῶν σου Σπυρίδων κατελάμπρυνας.

ΗΥθομένῳ, ἡ νεκρά σοι φωνὴν Πάτερ δέδωκε, ποτάμια ῥεύματα, σαῖς ἐπεσχέθη προστάξεσιν. ὤφθης γὰρ μακάριε, τερατουργός, θείαν χάριν κληρωσάμενος.

Νεκρώσας σου, τῆς σαρκὸς τὰς κινήσεις θεόπνευστε, νεκροὺς ἐξανέστησας, ζωοποιῷ σου προσρήματι. ὅθεν ἱκετεύω σε, τὴν νεκρωθεῖσαν ψυχήν μου, Πάτερ ζώωσον.

Θεοτοκίον.

Προφῆταί σου, μυστηρίου τὸ βάθος προήγγειλαν, τὸ ἀκατανόητον. μόνη γὰρ ἔτεκες ἄχραντε, τὸν ἀπερίοριστον, σεσαρκωμένον δι' οἶκτον ἀδιήγητον.

Ὠδὴ ε'. Ὁ φωτισμός.

Ὁ Ποταμός, τῶν ἐν σοὶ χαρισμάτων πᾶσαν ἀρδεύει, ὅσιε καρδίαν πᾶσι δωρεῖται, ῥεῖσιν πλουσίαν, ταύτας πρὸς δόξαν διεγείραντι τοῦ σὲ δοξάσαντος, καὶ θαυματουργίαις παντοίαις τιμήσαντος.

Σὲ βασιλεὺς, ὁ ἐπίγειος μάκαρ τοῦ Βασιλέως, τοῦ Ἐπουρανίου σαφῶς ἐπέγνω, γνήσιον δοῦλον, καὶ χαρίσματος θείου, πεπληρωμένον, ἐν τῷ παραινεῖσε, μέγαν ἰατρὸν, πρὸς Θεοῦ μεμυημένον.

Τοῦ Ἀβραὰμ, τὸν φιλόξενον τρόπον σὺ ἐμιμήσω, πᾶσι τῆς οἰκίας σου τὰς εἰσόδους, ἀναπετάσας· καὶ τοῖς πᾶσι τὰ πάντα, χρηματίσας καὶ προμηθούμενος, τῶν ἐν περιστάσει, Σπυρίδων Μακάριε. Θεοτοκίον.

Νέον ἡμῖν, ἀπεγέννησας βρέφος τὸν πρὸ αἰώνων, Κόρη γεννηθέντα, Πατρὸς ἀνάρχου· ὃν ἐκδυσώπει ὡς Υἱὸν καὶ Θεόν σου, οἰκτειρῆσαι τοὺς Θεοτόκον σε, Πάναγνε ψυχῇ καθαρᾷ καταγγέλλοντας.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὁ Χρυσὸς ὡς πηλός σοι λελόγισται, τῷ ὑπὲρ χρυσὸν ἀπαθείᾳ ἀστράπτοντι, καὶ πλουτισθέντι Ὅσιε, δωρεαῖς ταῖς παγχρύσοις τοῦ Πνεύματος.

Καθαρῶς λατρεύων τῷ Δεσπότῃ σου, πλῆθος ἔχεις ὅσιε, καθυπακοῦον σοι, Ἀγγελικῶν δυνάμεων, ἀοράτοις φωναῖς ἱερώτατε.

Ὁ Περίδοξος πάνσοφε βίος σου, Κόσμῳ σε περίδοξον Πάτερ εἰργάσατο. διὸ τὴν θείαν μνήμην σου, γεγηθότες τελοῦμεν ὑμνοῦντές σε. Θεοτοκίον.

Οὐρανῶν πλατυτέρα ἡ μήτρα σου, γέγονεν ἀπείρανδρε, Θεὸν χωρήσασα, τὸν μηδαμοῦ χωρούμενον, Παναγία Παρθένε πανύμνητε.

Κοντάκιον, ἦχος β'. Τὰ ἄνω ζητῶν.

Τῷ πόθῳ Χριστοῦ, τρωθεὶς ἱερώτατε, τὸν νοῦν πτερωθεὶς, τῇ αἴγλῃ τοῦ Πνεύματος· πρακτικῇ θεωρίᾳ, τὴν πρᾶξιν εὗρες θεόληπτε, θυσιαστήριον θεῖον γενόμενος, αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν. Ὁ Οἶκος.

Τὸν ἐκ κοιλίας ἡγιασμένον, Ἱεράρχην Κυρίου ἀνευφημήσωμεν Σπυρίδωνα, τὸν τῆς Χάριτος πλάκας δεξάμενον θείας δόξης, καὶ ἐν θαύμασι περιβόητον πᾶσι· καὶ ὡς θερμὸν, καὶ αὐτόπτην τῆς θείας ἐλλάμψεως. ὡς τῶν πενήτων προστάτην, καὶ τῶν ἁμαρτανόντων ψυχαγωγόν. οὗτος γὰρ θείῳ βουλήματι Ἱεράρχης πιστὸς ἀναδέδεικται, Αἰτούμενος πᾶσι θείαν ἔλλαμψιν.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

**Τῷ αὐτῷ Μηνὶ ιβ΄. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Θαυματουργοῦ Σπυρίδωνος.**

Στίχ. Ὁ Θαυματουργὸς κἂν τέθνηκε Σπυρίδων,
Τοῦ θαυματουργεῖν οὐκ ἔληξεν οὐσέτι.
Ἀμφὶ δυωδεκάτῃ Σπυρίδων βίοτον λίπε τόνδε.

Οὗτος ἤκμασεν ἐπὶ τῆς βασιλείας Κωνσταντίνου τοῦ Μεγάλου, καὶ Κωνσταντίου τοῦ Υἱοῦ αὐτοῦ. Ἦν δὲ τὸν τρόπον ἁπλοῦς, τὴν καρδίαν ταπεινός. Ἐγένετο δὲ ἀπ᾽ ἀρχῆς ποιμὴν προβάτων· ἔπειτα δὲ γυναικὶ προσομιλήσας, μετὰ τὴν αὐτῆς ἀποβίωσιν, Ἐπίσκοπος κατέστη. Ἐπὶ τοσοῦτον δὲ ἡ χάρις τῶν ἰαμάτων αὐτῷ ἐδόθη παρὰ Θεοῦ, ὡς ἐπωνυμίαν αὐτῷ γενέσθαι τὰ θαύματα. Καὶ γὰρ ἐν αὐχμῷ κατήγαγεν ὑετόν· καὶ πάλιν αὐτοῦ τὴν ἀμετρίαν ἐκώλυσε δι᾽ εὐχῆς. Καὶ μελετώμενον λιμὸν παρὰ τῶν σιτοκαπήλων, ἔλυσε, συμπεσουσῶν αὐτοῖς τῶν ἀποθηκῶν, αἳ τὸν σῖτον συνεῖχον. Καὶ ὄφιν μετέβαλεν εἰς χρυσόν· καὶ μετὰ τὸ λῦσαι δι᾽ αὐτοῦ τὴν τοῦ πένητος συμφορὰν, πάλιν τὸν χρυσὸν εἰς ὄφιν ἀποκατέστησε. Καὶ ποταμῶν ῥεύματα ἔστησε. Καὶ πόρνην τολμήσασαν προσψαῦσαι, ἐξαπατᾶν ἔπαυσε, καὶ ἐξαγορεῦσαι τὰ ἑαυτῆς. Καὶ τοὺς ἐπὶ λόγοις φρονοῦντας μέγα, ἐν τῇ κατὰ Νίκαιαν Συνόδῳ, δυνάμει τοῦ Ἁγίου Πνεύματος ἐπεστόμισε. Καὶ γυναικός τινος παρακαταθήκην ζητούσης, ἤδη οὖσαν τὴν αὐτῆς θυγατέρα νεκρὰν, ἐπανερόμενος τοῦ παρετέθη τὰ χρήματα, καὶ παρ᾽ αὐτῆς μαθὼν ἔνθα κέκρυπται, τῇ τούτων Κυρίᾳ ἀπέδωκε. Καὶ τὸν Βασιλέα Κωνστάντιον τοῦ συνέχοντος πάθους ἀπήλλαξε. Καὶ παῖδα τινὸς γυναικὸς ἀνεζώωσε. Καὶ τὸν κατὰ πλεονεξίαν τὴν αἶγα λαβεῖν βουλόμενον διήλεγξε, τῆς μιᾶς ἐκείνης αἰγὸς πρὸς τὴν μάνδραν ἀπὸ τοῦ ταύτην ἕλκοντος βίᾳ μεταχωρησάσης· μετὰ δὲ τὸ τὴν τιμὴν αὐτῆς ἀπαριθμήσασθαι τὸν ἐξωνούμενον, σὺν ταῖς λοιπαῖς μενούσης. Ἰάσατο δὲ καὶ τοῦ Διακόνου τὴν ἀφωνίαν· ὃς μικρὰν εὐχὴν ἐπιτραπεὶς ἔν τινι καύματι, διὰ κενοδοξίαν μεγάλην ἐξέτεινε, καὶ εὐθὺς εἰς ἀφωνίαν κατέστη. Τούτῳ συνυπακούοντες ὤφθησαν Ἄγγελοι, καὶ τῷ Πνεύματί σου, ἀντιφθεγξάμενοι· ἐν τῷ τὴν εἰρήνην συνήθως ἐν τῇ Ἐκκλησίᾳ διδόναι. Τῶν γὰρ ἐν λαμπάσι φώτων παρὰ τῶν ὑπηρετῶν ἀναφθέντων ὀλίγων, καὶ τοῦ Ὁσίου δυσχεραίνοντος ἐπὶ τούτῳ, μὴ παρεῖναι τινὰς ἔλεγον ἐν τῇ Ἐκκλησίᾳ, καὶ μὴ δεῖσθαι πλείονος δᾳδουχίας. Ἐμαρτυρήθη δὲ τῷ Ἁγίῳ ἄνωθεν, ὅτι θεατὰς μᾶλλον Ἀγγέλους εἶχεν ἐν ταῖς εὐχαῖς συμψάλλοντας. Ἡ δὲ ἐν τῷ λύχνῳ ἤδη μαραινομένου τοῦ ἐν αὐτῷ φωτὸς, καὶ λήγοντος διὰ τροφῆς ἔνδειαν, ἡ ἐξαίφνης τοῦ ἐλαίου ἀνάβλυσις, τίνας οὐκ ἐξέπληττε τῷ θαύματι; πολλοῖς δὲ ἐκ προγνώσεως θείας περὶ τῶν μελλόντων ἐθέσπισε. Καὶ τὸν Ἐπίσκοπον Τριφύλλιον νουθετήσας, τοῖς ἐν Κόσμῳ τερπνοῖς προσκείμενον, ποθεῖν τὰ μέλλοντα μᾶλλον ἔπεισε. Καὶ τὴν μοιχευθεῖσαν γυναῖκα, τὴν μηδὲ ἐξομολόγησιν δεχομένην, ἀλλ᾽ ἐν τῷ τίκτειν, τὸν ἴδιον ἄνδρα πείθουσαν, ὅτι ἐξ αὐτοῦ εἴη τὸ ἐγκυμονούμενον, καίτοι μῆνας εἴκοσιν ἀποπλεύσαντα, καὶ μὴ συγγενόμενον αὐτῇ, ἐπιτιμήσας, θανάτῳ παρέδωκε. Τούτῳ θέρους ὥρᾳ ἐν ἡλίῳ φλέγοντι, δρόσου πλήρης ἡ κεφαλὴ ἐφαίνετο, δηλοῦντος τοῦ Θεοῦ, τὴν ἐπ᾽ αὐτῷ γενησομένην τιμήν. Οὕτως δὲ ἦν συμπαθὴς, ἐδήλωσε τὸ συμβὰν εἰς τοὺς τὴν ποίμνην αὐτοῦ συλῆσαι ἐπιχειρήσαντας. Οὐ μόνον γὰρ αὐτοὺς ἀορασίᾳ κρατηθέντας, τοῦ πάθους ἀπήλλαξεν, ἀλλὰ καὶ κριὸν ἕνα ἐπιδοὺς, ἀπέλυσεν εἰπών· ὡς ἂν μὴ ὦσι μάτην ἠγρυπνηκότες. Οὗτος τὸ καταπιστευθὲν ποίμνιον ἰθύνας καλῶς, πρὸς τὴν τῶν Ἀγγέλων πολιτείαν καὶ διαγωγὴν μετετάξατο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Ἀποστολείῳ τοῦ Ἁγίου καὶ κορυφαίου Πέτρου, τῷ συγκειμένῳ τῇ ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ.

Ὠδὴ ζ΄. Ἀντίθεον πρόσταγμα.

Μωσέως τὸ ἄπλαστον, Δαβὶδ τὸ πρᾶον, Ἰὼβ τοῦ Αὐσίτιδος, τὸ ἄμεμπτον κτησάμενος, τοῦ Πνεύματος γέγονας κατοικητήριον, μέλπων Ἱερώτατε· ὁ ὢν εὐλογημένος καὶ ὑπερένδοξος.

Ψεκάδες τῇ κάρᾳ σου ἐν ὥρᾳ θέρους, οὐράνιαι στάζουσαι, τὸ μέλλον προεσήμαινον. Θεὸς γὰρ ὡς ἔφησας, τὴν θείαν μνήμην σου, Ὅσιε ἐδόξασε πιστοὺς, καθαγιάζων τῇ μεσιτείᾳ σου.

Συνόδῳ Πατέρων σὲ Θεὸς δοξάζει, ἐν κρίσει τοὺς λόγους σου, φυλάξαντα μακάριε· οὓς πίστει προσήγαγες τὸν ἀλογώτατον, Ἄρειον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μωραί.

μωραίνοντας σαφῶς. καὶ καταργοῦντας τὴν τούτου εὔστασιν. Θεοτοκίον.

Τὸν βότρυν ἐβλάστησας ἀρρήτῳ λόγῳ, Παρθένε ὡς ἄμπελος, τὸν πᾶσιν ἀγεώργητον, οἶνον ἀναβλύζοντα, τὸν ἁγιάζοντα, καὶ πάντας εὐφραίνοντα βροτοὺς, καὶ πᾶσαν μέθην, δαιμόνων ἐξαίροντα.

Ὠδὴ η΄. Κάμινος ποτέ.

Κάμινον παθῶν, ταῖς θείαις ἐπομβρίαις, τοῦ θείου Πνεύματος κατέσβεσας. καὶ δρόσον ἐπήγασας, νοσημάτων Πάτερ καύσωνα, ἐξαίρουσαν τὴν πίστει σοι πάντοτε προσιόντων, μάκαρ Σπυρίδων πανόλβιε.

Ἄκακος ἦθος, πρᾶος συμπαθής τε, καὶ ἀνεξίκακος γεγένησαι, ἀγάπῃ φιλόξενος, Ἱεράρχης ἱερώτατος· φρονήματι κοσμούμενος ὥσπερ ὀρθοδόξῳ. ὅθεν σε πίστει γεραίρομεν.

Ἄλαλοι φωνὴν, ὡς ζῶσα ἡ θανοῦσα, διερωτῶντι Πάτερ δέδωκεν. ὢ θαῦμα ἐξαίσιον. ὢ παράδοξον μυστήριον. ὢ χάριτος ἧς ἔτυχες, βίῳ κεκοσμημένος, Ἀγγελικῷ ἀξιάγαστε. Θεοτοκίον.

Πάθη τῆς ἐμῆς, θεράπευσον καρδίας, τῇ συμπαθείᾳ σου πανύμνητε· τὸν νοῦν μου εἰρήνευσον, τὴν ψυχήν μου φωταγώγησον· καὶ βαίνειν με εὐόδωσον, τρίβους πρὸς σωτηρίας· ὅπως ἀεὶ μεγαλύνω σε.

Ὠδὴ θ΄. Ἀνάρχου Γεννήτορος.

Ἀνάρχου Γεννήτορος τρανῶς Υἱὸν ἐκήρυξας, ὁμοούσιον Πάτερ καὶ συναΐδιον, μέσον Θεοφόρων Πατέρων μεγαλυνθεὶς, καὶ τῶν ἀνομούντων, ἐμφράξας τὰ στόματα, Ἱεράρχα παμμακάριστε.

Πολύφωτε Ἥλιε, Πατέρων ἐγκαλλώπισμα, Ἱερέων τὸ κλέος, Ἀγγέλων σύσκηνε, τοὺς τὴν φωτοφόρον σου μνήμην, χαρμονικῶς, νῦν ἐπιτελοῦντας, φωτὸς καταξίωσον, ἀνεσπέρου ταῖς πρεσβείαις σου.

Τὰ θεῖα σκηνώματα, ἡ πύλη ἡ οὐράνιος, ἡ τῶν ἑορταζόντων τερπνὴ ὁμήγυρις, τὴν ἡγιασμένην ψυχήν σου, καὶ ἀρεταῖς καθωραϊσμένην, παμμάκαρ ἐδέξαντο, ἐν φωνῇ ἀγαλλιάσεως. Θεοτοκίον.

Τὸ μέγα μυστήριον, τῆς ὑπὲρ νοῦν λοχείας σου, καταπλήττει Ἀγγέλους, Θεοχαρίτωτε. θέλγει τῶν Ὁσίων τὸν δῆμον, τοὺς ἱεροὺς εὐφραίνει Πατέρας, εὐθέως ὑμνοῦντάς σε, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Ἐξαπος. Ἐν Πνεύματι τῷ ἱερῷ.

Ἐδόξασεν ἐν θαύμασι, σὲ καὶ τέρασι πλείστοις, ὁ Κύριος μακάριε. ἐν γὰρ θείᾳ Συνόδῳ, Τριάδα ἀνεκήρυξας. καὶ νεκροὺς ἀνέστησας. τὸν ὄφιν χρυσοῦν εἰργάσω. ποταμοῦ δὲ τὸ ῥεῖθρον, παραδόξοις προσευχαῖς, ἀνέστειλας καὶ μετῆλθες. Θεοτοκίον.

Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ὁ θεῖος οἶκός σου Κόρη, θαυμάτων ὤφθη πλουσία, κρήνη πηγάζουσα πᾶσι, θαυμάτων καὶ ἰαμάτων, Θεοκυῆτορ πελάγη. διὸ τιμῶμέν σε πόθῳ, καὶ μεγαλύνομεν πίστει.

Εἰς τοὺς Αἴνους, στιχ. προσόμοια, ἦχος α΄.

Τῶν οὐρανίων Ταγμάτων.

Ἐν τῇ τοῦ Πνεύματος αἴγλῃ καταλαμπόμενος, τὸ ζοφερὸν καθεῖλεν, ὁ σοφὸς Ἱεράρχης, Ἀρείου τὸ ληρῶδες. ὅθεν ἁπλῶς, δογματίσας Τριάδα πιστῶς, ὑπὸ σοφῶν ἐδοξάσθη καὶ συνετῶν, καὶ τὴν Σύνοδον ἐκύρωσε. Δίς.

Ταῖς οὐρανίαις ἀκτῖσι περιλαμπόμενος, τῇ τοῦ Χριστοῦ δυνάμει, τὰς ἰάσεις παρέχων, ψυχῶν τε καὶ σωμάτων, τοῖς πίστει καὶ νῦν, ἐκτελοῦσι τὴν μνήμην σου, θεομακάριστε Πάτερ θαυματουργὲ, μὴ ἐλλίπῃς ὑπερεύχεσθαι.

Τοῦ ἀμπελῶνος ἐργάτης διὰ τῆς πίστεως, τῶν ἐντολῶν ἐδείχθης, τοῦ Χριστοῦ Θεοφόρε. διὸ τῆς βασιλείας, τῆς ἄνω λαβὼν, μυστικῶς τὸ δηνάριον· ἀδιαλείπτως προσεύχου ὑπὲρ ἡμῶν, τῶν τιμώντων σε Σπυρίδων σοφέ. Δόξα, ἦχ. δ΄.

Ὅσιε Πάτερ Ἱεράρχα ἀοίδιμε, ἀποστολικῆς διδασκαλίας γενόμενος ἔμπλεως, καὶ τοῦ θείου Πνεύματος καταγώγιον, δι' ἐναρέτου πολιτείας ἀναδειχθεὶς, τῆς Ἐκκλησίας τοὺς λύκους, διὰ δογμάτων ἀπήλασας. καὶ τὴν ὀρθόδοξον πίστιν σαφῶς τρανώσας, στῦλος ἀναδέδειξαι, καὶ εὐσεβείας πρόμαχος. ὅθεν καὶ θαυματουργῶν ἐν τοῖς τέρασιν, ὄφιν εἰς χρυσοῦν μετέβαλες, καὶ νεκρὰν πρὸς ἐρώτησιν ἤγειρας. ἀλλ' ὦ Πατέρων ἀξιάγαστε, καὶ Διδασκάλων συνόμιλε, τὸν Σωτῆρα πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτ. Ἐκ παντοίων κινδύνων.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος. Ὠδὴ γ΄. καὶ ς΄. Ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος βαρύς.

Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Στιχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου.

Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε. ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ, καὶ δικαιοσύνῃ, καὶ ἀληθείᾳ, δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ· καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε. Τὰ γὰρ κρυφῇ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν· τὰ δὲ πάντα ἐλεγχόμενα, ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι. Διὸ λέγει· ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί· ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. Διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου. καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία· ἀλλὰ πληροῦσθε ἐν Πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς, καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες, καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

Ἀλληλούϊα, ἦχος β'.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

Στίχ. Φῶς ἀνέτειλε τῷ δικαίῳ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος. ἐγώ εἰμι ἡ θύρα.

Ζήτει τῇ τοῦ Χρυσοστόμου τῇ ιγ'.

Τοῦ Νοεμβρίου Μηνός.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ ιγ'.

Τῶν Ἁγίων Μαρτύρων Εὐστρατίου, Αὐξεντίου, Εὐγενίου, Μαρδαρίου, καὶ Ὀρέστου· καὶ τῆς Ἁγίας Μάρτυρος Λουκίας τῆς Παρθένου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ ιδ'.

Τῶν Ἁγίων Μαρτύρων Θύρσου, Λευκίου, Φιλήμονος, Ἀπολλωνίου, καὶ Ἀρριανοῦ. τὴν Ἀκολουθίαν ζήτει εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ ιε'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἐλευθερίου· ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιϛ'.

Τοῦ Ἁγίου Προφήτου Ἀγγαίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Προφήτην.

Μηνὶ τῷ αὐτῷ ιζ'.

Τοῦ Ἁγίου Προφήτου Δανιήλ, καὶ τῶν Ἁγίων τριῶν Παίδων, Ἀνανίου, Ἀζαρίου, καὶ Μισαήλ. ζήτει εἰ βούλει τὴν Ἀκολουθίαν εἰς τὴν Κυριακὴν τῶν Προπατόρων· καὶ Κανόνα, καὶ Τροπάρια τῶν τριῶν Παίδων.

Μηνὶ τῷ αὐτῷ ιη'.

Τοῦ Ἁγίου Μάρτυρος Σεβαστιανοῦ, καὶ τῆς συνοδίας αὐτοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ ιθ'.

Τοῦ Ἁγίου Μάρτυρος Βονιφατίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Κυριακὴ τῶν Ἁγίων Προπατόρων.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ. ι'. καὶ ψάλλομεν Στιχηρὰ Ἀναστάσιμα γ'. καὶ Ἀνατολικὰ γ'. Καὶ τῶν Προπατόρων Στιχηρὰ. προσόμοια δ'. ἦχος πλ. β'.

Ὁ ἐν Ἐδὲμ Παράδεισος.

Τῶν Προπατόρων σήμερον πιστοί, τελοῦντες μνημόσυνα, ἀνυμνήσωμεν Χριστὸν τὸν λυτρωτήν, τὸν μεγαλύναντα αὐτούς, ἐν πᾶσι τοῖς ἔθνεσι, καὶ θαυμάτων τὰ παράδοξα πιστῶς, ἐπιτελέσαντα Κύριον, ὡς κραταιὸν καὶ δυνατόν· καὶ ἐξ αὐτῶν ἀναδείξαντα, ῥάβδον δυνάμεως ἡμῖν, τὴν μόνην ἀπείρανδρον, καὶ Θεόπαιδα Μαρίαν τὴν Ἁγνήν. ἐξ ἧς τὸ ἄνθος προῆλθε, Χριστὸς βλαστήσας πᾶσι τὴν ζωήν, καὶ ἀδάπανον τρυφήν, καὶ σωτηρίαν τὴν αἰώνιον.

Ὁ τοὺς Ἁγίους Παῖδας ἐκ πυρός, ῥυσάμενος Δέσποτα, καὶ ἐκ στόματος λεόντων Δανιήλ· ὁ εὐλογήσας Ἀβραάμ, καὶ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ τὸν τούτου Υἱὸν τὸν Ἰακώβ. ὁ εὐδοκήσας ἐκ σπέρματος, τούτων γενέσθαι καθ' ἡμᾶς· ἵνα τοὺς πρὶν ὀλισθήσαντας, σώσῃς Προπάτορας ἡμῶν, σταυροῦσθαι, καὶ θάπτεσθαι, καὶ συντρίψας τοῦ θανάτου τὰ δεσμά· συνεγείρας τε πάντας, τοὺς ἀπ' αἰῶνος ὄντας ἐν νεκροῖς, προσκυνοῦντάς σου Χριστέ, τὴν Βασιλείαν τὴν αἰώνιον.

Ὡς ἐν ψεκάδι μέσον τῆς φλογός, τῇ δρόσῳ τοῦ Πνεύματος, ἀγαλλόμενοι οἱ Παῖδες τοῦ Θεοῦ, περιεπάτουν μυστικῶς, ἐν αὐτῇ προτυπώσαντες, τὴν Τριάδα καὶ τὴν Σάρκωσιν Χριστοῦ. καὶ ὡς σοφοὶ διὰ πίστεως, ἔσβεσαν δύναμιν πυρός. καὶ Δανιὴλ δὲ ὁ δίκαιος, λεόντων ὤφθη φιμωτής. ὧν ταῖς δεήσεσι, δυσωπούμενος φιλάνθρωπε Σωτήρ, καὶ ἡμᾶς τοῦ ἀσβέστου, καὶ αἰωνίου λύτρωσαι πυρός. καὶ ἀξίωσον τυχεῖν, τῆς οὐρανίου Βασιλείας σου.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὥσπερ ἐν δρόσῳ ὄντες οἱ πιστοί, καὶ Ἅγιοι Παῖδές σου, ἐν καμίνῳ τῆς φλογός, καὶ τοῦ πυρός, προεζωγράφουν μυστικῶς, τὴν ἐκ Παρθένου σου ἔλευσιν, τὴν ἀφλέκτως ἀναλάμψασαν ἡμῖν· καὶ Δανιὴλ δὲ ὁ δίκαιος, καὶ ἐν Προφήταις θαυμαστός, τρανῶς τὴν θείαν δευτέραν σου, ἔλευσιν πᾶσι προδηλῶν, ἑώρων ἐκραύγαζεν· ἕως οὗ θρόνοι ἐτέθησαν φησί· καὶ Κριτὴς ἐκαθέσθη, καὶ τοῦ πυρὸς ἐπέστη ποταμός. οὗ ῥυσθείημεν Χριστέ, ταῖς ἱκεσίαις αὐτῶν Δέσποτα. Δόξα, ἦχος πλ. β΄. Ἀνατολίου.

Τοὺς πρὸ τοῦ νόμου Πατέρας, ἅπαντας εὐφημήσωμεν σήμερον πιστοί· Ἀβραὰμ τὸν φιλόθεον, καὶ Ἰσαὰκ τὸν ἐξ ἐπαγγελίας τεχθέντα, καὶ Ἰακώβ, καὶ τοὺς δώδεκα Πατριάρχας. Δαβὶδ τὸν πραότατον, καὶ Δανιὴλ τὸν ἐπιθυμιῶν Προφήτην· καὶ τοὺς τρεῖς Παῖδας, σὺν αὐτοῖς δοξάζοντες, τοὺς τὴν κάμινον εἰς δρόσον μεταβαλόντας· αἰτούμενοι ἄφεσιν παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ ἐνδοξαζομένου ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Καὶ νῦν, Θεοτ. τὸ α΄. τοῦ ἤχου τῆς Ὀκτωήχου τοῦ ὕφους. Εἰς τὴν Λιτήν, τὰ τῆς Μονῆς, ὡς σύνηθες. Δόξα, ἦχος α΄.

Βολίδας ἀστράπτοντες θεηγορίαις, οἱ μεγαλώνυμοι Προφῆται, ὡς ἀεὶ μακαρίζονται. καὶ τὰ ἔπη τοῦ Πνεύματος καρπούμενοι, τὴν ἀνερμήνευτον λοχείαν Χριστοῦ τοῦ Θεοῦ πᾶσιν ἐκήρυξαν. νομίμως δὲ τὸ τέλος διήνυσαν, ζήσαντες ζωὴν ὑπερθαύμαστον.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν στίχ. στιχ. τῆς Ὀκτωήχου, τὰ ἀπόστιχα, καὶ τὰ κατ' Ἀλφάβητον.

Δόξα, ἦχος γ΄. Γερμανοῦ.

Τῶν Προπατόρων τὸ σύστημα, οἱ φιλέορτοι δεῦτε ψαλμικῶς εὐφημήσωμεν. Ἀδὰμ τὸν Προπάτορα, Ἐνὼχ Νῶε Μελχισεδέκ. Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακώβ· μετὰ νόμον Μωϋσῆν καὶ Ἀαρών, Ἰησοῦν Σαμουὴλ καὶ Δαβίδ· μεθ' ὧν τὸν Ἡσαΐαν, Ἱερεμίαν, Ἰεζεκιήλ, καὶ Δανιὴλ καὶ τοὺς δώδεκα· ἅμα Ἠλιοῦ, Ἐλισσαῖον, καὶ τοὺς ἅπαντας· Ζαχαρίαν, καὶ τὸν Βαπτιστήν· καὶ τοὺς κηρύξαντας Χριστόν, τὴν ζωὴν καὶ ἀνάστασιν τοῦ γένους ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον. ἦχος ὁ αὐτός.

Ἀπόρως ἐκ θείου Πνεύματος.

Ἀπολυτίκιον, τὸ Ἀναστάσιμον, καὶ τῶν Προπατόρων, ἦχος β΄.

Ἐν πίστει τοὺς Προπάτορας ἐδικαίωσας, τὴν ἐξ ἐθνῶν δι' αὐτῶν προμνηστευσάμενος Ἐκκλησίαν. καυχῶνται ἐν δόξῃ οἱ Ἅγιοι, ὅτι ἐκ σπέρματος αὐτῶν ὑπάρχει καρπὸς εὐκλεής, ἡ ἀσπόρως τεκοῦσά σε. ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεός, σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἡ δὲ Ἀκολουθία τοῦ ἐπιλαχόντος Ἁγίου, ψάλλεται ἐν τοῖς Ἀποδείπνοις τῆς Παρασκευῆς. Εἰς τό, Θεὸς Κύριος, Τροπάρ. τὸ Ἀναστάσιμον τῆς Ὀκτωήχου. Δόξα, καὶ νῦν τῶν Προπατόρων. Ἡ συνήθης στιχολογία. οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. τὸ Πᾶσα πνοή. Εὐαγγ. τὸ Ἑωθινόν. Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν΄. Κανὼν ὁ Ἀναστάσιμος, καὶ τῆς Θεοτόκου. τῶν Ἁγίων τριῶν Παίδων εἰς δ΄. καὶ τῶν Προπατόρων εἰς δ΄. ὁ Κανὼν τῶν Ἁγίων τριῶν Παίδων, οὗ ἡ ἀκροστιχίς.

Τρεῖς Παῖδας ὑμνῶ, Δανιήλ τε τὸν μέγαν. Θεοφάνους. Ὠδὴ α΄. ἦχ. πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Τὸν ἄναρχον Λόγον τὸν ἐκ Πατρός, πρὸ πάντων αἰώνων, γεννηθέντα θεοπρεπῶς, τὸν ἐν τῇ καμίνῳ Νεανίαις, συμβολικῶς ὁραθέντα δοξάσωμεν.

Ῥημάτων τυράννου τοῦ δυσσεβοῦς, οἱ εὐγενεῖς Παῖδες, καταπτύσαντες καρτερῶς, τροφαῖς παρανόμοις μιανθῆναι, χαλδαϊκῶς οὐ κατηξίωσαν.

Ἐτρέφεσθε λόγῳ μὲν ψυχικῶς, τροφαῖς αὐτομάτοις, κεχρημένοι δὲ σαρκικῶς, τῶν ἁβροδιαίτων ταῖς ἰδέαις, τῷ βασιλεῖ ὡραιότεροι δείκνυσθε. Θεοτοκίον.

Ὃν τὸν τοῦ ὄφεως ἀκοαῖς, πικρῶς ἐμπαρέντα, ταῖς τῆς Εὔας ἡ ἐκ Δαβίδ, βλαστήσασα Κόρη θεραπεύει, τὸν Λυτρωτὴν κυοφορήσασα.

Ἕτερος Κανὼν τῶν Ἁγίων Προπατόρων, Οὗ ἡ ἀκροστιχίς.

Πατράσιν αἶνον ἄκοπος νῦν εἰσφέρω. Ἰωσήφ. Ὠδὴ α΄. ἦχος α΄. Χριστὸς γεννᾶται.

Πατράσιν αἶνον προσάξωμεν, πρὸ νόμου καὶ ἐν νόμῳ ἐκλάμψασι· καὶ τὸν ἐκ Παρθένου λάμψαντα, Κύριον καὶ Δεσπότην, γνώμῃ εὐθεῖ, τεθεραπευκόσι, καὶ ἀδύτου φωτισμοῦ νῦν ἀπολαύουσι.

Ἀδὰμ τὸν πρῶτον τιμήσωμεν, χειρὶ τετιμημένον τοῦ κτίσαντος· καὶ πάντων ἡμῶν Προπάτορα, ἤδη γεγενημένον, καὶ ἐν σκηναῖς, ταῖς ἐπουρανίοις, μετὰ πάντων ἐκλεκτῶν ἀναπαυόμενον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τὸν Ἄβελ δῶρα προσάγοντα, ψυχῇ εὐγενεστάτῃ προσήκατο, ὁ πάντων Θεὸς καὶ Κύριος· τοῦτον δὲ μιαιφόνῳ πάλαι χειρὶ, τεθανατωμένον, ἀνεκόμισε πρὸς φῶς, ὡς θεῖον Μάρτυρα. Θεοτοκίον.

Ῥητῶν εὐθείων ἀκούσωμεν, βοώντων τοῦ Χριστοῦ τὴν ἀνάδειξιν. ἰδοὺ γὰρ σπηλαίῳ τίκτεται, Κόρης ἐξ ἀπειράνδρου, οὗ τὸν φρικτὸν, τόκον προμηνύει, Ἀστρολόγοις ὁ ἀστὴρ ἐπιφαινόμενος.

Καταβασία. Χριστὸς γεννᾶται.

ᾨδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Γνῶσιν κτησάμενοι, τὴν θεοδίδακτον Δέσποτα, Παῖδες Δαβὶδ, νόμους τοὺς πατρῴους θεοφρόνως ἐτήρησαν.

Πῦρ οὐ κατεφλόγισε, τὰ καθαρώτατα σώματα, τῶν εὐσεβῶν. διὰ γὰρ νηστείας, ψυχοτρόφου ἠρδεύοντο.

Ὕμνον τὸν παγκόσμιον, καὶ πολυΰμνητον ᾄδουσι, Παῖδες οἱ τρεῖς, μέσον τῆς καμίνου, θαυμαστῶς δροσιζόμενοι. Θεοτοκίον.

Ἵνα τόκον Δέσποτα, ἐκ παρθενεύοντος σώματος, δείξῃς ἡμῖν, σῴζεις ἐν καμίνῳ παρθενεύοντα σώματα.

Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.

Ἥδεται ἐν Κόσμῳ, τὸ τοῦ Σὴθ πρὸς τὸν Κτίστην διάπυρον. ἐν γὰρ ἀμέμπτῳ πολιτείᾳ, καὶ ψυχῆς διαθέσει, αὐτὸν ὄντως ἐθεράπευσε· καὶ ἐν τῇ χώρᾳ τῶν ζώντων βοᾷ, Ἅγιος εἶ Κύριε.

Στόματι καὶ γλώσσῃ, καὶ καρδίᾳ Ἐνὼς ὁ θαυμάσιος, ἐπικαλεῖσθαι θεοφρόνως, τὸν τῶν ὅλων Δεσπότην, Θεὸν ἤλπισεν ἐν πνεύματι· καὶ εὐαρέστως βιώσας ἐν γῇ, κλέος ἀπηνέγκατο.

Ἱερολογίαις, ἱεραῖς τὸν Ἐνὼχ μακαρίσωμεν. εὐαρεστήσας γὰρ Κυρίῳ, μετετέθη ἐν δόξῃ, ὀφθεὶς, κρείττων καθὼς γέγραπται, θανάτου οἷα Θεοῦ πεφυκὼς, δοῦλος γνησιώτατος. Θεοτοκίον.

Νῦν ἡ προσδοκία, τῶν ἐθνῶν ἐκ Παρθένου προέρχεται· καὶ Βηθλεὲμ τὴν κεκλεισμένην, ὑπανοίγει προσφόρως, Ἐδὲμ, Λόγον σωματούμενον, εἰσδεδεγμένη καὶ φάτνῃ σαρκὶ, ἐπανακλινόμενον.

Ἡ Ὑπακοή. Ἦχος β΄.

Εἰς δρόσον τοῖς Παισὶ τὸ πῦρ μετεβάλλετο, ὁ θρῆνος εἰς χαρὰν ταῖς γυναιξὶν ἐνηλλάττετο. Ἄγγελος γὰρ ἐν ἀμφοτέροις διηκόνει τοῖς θαύμασι· τοῖς μὲν εἰς ἀνάπαυσιν μεταποιήσας τὴν κάμινον, ταῖς δὲ τὴν ἀνάστασιν καταμηνύσας τριήμερον. ὁ ἀρχηγὸς τῆς ζωῆς ἡμῶν, Κύριε δόξα σοι.

ᾨδὴ δ΄. Εἰσακήκοα Κύριε.

Δανιὴλ ὁ σοφώτατος, ἐνθεαστικῶς τὸν νοῦν φωτιζόμενος, τὰ ἐνύπνια διέλυσε, τῶν Αὐτοκρατόρων θείᾳ χάριτι.

Ἀπαστράπτει τοῖς θαύμασιν, ἡ ἐν τῇ καμίνῳ τῶν Παίδων ἄθλησις. τὸν γὰρ τύραννον ἐξώρισε, πρὸς ἐπίγνωσίν σου παντοδύναμε.

Συμφωνίας τὰ ὄργανα, καὶ τῆς Μουσικῆς μέλη παναρμόνια, τοὺς γενναίους οὐ κατέθελξαν, καὶ χρυσῇ εἰκόνι οὐχ ὑπέκυψαν. Θεοτοκίον.

Ὑμνῳδίαις πανύμνητε, οἱ ἐν Βαβυλῶνι Παῖδες γεραίρουσι, τὸν Υἱόν σου τὸν ὑπέρθεον· ὃν ἐν τῇ καμίνῳ ἐπεγίνωσκον.

Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης.

Ὕμνον προσαγάγωμεν Θεῷ, τιμῶντες μελῳδήμασι, Νῶε τὸν ὄντως ὄντα δίκαιον· ἐν πάσαις γὰρ ἐντολαῖς, θείαις καλλυνόμενος, ὤφθη τῷ Χριστῷ εὐαρεστήσας· ᾧ μελῳδοῦμεν πιστῶς· δόξα τῇ δυνάμει σου Κύριε.

Ἰδών σου Θεὸς τὸ εὐγενὲς, τῆς γνώμης τὸ ἀκέραιον, καὶ κατὰ πάντα Νῶε τέλειον, δεύτερον Κόσμου σαφῶς, ἀρχηγόν σε δείκνυσι, σώσαντα αὐτῷ παντὸς ἐκ γένους, κατακλυσμοῦ αἰσθητοῦ, σπέρμα ὡς αὐτὸς διετάξατο.

Νῶε τὸν φυλάξαντα Θεοῦ, τὸν νόμον ἀπαράτρωτον, καὶ εὑρεθέντα τότε δίκαιον, τῇ γενεᾷ ἑαυτοῦ· καὶ ξυλίνῃ σώσαντα, πάλαι Κιβωτῷ ἀλόγων γένη, προσάξαι πανουργικῇ, ὕμνοις εὐσεβῶς μακαρίσωμεν.

Ὕμνον κατανύξεως ἡμῖν, πηγάζει τοῖς τιμῶσί σε, Νῶε μακάριε ἡ μνήμη σου, εὐφραίνουσα καὶ ψυχὰς, καὶ καρδίας πάντοτε, τῶν εἰλικρινῶς μακαριζόντων, τοὺς τρόπους σου τοὺς σεμνοὺς, καὶ τὴν πολιτείαν τὴν ἔνθεον. Θεοτοκίον.

Νῦν ἡ ἀπολύτρωσις ἡμῶν, ἐν φάτνῃ ἀνακλίνεται, καὶ σπαργανοῦται, ὥσπερ νήπιον. καὶ Μάγοι ἀνατολῶν, Βασιλεῖς ἀφίκοντο· τοῦτον ὡς Θεὸν καὶ Βασιλέα, τεχθέντα ἐπὶ τῆς γῆς, βλέψαι, προσκυνῆσαι, σὺν δώροις πιστῶς.

ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Μυηθέντες τὸν νόμον, Σῶτερ οὐκ ἠρνήσαντο οἱ σοὶ θεράποντες, Δανιὴλ ὁ

μέγας,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μέγας, σὺν τρισὶ Νεανίαις θεόφροσιν. ἀλλ' ἰσχὺν λαβόντες, τὴν παρὰ σοῦ τοῦ εὐεργέτου, τοὺς τυράννους ἀνδρείως ἐτρέψαντο.

Ἱερῶς ἐμυεῖτο, Δανιὴλ φιλάνθρωπε τὰ σὰ μυστήρια. ἐπὶ γὰρ νεφέλης, ὡς Υἱόν σε ἀνθρώπου καθήμενον, τῶν ἐθνῶν ἁπάντων, οἷα Κριτὴν καὶ Βασιλέα, ἐθεώρει νοὸς καθαρότητι.

Ὡραιώθητε Παῖδες, ὑπὲρ λίθον σάπφειρον ὑμῶν τὰ σώματα, ὡς αὐγὴ χρυσίου, εὐσεβείας τῷ ζήλῳ πυρσεύετε, ἐμπεριπατοῦντες χαρμονικῶς ἐν τῇ καμίνῳ, καὶ κροτοῦντες χορείαν παγκόσμιον. Θεοτοκίον.

Δανιήλ σε Παρθένε, ὄρος προδιέγραψε σαφῶς ὁ ἔνθεος. οἱ τρεῖς δὲ Παῖδες, καθορῶντες τὴν φλόγα δροσίζουσαν, τὸν σὸν θεῖον τόκον, μελῳδικῶς ἀνευφημοῦσιν, ὡς σωτῆρα καὶ κτίστην, καὶ Κύριον.

Ἄλλος. Θεὸς ὢν εἰρήνης.

Ἐπαίνοις τιμάσθω ἐνθέοις ὁ Σήμ, πατρικὴν εὐλογίαν καρπούμενος, καὶ ἔναντι εὐάρεστος, δεικνύμενος Θεοῦ· καὶ τοῖς τῶν Προπατόρων, χοροῖς καταλεγμένος, καὶ ἐν χώρᾳ τῶν ζώντων, περιχαρῶς ἀναπαυόμενος.

Ἰδεῖν ἠξιώθη ὡς φίλος Θεοῦ, Ἀβραὰμ τὴν ἡμέραν τοῦ κτίστου αὐτοῦ· καὶ ἔμπλεως γενόμενος, χαρᾶς πνευματικῆς. τοῦτον οὖν διανοίας, εὐθύτητι τιμῶντες, μακαρίσωμεν πάντες, ὡς τοῦ Θεοῦ πιστὸν θεράποντα.

Κατεῖδες ὡς θέμις ἀνθρώπῳ ἰδεῖν, τὴν Τριάδα, καὶ ταύτην ἐξένισας, ὡς φίλος γνησιώτατος, παμμάκαρ Ἀβραάμ. ὅθεν μισθὸν κομίζῃ, τῆς ξένης ξεναγίας, τοῦ γενέσθαι ἀπείρων, ἐθνῶν Πατὴρ διὰ τῆς πίστεως. Θεοτοκίον.

Ὁ Πλήρης κενοῦται σαρκὶ δι' ἡμᾶς, καὶ ἀρχὴν ὁ Προάναρχος δέχεται. πτωχεύει δὲ ὁ πλούσιος, καὶ Λόγος ὢν Θεοῦ, ἐν φάτνῃ τῶν ἀλόγων, προσκλίνεται ὡς βρέφος, τὴν ἀνάπλασιν πάντων, τῶν ἀπ' αἰῶνος ἐργαζόμενος.

Ὠδὴ ϛ'. Ἄβυσος ἁμαρτιῶν.

Ἄρξαντες τῶν ψυχικῶν, παθημάτων τῇ δυνάμει τοῦ λόγου, χώρας ἐθνῶν Χαλδαίων, ἡγεμόνες γεγόνατε. οἶδε γὰρ ἡ ἀρετή, γέρα χαρίζεσθαι, κεκτημένοις, ὡς τοῦ Δαβὶδ σοφοὶ ἀπόγονοι.

Νεκρῶσιν ὁ Δανιήλ, ζωηφόρον ἐνδυσάμενος πάλαι, τὸν ὡς Θεὸν Χαλδαίοις, δυσσεβῶς νομιζόμενον, ἀναιρεῖ διὰ τροφῆς, δράκοντα κάκιστον. Ἱερεῖς δέ, τοὺς δυσμενεῖς σοφῶς ἀπέκτεινεν. Θεοτοκίον.

Ἵλεών μοι τὸν Κριτήν, καὶ Υἱόν σου Θεοτόκε Παρθένε, ταῖς σαῖς λιταῖς γενέσθαι, ἐν ἡμέρᾳ τῆς κρίσεως, λυτρωτήν τε τῶν δεινῶν, Μήτηρ δυσώπησον· σοὶ γὰρ μόνῃ, τὰ τῆς ἐλπίδος ἀνατίθημι.

Ἄλλος. Σπλάγχνων Ἰωνᾶν.

Ὑ'πωσις Χριστοῦ, τοῦ Πάθους γεγένησαι, σαφῶς Ἰσαὰκ μακαριώτατε· ἀναγόμενος, πατρικῇ εὐπαθείᾳ τοῦ θύεσθαι. διὰ τοῦτο μεμακάρισαι, καὶ φίλος Θεοῦ, ὤφθης, ὄντως γνησιώτατος, μετὰ πάντων δικαίων σκηνούμενος.

Ὤφθη Ἰακώβ, θεραπόντων πιστότατος, τοῦ πάντων Θεοῦ· ὅθεν ἐπάλαισε, μετ' Ἀγγέλου νοῦς, καθορῶν τὸν Θεὸν μετωνόμασται. καὶ καθεύδων, θείαν κλίμακα τεθέαται. ᾗπερ, Θεὸν ἐπεστήρικτο, ὁ σαρκὶ προσπλακεὶς ἀγαθότητι.

Ἐτέργων Ἰωσήφ, Πατρὸς τὴν εὐπάθειαν, ἐν λάκκῳ βληθείς, προσαπεμπώληται· εἰς προτύπωσιν, τοῦ τυθέντος, καὶ λάκκῳ βληθέντος Χριστοῦ. σιτοδότης τε Αἰγύπτου ἐχρημάτισε, σώφρων γεγονὼς καὶ δίκαιος, Βασιλεύς τε παθῶν ἀληθέστατος. Θεοτοκίον.

Νέον ἐπὶ γῆς, Παιδίον γνωρίζεται, ὁ ὢν σὺν Πατρὶ ἀεὶ καὶ Πνεύματι. σπαργανοῦται δέ, ὁ τὴν γῆν σπαργανώσας ὁμίχλῃ σαφῶς· καὶ ἐν φάτνῃ τῶν ἀλόγων ἀνακέκλιται. τούτου νῦν προεορτάσωμεν, γεγηθότες τὴν ἄσπορον γέννησιν. Κοντάκιον, ἦχος β'.

Χειρόγραφον Εἰκόνα μὴ σεβασθέντες, ἀλλ' ἀγράφῳ οὐσίᾳ θωρακισθέντες, τρισμακάριοι ἐν τῷ σκάμματι τοῦ πυρὸς ἐδοξάσθητε. ἐν μέσῳ δὲ φλογὸς ἀνυποστάτου ἱστάμενοι, Θεὸν ἐπικαλεῖσθε· τάχυνον ὦ Οἰκτίρμων, καὶ σπεῦσον ὡς Ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος. Ὁ Οἶκος.

Ἔκτεινόν σου τὴν χεῖρα, ἧς πάλαι ἔλαβον πεῖραν, Αἰγύπτιοι πολεμοῦντες, καὶ Ἑβραῖοι πολεμούμενοι. μὴ καταλίπῃς ἡμᾶς, καὶ καταπίῃ ἡμᾶς θάνατος ὁ διψῶν ἡμᾶς, καὶ Σατὰν ὁ μισῶν ἡμᾶς. ἀλλ' ἔγγισον ἡμῖν, καὶ φεῖσαι τῶν ψυχῶν ἡμῶν, ὡς ἐφείσω ποτὲ τῶν Παίδων σου, τῶν ἐν Βαβυλῶνι ἀπαύστως δοξαζόντων σε, καὶ βληθέντων ὑπὲρ σοῦ εἰς τὴν κάμινον· καὶ ἐκ ταύτης κραυ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

γαζόντων σοι. τάχυνον ὦ Οἰκτίρμων, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακὴ τῶν Ἁγίων Προπατόρων.

Τὰ κατὰ τὸν μακάριον Ἀβραὰμ, ἀπὸ τῆς Βίβλου τῆς Γενέσεως τῷ θεσπεσίῳ ἱστορηθέντα Μωσῇ, καὶ σοφοῖς καὶ ἰδιώταις γινώσκονται. Εἰς ἐπήκοον γὰρ κατὰ τὰς νηστεύσιμους ἀναγινώσκομεν ἡμέρας. Οὐκ ἀγνοοῦμεν γὰρ, ὅτι ἐκ τῆς Χαλδαίων χώρας ὡρμᾶτο, καὶ ὅτι ἐθνικός. (Ἔθνος γὰρ πρὸ τῶν Ἰουδαίων, οἱ Χαλδαῖοι,) καὶ ὅτι Πατέρα εἶχεν Εἰδωλολάτρην. Ἀλλ' ὅμως καὶ ἀπὸ τοῦ τοιούτου τὸ γένος κατάγων, οὐδὲν εἶχε κώλυμα πρὸς θεογνωσίαν. Ἀλλ' ἔτι δὲ καὶ παράδοξον εἰπεῖν, ἐντεῦθεν πρὸς τὴν τοῦ ὄντος κατάληψιν μᾶλλον ἐχειραγωγήθη. Κατανοήσας γὰρ ὡς οὐδεὶ τῶν κτισμάτων Θεὸς, καὶ τὴν ἀταξίαν τῶν ὄντων σωμάτων, ἐκ τῶν ὁρωμένων τὸν ἀόρατον ἔγνω, καὶ Θεὸν τοῦτον προσεκύνησε, διακρατοῦντα καὶ κυβερνῶντα τὰ πάντα· καὶ τοῖς οὖσι τὴν φαινομένην ἁρμοσίαν, καὶ τάξιν ἐπιτιθέντα. Ὃς καὶ χρηματισθεὶς, καὶ τὴν οἰκίαν καταλιπεῖν κελευσθείς· τοῦτο δὴ καὶ ποιεῖ, μηδὲν τῇ πίστει διακριθείς. Καὶ γέρας τῆς ὑπακοῆς ἐν βαθεῖ γήρᾳ τὸν Ἰσαὰκ λαμβάνει· καὶ τὸ πολλῶν ἐθνῶν γενέσθαι Πατέρα. Ἐξ αὐτοῦ γὰρ γενέσθαι τὸν Ἰακὼβ, καὶ ἀπὸ τούτου τὸν Ἰούδαν, ἀφ' οὗ καὶ ὁ Χριστός· καὶ τοὺς λοιποὺς αὐτοῦ ἀπογόνους κτᾶται. Τοῦτον ὡς Χριστοῦ προπάτορα γεγονότα, μνήμης ἀξιοῦντες οἱ Θεοφόροι Πατέρες ἡμῶν, καὶ Διδάσκαλοι, παρέδωκαν ἡμῖν ταύτην ποιεῖν ἐγγύς που, καὶ οὐ κατὰ διάστασιν ἡμερῶν πολλῶν, τῆς κατὰ σάρκα Γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Τάχα κατὰ τὴν τοῦ θείου Πνεύματος ἔμπνευσιν τοῦτο, καὶ οὐχ ἁπλῶς διαταξάμενοι, καὶ τυπώσαντες. Ἐπεὶ γὰρ ὑπὸ φιλανθρωπίας ὁ ὑπεράγαθος καὶ φιλάνθρωπος Σωτὴρ, γεννάρχην αὐτὸν, καὶ τοὺς ἐξ αὐτοῦ χάριν κατηξίωσε, ἐδικαίωσαν τῆς πρὸς ἡμᾶς αὐτοῦ ἀναδείξεως, οὐ πόῤῥω πάνυ τὴν τούτων μνήμην πανηγύρεως ἄγειν ἡμέραν, ὡς Γεννάρχου τε καὶ Προπάτορος.

Ὠδὴ ζ. Παῖδες θεοσεβεῖς.

Ἦχος θεοσεβὴς ἐμελῳδεῖτο, ἐκ μέσου πυρὸς τῷ παντοκράτορι. Ἀζαρίας γὰρ θεῖον χορὸν συστησάμενος, τὴν ᾠδὴν ἀνέμελπον λέγοντες· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὕπερ Νεανίων ἐθεολόγει, τὸν πάντων Θεὸν καὶ παντοκράτορα, τὸν αὐτοῖς ἐν καμίνῳ, τρανῶς ὀπτανόμενον· καὶ ᾠδὴν ἀνέμελπον λέγοντες· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ῥεῖς τοὺς ἐν τῇ καμίνῳ βεβλημένους, εἶδως ὁ κρατῶν ὡς ἐθεάσατο, τοῦ τετάρτου τὴν θέαν, Υἱὸν προαιώνιον, τοῦ Θεοῦ τοῖς πᾶσιν ἐτράνωσεν. Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἔχων λελαμπρυσμένον θείᾳ αἴγλῃ, τὸν νοῦν Δανιὴλ θεομακάριστε, τῆς Παρθένου τὸν τόκον, σαφῶς προτεθέασαι, μυστικαῖς ἀκούσει τυπούμενον· Εὐλογητὸς ἐκβοῶν, ὁ τῶν Πατέρων Θεός.

Ἄλλος. Οἱ Παῖδες εὐσεβείᾳ.

Ὑμνείσθω Ἀνανίας, Ἀζαρίας Μισαὴλ σὺν τῷ Δανιὴλ, κάμινον σβέσαντες πυρὸς, καὶ λεόντων χαλινώσαντες, τὰς ὁρμὰς ἐν τῷ Χριστῷ συμφώνως ψάλλοντες· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὁμοίως ἐναθλήσας, πειρασμοῖς καὶ ἀνενδότοις θλίψεσι, θεράπων κέκληται Ἰὼβ, τοῦ Θεοῦ παναληθέστατος, πρᾷος, ἄκακος, εὐθὺς, τέλειος, ἄμεμπτος, ἀναβοῶν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἐν πίστει Μωϋσέα, Ἀαρών τε καὶ τὸν Ὢρ τιμήσωμεν· ἀνευφημοῦντες Ἰησοῦν, καὶ Λευῒ τὸν ἱερώτατον· Γεδεών τε καὶ Σαμψὼν, καὶ ἀνακράζοντες· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἰδοὺ καθὼς προεῖπεν, ὁ Προφήτης ἐν γαστρὶ συνέλαβεν, ἡ ἀπειρόγαμος Θεόν. καὶ τεκεῖν σαφῶς ἐπάγεται, ἐν σπηλαίῳ Βηθλεέμ, ᾧ πάντες ψάλλομεν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η. Ἑπταπλασίως κάμινον.

Ἣν Ἀβραὰμ εὐγένειαν, διασώζειν σπουδάζοντες, τὴν οἰκειοτάτην πρὸς αὐτὸν ἐκτήσασθε, κρηπῖδα τῆς πίστεως, καὶ τῆς ἐλπίδος Ὅσιοι, καὶ ὑπομονῇ τε, πειρασμῶν καρτερίας, βοῶντες ἀνενδότως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας.

Οἱ ὡς Φωστῆρες λάμποντες, καὶ τὴν γῆν οὐρανώσαντες, καὶ τῆς ἀσεβείας, φωτισμῷ πυρσεύοντες, παγκόσμιον στήσαντες, χο-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ροςασίαν ᾄδουσι, σὲ τὸν Εὐεργέτην, καὶ Δεσπότην τῶν ὅλων. ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε.

Ξενικῶς οἱ σβέσαντες, ἐπηρμένην τὴν κάμινον, καὶ τὰς τῶν λεόντων, ἀκωκὰς πεδήσαντες, Δαβὶδ οἱ ἀπόγονοι, νῦν γεγηθότες ψάλλουσι. τὸν ἐκ παρασμῶν, νῦν σεσωκότα Δεσπότην, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε. Θεοτοκίον.

Μυσταγωγεῖται Πάναγνε, Δανιὴλ ὁ σοφώτατος· καὶ προζωγραφοῦσι, Παῖδες τρεῖς σὴν τὴν γέννησιν, τὴν σὴν οἱ Θεόφρονες, διὰ συμβόλων βλέποντες, τὸν ἐκ τῆς γαστρός σου, προελθόντα ἀφράστως· ὃν παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Θαύματος ὑπερφυοῦς.

Σήμερον τῶν ἀπ' αἰῶνος θείων μνήμην, ἐκτελέσωμεν θείων Πατέρων· τοῦ Ἀδὰμ τοῦ Ἄβελ τε, Σὴθ καὶ Νῶε καὶ τοῦ Ἐνώς· καὶ Ἐνὼχ καὶ Ἀβραάμ, Μελχισεδέκ, καὶ Ἰώβ, καὶ τοῦ Ἰσαάκ, σὺν τῷ πιστῷ Ἰακώβ· εὐλογείτω ἡ κτίσις βοῶντες τὸν Κύριον, καὶ ὑπερυψούτω.

Φάλαγγα θεοπρεπῆ θείων Πατέρων, εὐφημήσωμεν Βαρὰκ καὶ Νάθαν, καὶ τὸν Ἐλεάζαρον, Ἰωσίαν, καὶ τὸν Δαβίδ. Ἰεφθάε Σαμουήλ τε τὸν τὰ ἔμπροσθεν, ὁρῶντα σεπτῶς καὶ ἀνακράζοντα· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον.

Ἔπαινον μελῳδικῶς Θεοῦ Προφήταις, προσαγάγωμεν ἀνευφημοῦντες, Ὠσηὲ Μιχαίαν τε, Σοφονίαν, καὶ Ἀββακούμ· Ζαχαρίαν, Ἰωνᾶν, Ἀγγαῖόν τε καὶ Ἀμμώς· καὶ σὺν Ἀβδιοῦ καὶ Μαλαχίαν, Ναούμ, Ἡσαΐαν καὶ Ἱερεμίαν καὶ Ἰεζεκιήλ, ἅμα Δανιήλ, Ἠλιοῦ καὶ Ἐλισσαῖον.

Ῥήμασι τριαδικοῖς τὴν Παναγίαν, ἀνυμνήσωμεν πιστοὶ Τριάδα· τὸν Πατέρα ἄναρχον, τὸν Υἱόν τε καὶ τὸ εὐθές, Πνεῦμα Ἅγιον, Τριάδα ὁμοούσιον. ἣν πᾶσα πνοὴ δοξάζει κράζουσα· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον. Θεοτοκίον.

Ὤφθης ἐκ παρθενικῶν Χριστὲ αἱμάτων, σωματούμενος ἀρρήτῳ λόγῳ, καὶ ὡς βρέφος τέλειον, ἐν σπηλαίῳ ὑπερβολῇ, εὐσπλαγχνίας, Ἰησοῦ ἀποτικτόμενος. ἀστὴρ δέ σε πόρρωθεν ἐμήνυσεν, Ἀστρολόγοις, ὑμνεῖτε πίστει κραυγάζουσι, καὶ ὑπερυψοῦτε.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον.

Ἐφθάσατε τὸ τέλος, τὸ ποθούμενον, καὶ ὀρεκτῶν ἀκροτάτῳ παρέστητε, ἐν οὐρανίοις θαλάμοις Παῖδες πανόλβιοι.

Τηθόμενοι τὸ δράγμα, τῆς μετὰ δακρύων, καλῆς ὑμῶν γεωργίας κομίζεσθε, τῆς ἀφθαρσίας τὸν στάχυν καρποφορήσαντες.

Ἀνέτειλε λαμπρότης, νῦν ὑμῖν ἀξίως, καὶ εὐφροσύνη καρδίας ἐξηνθήσεν. ὅθεν ἀπέδρα γὰρ λύπη κατεσκηνώσατε. Θεοτοκίον.

Ἡ Ὁμιλῶ τὴν τοῦ θανάτου, ἔστησας Παρθένε, τὸν ζωοδότην τεκοῦσα καὶ Κύριον· ζωοποιοῦντα τοὺς πίστει σὲ μεγαλύνοντας.

Ἄλλος. Μυστήριον ξένον.

Ἰσχύϊ σου, πάλαι δυνάμεις ἐποίησαν, θυγατέρες Κυρίε, Ἄννα καὶ Ἰουδήθ, καὶ Δεβόρα, Ὀλδὰ Ἰαὴλ τε Ἐσθήρ, Σάῤῥα, Μαριὰμ Μωσέως τε καὶ Ῥαχὴλ, καὶ Ῥεβέκκα καὶ ἡ Ῥούθ, αἱ μεγαλόφρονες.

Ὡς σβέσαντας, παῖδας ἁγίους τὴν κάμινον, ἱερῶς τιμήσωμεν, ἅμα τῷ Δανιήλ, τῷ Προφήτῃ, καὶ πᾶσι δικαίοις σαφῶς, τοῖς πρὸ νόμου διαλάμψασι καλῶς, καὶ ἐν νόμῳ τὸν Δεσπότην θεραπεύσασι.

Σοφώτατοι, θεῖοι Προφῆται γεγένηται, Ἀβραὰμ ἀπόγονοι, τὸν ἐκ τοῦ Ἀβραὰμ καὶ Ἰούδα, τικτόμενον Λόγον θερμῶς, προαγγείλαντες ἐν Πνεύματι. αὐτῶν ἱκεσίαις Ἰησοῦ, πάντας οἰκτείρησον.

Ἡγίασαι, πᾶσα ἡ κτίσις τῇ μνήμῃ ὑμῶν· καὶ πανηγυρίζουσα, κράζει ἱκετικῶς, ἐκβοῶσα· δέησιν Κυρίῳ ἀεὶ, προσαγάγετε μακάριοι, τυχεῖν αἰωνίων ἀγαθῶν, τοὺς εὐφημοῦντας ὑμᾶς. Θεοτοκίον.

Φορέσας με, ἐκ τῆς Παρθένου προέρχεται· καὶ σπηλαίῳ τίκτεται, Λόγος ὁ τοῦ Πατρὸς, ἀσυγχύτως. χόρευε ἡ κτίσις, φωναῖς εὐχαρίστοις μεγαλύνουσα, αὐτοῦ τὴν δι' οἶκτον, παναγίαν συγκατάβασιν.

Καταβασία. Μυστήριον ξένον ὁρῶ.

Ἐξαποστειλάριον, τὸ Ἀναστάσιμον, καὶ τῶν Πατέρων. Γυναῖκες ἀκουτίσθητε.

Πατέρων μνήμην σήμερον, σκιρτῶντες φιλοπάτορες, τοῦ Ἀβραὰμ συνελθόντες, καὶ Ἰσαὰκ κατὰ χρέος, καὶ Ἰακὼβ ὑμνήσωμεν· ἐξ ὧν Χριστὸς ὁ Κύριος, τὸ κατὰ σάρκα ὡράθη, διὰ πολλὴν εὐσπλαγχνίαν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ἀδὰμ ἀνευφημήσωμεν, Ἄβελ Σὴθ καὶ τὸν Ἐνώς, Ἐνὼχ καὶ Νῶε, Ἀβραάμ, Ἰσαὰκ καὶ τὸν Ἰακώβ, Μωσῆν, Ἰὼβ καὶ τὸν Ἀαρών· Ἐλεάζαρ Ἰησοῦν, Βαρὰκ, Σαμψὼν Ἰεφθάε, Δαβὶδ καὶ τὸν Σολομῶντα.

Θεοτοκίον. Ὅμοιον.

Τὸ σὸν Ἁγνὴ μυστήριον, οὐδὲ νοῦς ἐπουράνιος, μή τοιγε βρότειος ὅλως, κατανοῆσαι ἰσχύει. πέφυκε γὰρ ἀνέκφραστον, καὶ πᾶσιν ἀκατάληπτον. ἐν σοὶ γὰρ ὁ ἀχώρητος, Λόγος Θεοῦ χωρηθῆναι, εὐδόκησε Θεοτόκε.

Εἰς τοὺς Αἴνους, στ. Ἀναστάσιμα τῆς Ὀκτωήχου πάντα.

Δόξα, ἰδιόμ. ἦχος βαρύς. Γερμανοῦ.

Δεῦτε ἅπαντες πιστῶς πανηγυρίσωμεν, τῶν πρὸ νόμου Πατέρων, Ἀβραὰμ καὶ τῶν σὺν αὐτῷ, τὴν ἐτήσιον μνήμην, τοῦ Ἰούδα τὴν φυλὴν, ἀξίως τιμήσωμεν. τοὺς ἐν Βαβυλῶνι Παῖδας, τοὺς σβέσαντας τὴν ἐν καμίνῳ φλόγα, ὡς τῆς Τριάδος τύπον, σὺν τῷ Δανιὴλ εὐφημήσωμεν. τῶν Προφητῶν τὰς προῤῥήσεις, ἀσφαλῶς κατέχοντες, μετὰ τοῦ Ἡσαΐου, μεγαλοφώνως βοήσωμεν· ἰδοὺ ἡ Παρθένος, ἐν γαστρὶ λήψεται, καὶ τέξεται Υἱὸν, τὸν Ἐμμανουὴλ, ὅ ἐστι μεθ᾿ ἡμῶν ὁ Θεός.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, οἱ Μακαρισμοί. καὶ ἐκ τοῦ Κανόνος τῶν Προπατόρων. Ὠδὴ ς΄.

Προκείμενον τοῦ Ἀποστόλου.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε.

στ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Πρὸς Κολασσαεῖς Ἐπιστολῆς Παύλου.

Κεφ. γ΄. 4. Ἀδελφοὶ, ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ. Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν, καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρεία· δι᾿ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς Υἱοὺς τῆς ἀπειθείας. Ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς. Νυνὶ δὲ ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος ὑμῶν. Μὴ ψεύδεσθε εἰς ἀλλήλους. Ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον, τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν, κατ᾿ εἰκόνα τοῦ κτίσαντος αὐτόν. Ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, Περιτομὴ καὶ Ἀκροβυστία, Βάρβαρος, Σκύθης, δοῦλος, ἐλεύθερος· ἀλλὰ τὰ πάντα, καὶ ἐν πᾶσι Χριστός.

Ἀλληλούϊα. Ἔντεινε καὶ κατευοδοῦ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Κεφ. ιδ΄. 16.
Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα, καὶ ἐκάλεσε πολλούς. Καὶ ἀπέστειλε τὸν δοῦλον αὐτοῦ τῇ ὥρᾳ τοῦ δείπνου εἰπεῖν τοῖς κεκλημένοις· ἔρχεσθε, ὅτι ἤδη ἕτοιμά ἐστι πάντα. Καὶ ἤρξαντο ἀπὸ μιᾶς παραιτεῖσθαι πάντες. Ὁ πρῶτος εἶπεν αὐτῷ· Ἀγρὸν ἠγόρασα, καὶ ἔχω ἀνάγκην ἐξελθεῖν, καὶ ἰδεῖν αὐτόν· ἐρωτῶ σε, ἔχε με παρῃτημένον. Καὶ ἕτερος εἶπε· Ζεύγη βοῶν ἠγόρασα πέντε, καὶ πορεύομαι δοκιμάσαι αὐτά· ἐρωτῶ σε, ἔχε με παρῃτημένον. Καὶ ἕτερος εἶπε· Γυναῖκα ἔγημα, καὶ διὰ τοῦτο οὐ δύναμαι ἐλθεῖν. Καὶ παραγενόμενος ὁ δοῦλος ἐκεῖνος, ἀπήγγειλε τῷ Κυρίῳ αὐτοῦ ταῦτα. Τότε ὀργισθεὶς ὁ Οἰκοδεσπότης, εἶπε τῷ δούλῳ αὐτοῦ· Ἔξελθε ταχέως εἰς τὰς πλατείας, καὶ ῥύμας τῆς πόλεως, καὶ τοὺς πτωχοὺς, καὶ ἀναπήρους, καὶ τυφλοὺς, καὶ χωλοὺς εἰσάγαγε ὧδε. Καὶ εἶπεν ὁ δοῦλος· Κύριε, γέγονεν ὡς ἐπέταξας, καὶ ἔτι τόπος ἐστί. Καὶ εἶπεν ὁ Κύριος πρὸς τὸν δοῦλον· Ἔξελθε εἰς τὰς ὁδοὺς, καὶ φραγμοὺς, καὶ ἀνάγκασον εἰσελθεῖν, ἵνα γεμισθῇ ὁ οἶκός μου. Λέγω γὰρ ὑμῖν, ὅτι οὐδεὶς τῶν ἀνδρῶν ἐκείνων τῶν κεκλημένων, γεύσεταί μου τοῦ δείπνου. Πολλοὶ γάρ εἰσι κλητοὶ, ὀλίγοι δὲ ἐκλεκτοί.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Κυριακὴ πρὸ τῆς Χριστοῦ Γεννήσεως, τῶν Ἁγίων Πατέρων.

Ἑσπέρας ἐν τῇ ἀγρυπνίᾳ, ὁ Προοιμιακὸς Ψαλμὸς, καὶ ἡ συνήθης στιχολογία. Εἰς δὲ, τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν, στ. ι΄. καὶ λέγομεν τὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου, καὶ ἓν Ἀνατολικὸν, τὰ Προεόρτια τῆς Χριστοῦ Γεννήσεως, καὶ τῶν τριῶν Παίδων, ἦχος πλ.

Ὁ ἐν Ἐδὲμ Παράδεισος.

Τὰ τῶν Πατέρων σήμερον πιστοὶ, τελοῦντες μνημόσυνα, ἀνυμνήσωμεν Χριστὸν τὸν Λυτρωτήν· τὸν μεγαλύναντα αὐτοὺς, ἐν πᾶσι τοῖς ἔθνεσι, καὶ θαυμάτων τὰ παράδοξα

πιστῶς,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πιστῶς, ἐπιτελέσαντα Κύριον, ὡς κραταιὸν καὶ δυνατόν· καὶ ἐξ αὐτῶν ἀναδείξαντα, ῥάβδον δυνάμεως ἡμῖν, τὴν μόνην ἀπείρανδρον, καὶ Θεόπαιδα Μαριὰμ τὴν Ἁγνήν. Ἐξ ἧς τὸ ἄνθος προῆλθε, Χριστὸς βλαστήσας πᾶσι τὴν ζωήν, καὶ ἀδάπανον τρυφὴν καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ὡς ἐν ψεκάδι μέσον τῆς φλογός, τῇ δρόσῳ τοῦ Πνεύματος, ἀγαλλόμενοι οἱ Παῖδες τοῦ Θεοῦ, τερετίζοντες μυστικῶς· ἐν αὐτῇ προτυπώσαντες, τὴν Τριάδα, καὶ τὴν Σάρκωσιν Χριστοῦ· καὶ ὡς σοφοὶ διὰ πίστεως, ἔσβεσαν δύναμιν πυρός. καὶ Δανιὴλ δὲ ὁ δίκαιος, λεόντων ὤφθη φιμωτής. ὧν ταῖς δεήσεσι, δυσωπούμενος φιλάνθρωπε Σωτήρ, καὶ ἡμᾶς τοῦ ἀσβέστου, καὶ αἰωνίου λύτρωσαι πυρός· καὶ ἀξίωσον τυχεῖν, τῆς οὐρανίου βασιλείας σου.

Ὥσπερ ἐν δρόσῳ ὄντες οἱ πιστοί, καὶ Ἅγιοι Παῖδές σου, ἐν καμίνῳ τῆς φλογὸς καὶ τοῦ πυρός, προεζωγράφουν μυστικῶς, τὴν ἐκ Παρθένου σου ἔλευσιν, τὴν ἀφλέκτως ἀναλάμψασαν ἡμῖν. καὶ Δανιὴλ δὲ ὁ δίκαιος, καὶ ἐν Προφήταις θαυμαστός, τρανῶς τὴν θείαν δευτέραν σου, ἔλευσιν πᾶσι προδηλῶν· ἑώρων ἐκραύγαζεν, ἕως οὗ θρόνοι ἐτέθησαν φησι· καὶ Κριτὴς ἐκαθέσθη, καὶ τοῦ πυρὸς ἐπέστη ποταμός· οὗ ῥυσθείημεν Χριστέ, ταῖς ἱκεσίαις αὐτῶν Δέσποτα.

Ἕτερα γ΄. προεόρτια, ἦχος πλ. α΄.
Χαίροις ἀσκητικῶν ἀληθῶς.

Ἄρον σου τὴν φωνὴν ἀληθῶς, Σιὼν Θεοῦ ἡ θεία πόλις καὶ κήρυξον, Πατέρων τὴν θείαν μνήμην, σὺν Ἀβραάμ, Ἰσαάκ, Ἰακὼβ τιμῶσα τὸν ἀοίδιμον. ἰδοὺ σὺν Ἰούδα γάρ, καὶ Λευῒ μεγαλύνομεν, Μωσῆν τὸν μέγαν, Ἀαρὼν τὸν θαυμάσιον. καὶ γεραίρομεν, σὺν Δαβίδ, Ἰησοῦν, Σαμουήλ. πάντες τὴν προεόρτιον, Χριστοῦ θείαν Γέννησιν, ὕμνοις ἐνθέοις κροτοῦντες, τῆς παρ' αὐτοῦ ἀγαθότητος, τυχεῖν ἐξαιτοῦμεν, τοῦ παρέχοντος τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δεῦρο ὁ ἐν πυρίνῳ ποτέ, ἐπιδιφρεύσας Ἠλιοὺ θείῳ ἅρματι, θεόφρον Ἐλισσαιέ τε, σὺν Ἐζεκίᾳ ὁμοῦ, Ἰωσίᾳ ἅμα συναγάλλεσθε. σεπτὴ δωδεκάς τε, τῶν Προφητῶν ἡ θεόπνευστος, τοῖς γενεθλίοις, τοῦ Σωτῆρος συγχορεύσατε· καὶ ἐν ᾄσμασι, πάντες Δίκαιοι ᾄσατε. Παῖδες οἱ παμμακάριστοι, οἱ δρόσῳ τοῦ Πνεύματος, σβέσαντες φλόγα καμίνου, ὑπὲρ ἡμῶν ἱκετεύσατε, Χριστὸν δυσωποῦντες, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Ὤφθη ἡ ἀπ' αἰῶνος ἐν γῇ, κηρυττομένη Προφητῶν ἐν τοῖς φθέγμασι, Παρθένος ἡ Θεοτόκος, ἣν Πατριάρχαι σοφοί, καὶ Δικαίων δῆμοι καταγγέλλουσι. μεθ' ὧν συγχορεύει, καὶ Γυναικῶν ἡ εὐπρέπεια, Σάῤῥα, Ῥεβέκκα, ἡ Ῥαχήλ, καὶ ἡ Ἄννα τε, καὶ ἡ εὔδοξος, Μαριὰμ ἡ Μωσέως ὁμοῦ. ταύταις συνεπαγάλλονται, καὶ Κόσμου τὰ πέρατα, ὅτι ὁ κτίστης τῶν ὅλων, καὶ Θεὸς παραγίνεται, σαρκὶ τοῦ τεχθῆναι, καὶ δωρήσασθαι τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. β΄.

Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν, λίθον ἄνευ χειρὸς τμηθέντα θεωρήσας σε Κύριε, βρέφος ἄνευ σπορᾶς τεχθέντα προηγόρευσε, σὲ τὸν ἐκ Παρθένου σαρκωθέντα Λόγον, τὸν ἀναλλοίωτον Θεόν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Προεόρτιον, ἦχος ὁ αὐτός.

Σπήλαιον εὐτρεπίζου, ἡ Ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. φάτνη δὲ ὑποδέχου τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλόγου πράξεως ἡμᾶς τοὺς γηγενεῖς. Ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν. καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν τῷ Βασιλεῖ προσάξατε, ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός· ὅνπερ καὶ κύψασα δουλικῶς, ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· πῶς ἐνεσπάρης μοι; ἢ πῶς μοι ἐνεφύης, ὁ λυτρωτής μου καὶ Θεός;

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας. Ὁ Κύριος ἐβασίλευσε. καὶ τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Κεφ. ιδ΄. 1.

Ἀκούσας Ἀβράμ, ὅτι ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς αὐτοῦ, ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς αὐτοῦ, τριακοσίους δέκα καὶ ὀκτώ, καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δάν. καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς τὴν νύκτα αὐτός, καὶ οἱ παῖδες αὐτοῦ μετ' αὐτοῦ. Καὶ ἐπάταξεν αὐτούς, καὶ κατεδίωξεν αὐτοὺς ἕως Χοβάλ, ἥ ἐστιν ἐν ἀριστερᾷ Δαμασκοῦ. Καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων· καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε, καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ τὰς γυναῖκας, καὶ τὸν λαόν. Ἐξῆλθε δὲ βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτοῦ,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μετὰ τὸ ὑποςρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογόμορ, καὶ τῶν Βασιλέων τῶν μετ' αὐτοῦ, εἰς τὴν κοιλάδα τοῦ Σαβῆ· τοῦτο ἦν πεδίον Βασιλέων. Καὶ Μελχισεδὲκ Βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτους καὶ οἶνον· ἦν δὲ Ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίςου· καὶ εὐλόγησε τὸν Ἄβραμ, καὶ εἶπεν· Εὐλογημένος ὁ Ἄβραμ τῷ Θεῷ τῷ ὑψίςῳ, ὃς ἔκτισε τὸν Οὐρανὸν καὶ τὴν γῆν, καὶ εὐλογητὸς ὁ Θεὸς ὁ ὕψιςος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σου.

Δευτερονομίου τὸ Ἀνάγνωσμα.

Κεφ. α΄. 8. Εἶπε Μωσῆς πρὸς τοὺς Υἱοὺς Ἰσραήλ. Ἴδετε, παραδέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν. Εἰσελθόντες, κληρονομήσατε αὐτὴν, ἣν ὤμοσε Κύριος τοῖς Πατράσιν ἡμῶν, τῷ Ἀβραὰμ, καὶ τῷ Ἰσαὰκ, καὶ τῷ Ἰακὼβ, δοῦναι αὐτοῖς αὐτὴν, καὶ τῷ σπέρματι αὐτῶν μετ' αὐτούς. καὶ εἶπον πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων· Οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς. Κύριος ὁ Θεὸς ἐπλήθυνεν ὑμᾶς· καὶ ἰδοὺ ἐστε σήμερον ὡς τὰ ἄςρα τοῦ Οὐρανοῦ τῷ πλήθει. Κύριος ὁ Θεὸς τῶν Πατέρων ἡμῶν προσθείη ὑμῖν, ὡς ἐστὲ χιλιοπλασίως, καὶ εὐλογήσαι ὑμᾶς, καθότι ἐλάλησεν ὑμῖν. καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφοὺς, καὶ ἐπιςήμονας, καὶ συνετοὺς, καὶ κατέςησα αὐτοὺς ἡγεῖσθαι ἐφ' ὑμᾶς· χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκάρχους, καὶ γραμματοεισαγωγεῖς τοῖς κριταῖς ὑμῶν. Καὶ ἐνετειλάμην τοῖς κριταῖς ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων· Διακούσατε ἀναμέσον τῶν ἀδελφῶν ὑμῶν, καὶ κρίνατε δικαίως ἀναμέσον ἀνδρὸς, καὶ ἀναμέσον ἀδελφοῦ αὐτοῦ, καὶ ἀναμέσον τοῦ προσηλύτου αὐτοῦ. Οὐκ ἐπιγνώσῃ πρόσωπον ἐν κρίσει· κατὰ τὸν μικρὸν, καὶ κατὰ τὸν μέγαν κρινεῖς. Οὐ μὴ ὑποςείλῃ πρόσωπον ἀνθρώπου· ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐςι.

Δευτερονομίου τὸ Ἀνάγνωσμα.

Κεφ. ι. 14. Εἶπε Μωσῆς πρὸς τοὺς Υἱοὺς Ἰσραήλ. Ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ Οὐρανὸς, καὶ ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ, ἡ γῆ, καὶ πάντα ὅσα ἐςὶν ἐν αὐτῇ. Πλὴν τοὺς Πατέρας ὑμῶν προείλετο Κύριος ἀγαπᾶν αὐτοὺς, καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν μετ' αὐτοὺς, ὑμᾶς, παρὰ πάντα τὰ ἔθνη κατὰ τὴν ἡμέραν ταύτην. καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι. Ὁ γὰρ Κύριος ὁ Θεὸς ἡμῶν, οὗτος Θεὸς τῶν Θεῶν, καὶ Κύριος τῶν Κυρίων, ὁ Θεὸς ὁ μέγας, καὶ ἰσχυρὸς, καὶ φοβερὸς, ὅςτις οὐ θαυμάζει πρόσωπον, οὐδ' οὐ μὴ λάβῃ δῶρον, ποιῶν κρίσιν προσηλύτῳ, καὶ ὀρφανῷ, καὶ χήρᾳ, καὶ ἀγαπᾷ τὸν προσήλυτον, δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον. Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ. Αὐτὸς καύχημά σου, καὶ οὗτος Θεός σου. Ὅςτις ἐποίησέ σοι τὰ μεγάλα, καὶ ἔνδοξα ταῦτα, ἃ εἶδον οἱ ὀφθαλμοί σου.

Εἰς τὴν Λιτὴν, τὸ ἰδιόμελ. τοῦ Ἁγίου ὡς σύνηθες. Δόξα, ἦχος α΄.

Βολίδες ἀςράπτουσαι θεηγορίαις, οἱ μεγαλώνυμοι Προφῆται, εἰς ἀεὶ μακαρίζονται· καὶ τὰ ἔτη τοῦ Πνεύματος καρτέρμενοι, τὴν ἀνερμήνευτον λοχείαν Χριςοῦ τοῦ Θεοῦ πᾶσιν ἐκήρυξαν· νομίμως δὲ τὸ τέλος διήνυσαν, ζήσαντες ζωὴν ὑπερθαύμαςον.

Καὶ νῦν. Προεόρτιον. Ὅμοιον.

Ἄκουε Οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ. ἰδοὺ γὰρ ὁ Υἱὸς, καὶ Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς, πρόεισι τεχθῆναι, ἐκ Κόρης ἀπειράνδρου, εὐδοκίᾳ τοῦ φύσαντος αὐτὸν ἀπαθῶς, καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδέμ. ὅτι ὁ ὢν, γίνεται ὃ οὐκ ἦν· καὶ ὁ Πλαςουργὸς πάσης κτίσεως, ἀναπλάττεται· ὁ παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Εἰς τὸν ς΄. ς΄. τῆς Ὀκτωήχου, τὰ κατ' Ἀλφάβητον. Δόξα, ἦχος β΄.

Χαίρετε Προφῆται τίμιοι, οἱ τὸν νόμον Κυρίου καλῶς διαταξάμενοι. καὶ τῇ πίςει φανέντες, ἀπόρθητοι ςῦλοι ἀκλινεῖς. ὑμεῖς γὰρ καὶ μεσῖται ὤφθητε, τῆς νέας Διαθήκης Χριςοῦ· καὶ μεταςάντες πρὸς Οὐρανὸν, αὐτὸν ἱκετεύσατε εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον, ἦχος ὁ αὐτός.

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν, εὐτρεπίζου σπήλαιον, ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν. ἀκούσατε ὄρη καὶ βουνοὶ, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας· ὅτι ἔρχεται Χριςὸς, ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον, ὡς φιλάνθρωπος.

Τροπάριον, ἦχος β΄.

Μεγάλα τὰ τῆς πίςεως κατορθώματα. ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀνα-

ταύ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καύσεως, οἱ Ἅγιοι τρεῖς Παῖδες ἠγάλλοντο. καὶ ὁ Προφήτης Δανιὴλ, λεόντων ποιμὴν, ὡς προβάτων ἐδείκνυτο. Ταῖς αὐτῶν ἱκεσίαις Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Χρὴ γινώσκειν, ὅτι ἐὰν φθάσῃ ἡ Κυριακὴ τῶν Ἁγίων Πατέρων τῇ εἰκοστῇ τετάρτῃ τοῦ παρόντος μηνὸς, οὐδὲν τῶν Ἀναστασίμων ψάλλομεν, ἀλλὰ πάντα τῶν Ἁγίων Πατέρων, καὶ τῶν Προεορτίων. προηγεῖται δὲ ἡ Ἀκολουθία τῶν Ἁγίων Πατέρων· Ἀναβαθμοὺς δὲ λέγομεν τοῦ ἤχου· καὶ Εὐαγγέλιον, Ἑωθινὸν, οἷον τύχοι τοῦ ὀρδίνου. Εἰς τὸν Ὄρθρον ἡ συνήθης στιχολογία. καὶ Ἀνάγνωσις εἰς τὸ κατὰ Ματθαῖον, καὶ εἰς τὸν Θεολόγον, τὸ, Τίς ἡ τυραννίς; Δεῖ γὰρ εἰδέναι, ὅτι Ἀναστάσιμος Κανὼν οὐ λέγεται. Εἰς τὸ, Θεὸς Κύριος, Τροπάριον, τὸ Ἀναστάσιμον τῆς Ὀκτωήχου δὶς, καὶ τὸ, Μεγάλα τὰ τῆς Πίστεως, καὶ τὸ Προεόρτιον. Οἱ Κανόνες· ὁ εἷς, ἦχος πλ. β΄. Κύματι θαλάσσης. Εἰς ή. καὶ ὁ ἕτερος, ἦχος α΄. εἰς ς΄.

Καταβασία. Χριστὸς γεννᾶται.

Ὁ Κανών. Ὠδὴ α΄. ἦχος πλ. β΄. Ὁ Εἱρμός.

Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι διώκτην Τύραννον, ὑπὸ γῆν ἔκρυψαν, τῶν σεσωσμένων οἱ Παῖδες. ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες, τῷ Κυρίῳ ᾄσωμεν. ἐνδόξως γὰρ δεδόξασται.

Φοβεροὶ θανάτου, ἀνοίγονται πύλαι, καὶ διαρρήσσονται μοχλοὶ αἰώνιοι. τῇ γὰρ σεπτῇ σου καθόδῳ, ἐξανέστησαν οἱ πάλαι νεκροὶ, ἐν εὐφροσύνῃ ψάλλοντες, Χριστὲ τὴν σὴν Ἀνάστασιν.

Σήμερον τὸ κλῆτος, τῶν θείων Πατέρων, Χριστοῦ τὴν Γέννησιν προεορτάζει φαιδρῶς. καὶ ὑπογράφεται ταύτης, τὸ παράδοξον τῆς χάριτος· Ἀβραὰμ γὰρ σύμβολον, τοῦ νόμου καὶ οἱ Παῖδες οἱ τρεῖς.

Πάλαι δεξιοῦται, Θεότητα μίαν, τὴν τρισυπόστατον, ὁ ἱερὸς Ἀβραάμ. νῦν δὲ ὁ σύνθρονος Λόγος, τοῦ Πατρὸς ἐν θείῳ Πνεύματι, τοῖς Παισὶ προέρχεται, ἐνδόξως εὐφημούμενος.

Ἀβραὰμ ἐρρύσθη, χειρὸς ἐξ ἀδίκου· φλογὸς καμίνου δὲ, οἱ θεῖοι Παῖδες ποτέ· καὶ Δανιὴλ ὁ Προφήτης, ἐκ θηρῶν καὶ λάκκου σέσωσται. διὸ νῦν τὴν Γέννησιν, Χριστοῦ προεορτάζουσιν.

Ἀριθμῷ καὶ πίστει, τῆς θείας Τριάδος, τὴν ἀθεότητα, καταστρεψάμενοι, ἐν τῇ καμίνῳ οἱ Παῖδες, ἐν συμβόλοις τὰ ἐσόμενα, τοῦ Θεοῦ μυστήρια, τῷ Κόσμῳ προϋπέφηναν.

Θεοτοκίον.

Κεχαριτωμένη, ἀνύμφευτε Μήτηρ, Παρθένε ἄφθορε, μακαριζομένη σε. τοῦ Ἀβραὰμ γὰρ ἐκ γένους, καὶ φυλῆς Δαβὶδ ἐξιώθησας. τὸν Χριστὸν δὲ τέτοκας, Προφήταις κηρυχθέντα τὸ πρίν.

Ἕτερος Κανὼν προεόρτιος, ἦχος α΄.

Χριστὸς γεννᾶται.

Χριστὸν σαρκὶ νηπιάσαντα, Χριστὸν ἐθελουσίως πτωχεύσαντα, Χριστὸν ὁρατὸν γενόμενον, ἔρχεται ἡ Παρθένος ἐν Βηθλεὲμ, νῦν ἀποκυῆσαι. Οὐρανός τε καὶ ἡ γῆ ἀγαλλιάσθωσαν.

Βουνοὶ καὶ ὄρη σκιρτήσατε, Προφῆται θεηγόροι χορεύσατε· λαοὶ καὶ ἔθνη κροτήσατε· πάντων ἡ σωτηρία, ὁ φωτισμὸς, ἤγγικεν ἐπέστη, ἐν τῇ πόλει Βηθλεὲμ ἀποτικτόμενος.

Πτωχὸς ὁ πλούσιος γίνεται, πτωχίζων τοὺς κακίᾳ πλουτίζοντας. βροτὸς ὁ Θεὸς γνωρίζεται, Κόρης ἀπειρογάμου, δίχα τροπῆς. πάντες ἐν αἰνέσει, ἀνυμνήσωμεν αὐτὸν, ὅτι δεδόξασται.

Καταβασία. Χριστὸς γεννᾶται.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ κτίσις κατιδοῦσα, ἐν τῷ κρανίῳ κρεμάμενον, θαμβητικῶς συνείχετο. οὐκ ἔστιν Ἅγιος, πλὴν σοῦ Κύριε κραυγάζουσα.

Τάφῳ τριημερεύσας, ἀνέστησας ζωαρχικῇ ἐγέρσει, θανόντας τοὺς ἀπ' αἰῶνος· καὶ καταδίκης λυόμενοι, χαρμονικῶς ἠγάλλοντο· ἰδοὺ ἡ λύτρωσις, ἦλθες Κύριε κραυγάζοντες.

Τὴν κατ' εἰκόνα δόξαν, καὶ καθ' ὁμοίωσιν Θεοῦ, φρονοῦντες Παῖδες, χρυσῆς Εἰκόνος φλόγα, ἐν τῷ πυρὶ τῷ τοῦ Πνεύματος, ἀθλητικῶς κατέσβεσαν, ἐν πίστει ψάλλοντες, πλὴν σοῦ Κύριον οὐκ οἴδαμεν.

Σοφίας τῷ περιόντι, καὶ Πνεύματος τῇ δυνάμει οἱ Παῖδες, τοὺς Σοφοὺς Βαβυλῶνος, αἰχμαλωτεύσαντες ἤσχυναν, καὶ θαρσαλέως ἔκραζον· οὐκ ἔστιν Ἅγιος, πλὴν σοῦ Κύριε φιλάνθρωπε.

Χαίρει καὶ συγχορεύει, σὺν τοῖς Παισὶ καὶ Προφήταις ὁ νόμος· καὶ προσκιρτᾷ τοῦ

Κυ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κυρίου, τὴν θείαν ἔλευσιν σήμερον· καὶ Ἀβραὰμ ἀγάλλεται· ὅτι ἐκ σπέρματος, εἶδε Κύριον σαρκούμενον. **Θεοτοκίον.**

Ἡ Σύλληψις ἄνευ πάθους, ἡ πρόσληψις ὑπὲρ λόγον, Παρθένε, τοῦ τόκου σου προῆλθε. τὸ γὰρ Προφήταις θρυλλούμενον, ὑπερφυῶς μυστήριον, ἡμῖν ἐπέφανε, Λόγος τοῦ Θεοῦ ὑπάρχων Κύριος.

**Ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.**

Ὁ Πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθεὶς ὑπὲρ ἔννοιαν· ἐκ τῆς Παρθένου ἐπ᾽ ἐσχάτων, ἐσαρκώθη ὡς οἶδεν, αὐτὸς θέλων τὸ ἀνθρώπινον, ἀνακαινίσαι φθαρὲν πονηροῦ, συμβουλίᾳ ὄφεως.

Ὁ Ἐν τοῖς ὑψίστοις, συνεδρεύων Πατρὶ καὶ τῷ Πνεύματι, ταπεινωθεῖσαν τῶν ἀνθρώπων, θεωρήσας τὴν φύσιν, Υἱὸς τοῦ Θεοῦ ὁ ἄναρχος, ἀρχὴν λαμβάνει, καὶ μέλλει σαρκὶ, τίκτεσθαι ὡς ἄνθρωπος.

Ἡ Ἁγιωτέρα, τῶν Ἀγγέλων καὶ πάσης τῆς κτίσεως, βουλῆς μεγάλης τῆς πατρῴας, νῦν τὸν Ἄγγελον τίκτει, σαρκὶ πάντων εἰς ἀνάκλησιν, τῶν μελῳδούντων ἀπαύστως αὐτῷ· Ἅγιος εἶ Κύριε.

**Καταβασία. Τῷ πρὸ τῶν αἰώνων.**

**Ἡ Ὑπακοή. Ἦχος πλ. δ´.**

Ἄγγελος παίδων ἐδρόσισε κάμινον, νῦν δὲ γυναικῶν κλαυθμὸν διεκώλυε λέγων· τί ἐπιφέρεσθε μύρα; τίνα ζητεῖτε ἐν τάφῳ; ἀνέστη Χριστὸς ὁ Θεός· ὑπάρχει γὰρ ζωὴ, καὶ σωτηρία τοῦ γένους τῶν ἀνθρώπων.

**Ὠδὴ δ´. Ὁ Εἱρμός.**

Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν, προορῶν Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα. σὺ δυναστῶν διέκοψας κράτος ἀγαθὲ, ὁμιλῶν τοῖς ἐν Ἅδῃ ὡς παντοδύναμος.

Ἡ Ἐν τῷ Ἅδῃ θεία κάθοδος, σοῦ Χριστὲ ὁ Θεὸς, νεκροῖς ζωὴ ἐδείχθη. σὺ γὰρ ἐχθροὺς ἐδέσμευσας, κάτω ἀγαθὲ, καὶ οὐράνιον τρίβον ἀνθρώποις ἤνοιξας. **Δίς.**

Τὰ τῶν Πατέρων ἀκροθίνια, Ἀβραὰμ Ἰσαὰκ, καὶ Ἰακὼβ τιμῶμεν· ὅτι αὐτῶν ἐκ σπέρματος, ἔλαμψε Χριστὸς, σαρκωθεὶς ἐκ Παρθένου, ὡς παντοδύναμος.

Προϋπογράφων τὰ ἐσόμενα, τῇ καθόδῳ Χριστοῦ, ὁ Δανιὴλ τοὺς θῆρας, ὡς πρόβατα ἀπέδειξε, πᾶσιν ἐναργῶς· καὶ προέγνω τὸ μέλλον, οἷα Προφήτης Θεοῦ.

Τῆς ἁμαρτίας μὴ σπασάμενοι, τὸν ἰὸν ἐκ φλογὸς, ἐῤῥύσθησαν οἱ Παῖδες· χρυσίου γὰρ ὑπέρτιμοι, ὄντες ἀληθῶς, ἐν καμίνῳ τῆς πλάνης, οὐκ ἐχωνεύθησαν.

**Θεοτοκίον.**

Μεγαλοφώνως προκηρύττεται, προσδοκία ἐθνῶν, καὶ σωτηρία Κόσμου, ὁ ὑπὲρ φύσιν τόκος σου, ἄχραντε σεμνή· ὃν ὑμνεῖ τῶν Πατέρων, ἡ μνήμη σήμερον.

**Ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης.**

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, Παρθένε ἀνεβλάστησας, ἄνθος ἀνθήσασα ἀμάραντον, τὸν πάντων δημιουργὸν, τὸν τὴν γῆν τοῖς ἄνθεσιν, πᾶσαν ὡς Θεὸς κατακοσμοῦντα, ἀναβοῶσαν αὐτῷ· δόξα τῇ δυνάμει σου Κύριε.

Βρώσει με κλαπέντα πονηρᾷ, καὶ γνώμῃ ὀλισθαίνοντα, ὁμοιωθέντα τοῖς ἀλόγοις τε, ὁ Λόγος ὁ τοῦ Θεοῦ, ἦλθες ἀνακτώμενος, βρέφος γεγονὼς, καὶ ἐπὶ φάτνης, ἀλόγων ἀνακλιθείς· δόξα τῇ δυνάμει σου Κύριε.

Ὄρους κατασκίου Ἰησοῦ, Παρθένου σε σαρκούμενον, ὁ Ἀββακοὺμ προεθεάσατο, τὰ ὄρη τὰ πονηρὰ, καὶ βουνοὺς συντρίβοντα, καὶ ἀφανισμῷ παραδιδόντα, ἐπάρσεις τοῦ πονηροῦ, καὶ τὰ τῶν δαιμόνων ὑψώματα.

**Καταβασία. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.**

**Ὠδὴ ε´. Ὁ Εἱρμός.**

Θεοφανείας σου Χριστὲ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν· ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ πάντες οἱ γηγενεῖς ἀγαλλιάσονται.

Τὸ ἐξαστράπτον τῆς χαρᾶς, ὑποτυπῶν ἐμφανῶς ὁ Ἄγγελος, ἐν τῷ τάφῳ λαμπροφόρος δείκνυται, γυναιξὶ κηρύττων ἀνάστασιν. καὶ ἀφέμεναι τὸν κλαυθμὸν, ἠγαλλιάσαντο, Χριστοῦ ἀναστάντος· τὸ χαίρετε, Ἀποστόλοις διαγγέλλουσαι.

Τὴν τῶν Πατέρων ἀπαρχὴν, ὡς ἀρχηγὸν νόμου καὶ τῆς χάριτος, οἱ ἐκ γένους Ἀβραὰμ ἐν πνεύματι, ψαλμικῶς ἐν πίστει τιμήσωμεν· ὡς προφήτης γὰρ τοῦ Θεοῦ, προκατηγγείλατο, Χριστὸν ἐκ Παρθένου. καὶ τούτου προϋπαντᾷ τὴν θείαν Γέννησιν.

Προϋπογράφοντες τρανῶς, τὴν πρὸς ἡμᾶς τοῦ Κυρίου ἔλευσιν· τῇ Ἀγγέλου παρουσίᾳ ἔσβεσαν, Ἀβραὰμ οἱ Παῖδες τὴν κάμι-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

νον· καὶ ἀτμίδα δρόσου τὸ πῦρ ἀπεργασάμενοι, ἐν τούτῳ τῇ πίστει, ἀκόνης χρυσῆς δόξαν ἐχώνευσαν.

Ἔφραξε στόματα θηρῶν, ὁ Δανιὴλ ἐν τῷ λάκκῳ Πνεύματι. τοῦ πυρὸς δὲ τὴν ἰσχὺν κατέσβεσαν, Ἀβραὰμ οἱ Παῖδες τῇ χάριτι, καὶ σωθέντες οὗτοι φθορᾶς, προκαταγγέλλουσι Χριστὸν ἐκ Παρθένου· αἰτοῦντες ὡς λυτρωτὴν, τὴν σωτηρίαν ἡμῶν. Θεοτοκίον.

Ἐν θείῳ Πνεύματι δηλῶν, τὴν ἐξ ἡμῶν ἀπαθῶς σου πρόσληψιν, Ἡσαΐας ἀνεβόα Κύριε, γρηγορῶν τῷ νόμῳ τῆς χάριτος. τὸν ἐκ γένους μὲν Ἀβραὰμ, ἐκ τῆς Ἰούδα δὲ φυλῆς κατὰ σάρκα, Παρθένος ἀνευ σπορᾶς, ἔρχεται τίκτουσα.

Ἄλλος. Θεὸς ὢν εἰρήνης.

Ὁ Φύσει Δεσπότης ἐν δούλοις τελεῖς, ὁ Υἱὸς τοῦ Θεοῦ ὁ παντέλειος. εὐδόκησας δι᾽ ἔλεον καλεῖσθαι καὶ Υἱὸς, ἀνθρώπου πανοικτίρμον. διὸ ἐν τῷ σπηλαίῳ, ἑκουσίως πτωχεύσας, ἔρχῃ τεχθῆναι ὑπεράγαθε.

Ἀχώρητε φύσει, Χριστὲ Βασιλεῦ, πῶς μικρόν σε εἰσδέξεται σπήλαιον; πῶς φάτνη σε δυνήσεται, χωρῆσαι Ἰησοῦ, Μητρὸς ἐξ ἀπειράνδρου, σαρκὶ ἐπιδημοῦντα, εἰς τὰ ἴδια ὅπως, τοὺς ξενωθέντας σώσῃς Κύριε;

Ἀμνὰς τὸν ποιμένα προῆλθε τεκεῖν· εὐτρεπίζου τὸ ἅγιον σπήλαιον· ποιμένες ἐπισπεύσατε, Ποιμένα καὶ ἀμνὸν, τεχθέντα θεωρῆσαι· οἱ Μάγοι μετὰ δώρων, εὐτρεπίσθητε τοῦτον, ὡς Βασιλέα προσκυνῆσαι σαρκί.

Καταβασία. Θεὸς ὢν εἰρήνης.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Ὁ Οὗ βίου τὴν θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμὼν, βοῶ σοι· ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου πολυέλεε.

Θανάτου τὴν νέκρωσιν, καὶ τοῦ ᾍδου ἀγαθὲ, εἰργάσω τὴν καθαίρεσιν, τριημέρῳ ταφῇ σου θεοπρεπῶς. ζωὴν δὲ ἐπήγασας, ἀναστὰς τοῖς ἐν Κόσμῳ, Ἰησοῦ Βασιλεῦ.

Ὁ Τρόπος φιλόξενος, ἡ δὲ πίστις ὑψηλὴ, τοῦ Ἀβραὰμ ὑπάρχουσα, Τριάδος τὸ μυστήριον τυπικῶς, δεξάμενος ἔχαιρε· τοῦ Χριστοῦ δὲ προτρέχων νῦν ἀγάλλεται.

Ὁ Ἣν κτίσιν ὑπέταξε, νῦν ἡ πίστις τοῖς Παισὶ, τῇ δωρεᾷ τοῦ Πνεύματος. τὸ γὰρ πῦρ τὸ παμφάγον καὶ ἀναιδὲς, ᾐδέσθη τοὺς σέβοντας, τοῦ πυρὸς τὸν ἐργάτην, Ἰησοῦν τὸν Χριστόν.

Ὁ Οὗ Κόσμου τὸ ἄγριον, τῇ κελεύσει τοῦ Χριστοῦ, ῥυθμίζεσθαι ὑπέφηνεν, εἰρήνην πρὸς τὴν θείαν θεοπρεπῶς, φιμώσας τοὺς λέοντας, Δανιὴλ ὁ Προφήτης ἐν τῷ λάκκῳ ποτέ.

Ὁ Μόνος ἀόρατος, ὁραθῆναι δι᾽ ἡμᾶς, ἐπὶ τῆς γῆς ὡς ἄνθρωπος, κατηξίωσε πάντως ὁ Πλαστουργός· πληρῶν ὃ ὑπέσχετο, τοῖς Προφήταις προπάλαι θείῳ Πνεύματι. Θεοτοκίον.

Ἡ Ἡδύος ἐκύησας, ἐκ Παρθένου τὸν Χριστὸν, Μαρία Μήτηρ ἄνανδρε· ὃν ᾖδον οἱ Προφῆται θεοπτικῶς. αὐτοῦ προχορεύουσιν, οἱ Πατέρες οἱ θεῖοι τὰ γενέθλια.

Ἄλλος. Σπλάγχνων Ἰωνᾶν.

Ἡ Νέος Οὐρανὸς, ὑπάρχουσα Δέσποινα, ἐκ μήτρας τῆς σῆς, ὡς ἐκ νεφέλης Χριστὸν, δόξης Ἥλιον, ἀνατεῖλαι ἐπάγῃ σπηλαίῳ σαρκὶ, ὡς μέλλοντα ταῖς λάμψεσιν, αὐτοῦ τε τηλαυγῶς, πάντα τὰ τῆς γῆς πληρώματα, καταυγάζειν δι᾽ οἶκτον ἀμέτρητον.

Ἴδες τὴν ἡμῶν, ὀδύνην καὶ κάκωσιν, οἰκτίρμον Χριστὲ, καὶ οὐ παρεῖδες ἡμᾶς· ἀλλ᾽ ἐκένωσας, σεαυτὸν μὴ ἐκστὰς τοῦ Γεννήτορος· καὶ ἐσκήνωσας εἰς μήτραν ἀπειρόγαμον. ἥτις ἀνωδίνως τέξεσθαι, σὲ σαρκὶ ἐν σπηλαίῳ προέρχεται.

Ὄρη καὶ βουνοὶ, πεδία καὶ φάραγγες, λαοὶ καὶ φυλαὶ, ἔθνη καὶ πᾶσα πνοὴ, ἀλαλάξατε, εὐφροσύνης ἐνθέου πληρούμενα. ἦλθε πάντων ἐπεδήμησεν ἡ λύτρωσις. Λόγος τοῦ Θεοῦ ὁ ἄχρονος, ὑπὸ χρόνον δι᾽ οἶκτον γενόμενος.

Καταβασία. Σπλάγχνων Ἰωνᾶν.

Κοντάκιον, ἦχος πλ. β΄.

Χειρόγραφον εἰκόνα μὴ σεβασθέντες, ἀλλ᾽ ἀγράφῳ οὐσίᾳ θωρακισθέντες, τρισμακάριοι, ἐν τῷ σκάμματι τοῦ πυρὸς ἐδοξάσθητε. ἐν μέσῳ δὲ φλογὸς ἀνυποστάτου ἱστάμενοι, Θεὸν ἐπεκαλεῖσθε· τάχυνον ὢ οἰκτίρμον, καὶ σπεῦσον ὡς ἐλεήμων, εἰς τὴν βοήθειαν ἡμῶν, ὅτι δύνασαι βουλόμενος.

Ἕτερον, ἦχος α΄. Χορὸς Ἀγγελικός.

Εὐφραίνου Βηθλεέμ, Ἐφραθᾶ ἑτοιμάζου. ἰδοὺ γὰρ ἡ Ἀμνὰς, τὸν Ποιμένα τὸν μέγαν, ἐν μήτρᾳ βαστάζουσα, τοῦ τεκεῖν κατεπείγεται. ὅνπερ βλέποντες, οἱ Θεοφόροι Πατέρες, ἐπαγάλλονται, μετὰ ποιμένων ὑμνοῦντες, Παρθένον θηλάζουσαν.

Οἱ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ Οἶκος.

Τῆς σῆς Παρθένε κυήσεως τὴν λαμπρότητα, καθορῶντες ἐκλάμπουσαν, Ἀβραὰμ ὁ φιλόθεος, καὶ Ἰσαὰκ ὁ ἀοίδιμος, καὶ Ἰακὼβ, καὶ πᾶς ὁ Θεοσύλλεκτος χορὸς τῶν Ἁγίων ἀγάλλεται. καὶ τὴν Κτίσιν προσήγαγον, πρὸς τὴν ὑπάντησιν, ἐν χαρμοσύνοις λέξεσι. χαρᾶς γὰρ πρόξενος πᾶσιν ὤφθης, ἐν μήτρᾳ συλλαβοῦσα, τὸν ποτὲ ἐν Βαβυλῶνι ὁραθέντα. καὶ τοὺς Παῖδας τοὺς ἐν τῇ καμίνῳ ἀδίκως βληθέντας, ἀφλέκτους συντηρήσαντα ὑπὲρ πᾶσαν ἔννοιαν. διὸ καὶ ἀναμέλπουσι τὸν ὁρώμενον ἐν χερσὶ Νεάνιδος. ὑμνοῦντες Παρθένον θηλάζουσαν.

Τῇ αὐτῇ ἡμέρᾳ, Κυριακῇ πρὸ τῆς Χριστοῦ Γεννήσεως, Μνήμην ἄγειν ἐτάχθημεν παρὰ τῶν Ἁγίων καὶ Θεοφόρων Πατέρων, πάντων τῶν ἀπ' αἰῶνος τῷ Θεῷ εὐαρεστησάντων δικαίων Πατέρων, ἀπὸ Ἀδὰμ, ἄχρι καὶ Ἰωσὴφ τοῦ Μνήστορος τῆς Ὑπεραγίας Θεοτόκου, κατὰ γενεαλογίαν, καθὼς ὁ Εὐαγγελιστὴς Ματθαῖος ἱστορικῶς ἠριθμήσατο· ὁμοίως καὶ τῶν Προφητῶν, καὶ Προφητίδων.

Μνήμη τῶν Πρωτοπλάστων Ἀδὰμ, καὶ Εὔας.

Ξύλῳ Ὑμνῶ θανόντας ζῶν γένους ἀρχηγέτας,
Τοῦ ζῆν με, καὶ θνήσκειν μοι τοὺς παραιτίους.

Μνήμη τοῦ δικαίου Ἄβελ, Υἱοῦ Ἀδάμ.

Βοᾷ Θεῷ σὸν αἷμα, καὶ ψυχῆς δίχα,
Ὦ πρῶτε νεκρῶν, καὶ πρῶτε σεσωσμένων.

Μνήμη τοῦ δικαίου Σὴθ, Υἱοῦ Ἀδάμ.

Σὴθ σπέρμα καινὸν τοῖς Γονεῦσιν ἀντ' Ἄβελ,
Ἄνθρωπος ὢν δίκαιος, οἷος ἦν Ἄβελ.

Μνήμη τοῦ δικαίου Ἐνὼς, Υἱοῦ Σήθ.

Ὀφθεὶς Ἐνὼς μέγιστος ἐκ τῆς ἐλπίδος.
Πολλοῖς ἐνῆκε ζῆλον εἰς τὴν ἐλπίδα.

Μνήμη τοῦ δικαίου Καϊνᾶν, Υἱοῦ Ἐνώς.

Βίβλῳ Καϊνᾶν Μωσέως γεγραμμένος.
Κἀν τῷ παρόντι χρὴ γραφθῆναι βιβλίῳ.

Μνήμη τοῦ δικαίου Μαλελεὴλ, Υἱοῦ Καϊνᾶν.

Ἑξῆς προκάθω Μαλελεὴλ τῷ λόγῳ,
Υἱὸς Καϊνᾶν, οὗ προεμνήσθη λόγος.

Μνήμη τοῦ δικαίου Ἰάρεδ, Υἱοῦ Μαλελεήλ.

Δίκαιον ὄντως ἐν δικαίων πληθύϊ,
Καὶ τοῦ δικαίου μνημονεύειν Ἰάρεδ.

Μνήμη τοῦ δικαίου Ἐνὼχ, Υἱοῦ Ἰάρεδ.

Θεῷ προδήλως εὐαρεστήσας λόγῳ,
Ἐνὼχ ἀδήλοις ἐγκατῳκίσθης τόποις.

Μνήμη τοῦ δικαίου Μαθουσάλα, Υἱοῦ Ἐνώχ.

Ἐνὼχ σε τέκνον ἐκμαθὼν Μαθουσάλα,
Ἔγραψα πρὸς μάθησιν ἄλλων ἐνθάδε.

Μνήμη τοῦ δικαίου Λάμεχ, Υἱοῦ Μαθουσάλα.

Λάμεχ δύο γνοὺς, δεῖν ἔγνων τιμᾶν ἐῶ,
Οὐ τὸν φονευτὴν, ἀλλ' ὁμωνύμως Λάμεχ.

Μνήμη τοῦ δικαίου Νῶε. Υἱοῦ Λάμεχ.

Ἀδὰμ βροτοῖς ὄλεθρον ἐκ ξύλου φέρει.
Διὰ ξύλου δὲ Νῶε πᾶν σῴζει γένος.

Μνήμη τοῦ δικαίου Σήμ, Υἱοῦ Νῶε.

Σὴν πατρικὴν γύμνωσιν εὐφρόνως σκέπων.
Τὰς πατρικὰς εὕρατο εὐχὰς εἰς σκέπην.

Μνήμη τοῦ δικαίου Ἰάφεθ, Υἱοῦ Νῶε.

Μὴ θεὶς Ἰάφεθ πατρὸς αἰσχύνῃ πλάτος,
Βίου πλατυσμὸν εὐχαῖς πατρὸς λαμβάνει.

Μνήμη τοῦ δικαίου Ἀρφαξὰδ, Υἱοῦ Ἰάφεθ.

Ζῇ Κύριος ζῶν, οὐ τὸν Ἀρφαξὰδ λάθω.
Καὶ γὰρ χρεὼν καὶ τοῦτον ἐνταῦθα γράφειν.

Μνήμη τοῦ δικαίου Καϊνᾶν. Υἱοῦ Ἀρφαξάδ.

Καϊνᾶν ἡμῖν ἐξεγήγερται νέος,
Τῷ πρὶν Καϊνᾶν ἐμφερὴς ἐκ τοῦ τρόπου.

Μνήμη τοῦ δικαίου Σάλα. Υἱοῦ Καϊνᾶν.

Συμπατριωτῶν ὁρμαθῷ καὶ συμφύλων,
Ἡ συγγένεια σπουδὴ γὰρ τὸν Σάλα.

Μνήμη τοῦ δικαίου Ἔβερ, ἀφ' οὗ καὶ οἱ Ἰουδαῖοι Ἑβραῖοι ἐκλήθησαν.

Μέγας τις ὄντως τοῖς Ἰουδαίοις Ἔβερ,
Ἐξ αὐτοῦ διδοὺς κλῆσιν Ἑβραίων γένει.

Μνήμη τοῦ δικαίου Φάλεκ, Υἱοῦ Ἔβερ.

Πανηγυρίζω καὶ τὸν ἐξ Ἔβερ τόκον.
Ὡς Μωϋσῆς γάρ φησι, τίκτει τὸν Φάλεκ.

Μνήμη τοῦ δικαίου Ῥαγαὺ, Υἱοῦ Φάλεκ.

Πάλιν κύησις, καὶ πάλιν νέος τόκος.
Υἱὸν Ῥαγαὺ τεκόντος ἡμῖν τοῦ Φάλεκ.

Μνήμη τοῦ δικαίου Σερούχ, Υἱοῦ Ῥαγαύ.

Γραφῶν παλαιῶν τοὺς ἀπ' ἀλλήλων τόκους,
Ἂν ἐκλάθωμαι τὸν Σερούχ, ἁμαρτάνω.

Μνήμη τοῦ δικαίου Ναχὼρ, Υἱοῦ Σερούχ.

Γένους ὑπάρχων τῶν ἄνω λελεγμένων,
Καὶ τὸν Ναχὼρ γνοὺς, οὐ δίισω τοῦ γένους.

Μνήμη τοῦ δικαίου Θάῤῥα, Υἱοῦ Ναχώρ.

Υἱὸς προελθὼν ἐκ Ναχὼρ, κλῆσιν Θάῤῥα,
Πατὴρ ὑπῆρχε, Πατρὸς ἐθνῶν μυρίων.

Μνήμη τοῦ Πατριάρχου Ἀβραὰμ, Υἱοῦ Θάῤῥα.

Τὸν Ἀβραὰμ πῶς δεξιοῦμαι τοῖς λόγοις;
Ὃς ἠξιώθη δεξιοῦσθαι καὶ Νόας.

Μνήμη τοῦ Πατριάρχου Ἰσαὰκ, Υἱοῦ Ἀβραάμ.

Δεθεὶς Ἰσαὰκ, εἰς σφαγὴν τύπος γίνῃ.
Ἐπὶ σφαγὴν ἥξοντος ὑψίστου Λόγου.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μνήμη τοῦ Πατριάρχου Ἰακώβ, Υἱοῦ Ἰσαάκ.
Διὰ κλίμακος Ἰακὼβ τῆς Παρθένου.
Πρὸς γῆν Θεὸν χωροῦντα πρὶν τόκου βλέπει.

Μνήμη τοῦ Πατριάρχου Ῥουβίμ, Υἱοῦ Ἰακώβ.
Τῆς Υἱότητος Ἰακὼβ τοῦ τιμίου,
Ῥουβὶμ ἔγνων νῦν θεῖον, ἀρχὴν τιμίαν.

Μνήμη τοῦ Πατριάρχου Συμεών, Υἱοῦ Ἰακώβ.
Κἂν δευτερεῖα Συμεὼν ἐκ τοῦ τόκου,
Κλέος παρ᾽ ἡμῖν οὐ τὸ δεύτερον φέρει.

Μνήμη τοῦ Πατριάρχου Λευΐ, Υἱοῦ Ἰακώβ.
Χριστοῦ μεγίστου θεοῦ ὢν ὑπηρέτης,
Τί Λευῒ μεῖζον τῆσδε τῆς δόξης θέλεις;

Μνήμη τοῦ Πατριάρχου Ἰούδα, Υἱοῦ Ἰακώβ, οὗ ἐκ τῆς φυλῆς ὁ Χριστός.
Ἰούδαν αἰνέσαισαν οἱ σεσωσμένοι.
Ἐξ Ἰούδα γὰρ Χριστὸς ἡ σωτηρία.

Μνήμη τοῦ Πατριάρχου Ζαβουλών, Υἱοῦ Ἰακώβ, οὗ ἡ φυλὴ παράλιος.
Ἀκτὰς κατοικεῖν ὁ Ζαβουλὼν ἐκρίθη.
Γῆς καὶ θαλάττης εἰς ἓν ἄκρα συνδέων.

Μνήμη τοῦ Πατριάρχου Ἰσάχαρ, Υἱοῦ Ἰακώβ, οὗ ἡ φυλὴ γηπόνος.
Στήσας ἑαυτὸν εἰς τὸ ποιεῖν Ἰσάχαρ,
Ζωὴν συνιστᾷ, γῆθεν ἄρτον ἐκφέρων.

Μνήμη τοῦ Πατριάρχου Δάν, Υἱοῦ Ἰακώβ, οὗ ἡ φυλὴ Κριτής.
Λαοῦ Κριτὴς Δάν, γλῶττα τῆς ἐξουσίας,
Ζυγοῖς δικαίοις πᾶσιν ἐξάγων κρίσιν.

Μνήμη τοῦ Πατριάρχου Γάδ, Υἱοῦ Ἰακώβ, οὗ ἡ φυλὴ λῃστευομένη, ἢ λῃστεύουσα.
Γὰδ πειρατευθεὶς, πειρατεύων ἐκτρέχει.
Νίκαις δὲ τούτων πειρατῶν κατισχύει.

Μνήμη τοῦ Πατριάρχου Ἀσήρ, Υἱοῦ Ἰακώβ, οὗ ἡ φυλὴ πλουσία, ἐπὶ χώραις σιτοφόροις.
Ἀσὴρ δέ φησι πλέονα πλουτεῖ στάχυν,
Τρέφει τε τοὺς ἄρχοντας ἄρτῳ πλουσίῳ.

Μνήμη τοῦ Πατριάρχου Νεφθαλείμ, Υἱοῦ Ἰακώβ, οὗ ἡ φυλὴ πολὺ πλῆθος.
Ὡς ἔργον ὄντως Νεφθαλεὶμ ἀνειμένον,
Εἰς πλῆθος αὐτῷ τῆς φυλῆς ὑπλωμένῳ.

Μνήμη τοῦ Πατριάρχου Ἰωσήφ, Υἱοῦ Ἰακώβ, οὗ ἡ φυλὴ περίδοξος καὶ περιφανής.
Ηὐξημένον σε, σὸς Πατὴρ Υἱὸν λέγων,
Δόξαν φυλῆς σῆς, Ἰωσὴφ διαγράφει.

Μνήμη τοῦ Πατριάρχου Βενιαμίν, Υἱοῦ Ἰακώβ, οὗ ἡ φυλὴ ἀπὸ ἀγρίας, πρωΐα.
Φαγὼν τὸ πρωῒ Βενιαμὶν ὡς λύκος,
Πρᾶος φανεὶς, δίδωσι βρῶσιν Ἑσπέρας.

Μνήμη Φαρὲς, καὶ Ζαρὰ τῶν διδύμων, Υἱῶν Ἰούδα τοῦ Πατριάρχου.
Κοινῶς ἐπαινῶ σπέρμα κοινὸν Ἰούδα,
Φαρὲς, Ζαρά τε, τοὺς διδύμους συγγόνους.

Μνήμη Ἑσρώμ, Υἱοῦ Φαρές.
Ἐκ Φαρὲς Ἑσρὼμ, ὥσπερ ἐκ ῥίζης κλάδος,
Ἄμφω δὲ ῥίζης Ἀβραὰμ θεῖοι κλάδοι.

Μνήμη Ἀράμ, Υἱοῦ Ἑσρώμ.
Γέγηθεν Ἑσρὼμ οὐ νοσῶν ἀτεκνίαν.
Ἀρὰμ γὰρ αὐτῷ τέκνον ἠγαπημένον.

Μνήμη Ἀμιναδάβ, Υἱοῦ Ἀράμ.
Τὸν Ἀμιναδὰβ ἐξ Ἀρὰμ φῦναι λόγος.
Τούτου γὰρ Υἱὸν ἡ Γραφὴ τοῦτον λέγει.

Μνήμη Ναασσών, Υἱοῦ Ἀμιναδάβ.
Ἐκφὺς Ναασσὼν τῆς Ἰούδα φυτείας,
Ἐξ Ἀμιναδὰβ, τῆς φυλῆς ἐξ Ἰούδα.

Μνήμη Σαλμών, Υἱοῦ Ναασσών.
Ηὔξησε σειρὰν Ἀβραμιαίου γένους,
Σαλμὼν προελθὼν τῆς Ναασσὼν ὀσφύος.

Μνήμη Βοόζ, Υἱοῦ Σαλμών.
Εὐαγγελιστὰ, τοῦ δὲ Σαλμὼν Υἱέα,
Τίνα γράφεις σύ; τὸν Βοόζ φησὶ γράφω.

Μνήμη Ὠβήδ, Υἱοῦ Βοόζ, ἐκ τῆς Ῥοὺθ γεννηθέντος.
Ἐκ Ῥοὺθ μὲν Ὠβὴδ, τὴν φυλὴν Μωαβίτης,
Ἐκ τοῦ Βοόζ δὲ δῆλος Ἰσραηλίτης.

Μνήμη Ἰεσσαί; Υἱοῦ Ὠβήδ.
Ἰεσσαὶ τίκτε, τικτέτω καὶ σὸν γένος,
Ἕως ἀπ᾽ αὐτοῦ Παῖς Θεὸς τεχθῇ μέγας.

Μνήμη Δαβὶδ Βασιλέως, Υἱοῦ Ἰεσσαί.
Ἐγὼ τί φήσω; μαρτυροῦντος Κυρίου.
Τὸν Δαβὶδ εὗρον ὡς ἐμαυτοῦ καρδίαν.

Μνήμη Σολομῶντος Βασιλέως, Υἱοῦ Δαβίδ.
Σοφὸς Σολομὼν, πρῶτος ἐν σοφοῖς Βίβλοις.
Ἔχων τὸ πρῶτον τῶν καλῶν τῶν τοῦ βίου.

Μνήμη Ῥοβοὰμ Βασιλέως, Υἱοῦ Σολομῶντος.
Ἐγκώμιόν σοι Ῥοβοὰμ πλέκω μέγα,
Σὸν πάππον εἶναι τὸν μέγαν Δαβὶδ λέγων.

Μνήμη Ἀβιὰ Βασιλέως, Υἱοῦ Ῥοβοάμ.
Βοᾷ Ῥοβοὰμ πρὸς τὸν Ἀβιὰ λέγων·
Ἐγὼ Πατὴρ σὸς, καὶ σύ μου τὸ τεκνίον.

Μνήμη Ἀσὰ Βασιλέως, Υἱοῦ Ἀβιά.
Εὐθῆ τὸν Ἀσὰ μηνύει Βασιλέα,
Ἡ τετράτιτλος τῶν Βασιλειῶν βίβλος.

Μνήμη Ἰωσαφὰτ Βασιλέως, Υἱοῦ Ἀσά.
Ἰωσαφὰτ τὰ πάντα χρηστὸς ἐν βίῳ,
Εὑρὼν ἀφορμὰς πατρόθεν χρηστοῦ βίου.

Μνήμη Ἰωρὰμ Βασιλέως, Υἱοῦ Ἰωσαφάτ.

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

Ἰωρὰμ ἡμῖν ἐξ Ἰωσαφὰτ ἔφυ.
Υἱὸς Βασιλεὺς, ἐκ Πατρὸς Βασιλέως.

Μνήμη Ὀζίου Βασιλέως, Υἱοῦ Ἰωράμ.

Ἀνῆκε καρπὸν εὐγενῆ τὸν Ὀζίαν.
Ἄναξ Ἰωρὰμ, Ἰωσαφὰτ ὁ κλάδος.

Μνήμη Ἰωάθαμ Βασιλέως, Υἱοῦ Ὀζίου.

Τὸν Ἰωάθαμ, ὡς νεοττὸν Ὀζίου.
Τῆς Βασιλείας ἡ καλιὰ λαμβάνει.

Μνήμη Ἄχαζ Βασιλέως, Υἱοῦ Ἰωάθαμ.

Τὸ τῆς κεφαλῆς στέμμα τὴν Ἰωάθαμ,
Στέφει κεφαλὴν εὐπρεπῶς καὶ τὴν Ἄχαζ.

Μνήμη Ἐζεκίου Βασιλέως, Υἱοῦ Ἄχαζ.

Σοφοῖ τελευτὴν δακρύσας Ἐζεκίας.
Τοσοῦτον ἰσχύουσι ῥεῖθρα δακρύων.

Μνήμη Μανασσῆ Βασιλέως, Υἱοῦ Ἐζεκίου.

Σωτηριῶδες πρὸς μετάγνωσιν βάθρον,
Μανασσῆς ἡμῖν, τὴν προσευχὴν πηγνύει.

Μνήμη Ἀμμὼν Βασιλέως, Υἱοῦ Μανασσῆ.

Ἀμμὼν κυηθεὶς τῆς ἀλουργίδος μέσον,
Ἦν καὶ Βασιλεὺς, καὶ Βασιλείας τέκνον.

Μνήμη Ἰωσίου Βασιλέως, Υἱοῦ Ἀμμών.

Ἰωσίας ἔναντι τοῦ Θεοῦ μέγας.
Ὃν γνοὺς, ἐπαινεῖν δειλιῶ, μὴ σμικρύνω.

Μνήμη Ἰεχονίου Βασιλέως, Υἱοῦ Ἰωσίου.

Ἐκ Βαβυλῶνος τῇ μετοικίᾳ λόγος,
Ἰεχονίαν ἐμπαροικῆσαι βίῳ.

Μνήμη Σαλαθιὴλ, Υἱοῦ Ἰεχονίου.

Πρῶτον μετ' αὐτὴν τὴν μετοικίαν τέκνον.
Τὸν Σαλαθιὴλ Ἰούδα φυλὴ φύει.

Μνήμη Ζοροβάβελ, τοῦ τὸν Ναὸν τῶν Ἱεροσολύμων καυθέντα ἀνεγείραντος.

Ναβουζαρδὰν ἔκαυσε Ναὸν Κυρίου.
Οὗ καῦσιν ἦρε κτίσμασι Ζοροβάβελ.

Μνήμη Ἀβιοὺδ, Υἱοῦ Ζοροβάβελ.

Ἀβιοὺδ ὄρτυξ, οὗ φυλὴ Ζοροβάβελ.
Ὡς τὴν φυλὴν οὖν, καὶ τὸν ὄρτυκα γράφω.

Μνήμη Ἐλιακεὶμ, Υἱοῦ Ἀβιούδ.

Τὸν Ἐλιακεὶμ Ἀβιοὺδ γράφει γόνον,
Ματθαῖος ἡμῖν ἀκριβὴς χρονογράφος.

Μνήμη Ἀζὼρ, Υἱοῦ Ἐλιακείμ.

Ὁ θεῖος Ἀζὼρ ἐξ Ἐλιακεὶμ ἔφυ,
Θεία Γραφὴ λέγουσα τοῦτο πιστοῦται.

Μνήμη Σαδὼκ, Υἱοῦ Ἀζώρ.

Ἀζὼρ κυΐσκων τὸν Σαδὼκ οὐ λανθάνει.
Ὃν συγγραφεὺς γνοὺς, ἐκκαλύπτει τὸν τόκον.

Μνήμη Ἀχεὶμ, Υἱοῦ Σαδώκ.

Τοῖς τοῦ Σαδὼκ ζητοῦσιν Υἱὸν, Ματθαῖος.
Δεῖξαι τὸν Ἀχεὶμ, ἐκβαλὼν τὸ βιβλίον.

Μνήμη Ἐλιοὺδ, Υἱοῦ Ἀχείμ.

Τεχθεὶς ἀπ' Ἀχεὶμ Ἐλιοὺδ ὤφθη τέκνον.
Ὀφθήσεται δὲ καὶ Πατὴρ τεκνοτρόφος.

Μνήμη Ἐλεάζαρ, Υἱοῦ Ἐλιούδ.

Ἰδοὺ τεκόντα καὶ τὸν Ἐλιοὺδ ἔγνων,
Ἐλεάζαρον τέκνον, εἰ βούλει, μάθε.

Μνήμη Ματθὰν, Υἱοῦ Ἐλεάζαρ.

Ἐλεάζαρ δὲ τὸν Ματθὰν γεννᾶν λέγει,
Μαρτυρίας ἄκουε Ματθαίου βίβλου.

Μνήμη Ἰακὼβ, Υἱοῦ Ματθάν.

Καὶ Ματθὰν εἰσήνεγκεν Υἱὸν εἰς βίον.
Τὸν Ἰακὼβ γὰρ εἰσενεγκὼν εὑρέθη.

Μνήμη Ἰωσὴφ τοῦ Μνήστορος, Υἱοῦ Ἰακώβ.

Μνηστὴρ Ἰωσὴφ, ὃν τὸ Πνεῦμα πρὸ γάμου.
Μνηστὴν ἐκείνου, συλλαβοῦσαν δεικνύει.

Μνήμη τοῦ δικαίου Μελχισεδέκ.

Εἶχε Γραφή σε Πατρὸς, καὶ Μητρὸς δίχα.
Χριστοῦ τυποῦντα, Μελχισεδὲκ, τοὺς τόκους.

Μνήμη τοῦ δικαίου Ἰώβ.

Ὕψιστον εὑρὼν ἀξίως ἐπαινέτην,
Ἰὼβ ἐπαίνων οὐ δέῃ τῶν γηΐνων.

Μνήμη τῶν Προφητῶν, Μωσέως, Ὢρ, καὶ Ἀαρὼν τῶν Ἱερέων.

Σὺ Ὢρ Ἀαρὼν προγράφει Χριστοῦ Πάθος,
Ὑψοῦντες ἄμφω σταυρικῶς τὸν Μωσέα.

Μνήμη Ἰησοῦ, Υἱοῦ τοῦ Ναυῆ.

Ὑμνεῖν Ἰησοῦν ποῖος ἀρκέσει λόγος;
Ὧ συλλαλῶν ὑπῆρχε καὶ Θεὸς Λόγος;

Μνήμη τοῦ Ἁγίου Προφήτου Σαμουήλ.

Ὀφθαλμὸν ἡμῖν Σαμουὴλ Θεοῦ τίθει,
Ὀφθαλμοὶ θεῖε, καὶ τὰ μέλλοντα βλέπων.

Μνήμη τοῦ Προφήτου Νάθαν.

Ἁμαρτιῶν ἔλεγχος ὀξὺς ὢν Νάθαν,
Ἡμάρτομεν λέγουσι, συγγνώμην νέμοις.

Μνήμη τοῦ Ἁγίου Προφήτου Δανιήλ.

Καὶ θηρία φρίττουσιν ἀρετῆς φίλον,
Ἔργοις Δανιὴλ τοῦτο πιστοῦται μέγας.

Μνήμη τῶν Ἁγίων τριῶν Παίδων.

Κἂν πῦρ τὸ πῦρ ἦν τῆς καμίνου, καὶ δρόσος.
Πρὸς δυσσεβεῖς πῦρ, πρὸς δὲ τοὺς Παῖδας δρόσος.

Μνήμη τῆς δικαίας Σάῤῥας, Γυναικὸς Ἀβραάμ.

Νεύσει Θεοῦ καὶ στεῖρα νικᾶται φύσις,
Καὶ μάρτυς ὠδίνουσα Σάῤῥα παιδίον.

Μνήμη τῆς δικαίας Ῥεβέκκας, Γυναικὸς Ἰσαάκ.

Καὶ τὴν ἀρίστην τῶν γυναικῶν Ῥεβέκκαν,
Ἄριστος εὗρεν ἀνδρῶν, κοινωνὸν λέχους.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μνήμη τῆς δικαίας Λείας, πρώτης Γυναικὸς Ἰακώβ.

Λείας προσώπῳ Κύριος μὴ δοὺς χάριν,
Κυήσεως δίδωσι τῇ μήτρᾳ χάριν.

Μνήμη τῆς δικαίας Ῥαχήλ, δευτέρας Γυναικὸς Ἰακώβ.

Θεοὺς πατρῴους Ῥαχὴλ κλέπτω τῷ πόθῳ,
Ἐν ἐσχάτῳ δὲ, τὸν Θεὸν ποθῶ Λόγον.

Μνήμη τῆς δικαίας Ἀσυνὲθ, γυναικὸς Ἰωσὴφ τοῦ Παγκάλου.

Κάλλει παρῆλθεν Ἥλιος μὲν Ἀστέρας,
Ἡ δ' Ἀσυνὲθ μοι τὰς ὑφ' ἥλιον Κόρας.

Μνήμη τῆς δικαίας Μαρίας, ἀδελφῆς Μωϋσέως.

Ἄσωμεν ἀεὶ, καὶ πάλιν τῷ Κυρίῳ,
Εὐχῆς κροτοῦσα τύμπανον νῦν Μαρία.

Μνήμη τῆς δικαίας Δεβόρρας, τῆς κρινάσης τὸν Ἰσραήλ.

Ὑπὲρ γυναῖκας ἡ Δεβόρρα τὴν φρένα.
Βάθη φρενὸς κρίνουσα λαὸν Κυρίου.

Μνήμη τῆς δικαίας Ῥούθ.

Ἔθνος λιποῦσα Ῥοὺθ ἑαυτῆς, καὶ σέβας.
Ἔθνει προσῆλθε, καὶ Θεῷ τοῦ Μωσέως.

Μνήμη τῆς δικαίας Σαραφθίας, πρὸς ἣν Ἠλίας ἀπεστάλη.

Ἄσπαρτον ἦχε τὴν τροφὴν Σαραφθία.
Καινὸν λαχοῦσα λήϊον τὸν Ἠλίαν.

Μνήμη τῆς δικαίας Σωμανίτιδος, τῆς ξενοδοχησάσης τὸν Ἐλισσαῖον.

Ἐλισσαῖός σοι κλεῖθρα νηδύος λύει.
Ὦ, κλεῖθρα Σωμανῖτις ἤνοιξας δόμου.

Μνήμη τῆς δικαίας Ἰουδὴθ, τῆς ἀνελούσης τὸν Ὀλοφέρνην.

Ὃν πᾶς ἀνὴρ ἔφριττε δεινὸν ὁπλίτην,
Γυνὴ καθεῖλεν Ἰουδὴθ Ὀλοφέρνην.

Μνήμη τῆς δικαίας Ἐσθὴρ, τῆς λυτρωσαμένης τὸν Ἰσραὴλ ἐκ θανάτου.

Ἔσωσεν Ἐσθὴρ ἄνδρας Ἰσραηλίτας,
Ἅδου σκηνὴν μέλλοντας εἰσδῦναι πάλαι.

Μνήμη τῆς δικαίας Ἄννης, τῆς μητρὸς Σαμουὴλ τοῦ Προφήτου.

Εὐχῆς τέκνον τεκοῦσα Σαμουὴλ μέγαν,
Νικᾷ Φεννάναν, Ἄννα πολλοῖς ἐν τέκνοις.

Μνήμη τῆς δικαίας Σωσάννης.

Κανὼν πρόκειται, σωφρονούσαις ἐν βίῳ,
Ὁ τῆς Σωσάννης σωφρονέστατος βίος.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις ὁ Θεὸς, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Ἄφραστον θαῦμα, ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς ὁσίους Παῖδας ἐκ φλογὸς, ἐν τάφῳ νεκρὸς ἄπνους κατατίθεται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ. Δίς.

Ὢ ξένον θαῦμα· ὁ ἐν ὑψίστοις καθήμενος, ἐπὶ θρόνου Κύριος αὐτὸς, προσλήψει σαρκὸς, θάνατον ὑπέμεινεν. ἀλλ' ἐξανέστη Θεότητος ἰσχύϊ, συνεγείρας πάντας, νεκροὺς τοὺς ἀπ' αἰῶνος.

Χριστὸν γεννήσας, τὸν κατὰ σάρκα ἐκ Πίστεως, ἀρχηγέτα Πάτερ Ἀβραὰμ, ἐδείχθης ἐθνῶν, Πνεύματι Πατὴρ ἐναργῶς, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἀψύχου ἤχου, διακενῆς ἀλαλάζοντος, τῶν ἐμψύχων ἤμβλυναν ᾠδὴν, καμίνου πυρὸς φλεγομένοις σώμασι, καταπατοῦντες οἱ Παῖδες ἀλωβήτως· λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἣν θεωρίᾳ, ἐνατενίσας τοῦ Πνεύματος, ὁ Προφήτης πάλαι Δανιὴλ, Χριστοῦ προτυποῖ τὴν δευτέραν ἔλευσιν, καὶ τὰ ἐν ταύτῃ φρικτὰ προκαταγγέλλει. ἐκβοῶν ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ὢ ξένον θαῦμα, τὸ ἐν Προφήταις θρυλλούμενον, καὶ πατράσι πάλαι ἐμφανῶς, Παρθένος Ἁγνὴ, τεχθομένη πάρεστιν, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Οἱ Παῖδες εὐσεβείᾳ.

Ἡ Ἄμπελος ἡ θεία, τὸν ἀκήρατον βότρυν περκάζουσα, ἐγγίζει ἥκει τοῦ τεκεῖν, εὐφροσύνης οἶνον βλύζοντα, καὶ ποτίζοντα ἡμᾶς, αὐτῷ κραυγάζοντας· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἡ θεία μυροθήκη, τὸ εὐῶδες μῦρον ἔνδον φέρουσα, ἐν τῷ σπηλαίῳ Βηθλεὲμ, ἐκκενῶσαι τοῦτο ἔρχεται, εὐωδίας μυστικῆς πληροῦν τοὺς μέλποντας· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Λαβὶς ἣν Ἠσαΐας, ὁ Προφήτης πάλαι ἐθεάσατο, τὸν θεῖον ἄνθρακα Χριστὸν, ἐν κοιλίᾳ ἥκει φέρουσα, πᾶσαν ὕλην ἁμαρτίας καταφλέγοντα, τῶν δὲ πιστῶν τὰς ψυχὰς φωταγωγοῦντα.

Καταβασία. Οἱ Παῖδες εὐσεβείᾳ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Ἔκστηθι φρίττων Οὐρανέ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς. ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται, ὁ ἐν ὑψίστοις Θεός, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται. ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Δίς.

Ὢ τῆς ἀφάτου σου Χριστέ, συγκαταβάσεως δι᾽ ἡμᾶς τοὺς ταπεινούς· ἰδοὺ γὰρ θανάτου γευσάμενος, Θεὸς ἀθάνατος ὤν, ἐν τάφῳ ὡς βροτὸς κατετέθης. ἀλλ᾽ ἐξανέστης Λόγε, συνεγείρας τοὺς κάτω, σὲ ὑπερυψοῦντας, εἰς πάντας τοὺς αἰῶνας. Δίς.

Σοῦ τὴν σφαγὴν προεκτυπῶν, ὁ Ἀβραὰμ Χριστέ, ὃν ἐκύησεν Υἱόν, ἐν ὄρει παθαρχῶν σοι Δέσποτα, καθάπερ πρόβατον, ἀνῆλθε θυσιάσων ἐν πίστει· ἀλλ᾽ ἐπανῆκε χαίρων, Ἰσαὰκ καὶ πρεσβύτης, σὲ ὑπερυψοῦντες, εἰς πάντας τοὺς αἰῶνας.

Φλὸξ ἡ ἀκάματος Χριστέ, ἐνδυσαμένη σε ὡς ἱμάτιον τὸ πῦρ, τὸ θεῖον τῶν Ἁγίων Παίδων σου, ἀπημαυρώθη σφοδρῶς, καὶ δρόσος τῇ σῇ συγκαταβάσει, τοῖς ψάλλουσιν ἠχεῖτο· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Δίδοται λέουσι βορά, ἀρρήτοις κρίμασιν, ὁ Προφήτης Δανιήλ· ἀλλ᾽ ἔχων ἐγκρατείας δόγμασι, συνησθέντας εὐσεβῶς, τοὺς θῆρας ἐν τῷ βόθρῳ τοῦ λάκκου. αὐτοῦ ταῖς ἱκεσίαις, Ἀβραὰμ καὶ τῶν Παίδων, σῶσον ἐν εἰρήνῃ, Χριστὲ τοὺς σὲ ὑμνοῦντας. Στ.

Ὃν προκατήγγειλαν πιστῶς, προφητικαὶ φωναί, Ἰησοῦν Ἐμμανουήλ, ἀνθρώπου ἐν μορφῇ ἐρχόμενον, τὸν τοῦ Θεοῦ καὶ Πατρός, Υἱόν τε καὶ συνάναρχον Λόγον, ἐκ Πνεύματος Ἁγίου, ἡ Παρθένος Μαρία, τίκτει ἀπαράνδρως, ἐν Βηθλεὲμ τῇ πόλει.

Ἄλλος. Θαύματος ὑπερφυοῦς.

Δόξα ἐν ὑψίστοις Θεῷ μετ᾽ Ἀγγέλων, ἐκβοήσωμεν ἐν εὐφροσύνῃ· ὁ Σωτὴρ τεχθήσεται, ὁ Δεσπότης ἐπιδημεῖ· ὃν ἀστὴρ ὑποδεικνύει, Μάγοι σπεύδουσιν, αὐτὸν ἐπὶ φάτνης τοῦ θεάσασθαι. εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον.

Δούλοις ἀπεγράφης ἑκὼν ὁ Δεσπότης, τῷ τοῦ Καίσαρος ὑπακούων νόμῳ· ὅπως τὸ ἀνθρώπινον, τῆς δουλείας τοῦ πονηροῦ, ὡς Θεὸς ἐλευθερώσῃς πολυέλεε. διὸ γεγηθότες ἀναμέλπομεν· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω. Στ.

Βρέφος νέον φέρουσα σε ἄναρχε Λόγε· πάραν δὲ ὅλως ἀνδρὸς οὐκ ἔγνων, ἡ Παρθένος ἔλεγεν, ἀποροῦσα τίνα ἐν γῇ, ὀνομάσω σου Πατέρα οὐκ ἐπίσταμαι. διὸ μετὰ πάντων ἀναμέλπω σοι· εὐλογείτω ἡ κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Θαύματος ὑπερφυοῦς.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Μὴ ἐποδύρου μου Μῆτερ, καθορῶσα ἐν τάφῳ, ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς, συνέλαβες Υἱόν. ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι, καὶ ὑψώσω ἐν δόξῃ ἀπαύστως ὡς Θεός, τοὺς ἐν πίστει καὶ πόθῳ, σὲ μεγαλύνοντας. Δίς.

Νῦν ἐποδύρῃ ἡ κτίσις, ἐν Σταυρῷ καθορῶσα, καὶ ἐν σορῷ τὸν τῆς ζωῆς, Δεσπότην καὶ Θεόν; ἀναστήσεται γὰρ καινοποιῶν σε φαιδρῶς, τριημέρῳ ἐγέρσει, τὸν Ἅδην καθελὼν· καὶ νεκροὺς συνεγείρας, ἀνευφημοῦντας αὐτόν.

Ὧν πρὸ τοῦ νόμου Πατέρων, ἑορτὴν ἐκτελοῦντες, τὸν ἐξ αὐτῶν θεοπρεπῶς τιμῶμεν Ἰησοῦν· Ἀβραὰμ γὰρ ὁμοῦ, καὶ Ἰσαὰκ καὶ Ἰακώβ, Προφητῶν καὶ τοῦ νόμου, ἐδείχθησαν κρηπίς. καὶ τῆς χάριτος πίστει, πνευματικαὶ ἀπαρχαί.

Ὁ ἐν πυρὶ ὑποδείξας, τῷ Μωσῇ ἐν τῇ βάτῳ, τὸ ὑπὲρ νοῦν θεοπτικῶς μυστήριον Θεός, ἐν πυρὶ τοῖς Παισὶ συγκαταβὰς ὁ αὐτός, τῷ πυρὶ τῆς ἐμφύτου Θεότητος αὐτοῦ, τῆς καμίνου τὴν φλόγα, δρόσον ἀπέδειξε.

Νῦν Ἀβραὰμ συνελθόντες, οἱ πανάγιοι Παῖδες, καὶ Δανιὴλ ὁ θαυμαστὸς Προφήτης τοῦ Θεοῦ· Ἰσαάκ, Ἰακὼβ μετὰ Μωσῆ καὶ Ἀαρών, τοῦ Χριστοῦ πρὸ τοῦ τόκου χορεύουσι πιστῶς. δυσωποῦντες ἀπαύστως, εἰς τὸ σωθῆναι ἡμᾶς. Θεοτοκίον.

Συγχαίρει πᾶσα ἡ κτίσις, τῷ σῷ τόκῳ Παρθένε. τὴν γὰρ Ἐδὲμ ἡ Βηθλεὲμ διήνοιξεν ἡμῖν. καὶ ἰδοὺ τῆς ζωῆς τοῦ ξύλου ἅπαντες, ἀπολαύοντες πίστει βοῶμεν ἐκτενῶς· τὰς ἡμῶν ἱκεσίας Δέσποινα πλήρωσον.

Ἄλλος. Μυστήριον ξένον.

Μυστήρια ξένα, φρικτὰ καὶ παράδοξα. ὁ τῆς δόξης Κύριος, ἦλθεν ἐπὶ τῆς γῆς, καὶ σπηλαίῳ πτωχεύσας ὑπέδυ σαρκί, τὸν Ἀδὰμ ἀνακαλέσασθαι ζητῶν, καὶ τὴν Εὔαν τῶν ὠδίνων ἐκλυτρώσασθαι.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Σπαργάνοις σε, λύσας σειρὰς πταισμάτων, τῇ πολλῇ πτωχείᾳ δέ, πάντας καταπλουτίζεις οἰκτίρμων, ἀλόγου κακίας τεθείς, ἐν τῇ φάτνῃ τῶν ἀλόγων δέ, τοὺς βροτοὺς ἀπαλλάττεις, τοῦ Θεοῦ Λόγε προάναρχε. Στίχ.

Κηρύγματα, τῶν Προφητῶν πέρας εἴληφεν· ὃν γὰρ προεφήτευσαν, ἧξεν ἐν συντελείᾳ τῶν χρόνων, ἐπέστη ἐφάνη ἁγνῆς, ἐκ Παρθένου σωματούμενος. αὐτὸν διανοίᾳ καθαρᾷ ὑποδεξώμεθα.

Καταβασία. Μυστήριον ξένον.

Ἐξαποστειλάριον Ἀναστάσιμον ὁ λέγομεν, ἀλλὰ τῶν Πατέρων. Τοῖς Μαθηταῖς.

Πατριαρχῶν οἱ πρόκριτοι, καὶ πρὸ νόμου Πατέρες, ἐν πίστει προεξέλαμψαν, Ἀβραὰμ Ἰσαάκ τε, καὶ Ἰακὼβ ὡς φωστῆρες. ἅπαντες γὰρ Προφῆται, καὶ Δίκαιοι ἀνήφθησαν, ἐξ αὐτῶν ὡς λαμπάδες φωταυγεῖς. καὶ τὴν κτίσιν πᾶσαν φωταγωγοῦσι, καὶ ἐκτενῶς πρεσβεύουσι, πρὸς Θεὸν ὑπὲρ Κόσμου. Ἕτερον. Ὅμοιον.

Εὐφραίνου Βηθλεὲμ καὶ σύ, Εὐφραθὰ ἑτοιμάζου. ἡ Θεοτόκος ἥκει γάρ, ἐν σπηλαίῳ καὶ φάτνῃ, τεκεῖν Θεὸν ἀπορρήτως. ὦ φρικτοῦ μυστηρίου· ὃ νῦν τὴν θείαν Γέννησιν, Ἀβραὰμ Ἰσαάκ τε καὶ Ἰακώβ, Πατριάρχαι ἅπαντες καὶ Προφῆται, φαιδρῶς προεορτάζουσι, καὶ βροτοὶ σὺν Ἀγγέλοις.

Εἰς τοὺς Αἴνους, στίχ. Ἀναστάσιμα τῆς Ὀκτωήχου δ΄. καὶ τῶν Ἁγίων Πατέρων προσόμοια δ΄. ἦχ. πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Ὤφθη ἡ πανεύδοξος, Θεοπατόρων ἡ μνήμη, φωτὸς ὄντως ἔμπλεως, καὶ ἀκτῖσι χάριτος ἐξαστράπτουσα. φαεινὸς Ἥλιος, ὁ Χριστὸς ἄνωθεν, ὑπερλάμψας τηλαυγέστατα, ἀστέρων σύνοδος, ἄγει σὺν αὐτοῖς ἀνατέλλοντα, καὶ τόκον τὸν Θεάνθρωπον, φαίνει Βηθλεὲμ ἔνδον ἔσεσθαι. ὅθεν ἐκ καρδίας, τοῖς τούτου Γενεθλίοις εὐσεβῶς, ἐπικροτοῦντες χορεύσωμεν, αἶνον προεόρτιον.

Ἀλόγων ἐν φάτνῃ σε, ἀνακλινεῖ ἡ Παρθένος, Θεοῦ Λόγε ἄναρχε, ἀρχὴν εἰσδεχόμενον ὑπὲρ ἔννοιαν. τὴν ἐμὴν λῦσαι γάρ, ἀλογίαν ἔρχῃ, ἣν ὑπέστην φθόνῳ ὄφεως· σπαργανωθήσῃ δέ, ὅπως διαρρήξῃς τὰ σπάργανα, σειράς τε τῶν πταισμάτων μου, μόνε ἀγαθὲ καὶ φιλάνθρωπε. ὅθεν σὲ δοξάζω, ὑμνῶ, καὶ προσκυνῶ περιχαρῶς, τὴν ἐν σαρκὶ παρουσίαν σου, δι᾿ ἧς ἠλευθέρωμαι.

Στίχ. Εὐλογητὸς εἶ Κύριε ὁ Θεός.

Δόξῃ ὡραΐζεται, τῆς θεϊκῆς μετουσίας, Ἀδὰμ χαίρων σήμερον, ὡς κρηπὶς καὶ ἔρεισμα, Προπατόρων σοφῶν. συσκιρτᾷ Ἄβελ τε, καὶ Ἐνὼχ γέγηθε, καὶ χορεύει Σὴθ καὶ Νῶε ὁμοῦ, σὺν Πατριάρχαις τε, μέλπει Ἀβραὰμ ὁ πανεύφημος· καὶ τόκον τὸν ἀπάτορα, νῦν Μελχισεδὲκ βλέπει ἄνωθεν. ὅθεν θείαν μνήμην, Χριστοῦ τῶν Προπατόρων καὶ ἡμᾶς, ἐπιτελοῦντες αἰνέσωμεν, Τριάδα τὴν ἄκτιστον.

Στίχ. Καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν.

Ἤστραψεν εὐφρόσυνος, ἡ ἐν καμίνῳ τῶν Παίδων, Θεοφόρων χόρευσις, καὶ Χριστοῦ τὴν Γέννησιν, προκηρύττουσα σαφῶς. ὡς σεπτὴ δρόσος γάρ, καταβὰς Κύριος, τὴν τεκοῦσαν σώζει ἄφλεκτον, φρουρεῖ ἀλώβητον, καὶ καταπλουτεῖ θείαις χάρισι. διὸ καὶ ὁ θεόληπτος, χαίρει Δανιὴλ ἀγαλλόμενος· λίθον γὰρ ἐξ ὄρους, ἀλόξευτον προβλέπων ἐμφανῶς, ἐν παρρησίᾳ πρεσβεύει νῦν, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Δόξα, ἦχος πλ. β΄.

Τῶν νομικῶν διδαγμάτων ὁ σύλλογος, τὴν ἐν σαρκὶ ἐμφανίζει, τοῦ Χριστοῦ θείαν Γέννησιν· τοὺς πρὸ τοῦ νόμου τὴν χάριν εὐαγγελιζομένους, ὡς ὑπὲρ νόμου τῇ πίστει ὑπάρξαντας. ὅθεν τῆς φθορᾶς ἀπαλλαγὴν οὖσαν πρόξενον, ταῖς ἐν Ἅδῃ κατεχομέναις ψυχαῖς προεκήρυττον, διὰ τῆς ἀναστάσεως, Κύριε δόξα σοι.

Καὶ νῦν. Ὑπερευλογημένη.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τῶν Πατέρων. Ὠδὴ γ΄. καὶ ς΄.

Προκείμ. ἦχος δ΄. Ὠδὴ τῶν Πατέρων.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων.

Στίχ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Ἀδελφοί, πίστει παρῴκησεν Ἀβραὰμ εἰς Κεφ. ια΄. 9.
τὴν γῆν τῆς ἐπαγγελίας ὡς ἀλλοτρίαν, ἐν σκηναῖς κατοικήσας μετὰ Ἰσαὰκ καὶ Ἰακώβ, τῶν συγκληρονόμων τῆς ἐπαγγελίας τῆς αὐτῆς. Ἐξεδέχετο γὰρ τὴν τοὺς θεμελίους ἔχουσαν πόλιν, ἧς τεχνίτης καὶ δημιουργὸς ὁ Θεός. Καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαράκ τε, καὶ Σαμψών, καὶ Ἰεφθάε, Δαβίδ τε, καὶ Σα-



Δημόσια Κεντρική Βιβλιοθήκη

μουὴλ, καὶ τῶν Προφητῶν. Οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων. ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν. Ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν. Ἕτεροι δὲ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν ἔλαβον· ἔτι δὲ δεσμῶν, καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον. Περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν· ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, (ὧν οὐκ ἦν ἄξιος ὁ Κόσμος) ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς. Καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως, οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν· τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. α'. 1. Βίβλος Γενέσεως Ἰησοῦ Χριστοῦ, Υἱοῦ Δαβὶδ, Υἱοῦ Ἀβραάμ. Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ. Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ. Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ. Ἰούδας δὲ ἐγέννησε τὸν Φαρὲς καὶ τὸν Ζαρὰ ἐκ τῆς Θάμαρ. Φαρὲς δὲ ἐγέννησε τὸν Ἐσρώμ. Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράμ. Ἀρὰμ δὲ ἐγέννησε τὸν Ἀμιναδάβ. Ἀμιναδὰβ δὲ ἐγέννησε τὸν Ναασσών. Ναασσὼν δὲ ἐγέννησε τὸν Σαλμών. Σαλμὼν δὲ ἐγέννησε τὸν Βοὸζ ἐκ τῆς Ῥαχάβ. Βοὸζ δὲ ἐγέννησε τὸν Ὠβὴδ ἐκ τῆς Ῥούθ. Ὠβὴδ δὲ ἐγέννησε τὸν Ἰεσσαί. Ἰεσσαὶ δὲ ἐγέννησε τὸν Δαβὶδ τὸν Βασιλέα. Δαβὶδ δὲ ὁ Βασιλεὺς ἐγέννησε τὸν Σολομῶντα ἐκ τῆς τοῦ Οὐρίου. Σολομὼν δὲ ἐγέννησε τὸν Ῥοβοάμ. Ῥοβοὰμ δὲ ἐγέννησε τὸν Ἀβιά. Ἀβιὰ δὲ ἐγέννησε τὸν Ἀσά. Ἀσὰ δὲ ἐγέννησε τὸν Ἰωσαφάτ. Ἰωσαφὰτ δὲ ἐγέννησε τὸν Ἰωράμ. Ἰωρὰμ δὲ ἐγέννησε τὸν Ὀζίαν. Ὀζίας δὲ ἐγέννησε τὸν Ἰωάθαμ. Ἰωάθαμ δὲ ἐγέννησε τὸν Ἄχαζ. Ἄχαζ δὲ ἐγέννησε τὸν Ἐζεκίαν. Ἐζεκίας δὲ ἐγέννησε τὸν Μανασσῆ. Μανασσῆς δὲ ἐγέννησε τὸν Ἀμών. Ἀμὼν δὲ ἐγέννησε τὸν Ἰωσίαν. Ἰωσίας δὲ ἐγέννησε τὸν Ἰεχονίαν, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ, ἐπὶ τῆς μετοικεσίας Βαβυλῶνος. Μετὰ δὲ τὴν μετοικεσίαν Βαβυλῶνος, Ἰεχονίας ἐγέννησε τὸν Σαλαθιήλ. Σαλαθιὴλ δὲ ἐγέννησε τὸν Ζοροβάβελ. Ζοροβάβελ δὲ ἐγέννησε τὸν Ἀβιούδ. Ἀβιοὺδ δὲ ἐγέννησε τὸν Ἐλιακείμ. Ἐλιακεὶμ δὲ ἐγέννησε τὸν Ἀζώρ. Ἀζὼρ δὲ ἐγέννησε τὸν Σαδώκ. Σαδὼκ δὲ ἐγέννησε τὸν Ἀχείμ. Ἀχεὶμ δὲ ἐγέννησε τὸν Ἐλιούδ. Ἐλιοὺδ δὲ ἐγέννησε τὸν Ἐλεάζαρ. Ἐλεάζαρ δὲ ἐγέννησε τὸν Ματθάν. Ματθὰν δὲ ἐγέννησε τὸν Ἰακώβ. Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰωσὴφ, τὸν ἄνδρα Μαρίας, ἐξ ἧς ἐγεννήθη Ἰησοῦς, ὁ λεγόμενος Χριστός. Πᾶσαι οὖν αἱ γενεαὶ ἀπὸ Ἀβραὰμ ἕως Δαβὶδ, γενεαὶ δεκατέσσαρες· καὶ ἀπὸ Δαβὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος, γενεαὶ δεκατέσσαρες. καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ, γενεαὶ δεκατέσσαρες. Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ Γέννησις οὕτως ἦν. Μνηστευθείσης γὰρ τῆς Μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος Ἁγίου. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ θέλων αὐτὴν παραδειγματίσαι, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. Ταῦτα δὲ αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ Ἄγγελος Κυρίου κατ' ὄναρ ἐφάνη αὐτῷ, λέγων· Ἰωσὴφ, Υἱὸς Δαβὶδ, μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου. Τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός ἐστιν Ἁγίου. Τέξεται δὲ Υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥΝ. Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου, διὰ τοῦ Προφήτου λέγοντος. Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ ΕΜΜΑΝΟΥΗΛ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός. Διεγερθεὶς δὲ ὁ Ἰωσὴφ ἀπὸ τοῦ ὕπνου, ἐποίησεν ὡς προσέταξεν αὐτῷ ὁ Ἄγγελος Κυρίου, καὶ παρέλαβε τὴν γυναῖκα αὐτοῦ. καὶ οὐκ ἐγίνωσκεν αὐτὴν, ἕως οὗ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ ΙΗΣΟΥΝ.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μηνὶ τῷ αὐτῷ Κ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰγνατίου τοῦ Θεοφόρου.

Ἀπὸ ταύτης ἀρχόμεθα τῶν Προεορτίων τῆς κατὰ σάρκα Γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Δεῖ εἰδέναι, ὅτι Ὀκτώηχον οὐ ψάλλομεν μέχρι τῆς ἀποδόσεως τῆς Ἑορτῆς τῶν ἁγίων Θεοφανίων, ἤγουν ἀπὸ τῆς κ'. τοῦ Δεκεμβρίου Μηνὸς, μέχρι τῆς ιδ'. τοῦ Ἰαννουαρίου Μηνός. Εἰς τὸ Λυχνικὸν, ἡ συνήθης στιχολογία.

Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἵστωμεν στίχ. ϛ'. καὶ ψάλλομεν Προεόρτια στιχηρὰ. Ἰδιόμελα τρία.

Ἦχος α'. Ἀνατολίου.

Προεορτάσωμεν λαοὶ, Χριστοῦ τὰ Γενέθλια. καὶ ἐπάραντες τὸν νοῦν ἐπὶ τὴν Βηθλεὲμ, ἀναχθῶμεν τῇ διανοίᾳ. καὶ κατίδωμεν τὴν Παρθένον, τοῖς ψυχικοῖς λογισμοῖς, ἐπαγομένην τίκτειν ἐν σπηλαίῳ, τὸν τῶν ὅλων Κύριον καὶ Θεὸν ἡμῶν. ὃν Ἰωσὴφ κατιδὼν, τῶν θαυμάτων τὸ μέγεθος, ἐδόκει ἄνθρωπον θεωρεῖν, ὡς βρέφος σπαργανούμενον. ὑπενόει δὲ ἐκ τῶν πραγμάτων, Θεὸν εἶναι ἀληθινὸν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν, τὸ μέγα ἔλεος.

Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Προεορτάσωμεν λαοὶ, Χριστοῦ τὰ γενέθλια. καὶ τὸν νοῦν ἐπάραντες ἐπὶ τὴν Βηθλεὲμ, ἀναχθῶμεν τῇ διανοίᾳ· καὶ κατίδωμεν τὸ ἐν σπηλαίῳ μέγα μυστήριον· ἠνοικται γὰρ ἡ Ἐδὲμ, ἐκ Παρθένου ἁγνῆς, Θεοῦ προερχομένου· τέλειος ὑπάρχων ὁ αὐτὸς, ἐν Θεότητι καὶ ἀνθρωπότητι. διὸ κράξωμεν· Ἅγιος ὁ Θεὸς, ὁ Πατὴρ ὁ ἄναρχος. Ἅγιος ἰσχυρὸς, ὁ Υἱὸς ὁ σαρκωθείς. Ἅγιος ἀθάνατος, τὸ παράκλητον Πνεῦμα. Τριὰς Ἁγία δόξα σοι.

Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Ἄκουε Οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ. ἰδοὺ γὰρ ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ καὶ Πατρὸς, πρόεισι τεχθῆναι, ἐκ Κόρης ἀπειράνδρου· εὐδοκίᾳ τοῦ φύσαντος αὐτὸν ἀπαθῶς, καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδέμ· ὅτι ὁ ὢν, γίνεται ὃ οὐκ ἦν· καὶ ὁ Πλαστουργὸς πάσης κτίσεως, ἀναπλάττεται. ὁ παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Ἕτερα, στιχ. προσόμοια τοῦ Ἁγίου. ἦχος δ'.

Ὁ ἐξ Ὑψίστου κληθείς.

Ὁ Θεοφόρος καλούμενος ἀξίως, ὅτε ὁ Δεσπότης σε μάκαρ Ἰγνάτιε, ὡς συμπαθὴς ἠγκαλίσατο, Φιλοσοφίας, τῆς ἀνωτάτης φαίνων τὰ δόγματα. τότε τὴν πολύφωτον αἴγλην εἰσδέδεξαι, καθάπερ σπόγγος τὰ νάματα, ἐκ τῆς ἀβύσσου, τῶν φωτισμάτων ἀνικμησάμενος. ὅθεν κατ' ἴχνος ἠκολούθησας, τῷ καλοῦντι Χριστῷ τῷ Θεῷ ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὅμοιον.

Ὁ τετρωμένος ἀγάπῃ τῇ τελείᾳ, ὅτε ὁ πρηστήριος ἔρως ἀνέφλεγε, σοῦ τὴν ψυχὴν ἱερώτατε, πρὸς τὸν Δεσπότην, σὲ κατεπείγων, Πάτερ πορεύεσθαι, τότε τὸν ἀοίδιμον λόγον ἐβόησας. σῖτος ὑπάρχω τοῦ κτίσαντος, καὶ δι' ὀδόντων, δεῖ με θηρίων πάντως ἀλήθεσθαι. ἵνα τῷ Λόγῳ καθαρώτατος, ἄρτος φανῶ τῷ Θεῷ ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὅμοιον.

Συνεσταυρώθης Χριστῷ Ἱεροφάντορ, ὅτε τὸν θεόπνευστον λόγον ἀνέκραξας· ὁ ἐμὸς ἔρως ἐσταύρωται, καὶ κοινωνῆσαι, τούτῳ τοῦ πάθους λίαν ἐπάγομαι. ἐντεῦθεν Ἰγνάτιε, καθάπερ Ἥλιος, ἀνατολῆς ἐξορμώμενος, ἐπὶ τὴν δύσιν, καταφωτίζων μάκαρ διέδραμες· καὶ βασιλείας διαδήματι, ἐκοσμήθης Χριστῷ προσαγόμενος. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. δ'. Ἀνατολίου.

Θεοφόρε Ἰγνάτιε, τὸν σὸν ἔρωτα Χριστὸν ἐνστερνισάμενος, μισθὸν ἐκομίσω, τῆς ἱερουργίας τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, τὸ τελειωθῆναι δι' αἵματος. διὸ σῖτος γενόμενος τοῦ ἀθανάτου Γεωργοῦ, δι' ὀδόντων θηρίων ἠλέσθης, καὶ ἄρτος ἡδὺς, αὐτῷ ἀνεδείχθης· πρέσβευε ὑπὲρ ἡμῶν, Ἀθλητὰ μακάριε.

Καὶ νῦν, ἦχος ὁ αὐτός.

Ὑπόδεξαι Βηθλεὲμ, τὴν τοῦ Θεοῦ Μητρόπολιν. φῶς γὰρ τὸ ἄδυτον, ἐπὶ σὲ γεννῆσαι ἥκει. Ἄγγελοι θαυμάσατε ἐν Οὐρανῷ, ἄνθρωποι δοξάσατε ἐπὶ τῆς γῆς. Μάγοι ἐκ Περσίδος, τὸ τρισόκλεον δῶρον προσκομίσατε. ποιμένες ἀγραυλοῦντες, τὸν Τρισάγιον ὕμνον μελῳδήσατε. πᾶσα πνοὴ αἰνεσάτω τὸν παντουργέτην.

Εἰς τὸν στ. στ. ἦχος β'. [illegible]

Βηθλεὲμ γῆ Ἰούδα, τὸ κατὰ σάρκα πολίτευμα, φαιδρῶς εὐτρέπισον τὸ θεῖον σπήλαιον, ἐν ᾧ Θεὸς σαρκὶ τίκτεται, ἐξ ἀπειράνδρου Ἁγίας Παρθένου, εἰς τὸ σῶσαι τὸ γένος ἡμῶν.

ἦχ. δ'. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. Ἀνδρέου Πυρσοῦ.

Δεῦτε ἅπαντες Χριστοῦ τὰ Γενέθλια, πιστῶς προεορτάσωμεν. καὶ νοητῶς τὸν ὕμνον, ὡς ἀστέρα προβαλλόμενοι, Μαγικὰς δοξολογίας, μετὰ ποιμένων βοήσωμεν. ἦλθεν ἡ σωτηρία τῶν βροτῶν, ἐκ Παρθενικῆς νηδύος Χριστός, πιστοὺς ἀνακαλούμενος.

ἦχ. Κύριε εἰσακήκοα. Κυπριανοῦ.

Οἶκος τοῦ Ἐφραθᾶ, ἡ Πόλις ἡ ἁγία, τῶν Προφητῶν ἡ δόξα. εὐτρέπισον τὸν οἶκον, ἐν ᾧ τὸ θεῖον τίκτεται.

Δόξα, τοῦ Ἁγίου, ἦχος α'. Τοῦ Στουδίτου.

Τῆς στερρᾶς καὶ ἀδαμαντίνου σου ψυχῆς, ἀξιομακάριστε Ἰγνάτιε. σὺ γὰρ πρὸς τὸν ὄντως σὸν ἐραστὴν ἀνένδοτον ἔχων τὴν ἔφεσιν ἔλεγες· οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλόϋλον, ὕδωρ δὲ μᾶλλον ζῶν, καὶ λαλοῦν ἐν ἐμοί, ἔνδοθέν μοι λέγον· δεῦρο πρὸς τὸν Πατέρα. ὅθεν θείῳ Πνεύματι πυρπολούμενος, θῆρας ἠρέθισας, Κόσμου σε θᾶττον χωρίσαι, καὶ πρὸς τὸν ποθούμενον παραπέμψαι Χριστόν. ὃν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, ἦχος β'. Κυπριανοῦ.

Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν, εὐτρεπίζου σπήλαιον· ἡ Παρθένος ἐγγίζει τοῦ τεκεῖν. Βηθλεὲμ γῆ Ἰούδα, τέρπου καὶ ἀγάλλου, ὅτι ἐκ σοῦ ἀνατέταλκεν ὁ Κύριος ἡμῶν. ἀκούσατε ὄρη καὶ βουνοί, καὶ τὰ περίχωρα τῆς Ἰουδαίας. ὅτι ἔρχεται Χριστός, ἵνα σώσῃ ὃν ἔπλασεν ἄνθρωπον ὡς φιλάνθρωπος.

Τροπάριον. Προεόρτιον, ἦχος δ'.

Ἑτοιμάζου Βηθλεέμ, ἤνοικται πᾶσιν ἡ Ἐδέμ· εὐτρεπίζου Ἐφραθᾶ ὅτι τὸ ξύλον τῆς ζωῆς, ἐν τῷ σπηλαίῳ ἐξήνθησεν ἐκ τῆς Παρθένου. Παράδεισος καὶ γὰρ ἡ ἐκείνης γαστήρ, ἐδείχθη νοητός, ἐν ᾧ τὸ θεῖον φυτόν· ἐξ οὗ φαγόντες ζήσωμεν. οὐχὶ δὲ ὡς ὁ Ἀδὰμ τεθνηξόμεθα. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν ἀναστήσων εἰκόνα.

Καὶ τοῦ Ἁγίου, ἦχος ὁ αὐτός.

Καὶ τρόπων μέτοχος, καὶ θρόνων διάδοχος.

Καὶ πάλιν τὸ Προεόρτιον. Ἑτοιμάζου Βηθλεέμ. Τὰ αὐτὰ καὶ εἰς τό, Θεὸς Κύριος, καὶ εἰς τὸ τέλος τοῦ Ὄρθρου. Τετραώδιον ψαλλόμενον ἐν τοῖς Ἀποδείπνοις. οὗ ἡ ἀκροστ. Τῇ Δευτέρᾳ.

Ὠδὴ α'. ἦχος β'. Ὁ Εἱρμός.

Ὃ τὴν ἄβατον, κυμαινομένην θάλασσαν, θείῳ αὐτοῦ προστάγματι, ἀναξηράναντι, καὶ πεζεῦσαι δι' αὐτῆς, τὸν Ἰσραηλίτην λαὸν καθοδηγήσαντι, Κυρίῳ ᾄσωμεν. ἐνδόξως γὰρ δεδόξασται.

Τροπάριον.

Ἡ ἀπόρρητος, Λόγου Θεοῦ κατάβασις· ὅπερ αὐτὸς θεάνθρωπος, Χριστὸς γινώσκεται· τὸ Θεὸς οὐχ ἁρπαγμόν, εἶναι ἡγησάμενος. ἔρχεται δούλου μορφήν, ἀναδεξάμενος, Κόρης Ἁγνῆς Θεόπαιδος.

Διακονήσων, Χριστὸς ἑκὼν προέρχεται. ὁ τὴν μορφὴν ὁ Πλαστουργός, νῦν ὑποδύεται, τῷ πτωχεύσαντι Ἀδάμ, ὁ πλουτῶν Θεότητι· ξένην ἀνάπλασιν, καὶ ἀναγέννησιν, ὡς εὔσπλαγχνος δωρούμενος.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Ἔφλεξε παίδων ἀγών, τὸ ὁμόζυγον ψυχῆς ἄσπιλον σῶμα, καὶ εἶξε τὸ τραφὲν ἐν ἀτέρῳ ὕλῃ, ἀκάματον πῦρ. ἀειζώου δὲ ἐκμαρανθείσης φλογός, διαιωνίζων ὕμνος ἀνεμέλπετο· τὸν Κύριον πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάριον.

Ὑμᾶς μου πάντας συγγενεῖς, ἄρτι θήσομαι, εἰ τὰς ἐμὰς ἐντολὰς τηρήσετε, φησὶν ὁ Χριστὸς τοῖς ἀνθρώποις, ἐκ μήτρας ἁγνῆς προερχόμενος. οἷς τὴν ἀρίστην διδούς, τὰ ταπεινὰ φρονεῖν νῦν ὑποτίθεται· καὶ Κύριον γινώσκειν τοῦτον καὶ ψάλλειν. σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Πάθεως ἔμπαλιν ἐν σοί, σαρκικῆς ἐστιν ὁ τόκος Λόγου Θεοῦ. οὐχ αἷμα γὰρ καὶ σάρξ, σὴν ἁγίαν σάρκα συνιέστησιν, ἀλλὰ Πνεύματος Ἁγίου παρουσία, καὶ τοῦ Ὑψίστου θεία ἐπισκίασις· καὶ Κύριον γινώσκοντές σε ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ἐμεγάλυνας Χριστέ, τὴν τεκοῦσάν σε Θεοτόκον. ἀφ' ἧς ὁ πλάστης ἡμῶν, ὁμοιοπαθὲς ἡμῖν περιέθου σῶμα, τὸ τῶν ἡμετέρων λυτήριον ἀμπλακημάτων. ταύτην μακαρίζοντες, πᾶσαι γενεαί, σὲ μεγαλύνομεν.

Τροπάριον.

Ῥύπον πάντα ἐμπαθῆ, ἀπωσάμενοι ἐπαξίως, τῆς παρουσίας Χριστοῦ, γνώμην ἀναλάβωμεν ἔμφρονα. καὶ γὰρ ἀρρυπάρως προέρχεται, σάρκα φορέσαι. καὶ πᾶσι δωρήσασθαι, θείαν διὰ Πνεύματος ἀνάπλασιν.

Ἀφορῶντες εἰς Χριστόν, ταπεινούμενον ὑψωθῶμεν, ἐκ χαμαιζήλων παθῶν. ζήλῳ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δὲ καλῷ, μὴ φρονεῖν ὑψηλὰ, πίςει παιδαγωγούμενοι θεότης, ἐν Πνεύματι ταπεινωθῶμεν· ὅπως τὸν τικτόμενον, ἐν ὑψοποιοῖς ἔργοις ὑψώσωμεν.

Εἰς τὸν Ὄρθρον. μετὰ τὸν α΄. Στίχ. Κάθ. ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ὁ Κλίνας Οὐρανοὺς, καὶ Παρθένῳ οἰκήσας, προέρχεται σαρκὶ, Βηθλεὲμ ἐν σπηλαίῳ, τεχθῆναι καθὼς γέγραπται, ἐραθῆναί τε νήπιος, ὁ τὰ νήπια, ζωογονῶν ἐν τῇ μήτρᾳ, τούτῳ χαίροντες, νῦν ὑπαντήσωμεν πάντες, καρδίας ἀθύτητι.

Δόξα, καὶ νῦν. τὸ αὐτό.

Μετὰ τὴν β΄. Στίχ. Κάθ. Ὅμοιον.

Ἀγάλλου ἡ Σιὼν, Βηθλεὲμ ἑτοιμάζου· ὁ πάντων συνοχεὺς, τὸν Ἀστέρα προπέμψας, ἐμήνυσε τὴν ἄμετρον, ἑαυτοῦ συγκατάβασιν. ὃν γὰρ τρέμουσι, τῶν Οὐρανῶν αἱ δυνάμεις, ὄντως τίκτεται, ἐκ τῆς Παρθένου ἀτρέπτως, ὁ μόνος Θεὸς ἡμῶν.

Δόξα, καὶ νῦν, τὸ αὐτό. ὁ Ν΄. καὶ οἱ Κανόνες. ὁ Προεόρτιος μετὰ τῶν Εἱρμῶν εἰς ϛ΄. καὶ τοῦ Ἁγίου εἰς ϛ΄. Κανὼν ὁ Προεόρτιος. οὗ ἡ ἀκροστιχίς.

Ἄδω ταῦτα τὰ Προεόρτια ὁ Ἰωσήφ.

Ὠδὴ α΄. ἦχος α΄. Ὁ Εἱρμός.

Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες, Θεῷ τῷ ποιήσαντι θαυμαςὰ τέρατα, βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν Ἰσραὴλ, ὅτι δεδόξασται.

Ἀρξώμεθα σήμερον προεορτάζειν, Χριςοῦ τὰ Γενέθλια, τοῦ τεχθέντος σώματι, ἐκ τῆς Παρθένου Μητρὸς, ἐν τῷ σπηλαίῳ Βηθλεὲμ, διὰ σπλαγχνίαν πολλήν.

Δεσμῶν ἀπολύων με τῆς ἁμαρτίας, σπαργάνοις ἑλίσσεται, καὶ ἐν φάτνῃ τίθεται, βρέφος ὁρώμενος, ὁ προαιώνιος Θεός· δόξα τῷ κράτει αὐτοῦ.

Ἐδὲμ διανοίγεται, σοῦ γενομένου, ἐκ Κόρης Θεόπαιδος, ἐν τῇ πόλει Δέσποτα, τῇ Βηθλεὲμ ἐν σαρκί· ὑμνολογοῦμεν τὴν φρικτὴν οἰκονομίαν σου.

Ἰδοὺ νῦν πεπλήρωται τοῦ Ἡσαΐου, ἡ πρόρρησις Πάναγνε. τοῦ τεκεῖν τὸν ἄχρονον, Υἱὸν γὰρ ἐν σπηλαίῳ, ἐλήλυθας. πᾶσα ἡ γῆ, διὸ εὐφραίνεται.

Ἕτερος Κανὼν τοῦ Ἁγίου εἰς ϛ΄. Ποίημα Ἀνδρέου Κρήτης. ἦχος καὶ εἱρμὸς ὁ αὐτός.

Φαιδρῶς ἑορτάζοντες, εὐωχηθῶμεν· ὁ Μάρτυς Ἰγνάτιος, ἱερῶς προτρέπεται, τὴν Ἐκκλησίαν Χριςοῦ, ἐπὶ τὴν ἄθλησιν αὐτοῦ, τὴν πολυΰμνητον.

Ἔνδοξον μνήμην σου, πάντες τιμῶμεν, παμμάκαρ Ἰγνάτιε, καὶ ψαλμοῖς γεραίρομεν, τὸν ςεφανώσαντα, τὴν πάνσεπτόν σου κορυφὴν, θεομακάριςε.

Φωςὴρ διαυγέςατος τῆς Ἐκκλησίας, ὑπάρχων Ἰγνάτιε, καταλάμπεις ἅπαντα, τῆς γῆς τὰ πέρατα· καὶ τὴν ἑσπέραν δαδουχεῖς, ἐκ τῆς ἑώας ἐλθών.

Τοῦ Παύλου μιμούμενος τοὺς κατὰ τόπον, κινδύνους Ἰγνάτιε. καὶ ὑπάρχων δέσμιος, οὐ κατενάρκησας, ςηρίζων γράμμασι πυκνοῖς, τὰς Ἐκκλησίας Χριςοῦ. Δόξα.

Τριὰς ὑπερούσιε μία Θεότης, Μονὰς τρισυπόςατε, τοὺς πιςῶς βοῶντάς σοι· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ Δημιουργὲ, σῶσον ἐλέησον. Καὶ νῦν. Θεοτοκίον.

Ἐδὲμ ἑτοιμάσθητι. ἡ Εὐφραθὰ γὰρ, τῷ κτίςῃ ἡτοίμασαι, γεννηθῆναι μέλλοντι, ἐκ τῆς Παρθένου Μητρὸς, ἐν τῷ σπηλαίῳ Βηθλεὲμ, διὰ σπλαγχνίαν πολλήν.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Λίθον ὃν ἀπεδοκίμασαν, οἱ οἰκοδομοῦντες, οὗτος ἐγεννήθη, εἰς κεφαλὴν γωνίας· αὐτός ἐςιν ἡ πέτρα, ἐν ᾗ ἐςερέωσε Χριςὸς τὴν Ἐκκλησίαν αὐτοῦ· ἣν ἐξ ἐθνῶν ἐξηγοράσατο.

Τροπάριον.

Ταύτην τοῦ Χριςοῦ τὴν σάρκωσιν, γνοὺς ὁ Ἡσαΐας, Πνεύματι Ἁγίῳ ἐμφανῶς προλέγει. παιδίον ἐκ Παρθένου, γεννᾶται ὁ Κύριος, εἰς ἀναγέννησιν ἡμῶν· οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ.

Ἄςρον ἤδη ἀνατέταλκεν, ἐκ φυλῆς Ἰούδα· ὅπερ ἐπιγνόντες, Βασιλεῖς κινήσαντες, ἀνατολῶν ποιοῦνται· καὶ φθάσαι ἐπάγονται, ὅπως θεάσωνται Χριςὸν, ἐν Βηθλεὲμ σαρκὶ τικτόμενον.

Ὕμνον πᾶσα προεόρτιον, προσαδέτω κτίσις, τῷ πρὸς ἑωσφόρου, ἐκ Πατρὸς γεννηθέντι, καὶ νῦν ἐκ τῆς Παρθένου ἀῤῥήτως ἐκλάμποντι· καὶ τικτομένῳ σαρκικῶς ἐν Βηθλεὲμ, διὰ σπλαγχνίαν πολλήν.

Τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.

Τύπος ἱερᾶς ἀθλήσεως, ἀνεδείχθης Μάκαρ, ςήλη καρτερίας, καὶ πανῶν ἀνδρείας, καὶ ςῦλος Ἐκκλησίας, καὶ Πίςεως,

ἔρασμα, καὶ ἀρετῆς ὑπογραμμὸς, ἄθλοις στεπτοῖς στεφανωθεὶς ἐν Χριστῷ.

Ὄντως φερωνύμως κέκλησαι, Θεοφόρε Πάτερ. νήπιος γὰρ ἔτι κομιδῇ ὑπάρχων. εἰς χεῖρας τοῦ Κυρίου, φερόμενος ἴσασο, ἀναφωνοῦντος πρὸς ἡμᾶς· γίνεσθέ μοι, ὡς τὸ παιδίον τοῦτο.

Ποῖος τόπος οὐχ ἡγίασαι, τοῖς παθήμασί σου, ποία παροικία οὐκ ἐγνώσθης Μάρτυς; ἢ ποία φυλακή σε σχεδὸν οὐκ ἐδέξατο, δέσμιον Μάρτυρα Χριστοῦ; ζῆλος γάρ σε θεῖος ἠρέθιζε.

Σῖτος καθαρὸς Θεοῦ ἡμῶν, ἀνεβόας πέλω, σπεύδω ἀληθῆναι ὑπὸ θηρῶν ἀγρίων. θλασθήτω τὰ ὀστᾶ μου, βρωθήτω τὰ μέλη μου, καὶ βρῶμα γένωμαι θηρῶν· ἵνα Χριστῷ καθαρὸς ἄρτος ὀφθῶ. Δόξα.

Μίαν προσκυνῶ Θεότητα, ὡς ἀρχὴν καὶ τέλος, πάντων τε τῶν ὄντων, καὶ τῶν γενησομένων, Πατέρα ἀγέννητον, Υἱὸν ἀχρόνως γεννητὸν, Πνεῦμα εὐθὲς, ἐκπορευτὸν ἐκ Πατρός. Καὶ νῦν. Θεοτοκίον.

Λεῦρο Ἡσαΐα βόησον· ἰδοὺ ἡ Παρθένος, ἔχει ἐν κοιλίᾳ τὸν Λυτρωτὴν τοῦ Κόσμου· καὶ τέξει ἐν σπηλαίῳ, καὶ ἔσται τὸ ὄνομα τοῦ τικτομένου Ἰησοῦς, Θεὸς μεθ᾿ ἡμῶν, Ἐμμανουὴλ Σαβαώθ.

Κοντάκιον τῆς Ἑορτῆς, ἦχος γ'.

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως. χόρευε ἡ Οἰκουμένη ἀκουτισθεῖσα· δόξασον μετὰ Ἀγγέλων καὶ τῶν ποιμένων· βουληθέντα ἐποφθῆναι, παιδίον νέον τὸν πρὸ αἰώνων Θεόν. Ὁ Οἶκος.

Ἱεραὶ Προφητῶν ῥήσεις, τὸ τέρας δέχονται. ἡ Παρθένος ἰδοὺ τίκτει τὸν Λόγον τέλειον, Βηθλεὲμ ἐν πόλει, ἔνδον τοῦ σπηλαίου. ἡ κτίσις πᾶσα καταπλαγήτω, ἀγάλλου, καὶ χόρευε. μετὰ τῶν δούλων συναναστρέφεσθαι πάντων ὁ Δεσπότης παραγέγονε, τῆς δεσποτείας τοῦ ἀλλοτρίου ἀπολυτρούμενος ἡμᾶς, καθυπαχθέντας τῇ φθορᾷ. καὶ ὁρᾶται ὡς βρέφος σπαργανούμενον ἐν φάτνῃ, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

Κάθισμα τοῦ Ἁγίου, ἦχος πλ. δ'.

Τὴν σοφίαν καὶ Λόγον.

Ἐξ ἑώας ἐκλάμψας ὥσπερ ἀστὴρ, καὶ ἀκτῖσι τῶν λόγων λαμπαδουχῶν, τὸν Κόσμον ἐφώτισας, καὶ τὸ σκότος ἠμαύρωσας· καὶ ὡς ὁ Παῦλος τὸν δρόμον, γενναίως διανύσας· ὑπομένας κινδύνους, ἐν ἔθνεσί τε καὶ πόλεσιν. ὅθεν καὶ ὡς σῖτος, τῶν θηρῶν τοῖς ὀδοῦσιν, ἠλέσθης Μακάριε, προσφορὰ τῷ Κυρίῳ σου, Θεοφόρε Ἰγνάτιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων. Προεόρτιον. Ὅμοιον.

Ἐκ γαστρὸς πρὸ αἰώνων ἐκ τοῦ Πατρὸς, ὁ ἐκλάμψας ἀρρεύστως Λόγος Θεοῦ, ἀσπόρως προέρχεται, σῆς γαστρὸς χρόνοις ὕστερον. ἀνυψῶν τὸν πάλαι, δεινῶς ὀλισθήσαντα, καὶ πρὸς τὸ πρῶτον κάλλος, ἀνάγων ὡς εὔσπλαγχνος. ὅπερ τῇ γεννήσει, στρατιαὶ ἀσωμάτων, λαμπρῶς προηγήσονται, καὶ βροτοῖς ἐπινίκια, μυστικῶς ἀναπέμψουσι· δόξα κράζουσαι τῷ Θεῷ, ἡμῖν πᾶσιν εἰρήνην βραβεύσαντι, τὸ τῆς ἔχθρας μεσότοιχον λύσαντι, καθάπερ ηὐδόκησεν.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ἐν Πνεύματι προβλέπων, Προφῆτα Ἀββακοὺμ, τὴν τοῦ Λόγου σάρκωσιν, ἐκήρυττες βοῶν· ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ. ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ. δόξα τῇ δυνάμει σου Κύριε.

Δεῦτε ὄρη οἱ βουνοί τε, καὶ ξύλα τοῦ δρυμοῦ, ποταμοὶ καὶ θάλασσαι, καὶ ἅπασα πνοὴ, ἐν εὐφροσύνῃ σκιρτήσατε νῦν ἐγγίζει, ἡ σωτηρία, Ἰησοῦς ἐκ τῆς Παρθένου, ἐν πόλει Βηθλεὲμ ἀποτίκτεσθαι.

Ἀνάλαβε Προφῆτα, ψαλτήριον Δαβὶδ, καὶ μελῴδει Πνεύματι, Ἁγίῳ ἐμφανῶς, ἐκ τῆς Παρθένου γεγέννηται ἀσυγχύτως, πρὸ ἑωσφόρου, ἐκ γαστρὸς Πατρὸς ἐκλάμψας, Κύριος τῆς δόξης, Χριστὸς ὁ Θεός.

Πῶς δέξεταί σε Λόγε, τικτόμενον σαρκὶ, σπήλαιον σμικρότατον, καὶ λίαν εὐτελές; πῶς ἀλιθήσῃ σπαργάνοις ὁ περιβάλλων, πόλον νεφέλαις; πῶς ἐν φάτνῃ τῶν ἀλόγων, ἐπανακλιθήσῃ ὡς νήπιον;

Τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.

Ἐφαίδρυνας τῇ αἴγλῃ, τῶν ἄθλων σου τὴν γῆν, Ἱερὲ Ἰγνάτιε, δεσμώτης ἀπαχθείς· διαδραμὼν γὰρ ὡς Ἥλιος ταῖς ἀκτῖσι, τοῦ μαρτυρίου, τὴν ἑσπέραν ἐξ ἑώας, πᾶσαν δαδουχῶν κατεφώτισας.

Ὡς Παῦλος δεδεμένος, θηρίοις λογικοῖς, ἐπὶ Ῥώμην ἔτρεχες, Ἰγνάτιε σοφέ. ἀλλ᾿ οὐκ ἔπαυσω καὶ δέσμιος ὢν στηρί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ζων, τὰς Ἐκκλησίας ἐπιστέλλων κατὰ πόλιν, πᾶσι τοῖς Χριστοῦ Ἱεράρχαις θαῤῥεῖν.

Χριστοῦ ποθῶ γενέσθαι, Χριστοῦ μόνου ἐρῶ. ὅλως γὰρ Χριστοῦ εἰμι, ἐβόας Ἀθλητά. αὐτὸν διώκω, αὐτὸν ἐπάγομαι φθάσαι. καὶ διὰ τοῦτο πῦρ καὶ ξίφος καὶ θηρία, ταῦτα καρτερῶ, ἵνα τύχω αὐτοῦ.

Διανύσας τὸ σκάμμα, ζεούσῃ τῇ ψυχῇ, Μάρτυς καρτερόψυχε, τῷ ἔρωτι τρωθεὶς, τοῦ ἐραστοῦ σου. Χριστὸς γὰρ ἦν σοι ὁ ἔρως· ὃν ἀναπνέων καὶ διώκων ἐκαρτέρεις, πάντων τῶν δεινῶν τὰ ἐπίπονα. Δόξα.

Τριάδα ἐν Μονάδι, δοξάσωμεν πιστοὶ, ἀσιγήτοις στόμασι, βοῶντες πρὸς αὐτήν. ἡ ἐν Μονάδι Τριὰς Ἁγία προσκυνουμένη, καὶ ἐν Τριάδι ὑμνουμένη ἀσυγχύτως, δόξα σοι Τριὰς ὁμοούσιε. Καὶ νῦν. Θεοτ.

Σπηλαίῳ ὑπογαίῳ, τεχθῆναι δι' ἡμᾶς, Θεὸς ὢν ἠξίωσας, πτωχεῦσαι ἀγαθὲ, τὴν ἡμετέραν πτωχείαν διὰ σπλαγχνίαν, καὶ ἐκ Παρθένου προελθὼν σεσαρκωμένος, μείνας εἷς Υἱὸς ἐκ Πατρὸς καὶ Μητρός.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, Υἱὲ τοῦ Θεοῦ. ἄλλον γὰρ ἐκτός σου Θεὸν οὐ γινώσκομεν· τὸ ὄνομά σου ὀνομάζομεν· ὅτι Θεὸς ζώντων, καὶ τῶν νεκρῶν ὑπάρχεις.

Ῥανάτωσαν γηθόμεναι, νεφέλαι γλυκασμόν. ἤδη γὰρ ἐγγίζει ὁ Κύριος, ἀποτεχθῆναι ὥσπερ νήπιον, ἐκ τῆς Ἁγνῆς Παρθένου, ἐν ἀτελεῖ σπηλαίῳ.

Οἱ θεῖοι νῦν σκιρτήσατε, Προφῆται τοῦ Θεοῦ. ἥκει γὰρ Χριστὸς ἡ ἀλήθεια, ἀποπληρῶσαι τὰ κηρύγματα, ὑμῶν τῆς θείας γλώσσης, τικτόμενος ὡς βρέφος.

Ἐδὲμ πάλαι κλεισθεῖσά μοι, ἀνοίχθητι λοιπὸν, βλέπουσα Χριστὸν σαρκὶ νηπιάσαντα. καὶ ἐν τῇ πόλει ὡς ηὐδόκησε, τῆς Βηθλεὲμ ἐκ Κόρης, τικτόμενον Παρθένου.

Ὁ αὐτός.

Τοιοῦτος ἡμῖν ἔπρεπε, σοφὸς Ἀρχιερεύς. ὅσιος πιστὸς, ἀμίαντος, ἄκακος, βοῶν ὁ Παῦλος προὔγραφε, τὴν ἱερὰν εἰκόνα, τῶν ἱερῶν σου τρόπων.

Κανόνα ἀπαράτρωτον, καὶ τύπον εὐσεβῆ, ἔχοντες τὴν σὴν τοῦ βίου ἀκρόπολιν, πρὸς ταύτην Πάτερ ἐναγόμεθα, οἱ τῆς ἀρχαίας δόξης, τυχεῖν ἐπιποθοῦντες.

Τοῦ Παύλου κατορθώματα, ζηλώσας εὐσεβῶς, ὅλους τοὺς αὐτοῦ, κινδύνους ὑπέμεινας, Ἱερομάρτυς ἀξιάγαστε, τὸ τῆς ἑῴας φέγγος, καὶ τῆς ἑσπέρας ἄστρον.

Δεσμώτης ἀπαγόμενος, παθεῖν Ἀρχιερεὺς, δέσμιος Χριστοῦ Ἰγνάτιε ἔγραφες, ταῖς Ἐκκλησίαις καὶ ταῖς πόλεσιν, ἐπιστηρίζων ταύτας, ἐν τῇ ὁμολογίᾳ. Δόξα.

Τριάδος τὸ ὁμότιμον, ὑμνῶ καὶ προσκυνῶ, μίαν προσφυῶς δοξάζων Θεότητα, τρισὶ Προσώποις ἀδιαίρετον, καὶ ἐν μιᾷ οὐσίᾳ, ἀεὶ γνωριζομένην. Καὶ νῦν. Θεοτ.

Θεὸς ἀνθρώποις ὅμοιος, γενόμενος ἐκ σοῦ, βρέφος δι' ἡμᾶς γεννᾶται Θεόνυμφε, καὶ μένει ὅλως ἀναλλοίωτος, καὶ ἐν σαρκὶ ὁρᾶται, Θεὸς ἐνανθρωπήσας.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Τὸν Προφήτην Ἰωνᾶν, ἐκμιμούμενος βοῶ· τὴν ζωήν μου ἀγαθὲ, ἐλευθέρωσον φθορᾶς. καὶ σῶσόν με, Σωτὴρ τοῦ Κόσμου, κράζοντι δόξα σοι.

Οὐρανὸς ἐπὶ τῆς γῆς, τὸν οὐράνιον δηλοῖ, Βασιλέα δι' ἡμᾶς, δι' ἀστέρος φανοῦ, τικτόμενον, τοῖς Ἀστρολόγοις, νῦν ἐν τῇ πόλει Δαβίδ.

Ῥητορεύει καὶ βοᾷ, ὁ Προφήτης ἐμφανῶς· οἶκος σὺ τοῦ Ἐφραθᾶ, Βηθλεὲμ ἐν ᾗ Θεὸς, ὀφθήσεται, ἐκ τῆς Παρθένου, σκίρτα καὶ χόρευε.

Ἐν σπηλαίῳ Βηθλεὲμ, Κόρη τίκτει ἐμφανῶς, τὸν Θεὸν τὸν τοῦ παντὸς, Ποιητὴν καὶ ὡς βροτὸν, ἑλίξασα, σπαργάνοις φάτνῃ ἐπανακλίνει νυνί.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Ὡς τὸν ὄντως ἐραστὴν, ἀγαπήσας ἀκλινῶς, καὶ τὸ πῦρ τὸ πρὸς αὐτὸν, ἀναφλέξας νοερῶς, Ἰγνάτιε, τὸ ὕδωρ ἔχεις, ἐν σοὶ τὸ ζῶν καὶ λαλοῦν.

Εἰ καὶ ἔπιες Χριστοῦ, τὸ ποτήριον καινὸν, ἀλλ' ἐνέμεινας διψῶν, τὸ θανεῖν ὑπὲρ τὸ ζῆν. καὶ ἔκραζες, οὐδέν μοι ταῦτα, πρὸς τὸ τυχεῖν με τοῦ ζῆν.

Τὸ μαρτύριον τῆς σῆς, συναθλήσεως πληρῶν, οὐκ ἐνάρκησας ὁρῶν, τῶν θηρίων τὰς ὁρμάς. οὐκ ἔπτηξας, ὡς σῖτος μέλλων, μύλαις ἀλήθεσθαι.

Τοὺς μακροὺς σου διωγμοὺς, καὶ τὰ ἄλυτα δεσμὰ, τοὺς ἐν Ῥώμῃ σπαραγμοὺς, καὶ τὸ

πῦρ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πῦρ τῶν διωκτῶν, οὐδὲν ἡγῇ, Ἱερομάρτυς, διὰ τὸν σὸν ἔρωτα. Δόξα.

Ὑπερούσιε Τριάς, ὑπεράγαθε Μονάς· ὁ Πατὴρ καὶ ὁ Υἱός, καὶ τὸ Πνεῦμα τὸ εὐθές, ἐλέησον, τοὺς προσκυνοῦντας τὸ θεῖον κράτος σου. Καὶ νῦν. Θεοτοκίον.

Εὐτρεπίζου Βηθλεέμ, ἑτοιμάζου Ἐφραθά. ὁ Ἀμήτωρ ἐκ Πατρός, καὶ Ἀπάτωρ ἐκ Μητρός, βαστάζεται, κυοφορεῖται, τίκτεται σῶσον ἡμᾶς.

Κοντάκιον. Ἦχος γ'. Ἡ Παρθένος.

Τῶν λαμπρῶν ἀγώνων σου, ἡ φωτοφόρος ἡμέρα, προκηρύττει ἅπασι, τὸν ἐκ Παρθένου τεχθέντα. τοῦτον γὰρ διψῶν ἐκ πόθου κατατρυφῆσαι, ἔσπευσας ὑπὸ θηρίων ἀναλωθῆναι. διὰ τοῦτο καὶ Θεοφόρος προσηγορεύθης, Ἰγνάτιε ἔνδοξε. Ὁ Οἶκος.

Ἀβραὰμ μέν ποτε τὸν Υἱὸν ἐθυσίαζε, τὴν σφαγὴν προτυπῶν τοῦ τὰ πάντα κατέχοντος, καὶ νῦν ἐν σπηλαίῳ σπεύδοντος, τεχθῆναι. σὺ δὲ Θεόφρον, ὅλον προσήγαγες σεαυτὸν ὥσπερ σφάγιον· καὶ τῶν θηρίων βρῶμα γενόμενος, σῖτος καθαρὸς ὤφθης τῷ Κτίστῃ σου, ἐν ἀποθήκαις ἐπουρανίαις διαιωνίζων ἀληθῶς, καὶ τοῦ σοῦ ἔρωτος τρυφῶν. δι' ὃν πάντα τὸν Κόσμον καταλείψας παμμάκαρ, Θεοφόρος προσηγορεύθης, Ἰγνάτιε ἔνδοξε.

Μηνὶ τῷ αὐτῷ κ'. Μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰγνατίου τοῦ Θεοφόρου.

Λέουσιν Ἰγνάτιε δεῖπνον προὐτέθης.
Κοινωνὲ δείπνου μυστικοῦ θάρσους λέον.
Εἰκάδι Ἰγνάτιος θάνε γαμφηλῇσι λεόντων.

Οὗτος ἦν διάδοχος τῶν Ἀποστόλων, τῆς τῶν Ἀντιοχέων Ἐκκλησίας δεύτερος μετ' Εὔοδον, Πατριάρχης καταστάς· μαθητὴς γενόμενος Ἰωάννου τοῦ Θεολόγου, ἅμα Πολυκάρπῳ τῆς Σμυρνέων Ἐκκλησίας προέδρῳ. Προσήχθη δὲ Τραϊανῷ τῷ Βασιλεῖ, διαβαίνοντι ἐπὶ Πάρθους· καὶ πολλὰ αὐτῷ διαλεχθείς, καὶ τὸ ἀμετάθετον αὐτοῦ τῆς εἰς Χριστὸν πίστεως γνωρίσας τῷ Βασιλεῖ, ἀπεστάλη δεδεμένος ὑπὸ δέκα στρατιωτῶν ἐν Ῥώμῃ, τοῖς θηρίοις γενέσθαι βορά. Στηρίξας οὖν τὰς κατὰ πόλιν Ἐκκλησίας, ἐν οἷς διήρχετο, εἰς τὴν Ῥώμην ἀχθείς, προσηύξατο, ὑπὸ τῶν θηρίων βρωθῆναι· ἵνα φησίν, ἄρτος γένωμαι καθαρὸς τῷ Θεῷ. Ὅθεν βληθεὶς εἰς τὸ Ἀμφιθέατρον, ὑπὸ τῶν ἀφεθέντων ἐπ' αὐτὸν λεόντων, διεσπάσθη, καταλιπόντων μόνον τὰ παχύτερα τῶν ὀστέων αὐτοῦ. Ἃ συλλεγέντα, ἀπεκομίσθησαν εἰς Ἀντιόχειαν. Οὗτος δὲ ἦν ὁ μακάριος, ὃν ἔτι νήπιον ὄντα, κρατῆσαι φασὶ τὸν Δεσπότην, καὶ ἐναγκαλισάμενον εἰπεῖν· Ἐὰν μή τις ταπεινώσῃ ἑαυτὸν ὡς τὸ παιδίον τοῦτο, οὐ μὴ εἰσέλθῃ εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν· καὶ ὃς ἐὰν ἓν τῶν τοιούτων παιδίων δέξηται ἐπὶ τῷ ὀνόματί μου, ἐμὲ δέχεται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Τοὺς ἐν καμίνῳ Παῖδάς σου Σωτήρ, οὐχ ἥψατο, οὐδὲ παρηνώχλησε τὸ πῦρ. τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν καὶ εὐλόγουν λέγοντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἣν τοῦ Χριστοῦ ἐν σώματι δηλῶν, ἀνάδειξιν, ὁ Ἱερεμίας ἐκβοᾷ· ἐπὶ τῆς γῆς σωματωθεὶς ὁ Θεὸς ὤφθη. ἐπισήμως εὗρε δέ, πᾶσαν ὁδὸν γεννηθείς, ἐν Βηθλεὲμ ἐκ Μητρός.

Ἰδοὺ ἐκ ῥίζης ῥάβδος Ἰεσσαί, ἐβλάστησεν, ἄνθος ἀναθάλλουσα Χριστόν. καὶ ἐπ' αὐτῷ νῦν τικτομένῳ ἐν σπηλαίῳ, Πνεῦμα ἀναπαύσεται, συνέσεως καὶ βουλῆς, καὶ θείας γνώσεως.

Ἀκουτισθῶμεν λόγων ἱερῶν ὁ Κύριος τίκτεται, παιδίον δι' ἡμᾶς, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου ἐγεννήθη, καὶ καλεῖται Ἄγγελος, βουλῆς μεγάλης Πατρός, Ἄρχων εἰρήνης Χριστός. Ὁ αὐτός.

Οὐκ ἔσχες πῦρ φιλοΰλον ἐν σοί, Ἰγνάτιε, ὕδωρ δὲ ζῶν μᾶλλον καὶ λαλοῦν, δεῦρο πρὸς τὸν Πατέρα, ὕδωρ τὸ ἁλλόμενον, τὸ ἐκ ζωῆς εἰς ζωήν, μετοχετεῦον ἡμᾶς.

Οἱ τῶν θηρῶν ὀδόντες μοι φησί, γινέσθωσαν ξίφη καὶ ῥομφαία καὶ σφαγαί. τάφος δ' ἐμοί, τὰ τῶν λεόντων σπλάγχνα ἔσω. καὶ τὸ πῦρ νεμέθωμαι, πρὸ τῆς φθορᾶς, τῆς δορᾶς τὸ ἐγκατάλειμμα.

Τὸ ζῆν ἐμοὶ οὐκ ἔστιν ἐραστὸν ἐν σώματι. Πνεύματι γὰρ ζῆν ἐπιποθῶ· ἐμοὶ τὸ ζῆν Χριστὸς ὁ θεῖος ἔρως. πρὸς αὐτὸν ἐπείγομαι· αὐτόν φησιν ἀγαπῶ, αὐτοῦ τυχεῖν προσδοκῶ.

Ἐμοὶ γλυκὺς ὁ θάνατος φησίν· ἡδέα μοι πάντα τὰ τῶν πόνων ἀλγεινά, θῆρες τερπνοί. δρόσος τὸ πῦρ ἐστί μοι τοῦτο, εἰ τὸ ζῆν ἀνθέξωμαι. διὸ καὶ σπεύδω θανεῖν, ἵνα συζήσω Χριστῷ.

Δόξα.

Τριαδικὴν προσάξωμεν ᾠδὴν, δοξάζοντες ἄναρχον Πατέρα καὶ Υἱὸν, Πνεῦμα εὐθὲς, μοναδικὴν μίαν οὐσίαν, ἣν τεροσῶς ὑμνήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος κράζοντες, ὁ τῶν Πατέρων Θεός. Καὶ νῦν. Θεοτοκίον.

Ὁ τοῖς Προφήταις πάλαι προῤῥηθεὶς, ἐγγίζει μοι, βρέφος ἐκ Παρθένου κυηθεὶς χαίρει Ἀδὰμ, καὶ ἡ Προμήτωρ Εὔα, τῶν ὠδίνων λέλυται· καὶ συγχορεύει Δαβὶδ, ὁ τῆς Παρθένου Πατήρ. Ὠδὴ ή. Ὁ Εἱρμός.

Ὃν φρίττουσιν Ἄγγελοι, καὶ πᾶσαι στρατιαὶ, ὡς κτίστην καὶ Κύριον· ὑμνεῖτε Ἱερεῖς, δοξάσατε Παῖδες, εὐλογεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Κύριος ἔρχεται, ἐν ξένῳ τοκετῷ, σαφῶς εἰς τὰ ἴδια, δεξώμεθα αὐτόν. ὅπως ξενωθέντας Παραδείσου τρυφῆς, πάλιν οἰκειώσῃ, τικτόμενος σπηλαίῳ.

Ἰδοὺ ἡ ἀνάκλησις, ἡμῶν ἐπιδημεῖ. ἠχήσωμεν ᾄσματα χαρμόσυνα ᾠδῆς. καὶ ᾄσωμεν μέλη προεόρτια νῦν. τῷ ἐν σμικροτάτῳ χωρουμένῳ σπηλαίῳ.

Ὡς ὤμοσε Κύριος, πεπλήρωκεν ἰδού. ἐκ σπέρματος δοὺς ἡμῖν Δαβὶδ τὴν ἑαυτοῦ, Μητέρα Παρθένον, ἐξ ἧς Βρέφος σαρκὶ, ἐτέχθη ἐν πόλει, Βηθλεὲμ ὑπὲρ λόγον.

Τοῦ Ἁγίου. Ὁ αὐτός.

Ὑμνείσθω Ἰγνάτιος, ὁ μέγας Ἱερεὺς, διττῶς στεφανούμενος, ὡς Μάρτυς καὶ ποιμήν· ἀθλήσας γὰρ οὗτος, δι᾽ ἀγάπην Θεοῦ, ἐρῶν τοῦ ἐρᾶσθαι, παθεῖν οὐ παρῃτεῖτο.

Διψῶν τὸ ποτήριον τοῦ πάθους τοῦ Χριστοῦ, δεσμώτης ἀνέτρεχες, Ἰγνάτιε σοφέ. καὶ φθάσας τὸ σκάμμα, οὐκ ἐπαύσω βοῶν· διψῶ τοῦ διψᾶσθαι, Χριστὸν εἰς τοὺς αἰῶνας.

Τοῖς δρόμοις τῆς πίστεως, ὡς Ἥλιος τὴν γῆν, εὐθέως διέδραμες ἀπ᾽ ἄκρων Οὐρανοῦ· καὶ δυσμὰς ἀδύτως, ἀπὸ γῆς εἰς Χριστὸν, τὸ φῶς συναστράπτεις, αὐτῷ τῆς ἀφθαρσίας.

Τὸν χοῦν ἀποθέμενος, ἀΰλως πρὸς τὸ ὂν, τὸν νοῦν ἀνεπτέρωσας, ποθῶν τὸ ἐραστόν. αὐτὸς γὰρ ὑπάρχει τὸ ἀεὶ ἐφετὸν, ἡ ὄντως ζωή τε, φρουρὰ τῶν γεγονότων. Δόξα.

Μοναὰς οὐσιότητι ὑμνείσθω ἡ Τριάς. Τριὰς ὑποστάσεσι τιμάσθω ἡ Μονάς· ὡς μία τῇ φύσει, τοῖς προσώποις δὲ τρεῖς, οὐ διαιρουμένη, οὐ συναλοιφομένη.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ Ἄστρον ἀνέτειλε Χριστὸς ἐξ Ἰακώβ· καὶ Μάγοι συντρέχουσιν, ἐν πόλει Βηθλεὲμ, ὑμνῆσαι, τιμῆσαι, προσκυνῆσαι αὐτῷ, τεχθέντι ἐκ μήτρας ἁγνῆς τῆς Θεοτόκου.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Τὴν ζωοδόχον πηγὴν τὴν ἀέναον, τὴν φωτοφόρον λυχνίαν τῆς χάριτος, τὸν ναὸν τὸν ἅγιον, τὴν σκηνὴν τὴν πάγχρυσον, τοῦ Οὐρανοῦ καὶ τῆς γῆς τὴν πλατυτέραν, τὴν Θεοτόκον οἱ πιστοὶ μεγαλύνωμεν.

Σὺν Πατριάρχαις δικαίοις τε ἅπασι, καὶ τοῖς Ἁγίοις Προφήταις σκιρτήσωμεν. ἐκ Παρθένου Κύριος, Ἰησοῦς ἡ λύτρωσις, ὁ φωτισμὸς, ἡ ζωὴ ἡ σωτηρία, νῦν ἐν τῇ πόλει Δαβὶδ ἀποτίκτεται.

Ἤδη τῆς θείας τοῦ Λόγου σαρκώσεως, πᾶσιν ἠνοίχθη σαφῶς τὰ προπύλαια. Οὐρανοὶ, ἀγάλλεσθε, Ἄγγελοι σκιρτήσατε. καὶ εὐφραινέσθω ἡ γῆ σὺν τοῖς ἀνθρώποις, μετὰ ποιμένων καὶ Μάγων ἐν Πνεύματι.

Φέρε Χριστὸν ὥσπερ μύρον ἀκένωτον, τὸ νοητὸν ἡ Παρθένος ἀλάβαστρον· καὶ τοῦτο προέρχεται, ἐν σπηλαίῳ Πνεύματι. ἀποκενῶσαι σαφῶς. ὅπως πληρώσῃ, τῆς εὐωδίας αὐτοῦ τὰς ψυχὰς ἡμῶν.

Τοῦ Ἁγίου. Εἱρμὸς ὁ αὐτός.

Ὁ Θεοφόρος ἡμᾶς εἱστιάσατο, τοὺς ἱεροὺς αὐτοῦ ἄθλους προθεὶς ἡμῖν. δεῦτε φιλομάρτυρες, ἱερῶς δρεψάμενοι, τὰ μυστικὰ τῶν τερπνῶν ᾀσμάτων ἄνθη, τὰς κορυφὰς ἑαυτῶν στεφανώσωμεν.

Τὴν ἱερὰν σου στολὴν ἱερώτατε, ἱερωτέραν εἰργάσω τοῖς ἄθλοις σου. διὸ καὶ τὸν στέφανον, διττῶς κομισάμενος. μετὰ Μαρτύρων ὑμνεῖς καὶ τῶν Ποιμένων, Ἱερομάρτυς, Χριστὸν τὸν Θεὸν ἡμῶν.

Σῖτος Θεοῦ καθαρός εἰμι ἔλεγες· καὶ δι᾽ ὀδόντων θηρίων ἀλήθομαι· ἵνα ἄρτος γένωμαι, ἱερῶ τελούμενος, τῷ ἐραστῇ καὶ Θεῷ κεκαθαρμένος. ὃν καὶ ποθῶν, οὐ πτοοῦμαι τὸν θάνατον.

Ὡς ὑπερόπτης τῶν κάτω Ἰγνάτιε, καὶ ὑπηρέτης τῶν ἄνω μυήσεων, ὡς λατρείαν ἄμωμον, τελῶν καὶ τελούμενος, ἱερουργεῖς σεαυτὸν τῷ μαρτυρίῳ, καὶ πρὸς θηρία, καὶ πῦρ ἑτοιμάζεσαι.

Δόξα.

Τὸ ὑπεράρχιον φῶς ἡ ζωὴ ἡμῶν, Πατὴρ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, τρισὶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βερ

ὑπερασπίσει, καὶ μιᾷ Θεότητι, ὑπερουσίως ἀεὶ θεολογεῖσθαι, Τριὰς ἁπλῆ, συμφυὴς καὶ ὁμότιμος.

Καὶ νῦν. Στ.

Χαῖρε Ἁγνὴ τοῦ Θεοῦ πόλις ἔμψυχε, ἐν ᾗ Θεὸς χωρηθῆναι ηὐδόκησε. μὴ λιπὼν τὰ ἄνω γάρ, πρὸς σὲ καταβέβηκεν, ὡς ὑετὸς ἐπὶ γῆς Θεογεννῆτορ, καὶ ἐν τῇ πόλει Βηθλεὲμ βρέφος τίκτεται.

Ἕξατος. Γυναῖκες ἀκουτίσθητε.

Ὡς τετρωμένος ἔρωτι, ἀγάπης τοῦ Κυρίου σου, ὁ ἐμὸς ἔρως ἐβόας, Χριστὸς ἐσταύρωται θέλων. διὸ διψῶ τοῦ διψᾶσθαι, καὶ ζῶν ἐρῶ τοῦ ἐρᾶσθαι. οὗ κοινωνὸς γενήσεσθαι, ἐπιποθῶ καὶ τοῦ πάθους, καὶ τῆς αὐτοῦ Βασιλείας.

Τῆς Ἑορτῆς. Ὅμοιον.

Πιστοὶ τὰ προεόρτια, τῶν Γενεθλίων ᾄσματα, νῦν προηχήσωμεν πίστει· Χριστὸς γὰρ Κύριος ἥκει, ἐν Βηθλεὲμ τεχθήσεσθαι, ὡς βροτὸς ἐκ Παρθένου, καὶ ὁραθῆναι νήπιος, σπαργάνοις ἐνειλημμένος, ὁ πρὸ αἰώνων ὑπάρχων.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχ. προσόμ. ἦχος πλ. β΄. Πρὸς τό, Αἱ Ἀγγελικαί.

Ποίημα Ῥωμανοῦ τοῦ μελῳδοῦ.

Αἱ Ἀγγελικαί, προπορεύεσθε Δυνάμεις· οἱ ἐν Βηθλεέμ, ἑτοιμάσατε τὴν φάτνην. ὁ Λόγος γὰρ γεννᾶται, ἡ Σοφία προέρχεται, δέχου ἀσπασμὸν ἡ Ἐκκλησία. εἰς τὴν χαρὰν τῆς Θεοτόκου, λαοὶ εἴπωμεν· εὐλογημένος ὁ ἐλθών, Θεὸς ἡμῶν δόξα σοι.

Βουνοὶ γλυκασμόν, σταλαξάτωσαν· ἰδοὺ γάρ, ἥκει ὁ Θεός, ἐκ Θαιμὰν ἔθνη ἠπτοῆσθε. ἀγάλλεσθε Προφῆται, Πατριάρχαι σκιρτήσατε, ἄνθρωποι χορεύσατε εὐθέως. ὁ ἰσχυρὸς καὶ μέγας Ἄρχων, Χριστὸς τίκτεται· ὁ Βασιλεὺς τῶν Οὐρανῶν, ἐν γῇ παραγίνεται.

Ἧλθεν ἀνυψῶν, τοὺς βροτοὺς ὁ Πλάστης ἥκει, τὴν βασιλικήν, καινουργῶν αὖθις εἰκόνα· συγχάρητε τῶν ἄνω, αἱ Δυνάμεις ὑμνήσατε· ἔχθρας τὸ μεσότειχον ἐλύθη· ἦλθεν ὃ ἀπέκειτο· Θεὸς γάρ, βροτὸς γίνεται· ὁ Βασιλεὺς τοῦ Ἰσραήλ, Χριστὸς παραγίνεται.

Δεῦτε οἱ πιστοί, ὑπαντήσωμεν τῷ Κτίστῃ, ἥκοντι εἰς γῆν, ἐκ Παρθένου ἀνατεῖλαι. ἁγνείᾳ λαμπρυνθῶμεν, ἀρεταῖς ἀστραφθῶμεν, τρόμῳ καὶ χαρᾷ ἑτοιμασθῶμεν· Χριστὸν ἰδέσθαι βρεφωθέντα, νοὸς ὄμμασιν, ἡμᾶς θεοῦντα τοὺς βροτούς, ἄκρᾳ ἀγαθότητι.

Δόξα. Ὅμοιον.

Ἤγγιζε Χριστός, Βηθλεὲμ προετοιμάζου· ἤδη τῶν ἐθνῶν, τὸ σωτήριον αὐγάζει. εὐτρέπισον τὴν φάτνην, τοὺς Ποιμένας συνάγαγε. κάλεσον τοὺς Μάγους ἐκ Περσίδος. αἱ στρατιαὶ τῶν Ἀσωμάτων, νοῶν κράζουσιν· ὁ Βασιλεὺς τῶν Οὐρανῶν, Χριστὸς παραγίνεται.

Καὶ νῦν. Ὅμοιον.

Ἧλον Θεϊκόν, ἀναλάβετε Ποιμένες· δόξαν λογικῶς, ἀναπέμψαντες τῷ Κτίστῃ, μέλλοντι γεννηθῆναι, ἐν σπηλαίῳ καὶ σπάργανα, δέξασθαι καὶ φάτνῃ προσκλιθῆναι· νηπίῳ ὥσπερ τῷ Δεσπότῃ, διὸ κράξωμεν· εὐλογημένος ὁ τεχθείς, Θεὸς ἡμῶν δόξα σοι.

Εἰς τὸν στ. στιχ. Ἰδιόμελα, ἦχος δ΄.

Βηθλεὲμ εὐτρεπίζου, ὕμνησον πόλις Σιών. ἀγάλλου ἡ ἔρημος, προμνηστευθεῖσα τὴν χαράν. ἀστὴρ γὰρ προέρχεται, ἐν Βηθλεὲμ μηνύων, μέλλοντα τίκτεσθαι Χριστόν. καὶ σπήλαιον δέχεται, τὸν ἀχώρητον παντί· καὶ φάτνη ἑτοιμάζεται, ὑποδέξασθαι ζωὴν αἰώνιον. αὐτῷ πάντες ᾄσωμεν, καὶ βοήσωμεν· σῶσον τὰς ψυχὰς ἡμῶν, Ἰησοῦ ὁ Θεός, ὁ σαρκωθεὶς δι' ἡμᾶς.

στιχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. Ἀνατολίου.

Χριστὸς ὁ ἐρχόμενος, ἐμφανῶς Θεὸς ἡμῶν, ἥξει καὶ οὐ χρονιεῖ, ἐξ ἀπειρογάμου Νύμφης ὀφθήσεται· ἐν σπηλαίῳ δὲ λοιπὸν προσαναπαύσεται· καὶ φάτνη τῶν ἀλόγων, ὃν οὐκ ἐχώρει Οὐρανός, ὑποδέχου, μέλλοντα σπαργανοῦσθαι ἐν σοί, τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλογίας ἡμᾶς, ἀστὴρ μηνύει, Μάγοι προσκυνοῦσι, ποιμένες ἀγραυλοῦσι, θαῦμα ὁρῶντες τὸ φρικτόν· καὶ Ἄγγελοι μέλπουσιν, ἐπὶ γῆς θεώμενοι, τὴν ἀπολύτρωσιν τοῦ γένους ἡμῶν.

στιχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Ἡσαΐα χόρευε, Λόγον Θεοῦ ὑπόδεξαι. προφήτευσον τῇ Κόρῃ Μαριάμ, βάτον καταφλέγεσθαι, καὶ πυρὶ μὴ καίεσθαι, τῇ αἴγλῃ τῆς Θεότητος. Βηθλεὲμ εὐτρεπίζου, ἄνοιγε πύλην ἡ Ἐδέμ· καὶ Μάγοι πορεύεσθε, ἰδεῖν τὴν σωτηρίαν, ἐν φάτνῃ σπαργανούμενον· ὃν ἀστὴρ ἐμήνυσεν ἐπάνω τοῦ σπηλαίου, ζωοδότην Κύριον, τὸν σῴζοντα τὸ γένος ἡμῶν.

Δόξα, τοῦ Ἁγίου, ἦχος α΄. Τοῦ Στουδίτου.

Στήλη ἔμψυχος, καὶ ἔμπνους εἰκών, ἡ ἐτήσιός σου ἐπέστη ἑορτή, Θεοφόρε Ἰγνάτιε, τὰς μυσταγωγίας σου, καὶ τὰς ἀριστείας σου κη-

ρύττουσα· τὴν ὑπὲρ τῆς πίστεως, μέχρις αἵματος ἀντικατάστασιν. τὴν μακαρίαν ἐκείνην, καὶ ἀοίδιμον φωνήν, τὴν ὅτι σῖτος εἰμὶ Θεοῦ λέγουσαν, καὶ δι' ὀδόντων θηρίων ἀλήθομαι. διὸ μιμητὴς τοῦ Πάθους τοῦ Χριστοῦ σὺ γεγονώς, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον. ἦχος πλ. β'. Βύζαντος.

Σπήλαιον εὐτρεπίζου, ἡ ἀμνὰς γὰρ ἥκει, ἔμβρυον φέρουσα Χριστόν. φάτνη δὲ ὑποδέχου, τὸν τῷ λόγῳ λύσαντα, τῆς ἀλόγου πράξεως ὑμᾶς τοὺς γηγενεῖς. ποιμένες ἀγραυλοῦντες, μαρτυρεῖτε θαῦμα τὸ φρικτόν. καὶ Μάγοι ἐκ Περσίδος, χρυσὸν καὶ λίβανον καὶ σμύρναν, τῷ Βασιλεῖ προσάξατε. ὅτι ὤφθη Κύριος ἐκ Παρθένου Μητρός· ὅνπερ καὶ κύψασα δουλικῶς, ἡ Μήτηρ προσεκύνησε, καὶ προσεφθέγξατο τῷ ἐν ἀγκάλαις αὐτῆς· πῶς ἐνεσπάρης μοι; ἢ πῶς μοι ἐνεφύης; ὁ λυτρωτής μου καὶ Θεός.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι.

Τὸ Τρισάγιον, καὶ τὰ τροπάρια. Ἑτοιμάζου Βηθλεέμ. καὶ τοῦ Ἁγίου. Καὶ τρόπων μέτοχος.

Εἰδέναι χρή, ὅτι εἰς τὴν αὐτὴν τάξιν, οὕτω γίνεται ἡ Ἀκολουθία καθ' ἑκάστην, ἄχρι τῆς Παραμονῆς.

---

Μηνὶ τῷ αὐτῷ ΚΑ'.

Προεόρτια τῆς Γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· Καὶ τῆς Ἁγίας Μάρτυρος Ἰουλιανῆς τῆς ἐν Νικομηδείᾳ. Στ. Προεόρτια. ἦχος δ'.

Ἔδωκας σημείωσιν.

Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος, πρὸς αὐτὸν ἀνακέκραγε, Προφήτης ἐν Πνεύματι. πᾶσαν ὁδὸν ἐξεῦρε, πᾶσαν ἐπιστήμης. μετὰ δὲ ταῦτα τοῖς βροτοῖς, σαρκοφορήσας ὁμοιωθήσεται. Παρθένου καὶ Θεόπαιδος, ἀποτεχθῆναι ἐπείγεται· προσιτός μοι γενόμενος, ὁ τῇ φύσει ἀπρόσιτος.

Θημωνία ἅλωνος, ἡ σὴ κοιλία πανάμωμε, Θεοτόκε γνωρίζεται. στάχυν ἀγεώργητον, ὑπὲρ νοῦν καὶ λόγον, φέρουσα ἀφράστως· ὃν ἐν σπηλαίῳ Βηθλεέμ, ἀποκυήσεις τὴν Κτίσιν ἅπασαν, ταῖς θείαις ἐπιγνώσεσι, μέλλοντα τρέφειν ἐν χάριτι, καὶ λιμοῦ τοῦ ἀνθρώπινον, ψυχοφθόρου λυτρώσασθαι.

Δάμαλις ἡ ἄμωμος, τὸν σιτευτὸν μόσχον φέρουσα, ἐν κοιλίᾳ προέρχεται, εἰς ἅγιον σπήλαιον, παραδόξῳ λόγῳ, τοῦτον ἀποτέξαι, καὶ σπαργανῶσαι ὡς βροτόν, καὶ ἀνακλῖναι φάτνῃ ὡς νήπιον· ἡ Κτίσις προεόρταζε, χαρμονικῶς μεγαλύνουσα, τὸν τοιαῦτα παράδοξα, ἐπὶ γῆς ἐργαζόμενον.

Καὶ τῆς Ἁγίας, ζήτει εἰς Ἁγίαν Γυναῖκα Μάρτυρα. Δόξα, καὶ νῦν. Προεόρτιον, ἦχ. γ'.

Εὐτρεπίζου Βηθλεέμ, ἤνοικται γὰρ ἡ Ἐδέμ· ἑτοιμάζου Εὐφραθᾶ, ἀνανεοῦται γὰρ ὁ Ἀδάμ, καὶ ἡ Εὔα σὺν αὐτῷ. ἡ κατάρα γὰρ λέλυται, ἡ σωτηρία ἐν Κόσμῳ ἐξήνθησε, καὶ ψυχαὶ τῶν δικαίων εὐτρεπίζονται· ὡς προῖκα δωροφορίας, ἀντὶ μύρου τὸν ὕμνον προσάγουσαι, σωτηρίαν ψυχικήν, καὶ ἀφθαρσίαν κομιζόμεναι. ἰδοὺ γὰρ ἐν φάτνῃ ἀνακείμενος, προτρέπει ὑμνῳδίαν πνευματικὴν ἐπιτελέσαι, τοὺς βοῶντας ἀπαύστως, Κύριε δόξα σοι.

Ἀπόστ. Στ. Προσόμοια προσόμοια, ἦχος β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Πάντων τῶν Προφητῶν, αἱ προρρήσεις πληροῦνται. ὁ Χριστὸς γὰρ γεννᾶται, καὶ Βηθλεὲμ τῇ πόλει, ἐκ τῆς ἁγνῆς Θεόπαιδος.

Στ. Ὁ Θεὸς ἀπὸ Θαιμάν.

Δόξα τῶν γηγενῶν, καὶ καύχημα καὶ κλέος, Βηθλεὲμ ἡ τιμία, Μητρόπολις ἡ θεία, ὑπόδεξαι τὸν Κτίστην σου.

Στ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Λόγος ὁ τοῦ Πατρός, δι' οὗ τὸ πᾶν ὑπέστη, ἀπαθῶς καὶ ἀρρεύστως, ὑπόστασις ὁρᾶται, μία ἐκ δύο φύσεων.

Δόξα, καὶ νῦν, ἦχος πλ. β'. Βυζαντίου.

Ἀ Νύμφευτε Παρθένε, πόθεν ἥκεις; τίς ὁ τεκών σε, τίς καὶ ἡ Μήτηρ σου; πῶς τὸν Κτίστην φέρεις ἐν ἀγκάλαις; πῶς οὐκ ἐφθάρης τὴν νηδύν; μεγάλων παραδόξων, ἐπὶ σοὶ φρικτῶν Μυστηρίων ἐπὶ γῆς τελουμένων, ὁρῶμεν Παναγία· καὶ προευτρεπίζομεν, ἐπάξιόν σοι χρέος, ἐπὶ γῆς τὸ σπήλαιον· καὶ Οὐρανὸν αἰτοῦμεν, παρασχεῖν τὸν ἀστέρα. καὶ Μάγοι δὲ προέρχονται, ἀπὸ ἀνατολῶν τῆς γῆς, εἰς δυσμὰς θεάσασθαι, τὴν σωτηρίαν τῶν βροτῶν, ἀγκάλαις δαδουχούμενον.

Τροπάρ. τῆς Ἁγίας. Ἡ Ἀμνάς σου Ἰησοῦ. Προεόρτιον. Ἑτοιμάζου Βηθλεέμ.

Διάδιον ψαλλόμενον εἰς τὰ ἀπόδειπνα εἰς ᾧ ἡ ἀκροστιχίς. Τρίτῃ τε.

Ἦχος β'. Ὠδὴ η'. Ὁ Εἱρμός.

Τῷ δόγματι τῷ τυραννικῷ, οἱ ὅσιοι τρεῖς Παῖδες μὴ πεισθέντες· ἐν τῇ καμίνῳ βλη-

Αγιασμένη Ψηφιακή Βιβλιοθήκη

θεῦτες, Θεὸν ὁμολογοῦν ψάλλοντες· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥᾳθυμίας ὕπνον ἀφ' ἡμῶν βαλλώμεθα, καὶ ψυχῶν ἐγρηγόρσει, τῷ τικτομένῳ ἐκ Κόρης ἁγνῆς, Χριστῷ ὑπαντήσωμεν· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἱκανέσθω πρᾶξις ἀγαθὴ, ἡμῖν τῷ τῆς ψυχῆς ταμείῳ· ὅπως φαιδρῷ τῷ προσώπῳ Χριστῷ, τικτομένῳ ψάλλωμεν· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸ τάλαντον ἔργοις ἀγαθοῖς, αὐξήσαντες, ὥσπερ δῶρα τῷ δόντι, ἀντὶ χρυσοῦ καὶ λιβάνου Χριστῷ, καὶ σμύρνης προσάξωμεν· ἐρχομένῳ τεχθῆναι, ἐκ Κόρης Θεόπαιδος.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ἡ τὸν ἀχώρητον Θεὸν, ἐν γαστρὶ χωρήσασα, καὶ χαρὰν τῷ Κόσμῳ κυήσασα, σὲ ὑμνοῦμεν, Παναγία Παρθένε.

Τοῖς ἐπιγνώμοσι Χριστὸς, γρηγορεῖν ἐντέταλται, τὴν αὐτοῦ ἐλπίζουσιν ἔλευσιν. ἐκ Παρθένου, καὶ γὰρ ἥκει τεχθῆναι.

Ἐν τῇ δευτέρᾳ σου Χριστὲ, ἐνδημίᾳ σύσκηνον, δεξιοῖς με δεῖξον προβάτοις σου, τὴν σὴν τιμῶντα, ἐν σαρκὶ παρουσίαν.

Ἐν τῇ προτέρᾳ σου Χριστὲ, παρουσίᾳ ἔσωσας τὸν Ἀδάμ. ἀλλ' ἐν τῇ δευτέρᾳ σου, τοὺς τιμῶντας, τὴν Γέννησίν σου σῷζε.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. ὡς δὲ τὸν α. στιχολ. κάθισμα. ἦχος β'. Ὁ εὐσχήμων:

Ὁ ἀπρόσιτος Θεὸς, δι' εὐσπλαγχνίαν πρόσιτος, γενόμενός μοι θέλων, προέρχεται σαρκὶ γεννηθῆναι, ὡς ἄνθρωπος, ἐν πόλει Βηθλεέμ, ἐκ Παρθένου νεάνιδος. ὃν ὑποδέξασθαι προθύμως σπουδάσωμεν, ἀνακράζοντες φόβῳ· Κύριε δόξα σοι. Δίς.

Ἐκ τῆς β. στιχολ. κάθ. ἦχος γ'. Τὴν ὡραιότητα.

Θαῦμα παράδοξον, ὁρᾶται σήμερον. ὁ γὰρ Σωτὴρ ἡμῶν, ἐν τῷ σπηλαίῳ σαρκὶ, ἐκ τῆς Παρθένου δι' ἡμᾶς, τεχθῆναι νῦν ἐπείγεται. Μάγοι μετὰ δώρων δὲ, ὡς Βασιλεῖ προσκυνήσουσι. Ποιμένες μετ' Ἀγγέλων τε, δοξολογοῦσιν αὐτόν. μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν· δόξα τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι. Δίς.

Ὁ Ν'. καὶ ὁ Κανὼν τῆς Προεορτίου. οὗ ἡ ἀκροστιχὶς κατ' Ἀλφάβητον. Ὠδὴ α'. ἦχ. δ'. ὁ Εἱρμός.

Ῥῖσαι τῆς κραταιοῦς, ὁ τεχθεὶς ἐκ Παρθένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς τὸ τριμερὲς, καταπόντισον δέομαι· ὅπως σοι ὡς ἐν τυμπάνῳ, τῇ νεκρώσει τοῦ σώματος, ἐπινίκιον ᾄσω μελῴδημα.

Ἀγάλλου Οὐρανὲ, καὶ ἡ γῆ εὐφραινέσθω. ὁ Θεὸς γὰρ μεθ' ἡμῶν, γενόμενος σαρκὶ, ἐκ Παρθένου νεάνιδος, τίκτεται καὶ σπαργανοῦται. τὰς σειρὰς διαλύει δὲ, τῶν ἐμῶν ἐγκλημάτων ὡς εὔσπλαγχνος.

Βασίλισσα ἁγνὴ, Βασιλέα τῶν ὅλων, ἀποτίκτει ὑπὲρ νοῦν· τὴν ἄνω τοῖς πιστοῖς, Βασιλείαν ἀνοίγοντα. καὶ τὴν ἐν ἡμῖν ἀθλίως, βασιλεύουσαν πάντοτε, ἁμαρτίαν τελείως ἐξαίροντα.

Γραφαὶ προφητικαὶ, περαιοῦνται. ἰδοὺ γὰρ, ὃν προήγγειλαν Χριστὸν, ἐν πόλει Βηθλεὲμ, φανεροῦται σαρκούμενος. τούτου νῦν προεορτάσαι, τὰ Γενέθλια σπεύσωμεν, διανοίας εὐθύτητι σήμερον.

Τὸν δὲ Κανόνα τῆς Ἁγίας, ζήτει εἰς Ἁγίαν Γυναῖκα Μάρτυρα. Ὠδὴ γ'. Ὁ Εἱρμός.

Οὐκ ἔστιν ἅγιος ὡς σὺ Κύριε ... 

Ὅτι στεῖρα ἔτεκεν, ἡ ἐξ ἐθνῶν Ἐκκλησία· καὶ ἡ πολλὴ ἐν τέκνοις, ἠσθένησε συναγωγή, τῷ θαυμαστῷ Θεῷ ἡμῶν βοήσωμεν· Ἅγιος εἶ Κύριε.

Δανιὴλ ἐξ ὄρους σε, παρθενικοῦ λίθον Λόγε, ἀποτμηθέντα βλέπει, καὶ ἐκλεπτύνοντα βωμοὺς, εἰδωλικοὺς τῷ κράτει σου. διὰ τοῦτο, φόβῳ σε δοξάζομεν.

Ἐξ ἑῴας Μάγοι σε, τῷ Βασιλεῖ τῶν ἁπάντων, ὁδηγηθέντες ἄστρῳ, δῶρα προσάγουσι Χριστὲ, σμύρναν χρυσὸν καὶ λίβανον, ἐκπλαγέντες τὴν σὴν συγκατάβασιν.

Ζωηφόρον ἄσταχυν, χώρα ἀνήροτος φέρει, ἀποτεκεῖν ἐν πόλει, τῆς Βηθλεὲμ ἡ Μαριάμ, πάντων ψυχὰς ἐκτρέφοντα, τῶν βοώντων· Ἅγιος εἶ Κύριε.

Κοντάκ. τῆς Ἁγίας, εἶτα τὸ παρὸν προεόρτιον. Ταχὺ προκατάλαβε.

Παρθένοι προεξάρξατε, τῇ τῆς Παρθένου χαρᾷ· μητέρες αἰνέσατε, τὴν προπομπὴν τῆς Μητρὸς, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Μάγοι σὺν τοῖς Ἀγγέλοις, σὺν ἡμῖν οἱ ποιμένες. ἔρχεται γὰρ ἐν πόλει, Βηθλεὲμ τοῦ γεννῆσαι. αὐτῆς ταῖς ἱκεσίαις, σῶσον ἡμᾶς ὁ Θεός.

Ὠδὴ δ'. Ὁ Εἱρμός. Ὁ καθήμενος ἐν δόξῃ.

Ἡ Ἁγία μυροθήκη, τοῦ σεπτοῦ ἁγιάσματος, Βηθλεὲμ ἐν πόλει, τοῦτο ἐκκενῶσαι προέρχεται· ἁγιασμὸν ἡμῖν πᾶσι παρεχόμενον, τοῖς κραυγάζουσι δόξα Χριστὲ τῇ δυνάμει σου.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεηγόρε Ἡσαΐα, τὰ σεπτά σου κηρύγματα, γεγονότα βλέπων, πράγματα, ἀγάλλου, καὶ χόρευε, ἡ γὰρ Παρθένος ἀσπόρως ἀπεκύησεν, ἐν σπηλαίῳ σαρκί, Βηθλεὲμ τὸν ἀχώρητον.

Ἰησοῦς σαρκὶ γεννᾶται, καὶ ἐν χρόνῳ ὁ ἄχρονος, καθορᾶται βρέφος, λύων μου τὰ χρόνια πταίσματα. καὶ τῇ ἀφάτῳ πτωχείᾳ νῦν πλουτίζει με, τὸν πτωχεύσαντα, φθοροποιαῖς παραβάσεσιν.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ἀσεβεῖς οὐκ ὄψονται, τὴν δόξαν σου Χριστέ. ἀλλ᾽ ἡμεῖς σε μονογενές, πατρικῆς ἀπαύγασμα δόξης Θεότητος· καὶ πρὸς σὲ ὀρθρίζοντες, ἀνυμνοῦμέν σε φιλάνθρωπε.

Κόρης ἀποτίκτεται, Θεὸς Ἐμμανουήλ, καὶ ἐν φάτνῃ ἀνακλιθείς, τὴν ἡμῶν ἀνάκλησιν θέλων ἐργάζεται. τούτου τὰ Γενέθλια, εὐσεβῶς προεορτάσωμεν.

Λόγος ὢν προάναρχος, Πατρὸς καὶ συμφυής, ἐπὶ φάτνης ἀνακλιθείς, τῶν ἀλόγων ἔλυσας τῆς ἀλογίας ἡμᾶς, τοὺς προεορτάζοντας, εὐσεβῶς τὰ σὰ Γενέθλια.

Μακαρία πέφυκεν, ἡ ῥίζα Ἰεσσαί, ἐκβλαστήσασα τὴν ἁγνήν, ἄνθος θεῖον φέρουσαν, Χριστὸν τὸν Κύριον. οὗ προεορτάσωμεν, τὰ Γενέθλια γηθόμενοι.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ κατεπόντισέ με, καταιγὶς πολλῶν ἁμαρτημάτων. ἀλλ᾽ ὡς Θεός, ἐκ βυθοῦ ἀνάγαγε, τὴν ζωήν μου πολυέλεε.

Νέον ἐπὶ γῆς ἡμῖν παιδίον, τεχθεὶς ὁ πρὸ αἰώνων, ἐκ Πατρὸς ἀρρήτως ἀναλάμψας· τῆς παλαιᾶς, πάντας ἠλευθέρωσε, παραβάσεως ὡς εὔσπλαγχνος.

Ξένα καὶ παράδοξα ἠκούσθη, ἐν Βηθλεὲμ τῇ πόλει, γεννηθέντος σου ἄναρχε Λόγε· ποιμένες γάρ, μετ᾽ Ἀγγέλων ὕμνον σοι, ὡς Δεσπότῃ προσεκόμιζον.

Ὁ Ἀστὴρ τὸν τῆς δικαιοσύνης, καταμηνύει Μάγοις, ἀπορρήτως Ἥλιον τεχθέντα, οὗ τὰ σεπτά, νῦν προεορτάσωμεν, ἀγαλλόμενοι Γενέθλια.

Κοντάκ. ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Νέοι τρεῖς ἐν Βαβυλῶνι, πρόσταγμα τυραννικόν, εἰς φληνάφον θέμενοι. ἐν μέσῳ πυρὸς ἀνεβόων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Πῶς σε σπήλαιον χωρήσει, ἐρχόμενον δι᾽ ἡμᾶς, τεχθῆναι ἀχώρητε; πῶς σε γαλουχήσει Παρθένος; τροφέα πάντων εὔσπλαγχνε, Ἰησοῦ χρηματίζοντα.

Ῥήμασιν ἀκολουθοῦντες τοῦ Μάντεως Βαλαάμ, Μάγοι ἐπισπεύδουσι, Χριστὸν προσκυνῆσαι σὺν δώροις· ἐπεγνωκότες τοῦτον δέ, πάσης πνοῆς βασιλεύοντα.

Στειρεύουσα τῶν ἀνθρώπων, φύσις πάσης ἀρετῆς, ἀγάλλου καὶ χόρευε. ἥκει γὰρ Χριστὸν ἐκ Παρθένου, σαρκὶ τεχθῆναι, ὅπως δείξῃ καλοῖς εὐτεκνοῦσάν σε.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Ὑπερυψοῦν τοῦ παντὸς παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς εὐσεβήσαντας, συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν. πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Τὸν πολλαῖς με Χριστὲ παραβάσεσι, τῶν λῃστῶν χρηματίσαντα σπήλαιον, δι᾽ εὐσπλαγχνίαν ἄφατον, διασῴζεις τεχθῆναι ἐν τῷ σπηλαίῳ, ἐκ Παρθένου ἁγνῆς κατηξίωσας.

Ὑπογράφων τελείαν μοι ἄφεσιν, ἀπογραφῆς τῷ Καίσαρος δόγματι, ὁ Ποιητὴς τῆς Κτίσεως, σὺν τοῖς δούλοις ὑμνοῦσι τῆς εὐσπλαγχνίας, τὸ ἀμέτρητον ἔλεος Δέσποτα.

Φωτεινὸν τοῦ Δεσπότου παλάτιον, πῶς ὑπῆλθες σμικρότατον σπήλαιον, τὸν Βασιλέα Κύριον, δι᾽ ἡμᾶς σαρκωθέντα ἀποκυῆσαι, Παναγία Παρθένε Θεόνυμφε.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Εὔα μὲν τῷ τῆς παρακοῆς νοσήματι, τὴν κατάραν εἰσῳκίσατο. σὺ δὲ Παρθένε Θεοτόκε τῷ τῆς κυοφορίας βλαστήματι, τῷ Κόσμῳ τὴν εὐλογίαν ἐξήνθησας. ὅθεν σε πάντες μεγαλύνομεν.

Χορεύσωμεν ἅπαντες πιστοί, σκιρτήσωμεν καὶ συμφώνως ἀλαλάξωμεν. ἥκει ἡ πάντων σωτηρία. ἐγγίζει τοῦ τεχθῆναι ὁ Κύριος. καὶ σῶσαι τοὺς αὐτοῦ τὰ Γενέθλια, εὐσεβοφρόνως ἑορτάζοντας.

Ψαλτήριον ἅγιε Δαβίδ, ἀνάλαβε, καὶ κιθάραν, καὶ μελῴδησον· τοῦ Εὐφραθᾶ οἶκος εὐφραίνου. Πατὴρ γὰρ ἐκ γαστρὸς ὃν ἐγέννησεν, ἐν σοὶ περιφανῶς ἀποτίκτεται, ἐκ τῆς Παρθένου σωματούμενος.



Δημόσια Κεντρική Βιβλιοθήκη Κοζάνης

Ὡς ὄμβρος ὡς μέγας ὑετός, ἐν μήτρᾳ σου, ὁ Δεσπότης καταβέβηκε. καὶ αὐχμηρείᾳ ἀθείας, τὴν γῆν κεχερσωμένην κατήρδευσε. καὶ πλάνης τὰς θαλάσσας ἐξήρανε, Θεογεννῆτορ Μητροπάρθενε.

Ἐξαποστειλ. Τὸν νυμφῶνά σου.

Βηθλεὲμ γῆ Ἰούδα, εὐτρέπισον τὰς εἰσόδους. ἐν σοὶ γὰρ ἡ Παρθένος, καὶ Θεοτόκος ἤδη ἥκει, τοῦ τεκεῖν ἐν σπηλαίῳ, καὶ φάτνῃ, τὸν Θεόν μου καὶ Κύριον.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχ. προσόμ. ἦχος πλ. β΄. Αἱ Ἀγγελικαί.

Ἤγγικεν ἰδού, τοῦ τεκεῖν ἡ Θεοτόκος, τὸν Ἐμμανουήλ, ὃν Πατὴρ πρὸ ἑωσφόρου, ἐγέννησεν ἀῤῥεύστως. φοβερὸν τὸ μυστήριον, ἄφρασον Ἀγγέλοις καὶ ἀνθρώποις. ὅθεν μετὰ Μάγων καὶ ποιμένων, λαοὶ εἴπωμεν· εὐλογημένος ὁ τεχθείς, Θεὸς ἡμῶν δόξα σοι.

Θεσπίσματα πληρῶν, Προφητῶν καὶ τὰς ὁράσεις, τίκτεται σαρκί, καὶ παχύνεται ὁ Λόγος· καὶ φάτνῃ τῶν ἀλόγων, γεννηθεὶς ἀνακλίνεται. τοῦτο συγκατάβασις ἡ ἄκρα, τοῦτο ἡ φρικτὴ οἰκονομία, δι᾿ ἧς ψάλλομεν· ὁ Βασιλεὺς τοῦ Ἰσραήλ, Χριστὸς παραγίνεται.

Ἵνα τῆς φθορᾶς, τὸν ἰὸν ἀποκαθάρῃς, καὶ τὴν ἀρχικήν, ἀναπλάσῃς μοι εἰκόνα, σαρκοῦσαι καὶ θηλάζεις, καὶ σπαργάνοις ὁ νεύματι, πάντα περιάγων ἐνειλίσσῃ, τερατουργὲ ὑμνῶ σε Λόγε, Βουλῆς Ἄγγελε, τῆς πατρικῆς δι᾿ ἧς ἐγώ, ἀπαθανατίζομαι.

Κόλπων πατρικῶν, οὐκ ἐκστὰς βροτὸς ὡράθης· καὶ Παρθενικαῖς, ἐποχούμενος ὠλέναις, τοὺς Μάγους ἐκ Περσίδος, δι᾿ ἀστέρος ἐκάλεσας, Ἄνακτα Θεόν σε προσκυνοῦντας, Πνεύματι χαλέων ἀσεβοῦντας, ἐθνῶν Ἄρχοντας. ὃς αὐλεῖς καὶ ποιμαίνεις, λαὸν περιούσιον.

Δόξα. Ὅμοιον.

Λύων με δεσμῶν, τῶν πολλῶν μου ἐγκλημάτων, ἔρχῃ Λυτρωτά, Ἰησοῦ μου ἐν σπηλαίῳ, σπαργάνοις εἰληθῆναι· καὶ ἐν φάτνῃ ὡς νήπιον, ἐπανακλιθῆναι τῶν ἀλόγων, ἐπὶ ἀνακλήσει τοῦ βροτείου, γένους Δέσποτα. ῥυόμενος Παμβασιλεῦ, ἐξ ἀλόγων πράξεων.

Καὶ νῦν. Ὅμοιον.

Μάντεως χρησμοί, Βαλαὰμ ἀποπληροῦνται. οἱ γὰρ περσικαῖς, τερατείαις κεχηνότες, ἀστέρος ἀσυνήθους, τῇ ἐλλάμψει τὸν ἄδυτον, Ἥλιον Χριστὸν καταυγασθέντες, ἐν Βηθλεὲμ σωματωθέντα, Θεὸν Ἄνακτα, καὶ ἐθελούσιον νεκρόν, τοῖς δώροις τεκμαίρονται.

Εἰς τὸν στίχ. στιχηρὰ προσόμοια, ἦχος β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Προλάμπει ὁ ἀστήρ, ἤδη ἐν τῷ σπηλαίῳ. Ποιμένες μετ᾿ Ἀγγέλων, οἱ Μάγοι μετὰ δώρων, προφθάσαι εὐτρεπίσθητε.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Ἐγγίζει ὁ Χριστός, ὁ ἀστὴρ προαυγάζει, τὸ οὐράνιον πλῆθος, τῆς στρατιᾶς προκύπτει, τῶν νοερῶν δυνάμεων.

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμάν.

Χαῖρε ἡ Βηθλεέμ, ὁ ποιμαίνων ἐπέστη, τὸν Ἰσραὴλ ὁ σῴζων. οὐκ ἔτι ἐλαχίστη, Ἰούδα ἐν τοῖς ἄρχουσι.

Δόξα, καὶ νῦν, ἦχος πλ. δ΄. Ἀνατολίου.

Ἐν Βηθλεὲμ γεννᾶται, ὁ τοῦ παντὸς Ποιητής· καὶ τὴν Ἐδὲμ ἀνοίγει, ὁ πρὸ αἰώνων Βασιλεύς· ἡ φλογίνη ῥομφαία τὰ νῶτα δίδωσι. τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται· αἱ οὐράνιαι δυνάμεις, σὺν τοῖς ἐπὶ γῆς ἀναμίγνυνται. Ἄγγελοι σὺν τοῖς ἀνθρώποις κραταιὰν πανήγυριν συγκροτοῦσιν· οἱ καθαροὶ τῷ καθαρῷ προσενεγκάμενοι. ἴδωμεν τὴν Παρθένον, ὡς θρόνον δόξης Χερουβικόν, χωρήσασαν τὸν μηδαμοῦ χωρούμενον Θεόν· καὶ βαστάζουσαν, ὃν τὰ Χερουβὶμ μετὰ φόβου βαστάζουσιν. ὅπως παρέξῃ τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Μηνὶ τῷ αὐτῷ κβ΄.

Προεόρτια· Καὶ τῆς Ἁγίας Μεγαλομάρτυρος Ἀναστασίας, τῆς Φαρμακολυτρίας,

Στιχ. προσόμοια προεόρτια. ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Τοῦ Ἡσαΐου φωνὴ ἀποπληροῦται. ἰδοὺ ἡ Παρθένος γὰρ τὸν ἀπερίληπτον, περιγραφόμενον σώματι, ἐν μήτρᾳ φέρει, καὶ παραδόξως τεκεῖν ἐπείγεται. θεόδεκτον σπήλαιον, προευτρεπίσθητι. ἡ Βηθλεὲμ ἑτοιμάσθητι. ὁ Βασιλεὺς γάρ, σὲ ᾑρετίσατο εἰς κατοίκησιν. δέχου ἡ φάτνη σπαργανούμενον, βρέφος Χριστὸν λύειν μέλλοντα, τὰς σειρὰς τῶν πταισμάτων, τῶν ἀνθρώπων ἀγαθότητι.

Ἡ φωτεινή τε καὶ ἔμψυχος νεφέλη, τὸν ὄμβρον βαστάζουσα τὸν ἐπουράνιον. τοῦτον ἐν γῇ νῦν προέρχεται, ἐναποστάξαι, ὅπως ἀρδεύσῃ ταύτης τὸ πρόσωπον. τὸ ἔαρ τῆς χά-

ριτος

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ριτος, ἡ νοητὴ χελιδών, ἔνδον ἐν σπλάγχνοις κατέχουσα, ἀῤῥήτῳ λόγῳ, ἐναποτίκτει, χειμῶνα ἄθεον, διασκεδάζον, τὸ παλάτιον, τὸ καθαρὸν καὶ ἀμίαντον. Βασιλέα σπηλαίῳ, ἐπεισάγει σωματούμενον.

Συναπεγράφης τοῖς δούλοις ὁ Δεσπότης, πταισμάτων χειρόγραφον, σχίσαι βουλόμενος. καὶ ὑπογράψασθαι ἅπαντας, ἐν βίβλῳ ζώντων, θανατωθέντας κλοπῇ τοῦ ὄφεως. Παρθένος δὲ φέρουσα, τὸν πάντα φέροντα, σάρκα θνητὴν περικείμενον, καὶ καταλύειν, σμικρῷ σπηλαίῳ ἐπευδοκήσαντα. ὃν γεννηθέντα, τάξεις ἄνωθεν, Ἀγγελικαὶ ἀνυμνήσουσι, μετὰ θείων ποιμένων ἐκπληττόμεναι τὸ κράτος σου.

Καὶ τῆς Ἁγίας προσόμοια γ΄. ζήτει εἰς Μάρτυρα Γυναῖκα.

Δόξα, τῆς Ἁγίας, ἦχος β΄.

Τῆς Ἀναστάσεως εἴληφας τὸ δώρημα, Ἀναστασία πανεύφημε, ἀθληφοροῦσα ἐν τῷ σταδίῳ. δαιμόνων γὰρ ἐξηφάνισας πληθὺν, καὶ πόντῳ παρέδωκας, ἀθληφόρε Μάρτυς, ἀξιοθαύμαστε. Καὶ νῦν, Ὅμοιον.

Δεῦτε ἅπαντες, Χριστοῦ τὰ Γενέθλια φαιδρῶς προεορτάσωμεν. καὶ νοητῶς τὸν ὕμνον ὡς ἀστέρα προβαλλόμενοι. μαγικὰς δοξολογίας μετὰ ποιμένων βοήσωμεν· ἦλθεν ἡ σωτηρία τῶν βροτῶν, ἐκ παρθενικῆς νηδύος Χριστὸς, πιστοὺς ἀνακαλούμενος.

Εἰς τὸν στί. στ΄. ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Ἔρχεται ὁ Χριστὸς, τὸν πονηρὸν συντρίψαι, τοὺς ἐν σκότει φωτίσαι, καὶ λῦσαι τοὺς δεσμούς· αὐτῷ προϋπαντήσωμεν.

Στί. Ὁ Θεὸς ἀπὸ Θαιμάν.

Ἄστατε πατριαὶ, ἐθνῶν αἶνον καὶ δόξαν. οἱ Μάγοι μετὰ δώρων, ποιμένες ἀγραυλοῦντες, προθύμως ἐπισπεύσατε.

Στί. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Ὄρη τε καὶ βουνοὶ, κοιλάδες καὶ πεδία, οἱ ποταμοὶ καὶ πᾶσα, ἡ Κτίσις νῦν τὸν Κτίστην, τικτόμενον μεγάλυνε.

Δόξα, τῆς Ἁγίας, ἦχος δ΄. Τοῦ Στουδίτου.

Τῆς ζωηφόρου Ἀναστάσεως Χριστοῦ, ἐπώνυμος γενομένη σεμνὴ, πολιτείᾳ τῇ κλήσει, διαφόρως ἐξηκολούθησας, καὶ τὴν φύσιν ἀνδρώσασα, ἀῤῥενωθεῖσά τε τῷ φρονήματι, ἁλουργίδα ἐξύφανας, τῇ πορφυρίδι τῶν αἱμάτων σου, καὶ βασιλικῶς ὥσπερ σκῆπτρον, τὸν Σταυρὸν κατέχουσα, τῷ Θεῷ καὶ σωτῆρι συμβασιλεύεις, Ἀναστασία παμμακάριστε. αὐτὸν ἱκέτευε, καὶ ἡμᾶς ἐλλαμφθῆναι τῆς θείας δόξης αὐτοῦ.

Καὶ νῦν. Προεόρτιον, ἦχος ὁ αὐτός.

Ἡσαΐα χόρευε, Λόγον Θεοῦ ὑποδέξαι. προφήτευσον τῇ Κόρῃ Μαριάμ, βάτον καταφλέγεσθαι, καὶ πυρὶ μὴ καίεσθαι, τῇ αἴγλῃ τῆς Θεότητος. Βηθλεὲμ εὐτρέπιζου, ἄνοιγε πύλην ἡ Ἐδὲμ, καὶ Μάγοι πορεύεσθε ἰδεῖν τὴν σωτηρίαν, ἐν φάτνῃ σπαργανούμενον, ὃν ἀστὴρ ἐμήνυσεν ἐπάνω τοῦ σπηλαίου, ζωοδότην Κύριον· τὸν σώζοντα τὸ γένος ἡμῶν.

Τροπάριον. Ἡ Ἀμνάς σου Ἰησοῦ.

Προεόρτιον. Ἑτοιμάζου Βηθλεέμ.

Τριῴδιον ψαλλόμενον ἐν τοῖς Ἀποδείπνοις, Οὗ ἡ ἀκροστιχίς. Τετράδι ψαλῶ.

Ὠδὴ γ΄. ἦχος β΄. Ὁ Εἱρμός.

Τῆς Πίστεως, ἐν πέτρᾳ με στερεώσας, ἐπλάτυνας, τὸ στόμα μου ἐπ᾽ ἐχθρούς μου. εὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν· οὐκ ἔστιν Ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν. καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Ἐν κενοῖς τὸ συνέδριον τοῦ Ἡρώδου, καὶ γνώμῃ συναθροίζεται μιαιφόνῳ, τικτόμενον τὸν Κύριον ἀποκτεῖναι. ᾧ πάντες ψάλλομεν· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Τὸ δεινὸν βουλευτήριον τοῦ Ἡρώδου, σκέπτεται, θεομάχου ψυχῆς ὑπάρχων, νηπίοις τὸν Δεσπότην συναποκτεῖναι, Χριστὸν ᾧ ψάλλομεν, σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Ῥῆμα Τυράννου, ἐπεὶ ὑπερίσχυσεν, ἑπταπλασίως κάμινος, ἐξεκαύθη ποτέ. ἐν ᾗ, Παῖδες οὐκ ἐφλέχθησαν, Βασιλέως πατήσαντες δόγμα, ἀλλ᾽ ἐβόων· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀποκενοῦντες, ὡς μύρα τὰ δάκρυα, τῷ δι᾽ ἡμᾶς Χριστῷ γενομένῳ σαρκί· σαρκὸς, τὰς κηλῖδας καθαρίσωμεν, τῷ ἀχράντῳ καθαρῶς προσιόντες, καὶ βοῶντες· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἀκρυσιν οἴκτου, τὰ δάκρυα φύγωμεν, ἁμαρτωλοὶ κολάσεως, τῆς μελλούσης

φρικτῆς, Χριστοῦ, τῶν ἰχνῶν ἐπιλαβόμενοι, τεθαμένου ἐν σπαργάνοις ὡς βρέφος, καὶ βοῶντες· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τ Ἐρυργῆσθαι, τὸ λύτρον γινώσκοντες, ἐκ τῶν ἰδίων σπλάγχνων τε, καὶ δακρύων πηγῆς· Χριστῷ, διὰ τῆς ἐξαγοράσεως, ἐκπλυθέντες, πιστοὶ προσέλθωμεν· σαρκὶ τικτομένῳ, ἐν σπηλαίῳ ἀναβοῶντες· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Ψυχαῖς καθαραῖς, καὶ ἀῤῥυπώτοις χείλεσι, δεῦτε μεγαλύνωμεν τὴν ἀκηλίδωτον, καὶ ὑπέραγνον Μητέρα τοῦ Ἐμμανουήλ. δι᾽ αὐτῆς τῷ ἐξ αὐτῆς, προσφέροντες πρεσβείαν τεχθέντι. φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Ἀγνώμων μηδείς, μὴ πονηρὸς ζηλότυπος, ἔσω τῶν φερόντων νῦν δῶρα Θεῷ δεκτά. ἀντὶ σμύρνης, καὶ χρυσοῦ καὶ λιβάνου, ἀρετῶν τὸν σμυρνισμόν· ψαλλόντων τε Χριστῷ τικτομένῳ· φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Λέγει πορωθείς, Ἡρώδης Μάγοις ἔμφροσιν· ἄπιτε ζητήσατε τὸν γεννηθέντα, νῦν Βασιλέα· καὶ ἐλθόντες μηνύσατέ μοι· μελετήσας ὁ δεινός, τὸν φόνον μιαιφόνῳ καρδίᾳ. φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Ὦ Πηρωτικῆς, μιαιφονίας τόλμημα· λήθης ὅθεν ἔτυχες· ὅτι Θεὸν οὐδείς, ὑποχείριον ἀναιρεῖ λαμβάνων. ὑπερζέσας γὰρ θυμῷ, ὠμῶς τὰ βρέφη σφάττεις Ἡρώδη. φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεός, καὶ σῶσον ἡμᾶς.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν α΄. στιχολ. κάθισμα. ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Ἐνθέως ἀγάλλεται, ἡ Κτίσις σήμερον. Χριστὸς γὰρ ὁ Κύριος, ὁ τοῦ Θεοῦ μου Υἱός, ἐκ Κόρης γεννᾶται Ἁγνῆς· ἅπαν τὸ τῶν ἀνθρώπων, γένος ἀθανατίζων, λύων καὶ τὴν κατάραν, τῆς προμήτορος Εὔας. διὸ ὡς Εὐεργέτῃ ἡμῶν, ᾆσμα προσάξωμεν. Δίς.

Εἰς τὴν β΄. στιχολ. κάθισμα. ἦχος γ΄.

Ἡ Παρθένος σήμερον.

Τὴν Παρθένον κύουσαν, τὸν προαιώνιον Λόγον, Ἰωσὴφ ὁ δίκαιος, ὑμνολογῶν ἀνεβόα· βλέπω σε γεγενημένην ναὸν Κυρίου, φέρουσαν, τὸν πάντας σῶσαι βροτοὺς ἐλθόντα, καὶ τοὺς τοῦτον ἀνυμνοῦντας, δι᾽ οἶκτον θεῖον, ναοὺς δεικνύοντα. Δίς.

Ὁ Ν΄. καὶ οἱ Κανόνες. Τὸν Κανόνα τῶν Προεορτίων, ζήτει εἰς τὰς κ΄. καὶ τῆς Ἁγίας, ζήτει εἰς Ἁγίαν γυναῖκα Μάρτυρα.

Ἐξαποστειλάριον τῆς Ἁγίας.

Τοῖς Μαθηταῖς.

Παρθενομάρτυς εὔδοξε, Ἀθληφόρων τὸ κλέος, Ἀναστασία πάνσοφε, δυσωποῦσα μὴ παύσῃ, τὸν ἐκ Παρθένου Μαρίας, τῆς ἁγνῆς Θεοτόκου, τεχθῆναι προερχόμενον, ἐν σπηλαίῳ καὶ φάτνῃ, ἁμαρτιῶν, δοῦναι λύσιν τοῖς ἐκτελοῦσι, τὴν πανάγιαν μνήμην σου, καὶ τιμῶσί σε πόθῳ.

Προεόρτιον. Ὅμοιον.

Τὴν ἐκ Παρθένου Γέννησιν, τοῦ Χριστοῦ προκηρύττει, ἡ φωτοφόρος μνήμη σου, Μάρτυς Ἀναστασία. ἐν Βηθλεὲμ συγκαλοῦσα, Μάγους μὲν ἐκ Περσίδος, σὺν δώροις καὶ Ποιμένας νῦν, μετ᾽ Ἀγγέλων πρὸς ὕμνον. σὺ γὰρ σαυτήν, ὡς χρυσὸν καὶ Λίβανόν τε καὶ σμύρναν, προσῆξας τῷ Δεσπότῃ σου, ἐναθλοῦσα Θεόφρον.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος πλ. β΄.

Αἱ Ἀγγελικαί.

Νῦν τὴν Βηθλεέμ, καταλάβωμεν σπουδαίως. καὶ τὴν τῆς φωνῆς, ἱστορήσωμεν ἐλπίδα· ποιμένες ἀγραυλοῦντες, πρὸς ἀλλήλους ἀπεφθέγγοντο. ξένα γὰρ εἰσὶ τὰ λαληθέντα· ξένα δὲ εἰσὶ καὶ τὰ τῶν ὕμνων. διὸ κράζομεν· εὐλογημένος ὁ τεχθείς, Θεὸς ἡμῶν δόξα σοι.

Ζύλου πονηρᾷ, νεκρωθέντας παραβάσει, ἦλθες ἐπὶ γῆς, τοῦ ζωῶσαι τοὺς ἀνθρώπους. Χριστὲ καὶ ἐν τῇ φάτνῃ, ἀνεκλίθης ὡς νήπιος, δωροφορησάντων σε τῶν Μάγων, καὶ ἀνυμνησάντων τῶν Ἀγγέλων. μεθ᾽ ὧν κράζομεν· εὐλογημένος ὁ ἐλθών, Θεὸς ἡμῶν δόξα σοι.

Ὁ Τῶν Προφητῶν, μεγαλόφωνος κραυγάζει· ἐκ Παρθενικῆς, μέλλει τίκτεσθαι νηδύος, παιδίον ὁ Δεσπότης, ὑπὲρ λόγον καὶ ἔννοιαν. Ἄγγελος βουλῆς ὢν τῆς μεγάλης, καὶ ζωὴ τῶν ζώντων χρηματίζων· πρὸς ὃν κράζομεν· εὐλογημένος ὁ ἐλθών, Θεὸς ἡμῶν δόξα σοι.

Πάλιν Βηθλεέμ, τὴν Ἐδὲμ διεξανοίγει. πάλιν ὁ Ἀδάμ, ἐν αὐτῇ περιχορεύει.

ἔρχεται γὰρ ὁ Κτίστης, ἐξ αὐτῆς προερχόμενος, ἄφθαρτον διδοὺς ἀθανασίαν, Χριστὸς ἡ πάντων ζωαρχία. ἧς μετέχοντες, οὐκ ἔτι θνήσκομεν βροτοί, ἀθανατιζόμενοι.

Δόξα. Ὅμοιον.

Ῥάβδος μυστική, ἀνεβλάστησας Μαρία. ἤνθησεν Ἁγνή, ἐκ σοῦ ἄνθος ὁ Δεσπότης. ὁ κτίσας τοὺς αἰῶνας, καὶ κατέχων τὰ σύμπαντα· δι' οὗ Θεοτόκος ἀνεδείχθης. ἧς τὴν χαρὰν οὖν συνελθόντες, τὴν σὴν κράζομεν. εὐλογημένος ὁ τεχθείς, Θεὸς ἡμῶν δόξα σοι.

Καὶ νῦν. Ὅμοιον.

Σήμερον λαοί, ἀνακέκληται ἡ Εὔα, ἐκ τῆς ζοφερᾶς, τοῦ ἀλάστορος ἀπάτης, Χριστὸς γὰρ ἐκ Παρθένου, σωματοῦται ὡς ἄνθρωπος. ὃς καὶ τὸν Ἀδὰμ ἀνακαλέσας, ἦρε τὴν ἀρὰν διὰ Παρθένου. λαοὶ εἴπωμεν· εὐλογημένος ὁ ἐλθών, Θεὸς ἡμῶν δόξα σοι.

Ἀπόστ. τὰ προσόμοια Προεόρτια, ἦχος β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Προλάμπει ὁ ἀστήρ, ἤδη ἐν τῷ σπηλαίῳ. ποιμένες μετ' Ἀγγέλων, οἱ Μάγοι μετὰ δώρων, προφθάσαι εὐτρεπίσθητε.

Στ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Ἐγγίζει ὁ Χριστός, ὁ ἀστὴρ προαυγάζει, τὸ οὐράνιον πλῆθος, τῆς στρατιᾶς προκύπτει, τῶν νοερῶν δυνάμεων.

Στ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Χαῖρε ἡ Βηθλεέμ, ὁ ποιμαίνων ἐπέστη, τὸν Ἰσραὴλ ὁ σῴζων. οὐκ ἔτι ἐλαχίστη, Ἰουδαία τοῖς ἄρχουσιν.

Δόξα, τῆς Ἁγίας, ἦχος πλ. α'. Βύζαντος.

Προεόρτιος ἡμέρα σήμερον, τῆς ἐνανθρωπήσεως Χριστοῦ τοῦ Θεοῦ, τῆς πανευφήμου καὶ Μάρτυρος Ἑορτή, συνεξέλαμψεν Ἀναστασίας. ἰδοὺ γὰρ ἡ Παρθένος ἐν Βηθλεὲμ ἐπάγεται, βρέφος σπαργανούμενον ἀνακλῖναι ἐν φάτνῃ τῶν ἀλόγων, τὸν ἐλευθερώσαντα ἡμᾶς, ἐκ τῆς ἀρχαίας κατάρας, καὶ σῴζοντα τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, ἦχος ὁ αὐτός.

Μὴ στύγναζε Ἰωσήφ, καθορῶν μου τὴν νηδύν. ὄψει γὰρ τὸ τικτόμενον ἐξ ἐμοῦ, καὶ χαρήσῃ, καὶ ὡς Θεὸν προσκυνήσεις, ἡ Θεοτόκος ἔλεγε, τῷ ἑαυτῆς Μνηστῆρι, μολοῦσα τοῦ τεκεῖν τὸν Χριστόν. ταύτην ἀνυμνήσωμεν λέγοντες· χαῖρε Κεχαριτωμένη, μετὰ σοῦ ὁ Κύριος, καὶ διὰ σοῦ μεθ' ἡμῶν.

Μηνὶ τῷ αὐτῷ ΚΓ'.

Προεόρτια τῆς Γεννήσεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ τῶν Ἁγίων δέκα Μαρτύρων, τῶν ἐν Κρήτῃ. Ἡ Ἀκολουθία ἡ Προεόρτιος, καὶ τῶν Ἁγίων. Στ. Προεόρτια προσόμοια, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Προεόρτια ᾄσματα, διανοίας εὐθύτητι, τῆς Χριστοῦ Γεννήσεως προηχήσωμεν. ὁ γὰρ Πατρὶ καὶ τῷ Πνεύματι, συνὼν καὶ ὁμότιμος, διὰ σπλάγχνα οἰκτιρμῶν, ἐνδυσάμενος φύραμα, μέλλει τίκτεσθαι, Βηθλεὲμ ἐν τῇ πόλει· οὗ τὸν τόκον, τὸν ἀπόρρητον ποιμένες, μετὰ Ἀγγέλων ὑμνήσουσιν.

Ἐν κυμβάλοις ἠχήσωμεν, ἐν ᾠδαῖς ἀλαλάξωμεν. ἡ Χριστοῦ ἀνάδειξις πεφανέρωται, τῶν Προφητῶν τὰ κηρύγματα, τὸ τέρας ἐδέξαντο. ὃν γὰρ ἔφησαν σαρκί, τοῖς βροτοῖς ἐμφανίζεσθαι, ἀποτίκτεται, ἐν Ἁγίῳ σπηλαίῳ· καὶ ἐν φάτνῃ, ἀνακλίνεται ὡς βρέφος, καὶ σπαργανοῦται ὡς νήπιον.

Βηθλεὲμ εὐτρεπίσθητι, ἡ Ἐδὲμ διανοίχθητι· πᾶσα γῆ Ἰούδα δέ, ἐπαγάλλου νῦν. Οἱ Οὐρανοὶ εὐφραινέσθωσαν, σκιρτάτωσαν ἄνθρωποι. ἐπὶ φάτνης ἡ ζωή, ἐν σπηλαίῳ ὁ πλούσιος, ἐπασέρχεται, διὰ πλῆθος ἐλέους τὴν πτωχείαν, τοῦ Ἀδὰμ ἀναλαμβάνων, δίχα τροπῆς καὶ συγχύσεως.

Καὶ τῶν Ἁγίων, ζήτει εἰς Μάρτυρας.

Δόξα, τῶν Ἁγίων, ἰδιόμελον ἦχος β'.

Κρήτη προεορτάζει σήμερον, τὰ Γενέθλια Χριστοῦ, ἐν τῇ μνήμῃ τῶν Ἀθλοφόρων. διὸ εὐχαῖς αὐτῶν Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Προεόρτιον, ἦχος ὁ αὐτός.

Βηθλεὲμ γῆ Ἰούδα, τὸ κατὰ σάρκα πολίτευμα, φαιδρῶς εὐτρέπισον τὸ θεῖον σπήλαιον, ἐν ᾧ Χριστὸς σαρκὶ τίκτεται, ἐξ ἀπειράνδρου Ἁγίας Παρθένου, εἰς τὸ σῶσαι τὸ γένος ἡμῶν.

Εἰς τὸν Στ. τὰ προσόμοια, Προεόρτια, ἦχος β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ἵνα τῶν Προφητῶν, πληρώσῃ τὰς προρρήσεις, ἐν Βηθλεὲμ γεννᾶται. καὶ τὴν Ἐδὲμ ἀνοίγει, τοῖς ἐξ Ἀδὰμ ὁ Κύριος.

Στ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Προλάμπει ὁ ἀστήρ, ἤδη ἐν τῷ σπηλαίῳ, Ποιμένες μετ' Ἀγγέλων, οἱ Μάγοι



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη

μετὰ δώρων, προφθάσαι εὐτρεπίσθητε.

Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Μὲγιστον Βηθλεέμ, τὴν φάτνην τὴν ἁγίαν. ἐν σοὶ γὰρ ὁ Δεσπότης, προσεφάπλοι ἀκτῖνας, τῆς ἑαυτοῦ Θεότητος.

Δόξα. ἦχος γ'.

Προεόρτιος σήμερον, ἡ τῶν Μαρτύρων ἐπέστη ἑορτή, τὴν γενέθλιον ἡμῖν, προϋπογράφουσα ἡμέραν, τὸν ἐξ Ἡλίου Ἥλιον, τὸν ἐκ τῆς Παρθένου Χριστὸν, ἐπιφανέντα σαρκὶ ἀνακηρύττουσα. δεκὰς Μαρτύρων ἐν Κρήτῃ, στεῤῥῶς ἀθλήσασα, τοὺς στεφάνους τῆς νίκης ἐξ Οὐρανοῦ ἐδέξαντο· πρὸς οὓς βοήσωμεν· χορὸς ἁγιόλεκτος, ἱκετεύσατε Χριστὸν Ἅγιοι Μάρτυρες, ὑπὲρ τῶν πίστει τελούντων, τὴν πανσέπτον μνήμην ὑμῶν. Καὶ νῦν.

Προεόρτιον, ἦχος ὁ αὐτός. Ἀνατολίου.

Εὐτρεπίζου Βηθλεέμ. ἤνοικται γὰρ ἡ Ἐδέμ. ἑτοιμάζου Εὐφραθᾶ. ἀνανεοῦται γὰρ ὁ Ἀδάμ, καὶ ἡ Εὔα σὺν αὐτῷ. ἡ κατάρα γὰρ λέλυται, ἡ σωτηρία ἐν Κόσμῳ ἐξήνθησε, καὶ ψυχαὶ τῶν Δικαίων εὐτρεπίζονται· ὡς προῖκα δωροφορίας, ἀντὶ μύρου τὸν ὕμνον προσάγουσαι, σωτηρίαν ψυχικὴν, καὶ ἀφθαρσίαν κομιζόμεναι. ἰδοὺ γὰρ ἐν φάτνῃ ἀνακείμενος. προτρέπει ὑμνῳδίαν πνευματικὴν ἐπιτελέσαι, τοὺς βοῶντας ἀπαύστως, Κύριε δόξα σοι.

Τροπάρ. τῶν Ἁγίων. Οἱ Μάρτυρές σου.

Καὶ Προεόρτιον. Ἑτοιμάζου Βηθλεέμ.

Τετρῴδιον ψαλλόμενον εἰς τὰ ἀπόδειπνα.

ὧν ἡ ἀκροστ. Προσάββατον:

ᾨδὴ ε'. ἦχος πλ. β'. Ὁ Εἱρμός.

Πρὸς σὲ ὀρθρίζω, τὸν δι' εὐσπλαγχνίαν, ἑαυτὸν τῷ πεσόντι, κενώσαντα ἀτρέπτως, καὶ δούλου μορφὴν, ἐκ Παρθένου φορέσαντα. Λόγε Θεοῦ, τὴν εἰρήνην παράσχου μοι φιλάνθρωπε.

Ῥυφθέντες φρένας, καὶ προκαθαρθέντες, μυστηρίου μεθέξει, φρικτῆς οἰκονομίας, σώμα καὶ ψυχὴν, Βηθλεὲμ πρὸς τὴν πόλιν ἀνέλθωμεν, τὸν Δεσπότην, τικτόμενον ὀψόμενοι.

Ὁρᾶτε φίλοι, μάτην μὴ θροεῖσθε. ὁ γὰρ ἄφρων Ἡρώδης, θρασύνεται τὸν Κτίστην, κτᾶναι τεχθέντα. ἀλλ' αὐτὸς ὡς ζωῆς καὶ θανάτου κρατῶν, ζῇς καὶ σῴζεις, τὸν Κόσμον ὡς φιλάνθρωπος.

ᾨδὴ ς'. Ὁ Εἱρμός.

Στήλην κακίας ἀντιθέου, Παῖδες θεῖοι παρεδειγμάτισαν. κατὰ Χριστοῦ δὲ φρυαττόμενος, Ἡρώδης θρασύνεται, βουλεύεται κενά. κτᾶναι μελετᾷ, τὸν ζωῆς κρατοῦντα παλάμῃ· ὃν πᾶσα Κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ἀπὸ βλεφάρων, ῥᾳθυμίας ὕπνον πάντα πιστοὶ τινάξωμεν. ἐν προσευχῇ δὲ γρηγορῶμεν, πειρασμοὺς ἀποτρέποντες, τοὺς ἐκ τοῦ πονηροῦ, καὶ σὺν ποιμέσι, θεαταὶ τῆς δόξης δειχθῶμεν, Χριστοῦ τεχθέντος. ὃν ὑμνεῖ δοξάζουσα πᾶσα ἡ Κτίσις.

Βέβηλον ἔπος, ἐκ χειλέων προϊέναι πιστοὶ κωλύσωμεν· λόγους εὐφήμους μελετήσαντες, Χριστῷ δὲ προσάξωμεν, τῷ λύσαντι ἡμᾶς τῆς ἀλογίας, ἐν ἀλόγων κειμένῳ φάτνῃ· ὃν πᾶσα Κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βάθος σοφίας, καὶ τῆς γνώσεως τοῦ Κτίστου, τίς ἐρευνήσει βροτῶν, Θεοῦ κριμάτων, τίς τὴν Ἄβυσσον, σοφὸς καταλήψεται; δι' ὧν τοὺς Οὐρανοὺς, κλίνας τοῖς βροτοῖς, σαρκοφόρος συνανεστράφη· ὃν πᾶσα Κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ἀπαγορεύειν, σαρκικῶν παθῶν, καὶ Κόσμου ὕπνον σπουδάσωμεν. πνευματικῶν δὲ ἀνθεξώμεθα, φροντίδων θεόφρονες. ἀξίους ἑαυτοὺς, τῷ τικτομένῳ παριστῶντες, ἐξ ἔργων Δεσπότῃ· ὃν πᾶσα Κτίσις εὐλογεῖ, δοξάζουσα εἰς τοὺς αἰῶνας.

ᾨδὴ θ'. Ὁ Εἱρμός.

Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Ὀλέθριον δόγμα τοῦ δυσμενοῦς, συντηρουμένου, τῇ γεννήσει τοῦ Ἰησοῦ· νηπίων ἀκάκων, ἀπειργάσατο φόνον. ἡμεῖς δὲ τὸν τεχθέντα, πίστει τιμήσωμεν.

Νόμους τοὺς τῆς φύσεως ἀδικῶν, καὶ θεσμοὺς τοὺς θείους, ἀθετῶν Ἡρώδης δεινός· μητέρας ἀνόμως, ἠτέκνωσε καὶ βρέφη, ἀνεῖλεν ἀναιτίως, διὰ τὴν πάντων ζωήν.

Τοῖς ἔθνεσιν ἤνοικται τῆς Ἐδέμ. πύλη τικτομένου, ἐν σπηλαίῳ τοῦ λυτρωτοῦ. πηγήν τε διψῶσιν, ἀθανασίας βλύζει, ὁ Κύριος τῆς δόξης, ὃν μεγαλύνομεν.

Ἐκύκλουν ὡς θρόνον χερουβικὸν, Ἄγγελοι τὴν φάτνην. τὸ γὰρ σπήλαιον Οὐρανὸν, ἑώρων κειμένου, ἐν αὐτῷ τοῦ Δεσπότου. καὶ Δόξα ἐν ὑψίστοις, Θεῷ ἐκραύγαζον.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν α'. στιχολ. Κάθισμα. ἦχ. πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Βηθλεὲμ ἑτοιμάζου τὰ πρὸς ὑπάντησιν, τῆς Παρθένου Μαρίας καὶ Θεομήτορος.

ἰδοὺ γὰρ ἔρχεται πρὸς σέ, ἔμβρυον φέρουσα Χριστόν, τὸν συνάναρχον Πατρί, καὶ τῷ ἁγίῳ Πνεύματι· ὅνπερ σπηλαίῳ γεννήσει, καὶ μετὰ τόκον Παρθένος πάλιν ὀφθήσεται. Δίς.

Εἰς τὴν β΄. στιχολ. κάθισμα. ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

ΠΑρθένοι δοξάσατε τὴν τῆς Παρθένου χαράν. Μητέρες αἰνέσατε τὴν προπομπὴν τῆς Μητρός, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Μάγοι σὺν τοῖς Ἀγγέλοις, σὺν ἡμῖν οἱ ποιμένες· ἔρχεται γὰρ ἐν πόλει, Βηθλεὲμ τοῦ γεννῆσαι. αὐτῆς ταῖς ἱκεσίαις, σῶσον Χριστὲ τὸν Κόσμον σου. Δίς.

Ὁ Ν΄. Καὶ οἱ Κανόνες, τὸν Κανόνα τοῦ Προεορτίου, ζήτει εἰς τὴν κε΄. καὶ τῶν Ἁγίων, εἰς Μάρτυρας. ἀπὸ γ΄. ᾠδῆς κάθισμα. ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

ΤΗς Κρήτης οἱ λαμπροί, καὶ σεπτοὶ πολιοῦχοι, ἀθλήσαντες στερρῶς, ἐτροπώσαντο πίστει, τὸν ὄφιν τὸν ἀρχέκακον· καὶ νομίμως ἐστέφθησαν· τούτων σήμερον τὴν ἀξιέπαινον μνήμην, ἑορτάζοντες, μεγαλοφώνως τὸν πάντων, δοξάζομεν Κύριον.

Προεόρτιον. Ὅμοιον.

ΑΓάλλου ἡ Σιών, Βηθλεὲμ εὐτρεπίζου· ὁ πάντων συνοχεύς, τὸν ἀστέρα προπέμψας, ἐμήνυσε τὴν ἄμετρον, ἑαυτοῦ συγκατάβασιν. ὃν γὰρ τρέμουσι τῶν Οὐρανῶν αἱ δυνάμεις, ὄντως τίκτεται, ἐκ τῆς Παρθένου ἀτρέπτως, ὁ μόνος Θεὸς ἡμῶν.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

ΣΥν Θεοδούλῳ στέψωμεν, Ζωτικόν, Ἀγαθόπουν, καὶ Σατορνῖνον, Πόμπιον, ἅμα Εὐνικιανῷ, τὸν εὔδοξον Βασιλείδην, Εὔπορόν τε τὸν θεῖον, καὶ τὸν κλεινὸν Γελάσιον, καὶ Εὐάρεστον ὕμνοις χαρμονικῶς· ταῖς πρεσβείαις τούτων, ὅπως ῥυσθῶμεν, πταισμάτων, καὶ στεφθείημεν, πρὸς Χριστοῦ τοῦ Σωτῆρος.

Προεόρτιον. Ὅμοιον.

ΟΙ ἀρετὴν ἀσκήσαντες, καὶ νεκρῶσαι τὰ πάθη, ἐν ἐγκρατείᾳ σπεύσωμεν, ὥσπερ τρίτυλον δῶρον, μετὰ Ποιμένων καὶ Μάγων. πρᾶξιν ἐπαινουμένην, καὶ θεωρίαν εὔστοχον, νῦν προσάξωμεν πίστει, τῷ ἐν σαρκί, γεννηθῆναι μέλλοντι ἐκ Παρθένου, Θεῷ τῷ εὐδοκήσαντι τὴν ἡμῶν σωτηρίαν.

Εἰς τοὺς Αἴνους, στιχ. προσόμοια Προεόρτια, ἦχος πλ. β΄. Αἱ Ἀγγελικαί.

ΤΟ προορισθέν, τῷ Πατρὶ πρὸ τῶν αἰώνων, καὶ προκηρυχθέν, τοῖς Προφήταις ἐπ' ἐσχάτων, μυστήριον ἐφάνη· καὶ Θεὸς ἐνηνθρώπησε, σάρκα προσλαβὼν ἐκ τῆς Παρθένου· κτίζεται, ὁ ἄκτιστος βουλήσει. ὁ ὢν γίνεται. ὁ βασιλεὺς τοῦ Ἰσραήλ, Χριστὸς παραγίνεται.

ΥΜνον αἰνετόν, ἀνυμνήσατε ἀπαύστως, τῷ ἐν Βηθλεέμ, φῦναι μέλλοντι Δεσπότῃ· ἀσπόρως γὰρ σαρκοῦται, ἀληθείᾳ γεγέννηται· μέλψωμεν λαοὶ σὺν τοῖς Ἀγγέλοις, δόξα Θεῷ τῷ ἐν ὑψίστοις, λαοὶ εἴπωμεν· εὐλογημένος ὁ ἐλθών, Θεὸς ἡμῶν δόξα σοι.

ΦΩς τὸ ἐκ φωτός, προϊὸν καὶ ἐκ Παρθένου, λάμψαν τοῖς ἐν γῇ, δι' ἀστέρος κατιδόντες, οἱ ἀστρολόγοι Μάγοι, περσικὸν ἀπετίθεντο, σκότος καὶ ἀστρῴαν πᾶσαν πλάνην. καὶ ἐν χαρᾷ τῷ γεννηθέντι, Θεῷ ἔψαλλον· εὐλογημένος ὁ ἐλθών, Θεὸς ἡμῶν δόξα σοι.

ΧΑρὰν λογικήν, ἀναλάβετε ποιμένες, τὸν ἐν Βηθλεέμ, ἀνυμνήσατε Δεσπότην. ἐκ Κόρης γὰρ προῆλθεν, ὁ Σωτὴρ ἡμῶν Κύριος. λέλυται τῆς Εὔας ἡ κατάρα, διὰ τοῦ τεχθέντος Βασιλέως. διὸ εἴπωμεν· εὐλογημένος ὁ τεχθείς, Θεὸς ἡμῶν δόξα σοι. Δόξα.

ΨΑλατε σαφῶς, ὅτι σήμερον ὁ Κτίστης, ὁ σὺν τῷ Πατρί, συστησάμενος τὰ πάντα. αἱ τάξεις τῶν Ἀγγέλων, καὶ οἱ Μάγοι ἐκραύγαζον· σήμερον Χριστὸς ἐκ τῆς Παρθένου, τίκτεται ἡμῶν εἰς σωτηρίαν. λαοὶ εἴπωμεν· εὐλογημένος ὁ ἐλθών, Θεὸς ἡμῶν δόξα σοι. Καὶ νῦν.

ΩΜακαριστή, τῆς Θεόπαιδος κοιλία. ἥτις νοητῶς, Οὐρανοῦ μείζων ἐδείχθης· ὃν οὐ χωρεῖ γὰρ οὗτος, σὺ κατεῖχες βαστάζουσα. ὢ μακαριστοὶ μαστοὶ Παρθένου· οὕσπερ θηλάσειεν ὁ τρέφων, πνοὴν ἅπασαν, Χριστὸς ὁ μήτρα σάρξ παγείς, ἀνάνδρου Νεάνιδος.

Εἰς τὸν στίχ. προσόμοια Προεόρτια, ἦχος πλ. β΄. Τριήμερος ἀνέστης.

ΗΑπειρος σοφία Θεοῦ, τὸν οἶκον ἑαυτῆς ὑπὲρ νοῦν, ἐκ Παρθένου, ᾠκοδόμησε φρικτῶς· καὶ μέλλει ἐν σπηλαίῳ, καὶ φάτνῃ τῶν ἀλόγων, σαρκὶ τεχθῆναι ὑπὲρ ἔννοιαν.

ΩΡάθης τοῖς Προφήταις Χριστέ, ὡς θέμις ἦν θεάσασθαι, σὲ τὸν Κτίστην· ἐν ἐσχάτοις δὲ καιροῖς, τοῖς πᾶσιν ἐπεφάνης, ἀνθρώποις ἐν τῇ πόλει, τῇ Βηθλεὲμ βροτὸς γενόμενος.

Διέδραμε μηνύων ἀστὴρ, τὸν Ἥλιον τῆς δόξης Χριστὸν, Ἀστρολόγοις, ἐν τῇ πόλει Βηθλεέμ. καὶ Ἄγγελοι ποιμένας, νῦν διαγγελίζονται. μεθ᾽ ὧν συνδράμωμεν θεόφρονες.

Δόξα, ἦχος γ´. Τοῦ Στουδίτου.

Γενναῖοι Μάρτυρες ἀληθείας, ὑμᾶς οὐ βία τυραννικὴ, οὐ θωπεία ἀπατηλὴ, οὐ μελῶν ἐκκοπαὶ, οὐδὲ θανάτου ἀπειλαὶ, τῆς πρὸς τὸ θεῖον ἀγάπης, χωρίσαι δεδύνηνται. διὸ παῤῥησίαν ἔχοντες πρὸς Χριστὸν, τὸν ἐπὶ πάντων Θεὸν, ταύτην ἀμοιβὴν τῶν ἀλγεινῶν βασάνων αἰτήσασθε, παρὰ Χριστοῦ λαβεῖν ἀρχαῖς ὑμῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Προεόρτιον, ἦχ. πλ. δ´. Ἀνατολίου.

Ἐν Βηθλεὲμ γεννᾶται, ὁ τοῦ παντὸς Ποιητής· καὶ τὴν Ἐδὲμ ἀνοίγει, ὁ πρὸ αἰώνων Βασιλεύς· ἡ φλογίνη ῥομφαία τὰ νῶτα δίδωσι. τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται· αἱ οὐράνιαι Δυνάμεις, σὺν τοῖς ἐπὶ γῆς ἀναμίγνυνται. Ἄγγελοι σὺν τοῖς ἀνθρώποις κραταιὰν πανήγυριν, συγκροτοῦσιν. οἱ καθαροὶ τῷ καθαρῷ προσενεγκάμενοι, ἴδωμεν τὴν Παρθένον, ὡς θρόνον δόξης Χερουβικὸν, χωρήσασαν τὸν μηδαμοῦ χωρούμενον Θεόν· καὶ βαστάζουσαν, ὃν τὰ Χερουβὶμ μετὰ φόβου βαστάζουσιν. ὅπως παρέξῃ τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

## Μηνὶ τῷ αὐτῷ ΚΔ´.

Προεόρτια, Καὶ τῆς Ἁγίας Ὁσιομάρτυρος Εὐγενίας, Ἡ Ἀκολουθία ἡ Προεόρτιος, καὶ τῆς Ἁγίας, στιχ. Προεόρτια, ἦχος α´.

Πανεύφημοι Μάρτυρες.

Ἡ Γῆ πᾶσα βλέπουσα Θεοῦ, κάθοδον εὐφραίνεται. Μάγοι τὰ δῶρα προσφέρουσιν. Οὐρανὸς φθέγγεται, διὰ τοῦ ἀστέρος, Ἄγγελοι δοξάζουσι. Ποιμένες ἀγραυλοῦντες θαυμάζουσι. φάτνη εἰσδέχεται, ὥσπερ θρόνον σε τυρίμορφον. ἐπαγάλλει ταῦτα Μῆτερ βλέπουσα.

Ὡς εἰς ἀποκάλυψιν ἐθνῶν, ἦλθες περικείμενος, ἐμῆς μορφῆς τὸ ὁμοίωμα, Υἱέ μου ἄναρχε· Πατρὸς προανάρχου, ἀπόρρητον γέννημα. πλουτίσαι γὰρ προῄλθες πτωχεύσασαν, τὴν ἀνθρωπότητα, τῇ πτωχείᾳ, ἣν περίκεισαι. ἀνυμνῶ σου, Κύριε τὸ εὔσπλαγχνον.

Ὡς βρέφος με βλέπουσα ταῖς σαῖς, ἐπαναπαυόμενον, Μῆτερ ἀγκάλαις ἀ-

φραύνθητι. ἦλθον τὸν Κόσμον γὰρ, ὅλον ἀφελέσθαι, τὸν Ἀδὰμ ὃν ἔπλασα, κακίστῃ συμβουλίᾳ τοῦ ὄφεως, ξύλου γευσάμενον, καὶ τρυφῆς ἔξω γενόμενον Παραδείσου, καὶ καταφθειρόμενον.

Δόξα, καὶ νῦν. ἦχος β´. Ἰδοὺ καιρὸς ἠγγίκε. Εἰς τὸν στιχ. στιχ. ἰδιόμ. ἦχος α´. Προεορτάσωμεν λαοί. καὶ τὰ ἕτερα δύο. στίχους δὲ λέγομεν. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. Κύριε εἰσακήκοα. Δόξα, καὶ νῦν, ἦχος πλ. δ´. Ὑπόδεξαι Βηθλεέμ. Ἀπολυτίκιον. Ἀπεγράφετο ποτέ. ζήτει ταῦτα πάντα εἰς τὰς κ´. Εἰς τὸ Ἀπόδειπνον, ψάλλομεν τὸν παρόντα Κανόνα, εἰς δ´. οὗ ἡ ἀκροστιχίς. Καὶ σήμερον δὲ Σάββατον μέλπω μέγα. Ἄνευ τῶν Εἱρμῶν.

Ὠδὴ α´. ἦχος πλ. β´. Ὁ Εἱρμός.

Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι διώκτην τύραννον, φάτνῃ κρυπτόμενον, κτεῖναι ζητεῖ ὁ Ἡρώδης. ἀλλ᾽ ἡμεῖς σὺν Μάγοις μέλποντες. τῷ Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Κύριε Θεέ μου, γενέθλιον ὕμνον, καὶ προεόρτιον, ᾠδὴν σοι ᾄσομαι, τῷ τῇ γεννήσει σου θείᾳ, ἀναγέννησιν διδόντι μοι, καὶ πρὸς τὴν προτέραν με, εὐγένειαν ἀνάγοντι.

Ἄνω σε ἐν θρόνῳ, καὶ κάτω ἐν φάτνῃ, τὰ ὑπερκόσμια, καὶ τὰ περίγεια, κατανοοῦντα Σωτήρ μου, κατεπλήττοντο τὸ κράτος σου· ὑπὲρ νοῦν ὡράθης γὰρ, διπλοῦς φύσει θεάνθρωπος.

Ἵνα σου τῆς δόξης, τὰ πάντα πληρώσῃς, κλῖναι ἐλήλυθας, τοὺς Οὐρανοὺς ἕως γῆς. ὡς γὰρ ἐν πόκῳ κατέβης, ὑετὸς ἐν μήτρᾳ παρθενικῇ. ἐξ ἧς νῦν τεχθήσεσθαι, διπλοῦς ἔρχῃ θεάνθρωπε.

Ὠδὴ γ´. Ὁ Εἱρμός.

Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ Κτίσις κατιδοῦσα ἐν τῷ σπηλαίῳ κρυπτόμενον, θαμβητικῶς συνείχετο. οὐκ ἔστιν ἅγιος, πλὴν σοῦ Κύριε κραυγάζουσα.

Σύμβολα τῆς ἀῤῥήτου, σαρκώσεως παραδεικνὺς οἰκτίρμων, ἐπλήθυνας ὁράσεις, καὶ προφητείας ἐνέπνευσας· ἃς νῦν ἐλθὼν ἐπλήρωσας, σαρκὶ τικτόμενος. Κόρης ἐξ ἁγνῆς ἐν πόλει Δαβίδ.

Ἥπλωσε γῆ τὰ νῶτα, καὶ δέχεται τικτόμενον τὸν Κτίστην· τὴν δόξαν ἐξ Ἀγγέλων, ἐξ Οὐρανοῦ τὸν ἀστέρα δὲ, ἐκ τῶν ποιμένων αἴνεσιν, ἐκ Μάγων δῶρά τε, Κόσμου τε παντὸς ἐπίγνωσιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Μάντεως χρησμολόγου, προβλήματι Βαλαὰμ ἐκπληροῦται. ἀνέτειλε γὰρ ἄστρον, ἐξ Ἰακὼβ καὶ ὡδήγησε, πρὸς τὸν τῆς δόξης Ἥλιον, δῶρα κομίζοντας, Μάγους ἐκ Περσίδος Ἄνακτας.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Τὴν ἐκ Παρθένου παρουσίαν σου, προορῶν Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα· σὺ ἐκ Θαιμὰν σαρκούμενος, ἥκεις λυτρωτὰ, τὸν Ἀδὰμ ἀπωσμένον ἀνακαλέσασθαι.

Ἐγγίζει ἥκει νῦν ὁ Κύριος, προσδοκία ἐθνῶν, καὶ σωτηρία Κόσμου, εὐτρέπιζε τὸ σπήλαιον, πόλις Βηθλεέμ· καὶ σὺν Μάγοις ποιμένες, δρόμῳ προφθάσατε.

Ῥωμαλαιότητι Θεότητος, συγκραθεὶς τοῖς βροτοῖς, ἑνώσει ἀσυγχύτῳ· σαρκὸς ἐν ὁμοιώματι, Σῶτερ τὸν Ἀδὰμ, ἀφθαρτίζεις καὶ σώζεις, ἐν τῷ προσλήμματι.

Ὁ Λόγος σὰρξ ὀφθεὶς παχύνεται, καὶ σκηνοῖ ἐν ἡμῖν ἀῤῥήτῳ προμηθείᾳ· δεῦτε πιστοὶ ὀψώμεθα δόξαν τὴν αὐτοῦ· δόξαν ὡς μονογενοῦς, παρὰ Θεοῦ καὶ Πατρός.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Θεοφανείας σου Χριστὲ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, Ἠσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν. ἡ Παρθένος ἰδοὺ ἐν γαστρὶ, ἕξει καὶ τέξεται σαρκούμενον Λόγον· καὶ πάντες οἱ γηγενεῖς ἀγαλλιάσονται.

Νεοποιεῖς τοὺς γηγενεῖς, ὁ Πλαστουργὸς χοϊκὸς χρηματίσας. φάτνη γὰρ καὶ σπάργανα, καὶ σπήλαιον, τῆς σῆς ταπεινώσεως σύμβολα. ὁ δὲ Μνήστωρ τῆς σῆς Μητρὸς, σὸς δὲ νομιζόμενος Πατὴρ κατὰ σάρκα, τοῦ φύσαντός σε Πατρὸς, νῦν χρηματίζει βουλήν.

Διὰ τῆς σμύρνης τὸ θνητὸν, διὰ χρυσοῦ τὸ βασίλειον κράτος, διὰ δὲ λιβάνου τῆς Θεότητος, τὴν ὑπεροχὴν ὑπεμφαίνουσι, Βασιλεῖς ἐθνῶν ἀπαρχαὶ, δωροφοροῦντές σε, τὸν ἐν τῷ σπηλαίῳ, τικτόμενον Βηθλεὲμ, ἐξ ἀλοχεύτου Μητρός.

Ἐξ ἀλοχεύτου προελθὼν, ὁ τοῦ Πατρὸς συναΐδιος Λόγος· σαρκικῶς κατῴκησας τὸ σπήλαιον, ὡς θρόνῳ τῇ φάτνῃ χρησάμενος· καταπλήττεις δὲ τῇ φρικτῇ οἰκονομίᾳ σου. Μάγους καὶ ποιμένας· Ἀγγέλους τε ἐξιστᾷς, δόξα κραυγάζοντας.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Συνεχέθη, ἀλλ᾿ οὐ κατεσχέθη, στέρνοις κητῴοις Ἰωνᾶς. σοῦ γὰρ τὸν τύπον φέρων, τοῦ τεχθέντος καὶ σαρκὶ φανέντος, ὡς ἐκ θαλάμου, τοῦ θηρὸς ἀνέθορε. γεννηθεὶς γὰρ νῦν τὸ κατὰ σάρκα, ταφὴν καὶ θάνατον, ἔμελλες ὑπελθεῖν, αὖθις ἀναστήσεσθαι τριήμερος.

Ἀνῃρέθη, νῦν καὶ διῃρέθη, ἔχθρας τῆς ἀρχαίας τῇ σῇ, ἐνσάρκῳ παρουσίᾳ, τὸ μεσότοιχον Χριστέ· καὶ νῶτα ῥομφαία πᾶσιν, ἡ φλογίνη δίδωσι. ζωηφόρου τῆς Ἐδὲμ δὲ ξύλου, μεταλαμβάνω πιστῶς· ἀθανάτων φυτῶν, αὖθις γεωργὸς ἀναδεικνύμενος.

Βασιλεία, σὺν τῇ ἁμαρτίᾳ, Ἅδης ἐξ Ἀδὰμ μέχρι σοῦ. ἀλλ᾿ ἀναιρεῖται τούτου, ἡ ἀναίδεια τῆς τυραννίδος, τοῦ κατὰ σάρκα τικτομένου σου λυτρωτὰ, ἐκ φυλῆς Δαβίδ· καὶ ἐπὶ θρόνου τῆς Βασιλείας αὐτοῦ, τεθειμένου σαφῶς, καὶ εἰς τοὺς αἰῶνας βασιλεύοντος.

Βρεφοκτόνος, ἀλλ᾿ οὐ Χριστοκτόνος, ἔφυ Ἡρώδης ὁ δεινός· εἰ γὰρ καὶ τῶν νηπίων, ἐξεθέρισε πικρῶς τὴν χλόην, ἀλλὰ τὸν στάχυν τῆς ζωῆς οὐκ ἴσχυσε, καταλήψασθαι καὶ θανατῶσαι. ζωῆς γὰρ ὢν χορηγὸς, ἔλαθεν ὡς Θεὸς, θείᾳ δυναστείᾳ τὸν διώκοντα.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Ἄφραστον θαῦμα· ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς Ὁσίους Παῖδας ἐκ φλογὸς, φάτνῃ πενιχρᾷ, βρέφος ἀνακέκλιται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων. λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Τέτρωται πλεύσας, ἐχθρὸς Θεὸν Βρέφος κείμενον, ἐπὶ φάτνης βλέπων πενιχρᾶς. καὶ ξένα χαρὶ, θείᾳ ῥαπιζόμενος, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὄλβιος φάτνη, ἐν ἑαυτῇ δεξαμένη γὰρ, ὥσπερ βρέφος τὸν δημιουργὸν, ὡς χερουβικὸς θρόνος ἀναδείκνυται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Νόμῳ βροτείῳ, τὴν ἐν σπαργάνοις κατάθεσιν, καταδέχῃ βρέφος γεγονώς· δι᾿ ὧν τοὺς δεσμοὺς λύεις τῶν πταισμάτων μου, ἐλευθερίαν βραβεύων τοῖς βοῶσι· λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Μία ὑπῆρχεν, ἡ ἐν ἀνάρχῳ γεννήσει σου, καὶ ἐν τόκῳ τῷ μετὰ σαρκὸς, Θεότης Χριστὲ, σὺν Πατρὶ καὶ Πνεύματι, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.



Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

Ὠδὴ η'. Ὁ Εἱρμός.

Ἔκστηθι φρίττων Οὐρανέ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς. ἰδοὺ γὰρ σπαργάνοις συμπλέκεται, ὁ πάντα φέρων δρακί. καὶ φάτνῃ σμικρᾷ ξενοδοχεῖται. ὃν Παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, καὶ δοξολογοῦσιν ὡς Κύριον εἰς τοὺς αἰῶνας.

Λέλυται δέσμιος Ἀδάμ, ἐλευθερία τε πᾶσι δίδοται πιστοῖς· σπαργάνοις Σωτὴρ ἐμπλακέντος σου, καὶ ἐν σπηλαίῳ σμικρῷ, καὶ φάτνῃ τῶν ἀλόγων τεθέντος. διό σοι γεγηθότες, προεόρτιον ὕμνον, ἐν τῇ σῇ γεννήσει, προσφέρομεν ἐν πίστει.

Παύεται πλάνη Περσική. Ἀστεροσκόποι γὰρ Βασιλεῖς ἀνατολῶν, τεχθέντι δῶρα προσκομίζουσι, Χριστῷ τῷ παμβασιλεῖ, χρυσόν τε καὶ σμύρναν σὺν λιβάνῳ. ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαοὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὢ τῶν θαυμάτων τῶν καινῶν· ὢ ἀγαθότητος καὶ ἀπείρου ἀνοχῆς. ἰδοὺ γὰρ ὡς βρέφος λογίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ φεύγει Θεὸς θέλων Ἡρώδην. ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαοὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Μὴ ἐκθαμβῆ νῦν ὦ Μῆτερ, καθορῶσα ὡς βρέφος, ὃν ἐκ γαστρὸς πρὸ ἑωσφόρου τέτοκε Πατήρ. ἀναστῆσαι γὰρ καὶ συνδοξάσαι βροτῶν, πεπτωκυῖαν τὴν φύσιν, ἐλήλυθα σαφῶς· τὴν ἐν πίστει καὶ πόθῳ σὲ μεγαλύνουσαν.

Ἐπὶ τῷ ξένῳ σου τόκῳ, τὰς ὠδῖνας φυγοῦσα, ὑπερφυῶς ἐμακαρίσθην ἄναρχε Υἱέ· σὲ δὲ νῦν ὁρῶσα Ἡρώδην φεύγοντα, τῇ ῥομφαίᾳ τῆς λύπης, σπαράττομαι ψυχήν. ἀλλὰ ζῆθι καὶ σῶζε τοὺς σὲ γεραίροντας.

Γῆς μὲν ἐπέβην Αἰγύπτου. ἀλλ' Αἰγύπτου ὦ Μῆτερ, τὰ χειροποίητα κατέβαλον σεισμῷ· τὴν ψυχὴν δέ μου μάτην ἐπιζητούντων ἐχθρῶν, πεμπομένων εἰς Ἅδην, ὡς μόνος κραταιός, ἐπανάξω καὶ σώσω, τοὺς σὲ γεραίροντας.

Ἀγαλλιάσθω ἡ Κτίσις, κτίζεται γὰρ ὁ Κτίστης· καὶ ὁ προὼν νῦν πρόσφατος, γνωρίζεται Θεός. μετὰ Μάγων ποιμένες τὸ θαῦμα, κροτείτωσαν πιστῶς, καὶ βροτοὶ τοῖς Ἀγγέλοις συνευφραινέσθωσαν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. κάθ. ἦχος πλ. β'.

Ἀγγελικαὶ δυνάμεις.

Τῶν Προφητῶν αἱ ῥήσεις νυνὶ πεπλήρωνται· ὁ γὰρ Θεὸς ἡμῶν αὔριον τίκτεται, ἐκ Παρθένου Μαρίας ὑπὲρ λόγον· καὶ μένει ὥσπερ ἦν πρὸ τοῦ τόκου. ἀθροίζονται οἱ Μάγοι, δῶρα κομίζοντες. ἀγραυλοῦσι ποιμένες. ἐπᾴδομεν καὶ ἡμεῖς· ὁ ἐκ Παρθένου τεχθείς, Κύριε δόξα σοι. Δίς.

Εἰς τὴν β'. στιχολ. ἦχος πλ. δ'.

Αὐτόμελον.

Αὐλῶν ποιμενικῶν, καταπαύων ᾆσμα, στρατὸς Ἀγγελικός, ἐπεφώνει λέγων· παύσασθε ἀγραυλοῦντες, οἱ τῶν θρεμμάτων ἡγεμονεύοντες. κράξατε ἀνυμνοῦντες, ὅτι ἐτέχθη Χριστὸς ὁ Κύριος. ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων. Δίς.

Ὁ Ν'. καὶ ὁ Κανὼν ὁ προεόρτιος. οὗ ἡ ἀκροστ.

Κατὰ Ἀλφάβητον.

Ὠδὴ α'. ἦχος β'. Ἐν βυθῷ κατέστρωσε.

Ἀπογραφῆς Καίσαρος θεσμῷ, θέλων ἀπογράψασθαι, βίβλῳ ζωῆς, Παμβασιλεῦ τὸν ἄνθρωπον. ξένος εἰς τὰ ἴδια, παραγέγονας τὸν δεινῶς ξενιτεύσαντα, ἐκ τοῦ Παραδείσου, εἰς τὸν Οὐρανὸν ἀνακαλούμενος.

Βηθλεὲμ ὑπόδεξαι Χριστόν. σοὶ γὰρ σωματούμενος, ἐπιδημεῖ τὴν Ἐδὲμ ἐξανοίγων μοι. εὐτρέπιζε σπήλαιον, τὸν ἀχώρητον θεωρῆσαι χωρούμενον· ἐν σοὶ παραδόξως, πλάτει εὐσπλαγχνίας νῦν πτωχεύσαντα.

Γεννηθῆναι ἔρχεται Χριστός, ξένην ἀναγέννησιν, τοῖς ἐξ Ἀδὰμ ὡς ἀγαθὸς δωρούμενος. εὐφράνθητι ἔρημος, ἡ οὐ τίκτουσα, τῶν βροτῶν φύσις ἅπασα. ἦλθεν ὁ Δεσπότης, σὲ πολυτεκνοῦσαν ἀπεργάσασθαι.

Καὶ τῆς Ἁγίας.

Ζήτει εἰς Ἁγίαν γυναῖκα Μάρτυρα.

Ὠδὴ γ'. Ἐξήνθησεν ἡ ἔρημος.

Δεσμῶν ἀπολυτρούμενος, τῶν κακῶν με Κύριε, ἐνειληθῆναι σπάργανα, ὥσπερ βρέφος ἔρχῃ φιλάνθρωπε· προσκυνῶ σου τὴν θείαν συγκατάβασιν.

Ἐν χρόνῳ γεγονότα σε, τὸν ἀχρόνως λάμψαντα, ἐκ τοῦ Πατρὸς προέρχεται, ἡ Παρθένος τεκεῖν τὰ χρόνια, διαλύοντα πάθη τῶν ψυχῶν ἡμῶν.

Ζητῶν με τὸν πλανώμενον, παραβάσα σπήλαιον, ὡς Οὐρανὸν κατῴκησας· τὰς μονάς μοι εὐτρεπιζόμενος, τὰς ἐκεῖθεν οἰκτίρμον πολυέλεε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κάθισμα, τῆς Ἁγίας, ἦχος πλ. δ'.
Τὴν Σοφίαν καὶ Λόγον.

Ἐνασκήσασα πόνοις ἀθλητικοῖς, ἐδοξάσθης ἀγῶσι μαρτυρικοῖς· πολλοὺς προσενέγκασα, σῳζομένους τῷ Κτίστῃ σου. τῷ γὰρ θείῳ πόθῳ, λιποῦσα τὰ πρόσκαιρα, ἀνδρικοὺς ἀγῶνας, ἐτέλεσας ἔνδοξε. ὅθεν μετὰ τέλος, ἀτελεύτητον εὗρες, ζωὴν συνυπάρχουσα, τῷ Νυμφίῳ σου πάντοτε, Εὐγενία ἰσάγγελε. πρέσβευε Χριστῷ τῷ Θεῷ.

Προεόρτιον, ἦχος ὁ αὐτός. Τὸ προσταχθέν.

Τῶν γενεθλίων τοῦ Χριστοῦ τὰ προεόρτια, ἐπιτελοῦντες οἱ πιστοὶ πανηγυρίσωμεν, καὶ ἐπαξίως ἅπαντες προϋπαντήσωμεν, ὡς Μάγοι δωροφορῆσαι τὰς ἀρετὰς, καὶ ᾆσαι τὸ τῶν Ἀγγέλων ᾆσμα καινὸν, τῷ ἐκ Κόρης Θεόπαιδος, ἐν Βηθλεὲμ ἄνευ σπορᾶς, γεννωμένῳ Θεῷ ἡμῶν· ὃν δοξάζει τὰ σύμπαντα.

Ὠδὴ δ'. Ἐλήλυθας, ἐκ Παρθένου.

Ἡ Κτίσις νῦν, τὴν παλαίωσιν πᾶσαν ἀπόρριψον, τὸν Κτίστην κτιζόμενον, καὶ καινουργοῦντά σε βλέπουσα, νήπιον γενόμενον. καὶ πρὸς τὸ πρώην σε κάλλος, ἐπανάγοντα.

Θαυμάζοντες, τὸν παράδοξον τόκον ἐφίστανται, Μάγοι ὁδηγούμενοι, θείῳ ἀστέρι καὶ βλέπουσιν, Ἥλιον ἀνίσχοντα, Παρθενικῆς ἐκ νεφέλης, δῶρα φέροντες.

Ἰδοὺ ἥκει, ἡ Παρθένος ὡς δάμαλις φέρουσα, τὸν μόσχον ἐγγάστριον, τὸν σιτευτὸν ἀφαιρούμενον, Κόσμου ἁμαρτήματα. ἀγαλλιάσθω ἡ κτίσις, ἑορτάζουσα.

Κηρύγματα, Προφητῶν τοῦ Χριστοῦ τὴν ἀνάδειξιν, μηνύοντα εἴληφε, σήμερον πέρας σωτήριον· ἦλθε γὰρ ἐπέφανε, διὰ σαρκὸς τοῖς ἐν σκότει κινδυνεύουσιν.

Ὠδὴ ε'. Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων.

Λαὸς ὁ ποτὲ, σκότει καθεζόμενος ἰδέτω τὸ φῶς, λάμψαν τὸ ἀνέσπερον. ὅπερ ὁ ἀστὴρ πάλαι ἐμήνυσε, τοῖς τὸ πῦρ σεβομένοις, ἐκ τῆς Περσίδος Ἄναξιν.

Μικρὸν ὑπελθὼν, Βασιλεὺς ὁ μέγας σπεύδει σπήλαιον· κατασμικρυνθέντα με, ὅπως μεγαλύνῃ· καὶ πτωχεύσαντα, τῇ ἀμέτρῳ πτωχείᾳ, πλουτίσῃ ὁ ὑπέρθεος.

Ἄστρον ἐξ Ἰακὼβ, Βαλαὰμ ὡς ἔφησε, γεννᾶται Χριστός. ἐθνῶν κυριεύσατε, καὶ ἀνυψωθήσεται ἐν χάριτι ἡ αὐτοῦ Βασιλεία, μένουσα ἀδιάδοχος.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ξενοτρόπως Χριστὸς εἰς τὰ ἴδια, ἔρχεται ξενώσωμεν, ἁμαρτιῶν ἑαυτούς· καὶ τοῦτον ἀποδεξώμεθα, ταῖς πρᾳείαις ψυχαῖς οἰκιζόμενον.

Οὐδαμῶς ἐλαχίστη ἐν πόλεσι, Βηθλεὲμ γεγένησαι· ἐν σοὶ γεννᾶται γὰρ, ὁ Βασιλεὺς καὶ Κύριος, τοῦ ποιμᾶναι λαὸν περιούσιον.

Πῶς σμικρόν σε εἰσδέξεται σπήλαιον, Κόσμῳ μὴ χωρούμενον, ἀπερινόητε; πῶς ὁραθήσῃ νήπιος, ὁ Πατρὶ συνυμνούμενος ἄναρχος;

Κοντάκιον Προεόρτιον, ἦχος γ'.
Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

Ῥανάτωσαν ἄνωθεν ὕδωρ νεφέλαι· ὁ νέφη τιθέμενος, αὐτοῦ σεπτῶς ἐπίβασιν, νεφέλῃ ὀχούμενος, Παρθένῳ ἔρχεται, λάμψαι φῶς ἀνέσπερον τοῖς πρὶν, ἐσκοτισμένοις, καὶ κινδυνεύουσι.

Στρατὸς ἑτοιμάσθητι θείων Ἀγγέλων, ὑμνῆσαι τὴν ἄφατον Κυρίου συγκατάβασιν· Μάγοι ἐπιφθάσατε, ποιμένες αὐλίσατε. ἦλθεν ᾧ ἀπόκειται Χριστὸς, ἡ προσδοκία, ἐθνῶν καὶ λύτρωσις.

Τί τοῦτο τὸ μέγιστον, καὶ ξένον θαῦμα; πῶς φέρω σε φέροντα, τῷ ῥήματι τὰ σύμπαντα, ἀπόρρητον γέννημα, Υἱέ μου ἄναρχε, ἔλεγεν ἡ Πάναγνος· Χριστὸν, ἐν ταῖς ἀγκάλαις, φρικτῶς κατέχουσα.

Ὠδὴ η'. Κάμινος ποτέ.

Ὕψος ἀληθῶς, ἀρρήτου μυστηρίου, τοὺς Οὐρανοὺς γνώσει καλύψαντος, ἡ ἄμεμπτος Δέσποινα, κατεπλήττετο καὶ ἔλεγεν· ὁ θρόνος ὁ οὐράνιος, φλέγεται καθορῶν σε· καὶ πῶς Υἱέ μου βαστάσω σε;

Φέρεις πατρικὴν, ὁμοίωσιν Υἱέ μου· καὶ πῶς τοῦ δούλου τὸ ὁμοίωμα, πτωχεύσας ἀνέλαβες; πῶς ἐν φάτνῃ ἀνακλίνω σε, ἀλόγων τὸν ῥυόμενον, ἅπαντας ἀλογίας; ὑμνολογοῦσα τὸ εὔσπλαγχνον.

Χαῖρε πᾶσα γῆ, ἰδοὺ Χριστὸς ἐγγίζει, ἐν Βηθλεὲμ ἀποτικτόμενος. θάλασσα εὐφράνθητι. Προφητῶν ὅμιλος σκίρτησον, τὴν ἔκβασιν θεώμενος, σήμερον τῶν σῶν λόγων, πάντες ἀγάλλεσθε Δίκαιοι.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Ψαλλέτωσαν χαίρουσαι, αἱ βασιλεῖαι πάσης τῆς γῆς· πατριαὶ τῶν ἐθνῶν τε ἀγαλλιάσθωσαν,

Δημόσια Κεντρική Βιβλιοθήκη

θῶσαν. ὄρη καὶ βουνοὶ καὶ κοιλάδες, οἱ ποταμοὶ, θάλασσα καὶ ὅλη, ἡ Κτίσις τὸν Κύριον, νῦν τικτόμενον μεγάλυνε.

Εἰς τὰ ἴδια, ἐν ἀλλοτρίῳ ἔρχεται, ὁ πανάγιος Λόγος, ἁγίῳ σώματι. ξένῳ τοκετῷ ξενωθέντα, προσοικειῶν, ἑαυτῷ τὸν Κόσμον. αὐτὸν ἀνυμνήσωμεν, δι' ἡμᾶς πτωχὸν γενόμενον.

Ὦ Τέκνον Γλυκύτατον, πῶς τρέφω σε τὸν τρέφοντα; πῶς κρατῶ σε κρατοῦντα, τὰ πάντα νεύματι; πῶς δὲ σπαργανῶ σπαργανοῦντα, πᾶσαν τὴν γῆν; ὁμίχλῃ, ἐβόα, ἡ Πάναγνος Δέσποινα. ἣν ἐν πίστει μεγαλύνομεν.

Ἐξαποστειλάριον τῆς Ἁγίας.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Οὐδὲν ἐδάχθη κώλυμα, πρὸς τελείους ἀγῶνας, τὸ ἀσθενὲς τοῦ θήλεος, ἀοράτως σου θείᾳ, Χριστὲ ῥωννύμενον. ὅθεν, Εὐγενία ἡ Μάρτυς, γενναίως ὑπερήθλησεν. ἧς τὴν ἔνδοξον μνήμην, συνῆψας νῦν, τῇ σεπτῇ γεννήσει σου καὶ φωσφόρῳ· ἣν κατεδέξω Δέσποτα, ἐκ Παρθένου Ἁγίας.

Προεόρτιον. Ὅμοιον.

Ὕμνον πιστοὶ προσάξωμεν, τῇ Παρθένῳ Μαρίᾳ. ἰδοὺ γὰρ νῦν προέρχεται, Βηθλεὲμ ἐν τῇ πόλει, τεκεῖν Χριστὸν τὸν Σωτῆρα. ὅθεν Μάγοι σὺν δώροις, μετὰ Ἀστέρος δράμετε, σὺν ἡμῖν προσκυνῆσαι, ποιμένες δὲ, ἐκβοῆσαι στήσατε σὺν Ἀγγέλοις, τῷ τικτομένῳ δόξα σοι, ἐν σπηλαίῳ καὶ φάτνῃ.

Εἰς τοὺς Αἴνους, δ΄. προσόμοια, ἦχος πλ. β΄.

Αἱ Ἀγγελικαί.

Τῶν ὑπὲρ νοῦν, καὶ ἀρρήτων μυστηρίων· τίκτεται Θεός, ἐπὶ γῆς δι' εὐσπλαγχνίαν, τὴν δουλικὴν εἰκόνα, ἑαυτῷ περιθέμενος. ὅπως τῆς δουλείας ἀφαρπάσῃ, τῆς ἀλλοτρίας τοὺς βοῶντας, πόθῳ ζέοντι· εὐλογημένος ὁ Σωτὴρ, ὁ μόνος φιλάνθρωπος.

Δῶμεν τῷ Θεῷ, οἱ πιστοὶ μεγαλωσύνην, τῷ διὰ πολλὴν, εὐσπλαγχνίαν σαρκωθέντι, καὶ τῇ αὐτοῦ πτωχείᾳ, καὶ κενώσει πλουτίσαντι, πάντας τοὺς πτωχεύσαντας ἀθλίως, καὶ δόντι τὸ κάλλος τὸ ἀρχαῖον, πίστει κράζουσιν· εὐλογημένος ὁ Σωτὴρ, ὁ μόνος φιλάνθρωπος.

Ἥλιε Υἱὲ, πῶς σε κρύψω τοῖς σπαργάνοις, πῶς σε γαλουχῶ, πάσης φύσεως τροφέα; πῶς σε χερσὶ κατέχω, τὸν κρατοῦντα τὰ σύμπαντα; πῶς σοι ἀδεῶς ἐνατενίζω, ᾧ οὐ τολμᾷ ἐνατενίζειν, τὰ πολυόμματα; ἡ ἀπειρόγαμος Χριστὸν, κρατοῦσα ἐφθέγγετο.

Ἄσμασι καινοῖς, ἀλαλάξατε ποιμένες. λόγους μαγικοὺς, ἀπορρίψατε οἱ Μάγοι· σταλάξατε τὰ ὄρη, καὶ βουνοὶ ἀγαλλίασιν. δεῦτε θυγατέρες Βασιλέων, εἰς τὴν χαρὰν τῆς Θεοτόκου. λαοὶ εἴπωμεν· εὐλογημένος ὁ τεχθεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Δόξα. Ὅμοιον.

Δεῦρο Βηθλεὲμ, ἑτοιμάζου τὰ τοῦ τόκου. ἴθι Ἰωσὴφ, ἀπογράφου σὺν Μαρίᾳ. σεπτοτάτη ἡ φάτνη, θεοφόρα τὰ σπάργανα, ἔνθα ἡ ζωὴ ἐναληθεῦσα, σειρὰς θανάτου διαρρήξει, ἐπισφίγγουσα, πρὸς ἀφθαρσίαν τοὺς βροτοὺς, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Καὶ νῦν. Ὅμοιον.

Ὤφθης ἐπὶ γῆς, καὶ βροτοῖς συνανεστράφης· Καίσαρος θεσμοῖς, σὺν τοῖς δούλοις ἀπεγράφης· ἐπλάσθης οὐκ ἐτράπης, ἀναλλοίωτος ἔμεινας· ὅλος ὢν Θεὸς κἂν ἐσαρκώθης. δόξα τῇ σῇ οἰκονομίᾳ. τιμὴ αἴνεσις, μεγαλοπρέπεια καὶ νῦν, εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εἰς τὸν ς΄. ψάλλομεν γ΄. ἰδιόμελα Προεόρτια, ἦχος δ΄. Βηθλεὲμ εὐτρεπίζου.

Χριστὸς ὁ ἐρχόμενος, ἐμφανῶς Θεὸς ἡμῶν.

Ἡσαΐα χόρευε.

Δόξα, καὶ νῦν, ἦχος πλ. β΄.

Σπήλαιον εὐτρεπίζου.

Ζήτει ταῦτα πάντα εἰς τὰς κ΄.

Ἀρχὴ τῆς Ἀκολουθίας τῶν Ὡρῶν τῆς Χριστοῦ Γεννήσεως.

Χρὴ γινώσκειν, ὅτι εἰ τύχῃ ἡ Παραμονὴ τῆς Χριστοῦ Γεννήσεως ἐν Σαββάτῳ, ἢ Κυριακῇ, νηστεία οὐ γίνεται, ὅτε μὴν τὴν Ἀκολουθίαν ταύτην ἐν αὐτῇ ψάλλομεν, ἀλλ' ἐν τῇ Παρασκευῇ, γενομένης ἐννάτης. Περὶ ὥραν α΄. τῆς ἡμέρας σημαίνει, καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ πάντες, καὶ εὐλογοῦντος τοῦ Ἱερέως, ἀρχόμεθα τὸ Τρισάγιον. Εἶτα τὸ, Δεῦτε προσκυνήσωμεν γ΄.

Καὶ στιχολογοῦμεν τοὺς παρόντας γ΄. Ψαλμούς.

Ψαλμ. ε΄. Τὰ ῥήματά μου ἐνώτισαι Κύριε.

Ψαλμ. μδ΄. Ἐξηρεύξατο ἡ καρδία μου.

Ψαλμ. με΄. Ὁ Θεὸς ἡμῶν καταφυγή.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δόξα,

Δόξα, καὶ νῦν. Ἀλληλούϊα γ΄.

Εἶτα τὸ Τροπάριον, ἦχος δ΄.

Ἀπεγράφετο ποτὲ σὺν τῷ πρεσβύτῃ Ἰωσὴφ, ὡς ἐκ σπέρματος Δαβὶδ, ἐν Βηθλεὲμ ἡ Μαριάμ, κυοφοροῦσα τὴν ἄσπορον κυοφορίαν. ἐπέστη δὲ καιρὸς ὁ τῆς γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι. ἀλλ᾽ ὡς τερπνὸν παλάτιον τὸ σπήλαιον, τῇ Βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται, τὴν πρὶν πεσοῦσαν ἀναστῆσαι εἰκόνα. Δόξα τὸ αὐτό. Καὶ νῦν, Θεοτ.

Τί σε καλέσωμεν, ὦ Κεχαριτωμένη;

Εἶτα τὰ ἰδιόμελα, ἦχος πλ. δ΄.

Ποίημα Σωφρονίου Πατριάρχου Ἱεροσολύμ.

Βηθλεὲμ ἑτοιμάζου, εὐτρεπιζέσθω ἡ φάτνη· τὸ σπήλαιον δεχέσθω· ἡ ἀλήθεια ἦλθεν, ἡ σκιὰ παρέδραμε. καὶ Θεὸς ἀνθρώποις, ἐκ Παρθένου πεφανέρωται. μορφωθεὶς τὸ καθ᾽ ἡμᾶς, καὶ θεώσας τὸ πρόσλημμα. διὸ Ἀδὰμ ἀνανεοῦται, σὺν τῇ Εὔᾳ κράζοντες· ἐπὶ γῆς εὐδοκία ἐπεφάνη, σῶσαι τὸ γένος ἡμῶν. Δίς.

Ἀνάγν. στίχου. Εἶτα.

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. ἦχος γ΄.

Νῦν προφητικὴ πρόρρησις, πληρωθῆναι ἐπάγεται, μυστικῶς ἡ φάσκουσα· καὶ σὺ Βηθλεὲμ γῆ Ἰούδα, οὐδαμῶς ὑπάρχεις ἐλαχίστη ἐν τοῖς Ἡγεμόσι, προευτρεπίζουσα τὸ σπήλαιον. ἐκ σοῦ γάρ μοι ἐξελεύσεται, ἡγούμενος τῶν ἐθνῶν διὰ σαρκὸς, ἐκ Παρθένου Κόρης Χριστὸς ὁ Θεός. ὃς ποιμανεῖ τὸν λαὸν αὐτοῦ, τὸν νέον Ἰσραήλ. δῶμεν αὐτῷ ἅπαντες μεγαλωσύνην.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Πάλιν τὸ αὐτό. Εἶτα. Δόξα, ἦχος πλ. δ΄.

Τάδε λέγει Ἰωσὴφ πρὸς τὴν Παρθένον· Μαρία, τί τὸ δρᾶμα τοῦτο, ὃ ἐν σοὶ τεθέαμαι; ἀπορῶ καὶ ἐξίσταμαι, καὶ τὸν νοῦν καταπλήττομαι. λάθρα τοίνυν ἀπ᾽ ἐμοῦ γενοῦ ἐν τάχει. Μαρία, τί τὸ δρᾶμα τοῦτο, ὃ ἐν σοὶ τεθέαμαι; ἀντὶ τιμῆς, αἰσχύνην. ἀντ᾽ εὐφροσύνης, τὴν λύπην· ἀντὶ τοῦ ἐπαινεῖσθαι, τὸν ψόγον μοι προσήγαγες; οὐκ ἔτι φέρω λοιπὸν τὸ ὄνειδος ἀνθρώπων· ὑπὸ γὰρ Ἱερέων ἐκ τοῦ ναοῦ, ὡς ἄμεμπτον Κυρίου σὲ παρέλαβον· καὶ τί τὸ ὁρώμενον;

Καὶ νῦν. τὸ αὐτό. Εἶτα τὸ Προκείμενον τῆς Προφητείας, ἦχος δ΄.

Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ.

Στίχ. Αἴτησαι παρ᾽ ἐμοῦ, καὶ δώσω σοι.

Προφητείας Μιχαίου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. καὶ σὺ Βηθλεὲμ οἶκος Κεφ.
τοῦ Εὐφραθᾶ, μὴ ὀλιγοστὸς εἶ τοῦ εἶναι ἐν ε. 2.
χιλιάσιν Ἰούδα. Ἐκ σοῦ γάρ μοι ἐξελεύσεται, τοῦ εἶναι εἰς Ἄρχοντα ἐν τῷ Ἰσραήλ· καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ᾽ ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος. Διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης, τέξεται· καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτοῦ ἐπιστρέψουσιν ἐπὶ τοὺς Υἱοὺς Ἰσραήλ. Καὶ στήσεται, καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ Κύριος. Καὶ ἐν τῇ δόξῃ τοῦ ὀνόματος Κυρίου τοῦ Θεοῦ αὐτῶν ὑπάρξουσι· διότι νῦν μεγαλυνθήσεται ἕως ἄκρων τῆς γῆς.

Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους Ἐπιστολῆς.

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεός.

Ζήτει ἔμπροσθεν εἰς τὸν Ἑσπερινόν.

Εἶτα τὸ Εὐαγγέλιον, κατὰ Ματθαῖον.

Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ Γέννησις οὕτως ἦν.

Ζήτει Κυριακῇ πρὸ τῆς Χριστοῦ Γεννήσεως. ἤτοι τῶν Ἁγίων Πατέρων, ἀπὸ τοῦ μέσου.

Εἶτα λέγει ὁ Ἀναγνώστης.

Τὰ διαβήματά μου κατεύθυνον.

Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν, Εἶτα τὸ Κοντάκιον, ἦχος γ΄. Ἡ Παρθένος σήμερον. τὸ, Κύριε ἐλέησον μ΄. Καὶ ἡ εὐχή. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Καὶ ἡ εὐχή. Χριστὲ τὸ φῶς τὸ ἀληθινόν.

## ὭΡΑ ΤΡΊΤΗ.

Τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν, τὸ, Κύριε ἐλέησον ιβ΄. τὸ Δεῦτε προσκυνήσωμεν γ΄. καὶ τοὺς τρεῖς Ψαλμούς.

Ψαλμ. ξϛ΄. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Ψαλμ. πϛ΄. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι.

Ψαλ. ν΄. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα γ΄. καὶ τὸ Τροπάρ.

Ἀπεγράφετο ποτέ. Καὶ νῦν. Θεοτ.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Εἶτα τὰ Ἰδιόμελα, ἦχος πλ. β΄.

Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσ[illegible] ἕτερος πρὸς αὐτόν· ὁ τεχθεὶς ἐκ Π[illegible]ου, καὶ τοῖς ἀνθρώποις συναναστραφ[illegible] φάτνῃ πενιχρᾷ, Υἱὸς μονογενής· κείμενος ὁρᾶται βροτὸς, καὶ σπαργάνοις πλέκεται, ὁ τῆς δόξης Κύριος. καὶ Μάγους ἀστὴρ μηνύει, εἰς αὐτοῦ



Δημόσια Κεντρική Βιβλιοθήκη

προσκύνησιν, καὶ ἡμᾶς μελῳδοῦμεν· Τριὰς Ἁγία, σῶσον τὰς ψυχὰς ἡμῶν. Δίς.

Ἀνὰ στίχον. Εἶτα.

στ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. Ἦχος πλ. δ'.

Πρὸ τῆς γεννήσεώς σου, τρόμῳ ὁρῶσαι τὸ μυστήριον Κύριε, αἱ νοεραὶ στρατιαὶ κατεπλήττοντο. ὡς γὰρ βρέφος νηπιάσαι ηὐδόκησας, ὁ τὸν πόλον κοσμήσας τοῖς ἄστρασι, καὶ τῇ φάτνῃ τῶν ἀλόγων ἀνακέκλισαι, ὁ δρακὶ συνέχων πάντα γῆς τὰ πέρατα. τοιαύτη γὰρ οἰκονομία, ἐγνώσθη σου ἡ εὐσπλαγχνία, Χριστὲ τὸ μέγα ἔλεος, δόξα σοι.

στ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Πάλιν τὸ αὐτό. Εἶτα. Δόξα, ἦχος γ'.

Ἰωσὴφ εἰπὲ ἡμῖν, πῶς ἐκ τῶν Ἁγίων ἣν παρέλαβες Κόρην, ἔγκυον φέρεις ἐν Βηθλεέμ; ἐγὼ φησὶ τοὺς Προφήτας ἐρευνήσας, καὶ χρηματισθεὶς ὑπὸ Ἀγγέλου πέπεισμαι, ὅτι Θεὸν γεννήσει ἡ Μαρία ἀνερμηνεύτως. οὗ εἰς προσκύνησιν, Μάγοι ἐξ Ἀνατολῶν ἥξουσι, σὺν δώροις τιμίοις λατρεύοντες· ὁ σαρκωθεὶς δι' ἡμᾶς, Κύριε δόξα σοι.

Καὶ νῦν. τὸ αὐτό. Προκείμενον τῆς Προφητείας, ἦχος δ'.

Ὅτι Παιδίον ἐγεννήθη ἡμῖν Υἱός.

στ. Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ.

Προφητείας Ἱερεμίου τὸ Ἀνάγνωσμα.

Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος.

Ζήτει ἔμπροσθεν εἰς τὸν Ἑσπερινὸν τῆς Ἑορτῆς, Ἀνάγνωσμα ε'. Εἶτα ὁ Ἀπόστολος.

Πρὸς Γαλάτας Ἐπιστολῆς.

Κεφ. γ'. 23. Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι· Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. Ἐλθούσης δὲ τῆς πίστεως, οὐκ ἔτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ Υἱοὶ Θεοῦ ἐστὲ διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ. Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην· οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος· οὐκ ἔνι ἄρσεν, καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστὲ ἐν Χριστῷ Ἰησοῦ. Εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ καὶ κατ' ἐπαγγελίαν κληρονόμοι.

Ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου.

Ζήτει τοῦτο τὸ Εὐαγγέλιον ἔμπροσθεν εἰς τὸν Ἑσπερινόν, ὃ λέγεται εἰς τὴν Λειτουργίαν τῆς Παραμονῆς. Εἶτα.

Κύριος ὁ Θεὸς εὐλογητός.

Τὸ Τρισάγιον, καὶ τὰ λοιπά. τὸ Κοντάκιον.

Ἡ Παρθένος σήμερον, τό, Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Καὶ ἡ ἀπόλυσις. Δέσποτα Θεέ, Πάτερ Παντοκράτορ.

## ὭΡΑ ἝΚΤΗ.

Ἐπισυνάπτομεν δὲ καὶ τὴν ϛ'. ὥραν λέγοντες· Δεῦτε προσκυνήσωμεν γ'.

Ψαλμ. ϙα'. Ὁ Θεός, τὸ κρίμα σου.

Ψαλμ. ρλα'. Μνήσθητι Κύριε τοῦ Δαβίδ.

Ψαλ. ϟ'. Ὁ κατοικῶν ἐν βοηθείᾳ.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα γ'.

Εἶτα τὸ Τροπάριον. Δόξα, ἦχος δ'.

Ἀπεγράφετο ποτὲ σὺν τῷ πρεσβύτῃ.

Καὶ νῦν. Ὅτι οὐκ ἔχομεν παρρησίαν.

Καὶ εὐθὺς ψάλλομεν τὰ παρόντα Ἰδιόμελα, ἦχος α'.

Δεῦτε πιστοὶ ἐπαρθῶμεν ἐνθέως, καὶ κατίδωμεν συγκατάβασιν, θεϊκὴν ἄνωθεν, ἐν Βηθλεὲμ πρὸς ἡμᾶς ἐμφανῶς. καὶ νοῦν καθαρθέντες, τῷ βίῳ προσενέγκωμεν, ἀρετὰς ἀντὶ μύρου. προευτρεπίζοντες πιστῶς, τῶν Γενεθλίων τὰς εἰσόδους, ἐπὶ τῶν ψυχικῶν θησαυρισμάτων κράζοντες· ἐν ὑψίστοις δόξα, Θεῷ τῷ ἐν Τριάδι. δι' οὗ ἐν ἀνθρώποις εὐδοκία ἐπεφάνη, τὸν Ἀδὰμ ἐκλυτρούμενος, τῆς ἀρχεγόνου ἀρᾶς ὡς φιλάνθρωπος. Δίς.

Ἀνὰ στίχον. Εἶτα.

στ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει.

Ἄκουε Οὐρανέ, καὶ ἐνωτίζου ἡ γῆ. σαλευθήτω τὰ θεμέλια, ἐπιλαβέτω τρόμος τὰ καταχθόνια. ὅτι ὁ Θεός τε καὶ Κτίστης, σαρκὸς εἰσέδυ πλάσιν· καὶ ὁ κραταιᾷ κτίσας χειρὶ τὴν Κτίσιν, σπλάγχνων ὁρᾶται πλάσματος· ὢ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ. ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ.

στ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου.

Πάλιν τὸ αὐτό. Εἶτα. Δόξα, ἦχος πλ. α'.

Δεῦτε Χριστοφόροι λαοὶ κατίδωμεν θαῦμα πᾶσαν ἔννοιαν ἐκπλῆττον καὶ συνέχον· καὶ εὐσεβῶς προσκυνοῦντες, πίστει ἀνυμνήσωμεν.

μεν. σήμερον πρὸς τὴν Βηθλεὲμ, ἐγκυμονοῦσα Κόρη παραγίνεται, τοῦ γεννῆσαι τὸν Κύριον. χοροὶ δὲ Ἀγγέλων προτρέχουσι· ϗ ταῦτα βλέπων ἐβόα, Ἰωσὴφ ὁ μνήστωρ· τί τὸ ἐν σοὶ ξένον μυστήριον Παρθένε; ϗ πῶς μέλλεις λοχεῦσαι, ἡ ἀπειρόζυγος δάμαλις;

Καὶ νῦν, τὸ αὐτό. ϗ εὐθὺς, Προκείμενον τῆς Προφητείας, ἦχος πλ. δ.

Ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων.

Ζήτει ἔμπροσθεν εἰς τὸν Ἑσπερινὸν, Ἀνάγνωσμα η.

Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους Ἐπιστολῆς.

Κατ᾽ ἀρχὰς σὺ Κύριε, τὴν γῆν ἐθεμελίωσας.

Ζήτει ἔμπροσθεν εἰς τὸν Ἑσπερινὸν, ἀπὸ τοῦ μέσου.

Εὐαγγέλιον, κατὰ Ματθαῖον.

Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς.

Ζήτει τοῦτο τὸ Εὐαγγέλιον εἰς τὴν ἡμέραν τῆς Ἑορτῆς, εἰς τὴν Λειτουργίαν. Εἶτα.

Τοῦ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας.

Τὸ Τρισάγιον, τὸ Παναγία Τριάς.

Πάτερ ἡμῶν, τὸ Κοντάκιον. Ἡ Παρθένος σήμερον; τὸ Κύριε ἐλέησον μ. Ὁ ἐν παντὶ καιρῷ. Δόξα, ϗ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου.

Ὁ Ἱερεύς. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Καὶ ἡ Ἀπόλ. Θεὲ ϗ Κύριε τῶν δυνάμεων.

## ὭΡΑ ἘΝΝΆΤΗ.

Τὸ Τρισάγιον, τὸ Παναγία Τριάς. Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον ιβ. τὸ Δεῦτε προσκυνήσωμεν γ. καὶ οἱ Ψαλμοί.

Ψαλμ. ρθ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Ψαλμ. ρι. Ἐξομολογήσομαί σοι Κύριε.

Ψαλμ. πε. Κλῖνον Κύριε τὸ οὖς σου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα.

Δόξα. Ἀπεγράφετο ποτέ. Καὶ νῦν. Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου.

Εἶτα τὰ Ἰδιόμελα, ἦχος βαρύς.

Ἐξεπλήττετο ὁ Ἡρώδης, ὁρῶν τῶν Μάγων τὴν εὐσέβειαν. ϗ τῷ θυμῷ νικώμενος, τοῦ ἔτους ἠκριβολόγει τὸ διάστημα. Μητέρες ἠτεκνοῦντο, καὶ ἡ ἄωρος ἡλικία τῶν βρεφῶν, πικρῶς κατεθερίζετο· μαζοὶ ἐξηραίνοντο, ϗ πόροι γάλακτος συνεστέλλοντο. μέγα ἦν τὸ δεινόν. διὸ εὐσεβῶς πιστοὶ συνελθόντες, προσκυνήσωμεν τοῦ Χριστοῦ τὴν Γέννησιν. Δίς.

Ἀνὰ στίχον. Εἶτα.

Στίχ. Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. Ἦχος δ.

Ὅτε Ἰωσὴφ Παρθένε λύπῃ ἐτιτρώσκετο, πρὸς Βηθλεὲμ ἀπαίρων, ἐβόας πρὸς αὐτόν· τί ὁρῶν με ἔγκυον, στυγνάζεις ϗ ταράττεσαι, ἀγνοῶν ὅλως τὸ ἐν ἐμοὶ φρικτὸν μυστήριον; λοιπὸν ἀπόθου φόβον ἅπαντα, τὸ παράδοξον ἐννοῶν. Θεὸς κάτεισι γὰρ ἐπὶ γῆς δι᾽ ἔλεον, ϗ ἐν τῇ μήτρᾳ μου νῦν, σάρκα προσελάβετο. ὅνπερ τικτόμενον, ὄψει ὡς ηὐδόκησε· ϗ τῆς χαρᾶς πλησθεὶς, προσκυνήσεις ὡς Κτίστην σου. ὃν Ἄγγελοι ὑμνοῦσιν ἀπαύστως, ϗ δοξάζουσι σὺν Πατρὶ ϗ Ἁγίῳ Πνεύματι.

Στίχ. Κύριε εἰσακήκοα τὴν ἀκοήν σου, ϗ πάλιν τὸ αὐτό. Δόξα, ἦχος πλ. β.

Σήμερον γεννᾶται ἐκ Παρθένου, ὁ δρακὶ τὴν πᾶσαν ἔχων κτίσιν. Ῥάκη καθάπερ βροτὸς σπαργανοῦται, ὁ τῇ οὐσίᾳ ἀναφής· Θεὸς ἐν φάτνῃ ἀνακλίνεται, ὁ στερεώσας τοὺς οὐρανοὺς πάλαι κατ᾽ ἀρχάς. Ἐκ μαζῶν γάλα τρέφεται, ὁ ἐν τῇ ἐρήμῳ μάννα ὀμβρήσας τῷ λαῷ. Μάγους προσκαλεῖται ὁ Νυμφίος τῆς Ἐκκλησίας. Δῶρα τούτων αἴρει, ὁ Υἱὸς τῆς Παρθένου. Προσκυνοῦμέν σου τὴν γέννησιν Χριστέ. Δεῖξον ἡμῖν ϗ τὰ θεῖά σου Θεοφάνεια.

Καὶ νῦν. τὸ αὐτό, ϗ εὐθὺς τὸ Προκείμενον τῆς Προφητείας, ἦχος δ.

Μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.

Ἡ Προφητεία.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Παιδίον ἐγεννήθη ἡμῖν Υἱὸς, καὶ ἐδόθη.

Ζήτει ἔμπροσθεν εἰς τὸν Ἑσπερινὸν τῆς Ἑορτῆς, Ἀνάγνωσμα ζ.

Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοὶ, ὁ ἁγιάζων, ϗ οἱ ἁγιαζόμενοι Κεφ.
ἐξ ἑνὸς πάντες. δι᾽ ἣν αἰτίαν οὐκ ἐπαι- β. 11.
σχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, Λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν· ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾽ αὐτῷ. Καὶ πάλιν· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ



Δημόσια Κεντρική Βιβλιοθήκη

αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου, καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον. Καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν, ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς Ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Ἀναχωρησάντων τῶν Μάγων. Ζήτει ὄπισθεν, Κυριακῇ μετὰ τὴν Χριστοῦ Γέννησιν. Εἶτα·

Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος.

Τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν, Ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία. Τὸ Κοντάκιον, Ἡ Παρθένος σήμερον.

Κύριε ἐλέησον μ'. Καὶ ἡ Δόξα.

Ὁ ἐν παντὶ καιρῷ, τὸ Κύριε ἐλέησον γ'.

Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ὁ Ἱερεύς.

Δι' εὐχῶν τῶν Ἁγίων. Καὶ ὁ Ἀναγνώστης.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας.

Εἶτα τὰ Τυπικὰ χύμα.

Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Καὶ τὰ λοιπά, ὡς συνήθως, μετὰ δὲ τό. Πάτερ ἡμῶν. Ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστι. Τὸ Κοντάκιον. Ἡ Παρθένος σήμερον. Καὶ Ἀπόλυσις.

ΜΗΝΙ ΤΩ ΑΥΤΩ ΚΕ'.

Ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Χρὴ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ Ἑορτὴ τῆς Χριστοῦ Γεννήσεως ἐν Κυριακῇ, οὐδὲν τῶν Ἀναστασίμων ψάλλομεν, ἀλλὰ πάντα τῆς Ἑορτῆς. Περὶ δὲ ὥραν ί. σημαίνει τὸ μέγα· καὶ συναχθέντες, ἀρχόμεθα τοῦ Λυχνικοῦ, προτρεπισθέντος τοῦ Ἱερέως, καὶ τοῦ Διακόνου, ἅπερ ἐστί. καὶ ποιήσαντος τὴν εὐλόγησιν, ἤγουν, Εὐλογημένη ἡ Βασιλεία τοῦ Πατρὸς, ψάλλομεν τὸν Προοιμιακὸν Ψαλμόν. μεθ' ὃν γίνεται Συναπτὴ μεγάλη παρὰ τοῦ Διακόνου, ἢ παρὰ τοῦ Ἱερέως.

Εἶθ' οὕτω τό, Κύριε ἐκέκραξα, εἰς ἦχον β'· ἱστῶμεν δὲ στίχους η'. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα.

Ἦχος β'. Γερμανοῦ.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, τὸ παρὸν μυστήριον ἐκδιηγούμενοι. τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται. ἡ φλογίνη ῥομφαία τὰ νῶτα δίδωσι. καὶ τὰ Χερουβὶμ παραχωρεῖ τοῦ ξύλου τῆς ζωῆς. κἀγὼ τοῦ Παραδείσου τῆς τρυφῆς μεταλαμβάνω, οὗ προεξεβλήθην διὰ τῆς παρακοῆς. ἡ γὰρ ἀπαράλλακτος εἰκὼν τοῦ Πατρὸς, ὁ χαρακτὴρ τῆς ἀϊδιότητος αὐτοῦ, μορφὴν δούλου λαμβάνει, ἐξ ἀπειρογάμου Μητρὸς προελθὼν, οὐ τροπὴν ὑπομείνας. ὃ γὰρ ἦν διέμεινε, Θεὸς ὢν ἀληθινός. καὶ ὃ οὐκ ἦν προσέλαβεν, ἄνθρωπος γενόμενος διὰ φιλανθρωπίαν, αὐτῷ βοήσωμεν· ὁ τεχθεὶς ἐκ Παρθένου Θεὸς, ἐλέησον ἡμᾶς. Δίς.

Ὁ αὐτός. Ἀνατολίου.

Τοῦ Κυρίου Ἰησοῦ γεννηθέντος, ἐκ τῆς Ἁγίας Παρθένου, πεφώτισται τὰ σύμπαντα. Ποιμένων γὰρ ἀγραυλούντων, καὶ Μάγων προσκυνούντων, Ἀγγέλων ἀνυμνούντων, Ἡρώδης ἐταράττετο. ὅτι Θεὸς ἐν σαρκὶ ἐφάνη, Σωτὴρ τῶν ψυχῶν ἡμῶν. Δίς.

Ὁ αὐτός.

Ἡ Βασιλεία σου Χριστὲ ὁ Θεὸς, βασιλεία πάντων τῶν αἰώνων. καὶ ἡ δεσποτεία σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ· ὁ σαρκωθεὶς ἐκ Πνεύματος Ἁγίου, καὶ ἐκ τῆς ἀειπαρθένου Μαρίας ἐνανθρωπήσας. φῶς ἡμῖν ἔλαμψε Χριστὲ ὁ Θεὸς, ἡ σὴ παρουσία. φῶς ἐκ φωτὸς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, πᾶσαν Κτίσιν ἐφαίδρυνε· πᾶσα πνοὴ αἰνεῖ σε, τὸν χαρακτῆρα τῆς δόξης τοῦ Πατρός. ὁ ὢν, καὶ προών, καὶ ἐκλάμψας ἐκ Παρθένου Θεὸς, ἐλέησον ἡμᾶς. Δίς. Ὁ αὐτός.

Τί σοι προσενέγκωμεν Χριστὲ, ὅτι ὤφθης ἐπὶ γῆς, ὡς ἄνθρωπος δι' ἡμᾶς. ἕκαστον γὰρ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, τὴν εὐχαριστίαν σοι προσάγει. οἱ Ἄγγελοι τὸν ὕμνον· οἱ Οὐρανοὶ τὸν ἀστέρα· οἱ Μάγοι τὰ δῶρα· οἱ Ποιμένες τὸ θαῦμα. ἡ γῆ τὸ σπήλαιον· ἡ ἔρημος τὴν φάτνην· ἡμεῖς δὲ, Μητέρα Παρθένον· ὁ πρὸ αἰώνων Θεὸς, ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Ἦχος ὁ αὐτός. Κασσίας.

Αὐγούστου μοναρχήσαντος ἐπὶ τῆς γῆς, ἡ πολυαρχία τῶν ἀνθρώπων ἐπαύσατο.



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ σοῦ ἐνανθρωπήσαντος ἐκ τῆς ἁγνῆς, ἡ πολυθεΐα τῶν εἰδώλων κατήργηται. ὑπὸ μίαν βασιλείαν ἐγκόσμιον, αἱ πόλεις γεγένηνται· καὶ εἰς μίαν δεσποτείαν Θεότητος, τὰ ἔθνη ἐπίστευσαν. ἀπεγράφησαν οἱ λαοί, τῷ δόγματι τοῦ Καίσαρος· ἐπεγράφημεν οἱ πιστοί, ὀνόματι Θεότητος, σοῦ τοῦ ἐνανθρωπήσαντος Θεοῦ ἡμῶν. μέγα σου τὸ ἔλεος, Κύριε δόξα σοι.

Καὶ γίνεται Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν, καὶ τὰ Ἀναγνώσματα κατὰ τὴν τάξιν αὐτῶν, καὶ μετὰ τῶν Τροπαρίων, καὶ τῶν στίχων αὐτῶν.

Γενέσεως τὸ Ἀνάγνωσμα α΄.

ἘΝ ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανόν, καὶ τὴν γῆν. Ἡ δὲ γῆ ἦν ἀόρατος, καὶ ἀκατασκεύαστος· καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς· καὶ ἐγένετο φῶς. Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν. Καὶ διεχώρισεν ὁ Θεὸς ἀναμέσον τοῦ φωτός, καὶ ἀναμέσον τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς, ἡμέραν· καὶ τὸ σκότος ἐκάλεσε νύκτα. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀναμέσον ὕδατος καὶ ὕδατος. Καὶ ἐγένετο οὕτω. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα. Καὶ διεχώρισεν ὁ Θεὸς ἀναμέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος, καὶ ἀναμέσον τοῦ ὕδατος τοῦ ὑποκάτω τοῦ στερεώματος. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα, Οὐρανόν· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα. Καὶ εἶπεν ὁ Θεός· Συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ Οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. Καὶ ἐγένετο οὕτω. καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ Οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηράν, γῆν· καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. καὶ εἶπεν ὁ Θεός· Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος, καὶ καθ᾿ ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ ἐγένετο οὕτω. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος, καὶ καθ᾿ ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη.

Ἀριθμῶν τὸ Ἀνάγνωσμα β΄.

ἘΓένετο Πνεῦμα Θεοῦ ἐπὶ Βαλαάμ. καὶ Κεφ. κδ΄. 2.
ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν· Ὡς καλοί σου οἱ οἶκοι Ἰακώβ. αἱ σκηναί σου Ἰσραήλ. Ὡσεὶ νάπαι σκιάζουσαι, καὶ ὡσεὶ παράδεισοι ἐπὶ ποταμῶν, καὶ ὡσεὶ σκηναὶ ἃς ἔπηξε Κύριος, καὶ ὡσεὶ κέδροι παρ᾿ ὕδατα. Ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν· καὶ ὑψωθήσεται ἡ Βασιλεία αὐτοῦ· καὶ αὐξηθήσεται· Ὁ Θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξα μονοκέρωτος αὐτοῦ. Ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ, καὶ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ, καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρούς. Κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων, καὶ ὡς σκύμνος. τίς ἀναστήσει αὐτόν; Οἱ εὐλογοῦντές σε, εὐλογημένοι· καὶ οἱ καταρώμενοί σε, κεκατήρανται. Ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, καὶ ἀνα- Ἐδά. 17.
στήσεται ἄνθρωπος ἐξ Ἰσραήλ, καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωάβ, καὶ προνομεύσει πάντας τοὺς Υἱοὺς Σήθ. Καὶ ἔσται Ἐδὼμ κληρονομία, καὶ ἔσται κληρονομία Ἡσαῦ ὁ ἐχθρὸς αὐτοῦ· καὶ Ἰσραὴλ ἐποίησεν ἰσχύν.

Προφητείας Μιχαίου τὸ Ἀνάγνωσμα γ΄.

ἘΝ ταῖς ἡμέραις ἐκείναις, λέγει Κύριος. Κεφ. δ΄. 6.
Συνάξω τὴν συντετριμμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι, καὶ οὓς ἀπωσάμην. Καὶ θήσομαι τὴν συντετριμμένην εἰς ὑπόλειμμα, καὶ τὴν ἀπωσμένην εἰς ἔθνος ἰσχυρόν. Καὶ βασιλεύσει Κύριος ἐπ᾿ αὐτοὺς ἐν ὄρει Σιών, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα.
Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Εὐφραθᾶ, μὴ Κεφ. ε΄. 2.
ὀλιγοστὸς εἶ, τοῦ εἶναι ἐν χιλιάσιν Ἰούδα. Ἐκ σοῦ γάρ μοι ἐξελεύσεται, τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραήλ. Καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ᾿ ἀρχῆς, ἐξ ἡμερῶν αἰῶνος. Διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ τικτούσης, τέξεται. καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτοῦ ἐπιστρέψουσιν ἐπὶ τοὺς Υἱοὺς Ἰσραήλ. Καὶ στήσεται, καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν ἰσχύϊ Κύριος. καὶ ἐν τῇ δόξῃ τοῦ ὀνόματος Κυρίου τοῦ Θεοῦ αὐτῶν ὑπάρξουσι· διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς γῆς.

Εἶτα λέγομεν Τροπάριον.
Ἀνιστάμενοι, ἦχος πλ. β΄.

Ἐν Ἀθλῶν ἐτέχθης ὑπὸ τὸ σπήλαιον. ἀλλ' Οὐρανός σε πάλιν ἐκήρυξεν, ὥσπερ στόμα, τὸν ἀστέρα προβαλλόμενος Σωτήρ. καὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

Στίχ. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.
Καὶ ἰδοὺ ἀλλόφυλοι, καὶ Τύρος, καὶ λαός.
Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ Ἀρχόντων.

Δόξα. τὸ τέλος τοῦ Τροπαρίου. Καὶ νῦν τὸ ὅλον. Εἶτα τὰ ἑξῆς Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα δ΄.

Κεφ. ια΄. 31. Τάδε λέγει Κύριος. Ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται· Καὶ ἀναπαύσεται ἐπ' αὐτῷ Πνεῦμα Θεοῦ. Πνεῦμα σοφίας καὶ συνέσεως, Πνεῦμα βουλῆς καὶ ἰσχύος, Πνεῦμα γνώσεως καὶ εὐσεβείας· Ἐμπλήσει αὐτόν, Πνεῦμα φόβου Θεοῦ. Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει· ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπεινοὺς τῆς γῆς· καὶ πατάξει τὴν γῆν τῷ λόγῳ τοῦ στόματος αὐτοῦ, καὶ ἐν Πνεύματι διὰ χειλέων ἀνελεῖ ἀσεβῆ. Καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν αὐτοῦ, καὶ ἀληθείᾳ εἰλημμένος τὰς πλευρὰς αὐτοῦ. Καὶ συμβοσκηθήσεται Λύκος μετὰ Ἀρνός, καὶ Πάρδαλις συναναπαύσεται Ἐρίφῳ, καὶ Μοσχάριον, καὶ Λέων, καὶ Ταῦρος ἅμα βοσκηθήσονται· καὶ ἅμα τὰ παιδία αὐτῶν ἔσονται· Καὶ Λέων ὡς Βοῦς φάγεται ἄχυρα. καὶ παιδίον νήπιον ἐπὶ τρωγλῶν ἀσπίδων· καὶ ἐπὶ κοίτην ἐγκόνων ἀσπίδων τὴν χεῖρα ἐπιβαλεῖ, καὶ οὐ μὴ κακοποιήσουσιν, οὐδὲ μὴ δυνήσονται ἀπολέσαι οὐδένα ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου. Ὅτι ἐνεπλήσθη ἡ σύμπασα γῆ τοῦ γνῶναι τὸν Κύριον, ὡς ὕδωρ πολὺ κατακαλύψαι θαλάσσας. Καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν. ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ τιμή.

Προφητείας Ἱερεμίου τὸ Ἀνάγνωσμα ε΄.

Κεφ. β΄. 35. Οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. Ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. Μετὰ τοῦτο, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Αὕτη ἡ βίβλος τῶν προσταγμάτων τοῦ Θεοῦ, καὶ νόμος ὁ ὑπάρχων εἰς τὸν αἰῶνα. Πάντες οἱ κρατοῦντες αὐτήν, εἰς ζωήν, οἱ δὲ καταλείποντες αὐτήν, ἀποθανοῦνται. Ἐπιστράφου Ἰακώβ, καὶ ἐπιλαβοῦ αὐτῆς. Διόδευσον πρὸς τὴν λάμψιν, κατέναντι τοῦ φωτὸς αὐτῆς. Μὴ δὸς ἑτέρῳ τὴν δόξαν σου, καὶ τὰ συμφέροντά σοι ἔθνει ἀλλοτρίῳ. Μακάριοι ἐσμὲν Ἰσραήλ, ὅτι τὰ ἀρεστὰ τῷ Θεῷ, ἡμῖν γνωστά ἐστί.

Προφητείας Δανιὴλ τὸ Ἀνάγνωσμα ϛ΄.

Κεφ. β΄. 3[1] Εἶπε Δανιὴλ τῷ Ναβουχοδονόσορ. Σὺ Βασιλεῦ ἐθεώρεις, καὶ ἰδοὺ εἰκὼν μία μεγάλη. ἡ εἰκὼν ἐκείνη, καὶ ἡ πρόσοψις αὐτῆς ὑπερφερής, ἑστῶσα πρὸ προσώπου σου· καὶ ἡ ὅρασις αὐτῆς φοβερά. Εἰκών, ἧς ἡ κεφαλὴ χρυσίου καθαροῦ· αἱ χεῖρες, καὶ τὸ στῆθος, καὶ οἱ βραχίονες αὐτῆς, ἀργυροῖ· ἡ κοιλία, καὶ οἱ μηροί, χαλκοῖ. Αἱ κνῆμαι, σιδηραῖ. οἱ πόδες, μέρος μέν τι σιδηροῦν, καὶ μέρος τι ὀστράκινον. Ἐθεώρεις, ἕως οὗ ἀπετμήθη λίθος ἐξ ὄρους ἄνευ χειρῶν, καὶ ἐπάταξε τὴν εἰκόνα ἐπὶ τοὺς πόδας τοὺς σιδηροῦς, καὶ ὀστρακίνους, καὶ ἐλέπτυνεν αὐτοὺς εἰς τέλος. Τότε ἐλεπτύνθησαν ἅπαξ τὸ ὄστρακον, ὁ σίδηρος, ὁ χαλκός, ὁ ἄργυρος, ὁ χρυσός. καὶ ἐγένοντο ὡσεὶ κονιορτὸς ἀπὸ ἅλωνος θερινῆς. καὶ ἐξῆρεν αὐτὰ τὸ πλῆθος τοῦ Πνεύματος, καὶ τόπος οὐχ εὑρέθη ἐν αὐτοῖς, καὶ ὁ λίθος ὁ πατάξας τὴν εἰκόνα, ἐγενήθη εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν. Τοῦτό ἐστι τὸ ἐνύπνιον. καὶ τὴν σύγκρισιν αὐτοῦ ἐροῦμεν ἐνώπιον τοῦ Βασιλέως. Ἀναστήσει ὁ Θεὸς τοῦ Οὐρανοῦ βασιλείαν, ἥτις εἰς τὸν αἰῶνα οὐ διαφθαρήσεται· καὶ ἡ βασιλεία αὐτοῦ λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται· καὶ λεπτυνεῖ, καὶ λικμήσει πάσας τὰς βασιλείας· καὶ αὐτὴ ἀναστήσεται εἰς τοὺς αἰῶνας. Ὃν τρόπον εἶδες ὅτι ἀπὸ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν, καὶ ἐλέπτυνε τὸν ὄστρακον, τὸν σίδηρον, τὸν χαλκόν, τὸν ἄργυρον, τὸν χρυσόν. Ὁ Θεὸς ὁ μέγας ἐγνώρισε τῷ Βασιλεῖ, ἃ δεῖ γενέσθαι μετὰ ταῦτα. καὶ ἀληθινὸν τὸ ἐνύπνιον, καὶ πιστὴ ἡ σύγκρισις αὐτοῦ.

Τροπάριον, ἦχος πλ. β΄.

Ἀνέτειλας Χριστὲ ἐκ Παρθένου, νοητὲ Ἥλιε τῆς δικαιοσύνης· καὶ ἀστήρ σε ὑπέ-

δαξεν, ἐν σπηλαίῳ χωρούμενον τὸν ἀχώρητον, Μάγους ὁδηγήσας, εἰς προσκύνησίν σου. μεθ' ὧν σε μεγαλύνομεν, ζωοδότα δόξα σοι.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Ἐπῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοί.

Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης.

Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε.

Δόξα, τὸ τέλος τοῦ Τροπαρίου. Καὶ νῦν. τὸ ὅλον. Εἶτα, τὰ ἐφεξῆς Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα. Ζ.

Κεφ. θ. 9. Παιδίον ἐγεννήθη ἡμῖν, Υἱὸς, καὶ ἐδόθη ἡμῖν. Οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς Ἄγγελος· Θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, Ἄρχων εἰρήνης, Πατὴρ τοῦ μέλλοντος αἰῶνος. Ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς Ἄρχοντας, εἰρήνην καὶ ὑγείαν αὐτῶν. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον. Ἐπὶ τὸν θρόνον Δαβὶδ, καὶ ἐπὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτὴν, καὶ ἀντιλαβέσθαι αὐτῆς ἐν κρίματι καὶ δικαιοσύνῃ, ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα. Ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. ζ. 11. Προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων· Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος. καὶ εἶπεν Ἄχαζ· Οὐ μὴ αἰτήσω, οὐδ' οὐ μὴ πειράσω Κύριον. Καὶ εἶπεν Ἡσαΐας· ἀκούσατε δὴ οἶκος Δαβίδ. μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει Κύριος αὐτὸς ἡμῖν σημεῖον. Ἰδοὺ ἡ Παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται Υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Βούτυρον καὶ μέλι φάγεται· πρὶν ἢ γνῶναι αὐτὸν, ἢ προελέσθαι πονηρὰ, ἐκλέξεται τὸ ἀγαθόν. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν, ἢ κακὸν, ἀπειθεῖ πονηρίαν, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν.

Κεφ. η. 1. Καὶ εἶπε Κύριος πρός με· λάβε σεαυτῷ τόμον καινὸν μέγαν, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων. Πάρεστι γάρ. καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, τὸν Οὐρίαν τὸν Ἱερέα, καὶ Ζαχαρίαν τὸν Υἱὸν Βαραχίου. καὶ προσῆλθον πρὸς τὴν Προφῆτιν· καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν Υἱόν. καὶ εἶπέ μοι Κύριος, κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν Πατέρα, ἢ Μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι Βασιλέως Ἀσσυρίων. Μεθ' ἡμῶν ὁ Θεὸς, γνῶτε ἔθνη, καὶ ἡττᾶσθε. ἐπακούσατε ἕως ἐσχάτου τῆς γῆς. ἰσχυκότες ἡττᾶσθε. Ἐὰν γὰρ πάλιν ἰσχύσητε, καὶ πάλιν ἡττηθήσεσθε. Καὶ ἣν ἂν βουλὴν βουλεύσησθε, διασκεδάσει Κύριος, καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεός.

Μετὰ δὲ τὴν τῶν Ἀναγνωσμάτων συμπλήρωσιν, γίνεται Ἐκτενὴς, καὶ μετὰ τὴν Ἐκφώνησιν, ψάλλεται τὸ Τρισάγιον.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος α.

Κύριος εἶπε πρός με, Υἱός μου εἶ σύ.

Στίχ. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη.

Ὁ Ἀπόστολος· Πρὸς Ἑβραίους Ἐπιστολῆς.

Πολυμερῶς καὶ πολυτρόπως πάλαι ὁ Θεὸς, λαλήσας τοῖς Πατράσιν ἐν τοῖς Προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων, ἐλάλησεν ἡμῖν ἐν Υἱῷ· ὃν ἔθηκε κληρονόμον πάντων. δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν. Ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. Τοσούτῳ κρείττων γενόμενος τῶν Ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα. Τίνι γὰρ εἶπέ ποτε τῶν Ἀγγέλων, Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; καὶ πάλιν· Ἐγὼ ἔσομαι αὐτῷ εἰς Πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς Υἱόν. ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν Οἰκουμένην, λέγει· καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ. Καὶ πρὸς μὲν τοὺς Ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ Πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. πρὸς δὲ τὸν Υἱόν· ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς Βασιλείας σου. ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς, ὁ Θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Καὶ σὺ κατ' ἀρχὰς Κύριε, τὴν Κεφ. α. 1.



Δημόσια Κεντρική Βιβλιοθήκη

γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ οὐρανοί. Αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται· καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται. Σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι. Πρὸς τίνα δὲ τῶν Ἀγγέλων εἴρηκέ ποτε; κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. οὐχὶ πάντες εἰσὶ λειτουργικὰ Πνεύματα, εἰς διακονίαν ἀποστελλόμενα, διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν;
Κεφ. β'. 1. Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μήποτε παραῤῥυῶμεν. Εἰ γὰρ ὁ δι' Ἀγγέλων λαληθεὶς λόγος ἐγένετο βέβαιος. καὶ πᾶσα παράβασις, καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν· πῶς ἡμεῖς ἐκφευξόμεθα, τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη.

Ἀλληλούϊα. Ἦχος πλ. δ'.

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου κάθου.

Στ. Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος.

Στ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. β'. 1. Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐξῆλθε δόγμα παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν Οἰκουμένην. (Αὕτη ἡ ἀπογραφὴ πρώτη ἐγένετο, ἡγεμονεύοντος τῆς Συρίας Κυρηνίου·) Καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἰδίαν πόλιν. Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ πόλεως Ναζαρὲτ εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαβὶδ, ἥτις καλεῖται Βηθλεέμ, (διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς Δαβὶδ,) ἀπογράψασθαι σὺν Μαριὰμ τῇ μεμνηστευμένῃ αὐτῷ γυναικὶ, οὔσῃ ἐγκύῳ. Ἐγένετο δὲ ἐν τῷ εἶναι αὐτοὺς ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν. Καὶ ἔτεκε τὸν Υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν, καὶ ἀνέκλινεν αὐτὸν ἐν τῇ φάτνῃ. διότι οὐκ ἦν αὐτοῖς τόπος ἐν τῷ καταλύματι. Καὶ Ποιμένες ἦσαν ἐν τῇ χώρᾳ τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν. Καὶ ἰδοὺ, Ἄγγελος Κυρίου ἐπέστη αὐτοῖς, καὶ δόξα Κυρίου περιέλαμψεν αὐτούς· καὶ ἐφοβήθησαν φόβον μέγαν. Καὶ εἶπεν αὐτοῖς ὁ Ἄγγελος· μὴ φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην, ἥτις ἔσται παντὶ τῷ λαῷ· Ὅτι ἐτέχθη ὑμῖν σήμερον Σωτὴρ, ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαβίδ. Καὶ τοῦτο ὑμῖν τὸ σημεῖον. εὑρήσετε βρέφος ἐσπαργανωμένον, κείμενον ἐν τῇ φάτνῃ. Καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ Ἀγγέλῳ, πλῆθος στρατιᾶς οὐρανίου, αἰνούντων τὸν Θεὸν, καὶ λεγόντων· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. Καὶ ἐγένετο, ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν Οὐρανὸν οἱ Ἄγγελοι, καὶ οἱ ἄνθρωποι οἱ Ποιμένες εἶπον πρὸς ἀλλήλους. διέλθωμεν δὴ ἕως Βηθλεέμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γεγονὸς, ὃ ὁ Κύριος ἐγνώρισεν ἡμῖν. Καὶ ἦλθον σπεύσαντες, καὶ ἀνεῦρον τήν τε Μαριὰμ, καὶ τὸν Ἰωσὴφ, καὶ τὸ βρέφος κείμενον ἐν τῇ φάτνῃ. Ἰδόντες δὲ, διεγνώρισαν περὶ τοῦ ῥήματος τοῦ λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου. Καὶ πάντες οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν Ποιμένων πρὸς αὐτούς. Ἡ δὲ Μαριὰμ πάντα συνετήρει τὰ ῥήματα ταῦτα, συμβάλλουσα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ ὑπέστρεψαν οἱ Ποιμένες, δοξάζοντες, καὶ αἰνοῦντες τὸν Θεὸν ἐπὶ πᾶσιν οἷς ἤκουσαν, καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς.

Καὶ καθ' ἑξῆς ἡ Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Περὶ δὲ ὥραν Α'. Τῆς νυκτὸς σημαίνει ὡς ἔθος ἐστί· καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ, καὶ ἀρχόμεθα τῶν Ἀποδείπνων κατὰ τὴν συνήθειαν. καὶ μετὰ τὸ, Δόξα ἐν ὑψίστοις, ἀρχόμεθα τῆς Λιτῆς.

Εἰς τὴν Λιτὴν Στιχηρὰ Ἰδιόμελα, ἦχος α'.

Ἰωάννου Μοναχοῦ.

Ὁ Οὐρανὸς καὶ ἡ γῆ, σήμερον προφητικῶς εὐφραινέσθωσαν. Ἄγγελοι καὶ ἄνθρωποι, πνευματικῶς πανηγυρίσωμεν, ὅτι Θεὸς ἐν σαρκὶ ἐπέφανε, τοῖς ἐν σκότει καὶ σκιᾷ καθημένοις, γεννηθεὶς ἐκ γυναικός. σπήλαιον καὶ φάτνη, ὑπεδέξατο αὐτόν. Ποιμένες τὸ θαῦμα ἀνακηρύττουσι. Μάγοι ἐξ ἀνατολῶν, ἐν Βηθλεὲμ δῶρα προσάγουσιν. ἡμεῖς δὲ τὸν αἶνον ἀναξίοις χείλεσιν, ἀγγελικῶς αὐτῷ προσάξωμεν. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

εἰρήνη. ἦλθε γὰρ ἡ προσδοκία τῶν ἐθνῶν. ἦλθεν ἔσωσεν ἡμᾶς, ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ.

Ὁ αὐτὸς, τὸ αὐτό.

Ὁ Οὐρανὸς καὶ ἡ γῆ, σήμερον ἡνώθησαν, τεχθέντος τοῦ Χριστοῦ· σήμερον Θεὸς, ἐπὶ γῆς παραγέγονε, καὶ ἄνθρωπος, εἰς Οὐρανοὺς ἀναβέβηκε. σήμερον ὁρᾶται σαρκὶ, ὁ φύσει ἀόρατος, διὰ τὸν ἄνθρωπον. διὰ τοῦτο καὶ ἡμεῖς δοξολογοῦντες, βοήσωμεν αὐτῷ· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. ἐβράβευσε γὰρ ἡ παρουσία σου, Σωτὴρ ἡμῶν δόξα σοι.

Ὁ αὐτὸς, τὸ αὐτό.

Δόξα ἐν ὑψίστοις Θεῷ, ἐν Βηθλεὲμ ἀκούω ὑπὸ ἀσωμάτων σήμερον, τῷ ἐπὶ γῆς εἰρήνην, εὐδοκήσαντι γενέσθαι. νῦν ἡ Παρθένος, Οὐρανῶν πλατυτέρα. ἐξανέτειλε γὰρ φῶς τοῖς ἐσκοτισμένοις, καὶ ταπεινοὺς ὕψωσε, τοὺς ἀγγελικῶς μελῳδοῦντας· Δόξα ἐν ὑψίστοις Θεῷ.

Ὁ αὐτός.

Τὸν κατ' εἰκόνα καὶ ὁμοίωσιν, ῥαγέντα ἐκ παραβάσεως, ἰδὼν ὁ Ἰησοῦς· κλίνας Οὐρανοὺς, κατέβη, καὶ ᾤκησεν ἐν μήτρᾳ παρθενικῇ ἀναλλοιώτως· ἵνα ἐν αὐτῇ, τὸν φθαρέντα Ἀδὰμ, ἀναπλάσῃ κράζοντα· Δόξα τῇ ἐπιφανείᾳ σου, ὁ λυτρωτής μου καὶ Θεός.

Δόξα. Ἦχος πλ. α'. Ἰωάννου Μοναχοῦ.

Μάγοι Περσῶν Βασιλεῖς, ἐπιγνόντες σαφῶς, τὸν ἐπὶ γῆς τεχθέντα Βασιλέα οὐράνιον· ὑπὸ λαμπροῦ ἀστέρος ἑλκόμενοι, ἔφθασαν ἐν Βηθλεὲμ, δῶρα προσφέροντες ἔγκριτα, χρυσὸν καὶ λίβανον καὶ σμύρναν· καὶ πεσόντες προσεκύνησαν. εἶδον γὰρ ἐν τῷ σπηλαίῳ, βρέφος κείμενον τὸν ἄχρονον.

Καὶ νῦν, ἦχος πλ. β'. Γερμανοῦ.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν Οὐρανῷ, καὶ ἀγάλλονται σήμερον. σκιρτᾷ δὲ πᾶσα ἡ Κτίσις, διὰ τὸν γεννηθέντα ἐν Βηθλεὲμ Σωτῆρα Κύριον: ὅτι πᾶσα πλάνη, τῶν εἰδώλων πέπαυται, καὶ βασιλεύει Χριστὸς εἰς τοὺς αἰῶνας.

Μετὰ δὲ τὸ πέρας τῆς συνήθους Λιτῆς, ἐρχόμεθα ἐν τῷ Ναῷ, ψάλλοντες ταῦτα τὰ ἰδιόμελα, ἦχος α'. Γερμανοῦ.

Μέγα καὶ παράδοξον θαῦμα, τετέλεσται σήμερον. Παρθένος τίκτει, καὶ μήτρα οὐ φθείρεται. ὁ Λόγος σαρκοῦται, καὶ τοῦ Πατρὸς οὐ κεχώρισται. Ἄγγελοι μετὰ Ποιμένων δοξάζουσι, καὶ ἡμεῖς σὺν αὐτοῖς ἐκβοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Ἦχος γ'. Τὸ αὐτό.

Σήμερον τίκτει ἡ Παρθένος, τὸν Ποιητὴν τοῦ παντός. Ἐδὲμ προσφέρει σπήλαιον, καὶ ἀστὴρ μηνύει Χριστὸν, τὸν Ἥλιον τοῖς ἐν σκότει. μετὰ δώρων Μάγοι προσεκύνησαν, πίστει φωτιζόμενοι. καὶ Ποιμένες εἶδον τὸ θαῦμα, Ἀγγέλων ἀνυμνούντων καὶ λεγόντων· Δόξα ἐν ὑψίστοις Θεῷ.

Στίχ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου.

Ὁ αὐτὸς. Ἀνατολικόν.

Τοῦ Κυρίου Ἰησοῦ γεννηθέντος, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐξ ἀνατολῶν ἐλθόντες Μάγοι, προσεκύνησαν, Θεὸν ἐνανθρωπήσαντα. καὶ τοὺς θησαυροὺς αὐτῶν προθύμως ἀνοίξαντες, δῶρα τίμια προσέφερον, δόκιμον χρυσὸν ὡς Βασιλεῖ τῶν αἰώνων· καὶ λίβανον, ὡς Θεῷ τῶν ὅλων· ὡς τριημέρῳ δὲ νεκρῷ, σμύρναν τῷ ἀθανάτῳ. πάντα τὰ ἔθνη, δεῦτε προσκυνήσωμεν, τῷ τεχθέντι, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος δ'. Ἰωάννου Μοναχοῦ.

Εὐφράνθητι Ἱερουσαλὴμ, καὶ πανηγυρίσατε πάντες οἱ ἀγαπῶντες Σιών. σήμερον ὁ χρόνιος ἐλύθη δεσμὸς, τῆς καταδίκης τοῦ Ἀδάμ. ὁ Παράδεισος ἡμῖν ἠνεῴχθη, ὁ ὄφις κατηργήθη. ἣν γὰρ ἠπάτησε πρώην, νῦν ἐθεάσατο, τοῦ Δημιουργοῦ γενομένην Μητέρα. ὢ βάθος πλούτου, καὶ σοφίας καὶ γνώσεως Θεοῦ. ἡ προξενήσασα τὸν θάνατον πάσῃ σαρκὶ, τῆς ἁμαρτίας τὸ ὄργανον, σωτηρίας ἀπαρχὴ ἐγένετο τῷ Κόσμῳ παντὶ, διὰ τῆς Θεοτόκου. βρέφος γὰρ τίκτεται ἐξ αὐτῆς, ὁ παντέλειος Θεός. καὶ διὰ τοῦ τόκου, παρθενίαν σφραγίζει· σειρὰς ἁμαρτημάτων, λύων διὰ σπαργάνων. καὶ διὰ νηπιότητος, τῆς Εὔας θεραπεύει τὰς ἐν λύπαις ὠδῖνας. χορευέτω τοίνυν πᾶσα ἡ Κτίσις, καὶ σκιρτάτω. ἀνακαλέσαι γὰρ αὐτὴν, παραγέγονε Χριστὸς, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, ἦχος ὁ αὐτός. Ἀνατολικόν.

Σπηλαίῳ παρῴκησας, Χριστὲ ὁ Θεός. φάτνη σε ὑπεδέξατο. Ποιμένες δὲ καὶ Μάγοι προσεκύνησαν. τότε δὴ τῶν Προφητῶν, ἐπληροῦτο τὸ κήρυγμα. καὶ Ἀγγέλων αἱ δυνάμεις ἐθαύμαζον, βοῶσαι καὶ λέγουσαι· δόξα τῇ συγκαταβάσει σου, μόνε φιλάνθρωπε.

Νῦν Ἀπολύεις. Τὸ Τρισάγιον.

Καὶ τὸ Ἀπολυτίκιον. Ἦχος δ΄. ἐκ γ΄.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε τῷ Κόσμῳ τὸ φῶς τὸ τῆς γνώσεως. ἐν αὐτῇ γὰρ οἱ τοῖς ἄστροις λατρεύοντες, ὑπὸ ἀστέρος ἐδιδάσκοντο, σὲ προσκυνεῖν τὸν Ἥλιον τῆς δικαιοσύνης· καὶ σὲ γινώσκειν ἐξ ὕψους ἀνατολήν. Κύριε δόξα σοι.

Τὸ αὐτὸ καὶ εἰς τὸ, Θεὸς Κύριος. ἡ συνήθης εὐλόγησις τῶν ἄρτων· καὶ μεταλαμβάνομεν ἐξ αὐτῶν πάντες οἱ Ἀδελφοὶ, εἰς ἁγιασμὸν ψυχῆς καὶ σώματος. καὶ γίνεται ἀνάγνωσις εἰς τὸ κατὰ Ματθαῖον, Λόγος δ΄. καὶ μετὰ τὴν ἀνάγνωσιν, ὁ Ἑξάψαλμος, τὸ, Θεὸς Κύριος. τροπάριον. Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεός. εἶτα στιχολογοῦμεν.

Μετὰ τὴν α΄. στιχολ. Καθισμ. ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Δεῦτε ἴδωμεν πιστοὶ, ποῦ ἐγεννήθη ὁ Χριστός. ἀκολουθήσωμεν λοιπὸν ἔνθα ὁδεύει ὁ ἀστὴρ, μετὰ τῶν Μάγων Ἀνατολῆς τῶν Βασιλέων. Ἄγγελοι ὑμνοῦσιν, ἀκαταπαύστως ἐκεῖ. ποιμένες ἀγραυλοῦσιν, ᾠδὴν ἐπάξιον. Δόξα ἐν ὑψίστοις λέγοντες, τῷ σήμερον ἐν τῷ σπηλαίῳ τεχθέντι, ἐκ τῆς Παρθένου καὶ Θεοτόκου, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. Δίς.

Ἕτερον Καθισμ. μετὰ τὴν β΄. στιχολ. ἦχος ὁ αὐτός.

Τί θαυμάζεις Μαριάμ; τί ἐκθαμβεῖσαι τὸ ἐν σοί; ὅτι ἄχρονον Υἱὸν, χρόνῳ ἐγέννησα φησὶ, τοῦ τικτομένου τὴν σύλληψιν μὴ διδαχθεῖσα. ἄνανδρος εἰμὶ, καὶ πῶς τέξω Υἱόν; ἄσπορον γονὴν τίς ἑώρακεν, ὅπου Θεὸς γὰρ βούλεται, νικᾶται φύσεως τάξις, ὡς γέγραπται. Χριστὸς ἐτέχθη, ἐκ τῆς Παρθένου, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. Δίς.

Ἕτερον μετὰ τὸν Πολυέλεον, Ὅμοιον.

Ὁ Ἀχώρητος παντὶ, πῶς ἐχωρήθη ἐν γαστρί; ὁ ἐν κόλποις τοῦ Πατρὸς, πῶς ἐν ἀγκάλαις τῆς Μητρός; πάντως ὡς οἶδεν, ὡς ἠθέλησε, καὶ ὡς ηὐδόκησεν. ἄσαρκος γὰρ ὢν, ἐσαρκώθη ἑκών· καὶ γέγονεν ὁ ὢν, ὃ οὐκ ἦν δι' ἡμᾶς. καὶ μὴ ἐκστὰς τῆς φύσεως, μετέσχε τοῦ ἡμετέρου φυράματος. διπλοῦς ἐτέχθη, Χριστὸς τὸν ἄνω, Κόσμον θέλων ἀναπληρῶσαι. Δίς.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Ἐκ γαστρὸς πρὸ ἑωσφόρου.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Τὸ Εὐαγγέλιον. ζήτει εἰς τὴν α΄. ὥραν ὁ Ν΄. Δόξα.

Τὰ σύμπαντα σήμερον χαρᾶς πληροῦνται, Χριστοῦ τεχθέντος ἐκ τῆς Παρθένου.

Καὶ νῦν, τὸ αὐτό.

Εἶτα Στίχ. Ἐλέησόν με ὁ Θεός. καὶ ψάλλομεν, τὸ παρὸν ἰδιόμελον, ἦχος πλ. β΄.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. σήμερον δέχεται ἡ Βηθλεὲμ, τὸν καθήμενον διαπαντὸς σὺν Πατρί· σήμερον Ἄγγελοι τὸ Βρέφος τὸ τεχθὲν, θεοπρεπῶς δοξολογοῦσι· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Καὶ εὐθὺς οἱ Κανόνες· τοῦ Κυρίου Κοσμᾶ, καὶ τοῦ Κυρίου Ἰωάννου, τοὺς Εἱρμοὺς, ἀνὰ δύο. τὰ δὲ Τροπάρια, ὁμοῦ εἰς ιβ΄.

Ὕστερον δὲ πάλιν τοὺς Εἱρμοὺς, πρὸς μίαν. Ὁ Κανὼν, φέρων ἀκροστιχίδα τήνδε.

Χριστὸς βροτωθεὶς, ἦν ὅπερ Θεὸς μένει.

Ὠδὴ α΄. ἦχος α΄. Ὁ Εἱρμός.

Χριστὸς γεννᾶται, δοξάσατε. Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε. Χριστὸς ἐπὶ γῆς, ὑψώθητε· ᾄσατε τῷ Κυρίῳ, πᾶσα ἡ γῆ· καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοὶ, ὅτι δεδόξασται.

Ῥεύσαντα ἐκ παραβάσεως, Θεοῦ τὸν κατ' εἰκόνα γενόμενον. ὅλον τῆς φθορᾶς ὑπάρξαντα, κρείττονος ἐκπεπτωκότα, θείας ζωῆς, αὖθις ἀναπλάττει, ὁ σοφὸς δημιουργὸς, ὅτι δεδόξασται.

Ἰδὼν ὁ Κτίστης ὀλλύμενον, τὸν ἄνθρωπον χερσὶν ὃν ἐποίησε· κλίνας Οὐρανοὺς κατέρχεται· τοῦτον δὲ ἐκ Παρθένου, θείας Ἁγνῆς, ὅλον οὐσιοῦται, ἀληθείᾳ σαρκωθεὶς, ὅτι δεδόξασται.

Σοφία Λόγος καὶ Δύναμις, Υἱὸς ὢν τοῦ Πατρὸς, καὶ ἀπαύγασμα· Χριστὸς ὁ Θεὸς δυνάμεις λαθὼν, ὅσας ὑπερκοσμίους, ὅσας ἐν γῇ· καὶ ἐνανθρωπήσας, ἀνεκτήσατο ἡμᾶς, ὅτι δεδόξασται.

Ἕτερος Κανὼν Ἰαμβικὸς, φέρων ἀκροστιχίδα τήνδε, διὰ στίχ. Ἡρωϊκῶν.

Εὐεπίης μελέεσσιν ἐφύμνια ταῦτα λιγαίνει.
Υἷα Θεοῦ, μερόπων εἵνεκα τικτόμενον·
Ἐν χθονί· καὶ λύοντα πολύστονα πήματα Κόσμου.
Ἀλλ' Ἄνα· ῥητῆρας ῥύεο τῶνδε πόνων.

Ὠδὴ α΄. ἦχος ὁ αὐτός. Ποίημα Κυρίου Ἰωάννου Μοναχοῦ. Ὁ Εἱρμός.

Σῶσε λαὸν, θαυματουργῶν Δεσπότης,
Ὑγρὸν θαλάσσης κῦμα χερσώσας πάλαι.
Ἑκὼν δὲ τεχθεὶς ἐκ Κόρης, τρίβον βατὴν,
Πόλου τίθησιν ἡμῖν· ὃν κατ' οὐσίαν,
Ἶσον τῷ Πατρὶ, καὶ βροτοῖς δοξάσωμεν.
Ἤνεγκε γαστὴρ ἡγιασμένη Λόγον,
Σαφῶς ἀφλέκτῳ ζωγραφουμένη βάτῳ.
Μιγέντα μορφῇ τῇ βροτησίᾳ Θεὸν,
Εὔας ταλαίνης νηδὺν ἀρᾶς τῆς πάλαι,
Λύοντα πικρᾶς· ὃν βροτοὶ δοξάσωμεν.
Ἔδειξεν ἀστὴρ τὸν πρὸ Ἡλίου Λόγον.
Ἐλθόντα παῦσαι τὴν ἁμαρτίαν Μάγοις,
Σαφῶς πενιχρὸν εἰς σπέος τὸν συμπαθῆ,
Σὲ σπαργάνοις ἑλικτόν· ὃν γεγηθότες,
Ἴδον τὸν αὐτὸν, καὶ βροτὸν καὶ Κύριον.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Ὁ τῆς ἐπιπνοίας, μετασχὼν τῆς ἀμείνω Ἀδὰμ χοϊκὸς, καὶ πρὸς φθορὰν κατολισθήσας, γυναικείᾳ ἀπάτῃ, Χριστὸν γυναικὸς βοᾷ ἐξ ὁρῶν· ὁ δι' ἐμὲ κατ' ἐμὲ γεγονὼς, Ἅγιος εἶ Κύριε.

Σύμμορφος πηλίνης, ἀτελοῦς διαρτίας Χριστὲ γεγονώς· καὶ μετοχῇ σαρκὸς τῆς χείρω, μεταδοὺς θείας φύτλης, βροτὸς πεφυκὼς, καὶ μένων Θεὸς, καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Βηθλεὲμ εὐφραίνου, Ἡγεμόνων Ἰούδα βασίλεια· τὸν Ἰσραὴλ γὰρ ὁ ποιμαίνων, Χερουβὶμ ὁ ἐπ' ὤμων, ἐκ σοῦ προελθὼν Χριστὸς ἐμφανῶς, καὶ ἀνυψώσας τὸ κέρας ἡμῶν, πάντων ἐβασίλευσε.

Ἄλλος.

Νεῦσον πρὸς ὕμνους, οἰκετῶν Εὐεργέτα,
Ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀφρύν.
Φέρων τε Παντεπόπτα τῆς ἁμαρτίας,
Ὕπερθεν ἀκλόνητον ἐστηριγμένους.
Μάκαρ μελῳδοὺς, τῇ βάσει τῆς πίστεως.
Νύμφης Πανάγνου, τὸν πανόλβιον Τόκον,
Ἰδὼν ὑπὲρ νοῦν ἠξιωμένος χορὸς,
Ἄγραυλος ἐκλονεῖτο τῷ ξένῳ τρόπῳ·
Τάξιν μελῳδοῦσάν τε τῶν Ἀσωμάτων,
Ἄνακτα Χριστὸν, ἀσπόρως σαρκούμενον.
Ὕψους ἀδύτων Οὐρανῶν εὐσπλαγχνίᾳ,
Τελεῖ καθ' ἡμᾶς ἐξ ἀνυμφεύτου Κόρης.
Ἄϋλος ὢν τὸ πρόσθεν, ἀλλ' ἐπ' ἐσχάτων,
Λόγος παχυνθεὶς σαρκὶ τὸν πεπτωκότα,
Ἵνα πρὸς αὐτὸν, ἑλκύσῃ πρωτόκτιστον.

Ἡ Ὑπακοή, ἦχος πλ. δ'.

Τὴν ἀπαρχὴν τῶν ἐθνῶν, ὁ Οὐρανός σοι προσεκόμισε, τῷ κειμένῳ νηπίῳ ἐν φάτνῃ, δι' ἀστέρος τοὺς Μάγους καλέσας, οὓς καὶ κατέπληττεν, οὐ σκῆπτρα καὶ θρόνοι, ἀλλ' ἐσχάτη πτωχεία. τί γὰρ εὐτελέστερον σπηλαίου; τί δὲ ταπεινότερον σπαργάνων; ἐν οἷς διέλαμψεν ὁ τῆς Θεότητός σου πλοῦτος· Κύριε δόξα σοι.

Γίνεται ὅτε, ὅτε λέγομεν Ὑπακοὴν, καὶ οὐ λέγομεν, ὡς ἐν τῷ Τυπικῷ εὑρήσεις, καὶ πάλιν, εἰς δόξα τὸ Προεόρτιον. Κάθ. ἦχος πλ. δ'.

Τὸ προσαχθέν.

Ἀγαλλιάσθω Οὐρανὸς, γῆ εὐφραινέσθω. ὅτι ἐτέχθη ἐπὶ γῆς, ὁ Ἀμνὸς τοῦ Θεοῦ, παρέχων τῷ Κόσμῳ τὴν ἀπολύτρωσιν, ὁ Λόγος, ὁ ἐν τοῖς κόλποις ὢν τοῦ Πατρὸς, προῆλθεν ἐκ τῆς Παρθένου, ἄνευ σπορᾶς. ὃν οἱ Μάγοι ἐδέξαντο, ὁρῶντες ἐν Βηθλεέμ, τικτόμενον ὡς νήπιον, ὃν δοξάζει τὰ σύμπαντα.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐξ αὐτῆς Χριστὲ, ἐκ τῆς Παρθένου ἀνεβλάστησας· ἐξ ὄρους ὁ αἰνετὸς, κατασκίου δασέος· ἦλθες σαρκωθεὶς ἐξ ἀπειράνδρου, ὁ ἄϋλος καὶ Θεός· δόξα τῇ δυνάμει σου Κύριε.

Ὃν πάλαι προεῖπεν Ἰακώβ, ἐθνῶν ἀπεκδοχὴν Χριστὲ, φυλῆς Ἰούδα ἐξανέτειλας. καὶ δύναμιν Δαμασκοῦ, Σαμαρείας σκῦλά τε, ἦλθες προνομεύσας, πλάνην τρέπων, εἰς πίστιν θεοπρεπῆ· δόξα τῇ δυνάμει σου Κύριε.

Τοῦ Μάντεως πάλαι Βαλαάμ, τῶν λόγων μυστὰς σοφοὺς, ἀστεροσκόπους χαρᾶς ἔπλησας, ἀστὴρ ἐκ τοῦ Ἰακὼβ, ἀνατείλας Δέσποτα. ἐθνῶν ἀπαρχὴν εἰσαγομένους, ἐδέξω δὲ προφανῶς, δῶρά σοι δεκτὰ προσκομίζοντας.

Ὡς πόκῳ γαστρὶ παρθενικῇ, κατέβης ὑετὸς Χριστὲ, καὶ ὡς σταγόνες ἐν γῇ στάζουσαι. Αἰθίοπες καὶ Θαρσεῖς, καὶ Ἀράβων νῆσοί τε, Σαβὰ Μήδων πάσης γῆς κρατοῦντες, προσέπεσόν σοι Σωτήρ· δόξα τῇ δυνάμει σου Κύριε.

Ἄλλος.

Ἔνθους βροτοῖς τὴν ἀνάπλασιν πάλαι,
Ἄδων Προφήτης Ἀββακοὺμ προμηνύει.
Ἰδεῖν ἀφράστως, ἀξιωθεὶς τὸν τύπον.



Δημόσια Κεντρική Βιβλιοθήκη

Νέον βρέφος γὰρ ἐξ Ὄρους τῆς Παρθένου.
Ἐξῆλθε λαῶν, εἰς ἀνάπλασιν Λόγος.
Ἴσος προῆλθες, τοῖς βροτοῖς ἑκουσίως.
Ὕψισε σάρκα, προσλαβὼν ἐκ Παρθένου,
Ἰὸν καθάραι τῆς δρακοντίας κάρας,
Ἄγων ἅπαντας πρὸς σέλας ζωηφόρον,
Θεὸς πεφυκὼς, ἐκ πυλῶν ἀνηλίων.
Ἔθνη τὰ πρόσθεν, τῇ φθορᾷ βεβυσμένα,
Ὄλεθρον ἄρδην, δυσμενοῦς πεφευγότα,
Ὑψοῦτε χεῖρας σὺν κρότοις ἐφυμνίοις,
Μόνον σέβοντα Χριστὸν ὡς εὐεργέτην,
Ἐν τοῖς καθ᾽ ἡμᾶς, συμπαθῶς ἀφιγμένον.
Ῥίζης φυεῖσα τοῦ Ἰεσσαὶ Παρθένε,
Ὅρους παρῆλθες τῶν βροτῶν τῆς οὐσίας,
Πατρὸς τεκοῦσα τὸν πρὸ αἰώνων Λόγον.
Ὡς ηὐδόκησεν αὐτὸς ἐσφραγισμένην,
Νηδὺν διελθεῖν, τῇ κενώσει τῇ ξένῃ.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης βουλῆς σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέσταλκας ἡμῖν· ὅθεν Θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες· ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν σε φιλάνθρωπε.

Ἐν δούλοις τοῦ Καίσαρος δόγματι, ἀπεγράφης πεισθήσας, καὶ δούλους ἡμᾶς, ἐχθροῦ καὶ ἁμαρτίας ἠλευθέρωσας Χριστέ· ὅλον τὸ καθ᾽ ἡμᾶς δὲ πτωχεύσας, καὶ χοϊκὸν, ἐξ αὐτῆς ἑνώσεως, καὶ κοινωνίας ἐθεούργησας.

Ἰδοὺ ἡ Παρθένος, ὡς πάλαι φησὶν, ἐν γαστρὶ συλλαβοῦσα ἐκύησε, Θεὸν ἐνανθρωπήσαντα, καὶ μένει Παρθένος. δι᾽ ἧς καταλλαγέντες, Θεῷ οἱ ἁμαρτωλοὶ, Θεοτόκον κυρίως οὖσαν, ἐν πίστει ἀνυμνήσωμεν. Ἄλλος.

Ἐκ νυκτὸς ἔργων ἐσκοτισμένης πλάνης,
Ἱλασμὸς ἡμῖν Χριστὲ τοῖς ἐγρηγόρως,
Νῦν σοι τελοῦσιν ὕμνον ὡς εὐεργέτῃ·
Ἔλθοις πορίζων, εὐχερῆ τε τὴν τρίβον.
Καθ᾽ ἣν ἀνατρέχοντες, εὕροιμεν κλέος.
Ἤπιως ἔχθος τὸ πρὸς αὐτὸν Δεσπότης,
Τεμὼν διαμπὰξ σαρκὸς ἐν παρουσίᾳ·
Ἵνα κρατοῦντος ὤλεσε ψυχοφθόρου.
Κόσμον συνάπτων ταῖς ἀΰλοις οὐσίαις,
Τιθεὶς προσηνῆ τὸν τεκόντα τῇ κτίσει.
Ὁ Λαὸς ἄδει ὁ πρὶν ἠμαυρωμένος,
Μεθ᾽ ἡμέραν φῶς τῆς ἄνω φρυκτωρίας.
Ἔθνη Θεοῦ δὲ κλῆρον Υἱὸς προσφέρει.
Νέμων ἐκ σε τὴν ἀπόρρητον χάριν.
Οὗ πλεῖστον ἐξώθησεν ἡ ἁμαρτία.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θὴρ, οἷον ἐδέξατο. τῇ Παρθένῳ δὲ, ἐνοικήσας ὁ Λόγος, καὶ σάρκα λαβὼν, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γὰρ, οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν κατέσχεν ἀπήμαντον.

Ἦλθε σαρκωθεὶς, Χριστὸς ὁ Θεὸς ἡμῶν, γαστρὸς ὃν Πατὴρ, πρὸ Ἑωσφόρου γεννᾷ, τὰς ἡνίας δὲ, ὁ κρατῶν τῶν ἀχράντων δυνάμεων, ἐν φάτνῃ τῶν ἀλόγων ἀνακλίνεται. ῥάκει σπαργανοῦται, λύει δὲ, πολυπλόκους σειρὰς παραπτώσεων.

Νέον ἐξ Ἀδάμ, Παιδίον φυράματος, ἐτέχθη Υἱὸς, καὶ πιστοῖς δέδοται. τοῦ δὲ μέλλοντος, οὗτός ἐστιν αἰῶνος, Πατὴρ καὶ Ἄρχων· καὶ καλεῖται τῆς μεγάλης βουλῆς Ἄγγελος. οὗτος, ἰσχυρὸς Θεός ἐστι, καὶ κρατῶν ἐξουσίᾳ τῆς κτίσεως. Ἄλλος.

Ναίων Ἰωνᾶς, ἐν μυχοῖς θαλαττίοις,
Ἐλθεῖν ἐδεῖτο, καὶ ζάλην ἀπαρκέσαι.
Νυγεὶς ἐγὼ δὲ τοῦ τυραννοῦντος βέλει,
Χριστῷ προσαυδῶ τῷ κακῶν ἀναιρέτῃ,
Θᾶττον μολεῖν σε τῆς ἐμῆς ῥαθυμίας.
Ὁ Ὢν ἐν ἀρχῇ πρὸς Θεὸν Θεὸς Λόγος,
Νῦν κρατύνει μὴ σθένουσαν τὴν πάλαι,
Ἰδὼν φυλάξαι τὴν καθ᾽ ἡμᾶς οὐσίαν.
Καθεὶς ἑαυτὸν δευτέρᾳ κοινωνίᾳ,
Αὖθις προφαίνων τῶν παθῶν ἐλευθέραν.
Ἥκει δι᾽ ἡμᾶς Ἀβραὰμ ἐξ ὀσφύος,
Λυγρῶς πεσόντας ἐν σκότει τῶν πταισμάτων.
Υἱὸς ἐγείραι τῶν κάτω νενευκότων.
Ὁ φῶς κατοικῶν, καὶ φάτνην παραξίαν,
Νῦν εὐδοκήσας, εἰς βροτῶν σωτηρίαν.

Κοντάκιον, ἦχος γ΄.

Ποίημα Ῥωμανοῦ τοῦ Μελῳδοῦ.

Ἡ Παρθένος σήμερον, τὸν ὑπερούσιον τίκτει. καὶ ἡ γῆ τὸ σπήλαιον, τῷ ἀπροσίτῳ προσάγει. Ἄγγελοι μετὰ Ποιμένων δοξολογοῦσι· Μάγοι δὲ μετὰ ἀστέρος ὁδοιποροῦσι. δι᾽ ἡμᾶς γὰρ ἐγεννήθη, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός. Ὁ Οἶκος.

Τὴν Ἐδὲμ Βηθλεὲμ ἤνοιξε, δεῦτε ἴδωμεν· τὴν τρυφὴν ἐν κρυφῇ εὕρωμεν· δεῦτε λάβωμεν τὰ τοῦ Παραδείσου ἔνδον τοῦ σπηλαίου. Ἐκεῖ ἐφάνη ῥίζα ἀπότιστος, βλαστάνουσα ἄφεσιν. Ἐκεῖ εὑρέθη φρέαρ ἀνόρυκτον, οὗ πιεῖν Δαβὶδ πρὶν ἐπεθύμησεν. Ἐκεῖ Παρθέ-

νος τεκοῦσα βρέφος, τὴν δίψαν ἔπαυσεν ἀθὺς τὴν τοῦ Ἀδὰμ, καὶ τοῦ Δαβίδ. διὰ τοῦτο πρὸς τοῦτο ἐπαχθῶμεν, ὃ ἐτέχθη, Παιδίον νέον, ὁ πρὸ αἰώνων Θεός.

Μηνὶ τῷ αὐτῷ κέ. Ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Στίχ. Θεὸς τὸ τεχθὲν, ἡ δὲ Μήτηρ Παρθένος.
Τί μεῖζον ἄλλο καινὸν εἶδεν ἡ Κτίσις;
Παρθενικὴ Μαρίη Θεὸν εἰκάδι γείνατο πέμπτῃ.

Ἰδὼν ὁ φιλάνθρωπος Θεὸς τὸ γένος τῶν ἀνθρώπων ὑπὸ τοῦ διαβόλου τυραννούμενον, ἐσπλαγχνίσθη. καὶ ἀποστείλας τὸν Ἀρχάγγελον αὐτοῦ Γαβριὴλ, εἶπε τῇ Θεοτόκῳ, τὸ, Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. καὶ εὐθέως συνελήφθη ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἐν τῇ ἀχράντῳ μήτρᾳ αὐτῆς. Καὶ πληρωθέντων τῶν ἐννέα μηνῶν ἀπὸ τῆς συλλήψεως αὐτῆς, ἐξῆλθεν ὁρισμὸς παρὰ Καίσαρος Αὐγούστου, ἀπογράφεσθαι πᾶσαν τὴν Οἰκουμένην. Καὶ ἀπεστάλη Κυρήνιος εἰς τὰ Ἱεροσόλυμα, καὶ ἐν Βηθλεέμ, ποιήσασθαι τὴν ἀπογραφήν. Ἀνέβη δὲ Ἰωσὴφ ὁ φύλαξ τῆς Θεοτόκου σὺν αὐτῇ τοῦ ἀπογραφῆναι ἐν Βηθλεέμ. καὶ ἐπεὶ ἔμελλε τίκτειν ἡ Παρθένος, μὴ εὑρίσκουσα οἴκημα διὰ τὸν πολὺν λαὸν, εἰσῆλθεν εἰς πενιχρὸν σπήλαιον, καὶ ἐκεῖ ἔτεκεν ἀφθόρως τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν. καὶ ἐσπαργάνωσεν αὐτὸν ὡς βρέφος, καὶ ἐν τῇ τῶν ἀλόγων φάτνῃ ἀνέκλινε, καὶ ἔθηκε τὸν τῶν ἁπάντων Κτίστην, ὡς μέλλοντα ῥύσασθαι ἡμᾶς τῆς ἀλογίας.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἡ προσκύνησις τῶν Μάγων.

Στίχ. Σὲ προσκυνοῦσα τάξις ἐθνικὴ, Λόγε,
Τὸ πρὸς σὲ δηλοῖ τῶν ἐθνῶν μέλλον σέβας.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο Μάντις, λεγόμενος Βαλαάμ, ἐν τῇ τῶν Περσῶν χώρᾳ. Καὶ μαντευόμενος καὶ ἄλλα πολλὰ, εἶπε καὶ τοῦτο· Ἀνατελεῖ Ἄστρον ἐξ Ἰακὼβ, καὶ θραύσει τοὺς Ἀρχηγοὺς Μωάβ. Ἔχοντες οὖν οἱ ἄλλοι Μάντεις τοιαύτην προφητείαν κατὰ διαδοχὴν, ἐδίδασκον ταύτας τοὺς τῶν Περσῶν Βασιλεῖς· καὶ περιῆλθον ἄχρι τούτων, τριῶν ὄντων· καὶ παρετήρουν, πότε ἴδωσιν Ἀστέρα τοιοῦτον. Ὡς Ἀστρονόμοι δὲ ἰδόντες τὸν τοῦ Χριστοῦ Ἀστέρα, ὅτι οὐκ ἐποίει πορείαν, ὡς οἱ λοιποὶ ἀστέρες. ἀπὸ Ἀνατολῶν πρὸς Δύσιν, ἀλλ' ἀπὸ Ἄρκτου πρὸς μεσημβρίαν, ἔγνωσαν, ὅτι γέννησιν μεγάλου Βασιλέως δηλοῖ. καὶ ἀκολουθήσαντες τῷ ἀστέρι, εὗρον Χριστὸν τὸν Κύριον· καὶ πεσόντες, προσεκύνησαν αὐτῷ, καὶ προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον, καὶ σμύρναν. Καὶ οὕτω τῇ προστάξει τοῦ Ἀγγέλου ὑπέστρεψαν εἰς τὴν χώραν αὐτῶν. Μαθὼν δὲ Ἡρώδης ὁ τῶν Ἰουδαίων Ἀρχηγὸς παρὰ τῶν Μάγων, ὅτι Βασιλεὺς μέγας ἐγεννήθη, ὃς μέλλει τὸν Κόσμον ὅλον ὑποτάξαι, προσεκαλέσατο τοὺς Μάγους λάθρα, καὶ εἶπεν· Ἀπελθόντες, ἀκριβῶς ἐξετάσατε περὶ τοῦ Παιδίου. ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν, προσκυνήσω αὐτῷ. Τοῦτο δὲ ἔλεγεν, ἵνα μάθῃ ποῦ ἐστι, καὶ ἀποστείλῃ, καὶ φονεύσῃ αὐτό. Εἶτα προσκαλεσάμενος τοὺς Γραμματεῖς, ἠρώτησε, ποῦ λέγει ἡ Γραφὴ γεννηθῆναι τὸν Χριστόν; Οἱ δὲ εἶπον, ἐν Βηθλεέμ τῆς Ἰουδαίας. Τότε ἀπέστειλε τὰ στρατεύματα αὐτοῦ, φονεῦσαι τοὺς ἐν Βηθλεέμ παῖδας, ἀπὸ διετοῦς καὶ κατωτέρω. Διὰ τοῦτο ἀπεστάλη Ἄγγελος ἐκ Θεοῦ, καὶ εἶπε τῷ Ἰωσήφ· Ἐγερθεὶς, παράλαβε τὸ Παιδίον, καὶ τὴν Μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον. Ὁ δὲ Ἰωσὴφ ἐποίησεν οὕτω. καὶ παραλαβὼν τὸ Παιδίον, καὶ τὴν Μητέρα αὐτοῦ, ἀπῆλθεν εἰς Αἴγυπτον. Τῷ δὲ Θεῷ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες· πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν. Ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ποιμένες ἀγραυλοῦντες, ἐκπλαγοῦς φωτοφανείας ἔτυχον. δόξα Κυρίου γὰρ αὐτοὺς, περιέλαμψε καὶ Ἄγγελος, ἀνυμνήσατε βοῶν, ὅτι ἐτέχθη Χριστός· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ἐξαίφνης σὺν τῷ λόγῳ, τοῦ Ἀγγέλου Οὐρανῶν στρατεύματα, δόξα ἐκραύγαζον Θεῷ, ἐν ὑψίστοις ἐπὶ γῆς εἰρήνη· ἐν ἀνθρώποις εὐδοκία, Χριστὸς ἔλαμψεν· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ῥῆμα τί τοῦτο εἶπον οἱ Ποιμένες, διελθόντες ἴδωμεν, τὸ γεγονὸς, θεῖον Χριστὸν Βηθλεὲμ καταλαβόντες δὲ, σὺν τῇ τεκού-



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

στῃ, προσεκύνουν ἀναμέλποντες· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ. Ἄλλος.

Τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ,
Ἄπλητα θυμαίνοντος ἠγκιστρωμένοι,
Παῖδες τυράννου δύσθεον γλωσσαλγίαν,
Οὓς ἦκαθε πῦρ, ἄσχετον τῷ Δεσπότῃ,
Λέγουσιν· εἰς αἰῶνας εὐλογητὸς εἶ.
Ὑπηρέτας μὲν ἐμμανῶς καταφλέγει,
Σώζει δὲ παμφλάζουσα ῥοιζηδὸν νέους,
Ταῖς ἑπταμέτροις καύσεσι πυρουμένη,
Οὓς ἔστεφε φλὸξ, ἀφθόνως τοῦ Κυρίου,
Νέμοντος εὐσεβείας εἵνεκα δρόσον.
Ἔρρωγε Χριστὲ, τὸν βροτοῖς ἐναντίον,
Πρόβλημα τὴν σάρκωσιν ἀρρήτως ἔχων.
Ἤχυνας ὄλβον τῆς Θεώσεως φέρων·
Μορφούμενος, νῦν, ἧστινος δι' ἐλπίδα,
Ἄνωθεν εἰς κευθμῶνας ἤλθομεν ζόφου.
Τὴν ἀγριωπῶς ἀκρατῶς γαυρουμένην,
Ἄσεμνα βακχεύσασαν ἐξοιστρουμένην,
Κόσμου καθεῖλες πανσθενῶς ἁμαρτίαν.
Οὓς εἵλκυσε πρὶν, σήμερον τῶν ἀρκύων,
Σώζεις δὲ σαρκωθεὶς ἑκὼν εὐεργέτα.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο, φλέγει νέους, ὡς οὐδὲ πῦρ, τῆς Θεότητος Παρθένου, ἣν ὑπέδυ νηδύν. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον·

Ἕλκει Βαβυλῶνος ἡ θυγάτηρ παῖδας, δορυκτήτους Δαβὶδ ἐκ Σιὼν ἐν αὐτῇ. δωροφόρους πέμπει δὲ, Μάγους παῖδας, τὴν τοῦ Δαβὶδ, θεοδόχον θυγατέρα λιτανεύσοντας. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον.

Ὄργανα παρέκλινε τὸ πένθος ᾠδῆς. οὐ γὰρ ἦδον ἐν νόθοις οἱ παῖδες Σιών. Βαβυλῶνος λύει δὲ, πλάνην πᾶσαν καὶ μουσικῶν, ἁρμονίαν Βηθλεὲμ ἐξανατείλας Χριστός. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν. εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Σκῦλα Βαβυλὼν τῆς Βασιλίδος Σιὼν, καὶ δορύκτητον ὄλβον ἐδέξατο, θησαυροὺς Χριστὸς, ἐν Σιὼν δὲ ταύτης, καὶ Βασιλεῖς, σὺν ἀστέρι ὁδηγῷ, ἀστροπολοῦντας ἕλκει. διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος.

Μήτραν ἀφλέκτως εἰκονίζουσι Κόρης,
Οἱ τῆς Παλαιᾶς πυρπολούμενοι Νέοι,
Ὑπερφυῶς κύουσαν ἐσφραγισμένην.
Ἄμφω δὲ δρῶσα θαυματουργία μία,
Λαοὺς πρὸς ὕμνον ἐξανίστησι χάριν.
Ὕμην φυγοῦσα τοῦ θεοῦσθαι τῇ πλάνῃ,
Ἄληκτον ὑμνεῖ τὸν κενούμενον Λόγον.
Νεανικῶς ἅπασα σὺν τρόμῳ Κτίσις.
Ἄδοξον εὖχος δαματουμένη φέρειν,
Ῥᾳστὴ γεγῶσα, κἂν σοφῶς ἐκαρτέρει.
Ἥκεις πλανῆτιν πρὸς νομὴν ἐπιστρέφων,
Τὴν ἀνθρωποιὸν ἐξ ἐρημαίων λόφων,
Ἡ τῶν ἐθνῶν ἔγερσις, ἀνθρώπων φύσιν.
Ῥώμην βιαίαν τοῦ βροτοκτόνου σβέσαι.
Ἀνὴρ φανείς τε, καὶ Θεὸς προμηθείᾳ.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον, Οὐρανὸν τὸ σπήλαιον· θρόνον χερουβικὸν τὴν Παρθένον· τὴν φάτνην χωρίον, ἐν ᾧ, ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαίσιον, δρόμον ὁρῶντες οἱ Μάγοι, ἀσυνήθους νέου ἀστέρος ἀρτιφαοῦς, οὐρανία ὑπερλάμποντος· Χριστὸν Βασιλέα ἐτεκμήραντο ἐν γῇ, γεννηθέντα Βηθλεὲμ, εἰς σωτηρίαν ἡμῶν.

Νεηγενὲς, Μάγων λεγόντων παιδίον Ἄναξ, οὗ ἀστὴρ ἐφάνη, ποῦ ἐστιν; εἰς γὰρ ἐκείνου προσκύνησιν ἥκομεν. μανεὶς, ὁ Ἡρώδης ἐταράττετο, Χριστὸν ἀνελεῖν, ὁ θεομάχος φρυαττόμενος.

Ἠκρίβωσε, χρόνον Ἡρώδης ἀστέρος. οὗ ταῖς ἡγεσίαις οἱ Μάγοι ἐν Βηθλεὲμ, προσκυνοῦσι Χριστῷ σὺν δώροις. ὑφ' οὗ, πρὸς πατρίδα ὁδηγούμενοι, δεινὸν παιδοκτόνον, ἐγκατέλιπον παιζόμενον. Ἄλλος.

Στέργειν μὲν ἡμᾶς ὡς ἀκίνδυνον φόβῳ,
Ῥᾷον σιωπὴν, τῷ πόθῳ δὲ Παρθένε,
Ὕμνους ὑφαίνειν συντόνως τεθηγμένους,
Ἐργῶδές ἐστιν. ἀλλὰ καὶ Μῆτερ σθένος,
Ὅση πέφυκεν, ἡ προαίρεσις δίδου.
Τύπους ἀφεγγεῖς, καὶ σκιὰς παρηγμένας,
Ὦ Μῆτερ Ἁγνὴ, τοῦ Λόγου δεδορκότες,
Νέου φανέντος ἐκ πύλης κεκλεισμένης.
Δοξούμενοί τε τῆς ἀληθείας φάους,
Ἐπαξίως σὴν εὐλογοῦμεν γαστέρα.
Πόθου τετευχὼς, καὶ Θεοῦ παρουσίας,
Ὁ Χριστοτερπὴς λαὸς ἠξιωμένος,

Νῦν

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Νῦν ποτνιᾶται τῆς παλιγγενεσίας,
Ὡς ζωοποιὸς· τὴν χάριν δὲ Παρθένε.
Νέμοις ἀνυμνοῦντε, προσκυνῆσαι τὸ κλέος.

Ἐξαποστειλ. Ἰδιόμελον, λέγεται, ἐκ γ΄.

Ἐπεσκέψατο ἡμᾶς, ἐξ ὕψους ὁ Σωτὴρ ἡμῶν, ἀνατολὴ ἀνατολῶν. καὶ οἱ ἐν σκότει καὶ σκιᾷ, εὕρομεν τὴν ἀλήθειαν· καὶ γὰρ ἐκ τῆς Παρθένου ἐτέχθη ὁ Κύριος.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχ. ἰδιόμελα, ἦχος δ΄.

Ἀνδρέου Ἱεροσολυμίτου.

Εὐφραίνεσθε δίκαιοι. Οὐρανοὶ ἀγαλλιᾶσθε· σκιρτήσατε τὰ ὄρη, Χριστοῦ γεννηθέντος. Παρθένος καθέζεται, τὰ Χερουβὶμ μιμουμένη, βαστάζουσα ἐν κόλποις, Θεὸν Λόγον σαρκωθέντα. Ποιμένες τὸν τεχθέντα δοξάζουσι· Μάγοι τῷ Δεσπότῃ, δῶρα προσφέρουσιν· Ἄγγελοι ἀνυμνοῦντες λέγουσιν· ἀκατάληπτε Κύριε δόξα σοι. Ὁ αὐτός.

Ὁ Πατὴρ ηὐδόκησεν· ὁ Λόγος σὰρξ ἐγένετο· καὶ ἡ Παρθένος ἔτεκε, Θεὸν ἐνανθρωπήσαντα· ἀστὴρ μηνύει, Μάγοι προσκυνοῦσι, Ποιμένες θαυμάζουσι, καὶ ἡ Κτίσις ἀγάλλεται. Ὁ αὐτός.

Θεοτόκε Παρθένε, ἡ τεκοῦσα τὸν Σωτῆρα, ἀνέτρεψας τὴν πρώτην κατάραν τῆς Εὔας· ὅτι Μήτηρ γέγονας, τῆς εὐδοκίας τοῦ Πατρός, βαστάζουσα ἐν κόλποις, Θεὸν Λόγον σαρκωθέντα. οὐ φέρει τὸ μυστήριον ἔρευναν. πίστει μόνῃ τοῦτο πάντες δοξάζομεν, κράζοντες μετὰ σοῦ καὶ λέγοντες. ἀνερμήνευτε Κύριε δόξα σοι. Ὁ αὐτός.

Δεῦτε ἀνυμνήσωμεν, τὴν Μητέρα τοῦ Σωτῆρος, τὴν μετὰ τόκον πάλιν, ὀφθεῖσαν Παρθένον. χαίροις Πόλις ἔμψυχε, τοῦ Βασιλέως καὶ Θεοῦ· ἐν ᾗ Χριστὸς οἰκήσας, σωτηρίαν εἰργάσατο. μετὰ τοῦ Γαβριὴλ ἀνυμνοῦμέν σε, μετὰ τῶν Ποιμένων δοξάζομεν, κράζοντες· Θεοτόκε πρέσβευε τῷ ἐκ σοῦ σαρκωθέντι, σωθῆναι ἡμᾶς.

Δόξα, ἦχος πλ. β΄. Γερμανοῦ.

Ὅτε καιρὸς τῆς ἐπὶ γῆς παρουσίας σου, πρώτη ἀπογραφὴ τῇ Οἰκουμένῃ ἐγένετο. τότε ἔμελλες τῶν ἀνθρώπων ἀπογράψασθαι τὰ ὀνόματα, τῶν πιστευόντων τῷ τόκῳ σου. διὰ τοῦτο τὸ τοιοῦτον δόγμα, ὑπὸ Καίσαρος ἐξεφωνήθη. τῆς γὰρ αἰωνίου σου Βασιλείας, τὸ ἄναρχον ἐκαινουργήθη. διό σοι προσφέρομεν καὶ ἡμεῖς, ὑπὲρ τὴν χρηματικὴν φορολογίαν, ὀρθοδόξου πλουτισμὸν Θεολογίας, τῷ Θεῷ καὶ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, ἦχος β΄. Ἰωάννου Μοναχοῦ.

Σήμερον ὁ Χριστὸς ἐν Βηθλεὲμ γεννᾶται ἐκ Παρθένου. Σήμερον ὁ ἄναρχος ἄρχεται, καὶ ὁ Λόγος σαρκοῦται. Αἱ δυνάμεις τῶν Οὐρανῶν ἀγάλλονται, καὶ ἡ γῆ σὺν τοῖς ἀνθρώποις εὐφραίνεται. Οἱ Μάγοι τὰ δῶρα προσφέρουσιν, οἱ Ποιμένες τὸ θαῦμα κηρύττουσιν. Ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Ἀντίφωνα.

Ἀντίφωνον α΄. ἦχος β΄.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ, μεγάλα τὰ ἔργα Κυρίου.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Ἐξομολόγησις, καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Εἶτα οἱ δύο χοροὶ ὁμοῦ. Δόξα, καὶ νῦν.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον β΄. ἦχος β΄.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον, ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου τεχθείς, ψάλλοντάς σοι, Ἀλληλούϊα.
Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου.
Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου.
Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσι.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐκ Παρθένου.
Δόξα, καὶ νῦν. Ὁμοῦ οἱ δύο χοροί.
Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος.

Ἀντίφωνον γ΄. ἦχος δ΄.

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου.
Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀνέτειλε.
Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν.
Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου.
Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἰσοδικόν.

Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε.
Ὤμοσε Κύριος, καὶ οὐ μεταμεληθήσεται.
Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. Γεγωνοτέρα φωνή.
Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν. Εἶτα.
Ἡ Παρθένος σήμερον τὸν ὑπερούσιον.

Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Προκείμενον, ἦχος δ΄.

Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι.
Στίχ. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου.

Ὁ Ἀπόσ. Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου.

Ἀδελφοί, ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον· ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν Υἱοθεσίαν ἀπολάβωμεν. Ὅτι δέ ἐστε Υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ εἰς τὰς καρδίας ὑμῶν, κρᾶζον· Ἀββᾶ ὁ Πατήρ. Ὥστε οὐκ ἔτι εἶ δοῦλος, ἀλλ' Υἱός· εἰ δὲ Υἱός, καὶ κληρονόμος Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ.

Ἀλληλούϊα, ἦχος α΄.

Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.
Στίχ. Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Τοῦ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρῴδου τοῦ Βασιλέως, ἰδοὺ Μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱεροσόλυμα, Λέγοντες· ποῦ ἐστιν ὁ τεχθεὶς Βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. Ἀκούσας δὲ Ἡρώδης ὁ Βασιλεύς, ἐταράχθη, καὶ πᾶσα Ἱεροσόλυμα μετ' αὐτοῦ. Καὶ συναγαγὼν πάντας τοὺς Ἀρχιερεῖς, καὶ Γραμματεῖς τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται; Οἱ δὲ εἶπον αὐτῷ ἐν Βηθλεὲμ τῆς Ἰουδαίας· οὕτω γὰρ γέγραπται διὰ τοῦ Προφήτου· Καὶ σὺ Βηθλεέμ, γῆ Ἰούδα, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς Ἡγεμόσιν Ἰούδα. ἐκ σοῦ γάρ μοι ἐξελεύσεται Ἡγούμενος, ὅστις ποιμανεῖ τὸν λαόν μου τὸν Ἰσραήλ. Τότε Ἡρώδης λάθρα καλέσας τοὺς Μάγους, ἠκρίβωσε παρ' αὐτῶν τὸν χρόνον τοῦ φαινομένου ἀστέρος. Καὶ πέμψας αὐτοὺς εἰς Βηθλεέμ, εἶπε· πορευθέντες, ἀκριβῶς ἐξετάσατε περὶ τοῦ Παιδίου· ἐπὰν δὲ εὕρητε, ἀπαγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν, προσκυνήσω αὐτῷ. Οἱ δὲ ἀκούσαντες τοῦ Βασιλέως, ἐπορεύθησαν. καὶ ἰδοὺ ὁ ἀστήρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτούς, ἕως ἐλθὼν, ἔστη ἐπάνω οὗ ἦν τὸ Παιδίον. Ἰδόντες δὲ τὸν ἀστέρα, ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. Καὶ ἐλθόντες εἰς τὴν οἰκίαν, εὗρον τὸ Παιδίον μετὰ Μαρίας τῆς Μητρὸς αὐτοῦ. καὶ πεσόντες, προσεκύνησαν αὐτῷ. καὶ ἀνοίξαντες τοὺς θησαυροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσόν, καὶ λίβανον, καὶ σμύρναν. Καὶ χρηματισθέντες κατ' ὄναρ μὴ ἀνακάμψαι πρὸς Ἡρώδην, δι' ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν Χώραν αὐτῶν.

Κοινωνικόν.

Λύτρωσιν ἐξαπέστειλε Κύριος τῷ Λαῷ αὐτοῦ.

Εἰς τὴν Τράπεζαν Κατάλυσις εἰς πάντα, ὁμοίως καὶ εἰς τὸ δωδεκαήμερον.

## Μηνὶ τῷ αὐτῷ ΚϚ΄.

Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου· καὶ τοῦ Ἁγίου Ἰωσὴφ τοῦ Μνήστορος· καὶ μνήμη τοῦ Ἁγίου Ἱερομάρτυρος Εὐθυμίου Ἐπισκόπου Σάρδεων.

Ἡ Ἀκολουθία αὐτοῦ ψάλλεται ἐν τοῖς Ἀποδείπνοις. Ἑσπέρας εἰς τὸ λυχνικόν, στίχ. οὐ γίνεται, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν τῆς Ἑορτῆς στιχ. ἰδιόμελα, ἅπερ εἴπομεν καὶ ὀψέ, ἦχος β΄. Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ. καὶ τὰ ἕτερα· δευτεροῦντες τὰ δύο.

Δόξα, καὶ νῦν. ἦχος πλ. β΄.

Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη· σήμερον δέχεται ἡ Βηθλεέμ, τὸν καθήμενον διαπαντὸς σὺν Πατρί. σήμερον Ἄγγελοι τὸ Βρέφος τὸ τεχθέν, θεοπρεπῶς δοξολογοῦσι· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

Εἴσοδος. Προκείμενον, ἦχος βαρύς.

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ ποιῶν θαυμάσια μόνος.
Στίχ. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.
Στίχ. Καὶ εἶπα, νῦν ἠρξάμην.
Στίχ. Ἐμνήσθην τῶν ἔργων Κυρίου.

Εἰς τὸν στίχ. στιχ. ἰδιόμ. ἦχος πλ. β΄. Ἰωάννου Μοναχοῦ.

Παράδοξον Μυστήριον, οἰκονομεῖται σήμερον. καινοτομοῦνται φύσεις, καὶ Θεὸς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἄνθρωπος γίνεται. ὅπερ ἦν μεμένηκε, καὶ ὃ οὐκ ἦν προσέλαβεν. οὐ φυρμὸν ὑπομείνας, οὐδὲ διαίρεσιν.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Κύριε, ἐν Βηθλεὲμ παραγέγονας, ἐν τῷ σπηλαίῳ παρῴκησας. ὁ Οὐρανὸν τὸν θρόνον ἔχων, ἐν φάτνῃ ἀνεκλίθης· ὃν στρατιαὶ κύκλῳ Ἀγγέλων, ποιμέσι συγκατέβης· ἵνα σώσῃς ὡς εὔσπλαγχνος, τὸ γένος ἡμῶν, δόξα σοι.

Στίχ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου.

Πῶς ἐξείπω τὸ μέγα Μυστήριον; ὁ ἄσαρκος σαρκοῦται· ὁ Λόγος παχύνεται· ὁ ἀόρατος ὁρᾶται, καὶ ὁ ἀναφὴς ψηλαφᾶται· καὶ ὁ ἄναρχος ἄρχεται, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γίνεται. Ἰησοῦς Χριστὸς, χθὲς, καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας.

Δόξα, καὶ νῦν, ὁ αὐτός.

Ἐν Βηθλεὲμ συνέδραμον Ποιμένες, τὸν ἀληθῆ μηνύοντες Ποιμένα. τὸν καθήμενον ἐπὶ τῶν Χερουβὶμ, καὶ ἀνακείμενον ἐν φάτνῃ, νηπίου μορφὴν δι' ἡμᾶς ἀνειληφότα Κύριε δόξα σοι.

Τὸ, Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Τροπάριον τῆς Ἑορτῆς.

Ἡ Γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τῆς Ἑορτῆς ἀπαραλλάκτως, καθὼς καὶ ἐν τῇ Ἑορτῇ. Ἀπὸ τρίτης ᾠδῆς. Κοντάκιον τῆς Ἑορτῆς, ἀφ' ἕκτης.

Κοντάκιον, ἦχος πλ. β΄.

Ὁ Πρὸ ἑωσφόρου ἐκ Πατρὸς ἀμήτωρ γεννηθεὶς, ἐπὶ τῆς γῆς ἀπάτωρ ἐσαρκώθη σήμερον ἐκ σοῦ. ὅθεν ἀστὴρ εὐαγγελίζεται Μάγοις. Ἄγγελοι δὲ μετὰ Ποιμένων ὑμνοῦσι τὸν ἄχραντον Τόκον σου. χαῖρε ἡ κεχαριτωμένη.

Ὁ Οἶκος.

Τὸν ἀγεώργητον βότρυν βλαστήσασα ἡ μυστικὴ ἄμπελος. ὡς ἐπὶ κλάδων, ἀγκάλαις ἐβάσταζε, καὶ ἔλεγε· σὺ εἶ καρπός μου. σὺ εἶ ζωή μου. ἀφ' οὗ ἔγνων, ὅτι καὶ ὃ ἤμην εἰμί. σύ μου Θεός· τὴν γὰρ σφραγῖδα τῆς παρθενίας μου ὁρῶσα ἀκατάλυτον, κηρύττω σε ἄτρεπτον Λόγον, σάρκα γενόμενον. οὐκ οἶδα σποράν, οἶδά σε λύτην τῆς φθορᾶς· Ἁγνὴ γάρ εἰμι, σοῦ προελθόντος ἐξ ἐμοῦ· ὡς γὰρ εὗρες, ἔλιπες μήτραν ἐμήν, ὁρῶσα σῴαν αὐτήν. διὰ τοῦτο συγχορεύει πᾶσα Κτίσις βοῶσά μοι· χαῖρε ἡ κεχαριτωμένη.

Μηνὶ τῷ αὐτῷ κς΄. Ἡ Σύναξις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, ἤτοι τὰ Ἐπιλόχια.

Ἐπιλόχια.

Στίχ. Λεχὼ ἄμωμον, ἀνδρὸς μὴ γνοῦσαν λέχος. Δώροις ἀμώμοις δεξιοῦμαι τοῖς λόγοις.

Μολπὴν ἁγνοτάτῃ λεχοῖ εἰκάδι ἕκτῃ ἀείδω.

Περὶ τῆς εἰς Αἴγυπτον φυγῆς τῆς Ὑπεραγίας Θεοτόκου.

Ἥκοντα πρὸς σὲ, τὸν πάλαι πλήξαντά σε. Αἴγυπτε φρίττε, καὶ Θεὸν τοῦτον φρόνει.

Εἰς Αἴγυπτον φεύγει ἡ Θεοτόκος μετὰ τοῦ Βρέφους, καὶ Ἰωσὴφ, διὰ δύο ταῦτα· ἵνα πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ Προφήτου. ἐξ Αἰγύπτου, ἐκάλεσα τὸν Υἱόν μου· καὶ ἵνα ἐμφραγῇ πᾶν στόμα τῶν Αἱρετικῶν. εἰ γὰρ οὐκ ἔφυγεν, ἀλλ' ἐκρατήθη τὸ βρέφος· εἰ μὲν ἐφονεύθη, ἐνεποδίζετο ἡ τῶν ἀνθρώπων σωτηρία· εἰ δὲ οὐκ ἐφονεύθη, ἢ διὰ ξίφους τινὸς, ἢ ἑτέρας τιμωρίας, διὰ τὸ πληρῶσαι τὴν οἰκονομίαν, δόξαν εἶχε τοῖς πολλοῖς, ὅτι κατὰ φαντασίαν ἐγένετο, καὶ οὐ κατὰ ἀλήθειαν ἐφόρεσεν ἀνθρωπίνην σάρκα. εἰ γὰρ ἐφόρει σάρκα, ἐκόπτετο ἂν ὑπὸ τῆς σπάθης. Ὅπου γε, καὶ προφάσεως μὴ γενομένης, ἐτόλμησαν οἱ ἄθεοι Αἱρετικοὶ τοῦτο εἰπεῖν, ὅτι κατὰ φαντασίαν ἐγεννήθη. Διὰ τοῦτο φεύγει εἰς Αἴγυπτον, ἵνα καὶ τὰ ἐκεῖσε συντρίψῃ Εἴδωλα, καὶ τὴν Οἰκουμένην ὅλην σώσῃ, κατὰ τὸν καιρὸν τῆς σωτηρίου Σταυρώσεως.

Εἰς τοὺς αἴνους, Πᾶσα πνοὴ, στίχ. ἰδιόμελα, τῆς Ἑορτῆς. Εὐφραίνεσθε δίκαιοι.

Καὶ τὰ λοιπά. Δόξα, ἦχος πλ. β΄.

Σήμερον ἡ ἀόρατος φύσις, τοῖς βροτοῖς ἐκ Παρθένου συνάπτεται. σήμερον ἡ ἄπειρος οὐσία, ἐν Βηθλεὲμ σπαργάνοις ἐνειλίσσεται. σήμερον ὁ Θεὸς, δι' ἀστέρος Μάγους εἰς προσκύνησιν ἄγει, προμηνύων αὐτοῦ τὴν τριήμερον ταφὴν, ὡς ἐν χρυσῷ καὶ σμύρνῃ καὶ λιβάνῳ. δι' ὃ ψάλλομεν· ὁ σαρκωθεὶς ἐκ Παρθένου Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. ἦχος β΄.

Σήμερον ὁ Χριστὸς, ἐν Βηθλεὲμ γεννᾶται ἐκ Παρθένου. Ζήτει εἰς τὴν Ἑορτήν.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἀπὸ τοῦ Κανόνος τῆς Ἑορτῆς, ᾨδὴ γ΄. καὶ ς΄. Προκείμενον, ἦχος γ΄. ᾨδὴ τῆς Θεοτόκου.

Μεγα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μεγαλυνεῖ ἡ ψυχή μου τὸν Κύριον.
Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν.
Ἀδελφοὶ, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι.
Ζήτει εἰς τὰς ὥρας τῶν Χριστοῦ Γεννῶν, ὥρα θ'.
Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.
Ἀναχωρησάντων τῶν Μάγων.
Ζήτει Κυριακῇ μετὰ τὴν Χριστοῦ Γέννησιν.

Κυριακὴ μετὰ τὴν Χριστοῦ Γέννησιν.

Μνήμην ἐπιτελοῦμεν τῶν Ἁγίων καὶ δικαίων, Ἰωσὴφ τοῦ Μνήστορος, Δαβὶδ τοῦ Βασιλέως, καὶ Ἰακώβου τοῦ Ἀδελφοθέου.

Ἑσπέρας μετὰ τὸν Προοιμιακὸν, καὶ τὴν συνήθη στιχολογίαν. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι'. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου γ'. τῆς Ἑορτῆς τῶν Χριστοῦ Γεννῶν δ'.
Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ.
Καὶ τὰ ἕτερα τρία [illegible] τῶν Ἁγίων, ἦχος α'.
Τῶν Οὐρανίων ταγμάτων.

Τὸν Θεοπάτορα πάντες, ἀνευφημήσωμεν, Δαβὶδ τὸν Βασιλέα. Ἐκ γὰρ τούτου προῆλθε, ῥάβδος ἡ Παρθένος, καὶ ἐξ αὐτῆς, ἀνατέταλκεν ἄνθος Χριστός. καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐκ τῆς φθορᾶς. ἀνεπλάσατο ὡς εὔσπλαγχνος.

Τῶν Προφητῶν τὰς προρρήσεις, εἶδεν ἐν γήρᾳ σαφῶς, ὁ Ἰωσὴφ ὁ Μνήστωρ, ἐμφανῶς πληρουμένας, μνηστείας λαχὼν ξένης, χρηματισμοὺς, τῶν ἀγγέλων δεξάμενος· δόξα Θεῷ ἐκβοώντων, ὅτι ἐν γῇ τὴν εἰρήνην ἐδωρήσατο.

Τὸν Ἀδελφόθεον πάντες, ἀνευφημήσωμεν, ὡς Ἱεράρχην ὄντα· μαρτυρίῳ δὲ πάλιν, ἐμπρέψαντα γενναίως· οὗ ταῖς εὐχαῖς, Ἰησοῦ ὁ Θεὸς ἡμῶν, ὁ ἐν σπηλαίῳ καὶ φάτνῃ σπαργανωθεὶς, σῶσον πάντας τοὺς ὑμνοῦντάς σε.

Δόξα, ἦχος πλ. β'.

Μνήμην ἐπιτελοῦμεν, Δαβὶδ καὶ Ἰακώβου, εὐσεβοῦς Βασιλέως, Προφήτου, καὶ Ἀποστόλου πρώτου Ἐπισκόπου. αὐτῶν γὰρ τοῖς διδάγμασι, πλάνης ἀπαλλαγέντες, Χριστὸν δοξολογοῦμεν, τὸν ἐκ Παρθένου ἀνατείλαντα, τὸν καὶ σαρκωθέντα, σῶσαι τὰς ψυχὰς ἡμῶν.

[illegible] α'. τοῦ ἤχου. Εἰς τὸν στίχον? [illegible]
[illegible] Δόξα, ἦχος πλ. β'.

Ἱερέων κρηπὶς? καὶ Βασιλέων κράτος, εὐφροσύνη γέγονεν ὁ τόκος σου· καὶ ἐν αὐτῷ καυχώμενοι, λέγομεν· Πάτερ ἡμῶν, ὁ ἐν τοῖς Οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου φιλάνθρωπε. Καὶ νῦν, ὁ αὐτός.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν Οὐρανῷ, καὶ ἀγάλλονται σήμερον· σκιρτᾷ δὲ πᾶσα ἡ Κτίσις, διὰ τὸν γεννηθέντα ἐν Βηθλεὲμ Σωτῆρα Κύριον. ὅτι πᾶσα πλάνη, τῶν Εἰδώλων πέπαυται, καὶ βασιλεύει Χριστὸς εἰς τοὺς αἰῶνας.

Ἀπολυτίκιον τῆς Ὀκτωήχου, καὶ τῶν Ἁγίων, ἦχος β'.

Εὐαγγελίζου Ἰωσὴφ, τῷ Δαβὶδ τὰ θαύματα τοῦ Θεοπάτορος. Παρθένον εἶδες κυοφορήσασαν. μετὰ Μάγων προσεκύνησας, μετὰ Ποιμένων ἐδοξολόγησας. δι' Ἀγγέλου χρηματισθεὶς, ἱκέτευε Χριστὸν τὸν Θεὸν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ἑξάψαλμον, Θεὸς Κύριος. τὸ Ἀναστάσιμον Τροπάριον. τῆς παρούσης Κυριακῆς, καὶ τῆς Ἑορτῆς. Ἡ συνήθης στιχολογία. Κανόνες ὁ Ἀναστάσιμος μετὰ τῆς Θεοτόκου, εἰς ς'. τῆς Ἑορτῆς εἰς δ'. καὶ τῶν Ἁγίων εἰς δ'. ὁ Κανὼν τῶν Ἁγίων.

Ὠδὴ α'. ἦχος α'. Χριστὸς γεννᾶται.

Χριστοῦ θεράπον μακάριε, Χριστοῦ τοῦ σαρκωθέντος Θεοῦ ἡμῶν, Χριστοῦ Πατὴρ γνωριζόμενος. τούτῳ σὺν παρρησίᾳ παρεστηκὼς, αἴτησαι εἰρήνην, καὶ δεινῶν ἀπαλλαγὴν τοῖς εὐφημοῦσί σε.

Ῥημάτων θείων ὑπήκοος, πραγμάτων παραδόξων διάκονος, Παρθένου Μνήστωρ Θεόπαιδος. δίκαιος κατὰ πάντα, καὶ ἀληθὴς, Ἰωσὴφ ἐδείχθης· καὶ δικαίων ἐν σκηναῖς ἐπαναπέπαυσαι.

Ἰδεῖν Χριστὸν κατηξίωσαι, μορφῇ τῇ καθ' ἡμᾶς νηπιάσαντα, καὶ τούτου Πατὴρ ὠνόμασαι. μεγίστη σου ἡ δόξα, ὡς ἀληθῶς, μέγα ὑπὲρ πάντας, τὸ ἀξίωμα. διὸ ἀνευφημοῦμέν σε.

Θεοτοκίον.

Σαρκὶ Χριστὸν ἀπεκύησας, σαρκὶ ἐν Βηθλεὲμ ἀπειρόγαμε, σπαργάνοις αὐτὸν εἱλίσασα· οὗ τὴν ἐπιδημίαν, καταπλαγεὶς, Ἰωσὴφ σὺν φόβῳ, μεγαλύνει προσκυνεῖ, τὴν τούτου δύναμιν.

Καταβασία.

Χριστὸς γεννᾶται, καὶ τό, Ἔσωσε λαόν.

Ὠδὴ γ'.? Τῷ πρὸ τῶν αἰώνων.

Τοῦ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς ἀπορρήτως ἐκλάμψαντος· καὶ ἐκ Παρθένου ἐπ' ἐσχάτων, σαρκωθέντος ἀφράστως, Πα-

τὴρ, ὠνομάσθης ἔνδοξε· καὶ μυστηρίου φρικτοῦ θεωρὸς, μάκαρ ἐχρημάτισας.

ὋΝ αἱ ἄνω τάξεις, ὡς Θεὸν ἀπερίγραπτον τρέμουσι· τοῦτον τεχθέντα ἐκ Παρθένου, Ἰωσὴφ ταῖς χερσί σου, κρατεῖς, καθαγιαζόμενος, τῇ ἐπαφῇ τῇ φρικώδει σοφέ. ὅθεν σε γεραίρομεν.

ὝΨος μυστηρίου, γενεαῖς μὴ γνωσθέντος, ταῖς πρώην σοφὲ, κατεπιστεύθης τῇ καρδίᾳ, καθαρῶς δεδεγμένος. δι' οὗ, ἅπαντες ἐσώθημεν, οἱ τὴν φωσφόρον καὶ θείαν πιστῶς, μνήμην σου δοξάζοντες. Θκ.

ΣΆρκα εἰληφότα, ἐξ ἁγνῶν σου αἱμάτων Παρθένε ἁγνή. καὶ ἐν σπηλαίῳ γεννηθέντα, καὶ ἐν φάτνῃ τεθέντα, ἰδὼν, Ἰωσὴφ ὁ δίκαιος, τὸν καθ' ἡμᾶς ὁραθέντα Θεὸν, ὕμνοις ἐμεγάλυνε.

Τὸ Κοντάκιον τῆς Ἑορτῆς, Ἡ Παρθένος σήμερον. Εἶτα τὰ παρόντα ἰδιόμελα. ἦχος α'.

Χορὸς Ἀγγελικός.

ΠΑτρὸς ὡς ἀληθῶς, οὐρανίου θεράπων, ἐγένου Ἰωσὴφ, καὶ Πατὴρ τοῦ ἀνάρχου, Υἱοῦ σὺ νενόμισαι, τοῦ σαρκὶ νηπιάσαντος. ὅθεν σήμερον, τὴν παναγίαν σου μνήμην, ἑορτάζομεν, ἐν εὐφροσύνῃ καρδίας, πιστῶς ἀνυμνοῦντές σε. Θεοτοκίον. Ὅμοιον.

ΧΟρὸς τῶν Προφητῶν, ἑορτάζει ἐνθέως, τὸ θαῦμα τὸ ἐν σοὶ, γεγονὸς ὦ Παρθένε. Θεὸν σεσαρκωμένον γὰρ, ἐπὶ γῆς ἀπεκύησας. ὅθεν Ἄγγελοι, μετὰ ποιμένων ὑμνοῦσι, Μάγοι πίστει δὲ, σὺν Ἰωσὴφ ἐκβοῶσι, τῷ Δαβὶδ τὰ θαύματα τῷ θεοπάτορι.

Ὠδὴ δ'. Ῥάβδος ἐκ τῆς ῥίζης.

ἘΧων λογισμὸν ταῖς θεϊκαῖς, ὑπήκοον προστάξεσι, καὶ καθαρὸς ὅλος γενόμενος, τὴν μόνην ἐν γυναιξὶ, καθαρὰν καὶ ἄμωμον, μάκαρ Ἰωσὴφ σὺ ἐμνηστεύσω· τηρῶν Παρθένον ἁγνὴν, πρὸς ὑποδοχὴν τοῦ ποιήσαντος.

ΜΌνῳ Γαβριὴλ ἐν Οὐρανῷ, καὶ μόνῳ σοι ἀοίδιμε, μετὰ τὴν μόνην Ἀπειρόγαμον, τὸ μόνον ὑπερβολῇ, φοβερὸν μυστήριον, μάκαρ Ἰωσὴφ ἐνεπιστεύθη, τὸν μόνον φθοροποιὸν, ἄρχοντα τοῦ σκότους τροπούμενον.

ἜΜψυχος ναὸς φωτοειδὴς, ὑπάρχων τοῦ ποιήσαντος, ἐπιμελείᾳ θείων πράξεων. ἐκ τοῦ Ἁγίου ναοῦ, τὸν ναὸν τὸν Ἅγιον, σὺ παραλαβεῖν κατηξιώθης, τὴν μόνην ἐν γυναιξὶ, μάκαρ Ἰωσὴφ Ἀειπάρθενον.

Θεοτοκίον.

ἘΙΠών τοῦ νοός σου προφανῶς, ἐπέστη ὁ ἀόρατος, ἀμφιβολίαν πᾶσαν λέγων σοι· μὴ φοβηθῇς Ἰωσὴφ, Μαριὰμ τὴν ἄχραντον, σὺ παραλαβεῖν· γαστρὶ γὰρ φέρει, τὸν φέροντα θεϊκῇ, τούτου δυναστείᾳ τὰ σύμπαντα.

Ὠδὴ ε'. Θεὸς ὢν εἰρήνης.

ΠΡαότητι λάμπων, σοφὲ Ἰωσὴφ, ἐν τῇ γῇ τῶν πραέων ἐσκήνωσας, Χριστοῦ τοῦ πράου ῥήματι, Πατὴρ ὀνομασθείς· ὃν ἐν ταῖς σαῖς ἀγκάλαις, κρατήσας ἡγιάσθης· καὶ ἰδὼν ἐδοξάσθης, σάρκα βροτείαν περικείμενον.

ὩΣ θείαν νεφέλην, τὴν μόνην Ἁγνὴν, ἐν τοῖς κόλποις τὸν Ἥλιον κρύπτουσαν, εἰς Αἴγυπτον μετήγαγες, ἐκ Πόλεως Δαβίδ· τὸ ταύτης λῦσαι σκότος, τῆς εἰδωλομανίας· Ἰωσὴφ μυστηρίου, ὑπὲρ κατάληψιν διάκονε.

ΔΊκαιος ὑπάρχων, δικαίαις ὁδοῖς, τοῦ δικαίου Δεσπότου πεπόρευσαι, τοῦ κρίναντος δικαίως σε, τοιούτῳ φοβερῷ, παμμάκαρ μυστηρίῳ, πιστῶς καθυπουργῆσαι, τῆς ἀρρήτου λοχείας· δι' ἧς βροτοὶ ἐδικαιώθημεν.

Θεοτοκίον.

ἙΥρέθη ὡς ἔφη, Προφήτης Δαβίδ, ἐν γαστρὶ ἡ Παρθένος χωρήσασα, τὸν φύσει ἀπερίγραπτον, Θεὸν Ἐμμανουήλ. ὅπερ μὴ ἐννοήσας, ὁ θεῖος ἐδιδάχθη, Ἰωσὴφ ὑπ' Ἀγγέλου, νυκτὶ καθεύδων ὁ ἀοίδιμος.

Ὠδὴ ς'. Σπλάγχνων Ἰωνᾶ.

ΞΈνῳ τοκετῷ, ἐκ Κόρης Θεόπαιδος, τοῖς ξένοις ἡμῖν ἐπιδημήσαντα, τὸν ἀΐδιον, τοῦ Πατρὸς Θεὸν Λόγον λαβὼν Ἰωσὴφ· τὴν πρὸς Αἴγυπτον παμμάκαρ ξένην κάθοδον, χαίρων, σὺν αὐτῷ πεποίησαι, καθυπήκων τοῖς θείοις προστάγμασιν.

Ἠκολούθησας Θεῷ, σαρκὶ νηπιάσαντι, σοφὲ Ἰωσὴφ διακονούμενος, ὥσπερ Ἄγγελος, καὶ ἀμέσως πρὸς τούτους ηὐγάσθης σαφῶς, τὰς ἀκτῖνας τὰς ἀΰλους εἰσδεχόμενος, μάκαρ, καὶ φωτοειδέστατος, καὶ ψυχῇ καὶ καρδίᾳ δεικνύμενος.

ὍΛος ἐπαφῇ, τῇ θείᾳ πανεύφημε, καθαγιασθεὶς ψυχῇ καὶ σώματι, μεταβέβηκας, πρὸς ἀΰλους μονὰς, ἁγιάζων νυνὶ, τοὺς τελοῦντας σου τὴν μνήμην Ἱερώτατε. ὄντως, Ἰωσὴφ πανάγιε, Παναγίας Μνηστὴρ Θεομήτορος. Θκ.

ΝΈον ἐπὶ γῆς, Παιδίον ἑώρακας, Παρθένου Ἁγνῆς ἀποτικτόμενον, τὸν προτέλειον, καὶ πρὸ πάντων αἰώνων ἐκφύντα

Δημόσια Κεντρική Βιβλιοθήκη

Πα-

Πατρός. καὶ Ἀγγέλων ἀνυμνούντων τοῦτο ἤκουσας· ἔνδον τοῦ σπηλαίου κείμενον, Ἰωσὴφ ἐπὶ φάτνης πανεύφημε.

Κοντάκ. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Εὐφροσύνης σήμερον Δαβὶδ πληροῦται ὁ Θεῖος· Ἰωσήφ τε αἴνεσιν, σὺν Ἰακώβῳ προσφέρει. στέφος γὰρ τῇ συγγενείᾳ Χριστοῦ λαβόντες, χαίρουσι, καὶ τὸν ἀφράστως ἐν γῇ τεχθέντα, ἀνυμνοῦσι, καὶ βοῶσιν· Οἰκτίρμων σῷζε τοὺς σὲ γεραίροντας.

Ὁ Οἶκος.

Ἀπορρήτῳ βουλῇ τίκτεται σαρκὶ ὁ ἄσαρκος· περιγράφεται νῦν σώματι ὁ ἀπερίγραπτος, καὶ σῴζει ἀτρέπτως τὰς ἄμφω οὐσίας. ἀρχὴν λαμβάνει, ὁ φύσει ἄναρχος, καὶ μόνος ὑπέρχρονος. ὁρᾶται βρέφος, ὁ ὑπερτέλειος. φέρεται χερσὶ, ὁ φέρων τὰ σύμπαντα. διὸ τοὺς τῇ τούτου συγγενείᾳ σεμνυνομένους, ὡς Θεὸς στέφει τῷ ἑαυτοῦ τοκετῷ. οὓς δοξάζοντες πίστει, ἀσιγήτως ἐκβοῶμεν· Οἰκτίρμων σῷζε τοὺς σὲ γεραίροντας.

Κυριακῇ μετὰ τὴν Χριστοῦ Γέννησιν, Μνήμη τῶν Ἁγίων καὶ δικαίων Θεοπατόρων, Ἰωσὴφ τοῦ Μνήστορος τῆς Ἁγίας Παρθένου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἰακώβου τοῦ Ἀδελφοῦ τοῦ Κυρίου, καὶ Δαβὶδ τοῦ Προφήτου καὶ Βασιλέως.

Στ. Τιμῶ Ἰωσὴφ Μνήστορα τῆς Παρθένου.
Τιμήσας αὐτὴν κατὰ πάντα τὸν τρόπον.
Σὺ τέκτονος Παῖς, ἀλλ' Ἀδελφὸς Κυρίου,
Τοῦ πάντα τεκτήναντος ἐν λόγῳ μάκαρ.
Δαβὶδ βλέπων νῦν Χριστὸν ἐκ σῆς ὀσφύος,
Τὸ κατὰ σάρκα, σκίρτα τε καὶ ἀγάλλου.

Δαβὶδ ὁ Προφήτης καὶ Βασιλεὺς, ἦν Υἱὸς Ἰεσσαί. Τοῦτον ἐδίδαξεν ὁ Προφήτης Νάθαν τὸν νόμον Κυρίου, καὶ προεφήτευσεν ἔτη τεσσαράκοντα. Προέλαβε δὲ τὴν Σάρκωσιν τοῦ Χριστοῦ, ἔτη ἐννεακόσια ἐννενήκοντα ἐννέα· καὶ ἦν ἐν Γαβαά. Καὶ εἶδε Νάθαν, ὅτι Δαβὶδ ἐν τῇ Βηρσαβεὲ παραβήσεται. καὶ σπεύδων ἐλθεῖν ἀναγγεῖλαι αὐτῷ, ἐνεποδίσθη ὑπὸ τοῦ Βελίαρ· εὗρε γὰρ κατὰ τὴν ὁδὸν νεκρὸν κείμενον, ἐσφαγμένον, γυμνὸν, καὶ ἐπέμεινεν ἐκεῖ, θέλων θάψαι τὸν νεκρὸν, καὶ τῇ νυκτὶ ἐκείνῃ ἐπέγνω, ὅτι ἐποίησε τὴν ἁμαρτίαν Δαβὶδ, καὶ ὑπέστρεψε πενθῶν. Ὡς δὲ ἀνεῖλε καὶ τὸν ἄνδρα αὐτῆς ὁ Δαβὶδ, ἔπεμψε Κύριος τὸν Προφήτην Νάθαν ἐλέγξαι αὐτόν. πολλὰ δὲ πενθήσας ὁ Δαβὶδ, καὶ πάνυ γηράσας, ἀπέθανε, καὶ ἐτάφη ἐν τῇ γῇ αὐτοῦ, μετὰ τῶν Πατέρων αὐτοῦ. Γίνεται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, καὶ ἐν τῷ Ἀποστολείῳ τοῦ Ἁγίου Ἀποστόλου Ἰακώβου, τοῦ Ἀδελφοῦ τοῦ Κυρίου, ἔνδον τοῦ σεβασμίου οἴκου τῆς Ὑπεραγίας Θεοτόκου τῶν Χαλκοπρατείων.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ'. Οἱ Παῖδες εὐσεβείᾳ.

Προρρήσεων τὸ πέρας, τῶν ἐνθέων Προφητῶν ἑώρακας. ὃν γὰρ ἐκήρυξαν Χριστὸν, ἐλευσόμενον ἐκ Κόρης Ἁγνῆς, ἐψηλάφησας, καὶ βρέφος κατενόησας· ὡς καθαρὸς τὴν ψυχὴν, Χριστοῦ θεράπων.

Ἀμέμπτῳ πολιτείᾳ, Ἰωσὴφ κεκοσμημένος ἔνδοξε, φύλαξ ἀμέμπτου ἀληθοῦς, Παρθενίας ἐχρημάτισας· καὶ Πατὴρ τοῦ τεχθέντος Παιδὸς κέκλησαι. μεγαλυνθεὶς τῇ σεπτῇ προσηγορίᾳ.

Ῥήματι ὁ τεκταίνων, Οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, κέκληται τέκτονος Υἱὸς, σοῦ παμμάκαρ ἀξιάγαστε· τοῦ ἀνάρχου σε Πατρὸς ὄντως δοξάσαντος, ὡς ἱερὸν ὑπουργὸν, τῶν ὑπὲρ λόγον.

Συμβόλοις ἱεροῖς σε, τυπουμένην Ἰωσὴφ ὁ δίκαιος, Θεοχαρίτωτε Ἁγνὴ, ἐγνωκὼς ῥάβδῳ κληροῦται σου, τὴν μνηστείαν τὴν σεπτὴν ἐπιμνησθεὶς Ἀαρὼν, τῆς βλαστησάσης ποτὲ ἁγίας ῥάβδου.

Ὠδὴ η'. Θαύματος ὑπερφυοῦς.

Τίμιος ὡς ἀληθῶς ὁ θάνατός σου, κατενώπιον ὤφθη Κυρίου, Ἰωσὴφ πανόλβιε· σὺ γὰρ ὅλως ὁσιωθεὶς, ἀπὸ βρέφους ἱερὸς φύλαξ γεγένησαι, τῆς εὐλογημένης, μεθ' ἧς ἔμελπες· Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον καὶ ὑπερυψούτω.

Ἅπαντες χοροὶ τῶν Ἀσωμάτων, ὅνπερ τρέμουσι Θεὸν καὶ κτίστην, Ἰωσὴφ ὁ δίκαιος, παρρησίᾳ πανευλαβῶς, περιπτύσσεται ὡς βρέφος καὶ ἀσπάζεται· καὶ φῶς νοητὸν βοῶν κομίζεται· Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον.

Ἔτρωσαι τῷ γλυκυτάτῳ μάκαρ πόθῳ· καὶ ὡς Ἄγγελος τῷ σαρκωθέντι, παρεστὼς προστάξεσι, καθυπείκεις ταῖς θεϊκαῖς, δι' Ἀγγέλου ἐξ Αἰγύπτου μυούμενος· πρὸς γῆν Ἰσραὴλ ἐπανελεύσεσθαι μετὰ μόνης, τῆς ἀληθοῦς Θεομήτορος. Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον.

Θεοτοκίον.

Ὅμου τὰς σκιὰς εἶδες ποθήσας, τῇ τῆς Χάριτος φωτοχυσίᾳ· φωτεινὴν νεφέ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λιω τε, τὴν Παρθένον τὸν νοητὸν, ἀνατείλασαν σαρκὶ Ἥλιον ἔβλεψας· καὶ ὥσπερ ἀστὴρ πάντας ἐφώτισας, τοὺς βοῶντας σοφὲ Ἰωσὴφ ἑκάστοτε· Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω.

Ὠδὴ θ΄. Μυστήριον ξένον.

Ἰσότιμος πάντων Ἀγγέλων γεγένησαι, Προφητῶν Μαρτύρων τε, μάκαρ καὶ τῶν σοφῶν Ἀποστόλων συνόμιλος ὄντως αὐτός. διό, σὺν αὐτοῖς σε μακαρίζοντες, ἀεὶ Ἰωσήφ, τὴν ἱεράν σου μνήμην σέβομεν.

Ὡς ἐκ γένους, βασιλικοῦ καταγόμενος, τὴν Ἁγνὴν Βασίλισσαν, μέλλουσαν Ἰησοῦν, Βασιλέα τίκτειν ἀπορρήτως σοφέ, ἐμνηστεύσω, ἅπαντας ἐν γῇ προκριθείς, τοὺς γηγενεῖς μακαριώτατε.

Σθενούμενος, τῇ δυναστείᾳ τοῦ Πνεύματος, ἀρεταῖς κεκόσμησαι, μάκαρ ἐν βαθυτάτῳ γήρᾳ· πρὸς τοὺς σοὺς μετέβης λαμπρῶς, Ἰωσὴφ Πατέρας μέγιστος, Πατὴρ νομισθείς, τοῦ ἐκ Θεοῦ Πατρὸς ἐκλάμψαντος. Θ.

Φυλάττουσαν, τὴν παρθενίαν ἀκήρατον, τὴν ἁγνὴν ἐφύλαξας· Λόγος ἐξ ἧς Θεός, ἐσαρκώθη φυλάξας Παρθένον αὐτήν, μετὰ γέννησιν ἀπόρρητον. μεθ᾽ ἧς, Θεοφόρε Ἰωσήφ, ἡμῶν μνημόνευε.

Ἐξαποστειλ. τὸ Ἀναστάσιμον, καὶ τῶν Ἁγίων.

Τοῖς Μαθηταῖς.

Σὺν Ἰακώβῳ μέλψωμεν, τῷ κλεινῷ Θεαδέλφῳ, Δαβὶδ τὸν Θεοπάτορα, Ἰωσήφ τε τὸν θεῖον, τῆς Θεοτόκου Μνήστορα. τοῦ Χριστοῦ γὰρ τῇ θείᾳ, Γεννήσει καθυπούργησαν, Βηθλεὲμ ἐν τῇ Πόλει θεοπρεπῶς, μετ᾽ Ἀγγέλων Μάγων τε καὶ Ποιμένων· αὐτῷ τὸν ὕμνον ᾄδοντες, ὡς Θεῷ καὶ Δεσπότῃ.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, εἰ. Ἀναστάσιμα τοῦ Ὀκτωήχου δ΄. καὶ Ἀνατολικὸν ἕν, εἶτα τῆς Ἑορτῆς τοὺς δ΄. τετάρτους.

Εὐφραίνεσθε δίκαιοι, οὐρανοί.

Θεοτόκε Παρθένε, ἡ Τεκοῦσα.

Δεῦτε ἀνυμνήσωμεν τὴν Μητέρα.

Ὁ Πατὴρ εὐδόκησεν. Ὁ Λόγος.

Ζήτει ταῦτα πάντα εἰς τοὺς Αἴνους τῆς Ἑορτῆς τῶν Χριστοῦ Γεννῶν.

Δόξα, Ἰδιόμ. ἦχος πλ. δ΄. Ἀνατολίου.

Αἷμα καὶ πῦρ, καὶ ἀτμίδα καπνοῦ, τέρατα γῆς, ἃ προεῖδεν Ἰωήλ. αἷμα, τὴν Σάρκωσιν, πῦρ τὴν Θεότητα· ἀτμίδα δὲ καπνοῦ, τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ ἐπελθὸν τῇ Παρθένῳ, καὶ Κόσμον εὐωδιάσαν. μέγα τὸ μυστήριον τῆς σῆς ἐνανθρωπήσεως, Κύριε δόξα σοι.

Καὶ νῦν. Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοὶ τοῦ ἤχου, καὶ ἐκ τοῦ Κανόνος τῶν Ἁγίων.

Ὠδὴ γ΄. Προκείμενον, ἦχος δ΄.

Θαυμαστὸς ὁ Θεός. Στ. Ἐν Ἐκκλησίαις.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου.

Ἀδελφοί, γνωρίζω ὑμῖν τὸ Εὐαγγέλιον, Κεφ. α. 11.
τὸ εὐαγγελισθὲν ὑπ᾽ ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον. οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐτό, οὔτε ἐδιδάχθην, ἀλλὰ δι᾽ ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ. Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ᾽ ὑπερβολὴν ἐδίωκον τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν. καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου. περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν πατρικῶν μου παραδόσεων. Ὅτε δὲ εὐδόκησεν ὁ Θεός, ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ, ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς Ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι. Οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ Ἀποστόλους· ἀλλ᾽ ἀπῆλθον εἰς Ἀραβίαν, καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν. ἔπειτα μετὰ ἔτη τρία, ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον· καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε. Ἕτερον δὲ τῶν Ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν Ἀδελφὸν τοῦ Κυρίου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Ἀναχωρησάντων τῶν Μάγων, ἰδοὺ Ἄγ-
γελος Κυρίου φαίνεται κατ᾽ ὄναρ τῷ Ἰω- Κεφ. β. 13.
σήφ, λέγων· Ἐγερθείς, παράλαβε τὸ Παιδίον, καὶ τὴν Μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον· καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι. Μέλλει γὰρ Ἡρώδης ζητεῖν τὸ Παιδίον, τοῦ ἀπολέσαι αὐτό. Ὁ δὲ ἐγερθείς, παρέλαβε τὸ Παιδίον, καὶ τὴν Μητέρα αὐτοῦ νυκτός, καὶ ἀνεχώρησεν εἰς Αἴγυπτον· καὶ ἦν ἐκεῖ ἕως τῆς τελευτῆς Ἡρώδου· Ἵνα πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου διὰ τοῦ Προφήτου, λέγοντος· Ἐξ Αἰγύπτου ἐκάλεσα τὸν Υἱόν μου. Τότε Ἡρώδης ἰδών, ὅτι ἐνεπαίχθη ὑπὸ τῶν Μάγων,

Δημόσια Κεντρική Βιβλιοθήκη

γων, ἐθυμώθη λίαν· καὶ ἀποστείλας ἀνεῖλε πάντας τοὺς παῖδας, τοὺς ἐν Βηθλεέμ, καὶ ἐν πᾶσι τοῖς ὁρίοις αὐτῆς, ἀπὸ διετοῦς καὶ κατωτέρω, κατὰ τὸν χρόνον ὃν ἠκρίβωσε παρὰ τῶν Μάγων. Τότε ἐπληρώθη τὸ ῥηθὲν ὑπὸ Ἱερεμίου τοῦ Προφήτου, λέγοντος· Φωνὴ ἐν Ῥαμᾶ ἠκούσθη, θρῆνος, καὶ κλαυθμός, καὶ ὀδυρμὸς πολύς, Ῥαχὴλ κλαίουσα τὰ τέκνα αὐτῆς· καὶ οὐκ ἤθελε παρακληθῆναι, ὅτι οὐκ εἰσί. Τελευτήσαντος δὲ τοῦ Ἡρώδου, ἰδοὺ Ἄγγελος Κυρίου κατ᾽ ὄναρ φαίνεται τῷ Ἰωσὴφ ἐν Αἰγύπτῳ, λέγων· Ἐγερθεὶς, παράλαβε τὸ Παιδίον, καὶ τὴν Μητέρα αὐτοῦ, καὶ πορεύου εἰς γῆν Ἰσραήλ· τεθνήκασι γὰρ οἱ ζητοῦντες τὴν ψυχὴν τοῦ Παιδίου. Ὁ δὲ ἐγερθεὶς, παρέλαβε τὸ Παιδίον, καὶ τὴν Μητέρα αὐτοῦ, καὶ ἦλθεν εἰς γῆν Ἰσραήλ. Ἀκούσας δὲ ὅτι Ἀρχέλαος βασιλεύει ἐπὶ τῆς Ἰουδαίας ἀντὶ Ἡρώδου τοῦ Πατρὸς αὐτοῦ, ἐφοβήθη ἐκεῖ ἀπελθεῖν. χρηματισθεὶς δὲ κατ᾽ ὄναρ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας. καὶ ἐλθὼν κατῴκησεν εἰς Πόλιν λεγομένην Ναζαρέτ. ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν Προφητῶν, ὅτι Ναζωραῖος κληθήσεται.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Καὶ τό, Ἀγαλλιᾶσθε Δίκαιοι.

## Μηνὶ τῷ αὐτῷ ΚΖ΄.

Τοῦ Ἁγίου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου· καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Θεοδώρου τοῦ Γραπτοῦ, καὶ Αὐταδέλφου Θεοφάνους τοῦ Ποιητοῦ. Ἑσπέρας μετὰ τὴν συνήθη στιχολογίαν, εἰς τό, Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια τοῦ Πρωτομάρτυρος, ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἡ τοῦ Πνεύματος χάριτι, λαμπρυνθεὶς τὴν διάνοιαν, τῇ μορφῇ ὡς Ἄγγελος ὤφθης Στέφανε. διαδοθείσης τῷ σώματι, τῆς ἔνδον λαμπρότητος, καὶ τὴν αἴγλην τῆς ψυχῆς, φανερούσης τοῖς βλέπουσι. δι᾽ ἧς ἐπέτυχες, καὶ φωτὸς θεωρίας Οὐρανῶν σοι, παραδόξως ἀνοιγομένων, ἀρχὴ Μαρτύρων καὶ καύχημα.

Ὅμοιον.

Ὡς βαθμίδες καὶ κλίμακες, πρὸς οὐράνιον ἄνοδον, αἱ τῶν λίθων νιφάδες σοι γεγόνασιν. ὧν ἐπιβαίνων τεθέασαι, ἑστῶτα τὸν Κύριον, τοῦ Πατρὸς ἐκ δεξιῶν· σοὶ ὁμώνυμον στέφανον, προτεινόμενον, δεξιᾷ ζωηφόρῳ· οὗ πλησίον, ὡς καλλίνικος παρέστης, καὶ Ἀθλητῶν ἀκροθίνιον.

Ὅμοιον.

Ἐν σημείοις καὶ τέρασιν, ἀπαστράπτων καὶ δόγμασι, παρανόμων ἔσβεσας τὸ συνέδριον. καὶ ὑπ᾽ αὐτῶν ἀναιρούμενος, καὶ λίθοις βαλλόμενος, ὑπὲρ τῆς τῶν φονευτῶν, σὺ προσηύχου ἀφέσεως· ἐκμιμούμενος, τὴν φωνὴν τοῦ Σωτῆρος. οὗ εἰς χεῖρας, ἐναπέθου σου τὸ Πνεῦμα, τὸ ἱερώτατον Στέφανε.

Καὶ τοῦ Ὁσίου, ζήτει εἰς Ὅσιον. Δόξα, τοῦ Πρωτομάρτυρος, ἦχος β΄. Ἀνατολίου.

Τῷ Βασιλεῖ καὶ Δεσπότῃ τοῦ παντὸς, τεχθέντι ἐπὶ γῆς, Στέφανος ὑπέρλαμπρος προσφέρεται. οὐκ ἐκ λίθων τιμίων κατεσκευασμένος, ἀλλ᾽ ἐξ οἰκείων αἱμάτων διηνθισμένος. ἀλλ᾽ ὦ φιλομάρτυρες, δεῦτε τὰ τῶν ᾀσμάτων ἄνθη δρεψάμενοι, τὰς κεφαλὰς ἀναδησώμεθα· καὶ τοῖς ὕμνοις ἀναμέλποντες, εἴπωμεν· ὁ σοφίᾳ καταγλαϊσθεὶς, καὶ χάριτι τὴν ψυχὴν, Πρωτομάρτυς Χριστοῦ τοῦ Θεοῦ, αἴτησαι ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν, τῆς Ἑορτῆς, ἦχος ὁ αὐτός.

Μέγα καὶ παράδοξον θαῦμα, τετέλεσται σήμερον. Παρθένος τίκτει, καὶ μήτρα οὐ φθείρεται. ὁ Λόγος σαρκοῦται, καὶ τοῦ Πατρὸς οὐ κεχώρισται. Ἄγγελοι μετὰ Ποιμένων δοξάζουσι, καὶ ἡμεῖς καὶ αὐτοῖς ἐκβοῶμεν· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη.

Εἰς τὸν στ. στ. τῆς Ἑορτῆς, ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων ἐξανατείλαντα, καὶ ὡς Υἱὸν ἐν κόλπῳ, πατρικῷ ἀεὶ ὄντα, αὖθις ἐπ᾽ ἐσχάτων ἀγκάλαις Μητρὸς, ὡς ἐν Θρόνῳ καθήμενον, καὶ ὑπ᾽ Ἀγγέλων, Ποιμένων, Μάγων τε νῦν, προσκυνούμενον ὑμνήσωμεν.

Στ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Ἐν Βηθλεὲμ συνελθόντες, πιστοὶ ὀψόμεθα, τὸν τῶν ἁπάντων Κτίστην, κείμενον ἐν τῇ φάτνῃ· καὶ τοὺς ἐκ γῆς Χαλδαίων, δῶρον καλὸν, προσκομίζοντας τρίϋλον, ὡς Βασιλεῖ καὶ Θεῷ τε, καὶ δι᾽ ἡμᾶς, τριημέρῳ ὑπαχθέντι νεκρῷ.

Στ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου.

Ἐκ τῆς Παρθένου ἐτέχθης, ὑπὸ τὸ σπήλαιον· καὶ στρατιαὶ Ἀγγέλων, ἐπιστᾶσαι

ἐβόων· Δόξα ἐν ὑψίστοις, σοὶ τῷ Θεῷ, τῷ τεχθέντι ἐν δούλου μορφῇ· καὶ ἀναπλάσαντι Κόσμον ἐν τῇ Γαστρὶ, τῆς Παρθένου καὶ ἀνάνδρου Μητρός.

Δόξα, τοῦ Ἁγίου, ἦχος πλ. β'. Ἀνατολίου.

Πρῶτος ἐν Μάρτυσιν ἐδόχθης, καὶ ἐν Διακόνοις, Στέφανε μακάριε, τῶν Ἀθλητῶν τὸ ἐγκαλλώπισμα, τῶν πιστῶν τὸ καύχημα, ἡ δόξα τῶν δικαίων· τοὺς τὴν σεπτήν σου ἑορτάζοντας μνήμην, αἴτησαι ὡς παρεστάμενος τῷ θρόνῳ, Χριστοῦ τοῦ Παντάνακτος, τῶν πταισμάτων ἱλασμὸν, καὶ Βασιλείας Οὐρανῶν ἀξιωθῆναι.

Καὶ νῦν, τῆς Ἑορτῆς, ὁ αὐτός.

Χορεύουσιν Ἄγγελοι πάντες ἐν Οὐρανῷ, καὶ ἀγάλλονται σήμερον. σκιρτᾷ δὲ πᾶσα ἡ Κτίσις, διὰ τὸν γεννηθέντα ἐν Βηθλεὲμ σωτῆρα Κύριον. ὅτι πᾶσα πλάνη τῶν εἰδώλων πέπαυται· καὶ βασιλεύει Χριστὸς εἰς τοὺς αἰῶνας.

Ἀπολυτίκιον, τοῦ Ἁγίου, ἦχος δ'.

Βασίλειον διάδημα ἐστέφθη σῇ κορυφῇ, ἐξ Ἄθλων ὧν ὑπέμεινας, ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, Μαρτύρων πρωτόαθλε· σὺ γὰρ τὴν Ἰουδαίων ἀπελέγξας μανίαν, εἶδές σου τὸν Σωτῆρα τοῦ Πατρὸς δεξιόθεν. αὐτὸν οὖν ἐκδυσώπει ἀεὶ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν α'. καὶ β'. Στιχολ. λέγε τὰ Καθ. τῆς Ἑορτῆς.

Ὁ Κανὼν τῆς Ἑορτῆς, καὶ τοῦ Ἀποστόλου. καὶ τοῦ Ὁσίου, ὁ Κανὼν τοῦ Ἀποστόλου.

Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ἵππον καὶ ἀναβάτην.

Αἰνεῖτε στέφανον ὕμνοις τὸν Πρωτομάρτυρα, ἡ Χριστοῦ Ἐκκλησία, ἐνδόξως στεφανώσωμεν· καὶ θεῖα στεφόμενοι, τοῦ Στεφάνου χάριτι, ἐπινίκιον ὕμνον ᾄσωμεν.

Φέρων τοῦ Διδασκάλου τὸ πρᾶον φρόνημα, καὶ τὴν ἐκ τῆς ἀγάπης, ὑψοποιὸν ταπείνωσιν, ἀξίως ὁ Στέφανος, Διακόνων πρόκριτος, καὶ προστάτης χηρῶν γεγένηται.

Ὑπὸ προχειρίαν τῶν Ἀποστόλων Χριστοῦ, ἐπαξίως ἐκλήθης, καὶ ὡς πιστὸς Διάκονος, φερώνυμε Στέφανε, χρηματίσας ἔνθα Χριστὸς, δι' αἵματος μεταβέβηκας.

Θεοτοκίον.

Σὺ μὲν ὑπὲρ ἀνθρώπων, Χριστὲ τὸν ἄνθρωπον, ἐκ Παρθένου φορέσας, ὡς βρέφος ἐσπαργάνωσαι. ὁ σὸς δὲ χωννύμενος, Πρωτομάρτυς λίθων βολαῖς, τὸν ἄνθρωπον ἀποδύεται.

Τοῦ δὲ Ὁσίου τὸν Κανόνα, ζήτει εἰς [illegible].

Ὠδὴ γ'. Ὁ πήξας ἐπ' οὐδενός.

Νομίμως ὡς Χριστοῦ, στρατιώτης ὁ Στέφανος, πρὸς τοὺς Θεοκτόνους παραταξάμενος. τὸ ἀκαταγώνιστον αὐτοῦ, σθένος ἐνδεδυμένος, τῶν παρανόμων ἐθριάμβευσεν, ἅπασαν τὴν βλάσφημον αἵρεσιν.

Τῷ ζήλῳ τῆς Χριστοῦ, πυρωθεὶς ἀγαπήσεως, καὶ πρὸς τοὺς ἀγῶνας ἀποδυσάμενος, Πίστεως καὶ Πνεύματος πλησθεὶς, θεῖος ὁ Πρωτομάρτυς, τῶν ἁλιέων ἐβεβαίωσε πᾶσι τὸ θεόκριτον κήρυγμα.

Ὡς κήρυξ τῆς κεκρυμμένης ὄντως, καὶ θείας ζωῆς, τῆς παρούσης ὥσπερ ἐπιλαθόμενος· ἔργῳ διαδείκνυσι σαφῶς, πᾶσιν ὁ Πρωτομάρτυς, τροπαιοφόρον τὴν ἀλήθειαν, Δέσποτα προκρίνας τὸν θάνατον. Θε.

Οὐ βίᾳ δι' ἡμᾶς, ὁ Δεσπότης τὸ σπήλαιον, ὑπεισῆλθε τρόπῳ συγκαταβάσεως. ὁ δὲ τῶν Μαρτύρων Ἀρχηγὸς, Στέφανος τὴν σπιλάδα, τὴν ἀνθρωπίνην ὑπεξέρχεται, πόθῳ τοῦ Δεσπότου βαλλόμενος.

Καθ. ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ἀπόστολε Χριστοῦ, Διακόνων ὁ πρῶτος, Πρωτομάρτυς σοφὲ, τῶν Μαρτύρων ἀκρότης. ὁ Κόσμου τὰ πέρατα, ἁγιάσας τοῖς ἄθλοις σου, καὶ τοῖς θαύμασι, ψυχὰς ἀνθρώπων λαμπρύνας, τοὺς τιμῶντάς σε, ῥῦσαι παντοίων κινδύνων, πανεύφημε Στέφανε.

Ἕτερον, τοῦ αὐτοῦ, ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Τὴν τοῦ Πνεύματος πηγὴν, ἐν τῇ καρδίᾳ μυστικῶς. κεκτημένος τοῦ Χριστοῦ, ὁ Πρωτομάρτυς ἀληθῶς, τῶν Ἰουδαίων ἀπήλεγξε τὴν αὐθάδειαν, καὶ ἔδειξεν αὐτοῖς, τὸν Υἱὸν τοῦ Θεοῦ, ἐκ σπέρματος Δαβὶδ, ἀναβλαστήσαντα, τῷ τῆς σοφίας καὶ χάριτος πληρώματι, πεπληρωμένος ὁ ἔνδοξος. ἀλλ' ὦ τρισμάκαρ, τοὺς σὲ τιμῶντας, σῶζε πάντας πρεσβείαις σου.

Τῆς Ἑορτῆς, ἦχος γ'. Τὴν ὡραιότητα.

Θαῦμα παράδοξον, γέγονε σήμερον· ὁ γὰρ Σωτὴρ ἡμῶν, ἐν τῷ σπηλαίῳ σαρκὶ, ὤφθη ἐκ Παρθένου δι' ἡμᾶς, καθὼς αὐτὸς ἐπίσταται. Μάγοι μετὰ δώρων δὲ, ὡς Βασιλεῖ προσ-

σεκυνήσαν. Ποιμένες μετ' Ἀγγέλων τε, ἐδοξολόγουν αὐτῷ. μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν αὐτῷ, δόξα τῷ δι' ἡμᾶς ἐνανθρωπήσαντι.

Ὠδὴ δ'. Τὴν θείαν ἐννοήσας σου.

Κατήγορος κριτής τε καὶ ἄδικος ὁ βροτοκτόνος καὶ πατὴρ τοῦ ψεύδους, Στέφανε δείκνυται. ἀλλ' ἑαυτὸν ἀνατρέπει, τοὺς βρόχους κατ' αὐτοῦ τεκτηνάμενος.

Ὁ Μέγας τῆς ἀθλήσεως πρόβολος, αὐτ' ἀδενὸς τοῦ δυσμενοῦς, Τυράννου κρίνας τὴν ἔφοδον, καταπαλαίει ἀνδρείως, εὐτέχνως ὑποβὰς τὸν ἀντίπαλον.

Ὡς πρῶτος τῶν Μαρτύρων ὁ Στέφανος, ὁδοποιήσας τε ἡμῖν, τοῦ Μαρτυρίου τὴν εἴσοδον, στεφανηφόρος χορεύει, τῷ στέφει τῶν Μαρτύρων στεφόμενος. Θεοτοκίον.

Ἐκλάμψας ἐκ Παρθένου ὡς Ἥλιος, συνανατέλλουσαν Χριστὲ, ὡς ἑωσφόρον τὴν εὔδοξον, τοῦ Πρωτομάρτυρος μνήμην, τῇ σῇ καταγλαΐζεις φαιδρότητι.

Ὠδὴ ε'. Ὁ ἀναβαλλόμενος.

Ἔλαμψεν ὡς Ἄγγελος, ὁ Πρωτομάρτυς σου, τῶν οὐρανίων Χριστὲ ἁψίδων, γεγονὼς ὑπέρτερος, καὶ δόξης ἀρρήτου, ἐμφορηθεὶς φιλάνθρωπε.

Ὡς ἀκαταγώνιστος, τοῦ Πρωτομάρτυρος, τοῦ θείου ζήλου ἡ παῤῥησία. καὶ γὰρ μέχρις αἵματος, πρὸς τοὺς Θεοκτόνους ἀνδρείως παρετάξατο.

Θεηγόρου στόματος, νιφάσιν ἔβαλε, τοὺς μιαιφόνους. ὁ Πρωτομάρτυς· ὑπ' αὐτῶν ἀπείροις δὲ, τῶν λίθων νιφάσιν, ὡς νικητὴς ἐστέφετο. Θεοτοκίον.

Ὃν ἐπιδημήσαντα, ἐξ ἀπειράνδρου Μητρὸς, ὁ Πρωτομάρτυς ἐν ἀκινήτῳ, τοῦ Πατρὸς Θεότητι, ἑστῶτα καὶ δόξῃ, ἐν Οὐρανοῖς τεθέαται.

Ὠδὴ ς'. Μαινομένην.

Ὁ κλεινὸς ταξίαρχος, τῶν Μαρτύρων Στέφανος πιστοὶ, τοὺς θεσμοὺς τῆς φύσεως τῇ χάριτι, ἐκβεβηκὼς, τῇ θείᾳ δόξῃ αὐγάζεται.

Μιμητὴς πανάριστος, χρηματίσας Δέσποτα Χριστὲ, τοῦ τιμίου Πάθους σου ὁ Στέφανος, τοὺς φονευτὰς, δι' εὐλογίας ἀμείβεται.

Μιαιφόνου πράξεως, ἀμετόχους φύλαττε Χριστὲ, καὶ τοῦ Πρωτομάρτυρος ἀξίωσον, σοὺς ὑμνητὰς, τῆς κληρουχίας ὡς εὔσπλαγχνος. Θεοτοκίον.

Πανκοσμίου γέγονε, σωτηρίας Δέσποτα Χριστὲ, ἀπαρχὴ ὁ τόκος σου καὶ Μάρτυσι, θεοπρεποῦς ὁμολογίας ὑπόθεσις.

Κοντάκ. ἦχ. γ'. Ἡ Παρθένος σήμερον.

Ὁ Δεσπότης χθὲς ἡμῖν, διὰ σαρκὸς ἐπεδήμει, καὶ ὁ δοῦλος σήμερον, ἀπὸ σαρκὸς ἐξεδήμει. χθὲς ὁ Βασιλεὺς ἡμῶν σαρκὶ ἐτέχθη· σήμερον ὁ οἰκέτης λιθοβολεῖται, δι' αὐτὸν καὶ τελειοῦται, ὁ Πρωτομάρτυς καὶ θεῖος Στέφανος. Ὁ Οἶκος.

Ὡς Ἀστὴρ φαεινὸς, σήμερον συνεξέλαμψε, τῇ Γεννήσει Χριστοῦ, ὁ Πρωτομάρτυς Στέφανος, ἀστράπτων καὶ φωτίζων τὰ πέρατα ἅπαντα· τῶν Ἰουδαίων μόνος ἠμαύρωσε τὴν πᾶσαν δυσσέβειαν, σοφίας λόγοις τούτοις διελέγξας, ἀπὸ τῶν Γραφῶν διαλεγόμενος. καὶ πείθων τούτους, τὸν γεννηθέντα ἐκ τῆς Παρθένου Ἰησοῦν, Υἱὸν αὐτὸν εἶναι Θεοῦ, κατήσχυνε τούτων τὴν ἀσεβῆ κακουργίαν, ὁ Πρωτομάρτυς καὶ θεῖος Στέφανος.

Μηνὶ τῷ αὐτῷ κζ'. Μνήμη τοῦ Ἁγίου Ἀποστόλου, Πρωτομάρτυρος, καὶ Ἀρχιδιακόνου Στεφάνου, ἑνὸς τῶν Ἑπτὰ Διακόνων.

Στίχ. Λόγων στεφάνοις, οἷα τιμίοις λίθοις.
Στέφω Στέφανον, ὃν προέστεψαν λίθοι.
Εἰκάδι λαΐγεσσι Στέφανον μόρος ἑβδόμῃ εἷλεν.

Οὗτος, ζητήσεως γενομένης ποτὲ, μεταξὺ Ἰουδαίων, καὶ Σαδδουκαίων, καὶ Φαρισαίων, καὶ Ἑλλήνων, περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ τῶν μὲν λεγόντων, ὅτι Προφήτης ἐστί. τῶν δὲ, ὅτι πλάνος· τῶν δὲ, ὅτι Υἱὸς τοῦ Θεοῦ· στὰς ἐφ' ὑψηλοῦ τόπου ὁ Στέφανος, εὐηγγελίσατο πᾶσι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, εἰπών· Ἄνδρες ἀδελφοὶ, ἵνα τί ἐπληθύνθησαν ὑμῶν αἱ κακίαι, καὶ συγκέχυται πᾶσα Ἱερουσαλήμ; Μακάριος ἄνθρωπος, ὃς οὐκ ἐδίστασεν εἰς Χριστὸν Ἰησοῦν. οὗτος γάρ ἐστιν ὁ κλίνας οὐρανοὺς, καὶ καταβὰς διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ τεχθεὶς ἐκ Παρθένου Ἁγίας, καὶ καθαρᾶς, καὶ ἐκλελεγμένης πρὸ καταβολῆς Κόσμου. Αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασε· Τυφλοὺς γὰρ ἐποίησεν ἀναβλέψαι, λεπροὺς ἐκαθάρισε, καὶ τοὺς δαίμονας ἀπήλασεν. Οἱ δὲ ἀκούσαντες, ἤγαγον αὐτὸν εἰς τὸ συνέδριον πρὸς τοὺς Ἀρχιερεῖς. οὐκ ἴσχυον γὰρ ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ Πνεύματι, ᾧ ἐλάλει. καὶ ἀπελθόντες, ὑπέβαλον

ἄνδρας

ἄνδρας τινὰς λέγοντας, ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα, κατὰ τοῦ τόπου τοῦ Ἁγίου, καὶ τοῦ Νόμου. καὶ τὰ λοιπὰ καταλέξαντες, καθὼς ἐν ταῖς ἱεραῖς Πράξεσιν ἀναφέρεται τῶν Ἀποστόλων. ἀτενίσαντες δὲ, καὶ ἰδόντες πάντες τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον Ἀγγέλου. καὶ τὴν αἰσχύνην τῆς ἥττης μὴ φέροντες, λιθοβολήσαντες, ἀναιροῦσιν ἐπευχόμενον, καὶ λέγοντα· Κύριε μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Ἐπεὶ δὲ ἐξαίρετον πτῶμα, διὰ τῆς νομιστάσης αὐτοῦ πτώσεως, ὁ Θεῖος Πρωτομάρτυς τὸν ἀντίπαλον καταβαλὼν, τὸν γλυκὺν ὕπνον ἀνεπαύσατο, συγκομίζεται τὸ ἱερὸν ἐκεῖνο σκήνωμα ὑπὸ ἀνδρῶν εὐλαβῶν ἐν γλωσσοκόμῳ Περσαίας, εἶδος δὲ τοῦτο φυτοῦ. οἳ καὶ κατασφαλισάμενοι, ἐκ πλαγίων αὐτὸ κατέθεντο τοῦ Ναοῦ. Ὁ δὲ Νομοδιδάσκαλος Γαμαλιὴλ, καὶ ὁ τούτου Υἱὸς Ἀβελβοὺς, πιστεύσαντες εἰς Χριστὸν, ὑπὸ τῶν Ἀποστόλων ἐβαπτίσθησαν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ Μαρτυρείῳ αὐτοῦ, τῷ ὄντι πλησίον Κωνσταντιανῶν.

Ὠδὴ ζʹ. Ὁ Ὑπερυψούμενος.

Ὡς ποικίλοις ἄνθεσι, καὶ ὡραίοις Στέφανε, τοῖς λίθοις κοσμούμενος, σαυτὸν προσενήνοχας, Χριστῷ τῷ Ζωοδότῃ, μελῳδῶν· εὐλογητὸς εἶ.

Ὡς ἀκαταγώνιστος, ἡ τοῦ Σαύλου ἔνστασις, πορθοῦντος τὸ πρότερον, Χριστοῦ τοὺς θεράποντας, προσάγοντας τὰ Ἔθνη, τῷ Χριστῷ εἰς τοὺς αἰῶνας.

Τοὺς ὀδόντας βρύχοντες, φονικῶς οἱ ἄνομοι, ὡς θῆρες ἁρπάσαντες, ἀνῄρουν τὸν Στέφανον, εὐθέως μελῳδοῦντα· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἐπαρθεὶς τῷ Πνεύματι, τῷ Ἁγίῳ Στέφανε, ἀρρήτως τεθέασαι, Υἱὸν σὺν Γεννήτορι, κραυγάζων τῇ Τριάδι· ὁ Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ὁ τῷ ἀνατέλλοντι, ἐκ Παρθένου θείας Ἁγνῆς, προσήνεκται ἔμψυχος, ὡς Βασιλεῖ Στέφανος, εὐθέως μελῳδῶν σοι· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ ηʹ. Σοὶ τῷ παντουργῷ.

Δεῦτε νοητῶς τῇ τοῦ Στεφάνου δόξῃ, λαμπόμενοι μελψῶμεν, τῷ σαρκωθέντι Θεῷ· πάντα τὰ ἔργα τὸν Κύριον ὑμνεῖτε.

Ὤφθη σοι Χριστὸς ἐν τῇ πατρῴᾳ δόξῃ, τῶν ἄθλων μισθοῦν σοι, σαφῶς τὰ ἔπαθλα. ὅθεν ἐβόας· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σοὶ ὡς νικητῇ τῆς παρανόμου πλάνης, ἀθλήσεως στέφανος, ἐπλάκη Στέφανε. ὅθεν ἐβόας· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἔπλεξεν ἡμῖν ὁ τοῦ Δεσπότου τόκος, χορείαν ἡ μνήμη τε τοῦ Πρωτομάρτυρος. ὅθεν ἀπαύστως, τὸν Κύριον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Σὲ τὴν ὑπὲρ νοῦν θεανδρικῶς τῷ Λόγῳ, τεκοῦσαν τὸν Κύριον, καὶ παρθενεύσασαν· πάντα τὰ ἔργα, Παρθένε εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θʹ. Ἡσαΐα χόρευε.

Τῶν ἐπαίνων Στέφανε, ὑπερέβης ἅπαντα θεσμὸν, καὶ φέρεις κατὰ πάντας, λόγου ἀψευδῶς, σὺ τὰ νικητήρια. ἀδυνατεῖ βρότιος γὰρ νοῦς, πλέξασθαι στέφανον, ἐγκωμίων σοι ἐπάξιον.

Τῆς μακαρίας σου, ἧς ἐφθέγξω Στέφανε φωνῆς· μὴ στήσῃς τοῖς φονευταῖς, Δέσποτα βοῶν, Χριστὲ τὸ ἀγνόημα. ἀλλ᾽ ὡς Θεὸς καὶ δημιουργὸς, δέξαι τὸ πνεῦμά μου, ὥσπερ θῦμα εὐωδέστατον.

Ὑπὲρ τῶν πόνων ἔπαθλον, ἀνεδήσω τὸ νικητικὸν, ἐκ Παντοκρατορικῆς, στέφος δεξιᾶς. καὶ νῦν παμμακάριστε, παρεστηκὼς τῷ παμβασιλεῖ, δόξῃ καὶ χάριτι, τοὺς ὑμνοῦντάς σε περίσωζε. Θεοτοκίον.

Χρονικῆς ὑπάρξεως, ἐκ Παρθένου εἴληφεν ἀρχὴν, σαρκὶ ὁ ἐκ τοῦ Πατρὸς, ἄχρονος Υἱός. διὸ ἀναιρούμενος, ὁ μιμητὴς Στέφανος Χριστοῦ, νῦν ἐκληρώσατο, ἀπαρχὴν τῆς ἀϊδίου ζωῆς. Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Ὁ πλήρης θείας χάριτος, καὶ δυνάμεως ὄντως, τερατουργῶν διήλεγχε, θεοκτόνων τὰ στίφη, διακονῆς μελετῶντα. ὑψηγόρῳ δὲ γλώττῃ, θεολογῶν ὁ Στέφανος, καὶ Πατρὸς δεξιόθεν, τὸν Ἰησοῦν, καθορῶν νῦν ἔφησεν ἑστηκότα, πρὸς ὃν λιθολευόμενος, στεφηφόρος ἀνῆλθεν. Ἕτερον, Ὅμοιον.

Ὁ τῷ Πατρὶ καὶ Πνεύματι, συναΐδιος Λόγος, καὶ συμφυὴς καὶ σύνθρονος, ἐκ Παρθένου γεννᾶται, ἐν Βηθλεὲμ νῦν ὡς Βρέφος. ὃν Θεὸν καὶ Σωτῆρα, ὁ Πρωτομάρτυς Στε-

φανος, ἀειδήλως κηρύξας, ὑπὸ χειρῶν, μιαιφόνων χειρῶν λιθολευστᾶται, καὶ στεφηφόρος ἄνεισι, πρὸς αὐτὸν μετὰ δόξης.

Εἰς τοὺς Αἴνους, στιχ. δ΄. ἰδιόμελα τοῦ Ἁγίου. ἦχος α΄. Κυπριανοῦ.

Ἀθλοφορικὸν Στέφανον, τῷ Πρωτάθλῳ οἱ πιστοὶ στέψωμεν, ἐκ λογικῶν ἀνθέων. αὐτὸς γὰρ τὴν τῶν Μαρτύρων προητοίμασεν ὁδὸν, καὶ ἐν χαρᾷ ἀνεβόα· ἰδοὺ τοὺς Οὐρανοὺς ἀνεῳγμένους θεωρῶ, καὶ τὸν Υἱὸν τοῦ Θεοῦ, ἐκ δεξιῶν ἑστῶτα τοῦ ἀοράτου Πατρός.

Ἦχος β΄. Ἀνατολίου.

Ἁγιωσύνην ἐνεδύσω, Στέφανε μακάριε, Πρωτομάρτυς καὶ Πρωτοδιάκονε, τῶν Ἀγγέλων συμμέτοχε, δυσωπήθητι, καὶ πρέσβευε ὑπὲρ ἡμῶν, πρὸς τὸν Σωτῆρα Κύριον τὸν ἀναμάρτητον. Ὁ αὐτός.

Πρῶτος ἐν Διακόνοις, πρῶτος καὶ ἐν Μάρτυσιν ἐδείχθης, πανάγιε Στέφανε. ὁδὸς γὰρ ἐγένου τοῖς Ἁγίοις, καὶ πολλοὺς τῷ Κυρίῳ προσήγαγες Μάρτυρας. διὸ Οὐρανός σοι ἠνοίγη, καὶ Θεός σοι ἐφάνη. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος δ΄. Ἰωάννου Μοναχοῦ.

Στέφανε ἔνδοξε, οὐρανοπολῖτα, Χριστοῦ θεράπον μακάριε, πρεσβείαν ποίησον, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Στιχ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἦχος β΄. Ἀνατολίου.

Τὸν Πρωτομάρτυρα, καὶ γενναῖον τοῦ Χριστοῦ θεράποντα, Στέφανον τὸν Πρωτοδιάκονον, ἐπαξίως τιμήσωμεν. οὗτος γὰρ ἑστὼς ἐν μέσῳ παρανόμων, ἐν δεξιᾷ Πατρὸς Υἱὸν ἐθεάσατο.

Στιχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ἦχος δ΄. Ἰωάννου Μοναχοῦ.

Στέφανος ἡ καλὴ ἀπαρχὴ τῶν Μαρτύρων, ὁ πλήρης χάριτος καὶ δυνάμεως. ὁ ποιῶν σημεῖα καὶ τέρατα μεγάλα ἐν τῷ λαῷ, ὑπὸ ἀνόμων ἐλιθάζετο. ἀλλ᾿ ἐξέλαμψεν ὡς Ἄγγελος, καὶ θεωρεῖ τὴν δόξαν, τοῦ σαρκωθέντος ὑπὲρ ἡμῶν, ἐκ δεξιῶν τῆς δυνάμεως. καὶ τῷ πνεύματι τῆς χάριτος, εἰς Οὐρανοὺς ἀνελαμβάνετο. καὶ διὰ τοῦτο ταῖς χοροστασίαις, τῶν Ἀγγέλων συναυλιζόμενος, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. α΄. Κυπριανοῦ.

Πρωτομάρτυς Ἀπόστολε, καὶ Πρωτοδιάκονε, ἡ στήλη τῶν Μαρτύρων, ἡ δόξα τῶν Δικαίων, τῶν Ἀποστόλων τὸ καύχημα. σὺ Οὐρανοὺς ἐθεάσω ἀνεῳγμένους, ἐν τῷ σταδίῳ ἑστώς. καὶ τὸν Υἱὸν τοῦ Θεοῦ, ἐκ δεξιῶν ἑστῶτα τοῦ ἀοράτου Πατρός. διὸ ὡς Ἄγγελος ἐκλάμψας τῷ προσώπῳ, ἐν χαρᾷ ἀνεκραύγαζες ὑπὲρ τῶν λιθαζόντων· μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. καὶ νῦν αἴτησαι τοῖς ἐκ πόθου εὐφημοῦσί σε, ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Ἀκατάληπτον τὸ τελούμενον, ἐν Βηθλεὲμ σήμερον μυστήριον. ὁ ἀόρατος ὁρᾶται· ὁ ἄσαρκος σαρκοῦται· ὁ Λόγος παχύνεται· καὶ ὁ ὤν, γίνεται ὃ οὐκ ἦν. Παρθένος τίκτει ἐν σπηλαίῳ Βρέφος νέον, τὸν Πλάστην τῆς φύσεως. φάτνη ἐκτυποῦται εἰς θρόνον ἐπουράνιον. κτίσις ἀπεικάζει χερουβικὴν παράστασιν. Ποιμένες θαυμάζουσι, Μάγοι δῶρα προσφέρουσιν, Ἄγγελοι ἀνυμνοῦντες λέγουσι· Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη. ἐν ἀνθρώποις γὰρ εὐδόκησεν, ἀναλλοιώτως ὁ Ἐμμανουήλ.

Εἰς τὸν στιχ. στιχηρὰ προσόμοια τῆς Ἑορτῆς, ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Ἰδοῦσα κρατούμενον χερσὶν, ἑαυτῆς ἡ πάναγνος, τὸν Ποιητὴν ἀπεφθέγγετο· Τέκνον γλυκύτατον, πῶς σὲ βρέφος βλέπω, καὶ νοεῖν οὐ δύναμαι, τὴν ἄπορόν σου νῦν συγκατάβασιν; ὑμνῶ τὸ κράτος σου. προσκυνῶ τὴν εὐσπλαγχνίαν σου, δι᾿ ἧς σῶσαι, Κόσμον παραγέγονας.

Στιχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Ὡς βρέφος με βλέπουσα ταῖς σαῖς, ἐπαναπαυόμενον, Μῆτερ ἀγκάλαις εὐφράνθητι. ἦλθον τὸν Κόσμον γὰρ, ὅλον ἐξελέσθαι, τὸν Ἀδὰμ ὃν ἔπλασα, κακίστῃ συμβουλίᾳ τοῦ ὄφεως, ξύλου γευσάμενον, καὶ τρυφῆς ἔξω γενόμενον, Παραδείσου, καὶ καταφθειρόμενον.

Στιχ. Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου.

Σὲ βρέφος προτέλειε ὁρῶ, φάτνῃ προσκλινόμενον. οὐ συνορῶ μυστηρίου δὲ, βάθος τὸ ἄφρασον, πῶς καὶ μετὰ τόκον, ἄφθορος διέμεινα, τοὺς νόμους ὑπερβᾶσα τῆς φύσεως; τίνα ἂν αἶνόν σοι, προσαγάγω; πῶς δοξάσω σε; ἡ Παρθένος Κόρη ἀπεφθέγγετο.

Δόξα, τοῦ Ἁγίου, ἦχος πλ. δ΄. Κυπριανοῦ.

Χαίροις ἐν Κυρίῳ, στεφανηφόρε Στέφανε, ὁ μιμητὴς τοῦ Δεσπότου. διότι καὶ Πρωτομάρ-

τυς γέγονας, Χριστοῦ τοῦ Βασιλέως ἡμῶν. καὶ τὴν πλάνην τῶν ἀνόμων Ἰουδαίων κατήργησας. πρέσβευε ἡμῶν πρὸς Κύριον.

Καὶ νῦν, τῆς Ἑορτῆς, ἦχος ὁ αὐτός.

Ἰωάννου Μοναχοῦ.

Παράδοξον μυστήριον οἰκονομεῖται σήμερον. καινοτομοῦνται φύσεις, καὶ Θεὸς ἄνθρωπος γίνεται. ὅπερ ἦν μεμένηκε, καὶ ὃ οὐκ ἦν προσέλαβεν, οὐ φυρμὸν ὑπομείνας, οὐδὲ διαίρεσιν.

Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τοῦ Κανόνος. ᾨδὴ γ΄. καὶ ς΄.

Προκείμ. τοῦ Ἀποστόλου, ἦχος πλ. δ΄.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ὁ Ἀπόστολος. Πράξεων τῶν Ἀποστόλων.

Κεφ. ς΄. 8. Ἐν ταῖς ἡμέραις ἐκείναις, Στέφανος πλήρης Πίστεως καὶ δυνάμεως, ἐποίει τέρατα καὶ σημεῖα μεγάλα ἐν τῷ λαῷ. Ἀνέστησαν δέ τινες τῶν ἐκ τῆς συναγωγῆς τῆς λεγομένης Λιβερτίνων, καὶ Κυρηναίων, καὶ Ἀλεξανδρέων, καὶ τῶν ἀπὸ Κιλικίας καὶ Ἀσίας, συζητοῦντες τῷ Στεφάνῳ. Καὶ οὐκ ἴσχυον ἀντιστῆναι τῇ σοφίᾳ καὶ τῷ Πνεύματι, ᾧ ἐλάλει. Τότε ὑπέβαλον ἄνδρας λέγοντας. Ὅτι ἀκηκόαμεν αὐτοῦ λαλοῦντος ῥήματα βλάσφημα εἰς Μωσῆν, καὶ τὸν Θεόν. Συνεκίνησάν τε τὸν λαὸν, καὶ τοὺς πρεσβυτέρους, καὶ τοὺς Γραμματεῖς, καὶ ἐπιστάντες συνήρπασαν αὐτὸν, καὶ ἤγαγον εἰς τὸ συνέδριον. Ἔστησάν τε μάρτυρας ψευδεῖς, λέγοντας· Ὁ ἄνθρωπος οὗτος οὐ παύεται ῥήματα βλάσφημα λαλῶν κατὰ τοῦ τόπου τοῦ ἁγίου τούτου, καὶ τοῦ Νόμου. Ἀκηκόαμεν γὰρ αὐτοῦ λέγοντος, ὅτι Ἰησοῦς ὁ Ναζωραῖος, οὗτος καταλύσει τὸν τόπον τοῦτον, καὶ ἀλλάξει τὰ ἔθη, ἃ παρέδωκεν ἡμῖν Μωσῆς. Καὶ ἀτενίσαντες εἰς αὐτὸν ἅπαντες οἱ καθεζόμενοι ἐν τῷ συνεδρίῳ, εἶδον τὸ πρόσωπον αὐτοῦ, ὡσεὶ πρόσωπον Ἀγγέλου. Εἶπε δὲ ὁ Ἀρχιερεύς· εἰ ἄρα ταῦτα οὕτως ἔχει; ὁ δὲ ἔφη. Ἄνδρες ἀδελφοὶ καὶ Πατέρες, ἀκούσατε· ὁ Θεὸς τῆς δόξης ὤφθη τῷ Πατρὶ ἡμῶν Ἀβραὰμ ὄντι ἐν τῇ Μεσοποταμίᾳ, πρὶν ἢ κατοικῆσαι αὐτὸν ἐν Χαρράν. καὶ εἶπε πρὸς αὐτόν. Ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ δεῦρο εἰς γῆν, ἣν ἄν σοι δείξω. Τότε ἐξελθὼν ἐκ γῆς Χαλδαίων, κατῴκησεν ἐν Χαρράν. Κἀκεῖθεν μετὰ τὸ ἀποθανεῖν τὸν Πατέρα αὐτοῦ, μετῴκισεν αὐτὸν εἰς τὴν γῆν ταύτην, εἰς ἣν ὑμεῖς νῦν κατοικεῖτε, καὶ οὐκ ἔδωκεν αὐτῷ κληρονομίαν ἐν αὐτῇ, οὐδὲ βῆμα ποδός. Σολομὼν δὲ ᾠκοδόμησεν αὐτῷ οἶκον. ἀλλ᾽ οὐχ ὁ Ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ Προφήτης λέγει· ὁ Οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου. Ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει Κύριος; ἢ τίς τόπος τῆς καταπαύσεώς μου; οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα; Σκληροτράχηλοι, καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν. Ὑμεῖς ἀεὶ τῷ Πνεύματι τῷ Ἁγίῳ ἀντιπίπτετε, ὡς οἱ Πατέρες ὑμῶν καὶ ὑμεῖς. Τίνα τῶν Προφητῶν οὐκ ἐδίωξαν οἱ Πατέρες ὑμῶν; καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ Δικαίου, οὗ νῦν ὑμεῖς προδόται καὶ φονεῖς γεγένησθε. οἵτινες ἐλάβετε τὸν Νόμον εἰς διαταγὰς Ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε. Ἀκούοντες δὲ ταῦτα, διεπρίοντο ταῖς καρδίαις αὐτῶν, καὶ ἔβρυχον ἐπ᾽ αὐτὸν τοὺς ὀδόντας αὐτῶν. Ὑπάρχων δὲ πλήρης Πνεύματος Ἁγίου, ἀτενίσας εἰς τὸν Οὐρανὸν, εἶδε δόξαν Θεοῦ, καὶ Ἰησοῦν ἑστῶτα ἐκ δεξιῶν τοῦ Θεοῦ. καὶ εἶπεν· Ἰδοὺ θεωρῶ τοὺς Οὐρανοὺς ἀνεῳγμένους, καὶ τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐκ δεξιῶν ἑστῶτα τοῦ Θεοῦ. κράξαντες δὲ φωνῇ μεγάλῃ συνέσχον τὰ ὦτα αὐτῶν, καὶ ὥρμησαν ὁμοθυμαδὸν ἐπ᾽ αὐτὸν, καὶ ἐκβαλόντες ἔξω τῆς Πόλεως, ἐλιθοβόλουν. Καὶ οἱ μάρτυρες ἀπέθεντο τὰ ἱμάτια αὐτῶν παρὰ τοὺς πόδας νεανίου καλουμένου Σαύλου, καὶ ἐλιθοβόλουν τὸν Στέφανον ἐπικαλούμενον, καὶ λέγοντα· Κύριε Ἰησοῦ Χριστὲ, δέξαι τὸ Πνεῦμά μου. Θεὶς δὲ τὰ γόνατα, ἔκραξε φωνῇ μεγάλῃ· Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην. Καὶ τοῦτο εἰπὼν, ἐκοιμήθη.

Ἀλληλούϊα, ἦχος α΄.

Ἐξομολογήσονται οἱ Οὐρανοί.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ια. 23. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ἄνθρωπός τις ἦν οἰκοδεσπότης, ὅστις ἐφύτευσεν ἀμπελῶνα, καὶ φραγμὸν αὐτῷ περιέθηκε, καὶ ὤρυξεν ἐν αὐτῷ ληνὸν, καὶ ᾠκοδόμησε πύργον, καὶ ἐξέδοτο αὐτὸν γεωργοῖς, καὶ ἀπεδήμησεν. Ὅτε δὲ ἤγγισεν ὁ καιρὸς τῶν καρπῶν, ἀπέστειλε τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργοὺς, λαβεῖν τοὺς καρποὺς αὐτοῦ. καὶ λα-

βόντες οἱ γεωργοὶ τοὺς δούλους αὐτοῦ, ὃν μὲν ἔδειραν, ὃν δὲ ἀπέκτειναν, ὃν δὲ ἐλιθοβόλησαν. Πάλιν ἀπέστειλεν ἄλλους δούλους πλείονας τῶν πρώτων· καὶ ἐποίησαν αὐτοῖς ὡσαύτως. Ὕστερον δὲ ἀπέστειλε πρὸς αὐτοὺς τὸν Υἱὸν αὐτοῦ, λέγων· ἐντραπήσονται τὸν Υἱόν μου. Οἱ δὲ γεωργοὶ ἰδόντες τὸν Υἱὸν, εἶπον ἐν ἑαυτοῖς· Οὗτός ἐστιν ὁ κληρονόμος, δεῦτε, ἀποκτείνωμεν αὐτὸν, καὶ κατάσχωμεν τὴν κληρονομίαν αὐτοῦ. Καὶ λαβόντες αὐτὸν, ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀπέκτειναν. Ὅταν οὖν ἔλθῃ ὁ Κύριος τοῦ ἀμπελῶνος, τί ποιήσει τοῖς γεωργοῖς ἐκείνοις; Λέγουσιν αὐτῷ· κακοὺς κακῶς ἀπολέσει αὐτούς· καὶ τὸν ἀμπελῶνα ἐκδόσεται ἄλλοις γεωργοῖς, οἵτινες ἀποδώσουσιν αὐτῷ τοὺς καρποὺς ἐν τοῖς καιροῖς αὐτῶν. Λέγει αὐτοῖς ὁ Ἰησοῦς. οὐδέποτε ἀνέγνωτε ἐν ταῖς γραφαῖς· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Μηνὶ τῷ αὐτῷ κη΄.

Τῶν Ἁγίων δισμυρίων Μαρτύρων, τῶν ἐν Νικομηδείᾳ καέντων. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ κθ΄.

Τῶν Ἁγίων Νηπίων, τῶν ὑπὸ Ἡρῴδου ἀναιρεθέντων, ὧν ὁ ἀριθμὸς, χιλιάδες ιδ΄. καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαρκέλλου, ἐκ τῆς μονῆς τῶν Ἀκοιμήτων. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας, καὶ εἰς ἕνα Ὅσιον.

Μηνὶ τῷ αὐτῷ λ΄.

Τῆς Ἁγίας Μάρτυρος Ἀνυσίας, καὶ τοῦ Ὁσίου Ζωτικοῦ πρεσβυτέρου τοῦ ὀρφανοτρόφου. Ἐν ταύτῃ τῇ ἡμέρᾳ ψάλλομεν καὶ τὴν Ἀκολουθίαν τῆς Ἁγίας Μελάνης, διὰ τὸ μέλλειν ἡμᾶς ἀποδιδόναι τὴν τῶν Χριστοῦ Γεννῶν Ἑορτὴν, κατὰ τὴν λα΄. Καὶ ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα Γυναῖκα, καὶ εἰς Ὁσίαν. Δόξα, καὶ νῦν ἰδιόμελα τῆς Ἑορτῆς, καὶ λέγε οἷα βούλει.

Μηνὶ τῷ αὐτῷ λα΄.

Τῆς Ὁσίας Μητρὸς ἡμῶν Μελάνης τῆς Ῥωμαίας. Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ Ἑορτὴ τῶν Χριστοῦ Γεννῶν, καὶ ψάλλομεν οὔτε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ, καθὼς δεδήλωται ἐν τῇ Ἑορτῇ, παρεκτὸς τῆς Λιτῆς, τοῦ Πολυελέου, καὶ τῶν Ἀναγνωσμάτων, καὶ ἐν τῇ Λειτουργίᾳ τῶν Ἀντιφώνων. Ἡ δὲ Ἀκολουθία τῆς Ἁγίας συμψάλλεται εἰς τὰς λ΄. μετὰ τῆς Ἁγίας Ἀνυσίας. ζήτει εἰς Ὁσίαν Γυναῖκα.

# ΜΗΝ ΙΑΝΝΟΥΑΡΙΟΣ.

Ἔχων ἡμέρας λα΄. Ἡ ἡμέρα ἔχει ὥρας ι΄. καὶ ἡ νὺξ ὥρας ιδ΄.

Εἰς τὴν Α΄. Ἡ κατὰ σάρκα Περιτομὴ τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Καὶ μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

Δεῖ εἰδέναι, ὅτι εἰ τύχῃ ἡ παροῦσα Ἑορτὴ ἐν Κυριακῇ, γίνεται ἀγρυπνία, καὶ προηγοῦνται τὰ Ἀναστάσιμα. εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ, ἀγρυπνία οὐ γίνεται.

Εἰς τὸ Λυχνικὸν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ή. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα, ἦχος πλ.

Συγκαταβαίνων ὁ Σωτὴρ τῷ γένει τῶν ἀνθρώπων, κατεδέξατο σπαργάνων περιβολὴν, οὐκ ἐβδελύξατο σαρκὸς τὴν περιτομήν. ὁ ὀκταήμερος κατὰ τὴν Μητέρα, ὁ ἄναρχος κατὰ τὸν Πατέρα. αὐτῷ πιστοὶ βοήσωμεν· Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

Δίς. Ὁ αὐτός.

Οὐκ ἐπαισχύνθη ὁ πανάγαθος Θεὸς, τῆς σαρκὸς τὴν περιτομὴν ἀποτμηθῆναι. ἀλλ' ἔδωκεν ἑαυτὸν, τύπον καὶ ὑπογραμμὸν, πᾶσι πρὸς σωτηρίαν. ὁ γὰρ τοῦ Νόμου ποιητὴς, τὰ τοῦ Νόμου ἐκπληροῖ, καὶ τῶν Προφητῶν τὰ κηρυχθέντα περὶ αὐτοῦ, ὁ πάντα περιέχων δρακὶ, καὶ ἐν σπαργάνοις εἰλιχθεὶς, Κύριε δόξα σοι. Δίς.

Ἕτερα στιχηρὰ προσόμοια τοῦ Ἁγίου, ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ Ἐπωνύμως κληθεὶς τῆς Βασιλείας· ὅτε τὸ Βασίλειον σὺ ἱεράτευμα, τὸ τοῦ Χριστοῦ ἔθνος ἅγιον, φιλοσοφίᾳ, καὶ ἐπιστήμῃ Πάτερ ἐποίμανας. τότε διαδήματι σὲ κατεκόσμησε, τῆς Βασιλείας Βασιλεῦ, βασιλευόντων, ὁ βασιλεύων καὶ πάντων Κύριος. ὁ τῷ τεκόντι συννοούμενος, ἀΐδιος Υἱὸς καὶ συνάναρχος. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν. Δίς.

ἱεραρ-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Ἱεραρχίας στολαῖς ἠγλαϊσμένος, χαίρων ἀνεκήρυξας τὸ Εὐαγγέλιον, τῆς Βασιλείας Βασίλεε· ὀρθοδοξίας, τῇ Ἐκκλησίᾳ βλύσας διδάγματα. οἷς νῦν φωτιζόμενοι, μίαν Θεότητα, τὴν ἐν Πατρὶ Παντοκράτορι, Μονογενεῖ τε, τῷ Θεῷ Λόγῳ καὶ θείῳ Πνεύματι, θεολογοῦμεν, καὶ δοξάζομεν, ἐν προσώποις τρισὶν ἀδιαίρετον· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Οὐρανίαις συνὼν χοροστασίαις, καὶ συναυλιζόμενος Πάτερ Βασίλεε· ὧν καὶ τὸν βίον ἐζήλωσας, τῇ λαμπροτάτῃ, εἰλικρινείᾳ τῆς πολιτείας σου· ἔτι μετὰ σώματος ἀναστρεφόμενος, τοῖς ἐπὶ γῆς ὥς τις ἄσαρκος· τοὺς ἐντρυφῶντας, τῆς Θεοπνεύστου διδασκαλίας σου. ἐκ τῶν κινδύνων καὶ τοῦ σκότους, τῆς ἀγνωσίας, Χριστὸν τὸν Θεὸν ἡμῶν. καθικέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. δ'. Ἀνατολίου.

Σοφίας ἐραστὴς γενόμενος Ὅσιε, καὶ πάντων τῶν ὄντων, τὴν πρὸς Θεὸν προκρίνας συμβίωσιν· μελέτην θανάτου, ἀκόπως τῷ βίῳ κατέλιπες. τὰ γὰρ σαρκὸς πάθη, ἐγκρατείας πόνοις, σεαυτοῦ περιελόμενος. καὶ θείᾳ μελέτῃ Νόμου. ἀδούλωτον τῆς ψυχῆς τηρήσας τὸ ἀξίωμα, ἀρετῆς περιουσίᾳ· ὅλον τῆς σαρκὸς τὸ φρόνημα, καθυπέταξας τῷ Πνεύματι. διὸ σάρκα μισήσας, καὶ Κόσμον, καὶ κοσμοκράτορα, παριστάμενος τῷ Χριστῷ, αἴτησαι ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν, ὁ αὐτός.

Συγκαταβαίνων ὁ Σωτὴρ τῷ γένει.

Εἴσοδος. τὸ Προκείμ. τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. Γενέσεως τὸ Ἀνάγνωσμα.

Κεφ. ιζ'. 1. Ὤφθη Κύριος τῷ Ἄβραμ, καὶ εἶπεν αὐτῷ· Ἐγώ εἰμι ὁ Θεός σου· εὐαρέστει ἐναντίον ἐμοῦ, καὶ γίνου ἄμεμπτος· καὶ θήσω τὴν διαθήκην μου ἀναμέσον ἐμοῦ, καὶ ἀναμέσον σοῦ καὶ πληθυνῶ σε σφόδρα, καὶ ἔσῃ Πατὴρ πλήθους ἐθνῶν. καὶ οὐ κληθήσεται τὸ ὄνομά σου Ἄβραμ, ἀλλ' ἔσται τὸ ὄνομά σου Ἀβραάμ· ὅτι Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε· καὶ αὐξανῶ σε σφόδρα, σφόδρα. καὶ θήσω σε εἰς ἔθνη, καὶ Βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται. Καὶ στήσω τὴν διαθήκην μου ἀναμέσον ἐμοῦ, καὶ ἀναμέσον σοῦ, καὶ ἀναμέσον τοῦ σπέρματός σου μετὰ σέ, εἰς τὰς γενεὰς αὐτῶν εἰς διαθήκην αἰώνιον· καὶ ἔσομαι αὐτοῖς Θεός· Καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ, καὶ προσεκύνησε τῷ Κυρίῳ. καὶ εἶπεν ὁ Θεὸς πρὸς Ἀβραάμ· Σὺ δὲ τὴν διαθήκην μου διατηρήσεις, σύ, καὶ τὸ σπέρμα σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν. καὶ αὕτη ἡ διαθήκη, ἣν διατηρήσεις ἀναμέσον ἐμοῦ, καὶ ἀναμέσον τοῦ σπέρματός σου, μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν. Περιτμηθήσεται ὑμῖν πᾶν ἀρσενικόν· καὶ περιτμηθήσεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν. καὶ ἔσται εἰς σημεῖον διαθήκης ἀναμέσον ἐμοῦ καὶ ὑμῶν. καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται ὑμῖν, πᾶν ἀρσενικὸν εἰς τὰς γενεὰς ὑμῶν. καὶ ἄρσεν, ὃ οὐ περιτμηθήσεται τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς, ὅτι τὴν διαθήκην μου διεσκέδασε.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ. Κεφ. η'. 22. Πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με, ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι· πρὸ τοῦ ἐλθεῖν τὰς πηγὰς τῶν ὑδάτων· πρὸ τοῦ ὄρη ἑδρασθῆναι· Πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με· Κύριος ἐποίησε χώρας, καὶ ἀοικήτους, καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' Οὐρανόν. Ἡνίκα ἡτοίμαζε τὸν Οὐρανόν, συμπαρήμην αὐτῷ, καὶ ὅτε ἀφώριζε τὸν ἑαυτοῦ Θρόνον ὑπ' ἀνέμων. Ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίθη πηγὰς τῆς ὑπ' Οὐρανόν. Ἐν τῷ τιθέναι τῇ θαλάσσῃ ἀκρίβασμον αὐτοῦ, καὶ ὕδατα οὐ παρελεύσεται στόμα αὐτοῦ. καὶ ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα. Ἐγὼ ἤμην, ᾗ προσέχαιρε. Καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ ἐν παντὶ καιρῷ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει Σοφίαν.

Ζήτει τὸ παρὸν Ἀνάγνωσμα Νοεμβ. ιγ'.

Εἰς τὴν Λιτήν, ἰδιόμ. ἦχος γ'. Γερμανοῦ.

Χριστὸν εἰσοικισάμενος ἐν τῇ ψυχῇ σου, διὰ τῆς καθαρᾶς σου πολιτείας, τὴν πηγὴν τῆς ζωῆς Ἱεροφάντα Βασίλεε ποταμοὺς ἀνέβλυσας, δογμάτων εὐσεβῶν τῇ Οἰκουμένῃ. ἐξ ὧν ποτιζόμενος, ὁ πιστὸς τῆς Ἐκκλησίας λαός, καρπὸν χειλέων, ὁμολογούντων τὴν χάριν, προσφέρει, τῷ δοξάσαντι τὴν μνήμην σου, εἰς αἰῶνα αἰῶνος.



ΔΗΜΟΤΙΚΗ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Μύρον ἐκκενωθὲν ἐπὶ σοὶ τῆς χάριτος ἐχρισέ σε ἱερουργῆσαι, τὸ Εὐαγγέλιον τῆς Βασιλείας τῶν Οὐρανῶν, Βασίλειε Θεοφάντορ, τῷ Χριστῷ εὐωδία γενόμενος, τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ, τὴν Οἰκουμένην ἐπλήρωσας. διὸ τὰς φωνὰς τῶν οἰκετῶν σου, εὐμενῶς δεχόμενος, αἴτησαι ἡμῖν τοῖς τιμῶσί σε, τὸ μέγα ἔλεος. Βύζαντος, ὁ αὐτός.

Τὴν ἱερατικὴν στολὴν ἀμπεχόμενος, Τριάδος ὑπέρμαχε Βασίλειε, θρόνῳ παρέστης δικαστικῷ, προκινδυνεύων τῆς πίστεως· καὶ ἀθλητικὴν ἔνστασιν ἐπιδειξάμενος, θυμὸν Ἐπάρχου κατήσχυνας, θρασυνομένου τῷ κράτει τῆς ἀσεβείας· καὶ σπλάγχνων ἐκτομὴν ἀπειλοῦντος, προθύμως ταῦτα προέκρινας· καὶ Μάρτυς γενόμενος τῇ προαιρέσει, τὸν στέφανον ἀνεδήσω τῆς νίκης παρὰ Χριστοῦ, τοῦ ἔχοντος τὸ μέγα ἔλεος. Δόξα, ἦχος πλ. β΄.

Ἐξεχύθη ἡ χάρις, ἐν χείλεσί σου, Ὅσιε Πάτερ· καὶ γέγονας Ποιμὴν, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας· διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι. Καὶ νῦν. ἦχος πλ. δ΄.

Συγκαταβαίνων ὁ Σωτήρ.

Ἀπόστ. Στιχ. Ἰδιόμ. ἦχος α΄. Βύζαντος.

Ὢ Θεία καὶ ἱερὰ τῆς Χριστοῦ Ἐκκλησίας μέλισσα, Βασίλειε παμμακάριστε. Σὺ γὰρ τῷ θείῳ πόθῳ τὸ κέντρον, σεαυτὸν καθοπλίσας, τῶν θεοστυγῶν αἱρέσεων τὰς βλασφημίας κατέτρωσας· καὶ ταῖς ψυχαῖς τῶν πιστῶν, εὐσεβείας τὸν γλυκασμὸν ἐθησαύρισας. καὶ νῦν τῶν θείων λειμώνων, τῆς ἀκηράτου διερχόμενος νομῆς, μνημόνευε καὶ ἡμῶν, παρεστὼς τὴν Τριάδα τὴν ὁμοούσιον.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν.

Βασιλείου Μοναχοῦ.

Πάντων τῶν Ἁγίων ἀνεμάξω τὰς ἀρετὰς, Πατὴρ ἡμῶν Βασίλειε. Μωϋσέως τὸ πρᾶον, Ἠλιοῦ τὸ ζῆλον, Πέτρου τὴν ὁμολογίαν, Ἰωάννου τὴν Θεολογίαν, ὡς Παῦλος ἐκβοῶν οὐκ ἐπαύσω· τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι; ὅθεν σὺν αὐτοῖς αὐλιζόμενος, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν.

Ἰωάννου Μοναχοῦ, ἦχος β΄.

Τῶν ὄντων ἐκμελετήσας τὴν φύσιν, καὶ πάντων περισκοπήσας τὸ ἄστατον, μόνον εὗρες ἀκίνητον, τὸν ὑπερουσίως ὄντα Δημιουργὸν τοῦ παντός· ᾧ καὶ μᾶλλον προσθέμενος, τῶν οὐκ ὄντων τὸν πόθον ἀπέρριψας. πρέσβευε καὶ ἡμᾶς τοῦ θείου πόθου τυχεῖν, Ἱεροφάντα Βασίλειε. Δόξα, ἦχος πλ. β΄.

Ὁ τὴν χάριν τῶν θαυμάτων, οὐρανόθεν κομισάμενος, καὶ τὴν πλάνην τῶν Εἰδώλων, στηλιτεύσας ἐν τοῖς δόγμασιν. Ἀρχιερέων ὑπάρχεις δόξα καὶ ἑδραίωμα, παμμακάριστε Βασίλειε. καὶ πάντων τῶν Πατέρων, διδασκαλίας ὑπόδειγμα. παῤῥησίαν ἔχων πρὸς Χριστὸν, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν, ἦχος πλ. δ΄.

Οὐκ ἐπαισχύνθη ὁ πανάγαθος Θεός.

Ἀπολυτίκιον, ἦχος α΄.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος σου, ὡς δεξαμένην τὸν λόγον σου· δι' οὗ θεοπρεπῶς ἐδογμάτισας, τὴν φύσιν τῶν ὄντων ἐτράνωσας· τὰ τῶν ἀνθρώπων ἤθη κατεκόσμησας, Βασίλειον Ἱεράτευμα. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον τῆς Ἑορτῆς. Ὁ αὐτός.

Ὁ Θρόνῳ πυριμόρφῳ ἐν ὑψίστοις καθήμενος, σὺν Πατρὶ τῷ ἀνάρχῳ καὶ τῷ θείῳ σου Πνεύματι. εὐδόκησας τεχθῆναι ἐπὶ γῆς, ἐκ Κόρης ἀπειράνδρου Ἰησοῦ. διὰ τοῦτο καὶ περιετμήθης, ὡς ἄνθρωπος ὀκταήμερος. δόξα τῇ παναγάθῳ σου βουλῇ. δόξα τῇ εὐσπλαγχνίᾳ σου· δόξα τῇ πρὸς ἡμᾶς ἄκρᾳ συγκαταβάσει σου.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. Στιχολ. Κάθ. ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Ὡς βασίλειον κόσμον τῆς Ἐκκλησίας Χριστοῦ, τὸν Βασίλειον πάντες ἀνευφημήσωμεν, τῶν δογμάτων θησαυρὸν τὸν ἀνέκλαπτον. διὰ τούτων γὰρ αὐτὸς, ἐξεπαίδευσεν ἡμᾶς, Τριάδα σέβειν Ἁγίαν, ἡνωμένην μὲν τῇ οὐσίᾳ, διαιρετὴν δὲ ταῖς ὑποστάσεσι.

Ἕτερον, ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Βασίλειε σοφὲ, παρεστὼς τῇ Τριάδι, ἱκέτευε τυχεῖν, ἐν ἡμέρᾳ τῆς δίκης, ἡμᾶς τοὺς ὑμνοῦντάς σε, καὶ τιμῶντας τὴν μνήμην σου, χάριν ἐλέους, καὶ ἱλασμὸν τῶν πταισμάτων. ὅπως στόματι, δοξάζωμεν καὶ καρδίᾳ, τὸν μόνον φιλάνθρωπον.

Ἕτερον, Ὅμοιον.

Ὁ Πάντων Ποιητὴς, καὶ Δεσπότης τοῦ Κόσμου, ὁ ὢν σὺν τῷ Πατρὶ, καὶ τῷ Πνεύματι

αἰῶ,

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

ἄνω, ὡς βρέφος περιτέμνεται, ἐπὶ τῆς ὀκταημέρου. ὄντως θεῖά τε, καὶ θαυμαστά σου τὰ ἔργα. σὺ γὰρ Δέσποτα, ὑπὲρ ἡμῶν περιτέμνῃ, ὡς ὢν Νόμου πλήρωμα.

Μετὰ τὴν β΄. στιχολ. κάθισμα. ἦχος πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς ἀρρήτου Σοφίας θεοπτικῶς, ἐξαντλήσας τὸν πλοῦτον τὸν μυστικὸν, πᾶσιν ἐθησαύρισας, ὀρθοδοξίας τὰ νάματα. τῶν μὲν πιστῶν τὰς καρδίας, εὐθέως εὐφραίνοντα. τῶν δὲ ἀπίστων τὰ δόγματα, ἀξίως βυθίζοντα. ὅθεν δι᾽ ἀμφοτέρων, εὐσεβείας ἱδρῶσιν, ἐδείχθης ἀήττητος, τῆς Τριάδος ὑπέρμαχος, Ἱεράρχα Βασίλειε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ἕτερον, ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὡς ὑπάρχων Ἄβυσσος φιλανθρωπίας, ἐνεδύσω Δέσποτα, μορφὴν τοῦ δούλου, καὶ σαρκὶ, περιετμήθης, δωρούμενος, πᾶσιν ἀνθρώποις, τὸ μέγα σου ἔλεος.

Ἕτερα κάθισμα. μετὰ τὸν Πολυέλεον, ἦχος πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Τῇ δυνάμει τῶν λόγων τῶν θεϊκῶν, τὰς αἱρέσεις καθεῖλες τὰς ζοφεράς. πάντα τὰ φρυάγματα, Εὐνομίου ἐβύθισας. τοῖς γὰρ βροτοῖς τὸ Πνεῦμα, Θεὸν ἀνεκήρυξας. καὶ τῶν χειρῶν ἐκτάσει, ἐχθροὺς ἐθανάτωσας. πᾶσαν ἐκδιώξας, Σαβελλίου λατρείαν. πάντα τὰ φρονήματα, Νεστορίου κατήργησας, Ἱεράρχα Βασίλειε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Δίς. Θεοτοκίον.

Ὁ τῶν ὅλων Δεσπότης καὶ Ποιητὴς, ἐξ ἀχράντου σου μήτρας σάρκα λαβὼν, προστάτιν σε ἔδειξε, τῶν ἀνθρώπων Πανάμωμε. διὰ τοῦτο πάντες, πρὸς σὲ καταφεύγομεν, ἱλασμὸν πταισμάτων, αἰτούμενοι Δέσποινα. καὶ αἰωνιζούσης, λυτρωθῆναι βασάνου, καὶ πάσης κακώσεως, τοῦ δεινοῦ κοσμοκράτορος. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν πανάγιον τόκον σου.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Τὸ στόμα μου λαλήσει σοφίαν.

Στ. Ἀκούσατε ταῦτα πάντα. Πᾶσα πνοή.

Τὸ Εὐαγγέλιον, ζήτει Νοεμβ. ιγ΄. ὁ Ν΄.

Καὶ τὸ Ἰδιόμελον, ἦχος πλ. β΄.

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, Ὅσιε Πάτερ· καὶ γέγονας Ποιμὴν, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας· διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Ὁ Κανὼν τῆς Ἑορτῆς, καὶ τοῦ Ἁγίου, δευτεροῦντες τοὺς Εἱρμοὺς, τὰ δὲ τροπάρια ὁμοῦ εἰς δώδεκα. ὁ Κανὼν τῆς Ἑορτῆς. Ποίημα Στεφάνου.

Ὠδὴ α΄. ἦχος β΄. Ὁ Εἱρμός.

Δεῦτε λαοὶ, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι, τὸν λαὸν ὃν ἀνῆκε, δουλείας Αἰγυπτίων, ὅτι δεδόξασται.

Ἡ Ὀγδοὰς, φέρουσα τύπον τοῦ μέλλοντος, τῇ σῇ Χριστὲ λαμπρύνεται καὶ ἁγιάζεται, ἑκουσίῳ πτωχείᾳ. ἐν ταύτῃ γὰρ νομίμως, περιετμήθης σαρκί.

Περιτομὴν, δέχεται τῇ ὀγδοάδι Χριστὸς, τῆς ἑαυτοῦ Γεννήσεως. καὶ ταύτης σήμερον, τὴν σκιὰν καταστέλλει. τὸ φῶς ἐξανατέλλων, τῆς νέας χάριτος. Τοῦ Ἁγίου, ὁ αὐτός.

Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Σοῦ τὴν φωνὴν, ἔδει παρεῖναι Βασίλειε, τοῖς ἐγχαρεῖν ἐθέλουσι, τοῖς ἐγκωμίοις σου. ἀλλὰ Πάτερ συγγνώμην, γενόμενος, τὴν χάριν, νέμοις ἀφθόνως ἡμῖν.

Τὸ ἐμπαθὲς, σκίρτημα τῆς τυραννούσης σαρκὸς, φιλοσοφίας ἔρωτι, ἐπαιδαγώγησας, διὸ ἐν ἀκηράτοις, αὐλίζῃ Βασιλείοις, Πάτερ Βασίλειε.

Τῶν ἀρετῶν, σὺ τὴν τραχεῖαν βαδίσας ὁδὸν, ἐπὶ τὴν λείαν ἔφθασας, καὶ ἀστασίαστον, τὴν οὐράνιον βάσιν· καὶ πᾶσιν ἀνεδείχθης, τύπος Βασίλειε.

Τὰ τῆς ψυχῆς, πάθη χρησίμως Βασίλειε, ἅμα δὲ καὶ τοῦ σώματος, ἐν τῷ τοῦ Πνεύματος, περιέτεμες ξίφει. σεαυτὸν δὲ τῷ Δεσπότῃ θῦμα προσενήνοχας.

Υἱὸς γεγονὼς, μύστης ἀρρήτων Βασίλειε· τὸ τοῦ Χριστοῦ Βασίλειον, ἐμυσταγώγησας, Ἱεράταμα Πάτερ. σαφῶς τὸ τῆς Τριάδος, φῶς ἀπαστράψας ἡμῖν. Θεοτοκίον.

Τίς ἐξειπεῖν, σοῦ κατ᾽ ἀξίαν δυνήσεται, τὴν ὑπὲρ λόγον σύλληψιν; Θεὸν γὰρ τέτοκας, ἐν σαρκὶ Παναγία, ἡμῖν ἐμφανεύοντα, Σωτῆρα πάντων ἡμῶν.

Καταβασία. Βυθοῦ ἀνεκάλυψε πυθμένα.

Καὶ ὁ ἕτερος Χορός.

Στίβα θαλάσσης, κυματούμενον σάλον.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν· καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν, τῶν ὑμνούντων σε.

Ὁ Λόγος σαρκωθεὶς ὁ ὑπερούσιος, εἰς λῆξιν τοῦ Νόμου περιετμήθη. ἀπαρχὴν δὲ θείας χάριτος, καὶ ζωῆς ἀκηράτου ἡμῖν δέδωκε.

Οὐ Νόμου πληρωτής, ὡς οὐκ ἀντίθεος, ὑπάρχων Χριστὸς ὁ σεσαρκωμένος. ἀνεδέχθη καὶ ἠξίωσεν, ἑκὼν περιτμηθῆναι ὀκταήμερος.

Τοῦ Ἁγίου.

Παιδείας γεγονὼς ἁπάσης ἔμπλεως, οὐ μόνον τῆς κάτω καὶ πατουμένης· πολλῷ μᾶλλον δὲ τῆς κρείττονος, ἀνεδείχθης τῷ Κόσμῳ φῶς Βασίλειε.

Τῷ φόβῳ τοῦ Κυρίου στοιχούμενος· ἀρχὴ γὰρ σοφίας οὗτος ὑπάρχει. τῇ φιλίᾳ τῆς ἀμείνονος, ἐπτερώθης σοφίας ὦ Βασίλειε.

Βασίλειε σοφῶς ἐπέβης πράξεως, καὶ πρᾶξιν ἐπίβασιν θεωρίας, θεόπτης ἐπιδέδειξαι. καὶ τῶν ὄντων τὴν γνῶσιν, ἐμυήθης σαφῶς.

Συνέδραμε Χριστοῦ καὶ συνεξέλαμψεν, ἡ μνήμη σου Πάτερ τοῖς γενεθλίοις· ὧν τὸ ἄφρασον Μυστήριον, ταῖς σαῖς διδασκαλίαις ἐφανέρωσας.

Θεοτοκίον.

Ἀσπόρως ἐν γαστρὶ Θεὸν συνέλαβες, καὶ τίκτεις ἀφράστως σεσαρκωμένον. εἰς ὃν βλέπειν οὐ τολμῶσιν Ἁγνή, Οὐρανῶν αἱ δυνάμεις Ἀειπάρθενε.

Καταβασία. Ἰσχὺν ὁ διδούς.

Ὁ ἕτερος Χορός. Ὅσοι παλαιῶν.

Κάθ. ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐξανοίξας τὸ στόμα λόγῳ Θεοῦ, ἐξηρεύξω σοφίαν Κῆρυξ φωτός, καὶ φρόνημα ἔνθεον, τῇ Οἰκουμένῃ κατέσπειρας, τῶν Πατέρων ὄντως, κυρώσας τὰ δόγματα, κατὰ Παῦλον ὤφθης, τῆς Πίστεως πρόμαχος. ὅθεν καὶ Ἀγγέλων, συμπολίτης ὑπάρχεις, καὶ τούτων συνόμιλος, ἀνεδείχθης μακάριε, Θεοφάντορ Βασίλειε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ἕτερον, ἦχος γ'. Θείας Πίστεως.

Πᾶσαν ἤρδευσας τὴν Οἰκουμένην, ὥσπερ ὕδασι ταῖς διδαχαῖς σου, τῆς ἀσεβείας ἐκσπάρας τὰ δόγματα. ἡ τῆς ζωῆς γὰρ πηγή, ὁ Χριστὸς ἐν σοί, ἐπανεπαύσατο, ὄντως Βασίλειε. ὃν ἱκέτευε, ὡς παρρησίαν κεκτημένος θεόπνευστε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον. Ἡ Παρθένος σήμερον.

Ὁ Τῶν ὅλων Κύριος, περιτομὴν ὑπομένει, καὶ βροτῶν τὰ πταίσματα, ὡς ἀγαθὸς διατέμνει, δίδωσι τὴν σωτηρίαν σήμερον Κόσμῳ, χαίρει δὲ ἐν τοῖς ὑψίστοις καὶ ὁ τοῦ Κτίστου, Ἱεράρχης καὶ φωσφόρος, ὁ θεῖος μύστης Χριστοῦ Βασίλειος.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Εἰσακήκοα Κύριε, τὴν ἀκοὴν τῆς σῆς Οἰκονομίας, καὶ ἐδόξασά σε μόνε φιλάνθρωπε.

Περιτέμνεσθαι πέπαυται, ἀφ' οὗ Χριστὸς ἑκὼν περιετμήθη, τῶν ἐθνῶν τὰ πλήθη, σώζων τῇ χάριτι.

Ἦν τοῦ μέλλοντος ἄληκτον, ἡ ὀγδοὰς ζωὴν ἐξεικονίζει. ἐν ᾗ ὁ Δεσπότης περιετμήθη Χριστός.

Τοῦ Ἁγίου.

Σεμνυνόμενος τέκνον, ὑπάρχειν Θεοῦ, Θεότητα εἰς κτίσιν, ἀσεβῶς Βασίλειε οὐ κατήγαγες.

Ὑπεράνωθεν ὤφθης, Θεῷ συμμαχῶν, Βασίλειε ὁ πᾶσι, τῷ αὐτοῦ προστάγματι τεταγμένος.

Τῇ Ἐκκλησίᾳ δέδοσαι, παρὰ Θεοῦ χαράκωμα καὶ τεῖχος, ὀχυρὸν Βασίλειε παμμακάριστε.

Τοῖς ἀντιθέοις πέλεκυς, ἐκκοπτικός, καὶ πῦρ καταναλίσκον, τὴν ἀπάτην ὤφθης Πάτερ Βασίλειε.

Θεοτοκίον.

Ὑμνοῦμέν σε ἄχραντε, ἡ τὸν Θεὸν ἀσπόρως συλλαβοῦσα, τοῦ ἀεὶ πρεσβεύειν ὑπὲρ τῶν δούλων σου.

Καταβασία. Ἀκήκοε Κύριε φωνῆς σου.

Ὁ ἕτερος Χορός. Πυρσῷ καθαρθείς.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Ὁ Τοῦ φωτὸς χορηγός, καὶ τῶν αἰώνων ποιητὴς Κύριος, ἐν τῷ φωτὶ, τῶν σῶν προσταγμάτων ὁδήγησον ἡμᾶς. ἐκτός σου γὰρ ἄλλον, Θεὸν οὐ γινώσκομεν.

Ὁ ἐκ Παρθένου Μητρός, ἀνερμηνεύτως προελθὼν Κύριε, καὶ τὴν βροτῶν, μὴ ἀπαξιώσας ἐνδύσασθαι μορφήν. ὡς Βρέφος νομίμως, τὸν Νόμον ἐπλήρωσας.

Νυκτὶ ἐξωμοίωται, ὡς τὴν σκιὰν τὴν νομικὴν στέργουσα, τὸν Ἰσραὴλ ἡ γεννησαμένη. ἐξ ἧς ἀπαστράψαν, τὸ φῶς τὸ τοῦ Κόσμου, Χριστὸς πεφανέρωται.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Τοῦ Ἁγίου.

Ἄγει διπλῆν ἀληθῶς, ἡ Ἐκκλησία ἑορτὴν σήμερον, περιτομῆς, ὡς βρέφος Δεσπότου, ὀφθέντος ἐπὶ γῆς, καὶ μνήμην οἰκέτου, σοφοῦ καὶ τρισμάκαρος.

Ὁ ἀκατάληπτον φῶς, ἀναπαυσάμενον ἐν σοὶ Ὅσιε, φωτιστικὴν, λαμπάδα τῷ Κόσμῳ σὲ ἔδειξε Χριστός· διό σου τὴν μνήμην, ὑμνοῦμεν Βασίλειε.

Ὑ Νομοθέτης Μωσῆς, ὁ πρὸ τοῦ Νόμου Ἰωσὴφ γέγονε, τῆς κατὰ σὲ, τροφῆς σιτομέτρης· τῆς θείας γὰρ σαρκὸς, αὐτὸς ἑστιάτωρ, ἐδείχθης Βασίλειε.

Ἣν τοῦ παντὸς ἀμυδρὰν, ἱστορηθεῖσαν ἐν Σινᾷ γέννησιν, τῷ Μωϋσῇ, αὐτὸς ἑρμηνεύων, ἐκ θείων θησαυρῶν, ἀνέπτυξας πᾶσι, παμμάκαρ Βασίλειε. Θεοτοκίον.

Σοὶ τῇ τεκούσῃ Χριστὸν, τὸν τοῦ παντὸς δημιουργὸν κράζομεν· χαῖρε Ἁγνὴ, χαῖρε ἡ τὸ φῶς ἀνατείλασα ἡμῖν. χαῖρε ἡ χωρήσασα, Θεὸν τὸν ἀχώρητον.

Καταβασία. Ἰησοῦς ὁ ζωῆς ἀρχηγός.

Ὁ ἕτερος Χορός.

Ἐχθροῦ ζοφώδους, καὶ βεβορβορωμένου.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Ἄβυσσος ἁμαρτημάτων, ἐκύκλωσέ με ἐσχάτη, ἀλλ' ὡς τὸν Προφήτην Ἰωνᾶν, Κύριε, ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου.

Εἴληφε τέλος ὁ Νόμος, ἀφ' οὗ Χριστὸς νηπιάσας, πληρωτὴς τοῦ Νόμου δειχθεὶς, Περιτομὴν κατεδέξατο, καὶ ἔλυσε, τὴν τοῦ Νόμου κατάραν.

Σάββατα Περιτομή τε, τὸ φρύαγμα τῶν Ἑβραίων, τοῦ ἐπιφανέντος Χριστοῦ, τῷ νεύματι πέπαυται· καὶ ἔλαμψε, τὸ τῆς χάριτος ἔαρ. Τοῦ Ἁγίου.

Ἔθρεψας λιμῷ τακέντας, ψυχὰς πενήτων ἀφθόνως, καὶ τὰς τῶν πενόντων καρδίας, πάσης ἐνέπλησας, Βασίλειε, Θεϊκῆς εὐφροσύνης.

Ἔθρεψας ψυχὰς πεινώσας, τροφῇ τῇ ἐπουρανίῳ. ἄρτος γὰρ Ἀγγέλων ὑπάρχει, ὁ λόγος Βασίλειε. οὗ ἄριστος, σιτοδότης ἐγένου.

Ἤθροισας τῷ τῆς μελίσσης, Βασίλειε φιλοπόνῳ, ἀρετῆς ἁπάσης τὸ ἄνθος, καὶ περιδέξιος γενόμενος, ἐν αὐταῖς μακαρίζῃ.

Ἔσπευσας Κόσμου ῥαγῆναι, καὶ Θεῷ συμβιοτεῦσαι. διὸ τοῖς ἀστάτοις καὶ ῥέουσι, Πάτερ Βασίλειε, τὰ μένοντα, ὡς σοφὸς κατεκτήσω. Θεοτοκίον.

Βάτος σε ἐν τῷ Σιναίῳ, ἀφλέκτως προσομιλοῦσα, τῷ πυρὶ προγράφει Μητέρα, τὴν Ἀειπάρθενον, ἀνύμφευτε, Θεοτόκε Μαρία.

Καταβασία. Ἡ φωνὴ τοῦ Λόγου.

Ὁ ἕτερος Χορός.

Ἱμερτὸν ἐξέφηνε σὴν πανολβίῳ.

Κοντάκ. ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὤφθης βάσις ἄσειστος τῇ Ἐκκλησίᾳ, νέμων πᾶσιν ἄσυλον τὴν κυριότητα βροτοῖς, ἐπισφραγίζων σοῖς δόγμασιν, Οὐρανοφάντορ Βασίλειε Ὅσιε. Ὁ Οἶκος.

Τῆς σωφροσύνης ὁ κρατὴρ, τὸ στόμα τῆς Σοφίας, καὶ βάσις τῶν δογμάτων, Βασίλειος ὁ Μέγας, πᾶσιν ἀστράπτει νοερῶς. δεῦτε οὖν καὶ στῶμεν ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, θερμῶς ἐνατενίζοντες, τοῖς θαύμασι τοῖς τούτου τερπόμενοι. ὥσπερ λαμπηδόνι ἀστραφθέντες, τῷ τοῦ βίου καθαρτικῷ Πνεύματι θαλφθέντες, μιμούμενοι αὐτοῦ τὴν πίστιν, τὴν ζέσιν, τὴν ταπείνωσιν. δι' ὧν οἶκος ἐδείχθη φύσεως Θεοῦ. πρὸς ὃν βοῶντες ὑμνοῦμεν· Οὐρανοφάντορ Βασίλειε Ὅσιε.

Μὴν Ἰαννουάριος, ἔχων ἡμέρας λα΄. ἡ ἡμέρα ἔχει ὥρας ι΄. καὶ ἡ νὺξ ὥρας ιδ΄. Εἰς τὴν α΄.

Ἑορτάζομεν τὴν κατὰ σάρκα Περιτομὴν τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Στ. Χριστοῦ περιτμηθέντος, ἐτμήθη Νόμος.

Καὶ τοῦ Νόμου τμηθέντος, ἀνέσχεθη Χάρις.

Ἡ κατὰ σάρκα Περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν εἰς ἀναίρεσιν τῆς νομικῆς διατάξεως κατεδέξατο, ἵνα τὴν ἐν Πνεύματι ἀχειροποίητον Περιτομὴν εἰσαγάγῃ, ταύτην ἐξ ἐκείνου, τῇ κατὰ κύκλον τοῦ χρόνου περιελεύσει, ὑπὸ τῶν ἁγίων Πατέρων πανηγυρίζειν παρελάβομεν. Καὶ μέντοι πανηγυρίζομεν, καὶ Ἑορτὴν, καὶ δεσποτικὴν ἡμέραν ποιούμενοι, διὰ τὸν ἡμᾶς τιμήσαντα Κύριον, ταύτην καταδεξάμενον. Ὥσπερ γὰρ ἔνσαρκον Γέννησιν δι' ἡμᾶς, καὶ τ' ἄλλα πάντα τῆς φύσεως, ὅσα παντελῶς τὸν μῶμον ἐξέφυγε, καὶ τὸ ἄληπτον εἴληφεν, οὕτω καὶ Περιτομὴν ἐδέξατο ἔννομον. ὥστε καὶ τὰ τῶν Αἱρετικῶν ἐμφράξαι στόματα, σάρκα μὴ ἀνειληφέναι καταπολμώντων λέγειν αὐτὸν, ἀλλὰ κατὰ φαντασίαν γεγενῆσθαι. Πῶς γὰρ περιετέμνετο, ἂν σάρκα μὴ ἀνειληφὼς ἦν; καὶ τοὺς ἀγνώμονας

Ἰουδαίους ἐπιστομῆσαι, τὸ Σάββατον μὴ τηρεῖν, καὶ τὸν Νόμον λύειν συκοφαντοῦντας, τὸν μέχρι καὶ τῆς Περιτομῆς τὴν τοῦ Νόμου διασώσαντα φυλακήν. Διάτοι τοῦτο, μεθ' ἡμέρας ὀκτὼ τῆς Ἁγίας αὐτοῦ ἐκ Παρθένου Γεννήσεως, εὐδόκησεν ἀχθῆναι παρὰ τῆς Μητρὸς, καὶ Ἰωσὴφ εἰς τόπον, ἐν ᾧ τοῖς Ἰουδαίοις ἔθος ἦν τὸ περιτέμνεσθαι. Καὶ περιετμήθη, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ, Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ Ἀγγέλου πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ τῆς Παρθένου. Καὶ πάλιν ἀπελθὼν μετὰ τῶν Γονέων, διῆγεν ἀνθρωπίνως, προκόπτων ἐν ἡλικίᾳ, καὶ σοφίᾳ, καὶ χάριτι, εἰς σωτηρίαν ἡμῶν.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου, Ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας τοῦ Μεγάλου.

Στίχ. Ζῇ Βασίλειος, καὶ θανὼν ἐν Κυρίῳ.
Ζῇ καὶ παρ' ἡμῖν, ὡς λαλῶν ἐκ τῶν Βίβλων.
Ἰανουαρίοιο θάνες Βασίλειε πρώτῃ.

Οὗτος ἤκμασεν ἐν τοῖς χρόνοις Οὐάλεντος. πρὸς ὃν καὶ ὑπὲρ τῆς ὑγιοῦς ἐπαρρησιάσατο Πίστεως, τῆς Ἀρείου κακοδοξίας, ᾗ προσετέθη ὁ Βασιλεὺς, πυρὸς δίκην λυμαινομένης τὰς Ἐκκλησίας. Ἦν δὲ πρὸς Πατρὸς, ἐκ Πόντου, πρὸς δὲ Μητρὸς, Καππαδόκης. ἐν δὲ λόγοις, οὐ μόνον τοὺς κατ' αὐτὸν, ἀλλὰ καὶ τοὺς παλαιοὺς ὑπερέβαλε. Διὰ γὰρ πάσης ἐλθὼν ἰδέας παιδεύσεως, ἐν ἑκάστῃ τὸ κράτος ἐκτήσατο. οὐχ ἧττον δὲ τὴν διὰ πράξεως ἀσκήσας Φιλοσοφίαν, καὶ διὰ ταύτης τῇ θεωρίᾳ τῶν ὄντων προβὰς, ἐπὶ τὸν Ἀρχιερατικὸν Θρόνον ἀνήχθη. ἔνθα δὴ πολλοὺς ἀγῶνας ὑπὲρ τῆς ὀρθοδόξου Πίστεως διανύσας, καὶ τῷ σταθερῷ τοῦ φρονήματος καὶ ἀτρέπτῳ, τὸν Ἔπαρχον καταπλήξας· καὶ λόγους ἐνθεὶς, δι' ὧν τὰ τῶν ἑτεροδόξων φρονήματα κατεβρόντησε, καὶ τὴν ἐν ἤθει κατάστασιν ἐξεπαίδευσε, καὶ τῶν ὄντων τὴν γνῶσιν κατέστησεν ἐναργῆ. καὶ διὰ πάσης ἀρετῆς, τὴν τοῦ Χριστοῦ ποίμνην ὁδηγήσας, πρὸς Κύριον ἐξεδήμησεν. Ἦν δὲ τὸν τύπον τοῦ σώματος, ἐπὶ πολὺ μῆκος τοῦ ὀρθίου σχήματος ἀναδραμών· ξηρὸς καὶ λιπόσαρκος, μέλας τὸ χρῶμα, ὠχρότητι τὸ πρόσωπον σύγκρατος. ἐπίρριν, εἰς κύκλον τὰς ὀφρῦς περιηγμένος· τὸ ἐπισκύνιον συνεσπακὼς, φροντιστικῷ ἐοικώς. ὀλίγαις τὸ μέτωπον ἀμαρυγαῖς ῥυτιδούμενος, ἐπιμήκης τὰς παρειὰς, κοῖλος τοὺς κροτάφους, ἠρέμα ἐν χρῷ κουρίας· τὴν ὑπήνην ἀρκούντως καθειμένος, μεσαιπόλιος· Υἱὸς Βασιλείου καὶ Ἐμμελίας. τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ Ἁγιωτάτῃ Μεγάλῃ Ἐκκλησίᾳ.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Εἰκόνος χρυσῆς, ἐν πεδίῳ Δεηρᾶ λατρευομένης, οἱ τρεῖς σου Παῖδες κατεπάτησαν, ἀθεωτάτου προστάγματος. μέσον δὲ πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Λαμπρὰ παμφαῆ, τὰ Γενέθλια Χριστοῦ καὶ τῆς τοῦ μέλλοντος, ἀνακαινίσεως ὑπογράφοντα, τὸ μυστήριον σήμερον. ὅτι νομικῇ διατάξει, ὁ Σωτὴρ περιτέμνεται· οὐχ ὡς Θεὸς, ἀλλ' ὡς βροτὸς, καὶ Νόμου πλήρωμα.

Ὁ τὸν Νόμον πληρῶν, ὁ τοῦ Νόμου Ποιητὴς τὴν σάρκα σήμερον, ἐθελουσίως περιτέμνεται, περιτομὴν ἐργαζόμενος, τοῦ τῆς ἁμαρτίας χειμῶνος, καὶ κραυγάζειν δωρούμενος· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Τοῦ Ἁγίου.

Εἰκὼν τοῦ Πατρὸς, ὁ Υἱὸς καὶ τοῦ Υἱοῦ τὸ Πνεῦμα πέφηνε. Σὺ δὲ τοῦ Πνεύματος ὦ Βασίλειε, ἀκηλίδωτον ἔσοπτρον, οἶκός τε τῆς ὅλης Τριάδος. μακαρία ἡ μνήμη σου· καὶ οἱ δοξάζοντες αὐτὴν, ἀντιδοξάζονται.

Βυθίσας τὸν νοῦν, εἰς τὰ βάθη τοῦ Θεοῦ τὰ ἀκατάληπτα· καὶ συλλεξάμενος τὸν πολύτιμον, σὺ μαργαρίτην τῆς γνώσεως ἐπλούτισας τὸν Κόσμον σοφίας, καὶ κραυγάζειν ἐδίδαξας· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὢ σύμπνοια νοῦ, ἱερά τε ξυνωρὶς, ἡ ὥσπερ μία ψυχὴ, ἐν δυσὶ σώμασιν ἀδιαίρετος, ἐν Γρηγορίῳ Βασίλειος, πόθῳ θεϊκῷ συνημμένοι, ἐν Βασιλείῳ Γρηγόριος. νῦν ἱκετεύσατε Χριστὸν, ὑπὲρ τῆς ποίμνης ὑμῶν.

Πατὴρ ὀρφανῶν, καὶ χηρῶν προασπιστὴς, καὶ πλοῦτος πένησι, τῶν ἀσθενούντων ἡ παράκλησις, καὶ τῶν ἐν πλοὺτῳ κυβέρνησις, γήρως βακτηρία ἐδείχθης, παιδαγωγία νεότητος, καὶ μοναζόντων ἀρετῆς, κανὼν Βασίλειε.

Καθάρας τὸν νοῦν, ἰλυώδους μολυσμοῦ παντὸς Βασίλειε, συνδιεσκέψω τὰ τοῦ Πνεύματος, τῷ ποθουμένῳ σοι Πνεύματι. ὅθεν ἀνυμνῶν τὴν Τριάδα, ἐν παρρησίᾳ ἐκραύγαζες· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Θεοτοκίον.

Σὲ βάτον Μωσῆς, ἐν τῷ ὄρει τῷ Σινᾶ πυρπολουμένην Ἁγνή, προεθεώρει τὴν ἐνέγκασαν, ἀκαταφλέκτως τὴν ἄστεκτον, αἴγλην τῆς ἀρρήτου οὐσίας, ἐνωθείσης παχύτητι, σαρκὸς μιᾶς τῶν ἐν αὐτῇ, ἁγίων ὑποστάσεων.

Καταβασία. Νέος ἀσεβὰς.

Ὁ ἕτερος Χορός. Ἔφλεξε ῥάθρῳ.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Τὸν ἀρρήτῳ σοφίᾳ, συστησάμενον τὰ πάντα Θεὸν Λόγον, καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγόντα· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἡ ὀγδόη ἡμέρα, περιτέμνεται ὡς βρέφος ὁ Δεσπότης, τὴν Ἰησοῦ τε δέχεται προσηγορίαν· ὅτι τοῦ Κόσμου Σωτὴρ ὑπάρχει καὶ Κύριος.

Τῶν Χριστοῦ Γενεθλίων, ἐπαξίως τῇ ὀγδόῃ συνεζεύχθη, τοῦ Ἱεράρχου ἡ πανεύδοξος μνήμη· ἣν γεραίροντες πίστει, ὑμνοῦμεν τὸν Κύριον. Τοῦ Ἁγίου.

Τὸν ἀφράστῳ προνοίᾳ, δωρησάμενον Βασίλειον τῷ Κόσμῳ, φῶς εὐσεβείας, σάλπιγγά τε Θεολογίας· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸν δαψιλεῖ ἐνεργείᾳ, ἐνοικήσαντα τῷ σοφῷ Βασιλείῳ, καὶ δι᾽ αὐτοῦ εὐσεβῶς θεολογηθέντα· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Οἱ τῶν θείων σου λόγων, ἀπολαβόντες Βασίλειε ἀπαύστως, ἐν τῇ σῇ μνήμῃ πανηγυρίζοντες βοῶμεν· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὰς ἀκτῖνας τῶν λόγων, ἐξαπέστειλας Βασίλειε τῷ Κόσμῳ, φωταγωγούσας μίαν σέβειν Τριάδος φύσιν. εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Τὸν ἐκ Πατρὸς προελθόντα, προαιώνιον καὶ ἄχρονον Θεὸν Λόγον, καὶ ἐπ᾽ ἐσχάτων ἀνατείλαντα ἐκ Παρθένου, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Καταβασία. Μυστήριον παράδοξον.

Ὁ Ἕτερος Χορός.

Ἐλευθέρα μὲν ἡ Κτίσις γνωρίζεται.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Τὸν πρὸ ἡλίου φωστῆρα, τὸν Θεὸν ἐξανατείλαντα, σωματικῶς ἡμῖν ἐπιδημήσαντα, ἐκ λαγόνων Παρθενικῶν, ἀφράστως σωματώσασα· εὐλογημένη Πάναγνε, σὲ Θεοτόκε μεγαλύνομεν.

Ὑπερβὰς τοὺς ὅρους, Χριστὸς τῆς ἀνθρωπίνης ὅλης φύσεως, ὑπερφυῶς Παρθένου ἀποτίκτεται· καὶ τὸ γράμμα τὸ νομικὸν καθὼς διακελεύεται, τὴν σάρκα περιτέμνεται, καὶ πληρωτὴς τοῦ Νόμου δείκνυται.

Δεῦτε τοῦ Δεσπότου, τὰ ἔνδοξα Χριστοῦ ὀνομαστήρια, ἐν ἁγιότητι πανηγυρίσωμεν. Ἰησοῦς γὰρ θεοπρεπῶς ὀνομάζεται σήμερον. σὺν τούτοις καὶ τὴν μνήμην δέ, τοῦ Ἱεράρχου μεγαλύνωμεν. Τοῦ Ἁγίου.

Τοῦ Ἀρχιποίμενος ὡς πρόβατον πιστὸν Χριστοῦ Βασίλειε, τοῖς ζωηφόροις ἴχνεσιν ἐπηκολούθησας. τῷ Τυράννῳ γὰρ τὴν σαυτοῦ, ψυχὴν Πάτερ προδέδωκας. προκινδυνεύων ἄριστα τῆς Ἐκκλησίας παμμακάριστε.

Τὸ τῆς Ἐκκλησίας, πανίερον Χριστοῦ κατιδὼν σύστημα, ὑπὸ τῆς σῆς κοσμούμενον Ἱεραρχίας σοφέ, ὁ πανώλης ἐμβροντηθείς, καταπέπτωκε Τύραννος. τὴν γὰρ ἐν σοὶ τοῦ Πνεύματος, αἴγλην οὐκ ἤνεγκε Βασίλειε.

Τῆς τῶν Ἀποστόλων καθέδρας, τῆς χορείας τε τῶν Ἀθλοφόρων Χριστοῦ, Πατριαρχῶν σκηνῆς, καὶ τῶν δικαίων τρυφῆς τῆς χαρᾶς τε τῶν Προφητῶν, ἠξιώθης Βασίλειε· τῆς Θεοτόκου λάτρις γάρ, καὶ τῆς Τριάδος Μύστης γέγονας. Θεοτοκίον.

Ὁ τὰ ὑπερῷα ἐν ὕδασι στεγάζων, μόνος Κύριος. ἀναχαιτίζων θάλασσαν, ἀβύσσους τε ὁ ξηραίνων, ἐκ σοῦ Ἁγνὴ τὴν σάρκα προσλαβόμενος, ἐκ Βηθλεὲμ ἐπάγεται, πρὸς Ἰορδάνην βαπτισθῆναι σαρκί.

Καταβασία. Ἀπορεῖ πᾶσα γλῶσσα.

Καὶ ὁ ἕτερος Χορός.

Ὢ τῶν ὑπὲρ νοῦν, τοῦ Τόκου σου θαυμάτων.

Ἐξαποστειλ. Ἐν Πνεύματι τῷ Ἱερῷ.

Φιλοσοφίας ἔρωτι περιέτεμες Πάτερ, τὸ τῆς ψυχῆς σου κάλυμμα, καὶ τῷ Κόσμῳ ἐδείχθης, ὡς Ἥλιος τοῖς θαύμασι. καὶ πιστῶν κατηύγασας, τὰς διανοίας Θεόφρον, τῆς Τριάδος ὁ Μύστης, ὦ Βασίλειε σοφέ, καὶ λάτρις τῆς Θεοτόκου.

Ὅμοιον Δεσποτικόν.

Τὴν σάρκα περιτέμνεται, ὁ τὸν Νόμον πληρώσας, ὡς βρέφος ὀκταήμερον, τῶν αἰώνων ὁ Κτίστης. καὶ σπαργάνοις εἱλίσσεται, ὡς βροτός, καὶ γάλακτι ἐκτρέφεται ὁ τὰ πάντα, τῇ ἀπείρῳ ἰσχύϊ, ὡς Θεὸς διακρατῶν, καὶ τῇ ῥοπῇ διεξάγων.

Δημόσια Κεντρική Βιβλιοθήκη

Εἰς τοὺς Αἴνους. Πᾶσα πνοή, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια. ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Φέρει Περιτομὴν ἐν σαρκί, ὁ ἐκ Πατρὸς ἄνευ τομῆς τε καὶ ῥεύσεως, ἀφράστως τεχθεὶς ὡς Λόγος, καὶ ὡς Θεὸς ἐκ Θεοῦ, ἐν ἀτρέπτῳ μένων τῇ Θεότητι. διὸ κατὰ Νόμον, ὁ ὑπὲρ Νόμον γενόμενος, κατάρας Νόμου ἐκλυτροῦται τοὺς ἅπαντας· καὶ τὴν ἄνωθεν εὐλογίαν δεδώρηται. ὅθεν τὴν ὑπεράγαθον, αὐτοῦ συγκατάβασιν, ἀνευφημοῦντες ὑμνοῦμεν, καὶ εὐχαρίστως δοξάζομεν, αὐτὸν δυσωποῦντες, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος. Ὅμοιον.

Θεῖα Υἱὸς Θεοῦ γεγονώς, ἀναγεννήσει τῇ τοῦ Θείου Βαπτίσματος, τὸν φύσει καὶ ἀληθείᾳ, καὶ πρὸ αἰώνων Υἱόν, τοῦ Θεοῦ καὶ Λόγον ὁμοούσιον, Πατρὶ καὶ συνανάρχον, ὡμολόγησας Ὅσιε. Αἱρετικῶν δὲ τὰ ἀπύλωτα στόματα, τῇ λαμπρότητι τῶν σῶν λόγων ἐνέφραξας. ὅθεν καὶ τὰ Βασίλεια, τὰ ἄνω κατῴκησας, συμβασιλεύων τῷ μόνῳ, καὶ φυσικῶς βασιλεύοντι, Χριστῷ τῷ πλουσίως, διανέμοντι τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Ὅμοιον.

Ἔνδον ἐπουρανίου Ναοῦ, ὡς Ἱεράρχης ἱερὸς προσεχώρησας, τὴν πρᾶξιν καὶ θεωρίαν, τὰς τῆς Σοφίας ἀρχάς, ὡς στολὴν ἁγίαν περικείμενος. καὶ νῦν εἰς τὸ ἄνω, Θυσιαστήριον Ὅσιε, ἱερατεύων, τῷ Θεῷ παριστάμενος, καὶ τὴν ἄϋλον, λατρείαν τελούμενος, μέμνησο συμπαθέστατε, παμμάκαρ Βασίλειε, τῶν ἐκτελούντων τὴν μνήμην, τὴν ἱεράν σου καὶ πάντιμον· Χριστὸν ἱκετεύων, τὸν παρέχοντα τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Ὅμοιον.

Ὅλος ἱερωμένος Θεῷ, καὶ ὁλοτρόπως ἐκ παιδὸς ἀνακείμενος, Σοφίας τῆς ὑπερσόφου, καταυγασθεὶς ταῖς αὐγαῖς, τὴν τῶν ὄντων γνῶσιν διετράνωσας, λαμπρῶς ἐξηγούμενος, καὶ σοφῶς διηγούμενος, τὴν ἐν τοῖς οὖσιν, εὐταξίαν ποιούμενος, ἐπιγνώσεως θειοτέρας ὑπόθεσιν. ὅθεν σε Θεορρήμονα, καὶ Θεῖον Διδάσκαλον, καὶ φωτοφόρον Φωστῆρα, τῆς Ἐκκλησίας κηρύττομεν, Χριστὸν ἀνυμνοῦντες, τὸν παρέχοντα τῷ Κόσμῳ, τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. β΄.

Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου, ὅσιε Πάτερ· καὶ γέγονας Ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας, διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Καὶ νῦν, ἦχος ὁ αὐτός.

Συγκαταβαίνων ὁ Σωτὴρ τῷ γένει.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τοῦ Κανόνος. Ὠδὴ γ΄. καὶ ς΄.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος α΄.

Τὸ στόμα μου λαλήσει σοφίαν.

Στίχ. Ἀκούσατε ταῦτα πάντα.

Ὁ Ἀπόστολος. Πρὸς Κολοσσαεῖς Ἐπιστολῆς.

Ἀδελφοί, βλέπετε μήτις ὑμᾶς ἔσται ὁ Κεφ. β΄. 8.
συλαγωγῶν διὰ τῆς Φιλοσοφίας καὶ κενῆς ἀπάτης, κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ στοιχεῖα τοῦ Κόσμου, καὶ οὐ κατὰ Χριστόν· ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς Θεότητος σωματικῶς. Καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας. Ἐν ᾧ καὶ περιετμήθητε Περιτομῇ ἀχειροποιήτῳ, ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ Περιτομῇ τοῦ Χριστοῦ. Συνταφέντες αὐτῷ ἐν τῷ Βαπτίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς Πίστεως, καὶ τῆς ἐνεργείας τοῦ Θεοῦ, τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν νεκρῶν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, ὑπέστρεψαν οἱ Ποιμέ- Κεφ.
νες, δοξάζοντες, καὶ αἰνοῦντες τὸν Θεόν, β΄. 20.
ἐπὶ πᾶσιν οἷς ἤκουσαν καὶ εἶδον, καθὼς ἐλαλήθη πρὸς αὐτούς. Καὶ ὅτε ἐπλήσθησαν ἡμέραι ὀκτὼ τοῦ περιτεμεῖν τὸ Παιδίον, καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰησοῦς, τὸ κληθὲν ὑπὸ τοῦ Ἀγγέλου, πρὸ τοῦ συλληφθῆναι αὐτὸν ἐν τῇ κοιλίᾳ. Τὸ δὲ Παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτό. Καὶ ἐπορεύοντο οἱ γονεῖς αὐτοῦ κατ' ἔτος εἰς Ἱερουσαλὴμ τῇ ἑορτῇ τοῦ Πάσχα. Καὶ ὅτε ἐγένετο ἐτῶν δώδεκα, ἀναβάντων αὐτῶν εἰς Ἱεροσόλυμα κατὰ τὸ ἔθος τῆς Ἑορτῆς, καὶ τελειωσάντων τὰς ἡμέρας, ἐν τῷ ὑποστρέφειν αὐτούς, ὑπέμεινεν Ἰησοῦς ὁ παῖς ἐν Ἱερουσαλήμ. καὶ οὐκ ἔγνω Ἰωσὴφ καὶ ἡ Μήτηρ αὐτοῦ. Νομίσαντες δὲ αὐτὸν ἐν τῇ συνοδίᾳ εἶναι, ἦλθον ἡμέρας ὁδόν· καὶ ἀνεζήτουν αὐτὸν ἐν τοῖς συγγενέσι, καὶ ἐν τοῖς γνωστοῖς. καὶ μὴ εὑρόντες αὐτόν, ὑπέστρεψαν εἰς Ἱερουσαλήμ, ζητοῦντες αὐτόν. Καὶ ἐγένετο μεθ' ἡμέρας τρεῖς

εὗρον αὐτὸν ἐν τῷ Ἱερῷ καθεζόμενον ἐν μέσῳ τῶν Διδασκάλων, καὶ ἀκούοντα αὐτῶν, καὶ ἐπερωτῶντα αὐτούς. Ἐξίσταντο δὲ πάντες οἱ ἀκούοντες αὐτοῦ, ἐπὶ τῇ συνέσει, καὶ ταῖς ἀποκρίσεσιν αὐτοῦ. καὶ ἰδόντες αὐτὸν ἐξεπλάγησαν. καὶ πρὸς αὐτὸν ἡ Μήτηρ αὐτοῦ εἶπε. Τέκνον, τί ἐποίησας ἡμῖν οὕτως; ἰδοὺ ὁ Πατήρ σου, κἀγὼ ὀδυνώμενοι, ἐζητοῦμέν σε. Καὶ εἶπε πρὸς αὐτούς· Τί ὅτι ἐζητεῖτέ με; οὐκ ᾔδειτε ὅτι ἐν τοῖς τοῦ Πατρός μου δεῖ εἶναί με; καὶ αὐτοὶ οὐ συνῆκαν τὸ ῥῆμα, ὃ ἐλάλησεν αὐτοῖς. καὶ κατέβη μετ' αὐτῶν, καὶ ἦλθεν εἰς Ναζαρέτ· καὶ ἦν ὑποτασσόμενος αὐτοῖς· Καὶ ἡ Μήτηρ αὐτοῦ διετήρει πάντα τὰ ῥήματα ταῦτα ἐν τῇ καρδίᾳ αὐτῆς. Καὶ Ἰησοῦς προέκοπτε σοφίᾳ, καὶ ἡλικίᾳ, καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Καὶ τό, Εἰς μνημόσυνον αἰώνιον.

Ἰστέον, ὅτι, εἰ μὲν εἰσὶ δύο Κυριακαὶ μεταξὺ τῶν Χριστοῦ Γεννῶν, καὶ τῶν Φώτων, ἀναγινώσκεται τῇ πρώτῃ Κυριακῇ, Εὐαγγέλιον, κατὰ Ματθαῖον. Ἀναχωρησάντων τῶν Μάγων. καὶ τῇ ἄλλῃ Κυριακῇ, Εὐαγγέλιον, κατὰ Μάρκον. Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ. Εἰ δὲ τύχῃ ἓν Σάββατον, καὶ μία Κυριακὴ μεταξὺ τῶν Χριστοῦ Γεννῶν, καὶ τῶν Φώτων· ἀναγινώσκεται, τῷ μὲν Σαββάτῳ, Σάββατον μετὰ τὴν Χριστοῦ Γέννησιν, τῇ δὲ Κυριακῇ, Κυριακὴ πρὸ τῶν Φώτων. Ἐκ τοῦ κατὰ Μάρκον.

Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ.

Ζήτει τοῦτο τὸ Εὐαγγέλιον εἰς τὴν γ'. Ὥραν τῶν Ἁγίων Θεοφανείων.

---

Μηνὶ τῷ αὐτῷ β'.

Προεόρτια τῶν Φώτων· Καὶ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Σιλβέστρου Πάπα Ῥώμης.

Εἰς τό, Κύριε ἐκέκραξα, στιχηρὰ Προεόρτια, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Προεόρτια ᾄσματα, εὐσεβῶς προηχήσωμεν, τοῦ σεπτοῦ Βαπτίσματος τοῦ Θεοῦ ἡμῶν. ἰδοὺ γὰρ μέλλει ὡς ἄνθρωπος, σαρκὶ παραγίνεσθαι, πρὸς τὸν Πρόδρομον αὐτοῦ· καὶ αἰτεῖσθαι τὸ Βάπτισμα, τὸ σωτήριον, εἰς ἀνάπλασιν πάντων τῶν ἐν πίστει, ἱερῶς φωτιζομένων, καὶ μετεχόντων τοῦ Πνεύματος.

Ὁ Χριστὸς ἀναδείκνυται, ὁ Θεὸς ἐπιφαίνεται, ὁ Δαβὶδ προέγραψεν ἐμφανέστατα· καὶ πρὸς τὸν δοῦλον τὸ βάπτισμα, αἰτούμενος ἔρχεται. Ἰορδάνη ποταμέ, εὐφροσύνης πληρώθητι· γῆ καὶ θάλασσα, οἱ βουνοὶ καὶ τὰ ὄρη καὶ ἀνθρώπων, νῦν σκιρτήσατε καρδίαι, φῶς νοητὸν εἰσδεχόμεναι.

Ποταμὸν τῆς εἰρήνης σε, καὶ χειμάρρουν ὡς γέγραπται, τῆς τρυφῆς ὑπάρχοντα παντοδύναμε, πῶς σε ποτάμια ῥεύματα, εἰσδέξονται Κύριε, ἐπιβαίνοντα γυμνόν; Οὐρανὸν τὸν τοῖς νέφεσι, περιβάλλοντα, καὶ γυμνώσαντα πᾶσαν τὴν κακίαν, τοῦ ἐχθροῦ καὶ ἀφθαρσίαν, τοὺς γηγενεῖς ὑπενδύσαντα.

Καὶ τοῦ Ἁγίου, ζήτει εἰς Ἱεράρχην.

Δόξα, καὶ νῦν, ἦχος πλ. β'.

Ἔρχεται πρὸς Ἰορδάνην, Χριστὸς ἡ ἀλήθεια, τοῦ βαπτισθῆναι ὑπὸ Ἰωάννου· καὶ φησὶ πρὸς αὐτόν· ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; οὐ τολμῶ ὁ χόρτος προσψαῦσαι τῷ πυρί. σύ με ἁγίασον Δέσποτα, τῇ θείᾳ ἐπιφανείᾳ σου.

Εἰς τὸν στίχον στιχηρὰ Ἰδιόμελα, ἦχος α'.

Ἰωάννου Μοναχοῦ.

Λαμπρὰ μὲν ἡ παρελθοῦσα Ἑορτή, λαμπροτέρα δὲ Σωτὴρ ἡ ἐπερχομένη. ἐκείνη Ἄγγελον εἶχεν εὐαγγελιστήν, καὶ αὕτη Πρόδρομον εὗρε προετοιμαστήν. ἐν ἐκείνῃ αἱμάτων ἐκχεομένων, ὡς ἄτεκνος ὠδύρετο ἡ Βηθλεέμ· ἐν ταύτῃ ὑδάτων εὐλογουμένων, πολύτεκνος γνωρίζεται ἡ κολυμβήθρα· τότε ἀστὴρ τοὺς Μάγους ἐμήνυσε, νῦν δὲ Πατὴρ Κόσμῳ σε ὑπέδειξεν. ὁ σαρκωθεὶς καὶ πάλιν ἐρχόμενος, ἐμφανῶς Κύριε δόξα σοι.

Ἦχος β'. στίχ. Διὰ τοῦτο μνησθήσομαί σου.

Ἀνδρέου Ἱεροσολυμίτου.

Πάλιν Ἰησοῦς ὁ ἐμός, καθαίρεται ἐν τῷ Ἰορδάνῃ, μᾶλλον δὲ καθαίρει τὰς ἁμαρτίας ἡμῶν. ἔρχεται γὰρ ἀληθῶς ἐπὶ τὸ βάπτισμα. ἐκπλῦναι θέλων τοῦ Ἀδὰμ τὸ χειρόγραφον, καὶ φησὶ πρὸς τὸν Ἰωάννην· δεῦρο ὑπηρέτησον ὦ Βαπτιστά, μυστηρίου ξένου τὸ κεφάλαιον. δεῦρο ἔκτεινον τὴν σὴν χεῖρα ταχύ, καὶ ἅψαι τῆς κορυφῆς, τοῦ συντρίψαντος τὴν κάραν τοῦ δράκοντος, καὶ ἀνοίξαντος τὸν Παράδεισον, ὃν ἔκλεισεν ἡ παράβασις, ἀπάτῃ τοῦ ὄφεως, τῇ γεύσει τοῦ ξύλου ποτέ.

Ἦχος γ΄. Ἐ. Εἴδοσάν σε ὕδατα ὁ Θεός.

Φαιδρὰ μὲν ἡ παρελθοῦσα Ἑορτὴ, ἔνδοξος ἡ παροῦσα ἡμέρα. ἐν ἐκείνῃ τὸν Σωτῆρα Μάγοι προσεκύνησαν· ἐν ταύτῃ δὲ τὸν Δεσπότην, δοῦλος κλητὸς ἐβάπτισεν. ἐκεῖ Ποιμένες ἀγραυλοῦντες, ᾖδον καὶ ἐθαύμασαν· ὧδε φωνὴ τοῦ Πατρὸς, τὸν μονογενῆ Υἱὸν ἐκήρυττε.

Δόξα, καὶ νῦν. Ὁ αὐτός.

Δεῦτε ἅπαντες πιστοὶ, τὴν Ἰουδαίαν ἀφέντες, διέλθωμεν τὴν ἔρημον τοῦ Ἰορδάνου· καὶ θεασώμεθα σήμερον ἐκεῖ, τὸν δι' ἡμᾶς ἐπιφανέντα σαρκὶ, τὸ βάπτισμα αἰτοῦντα, ἐν ῥεέθροις τοῦ Ἰορδάνου, τὸν Βαπτιστὴν παραιτούμενον, καὶ βοῶντα τῷ φόβῳ· οὐ τολμῶ χειροθετῆσαι τῇ πηλίνῃ παλάμῃ τὸ πῦρ. ὁ Ἰορδάνης καὶ ἡ θάλασσα ἔφυγον Σωτὴρ, καὶ ἀπεστράφησαν· κἀγὼ πῶς ἐπιθήσω ἐπὶ τὴν κορυφήν σου χεῖρα, ἣν τρέμει τὰ Σεραφίμ; ἀνεχώρησεν ὁ Ἰορδάνης, ὡς ἐδέξατο τὴν Ἠλιοῦ, δι' Ἐλισσαίου μηλωτήν· πῶς μὴ δύω εἰς χάος καὶ βάθος, βλέπων γυμνόν σε ἐν τοῖς ῥεέθροις; πῶς δὲ μὴ φλέξῃ με ὅλως, ἐκ σοῦ πυρούμενος; τί βραδύνεις Βαπτιστὰ, τοῦ βαπτίσαι τὸν Κύριόν μου; ὁ Ἰορδάνης βοᾷ πρὸς Ἰωάννην. τί τὴν πολλῶν κωλύεις τὴν κάθαρσιν; πᾶσαν τὴν Κτίσιν ἡγίασεν· ἄφες ἁγιάσαι κἀμὲ, καὶ τῶν ὑδάτων τὴν φύσιν· ὅτι εἰς τοῦτο ἐπεφάνη.

Τροπάριον, ἦχος δ΄.

Ἑτοιμάζου Ζαβουλὼν, καὶ εὐτρεπίζου Νεφθαλείμ· Ἰορδάνη ποταμὲ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. ἀγάλλου ὁ Ἀδὰμ σὺν τῇ Προμήτορι· μὴ κρύπτετε ἑαυτοὺς, ὡς ἐν Παραδείσῳ τὸ πρίν· καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν. Χριστὸς ἐφάνη, τὴν πᾶσαν Κτίσιν θέλων ἀνακαινίσαι.

Τὸ Τριῴδιον ἐν τοῖς Ἀποδείπνοις, τούς τε Εἱρμοὺς καὶ τὰ τροπάρια ποιοῦντες η΄. Οὗ ἡ ἀκροστ. Τῇ δευτέρᾳ. ᾨδὴ α΄. ἦχος β΄.

Ὢ τὴν ἄβατον, κυμαινομένην θάλασσαν, θείῳ αὐτοῦ προστάγματι ἀναξηράναντι, καὶ πεζεῦσαι δι' αὐτῆς, τὸν Ἰσραηλίτην λαὸν καθοδηγήσαντι, Κυρίῳ ᾄσωμεν. ἐνδόξως γὰρ δεδόξασται.

Ἡ ἀπόρρητος, τοῦ Κτίστου συγκατάβασις, πρὶν ἐκ Παρθένου λάμψασα, Κόσμον κατηύγασεν. αὐτὸς πάλιν ὁ Χριστὸς, ἄλλο νῦν μυστήριον, τελέσων ἔρχεται, ἐν Ἰορδάνῃ βροτῶν, εἰς ξένην ἀναγέννησιν.

Διακονήσων, ἔργῳ φρικτῷ προέρχεται, πρὸς Ἰορδάνην Πρόδρομος, νῦν ἡ τοῦ Λόγου φωνή· τὸν πτωχεύσαντα Ἀδὰμ, ὁ πλουτῶν Θεότητι. διὰ τοῦ Πνεύματος γὰρ, πλουτίσων ἧκε Χριστὸς, τῷ δώρῳ τοῦ Βαπτίσματος.

ᾨδὴ η΄. Ὁ Εἱρμός.

Ἔφριξε Παίδων εὐαγῶν, τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα· καὶ εἶξε τὸ τραφὲν, ἐν ἀτρέπτῳ ὕλῃ, ἀκάματον πῦρ. ἀειζώου δὲ ἐκμαρανθείσης φλογὸς, διαιωνίζων ὕμνος ἀνεμέλπετο· τὸν Κύριον, πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὑμᾶς μου σκεύη ἐκλεκτὰ, ἐπιγνώσομαι εἰ τῆς ἐμῆς δωρεᾶς, σφραγὶς ἐνσημανθῇ, ἐν ὑμῖν τριοσσὸν φῶς ἀπαστράπτουσα. πρὸς τὸ Βάπτισμα Χριστὸς, ὁ Λόγος φησὶ, τοῖς ῥᾳθυμίας ὄκνῳ διαμένουσιν. ἐν τύπῳ γὰρ νέαν ὁδὸν σωτηρίας, καὶ ἐλευθερίας ζωὴν, ἥκω δωρούμενος.

Τάξεως ἔμπαλιν ἐν σοὶ, φυσικῆς ἐστι πρᾶγμα τελούμενον νῦν. τὸ ἔλαττον καὶ γὰρ, γνώμῃ εὐλογεῖται τοῦ κρείττονος. ὅθεν δέδοικα σὴν χαραττῆσαι κάραν, τῷ Λυτρωτῇ ἐβόησεν ὁ Πρόδρομος. οὐ θέμις γὰρ χόρτον πυρὶ προσεγγίζειν. σύ με μᾶλλον, ἁγίασον σὸν δοῦλον.

ᾨδὴ θ΄. Ὁ Εἱρμός.

Μεγαλύνας Χριστὲ, τὴν τεκοῦσάν σε Θεοτόκον. ἀφ' ἧς ὁ Πλάστης ἡμῶν, ὁμοιοπαθὲς περιέθου σῶμα, τὸ τῶν ἡμετέρων λυτήριον ἀμπλακημάτων. ταύτην μακαρίζοντες, πᾶσαι γενεαὶ σὲ μεγαλύνομεν.

Ῥύπον ταῦτα ἐμπαθῆ, ἀπωσάμενοι, ἐπαξίαν, Βαπτίσματος τοῦ θείου, γνώμην ἀναλάβωμεν ἔμφρονα. ἧκε γὰρ ὁ Κτίστης. κάθαρσιν δωρήσασθαι ξένην, ῥεέθροις βαπτιζόμενος· πᾶσί τε καινὴν, δεῖξαι ἀλλοίωσιν·

Φορῶντες εἰς Χριστὸν, πεπανυμένον ἑκουσίως, μέχρι καὶ δούλου μορφῆς, ὑπὸ τὴν αὐτοῦ χεῖρα τὴν κραταιὰν, νῦν ταπεινωθῶμεν, ἐν Πνεύματι συνεπαρθέντες· ὅπως βαπτιζόμενον, τοῦτον καθαροῖς ἔργοις τιμήσωμεν.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν α΄. Στιχολ. Καθ. ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Φορέσας τὴν ἐμὴν, Ἰησοῦ μου πτωχείαν, προέρχῃ ἑαυτὸν, σοῖς οἰκέταις μιγνύων.

καὶ

καὶ Βάπτισμα αἰτούμενος, ὑπὸ δούλου φιλάνθρωπε. ὅθεν βλέπων σε, ὁ Ἰωάννης ἐβόα· πῶς βαπτίσω σε; ῥύπον μὴ ἔχοντα ὅλως, Θεὲ ὑπεράγαθε. Δίς.

Εἰς τὴν β΄. στιχολ. κάθισμα. ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Πτωχεύσας ὁ πλούσιος, διὰ σπλαγχνίαν πολλήν, ἡμᾶς τοὺς πτωχεύσαντας διὰ ἀκρασίαν ποτέ, πλουτίσαι βουλόμενος. ἔρχεται ἐπιβῆναι, Ἰορδάνου τοῖς ῥείθροις· καὶ ὑπὸ Ἰωάννου, προφανῶς βαπτισθῆναι. ὑμνήσωμεν οἱ πιστοί, τὴν αὐτοῦ ἄκραν ταπείνωσιν. Δίς.

Ὁ Προεόρτιος Κανών, τοὺς Εἱρμοὺς ἐκ δευτέρου, τὰ δὲ τροπάρια εἰς ϛ΄. ὁ Προεόρτιος, οὗ ἡ ἀκροστιχίς. Κατὰ ἀλφάβητον,

Ἀνὰ τῶν Εἱρμῶν, Ποίημα Ἰωσήφ.

Ὠδὴ α΄. ἦχος β΄. Ὁ Εἱρμός.

Ψῶ τὴν ἄβατον, κυμαινομένην θάλασσαν, θείῳ αὐτοῦ προστάγματι ἀναξηράναντι· καὶ πεζεῦσαι διʼ αὐτῆς, τὸν Ἰσραηλίτην λαὸν καθοδηγήσαντι, Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Αἰσθανόμενος, τὴν τοῦ Κυρίου ἔλευσιν, ἐκ τῆς ἐρήμου πρόεισιν, ὁ θεῖος Πρόδρομος, ἐκβοῶν περιφανῶς· ἤγγικεν ἐπέφανεν ἡ ἀπολύτρωσις· μετανοήσατε, καὶ ὕδατι καθάρθητε.

Βαπτιζόμενον, ἁμαρτιῶν με κλύδωνι, Λόγε Πατρὶ συνάναρχε, ὅλον καθάρισον, μετανοίας ῥαντισμῷ, ὁ τῷ βαπτισμῷ σου, πιστοῖς τὴν ἀπολύτρωσιν, ἀεὶ δωρούμενος, διὰ εὐσπλαγχνίαν ἄμετρον.

Γῆς ὡς γέγραπται, τοῦ Ζαβουλὼν τὰ ἄδυτον, βλέψασα φῶς αὐγάσθητι. ἰδοὺ γὰρ πάρεστιν, Ἰορδάνου ταῖς ῥοαῖς· καὶ τὸν ἐπὶ πάντων Θεόν, ὕμνει κραυγάζουσα· Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται.

Δῆμον ἅπαντα, ὁ θεηγόρος Πρόδρομος βλέπων παραγενόμενον, τούτοις ἐφθέγγετο· τίς ὑπέδειξεν ὑμῖν, ἀπὸ τῆς μελλούσης ὀργῆς, φυγεῖν; ποιήσατε, τῆς μετανοίας καρπούς, ἐν χάριτι σωζόμενοι.

Καὶ τὸν Κανόνα τοῦ Ἁγίου, ζήτει εἰς Ἱεράρχην.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν. καὶ τὸν φόβον σου ἐμφύτευσον, εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Ἐπέφανε Χριστός, βοᾷ ὁ Πρόδρομος, καὶ ῥείθροις ἐπιβαίνει τοῦ Ἰορδάνου· ὑπαντῆσαι τούτῳ σπεύσωμεν, καθαραῖς διανοίαις φωτιζόμενοι.

Ζητοῦντα με ᾠδίναις τὸν πλανώμενον, Θεὲ μου πτωχείαν πλουσιωτάτην, ἐνδυσάμενος ἐφίστασαι, βαπτισθῆναι ἡ πάντων ἀπολύτρωσις.

Ἡ Γῆ καὶ Οὐρανὸς νῦν χορευέτωσαν. ὁ πάντων βαπτίζεται εὐεργέτης, ἐν τοῖς ὕδασι βυθίζων ἡμῶν, τὴν πληθὺν τῶν ἀμέτρων παραπτώσεων.

Κάθισμα τοῦ Ἁγίου, καὶ τῆς Ἑορτῆς, ἦχος πλ. δ΄.

Ἀνθῶν ποιμενικῶν.

Ἀόρατε Θεέ, ἀκατάληπτε Λόγε, ἐπέχθης ἐκ Πατρός, ὑπὲρ φύσιν καὶ λόγον. πάλιν δὲ ἐπʼ ἐσχάτων, ἐκ τῆς Παρθένου οὐκ ἀλλοιώσας ὃ ἦν. ἔρχῃ καὶ ἐν τοῖς ῥείθροις τοῦ Ἰορδάνου, νῦν βαπτισθῆναι σαρκί· ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Ἐλήλυθας, ἐκ Παρθένου οὐ Πρέσβυς οὐκ Ἄγγελος· ἀλλʼ αὐτὸς ὁ Κύριος, σεσαρκωμένος καὶ ἔσωσας, ὅλον με τὸν ἄνθρωπον. διὸ κραυγάζω σοι, δόξα τῇ δυνάμει σου Κύριε.

Θαυμάζει σου, Ἰησοῦ εὐεργέτα τὴν ἄφιξιν, ὁ μέγιστος Πρόδρομος, καὶ συστελλόμενος κράζει σοι· πῦρ ὑπάρχων Δέσποτα, μὴ καταφλέξῃς με, χόρτον χρηματίζοντα Κύριε.

Ἱστάμενον, ἐν τοῖς ὕδασι τούτοις θελήματι, ὁρῶν με νῦν πρόσελθε, ὦ Ἰωάννη καὶ βάπτισον· ὅπως τὴν διʼ ὕδατος, χάριν ἀνθρώπων, τῷ γένει ἀπεργάσωμαι.

Κρυπτόμενον, ὡς νεφέλαις σε ἔγνωκα Ἥλιον, Θεὲ μου τῷ σώματι. πῶς ἂν γυμνοῦσαι τὰ ὕδατα, νῦν περιβαλλόμενος, ὁ Ἰωάννης ἐβόα ἐκπληττόμενος.

Λαμπρύνεται, τῶν ἀνθρώπων ἡ φύσις, καὶ λύτρωσιν, τοῦ σκότους ἀπεκδέχεται, τῆς ἁμαρτίας καὶ ἄνωθεν, θεῖον περιβάλλεται, τῆς ἀφθαρσίας, χιτῶνα γυμνουμένου σου.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ὁ τοῦ φωτὸς χορηγός, καὶ τῶν αἰώνων Ποιητὴς Κύριος. ἐν τῷ φωτί, τῶν σῶν προσταγμάτων, ὁδήγησον ἡμᾶς. ἐκτὸς σου γὰρ ἄλλον, Θεὸν οὐ γινώσκομεν.

Μετανοεῖτε βοῶν, ἡ Βασιλεία τοῦ Θεοῦ ἤγγικεν· ὁ Ἱερὸς Πρόδρομος ἐφάνη, ἐκ τῆς

ἐρημίας, τοὺς ἐρημωθέντας ἡμᾶς ἀνακτώμενος.

Νόμος ὁ πάλαι φησὶ, καὶ Προφητῶν ὁ ἱερὸς σύλλογος, ἦλθε Χριστὸς, ἡμᾶς ἀναπλάττων, τῷ θείῳ Βαπτισμῷ, τοὺς παλαιωθέντας, πολλοῖς παραπτώμασι.

Ξένα φησὶ καὶ φρικτὰ, ὁ Ἰωάννης καθορῶν σήμερον· νῦν ἡ πηγὴ, τῆς ἀθανασίας, προῆλθεν ἐκ μικρᾶς, ῥανίδος τὸ θεῖον, αἰτῆσασθαι Βάπτισμα.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Ἄβυσσος ἁμαρτημάτων, ἐκύκλωσέ με ἐσχάτη. ἀλλ᾽ ὡς τὸν Προφήτην Ἰωνᾶν, Κύριε Κύριε, ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου.

Ὄμβρισον ἁμαρτημάτων, ἡμῖν φιλάνθρωπε λύσιν, ὁ ταῖς Ἰορδάνου ῥοαῖς, βυθίσας τὰ πταίσματα, τῶν γηγενῶν, διὰ ἔλεος μέγα.

Πέλαγος Χριστὲ ὑπάρχων, δικαιοσύνης προέρχῃ, νῦν ἐν Ἰορδάνῃ ποταμῷ, βυθίσαι τὸν δράκοντα, καὶ τοῦ Ἀδὰμ, τὴν παράβασιν πλῦναι.

Ῥεῖθρόν σε τῆς ἀφθαρσίας, Χριστὲ ὑπάρχοντα ὄντως, ῥεῖθρα πῶς χωρήσει ποταμοῦ; ἐβόα ὁ Πρόδρομος, δοξάζων σου, τὴν πολλὴν εὐσπλαγχνίαν.

Κοντάκιον, ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ· μὴ δειλιάσῃς βαπτίσαι με. σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν Πρωτόπλαστον. Ὁ Οἶκος.

Οὐκ ἀπαιτῶ σε Βαπτιστὰ, τοὺς ὅρους ὑπερβῆναι. οὐ λέγω σοι εἰπέ μοι, ἃ λέγεις τοῖς ἀνόμοις, καὶ παραινεῖς ἁμαρτωλοῖς· μόνον βάπτισόν με, σιωπῶν καὶ προσδοκῶν τὰ ἀπὸ τοῦ Βαπτίσματος. ἕξεις γὰρ διὰ τοῦτο ἀξίωμα, ὅπερ οὐχ ὑπῆρξε τοῖς Ἀγγέλοις. καὶ γὰρ πάντων τῶν Προφητῶν μείζονά σε ποιήσω. ἐκείνων μὲν οὐδεὶς σαφῶς με κατεῖδεν, ἀλλ᾽ ἐν τύποις, καὶ ἐν σκιαῖς, καὶ ἐνυπνίοις· σὺ δὲ ἐπὶ σοῦ ἱστάμενον κατὰ γνώμην. Σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν Πρωτόπλαστον.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Εἰκόνος χρυσῆς, ἐν πεδίῳ Δεειρᾷ λατρευομένης, οἱ τρεῖς σου Παῖδες κατεπάτησαν, ἀθεωτάτου προστάγματος. μέσον δὲ πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Στολὴν ἱερὰν, ἐπενδύων με Χριστὲ τὸν γυμνωθέντα, τῇ συμβουλίᾳ τοῦ ἀλάστορος, γυμνὸς προβῆναι τοῖς ὕδασιν, ἤλθες ἀγαθότητος πλούτῳ· ἀνυμνῶ σου τὸ εὔσπλαγχνον, καὶ προσκυνῶ τὴν θαυμαστὴν οἰκονομίαν σου.

Τίς αὕτη Χριστὲ, ἡ πολλή σου πρὸς ἡμᾶς οἰκονομία; τίς ἡ πτωχεία; τίς ἡ ἄφατος καὶ ὑπὲρ νοῦν συγκατάβασις; ἔφη ὁπηνίκα σε εἶδεν, Ἰωάννης γυμνούμενον, καὶ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ ἐγκελευόμενον.

Ὑφῆψας Χριστὲ, ὥσπερ λύχνον τὴν σεπτὴν σάρκα σου μέσον, τοῦ Ἰορδάνου, καὶ ἐζήτησας, τὴν συγχωσθεῖσαν τοῖς πάθεσι, καὶ τῇ ἁμαρτίᾳ εἰκόνα, καὶ εὑρὼν κατεκάλλυνας, τῷ Βαπτισμῷ σου ἀγαθέ. ὅθεν ὑμνοῦμέν σε.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Τὸν ἐν καμίνῳ τοῦ πυρὸς, τῶν Ἑβραίων τοῖς Παισὶ συγκαταβάντα. καὶ τὴν φλόγα εἰς δρόσον μεταβαλόντα Θεὸν, ὑμνεῖτε τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Φωνὴ βοῶντος ἐμφανῶς, τῆς ἐρήμου ἐπιστὰς ὁ Ἰωάννης· ἐπιστρέφων καρδίας, μετανοούσας θερμῶς, δοξάζειν τὸν ἐπιφαινόμενον, ἐν τῷ Ἰορδάνῃ, Σωτῆρα καὶ Δεσπότην.

Χειμάρρους πέφυκας τρυφῆς, ὁ θαλάσσας καὶ πηγὰς δημιουργήσας. καὶ πῶς ὕδασι βαίνεις; τί ἀποπλυθῆναι ζητῶν, ἡ πάντων ἔκπλυσις καὶ κάθαρσις, τῶν ὑμνολογούντων, Χριστέ σε εἰς αἰῶνας;

Ψῦξαι τὰ ῥεύματα ζητῶν, τῆς κακίας τοῦ ἐχθροῦ καὶ τὰς θαλάσσας, τῶν παθῶν ἀναστεῖλαι, καὶ τοῖς πιστοῖς ἱλασμὸν, πηγάσαι καὶ ἄφεσιν Δέσποτα, ἔρχῃ βαπτισθῆναι, ἐν ῥείθροις Ἰορδάνου.

Ὡρῶν καὶ χρόνων Ποιητὰ, ὑπὸ χρόνον γεγονὼς δι᾽ εὐσπλαγχνίαν; ὁ ἀχρόνως ἐκλάμψας, ἐκ προανάρχου Πατρὸς, ἐπέστης τὰ χρόνια πταίσματα, πάντων ἀποπλῦναι, ἐν ῥείθροις Ἰορδάνου.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον, τὸν ἀρρήτῳ σοφίᾳ, ἥκοντα καινουργῆσαι τὸν Ἀδὰμ, βρώσει φθορᾷ πεπτωκότα δεινῶς· ἐξ Ἁγίας Παρθένου, ἀφράστως σαρκωθέντα δι᾽ ἡμᾶς· οἱ πιστοὶ ὁμοφρόνως, ἐν ὕμνοις μεγαλύνωμεν.

Ἰδών σε ὁ Ἰωάννης, πρὸς αὐτὸν εὐεργέτα, ἐλθόντα καὶ αἰτοῦντα παρ᾽ αὐτοῦ, ἐνταταγνώσει τὸ βάπτισμα, ἐκπλαγεὶς συνεστάλη·



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

μὴ δ' ὅλως χαρακτῆσαί σε τολμῶν, τὸν ἁπτόμενον πάντων, ὀρέων καὶ καπνίζονται.

ὩΣ χελιδὼν σεμνοτάτη, προμηνύουσα ἔαρ, ἐπέστη νοητῶς ὁ Βαπτιστής, τοῖς ἐν χειμῶνι ὑπάρχουσι, τῶν ἀμέτρων πταισμάτων, καὶ ζάλην ὑπομένουσιν ἀεὶ, ἐναντίων πνευμάτων, πονηροτάτοις πάθεσι.

ΣΕ τὸ ἀπαύγασμα δόξης, τοῦ Πατρὸς ἐπιλάμψαν, τοῖς σκότει καθημένοις τῶν δεινῶν, ἄδυτε ἥλιε Κύριε. καὶ ἐρχόμενον πάντως, φωτίσαι ἱερῶς σου Βαπτισμῷ, ὡς Θεὸν καὶ Σωτῆρα, ἐν ὕμνοις μεγαλύνωμεν.

Η Τοῦ θανάτου ἀξίνη, ἐν τῇ ῥίζῃ κειμένη, ὡς δένδρῳ ἀπειλεῖ τὴν ἐκτομὴν, τὴν ἀκαρπίαν σου βλέπουσα. μὴ οὖν ἄκαρπος μείνῃς ψυχή μου, ἀλλὰ βόησον Θεῷ, ἐν θερμῇ μετανοίᾳ, ἡμάρτηκά σοι σῶσόν με.

ΦΩνὴ βοῶντος ἠκούσθη, ἐρήμοις καρδίαις, εὐφράνθητε ἐπέστη ὁ Χριστὸς, ἄφεσιν πᾶσι δωρούμενος, ἁγιάσθητε πᾶσα, ἡ θάλασσα πηγαὶ καὶ ποταμοὶ, καὶ κοιλάδες καὶ νάπαι, καὶ πᾶσα ἡ ὑφήλιος.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε,

ΦΩνὴ βοῶντος ἤχησε, καὶ οἱ βουνοὶ σκιρτήσατε, χόρευσον γένος ἀνθρώπων. ὁ γὰρ προάναρχος Λόγος, σάρκα λαβὼν ὡς ἄνθρωπος, ἥκει βαπτισθησόμενος, ὑπὸ χειρῶν ὧν ἔπλασεν· ἐν Ἰορδάνῃ χωνεύσων, τοῦ Κόσμου τὴν ἁμαρτίαν. Ὅμοιον.

ΠΩς ῥεῖθρά σε ποτάμια, ὑποδέξονται φιλάνθρωπε, τὸν ποταμοὺς καὶ θαλάσσας, ποιήσαντα ἐκ μὴ ὄντων; πῶς κορυφὴν τὴν ἄχραντον, τὴν σὴν τολμήσει Πρόδρομος, χειροθετῆσαι Δέσποτα; ὑμνοῦμεν φρίττοντες Λόγε, τῆς σῆς πτωχείας τὸ ὕψος.

Εἰς τοὺς αἴνους. ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος πλ. β'.

Αἱ Ἀγγελικαί.

ΑἹ Ἀγγελικαὶ, προπορεύεσθε Δυνάμεις, ἐκ τῆς Βηθλεὲμ, πρὸς τὰ ῥεῖθρα Ἰορδάνου, προέρχου Ἰωάννη, καταλείψας τὴν ἔρημον, χαῖρε ποταμὲ καὶ εὐτρεπίζου. πᾶσα δὲ ἡ γῆ ἀγαλλιάσθω. Χριστὸς ἔρχεται, τὴν ἁμαρτίαν τοῦ Ἀδὰμ, καθᾶραι ὡς εὔσπλαγχνος.

ΣΤόμασιν ἁγνοῖς, καὶ ψυχαῖς κεκαθαρμέναις, δεῦτε μυστικῶς, Βηθλεὲμ μεταχωροῦντες· καὶ πρὸς τὸν Ἰορδάνην, σὺν Χριστῷ ἐπειγόμενοι, ᾄσωμεν αὐτῷ μετ' εὐφροσύνης, αἱ πατριαὶ τῆς γῆς νῦν πᾶσαι. πιστῶς λέγουσαι· εὐλογημένος ὁ ἐλθὼν, Θεὸς ἡμῶν δόξα σοι.

ΜΈγα καὶ φρικτὸν, τὸ μυστήριον ὑπάρχει, ὅτι ὁ Θεὸς, τοῖς ἀνθρώποις ὡμοιώθη. καὶ ἁμαρτίαν ὅλως, μὴ εἰδὼς ὁ ἀνεύθυνος, ὑπὸ Ἰωάννου βαπτισθῆναι, ἐν ποταμῷ τῷ Ἰορδάνῃ, αἰτεῖ σήμερον. εὐλογημένος ὁ φανεὶς, Θεὸς ἡμῶν δόξα σοι.

ΑΝθος ἐκ Δαβὶδ, ἀνατείλας τῆς Παρθένου, ἦλθεν ὁ Χριστὸς, πρὸς τὰ ῥεῖθρα Ἰορδάνου· τὰς ἁμαρτίας πλῦναι, τοῦ Προπάτορος ὕδασι· χόρευσον Ἀδὰμ, εὐφραίνου Εὔα. ὁ Οὐρανὸς ἀγαλλιάσθω, λαοὶ ᾄσωμεν. εὐλογημένος ὁ ἐλθὼν, Θεὸς ἡμῶν δόξα σοι. Δόξα. Ὅμοιον.

ΤΡέμει τῇ χειρὶ, δειλιῶν χειροθετῆσαι. χαίρει τῇ ψυχῇ, εὐνοῶν ὁ Ἰωάννης· ὅτι τὴν κορυφήν σου, ὑποκλῖναι εὐδόκησας, δούλου τὴν μορφὴν ἐνδεδυμένος· ἵνα βροτοὺς δειλαίας ῥύσῃ, ἐχθροῦ κράζοντας· εὐλογημένος ὁ ἐλθὼν, Θεὸς ἡμῶν δόξα σοι.

Καὶ νῦν. Ὅμοιον.

ΑΠασα ἡ γῆ, μυστικῶς ἀγαλλιάσθω, νῦν προφητικῶς, καὶ τὰ ὄρη σκιρτησάτω, ἀνάστρεψον τὸ ῥεῖθρον, Ἰορδάνη ὡς γέγραπται· φρίξον ἐκ προσώπου τοῦ Δεσπότου· ὅτι ὁ Θεὸς ἐνανθρωπήσας, βροτοὺς ἅπαντας, τῆς ἁμαρτίας τοῦ Ἀδὰμ, καθᾶραι ἐλήλυθεν.

Ἀπόστ. στ. Ἰδιόμελα, ἦχος πλ. β'.

ΦΑιδροτέρα ἡλίου γέγονεν, ἡ παρελθοῦσα Ἑορτὴ, τῶν Γενεθλίων Χριστοῦ. λαμπρὰ καὶ ἐπίφωτος δείκνυται, ἡ ἐπερχομένη, τῆς θείας Ἐπιφανείας αὐτοῦ· ἐν ἐκείνῃ Ποιμένες, μετ' Ἀγγέλων δοξολογοῦντες, προσεκύνησαν Θεὸν ἐνανθρωπήσαντα· ἐν ταύτῃ δὲ τοῦ Δεσπότου, ὁ Ἰωάννης ἁψάμενος τῇ δεξιᾷ χειρὶ σὺν τρόμῳ ἔλεγεν· ἁγίασον ἐμὲ καὶ τὰ ὕδατα, ὁ μόνος ἔχων τὸ μέγα ἔλεος.

Στ. Διὰ τοῦτο μνησθήσομαί σου.

ΕΤοιμάζου Ἰορδάνη ποταμέ. ἰδοὺ γὰρ παραγίνεται Χριστὸς ὁ Θεὸς, βαπτισθῆναι ὑπὸ Ἰωάννου, ἵνα τῶν δρακόντων ἀοράτους κεφαλὰς, συνθλάσῃ τῇ Θεότητι, ἐν τοῖς ὕδασι τοῖς σοῖς. ἀγάλλου ἡ ἔρημος Ἰορδάνου, τὰ ὄρη σκιρτήσατε μετ' εὐφροσύνης. ἥκει γὰρ ἡ αἰώνιος ζωὴ ἀνακαλέσαι τὸν Ἀδάμ. φωνὴ βοῶντος βόησον, ὦ Ἰωάννη Πρόδρο-



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

με· ἑτοιμάσατε ὁδοὺς τοῦ Κυρίου, καὶ τὰς τρίβους αὐτοῦ εὐθείας ἀπεργάσασθε.

Στ. Εἴδοσάν σε ὕδατα.

Ἀγαλλιάσθω ἡ ἔρημος Ἰορδάνου, καὶ ἀνθείτω ὡς κρίνον. φωνὴ γὰρ βοῶντος ἠκούσθη ἐν αὐτῇ. ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου. ὁ γὰρ τὰ ὄρη στήσας σταθμῷ, καὶ τὰς νάπας ζυγῷ, ὁ τὰ πάντα πληρῶν ὡς Θεός, βαπτίζεται ὑπὸ δούλου. πτωχείαν ἤρξατο, ὁ τὰ πλούσια δῶρα χαριζόμενος. ἤκουσεν Εὔα, ἐν λύπαις τέξῃ τέκνα. νῦν δὲ ἤκουσεν ἡ Παρθένος· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος πλ. δ'. Ἀνατολίου.

Ἰωάννη Βαπτιστά, ὁ ἐν μήτρᾳ γνωρίσας με τὸν Ἀμνόν, ἐν ποταμῷ μοι διακόνησον, μετ' Ἀγγέλων μοι λειτούργησον. ἐκτάνας ἅψαι τῇ παλάμῃ, τῆς κορυφῆς μου τῆς ἀχράντου. καὶ ὅταν ἴδῃς τὰ ὄρη τρέμοντα, καὶ τὸν Ἰορδάνην ἐπαναστραφέντα, σὺν τούτοις βόησον· ὁ σαρκωθεὶς ἐκ Παρθένου, εἰς ἡμῶν σωτηρίαν, Κύριε δόξα σοι.

Μηνὶ τῷ αὐτῷ Γ'. Προεόρτια τῶν Φώτων· καὶ τοῦ Ἁγίου Προφήτου Μαλαχίου, καὶ τοῦ Ἁγίου Μάρτυρος Γορδίου.

Τῆς Ἑορτῆς, ἅπερ εἴπομεν τὴν χθές· τῶν δὲ Ἁγίων τὴν Ἀκολουθίαν, ζήτει εἰς Προφήτην, καὶ εἰς Μάρτυρα.

Δόξα, καὶ νῦν, ἦχος δ'. Ἰωάννου Μοναχοῦ.

Ὢ τοῦ παραδόξου θαύματος, ὁ ἐν Πνεύματι Ἁγίῳ βαπτίζων καὶ πυρί, ἐν Ἰορδάνῃ ἔρχεται, βαπτισθῆναι ὑπὸ Ἰωάννου. Θεὸς οὐ γυμνός, οὐδὲ ἄνθρωπος ψιλός· ἀλλ' ἐν δυσὶ ταῖς φύσεσιν, εἷς ὁ αὐτὸς Υἱὸς Μονογενής. ζητῶν μὲν τὸ βάπτισμα ὡς ἄνθρωπος ἐκ θνητοῦ· αἴρων δὲ ὡς Θεός, τὴν ἁμαρτίαν τοῦ Κόσμου· καὶ παρέχων πᾶσι, τὸ μέγα ἔλεος.

Ἀπόστ. Στ. ἦχος πλ. β'. Τριήμερος ἀνέστης.

Ἰδοὺ ὁ φωτισμὸς τῶν πιστῶν, ἰδοὺ ὁ ἱλασμὸς ἡμῶν, ἐπιβαίνειν, μέλλει ῥείθροις ποταμοῦ, τὸν ῥύπον ὅπως πλύνῃ, κακίας τῶν ἀνθρώπων, καὶ ἀναπλάσῃ συντριβέντας ἡμᾶς.

Στ. Διὰ τοῦτο μνησθήσομαί σου.

Ὡς εἶδέ σε ἐρχόμενον, ὁ Πρόδρομός σου Κύριε, καὶ αἰτοῦντα, βαπτισθῆναι ὑπ' αὐτοῦ, ἐν φόβῳ ἀνεβόα· Θεέ μου Πλαστουργέ μου, πῶς σε βαπτίσω τὸν ἀμόλυντον;

Στ. Εἴδοσάν σε ὕδατα.

Συνέλθωμεν πιστοὶ νοητῶς, πρὸς τὰς τοῦ Ἰορδάνου ῥοάς, θαῦμα μέγα, ὅπως ἴδωμεν σαφῶς. ὁ Κτίστης γὰρ τῶν ὅλων, ἐπέφανεν ὡράθη, καὶ βαπτισθῆναι παραγέγονε.

Δόξα, καὶ νῦν. ἦχος πλ. α'.

Ἐν Ἰορδάνῃ ποταμῷ, Χριστὸς ὁ Θεὸς ἡμῶν, μολεῖ πρὸς τὸ Βάπτισμα. καθᾶραι θέλων ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν, τῇ αὐτοῦ ἐπιφανείᾳ, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Τροπάριον Προεόρτιον. Ἑτοιμάζου Ζαβουλών. Ἐν τοῖς Ἀποδείπνοις.

Τετραῴδιον. οὗ ἡ ἀκροστιχίς. Τετράδι ψαλῶ.

Ὠδὴ γ'. ἦχος β'. Ὁ Εἱρμός.

Τῆς πίστεως ἐν πέτρᾳ με στερεώσας, ἐπλάτυνας, τὸ στόμα μου ἐπ' ἐχθρούς μου· εὐφράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν. οὐκ ἔστιν Ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλὴν σοῦ Κύριε.

Ἐν κενοῖς ἡ ἐπίνοια τοῦ Ἡρώδου, τοὺς μέλλοντας τυχεῖν τῆς ἐλευθερίας, ἀνόμως ἀνελόντος παῖδας. Χριστὸς γάρ, ὁ λυτρωτὴς ἡμῶν, ζωὴν χαρίζεται, πᾶσι τὴν ἀνώλεθρον, βαπτιζόμενος.

Τὸ δεινὸν βελτίστερον τοῦ Ἡρώδου, νηπίων πρὶν ἀπέκτανε νεολαίαν, τὴν Βηθλεὲμ αἱμάτων πληρώσαν. νῦν δέ, τῇ Ἐκκλησίᾳ Χριστὸς ἔρχεται, τέκνα πολλά, διὰ τοῦ βαπτίσματος εἰσποιήσασθαι.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Ῥῆμα τυράννου, ἐπεὶ ὑπερίσχυσεν, ἑπταπλασίως κάμινος ἐξεκαύθη ποτέ. ἐν ᾗ, Παῖδες οὐκ ἐφλέχθησαν, Βασιλέως πατήσαντες δόγμα. ἀλλ' ἐβόων, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Ἀποκενοῦντες, δακρύων πηγὰς οἱ πιστοί, ἐξ ὀφθαλμῶν καθάρωμεν, πάντα ῥύπον ψυχῶν καὶ φῶς, ἐν φωτὶ τερπνὸν ὀψώμεθα, βαπτισθῆναι Χριστοῦ ἐρχομένου, ᾧ προσμαρτυρήσει Πατὴρ Οὐρανόθεν. καὶ Πνεύματος Ἁγίου, λάμψει παρουσία, περιστερᾶς ἐν εἴδει.

Δάκρυον ἅπαν, Χριστὸς ἀφαιρούμενος, ἀπὸ παντὸς προσώπου προέρχεται, ψυχῶν, πολυώδυνα νοσήματα, ἀνωδύνως ἐν

ὕδα-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

ὕδατι παύων. καὶ παλαιωθέντας ἀνθρώπους, καινίζων τῇ παλιγγενεσίᾳ· τοὺς ὑμνολογοῦντας, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ἐνεργοῦνται, ψυχαὶ τοῦ Βαπτίσματος, θεοσδότῳ λουτρῷ καὶ Πνεύματος πυρὶ, τοῦ τὰ πάθη ἐκκαθαίροντος, καὶ τὴν ὕλην συμφλέγοντος πᾶσαν, μοχθηρᾶς κακίας· καὶ χάριν διδόντος, βοᾶν ἐν κατανύξει· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ψυχαῖς καθαραῖς, καὶ ἀῤῥυπώτοις χείλεσι, δεῦτε μεγαλύνωμεν τὴν ἀκηλίδωτον, καὶ ὑπέραγνον Μητέρα τοῦ Ἐμμανουήλ· δι' αὐτῆς τῷ ἐξ αὐτῆς, προσφέροντες πρεσβείαν τεχθέντι. φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Ἀγνώμων μηδεὶς, καὶ πρὸς Χριστὸν ἀχάριστος, ἔσω τὸ μακρόθυμον τῆς ἀνοχῆς αὐτοῦ, καὶ χρηστότητος ὑβρίζων καταφρονήσα. ἀλλ' ἐν φόβῳ καὶ χαρᾷ, δουλεύσωμεν αὐτῷ μελῳδοῦντες· φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Ἔλεγε τοῖς λαοῖς, τῶν ἀπαθῶν ὁ Πρόδρομος· τίς ὑμῖν ὑπέδειξεν, ἐκ τῆς ὀργῆς φυγεῖν, ἐχιδνῶν γεννήματα τῆς μελλούσης; μετανοίας οὖν καρποὺς, ἐνδείξασθε ἀξίως βοῶντες· φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Ὢ Πηρωτικῆς ἀγνωμοσύνης τόλμημα. ὃν γὰρ οἱ ἀλλόφυλοι, ὡς λυτρωτὴν Χριστὸν, προσεκύνησαν ἐν δώροις τετιμηκότες· οἱ οἰκεῖοι μανικῶς, ἐζήτουν ἀποκτεῖναι φανέντα. φεῖσαι τῶν ψυχῶν ἡμῶν, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν α'. στιχολ. κάθ. ἦχος γ'.

Τὴν ὡραιότητα.

Ὁ Ἀπερίγραπτος, ὢν τῇ Θεότητι, περιγραφόμενος, ὕλῃ τοῦ σώματος, μέλλει προέρχεσθαι ῥοαῖς, Ἰορδάνου τοῦ βαπτισθῆναι. τοῦτον καθαρότητι, διανοίας δεξώμεθα· πάντων γὰρ ἐργάσασθαι, τὴν ἀνάπλασιν βούλεται. πρὸς ὃν βοήσωμεν ἐν φόβῳ· δόξα Χριστὲ τῇ ἐπιφανείᾳ σου. Δίς.

Εἰς τὴν β'. στιχολ. κάθ. ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Τὸν ὁμότιμον Λόγον Πατρὶ καὶ Πνεύματι, σαρκωθέντα δι' οἶκτον καὶ βαπτιζόμενον, τῶν Ἀγγέλων οἱ χοροὶ, βλέποντες ἔτρεμον. καὶ Ἰορδάνης ποταμὸς, εὐλαβηθεὶς καὶ φοβηθεὶς, ἐστράφη εἰς τὰ ὀπίσω· ἡμᾶς ἀνάγων πρὸς ὕψος, τῆς σωτηρίας, πάθεσι ῥεύσαντας. Δίς.

Κανόνες τρεῖς, ὁ Προεόρτιος εἰς ς'. τοῦ Προφήτου εἰς δ'. καὶ τοῦ Μάρτυρος εἰς δ'. ὁ Προεόρτιος. Οὗ ἡ ἀκροστιχίς. Κατὰ ἀλφάβητον. Ἰωσήφ. Ὠδὴ α'. ἦχος δ'. Ὁ Εἱρμός.

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί. καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων· καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.

Ἀβύσσους προστάγματι, δημιουργήσας φιλάνθρωπε, τὴν γῆν ὁ τοῖς ὕδασι κρεμάσας Κύριε, παντοδύναμε, προέρχῃ βαπτισθῆναι. ποταμίοις ῥεύμασι, πλύνων με ῥύπου παθῶν.

Βουλήσει ἐπτώχευσας, τὸν ἑκουσίως πτωχεύσαντα, κακῶν ἐπιδόσεσιν, ἐμὲ πλουτίζων Χριστέ· καὶ ἐν ὕδασι, προέρχῃ Ἰορδάνου, Βάπτισμα αἰτούμενος ὁ ἀναμάρτητος.

Γηράσαντα πταίσμασι, Κόσμον καινίζων φιλάνθρωπε, ξένην ἀναγέννησιν, ἔρχῃ ποιήσασθαι, διὰ ὕδατος, καὶ Πνεύματος ἀνθρώποις. ὅθεν σε δοξάζομεν τὴν ἐπιφάνειαν.

Δαβὶδ θείῳ Πνεύματι, προκελαδῶν ἀπεφθέγγετο· τί σοι ἐστὶ θάλασσα, ὅτι νῦν ἔφυγες, καὶ τί ὅτι σὺ, ἐστράφης Ἰορδάνη; Χριστὸν θεασάμενος, γυμνὸν ἑστῶτα ἐν σοί.

Καὶ τῶν Ἁγίων, ζήτει εἰς Προφήτην, καὶ εἰς Μάρτυρα.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Εὐφράνθητι ἔρημος διψῶσα, βροτῶν φύσις ἅπασα ἰδοὺ, τὸ ὕδωρ ἐπιφαίνεται, τὸ τῆς ζωῆς ἀρδεῦόν σε, γονιμωτάταις χάρισι, Χριστὸς ἡ πάντων ἀνάπλασις.

Ζητῆσαί με γνώμῃ πλανηθέντα, προέρχῃ ἐν ὕδασι Χριστέ. ἐν οἷς καταδυόμενος, βυθίζεις μου τὰ πταίσματα· καὶ ἐκ βυθοῦ ἀνάγεις με, πάσης κακίας ὡς εὔσπλαγχνος.

Ἥλιος ὁρᾶν σε μέλλων Λόγε, γυμνούμενον κρύπτει τὰς αὐγάς. ἔρχῃ γὰρ γυμνωθέντα με, ἀπάτῃ τῇ τοῦ ὄφεως, διὰ τοῦ σοῦ Βαπτίσματος, στολὴν ἐνδῦσαι σωτήριον.

Κα. τῶν Ἁγίων. καὶ τῆς Ἑορτῆς, ἦχος πλ.

Αὐλῶν ποιμενικῶν.

Χορὸς προφητικὸς, προκηρύξας νῦν χαίρει, τὸ Βάπτισμα Χριστοῦ, τὴν ζωὴν ἀνα-

βλύζον, κράζει ὁ Ἡσαΐας, ἀντλῆσαι ὕδωρ τὸ καθαρτήριον. γράφει ὁ Θεοπάτωρ, πῶς ἐκ προσώπου φεύγει ἡ θάλασσα, τοῦ εὐδοκήσαντος σώζειν συμπαθῶς, τὸ γένος τῶν ἀνθρώπων.

Ὠδὴ δ΄. Ὁ Εἱρμός. Τὴν ἀνεξιχνίαστον.

Θάμβει συσχεθήσεται ὁ Οὐρανός, καὶ τὰ τῶν Ἀγγέλων στρατεύματα, δουλοπρεπῶς σε, ἀφικνούμενον Χριστέ, πρὸς τὸν σὸν δοῦλον βλέποντα, καὶ ἐπιζητοῦντα τὸ Βάπτισμα.

Ἰωάννη σκίρτησον· ἔρχεται γάρ, πάντως ὁ λυτρούμενος Κύριος, ὑποκλιθῆναι, τῇ χειρί σου ταπεινῶς, ὅπως ταπεινωθέντα με, θείῳ ἀνυψώσῃ Βαπτίσματι.

Κλίνας καταβέβηκας τοὺς Οὐρανούς, ἐπὶ τὴν Παρθένον φιλάνθρωπε· καὶ Ἰωάννῃ, ὑποκλίνεις κορυφήν, ἐπιζητῶν τὸ Βάπτισμα. δόξα τῇ πολλῇ εὐσπλαγχνίᾳ σου.

Ῥύων τὰς ἀμέτρους μου Λόγε σειράς, τῶν ἁμαρτημάτων ἐν ὕδασι, τοῦ Ἰορδάνου ἐπισπεύδεις προσελθεῖν, καὶ βαπτισθῆναι Δέσποτα. δόξα τῇ πολλῇ εὐσπλαγχνίᾳ σου.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Μακρὰν τὸ ἀνθρώπινον, ἀπὸ Θεοῦ γενόμενον, ὁ Λόγος Θεοῦ κατοικτειρήσας, ἄνθρωπος ὤφθη, καὶ Βαπτισμῷ θεουργῷ, τοῦτο οἰκειοῖ θεοπρεπῶς. καὶ πρὸς τὸ ἀρχέτυπον, ἐπανάγει ἀξίωμα.

Νεκροὺς χρηματίσαντας, ἡμᾶς ταῖς παραβάσεσιν, ἔρχῃ Ζωοδότα πανοικτίρμον, ἀναζωῶσαι ταῖς Ἰορδάνου ῥοαῖς. ὅθεν σου δοξάζομεν πιστῶς, νῦν τὴν ἐπιφάνειαν, καὶ τὸ ἄφατον ἔλεος.

Ξενίζεται ἅπασα, ψυχὴ ἐννοουμένη σου, Λόγε τὴν φρικτὴν Οἰκονομίαν· πῶς ἀναπλάσαι πάντας βουλόμενος, ἔρχῃ ἐπιβῆναι ποταμοῦ, ῥεύματι γυμνούμενος, ὁ φῶς ἀναβαλλόμενος.

Ὠδὴ ς΄. Τὴν θέαν ταύτην.

Οἱ σκότει πάλαι καθήμενοι, τὸ φῶς ἐπιδημῆσαν θεώμενοι, χαρᾶς ἐπλήσθητε. ἰδοὺ ἐπέφανε Κύριος, τὰ Ἰορδάνου ῥεῖθρα περιβαλλόμενος.

Πῶς βλέψας σε ἀφικόμενον, ὁ Πρόδρομος Σωτὴρ καὶ αἰτούμενον, τὸ θεῖον Βάπτισμα; πῶς σε ῥοαὶ ὑποδέξονται, τοῦ Ἰορδάνου ῥεῖθρον ὄντα ἀφέσεως.

Ῥανάτωσαν εὐφραινόμεναι, νεφέλαι νοητὴν ἀγαλλίασιν. ἰδοὺ ἀφίκετο, τοῦ βαπτισθῆναι ὁ Κύριος, διασκεδάζων νέφη τῶν καρδιῶν ἡμῶν.

Κοντάκ. τῆς Προεόρ. Ἦχος. Ἐν τοῖς ῥείθροις.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ Κτίσει.

Συντριβέντα με, τοῖς πταίσμασι καὶ κάμνοντα, ἐν σκότει Κύριε, τῆς παραβάσεως, ἠλέησας ὤκτειρας δι' ἀγαθότητα, καὶ ἐν ὕδασι, τοῦ Ἰορδάνου Κύριε, παραγίνῃ βαπτισθῆναι.

Τί τὸ ξένον, τοῦτο θέαμα ἐβόησαν, Ἀγγέλων τάγματα; ὁ λίμνας καὶ ποταμούς, ποιήσας προστάγματι, τὰ Ἰορδάνεια, ῥεῖθρα ἔρχεται, περιβαλέσθαι τούτοις γάρ, τὸν Ἀδὰμ ἀνακαινίζει.

Ὕψος ἄβατον, καὶ βάθος μὴ μετρούμενον, ὑπάρχει Δέσποτα, Οἰκονομία ἡ σή, πᾶσαν ὑπερβαίνουσα νοὸς κατάληψιν. πῶς δι' ὕδατος, καὶ Παναγίου Πνεύματος, τοὺς βροτοὺς ἀναχωνεύεις.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Φωνὴ τοῦ Γεννήτορος ἐξ ὕψους, Υἱὸν μαρτυρήσει ὁμοούσιον, βαίνοντα ἐν ὕδασι· καὶ τὴν εὐλογίαν σου, τούτοις προσεπιπέμποντα, εὐλογημένε Χριστέ. καὶ Πνεῦμά σε τὸ Ἅγιον πᾶσιν, ἐπανακηρύξει Θεὸν σεσαρκωμένον.

Χόρευε ἡ Κτίσις αἰσθομένη, Θεοῦ τὴν ἁγίαν ἐπιφάνειαν. Ἄγγελοι ὑμνήσατε, θάλασσα εὐφράνθητι, λίμναι πηγαὶ σκιρτήσατε, καὶ ποταμοὶ μυστικῶς, κροτήσατε, ἐν ὕμνοις ἐπέστη, ὁ ταῖς εὐλογίαις, ἡμᾶς Χριστὸς λαμπρύνων.

Ψάλωμεν Θεῷ νῦν ἐν αἰνέσει, τῷ ἐπιφανέντι ἐν τοῖς ὕδασι· καὶ τὴν συντριβὴν ἡμῶν, τούτοις ἀναπλάσαντι, καὶ κεφαλὰς συντρίψαντι, τῶν ἀοράτων ἐχθρῶν. καὶ κράζωμεν ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτ.

Ὢ θαῦμα θαυμάτων πῶς ὁ πάσης, ἐπέκεινα Κτίσεως Θεὸς ἡμῶν, κτίζεται καὶ πλάττεται, ἐκ τῆς Θεομήτορος· καὶ καινουργεῖ θελήματι, καὶ ἀναπλάττει ἡμᾶς, δι' ὕδατος καὶ Πνεύματος πλάσιν, θαυμασιωτάτην, ὁ μόνος εὐεργέτης.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἴδε ὁ Ἀμνός, ὁ αἴρων τὰ πταίσματα τῆς ἀνθρωπότητος· ἦλθεν ἐπεδήμησε, καὶ πρὸς τὸν δοῦλον αἰτῶν τὸ Βάπτισμα, δουλοπρεπῶς ἐφίσταται, ἐλευθερῶσαι ζητῶν, δουλωθέντας, ἡμᾶς τῷ ἀλάστορι, καὶ τὸ κάλλος τὸ πρὶν ἀπολέσαντας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ὤφθη ἐμφανῶς, Θεὸς σωματούμενος, δι' ἀγαθότητα. καὶ τὰ Ἰορδάνεια, περιβάλλεσθαι ἔρχεται νάματα, ὁ περιβάλλων νέφεσι τὸν Οὐρανὸν ἀληθῶς. τοῦτο πάντες, νῦν προεορτάσωμεν, τὴν σεπτὴν ἐν χαρᾷ ἐπιφάνειαν.

Σκίρτησον χαρᾷ, καὶ προετοιμάσθητι καθυποδέξασθαι, ὕδωρ τὸ ἀλλόμενον, ὦ Ἰορδάνη εἰς αἰώνιον ζωήν. οἱ ποταμοὶ χορεύσατε, βλέποντες νῦν τῆς τρυφῆς, τὸν χειμάρρουν, ῥείθροις ἐπιβαίνοντα, καὶ κακίας τὴν χύσιν ξηραίνοντα.

Ἤγγισεν ἡμῖν, ἡμέρα σωτήριος, τοῖς ἐν νυκτὶ τῶν παθῶν, πάντοτε καθεύδουσι· καὶ γὰρ ἐπέστη Χριστὸς ὁ Κύριος, δικαιοσύνης Ἥλιος ὢν καὶ νοούμενος, ὑποκλῖναι δούλῳ κεφαλὴν αὐτοῦ, καὶ σαρκὶ βαπτισθῆναι θελήματι. Θεοτοκίον.

Φρίττει Χερουβίμ, καὶ πᾶσα οὐράνιος φύσις Πανάμωμε, τὸν ὑπὲρ κατάληψιν, σεπτόν σου τόκον ὁμοιωθέντα ἡμῖν, δι' εὐσπλαγχνίαν ἄφατον, καὶ βαπτισθέντα σαρκί· οὗ τὴν θείαν, πάντες ἐπιφάνειαν, ἑορτάζομεν νῦν ἀγαλλόμενοι.

Ἐξαποστειλάριον τῆς Ἑορτῆς.

Ἐν Πνεύματι τῷ Ἱερῷ.

Τὴν Βηθλεὲμ ἀφέμενοι, τὸ καινότατον θαῦμα, πρὸς Ἰορδάνην δράμωμεν, ἐκ ψυχῆς θερμοτάτης· κἀκεῖσε κατοπτεύσωμεν, τὸ φρικτὸν μυστήριον. θεοπρεπῶς γὰρ ἐπέστη, γυμνωθεὶς ὁ Χριστός μου, ἐπενδύων με στολήν, τῆς Οὐρανῶν Βασιλείας.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ'. ἦχος πλ. β'.

Αἱ Ἀγγελικαί.

Θρόνον Οὐρανόν, κεκτημένος ὁ Δεσπότης, ἦλθεν ἐπὶ γῆς, σαρκωθεὶς ἐκ τῆς Παρθένου. καὶ πρὸς τὸν Ἰορδάνην, ἐπιστὰς τὸ καθάρσιον, πάντων ἐξαιτεῖ τὸν Ἰωάννην, αἱ πατριαὶ τῆς γῆς ἁπάσης, αὐτῷ ψάλωμεν· εὐλογημένος ὁ φανείς, Θεὸς ἡμῶν δόξα σοι.

Ἔφθασε Χριστός, πρὸς τὰ ῥεῖθρα Ἰορδάνου· Βάπτισμα αἰτῶν, ὁ καθαίρων ἁμαρτίας· πᾶσα ἡ γῆ σκιρτάτω, οὐρανοὶ εὐφραινέσθωσαν· χαῖρε τῶν ἐθνῶν ἡ Ἐκκλησία, τῷ Βασιλεῖ νυμφευομένη. πιστῶς βόησον· εὐλογημένος ὁ φανείς, Θεὸς ἡμῶν δόξα σοι.

Ὄρη γλυκασμόν, εὐφροσύνης σταλαξάτω. χαρᾶς μυστικῶς, νῦν κροτήσατε τὰ ἔθνη. ἡ ἔρημος ἀνθείτω· Ἰορδάνη ὑπόδεξαι· δεῦρο Βαπτιστὰ τῷ μυστηρίῳ, τοῦ λυτρωτοῦ ὑπούργει χαίρων· λαοὶ μελψῶμεν· εὐλογημένος ὁ φανείς, Θεὸς ἡμῶν δόξα σοι.

Φῶς τὸ ἐκ φωτός, ὑπὲρ χρόνον προεκλάμψαν, τοῖς ἐν τῇ νυκτί, καθημένοις ἐπεφάνη· καὶ σκότος ἁμαρτίας, ἐκκαθαῖρον ἐφώτισε· χόρευσον Ἀδάμ, εὐφραίνου Εὔα, ἡ λύτρωσις Χριστὸς ἐπέστη· Δαβὶδ βόησον. εὐλογημένος ὁ φανείς, Θεὸς ἡμῶν δόξα σοι.

Δόξα. Ὅμοιον.

Ἄστρον Ἰακώβ, ἐξανέτειλε τῷ Κόσμῳ, καὶ τὴν φλογερὰν, τῶν ἀνθρώπων ἁμαρτίαν, ἀναλαβὼν ἐνθάπτει, Ἰορδάνου τοῖς νάμασι. λάμπων τῆς Θεότητος τῷ φέγγει· καὶ φωτισμὸν Θεογνωσίας, διδοὺς ἔθνεσιν· εὐλογημένος ὁ φανείς, Θεὸς ἡμῶν δόξα σοι.

Καὶ νῦν. Ὅμοιον.

Νόμου πληρωτής, κατὰ σάρκα χρηματίσας, ἦλθεν ὁ Χριστός, ἀπαρχὴν τῆς σωτηρίας, ἐπὶ τὸν Ἰορδάνην, ἐκτελέσαι ὡς εὔσπλαγχνος, καὶ τῷ Βαπτιστῇ καθυποκλίνει, τὴν κορυφὴν πιστῶς βοῶντι· λαοὶ κράξωμεν· εὐλογημένος ὁ φανείς, Θεὸς ἡμῶν δόξα σοι.

Ἀπόστ. στίχ. ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Ἀπὸ τῆς Βηθλεέμ, ἐπὶ τὸν Ἰορδάνην, μεταβῶμεν· ἐκεῖ γάρ, τὸ φῶς τοῖς ἐν τῷ σκότει, αὐγάζειν ἤδη ἄρχεται.

στίχ. Διὰ τοῦτο μνησθήσομαί σου.

Γῆ ἡ τοῦ Ζαβουλών, οἱ πέραν Ἰορδάνου, ἀκούσατε ἐγγίζει, Χριστὸς ἡ σωτηρία, τὸ φῶς ἡ ἀπολύτρωσις.

στίχ. Εἴδοσάν σε ὕδατα.

Εὐτρέπιζε καὶ σύ, Ἰορδάνη τὸ ῥεῖθρον. ὁ πυρὶ γὰρ βαπτίζων, ἐγγίζει τοῦ καινίσαι, τὸ συντριβὲν πλαστούργημα.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Ὤφθη τὸ πατρικόν, ἀπαύγασμα τῆς δόξης, ἐν ῥείθροις Ἰορδάνου, Βαπτίσματι καθαῖρον, τὸν ῥύπον τῶν ψυχῶν ἡμῶν.

Μηνὶ τῷ αὐτῷ Δ'.

Προεόρτια τῶν Φώτων· Καὶ ἡ σύναξις τῶν Ἁγίων ἑβδομήκοντα Ἀποστόλων, καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοκτίστου.

Εἰς τό, Κύριε ἐκέκραξα, στίχ. Προεόρτια, ἅπερ εἶπας καὶ τὴν χθές. τῶν δὲ Ἁγίων· ζήτει εἰς Ἀποστόλους, καὶ εἰς ἕνα Ὅσιον.

Δόξα, ϗ νῦν, ἦχος γʹ.

Φαιδρὰ μὲν ἡ παρελθοῦσα Ἑορτή, ἐνδοξος ἡ παροῦσα ἡμέρα. ἐν ἐκείνῃ τὸν Σωτῆρα Μάγοι προσεκύνησαν· ἐν ταύτῃ δὲ τὸν Δεσπότην, δοῦλος κλητὸς ἐβάπτισεν. ἐκεῖ Ποιμένες ἀγραυλοῦντες, εἶδον ϗ ἐθαύμασαν. ὧδε φωνὴ τοῦ Πατρὸς, τὸν μονογενῆ Υἱὸν ἐκήρυττε.

Εἰς τὸν στ. στ. προσόμοια, ἦχος βʹ.

Οἶκος τοῦ Εὐφραθᾶ.

Ὁ Λύχνος τῷ φωτὶ, ἡ αὐγὴ τῷ Ἡλίῳ· ὁ φίλος τῷ Νυμφίῳ, ὁ Πρόδρομος τῷ Λόγῳ, Προφῆτα καθυπούργησον.

στ. Διὰ τοῦτο μνησθήσομαί σου.

Ἦλθεν ὁ φωτισμὸς, ἡ λύτρωσις ἐφάνη. ἐν Ἰορδάνῃ δεῦτε, συνέλθωμεν ῥυφθῆναι, καὶ ᾆσαι Προεόρτια.

στ. Εἴδοσάν σε ὕδατα ὁ Θεός.

Ἅπαντα μοι διὰ σοῦ, τὰ καλὰ Θεοτόκε· ὁ Θεὸς ἐν ἀνθρώποις, τὸ φῶς ἐν Ἰορδάνῃ, κἀγὼ ἐν τῷ φωτὶ αὐτοῦ.

Δόξα, ϗ νῦν, ἦχος πλ. βʹ.

Ἔρχεται πρὸς Ἰορδάνην Χριστὸς ἡ ἀλήθεια, τοῦ βαπτισθῆναι ὑπὸ Ἰωάννου, καὶ φησὶ πρὸς αὐτόν. ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, ϗ σὺ ἔρχῃ πρός με; οὐ τολμῶ ὁ χόρτος προσψαῦσαι τῷ πυρί. σύ με ἁγίασον Δέσποτα, τῇ θείᾳ ἐπιφανείᾳ σου.

Τροπάριον, ἦχος γʹ. Ἀπόστολοι Ἅγιοι.

Καὶ Προεόρτιον. Ἑτοιμάζου Ζαβουλών.

Ἐν τοῖς Ἀποδείπνοις, Κανὼν, οὗ ἡ ἀκροστιχίς.

Τῇ μακρᾷ πέμπτῃ, μακρὸν ὕμνον ἐξᾴδω.

Ὠδὴ αʹ. ἦχος πλ. βʹ. Ὁ Εἱρμός.

Τμηθείσῃ τμᾶται, πόντος ἐρυθρός· κυματοτρόφος δὲ ξηραίνεται βυθός· ὁ αὐτὸς ὁμοῦ ἀόπλοις γεγονὼς βατὸς, ϗ πανοπλίταις τάφος. ᾠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο· ἐνδόξως δεδόξασαι, Χριστὸς ὁ Θεὸς ἡμῶν.

Ἡ Παντουργία, ϗ παρεκτικὴ ζωῆς, ἡ ἄπειρος σοφία τοῦ Θεοῦ, ᾠκοδόμησε τὸν οἶκον ἑαυτῆς, Ἁγνῆς ἐξ ἀπειράνδρου Μητρός· πρὸς Ἰορδάνου δὲ νῦν ῥοὰς ἔρχεται, αἰτοῦσα τὸ Βάπτισμα, βροτῶν εἰς ἀνάπλασιν.

Ἡ Ὑσαγωγοῦσα, πάντας συγκαλεῖ τοὺς ἐξ ἐθνῶν. ἡ τοῦ Θεοῦ σοφία πρὸς τὸ φῶς. τοὺς ἐν σκότει πρὶν ἀγνοίας ἀφεγγοῦς, κειμένους εἰς ἐπίγνωσιν ἀληθείας, ἀνάγουσα πρὸς τὸ φῶς τῷ Βαπτίσματι· καρδίας καθαίροντι, καὶ κτίζοντι πνεύματι.

Ἐκκαθάρωμεν, νῦν Προφητικῶν ἐκπληρουμένων, διὰ Πνεύματος φωνῶν· ὁ βαπτίζων γὰρ ἐν Πνεύματι ϗ πυρὶ, ἐπάγεται Χριστὸς πρὸς Ἰορδάνην· προσέλθετε πρὸς αὐτὸν, ϗ φωτίσθητε, ἡμῶν γὰρ τὰ πρόσωπα, οὐ καταισχυνθήσονται.

Ὠδὴ γʹ. Ὁ Εἱρμός.

Κύριος ὢν πάντων καὶ Κτίσης Θεὸς, τὸ κτιστὸν ὁ ἀπαθὴς πτωχεύσας, ἑαυτῷ ἥνωσας. ἐν τοῖς ῥείθροις οἷς ἔμελλες ἐλθεῖν, αὐτὸς ὢν τοῖς λαοῖς προσεφώνεις. ὕδωρ τῆς ζωῆς ἀντλήσατε, ϗ πίστει στερεωθήσεσθε.

Ῥύσιον ψυχῶν καὶ σωμάτων ἅμα, τὴν Βαπτίσματος τὴν χάριν Σῶτερ, ἔρχῃ χαρίσασθαι. διὰ τοῦτο βραβεύεις νῦν ἡμῖν, καὶ χάριν ἀντὶ χάριτος κράζων. ὕδωρ τῆς ζωῆς ἀντλήσατε, ϗ πίστει στερεωθήσεσθε.

Ἄφρων ἀνὴρ, ὁ μὴ γινώσκων Θεὸν, διαφθείρεται, ϗ γὰρ ἀτόποις ἐπιτηδεύμασιν, ἐλαττοῦται παντὸς ἐξ ἀγαθοῦ, ϗ πάσης ἐκπίπτει σωτηρίας· ὅπερ τῆς μερίδος ἅπαντες, οἱ Χριστὸν γνόντες ῥυσθείημεν.

Ὠδὴ δʹ. Ὁ Εἱρμός.

Προκατιδὼν ὁ Προφήτης, τοῦ μυστηρίου σου τὸ ἀπόρρητον, Χριστὲ προανεφώνησεν. ἔθου κραταιὰν, Βαπτίσματος τὴν χάριν, τοῖς πίστει τοῦτο δεχομένοις ἅπασιν, εἰς λύτρωσιν τῶν ἀμπλακημάτων ἡμῶν.

Ἐπὶ τὸ Βάπτισμα σπεύδων, τὸ τοῖς θνητοῖς πηγάζον τὴν ἄφεσιν· πεφορτισμένους ἅπαντας, πταίσμασι κακοῖς, κακῶς ἐν μοχθηρίᾳ βιοῦντας, τὴν κατὰ ψυχὴν ἀνάπαυσιν αὐτοῖς, ὡς Οἰκτίρμων παρέχειν ἐπαγγειλάμενος.

Ἐπιλαβὼν τῆς σαρκός μου, τῆς σῆς Θεότητος μεταδίδως μοι. εἰκὼν γὰρ ἀπαράλλακτος, ὢν τοῦ σοῦ Πατρὸς, χαρᾷς ἐπὶ χαρῶν σου Σῶτερ τὸ πλάσμα, πλὴν τῆς ἁμαρτίας, ἄνθρωπος φανείς· τῷ ὁμοίῳ καθαίρων, Λόγε τὸ ὅμοιον.

Ὄμμα ϗ Χρίσμα ϗ Πνεῦμα, τῆς σῆς σφραγῖδος Σῶτερ γνωρίσματα, ϗ μυστικὰ χαρίσματα, καὶ τῶν δωρεῶν τῶν θείων ἀξιέραστα γέρα, τὸν Μονογενῆ καὶ γάρ σε ἱλασμὸν, ὁ Πατὴρ εἰς τὸν Κόσμον ἀπέστειλε.

Ὠδὴ εʹ. Ὁ Εἱρμός.

Ὁ συνδέσμῳ τῆς δειλίας, συνεχόμενος νῦν ὁ Πρόδρομος, παραιτεῖται τὸ βαπτίζειν

εὐλαβῶς Χριστὸν θεασάμενος, γυμνὸν ἑστῶτα ἐπὶ τοῦ ὕδατος· ὕδατι στεγάζοντα τὰ ὑπερῷα.

Ἡ τὸ ἄσχετον κρατοῦσα, καὶ ὑπερῷον, ἐν αἰθέρι ὕδωρ· ἡ Ἄβυσσος χαλινοῦσα, καὶ θαλάσσας ἀναχαιτίζουσα, Θεοῦ Σοφία, μολεῖ πρὸς Ἰορδάνην. Βάπτισμα δὲ δέχεται, χαρὸς ἐκ δούλου.

Μορφωθεὶς Ἀδὰμ τὸν πρῶτον, Βαπτισμῷ ἧκε καθᾶραι Χριστὸς, ὁ νεφέλαις δὲ τὸν Πόλον περιβάλλων, καὶ ἀναβαλλόμενος τὸ φῶς, γυμνὸς ὁρᾶται ἐν Ἰορδάνου ῥεέθροις· καὶ χειρὶ κατέχεται, ὁ πάντα φέρων.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Ἄβυσσος ἐσχάτη ἁμαρτημάτων ἐκύκλωσέ με· καὶ τὸν κλύδωνα μηκέτι φέρων, ὡς Ἰωνᾶς τῷ Δεσπότῃ βοῶ σοι· ἐκ φθορᾶς με ἀνάγαγε.

Κύριόν σε γνόντες οἱ Οὐρανοὶ, διηγοῦνται τὴν σὴν Σῶτερ δόξαν, ἐν τῇ σῇ γεννήσει. νῦν δὲ Πατήρ σε κηρύττει, Υἱὸν ἀγαπητὸν βαπτιζόμενον.

Ῥύπον πᾶς ὁ φέρων, ἀπορρυφθήτω δακρύων κρουνοῖς· καὶ Χριστῷ ἐν τρόμῳ προσερχέσθω. πυρὶ καὶ Πνεύματι θείῳ, καθᾶραι προϊόντι τὴν φύσιν ἡμῶν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Οἱ Παῖδες ἐν Βαβυλῶνι, καμίνου φλόγα οὐκ ἔπτηξαν. ἀλλ' ἐν μέσῳ φλογὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νευστάζων κάραν πρὸς ἔχθραν, μηδεὶς δολίως κινήσαι, τῷ πλησίον κακὸν ἀποδοῦναι, κακῶς ἀντὶ κακοῦ μελετῶν. ἀλλ' ἐν ἀγάπῃ Κύριον, τὸν φανέντα τιμήσωμεν.

Ἡμῶν Χριστοῦ ὅσοι φίλοι, μικρὸν προσκακοπαθήσωμεν, τούτῳ μορφωθέντι καὶ φανέντι, καθ' ἡμᾶς καὶ τὸ Βάπτισμα, ἐπαγομένῳ δέξασθαι, τῆς εἰκόνος εἰς κάθαρσιν.

Μεθ' ὅστις ἐμοῦ κατέλθῃ, καὶ συνταφῇ τῷ Βαπτίσματι, μετ' ἐμοῦ τῆς δόξης ἀπολαύσει καὶ τῆς ἀναστάσεως, Χριστὸς νῦν ἐπαγγέλλεται· ᾧ πιστῶς ὑπαντήσωμεν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Νόμων πατρῴων οἱ μακάριοι, ἐν Βαβυλῶνι Νέοι προκινδυνεύοντες, βασιλέως κατέπτυσαν, προσταγῆς ἀλογίστου, καὶ συνημμένοι, ᾧ οὐκ ἐχωνεύθησαν πυρὶ, τοῦ κρατοῦντος ἐπάξιον ἀνέμελπον τὸν ὕμνον· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Οἱ δαιτυμόνες τῆς Θείας τροφῆς, τῆς Βηθλεὲμ τῷ λόγῳ κατατρυφήσαντες, σὺν Ἀγγέλοις τε δοξάσαντες, καὶ Ποιμέσι καὶ Μάγοις, τὸν σαρκωθέντα, νῦν πρὸς Ἰορδάνην μυστικῶς, πορευθῶμεν ὀψόμενοι, Μυστήριον τὸ μέγα, ὅπερ ἧκε Χριστὸς ἐκτελέσαι. ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Νόμου τηροῦντες τὸ κεφάλαιον, καὶ Προφητῶν ἀγάπην ἐνστερνισάμενοι, μιμηταὶ Χριστοῦ γενώμεθα, δι' ἀγάπησιν ἄκραν, σάρκα λαβόντος· καὶ διὰ Βαπτίσματος ἡμᾶς, τῷ Πατρὶ καταλλάξαντος, καὶ διδάξαντος μέλπειν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐδεξιοῦτο τὸν ἐρχόμενον, τὰς ἁμαρτίας πάντων καθᾶραι νάμασιν· ἀλλὰ τοῦτον διεκώλυε, συστελλόμενος φόβῳ· ἐγὼ χρείαν ἔχω, βαπτισθῆναι ὑπὸ σοῦ, τῷ Νυμφίῳ ἀντέφησεν, ὁ φίλος δὲ τῷ Λόγῳ φωνὴ, καὶ τῷ Ἡλίῳ ὁ λύχνος· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Ξενίας δεσποτικῆς, καὶ ἀθανάτου τραπέζης, ἐν πενιχρῷ σπηλαίῳ, πρὶν ἀπολαύσαντες, νῦν πρὸς Ἰορδάνην δράμωμεν, Μυστήριον θεώμενοι ξένον, τὸ τῆς ἄνω λαμπρότητος πρόξενον.

Ἄπιτε τῆς Βηθλεὲμ, οἱ τρυφηταὶ τῶν θαυμάτων, πρὸς χώραν Ἰορδάνου, κἀκεῖ δὲ ὄψεσθε ἔργα μυστικῶς τελούμενα, Βαπτίσματί τε τὸν Χριστὸν προσελθόντα, τὸν Ἀδὰμ ἀναπλάσαι, καὶ γὰρ σεσάρκωται.

Δημιουργὸς γεννηθεὶς, ἐκ τοῦ Πατρὸς πρὸ αἰώνων, ἐτέχθη ἐπ' ἐσχάτων, ἀτρέπτως σαρκωθεὶς, Κόρης ἐξ ἁγνῆς Θεόπαιδος, διπλοῦς Θεὸς καὶ ἄνθρωπος μένων, τὸν Ἀδὰμ ἀναπλάσαι διὰ Βαπτίσματος.

Ὡς ἄνθρωπος ἐπέστης, οὐσίᾳ οὐ φαντασίᾳ, ὡς εἷς ἐν μέσῳ πάντων, ζητῶν τὸ Βάπτισμα, ὁ μόνος φύσει ἀνεύθυνος. ἐνθάψαι γὰρ εὐθύνας ἦλθες, τῶν ἀνθρώπων ἐν ὕδασι βαπτιζόμενος.

Ἐν τῷ Ὄρθρῳ, εἰς τὴν α΄. στιχολογίαν, Κάθισμα. Ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Ἰδοὺ παραγίνεται, πρὸς Ἰορδάνην Χριστός· φωνεῖ τῷ Προδρόμῳ τε, δεῦρό με βάπτισον

τὸν πᾶσαν καθαίροντα, Κόσμου τὴν ἁμαρτίαν, ποταμίοις ἐν ῥάθροις, ἐκτανόντος τὴν χεῖρα, κορυφὴν μου πρὸς θείαν. χειρὸς γὰρ τὸ παράπτωμα, ἦλθον ἰάσασθαι. Δίς.

Εἰς τὴν β΄. στιχολ. καθισμα. ἦχος πλ. δ΄.

Ἀνέστης ἐκ νεκρῶν.

Ὁ Μέγας Βαπτιστὴς τοῦ Κυρίου ἀγάλλου. ἐπέστη γὰρ Χριστὸς, ὑπὸ σοῦ βαπτισθῆναι. τρέμεις ὡς ὑπηρέτης, ὁ γὰρ Δεσπότης κεφαλὴν κλίνει σοι. ἅψαι τῆς θείας κάρας, τοῦ ἁπτομένου χειρὶ τὰ σύμπαντα. καὶ εὐδοκία σώζοντος Θεοῦ, τὸ γένος τῶν ἀνθρώπων.

Δόξα, καὶ νῦν, τὸ αὐτό. Οἱ κανόνες, ὁ Προεόρτιος εἰς ς΄. τῶν Ἁγίων Ἀποστόλων εἰς δ΄. καὶ τοῦ Ὁσίου εἰς δ΄. Τὸν Προεόρτιον Κανόνα ζήτει εἰς τὰς β΄. καὶ τῶν Ἁγίων, ζήτει εἰς Ἀποστόλους, καὶ εἰς Ὅσιον. Κοντάκ. Προεόρτιον.

Εἰς τοὺς Αἴνους, στιχ. ἦχος πλ. β΄. Αἱ Ἀγγελικαί.

Ὅνπερ ἡ φωνὴ, τοῦ βοῶντος προεῖπεν, ἦλθεν ὁ Χριστὸς, ἐν τοῖς ῥάθροις Ἰορδάνου. καὶ τῷ Προδρόμῳ ἔφη· Δεῦρο πλυνόν με ὕδασι· βάπτισόν με νῦν συγκαταβάντα. τὸν γὰρ Ἀδὰμ ἐκπλῦναι ἦλθον, τοῦ πρὶν πτώματος. εὐλογημένος ὁ φανεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Ὕψος Οὐρανοῦ, οὐδαμῶς ἐξιχνιάσω. ἄστρων ἀριθμὸν, οὐδὲ γῆν ἀναμετρήσω. καὶ πῶς τῆς κορυφῆς σου, τῷ Δεσπότῃ ὁ Πρόδρομος, ἅψωμαι χειρί; πῶς δὲ βαπτίσω, τὸν φέροντα δρακὶ τὴν Κτίσιν; διὸ κράζω σοι. εὐλογημένος ὁ φανεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Ἔκλυσας ποτὲ, ἁμαρτίας ἐπὶ Νῶε, λόγῳ διαχῶν, καταῤῥάκτας οὐρανίους, καὶ πῶς σε Ἰορδάνης, κατιδὼν ὑποστήσεται; ἤδη γὰρ τὸ ῥεῖθρον ἀναστρέφει, ἐπέγνωσε ἡ Κτίσις πᾶσα, κἀγὼ κράζω σοι· εὐλογημένος ὁ φανεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Ἔφθασε Χριστὸς, πρὸς τὰ ῥεῖθρα Ἰορδάνου, βάπτισμα αἰτῶν, ὁ καθαίρων ἁμαρτίας· πᾶσα ἡ γῆ σκιρτάτω, Οὐρανοὶ εὐφρανέσθωσαν. χαῖρε τῶν ἐθνῶν ἡ Ἐκκλησία, τῷ Βασιλεῖ νυμφευομένη, πιστῶς βόησον· εὐλογημένος ὁ ἐλθὼν, τοῦ σῶσαι τὰ σύμπαντα.

Δόξα. Ὅμοιον.

Ἵνα πληρωθῇ, τοῦ Πατρὸς ἡ εὐδοκία, ἦλθον ἐπὶ γῆς, ἐνδυσάμενος πτωχείαν. ὁ Οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον· σοὶ δὲ τὸν αὐχένα ὑποκλίνω· ἐν τούτῳ γὰρ παρεγενόμην. ἐμὲ βάπτισον. καὶ ἐν ἐμοὶ τὰ τῶν βροτῶν, καθαίρονται πταίσματα.

Καὶ νῦν. Ὅμοιον.

Σὺ τὸν Ἰσραὴλ, διὰ στύλου καὶ νεφέλης, πρὶν φωταγωγῶν, καὶ δροσίζων ἐν ἐρήμῳ. σὺ δὲ δεσπόζων πάντων, ὁ τῇ φύσει ἀνέκφραστος, δούλου τὴν μορφὴν πῶς ἐνεδύσω; οὐ ψαύσω σοι πυρὸς ὁ χόρτος· αὐτός με βάπτισον. ἐγὼ γὰρ χρήζω ὑπὸ σοῦ, καθάρσιον δέξασθαι.

Ἀπόστ. ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Ὤφθη τὸ πατρικὸν, ἀπαύγασμα τῆς δόξης, ἐν Ἰορδάνου ῥεῖθροις, βαπτίσματι καθαῖρον, τὸν ῥύπον τῶν ψυχῶν ἡμῶν.

Στιχ. Διὰ τοῦτο μνησθήσομαί σου.

Λέγε δουλοπρεπῶς, Προφῆτα Ἰωάννη, τὸν λυτρωτὴν τοῦ Κόσμου, καὶ βάπτισον τὸν Κτίστην, βροτῶν εἰς ἀναγέννησιν.

Στιχ. Εἴδοσάν σε ὕδατα ὁ Θεός.

Ὁ Λύχνος τῷ φωτὶ, ἡ αὐγὴ τῷ Ἡλίῳ, ὁ φίλος τῷ Νυμφίῳ, ὁ Πρόδρομος τῷ Λόγῳ, Προφῆτα καθυπούργησον.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Σήμερον ὁ Χριστὸς, σωτήριον ἀνθρώποις, λουτήριον δωρεῖται. ψυχῶν καθαίρων ῥύπον, πυρὶ τῷ τοῦ Βαπτίσματος.

## Μηνὶ τῷ αὐτῷ Ε΄.

Προεόρτια τῶν Φώτων· Καὶ τῶν Ἁγίων Μαρτύρων, Θεοπέμπτου, καὶ Θεωνᾶ, καὶ τῆς Ὁσίας Συγκλητικῆς.

Ζήτει τὰ Προεόρτια τῇ β΄. τοῦ Μηνὸς, τῶν δὲ Ἁγίων, εἰς Μάρτυρας, καὶ εἰς Ὁσίαν Γυναῖκα.

Δόξα, καὶ νῦν, ἦχος πλ. β΄.

Ἑτοιμάζου Ἰορδάνη ποταμέ. ἰδοὺ γὰρ παραγίνεται Χριστὸς ὁ Θεὸς, βαπτισθῆναι ὑπὸ Ἰωάννου. ἵνα τῶν δρακόντων ἀοράτους, κεφαλὰς συνθλάσῃ τῇ Θεότητι, ἐν τοῖς ὕδασι τοῖς σοῖς. ἀγάλλου ἡ ἔρημος Ἰορδάνου· τὰ ὄρη σκιρτήσατε εὐφροσύνῃ· ἥκει γὰρ ἡ αἰώνιος ζωὴ, ἀνακαλέσαι τὸν Ἀδάμ. φωνὴ βοῶντος βόησον, ὦ Ἰωάννη Πρόδρομε· ἑτοιμάσατε ὁδοὺς τοῦ Κυρίου, καὶ τὰς τρίβους αὐτοῦ, εὐθείας ἀπεργάσασθε.

Ἀπόστ. στιχ. ἦχος πλ. β΄. Τριήμερος ἀνέστης.

Ἡ Γῆ καὶ τὰ ἐπίγεια, σκιρτήσατε ἀγάλλεσθε· ὁ χειμάῤῥους, τῆς τρυφῆς ἐν ποταμῷ, βαπτίζεται τὴν χύσιν, ξηραίνων τῆς κακίας. καὶ ἀναβλύζει θείαν ἄφεσιν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Στίχ. Διὰ τοῦτο μνησθήσομαί σου.

Φωτὸς ὢν χορηγὸς Ἰησοῦς, μὴ χρῄζων βαπτισθῆναι σαρκί, ἐπιβαίνει, Ἰορδάνου ταῖς ῥοαῖς, φωτίσαι τοὺς ἐν σκότει, βουλόμενος ἐν πίστει· τούτῳ προθύμως ὑπαντήσωμεν.

Στίχ. Εἴδοσάν σε ὕδατα ὁ Θεός.

Φορέσας τὴν τοῦ δούλου μορφήν, προέρχῃ βαπτισθῆναι Χριστέ, ὑπὸ δούλου, Ἰορδάνου ταῖς ῥοαῖς. λυτρούμενος δουλείας, τῆς πάλαι ἁμαρτίας, καὶ ἁγιάζων καὶ φωτίζων ἡμᾶς.

Δόξα, καὶ νῦν, ἦχος πλ. β'.

Ἀγαλλιάσθω ἡ ἔρημος Ἰορδάνου, καὶ ἀνθείτω ὡς κρίνον. φωνὴ γὰρ βοῶντος ἠκούσθη ἐν αὐτῇ, ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου. ὁ γὰρ τὰ ὄρη στήσας σταθμῷ, καὶ τὰς νάπας ζυγῷ, ὁ τὰ πάντα πληρῶν ὡς Θεός, βαπτίζεται ὑπὸ δούλου. πτωχείαν ἤρξατο; ὁ τὰ πλούσια δῶρα χαριζόμενος. ἤκουσεν Εὔα, ἐν λύπαις τέξῃ τέκνα. νῦν δὲ ἤκουσεν ἡ Παρθένος, χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· ὁ ἔχων τὸ μέγα ἔλεος.

Τροπάριον, ἦχος δ'.

Ἀπεστρέφετο ποτέ, ὁ Ἰορδάνης ποταμός, τῇ μηλωτῇ Ἐλισσαιέ, ἀναληφθέντος Ἠλιού· καὶ διῃρέθη τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν. καὶ γέγονεν αὐτῷ ξηρὰ ὁδὸς ἡ ὑγρά, εἰς τύπον ἀληθῶς τοῦ βαπτίσματος. δι' οὗ ἡμεῖς τὴν ῥέουσαν, τοῦ βίου διαπερῶμεν διάβασιν. Χριστὸς ἐφάνη ἐν Ἰορδάνῃ, ἁγιάσαι τὰ ὕδατα.

Εἰς τοῖς Ἀποδείπνοις Κανών, οὗ ἡ ἀκροστιχίς.

Καὶ σήμερον δὲ Σάββατον μέλπω μέγα.

Τοὺς Εἱρμούς, καὶ τὰ τροπάρια ἀνὰ δεύτερον.

Ὠδὴ α'. ἦχος πλ. β'. Ὁ Εἱρμός.

Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι, διώκτην τύραννον, τὰ Ἰορδάνεια, ῥεῖθρα συστέλλει καὶ κρύπτει, τὴν ἐμὴν νῦν καθαιρόμενον, ἀνθρωπίνως κάθαρσιν. ἐνδόξως γὰρ δεδόξασαι.

Κύριε Θεέ μου, φωτώνυμον ὕμνον, καὶ προεόρτιον, ᾠδήν σοι ᾄσομαι, τοῖς θείοις Θεοφανείοις, μυστικῶς ἀναγεννῶντί με. καὶ πρὸς τὴν λαμπρότητα, τὴν θείαν ἐπανάγοντι.

Ἄνω πρὸ αἰώνων, καὶ κάτω προσφάτως ἐπιφανέντα σε, τὰ ὑπερκόσμια, καὶ τὰ περίγεια Σῶτερ, κατεπλήττοντο θεώμενα. καὶ τὴν ὑπὲρ λόγον σου, ἀνύμνουν συγκατάβασιν.

Ἰνα σου τῆς δόξης, τὰ πάντα πληρώσῃς, σεαυτὸν ἐκένωσας, μέχρι καὶ δούλου μορφῆς. νῦν δὲ παλάμῃ τοῦ δούλου, ὑποκλίνεις κεφαλὴν δουλικῶς· τὴν ἐμὴν ἀνάπλασιν, καὶ κάθαρσιν δωρούμενος.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Σὲ τὸν ἐπὶ ὑδάτων, ἑδράσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ Κτίσις κατιδοῦσα, σαρκὶ κρυπτόμενον νάμασι, θάμβει πολλῷ συνείχετο. οὐκ ἔστιν Ἅγιος, πλήν σου Κύριε κραυγάζουσα.

Σύμβολα πρὶν Προφήταις, παρέδειξας τῆς σῆς θεοφανείας· νῦν δὲ τὰ κεκρυμμένα, ταῖς ἐνεργείαις ἐγνώρισας, ἐπιφανεὶς μυστήρια. ἀνθρώποις σήμερον, νέμων νέαν ἀναγέννησιν.

Ἤλωσεν Ἰορδάνης, τὰ ὕδατα ὡς νῶτα μετὰ τρόμου, τοῦ δέξασθαι τὸν Κτίστην, σωματικῶς βαπτιζόμενον, καὶ πάντας ἁγιάζοντα, οὐκ ἔστιν Ἅγιος, πλήν σου Κύριε κραυγάζοντας.

Μέγα πρὸς σωτηρίαν, ἐφόδιον τὸ βάπτισμα παρέχει, Χριστὸς τοῖς αἰσθομένοις, αὐτοῦ τῆς θείας ἐλλάμψεως· ἐν εὐφροσύνῃ ψάλλουσιν. οὐκ ἔστιν Ἅγιος, πλήν σου Κύριε φιλάνθρωπε.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Τὴν πρὸς τὸ βάπτισμά σου ἔλευσιν, προορῶν Ἀββακούμ, ἐξεστηκὼς ἐβόα· εἰς θάλασσαν τοὺς ἵππους σου, ὕδατα πολλά, ἐπεβίβασας Σῶτερ διαταράσσοντας.

Ἐπιφανέντος σου ἐν σώματι, ἡγιάσθη ἡ γῆ, ὕδατα εὐλογήθη· ὁ Οὐρανὸς πεφώτισται· γένος δὲ βροτῶν, τῆς πικρᾶς τυραννίδος ἐχθροῦ λελύτρωται.

Ῥήματι θείῳ νῦν ὁ Πρόδρομος, ἐξ ἐρήμου μολεῖ, πρὸς Ἰορδάνην λέγων· μετανοεῖτε ἤγγικεν· ἡ τῶν Οὐρανῶν, Βασιλεία καλοῦσα, πάντας πρὸς δόξαν Θεοῦ.

Ὁ μεταστρέψας πρὶν τὴν θάλασσαν, εἰς ξηρὰν καὶ πηγάς, ἐξ ἀκροτόμου βλύσας, πταισμάτων χωνευτήριον νῦν ἀποτελεῖ, Ἰορδάνου τὸ ῥεῖθρον, πυρὶ τοῦ Πνεύματος.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Θεοφανείας σου Χριστέ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν· οἱ πεφωτισμένοι ἥκατε λούσασθε, δι' ὕδατος θείου, καὶ Πνεύματος σαφῶς· καὶ ψυχὴν καὶ τὸ σῶμα ἀποκαθάρατε.

Νεοποιεῖ τοὺς γηγενεῖς, νέος Ἀδὰμ χρηματίσας ὁ πλάστης· ἐν πυρὶ καὶ Πνεύ-

ματι καὶ ὕδατι, ξένην ἐκτελῶν ἀναγέννησιν· καὶ ἀνάπλασιν θαυμασίαν, δίχα συντρίψεως καὶ χωνευτηρίων· βαπτίσματι θεουργῷ καινοποιούμενος.

ΔΙὰ τοῦ Πνεύματος ψυχάς, καινοποιεῖς, διὰ δὲ τοῦ ὕδατος, ἁγιάζεις σῶμα τὸ σύνθετον, ζῶον ἀναπλάττων τὸν ἄνθρωπον. τῷ διπλῷ γὰρ τῷ συγγενεῖ, χρησίμως φάρμακα, σοφῇ προμηθείᾳ, προσάγεις ὡς Ἰατρός, σωμάτων καὶ τῶν ψυχῶν.

ἘΞ ἀλοχεύτου προελθών, ὁ γεννηθεὶς ἐκ Πατρὸς πρὸ αἰώνων· πρὸς τὸν ἐκ στείρας παραγέγονας, ἐξαιτῶν ὡς ἄνθρωπος βάπτισμα. ἀλλ' ἐξ ὕδατος μυστικῶς διὰ τοῦ Πνεύματος, ἀπεργάσω Σῶτερ, πολύτεκνον Ἐκκλησίαν, τὴν πρὶν ἄγονον.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

ΣΥνεχέθη, ἀλλ' οὐ κατεχέθη, φόβῳ ὁ θεῖος Βαπτιστής. οὐ γὰρ καὶ συνεστάλη, προσεγγίσαι τῷ πυρὶ ὁ χόρτος, ἀλλὰ ἀκούσας, ἄφες ἄρτι ἔδραμε, τὸ ἐπίταγμα πληρῶν ὡς δοῦλος· θείας τε ἄνωθεν μαρτυρούσης φωνῆς, ἤκουσεν Υἱὸν τὸν προαιώνιον.

ἈΠεγράφης, ἀλλ' οὐκ ἐδουλώθης, Καίσαρος θεσμοῖς παθαρχῶν. οὐ γὰρ καὶ τῆς δουλείας, παραμύθιον ἡμῖν παρέχων, ἑκὼν ὑπέκυψας, καὶ τελεῖς τὸ δίδραχμον· ἀλλὰ νόμῳ τῷ τῆς ἁμαρτίας, πρὶν πεπραμένους ἡμᾶς, ἠλευθέρωσας νῦν, καὶ Υἱοθεσίας κατηξίωσας.

ΒΑσιλεύεις, ἀλλ' οὐ κατὰ Κόσμον, φύσει πεφυκὼς Βασιλεύς. οὐ γὰρ καὶ κατὰ σάρκα, ἐκ φυλῆς Δαβὶδ τεχθεὶς τὸν θρόνον, τῆς Βασιλείας, Σῶτερ τοῦτο ἔλαβες· ἀλλ' ἀΐδιον ἔχεις τὸ κράτος, συμβασιλεύων Πατρί, πρὸ αἰώνων ἀεί, καὶ εἰς τοὺς αἰῶνας σὺν τῷ Πνεύματι.

ΒΑσιλεὺς μέν, ὁ τοῦ Κόσμου Ἄρχων, καὶ τῶν ἐν τοῖς ὕδασι, πάλαι προσηγορεύθη· ἀλλ' ἐμπνίγεται τῇ σῇ καθάρσει, καὶ καθαιρεῖται, ὡς τῇ λίμνῃ πρὶν λεγεών· τῶν χειρῶν δὲ σου Σῶτερ τὸ πλάσμα, τὸ δουλωθὲν ὑπ' αὐτοῦ, κραταιᾷ σου χειρί, τῆς ἐλευθερίας κατηξίωσας.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

ἌΦρασον θαῦμα, ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς Ὁσίους Παῖδας ἐκ φλογός, κλίνει κορυφήν, καὶ αἰτεῖ τὸ βάπτισμα, ὑπὸ τοῦ δούλου, καθαίρων τοὺς βοῶντας· λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

ΨΕύμενται ῥεῖθρον, πρὶν μηλωτῇ Ἰορδάνειον, προτυποῦσι βάπτισμα τὸ σόν· δι' οὗ τῶν παθῶν, ῥήγνυται χιτώνιον, καὶ ἀφθαρσίας ἔνδυμα αὐτουργεῖται τοῖς βοῶσι· Χριστὲ ὁ Θεὸς εὐλογητὸς εἶ.

ὌΛβιον ῥεῖθρον· ἐν ἑαυτῷ γὰρ δεξάμενον, βαπτισθέντα τὸν Δημιουργόν, δέδεκται πηγὴ ζωηφόρου νάματος, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

ΝΕκρωσιν θείαν, συμβολικῶς εἰκονίζοντες, καταδύσει ὕδατος τριττῇ, ἐν τῷ Βαπτισμῷ, Χριστῷ συνθαπτόμεθα, τῇ τριημέρῳ ἐγέρσει κοινωνοῦντες, καὶ βοῶντες τῷ Χριστῷ εὐλογητὸς εἶ.

ΜΙα ἡ χάρις, Πατρὸς Υἱοῦ τε καὶ Πνεύματος, τελοῦσα τοὺς τὴν δωρεάν, στέργοντας πιστῶς, τοῦ θείου Βαπτίσματος, Υἱοθεσίας λαβόντας ἐξουσίαν, τοῦ βοᾶν, ὁ Θεός, εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ὁ Εἱρμός.

ἜΚστηθι φρίττων Οὐρανέ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς. ἰδοὺ γὰρ ὕδωρ περιβάλλεται, ὁ φλέξας ὕδατι πρίν, δικαίου θυσίαν παραδόξως· ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ἈΥτρωσιν ἔρχεται Χριστός, διὰ βαπτίσματος παρασχεῖν πᾶσι πιστοῖς. ἐν τούτῳ τὸν Ἀδὰμ καθαίρει γάρ, τὸν πεπτωκότα ὑψοῖ, τὸν ῥίψαντα τύραννον αἰσχύνει. τοὺς Οὐρανοὺς ἀνοίγει. Πνεῦμα Θεῖον καθέλκει, καὶ τῆς ἀφθαρσίας, τὴν μέθεξιν δωρεῖται.

ΠΕπαυται πλάνη τοῦ ἐχθροῦ. φωνὴ βοῶντος γάρ, ἐν ἐρήμῳ τὴν ὁδόν, Κυρίου κράζει εὐτρεπίσατε, καὶ πάσας τρίβους αὐτοῦ, εὐθείας ποιήσατε προστάττει. φάραγξ ἡ ταπεινὴ γάρ, φύσις βροτῶν ὑψοῦται· ὄρος καὶ βουνὸς δέ, δυσμενῶν ταπεινοῦνται.

ὪΠαραδόξων δωρεῶν. ὢ θείας χάριτος, καὶ ἀφράστου ἀνοχῆς· ἰδοὺ γὰρ ὕδατι καθαίρει με, πυρὶ φωτίζει με, καὶ Πνεύματι θείῳ τελειοῖ με, ὁ πλάστης καὶ Δεσπότης, νῦν ἐν τῷ Ἰορδάνῃ, τὴν ἐμὴν φορέσας, φύσιν ἀναμαρτήτως.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

ΜΗ ἐποδύρεσθε μάτην, ἀπογνώσεως βρόχοις. ἀποπνιγόμενοι βροτοί, ὑπεύθυνοι κακῶν. ἀλλ' ἐν κατανύξει ψυχῆς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

προσέλθωμεν, τῷ καθαίροντι πάντας, ὡς μόνῳ καθαρῷ, καὶ διδόντι συγγνώμην διὰ Βαπτίσματος.

Ἐπὶ τῷ ξένῳ σου τόκῳ, τῷ πρὶν ἐκ τῆς Παρθένου, ὑπερφυῶς ἐθαυμάσθης Λόγε τοῦ Θεοῦ. νῦν δὲ μεγαλύνῃ μέγα Μυστήριον, ἐκτελῶν παραδόξως, μεθέξει τῇ σεπτῇ, κολυμβήθραν πολύτεκνον θείῳ Πνεύματι.

Ἡ ἡγιάσθη γεννήσει, τῇ ἁγίᾳ σου Λόγε, διηγουμένων οὐρανῶν, σὺν ἄστροις δόξαν σήν. νῦν δὲ τῶν ὑδάτων φύσις εὐλόγηται, σοῦ σαρκὶ βαπτισθέντος· καὶ γένος γηγενῶν, πρὸς τὴν πρὶν ἐπανῆλθεν, αὖθις εὐγένειαν.

Ἀγαλλιάσθω γῆ πᾶσα, Οὐρανὸς εὐφραινέσθω. Κόσμος σκιρτάτω ποταμοί, κροτείτωσαν χερσί. αἱ πηγαὶ καὶ λίμναι, Ἄβυσσοι, θάλασσαι, συγχαιρέτωσαν. ἥκει, Χριστὸς γὰρ τὸν Ἀδὰμ, ἐκκαθᾶραι, καὶ σῶσαι θείῳ βαπτίσματι.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. κάθισμα. ἦχος α΄. Χορὸς Ἀγγελικός.

Εὐφραίνου ποταμὲ, Ἰορδάνη ἐν σοὶ γὰρ, ὁ πάντων ποιητὴς, παραγίνεται θέλων, τὸ βάπτισμα εἰσδέξασθαι, ὑπὸ δούλου ὡς εὔσπλαγχνος. τέρπου χόρευε, Ἀδὰμ καὶ Εὔα Προμήτωρ. ἐπεδήμησεν, ἡ ἀπολύτρωσις πάντων, Θεὸς ὁ ὑπεράγαθος. Δίς.

Εἰς τὴν β΄. στιχολ. κάθισμα. ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὸν ἀκατάληπτον, σάρκα πτωχεύσαντα, καὶ πρὸς τὸ βάπτισμα παραγενόμενον, καὶ τὴν ἀνάπλασιν ἡμῶν, ἐν αὐτῷ ἐργαζόμενον, ἅπαντες ὑμνήσωμεν, ὡς Θεὸν πολυέλεον, καὶ τὴν συγκατάβασιν, τὴν αὐτοῦ μεγαλύνωμεν, βοῶντες εὐχαρίστῳ καρδίᾳ· δόξα Χριστὲ τῇ ἐπιφανείᾳ σου. Δίς.

Κανὼν Προεόρτιος, οὗ ἡ ἀκροστιχὶς ἀπὸ τῶν προγραφέντων. τῶν δὲ Ἁγίων, ζήτει εἰς Μάρτυρας, καὶ εἰς Ὁσίαν Γυναῖκα.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. ἦχος πλ. β΄. Αἱ Ἀγγελικαί.

Τί ἀμφιγνοεῖς, Βαπτιστὰ οἰκονομίαν, ἣν προεκτελῶ, εἰς ἁπάντων σωτηρίαν; τὰ πάλαι ἄφες ἄρτι, καὶ λογίζου τὰ πρόσφατα. πίστευε Θεῷ συγκαταβαίνοντι, καὶ προσελθὼν ἐμοὶ ὑπούργει. Θεὸς ἦλθε γὰρ, δι' εὐσπλαγχνίαν τὸν Ἀδὰμ, καθᾶραι τοῦ πτώματος. Δίς.

Ἴρων τὰς ἡμῶν, ἁμαρτίας ἐπὶ ὤμων, ἦλθες Ἰησοῦ, πρὸς τὰ ῥεῖθρα Ἰορδάνου. ἐγὼ δὲ δέδοικά σου, τὸ φρικτὸν τῆς ἐλεύσεως. πῶς οὖν μοι κελεύεις σὲ βαπτίσαι; αὐτὸς ἐμὲ καθᾶραι ἥκεις· καὶ πῶς βάπτισμα, τὸ παρ' ἐμοῦ ἐπιζητεῖς, τὸ πάντων καθάρσιον;

Φύσεως ἐμῆς, ἀκατάληπτος ὁ Λόγος. δούλου δὲ μορφὴν, ἐνδυσάμενος προῆλθον, ἐπὶ τὸν Ἰορδάνην. μηδαμῶς μοι ἀμφίβαλλε. δεῦρο μὴ φοβοῦ, προσέγγισόν μοι. τὴν δεξιὰν γὰρ κορυφῇ μου, τιθεὶς βόησον· εὐλογημένος ὁ φανεὶς, Θεὸς ἡμῶν δόξα σοι.

Δόξα. Ὅμοιον.

Τρόμῳ λειτουργῶν, Ἰωάννης τῷ Δεσπότῃ, χαίρει τῇ ψυχῇ, καὶ βοᾷ μετ' εὐφροσύνης· συγχάρητέ μοι πᾶσαι, γενεαὶ τοῦ Προπάτορος. ἦλθε γὰρ ἡμῶν ἡ προσδοκία, ἐλήλυθεν ἐν Ἰορδάνῃ, Χριστὸς ἅπαντας, τῆς ἁμαρτίας τοῦ Ἀδὰμ, καθᾶραι ὡς εὔσπλαγχνος.

Καὶ νῦν. Ὅμοιον.

Ἄσωμεν λαοὶ, τῷ τεχθέντι ἐκ Παρθένου, καὶ ἐν ποταμῷ, βαπτισθέντι Ἰορδάνῃ· θερμῶς αὐτῷ βοῶντες· Βασιλεῦ πάσης Κτίσεως, δώρησαι ἡμῖν ἀκατακρίτως, ἐν καθαρᾷ τῇ συνειδήσει, πιστῶς φθάσαι σου, καὶ τὴν ἁγίαν ἐκ νεκρῶν, τριήμερον ἔγερσιν.

Εἰς τὸν στίχ. στιχηρ. ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Ἰδοὺ ὁ Βασιλεὺς, ἰδοὺ ἡ προσδοκία τοῦ Ἰσραὴλ ἐπέστη. λαοὶ ἀγαλλιᾶσθε. τὸ φῶς γὰρ ἐπιφαίνεται.

Στίχ. Διὰ τοῦτο μνησθήσομαί σου.

Ὅτε τοῖς ἐπὶ γῆς, μετὰ σαρκὸς τὸ Θεῖον, νῦν φῶς τοῖς ἐν τῷ σκότει, ἐπέφανε καὶ πᾶσιν, ἡ χάρις ἐξανέτειλεν.

Στίχ. Εἴδοσάν σε ὕδατα.

Ὁ Λύχνος τῷ φωτὶ, ἡ αὐγὴ τῷ Ἡλίῳ. ὁ φίλος τῷ Νυμφίῳ, ὁ Πρόδρομος τῷ Λόγῳ, Προφῆτα καθυπούργησον.

Δόξα, καὶ νῦν. ἦχος πλ. δ΄.

Ἰωάννη Βαπτιστὰ, ὁ ἐν μήτρᾳ γνωρίσας με τὸν Ἀμνὸν, ἐν ποταμῷ μοι διακόνησον, μετὰ Ἀγγέλων μοι λειτούργησον. ἐκτείνας ἅψαι τῇ χειρί σου τῆς κορυφῆς μου τῆς ἀχράντου. καὶ ὅταν ἴδῃς τὰ ὄρη τρέμοντα, καὶ τὸν Ἰορδάνην ἐπαναστραφέντα, σὺν τούτοις βόησον· ὁ σαρκωθεὶς ἐκ Παρθένου, εἰς ἡμῶν σωτηρίαν, Κύριε δόξα σοι.

Ἀρχὴ τῆς Ἀκολουθίας τῶν Ὡρῶν
τῶν Ἁγίων Θεοφανείων.

Δεῖ γινώσκειν, ὅτι ἐὰν τύχῃ ἐν Σαββάτῳ, ἢ ἐν Κυριακῇ ἡ Παραμονὴ τῶν Ἁγίων Θεοφανείων, ποιοῦμεν τὴν Ἀκολουθίαν τῶν Ὡρῶν τῇ Παρασκευῇ, γινομένης ἐννάτης. Περὶ ὥραν α'. τῆς ἡμέρας σημαίνει, καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ πάντες· καὶ εὐλογοῦντος τοῦ Ἱερέως, ἀρχόμεθα τοῦ Τρισαγίου. Εἶτα τὸ, Δεῦτε προσκυνήσωμεν γ'. καὶ στιχολογοῦμεν τοὺς παρόντας τρεῖς Ψαλμούς.

Ψαλμ. ε'. Τὰ ῥήματά μου ἐνώτισαι Κύριε.
Ψαλμ. κβ'. Κύριος ποιμαίνει με, καὶ οὐδέν.
Ψαλμ. κς'. Κύριος φωτισμός μου, καὶ Σωτήρ μου.

Δόξα, καὶ νῦν. Ἀλληλούϊα γ'.
Εἶτα, τὸ Τροπάριον, ἦχος δ'.

Ἀπεστρέφετό ποτε, ὁ Ἰορδάνης ποταμὸς, τῇ μηλωτῇ Ἐλισσαιὲ, ἀναληφθέντος Ἠλιού. καὶ διῃρέθη τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν· καὶ γέγονεν αὐτῷ ξηρὰ ὁδὸς ἡ ὑγρὰ, εἰς τύπον ἀληθῶς τοῦ Βαπτίσματος· δι' οὗ ἡμεῖς τὴν ῥέουσαν, τοῦ βίου διαπερῶμεν διάβασιν. Χριστὸς ἐφάνη, τὴν πᾶσαν Κτίσιν θέλων ἀνακαινίσαι. Καὶ νῦν.

Τί σε καλέσωμεν, ὦ Κεχαριτωμένη;
Εἶτα τὰ ἰδιόμελα, ἦχος πλ. δ'.

Σήμερον τῶν ὑδάτων, ἁγιάζεται ἡ φύσις, καὶ ῥήγνυται ὁ Ἰορδάνης· καὶ τῶν ἰδίων ναμάτων ἐπέχει τὸ ῥεῦμα, Δεσπότην ὁρῶν ῥυπτόμενον.
Πάλιν τὸ αὐτὸ, ἀνὰ στίχον.
Στί. Διὰ τοῦτο μνησθήσομαί σου. Ὁ αὐτός.

Ὡς ἄνθρωπος ἐν ποταμῷ, ἦλθες Χριστὲ Βασιλεῦ. καὶ δουλικὸν βάπτισμα λαβεῖν, σπεύδεις ἀγαθὲ, ὑπὸ τῶν τοῦ Προδρόμου χειρῶν, διὰ τὰς ἁμαρτίας ἡμῶν φιλάνθρωπε. Δίς.
Στί. Εἴδοσάν σε ὕδατα. Δόξα, ὁ αὐτός.

Πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου. ἦλθες Κύριε μορφὴν δούλου λαβὼν, βάπτισμα αἰτῶν, ὁ μὴ γνοὺς ἁμαρτίαν. εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν. σύντρομος γέγονεν ὁ Πρόδρομος, καὶ ἐβόησε λέγων· πῶς φωτίσει ὁ λύχνος τὸ φῶς; πῶς χειροθετήσει ὁ δοῦλος τὸν Δεσπότην; ἁγίασον ἐμὲ, καὶ τὰ ὕδατα Σωτὴρ, ὁ αἴρων τοῦ Κόσμου τὴν ἁμαρτίαν.
Καὶ νῦν. τὸ αὐτό.
Προκείμενον, ἦχος δ'.
Ἐβρόντησε Κύριος ἐπὶ ὑδάτων πολλῶν.
Στί. Ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου.
Εἶτα ἡ Προφητεία.
Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.
Τάδε λέγει Κύριος· Εὐφράνθητι ἔρημος.
Ζήτει ἔμπροσθεν εἰς τὸν ἁγιασμὸν, Ἀνάγνωσμα πρῶτον. Καὶ εὐθὺς ὁ Ἀπόστολος.
Πράξεων τῶν Ἀποστόλων.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ὡς ἐπλήρου ὁ Κεφ. ιγ'. 25.
Ἰωάννης τὸν δρόμον ἔλεγε. Τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγώ· ἀλλ' ἰδοὺ ἔρχεται μετ' ἐμὲ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι. Ἄνδρες ἀδελφοὶ, Υἱοὶ γένους Ἀβραὰμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη. Οἱ γὰρ κατοικοῦντες ἐν Ἱερουσαλὴμ, καὶ οἱ Ἄρχοντες αὐτῶν, τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν Προφητῶν, τὰς κατὰ πᾶν Σάββατον ἀναγινωσκομένας, κρίναντες, ἐπλήρωσαν. Καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν. Ὡς δὲ ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον. Ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους, τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλήμ. Οἵτινες νῦν εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς Πατέρας ἐπαγγελίαν γενομένην. Ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν.
Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, παραγίνεται Ἰωάννης ὁ Κεφ. γ'. 1.
Βαπτιστὴς, κηρύσσων ἐν τῇ ἐρήμῳ τῆς Ἰουδαίας, καὶ λέγων· μετανοεῖτε, ἤγγικε γὰρ ἡ Βασιλεία τῶν Οὐρανῶν. Οὗτος γάρ ἐστιν ὁ ῥηθεὶς ὑπὸ Ἡσαΐου τοῦ Προφήτου, λέγοντος· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Αὐτὸς δὲ ὁ Ἰωάννης, εἶχε τὸ ἔνδυμα αὐτοῦ ἀπὸ τριχῶν καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ. Ἡ δὲ τροφὴ αὐτοῦ ἦν ἀκρίδες, καὶ μέλι ἄγριον. Τότε ἐξεπο-



Ανέμη Ψηφιακή Βιβλιοθήκη

ρεύετο πρὸς αὐτὸν Ἱεροσόλυμα, καὶ πᾶσα ἡ Ἰουδαία, καὶ πᾶσα ἡ περίχωρος τοῦ Ἰορδάνου· καὶ ἐβαπτίζοντο ἐν τῷ Ἰορδάνῃ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν.

Τὰ διαβήματά μου κατεύθυνον.

Τὸ Τρισάγιον. Τὸ Παναγία Τριάς.

Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Καὶ εὐθὺς τὸ Κοντάκιον. ἦχος δ'.

Ἐν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ· μὴ δειλιάσῃς βαπτίσαι με. σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

Τὸ Κύριε ἐλέησον μ'. Καὶ ἡ Εὐχή. Ὁ ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρᾳ. Κύριε ἐλέησον τρίς. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς. Χριστὲ τὸ φῶς τὸ ἀληθινόν.

## ΩΡΑ ΤΡΙΤΗ.

Τὸ Τρισάγιον, τὸ Παναγία Τριάς. Πάτερ ἡμῶν, τὸ Κύριε ἐλέησον ιβ'. τὸ Δεῦτε προσκυνήσωμεν γ'. καὶ τοὺς Ψαλμούς.

Ψαλμ. κη'. Ἐνέγκατε τῷ Κυρίῳ Υἱοὶ Θεοῦ.

Ψαλμ. μα'. Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος.

Ψαλμ. ν'. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα.

Δόξα. Ἀπεστρέφετό ποτε ὁ Ἰορδάνης.

Καὶ νῦν. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Καὶ τὰ Ἰδιόμελα, ἦχος πλ.

Ἡ τοῦ Προδρόμου καὶ Βαπτιστοῦ, τοῦ Προφήτου, καὶ ὑπὲρ πάντας τιμηθέντος τοὺς Προφήτας, ἐτρόμαξε νῦν χεὶρ δεξιά· ὅτε ἐθεάσατό σε τὸν Ἀμνὸν τοῦ Θεοῦ, τὸν καθαίροντα Κόσμου ἁμαρτήματα. καὶ ἀγωνίᾳ συσχεθεὶς ἐβόα· ὦ τολμῶ προσψαῦσαι Λόγε, τῆς κορυφῆς σου. αὐτὸς ἁγίασόν με, καὶ φώτισον Οἰκτίρμων. αὐτὸς γὰρ εἶ ἡ ζωὴ καὶ τὸ φῶς, καὶ ἡ εἰρήνη τοῦ Κόσμου. Δίς.

Ἦχος δ'. Στ. Διὰ τοῦτο μνησθήσομαί σου.

Ἡ Τριὰς ὁ Θεὸς ἡμῶν, ἑαυτὴν ἡμῖν σήμερον, ἀδιαιρέτως πεφανέρωκεν. ὁ μὲν γὰρ Πατήρ, ἐναργῆ μαρτυρίαν, τῷ συγγενεῖ ἐπεφώνηκε. τὸ Πνεῦμα, περιστερᾶς ἐν εἰκόνι, κατέπτη οὐρανόθεν. ὁ Υἱὸς τὴν ἄχραντον κορυφήν, τῷ Προδρόμῳ ὑπέκλινε. καὶ βαπτισθείς, τὸ ἀνθρώπινον, ἐκ δουλείας ἐρρύσατο ὁ φιλάνθρωπος.

Στ. Εἴδοσάν σε ὕδατα.

Πάλιν τὸ αὐτό. Δόξα, ἦχος πλ. α'.

Ἐρχόμενος μετὰ σαρκός, πρὸς Ἰορδάνην Κύριε, βαπτισθῆναι θέλων, ἐν σχήματι ἀνθρώπου Ζωοδότα· ἵνα τοὺς πλανηθέντας ἡμᾶς ὡς εὔσπλαγχνος, πάσης μηχανῆς καὶ παγίδος τοῦ δράκοντος, ῥυσάμενος φωτίσῃς, ἐκ Πατρὸς μεμαρτύρησαι. τὸ δὲ Θεῖον Πνεῦμα, περιστερᾶς ἐν εἴδει σοι ἐπέστη. ἀλλ' οἴκησον ψυχαῖς ἡμετέραις, σεαυτὸν φιλάνθρωπε.

Καὶ νῦν, τὸ αὐτό. Προκείμενον, ἦχος δ'.

Εἴδοσάν σε ὕδατα ὁ Θεός.

Στ. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.

Καὶ εὐθὺς ἡ Προφητεία.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, λούσασθε καὶ καθαροὶ γίνεσθε.

Ζήτει ἔμπροσθεν εἰς τὴν Ἑορτήν, Ἀνάγνωσμα ζ'. Εἶτα ὁ Ἀπόστολος.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ, Παῦλον διελθόντα τὰ ἀνωτερικὰ μέρη, ἐλθεῖν εἰς Ἔφεσον. καὶ εὑρών τινας Μαθητάς, εἶπε πρὸς αὐτούς· Εἰ Πνεῦμα ἅγιον ἐλάβετε πιστεύσαντες; οἱ δὲ εἶπον· ἀλλ' οὐδὲ εἰ Πνεῦμα Ἅγιον ἐστιν, ἠκούσαμεν. Εἶπε δὲ πρὸς αὐτούς· εἰς τί οὖν ἐβαπτίσθητε; οἱ δὲ εἶπον· εἰς τὸ Ἰωάννου Βάπτισμα. εἶπε δὲ Παῦλος. Ἰωάννης μὲν ἐβάπτισε βάπτισμα μετανοίας, τῷ λαῷ λέγων· εἰς τὸν ἐρχόμενον μετ' αὐτὸν ἵνα πιστεύσωσι, τουτέστιν εἰς τὸν Χριστὸν Ἰησοῦν. Ἀκούσαντες δέ, ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐπιθέντος αὐτοῖς τοῦ Παύλου τὰς χεῖρας, ἦλθε τὸ Πνεῦμα τὸ Ἅγιον ἐπ' αὐτούς. Ἐλάλουν τε γλώσσαις, καὶ προεφήτευον. Ἦσαν δὲ οἱ πάντες ἄνδρες, ὡσεὶ δέκα δύο. Εἰσελθὼν δὲ εἰς τὴν Συναγωγήν, ἐπαρρησιάζετο ἐπὶ μῆνας τρεῖς, διαλεγόμενος, καὶ πείθων τὰ περὶ τῆς Βασιλείας τοῦ Θεοῦ. Κεφ. ιά. 23.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον.

Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ, Υἱοῦ τοῦ Θεοῦ, ὡς γέγραπται ἐν τοῖς Προφήταις. Ἰδού, ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ· Ἐγένετο Ἰωάννης



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

βαπτίζων ἐν τῇ ἐρήμῳ, καὶ κηρύσσων Βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν. Καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ Ἱεροσολυμῖται, καὶ ἐβαπτίζοντο πάντες ἐν τῷ Ἰορδάνῃ ποταμῷ ὑπ' αὐτοῦ, ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν. Ἦν δὲ ὁ Ἰωάννης ἐνδεδυμένος τρίχας καμήλου, καὶ ζώνην δερματίνην περὶ τὴν ὀσφὺν αὐτοῦ· καὶ ἐσθίων ἀκρίδας, καὶ μέλι ἄγριον. καὶ ἐκήρυσσε λέγων· Ἔρχεται ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ εἰμὶ ἱκανὸς κύψας λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Ἐγὼ μὲν ἐβάπτισα ὑμᾶς ἐν ὕδατι· αὐτὸς δὲ βαπτίσει ὑμᾶς ἐν Πνεύματι Ἁγίῳ.

Κύριος ὁ Θεὸς εὐλογητός. τὸ Τρισάγιον, τὸ Παναγία Τριάς. τὸ Πάτερ ἡμῶν. Εἶτα, τὸ Κοντάκιον. Ἐν τοῖς ῥείθροις σήμερον, τὸ Κύριε ἐλέησον μ΄. Ὁ ἐν παντὶ καιρῷ, τὸ Κύριε ἐλέησον τρίς. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Δέσποτα Θεέ, Πάτερ Παντοκράτορ.

## ΩΡΑ ΕΚΤΗ.

Ἐπισυνάπτομεν δὲ καὶ τὴν Ἕκτην Ὥραν, λέγοντες εὐθύς. Δεῦτε προσκυνήσωμεν γ΄. καὶ τοὺς Ψαλμούς.

Ψαλμ. ογ΄. Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος.

Ψαλμ. ος΄. Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα.

Ψαλμ. ϙ΄. Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου.

Δόξα. Ἀπεστρέφετο ποτέ.

Καὶ νῦν. Ὅτι οὐκ ἔχομεν παρρησίαν.

Εἶτα τὰ Ἰδιόμελα, ἦχος πλ. δ΄.

Τάδε λέγει Κύριος πρὸς Ἰωάννην. Προφῆτα, δεῦρο βάπτισόν με, τὸν σὲ δημιουργήσαντα, τὸν φωτίζοντα χάριτι, καὶ καθαίροντα ἅπαντας. ἅψαι θείας κορυφῆς μου, καὶ μὴ διστάσῃς. Προφῆτα ἄφες ἄρτι· καὶ γὰρ πληρῶσαι παραγέγονα δικαιοσύνην πᾶσαν. σὺ οὖν μὴ διστάσῃς ὅλως. καὶ γὰρ τὸν κεκρυμμένον τοῖς ὕδασι πολέμιον, τὸν Ἄρχοντα τοῦ σκότους, ἐπείγομαι ὀλέσαι. λυτρούμενος τὸν Κόσμον, ἐκ τῶν αὐτοῦ παγίδων νῦν. παρέχων ὡς φιλάνθρωπος, ζωὴν τὴν αἰώνιον. Δίς.

Ἦχος πλ. β΄. Στίχ. Διὰ τοῦτο μνησθήσομαί σου.

Σήμερον ἡ ψαλμικὴ Προφητεία, πέρας λαβεῖν ἐπείγεται· ἡ θάλασσα γάρ φησιν, εἶδε καὶ ἔφυγεν. ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, ἀπὸ προσώπου Κυρίου, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ, ἐλθόντος ὑπὸ δούλου δέξασθαι βάπτισμα, ἵνα ἡμᾶς εἰδωλικῆς ἀκαθαρσίας ἐκπλυθέντες, φωτισθῶμεν τὰς ψυχὰς δι' αὐτοῦ. Δίς.

Στίχ. Εἴδοσάν σε ὕδατα ὁ Θεός.

Δόξα, ἦχος πλ. α΄.

Τί ἀναχαιτίζῃ σου τὰ ὕδατα ὦ Ἰορδάνη; τί ἀναποδίζεις τὸ ῥεῖθρον, καὶ οὐ προβαίνεις τὴν κατὰ φύσιν πορείαν; οὐ δύναμαι φέρειν, φησί, πῦρ καταναλίσκον ἐξίσταμαι, καὶ φρίττω τὴν ἄκραν συγκατάβασιν. ὅτι οὐκ εἴωθα τὸν καθαρὸν ἀποπλύνειν· οὐκ ἔμαθον τὸν ἀναμάρτητον ἀποσμήχειν, ἀλλὰ τὰ ῥερυπωμένα σκεύη ἐκκαθαίρειν. ἀκάνθας φλέγειν μὲν ἁμαρτημάτων διδάσκει, ὁ ἐν ἐμοὶ βαπτιζόμενος Χριστός. ὁ Ἰωάννης συμμαρτυρεῖ μοι· ἡ φωνὴ τοῦ Λόγου βοᾷ· Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Κόσμου. αὐτῷ πιστοὶ βοήσωμεν· ὁ ἐπιφανεὶς Θεός, εἰς τὴν ἡμῶν σωτηρίαν δόξα σοι.

Καὶ νῦν. τὸ αὐτό. Προκείμενον, ἦχος δ΄.

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.

Στίχ. Ἐνέγκατε τῷ Κυρίῳ Υἱοὶ Θεοῦ.

Εἶτα ἡ Προφητεία.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Ἀντλήσατε ὕδωρ Κεφ. ιβ΄. 3.
μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· Ὑμνεῖτε τὸν Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, μιμνήσκεσθε, ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. Ὑμνήσατε τὸ ὄνομα Κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν. Ἀναγγείλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. Ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε οἱ κατοικοῦντες Σιών, ὅτι ὑψώθη ὁ Ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς.

Ὁ Ἀπόστ. Πρὸς Ῥωμαίους Ἐπιστολῆς.

Ἀδελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθη- Κεφ. ϛ΄. 3.
μεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ Βαπτίσματος εἰς τὸν θάνατον. ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. Τοῦτο γινώσκοντες,

ὅτι

ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ. Ὁ γὰρ ἀποθανὼν, δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ. Εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκ ἔτι ἀποθνήσκει. θάνατος αὐτοῦ οὐκ ἔτι κυριεύει. Ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ, ἀπέθανεν ἐφάπαξ. Ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς, νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. 9. ΤΩ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς Οὐρανοὺς, καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτόν. Καὶ φωνὴ ἐγένετο ἐκ τῶν Οὐρανῶν· Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα. Καὶ εὐθύς.

Ταχὺ προκαταλαβέτωσαν. Εἶτα τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία. Ἐν τοῖς ῥείθροις σήμερον. Κύριε ἐλέησον μ΄. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον, Τρίς. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς. Εἶτα ἡ εὐχή. Θεὲ καὶ Κύριε τῶν δυνάμεων.

ΩΡΑ ἘΝΝΑΤΗ.

Τὸ Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν, Κύριε ἐλέησον ιβ΄. Δεῦτε προσκυνήσωμεν γ΄. Καὶ τοὺς Ψαλμούς.

Ψαλμ. 4β΄. Ὁ Κύριος ἐβασίλευσεν.

Ψαλμ. ριγ΄. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου.

Ψαλμ. πε΄. Κλῖνον Κύριε τὸ οὖς σου.

Δόξα. Ἀπεστρέφετο ποτέ. Καὶ νῦν. Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου.

Εἶτα τὰ ἰδιόμ. ἦχος βαρύς.

ΘΑμβος ἦν κατιδεῖν τὸν Οὐρανοῦ καὶ γῆς Ποιητὴν, ἐν ποταμῷ γυμνωθέντα, βάπτισμα ὑπὸ δούλου, εἰς ἡμῶν σωτηρίαν δεχόμενον ὡς δοῦλον· καὶ χοροὶ Ἀγγέλων ἐξεπλήττοντο, φόβῳ καὶ χαρᾷ. μεθ' ὧν προσκυνοῦμέν σε, σῶσον ἡμᾶς Κύριε.

Ἦχος β΄. Στ. Διὰ τοῦτο μνησθήσομαί σου.

ΟΤε πρὸς αὐτὸν ἐρχόμενον ὁ Πρόδρομος, τὸν Κύριον τῆς δόξης, ἐβόα θεωρῶν· ἴδε ὁ λυτρούμενος τὸν Κόσμον, παραγέγονεν ἐκ φθορᾶς. ἴδε ῥύεται ἡμᾶς ἐκ θλίψεως. ἰδοὺ ὁ ἁμαρτημάτων ἄφεσιν χαριζόμενος ἐπὶ γῆς ἐκ Παρθένου Ἁγνῆς ἐλήλυθε δι' ἔλεον· καὶ ἀντὶ δούλων, Υἱοὺς Θεοῦ ἐργάζεται· ἀντὶ δὲ σκότους, φωτίζει τὸ ἀνθρώπινον, διὰ τοῦ ὕδατος τοῦ θείου βαπτισμοῦ αὐτοῦ. λοιπὸν δεῦτε συμφώνως αὐτὸν δοξολογήσωμεν, σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι.

Στ. Εἴδοσάν σε ὕδατα ὁ Θεός. πάλιν τὸ αὐτό.

Δόξα, καὶ νῦν, ἦχος πλ. α΄.

Ἰστέον, ὅτι τὸ παρὸν ἰδιόμελον ἀναγινώσκεται πρότερον εὐλαβῶς καὶ μεγαλοφώνως παρὰ τοῦ Κανονάρχου, ἐν τῷ μέσῳ τοῦ Ναοῦ. Εἶτα ψάλλεται μελῳδικῶς ὑπὸ τῶν δύο χορῶν, εἰς ἦχον πλ. α΄.

ΤΗν χεῖρά σου τὴν ἁψαμένην, τὴν ἀκήρατον κορυφὴν τοῦ Δεσπότου, μεθ' ἧς καὶ δακτύλῳ αὐτὸν, ἡμῖν καθυπέδειξας, ἔπαιρον ὑπὲρ ἡμῶν πρὸς αὐτὸν Βαπτιστὰ, ὡς παῤῥησίαν ἔχων πολλήν· καὶ γὰρ μείζων τῶν Προφητῶν ἁπάντων, ὑπ' αὐτοῦ μεμαρτύρησαι. τοὺς ὀφθαλμούς σου πάλιν δὲ, τοὺς τὸ πανάγιον Πνεῦμα κατιδόντας, ὡς ἐν εἴδει περιστερᾶς κατελθὸν, ἀνατέτασον πρὸς αὐτὸν Βαπτιστὰ, ἵλεων ἡμῖν ἀπεργασάμενος· καὶ δεῦρο στῆθι μεθ' ἡμῶν, ἐπισφραγίζων τὸν ὕμνον, καὶ προεξάρχων τῆς πανηγύρεως.

Προκείμενον, ἦχος γ΄.

Κύριος φωτισμός μου, καὶ Σωτήρ μου.

Στ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. καιρῷ δεκτῷ ἐπήκουσά σου. Ζήτει ἔμπροσθεν εἰς τὸν Ἑσπερινόν.

Ἀνάγνωσμα ιγ΄.

Πρὸς Τίτον Ἐπιστολ. Παύλου τὸ Ἀνάγν.

ΤΕκνον Τίτε, ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, Κεφ. β΄. 10.
ἡ σωτήριος πᾶσιν ἀνθρώποις, παιδεύουσα ἡμᾶς· ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν, καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως, καὶ δικαίως, καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιού-

Κεφ. γ΄. 4. σιον, ζηλωτὴν καλῶν ἔργων. Ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ Σωτῆρος ἡμῶν Θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτροῦ παλιγγενεσίας, καὶ ἀνακαινώσεως Πνεύματος Ἁγίου. Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ Σωτῆρος ἡμῶν. Ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίου.

### Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. γ΄. 1. Ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ τετραρχοῦντος τῆς Γαλιλαίας Ἡρώδου· Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας· καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπὶ Ἀρχιερέως Ἄννα καὶ Καϊάφα, ἐγένετο ῥῆμα Θεοῦ ἐπὶ Ἰωάννην τὸν τοῦ Ζαχαρίου Υἱὸν ἐν τῇ ἐρήμῳ. Καὶ ἦλθεν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, κηρύσσων βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν· ὡς γέγραπται ἐν βίβλῳ λόγων Ἡσαΐου τοῦ Προφήτου, λέγοντος· Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται. Καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. Καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. Ἔλεγεν οὖν τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι ὑπ' αὐτοῦ. Γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελλούσης ὀργῆς; ποιήσατε οὖν καρποὺς ἀξίους τῆς μετανοίας· καὶ μὴ ἄρξησθε λέγειν ἐν ἑαυτοῖς, Πατέρα ἔχομεν τὸν Ἀβραάμ. Λέγω γὰρ ὑμῖν, ὅτι δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ. Ἤδη δὲ καὶ ἡ ἀξίνη πρὸς τὴν ῥίζαν τῶν δένδρων κεῖται. Πᾶν οὖν δένδρον, μὴ ποιοῦν καρπὸν καλὸν, ἐκκόπτεται, καὶ εἰς πῦρ βάλλεται. Καὶ ἐπηρώτων αὐτὸν οἱ ὄχλοι, λέγοντες· Τί οὖν ποιήσωμεν; ἀποκριθεὶς δὲ λέγει αὐτοῖς· Ὁ ἔχων δύο χιτῶνας, μεταδότω τῷ μὴ ἔχοντι· καὶ ὁ ἔχων βρώματα, ὁμοίως ποιείτω. Ἦλθον δὲ καὶ τελῶναι βαπτισθῆναι ὑπ' αὐτοῦ, καὶ εἶπον πρὸς αὐτόν· Διδάσκαλε, τί ποιήσωμεν; Ὁ δὲ εἶπε πρὸς αὐτούς· μηδὲν πλέον παρὰ τὸ διατεταγμένον ὑμῖν, πράσσετε. Ἐπηρώτων δὲ αὐτὸν καὶ στρατευόμενοι, λέγοντες· Καὶ ἡμεῖς τί ποιήσωμεν; καὶ εἶπε πρὸς αὐτούς· Μηδένα διασείσητε, μηδὲ συκοφαντήσητε· καὶ ἀρκεῖσθε τοῖς ὀψωνίοις ὑμῶν. Προσδοκῶντος δὲ τοῦ λαοῦ, καὶ διαλογιζομένων πάντων ἐν ταῖς καρδίαις αὐτῶν περὶ τοῦ Ἰωάννου, μήποτε αὐτὸς εἴη ὁ Χριστὸς, ἀπεκρίνατο ὁ Ἰωάννης ἅπασι, λέγων· Ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ. Αὐτὸς ὑμᾶς βαπτίσει ἐν Πνεύματι Ἁγίῳ, καὶ πυρί. Οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ· καὶ συνάξει τὸν σῖτον εἰς τὴν ἀποθήκην αὐτοῦ, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ. Πολλὰ μὲν οὖν καὶ ἕτερα παρακαλῶν, εὐηγγελίζετο τὸν λαόν.

Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Κοντάκιον. Ἐν τοῖς ῥείθροις. Κύριε ἐλέησον μ΄. Καὶ ἡ εὐχή. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ΄. Δόξα, καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς. Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός. Εἶτα ψάλλομεν τὰ Τυπικὰ χύμα. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον. Καὶ τὰ λοιπὰ συνήθως. Εἶτα. Χορὸς ὁ ἐπουράνιος. Πιστεύω. Ἄνες ἄφες. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστίν. Κοντάκιον. Ἐν τοῖς ῥείθροις σήμερον. Ἐκτενής, καὶ ἀπόλυσις.

Ἰστέον, ὅτι ἐὰν τύχῃ ἡ Παραμονὴ ἐν Σαββάτῳ, ἢ Κυριακῇ, ἡ Λειτουργία τοῦ Χρυσοστόμου τελεῖται, ὡς εἴρηται, εἰς τὴν ὥραν αὐτῆς· ἡ δὲ τοῦ μεγάλου Βασιλείου, τελεῖται τῇ ἐπαύριον, ἤτοι κατ' αὐτὴν τὴν ἡμέραν τῆς Ἑορτῆς. Μετὰ δὲ τὴν Ἀπόλυσιν, ἀπερχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν, προσευχῇ καὶ ἀναγνώσει σχολάζοντες, ἄχρι τῆς ὥρας τοῦ Λυχνικοῦ.

## Μηνὶ τῷ αὐτῷ ς΄.

### Τὰ Ἅγια Θεοφάνεια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Περὶ ὥραν ι΄. τῆς ἡμέρας, σημαίνει τὸ μέγα, καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ, καὶ εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα τοῦ Λυχνικοῦ, ψάλλοντες τὸν Προοιμιακὸν ψαλμόν.

Καὶ εἰ μέν ἐστι Σάββατον, στιχολογοῦμεν τὸ Μακάριος ἀνήρ. εἰ δ' οὐκ ἔστι, τὸ Κύριε ἐκέκραξα, ἦχος β'. ἱστῶμεν δὲ στίχ. ή. καὶ ἀπέρχεται ὁ Ἱερεὺς ποιῆσαι τὴν προσκομιδήν. Οἱ δὲ χοροὶ ψάλλουσι τὰ γ'. ἰδιόμελα, δευτεροῦντες αὐτά. Ἦχος β'.

Τὸν φωτισμὸν ἡμῶν, τὸν φωτίσαντα πάντα ἄνθρωπον, ἰδὼν ὁ Πρόδρομος βαπτισθῆναι παραγενόμενον· χαίρει τῇ ψυχῇ, καὶ τρέμει τῇ χειρί. δείκνυσιν αὐτόν, καὶ λέγει τοῖς λαοῖς· ἴδε ὁ λυτρούμενος τὸν Ἰσραήλ, ὁ ἐλευθερῶν ἡμᾶς ἐκ τῆς φθορᾶς. ὦ ἀναμάρτητε, Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι. Δίς.

Τοῦ Λυτρωτοῦ ἡμῶν, ὑπὸ δούλου βαπτιζομένου, καὶ τῇ τοῦ Πνεύματος παρουσίᾳ μαρτυρουμένου, ἔφριξαν ὁρῶσαι Ἀγγέλων στρατιαί. φωνὴ δὲ οὐρανόθεν ἠνέχθη ἐκ Πατρός. οὗτος ὃν ὁ Πρόδρομος χειροθετεῖ, Υἱός μου ὑπάρχει ὁ ἀγαπητός, ἐν ᾧ ηὐδόκησα, Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι. Δίς.

Τὰ Ἰορδάνεια ῥεῖθρα, σὲ τὴν πηγὴν ἐδέξαντο, καὶ ὁ Παράκλητος, ἐν εἴδει περιστερᾶς κατήρχετο. κλίνει κορυφὴν, ὁ κλίνας Οὐρανούς. κράζει καὶ βοᾷ πηλὸς τῷ Πλαστουργῷ· τί μοι ἐπιτάττεις τὰ ὑπὲρ ἐμέ; ἐγὼ χρείαν ἔχω τοῦ σοῦ βαπτισμοῦ. ὦ ἀναμάρτητε, Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι. Δίς.

Σῶσαι βουλόμενος, τὸν πλανηθέντα ἄνθρωπον, οὐκ ἀπηξίωσας δούλου μορφὴν ἐνδύσασθαι. ἔπρεπε γάρ σοι τῷ Δεσπότῃ καὶ Θεῷ, ἀναδέξασθαι τὰ ἡμῶν ὑπὲρ ἡμῶν. σοῦ γὰρ βαπτισθέντος σαρκὶ Λυτρωτά, τῆς ἀφέσεως ἠξίωσας ἡμᾶς. διὸ βοῶμέν σοι· Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι. Δίς.

Δόξα, καὶ νῦν, ὁ αὐτός. Βύζαντος.

Ὑπέκλινας κάραν τῷ Προδρόμῳ, συνέθλασας κάρας τῶν δρακόντων· ἐπέστης ἐν τοῖς ῥείθροις, ἐφώτισας τὰ σύμπαντα, τοῦ δοξάζειν σε Σωτήρ, τὸν φωτισμὸν τῶν ψυχῶν ἡμῶν.

Εἴσοδος. τό, Φῶς ἱλαρόν. Εἶτα τὰ Ἀναγνώσματα.

Γενέσεως τὸ Ἀνάγνωσμα α'.

Κεφ. α. ι. Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν, καὶ τὴν Γῆν. Ἡ δὲ γῆ ἦν ἀόρατος, καὶ ἀκατασκεύαστος· καὶ σκότος ἐπάνω τῆς Ἀβύσσου· καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς, καὶ ἐγένετο φῶς. Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν. καὶ διεχώρισεν ὁ Θεὸς ἀναμέσον τοῦ φωτὸς, καὶ ἀναμέσον τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς, ἡμέραν· καὶ τὸ σκότος ἐκάλεσε, νύκτα. καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. Καὶ εἶπεν ὁ Θεός· Γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀναμέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο οὕτω. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα· καὶ διεχώρισεν ὁ Θεὸς ἀναμέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος, καὶ ἀναμέσον τοῦ ὕδατος, τοῦ ὑποκάτω τοῦ στερεώματος. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα, Οὐρανόν. καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν, καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα. Καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ Οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. Καὶ ἐγένετο οὕτω. καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ Οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν, Γῆν, καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε Θαλάσσας. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν. καὶ εἶπεν ὁ Θεός· Βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος, καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν· οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτω. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος, καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ εἶδεν ὁ Θεὸς ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα β'.

Εἶπε Κύριος πρὸς Μωυσῆν· τί βοᾷς πρός με; λάλησον τοῖς Υἱοῖς Ἰσραὴλ, καὶ ἀναζευξάτωσαν. Καὶ σὺ ἔπαρον τὴν ῥάβδον σου, καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ ῥῆξον αὐτήν· καὶ εἰσελθέτωσαν οἱ Υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν. Καὶ ἰδοὺ ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραὼ, καὶ τῶν θεραπόντων αὐτοῦ, καὶ τῶν Αἰγυπτίων πάντων, καὶ εἰσελεύσονται ὀπίσω αὐτῶν· καὶ ἐνδοξασθήσομαι ἐν Φαραὼ, καὶ ἐν πάσῃ τῇ στρατιᾷ αὐτοῦ, καὶ ἐν τοῖς ἅρμασι, καὶ ἐν τοῖς ἵπποις αὐτοῦ. Καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι, ὅτι ἐγώ εἰμι Κύριος, ἐνδοξαζομένου μου ἐν Φαραὼ, καὶ ἐν τοῖς ἅρμασι, καὶ ἐν τοῖς ἵπποις αὐτοῦ. Ἐξέτεινε δὲ Μωσῆς Κεφ. ιδ. ι.

τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ἐπήγαγε Κύριος τὴν θάλασσαν ἐν ἀνέμῳ Νότῳ βιαίῳ ὅλην τὴν νύκτα. καὶ ἐποίησε τὴν θάλασσαν ξηράν, καὶ ἐσχίσθη τὸ ὕδωρ, καὶ εἰσῆλθον οἱ Υἱοὶ Ἰσραὴλ εἰς τὸ μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν. Καὶ τὸ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων. Κατεδίωξαν δὲ οἱ Αἰγύπτιοι, καὶ εἰσῆλθον ὀπίσω αὐτῶν, πᾶσα ἡ ἵππος Φαραώ, καὶ τὰ ἅρματα, καὶ οἱ ἀναβάται εἰς μέσον τῆς θαλάσσης. Ἐξέτεινε δὲ Μωσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ἀπεκατεστάθη τὸ ὕδωρ πρὸς ἡμέραν ἐπὶ χώρας. Οἱ δὲ Αἰγύπτιοι ἔφυγον ἐπὶ τὸ ὕδωρ. Καὶ ἐξετίναξε Κύριος τοὺς Αἰγυπτίους εἰς μέσον τῆς θαλάσσης. Καὶ ἐπαναστραφὲν τὸ ὕδωρ, ἐκάλυψε τὰ ἅρματα, καὶ τοὺς ἀναβάτας, καὶ πᾶσαν τὴν δύναμιν Φαραώ, τοὺς εἰσπορευομένους ὀπίσω αὐτῶν ἐπὶ τὴν θάλασσαν. Οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς. Οἱ δὲ Υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα γ΄.

Κεφ. ιε΄. 22. Ἐξῆρε Μωσῆς τοὺς Υἱοὺς Ἰσραὴλ ἀπὸ θαλάσσης ἐρυθρᾶς, καὶ ἤγαγεν αὐτοὺς εἰς τὴν ἔρημον Σούρ. Καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ, καὶ οὐχ εὕρισκον ὕδωρ ὥστε πιεῖν. Ἦλθον δὲ εἰς Μερρᾶν, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἐκ Μερρᾶς· πικρὸν γὰρ ἦν. διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Πικρία. Καὶ διεγόγγυζεν ὁ λαὸς κατὰ Μωσῆ, λέγοντες, τί πιόμεθα; Ἐβόησε δὲ Μωσῆς πρὸς Κύριον. καὶ ἔδειξεν αὐτῷ Κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη. Ἐκεῖ ἔθετο αὐτῷ ὁ Θεὸς δικαιώματα καὶ κρίσεις. καὶ ἐκεῖ αὐτὸν ἐπείραζε. καὶ εἶπεν· Ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτοῦ ποιήσῃς, καὶ ἐνωτίσῃ ταῖς ἐντολαῖς αὐτοῦ, καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σέ. Ἐγὼ γάρ εἰμι Κύριος ὁ ἰώμενός σε. Καὶ ἦλθον εἰς Ἐλείμ· καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα στέλεχοι φοινίκων. παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα. Ἀπῆραν δὲ ἐξ Ἐλείμ, καὶ ἦλθε πᾶσα ἡ συναγωγὴ Υἱῶν Ἰσραὴλ εἰς τὴν ἔρημον Σίν, ὅ ἐστιν ἀνὰ μέσον Ἐλείμ, καὶ ἀνὰ μέσον Σινᾶ.

Τροπάριον, ἦχος πλ. α΄.

Ἐπεφάνης ἐν τῷ Κόσμῳ, ὁ τὸν Κόσμον ποιήσας· ἵνα φωτίσῃς τοὺς ἐν σκότει καθημένους φιλάνθρωπε δόξα σοι.

Στίχ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι.
Ἵνα φωτίσῃς τοὺς ἐν σκότει καθημένους.
Στίχ. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου.
Ἵνα φωτίσῃς τοὺς ἐν σκότει καθημένους.
Στίχ. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεός.
Ἵνα φωτίσῃς τοὺς ἐν σκότει.

Δόξα, καὶ νῦν.

Ἐπεφάνης ἐν τῷ Κόσμῳ, ὁ τὸν Κόσμον.

Ἰησοῦ τοῦ Ναυῆ τὸ Ἀνάγνωσμα δ΄.

Εἶπε Κύριος πρὸς Ἰησοῦν· Ἐν τῇ ἡμέρᾳ Κεφ.
ταύτῃ ἄρχομαι τοῦ ὑψῶσαί σε κατενώπιον γ΄. 7.
πάντων τῶν Υἱῶν Ἰσραήλ· ἵνα γνῶσιν, ὅτι καθὼς ἤμην μετὰ Μωσῆ, οὕτως ἔσομαι καὶ μετὰ σοῦ. Καὶ νῦν ἔντειλαι τοῖς Ἱερεῦσι τοῖς αἴρουσι τὴν Κιβωτὸν τῆς διαθήκης, λέγων· Ὡς ἂν εἰσέλθητε ἐπὶ μέρους τοῦ ὕδατος τοῦ Ἰορδάνου, καὶ στήσεσθε ἐν τῷ Ἰορδάνῃ. Ὡς δὲ ἐπορεύοντο οἱ Ἱερεῖς, οἱ αἴροντες τὴν Κιβωτὸν τῆς διαθήκης εἰς τὸν Ἰορδάνην, καὶ οἱ πόδες τῶν Ἱερέων τῶν αἰρόντων τὴν Κιβωτόν, ἐβάφησαν εἰς μέρος τοῦ ὕδατος τοῦ Ἰορδάνου. Ὁ δὲ Ἰορδάνης ἐπληροῦτο καθ᾿ ὅλην τὴν κρηπῖδα αὐτοῦ, ὡς ἐν ἡμέραις θερισμοῦ πυρῶν. Καὶ ἔστη τὰ ὕδατα καταβαίνοντα ἄνωθεν εἰς πῆγμα ἕν, ἀφεστηκὸς μακρὰν σφόδρα, ἀπὸ Ἀδαμὶ τῆς Πόλεως, ἕως μέρους Καριαθιαρείμ. Τὸ δὲ καταβαῖνον, κατέβη εἰς τὴν θάλασσαν Ἄραβα, μέχρι θαλάσσης τῶν Ἁλῶν· ἕως τέλους ἐξέλιπε. Καὶ ὁ λαὸς εἱστήκει ἀπέναντι Ἱεριχώ. καὶ ἔστησαν οἱ Ἱερεῖς οἱ αἴροντες τὴν Κιβωτὸν τῆς διαθήκης Κυρίου, ἐπὶ ξηρᾶς ἐν μέσῳ τοῦ Ἰορδάνου ἕτοιμοι. καὶ πάντες οἱ Υἱοὶ Ἰσραὴλ διέβαινον διὰ ξηρᾶς, ἕως συνετέλεσε πᾶς ὁ λαὸς διαβαίνων τὸν Ἰορδάνην.

Βασιλειῶν τετάρτης τὸ Ἀνάγνωσμα ε΄.

Εἶπεν Ἠλίας τῷ Ἐλισσαιέ· Κάθου δὴ ἐν- Κεφ.
ταῦθα, ὅτι Κύριος ἀπέσταλκέ με ἕως τοῦ β΄. 2.
Ἰορδάνου. Καὶ εἶπεν Ἐλισσαιέ· Ζῇ Κύριος, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε. Καὶ ἐπορεύθησαν ἀμφότεροι, καὶ πεντήκοντα ἄνδρες ἀπὸ τῶν Υἱῶν τῶν Προφητῶν ἦλθον, καὶ ἔστησαν ἐξεναντίας μακρόθεν· ἀμφότεροι δὲ ἔστησαν ἐπὶ τοῦ Ἰορδάνου. Καὶ ἔλαβεν Ἠλίας

τὴν

τὴν μηλωτὴν αὐτοῦ, καὶ εἴλησεν αὐτήν, καὶ ἐπάταξεν ἐν αὐτῇ τὰ ὕδατα, καὶ διῃρέθη τὸ ὕδωρ ἔνθεν καὶ ἔνθεν, καὶ διέβησαν ἀμφότεροι διὰ ξηρᾶς. Καὶ ἐγένετο ὡς διῆλθον, εἶπεν Ἠλίας τῷ Ἐλισσαιέ· Αἴτησον τί ποιήσω σοι, πρὶν ἢ ἀναληφθῆναί με ἀπὸ σοῦ. Καὶ εἶπεν Ἐλισσαιέ· Γενηθήτω δὴ τὸ Πνεῦμα τὸ ἐπὶ σοί, διπλῶς ἐπ᾽ ἐμοί. Καὶ εἶπεν Ἠλίας. Ἐσκλήρυνας τοῦ αἰτήσασθαι. πλὴν ἐὰν ἴδῃς με ἀναλαμβανόμενον ἀπὸ σοῦ, ἔσται σοι οὕτως· ἐὰν δὲ μὴ ἴδῃς, οὐ μὴ γένηται. καὶ ἐγένετο αὐτῶν πορευομένων καὶ λαλούντων, καὶ ἰδοὺ ἅρμα πυρός, καὶ ἵπποι πυρός, καὶ διεχώρησεν ἀναμέσον ἀμφοτέρων. Καὶ ἀνελήφθη Ἠλίας ἐν συσσεισμῷ ὡς εἰς τὸν Οὐρανόν. Καὶ Ἐλισσαιὲ ἑώρα, καὶ αὐτὸς ἐβόα· Πάτερ, Πάτερ, ἅρμα Ἰσραήλ, καὶ ἱππεὺς αὐτοῦ. Καὶ οὐκ εἶδεν αὐτὸν οὐκέτι. Καὶ ἐκράτησεν Ἐλισσαιὲ τοῦ ἱματίου αὐτοῦ, καὶ διέρρηξεν αὐτὸ εἰς δύο. Καὶ ἀνείλετο τὴν μηλωτὴν Ἠλιοὺ Ἐλισσαιέ, τὴν πεσοῦσαν ἐπάνωθεν αὐτοῦ. Καὶ ἐπέστρεψεν Ἐλισσαιέ. καὶ ἔστη ἐπὶ τοῦ χείλους τοῦ Ἰορδάνου. Καὶ ἔλαβεν Ἐλισσαιὲ τὴν μηλωτὴν Ἠλιοῦ, τὴν πεσοῦσαν ἐπάνωθεν αὐτοῦ, καὶ ἐπάταξε τὰ ὕδατα, καὶ οὐ διῃρέθη. καὶ εἶπεν Ἐλισσαιέ· Ποῦ ἐστιν ὁ Θεὸς Ἠλιοῦ Ἀμφώ; καὶ ἐπάταξεν Ἐλισσαιὲ τὰ ὕδατα ἐκ δευτέρου, καὶ διῃρέθη τὰ ὕδατα, καὶ διῆλθε διὰ ξηρᾶς.

Βασιλειῶν τετάρτης τὸ Ἀνάγνωσμα ϛ΄.

Κεφ. έ. 9. ΠΑρεγένετο Νεεμάν, Ἄρχων Βασιλέως Ἀσσυρίων, σὺν τοῖς ἅρμασιν αὐτοῦ, καὶ ἵπποις αὐτοῦ, καὶ ἔστη ἐπὶ τῆς θύρας τοῦ οἴκου Ἐλισσαιέ. Καὶ ἀπέστειλεν Ἐλισσαιὲ Ἄγγελον πρὸς αὐτόν, λέγων· Πορευθείς, λοῦσαι ἐν τῷ Ἰορδάνῃ ἑπτάκις, καὶ ἐπιστρέψει ἡ σάρξ σου ἐπὶ σοί, καὶ καθαρισθήσῃ. Καὶ ἐθυμώθη Νεεμάν, καὶ ἀπῆλθε. Καὶ εἶπεν· ἰδοὺ δὴ ἔλεγον, ὅτι ἐξελεύσεται πρός με, καὶ ἐπικαλέσεται ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ αὐτοῦ, καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸ λεπρόν, καὶ ἀποσυνάξει αὐτὸ ἀπὸ τῆς σαρκός μου. Οὐκ ἀγαθὸς Ἀρβανά, καὶ Φαρφά, ποταμοὶ Δαμασκοῦ ὑπὲρ τὸν Ἰορδάνην, καὶ ὑπὲρ πάντα τὰ ὕδατα Ἰσραήλ; οὐχὶ πορευθείς, λούσομαι ἐν αὐτοῖς, καὶ καθαρισθήσομαι; καὶ ἀπέστρεψε, καὶ ἀπῆλθεν ἐν θυμῷ. Καὶ προσῆλθον οἱ παῖδες αὐτοῦ, καὶ εἶπον πρὸς αὐτόν· Πάτερ, εἰ μέγαν λόγον ἐλάλησε πρὸς σὲ ὁ Προφήτης, οὐκ ἂν ἐποίησας; καθότι εἶπε πρὸς σέ, λοῦσαι, καὶ καθαρίσθητι. Καὶ κατέβη Νεεμάν, καὶ ἐβαπτίσατο ἐν τῷ Ἰορδάνῃ ἑπτάκις, κατὰ τὸ ῥῆμα τοῦ ἀνθρώπου τοῦ Θεοῦ. Καὶ ἐπέστρεψεν ἡ σὰρξ αὐτοῦ ἐπ᾽ αὐτὸν ὡς παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη.

Τροπάριον, ἦχος πλ. δ΄.

ΑΜαρτωλοῖς καὶ Τελώναις, διὰ πλῆθος ἐλέους σου, ἐπεφάνης Σωτὴρ ἡμῶν. ποῦ γὰρ εἶχε τὸ φῶς σου λάμψαι, εἰ μὴ τοῖς ἐν σκότει καθημένοις; δόξα σοι.

Στ. Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν.

Ποῦ γὰρ εἶχε τὸ φῶς σου.

Στ. Ἐπῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν.

Ποῦ γὰρ εἶχε τὸ φῶς σου.

Στ. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης.

Ποῦ γὰρ εἶχε τὸ φῶς σου λάμψαι, εἰ μή.

Δόξα, καὶ νῦν.

Αμαρτωλοῖς καὶ Τελώναις, διὰ πλῆθος.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα ζ΄.

ΤΑ´δε λέγει Κύριος· λούσασθε, καὶ καθαροὶ γίνεσθε. ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν, ἀπέναντι τῶν ὀφθαλμῶν μου. Παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν· μάθετε καλὸν ποιεῖν. Ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν. καὶ δεῦτε, καὶ διαλεχθῶμεν λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. Καὶ ἐὰν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. Ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου μάχαιρα ὑμᾶς κατέδεται. Τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. Κεφ. ά. 16.

Γενέσεως τὸ Ἀνάγνωσμα η΄.

ἈΝαβλέψας Ἰακώβ, εἶδε παρεμβολὴν Θεοῦ παρεμβεβληκυῖαν. καὶ συνήντησαν αὐτῷ οἱ Ἄγγελοι τοῦ Θεοῦ. Εἶπε δὲ Ἰακώβ, ἡνίκα εἶδεν αὐτούς· παρεμβολὴ Θεοῦ αὕτη. Καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, παρεμβολή. Ἀπέστειλε δὲ Ἰακὼβ Ἀγγέλους ἔμπροσθεν αὐτοῦ πρὸς Ἡσαῦ τὸν ἀδελφὸν αὐτοῦ, εἰς γῆν Σηείρ, εἰς χώραν Ἐδώμ· Καὶ ἐνετείλατο αὐτοῖς λέγων· Οὕτως ἐρεῖτε τῷ Κυρίῳ μου Ἡσαῦ· οὕτω λέγει ὁ παῖς σου Ἰακώβ. Μετὰ Λάβαν παρῴκησα, καὶ ἐχρό- Κεφ. λβ΄. 1.



Δημόσια Κεντρική Βιβλιοθήκη

νισα ἕως τοῦ νῦν. Καὶ ἐγένοντό μοι πρόβατα, καὶ βόες, καὶ ὄνοι, καὶ παῖδες, καὶ παιδίσκαι. καὶ ἀπέστειλα ἀναγγεῖλαι τῷ Κυρίῳ μου Ἡσαῦ, ἵνα εὕρῃ χάριν ὁ παῖς σου ἐναντίον σου. Καὶ ἀπέστρεψαν οἱ Ἄγγελοι πρὸς Ἰακώβ, λέγοντες· ἤλθομεν πρὸς Ἡσαῦ τὸν ἀδελφόν σου, καὶ ἔρχεται εἰς συνάντησίν σου, καὶ τετρακόσιοι ἄνδρες μετ᾽ αὐτοῦ. Ἐφοβήθη δὲ Ἰακὼβ σφόδρα, καὶ ἠπορεῖτο. καὶ διεῖλε τὸν λαὸν τὸν μετ᾽ αὐτοῦ, καὶ τοὺς βόας, καὶ τὰ πρόβατα, εἰς δύο παρεμβολάς. Καὶ εἶπεν Ἰακώβ· Ἐὰν ἔλθῃ Ἡσαῦ εἰς παρεμβολὴν μίαν, καὶ κόψῃ αὐτήν, ἔσται ἡ παρεμβολὴ ἡ δευτέρα εἰς τὸ σώζεσθαι. καὶ εἶπεν Ἰακώβ· Ὁ Θεὸς τοῦ Πατρός μου Ἀβραάμ, καὶ ὁ Θεὸς τοῦ Πατρός μου Ἰσαάκ. Κύριε ὁ εἰπών μοι. ἀπότρεχε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ εὖ σοι ποιήσω, ἱκανούσθω μοι ἀπὸ πάσης δικαιοσύνης, καὶ ἀπὸ πάσης ἀληθείας, ἧς ἐποίησας τῷ παιδί σου. ἐν γὰρ τῇ ῥάβδῳ μου ταύτῃ διέβην τὸν Ἰορδάνην.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα θ΄.

Κεφ. Κατέβη ἡ Θυγάτηρ Φαραὼ λούσασθαι ἐπὶ
β΄. 5. τὸν ποταμόν, καὶ αἱ ἅβραι παρεπορεύοντο ἐπὶ τὸν ποταμόν. Καὶ ἰδοῦσα θῖβιν ἐν τῷ ἕλει, ἀποστείλασα τὴν ἅβραν, ἀνείλετο αὐτήν. Ἀνοίξασα δέ, ὁρᾷ Παιδίον κλαῖον ἐν τῇ θίβει, καὶ ἐφείσατο αὐτοῦ ἡ Θυγάτηρ Φαραώ, καὶ εἶπεν· Ἀπὸ τῶν παιδίων τῶν Ἑβραίων τοῦτο. Καὶ εἶπεν ἡ ἀδελφὴ αὐτοῦ τῇ Θυγατρὶ Φαραώ. Θέλεις καλέσω σοι γυναῖκα τροφεύουσαν ἐκ τῶν Ἑβραίων, καὶ θηλάσει σοι τὸ παιδίον; καὶ εἶπεν αὐτῇ ἡ Θυγάτηρ Φαραώ, πορεύου. Ἐλθοῦσα δὲ ἡ νεᾶνις, ἐκάλεσε τὴν μητέρα τοῦ παιδίου. Εἶπε δὲ πρὸς αὐτὴν ἡ Θυγάτηρ Φαραώ. Διατήρησόν μοι τὸ παιδίον τοῦτο, καὶ θήλασόν μοι αὐτό, ἐγὼ δὲ δώσω σοι τὸν μισθόν. Ἔλαβε δὲ ἡ γυνὴ τὸ παιδίον, καὶ ἐθήλαζεν αὐτό. Ἀνδρυνθέντος δὲ τοῦ παιδίου, εἰσήγαγεν αὐτὸ πρὸς τὴν Θυγατέρα Φαραώ, καὶ ἐγενήθη αὐτῇ εἰς Υἱόν. Ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ, Μωσῆν, λέγουσα· Ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην.

Κριτῶν τὸ Ἀνάγνωσμα ι΄.

Κεφ. Εἶπε Γεδεὼν πρὸς τὸν Θεόν· Εἰ σώζεις ἐν
ς΄. 37. τῇ χειρί μου τὸν Ἰσραήλ, ὃν τρόπον ἐλάλησας, ἰδοὺ ἐγὼ ἀπερείδομαι τὸν πόκον τῶν ἐρίων ἐν τῇ ἅλωνι. καὶ ἐὰν γένηται δρόσος ἐπὶ τὸν πόκον μόνον, ἐπὶ δὲ πᾶσαν τὴν γῆν ξηρασία, γνώσομαι, ὅτι σώσεις ἐν τῇ χειρί μου τὸν Ἰσραήλ, ὃν τρόπον ἐλάλησας. Καὶ ἐγένετο οὕτω. Καὶ ὀρθρίσας Γεδεὼν τῇ ἐπαύριον, ἀπεπίασε τὸν πόκον, καὶ ἀπερρύη δρόσος ἐκ τοῦ πόκου πλήρης λεκάνης ὕδατος. Καὶ εἶπε Γεδεὼν πρὸς τὸν Θεόν· Μὴ ὀργισθήτω ὁ θυμός σου ἐν ἐμοί, καὶ λαλήσω ἔτι ἅπαξ, καὶ πειράσω ἔτι ἅπαξ ἐν τῷ πόκῳ. Γενηθήτω δὴ ξηρασία ἐπὶ τὸν πόκον μόνον, ἐπὶ δὲ πᾶσαν τὴν γῆν δρόσος. καὶ ἐποίησεν ὁ Θεὸς οὕτως ἐν τῇ νυκτὶ ἐκείνῃ. καὶ ἐγένετο ξηρασία ἐπὶ τὸν πόκον μόνον, ἐπὶ δὲ πᾶσαν τὴν γῆν ἐγένετο δρόσος.

Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα ια΄.

Εἶπεν Ἠλίας πρὸς τὸν Λαόν· Προσαγά- Κεφ.
γετε πρός με· καὶ προσήγαγε πᾶς ὁ Λαὸς ιά. 30.
πρὸς αὐτόν· καὶ ἔλαβεν Ἠλίας δώδεκα λίθους, κατ᾽ ἀριθμὸν τῶν δώδεκα Φυλῶν τοῦ Ἰσραήλ, ὡς ἐλάλησε Κύριος πρὸς αὐτόν, λέγων· Ἰσραὴλ ἔσται τὸ ὄνομά σου. καὶ ᾠκοδόμησε τοὺς λίθους, καὶ ἰάσατο τὸ θυσιαστήριον Κυρίου τὸ κατεσκαμμένον. Καὶ ἐποίησε θάλασσαν χωροῦσαν δύο μετρητὰς σπέρματος κύκλωθεν τοῦ θυσιαστηρίου. καὶ ἐπέθηκε τὰς σχίδακας ἐπὶ τὸ θυσιαστήριον, ὃ ἐποίησε, καὶ ἐμέλισε τὸ ὁλοκαύτωμα, καὶ ἐπέθηκεν ἐπὶ τὰς σχίδακας, καὶ ἐστοίβασεν ἐπὶ τὸ θυσιαστήριον. καὶ εἶπεν Ἠλίας· Λάβετέ μοι δύο ὑδρίας ὕδατος, καὶ ἐπιχεέτωσαν ἐπὶ τὸ θυσιαστήριον, ἐπί τε τὸ ὁλοκαύτωμα, καὶ ἐπὶ τὰς σχίδακας. Καὶ εἶπε· δευτερώσατε. καὶ ἐδευτέρωσαν. καὶ εἶπε. τρισσεύσατε, καὶ ἐτρίσσευσαν. καὶ διεπορεύετο τὸ ὕδωρ κύκλῳ τοῦ θυσιαστηρίου, καὶ τὴν θάλασσαν ἔπλησεν ὕδατος. Καὶ ἀνεβόησεν Ἠλίας εἰς τὸν Οὐρανόν, καὶ εἶπεν· Ὁ Θεὸς Ἀβραάμ, καὶ ὁ Θεὸς Ἰσαάκ, καὶ ὁ Θεὸς Ἰακώβ, ἐπάκουσόν μου σήμερον ἐν πυρί· καὶ γνώτω πᾶς ὁ λαὸς οὗτος, ὅτι σὺ εἶ μόνος Κύριος ὁ Θεὸς Ἰσραήλ, καὶ ἐγὼ δοῦλος σός, καὶ διὰ σὲ πεποίηκα ταῦτα πάντα, καὶ σὺ ἐπέστρεψας τὴν καρδίαν τοῦ λαοῦ τούτου ὀπίσω σου. Καὶ ἔπεσε πῦρ ἐκ τοῦ Οὐρανοῦ, καὶ κατέφαγε τὰ ὁλοκαυτώματα, καὶ τὰς σχίδακας, καὶ τὸ ὕδωρ τὸ ἐπ᾽ αὐτῶν, καὶ τὸ ὕδωρ τὸ ἐν τῇ θαλάσσῃ, καὶ τοὺς λίθους, καὶ τὸν χοῦν ἐξέλειξε τὸ πῦρ. Καὶ ἔπεσε πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον αὐτῶν, καὶ εἶπον· ἀληθῶς Κύριος ὁ Θεός, αὐτός ἐστιν ὁ Θεός.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Βασιλειῶν τετάρτης τὸ Ἀνάγνωσμα ιβ'.

Κεφ. β'. 19. Εἶπον οἱ ἄνδρες τῆς πόλεως Ἱεριχὼ πρὸς Ἐλισσαιέ. ἰδοὺ ἡ κατοίκησις τῆς Πόλεως ταύτης ἀγαθὴ, καθὼς σὺ Κύριε ὁρᾷς, καὶ τὰ ὕδατα πονηρὰ, καὶ ἀτεκνοῦντα. Καὶ εἶπεν Ἐλισσαιέ. λάβετέ μοι ὑδρίσκην καινὴν, καὶ ἐμβάλλετε ἐκεῖ ἅλας. Καὶ ἔλαβον καὶ ἤνεγκαν πρὸς αὐτόν. καὶ ἐξῆλθεν ἐπὶ τὴν διέξοδον τῶν ὑδάτων, καὶ ἔρριψεν ἐκεῖ τὸ ἅλας, καὶ εἶπε· τάδε λέγει Κύριος· Ἴαμαι τὰ ὕδατα ταῦτα, οὐκέτι ἔσται ἐκεῖθεν ἀποθνήσκων, οὐδὲ ἀτεκνουμένη δι' αὐτά· καὶ ἰάθη τὰ ὕδατα ἕως τῆς ἡμέρας ταύτης, κατὰ τὸ ῥῆμα, ὃ ἐλάλησεν Ἐλισσαιέ.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα ιγ'.

Κεφ. μθ'. 8. Τάδε λέγει Κύριος· καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασά σε, καὶ ἔδωκά σε, καὶ ἔθηκά σε εἰς διαθήκην ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν, καὶ κατακληρονομῆσαι κληρονομίαν ἐρήμου· λέγοντα τοῖς ἐν δεσμοῖς, ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύπτεσθε. Ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν. Οὐ πεινάσουσιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς ὁ καύσων, οὐδὲ ὁ Ἥλιος. ἀλλ' ὁ ἐλεῶν αὐτοὺς, παρακαλέσει αὐτοὺς, καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς. Καὶ θήσω πᾶν ὄρος εἰς ὁδὸν, καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς. Ἰδοὺ οὗτοι πόῤῥωθεν ἥξουσιν. Οὗτοι ἀπὸ Βοῤῥᾶ καὶ θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Περσῶν. Εὐφραινέσθωσαν οἱ Οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. Ῥηξάτω τὰ ὄρη εὐφροσύνην, καὶ οἱ βουνοὶ δικαιοσύνην, ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτοῦ, καὶ τοὺς ταπεινοὺς τοῦ λαοῦ αὐτοῦ παρεκάλεσεν. Εἶπε δὲ Σιών· Ἐγκατέλιπέ με Κύριος, καὶ ὁ Θεὸς ἐπελάθετό μου. μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς; ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔγγονα τῆς κοιλίας αὐτῆς; Εἰ δὲ καὶ ταῦτα ἐπιλάθοιτο γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος Παντοκράτωρ.

Εἶτα συναπτὴ μικρὰ παρὰ τοῦ Ἱερέως, καὶ ψάλλομεν τὸν Τρισάγιον ὕμνον.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος γ'.

Κύριος φωτισμός μου, καὶ Σωτήρ μου.

Στ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Πρὸς Κορινθίους α'. Ἐπιστολῆς Παύλου.

Κεφ. θ'. 19. Ἀδελφοὶ, ἐλεύθερος ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω. Καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα τοὺς Ἰουδαίους κερδήσω. τοῖς ὑπὸ Νόμον ὡς ὑπὸ Νόμον, ἵνα τοὺς ὑπὸ Νόμον κερδήσω. Τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεῷ, ἀλλ' ἔννομος Χριστῷ, ἵνα κερδήσω ἀνόμους. Καὶ ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενὴς, ἵνα τοὺς ἀσθενεῖς κερδήσω. τοῖς πᾶσι γέγονα τὰ πάντα, ἵνα πάντως τινὰς σώσω. Τοῦτο δὲ ποιῶ διὰ τὸ Εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτοῦ γένωμαι. Οὐκ οἴδατε, ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχουσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; οὕτω τρέχετε, ἵνα καταλάβητε. Πᾶς δὲ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται. ἐκεῖνοι μὲν οὖν, ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. Ἐγὼ τοίνυν οὕτω τρέχω, ὡς οὐκ ἀδήλως· οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. Ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ, μή πως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι.

Ἀλληλούϊα, ἦχος α'.

Ἐξηρεύξατο ἡ καρδία μου.

Στ. Ὡραῖος κάλλει παρὰ τοὺς Υἱούς.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἐν ἔτει πέντε καὶ δεκάτῳ. Ζήτει ὅρα θ'. καὶ καθ' ἑξῆς ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχὴν, ἐξερχόμεθα ἐν τῇ Κολυμβήθρᾳ, προπορευομένου τοῦ Ἱερέως μετὰ λαμπάδων καὶ τοῦ θυμιατοῦ. Καὶ ἡμεῖς ψάλλομεν τὰ παρόντα ἰδιόμελα ἐκ τρίτου, ἦχος πλ. δ'.

Σωφρονίου Πατριάρχου Ἱεροσολύμων.

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, βοᾷ λέγουσα. δεῦτε λάβετε πάντες, Πνεῦμα σοφίας, Πνεῦμα συνέσεως, Πνεῦμα φόβου Θεοῦ, τοῦ ἐπιφανέντος Χριστοῦ.

Σήμερον τῶν ὑδάτων, ἁγιάζεται ἡ φύσις, καὶ ῥήγνυται ὁ Ἰορδάνης, καὶ τῶν ἰδίων ναμάτων ἐπέχει τὸ ῥεῦμα, Δεσπότην ὁρῶν ῥυπτόμενον.

Ὡς ἄνθρωπος ἐν ποταμῷ, ἦλθες Χριστὲ Βασιλεῦ, καὶ δουλικὸν βάπτισμα λαβεῖν, σπεύδεις ἀγαθὲ, ὑπὸ τῶν τοῦ Προδρόμου χειρῶν, διὰ τὰς ἁμαρτίας ἡμῶν φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Ὁ αὐτός.

Πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν τοῦ Κυρίου, ἦλθες

Κύριε μορφὴν δούλου λαβών, βάπτισμα αἰτῶν, ὁ μὴ γνοὺς ἁμαρτίαν. εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν. σύντρομος γέγονεν ὁ Πρόδρομος, καὶ ἐβόησε λέγων· πῶς φωτίσει ὁ λύχνος τὸ φῶς; πῶς χειροθετήσει ὁ δοῦλος τὸν Δεσπότην; ἁγίασον ἐμὲ, καὶ τὰ ὕδατα Σωτὴρ, ὁ αἴρων τοῦ Κόσμου τὴν ἁμαρτίαν.

Καὶ νῦν, τὸ αὐτό.

Καὶ εὐθὺς τὰ Ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. λέ. 1. Τάδε λέγει Κύριος· εὐφράνθητι ἔρημος διψῶσα· ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον· καὶ ἐξανθήσει, καὶ ὑλοχαρήσει, καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου, καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου· καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου, καὶ τὸ ὕψος τοῦ Θεοῦ. Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα παρακαλέσατε· καὶ εἴπατε τοῖς ὀλιγοψύχοις τῇ διανοίᾳ· Ἰσχύσατε, καὶ μὴ φοβεῖσθε· ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσιν· αὐτὸς ἥξει, καὶ σώσει ἡμᾶς. Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖται χωλὸς ὡς ἔλαφος, καὶ τρανὴ ἔσται γλῶσσα μογγιλάλων· ὅτι ἐρράγη ἐν ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ. καὶ ἔσται ἡ ἄνυδρος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται· Ἐκεῖ ἔσται εὐφροσύνη ὀρνέων, ἐπαύλεις στρουθῶν, καὶ καλάμη, καὶ ἕλη. Καὶ ἐκεῖ ἔσται ὁδὸς καθαρὰ, καὶ ὁδὸς ἁγία κληθήσεται· καὶ οὐ μὴ παρέλθῃ ἐκεῖ ἀκάθαρτος, οὐδὲ διεσπαρμένοι πορεύσονται δι' αὐτῆς, καὶ οὐ μὴ πλανηθῶσι. Καὶ οὐκ ἔσται ἐκεῖ λέων, οὐδὲ τῶν θηρίων τῶν πονηρῶν οὐ μὴ ἀναβῇ εἰς αὐτὴν, οὐδὲ μὴ εὑρεθῇ ἐκεῖ· ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι, καὶ συνηγμένοι ὑπὸ Κυρίου. Καὶ ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν μετ' εὐφροσύνης, καὶ ἀγαλλιάματος· καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. Αἴνεσις, καὶ ἀγαλλίαμα, καὶ εὐφροσύνη καταλήψεται αὐτοὺς, ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. νέ. 1. Τάδε λέγει Κύριος· οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ. καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδίσαντες ἀγοράσατε· καὶ φάγεσθε, καὶ πίεσθε, ἄνευ ἀργυρίου καὶ τιμῆς, οἶνον καὶ στέαρ. Ἵνα τί τιμᾶσθε ἀργυρίου ἐν οὐκ ἄρτοις; καὶ ὁ μόχθος ὑμῶν οὐκ εἰς πλησμονήν; Ἀκούσατέ μου, καὶ φάγεσθε ἀγαθὰ, καὶ ἐντρυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. Προσέχετε τοῖς ὠσὶν ὑμῶν, καὶ ἐπακολουθεῖτε ταῖς ὁδοῖς μου. Εἰσακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον· τὰ ὅσια Δαβὶδ τὰ πιστά· Ἰδοὺ μαρτύριον ἐν ἔθνεσι δέδωκα αὐτὸν, Ἄρχοντα, καὶ προστάσσοντα ἐν ἔθνεσιν. Ἰδοὺ ἔθνη, ἃ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε· καὶ λαοὶ, οἳ οὐκ ἐπίστανταί σε, ἐπὶ σὲ καταφεύξονται, ἕνεκεν Κυρίου τοῦ Θεοῦ σου, καὶ τοῦ Ἁγίου Ἰσραὴλ, ὅτι ἐδόξασέ σε. Ζητήσατε τὸν Θεὸν, καὶ ἐν τῷ ὑμᾶς εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε· ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολειπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ, καὶ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ. καὶ ἐπιστράφητε πρὸς Κύριον, καὶ ἐλεηθήσεσθε· καὶ κράξεσθε πρὸς τὸν Θεὸν ὑμῶν, ὅτι ἐπὶ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. Οὐ γάρ εἰσιν αἱ βουλαί μου, ὥσπερ αἱ βουλαὶ ὑμῶν· οὐδὲ αἱ ὁδοί μου, ὥσπερ αἱ ὁδοὶ ὑμῶν, λέγει Κύριος. Ἀλλ' ὡς ἀπέχει ὁ οὐρανὸς ἀπὸ τῆς γῆς· οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. Ὡς γὰρ ἐὰν καταβῇ ὑετὸς, ἢ χιὼν ἐκ τοῦ οὐρανοῦ, καὶ οὐ μὴ στραφῇ ἐκεῖθεν, ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ, καὶ βλαστήσῃ, καὶ δῷ σπέρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν· οὕτως ἔσται τὸ ῥῆμά μου, ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστραφῇ πρός με κενὸν, ἕως ἂν συντελεσθῇ πάντα ὅσα ἠθέλησα· καὶ εὐοδώσω τὰς ὁδούς μου, καὶ τὰ ἐντάλματά μου· Ἐν γὰρ εὐφροσύνῃ εὐφρανθήσεσθε, καὶ ἐν χαρᾷ διδαχθήσεσθε. Τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται, προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ· καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις. Καὶ ἀντὶ τῆς στοιβῆς, ἀναβήσεται κυπάρισσος· ἀντὶ δὲ τῆς κονύζης, ἀναβήσεται μυρσίνη. Καὶ ἔσται Κυρίῳ εἰς ὄνομα, καὶ εἰς σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· Ἀντλήσατε ὕδωρ Κεφ. ιβ΄. 3.
μετ' εὐφροσύνης ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Ὑμνεῖτε τὸν Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ. Ἀναγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ. μιμνήσκεσθε ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. Ὑμνήσατε τὸ ὄνομα Κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν. Ἀναγ-

γάλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. ἀγαλλιᾶσθε καὶ εὐφραίνεσθε οἱ κατοικοῦντες Σιὼν, ὅτι ὑψώθη ὁ Ἅγιος τοῦ Ἰσραὴλ ἐν μέσῳ αὐτῆς.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος γ'.

Κύριος φωτισμός μου, καὶ Σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ὁ Ἀπόστολος. Πρὸς Κορινθίους α'.

Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Κεφ. ι'. 1. Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι οἱ Πατέρες ἡμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν· καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον. καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσθησαν ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα Πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον. ἔπινον γὰρ ἐκ Πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

Ἀλληλουϊάριον. φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.

Στίχ. Ὁ Θεὸς τῆς δόξης ἐβρόντησε.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον.

Κεφ. α'. 9. Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς Οὐρανοὺς, καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτόν· καὶ φωνὴ ἐγένετο ἐκ τῶν Οὐρανῶν· Σὺ εἶ ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα.

Ὁ Διάκονος τὴν Συναπτήν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος.

Ὑπὲρ τοῦ Ἁγίου οἴκου τούτου.

Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου.

Ὑπὲρ τῶν εὐσεβεστάτων καὶ Ὀρθοδόξων Χριστιανῶν.

Ὑπὲρ τοῦ συμπολεμῆσαι.

Ὑπὲρ τῆς Ἁγίας Μονῆς ταύτης.

Ὑπὲρ εὐκρασίας ἀέρων.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων.

Ὑπὲρ τοῦ ἁγιασθῆναι τὰ ὕδατα ταῦτα, τῇ δυνάμει, καὶ ἐνεργείᾳ, καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταφοιτῆσαι τοῖς ὕδασι τούτοις τὴν καθαρτικὴν τῆς ὑπερουσίου Τριάδος ἐνέργειαν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δωρηθῆναι αὐτοῖς τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, τῇ δυνάμει, καὶ ἐνεργείᾳ, καὶ ἐπιφοιτήσει τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ συντριβῆναι τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ἡμῶν ἐν τάχει, καὶ διασκεδασθῆναι πᾶσαν βουλὴν πονηρὰν κινουμένην καθ' ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὅπως Κύριος ὁ Θεὸς ἡμῶν ἐξέληται ἡμᾶς ἀπὸ πάσης ἐπιβουλῆς καὶ ἐπηρείας τοῦ ἀντικειμένου, καὶ ἀξίους ἀπεργάσηται τῶν ἐπηγγελμένων ἀγαθῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ φωτισθῆναι ἡμᾶς φωτισμὸν γνώσεως καὶ εὐσεβείας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπέμψαι Κύριον τὸν Θεὸν, τὴν εὐλογίαν τοῦ Ἰορδάνου, καὶ ἁγιάσαι τὰ ὕδατα ταῦτα, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενηθῆναι αὐτὰ, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, εἰς ἴασιν ψυχῆς τε καὶ σώματος, καὶ πρὸς πᾶσαν ὠφέλειαν ἐπιτήδειον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτὸ, ὕδωρ ἁλλόμενον εἰς ζωὴν αἰώνιον, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἀναδειχθῆναι αὐτὸ, ἀποτρόπαιον πάσης ἐπιβουλῆς ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν ἀντλούντων, καὶ ἀρυομένων εἰς ἁγιασμὸν οἴκων, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ γενέσθαι αὐτὰ πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πᾶσι τοῖς ἀρυομένοις πίστει, καὶ μεταλαμβάνουσιν ἐξ αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς ἐμπλησθῆναι ἁγιασμοῦ, διὰ τῆς τῶν ὑδάτων τούτων μεταλήψεως, τῇ ἀοράτῳ ἐπιφανείᾳ τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τῆς Παναγίας ἀχράντου.

Τούτων λεγομένων, ὁ Ἱερεὺς ἐπεύχεται, λέγων μυστικῶς τὴν Εὐχὴν ταύτην καθ' ἑαυτόν.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς, ὁ Μονογενὴς Υἱὸς, ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρὸς, ὁ

ἀληθινὸς Θεός, ἡ πηγὴ τῆς ζωῆς, καὶ τῆς ἀθανασίας· τὸ φῶς τὸ ἐκ φωτός, ὁ ἐλθὼν εἰς τὸν Κόσμον τοῦ φωτίσαι αὐτόν, καταύγασον ἡμῶν τὴν διάνοιαν τῷ Ἁγίῳ σου Πνεύματι, καὶ πρόσδεξαι ἡμᾶς, μεγαλωσύνην καὶ εὐχαριστίαν σοι προσάγοντας, ἐπὶ τοῖς ἀπ' αἰῶνος θαυμασίοις σου μεγαλουργήμασι, καὶ τῇ ἐπ' ἐσχάτων τῶν αἰώνων σωτηρίῳ σου οἰκονομίᾳ. Ἐν ᾗ τὸ ἡμῶν ἀσθενὲς καὶ πτωχὸν περιβαλλόμενος φύραμα, καὶ τοῖς τῆς δουλείας μέτροις συγκατιών, ὁ τῶν ἁπάντων Βασιλεύς, ἔτι καὶ δουλικῇ χειρὶ ἐν τῷ Ἰορδάνῃ βαπτισθῆναι ὑπέμεινας· ἵνα τὴν τῶν ὑδάτων φύσιν ἁγιάσας ὁ ἀναμάρτητος, ὁδοποιήσῃς ἡμῖν τὴν δι' ὕδατος καὶ Πνεύματος ἀναγέννησιν, καὶ πρὸς τὴν πρώτην ἡμᾶς ἀποκαταστήσῃς ἐλευθερίαν. Οὗτινος θείου Μυστηρίου τὴν ἀνάμνησιν ἑορτάζοντες, δεόμεθά σου Δέσποτα φιλάνθρωπε, ῥᾶνον καὶ ἐφ' ἡμᾶς τοὺς ἀναξίους δούλους σου, κατὰ τὴν θείαν σου ἐπαγγελίαν, ὕδωρ καθάρσιον, τῆς σῆς εὐσπλαγχνίας τὴν δωρεάν, εἰς τὸ τὴν ἐπὶ τῷ ὕδατι τούτῳ αἴτησιν ἡμῶν τῶν ἁμαρτωλῶν, εὐπρόσδεκτον γενέσθαι τῇ σῇ ἀγαθότητι, καὶ τὴν εὐλογίαν σου δι' αὐτοῦ, ἡμῖν τε, καὶ παντὶ τῷ πιστῷ σου χαρισθῆναι λαῷ, εἰς δόξαν τοῦ ἁγίου καὶ προσκυνητοῦ σου ὀνόματος. Ἐκφώνως.

Σοὶ γὰρ πρέπει πᾶσα δόξα. Εἶτα,

Ἀπάρχεται ὁ Ἱερεύς, λέγων μεγαλοφώνως τὴν εὐχὴν ταύτην.

Ἰστέον, ὅτι ἡ παροῦσα εὐχή, ἤγουν, τὸ Τριὰς ὑπερούσιε, ἀναγινώσκεται μὲν παράτισιν· ἐν δὲ τῇ Μεγάλῃ Ἐκκλησίᾳ, καὶ ἐν τῷ Ἁγίῳ Ὄρει, οὐ λέγεται. σὺ δὲ εἰ βούλῃ ταύτην εἰπεῖν μετὰ τὴν συναπτήν, καὶ τὴν ἄνωθεν εὐχήν, λέγε ἐκφώνως πρὸ τῆς. Μέγας εἶ Κύριε.

Ποίημα Σωφρονίου Πατριάρχου Ἱεροσολύμ.

Τριὰς ὑπερούσιε, ὑπεράγαθε, ὑπέρθεε, παντοδύναμε, παντεπίσκοπε, ἀόρατε ἀκατάληπτε, δημιουργὲ τῶν νοερῶν οὐσιῶν, καὶ τῶν λογικῶν φύσεων. ἡ ἔμφυτος ἀγαθότης, τὸ φῶς τὸ ἀπρόσιτον, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν Κόσμον, λάμψον κἀμοὶ τῷ ἀναξίῳ δούλῳ σου· φώτισόν μου τῆς διανοίας τὰ ὄμματα, ὅπως ἀνυμνῆσαι τολμήσω τὴν ἄμετρον εὐεργεσίαν καὶ δύναμιν. Εὐπρόσδεκτος γενέσθω ἡ παρ' ἐμοῦ δέησις διὰ τὸν παρεστῶτα λαόν, ὅπως τὰ πλημμελήματά μου μὴ κωλύσωσιν, ἐνθάδε παραγενέσθαι τὸ Ἅγιόν σου Πνεῦμα. Ἀλλὰ συγχώρησόν μοι ἀκατακρίτως βοᾶν σοι, καὶ λέγειν καὶ νῦν ὑπεράγαθε. Δοξάζομέν σε Δέσποτα φιλάνθρωπε παντοκράτορ, προαιώνιε Βασιλεῦ. γ.

Δοξάζομέν σε τὸν Κτίστην, καὶ Δημιουργὸν τοῦ παντός. Δοξάζομέν σε τὸν ἀπάτορα ἐκ Μητρός, καὶ ἀμήτορα ἐκ Πατρός. Ἐν γὰρ τῇ προλαβούσῃ Ἑορτῇ νήπιόν σε εἴδομεν, ἐν δὲ τῇ παρούσῃ τέλειόν σε ὁρῶμεν, τὸν ἐκ τελείου τέλειον ἐπιφανέντα Θεὸν ἡμῶν. Σήμερον γὰρ ὁ τῆς Ἑορτῆς ἡμῖν ἐπέστη καιρός, καὶ χορὸς Ἁγίων ἐκκλησιάζει ἡμῖν, καὶ Ἄγγελοι μετὰ ἀνθρώπων συνεορτάζουσι. Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος ἐν εἴδει περιστερᾶς τοῖς ὕδασιν ἐπεφοίτησε. Σήμερον ὁ ἄδυτος Ἥλιος ἀνέτειλε, καὶ ὁ Κόσμος τῷ φωτὶ Κυρίου καταυγάζεται. Σήμερον ἡ Σελήνη λαμπραῖς ταῖς ἀκτῖσι, τῷ Κόσμῳ συνεκλαμπρύνεται. Σήμερον οἱ φωτοειδεῖς ἀστέρες τῇ φαιδρότητι τῆς λάμψεως, τὴν Οἰκουμένην καλλωπίζουσι. Σήμερον αἱ νεφέλαι ὑετὸν δικαιοσύνης τῇ ἀνθρωπότητι οὐρανόθεν δροσίζουσι. Σήμερον ὁ ἄκτιστος ὑπὸ τοῦ ἰδίου πλάσματος, βουλῇ χειροθετεῖται. Σήμερον ὁ Προφήτης καὶ Πρόδρομος τῷ Δεσπότῃ προσέρχεται, ἀλλὰ τρόμῳ παρίσταται, ὁρῶν Θεοῦ πρὸς ἡμᾶς συγκατάβασιν. Σήμερον τὰ τοῦ Ἰορδάνου νάματα, εἰς ἰάματα μεταποιεῖται τῇ τοῦ Κυρίου παρουσίᾳ. Σήμερον ῥείθροις μυστικοῖς πᾶσα ἡ Κτίσις ἀρδεύεται. Σήμερον τὰ τῶν ἀνθρώπων πταίσματα τοῖς ὕδασι τοῦ Ἰορδάνου ἀπαλείφονται. Σήμερον ὁ Παράδεισος ἠνέῳκται τοῖς ἀνθρώποις, καὶ ὁ τῆς δικαιοσύνης Ἥλιος καταυγάζει ἡμῖν. Σήμερον τὸ πικρὸν ὕδωρ, τὸ ἐπὶ Μωϋσέως τῷ λαῷ, εἰς γλυκύτητα μεταποιεῖται τῇ τοῦ Κυρίου παρουσίᾳ. Σήμερον τοῦ παλαιοῦ θρήνους ἀπηλλάγημεν, καὶ ὡς νέος Ἰσραὴλ διεσώθημεν. Σήμερον τοῦ σκότους ἐλυτρώθημεν. καὶ τῷ φωτὶ τῆς θεογνωσίας καταυγαζόμεθα. Σήμερον ἡ ἀχλὺς τοῦ Κόσμου καθαίρεται τῇ ἐπιφανείᾳ τοῦ Θεοῦ ἡμῶν. Σήμερον λαμπαδοφεγγεῖ πᾶσα ἡ Κτίσις ἄνωθεν. Σήμερον ἡ πλάνη κατήργηται, καὶ ὁδὸν ἡμῖν σωτηρίας ἐργάζεται ἡ τοῦ Δεσπότου ἐπέλευσις. Σήμερον τὰ ἄνω τοῖς κάτω συνεορτάζει, καὶ τὰ κάτω τοῖς

ἄνω συνομιλεῖ. Σήμερον ἡ ἱερὰ καὶ μεγαλόφωνος τῶν Ὀρθοδόξων πανήγυρις ἀγάλλεται. Σήμερον ὁ Δεσπότης πρὸς τὸ βάπτισμα ἐπείγεται, ἵνα ἀναβιβάσῃ πρὸς ὕψος τὸ ἀνθρώπινον. Σήμερον ὁ ἀκλινὴς τῷ ἰδίῳ οἰκέτῃ ὑποκλίνεται, ἵνα ἡμᾶς ἐκ τῆς δουλείας ἐλευθερώσῃ. Σήμερον Βασιλείαν Οὐρανῶν ὠνησάμεθα, τῆς γὰρ Βασιλείας τοῦ Κυρίου οὐκ ἔσται τέλος. Σήμερον γῆ καὶ θάλασσα τὴν τοῦ Κόσμου χαρὰν ἐμερίσαντο, καὶ ὁ Κόσμος εὐφροσύνης πεπλήρωται. Εἴδοσάν σε ὕδατα ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν. Ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, θεασάμενος τὸ πῦρ τῆς Θεότητος, σωματικῶς κατερχόμενον, καὶ εἰσερχόμενον ἐπ' αὐτόν· ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, θεωρῶν τὸ Πνεῦμα τὸ Ἅγιον ἐν εἴδει περιστερᾶς κατερχόμενον, καὶ περιϊπτάμενόν σοι. ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, ὁρῶν τὸν ἀόρατον ὁραθέντα, τὸν Κτίστην σαρκωθέντα, τὸν Δεσπότην ἐν δούλου μορφῇ. ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, καὶ τὰ ὄρη ἐσκίρτησαν Θεὸν ἐν σαρκὶ καθορῶντα· καὶ νεφέλαι φωνὴν ἔδωκαν, θαυμάζουσαι τὸν παραγενόμενον. Φῶς ἐκ φωτός, Θεὸν ἀληθινόν, ἐκ Θεοῦ ἀληθινοῦ. Δεσποτικὴν πανήγυριν σήμερον ἐν τῷ Ἰορδάνῃ ὁρῶντες, αὐτὸν δὲ τὸν τῆς παρακοῆς θάνατον, καὶ τὸ τῆς πλάνης κέντρον, καὶ τὸν τοῦ Ἅδου σύνδεσμον ἐν τῷ Ἰορδάνῃ βυθίσαντα, καὶ βάπτισμα σωτηρίας τῷ Κόσμῳ δωρησάμενον. Ὅθεν κἀγὼ ὁ ἁμαρτωλὸς καὶ ἀνάξιος δοῦλός σου, τὰ μεγαλεῖα τῶν θαυμάτων σου διηγούμενος, συνεχόμενος φόβῳ, ἐν κατανύξει βοῶ σοι.

Καὶ εὐθὺς λέγει Μεγαλοφώνως.

Μέγας εἶ Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, καὶ οὐδεὶς λόγος ἐξαρκέσει πρὸς ὕμνον τῶν θαυμασίων σου. γ. Σὺ γὰρ βουλήσει ἐξ οὐκ ὄντων εἰς τὸ εἶναι παραγαγὼν τὰ σύμπαντα, τῷ σῷ κράτει συνέχεις τὴν Κτίσιν, καὶ τῇ σῇ προνοίᾳ διοικεῖς τὸν Κόσμον· Σὺ ἐκ τεσσάρων στοιχείων τὴν Κτίσιν συναρμόσας, τέτταρσι καιροῖς τὸν κύκλον τοῦ ἐνιαυτοῦ ἐστεφάνωσας. Σὲ τρέμουσιν αἱ νοεραὶ πᾶσαι δυνάμεις· σὲ ὑμνεῖ Ἥλιος· σὲ δοξάζει Σελήνη· σοὶ ἐντυγχάνει τὰ ἄστρα· σοὶ ὑπακούει τὸ φῶς. σὲ φρίττουσιν Ἄβυσσοι· σοὶ δουλεύουσιν αἱ πηγαί· σὺ ἐξέτεινας τὸν Οὐρανὸν ὡσεὶ δέρριν· σὺ ἐστερέωσας τὴν γῆν ἐπὶ τῶν ὑδάτων· σὺ περιετείχισας τὴν θάλασσαν ψάμμῳ· σὺ πρὸς ἀναπνοὰς τὸν ἀέρα ἐξέχεας. Ἀγγελικαὶ δυνάμεις σοὶ λειτουργοῦσιν, οἱ τῶν Ἀρχαγγέλων χοροὶ σὲ προσκυνοῦσι. τὰ πολυόμματα Χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφίμ, κύκλῳ ἑστῶτα καὶ περιϊπτάμενα, φόβῳ τῆς ἀπροσίτου σου δόξης κατακαλύπτεται. Σὺ γὰρ Θεὸς ὢν ἀπερίγραπτος, ἄναρχός τε καὶ ἀνέκφραστος, ἦλθες ἐπὶ τῆς γῆς, μορφὴν δούλου λαβών, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος. Οὐ γὰρ ἔφερες Δέσποτα, διὰ σπλάγχνα ἐλέους σου, θεάσασθαι ὑπὸ τοῦ διαβόλου τυραννούμενον τὸ γένος τῶν ἀνθρώπων· ἀλλ' ἦλθες καὶ ἔσωσας ἡμᾶς. Ὁμολογοῦμεν τὴν χάριν, κηρύττομεν τὸν ἔλεον, οὐ κρύπτομεν τὴν εὐεργεσίαν. Τὰς τῆς φύσεως ἡμῶν γονὰς ἠλευθέρωσας· παρθενικὴν ἡγίασας μήτραν τῷ τόκῳ σου· πᾶσα ἡ Κτίσις ὕμνησέ σε ἐπιφανέντα. Σὺ γὰρ ὁ Θεὸς ἡμῶν, ἐπὶ τῆς γῆς ὤφθης, καὶ τοῖς ἀνθρώποις συναναστράφης. Σὺ καὶ τὰ Ἰορδάνια ῥεῖθρα ἡγίασας, οὐρανόθεν καταπέμψας τὸ Ἅγιόν σου Πνεῦμα, καὶ τὰς κεφαλὰς τῶν ἐκεῖσε ἐμφωλευόντων συνέτριψας δρακόντων. Αὐτὸς οὖν φιλάνθρωπε Βασιλεῦ, πάρεσο καὶ νῦν διὰ τῆς ἐπιφοιτήσεως τοῦ Ἁγίου σου Πνεύματος, καὶ ἁγίασον τὸ ὕδωρ τοῦτο, γ. Καὶ δὸς αὐτῷ τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τοῦ Ἰορδάνου· Ποίησον αὐτὸ ἀφθαρσίας πηγήν, ἁγιασμοῦ δῶρον, ἁμαρτημάτων λυτήριον, νοσημάτων ἀλεξιτήριον, δαίμοσιν ὀλέθριον, ταῖς ἐναντίαις δυνάμεσιν ἀπρόσιτον, ἀγγελικῆς ἰσχύος πεπληρωμένον. Ἵνα πάντες οἱ ἀρυόμενοι καὶ μεταλαμβάνοντες, ἔχοιεν αὐτὸ πρὸς καθαρισμὸν ψυχῶν καὶ σωμάτων, πρὸς ἰατρείαν παθῶν, πρὸς ἁγιασμὸν οἴκων, πρὸς πᾶσαν ὠφέλειαν ἐπιτήδειον· Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ὁ δι' ὕδατος, καὶ Πνεύματος ἀνακαινίσας τὴν παλαιωθεῖσαν φύσιν ὑπὸ τῆς ἁμαρτίας. Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ διὰ θαλάσσης ἐλευθερώσας ἐκ τῆς δουλείας Φαραὼ, διὰ Μωϋσέως τὸ γένος τῶν Ἑβραίων. Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ διαρρήξας πέτραν ἐν ἐρήμῳ, καὶ ἐρρύησαν ὕδατα, καὶ χείμαρροι κατεκλύ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τεκλύθησαν, καὶ διψῶντα τὸν λαόν σου κορέσας. Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ δι' ὕδατος καὶ πυρὸς, διὰ τοῦ Ἠλία, ἀπαλλάξας τὸν Ἰσραὴλ ἐκ τῆς πλάνης τοῦ Βαάλ. Αὐτὸς καὶ νῦν Δέσποτα, ἁγίασον τὸ ὕδωρ τοῦτο, τῷ Πνεύματί σου τῷ Ἁγίῳ γ. Δὸς πᾶσι τοῖς τε ἁπτομένοις, τοῖς τε μεταλαμβάνουσι, τοῖς τε χριομένοις, τὸν ἁγιασμὸν, τὴν ὑγείαν, τὴν κάθαρσιν, τὴν εὐλογίαν. Καὶ σῶσον Κύριε τοὺς δούλους σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν. γ. Καὶ φύλαξον αὐτοὺς ὑπὸ τὴν σκέπην σου ἐν εἰρήνῃ. Ὑπόταξον αὐτοῖς πάντα ἐχθρὸν καὶ πολέμιον· χάρισαι αὐτοῖς πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ζωὴν τὴν αἰώνιον. Ἵνα καὶ διὰ στοιχείων, καὶ διὰ ἀνθρώπων, καὶ διὰ Ἀγγέλων, καὶ διὰ ὁρωμένων, καὶ διὰ ἀοράτων, δοξάζηταί σου τὸ πανάγιον ὄνομα, σὺν τῷ Πατρὶ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Ἱερεύς. Εἰρήνη πᾶσι.

Ὁ Διάκονος. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ.

Ὁ Ἱερεὺς κλινόμενος ἐπεύχεται.

ΚΛῖνον Κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὁ ἐν Ἰορδάνῃ βαπτισθῆναι καταδεξάμενος, καὶ ἁγιάσας τὰ ὕδατα. καὶ εὐλόγησον πάντας ἡμᾶς, τοὺς διὰ τῆς κλίσεως τοῦ ἑαυτῶν αὐχένος, σημαίνοντας τὸ τῆς δουλείας πρόσχημα. καὶ καταξίωσον ἡμᾶς ἐμπλησθῆναι τοῦ ἁγιασμοῦ σου, διὰ τῆς τοῦ ὕδατος τούτου μεταλήψεώς τε, καὶ ῥαντισμοῦ. καὶ γενέσθω ἡμῖν Κύριε, εἰς ὑγείαν ψυχῆς τε καὶ σώματος. Ἐκφώνως.

ΣΥ γὰρ εἶ ὁ ἁγιασμὸς τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Καὶ βαπτίζει τὸν τίμιον Σταυρὸν, ὀρθὸν αὐτὸν κατάγων ἐν τῷ ὕδατι, καὶ ἀνάγων, ψάλλων καὶ τὸ παρὸν, Τροπ. εἰς ἦχον α'.

ΕΝ Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις. τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα. καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ Λόγου τὸ ἀσφαλές. ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεὸς, καὶ τὸν Κόσμον φωτίσας δόξα σοι. Ἐκ γ'.

Καὶ ῥαντίζει τὸν Ναὸν, καὶ πάντα τὸν λαὸν ἐκ τοῦ ὕδατος καὶ εἰσερχόμεθα ἐν τῷ Ναῷ, ψάλλοντες ἰδιόμ. ἦχος πλ. β'.

ΑΝυμνήσωμεν οἱ πιστοὶ, τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ εὐεργεσίας τὸ μέγεθος. Ἐν γὰρ τῷ ἡμῶν παραπτώματι, γενόμενος ἄνθρωπος, τὴν ἡμῶν κάθαρσιν, καθαίρεται ἐν τῷ Ἰορδάνῃ, ὁ μόνος καθαρὸς καὶ ἀκήρατος, ἁγιάζων ἐμὲ καὶ τὰ ὕδατα, καὶ τὰς κεφαλὰς τῶν δρακόντων συντρίβων ἐπὶ τοῦ ὕδατος. ἀντλήσωμεν οὖν ὕδωρ, μετ' εὐφροσύνης ἀδελφοί. ἡ γὰρ χάρις τοῦ Πνεύματος, τοῖς πιστῶς ἀντλοῦσιν, ἀοράτως ἐπιδίδοται, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

ΕἸτα τὸ, Εἴη τὸ ὄνομα Κυρίου, τὸ, Εὐλογήσω τὸν Κύριον. καὶ δίδοται τὸ Καταλαβὸν. καὶ Ἀπόλυσις. Οὕτω γίνεται ἡ Ἀκολουθία. νηστείας οὔσης ἐν τῇ Παραμονῇ. Εἰ δὲ οὐκ ἔστι νηστεία, πρωῒ μὲν λειτουργοῦμεν, εἰς καθ' ἑκάστην. Ἑσπέρας δὲ γίνεται ἡ Ἀκολουθία τοῦ Ἑσπερινοῦ, καθὼς προεγράφη, μέχρι τοῦ Εὐαγγελίου. Τρισάγιον δὲ οὐ λέγεται, διὰ τὸ μὴ τελεῖσθαι Λειτουργίαν. ἀλλὰ μετὰ τὴν ἀνάγνωσιν τῶν Προφητειῶν, Προκείμενον τοῦ Ἀποστόλου, καὶ ὁ Ἀπόστολος. Τὸ Εὐαγγέλιον, καὶ ἡ ἐκτενής. Ἐξελθόντων δὲ ἡμῶν ἐν τῷ Νάρθηκι, γίνεται ὁ Ἁγιασμὸς ἀπαραλλάκτως, ὡς προδεδήλωται. Εἶτα εἰσερχόμενοι ἐν τῷ Ναῷ, ψάλλομεν τὸ προγραφὲν στιχηρόν. Ἀνυμνήσωμεν οἱ πιστοί. Καὶ γίνεται ὑπὸ τοῦ Ἱερέως ἐκτενὴς, καὶ ἀπόλυσις. Τὸ δὲ, Εὐλογήσω τὸν Κύριον, οὐ λέγομεν, διὰ τὸ προλεχθῆναι ἐν τῇ Λειτουργίᾳ· ἀλλὰ ψάλλομεν τὸ Κοντάκιον συνήθως, πολυχρονίζοντες καὶ τὸν Προεστῶτα. Καὶ εἰσελθόντες εἰς τὴν τράπεζαν, τυρὸν, ἢ ὠὸν οὐκ ἐσθίομεν, ἀμὴ ἔλαιον καὶ οἶνον, δοξάζοντες τὸν Θεόν.

Περὶ δὲ Ὥραν Β'. τῆς νυκτὸς, σημαίνει· καὶ συναχθέντων ἡμῶν ἐν τῇ Ἐκκλησίᾳ, ἀρχόμεθα τῶν Ἀποδείπνων, μετὰ δὲ τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ, ἐξερχόμεθα ἐν τῷ Νάρθηκι, ψάλλοντες τὰ Ἰδιόμελα, ἦχος δ'.

Κοσμᾶ Μοναχοῦ.

ΟἉναβαλλόμενος φῶς ὡς ἱμάτιον, δι' ἡμᾶς, καθ' ἡμᾶς γενέσθαι κατηξίωσε. ῥεῖθρα πε-

ριβάλ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ριβάλλεται σήμερον τὰ Ἰορδάνεια· οὐκ αὐτοὺς τούτων πρὸς κάθαρσιν δεόμενος. ἀλλ' ἡμῖν ἐν ἑαυτῷ οἰκονομῶν τὴν ἀναγέννησιν. ὢ τοῦ θαύματος, δίχα πυρὸς ἀναχωνεία, καὶ ἀναπλάττει ἄνευ συντρίψεως· καὶ σώζει τοὺς εἰς αὐτὸν φωτιζομένους, Χριστὸς ὁ Θεὸς, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

ΣΕ' τὸν ἐν Πνεύματι καὶ πυρὶ, καθαίροντα τὴν ἁμαρτίαν τοῦ Κόσμου, καθορῶν ὁ Βαπτιστὴς, ἐρχόμενον πρὸς αὐτὸν, δειλιῶν καὶ τρέμων ἐβόα λέγων· οὐ τολμῶ κρατῆσαι, τὴν κορυφὴν σου τὴν ἄχραντον· σύ με ἁγίασον Δέσποτα, τῇ θείᾳ ἐπιφανείᾳ σου, μόνε φιλάνθρωπε. Ὁ αὐτός.

ΔΕῦτε μιμησώμεθα τὰς φρονίμους Παρθένους. δεῦτε ὑπαντήσωμεν τῷ φανέντι Δεσπότῃ, ὅτι προῆλθεν ὡς Νυμφίος πρὸς τὸν Ἰωάννην. ὁ Ἰορδάνης ἰδών σε, ἔπτηξε καὶ ἔμενεν. ὁ Ἰωάννης ἐβόα· οὐ τολμῶ κρατῆσαι κορυφῆς ἀθανάτου· τὸ Πνεῦμα κατήρχετο, ἐν εἴδει περιστερᾶς, ἁγιάσαι τὰ ὕδατα, καὶ φωνὴ οὐρανόθεν· οὗτός ἐστιν ὁ Υἱός μου, ὁ ἐλθὼν εἰς τὸν Κόσμον, σῶσαι γένος ἀνθρώπων· Κύριε δόξα σοι.

Ὁ αὐτός.

ΒΑπτίζεται Χριστὸς, καὶ ἄνεισιν ἐκ τοῦ ὕδατος· συναναφέρει γὰρ ἑαυτῷ τὸν Κόσμον· καὶ ὁρᾷ σχιζομένους τοὺς Οὐρανοὺς, οὓς ὁ Ἀδὰμ ἔκλεισεν ἑαυτῷ, καὶ τοῖς μετ' αὐτοῦ. καὶ τὸ Πνεῦμα μαρτυρεῖ τῇ Θεότητι· τῷ ὁμοίῳ γὰρ προστρέχει· καὶ φωνὴ ἐξ Οὐρανοῦ· ἐκεῖθεν γὰρ ὁ μαρτυρούμενος, Σωτὴρ τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός.

ἜΤρεμεν ἡ χεὶρ τοῦ Βαπτιστοῦ, ὅτε τῆς ἀχράντου σου κορυφῆς ἥψατο. ἐστράφη ὁ Ἰορδάνης ποταμὸς εἰς τὰ ὀπίσω, μὴ τολμῶν λειτουργῆσαί σοι. ὁ γὰρ αἰδεσθεὶς Ἰησοῦν τὸν τοῦ Ναυῆ, πῶς τὸν Ποιητὴν αὐτοῦ δειλιᾶσαι οὐκ εἶχεν; ἀλλὰ πᾶσαν ἐπλήρωσας οἰκονομίαν, Σωτὴρ ἡμῶν, ἵνα σώσῃς τὸν Κόσμον, τῇ ἐπιφανείᾳ σου φιλάνθρωπε.

Δόξα, ἦχος πλ. β'. Ἰωάννου Μοναχοῦ.

ΚΎριε, πληρῶσαι βουλόμενος, ἃ ὥρισας ἀπ' αἰῶνος, ἀπὸ πάσης τῆς Κτίσεως, λειτουργοὺς τοῦ Μυστηρίου σου ἔλαβες· ἐκ τῶν Ἀγγέλων τὸν Γαβριὴλ, ἐκ τῶν ἀνθρώπων τὴν Παρθένον· ἐκ τῶν Οὐρανῶν τὸν ἀστέρα, καὶ ἐκ τῶν ὑδάτων τὸν Ἰορδάνην· ἐν ᾧ τὸ ἀνόμημα τοῦ Κόσμου ἐξήλειψας, Σωτὴρ ἡμῶν δόξα σοι.

Καὶ νῦν. Ὁ αὐτός. Ἀνατολίου.

ΣΗ'μερον ἡ Κτίσις φωτίζεται. σήμερον τὰ πάντα εὐφραίνονται, τὰ οὐράνια ἅμα καὶ τὰ ἐπίγεια· Ἄγγελοι καὶ ἄνθρωποι συμμίγνυνται· ὅπου γὰρ Βασιλέως παρουσία, καὶ ἡ τάξις παραγίνεται. δράμωμεν τοίνυν ἐπὶ τὸν Ἰορδάνην, ἴδωμεν πάντες τὸν Ἰωάννην, πῶς βαπτίζει κορυφὴν, ἀχειροποίητον, καὶ ἀναμάρτητον. διὸ Ἀποστολικὴν φωνὴν προσάγοντες, συμφώνως βοήσωμεν· ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις, καταυγάζουσα, καὶ παρέχουσα πιστοῖς τὸ μέγα ἔλεος.

Μετὰ δὲ τὰς εὐχὰς τῆς Λιτῆς, εἰσερχόμεθα ἔνδον τοῦ Ναοῦ, ψάλλοντες ἀπόστιχα.

Στιχ. Ἰδιόμελα, ἦχος β'. Ἀνατολίου.

ΕἸ'Ν Ἰορδάνῃ ποταμῷ, ἰδών σε ὁ Ἰωάννης πρὸς αὐτὸν ἐρχόμενον, ἔλεγε Χριστὲ ὁ Θεός· τί πρὸς τὸν δοῦλον παραγέγονας, ῥύπον μὴ ἔχων Κύριε; εἰς ὄνομα δὲ τίνος σὲ βαπτίσω; Πατρός; ἀλλὰ τοῦτον φέρεις ἐν ἑαυτῷ. Υἱοῦ; ἀλλ' αὐτὸς ὑπάρχεις ὁ σαρκωθείς. Πνεύματος Ἁγίου; καὶ τοῦτο οἶδας, διδόναι τοῖς πιστοῖς διὰ στόματος. ὁ ἐπιφανεὶς Θεὸς, ἐλέησον ἡμᾶς. Ὁ αὐτός.

Στ. Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν.

ΕἼδοσάν σε ὕδατα ὁ Θεὸς, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν. πρὸς τὴν σὴν γὰρ δόξαν, ἀντοφθαλμῆσαι τὰ Χερουβὶμ, οὐ δύνανται, οὐδὲ ἀτενίσαι τὰ Σεραφίμ. ἀλλὰ φόβῳ παριστάμενα, τὰ μὲν βαστάζουσι, τὰ δὲ δοξάζουσι τὴν δύναμίν σου· μεθ' ὧν Οἰκτίρμον, ἀναγγέλλομεν τὴν αἴνεσίν σου λέγοντες· ὁ ἐπιφανεὶς Θεὸς, ἐλέησον ἡμᾶς. Ὁ αὐτός.

Στ. Τί σοι ἐστὶ θάλασσα, ὅτι ἔφυγες.

ΣΗ'μερον ὁ Οὐρανοῦ καὶ γῆς Ποιητὴς, παραγίνεται σαρκὶ ἐν Ἰορδάνῃ, βάπτισμα αἰτῶν ὁ ἀναμάρτητος, ἵνα καθάρῃ τὸν Κόσμον ἀπὸ τῆς πλάνης τοῦ ἐχθροῦ. καὶ βαπτίζεται ὑπὸ δούλου, ὁ Δεσπότης τῶν ἁπάντων, καὶ καθαρισμὸν δι' ὕδατος, τῷ γένει τῶν ἀνθρώπων δωρεῖται. αὐτῷ βοήσωμεν, ὁ ἐπιφανεὶς Θεὸς ἡμῶν δόξα σοι.

Δόξα, καὶ νῦν, ἦχος πλ. β'. Θεοφάνους.

ΤΟ'ν ἐκ Παρθένου Ἥλιον, βλέπων ὁ ἐκ στείρας λύχνος φαεινὸς, ἐν Ἰορδάνῃ αἰτού-

μενον

ΑΝΕΜΗ Ψηφιακή Βιβλιοθήκη

μενον Βάπτισμα, ἐν δειλίᾳ καὶ χαρᾷ, ἐβόα πρὸς αὐτόν· σύ με ἁγίασον Δέσποτα, τῇ θείᾳ ἐπιφανείᾳ σου. Τροπάριον, ἦχος α΄.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἡ τῆς Τριάδος ἐφανερώθη προσκύνησις· τοῦ γὰρ Γεννήτορος ἡ φωνὴ προσεμαρτύρει σοι, ἀγαπητόν σε Υἱὸν ὀνομάζουσα· καὶ τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς, ἐβεβαίου τοῦ λόγου τὸ ἀσφαλές. ὁ ἐπιφανεὶς Χριστὲ ὁ Θεός, καὶ τὸν Κόσμον φωτίσας δόξα σοι.

Λέγεται δὲ ἐκ τρίτου. Ἡ Εὐλόγησις τῶν ἄρτων, καὶ Ἀνάγνωσις εἰς τὸν Θεολόγον.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα, ἦχος γ΄.

Τὴν ὡραιότητα.

Ἐπιφανέντος σου ἐν Ἰορδάνῃ Σωτὴρ, καὶ βαπτισθέντος σου, ὑπὸ Προδρόμου Χριστὲ, ἠγαπημένος Υἱὸς ἐμαρτυρήθης. ὅθεν καὶ συνάναρχος, τῷ Πατρὶ πεφανέρωσαι. Πνεῦμα δὲ τὸ Ἅγιον ἐπὶ σὲ κατεγίνετο. ἐν ᾧ καὶ φωτισθέντες βοῶμεν· Δόξα Θεῷ τῷ ἐν Τριάδι. Δίς.

Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα, ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Ἰορδάνη ποταμὲ, τί ἐθαμβήθης θεωρῶν; τὸν ἀθεώρητον γυμνὸν, εἶδον καὶ ἔφριξα φησί. καὶ πῶς γὰρ τοῦτον οὐκ ἔμελλον φρίξαι καὶ δῦναι; οἱ Ἄγγελοι αὐτὸν, ὁρῶντες ἔφριξαν. ἐξέστη Οὐρανὸς, καὶ γῆ ἐτρόμαξε, καὶ συνεστάλη θάλασσα, καὶ πάντα τὰ ὁρατὰ καὶ ἀόρατα. Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ ἁγιάσαι τὰ ὕδατα. Δίς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ὅμοιον.

Δεῦτε ἴδωμεν πιστοὶ, ποῦ ἐβαπτίσθη ὁ Χριστός. ἀκολουθήσωμεν λοιπὸν, τὸν Ἰορδάνην ποταμὸν, πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ. καὶ ἴδωμεν ἐκεῖ, τὸν Πλαστουργὸν τοῦ Ἀδὰμ, παλάμῃ δουλικῇ χειροθετούμενον, δι' εὐσπλαγχνίαν ἄφατον. καὶ τούτῳ μεγαλοφώνως βοήσωμεν· ἦλθες ἐφάνης, ἐν Ἰορδάνῃ ἁγιάσαι τὰ ὕδατα. Δίς.

Οἱ Ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Ἡ θάλασσα εἶδε, καὶ ἔφυγε.

Στίχ. Τί σοι ἐστὶ θάλασσα, ὅτι ἔφυγες.

Τὸ Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρέτ. Ζήτει ὥρᾳ ς΄.

Ὁ Ν΄. καὶ τὸ Τροπάριον. Δόξα, ἦχος β΄.

Τὰ σύμπαντα σήμερον ἀγαλλιάσθω, Χριστοῦ φανέντος ἐν Ἰορδάνῃ.

Καὶ νῦν. τὸ αὐτό.

Στίχ. Ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ Ἰδιόμελον, ἦχος πλ. β΄.

Θεὸς Λόγος ἐπεφάνη ἐν σαρκὶ τῷ γένει τῶν ἀνθρώπων. ἵστατο βαπτισθῆναι ἐν Ἰορδάνῃ, καὶ ἔλεγε πρὸς αὐτὸν ὁ Πρόδρομος. πῶς ἐκτείνω χεῖρα, καὶ ἅψομαι κορυφῆς κρατούσης τὰ σύμπαντα; εἰ καὶ ἐκ Μαρίας ὑπάρχεις βρέφος, ἀλλ' οἶδά σε Θεὸν προαιώνιον. ἐπὶ γῆς βαδίζεις, ὁ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ· καὶ δοῦλος Δεσπότην, βαπτίζειν οὐ μεμάθηκα. ἀκατάληπτε Κύριε δόξα σοι.

Εἶθ' οὕτως οἱ Κανόνες, τοὺς Εἱρμοὺς ἀνὰ δύο, καὶ τὰ Τροπάρια εἰς ιβ΄. ὁ Κανὼν τοῦ Κυρίου Κοσμᾶ, Οὗ ἡ ἀκροστιχίς.

Βάπτισμα ῥύψις γηγενῶν ἁμαρτάδος.

Ὠδὴ α΄. ἦχος β΄. Ὁ Εἱρμός.

Βυθοῦ ἀνεκάλυψε πυθμένα, καὶ διὰ ξηρᾶς οἰκείους ἕλκει· ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιὸς ἐν πολέμοις Κύριος, ὅτι δεδόξασται.

Ἀδὰμ τὸν φθαρέντα ἀναπλάττει, ῥείθροις Ἰορδάνου καὶ δρακόντων, κεφαλὰς ἐμφωλευόντων διαθλάττει, ὁ Βασιλεὺς τῶν αἰώνων Κύριος, ὅτι δεδόξασται.

Πυρὶ τῆς Θεότητος αὔλῳ, σάρκα ὑλικὴν ἠμφιεσμένος, Ἰορδάνου περιβάλλεται τὸ νᾶμα, ὁ σαρκωθεὶς ἐκ Παρθένου Κύριος, ὅτι δεδόξασται.

Τὸν ῥύπον ὁ σμήχων τῶν ἀνθρώπων, τούτοις καθαρθεὶς ἐν Ἰορδάνῃ, οἷς θελήσας ὡμοιώθη ὃ ἦν μένων, τοὺς ἐν σκότει φωτίζει Κύριος, ὅτι δεδόξασται.

Ἕτερος Κανὼν Ἰαμβικὸς τοῦ Ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ. Οὗ ἡ ἀκροστιχίς, διὰ στίχων ἡρωελεγείων.

Σήμερον ἀχράντοιο βαλὼν θεοφεγγέϊ πυρσῷ.
Πνεύματος εὐθάπτει νάμασιν ἀμπλακίην.
Φλέξας παμμεδέοντος ἑοὺς παῖς. ἠπιόων δὲ
Ὑμνηταῖς μελέων τῶνδε δίδωσι χάριν.

Ὠδὴ α΄. ἦχος β΄. Ὁ Εἱρμός.

Στίβει θαλάσσης, κυματούμενον σάλον, Ἤπειρον αὖθις, Ἰσραὴλ δεδεγμένον. Μέλας δὲ πόντος, τριστάτας Αἰγυπτίων,

Ἔκρυ-

ΑΝΕΜΗ ΨΗΦΙΑΚΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ

...εν ἄρδιω, ὑδατόςρωτος τάφῳ,
... κραταιᾷ, δεξιᾶς τοῦ Δεσπότου.
Ὄρθρου φανέντος, τοῖς βροτοῖς σελασφόρου,
Νῦν ἐξ ἐρήμου, πρὸς ῥοὰς Ἰορδάνου.
Ἄναξ ὑπέσχες, Ἡλίου σὸν αὐχένα.
Χῶρον ζοφώδες, τὸν Γενάρχην ἁρπάσαι,
Ῥύπου τε παντὸς ἐκκαθᾶραι τὴν Κτίσιν.
Ἔναρχε βάθροις, συνταφέντα σοι Λόγε,
Νέον περαίνεις, τὸν φθαρέντα τῇ πλάνῃ.
Ταύτην ἀφράσως, πατρόθεν δεδεγμένος
Ὅπα κρατίστην· οὗτος ἠγαπημένος.
Ἴσός τε μοι παῖς, χρηματίζει τὴν φύσιν.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Ἰσχὺν ὁ διδοὺς, τοῖς Βασιλεῦσιν ἡμῶν Κύριος, καὶ κέρας Χριστῶν αὐτοῦ ὑψῶν, Παρθένου ἀποτίκτεται· μολεῖ δὲ πρὸς τὸ Βάπτισμα. διὸ πιστοὶ βοήσωμεν· οὐκ ἔστιν Ἅγιος ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος πλὴν σοῦ Κύριε.

Ἡ στειρεύουσα πρὶν, ἠτεκνωμένη δεινῶς σήμερον, εὐφραίνου Χριστοῦ ἡ Ἐκκλησία. δι' ὕδατος καὶ Πνεύματος, Υἱοὶ γάρ σοι γεγένηνται ... πίστει ἀνακράζοντες· οὐκ ἔστιν Ἅγιος ... ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος...

...άλη φωνῇ, ἐν τῇ ἐρήμῳ βοᾷ Πρό... ...μος. Χριστοῦ ἑτοιμάσατε ὁδοὺς, καὶ ... Θεοῦ ἡμῶν, εὐθείας ἀπεργάσασθε, ... ἀνακράζοντες· οὐκ ἔστιν Ἅγιος ὡς ὁ ...

Εἱρμὸς ἄλλος.

...αλαιῶν, ἐκλελύμεθα βρόχων,
... λεόντων, συντεθλασμένων μύλας,
...μεν, καὶ πλατύνωμεν στόμα,
...λέκοντες, ἐκ λόγων μελῳδίας,
...ρὸς ἡμᾶς, ἥδεται δωρημάτων.
...σιν ὁ πρὶν, ἐμφυτεύσας τῇ Κτίσει,
...θηρὸς κακούργου, χρηματισθεὶς εἰς φύσιν,
...σκοτᾶται, σαρκικῇ παρουσίᾳ,
...τρῳ φανέντι, προσβαλὼν τῷ Δεσπότῃ.
... τὴν ἑαυτοῦ, δυσμενεστάτην κάραν.
...κα πρὸς αὐτὸν, τὴν θεόδμητον φύσιν,
...αρὸς Τυράννου, συγκεχωσμένην ὅροις.
...ται αὖθις, γηγενῶν ἀναπλάσει,
...ν φέριστον, ἐκτελῶν ὁ Δεσπότης.
... γὰρ αὐτὴν, ἐξαλεξῆσαι θέλων.

Ὑπακοή. Ἦχος πλ. α΄.

Τῇ ἐπιφανείᾳ σου ἐφώτισας τὰ σύμπαντα, τότε ἡ ἁλμυρὰ τῆς ἀπιστίας θάλασσα ἔφυγε. καὶ ὁ Ἰορδάνης κάτω ῥέων ... πρὸς Οὐρανὸν ἀνυψῶν ἡμᾶς. ἀλλὰ τῷ ὕψει τῶν θείων ἐντολῶν σου συντήρησον ἡμᾶς Χριστὲ ὁ Θεὸς, πρεσβείαις τῆς Θεοτόκου, καὶ ἐλέησον ἡμᾶς.

Καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον, τό, Πάλιν Ἰησοῦς ὁ ἐμός.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Ἀκήκοε Κύριε φωνῆς σου ὃν εἶπας, φωνὴ βοῶντος ἐν ἐρήμῳ· ὅτι ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων, τῷ σῷ μαρτυρούμενος Υἱῷ, ὅλος γεγονὼς τοῦ παρόντος, Πνεύματος δὲ ἐβόησε. σὺ εἶ Χριστὸς, Θεοῦ Σοφία καὶ δύναμις.

Ὑπτόμενον Ἥλιον τίς εἶδεν; ὁ Κήρυξ βοᾷ, τὸν ἔκλαμπρον τῇ φύσει, ἵνα σε ὕδασιν ἀπαύγασμα τῆς δόξης, Πατρὸς χαρακτὴρ ἀϊδίου ἐκπλύνω· καὶ χόρτος ὢν, πυρὶ ψαύσω τῆς σῆς Θεότητος· σὺ γὰρ Χριστὸς, Θεοῦ Σοφία καὶ δύναμις.

Ὁ Πέφηνεν ἔνθεον ἣν ἔχεις, ἀνέλαβεν Μωσῆς περιτυχών σοι. ὡς γὰρ τῆς βάτου σε φωνήσαντα ἠσθήθη, εὐθὺς ἀπεστράφη τὰς ὄψεις. ἐγὼ δὲ πῶς βλέψω σε τρανῶς; ἢ πῶς χειροθετήσω σε; σὺ γὰρ Χριστὸς, Θεοῦ Σοφία καὶ δύναμις.

Ψυχῆς τελῶν ἔμφρονος, καὶ λόγῳ τιμώμενος, ἀψύχων εὐλαβοῦμαι. εἰ γάρ σε βαπτίσω σε κατήγορόν μοι ἔσται, πυρὶ καπνιζόμενον ὄρος· φυγοῦσα δὲ θάλασσα διχῆ, καὶ Ἰορδάνης οὗτος στραφείς. σὺ γὰρ Χριστὸς, Θεοῦ Σοφία καὶ δύναμις.

Εἱρμὸς ἄλλος.

Ἡ Ὑρσῷ καθαρθεὶς μυστικῆς θεωρίας,
Ὕμνων Προφήτης τῆς βροτῶν καινουργίαν,
„ Ῥήγνυσι γῦριν πνεύματι κροτουμένην,
„ Σάρκωσιν ἐμφαίνουσαν ἀρρήτου Λόγου.
„ Ὢ τῶν δυναστῶν τὰ κράτη συνετρίβη.
Ἡ Ἐμφθεὶς πρὸς Πατρὸς παμφαέστατος Λόγος,
Νυκτὸς διῶσαι τὴν κακέσπερον σχέσιν,
Ἔκριζον ἥκεις, τῶν βροτῶν ἁμαρτίας,
Υἱὰς συνελκύσαντε τῇ σῇ βαπτίσει,
Μάκαρ φανεὶς, ἐκ ῥοῶν Ἰορδάνου.
Αὐτὸν προσιδὼν τὸν περίκλυτον Λόγον,
Τρανῶς ὁ Κήρυξ ἐκβοᾶται τῇ Κτίσει.
Οὗτος προὼν μου, δεύτερος τῷ σαρκίῳ,
Σύμμορφος ἐξέλαμψεν ἐνθέῳ σθένει,
Ἔχθιστον ἡμῶν ἐξελᾶν ἁμαρτίαν.
Ἡ Ὁμοῦ πρὸς αὐτὴν τὴν φερέσβιον φέρων,
Θηρᾷ δρακόντων φωλεοῖς ἐπιτρέχων,

Ἄπληστα κύκλα καββαλὼν Θεὸς Λόγος.
Πτέρνῃ τε τὸν πλήττοντα παμπήδην γένος.
Τοῦτον καθαργνὺς, ἐκσαώζει τὴν Κτίσιν.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ἰησοῦς ὁ ζωῆς Ἀρχηγὸς, λῦσαι τὸ κατάκριμα ἥκει, Ἀδὰμ τοῦ πρωτοπλάστου. καθαρσίων δὲ ὡς Θεὸς μὴ δεόμενος, τῷ πεσόντι καθαίρεται ἐν τῷ Ἰορδάνῃ. ἐν ᾧ τὴν ἔχθραν κτείνας, ὑπερέχουσαν πάντα νοῦν, εἰρήνην χαρίζεται.

Συνελθόντων ἀπείρων λαῶν, ὑπὸ Ἰωάννου βαπτισθῆναι, αὐτὸς ἐν μέσῳ ἔστη· προσεφώνει δὲ τοῖς παροῦσι· τίς ἔδειξεν ἀπειθεῖς, τὴν ὀργὴν ὑμῖν ἐκκλῖναι τὴν μέλλουσαν; καρποὺς ἀξίους Χριστῷ ἐκτελεῖτε· παρὼν γὰρ νῦν, εἰρήνην χαρίζεται.

Γεωργὸς ὁ καὶ δημιουργὸς, μέσος ἑστηκὼς ὡς εἷς ἁπάντων, καρδίας ἐμβατεύει· καθαρτήριον δὲ πτύον χειρισάμενος, τὴν παγκόσμιον ἅλωνα πανσόφως διΐστησι, τὴν ἀκαρπίαν φλέγων, τοῖς καρποῦσιν αἰώνιον ζωὴν χαριζόμενος.

Εἱρμὸς ἄλλος.

Ἐχθροῦ ζοφώδους, καὶ βεβορβορωμένου,
Ἰὸν καθάρσει Πνεύματος λελουμένοι,
Νέαν προσωρμίσθημεν ἀπλανῆ τρίβον,
Ἄγουσαν ἀπρόσιτον εἰς θυμηδίαν.
Μόνοις προσιτὴν, οἷς Θεὸς κατηλλάγη.
Ἀθρῶν ὁ πλάστης, ἐν ζόφῳ τῶν πταισμάτων.
Σειραῖς ἀφύκτοις, ὃν διαρθροῖ δακτύλοις,
Ἴχνεσιν ἀμφ[illegible]μοισιν ἐξάρας ἄνω.
Νῦν ἐν πολυρρύτοισι δίναις ἐκπλύνων,
Αἴσχους παλαιοῦ, τῆς Ἀδὰμ κακεξίας.
Μετ' εὐσεβείας προσδράμωμεν ἀόκνως,
Πηγαῖς ἀχράντοις ῥεύσεως σωτηρίου,
Λόγον κατοπτεύοντες ἐξ ἀκηράτου.
Ἄντλημα προσφέροντα δίψης ἐνθέου,
Κόσμου προσηνῶς ἐξακεσθῆμενον νόσον.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Ἡ Φωνὴ τοῦ Λόγου, ὁ λύχνος τοῦ φωτὸς ὁ ἑωσφόρος, ὁ τοῦ Ἡλίου Πρόδρομος, ἐν τῇ ἐρήμῳ μετανοεῖτε πᾶσι βοᾷ τοῖς λαοῖς, καὶ προκαθαίρεσθε. ἰδοὺ γὰρ πάρεστι Χριστὸς, ἐκ φθορᾶς τὸν Κόσμον λυτρούμενος.

Γεννηθεὶς ἀρρεύστως ἐκ Θεοῦ καὶ Πατρὸς, ἐκ τῆς Παρθένου δίχα σαρκοῦται ῥύπου Χριστός. οὗ τὸν ἱμάντα, τὴν ἐξ ἡμῶν τοῦ Λόγου συνάφειαν, λύειν ἀμήχανον, διδάσκει ὁ Πρόδρομος, γηγενεῖς ἐκ τῆς πλάνης λυτρούμενος.

Ἐν πυρὶ βαπτίζει, τελευταῖον Χριστὸς τοὺς ἀπειθοῦντας, καὶ μὴ Θεὸν φρονοῦντας αὐτόν. ἐν Πνεύματι δὲ, καινοποιῶν ὕδατος χάριτι, τοὺς ἐπιγνώμονας αὐτοῦ τῆς Θεότητος, τῶν πλημμελημάτων λυτρούμενος.

Εἱρμὸς ἄλλος.

Ἱμερτὸν ἐξέφηνε σοὶ πανόλβιον,
Ἠχῷ Πατὴρ, ὃν γαστρὸς ἐξηρεύξατο
Ναίφησιν οὗτος συμφυὴς γόνος τέλων,
Φωταυγὸς ἐξώρουσεν ἀνθρώπων γένους,
Λόγος τε μὲν ζῶν, καὶ βροτὸς προμηθείᾳ.
Ἐκ ποντίου λέοντος ὁ τριέσπερος.
Ξένος Προφήτης ἐγκάτοις φλοιδούμενος
Αὖθις προῆλθε τῆς παλιγγενεσίας.
Σωτηρίαν δράκοντος ἐκ βροτοκτόνου.
Πᾶσι προφαίνων, τῶν χρόνων ἐπ' ἐσχάτων.
Τὸ Νημερτέων Πόλοιο παμφαῶν πτυχ
Μύστης ὁρᾷ πρὸς Πατρὸς ἐξικνούμεν
Μένοντε Πνεῦμα τῷ παναχράντῳ Λόγ
Ἐπελθὸν ὡς πέλειαν ἀφράστῳ τρόπῳ.
Δήμοις τε φαίνει, προσδραμὸν τῷ Δεσπο

Κοντάκιον, ἦχος δ΄.

Ἐπεφάνης σήμερον τῇ Οἰκουμένῃ· καὶ τὸ φῶς σου Κύριε ἐσημειώθη ἐφ' ἡμᾶς, ἐν ἐπιγνώσει ὑμνοῦντάς σε. ἦλθες ἐφάνης τὸ φῶς τὸ ἀπρόσιτον.

Ὁ Οἶκος.

Τῇ Γαλιλαίᾳ τῶν Ἐθνῶν, τῇ τοῦ Ζαβουλὼν χώρᾳ, καὶ τοῦ Νεφθαλεὶμ γαίᾳ, ὡς εἶπεν ὁ Προφήτης, φῶς μέγα ἔλαμψε, Χριστὸς τοῖς ἐσκοτισμένοις· φαεινὴ ὤφθη αὐγὴ ἐν Βηθλεὲμ ἀστράπτουσα· μᾶλλον δὲ ἐκ Μαρίας ὁ Κύριος, πάσῃ τῇ Οἰκουμένῃ, τέλλει τὰς ἀκτῖνας ὁ Ἥλιος τῆς δικαιοσύνης. διὸ οἱ ἐξ Ἀδὰμ γυμνοὶ, δεῦτε πάντες δύωμεν αὐτὸν, ἵνα θαλφθῶμεν. σκέπη γυμνῶν, καὶ αἴγλη ἐσκοτισμένων, ἦλθες ἐφάνης τὸ φῶς τὸ ἀπρόσιτον.

Τῇ αὐτῇ Μηνὶ ς΄. Τὰ Ἅγια Θεοφάνεια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τοὺς Οὐρανοὺς Βάπτισμα τοῦ Χριστοῦ
Τοὺς αὐτὸ μὴ χραίνοντας, εὖδον εἰσά
Βάπτισεν ἐν ποταμῷ Χριστὸν Πρόδρ
κατὰ ἕκτην.

Τὰ Ἅγια Θεοφάνεια ἑορτάζομεν τ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησ

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, καὶ ἐν ταῖς κατὰ τόπον Ἁγίαις Ἐκκλησίαις, τὴν παννυχίδα ἀφ᾽ ἑσπέρας ἐπιτελοῦντες ἐν ταύτῃ τῇ ἡμέρᾳ. Αὐτὸς γὰρ ὁ Θεὸς Λόγος, τὸν παλαιὸν Ἀδὰμ ἐνδυσάμενος, καὶ πάντα τὰ νόμιμα ἐκτελέσας, καὶ πρὸς τὸν μέγαν Ἰωάννην τὸν Προφήτην παραγίνεται βαπτισθησόμενος. Ὃς καὶ διεκώλυεν αὐτὸν λέγων· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; Ἐπεὶ δὲ τὸ, Ἄφες ἄρτι, πρὸς τοῦ Κυρίου ἀκήκοε, καὶ πάσης δικαιοσύνης πλήρωμα εἶναι τὸ Βάπτισμα ἔγνωκεν, ἀφίησιν αὐτόν. Καὶ βαπτισθεὶς ὁ Χριστὸς, πᾶσαν μὲν τὴν φύσιν τῶν ὑδάτων ἡγίασε. πᾶσαν δὲ ἁμαρτίαν τῶν ἀνθρώπων ἐνθάψας τοῖς ῥεέθροις τοῦ Ἰορδάνου, εὐθὺς ἀνέβη ἀπὸ τοῦ ὕδατος. Καὶ τὸν παλαιωθέντα ταῖς ἁμαρτίαις ἄνθρωπον ἀνακαινίσας καὶ ἀναπλάσας, Οὐρανῶν Βασιλείαν αὐτῷ ἐχαρίσατο. Αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Νέους εὐσεβεῖς, καμίνου πυρὸς προσομιλήσαντος, διασυρίζον πνεῦμα δρόσου, ἀβλαβεῖς διεφύλαξε, καὶ Θείου Ἀγγέλου συγκατάβασις. ὅθεν ἐν φλογὶ δροσιζόμενοι, εὐχαρίστως ἀνέμελπον· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὥσπερ Οὐρανῷ σὺν τρόμῳ καὶ θαύματι παρίσταντο, ἐν Ἰορδάνῃ αἱ Δυνάμεις τῶν Ἀγγέλων σκοπούμεναι, τοσαύτην Θεοῦ τὴν συγκατάβασιν. ὅπως ὁ κρατῶν τὴν ὑπερῷον τῶν ὑδάτων ὑπόστασιν, ἐν τοῖς ὕδασι, σωματοφόρος ἕστηκεν, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νεφέλη ποτὲ καὶ θάλασσα, θείου προηκόνιζε Βαπτίσματος τὸ θαῦμα. ἐν οἷς ὁ πρὶν βαπτίζεται διεξοδικῶς, τῷ Νομοθέτῃ λαός. θάλασσα δὲ ἦν τύπος ὕδατος, καὶ νεφέλη τοῦ Πνεύματος. οἷς τελούμενοι, εὐλογητὸς εἶ κράζομεν, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἅπαντες πιστοὶ, ἐν ᾧ τὴν τελείωσιν ἐλάβομεν, θεολογοῦντες ἀσιγήτως, σὺν Ἀγγέλοις δοξάσωμεν, Πατέρα Υἱὸν, καὶ Πνεῦμα Ἅγιον. τοῦτο γὰρ Τριὰς ὑποστάσεσιν ὁμοούσιος· εἷς δὲ Θεὸς, ᾧ καὶ ψάλλομεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Εἱρμὸς Ἄλλος.

Ἔφλεξε ῥεέθρῳ, τῶν δρακόντων τὰς κάρας,
Ὁ τῆς καμίνου, τὴν μετάρσιον φλόγα,
Νέους φέρουσαν εὐσεβεῖς κατευνάσας.
Τὴν δυσκάθεκτον ἀχλὴν ἐξ ἁμαρτίας,
Ὅλην πλύνει δὲ, τῇ δρόσῳ τοῦ Πνεύματος.

Ἐζωγραφοῦσαν τὴν Ἀσσύριον φλόγα,
Ἐκσῶσαν ἴσης εἰς δρόσον μετηγμένην.
Ὕδωρ ὅθεν νῦν ἀμφιέσασο φλέγον,
Σίντην κάκιστον Χριστὲ προσκεκλεισμένον.
Πρὸς τὴν ὄλισθον, ἐκκαλούμενον τρίβον.

Ἀπορραγέντος τοῦ Ἰορδάνου πάλαι,
Ἰσθμῷ περᾶται λαὸς Ἰσραηλίτης.
Σὲ τὸν κράτιστον ἐμφοροῦντα τὴν Κτίσιν,
Ἠπειγμένως νῦν ἐν ῥοαῖς διαγράφων,
Πρὸς τὴν ἄρραστον, καὶ ἀμείνονα τρίβον.

Ἄδμην τὸ πρῶτον τὴν πανώλεθρον κλύσιν,
Οἰκτρῶς σε πάντων εἰς φθορὰν παρεισάγειν,
Ὦ τρισμέγιστα χρηματίζων καὶ ξένα.
Νῦν δὲ κλύσαντα Χριστὲ τὴν ἁμαρτίαν,
Δι᾽ εὐπάθειαν, καὶ βροτῶν σωτηρίαν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Μυστήριον παράδοξον, ἡ Βαβυλὼν ἔδειξε, κάμινος πηγάσασα δρόσον. ὅτι ῥεέθροις ἔμελλεν, ἄϋλον πῦρ εἰσδέχεσθαι ὁ Ἰορδάνης· καὶ στέρξαι σαρκὶ, βαπτιζόμενον τὸν Κτίστην· ὃν εὐλογοῦσι λαοὶ, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ἀπέθου φόβον ἅπαντα, ὁ Λυτρωτὴς τῷ Προδρόμῳ ἔφησεν. ἐμοὶ δὲ πειθάρχει, ὡς Χριστῷ μοι πρόσελθε· τοῦτο γὰρ φύσει πέφυκα· ἐμῷ προστάγματι εἶξον· καὶ βάπτισόν με συγκαταβάντα· ὃν εὐλογοῦσι λαοὶ, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ῥημάτων ὡς ἀκήκοεν, ὁ Βαπτιστὴς τοῦ Δεσπότου, σύντρομος παλάμην ἐκτείνει. χειραπτήσας ὅμως δὲ, τὴν κορυφὴν τοῦ Πλάστου αὐτοῦ, τῷ βαπτισθέντι ἐβόα. ἁγίασόν με, σὺ γὰρ Θεός μου· ὃν εὐλογοῦσι λαοὶ, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Τριάδος ἡ φανέρωσις, ἐν Ἰορδάνῃ γέγονεν. αὐτὴ γὰρ Ὑπέρθεος Φύσις. ὁ Πατὴρ ἐφώνησεν, οὗτος ὁ Βαπτιζόμενος, Υἱὸς ὁ Ἀγαπητός μου, τὸ Πνεῦμα συμπαρῆν τῷ ὁμοίῳ· ὃν εὐλογοῦσι λαοὶ, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος.

Ἐλευθέρα μου ἡ Κτίσις γνωρίζεται.
Υἱοὶ δὲ φωτὸς οἱ πρὶν ἐσκοτισμένοι,
Μόνος στενάζει τοῦ σκότους ὁ προστάτης.
Νῦν εὐλογείτω συντόνως τὸν αἴτιον.
Ἡ πρὶν τάλαινα, τῶν ἐθνῶν παγκληρία.
Τριττοὶ θεουδεῖς ἐμπύρως δροσούμενοι,
Αἴγλην τὴν τριτταῖς παμφαῶς ἁγιστείαις,
Σαφῶς ἐδήλουν τὴν ὑπέρτατον φύσιν,
Μίξει βροτείᾳ, πυρπολοῦσαν ἐν δρόσῳ,
Εὐκτῶς ἅπασαν, τὴν ὀλέθριον πλάνην.
Εὐφημείτω πᾶσα γήϊνος φύσις.
Ἐκ πτώσεως νῦν Οὐρανῶν ἐπηρμένη.
Ὧ γὰρ τὰ πάντα συντετήρηται Λόγῳ.
Νάουσι ῥείθροις ἐκπλυθεῖσα πταισμάτων,
Τῶν πρὶν πέφλεγε, παμφαῶς λελουμένη.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ἀπορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς ἀξίαν. ἰλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος, ὑμνεῖν σε Θεοτόκε. ὅμως Ἀγαθὴ ὑπάρχουσα τὴν πίστιν δέχου· καὶ γὰρ τὸν πόθον οἶδας, τὸν ἔνθεον ἡμῶν. σὺ γὰρ Χριστιανῶν εἶ Προστάτις, σὲ μεγαλύνομεν.

Δαβὶδ πάρεσο, Πνεύματι τοῖς φωτιζομένοις. νῦν προσέλθετε, ᾄδε πρὸς Θεὸν, ἐν πίστει λέγων φωτίσθητε. οὗτος ὁ πτωχὸς ἐκέκραξεν Ἀδὰμ ἐν πτώσει. καὶ γὰρ αὐτοῦ εἰσήκουσε Κύριος ἐλθὼν, ῥείθροις τοῦ Ἰορδάνου. φθαρέντα δὲ ἀνεκαίνισεν.

Ὁ Ἡσαΐας λούσασθε, καὶ καθάρθητε φάσκει. τὰς πονηρίας ἔναντι, ἀφέλεσθε Κυρίου. οἱ διψῶντες, ὕδωρ ἐπὶ ζῶν πορεύεσθε. ῥανεῖ γὰρ ὕδωρ καινοποιὸν Χριστὸς, τοῖς προστρέχουσιν αὐτῷ ἐν πίστει· καὶ πρὸς ζωὴν τὴν ἀγήρω, βαπτίζει Πνεύματι.

Συντηρώμεθα χάριτι, πιστοὶ καὶ σφραγῖδι. ὡς γὰρ ὄλεθρον ἔφυγον, φλιᾶς Ἑβραῖοι πάλαι αἱμαχθείσης· οὕτω καὶ ἡμῖν ἐξόδιον τὸ θεῖον τοῦτο, τῆς παλιγγενεσίας λουτήριον ἔσται. ἔνθεν καὶ τῆς Τριάδος, ὀψόμεθα Φῶς τὸ ἄδυτον.

Εἱρμὸς ἄλλος.

Ὢ τῶν ὑπὲρ νοῦν, τοῦ Τόκου σου θαυμάτων,
Νύμφη Πάναγνε, Μῆτερ εὐλογημένη.
Δι' ἧς τυχόντες παντελοῦς σωτηρίας,
Ἐπάξιον κροτοῦμεν ὡς εὐεργέτῃ,
Δῶρον φέροντες, ὕμνον εὐχαριστίας.

Ἴδμεν τὰ Μωσεῖ, τῇ βάτῳ δεδειγμένα,
Δεῦρο ξένοις θεσμοῖσιν ἐξειργασμένα.
Ὡς γὰρ σέσωσαι πυρφοροῦσα Παρθένος,
Σελασφόρον τεκοῦσα τὸν Εὐεργέτην·
Ἰορδάνου τε, ῥεῖθρα προσδεδεγμένα.

Χρίας τελειῶν, τὴν βρότειον οὐσίαν,
Ἄναξ Ἄναρχε, Πνεύματος κοινωνίᾳ.
Ῥοαῖς ἀχράντοις ἐκκαθάρας καὶ σκότους,
Ἰσχὺν θριαμβεύσας τε τὴν ἐπηρμένην.
Νῦν εἰς ἄληκτον ἐξαμείβεις βίον.

Ἐξαποστειλ. Ἐπεσκέψατο ἡμᾶς.

Λέγεται ἐκ τρίτου.

Ἐπεφάνη ὁ Σωτὴρ, ἡ χάρις ἡ ἀλήθεια, ἐν ῥείθροις τοῦ Ἰορδάνου· καὶ τοὺς ἐν σκότει καὶ σκιᾷ καθεύδοντας ἐφώτισε· καὶ γὰρ ἦλθεν ἐφάνη, τὸ Φῶς τὸ ἀπρόσιτον.

Εἰς τοὺς Αἴνους, τὸ Πᾶσα πνοή. ἵστῶμεν στ. ς'. καὶ ψάλλομεν στ. ἰδιόμελα, ἦχος α'.

Γερμανοῦ Πατριάρχου.

Φῶς ἐκ φωτὸς, ἔλαμψε τῷ Κόσμῳ Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἐπιφανεὶς Θεός. τοῦτον λαοὶ προσκυνήσωμεν. Δίς.

Ὁ αὐτός.

Πῶς σε Χριστὲ, δοῦλοι τὸν Δεσπότην ἀξίως τιμήσωμεν; ὅτι ἐν τοῖς ὕδασι, πάντας ἡμᾶς ἀνεκαίνισας. Ὁ αὐτός.

Σὺ ἐν Ἰορδάνῃ βαπτισθεὶς ὁ Σωτὴρ ἡμῶν, τὰ ῥεῖθρα ἡγίασας, τῇ παλάμῃ τοῦ δούλου χειροθετούμενος, καὶ τὰ πάθη τοῦ Κόσμου ἰώμενος. μέγα τὸ Μυστήριον τῆς Οἰκονομίας σου, Φιλάνθρωπε δόξα σοι.

Ὁ αὐτός.

Τὸ ἀληθινὸν Φῶς ἐπεφάνη, καὶ πᾶσι τὸν φωτισμὸν δωρεῖται. βαπτίζεται Χριστὸς μεθ' ἡμῶν, ὁ πάσης ἐπέκεινα καθαρότητος. ἐνίησι τὸν ἁγιασμὸν τῷ ὕδατι, καὶ ψυχῶν τοῦτο καθάρσιον γίνεται. ἐπίγειον τὸ φαινόμενον, καὶ ὑπὲρ τοὺς Οὐρανοὺς τὸ νοούμενον, διὰ λουτροῦ, σωτηρία· δι' ὕδατος τὸ Πνεῦμα· διὰ καταδύσεως, ἡ πρὸς Θεὸν ἡμῶν ἄνοδος γίνεται· θαυμάσια τὰ ἔργα σου, Κύριε δόξα σοι.

Ὁ αὐτός.

Ὁ Περιβάλλων τὸν Οὐρανὸν ἐν νεφέλαις, ῥεῖθρα περιβάλλεται σήμερον τὰ Ἰορδάνεια. καὶ τὴν ἐμὴν καθαίρεται κάθαρσιν, ὁ τοῦ Κόσμου αἴρων τὴν ἁμαρτίαν· καὶ ὑπὸ τοῦ συγγενοῦς ἄνωθεν, μαρτυρεῖται Πνεύματος. Υἱὸς Μονογενὴς ὑπάρχων, τοῦ Ὑψίστου Πατρός.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρὸς ὃν βοήσωμεν· ὁ ἐπιφανεὶς καὶ σώσας ἡμᾶς, Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Δόξα, ἦχος πλ. β'. Ἀνατολίου.

Ἡ Ἄμαις Ἰορδάνου περιεβάλου Σωτήρ, ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον· καὶ ἔκλινας κορυφὴν τῷ Προδρόμῳ, ὁ τὸν Οὐρανὸν μετρήσας σπιθαμῇ· ἵνα ἐπιστρέψῃς Κόσμον ἐκ πλάνης, καὶ σώσῃς τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. ἦχος β'. Ἀνατολίου.

Σήμερον ὁ Χριστὸς, ἐν Ἰορδάνῃ ἦλθε βαπτισθῆναι. σήμερον Ἰωάννης ἅπτεται κορυφῆς τοῦ Δεσπότου. αἱ Δυνάμεις τῶν Οὐρανῶν ἐξέστησαν, τὸ παράδοξον ὁρῶσαι Μυστήριον· ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν, ὁ Ἰορδάνης ἰδὼν ἀνεστρέφετο. ἡμεῖς δὲ οἱ φωτισθέντες βοῶμεν· Δόξα τῷ φανέντι Θεῷ, καὶ ἐπὶ γῆς ὀφθέντι, καὶ φωτίσαντι τὸν Κόσμον.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἶτα τοῦ Ἱερέως τὴν Ἱερατικὴν στολὴν ἐνδεδυμένου, καὶ ἐπιφερομένου τὸ Τίμιον Ξύλον ἀνὰ χεῖρας, προπορευομένου τε τοῦ θυμιατοῦ, καὶ τῶν λαμπάδων, ἐξερχόμεθα τοῦ Ναοῦ, καὶ ἀπερχόμεθα ἐν τῇ Βρύσει, ἢ ἐν τῇ Πηγῇ τοῦ ὕδατος. ψάλλοντες τὰ τροπάρια, ἦχος πλ. δ'. τὸ, Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων. Καὶ ἐκτελεῖται καθ' ἑξῆς ἑκάστη ἡ τοῦ Ἁγιασμοῦ Ἀκολουθία. ἤγουν αἱ Προφητεῖαι, καὶ ὁ Ἀπόστολος, καὶ αἱ Εὐχαὶ, ὡς προείρηται. Καὶ μετὰ τὸ ῥαντισθῆναι πάντας ἐκ τοῦ ἁγιασθέντος ὕδατος, ψάλλομεν τὸ Ἀπολυτίκιον καὶ Κοντάκιον. Ὑποστρέφοντες δὲ, εἰσερχόμεθα ἐν τῷ Ναῷ· καὶ δοξάζοντες, ψάλλομεν τὸ Τροπάριον τῆς η. ᾠδῆς. Τελειοῦται ἡ φανέρωσις. Εἶτα γενομένης ἐκτενοῦς ὑπὸ τοῦ Ἱερέως, ἀσπαζόμεθα τὸ Τίμιον Ξύλον τοῦ Σταυροῦ, καὶ γίνεται ἀπόλυσις.

Χρὴ δὲ γινώσκειν, ὅτι ἐὰν ἡ τῶν Φώτων ἡμέρα τύχῃ ἐν Κυριακῇ, οὐδὲν τὸ σύνολον τῶν Ἀναστασίμων λέγεται. ἀλλὰ πᾶσα ἡ Ἀκολουθία τῆς Ἑορτῆς, ἔν τε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ, καὶ τῇ Λειτουργίᾳ. Εἰς τὴν Λειτουργίαν σημαίνει ταχύτερον, διὰ τὸν κόπον τῆς ἀγρυπνίας, καὶ ψάλλομεν ἀντὶ τῶν Τυπικῶν, τὰ Ἀντίφωνα.

Ἀντίφωνον α'. ἦχος α'.

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ. Ἰσραήλ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν. ὁ Ἰορδάνης.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Τί σοί ἐστι θάλασσα, ὅτι ἔφυγες;

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Δόξα, καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον β'. ἦχος β'.

Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθεὶς, ψάλλοντάς σοι Ἀλληλούϊα.

Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ.

Περιέσχον με ὠδῖνες θανάτου, καὶ κίνδυνοι.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ.

Ἐλεήμων ὁ Κύριος, καὶ δίκαιος, ὁ Θεός.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἰορδάνῃ.

Δόξα, καὶ νῦν.

Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ.

Ἀντίφωνον γ'. ἦχος α'.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε.

Εἰπάτω δὴ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθός.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε.

Εἰπάτω δὴ οἶκος Ἀαρὼν, ὅτι ἀγαθός.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε.

Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε.

Εἰσοδικόν.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε.

Δόξα, καὶ νῦν. τὸ Κοντάκιον.

Ἐπεφάνης σήμερον τῇ Οἰκουμένῃ.

Ἀντὶ τοῦ Τρισαγίου.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος δ'.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ.

Ὁ Ἀπόστολος, πρὸς Τίτον Ἐπιστολῆς.

Τέκνον Τίτε, ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις.

Ζήτει εἰς τὴν θ'. Ὥραν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. γ΄. 13. ΤΩ͂ καιρῷ ἐκείνῳ, παραγίνεται ὁ Ἰησοῦς ἀπὸ τῆς Γαλιλαίας ἐπὶ τὸν Ἰορδάνην, πρὸς τὸν Ἰωάννην, τοῦ βαπτισθῆναι ὑπ᾽ αὐτοῦ. Ὁ δὲ Ἰωάννης διεκώλυεν αὐτὸν, λέγων· Ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, καὶ σὺ ἔρχῃ πρός με; Ἀποκριθεὶς δὲ ὁ Ἰησοῦς, εἶπε πρὸς αὐτόν. Ἄφες ἄρτι. οὕτω γὰρ πρέπον ἐστὶν ἡμῖν πληρῶσαι πᾶσαν δικαιοσύνην. Τότε ἀφίησιν αὐτόν· καὶ βαπτισθεὶς ὁ Ἰησοῦς, ἀνέβη εὐθὺς ἀπὸ τοῦ ὕδατος. καὶ ἰδοὺ ἀνεῴχθησαν αὐτῷ οἱ Οὐρανοὶ, καὶ εἶδε τὸ Πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ περιστερὰν, καὶ ἐρχόμενον ἐπ᾽ αὐτόν· καὶ ἰδοὺ φωνὴ ἐκ τῶν Οὐρανῶν, λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα.

Κοντάκιον, ἦχος γ΄.

Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις. Ἀλληλούϊα.

Εἰς τὴν τράπεζαν γίνεται κατάλυσις εἰς πάντα, οἵα ἡμέρα τύχῃ.

Μηνὶ τῷ αὐτῷ Ζ΄.

Ἡ Σύναξις τοῦ Τιμίου Ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν, στιχ. τῆς Ἑορτῆς γ΄. ἦχος β΄.

Τὸν φωτισμὸν ἡμῶν.

Τοῦ Λυτρωτοῦ ἡμῶν.

Τὰ Ἰορδάνεια ῥεῖθρα.

Ἕτερα στιχ. τοῦ Προδρόμου, ἦχος α΄.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

ΠΑνεύφημε Πρόδρομε Χριστοῦ, Βαπτιστὰ Θεόληπτε, σὲ εὐσεβῶς μακαρίζοντες, Χριστὸν δοξάζομεν· τὸν ἐν Ἰορδάνῃ, κλίναντα τὴν κάραν σοι, καὶ φύσιν τῶν βροτῶν ἁγιάσαντα. αὐτῷ οὖν πρέσβευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

ΥΨόθεν προέβλεψας σοφὲ, Ἰωάννη Πρόδρομε, Πατρὸς τὴν δόξαν τὴν ἄρρητον, Υἱὸν ἐν ὕδασι. καὶ τὸ Πνεῦμα εἶδες, ἐπελθὸν ὡς τέλειον, καθαῖρον καὶ φωτίζον τὰ πέρατα. διὸ Τριάδος σε, μυστιπόλον ἀναμέλποντες, σοῦ τιμῶμεν, τὴν θείαν πανήγυριν.

ΦΩτισθεὶς θείᾳ χάριτι Χριστοῦ, Βαπτιστὰ καὶ Πρόδρομε· σὺ τὸν Ἀμνὸν ἡμῖν ἔδειξας, τὸν Κόσμου αἴροντα, ἁμαρτίας πάσας. καὶ αὐτῷ προσήρμοσας, δυάδα Μαθητῶν χαίρων σήμερον. ὃν καθικέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. β΄.

ΕΝσαρκε Λύχνε, Πρόδρομε τοῦ Σωτῆρος, Βλάστημα στείρας, Φίλε τοῦ ἐκ Παρθένου· ὃν σκιρτήμασι νηδύος προσεκύνησας, καὶ ἐβάπτισας νάμασι τοῦ Ἰορδάνου. τοῦτον πρέσβευε δεόμεθα Προφῆτα, τοὺς τῶν μελλόντων ἐκφυγεῖν τρικυμίας.

Καὶ νῦν. Ὁ αὐτός.

ΘΕὸς Λόγος ἐπεφάνη, ἐν σαρκὶ τῷ γένει τῶν ἀνθρώπων· ἵστατο βαπτισθῆναι ἐν Ἰορδάνῃ, καὶ ἔλεγε πρὸς αὐτὸν ὁ Πρόδρομος· πῶς ἐκτείνω χεῖρα, καὶ ἅψωμαι Κορυφῆς, κρατούσης τὰ σύμπαντα; εἰ καὶ ἐκ Μαρίας ὑπάρχεις Βρέφος, ἀλλ᾽ οἶδά σε Θεὸν Προαιώνιον. ἐπὶ γῆς βαδίζεις, ὁ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ· καὶ δοῦλος Δεσπότην, βαπτίζειν οὐ μεμάθηκα. Ἀκατάληπτε Κύριε δόξα σοι.

Εἴσοδος. Προκείμενον, ἦχος βαρύς.

Ὁ Θεὸς ἡμῶν ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ.

Στίχ. Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου.

Στίχ. Ἡ θάλασσα εἶδε, καὶ ἔφυγε.

Στίχ. Τί σοι ἐστὶ θάλασσα, ὅτι ἔφυγες.

Εἰς τὸν στίχ. στιχ. προσόμοια, ἦχος δ΄.

Ἔδωκας σημείωσιν.

ΩΣ εἶδέ σε Δέσποτα, ὁ Ἰωάννης ὁ Πρόδρομος, πρὸς αὐτὸν ἀφικόμενον, ἔκθαμβος γενόμενος, ὡς εὐγνώμων δοῦλος, σὺν φόβῳ ἐβόα· τίς ἡ ταπείνωσις Σωτὴρ; τίς ἡ πτωχεία ἣν περιβέβλησαι; ὁ πλούτῳ ἀγαθότητος, ταπεινωθέντα τὸν ἄνθρωπον, ἀνυψώσας ὡς Εὔσπλαγχνος, σὺ αὐτὸν ἐνδυσάμενος.

Στίχ. Ἡ θάλασσα εἶδε, καὶ ἔφυγεν.

ΔΕῦρο δή μοι σήμερον, ἐπιτελοῦντι Μυστήριον, τῷ Προδρόμῳ ἀντέφησε, φρικτῶς διακόνησον, ὁ Σωτὴρ τῶν ὅλων; καὶ μὴ δειλιάσῃς. τὸν συντριβέντα γὰρ Ἀδὰμ, τῇ ἁμαρτίᾳ καινοποιούμενος, βαπτίζομαι ὡς ἄνθρωπος, ὁ κατὰ φύσιν ἀμόλυντος, Ἰορδάνου τοῖς ὕδασιν, ἐν οἷς βλέπεις παρόντα με.

Στίχ. Τί σοί ἐστι θάλασσα, ὅτι ἔφυγες.

ΗΛιον ῥυπτόμενον, τίς γηγενῶν ἐθεάσατο; Ἰωάννης ἀντέφησε. καὶ τὸν ἐπενδύον-



ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δύοντα, Οὐρανὸν νεφέλαις, γυμνούμενον ὅλον· καὶ τὸν πηγὰς καὶ ποταμοὺς, δημιουργοῦντα ὕδασι βαίνοντα; ἐκπλήττομαι τὴν ἄφατον, οἰκονομίαν σου Δέσποτα, μὴ βαρύνης τὸν δοῦλόν σου, φοβεροῖς ἐπιτάγμασι.

Δόξα, ἦχος δ'. Βυζαντος.

Ὡ'Σ τοῦ Πνεύματος ἐραστὴς, καὶ τῆς χάριτος θεόφθογγος χελιδὼν, τρανῶς τὴν οἰκονομίαν τοῦ Βασιλέως, βροτῶν τῷ γένει ἐξ Ἁγνῆς φαεινῶς ἀνατείλασαν, εἰς μερόπων ἀνάκλησιν, κατεφώτισας Πρόδρομε. τῶν σκυθρωπῶν ἠθῶν ἀπελαύνων τὸ τέρμα. καὶ ζωῆς ἀϊδίου ἐπιλαβέσθαι, ἰθύνων τὰς καρδίας, τῶν ἐν μετανοίᾳ βαπτιζομένων, μάκαρ Θεόληπτε.

Καὶ νῦν. Ὁ αὐτός.

ΔΕῦτε μιμησώμεθα τὰς φρονίμους Παρθένους· δεῦτε ὑπαντήσωμεν τῷ φανέντι Δεσπότῃ. ὅτι προῆλθεν ὡς Νυμφίος πρὸς τὸν Ἰωάννην. ὁ Ἰορδάνης ἰδών σε, ἔπτηξε καὶ ἔμενεν. ὁ Ἰωάννης ἐβόα· οὐ τολμῶ κρατῆσαι κορυφῆς ἀθανάτου. τὸ Πνεῦμα κατήρχετο, ἐν εἴδει περιστερᾶς, ἁγιάσαι τὰ ὕδατα. καὶ φωνὴ οὐρανόθεν· οὗτός ἐστιν ὁ Υἱός μου, ὁ ἐλθὼν εἰς τὸν Κόσμον, σῶσαι γένος ἀνθρώπων. Κύριε δόξα σοι.

Τροπάριον τῆς Ἑορτῆς. Ἐν Ἰορδάνῃ.

Καὶ τοῦ Ἁγίου. ἦχος β'.

ΜΝήμη δικαίου μετ᾽ ἐγκωμίων. σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε. ἀνεδείχθης γὰρ ὄντως, καὶ Προφητῶν σεβασμιώτερος. ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅδῃ Θεὸν, φανερωθέντα ἐν σαρκὶ, τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ Κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολογίαν κάθισμα. ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

ΤΟῦ Ἰησοῦ γεννηθέντος ἐκ Παρθένου Μαρίας, καὶ ἐν Ἰορδάνῃ βαπτισθέντος ὑπὸ Ἰωάννου, τὸ Πνεῦμα κατῆλθεν ἐπ᾽ αὐτὸν, ὁρώμενον ἐν εἴδει περιστερᾶς. διὰ τοῦτο ὁ Προφήτης, σὺν τοῖς Ἀγγέλοις ἔλεγε κραυγάζων· δόξα τῇ παρουσίᾳ σου Χριστέ. δόξα τῇ Βασιλείᾳ σου. δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε. Δίς.

Εἰς τὴν β'. στιχολογίαν κάθισμα. ἦχος δ'.

Ἐπεφάνης σήμερον.

ΕΝ τοῖς ῥείθροις βλέψας σε τοῦ Ἰορδάνου, βαπτισθῆναι θέλοντα, ὁ μέγας Πρόδρομος Χριστὲ, ἐν εὐφροσύνῃ ἐκραύγαζεν· ἦλθες ἐφάνης τὸ φῶς τὸ ἀπρόσιτον. Δίς.

Ὁ Ν'. καὶ ὁ Κανὼν τῆς Ἑορτῆς.

Ὁ, Βυθοῦ ἀνεκάλυψε πυθμένα,

Εἰς η'. καὶ τοῦ Ἁγίου εἰς ς'. οὗ ἡ ἀκροστιχίς.

Βαπτιστὰ Χριστοῦ, τοὺς ἐπαίνους μου δέχου.

Θεοφάνους. Ὠδὴ α'. ἦχος β'.

Τῷ τὴν ἄβατον.

ΒΑπτιζόμενον, τῷ τῶν παθῶν μου κλύδωνι, Πρόδρομε ταῖς πρεσβείαις σου, φθάσας διάσωσον. ἀπαθείας γὰρ αὐτὸς, γέγονας δοχεῖον σεπτὸν καὶ καθαρώτατον, Κυρίῳ ἄνωθεν, ἐκ βρέφους ἀνακείμενος.

ἈΓαλλόμενος, ὁ Θεῷ παριστάμενος, Ἄγγελος τὸν ἰσάγγελον, εὐηγγελίσατο, Ζαχαρίᾳ τῷ σεπτῷ, σοῦ ἱεραρχοῦντι Πατρὶ, σὲ παμμακάριστε, Κυρίου Πρόδρομον, καὶ φίλον γενησόμενον.

ΠΛήρης γέγονας, τοῦ Παναγίου Πνεύματος, ἔτι κοιλίᾳ σῆς Μητρὸς, ἔνδον φερόμενος· καὶ σκιρτήματι τερπνῷ, τὸν τῆς Παρθενίας καρπὸν, χαίρων ἐμήνυσας, καὶ προσεκύνησας, Προφῆτα Πανσεβάσμιε.

ΤΟ'ν τὴν ἄβατον, πᾶσιν ἀνθρώποις πρότερον, ξένην ὁδὸν βιώσεως, ἀποτεμνόμενον· καὶ βαπτίσαντα Χριστὸν, ἐν ταῖς Ἰορδάνου ῥοαῖς, ἀνευφημήσωμεν, Κυρίου Πρόδρομον, τὸν θεῖον καὶ θεόφρονα. Θεοτ.

ΙΕρώτατον, τῆς Παρθενίας τέμενος, ἡ ἐν γαστρὶ Θεὸν Λόγον, κυοφορήσασα· τοὺς προστρέχοντας εἰς σὲ, καὶ προσκαλουμένους Ἁγνὴ, σῶζε πρεσβείαις σου, κινδύνων λύουσα, τὴν ἔφοδον Πανάμωμε.

Ὠδὴ γ'. Ἐν πέτρᾳ με τῆς πίστεως.

ΣΤειρώσεως, τὸ ὄνειδος διαλύσας, ἐπέγνως τῆς Παρθένου τὸν θεῖον Τόκον· σκιρτήσας ἀγαλλόμενος ἐν κοιλίᾳ, Μητρὸς Πανεύφημε, Ἀγγέλων σύσκηνε, τοῦ Κυρίου Πρόδρομε, μύστα τῆς χάριτος.

ΤΑ'ς τρίβους, προητοίμασας τοῦ Κυρίου, βαδίσας πρὸ προσώπου αὐτοῦ Προφῆτα. ὡς λύχνος πᾶσι φαίνων γὰρ τὸ τῆς δόξης, Πατρὸς ἀπαύγασμα, φανὲν ἐν σώματι, δι᾽ ὕδατος ὑπέδειξας, πάντων πρόκριτε.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ΑΝέτειλας, ὡς ὄρθρος δικαιοσύνης, τὸν Ἥλιον μηνύων τοῖς ἐν τῷ σκότει· τῆς πάντων σωτηρίας γὰρ σὺ ἐγένου, Κῆρυξ καὶ Πρόδρομος, καὶ πᾶσιν ἔλεγες· τῷ Χριστῷ προσέλθετε, πίστει καὶ σώζεσθε. Θε.

ΧΑρᾶς τὴν ἀνεκλάλητον δεξαμενή, συνέλαβες ἀσπόρως τὸν σὸν Δεσπότην, τὸν πᾶσαν τὴν ὑφήλιον Θεομῆτορ, ἀνακαλούμενον· ᾧ καὶ κραυγάζομεν· ὡς οὐκ ἔστιν Ἅγιος, πλὴν σοῦ Κύριε.

Κάθ. ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Ὁ Μέγας ὑετός, πρὸς ποτάμια ῥεῖθρα, προέρχεται σαρκί, βαπτισθῆναι θελήσας. πρὸς ὃν ὁ θεῖος Πρόδρομος, ἐκθαμβούμενος ἔλεγε. πῶς βαπτίσω σε, ῥύπον μὴ ἔχοντα ὅλως· πῶς ἐκτείνωμαι, τὴν δεξιὰν ἐπὶ κάραν, ἣν τρέμει τὰ σύμπαντα;

Ἕτερον, ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

ἙΚὼν προῆλθεν ἐπὶ γῆς, καὶ ἐσαρκώθη δι' ἡμᾶς, ὡς ηὐδόκησεν αὐτός, ὁ ἀκατάληπτος Θεός. καὶ βαπτισθῆναι ἠνέσχετο ὁ φωτισμὸς ἡμῶν. ὅθεν πρὸς αὐτόν, ἀπεφθέγγετο, ὁ Πρόδρομος βοῶν· οὐ τολμῶ σου Σωτήρ, τῆς κορυφῆς ἐφάψασθαι, ὁρῶν σου, τὸ ἀκατάληπτον Κύριε. ὁ πάντα Λόγε, πρὸς τὸ συμφέρον, οἰκονομήσας δόξα σοι.

Ὠδὴ δ΄. Ὑμνῶ σε, ἀκοὴ γὰρ Κύριε.

ΡΥπῶντας ἀποπλῦναι ὕδατι, ἀπεσταλμένης πρὸς τοῦ Δεσπότου, ἀπρεπίζων δέχεσθαι, τὸν αἴροντα τὴν ἁμαρτίαν Χριστόν· καὶ τὴν πλάνην ἀπελαύνοντα, Θεογνωσίας αἴγλῃ Πανσεβάσμιε.

ΙΟῦ με δρακοντίου δήγματος, ἰαθῆναι μάκαρ δυσώπει, ὁ τὸν Χριστὸν νάμασι βαπτίσας τοῖς τοῦ Ἰορδάνου. ἐν ᾧ τῶν δρακόντων ἐμφωλευσάντων, τὴν πονηρίαν ὁ Σωτὴρ συνέθλασε.

ΣΟφίᾳ τοῦ Θεοῦ κοσμούμενος, προελήλυθας Χριστοκῆρυξ. βοῶντος γὰρ γέγονας, κραυγάζουσα μετανοεῖτε φωνή. ὡς Προφήτης προηγόρευσας, τὸν ὑπὲρ πάντας ἀνθρώπους σὲ δεικνύοντα.

ΤΗν ξένην καὶ ἀνθρώποις ἄπειρον, ἐπαγόμενος πολιτείαν, ἐπέστης τοῖς ὕδασι πανάγιε τοῦ Ἰορδάνου, φωνῆς τοῦ Πατρὸς ἀκροασάμενος, καὶ παρουσίαν Πνεύματος ὀψόμενος.

Ὁ Πάντα πλαστουργήσας Κύριος, καθ' ἡμᾶς αὐτὸς πλαστουργεῖται. ὑποδὺς γὰρ Πάναγνε τὴν μήτραν σου, τὴν παναγίαν μορφὴν, τῶν ἀνθρώπων ἠμφιάσατο, καὶ τὴν αὐτοῦ εἰκόνα διεσώσατο.

Ὠδὴ ε΄. Ὁ φωτισμός.

ΥΠερφυῶς, ἀρετῆς λαμπηδόσιν ἠγλαϊσμένος, ὡς ἐξ οὐρανίου μυσταγωγίας, ῥείθροις ἐπέστης, Ἰορδάνου βαπτίζων· καὶ καθαίρων διὰ τοῦ ὕδατος, Πρόδρομε τοὺς πίστει, ψυχῆς προσιόντας σοι.

ΤΟ καθαρόν, καὶ ἀκήρατον φέγγος μέλλων βαπτίζειν, σκεῦος καθαρότητος ἀνεδείχθης. μείζων γὰρ πάντων, ὑπ' αὐτοῦ προεκρίθης, Προφητῶν τε σεβασμιώτερος. τὸν προφητευθέντα ἰδεῖν γὰρ ἠξίωσαι.

Ὁ Προσταλεὶς, πρὸ προσώπου Κυρίου καὶ τὰς ἀληθείας, τρίβους τοῖς ἀνθρώποις ὑποδεικνύων, ἅπτεται τρέμων κορυφῆς τοῦ Δεσπότου, καὶ βαπτίζει λέγων ὁ Πρόδρομος· ἕτερον ἐκτός σου, Θεὸν οὐκ ἐπίσταμαι. Θεοτοκίον.

ΥΙὸς Θεοῦ, ὁ Υἱός σου Παρθένε σαφῶς ἐδείχθη, ἔργα ὡς Θεὸς τελῶν βουλήσει μόνῃ. ὅθεν σε πάντες, ἀληθῶς Θεοτόκον, καὶ κυρίως ἐπονομάζομεν. ἄλλην γὰρ Μητέρα Θεοῦ οὐ γινώσκομεν.

Ὠδὴ ς΄. Ἐν ἀβύσσῳ πταισμάτων.

ΣΥ τοῦ Λόγου φωνὴ προελήλυθας, καὶ ὡς ἑωσφόρος αὐτὸς ἀνατέταλκας, προκαταγγέλλων Πρόδρομε, σὺ τῆς δικαιοσύνης τὸν Ἥλιον.

ΕΠιγείους φροντίδας ἠγνόησας, καὶ τὰς οὐρανίους ἐλπίδας ἐπλούτησας· ἐπὶ τῆς γῆς ὡς Ἄγγελος, τὴν ζωὴν διανύσας Πανόλβιε.

ΠΡοφητῶν σε σφραγίδα γινώσκομεν, ὡς τῇ παλαιᾷ καὶ καινῇ μεσιτεύσαντα· καὶ Βαπτιστὴν καὶ Πρόδρομον, τοῦ Σωτῆρος Χριστοῦ καταγγέλλομεν. Θεῖον.

ΑΝερμήνευτος ὄντως ἡ σύλληψις, ἄφραστος ὁ τόκος σου καὶ ἀκατάληπτος, πᾶσι πιστοῖς γνωρίζεται, καὶ πιστεύεται μόνη Θεόνυμφε.

Κοντάκιον, Ἰδιόμελ. ἦχος πλ. β΄.

ΤΗν σωματικήν σου παρουσίαν δεδοικὼς ὁ Ἰορδάνης, τρόμῳ ὑπεστρέφετο· τὴν πνευματικὴν δὲ λατρείαν ἐκπληρῶν ὁ Ἰωάννης, φόβῳ ὑπεστέλλετο. τῶν Ἀγγέλων αἱ τάξεις ἐξεπλήττοντο, ὁρῶσαί σε ἐν ῥείθροις σαρκὶ βαπτιζόμενον. καὶ πάντες οἱ ἐν σκότει κατηυγάζοντο, ἀνυμνοῦντές σε τὸν φανέντα, καὶ φωτίσαντα τὰ πάντα.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ο Οἶκος.

Τῷ τυφλωθέντι Ἀδὰμ ἐν Ἐδέμ, ἐφάνη Ἥλιος ἐν Βηθλεέμ, καὶ ἤνοιξεν αὐτοῦ τὰς κόρας, ἀποπλύνας αὐτὰς Ἰορδάνου τοῖς ὕδασι. τῷ μεμελανωμένῳ καὶ συνεσκοτισμένῳ, φῶς ἀνέταλεν ἄσβεστον. οὐκ ἔτι αὐτῷ νὺξ, ἀλλὰ πάντα ἡμέρα· τὸ πρὸς πρωῒ, πρωῒ, δι' αὐτὸν ἐγεννήθη· δειλινὸν γὰρ ἐκρύβη ὡς γέγραπται, εὗρεν αὐγὴν ἐγείρουσαν αὐτόν. ὁ πρὸς ἑσπέραν πεσὼν, ἀπηλλάγη τοῦ γνόφου, καὶ ἔφθασε πρὸς ὄρθρον τὸν φανέντα, καὶ φωτίσαντα τὰ πάντα.

Μηνὶ τῷ αὐτῷ ζ΄. Ἡ σύναξις τοῦ Ἁγίου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου. Συνέδραμε δὲ καὶ ἡ τῆς παντίμου καὶ ἁγίας αὐτοῦ Χειρὸς πρὸς τὴν Βασιλεύουσαν μετένεξις.

Στίχ. Ἐμὴ σε γλῶσσα Κήρυξ πῶς ἂν αἰνέσῃ,
Ὃν γλῶσσα Χριστοῦ, γηγενῶν μάζω λέγει;
Μνήμῃ ἑβδομάτῃ Προδρόμου λάχον αἰδοίοιο.

Τὴν ἑπαύριον τῶν Ἁγίων Θεοφανείων, τὴν σύναξιν τοῦ πανιέρου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ, ὡς τῷ Μυστηρίῳ τοῦ θείου Βαπτίσματος ὑπουργήσαντος, παρελάβομεν ἐξ ἀρχῆς καὶ ἄνωθεν ἑορτάζειν· συναπτομένην καὶ αὐτὴν ταῖς ἄλλαις αὐτοῦ πανηγύρεσιν, ἵνα μηδενὶ τῶν ἐκείνου θαυμάτων παρασιωπήσωμεν. Συνέφθασε δὲ καὶ ταύτῃ τῇ ἡμέρᾳ ἡ τῆς παντίμου αὐτοῦ Χειρὸς πρὸς τὴν Βασιλίδα μετένεξις. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τοῖς Φορακίου. Ὠδὴ ζ΄. Βάτος ἐν ὄρει.

Ἱερουργήσας τὸ Βάπτισμα, καὶ τελειώσας Πρόδρομε τὰ πρὸς Θεὸν, σαφῶς δοθέντα σοι Μυστήρια· ὡς ἀρνίον ἄκακον, ἱερουργούμενος, προσηνέχθης θυσία. διὸ μετὰ σοῦ συμφώνως ψάλλομεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Νέος Ἠλίας φαινόμενος, σὺν παῤῥησίᾳ Πρόδρομε καὶ Βασιλεῖς, σαφῶς ἐλέγχων ἀνομήσαντας, καὶ τὸν βίον ἄϋλον ἐπιδεικνύμενος, ὡς ἐκεῖνος τρισμάκαρ. διὸ μετὰ σοῦ Προφῆτα ψάλλομεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ Προφητῶν περισσότερος, καὶ Ἀποστόλων Πρόδρομε τῶν τοῦ Χριστοῦ, τὸ θεῖον γέρας κληρωσάμενος. σὺ τοῦ Νόμου πλήρωμα, καὶ ἀπαρχὴ σαφῶς, νέας χάριτος ὤφθης. διὸ μετὰ σοῦ τρισμάκαρ ψάλλομεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ὑμνολογίαις τὴν πάναγνον, καὶ Θεοδόχον Δέσποιναν πανευσεβῶς, ἀξίως πάντες ἀνυμνήσωμεν· ὡς Θεὸν κυήσασαν, μονογενῆ ἡμῖν, τοῖς ἀνθρώποις ὀφθέντα. πρὸς ὃν οἱ πιστοὶ συμφώνως ψάλλομεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Κάμινος ποτέ.

Σὲ τὸν ἐπὶ γῆς, ἰσάγγελον φανέντα, παρηλλαγμένῳ πολιτεύματι, καὶ πάντων ἀνώτερον, Ἰωάννη Παμμακάριστε, χαρμονικῶς γεραίρομεν, κράζοντες εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Μίαν ἐν τρισὶ, Θεότητος οὐσίαν, ὁμοουσίοις ὑποστάσεσι, Προφῆτα μεμύησαι. τῇ φωνῇ γὰρ τοῦ Γεννήτορος, καὶ παρουσίᾳ Πνεύματος, ἔγνως τὸν βαπτισθέντα, Λόγον Θεοῦ τὸν ἀΐδιον.

Ὄρθρος νοητὸς, τὸν Ἥλιον μηνύων, τὸν ἐκ Παρθένου ἀνατείλαντα, ἐκ γαστρὸς προέδραμες, Ἰωάννη πανσεβάσμιε, καὶ τὸν Ἀμνὸν ἐκήρυξας, Κόσμου τὴν ἁμαρτίαν, φιλανθρωπίᾳ τὸν αἴροντα.

Ὕπερθεν ἡμᾶς, νῦν Μάκαρ ἐποπτεύων, ταῖς σαῖς πρεσβείαις διαφύλαξον, τῷ θείῳ κηρύγματι, ἑπομένους σου πανόλβιε, καὶ διδαχαῖς ἐμβαίνοντας, Πρόδρομε τοῖς ἐνθέοις, καὶ σωτηρίοις σου δόγμασι. Θεοτοκίον.

Δόξης τοῦ Πατρὸς, συνέλαβες ἀφράστως, τὸ προαιώνιον ἀπαύγασμα, καὶ Λόγον τὸν ἄναρχον, ἐν ἀρχῇ ὄντα νοούμενον· καὶ νῦν ἐκ σοῦ πρωτότοκον, Πάναγνε γεγονότα, ἀναλλοιώτως τῆς Κτίσεως.

Ὠδὴ θ΄. Ἡ τὸν πρὸ Ἡλίου φωστῆρα.

Ἐκ τῆς ἐρημίας, ἡ πρόδρομος φωνὴ, τὸν Λόγον δείκνυσι, σωματικῶς ἡμῖν ἐπιδημήσαντα· καὶ παρόντα περιχαρῶς, βαπτίζειν εὐτρεπίζεται, τὸν τὰς ψυχὰς καθαίροντα, τῆς ἁμαρτίας διὰ πίστεως.

Χάρις τε καὶ Νόμος, μεσίτην σε σεπτὸν, σαφῶς προβάλλεται. ὁ μὲν σφραγίζοντα, ἡ δὲ ἀρχόμενον, τὸν ἁπάντων τῶν Προφητῶν, τῷ Λόγῳ προτιμώμενον· τὸν ὑπὲρ τὰ ὁρώμενα, βεβιωκότα πανσεβάσμιε.

Ὁ τοῖς Ἀσωμάτοις, ἐφάμιλλον ζωὴν ἐπιδειξάμενος, Ἀγγελικαῖς χορείαις συνευφραίνεται· καὶ τῷ θρόνῳ παρεστηκὼς, τοῦ Δεσπότου ἀγάλλεται· τοῖς εὐφημοῦσιν ἄφεσιν, καὶ σωτηρίαν ἐξαιτούμενος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοτοκίον.

ΥΠὲρ εὐσπλαγχνίαν, ὁ πάντων Λυτρωτὴς ἄνθρωπος γίνεται· καὶ σαρκικὴν καταδέχεται γέννησιν, φιλανθρώπως ὑπὲρ ἀνθρώπων, ὁ φύσει ὢν φιλάνθρωπος, Παρθενικῆς ἐκ μήτρας σου, Θεογεννῆτορ παμμακάριστε.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

ΠΡοφήτην σε προέφησε, τῶν Προφητῶν ὑπέρτερον, ἐν γεννητοῖς ὁ Δεσπότης, γυναικῶν μείζονα πάντων. ὃν γὰρ Προφῆται ἅπαντες, καὶ Νόμος προκατήγγειλαν, Χριστὸν σαρκὶ ἑώρακας· ὃν καὶ βαπτίσαι ἠξιώθης, σεβασμιώτερος πάντων.

Καὶ τῆς Ἑορτῆς. Ἐπεφάνη ὁ Σωτήρ.

Εἰς τοὺς Αἴνους, τό, Πᾶσα πνοή. ἱστῶμεν στίχ. ϛʹ. καὶ ψάλλομεν στιχ. ἰδιόμ. τῆς Ἑορτῆς, ἦχος αʹ. Φῶς ἐκ φωτός. Πῶς σε Χριστέ.

Καὶ τὰ ἕτερα. Δόξα, ἦχος πλ. βʹ.

ΑΓγελος ἐκ στειρωτικῶν ὠδίνων, προῆλθες Βαπτιστά, ἐξ αὐτῶν τῶν σπαργάνων τὴν ἔρημον οἰκήσας· σφραγίς τε πάντων τῶν Προφητῶν ἐδείχθης. ὃν γὰρ ἐκεῖνοι πολυτρόπως ἐθεάσαντο, καὶ αἰνιγματωδῶς προεκήρυξαν, τοῦτον βαπτίσαι ἐν Ἰορδάνῃ κατηξιώθης. φωνῆς τε ἀκήκοας, Πατρικῆς οὐρανόθεν, μαρτυρούσης αὐτοῦ τὴν Υἱότητα. καὶ τὸ Πνεῦμα εἶδες, περιστερᾶς ἐν εἴδει, τὴν φωνὴν ἕλκον ἐπὶ τὸν βαπτιζόμενον. ἀλλ᾽ ὦ πάντων τῶν Προφητῶν ὑπέρτερε, μὴ διαλίπῃς πρεσβεύων ὑπὲρ ἡμῶν, τῶν πιστῶς σου τελούντων τὰ μνημόσυνα.

Καὶ νῦν. ἦχος βʹ.

Σήμερον ὁ Χριστὸς ἐν Ἰορδάνῃ ἦλθε βαπτισθῆναι.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου. Ὠδὴ γʹ. καὶ ϛʹ.

Προκείμ. τοῦ Ἀποστόλου. ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

ἘΝ ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἐν τῷ τὸν Ἀπολλὼ εἶναι ἐν Κορίνθῳ.

Ζήτει εἰς τὰς Ὥρας τῶν Ἁγίων Θεοφανείων, Ὥρᾳ γʹ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

ΤΩ͂ καιρῷ ἐκείνῳ, βλέπει ὁ Ἰωάννης τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει· Ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Κόσμου. Οὗτός ἐστι, περὶ οὗ ἐγὼ εἶπον· ὀπίσω μου ἔρχεται ἀνήρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν. Κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ᾽ ἵνα φανερωθῇ τῷ Ἰσραήλ, διὰ τοῦτο ἦλθον ἐγὼ ἐν τῷ ὕδατι βαπτίζων. Καὶ ἐμαρτύρησεν Ἰωάννης, λέγων· ὅτι τεθέαμαι τὸ Πνεῦμα καταβαῖνον ὡσεὶ περιστερὰν ἐξ Οὐρανοῦ, καὶ ἔμεινεν ἐπ᾽ αὐτόν· Κἀγὼ οὐκ ᾔδειν αὐτόν· ἀλλ᾽ ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· Ἐφ᾽ ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον, καὶ μένον ἐπ᾽ αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι Ἁγίῳ. Κἀγὼ ἑώρακα, καὶ μεμαρτύρηκα, ὅτι οὗτός ἐστιν ὁ Υἱὸς τοῦ Θεοῦ.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ ηʹ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γεωργίου τοῦ Χοζεβίτου· καὶ τῆς Ὁσίας Μητρὸς ἡμῶν Δομνίκας.

Ἡ Ἀκολουθία τῆς Ἑορτῆς. καὶ τῶν Ἁγίων· ζήτει εἰς Ὅσιον, καὶ εἰς Ὁσίαν.

Μηνὶ τῷ αὐτῷ θʹ.

Τοῦ Ἁγίου Μάρτυρος Πολυεύκτου.

Ἡ Ἀκολουθία τῆς Ἑορτῆς. καὶ τοῦ Ἁγίου· ζήτει εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιʹ.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου Νύσσης· καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαρκιανοῦ Πρεσβυτέρου, καὶ Οἰκονόμου τῆς μεγάλης Ἐκκλησίας· καὶ τοῦ ἐν Ἁγίοις Δομετιανοῦ Ἐπισκόπου Μελιτινῆς.

Τὴν Ἀκολουθίαν ζήτει εἰς Ἱεράρχας, καὶ εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ ΙΑʹ.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδοσίου τοῦ Κοινοβιάρχου.

Εἰς τὸ Λυχνικόν, στιχολογοῦμεν τὸ αʹ. Ἀντίφωνον, τό, Μακάριος ἀνήρ. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛʹ. καὶ ψάλλομεν στιχ. ἦχος πλ. αʹ. Ὅσιε Πάτερ. Θεοφάνους τοῦ ὁμολογητοῦ.

ὍΣιε Πάτερ, Θεοφόρε Θεοδόσιε, μεγάλως ἠγωνίσω ἐν τῇ προσκαίρῳ ζωῇ, ἐν ὕμνοις καὶ νηστείαις καὶ ἀγρυπνίαις· τύπος γενόμενος τῶν σῶν φοιτητῶν. νῦν δὲ συγχορεύεις μετὰ τῶν Ἀσωμάτων, Χριστὸν ἀπαύστως δοξολογῶν, τὸν ἐκ Θεοῦ Θεὸν Λόγον καὶ Λυτρω-



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

τὴν· τὸν ὑποκλίναντα τὴν Κάραν τῷ Προδρόμῳ, καὶ ἁγιάσαντα τὴν φύσιν τῶν ὑδάτων. αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος.

Ὅσιε Πάτερ, Θεοφόρε Θεοδόσιε, ἐραστὰ ὡς ἐπόθει, τὴν καθαράν σου ψυχὴν, τοῦ Πνεύματος ἡ χάρις τοῦ Παναγίου, σοὶ ἐνεσκήνωσεν ὡς ἀπρόσιτον φῶς. ὃ τῇ ἐνεργείᾳ φαιδρῶς ἠγλαϊσμένος, Χριστὸν ἀπαύστως δοξολογεῖς, τὸν ἐν δυσὶ ταῖς οὐσίαις ἕνα Υἱόν· τὸν βαπτιζόμενον χειρὶ τῇ τοῦ Προδρόμου, καὶ μαρτυρούμενον τῇ φωνῇ τῇ Πατρῴᾳ. αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Οἰκουμένῃ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος.

Ὅσιε Πάτερ, Θεοφόρε Θεοδόσιε, εἰκότως ἠξιώθης τῆς μακαρίας ζωῆς, ἁγνείᾳ καὶ ἀσκήσει ταύτην ἐρῶν. ζῶν γὰρ μετέστης πρὸς τὴν ἄνω ζωὴν, πᾶσι χαίρων ἐπῶν· καὶ σὺν τοῖς Ἀσωμάτοις, Χριστὸν ἀπαύστως δοξολογῶν· τὸν ἐκ Παρθένου ἀφράστως σάρκα λαβόντα, καὶ καταδύσαντα τὰς ἡμῶν ἁμαρτίας, ἐν τῷ Βαπτίσματι, ἐν ῥεέθροις Ἰορδάνου. αὐτὸν ἱκέτευε, αὐτὸν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Οἰκουμένῃ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος. Δόξα, ἦχος β'.

Ὅσιε Πάτερ, ὡς πόλιν ζῶντος Θεοῦ, εὔφρανας τὴν ἱεράν σου ψυχὴν, τοῦ ποταμοῦ τὰ ὁρμήματα, τοῦ ὕδατος τῆς ἀφέσεως, τοῦ διελθόντος τὸν Ἰορδάνην, καὶ πᾶσι τοῖς πέρασι, τῆς εὐσεβείας τὸν λόγον πηγάσαντος, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ὃν ἱκέτευε παμμάκαρ Θεοδόσιε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Ὑπέκλινας Κάραν τῷ Προδρόμῳ.

Εἴσοδος. Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. ζήτει Δεκεμβρίῳ ε'.

Εἰς τὸν στ. στ. Προσόμοια τῆς Ἑορτῆς, καὶ λέγε οἷα βούλει. Δόξα, τοῦ Ἁγίου, ἦχος πλ. δ'.

Τῶν μοναστῶν τὰ πλήθη. Καὶ νῦν τῆς Ἑορτῆς. Ἀπολυτίκιον. Ταῖς τῶν δακρύων σου ῥοαῖς. καὶ τῆς Ἑορτῆς. Ἐν Ἰορδάνῃ.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. καὶ β'. στιχολ. καθίσματα τῆς Ἑορτῆς. ζήτει αὐτὰ εἰς τὴν ἡμέραν τῆς Ἑορτῆς. Μετὰ τὸν Πολυέλεον καθισμ. ἦχος γ'.

Θείας Πίστεως.

Θείας αἴρων σου, χεῖρας πρὸς ὕψος, στῦλος Ὅσιε, φωσφόρος ὤφθης, τῶν προσευχῶν ἐν ταῖς ἀκτῖσι λαμπόμενος. πρὸς Οὐρανὸν γὰρ πτερώσας διάνοιαν, καὶ τῶν ἀρρήτων γενόμενος μέτοχος, ὅλος ἤστραψας, Χριστὸν τὸν Θεὸν αἰτούμενος, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος. Δίς.

Τῆς Ἑορτῆς. Ἡ Παρθένος σήμερον.

Ὁ Δεσπότης σήμερον, ἐν Ἰορδάνῃ ἐπέστη, βαπτισθεὶς ἐν ὕδασιν, ὑπὸ τοῦ θείου Προδρόμου. ἄνωθεν ὁ Πατὴρ δὲ προσεμαρτύρει· οὗτός ἐστιν ὁ Υἱὸς ὁ ἀγαπητός μου. καὶ τὸ Πνεῦμα ἐπεφάνη, ἐν ξένῃ θέᾳ, περιστερᾶς ἐπ' αὐτόν.

Οἱ Ἀναβαθμοὶ, τὸ α'. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμ. ἦχος δ'.

Τίμιος ἐναντίον Κυρίου.

Στ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Πᾶσα πνοή. Εὐαγγέλιον ζήτει τῇ ιζ'. τοῦ Μηνὸς τούτου, εἰς τὸν Ὄρθρον τοῦ μεγάλου Ἀντωνίου. ὁ Ν'. καὶ τὸ ἰδιόμ. ἦχος πλ. β'.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ὁ Κανὼν τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς η'. καὶ τοῦ Ἁγίου εἰς ς'. Ὠδὴ α'. ἦχος β'.

Ἐν βυθῷ κατέστρωσέ ποτε.

Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ὡς σοφὸς ταξίαρχος ἡμῶν, Πάτερ Θεοδόσιε, θεοπρεπῶς τὴν ᾠδὴν προανάκρουσον, τῷ ἐπιδημήσαντι, εἰς παγκόσμιον σωτηρίαν Χριστῷ τῷ Θεῷ· καὶ τὴν πανάγιαν μνήμην σου, σὺν ἑαυτῷ δοξάσαντι.

Ἐξ ἐρήμου Πρόδρομος Χριστοῦ, τῆς Ἀαρωνίτιδος, Ἐλισάβετ ὁ βλαστὸς προελήλυθεν· ἐν τῇ κολυμβήθρᾳ δὲ, Θεοδόσιος γεννηθεὶς διὰ Πνεύματος, ἐρημοπολίτης γέγονε, τῷ Ἰησοῦ ἑπόμενος.

Βαπτισθέντος ῥεέθροις τοῦ Χριστοῦ, τῆς Ἰσραηλίτιδος, συναγωγῆς καθαιρεῖται τὸ φρύαγμα· ἐν τῇ Ἐκκλησίᾳ δὲ, ἡ ἰσάγγελος πολιτεία πεφύτευται. ἣν ἀνεπιστρόφως, ἤνυσας παμμάκαρ Θεοδόσιε.

Κοινωνὸς τοῦ Πάθους γεγονὼς, Πάτερ δι' ἀσκήσεως, τοῦ δι' ἡμᾶς τῷ Σταυρῷ ὁμιλήσαντος, ἐπαξίως σύμμορφος, ἐχρημάτισας τῆς αὐτοῦ ἀναστάσεως· καὶ συγκληρονόμος, γέγονας τῆς δόξης Θεοδόσιε. Θεοτ.

Νεανίδων θείων ὁ χορὸς, εὐθεαστικώτατα, ἐν γυναιξί σε καλὴν ὀνομάζο-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σι, Θεοτόκε Δέσποινα, καλλοναῖς ὡραϊζομένην Θεότητος. τὸν καλλοποιὸν γὰρ Λόγον, ὑπὲρ λόγον ἀπεκύησας.

Καταβασία. Βυθοῦ ἀνεκάλυψε.

Ὠδὴ γ'. Ἐξήνθησεν ἡ ἔρημος.

Ὕδασι στεγάζων, τὰ ὑπερῷα Κύριος, σωματικῶς τὰ ῥεῖθρα, τοῦ Ἰορδάνου περιεβάλετο. ἐν ᾧ ἐστερεώθη ἡ καρδία μου.

Φῶς ἐν Ἰορδάνῃ, τὸ θεῖον λάμψας βλάστημα, τοῖς ἐπὶ γῆς θεόσδοτον, ἀλογίας καὶ προαιρέσεως, ἀγαθῆς σε προφαίνει Θεοδόσιε.

Κατέλιπες τὸν Κόσμον, καὶ τὰ ἐν Κόσμῳ Ὅσιε· τὴν τελεσθεῖσαν γύμνωσιν τοῦ Δεσπότου ἐκμιμησάμενος, ἐπὶ τοῦ Ἰορδάνου Θεοδόσιε.

Τὸν Σταυρὸν τοῦ Σωτῆρος, ἐπ' ὤμων ἄρας ἔδραμες, ἐπὶ τὸν τούτου τάφον, ἐλάφου δίκην ἐπὶ ὑδάτων πηγαῖς, σωτηρίας παμμάκαρ Θεοδόσιε.

Θεοτοκίον.

Τὰ τάγματα ἐξέστησαν, τῶν Ἀγγέλων Πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν, αἱ καρδίαι ἐπὶ τῷ Τόκῳ σου. διό σε Θεοτόκον πίστει σέβομεν.

Κα. ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐγκρατείᾳ καὶ πόνοις καὶ προσευχαῖς, τὴν ψυχήν σου κοσμήσας θεοπρεπῶς, γέγονας συμμέτοχος, τῶν Ὁσίων ἀοίδιμε· καὶ τῶν θαυμάτων ὄντως, χαρίσματα ἔλαβες, τοῦ ἰᾶσθαι τὰς νόσους, τῶν πίστει τιμώντων σε. ὅθεν καὶ δαιμόνων, ἀπελαύνων τὰ πλήθη, παρέχεις ἰάματα, τοῖς ἀνθρώποις τῇ χάριτι, Θεοφόρε Θεοδόσιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Δίς.

Καὶ τῆς Ἑορτῆς. Τὴν Σοφίαν καὶ Λόγον.

Ἰορδάνης τῷ ῥείθρῳ σοι ὑπουργεῖ. Ἰωάννης ἐκτείνει χεῖρα φθαρτὴν, φανέντος σου Ἀόρατε, ἐν σαρκὶ πρὸς τὸ Βάπτισμα. ἀλλ' ὁ μὲν εἰς τὰ ὀπίσθεν, ἐμφόβως ἐστρέφετο, ὁ δὲ κρατῶν σε τρόμῳ, ἐβόα σοι Κύριε· πῶς σὲ τὸν ἥλιον, καθαρῶν λαμπηδόνων, καὶ πάσης ἐπέκεινα, καθαρότητος τελοῦντα, ἐκκαθάρω Βαπτίσματι; ἅπασαν τὴν φύσιν αὐτὸς, τῶν ὑδάτων δέομαι ἁγίασον, κἀμὲ Σωτήρ μου, τῇ θείᾳ ἐπιφανείᾳ σου.

Ὠδὴ δ'. Ἐλήλυθας, ἐκ Παρθένου.

Ἐν ὕδασι, κεφαλὰς τῶν δρακόντων συνέτριψας· καὶ διὰ τοῦ Πνεύματος, Λόγε Θεοῦ ἀνεκαίνισας, ὅλον με τὸν ἄνθρωπον. διὸ κραυγάζω σοι· δόξα τῇ δυνάμει σου Κύριε.

Τοῦ κλίναντος, κορυφὴν τῷ Προδρόμῳ μιμούμενος, Χριστοῦ τὸ ὑπήκοον, καὶ τὴν ἀρίστην ταπείνωσιν, Πάτερ Θεοδόσιε, πρὸς ἀρετῶν ἀνηνέχθης πύργον ἄσειστον.

Τῇ Παρθένῳ, καὶ Μητρὶ λειτουργήσας Χριστοῦ τοῦ Θεοῦ, τὴν ἀκαταμάχητον, χάριν ἐδέξω τοῦ Πνεύματος, Πάτερ Θεοδόσιε, καὶ δυσμενεῖς ἀοράτους καταβέβληκας.

Τῶν Μάγων σε, τὸ ἀοίδιμον ἄντρον δεξάμενον, δωροφόρον ἔδειξε, τῷ δι' ἡμᾶς βαπτισθέντι Χριστῷ, πίστει Θεοδόσιε· καὶ σὺν ἐλπίδι, ἀγάπην προσκομίζοντα.

Τοῖς Πάθεσι, τοῦ Δεσπότου Χριστοῦ δυναμούμενος, τὰ τῆς συναθλήσεως, πόθῳ ἀνέτλης μαρτύριον, Πάτερ Θεοδόσιε, τοῦ ζοφεροῦ προπαλαίων Κοσμοκράτορι.

Θεοτοκίον.

Συνέλαβες, ἐν γαστρί σου ἀσπόρως τὸν Κύριον, καὶ τοῦτον ἐκύησας, σεσαρκωμένον τὸν σώζοντα, Κόσμον ταῖς πρεσβείαις σου. διό σοι κράζομεν· χαῖρε ἀειπάρθενε Δέσποινα.

Ὠδὴ ε'. Μεσίτης Θεοῦ.

Ἐξάψας τὸν νοῦν, τοῦ ἡμᾶς ἐν ῥείθροις καινουργήσαντος, σοφῶς ὑπεστήριξες, καταβεβλημένον δι' ἀσκήσεως, κρεμαστῆρσι τὸ σῶμα, Παμμάκαρ Θεοδόσιε.

Τὸν βίον σοφὲ, τοῦ θανάτου θέμενος μελέτημα, ἐκδημῆσαι σπεύδων τε, πρὸς τὸν δι' ἡμᾶς ἐπιφανέντα σαρκὶ, σεαυτῷ ἐδομήσω, τὸν τάφον Θεοδόσιε.

Τὸν θάνατον Χριστοῦ, τὸν ἑκούσιον ὁ σὸς φοιτητὴς, ὁ κλεινὸς Βασίλειος, Πάτερ Θεοδόσιε μιμούμενος, τὸν καινὸν ἐγκαινίζει, τάφον ἀγαλλόμενος. Θεοτοκίον.

Ἰδοὺ ἐν γαστρὶ, Θεοτόκε Πάναγνε Χριστὸν τὸν Θεὸν, ὑπὲρ λόγον ἔσχηκας, ὥσπερ Ἡσαΐας προηγόρευσεν· ὑπὲρ φύσιν τε τοῦτον, Θεογεννῆτορ τέτοκας.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἀφθαρσίαν ἡμῖν ἐδωρήσω Χριστὲ, ἐν τῇ Ἀναστάσει σου. ὅθεν Βασίλειος, ὁ εὐκλεὴς θεράπων σου, καὶ θανὼν, ὥσπερ ζῶν ἐπιφαίνεται.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ Καθαίρων τὸν Κόσμον βαπτίζεται, δι' ἐμὲ βροτὸς ὁ Θεὸς, κατ' ἐμὲ γεγονώς· ὃν ἐν δυσὶ ταῖς φύσεσι, Θεοδόσιε μάκαρ ἐκήρυξας.

Γλυκασμὸν εὐφροσύνης Χριστῷ τῷ Θεῷ, τῷ τῶν Μυροφόρων τὰ δάκρυα τρέψαντι, εἰς χαρὰν Θεοδόσιε, οἱ κρουνοὶ τῶν δακρύων σου ἔσταξαν. Θεοτοκίον.

Συμπαθείας τῆς σῆς με ἀξίωσον, ἡ τὸν συμπαθέστατον Λόγον κυήσασα, τὸν τῷ ἰδίῳ Αἵματι, ἐκ φθορᾶς τοὺς ἀνθρώπους ῥυσάμενον.

Κοντάκιον, ἦχος πλ. δ'. Τῇ ὑπερμάχῳ.

Πεφυτευμένος ἐν αὐλαῖς ταῖς τοῦ Κυρίου σου, τὰς φανωτάτας ἀρετὰς τερπνῶς ἐξήνθησας· καὶ ἐπλήθυνας τὰ τέκνα σου ἐν ἐρήμῳ, τῶν δακρύων σου τοῖς ὄμβροις ἀρδευόμενα, Ἀγελάρχα τῶν θείων ἐπαύλεων· ὅθεν κράζομεν· χαίροις Πάτερ Θεοδόσιε.

Ὁ Οἶκος.

Ἄνθρωπος μὲν τῇ φύσει, ἐχρημάτισας Πάτερ, ἀλλ' ὤφθης συμπολίτης Ἀγγέλων. ὡς γὰρ ἄσαρκος ἐπὶ τῆς γῆς βιοτεύσας σοφὲ, τῆς σαρκὸς ἅπασαν τὴν πρόνοιαν ἀπέρριψας. διὸ καὶ παρ' ἡμῶν ἀκούεις·

Χαίροις Πατρὸς εὐλαβοῦς ὁ γόνος.
Χαίροις Μητρὸς εὐσεβοῦς ὁ κλάδος.
Χαίροις τῆς Ἐρήμου πολιστὴς ὁ παγκόσμιος.
Χαίροις Οἰκουμένης φωστὴρ ὁ πολύφωτος.
Χαίροις, ὅτι ἐκ νεότητος ἠκολούθησας Χριστῷ.
Χαίροις, ὅτι κατεμάρανας τῆς σαρκὸς τὰς ἡδονάς.
Χαίροις τῶν Μοναζόντων πρόξενος σωτηρίας.
Χαίροις τῶν ῥαθυμούντων τρόπος παρηγορίας.
Χαίροις πολλοὺς ἐκ πλάνης ῥυσάμενος.
Χαίροις κρουνοὺς θαυμάτων δωρούμενος.
Χαίροις πτωχῶν τὴν φροντίδα ποιήσας.
Χαίροις ἡμῶν ὁ προστάτης καὶ ῥύστης.
Χαίροις Πάτερ Θεοδόσιε.

Μηνὶ τῷ αὐτῷ ια'. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδοσίου τοῦ Κοινοβιάρχου, καὶ Καθηγητοῦ τῆς ἐρήμου.

Στίχ. Κοινοῦ Θεοδόσιος ἡγεμὼν βίου,
Κοινὴ μονασταῖς βιώσας σωτηρία.
Ἑνδεκάτῃ ὀλοὸν βίοτον λίπε Κοινοβιάρχης.

Οὗτος ὁ ὅσιος Πατὴρ ἡμῶν Θεοδόσιος ὑπῆρχεν ἐκ Κώμης Μωγαρισσοῦ τῆς Καππαδοκῶν Ἐπαρχίας· Πατρὸς Προαιρεσίου, καὶ Μητρὸς Εὐλογίας, ἀμφοτέρων εὐσεβῶν καὶ πιστῶν. Ὑπέδυ δὲ τὸν μονήρη βίον, καὶ τὸ τούτου ἱερὸν ἔνδυμα. Καταλαβὼν δὲ τὰ Ἱεροσόλυμα, ἐκεῖθεν εἰς Ἀντιόχειαν παρεγένετο πρὸς τὸν μέγαν Συμεὼν τὸν Στυλίτην. Παρ' οὗ τὴν ἐσομένην αὐτῷ ἐπίδοσιν πρὸς ἀρετὴν ἐμυήθη· ὅτι πολλῶν γενήσεται λογικῶν θρεμμάτων ποιμήν. Εἶτα ἡσυχάζει παρὰ Λογγίνῳ τινὶ ἀοιδίμῳ ἀνδρί. Τὴν ἄκραν δὲ ἐγκράτειαν μετελθὼν, ὡς τῆς ἑβδομάδος ἅπαξ σιτίζεσθαι· καὶ ἐπὶ τριάκοντα χρόνοις ἄρτου ὅλως μὴ γευσάμενος, καὶ τὴν ἄλλην ἀρετὴν ἀσκήσας, ἐπὶ τοσοῦτον ἀναβάσεως ὕψος ἦλθεν, ὡς παράδοξα θαύματα ἐκτελεῖν. Οὗτος δι' εὐχῆς ὑετὸν κατήγαγε. Προεῖπε δὲ καὶ τὴν διὰ σεισμοῦ μέλλουσαν κατάπτωσιν καταλαμβάνειν τὴν Ἀντιόχειαν. καὶ πολλοὺς τοῦ θαλασσίου κλύδωνος ἐρρύσατο, κινδυνεύουσι τούτοις ἐπιφανείς. καὶ πολλῶν Μαθητῶν Καθηγητὴς γεγονὼς, πρὸς Κύριον ἐξεδήμησε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ σεπτῷ Ἀποστολείῳ τοῦ Ἁγίου Ἀποστόλου Πέτρου.

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

Ὁ Ῥεῖθρα φλογίζοντα τὴν ἁμαρτίαν, καὶ φλόγα δροσίζουσαν ἀνθρώπων γένος, Κύριε, ἐν τῷ σῷ Βαπτίσματι, συνάψας Λόγε Θεοῦ, ὁ ὑπερυψούμενος Θεὸς, εὐλογημένος καὶ ὑπερένδοξος.

Σῶ, κάμινον τεύξαντι τὸν Ἰορδάνην, σαυτὸν ὡς θυμίαμα, ὁλοκαυτώσας Ὅσιε· καὶ φλόγα οὐράνιον, ἀψευδὲς σύμβολον, θείας ἐπινεύσεως λαβὼν, σηκὸν ἱδρύσω ψυχῶν σωτήριον.

Τοῖς σοῖς στρατηγήμασι τὰ τοῦ Μωσέως, ὑπείκει τῆς χάριτος, ἐπιφανείσης Ὅσιε. ἐχθροὺς ἀοράτους γὰρ καταστρεψάμενος, Πόλιν ἐπουράνιον ὁ σὸς, κληροδοτεῖται λαὸς Πανεύφημε.

Σῶ, ῥείθροις ἐνθάψαντι τὴν ἁμαρτίαν, σαυτὸν ἐνδιαίτημα ἑδράσας Θεοδόσιε, θεάρεστον τέμενος, ἐποικοδόμησας, φέρον ἀκατάπαυστον ᾠδὴν, νομοθετήσας ἐν πολυγλώσσοις φωναῖς.

Τῶν Παίδων μιμούμενος τὴν παρρησίαν, Τυράννου πυρίπνοον ἀπειλὴν ἐξεφαύλισας· σοφῶς προϊστάμενος, τῆς Ἐκκλησίας Χριστοῦ, Πάτερ Θεοδόσιε· δι' ἣν, ἑκὼν ὡράθη, σαρκὶ σταυρούμενος.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοτοκίον.

Ἡ Ἀνάχραντον σύλληψιν, ἄφθορον τόκον, σὺ μόνη ὑπέδειξας, Παρθένος διαμείνασα. Θεὸν γὰρ συνέλαβες, τὸν ὑπὲρ πάντων Ἁγνή, ἄνθρωπον γενόμενον, πιστῶν εἰς σωτηρίαν καὶ ἀπολύτρωσιν.

Ὠδὴ η᾽. Κάμινος ποτέ.

Κάμινος ποτέ, ἐν Βαβυλῶνι ῥεῖθρα, τοῦ Ἰορδάνου ἐξεικόνισε, τῷ Θείῳ Βαπτίσματι· ἐναντίους καταφλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα κράζοντας· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῶν σωματικῶν, παθῶν προεκδημήσας, τῆς Ἐκκλησίας Θεοδόσιος, ἐν τοῖς κενεῶσι τῆς γῆς, τῶν ὑδάτων ἐξαιρούμενος, τῷ νεανίᾳ δείκνυται κράζοντι· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τέγονε τῶν σῶν, χαρῶν ἡ εὐλογία, τὸ τοῦ ἐν ῥείθροις βαπτισθέντος Χριστοῦ, θειότατον πρόσαγμα, τῇ ἀνίκμῳ γονιμώτατον, ὕδωρ, καὶ θάλπων Ἥλιος. κόκκος γὰρ εἰς πολύχουν, σῖτον ἀσπόρως ἐτρέφετο.

Γνόφον νοητόν, φωτὸς τοῦ θειοτάτου, σὺ ὑπεισδύνας Θεοδόσιε· καὶ πλάκας δακτύλῳ Θεοῦ, ἐγγραφείσας τῇ καρδίᾳ σου· τὰ εὐσεβείας δόγματα, ἔφερες τοῖς φοιτῶσι, βίβλον ζωῆς Παμμακάριστε.

Πίστιν ἀρραγῆ, τὴν τῆς Αἱμοῤῥόου Πάτερ, ἐκμιμησάμενον τὸ γνήσιον, τοῦ ῥάκκους ἁψάμενον, ὥσπερ σκότος τῷ ἐν σοὶ φωτισμῷ, τὸ πάθος ἐφυγάδευσε. γέγονας ἐκλογῆς γάρ, σκεῦος τῷ ἐπιφανέντι Χριστῷ.

Σὲ τὸν ἐκ Θεοῦ, Θεὸν ἑωρακότες, σωματικῶς ἐπιφανέντα Χριστέ· ἀῤῥήτως ἐπέγνωμεν, τὸν ἀόρατον Πατέρα σου, καὶ Πνεῦμά σου τὸ Ἅγιον κράζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτ.

Σὺ τὸν τοῦ Πατρός, ἀχώριστον ἐν μήτρᾳ, Θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες, καὶ ἀφράστως ἀπεκύησας, Θεὸν ὁμοῦ καὶ Ἄνθρωπον. ὅθεν σε σωτηρίαν, πάντων ἡμῶν ἐπιστάμεθα.

Ὠδὴ θ᾽. Ἀνάρχου Γεννήτορος.

Συνόδους ἐκήρυξας, Θεόφρον Θεοδόσιε, τῶν τεσσάρων ἰσαρίθμους Εὐαγγελίων Χριστοῦ· τὸ τῆς προαιρέσεως αἷμα, μαρτυρικῷ, προθέμενος ζήλῳ· καὶ Μάρτυς ἀναίμακτος, εὐσεβείας ἀναδέδειξαι.

Ἡ Δίκη τὸν ἄδικον, ἐνδίκως κατεδίκασε, τῆς σῆς ὑπερορίας προεξορίσασα· καὶ διὰ βλασφήμων χειλέων, τὴν δυσσεβῆ, ψυχὴν ἐξελοῦσα, ζωῆς τε στερήσασα, τῆς ζωῆς τὸν ἐχθρὸν Ὅσιε.

Τῶν σῶν μεμνημένοι, διδαγμάτων Θεοδόσιε, ἐν δυσὶ ταῖς οὐσίαις Χριστὸν κηρύττομεν. δύο τὰς θελήσεις εἰδότες, τὰς ψυχικάς, καὶ τὰς ἐνεργείας, καὶ τὰ αὐτεξούσια, ἐν Θεῷ τῷ βαπτισθέντι σαρκί.

Φερώνυμος δόσις ἀγαθή, ἐκ τοῦ τῶν φώτων Πατρός, τῶν ψυχῶν καὶ σωμάτων ἰατρὸς πέφυκας· βρῶσις εὐθηνοῦσα καὶ πόσις, τῶν ἐν λιμῷ, τακέντων καὶ δίψῃ, γυμνῶν περιβόλαιον, καὶ πιπτόντων ἐπανόρθωσις.

Μὴ παύσῃ τὴν ποίμνην σου, ἐφορῶν Πάτερ Ὅσιε, καὶ τῆς σῆς μεμνημένος καθυποσχέσεως· ἧς τὰς τῆς ἐλπίδος ἀγκύρας, ὡς ἀρραγοῦς, ἐξήψαμεν πέτρας· πρὸς Χριστὸν μεσίτην σε, κεκτημένοι Θεοδόσιε. Θεοτ.

Ὡς ὄρθρος εὐφέθης πρωϊνός, ἐν τῇ τοῦ βίου νυκτί, Παρθενίας ἀκτῖσι περιαστράπτουσα· τὴν ἀνατολὴν τοῦ Ἡλίου τοῦ νοητοῦ, τῆς δικαιοσύνης ἡμῖν φανερώσασα, Θεομῆτορ Πανσεβάσμιε.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Τὸν νοῦν καθάρας Ὅσιε, τῆς τῶν παθῶν συγχύσεως, τρανῶς ἐδέξω τὰς θείας, ἐμφάσεις τῆς ὑπερφώτου, καὶ τρισλαμποῦς Θεότητος, παμμάκαρ Θεοδόσιε, τῶν Ἀσκητῶν ἀγλάϊσμα. καὶ νῦν πρεσβεύων μὴ παύσῃ, ὑπὲρ ἡμῶν Θεοφόρε. Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, τό, Πᾶσα πνοή. ἵστῶμεν στίχ. δ᾽. καὶ ψάλλομεν στιχ. ἦχος πλ. α᾽.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Οἶκον τῶν ἱερῶν ἀρετῶν, προκατασκευάσας σεαυτὸν Θεοδόσιε, τὸν θεῖον, τῆς Θεοτόκου, κατηξιώθης Ναόν, κατοικεῖν καὶ τοῦτον ἐπισκέπτεσθαι. Θεοῦ τὴν λαμπρότητα, θεωρεῖν γὰρ ἠγάπησας. τῆς ἀληθοῦς δέ, νῦν σκηνῆς τὴν εὐπρέπειαν, καὶ τὴν ἄφραστον, καθορᾷς ὡραιότητα. ἣν περ ἐθεμελίωσεν, ὁ Ὕψιστος Ὅσιε, καὶ κατοικίζει προθύμως, τοὺς πρὸς αὐτὸν ἀναβαίνοντας. αὐτὸν δυσώπει ταῖς ψυχαῖς ἡμῶν δωρηθῆναι, τὸ μέγα ἔλεος.

Ὅνοις ἀσκητικοῖς σεαυτόν, ἀνακαθάρας, μιμητὴς ἐχρημάτισας, Παμμάκαρ, τοῦ σοῦ Δεσπότου· τῆς γὰρ κρασπέδων



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῶν σῶν, ἀψαμένης πάθος ἐθεράπευσας. λιμῷ τηκομένους, ἐν τῇ ἐρήμῳ δὲ ἔθρεψας· ἐξ ἀκενώτου, χορηγῶν θησαυρίσματος, ὡς φερώνυμος, Θεοῦ δόσις γενόμενος. Πίστιν δὲ τὴν ὀρθόδοξον, ἐκήρυξας Ὅσιε, τὴν τοῦ Τυράννου μανίαν, ἀντ᾿ οὐδενὸς λογισάμενος. Χριστὸν ἱκέτευε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Φλόγα τῆς πρὸς Θεὸν ἀκλινοῦς, καὶ διαπύρου καὶ θερμῆς ἀγαπήσεως, ἐξάψας, τὸν οὐρανόθεν αὐτεκομίσω πυρσόν, εὐδοκίαν θείαν σοὶ μηνύοντα· Ναὸν ἁγιώτατον, ἀρετῆς παιδευτήριον, οἰκοδομῆσαι, καὶ ψυχῶν φροντιστήριον· ὃν δεξάμενος, εὐσεβῶς ἐτελείωσας. εὔθα καὶ τὸ πολύαθλον, κατάκειται σῶμά σου, θήκαις ὁσίαις Παμμάκαρ, διαφερόντως τιμώμενον. Χριστὸν δωρηθῆναι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Ὄντως ἕως σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ Θεοδόσιε, διῆλθες ἀγαλλιάσει, καὶ εὐφροσύνῃ ψυχῆς, εὔθα ἦχος Πάτερ, ἑορτάζοντος· τερπνῆς ἀκουσόμενος, καὶ γλυκείας ὑμνήσεως· καὶ τῆς ἀφράστου, θυμηδίας καὶ τέρψεως, γενησόμενος, ἐν μεθέξει Μακάριε· ἧς μόνης ἐφιέμενος, τὴν σάρκα ἐνέκρωσας· ἧς καὶ ἐπέτυχες θείᾳ, δικαιοσύνῃ κοσμούμενος. Χριστὸν ἱκέτευε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα, ἦχος β΄.

Τῶν ἀρετῶν ἡ κλίμαξ, ὑπογραμμὸς ἀνεδείχθη ἐπὶ τῆς γῆς. τοῦτον εὐφημήσωμεν ὡς Ἀσκητῶν ἐγκαλλώπισμα. ἐξασκήσας γὰρ ἀληθῶς, ὥσπερ ὁ μέγας Ἀντώνιος, ἄμετρον ταπείνωσιν ἐνδεξάμενος. καὶ ποιμάνας τὸν λαὸν αὐτοῦ εὐσεβῶς, εἰς μάνδραν ἁγίαν ἐνήλασεν· οὗ ὁ χορὸς τῶν Ἁγίων κατεσκήνωσεν. ἐκτενῶς οὖν βοῶμέν σοι· μὴ ἐπιλάθῃ καὶ νῦν τῆς ποίμνης σου, Παμμάκαρ Θεοδόσιε· ἀλλὰ πρεσβείαις σου πρὸς Κύριον, σῶσον ἡμᾶς δεόμεθα.

Καὶ νῦν, τῆς Ἑορτῆς, ἦχος ὁ αὐτός.

Σήμερον ὁ Χριστὸς ἐν Ἰορδάνῃ ἦλθε βαπτισθῆναι. Ζήτει εἰς τὴν Ἑορτήν.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἑορτῆς. Ὠδὴ γ΄. καὶ τοῦ Ἁγίου Ὠδὴ ς΄.

Προκείμενον, ἦχος βαρύς.

Τίμιος ἐναντίον Κυρίου.

Στ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

Ἀδελφοί, μνημονεύετε τῶν ἡγουμένων ὑ- Κεφ. ιγ΄. 17.
μῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ. Ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν Πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας. Διδαχαῖς ποικίλαις καὶ ξέναις μὴ περιφέρεσθε. Καλὸν γὰρ χάριτι βεβαιοῦσθαι τὴν καρδίαν, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες. Ἔχομεν θυσιαστήριον, ἐξ οὗ φαγεῖν οὐκ ἔχουσιν ἐξουσίαν οἱ τῇ σκηνῇ λατρεύοντες. Ὧν γὰρ εἰσφέρεται ζώων τὸ αἷμα περὶ ἁμαρτίας εἰς τὰ Ἅγια διὰ τοῦ Ἀρχιερέως, τούτων τὰ σώματα κατακαίεται ἔξω τῆς παρεμβολῆς. Διὸ καὶ Ἰησοῦς, ἵνα ἁγιάσῃ διὰ τοῦ ἰδίου αἵματος τὸν λαόν, ἔξω τῆς πύλης ἔπαθε. Τοίνυν ἐξερχώμεθα πρὸς αὐτὸν ἔξω τῆς παρεμβολῆς, τὸν ὀνειδισμὸν αὐτοῦ φέροντες. Οὐ γὰρ ἔχομεν ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν ἐπιζητοῦμεν. Δι᾿ αὐτοῦ οὖν ἀναφέρομεν θυσίαν αἰνέσεως διαπαντὸς τῷ Θεῷ, τουτέστι καρπὸν χειλέων, ὁμολογούντων τῷ ὀνόματι αὐτοῦ. Τῆς δὲ εὐποιΐας καὶ κοινωνίας μὴ ἐπιλανθάνεσθε· τοιαύταις γὰρ θυσίαις εὐαρεστεῖται ὁ Θεός.

Ἀλληλούϊα. Μακάριος ἀνήρ. Τὸ δὲ Εὐαγγέλιον, καὶ τὸ Κοινωνικόν, ζήτει ἔμπροσθεν τοῦ Μεγάλου Ἀντωνίου, εἰς τὰς ιζ΄.

Μηνὶ τῷ αὐτῷ ιβ΄.

Τῆς Ἁγίας Μάρτυρος Τατιανῆς· ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα γυναῖκα.

Μηνὶ τῷ αὐτῷ ιγ΄.

Τῶν Ἁγίων Μαρτύρων, Ἑρμύλου, καὶ Στρατονίκου. Τῇ αὐτῇ ἡμέρᾳ συμψάλλομεν καὶ τὴν Ἀκολουθίαν τῶν Ἁγίων Ἀββάδων, διὰ τὸ ἀποδίδοσθαι τὴν Ἑορτὴν εἰς τὰς ιδ΄. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας, καὶ εἰς Ὁσιομάρτυρας.

Μηνὶ τῷ αὐτῷ ιδ΄.

Τῶν Ὁσίων Πατέρων ἡμῶν, τῶν ἐν Σινᾷ, καὶ Ῥαϊθοῦ ἀναιρεθέντων. Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδομεν τὴν Ἑορτὴν τῶν Ἁγίων Θεοφανείων· καὶ ψάλλομεν τὴν ἅπασαν Ἀκολουθίαν ἔν τε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ, καθὼς καὶ ἐν τῇ Ἑορτῇ, ἄνευ τῶν Ἀναγνωσμάτων.

Μηνὶ τῷ αὐτῷ ιε΄.

Τῶν Ὁσίων Πατέρων ἡμῶν, Παύλου τοῦ Θηβαίου, καὶ Ἰωάννου τοῦ Καλυβίτου· ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίους.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Μηνὶ τῷ αὐτῷ ΙϚʹ.

Ἡ προσκύνησις τῆς τιμίας Ἁλύσεως τοῦ Ἁγίου, Πανευφήμου, καὶ Πρωτοκορυφαίου τῶν Ἀποστόλων Πέτρου.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛʹ. καὶ ψάλλομεν στιχηρὰ. ἦχος δʹ.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Τὴν ἀπάτην ἐδέσμευσας, ἐν Κυρίῳ δεσμούμενος, καὶ εἱρκτῇ Ἀπόστολε συγκλειόμενος. διό σε πόθῳ γεραίρομεν, καὶ πίστει τὴν ἅλυσιν, ἀσπαζόμεθα τὴν σήν· ἐξ αὐτῆς ἀρρυόμενοι, ῥῶσιν σώματος, καὶ ψυχῆς σωτηρίαν κατὰ χρέος, εὐφημοῦμέν σε Θεόπτα, τῶν Ἀσωμάτων ἐφάμιλλε.

Καὶ σοῦ γνῶσιν δέχεται, ἀγνωσίᾳ κρατούμενα, τῶν Ἐθνῶν πολύσπορα, γένη πρότερον· ὧν τὴν εἰκόνα ἐδήλωσεν, ἐξ ὕψους φερόμενον, σκεῦος ἔνδοθεν χωροῦν, ἅπαν ζῶον Ἀπόστολε. ὅθεν πᾶσά σε, ἡλικία δοξάζει προσκυνοῦσα, ἃς ἐφόρεσας ἁλύσεις, ὑπὲρ Χριστοῦ προθυμότατα.

Ὃν ἠρνήσω κρινόμενον, ἐγειρόμενον ὕμνησας, ἐκ νεκρῶν Ἀπόστολε, καὶ ἐκήρυξας, εἰς τὰ τοῦ Κόσμου πληρώματα, Θεόν τε καὶ ἄνθρωπον, ἀγαθότητι πολλῇ, τοῖς βροτοῖς ὁμιλήσαντα. ὅθεν πόθῳ σε, μακαρίζομεν Πέτρε, προσκυνοῦντες, ἃς ἐφόρεσας ἁλύσεις, ὑπὲρ Χριστοῦ Πανᾀοίδιμε. Δόξα, ἦχος πλ. βʹ. Βυζαντίου.

Σήμερον ἡμῖν ἡ κρηπὶς τῆς Ἐκκλησίας, Πέτρος ἡ πέτρα τῆς Πίστεως, προτίθεται τὴν τιμίαν αὐτοῦ ἅλυσιν, εἰς ψυχικὴν εὐεξίαν. δεῦτε πάντες ταύτην προσπτυσσόμενοι, ἐν εὐφήμοις ᾠδαῖς αὐτὸν καταστέψωμεν. χαίροις ὁ θερμὸς τῆς Πίστεως πρόμαχος, ὁ θερμῇ τῇ διανοίᾳ τὸν Χριστὸν ὁμολογήσας, Υἱὸν Θεοῦ ἐν παρρησίᾳ πολλῇ. χαίροις τῆς οἰκουμένης τὸ ἀγαλλίαμα, καὶ τῆς Οὐρανῶν Βασιλείας Κλειδοῦχε, χάριν πορίζων τοῖς πόθῳ σε τιμῶσι, καὶ τὴν σὴν σεβάσμιον ἅλυσιν προσπτυσσομένοις ἐκ πόθου· ὡς παριστάμενος τῷ θρόνῳ τοῦ Παντάνακτος Θεοῦ, πρεσβείαν ποιούμενος, ὑπὲρ ἡμῶν τῶν ἐπταικότων.

Καὶ νῦν. Θεοτοκίον. ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν στίχον. στιχηρὰ. ἦχος δʹ. Ἔδωκας σημείωσιν.

Ἅλυσιν τὴν πάντιμον, ἐν ᾗ παθῶν διαλέλυται, τὰ δεσμὰ προσκυνήσωμεν. σεπτῶς γὰρ ἡγίασαι, δωρεαῖς ἀρρήτοις, Πέτρου τοῦ πανσόφου· καὶ παρ' αὐτοῦ ὡς ἀληθῶς, ἀένναον δεχομένη χάριν ἀένναον· σειρὰς καὶ αὐτὴ θλίψεων, καθὼς αὐτὸς παραπτώσεων. θεοσδότως συμπέμνουσα, τῶν δεινῶν λύσιν δίδωσιν.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ἅμπτασοῦ ἡ ἅλυσις, ὦ Κορυφαῖε ἀοίδιμε, ὡς σειρὰ ἐπουράνιος. δι' ἧς ἀναγόμεθα, ἀπὸ γῆς πρὸς ὕψος, πυλῶν οὐρανίων. καὶ ὡς κλειδούχῳ σοι σοφέ, καὶ ὑπερλάμπρῳ πιστῶς πελάζομεν· τὰς κλεῖς ὧν Ἀξιάγαστε, τῆς Βασιλείας ἀγόμενος, συμπαθῶς ἡμῖν ἄνοιξον, τὴν σωτήριον εἴσοδον.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Σύμφωνον τὸν αἶνόν σοι, Ἀγγελικαὶ τάξεις σήμερον, σὺν βροτοῖς Πέτρε μέλπουσιν. Ἀγγέλου εἰσόδῳ γάρ, τὴν πλευρὰν νυγείς σου, καὶ φρουρὰς προτρέχων, τὴν ἐν ἁλύσει συνοχήν, τοῖς σὲ δεσμοῦσι δεσμὸν ἀπέλιπες. ἡμῖν δὲ ταύτην πάνσοφε, τὴν χαρμονὴν παρεχόμενος, τῶν πταισμάτων τὰ ἄλυτα, διαλύεις ἐγκλήματα. Δόξα, ἦχος πλ. βʹ.

Πάλιν ἡμῖν ὁ θερμὸς Προστάτης, συνεγείρεται πρὸς πνευματικὴν πανδαισίαν, Πέτρος ἡ πέτρα τῆς Πίστεως· τὴν τιμίαν αὐτοῦ ἅλυσιν προτιθεὶς ἡμῖν, καθάπερ ὀψώνιον πολυτελές· εἰς νοσημάτων ἰατρεῖον, εἰς θλιβομένων παραμυθίαν, εἰς λιμένα χειμαζομένων. δεῦτε πάντες ταύτην περιπτυξώμεθα, καὶ τὸν αὐτὸν Δοξάσαντα δυσωπήσωμεν, ταῖς αὐτοῦ ἱκεσίαις Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Τροπάριον, ἦχος δʹ.

Τὴν Ῥώμην μὴ λιπών, πρὸς ἡμᾶς ἐπεδήμησας, δι' ὧν ἐφόρεσας τιμίων ἁλύσεων, τῶν Ἀποστόλων Πρωτόθρονε. ἃς ἐν πίστει προσκυνοῦντες δεόμεθα, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τῆς Ὀκτωήχου, καὶ τοῦ Ἀποστόλου εἰς ϛʹ. οὗ ἡ ἀκροστιχίς.

Ἄνευ τῶν Θεοτοκίων.

Πέτρου τὰ δεσμὰ προσκυνοῦμεν ἐκ πόθου.

Θεοφάνους. Ὠδὴ αʹ. ἦχος δʹ.

Ἀνοίξω τὸ στόμα μου.

Πέτρᾳ στηριζόμενοι, ὁμολογίας ἐνθέου σου Πρωτόθρονε καύχημα, τῶν Ἀποστόλων Χριστοῦ· προσκυνοῦμέν σου ἐν πίστει τὰς ἁλύσεις, ἐν αἷς σου αἱ ἄχραντοι, χεῖρες ἐδέθησαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔθετό σε Κύριος, τῆς ἑαυτοῦ σωματώσεως, Ἀπόστολε Μάρτυρα παναληθέστατον, διηγούμενον αὐτοῦ, τὴν παρουσίαν, Σταυρὸν καὶ τὸν θάνατον, καὶ τὴν Ἀνάστασιν.

Τρίτον ἀρνησάμενος, τοῖς θεοκτόνοις τὸν Κύριον, βροτῶν ὑψηλότατον, οὐδὲν διήμαρτες, τῆς προτέρας σου, Θεολογίας Πέτρε· ἐκήρυξας τοῦτον γάρ, Υἱὸν Θεοῦ καὶ Θεόν.

Ῥῆξον τοὺς κλοιοὺς ἡμῶν, τῆς ἁμαρτίας Ἀπόστολε, πιστῶς προσκυνούντων σου, τὴν θείαν ἄλυσιν· καὶ τὰς κλεῖς ἡμῖν, τῆς ἄνω Βασιλείας, σπλαγχνισθεὶς διάνοιξον, ὡς συμπαθέστατος. Θεοτοκίον.

Ἁγνείας τὸ Πάναγνον, ὁ ῥυπαρός τε καὶ ἄναγνος, ἐγὼ ἐνδιαίτημα, μέλπειν οὐ σθένω σου, Ἀπειρόγαμε. διό με τῇ χωνείᾳ, τοῦ Πνεύματος κάθαρον, ἵνα δοξάζω σε.

Ὠδὴ γ'. Οὐκ ἐν Σοφίᾳ.

Οἷς σε Ἡρώδης, ὡς κακοῦργον κλοιοῖς κατεδίκασεν, ἐν αὐτοῖς σε νῦν τιμᾷ, ἡ Ἐκκλησία Πανεύφημε, Πέτρε τὰ παθήματα, σοῦ προσκυνοῦσα πιστῶς.

Ὑπὲρ χρυσίον, καὶ πολύτιμον κόσμον κεκόσμηται, ταῖς Ἁλύσεσι ταῖς σαῖς, ἡ Ἐκκλησία νῦν ἅπασα, ἃς καὶ κατασπάζεται, σεμνυνομένη ἐν σοί.

Τετραδίοις σε, παραδοὺς ὁ Τετράρχης ἐν τέσσαρσι, καὶ Ἅλυσι περιθείς, ἐφρούρει Πέτρε τοῦ κτανεῖν σε· ἐξ ὧν σε ἐρρύσατο, Χριστὸς Ἀγγέλου χειρί.

Ὑπὸ τοῦ θείου, καὶ πανσέπτου χρωτός σου Ἀπόστολε, μετασχόντα τὰ κλοιά, τὰ σοὶ προσψαύσαντα χάριτος, ταύτας ἁγιάζουσι, τοὺς προσκυνοῦντας αὐτά. Θεοτοκίον.

Ἡ διὰ κατάρας, τῆς ἀρχαίας ἐλύθη τὸ βρότειον, καὶ κατήργηται Σατάν, Ἁγνὴ τοῦ πτώματος αἴτιος, ἡμῖν γὰρ ἐγέννησας, τὴν Εὐλογίαν αὐτήν.

Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τριάδος γενόμενος, τῆς Ὑπερθέου Ναός, ἐν οἴκῳ ἁγίῳ σου, τοὺς σὲ τιμῶντας πιστῶς, ἁγίασον, φώτισον, πλήρωσον τὰς αἰτήσεις, καὶ ταραχῆς τὰς λύσεις, ταύτων τῶν ἐπιόντων, τοῦ Βελίαρ σκανδάλων, Χριστὸν ἐκδυσωπῶν ἐκτενῶς, Πέτρε Ἀπόστολε.

Ἕτερον. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὡς Κορυφαῖον τῶν σοφῶν Ἀποστόλων, καὶ ὡς κλειδοῦχον Οὐρανῶν Βασιλείας, εὐφημοῦμεν πίστει σε Ἀπόστολε, καὶ κατασπαζόμεθα καθαρᾷ συνειδήσει, Πέτρε ἃς ἐφόρεσας, ὡς κακοῦργος Ἁλύσεις, τῆς κακουργίας λύων τοῦ ἐχθροῦ. ἐξ ὧν ῥυσθῆναι ἡμᾶς καθικέτευε.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν Χερουβὶμ καὶ Σεραφὶμ Ὑπερτέραν, τοῦ Οὐρανοῦ τε καὶ τῆς γῆς Πλατυτέραν, καὶ ἀοράτου Κτίσεως καὶ τῆς ὁρατῆς, ὤφθης ὑπερέχουσα, ἀσυγκρίτῳ συγκρίσει· ὃν αἱ εὐρυχωρίαι γάρ, Οὐρανῶν οὐ χωροῦσιν, ἐν τῇ Γαστρὶ ἐχώρησας Ἁγνή· ὃν ἐκδυσώπει σωθῆναι τοὺς δούλους σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν ἐξ Ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα, ἡ ἐπ' ἐσχάτων σε σαρκὶ Τετοκυῖα, ἐπὶ Σταυροῦ κρεμάμενον, ὁρῶσά σε Χριστέ. οἴμοι Ποθεινότατε, Ἰησοῦ ἀνεβόα, πῶς ὁ δοξαζόμενος, ὡς Θεὸς ὑπ' Ἀγγέλων, ὑπὸ ἀνόμων νῦν βροτῶν Υἱέ, θέλων σταυροῦσαι; ὑμνῶ σε Μακρόθυμε.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Διαζώννυται σου πίστει, νοητῶς ἡ Βασίλειος, ἀλουργὶς καὶ Πόλις, Πέτρε τὴν Σειρὰν τὴν ὑπέρτιμον. ἣν αἰσθητῶς προσκυνοῦσα, κατασπάζεται, καὶ γεραίρει σου, καὶ τὴν ἰσχὺν καὶ τὰ θαύματα.

Ἐν φρουρᾷ σε κλοιοφόρον, ὁ Ἡρώδης ἀπέθετο, τοῦ ἀναγαγεῖν σε, δήμῳ Θεοκτόνῳ Ἀπόστολε. διασωθεὶς δὲ Θεόθεν, καταλέλοιπας, ἃς προσκυνήσειν τὰ σὰ δεσμὰ τοῖς οἰκέταις σου.

Στομωθεῖσα τῇ προσψαύσει, τοῦ ἀχράντου σου Σώματος, καὶ χαριτωθεῖσα, ἡ περιτεθεῖσά σοι Ἅλυσις, ἁγιασμὸν ἡμῖν πᾶσι μεταδίδωσι, προσκυνοῦσιν αὐτήν, διὰ σὲ Πέτρε Πάνσεπτε.

Μετὰ δέους τε καὶ πόθου, προσελθόντες προσπέσωμεν, τοῖς δεσμοῖς τοῦ Πέτρου, διὰ τῶν συμβόλων προσάγοντες, τῷ Ἀποστόλῳ τὴν Πίστιν βεβαιούμενοι, τὴν προσκύνησιν, ὡς πρὸς αὐτὸν διαβαίνουσαν.

Θεοτοκίον.

Θεοτόκον ὡς τεκοῦσαν, Σὲ Θεὸν μετὰ Σώματος, ἀνυμνολογοῦμεν, πᾶσαν ἀποτρέποντες αἵρεσιν. ἐν ἑαυτῷ γὰρ ὁ Λόγος ἐξ αἱμάτων σου, Σάρκα ἔμψυχον, ζωοπλαστήσας ἐπέφανεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠδὴ ε΄. Νῦν ἀναστήσομαι.

Ἆρον Ἀπόστολε, τῆς ἁμαρτίας μου τὰ κλοιὰ, τὰ ἐπικείμενά μοι ἐπαυχένια, καὶ ὠθοῦντα πρὸς φθορὰν, ὡς ἐξουσίαν τοῦ Σωτῆρος ἀληφὼς, τοῦ δεσμεῖν καὶ λύειν τὰ πταίσματα.

Παῦσον Πανεύφημε, τὴν ἐπανάστασιν τῶν Ἐθνῶν. λῦσον τὰ σκάνδαλα, τῆς Ἐκκλησίας δὲ τὴν ὁμόνοιαν δίδους, ὁ ὑπὲρ ταύτης ἐν Ἁλύσει δεσμευθείς. ἣν πιστῶς καὶ περιπτυσσόμεθα.

Ῥῦσαι Ἀπόστολε, αἰχμαλωσίας τῆς νοητῆς, τοὺς προσκυνοῦντάς σου πιστῶς τὴν Ἅλυσιν, καὶ διάσωσον ἡμᾶς, πρὸς Οὐρανίους, ἃς πεπίστευσαι σκηνὰς, ὡς Ποιμὴν ἡμῶν καὶ Διδάσκαλος.

Οὓς ἐδικαίωσε, τῇ μεσιτείᾳ σου τῇ φρικτῇ, Πέτρε Ἀπόστολε, ὁ σὸς Διδάσκαλος βασιλείαν ἐφ' ἡμᾶς, Ὀρθοδοξοῦντας, διαφύλαττε τῇ σῇ, κραταιᾷ δεξιᾷ πανεύφημε. Θκ.

Εἶδεν ὁ Ἥλιος, ἀπαυγασμάτων τῶν ἑαυτοῦ, σὲ διαφέρουσαν πολλῷ Πανύμνητε. ἐξ ἧς ὤφθη ὁ Θεὸς, ἐνανθρωπήσας, τοὺς τιμῶντάς σε πρὸς φῶς, ἀνυψῶν τῆς αὐτοῦ Θεότητος.

Ὠδὴ ς΄. Ἦλθον εἰς τὰ βάθη.

Σήμερον οὐράνιαι Δυνάμεις, καὶ Ἀποστόλων δῆμοι, συνευφραίνονται τοῖς ἐπιγείοις, Πέτρε τῶν σῶν, παθημάτων βλέποντες, προσκυνούμενα τὰ σύμβολα.

Κροτοῦσιν Ἁγίων αἱ Χορεῖαι, καὶ ὀλολύζει φάλαγξ, ἡ δαιμόνιος ἀτιμουμένη, Πέτρε τῶν σῶν, παθημάτων βλέπουσα, προσκυνούμενα τὰ σύμβολα.

Ὕπνωσαν Ἀγγέλου παρουσίᾳ, οἱ στρατιῶται Πέτρε, οἱ φρουροῦντές σε, ἐκ τῶν χειρῶν δὲ, ἄφνω τῶν σῶν, αἱ ἁλύσεις ἔπεσον, ἃς ὁσίως ἀσπαζόμεθα.

Νεκρὰν Ταβηθὰν ἐξαναστήσας, τοὺς δὲ φρουροὺς νεκρώσας, τῶν ἁλύσεων ἐξετινάχθης ταῦτα τὰ σὰ, ὑπὲρ νοῦν Ἀπόστολε. ὅθεν πίστει σε γεραίρομεν. Θκίον.

Ἦλθον εἰς χειμῶνα ἀπωλείας, καὶ συνεπάραξάν με, ποταμοὶ σφαλμάτων ἀμετρήτων· ἀλλ' ἐπ' ἐμὲ, σπλαγχνισθεῖσα Δέσποινα, πρὸς λιμένα θεῖον ἴθυνον.

Κοντάκ. ἦχος β΄. Τὴν ἐν πρεσβείαις.

Τὸν Κορυφαῖον καὶ πρῶτον τῶν Ἀποστόλων, καὶ ἀληθείας τὸν ἔνθεον ὑποφήτην, Πέτρον τὸν μέγιστον εὐφημήσωμεν, καὶ τὴν αὐτοῦ ἐν πίστει ἀσπασώμεθα ἅλυσιν, πταισμάτων τὴν λύσιν κομιζόμενοι. Ὁ Οἶκος.

Τὸν εὐκλεῆ καὶ μέγαν Κυρίου Μαθητὴν, ἐπαξίως ποία γλῶσσα βροτῶν ἐγκωμιάσαι δυνήσεται; ὃν γὰρ εὐλόγως ὁ Θεῖος Λόγος ἐμακάρισε, ποῖος νοῦς ἐπαινέσει; ὅμως, ἐπεὶ ὅπερ τις κατὰ δύναμιν κέκτηται, ὀφείλει Θεῷ προσφέρειν, τοῦτο δὴ καὶ ποιῆσαι πειράσομαι. ἀλλ' ὦ Φιλέορτοι, εὐσεβῶς τὸν Πρωτόθρονον ᾄσμασι στέψωμεν, πταισμάτων τὴν λύσιν κομιζόμενοι.

Τῷ αὐτῷ Μηνὶ ις΄. Ἡ προσκύνησις τῆς τιμίας Ἁλύσεως τοῦ Ἁγίου Ἀποστόλου Πέτρου.

Στίχ. Σὲ τὴν προσκυνοῦντα Πέτρε σειρὰν τιμίαν, Σειρὰς μακρὰς λῦσόν μου τῶν ἐγκλημάτων.

Σειρὴν προσκυνέω Πέτρου δεκάτῃ ἐνὶ ἕκτῃ.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ, τῆς τιμίας Ἁλύσεως τοῦ ἁγίου Πέτρου, τὴν προσκύνησιν ποιούμεθα, ἣν αὐτῷ περιέθηκεν, (ὡς ὁ Ἀπόστολος Λουκᾶς ἐν ταῖς Πράξεσιν ἱστορεῖ,) ὁ τετράρχης Ἡρώδης. Λυθεῖσαν δὲ ταύτην ἐξ ἐπιφανείας Ἀγγέλου, τινὲς τῶν πιστῶν εἰρόντες, κατὰ διαδοχὴν διεφύλαξαν. Ἥτις ὕστερον παρὰ τῶν εὐσεβῶν εἰς Κωνσταντινούπολιν ἀνεκομίσθη, καὶ κατετέθη ἐν τῷ Ναῷ τοῦ Ἁγίου Πέτρου, τῷ ὄντι ἔνδον τῆς μεγάλης Ἐκκλησίας· ἔνθα καὶ ἡ σύναξις αὐτοῦ τελεῖται.

Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.

Ὁ βασιλεύειν μὲν δοκῶν, βεβασιλευμένος δὲ μᾶλλον, ὑφ' ἡδονῆς, τὸ ἀρεστὸν, Ἰουδαίοις ποιῶν χειροπέδαις σε, σιδηραῖς κατεδίκασεν. ἃς Ἀπόστολε τιμῶμεν, σὲ ἀνυμνοῦντες.

Ὑποχωρεῖ σοι Μαθητὰ, τοῦ Χριστοῦ ἡ σύμπασα Κτίσις. τὰ γὰρ πελάγη πορευτὰ, τὰ κλοιὰ ὡς στυππεῖα· πυλῶνες δὲ, σιδηροῖ σοι ὡς ἄμφοδα, ἐλογίσθησαν δυνάμει τοῦ Παρακλήτου.

Μάγους ψευδεῖς συναναιρῶν, νέκυας ἐγείρων, χωλούς τε, καὶ παραμενεῖς ὑγιῶν, καὶ νοσοῦντας σκιᾷ σου ἰώμενος, κεκλεισμένων διῆλθες πυλῶν, καὶ κλοιῶν ἐπικειμένων ἐξέδυς Πέτρε.

Ἐκ Παλαιστίνης ὁ Χριστοῦ, ἵππος καὶ Ἀπόστολος Πέτρος, ὡς ἐκ βαλβίδος προελθὼν, καὶ τῷ Κόσμῳ κηρύξας, ἐν Ῥώμῃ μὲν τῇ προτέρᾳ κατέπαυσε, τοῖς τῇ Ἕῳ δοὺς τὴν ἅλυσιν προσκυνεῖσθαι. Θεοτοκίον.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τῆς σῆς λοχείας τὴν κάμινον, ἡ Χαλδαϊκὴ φλὸξ ἐδήλου, τοὺς Παῖδας βλάπτουσα μηδέν· τοῖς πολλοῖς τοιγαροῦν παραπτώμασι, φλογιζόμενον Δέσποινα, τῆς πρεσβείας σου τῇ δρόσῳ διάσωσόν με.

Ὠδὴ η'. Λυτρωτὰ τοῦ παντός.

Νομοθέτα Ποιμὴν καὶ Διδάσκαλε, τῶν θρεμμάτων Χριστοῦ Πέτρε Πάγκλητε, τοὺς εὐσεβῶς ὑμνοῦντάς σε, καὶ πιστῶς προσκυνοῦντας, σοῦ τὰς Ἁλύσεις, ἁμαρτίας δεσμῶν ἀπολύτρωσαι.

Ἐνοχλήσεις δαιμόνων ἀπέλασον, ἁμαρτίας χειμῶνα κατεύνασον, νόσους κινδύνους θλίψεις τε, καὶ βαρβάρων ἐφόδους, διώκων Πέτρε, ἀπὸ τῶν τὰς Ἁλύσεις τιμώντων σου.

Κεχαρίτωται πᾶς προσαπτόμενος, τῆς τιμίας σειρᾶς σου Ἀπόστολε, ἁγιασμοῦ πληρούμενος, καὶ χαρᾷ ἀναμέλπει· πάντα τὰ ἔργα, εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Πανδαισίας ἁπάσης ὑπέρκειται, ἡδονῆς τῶν σεπτῶν σου Ἁλύσεων, ἡ εὐλαβὴς προσκύνησις. σὺ γὰρ καὶ ἐξιάτωρ τῆς εὐφροσύνης, τῆς τοιαύτης ἐνθέου Ἀπόστολε. Θεοτ.

Ἐφερπύσας τρυφῆς ἐξορίζει με, δυσβουλίαις ὁ ὄφις ὁ δόλιος· βουλῆς δ' ὁ Μέγας Ἄγγελος, βροτωθεὶς ἐκ σῆς Μήτρας, τοῦ Παραδείσου, οἰκήτορα καὶ πάλιν εἰργάσατο.

Ὠδὴ θ'. Ἅπας γηγενής.

Ὅλος γλυκασμός, ὑπάρχεις Ἀπόστολε ἀνευφημούμενος· πάσης θυμηδίας τε, πεπληρωμέναι αἱ πανηγύρεις σου. διὸ καὶ νῦν τοὺς δούλους σου, τοὺς προσκυνοῦντας πιστῶς, τὰ δεσμά σου, εὔφρανον, ἁγίασον, καὶ φαιδρῶς ἑορτάσαι ἀξίωσον.

Θραῦσον τὴν ἰσχύν, τῶν Ἐθνῶν Ἀπόστολε, τῶν πολεμούντων ἡμᾶς· καὶ τῷ Βασιλεῖ ἡμῶν, ἀμάχῳ σθένει σου καθυπόταξον, ἐν χειροπέδαις ἄρχοντας, αὐτῶν τῇ Πόλει σου θριαμβεύων, ἔνθα σου ἡ Ἅλυσις, τῶν ἀχράντων χειρῶν νῦν τετίμηται.

Ὄντως ἀληθεῖς, οἱ λόγοι σου Δέσποτα, οὓς ἀπεφήνω εἰπών· ὁ πιστεύων εἰς ἐμέ, καὶ μείζονά μου ἔργα ἐργάσεται. ἰδοὺ γὰρ ὁ Ἀπόστολος, καὶ ζῶν τὰ πάθη σκιᾷ, ἐξιᾶτο· καὶ νῦν τοῖς κλοιοῖς αὐτοῦ, τὰ ποικίλα ἐργάζεται θαύματα. Δόξα.

Ὕψιστε Πατήρ, Υἱὲ καὶ Παράκλητε, Τριὰς ὁμότιμε, ταῖς τοῦ Κορυφαίου σου, τῶν Ἀποστόλων Πέτρου δεήσεσι, τῷ Βασιλεῖ συμμάχησον, ἐν τοῖς πολέμοις ἀεί, τῇ δὲ Πόλει, ἄσειστον ἀκλόνητον, εἰρηναίαν παράσχου κατάστασιν. Καὶ νῦν Θεοτοκίον.

Ἅπαντες βροτοί, ὑμνεῖν ἀποροῦντές σου τὸ ξένον Λόχευμα, τὸν τοῦ καταπτάντος σοι, Ἀγγέλου λόγον χαίροντες ᾄδομεν· χαίροις βροτῶν ἡ Λύτρωσις, τῶν πεινωμένων τροφή. τῶν δαιμόνων, χαίροις ἀμυντήριον. χαίροις σπίλων ἡμῶν καθαρτήριον.

Ἐξαποστειλ. Ἐν Πνεύματι τῷ ἱερῷ.

Ταῖς Ἁλύσεσι δεσμούμενον, τῶν παθῶν με τὸν τάλαν, ἀπόλυσον Μακάριε, ὡς ποτὲ τὰς Ἁλύσεις, διέλυσεν ὁ Ἄγγελος, τοῦ Θεοῦ, καὶ τῆς εἱρκτῆς, ἐξήγαγε παραδόξως, συγκλεισθέντα σε ταύτης, Ἀποστόλων κορωνίς, μακαριώτατε Πέτρε. Θεοτοκίον. Ὅμοιον.

Παρθένος Παναμώμητος, σὺ ἐγνώσθης καὶ Μήτηρ, ὡς Θεόν τε καὶ Ἄνθρωπον, ὑπὲρ φύσιν τεκοῦσα. καὶ σωτηρία γέγονεν, ἡ κυοφορία σου, τοῖς μελῳδοῦσιν ἐκ πόθου. δόξα πρέπει τιμή τε, καὶ προσκύνησις Τριάδι, τῇ ἀσχέτῳ καὶ Θείᾳ.

Εἰς τοὺς Αἴνους, τὰ προσόμοια, ἦχος πλ. β'.

Τριήμερος ἀνέστης Χριστέ.

Τοὺς πόνους τοῦ κηρύγματος, τιμῶντές σου Πανεύφημε, Κορυφαῖε, καὶ τὴν Ἅλυσιν πιστῶς, προσκυνοῦντες ὑμνοῦμεν, Χριστὸν τὸν Ζωοδότην, τὸν εὐεργέτην τῶν ψυχῶν ἡμῶν. Δίς.

Ὡς ἐκ τῆς ἀθείας βυθοῦ, ἀνήγαγες Πανεύφημε, τῷ ἀγκίστρῳ, τοῦ κηρύγματος βροτούς· καὶ ἡμᾶς ἀθυμίας, ἀνάγαγε πρεσβείαις, Πέτρε τοὺς πόθῳ σὲ δοξάζοντας.

Πρεσβείαις σου ταῖς θείαις κλεισί, Πανεύφημε εὐτρέπισον, οὐρανίους, τὰς εἰσόδους καὶ ἡμῖν· καὶ πύλας διανοίξας, ὡς ἔχων παρρησίαν, τοῖς Κορυφαῖόν σε δοξάζουσι. Δόξα, ἦχος δ'.

Τῷ τρίτῳ τῆς ἐρωτήσεως, τῷ Πέτρε φιλεῖς με, τὸ τρίτον τῆς ἀρνήσεως ὁ Χριστὸς διωρθώσατο. διὸ καὶ πρὸς τὸν Κρυφιογνώστην ὁ Σίμων· Κύριε, πάντα γινώσκεις, τὰ πάντα ἐπίστασαι· σὺ οἶδας ὅτι φιλῶ σε. ὅθεν πρὸς αὐτὸν ὁ Σωτήρ· ποίμαινε τὰ πρόβατά μου, ποίμαινε τὴν ἐκλογάδα μου, ποίμαινε τὰ ἀρνία μου, ἃ ἐν τῷ ἰδίῳ Αἵματι περιεποιησάμην εἰς σωτηρίαν. αὐ-

τὸν ἱκέτευε Θεομακάριστε Ἀπόστολε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Εἰ βούλεται ὁ Προεστὼς, ποιοῦμεν Δοξολογίαν. εἰδ᾽ οὔ. Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Δόξα, ἦχος δ΄. Ἀνατολίου.

Ἀξίως εἴληφας ἐκ Θεοῦ τὰ χαρίσματα, σοφὲ Ἀπόστολε, πέτρα τῆς Πίστεως. ἀνθ᾽ ὧν τὸ αἷμά σου τῷ Κτίσῃ, ὡς γλυκαῖον ἔδεσμα, προσήγαγες Πανεύφημε· καὶ κλειδοῦχος χάριτι τῶν Οὐρανίων πυλῶν, πᾶσιν ἀναδέδειξαι, τοῖς πίστει εὐφημοῦσί σε.

Καὶ νῦν. Στ. ἢ Σταυροθ.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος. Ὠδὴ γ΄. καὶ ς΄. Προκείμ. ἦχος πλ. δ΄.

Στ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Ὁ Ἀπόστολος. Κατ᾽ ἐκεῖνον τὸν καιρὸν, ἐπέβαλεν Ἡρώδης. Ζήτει Ἀπριλλίῳ κγ΄.

Ἀλληλούϊα, ἦχος α΄. Ἐξομολογήσονται.

Εὐαγγέλιον, ζήτει Ἑωθινὸν ια΄.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν.

## Μηνὶ τῷ αὐτῷ ΙΖ΄.

## Τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Ἀντωνίου τοῦ μεγάλου.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, τὸ, Μακάριος ἀνήρ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. η΄. καὶ ψάλλομεν στ. προσόμοια, ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ Φωτισθεὶς ταῖς τοῦ Πνεύματος ἀκτῖσι, ὅτε σε ὁ ἔνθεος ἔρως ἀνέφλεξε, καὶ τὴν ψυχὴν ἀνεπτέρωσεν, αὐτὸ ποθῆσαι, τὸ τῆς ἀγάπης ὄντως ἀκρότατον· τότε κατεφρόνησας, σαρκὸς καὶ αἵματος· καὶ ἔξω Κόσμου γεγένησαι, πολλῇ ἀσκήσει, καὶ ἡσυχίᾳ τούτῳ σύμμονος. ὅθεν ἐπλήσθης ὡς ἐζήτησας, τῶν ἐκεῖθεν καλῶν καὶ ἀνέλαμψας, ὡς ἀστὴρ καταυγάζων, τὰς ψυχὰς ἡμῶν Ἀντώνιε. Δίς.

Ὁ Τῶν δαιμόνων τὰ τόξα καὶ τὰ βέλη, συντρίψας τῇ χάριτι τοῦ Θείου Πνεύματος· καὶ τὴν κακίαν καὶ ἐνέδραν, αὐτῶν τοῖς πᾶσι, δηλοποιήσας θείοις διδάγμασι, ταῖς θείαις λαμπρότησι καταστραπτόμενος· τῶν Μοναστῶν διαυγέστατος, φωστὴρ ἐγένου, καὶ τῆς ἐρήμου πρῶτος διάκοσμος, καὶ τῶν νοσούντων ἐμπειρότατος, καὶ σεπτὸς ἰατρὸς καὶ ἀρχέτυπος, χαρακτὴρ ἐναρέτου, ἀγωγῆς Πάτερ Ἀντώνιε. Δίς.

Ὁ Χαρισμάτων ἐνθέων πεπλησμένος, σὺ ὡς ἀκηλίδωτον ἔσοπτρον Πάτερ ὁρῶν, Χριστὸς τῶν θείων ἐμφάσεων, λαμπρὰς οἰκείας, μαρμαρυγὰς φωτός σοι ἐξήστραψεν. ἐντεῦθεν ἰάσεων, ἄφθονος ὤφθης Πηγὴ, διατροφή τε λιμώττουσι, καὶ τῶν διψώντων, δι᾽ ἐπομβρίας ἀρδων τὴν ἔφεσιν. τὰς ψυχικὰς δὲ διαθέσεις ὁρῶν, σοῦ τῷ λόγῳ σοφῶς ἐβελτίους Θεῷ· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν. Δίς.

Ὁ Καθαρὸς τὴν ψυχὴν καὶ τὴν καρδίαν· Ἄγγελος ἐπίγειος, βροτὸς οὐράνιος· τῆς παρθενίας Διδάσκαλος· τῆς ἐγκρατείας ἠκριβωμένη στάθμη Ἀντώνιε· συνὼν τῷ Δεσπότῃ σου, καὶ τὴν ἀσίγητον, δοξολογίαν Μακάριε, σὺν τοῖς Ἀγγέλοις, καὶ τοῖς Ὁσίοις πᾶσι καὶ Μάρτυσι, τούτῳ προσάγων, τοὺς τελοῦντάς σου, τὴν ἱερὰν μνήμην πάντοτε, χαλεπῶν ἐκ κινδύνων, καὶ πταισμάτων ἐλευθέρωσον. Δίς.

Δόξα, ἦχος πλ. β΄. Συκεώτου.

Τὸ κατ᾽ εἰκόνα τηρήσας ἀλώβητον, νοῦν ἡγεμόνα κατὰ παθῶν ὀλεθρίων, ἀσκητικῶς ἐνστησάμενος, εἰς τὸ καθ᾽ ὁμοίωσιν, ὡς δυνατὸν ἀνελήλυθας. ἀνδρικῶς γὰρ τὴν φύσιν ἐκβιασάμενος, ἔσπευσας τὸ χεῖρον, καθυποτάξαι τῷ κρείττονι, καὶ τὴν σάρκα δουλῶσαι τῷ πνεύματι. ὅθεν Μοναζόντων ἀνεδείχθης ἀκρότης, πολιστὴς τῆς ἐρήμου, εὐδρομούντων ἀλείπτης, κανὼν ἀρετῆς ἀκριβέστατος. καὶ νῦν ἐν Οὐρανοῖς, τῶν ἐσόπτρων λυθέντων Ἀντώνιε, καθαρῶς ἐποπτεύεις τὴν Ἁγίαν Τριάδα, ἐντυγχάνων ἀμέσως, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τιμώντων σε.

Καὶ νῦν. Στ. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα, ζήτει Δεκεμβρίῳ ε΄.

Εἰς τὴν Λιτὴν, στ. ἰδιόμ. ἦχ. β΄. Τοῦ Στουδίτου.

Ἀσκητικὸν γυμνάσιον, συγκροτήσας ἐπὶ γῆς Ὅσιε Ἀντώνιε· καὶ τῶν παθῶν τὰς προσβολὰς, ἐν τῇ ῥοῇ τῶν δακρύων σου, πάσας ἀπήμβλυνας. Κλίμαξ θεία καὶ σεπτὴ, ὡς Οὐρανὸς ἀνάγουσα, τοῖς πᾶσιν ἐγνωρίσθη ὁ θεόληπτος βίος σου. εὐσεβείας γὰρ καρποὺς ἐν αὐτῷ ἐνδειξάμενος ῥωμαλέως, δι᾽ αὐτῶν ἰατρεύεις τὰς ἀσθενείας τῶν παθῶν, τῶν πι-



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

στῶς ἐκβοώντων σοι· χαίροις τῆς Ἑῴας ἀστὴρ χρυσαυγέστατε, καὶ τῶν Μοναζόντων λαμπαδοῦχε καὶ Ποιμήν. χαίροις Ἀοίδιμε, τὸ τῆς ἐρήμου κάλλιστον Θρέμμα, καὶ τῆς Ἐκκλησίας ἀκράδαντον Ἔρεισμα. χαίροις τῶν πλανωμένων ὁ μέγας Ὁδηγός. χαίροις τὸ ἡμέτερον καύχημα, καὶ τῆς Οἰκουμένης φαιδρὸν ἀγαλλίαμα.

Ὁ αὐτός.

Ψ Ὸν ἐπὶ γῆς Ἄγγελον, καὶ ἐν Οὐρανοῖς ἄνθρωπον Θεοῦ, τοῦ Κόσμου τὴν ἀκοσμίαν, τὴν τρυφὴν τῶν ἀγαθῶν, καὶ τῶν ἀρετῶν, τῶν Ἀσκητῶν τὸ καύχημα, Ἀντώνιον τιμήσωμεν. πεφυτευμένος γὰρ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ, ἐξήνθησε δικαίως· καὶ ὡσεὶ κέδρος ἐν ἐρήμῳ, ἐπλήθυνε τὰ ποίμνια Χριστοῦ, τῶν λογικῶν προβάτων, ἐν ὁσιότητι καὶ δικαιοσύνῃ.

Ὁ αὐτός.

Ὅ Σιε Πάτερ, ἐκ βρέφους τὴν ἀρετὴν ἐπιμελῶς ἀσκήσας, Ὄργανον γέγονας τοῦ Ἁγίου Πνεύματος, καὶ παρ' αὐτοῦ λαβὼν, τῶν θαυμάτων τὴν ἐνέργειαν, ἔπεισας τοὺς ἀνθρώπους καταφρονεῖν τῶν ἡδέων. νῦν δὲ τῷ θείῳ φωτὶ, καθαρώτερον ἐλλαμπόμενος, φώτισον καὶ ἡμῶν τὰς διανοίας, Πάτερ Ἀντώνιε.

Ἦχος γ΄. Ἀνατολικὰ

Ὅ Σιε Ἀντώνιε, τῆς στερροτάτης ἀσκήσεως, τὴν κανονικὴν καὶ εὔψυχον διατριβὴν, ὡς ἐν ἀΰλοις ἀναπαυόμενος ἐπέλεσας. τοῖς ἐρημοπέροις γὰρ, ἑαυτὸν συνάψας πνευματικῶς, τὰς πυριφλέκτους φαρέτρας τῶν δαιμόνων καταπάτησας· καὶ ὑπεράνω πάσης ἀρετῆς γεγονὼς, συναυλίζῃ Ἀγγέλοις ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν. διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. ἦχος πλ. α΄.

Ὅ Σιε Πάτερ, τῆς φωνῆς τοῦ Εὐαγγελίου τοῦ Κυρίου ἀκούσας, τὸν Κόσμον κατέλιπες· τὸν πλοῦτον καὶ τὴν δόξαν, ὡς οὐδὲν λογισάμενος. ὅθεν πᾶσιν ἐβόας· ἀγαπήσατε τὸν Θεὸν, καὶ εὑρήσετε χάριν αἰώνιον· μηδὲν προτιμήσητε τῆς ἀγάπης αὐτοῦ· ἵνα ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, εὕρήσητε ἀνάπαυσιν, μετὰ πάντων τῶν Ἁγίων· οὗ ταῖς ἱκεσίαις Χριστὲ, φύλαξον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε.

Εἰς τὸν Στ. Στ. προσόμοια, ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Χ Αίροις τῶν ἀσκητῶν ἀρχηγὸς, γεγενημένος καὶ ἀήττητος πρόμαχος. παθῶν γὰρ, ἐκτέμνων ῥίζας, καὶ τῶν δαιμόνων ὁρμὰς, ὑποστὰς ἀνδρείως ἐθριάμβευσας, αὐτῶν τὴν ἀσθένειαν, καὶ ψυχόλεθρον πλάνησιν. τὴν τοῦ Σταυροῦ δὲ, τοῦ Σωτῆρος ἐνέργειαν, καὶ ἀνίκητον, ἐφανέρωσας δύναμιν. ἣν καὶ περιζωσάμενος, ἐνίκησας ἅπαντας, τοὺς ἀθετοῦντας τὴν θείαν, διὰ σαρκὸς ἐπιφάνειαν, Χριστοῦ, ὃν δυσώπει, νῦν τῷ Κόσμῳ δωρηθῆναι, τὸ μέγα ἔλεος.

Στ. Τίμιος ἐναντίον Κυρίου.

Σ Τύλος φωτοειδὴς ἀρεταῖς, ἐστηριγμένος, καὶ νεφέλη σκιάζουσα, ἐγένου, τοῖς ἐν ἐρήμῳ, πρὸς Οὐρανὸν ἀπὸ γῆς, τὸν Θεὸν ὁρώντων προηγούμενος. Σταυροῦ βακτηρίᾳ, τὴν τῶν παθῶν ῥήξας θάλασσαν· τὸν νοητὸν δὲ, Ἀμαλὴκ τροπωσάμενος, ἀνεμπόδιστον, τὴν οὐράνιον ἄνοδον, εὗρες Θεομακάριστε, καὶ κλῆρον ἀκήρατον, σὺν Ἀσωμάτοις τῷ Θρόνῳ, περιχαρῶς παριστάμενος, Χριστοῦ, ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ. Μακάριος ἀνὴρ ὁ φοβούμενος.

Χ Αίροις Ἀγγελικαῖς ὁμιλῶν, χοροστασίαις ἐν ὑψίστοις Ἀντώνιε. τὸν βίον γὰρ τούτων Πάτερ, ἐπὶ τῆς γῆς ἀληθῶς, ἀρετὴν ἀσκήσας πεπολίτευσαι· φανεὶς καθαρώτατον, ἀκηλίδωτον Ἔσοπτρον, ἀκτινοβόλους, ἀστραπὰς εἰσδεχόμενον, τὰς τοῦ Πνεύματος, τοῦ Ἁγίου Πανόλβιε. ὅθεν καταυγαζόμενος, ἑώρας τὰ μέλλοντα, ταῦτα προλέγων ἐκ θείας, φωτοφανείας μυούμενος, Χριστὸν, ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα. ἦχος πλ. δ΄. Συκεώτου.

Ψ Ὢν Μοναστῶν τὰ πλήθη, τὸν Καθηγητήν σε τιμῶμεν Ἀντώνιε. διὰ γὰρ σοῦ τὴν τρίβον, τὴν ὄντως εὐθεῖαν, πορεύεσθαι ἔγνωμεν. Μακάριος εἶ, τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν. Ἀγγέλων συμμέτοχε, τοῦ Παύλου συνόμιλε τοῦ Θηβαίου. μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἀνύμφευτε Παρθένε.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπολυτίκιον, ἦχος δ'.

Τὸν ζηλωτὴν Ἠλίαν τοῖς τρόποις μιμούμενος, τῷ Βαπτιστῇ εὐθείαις ταῖς τρίβοις ἑπόμενος, Πάτερ Ἀντώνιε, τῆς ἐρήμου γέγονας οἰκιστής, καὶ τὴν Οἰκουμένην ἐστήριξας εὐχαῖς σου. διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. Στιχολ. Καθισμ. ἦχ. πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν ψυχήν σου δεσμεύσας πόθῳ Χριστοῦ, τὰ γεώδη μισήσας πάντα σαφῶς, ηὐλίσθης Πάτερ Ὅσιε, ἐν ἐρήμοις καὶ ὄρεσι. τοῦ γνωστικοῦ γὰρ ξύλου γευσάμενος εὔδοξε, ὡς ἐξ ἀδύτων μύστης, ἀγγελικῶς διέλαμψας. ὅθεν καὶ τὸν γνόφον, διαβὰς τῆς σαρκός σου, τὸ σκότος ἐδίωξας, τῶν δαιμόνων μακάριε, μοναζόντων ὁ πρόκριτος. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρί, συλλαβοῦσα ἀφλέκτως, Μήτηρ Θεοῦ, ἀφράστως ἀπεκύησας, τὸν τὰ πάντα ποιήσαντα. καὶ ἐν ἀγκάλαις ἔχεις, τὸν πάντα κατέχοντα, καὶ ἐκ μαζῶν ἐθήλασας, τὸν Κόσμον ἐκτρέφοντα. ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου· Δέσποινα Παρθένε Ἁγνή, τὴν σὴν βοήθειαν τότε παράσχου μοι. καὶ γὰρ δύνασαι, ὅσα θέλεις Πανάχραντε.

Μετὰ τὴν β'. Στιχολ. Καθισμ. ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Τὸν Ἀσκητὴν τοῦ Κυρίου ὕμνοις τιμήσωμεν, ὡς νεκρώσαντα πάσας τὰς προσβολὰς τῶν παθῶν· δι' ἐγκρατείας καὶ στερρᾶς, ὑπομονῆς ὡς ἀληθῶς· καὶ καταισχύναντα σφοδρῶς, τὸν ἀντίπαλον ἐχθρόν, καὶ πάσας τούτου ἐπάρσεις. καὶ νῦν πρεσβεύει Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Χαῖρε Πύλη Κυρίου ἡ ἀδιόδευτος, ἣν προεκήρυξαν πάντες οἱ Δικαιότατοι· καὶ ὁ Προφήτης Δανιὴλ Ὄρος ἀλάξευτον. καὶ Δαβὶδ ὁ μελῳδός, σὺν Μωϋσῇ καὶ τοῖς λοιποῖς, Βάτον καὶ στάμνον καὶ Ῥάβδον, Νεφέλην Πύλην καὶ Θρόνον, καὶ μέγα Ὄρος ἀναδειχθεῖσαν ἡμῖν.

Μετὰ τὸν Πολυέλεον, Καθισμ. ἦχος πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Τοὺς θορύβους τοῦ βίου καταλιπών, τὸν Σταυρόν σου ἐπ' ὤμων ἀναλαβών, ὅλον ἀνατέθεικας, σεαυτὸν τῷ Κυρίῳ σου· καὶ σαρκὸς ἔξω Πάτερ, καὶ Κόσμου γενόμενος, τοῦ Ἁγίου γέγονας, συνόμιλος Πνεύματος. ὅθεν καὶ πρὸς ζῆλον, τοὺς λαοὺς διεγείρων τὰς Πόλεις ἐκένωσας, τὰς ἐρήμους ἐπόλισας, Θεοφόρε Ἀντώνιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Ἕτερον, ἦχος δ'. Ἐπεφάνης σήμερον.

Τῷ φωτὶ λαμπόμενος τῷ ἀπροσίτῳ, ὡς ἀστὴρ ἐξέλαμψας, ἐν ταῖς ἐρήμοις διδαχαῖς, καταφωτίζων Ἀντώνιε, τοὺς ἀδιστάκτῳ ψυχῆς προσιόντας σοι.

Θεοτοκίον. Ὅμοιον.

Ἐπελεύσει Πνεύματος τοῦ Παναγίου, τοῦ Πατρὸς τὸν Σύνθρονον, καὶ Ὁμοούσιον φωνῇ, τοῦ Ἀρχαγγέλου συνέλαβες, Θεοκυῆτορ, Ἀδὰμ ἡ ἀνάκλησις.

Οἱ Ἀναβαθμοί, τὸ α'. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ'.

Τίμιος ἐναντίον Κυρίου.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Τό, Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ὁ Ν'. καὶ τὸ Ἰδιόμελον, ἦχος πλ. β'.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν.

Ὁ Κανὼν τῆς Θεοτόκου, καὶ τοῦ Ὁσίου, εἰς η'. οὗ ἡ ἀκροστιχίς.

Ἀντώνιον τὸν θεῖον εὐφημεῖν θέμις.

Θεοφάνους. Ὠδὴ α'. ἦχος πλ. δ'.

Ἁρματηλάτην Φαραώ.

Ἀθανασίας καὶ ζωῆς λαβόμενος, τῆς αἰωνίας σαφῶς· καὶ τηλαυγοῦς αἴγλης, Πά-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τερ

τερ ἐμφορέμενος, τῷ φωτισμῷ τῆς Χάριτος, τὴν ζοφώδη ψυχήν μου, καταυγασθῆναι δυσώπησον, ὅπως ἐπαξίως ὑμνήσω σε.

ΝΕ'Ος ὑπάρχων ἡλικίᾳ σώματος, καὶ νῦν ὁδὸν ἀρετῆς, ἀναλαβὼν ταύτην; ἀκινδύνως ὥδευσας· νόμῳ καινῷ πειθόμενος, τοῦ Σωτῆρος Τρισμάκαρ, καὶ ζωηφόροις προστάγμασι, τοῦ Εὐαγγελίου ἑπόμενος.

ΤΗ, τρισηλίῳ λαμπηδόνι Πάνσοφε, καταλαμπόμενος, τὸ δυσμενὲς Μάκαρ, τῶν δαιμόνων φρύαγμα, καὶ τῶν θηρῶν τὰ χάσματα, αἰκισμῶν τε τοὺς πόνους, ἀράχνης δίκην διέλυσας, θείῳ πυρακτούμενος ἔρωτι.

Θεοτοκίον.

ΩΣ Θεοῦ Μήτηρ παῤῥησίαν ἔχουσα, πρὸς τὸν τεχθέντα ἐκ σοῦ, Μονογενῆ Λόγον, καὶ Πατρὶ συνανάρχον, καὶ συμφυῆ τῷ Πνεύματι, δυσωποῦσα μὴ παύσῃ, κινδύνων σῶσαι Πανάμωμε, τοὺς σὲ Θεοτόκον δοξάζοντας.

Καταβασία. Χέρσον Ἀβυσσοτόκον.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

ΝΕνδρωμένῳ λογισμῷ, καὶ σταθηρᾷ διανοίᾳ, τῶν παθῶν καταμαράνας τὴν φλόγα, ἀπαθείας τὴν φαιδρὰν, καταστολὴν Ἀντώνιε, περιεβάλου Πάτερ, καὶ σωτηρίας ἱμάτιον.

ΙΣχυροτάταις προσβολαῖς, δαιμόνων θρασυνομένων, καὶ θηρίων τὰς ὁρμὰς μιμουμένων, κατεφρόνησας αὐτῶν, τῆς ἀσθενοῦς δυνάμεως· τὸν κραταιὸν γὰρ εἶχες, ἐν τοῖς πολέμοις συλλήπτορα.

ΟΘεοφόρος τὰς ἀρχὰς, τοῦ σκότους καὶ ἐξουσίας, θριαμβεύσας ἐγκρατείᾳ συντόνῳ, τροπαιοῦχος νικητὴς, Ἀντώνιος ἐγένετο, τῶν Ἀσκητῶν ἡ δόξα, καὶ Μοναζόντων τὸ καύχημα. Θεοτοκίον.

ΝΕνεκρωμένον μου τὸν νοῦν, τῇ τῆς ζωῆς ἐνεργείᾳ, τῆς ἐκ σοῦ φανερωθείσης τῷ Κόσμῳ, ἐξανάστησον Ἁγνὴ, καὶ πρὸς ζωὴν ὁδήγησον, ἡ τοῦ θανάτου πύλας, λύσασα μόνη τῷ Τόκῳ σου.

Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

ΤΟν Σταυρὸν τοῦ Κυρίου ἄρας σοφὲ, καὶ αὐτῷ μέχρι τέλους ἀκολουθῶν, τὸν νοῦν οὐχ ὑπέστρεψας ἐν τῷ Κόσμῳ Θεόσοφε. ἐγκρατείᾳ καὶ πόνοις, τὰ πάθη ἐνέκρωσας· καὶ ναὸν ἡτοίμασας, σαυτὸν τῷ Κυρίῳ σου, ὅθεν χαρισμάτων, ἀμοιβὴν ἐκομίσω, ἰᾶσθαι νοσήματα, καὶ διώκειν τὰ πνεύματα, Θεοφόρε Ἀντώνιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου. Δίς.

Θεοτοκίον. Ὅμοιον.

ΩΣ Πανάμωμος Νύμφη τοῦ Ποιητοῦ, ὡς ἀπείρανδρος Μήτηρ τοῦ Λυτρωτοῦ, Δοχεῖον ὡς ὑπάρχουσα, τοῦ Παρακλήτου Πανύμνητε· ἀνομίας με ὄντα, αἰσχρὸν καταγώγιον, καὶ δαιμόνων παίγνιον, ἐν γνώσει γενόμενον. σπεῦσον καὶ τῆς τούτων, κακουργίας με ῥῦσαι, λαμπρὸν οἰκητήριον, δι' ἀρετῆς ἀπαρτίσασα, Φωτοδόχε ἀκήρατε· δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω μεθέξεως ἀξίωσον, καὶ φωτὸς, ἀνεσπέρου πρεσβείαις σου.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

ΤΩν ἀρετῶν, κλίμακι θείᾳ χρησάμενος, πρὸς τὸ ὕψος, Πάτερ ἀναβέβηκας, καὶ τὸν Θεὸν ἴδες ἐπ' αὐτὴν, ἐστηριγμένον, καὶ δωρεὰς διανέμοντα, χαρὶ πλουσιωτάτῃ, τοῖς πιστῶς μελῳδοῦσι· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

ΟΛος Θεῷ, καθιερώθης Ἀντώνιε· μόνος μόνῳ, Πάνσοφε ἑνούμενος, δι' ἀρετῆς, καὶ καθομιλῶν, καὶ θεοφανείας, ὡς καθαρὸς ἀξιούμενος. τῆς γῆς καὶ τῶν γηΐνων, ἀποστὰς γὰρ ἀξίως, τὴν οὐράνιον εὗρες ἀπόλαυσιν.

ΝΟῦ καὶ ψυχὴν, κεκαθαρμένος Ἀντώνιε· τὴν ἀπάτην, Πάτερ τὴν ψυχόλεθρον, καὶ μηχανὰς, δόλους τε πικροὺς, καὶ τὰς φαντασίας, τῶν δυσμενῶν ἐφανέρωσας. παθὼν γὰρ ἐδιδάχθης, καὶ μαθὼν ἐκδιδάσκεις, Μοναζόντων τὰ πλήθη Πανόλβιε. Θκ.

ΘΕὸν ἐκ σοῦ, τὸν Σαρκωθέντα δυσώπησον, τὸν ἀτρέπτως, ὃ ἦν διαμείναντα. καὶ φυσικῶς, ἴσον τῷ Πατρὶ, καὶ σοὶ τῇ Τεκούσῃ, γενόμενον Ὁμοούσιον, συγχώρησιν πταισμάτων, καὶ ψυχῶν σωτηρίαν, τοῖς ὑμνοῦσί σε πίστει δωρήσασθαι.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

ΕΝοικοῦντά σοι ἔχων, τὸν τὰ πάντα βλέποντα Θεὸν Μακάριε, ἐκδιδάσκοντά σε, καὶ φωτίζοντα καὶ συνετίζοντα, τῶν ψυχῶν Τρισμάκαρ, τῶν καθαρῶν καὶ Μακαρίων, τὰς ἀνόδους ὁρᾷν κατηξίωσαι.

ΙΑμάτων σοι χάριν, κατὰ νοσημάτων ποικίλων δεδώρηται, καὶ κατὰ πνευμάτων ἀκαθάρτων Χριστὸς ἐξουσίαν Σοφέ. τὴν γὰρ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φύσιν Πάτερ, νενικὼς τῶν ὑπὲρ φύσιν, χαρισμάτων μετέχες τοῦ Πνεύματος.

Θεοτοκίον.

Οἱ σὲ Τάχος πλουτοῦντες, καὶ τῇ προστασίᾳ σου περιφρουρούμενοι, τῇ σῇ θείᾳ δόξῃ, ἐγκαυχώμενοι σὲ μακαρίζομεν. σὺ γὰρ Παναγία, τὴν τῶν ψυχῶν ἡμῶν πηγάζεις, εὐφροσύνην καὶ τὴν ἀγαλλίασιν.

Ὠδὴ ϛ΄. Ἄβυσσος ἁμαρτιῶν.

Ὁμοίμιον ἀθλητικῶς, πολιτείαν ἀπαλῶν ἐξ ὀνύχων, ἀναλαβὼν Θεόφρον, μέχρι τέλους διέσωσας. καὶ ὡς θεῖος Ἀριστεὺς, στέφανον εἴληφας τὸν τῆς νίκης, παρὰ τοῦ πάντων Βασιλεύοντος.

Ἔχοντες πρὸς τὸν Θεὸν, πρεσβευτὴν σε δυνατώτατον Μάκαρ, καὶ κοινωνὸν φροντίδων, καὶ προστάτην καὶ πρόμαχον, καὶ μεσίτην ἀμεινῆ, πάντων σωζόμεθα τῶν κινδύνων, καὶ πειρασμῶν καὶ περιστάσεων.

Θεοτοκίον.

Ὑψώσας παναληθῶς, τὴν πεσοῦσαν τῶν ἀνθρώπων οὐσίαν, τὸν ἐν μορφῇ τῇ θείᾳ, καὶ Πατρὸς ἐν ἰσότητι, καθορώμενον Υἱὸν, τὸν ἀναλλοίωτον Θεοτόκε, ἀνευ σπορᾶς κυοφορήσασα.

Κοντάκιον, ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τοὺς βιωτικοὺς θορύβους ἀπωσάμενος, ἡσυχαστικῶς τὸν βίον ἐξετέλεσας, τὸν Βαπτιστὴν μιμούμενος, κατὰ πάντα τρόπον ὁσιώτατε. σὺν αὐτῷ οὖν σε γεραίρομεν, Πατέρων Πάτερ Ἀντώνιε.

Ὁ Οἶκος.

Τῆς τοῦ Χριστοῦ φωνῆς ἐπακούσας, ἐπορεύθης ὀπίσω τῶν αὐτοῦ ἐντολῶν, γυμνὸς τοῦ βίου γενόμενος. καὶ ἀπορρίψας φροντίδας πάσας τῶν χρημάτων, κτημάτων, καὶ οἰκετῶν σου, καὶ ἀδελφῆς τὴν στοργὴν, Θεοφόρε Ἀντώνιε· καὶ μόνος ἐν ταῖς ἐρήμοις τῷ Θεῷ ὁμιλῶν καθαρώτατα, γνώσεως χάριν εἴληφας· ἣν μοι πέμψον ὑμνῆσαί σε μέλλοντι, Πατέρων Πάτερ Ἀντώνιε.

Μηνὶ τῷ αὐτῷ ιζ΄. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου.

Στ. Ἔχει τι μεῖζον Οὐρανὸς καὶ τῶν Νόων, Ἔξαρχον Ἀντώνιον Ἀσκητῶν ἔχων.

Ἑβδομάτῃ δεκάτῃ Ἀντώνιον ἔνθεν ἄειραν.

Οὗτος τὸ μὲν γένος ἦν Αἰγύπτιος, ἐκ Πατέρων καὶ Προγόνων τὴν εἰς Χριστὸν Πίστιν δεδιδαγμένος· Ἤκμασε δὲ ἐν τοῖς χρόνοις Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ, καὶ παρέτεινε μέχρι καὶ τοῦ εὐσεβοῦς Βασιλέως Κωνσταντίνου, καὶ τῶν Υἱῶν αὐτοῦ. Ἐπειδὴ δὲ ἑαυτὸν τῇ ἀσκητικῇ ἀγωγῇ, τοσοῦτον ὑπερέβαλε πάντας, ὡς ὑποτύπωσις εἶναι τῶν ἐφεξῆς. Καὶ τὸ παράδοξον, ὅτι καὶ πρῶτος, ἢ κομιδῇ μετ' ὀλίγων τῆς ὑπὲρ ἄνθρωπον ταύτης πολιτείας, γέγονεν ἀρχηγὸς, καὶ μόνος σχεδὸν εἰς τὸν ἀκρότατον ἤλασεν ὅρον, ὡς ἡ περὶ αὐτὸν Ἱστορία δηλοῖ. Ἀλλὰ τὰ διαβεβοημένα περὶ αὐτοῦ πᾶσι, περιττὸν ἐπεκδιηγεῖσθαι. Τοσοῦτον δὲ ἀναγκαῖον εἰπεῖν, ὅτι ἐν θνητῷ σώματι τοῦ σώματος ἀπανίστατο, καὶ τὰς τῶν ψυχῶν ἀνόδους ἑώρα, καὶ τοὺς ταύτας ἀδικοῦντας δαίμονας· ὃ τῆς νοερᾶς, καὶ ἀσωμάτου φύσεως ἐστὶν ἴδιον. Ζήσας δὲ πρὸς τοῖς ἑκατὸν ἔτη πέντε, πρὸς Κύριον ἐξεδήμησε. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ Ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ. Ὁ δὲ βίος αὐτοῦ συνεγράφη ὑπὸ τοῦ μεγάλου Ἀθανασίου, Ἐπισκόπου Ἀλεξανδρείας.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Φιάλαι πεφύκασι, τῶν ἀρωμάτων αἱ σιαγόνες σου ἀρετῶν εὐωδίας, καὶ σωτηρίαν ἀρωματίζουσαι, ὡς ἐκ λειμῶνος τοῖς πόθῳ κραυγάζουσιν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡ Χάρις τοῦ Πνεύματος, τοῦ Παναγίου σοὶ ἐνοικήσασα, τῶν πνευμάτων διώκτην, τῆς πονηρίας Πάτερ εἰργάσατο, καὶ Μοναζόντων ἀλάττην κραυγάζοντα· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Μαρίαν τὴν Ἄχραντον, καὶ Παναγίαν ἀνευφημήσωμεν· δι' αὐτῆς γὰρ ἡ χάρις ἡμῖν πηγάζει τῶν ὑπὲρ νοῦν δωρεῶν, ὡς ἐκ χειμάρρου τῆς θείας χρηστότητος· ἣν εὐσεβεῖ λογισμῷ, νῦν μακαρίσωμεν.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ἐν προσευχαῖς τὸ ἄγρυπνον, ἐν νηστείαις τὸ εὔτονον, τὸ καρτερικὸν ἐν πειρασμοῖς Ἀντώνιε, νοὸς καθαρότητι ἐπὶ τῆς γῆς ὡς Ἄγγελος, πεπολιτευμένος, τῷ Θεῷ ἀνεβόας· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἱκετηρίαις Ὅσιε, καὶ δεήσεσι χρώμενος, σὺ διηνεκῶς, πρὸς τὸν Θεὸν ἀνέδραμες, πρὸς ὕψος μετάρσιον, τοὺς τῶν δαιμόνων βρόχους φυγών· ἐλευθερωθεὶς δὲ, τῆς αὐτῶν τυραν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τυραννίδος, Θεόφρον ἀναμέλπτας· Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νέος Μωσῆς γενόμενος, ἐν ἐρήμῳ τὸ τρόπαιον, κατὰ τῶν ἐχθρῶν, καὶ πολεμίων ἔστησας· λαοῦ προηγούμενος, τῶν Ἀσκητῶν συστήματος· τοῦ ἐν εὐφροσύνῃ, καὶ σεμνῇ πολιτείᾳ, βοῶντος τῷ Δεσπότῃ· Ἱερεῖς εὐλογεῖτε. Θεοτοκίον.

Θεογεννῆτορ Πανάγνε, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας τὰς οὐλὰς ἐξάλειψον, πηγαῖς ἀποσμήχουσα, ταῖς ἐκ πλευρᾶς τοῦ Τόκου σου, καὶ τοῖς ἐξ αὐτῆς, ἀποκαθαίρουσα ῥεύθροις. πρὸς σὲ γὰρ ἀνακράζω, καὶ πρὸς σὲ καταφεύγω, καὶ σὲ ἐπικαλοῦμαι τὴν Κεχαριτωμένην.

Ὠδὴ Θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Ἐπέστη ἡ φωσφόρος σου Ἑορτὴ, Παμμακάριστε Πάτερ Ἀντώνιε, πλήρης χαρᾶς, πλήρης εὐφροσύνης πνευματικῆς, πλήρης Ἁγίου Πνεύματος, πλήρης εὐωδίας καὶ φωτισμοῦ. καὶ νῦν σε κεκτημένοι, Ἀσκήσεως κανόνα, καὶ Νομοθέτην ἀγαλλόμεθα.

Μὴ παύσῃ ἱκετεύων τὸν Λυτρωτὴν, Πανσεβάσμιε Πάτερ δωρήσασθαι, τοῖς εὐλαβῶς, μνήμην σου τελοῦσι τὴν ἱερὰν, τὴν τῶν πταισμάτων ἄφεσιν, τὴν τῶν χαρισμάτων διανομὴν, τὴν θείαν προστασίαν, ψυχῶν τὴν σωτηρίαν, καὶ αἰωνίαν ἀπολύτρωσιν.

Ἰσάγγελος βιώσας ἐπὶ τῆς γῆς, τὴν ἰσάγγελον εὗρες φαιδρότητα· τῆς γὰρ αὐτῶν, θεοειδεστάτης μαρμαρυγῆς, ἐν μετουσίᾳ γέγονας· οἷς καὶ συναγάλλῃ διηνεκῶς, ὡς ἔνθεος Προφήτης, ὡς Μάρτυς στεφηφόρος, ὡς Μοναζόντων ἀκροθίνιον. Θεοτοκίον.

Συνέλαβες Παρθένε δίχα σπορᾶς, τὸν τὰ σύμπαντα δημιουργήσαντα, Λόγον Θεοῦ, ἄνευ θελημάτων τῶν τῆς σαρκός. ἄνευ φθορᾶς δὲ τέτοκας, ἄνευθεν ὠδίνων τῶν μητρικῶν. διὸ σε Θεοτόκον, καὶ γλώσσῃ καὶ καρδίᾳ, ὁμολογοῦντες μεγαλύνομεν.

Ἐξαποστειλ. Ἐν Πνεύματι τῷ Ἱερῷ.

Φωστὴρ Φωστήρων γέγονας, Μοναστῶν δὲ ἀλείπτης, καὶ ἀρχηγὸς Ἀντώνιε, Οἰκουμένης τὸ κλέος. διδάσκων οἷα γενναῖος, Στρατηγέτης ἄριστος, τὰς τῶν δαιμόνων ἐφόδους, μὴ πτοεῖσθαι ἀρρωγὸν, κεκτημένους τὸν Χριστὸν, τῆς πλάνης τὸν καθαιρέτην.

Θεοτοκίον.

Ἐλπὶς τοῦ Κόσμου ἀγαθὴ, Θεοτόκε Παρθένε, τὴν σὴν ἄμαχον Δέσποινα, προστασίαν αἰτοῦμεν, οἱ θλίψεσι συσχεθέντες, καὶ κλυδωνιζόμενοι, τοῦ βίου ταῖς τρικυμίαις· στῆσον αὔρας τῶν παθῶν, καὶ λιμένα πρὸς Θεοῦ, ἐμβίβασον θελημάτων.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στίχ. δ΄ καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος πλ. δ΄.

Ὢ τοῦ Παραδόξου Θαύματος.

Ὅσιε Πάτερ Ἀντώνιε, σὺ τὸν ζυγὸν τοῦ Χριστοῦ, ἐπὶ ὤμων ἀράμενος, τῷ Σταυρῷ τὴν ἔπαρσιν, τοῦ Σατᾶν καταβέβληκας. καὶ τὰς ἐρήμους πόλεις ἀνέδειξας, διὰ τοῦ τρόπου τῆς πολιτείας σου, ὦ Παμμακάριστε, Ἀσκητῶν τὸ καύχημα. διὸ Χριστὸν, ἀπαύστως ἱκέτευε, ἐλεηθῆναι ἡμᾶς.

Ὅσιε Πάτερ Ἀντώνιε, διὰ τὴν ὄντως ζωὴν, ἐν τῷ μνήματι κέκλεισαι, οὐδ' ὅλως πτοούμενος, τὰς προσβολὰς τοῦ ἐχθροῦ, τὰς μετὰ κτύπων καὶ κρότων Ὅσιε· ταῖς δὲ εὐχαῖς σου, ταύτας ἠδάφισας. ὦ Καρτερόψυχε, τῆς ἐρήμου Πρώταρχε. διὸ καὶ νῦν, πάντες σε γεραίρομεν, καὶ μακαρίζομεν.

Ἴσα συνελθόντες ἅπαντες, ὡς Ἀσκητὴν τοῦ Χριστοῦ, σὲ τιμῶμεν Ἀντώνιε. γεγηθὼς γὰρ ὥδευσας, ἐν ἐρήμοις σαφέστατα· καθηγητής τε ταύτης ἐγένου πιστός. ὅθεν σοι πάντες ἡμᾶς κραυγάζομεν· ὦ Παμμακάριστε, Μοναστῶν τὸ καύχημα, τῷ Λυτρωτῇ, ἀπαύστως ἱκέτευε, εἰς τὸ σωθῆναι ἡμᾶς.

Πάτερ Πατέρων Ἀντώνιε, τῇ ἀκορέστῳ στοργῇ, τοῦ Χριστοῦ, καὶ τῷ ἔρωτι, τὴν ψυχὴν κινούμενος, ἐν ἐρήμῳ ἐζήτησας, καὶ τοὺς θορύβους ἐκκλίνας ἅπαντας· καὶ μόνος τούτῳ, μόνῳ ὡμίλησας, νοῒ ἑνούμενος, καὶ φωτὸς πληρούμενος· ᾧ καὶ ἡμῶν, τὰς ψυχὰς καταύγασον, τῶν ἀνυμνούντων σε.

Δόξα, ἦχος πλ. δ΄. Ἀνατολίου.

Οὐρανοδρόμῳ ἐπιβὰς ὀχήματι Θεσπέσιε, τῶν ἀρετῶν κατέλαβες τὴν ἀκρόπολιν δι' ἀσκήσεως, ἐκ τῆς ἐρήμου πολεύων, τῆς ἄνω Ἱερουσαλὴμ τὰ ὑπερκόσμια. καὶ τῶν ἐκ πόνων ἀγώνων, ἀξίως τὰ γέρα κομισάμενος, ταῖς οὐρανίαις συναγάλλῃ Ταξιαρχίαις Παμμακάριστε· τῶν αἰωνίων ἀγαθῶν κληρονόμος, καὶ τῆς Βασιλείας Οἰκήτωρ γενόμενος· ἀλλὰ πρέσβευε Θεοφόρε Ἀντώνιε,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῷ Σωτῆρι τῶν ὅλων, εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.
Καὶ νῦν, Θεοτ. Δέσποινα πρόσδεξαι.
Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.
Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τοῦ Κανόνος. Ὠδὴ γ΄. καὶ ς΄. Προκείμενον, ἦχος βαρύς.
Τίμιος ἐναντίον Κυρίου.
Στ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.
Κεφ. ιγ΄. 17. Ἀδελφοί, πείθεσθε τοῖς Ἡγουμένοις ὑμῶν, καὶ ὑπείκετε. αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ὡς λόγον ἀποδώσοντες. ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι, καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι. Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν τὸν ποιμένα τῶν προβάτων τὸν μέγαν, ἐν αἵματι διαθήκης αἰωνίου, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ, εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ. ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ, διὰ Ἰησοῦ Χριστοῦ. Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.
Ἀλληλούϊα, ἦχος β΄.
Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.
Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.
Κεφ. ς΄. 27. Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ· καὶ ὄχλος Μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος· οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν. Καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ· ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας. Καὶ αὐτὸς ἐπάρας τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς Μαθητὰς αὐτοῦ, ἔλεγε· Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ Βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοι ἐστέ, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε· ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς Οὐρανοῖς.
Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

## Μηνὶ τῷ αὐτῷ ΙΗ΄.

Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, καὶ μεγάλων Ἀρχιεπισκόπων Ἀλεξανδρείας, Ἀθανασίου, καὶ Κυρίλλου.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν Στ. ς΄. καὶ ψάλλομεν Στιχ. προσόμοια, τοῦ Ἁγίου Ἀθανασίου, ἦχος πλ. α΄. Ὅσιε Πάτερ.

Ὅσιε Πάτερ, Θεοφάντορ Ἀθανάσιε, ἐκ βρέφους ἐπεγνώσθης, τῆς Ἐκκλησίας Φωστήρ, ἐκλάμπων θεωρίαις ταῖς φανωτάταις· πᾶσαν ἰδέαν τε πλουτῶν ἀρετῆς, λόγοις πυριπνόοις ἐμπιπρῶν τὰς αἱρέσεις· πιστοὺς δὲ πάντας φωταγωγῶν, τῇ τῆς Τριάδος ἐλλάμψει τοῦ Ὑπερθέου, τῆς ἐν Θεότητι μιᾷ γνωριζομένης, καὶ συναΐδιον τὴν δόξαν κεκτημένης· αὐτὴν ἱκέτευε, αὐτὴν δυσώπει Ὅσιε, δωρηθῆναι τῇ Οἰκουμένῃ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος. Ὅμοιον.

Ὅσιε Πάτερ, Θεορρῆμον Ἀθανάσιε, ἐπώνυμος ἀκόπως ἀθανασίας κληθείς, τὴν ταύτην προξενοῦσαν ὥδευσας τρίβον, βίου λαμπρότητι πλουτήσας σαφῶς, νοῦν κεκαθαρμένον, Θεόφρων κεκτημένος, τοῦ Λόγου σύμμαχος ἀρεθείς, καὶ ὑπὲρ Πνεύματος πνέων τοῦ Παναγίου· ᾧ φωτιζόμενος, ἀνάλωτος ἐδείχθης· ᾧ καὶ θεούμενος, ὃ καὶ μετέχων αἴτησαι, δωρηθῆναι τῇ Ἐκκλησίᾳ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος. Ὅμοιον.

Ὅσιε Πάτερ, Θεοκήρυξ Ἀθανάσιε, κινδύνους ὑπομείνας, καὶ συνεχεῖς περιασμούς, τρυφῆς τοῦ Παραδείσου νῦν ἠξιώθης. ἔνδον γενόμενος τῶν θείων Μονῶν, ξύλῳ προσπελάσας, ζωῆς τῆς ἀκηράτου, Δικαιοσύνης ὡς νικητής, στέφει κοσμούμενος Μάκαρ τῆς ἀφθαρσίας· καὶ διαδήματι τῆς ἄνω Βασιλείας, ὡραϊζόμενος, καὶ κάλλει διαπρέπων. Χριστὸν ἱκέτευε, Χριστὸν Θεόφρων αἴτησαι, δωρηθῆναι τῇ Οἰκουμένῃ, ὁμόνοιαν εἰρήνην, καὶ μέγα ἔλεος.

Τοῦ δὲ Ἁγίου Κυρίλλου, ζήτει εἰς Ἱεράρχην.
Δόξα, ἦχος πλ. β΄. Γερμανοῦ.

Χριστοῦ τὸν Ἱεράρχην, ὑμνήσωμεν ἅπαντες Ἀθανάσιον. ὅτι Ἀρείου τὰ δόγματα



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ταῦτα κατήργησε· καὶ τῆς Ἁγίας Τριάδος τὸ κράτος, εἰς πάντα Κόσμον τρανῶς κατήγγειλε, ἕνα Θεὸν ἐν τρισὶ Προσώποις ἀμέριστον· ᾧ καὶ πρεσβεύει ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τελούντων τὴν μνήμην αὐτοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Εἶθ' οὕτω, λέγε τὰ Ἀναγνώσματα τοῦ Χρυσοστόμου. Εἰς τὸν Στ. Στ. προσόμοια, ἦχος πλ. α'.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις τῶν ἀρετῶν ὁ Κανών, ὁ ὑπὲρ πίστεως ἀθλήσας στεῤῥότατα, καὶ λύσας τὴν τοῦ Ἀρείου, κακοδοξίαν νευραῖς, τῶν σεπτῶν σου λόγων Ἀθανάσιε· τρανῶς ἐκδιδάσκων, μιᾶς Θεότητος δύναμιν, ὁριζομένην ἐν τρισὶν Ὑποστάσεσιν· παρ' ἧς ἅπαντα, νοητὰ καὶ φαινόμενα, μόνῃ δι' ἀγαθότητα παρήχθη πρὸς γέννησιν, καὶ σαφηνίζων τῆς θείας, δημιουργίας τὰ δυσλήπτα. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει, τὸ μέγα ἔλεος.

Στ. Τὸ στόμα μου λαλήσει Σοφίαν.

Χαίροις Πατριαρχῶν ἡ κρηπίς, σάλπιγξ ἡ εὔηχος, ὁ νοῦς ὁ περίβλεπτος· ἡ γλῶσσα ἡ ὀξυτάτη, ὁ διαυγὴς ὀφθαλμός, τῶν ὀρθῶν δογμάτων ἡ σαφήνεια. Ποιμὴν ἀληθέστατος, ὁ Λαμπτὴρ ὁ φανώτατος. Πέλεκυς κόπτων, ὕλην πᾶσαν αἱρέσεων, καταφλέγων τε, τῷ πυρὶ τῷ τοῦ Πνεύματος, στύλος ὁ ἀπερίτρεπτος, ὁ Πύργος ὁ ἄσειστος, ὁ τῆς Τριάδος κηρύξας, τὴν Ὑπερούσιον δύναμιν. τρανῶς ἣν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ. Οἱ Ἱερεῖς σου Κύριε.

Χαίροις λαμπροφανῶς ὁ Ἀστήρ, καταφωτίζων τὴν Ὑφήλιον ἅπασαν, τοῖς ἄθλοις τῶν σῶν ἀγώνων, καὶ ἐκδιώξας σαφῶς, τοῦ Ἀρείου δόξαν τὴν κακίστην, ὁ Νοῦς ὁ οὐράνιος, ὁ τοῖς δόγμασιν ἅπαντας, τοὺς ὀρθοδόξους, καταλάμψας Πανεύφημε· τὸν Υἱὸν Πατρί, Ὁμοούσιον σύνθρονον, ἴσον τε καὶ ὁμότιμον, κηρύξας καὶ σύμμορφον, Πνεῦμά τε Θεῖον εὐθέως, ὁμοφυὲς καὶ ἀμέριστον· ὃν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα, ἦχος γ'. Γερμανοῦ.

Πάλιν ἡμῖν ὁ χρυσοῤῥόας Νεῖλος, καὶ τῆς ἀθανασίας ἐπώνυμος, διὰ τῆς ἐτησίου μνήμης ἐπιδημῶν, ταῖς καλαῖς ἀναβάσεσι, πλημμυρεῖ τὰ χρυσοῤῥέεθρα, τῆς ἀθανασίας χεύματα, καὶ τροφὴν ἀμβροσίας καρποδοτῶν, διὰ τῆς ὑψηλῆς Θεολογίας, Τριάδος ἀδιαίρετον, κράτος ἐκδιδάσκει προσκυνεῖν. καὶ πελαγίζων τὰ θεῖα διδάγματα, τῶν πιστῶν καταρδεύει τὰς διανοίας· καὶ πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν, Θεοτ.

Ὁ Κανὼν τῆς Θεοτόκου, καὶ τοῦ ἁγίου Ἀθανασίου. οὗ ἡ ἀκροστιχίς. Ἄνευ τῶν Θεοτοκίων.

Ἀθανάσιος εὔχος Ὀρθοδοξίας ἔφυ.

Ὠδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην.

Ποίημα Θεοφάνους.

Ἀθανασίῳ προσκομίζων ἔπαινον, ὡς ἀρετὴν ἀφημῶν, πρὸς τὸν Θεὸν φέρω, μᾶλλον τὸ ἐγκώμιον. παρ' οὗ τοῖς βροτοῖς δέδοται, ἀξιέπαινον χρῆμα, τῆς ἀρετῆς· ἧς περ γέγονεν, ἔμψυχος εἰκὼν καὶ ἐκμαγεῖον.

Θεοσοφίας χρηματίσας ἔμπλεως, καὶ ὑπὲρ Ἥλιον, βίῳ ἀπαστράπτων, καὶ πολιτευσάμενος, Ὅσιε ὑπερβέβηκας, ἐγκωμίων τοὺς νόμους, τοὺς παρ' ἡμῶν. ἀλλ' ἀνάσχοιο, Πάτερ παρ' ἀξίαν ὑμνούμενος.

Ἀξιοχρέως μὲν ᾠδὴν ὑφαίνομεν, σοῦ μνήμῃ τῇ εὐκλεεῖ. ἀλλὰ ἀποροῦντες, πλέον Ἀθανάσιε, τῶν κατ' ἀξίαν ὕμνων σου, ἐξαιτοῦμεν συγγνώμην, ἡμῖν δοθῆναι καὶ ἄφθονον, χάριν διὰ σοῦ τὴν τοῦ Πνεύματος.

Νεανικῶς τῶν σαρκικῶν κατήργησας, παθῶν σκιρτήματα, ἐν νεότητί σου, γηραλέον φρόνημα, καὶ εὐσταθὲς κτησάμενος, Ἀθανάσιε μάκαρ. τῆς γὰρ σοφίας τῷ ἔρωτι, πάσας τὰς αἰσθήσεις ἐῤῥύθμισας. Θεοτ.

Δεδοξασμένα περὶ σοῦ λελάληται, ἐν γενεαῖς γενεῶν· ἡ τὸν Θεὸν Λόγον, ἐν γαστρὶ χωρήσασα, Ἁγνὴ δὲ διαμείνασα, Θεοτόκε Μαρία. διό σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

Ζήτει τὸν Κανόνα τοῦ Ἁγίου Κυρίλλου εἰς Ἱεράρχην. Ὠδὴ γ'. Ὁ στερεώσας.

Ἀνακαθάρας μολυσμοῦ, παντὸς ψυχὴν τε καὶ σῶμα, Ἀθανάσιε ναὸς ἀνεδείχθης, ἀξιόθεος. διό, τὸ τῆς Τριάδος πλήρωμα, ἐπανεπαύσατό σοι, Ἱερομύστα Πανόλβιε.

Σοῦ ὡς ἐπόθει τὴν ψυχήν, τοῦ Παρακλήτου ἡ Χάρις, ἐκ παθῶν κεκαθαρμένην εὑροῦσα, διαδήλως ἐν αὐτῇ, τὰς ἐνεργείας δείκνυσι· καὶ τηλαυγῆ φωστῆρα, Πάτερ τῷ Κόσμῳ σὲ τίθησιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἱεραρχίας μὲν Κανὼν, ὡς Ἱεράρχης ἐδάχθης· πρακτικῆς ὑπογραμμὸς δὲ ὁ βίος. ὁ δὲ λόγος σου σοφὲ, τῆς θεωρίας τύπος τρανῶς. Θεολογία δέ σου, ὄντως ἡ δίδαξις τέφηνε. Θεοτοκίον.

Τῶν Χερουβὶμ, καὶ Σεραφὶμ, ἐδάχθης ὑψηλοτέρα, Θεοτόκε· σὺ γὰρ μόνη ἐδέξω, τὸν ἀχώρητον Θεὸν, ἐν σῇ γαστρὶ Ἀμόλυντε. διὸ πιστοὶ σὲ πάντες, ὕμνοις Ἁγνὴ μακαρίζομεν.

Κα. ἦχος γ'. Θείας πίστεως.

Θείοις δόγμασι τὴν Ἐκκλησίαν, Πάτερ ὥπλισας ὀρθοδοξίας, ταῖς διδαχαῖς σου τὰς αἱρέσεις ἐξέτεμες. τῆς ἀσεβείας τὸν δρόμον τετέλεκας, καὶ σὺν τῷ Παύλῳ τὴν πίστιν τετήρηκας. λοιπὸν πεπλήρωται ὁ πόθος ὁ σὸς ἀοίδιμε, καὶ κλῆρον ἀγαθὸν κομίζῃ τῶν πόνων σου. Δόξα, τὸ αὐτό.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Ὅλη ἐν σοὶ, ἐπνεύσεν ἡ ζωηφόρος πνοὴ, ἡ ἐξ ὕψους, νῦν ἐπιφοιτήσασα, θεοπρεπῶς, Πνεύματος Χριστοῦ, ἐν τῷ ὑπερῴῳ, καὶ μαθητὰς ἐμφορήσασα· Ἀπόστολον δεικνύα, τρισκαιδέκατον Πάτερ, τὴν ὀρθόδοξον πίστιν κηρύττοντα.

Ὑπὸ Θεικῷ, ζήλῳ σφοδρῶς πυρπολούμενος, τῇ Συνόδῳ, συναγωνιζόμενος. καὶ πρὸ τοῦ σὲ, Πρόεδρον τελεῖν, ἐν τῇ Νικαιέων, κηρύττεις τὸ Ὁμοούσιον. διὸ τῆς Ἐκκλησίας, ὁ Χριστὸς Ποιμενάρχην, καὶ Διδάσκαλον σὲ προχειρίζεται.

Ἐγχειρισθεὶς, τῆς Ἐκκλησίας τοὺς οἴακας, ἐκ προνοίας, Θείας Ἀθανάσιε, Αἱρετικῶν τὰς ψυχοβλαβεῖς, πάσας γλωσσαλγίας, ὥσπερ τις πέλυξ ἐξέτεμες, προῤῥίζους ὡς ἀκάνθας· καὶ τὸν σπόρον τοῦ λόγου, ἐπαρδεύων σοφῶς ἐγεώργησας.

Ὑπὸ τῆς σῆς, γλώσσης πυρίνης ἐκκέκαυται, ἡ Ἀρείου, ἔκφυλος διαίρεσις, ἡ σύγχυσίς τε Σαβελλιανοῦ· τὰ ἐκ διαμέτρου, κακὰ καὶ πρὸς τὴν ἀσέβειαν, ὁμότιμα καὶ πᾶσα, σὺν αὐτοῖς βλασφημία, αἱρετίζουσα ὦ Ἀθανάσιε. Θεοτοκίον.

Σὺ τῶν πιστῶν καύχημα πέλεις Ἀνύμφευτε, σὺ Προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν, τεῖχος καὶ λιμήν. πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρεις Παναμώμε. καὶ σώζεις ἐκ κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ, Θεοτόκον Ἁγνὴ σε γινώσκοντας.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Χρυσὸν ἔχων λαλοῦντα, Πάτερ ἐν ὀργάνῳ ἀνήχῳ τῆς γλώττης σου· ἐστηλίτευσας μὲν, τῶν εἰδώλων ἐγγράφως τὴν αἵρεσιν· τοὺς πεπλανημένους, ἐποδηγῶν καὶ ἐπιστρέφων, πρὸς τὸν ὄντως Θεὸν Ἀθανάσιε.

Ὀλεθρίας αἱρέσεις, Πάτερ ἐθριάμβευσας, λόγοις καὶ γράμμασι, τὴν ποικίλην πλάνην, ἐκριζῶν σοφαῖς ἀποδείξεσιν, ἐκ τῆς Οἰκουμένης, διατρανῶν ἀναντιῤῥήτως, τὴν ὀρθόδοξον πίστιν Μακάριε.

Σὲ διδάσκαλον ὄντως, μέγαν Διδασκάλων σοφὲ Ἀθανάσιε, ἀκομψεύτῳ φράσει, μετὰ τοὺς Ἀποστόλους ἀμοίρησεν, Ἐκκλησία Πάτερ, ἡ τοῦ Χριστοῦ διασαφοῦντα, τὸν ἀμώμητον λόγον τῆς Πίστεως. Θκ.

Μητρικὴν παῤῥησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πανάγνε· συγγενοῦς προνοίας, τοὺς ἡμῶν μὴ παρίδῃς δεόμεθα· ὅτι σὲ καὶ μόνην, Χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν ἀμενῆ προβαλλόμεθα.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ὁ Θνάου σπόρου σπορεὺς, φανεὶς ὁ Ἀπολινάριος, βροτέου λόγου κενοῦ, Χριστοῦ τὸ ἀνθρώπινον, σεῤῥῶς ἐξελήλεγκται, ὑπὸ σοῦ Παμμάκαρ, ὥσπερ ἄνους καὶ φρενόληπτος.

Ῥευμάτων τῶν λογικῶν, χυθέντων διὰ χειλέων σου, ἐξ ἀενάου πηγῆς, τῆς χάριτος Ὅσιε, γλυκύτερα μέλιτος, ὡς ἐκ κρήνης ῥεῖθρα, οἱ Πιστοὶ ἀπαρυόμεθα.

Θαυμάσει τις τοῖς σοῖς, ἀκόπως Πάτερ συγγράμμασι, σοφῶς ἐμφιλοχωρῶν, μελλούσας φυήσεσθαι, αἱρέσεις θεώμενος, προανατρέψασας, ὑπὸ σοῦ προφητικώτατα. Θεοτοκίον.

Ῥυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογεννῆτορ ἁγνή· καὶ τύχοιμεν Πάναγνε, τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Κοντάκιον, ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἱεράρχαι μέγιστοι τῆς εὐσεβείας, καὶ γενναῖοι πρόμαχοι τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, πάντας φρουρεῖτε τοὺς μέλποντας· σῶσον Οἰκτίρμον, τοὺς πίστει τιμῶντάς σε.

Ὁ Οἶκος.

Ἀκαταλήπτῳ σου χειρὶ, καὶ θείᾳ ἀποῤῥήτῳ, τὴν σὴν νῦν Ἐκκλησίαν, ὀχυρώσας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σας Οἰκτίρμων, ἔδαξας ὄντως φαεινὸς τοὺς δύο φωστῆρας, μεγίστους τε καὶ τερπνοὺς, τὸν Κόσμον καταυγάζοντας, σὺν Ἀθανασίῳ τῷ Πανσόφῳ, Κύριλλον τὸν Θεῖον. ταῖς αὐτῶν ἐν ἱκεσίαις, αἱρέσεων ἐξάρας τὴν νύκτα, ἐχθρῶν πᾶσαν ἀχλὺν διάλυσον Σῶτερ. καὶ φωτὶ τῷ φρικτῷ, τῶν Πιστῶν τὰ πλήθη καταύγασον, πρὸς τὸ κράζειν καὶ βοᾷν σοι. Σῶσον Οἰκτίρμων τοὺς πίστει τιμῶντάς σε.

Μηνὶ τῷ αὐτῷ ιη΄. Μνήμη τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν Ἀθανασίου, καὶ Κυρίλλου.

Στίχ. Ἀθανάσιον, καὶ θανόντα ζῆν λέγω.
Οἱ γὰρ Δίκαιοι ζῶσι καὶ τεθνηκότες.
Σιγῆς Κυρίλλου σήμερον μνήμην ἄγε,
Ἀλλ᾽ οὐ τελευτῆς τῆς ἀειμνήστου Κτίσις.
Τάρχυσαν ὀγδοάτη νέκυν Ἀθανασίου δεκάτη.

Οὗτος ὁ μὲν Ἅγιος Ἀθανάσιος ἦν ἐπὶ τοῦ μεγάλου Βασιλέως Κωνσταντίνου. Καὶ ἐν τῇ κατὰ Νίκαιαν πρώτῃ Συνόδῳ, μήπω τεταγμένος ἐν Ἐπισκόποις, λόγοις σοφίας, καὶ γραφικαῖς ἀποδείξεσι, τὸν Ἄρειον κατήσχυνε. Μετὰ δὲ τὴν τελευτὴν Ἀλεξάνδρου, Ἀρχιεπίσκοπος Ἀλεξανδρείας καταστὰς, παρὰ Κωνσταντίου ἐν διαφόροις ὑπερορίαις ἐλαύνεται, καὶ ἐπὶ δύο καὶ τεσσαράκοντα χρόνοις τοῖς διωγμοῖς ἐναθλήσας, πρὸς Κύριον ἐκδημεῖ. Ὁ δὲ Ἅγιος Κύριλλος ἦν ἐπὶ τῆς Βασιλείας Θεοδοσίου τοῦ μικροῦ, ἀδελφιδοῦς γεγονὼς Θεοφίλου τοῦ Ἀρχιεπισκόπου Ἀλεξανδρείας, καὶ τοῦ θρόνου αὐτοῦ διάδοχος. Γέγονε δὲ προστάτης τῆς ἐν Ἐφέσῳ Ἁγίας Συνόδου τῆς Τρίτης, καὶ τὸν δυσσεβῆ καθεῖλε Νεστόριον, βλάσφημα πολλὰ κατὰ τῆς Ἁγίας Δεσποίνης ἡμῶν Θεοτόκου δογματίσαντα. Ἐν πολλοῖς οὖν κατορθώμασι διαλάμψας, πρὸς Κύριον ἐξεδήμησεν.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Ὁμότιμον σύνθρονον, Πατρὶ τὸν Λόγον Μονογενῆ τε Υἱὸν, ὀρθοδόξως κηρύξας, ἀθανασίας Πάτερ ἐπώνυμε. αὖθις διδάσκεις τὸ Πνεῦμα Γεννήτορι, καὶ τῷ Υἱῷ συμφυὲς καὶ Ὁμοούσιον.

Διδάσκαλον Κήρυκα, Ἱεροφάντην τοῦ τρισηλίου Φωτὸς, διαγγέλλοντα πᾶσιν, ὀρθοδοξίαν μέχρι τερμάτων τῆς γῆς, τῆς ἀσεβείας ὁρῶν ὁ γεννήτωρ σε, τοὺς ταρασμοὺς κατὰ σοῦ ἐπανετάνετο.

Οἱ κίνδυνοι ἄπειροι, οὓς ἔτλης Μάκαρ ἀγωνιζόμενος, ὑπὲρ τῆς εὐσεβείας, οἱ στέφανοι δὲ ὡσαύτως ἄπειροι. καὶ γὰρ ἀδάμας ὑπῆρχες τοῖς παῖσι, πρὸς δὲ σαυτὸν ὡς μαγνήτης εἷλκες ἅπαντας.

Ζηνίζοντα δόγματα, ἀλλότριά τε τῆς Ἐκκλησίας Χριστοῦ, ἐξορίσας, Τριάδα ἐθεολόγησας Ὑποστάσεων· Θεότητος δὲ Μονάδα, ἣν ἔψαλλες· Εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Μαρίαν τὴν Ἄχραντον, καὶ Παναγίαν ἀνευφημήσωμεν. διὰ ταύτης γὰρ χάρις, ἡμῖν πηγάζει τῶν ὑπὲρ νοῦν δωρεῶν, ὡς ἐκ χειμάρρου τῆς Θείας χρηστότητος. ἣν εὐσεβεῖ λογισμῷ, νῦν μακαρίζομεν.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ἱεραρχῶν ἀγλάϊσμα, εὐκλεὲς Ἀθανάσιε. Στῦλε τοῦ φωτὸς, τῆς Ἐκκλησίας ἔρεισμα. Τριάδος ὑπέρμαχε, Θεολογίας Σάλπιγξ χρυσῆ· βίου τε μονήρους, ἀκριβὴς Νομογράφε· ἡμῖν συνεορτάζοις, Ἱερεῖς καταρτίζων· λαοὺς πιστοὺς προσάγων, Χριστῷ εἰς τοὺς αἰῶνας.

Ἀθανασίας γέγονας, σὺ τῷ ὄντι φερώνυμος. τοὺς γὰρ πρακτικοὺς, τῷ λόγῳ ὑπερήλασας· δοκίμους ἐν λόγῳ δὲ, δι᾽ ἀκριβείας βίου νικῶν, τοὺς ἐν ἀμφοτέροις, ὑπερβέβηκας ἄκρους. διὸ ἀνυπερβλήτῳ, ἀρετῇ διαλάμψας, ἀθάνατον ἐκτήσω, τὴν μνήμην εἰς αἰῶνας.

Στὴν λαμπροτέραν ἔδαξας, Μυστιπόλε Θεόληπτε, τὴν Ἱεραρχίαν, τοῖς γενναίοις ἄθλοις σου. τὴν πλάνην ἐξώρισας, ταῖς σαῖς ὑπερορίαις πυκνῶς, ὑπὲρ τῆς Τριάδος, ἣν κηρύττων ἐβόας· Πατέρα προσκυνεῖτε, Υἱὸν θεολογεῖτε, τὸ Πνεῦμα ἀνυμνεῖτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Φωτὸς ἀδύτου γέγονας, ἐνδιαίτημα Πάναγνε. Φῶς γὰρ τοῖς ἐν σκότει, καὶ σκιᾷ γεγέννηκας, φωτίζων τὰ σύμπαντα, Θεογνωσίας χάριτι· ᾧ ἀκαταπαύστως, οἱ πιστοὶ μελῳδοῦμεν. οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἔφριξε πᾶσα ἀκοή.

Ἐξέλαμψεν ὁ βίος ὡς ἀστραπή· ἐξεχύθη δὲ πᾶσιν ὁ φθόγγος σου, ὥσπερ βροντὴ,



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πάτερ ὃς ὁ Ἥλιος ἐφορᾷ. Ἐξ Οὐρανοῦ γὰρ ἔσχηκας, ἄνωθεν τὴν ἔμπνευσιν ἀληθῶς. διὸ οὐκ ἔσβεσέ σου, ὁ πρόξενος τῆς λήθης, τὴν μνήμην τάφος Ἀθανάσιε.

Φωτὶ τῷ Τρισηλίῳ καὶ τρισφεγγεῖ, τηλαυγέστερον νῦν ἐλλαμπόμενος, τοῖς ὑμνηταῖς, σοῦ ἀντανακλάσας αὐγοειδεῖς, διαφανὴς ὡς ἔσοπτρον, ἄνωθεν ἐκπέμπτας ἡλιακάς. καὶ σοὶ συστήσαις μάκαρ, κἂν μέγα καὶ ἐξόχως, ὑπὲρ ἀξίαν τὸ αἰτούμενον.

Ὑμνοῦντες δυσωποῦμέν σε ἐκτενῶς, ὑπὲρ τῆς Ἐκκλησίας ἱκέτευε· διὰ Σταυροῦ, νίκας δωρηθῆναι τῷ Βασιλεῖ. τῇ Ὀρθοδόξῳ Πίστει, κράτος καθ᾽ αἱρέσεων δυσμενῶν· ἡμῖν δὲ σωτηρίαν, εἰρήνην τε τῷ Κόσμῳ, ἐν τῇ σῇ μνήμῃ Ἀθανάσιε. Θεοτ.

Σωτῆρα ὡς τεκοῦσα καὶ λυτρωτὴν, σωτηρίας με Κόρη ἀξίωσον, ἐπιτυχεῖν, Πάναγνε πταισμάτων μου τὰς σειρὰς, ταῖς σαῖς πρεσβείαις λῦσον. ταῦτα γὰρ ὡς θέλεις, νῦν κατορθοῖς, ὡς φέρουσα ἐν κόλποις, τὸν πάντων Βασιλέα, τὸν ἀγαθότητι ἀσύγκριτον.

Ἐξαποστειλ. Τοῖς Μαθηταῖς.

Τῆς Ὑπερθέου πάνσοφοι, ἀνεδείχθητε Μύσται, Τριάδος καὶ ὑπέρμαχοι, Ἀθανάσιε Μάκαρ. καὶ Κύριλλε Θεοφάντορ· Ἄρειον καθελόντες, καὶ σὺν αὐτῷ Σαβέλλιον, καὶ Νεστόριον αὖθις τὸν δυσσεβῆ, καὶ σὺν τούτοις ἅπασαν ἄλλην πλάνην, τῶν δυσσεβῶν αἱρέσεων, Ἱεράρχαι Κυρίου.

Θεοτοκίον. Ὅμοιον.

Ὄρος Θεοῦ Πανάγιον, καὶ Λυχνίαν καὶ στάμνον, καὶ Κιβωτὸν καὶ Τράπεζαν, Ῥάβδον τε καὶ Πυρσόν· καὶ θεῖον Θρόνον καὶ Πύλην, καὶ Ναὸν καὶ Παστάδα, ὑμνήσωμεν Θεόφρονες, τὴν Ἁγνὴν καὶ Παρθένον. ἐξ ἧς Θεὸς, σαρκωθεὶς ἀτρέπτως καὶ ὑπὲρ φύσιν, ἐθέωσε τὸ πρόσλημμα, ἀπορρήτῳ ἑνώσει.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ἱστῶμεν, στίχ. δ΄. καὶ ψάλλομεν γ΄. προσόμοια, ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι:

Τῇ τῶν λόγων λαμπρότητι, τῶν ἐνθέων σου Ὅσιε, Ἐκκλησία ἅπασα ὡραΐζεται· καὶ εὐσεβῶς καλλωπίζεται, ὡραίοις ἐν κάλλεσι· καὶ τιμᾷ χορευτικῶς τὴν πανέορτον μνήμην σου, Ἀθανάσιε· Ἱερέων τὸ κλέος εὐσεβείας, ὁ λαμπρὸς καὶ μέγας Κήρυξ, ὁ τῆς Τριάδος ὑπέρμαχος.

Τοῖς πυρίνοις σου δόγμασι, τῶν αἱρέσεων ἅπασα, φρυγανώδης φλέγεται, ὕλη Πάνσοφε. τῶν νοημάτων τοῖς βάθεσι, βυθίζεται στράτευμα, ἀπαθεύντων δυσσεβῶν, Ἀθανάσιε Ὅσιε, σοῖς ἐν δόγμασι, καλλωπίζεται Μάκαρ καθ᾽ ἑκάστην, τῶν πιστῶν ἡ Ἐκκλησία, μεγαλοφώνως τιμῶσά σε.

Τῆς Χριστοῦ ἀπεδίωξας, νοητοὺς λύκους Πάνσοφε, Ἐκκλησίας ῥάβδῳ τε τῶν δογμάτων σου· καὶ ταύτην κύκλῳ ἐτείχισας, λόγων ὀχυρώμασι, παραστήσας τῷ Χριστῷ ἀσινῆ καὶ ἀλώβητον· ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν πανσέβασμον μνήμην σου.

Εἶτα τὸ παρὸν ἰδιόμελον, ἦχος γ΄.

Γερμανοῦ Πατριάρχου.

Ἡ Μεγάλη τῆς Ἐκκλησίας σάλπιγξ, ὁ Πολύαθλος Ἀθανάσιος, πρὸς εὐωχίαν σήμερον, συγκαλεῖται τὴν Οἰκουμένην· φαιδρῶς πάντες Πιστοὶ, πρὸς τὴν πανήγυριν ὑπαντήσωμεν, τῷ καλῷ Ποιμένι, ὕμνοις γεραίροντες τοὺς ἱεροὺς αὐτοῦ πόνους, ὅπως ταῖς πρεσβείαις αὐτοῦ, λάβωμεν παρὰ Χριστοῦ τὸ μέγα ἔλεος.

Δόξα, ἦχος γ΄.

Τὸ μέγα κλέος τῶν Ἱερέων, Ἀθανάσιον τὸν ἀήττητον Ἀριστέα, ἱεροπρεπῶς εὐφημήσωμεν. οὗτος γὰρ τῶν αἱρέσεων συγκόψας τὰς φάλαγγας, τῇ δυνάμει τοῦ Πνεύματος, τὰ τῆς Ὀρθοδοξίας τρόπαια, ἀνεστήσατο καθ᾽ ὅλης τῆς Οἰκουμένης· ἀριθμῶν εὐσεβῶς τὸ τῆς Τριάδος Μυστήριον, διὰ τὴν τῶν Προσώπων Ἰδιότητα· καὶ πάλιν συνάπτων ἀσυγχύτως εἰς ἕν, διὰ τὴν τῆς οὐσίας ταυτότητα. καὶ χερουβικῶς θεολογῶν, πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Εἰ βούληται ὁ Προεστὼς, Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος, ᾠδὴ γ΄. καὶ ς΄. Ἀπόστολον δὲ, καὶ Εὐαγγέλιον ζήτει τῷ Χρυσοστόμου τῇ ιγ΄. τοῦ Νοεμβρίου Μηνός.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ ιθ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μακαρίου τοῦ Αἰγυπτίου· ζήτει τὴν Ἀκολουθίαν εἰς ἕνα Ὅσιον.

Μηνὶ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μηνὶ τῷ αὐτῷ Κ΄.

## Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐθυμίου τοῦ Μεγάλου.

Ἑσπέρας ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. η΄. καὶ ψάλλομεν στιχηρὰ. ἦχος α΄.

Πανεύφημοι Μάρτυρες.

Πάτερ Εὐθύμιε τὸν σόν, τόκον προκατήγγειλε, σαφῶς οὐράνιος Ἄγγελος, ὡς τοῦ βλαστήσαντος, ἐκ νηδύος στείρας, Ἰωάννου· τούτου γάρ, ἐδείχθης ζηλωτὴς καὶ ἐκμαγεῖον, ἀκτήμων· ἄοικος, βαπτιστὴς καὶ ὀρεσίτροφος, ὑπερλάμψας τοῖς ἀπείροις θαύμασι. Δίς.

Πάτερ Εὐθύμιε καρπός, ἔφυς μὲν στειρώσεως, ἀλλ᾽ ὤφθης ὄντως πολύγονος. ἐκ γὰρ τοῦ σπέρματος, τοῦ πνευματικοῦ σου, μοναστῶν πεπλήρωται, ἡ ἔρημος ἡ πρὶν ἀδιόδευτος. καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πάτερ Εὐθύμιε ὁ σός, βίος ἀνυπέρβλητος, ἡ πίστις ὄντως ὀρθόδοξος· καὶ γὰρ ἐκ πράξεως, πρὸς ὑψηλοτάτην, θεωρίαν ἤλασας, Σοφίας γεγονὼς ἐνδιαίτημα, ἐν δύο φύσεσιν, ἕνα σέβων τῆς Τριάδος Χριστόν. ᾧ πρέσβευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερα στιχηρὰ προσόμοια, ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ ἐκ νηδύος μητρὸς Ἡγιασμένος, ὅτε τὸ παντέφορον Ὄμμα τὴν πρόθεσιν, καὶ τὴν ῥοπὴν πρὸς τὰ κρείττονα, ἐπαγομένην, ἀνεπιστρόφως σου προεώρακε, τότε Παμμακάριστε δῶρον θεόσδοτον, τῆς εὐθυμίας Φερώνυμον, μεμηνυκώς σε, τὴν τῶν φυσάντων λύει κατήφειαν. ὅθεν ἐκ βρέφους προηγμένος, τῷ Εὐεργέτῃ Θεῷ εὐηρέστησας· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν. Δίς.

Ὁ χαρισμάτων ἐνθέων πεπλησμένος, σὲ ὡς ἀκηλίδωτον ἔσοπτρον Πάτερ εὑρών, Χριστὸς τῶν θείων ἐμφάσεων, λαμπρὰς οἰκείας, μαρμαρυγὰς φωτός σοι ἐξήστραψεν· ἐντεῦθεν ἰάσεων, ἄφθονος ὤφθης Πηγή, διατροφή τε λιμώττουσι, καὶ τῶν διψώντων, δι᾽ ἐπομβρίας ἄρδων τὴν ἔφεσιν· τὰς ψυχικὰς δὲ διαθέσεις ὁρῶν, σοῦ τῷ λόγῳ σοφῶς ἐβελτίους Θεῷ· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ θεωρίᾳ καὶ πράξει διαλάμψας, σοῦ ὁ μὲν ἰσάγγελος Βίος Κανὼν ἀρετῆς, καὶ χαρακτὴρ ἀκριβέστατος τῶν αἱρουμένων, Θεῷ λατρεύειν ἐν τελειότητι. ὁ σὸς δὲ θεόσοφος λόγος, Εὐθύμιε, Τριάδα σέβειν ἐδίδασκε, Χριστὸν δὲ ἕνα, ἐν δύο Φύσεσι γνωριζόμενον, καὶ τὰς Συνόδους ἰσαρίθμους, τῇ τετρακτύϊ τῶν Εὐαγγελίων Χριστοῦ· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος γ΄.

Ἀφιερωθεὶς τῷ Θεῷ, ἐκ κοιλίας μητρικῆς, ὡς ἄλλος Σαμουήλ, Πάτερ Εὐθύμιε, φερωνύμως γέγονας εὐθυμίας τῶν πιστῶν. μοναζόντων βακτηρία καὶ ἑδραίωμα, τοῦ Ἁγίου Πνεύματος καθαρὸν οἰκητήριον. αἴτησαι ἡμῖν τοῖς τιμῶσί σε τὸ μέγα ἔλεος.

Καὶ νῦν, Θεοτοκίον. Πῶς μὴ θαυμάσωμεν.

Εἴσοδος. τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. ζήτει Δεκεμβρίου ε΄.

Εἰς τὴν Λιτήν, στιχηρὰ Ἰδιόμελα, ἦχος β΄.

Γερμανοῦ.

Εὐθυμεῖτε ἔλεγε, τοῖς γεννήτορσιν ὁ Ἄγγελος Κυρίου. ὅτι Παιδίον γεννήσεται ὑμῖν, εὐθυμίας φερώνυμον, εὐεφυὴς δὲ γαστρί, φέρων αὐτοῖς τὸ ἐπάγγελμα. καὶ ἐκ σπαργάνων δι᾽ εὐχῆς συνετράφης, Πάτερ Εὐθύμιε. Ὁ αὐτός. Τοῦ Στουδίτου.

Ὠχυρωμένος τὸν νοῦν γνώσει θείᾳ, Πάτερ Εὐθύμιε, τὰ παρερχόμενα παρέδραμες, μηδὲν θαυμάσας τῶν ἐπιγείων. ἐν μὲν θλίψεσι, μεγαλόφρων φανεὶς καὶ γενναιότατος· ἐν δὲ ἀσκήσει καὶ εὐθυμίᾳ, ταπεινός, καὶ μέτριος· καὶ τοῦ παρόντος βίου τὸ ἄστατον πέλαγος σοφῶς διαπεράσας, εἰς εὔδιον λιμένα κατηντήσας. Χριστὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Δόξα, ἦχος δ΄.

Ἔλαμψαν τὰ καλὰ ἔργα σου, ὡς Ἥλιος ἐπὶ τῆς γῆς, καὶ ἐν Οὐρανῷ, Χριστοῦ θεράπον Εὐθύμιε. ὀρθοδόξως γὰρ ἐκήρυξας ἡμῖν, τὴν ἀληθῆ καὶ ἀμώμητον Πίστιν Χριστοῦ. διὸ ἱκέτευε Ὅσιε Πάτερ, ἐν τῇ μνήμῃ σου Θεοφόρε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων.

Εἰς τὸν στίχ. στιχηρὰ προσόμοια. ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὡς εὐθυμίας ἀρχή, τῆς Ἐκκλησίας γεγονὼς Πάτερ Ὅσιε. τῇ σῇ γὰρ γεν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

νήσει πάσας, αἱρετικῶν τὰς ὁρμάς, ἐκ Θεοῦ προνοίας ἀπεκρούσατο· διό σε φερώνυμον, ὀνομάζει Εὐθύμιον. τῶν οὐρανίων Οὐσιῶν δὲ τὰ Τάγματα, χαρᾶς ἔπλησας, τῇ τοῦ βίου λαμπρότητι. οἷς καὶ συναυλιζόμενος, Φωτός τε πληρούμενος, καὶ πανολβίου, καὶ θείας, ἀναπολαύων ἐλλάμψεως, Χριστὸν νῦν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου.

Ῥάβδῳ τῇ τοῦ Σταυροῦ στηριχθείς, τῆς ἀνομίας τοὺς χειμάῤῥους ἐξήρανας. χειμάῤῥουν τρυφῆς δὲ θείας, καὶ Παραδείσου πηγήν, νοερῶς Παμμάκαρ ποτιζόμενος, πηγὰς σωτηρίους. ἐν τῇ ἐρήμῳ ἀνέδειξας. ἐπιῤῥοαῖς δέ, θείου Πνεύματος Ὅσιε, πιαινόμενος ὥσπερ φοίνιξ ἀνέδραμες, ὕψος πρὸς ἐπουράνιον, καὶ Στύλος πυρίμορφος, ὤφθης Θεόφρον, καὶ πλήρης, φωτοειδοῦς ἐπιλάμψεως, Χριστὸν ὃν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος.

Ὄντως ἕως σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ Θεοῦ Παμμακάριστε, διῆλθες ἀγαλλιάσει, καὶ εὐφροσύνῃ ψυχῆς, ἔνθα ἦχος Πάτερ ἑορταζόντων, τερπνῆς ἀκουσόμενος. καὶ γλυκείας ὑμνήσεως· καὶ τῆς ἀφράστου, θυμηδίας καὶ τέρψεως, γευσόμενος ἐν μεθέξει Εὐθύμιε. ἧς μόνης ἐφιέμενος, τὴν σάρκα ἐνέκρωσας, ἧς καὶ ἐπέτυχες θείας, δικαιοσύνῃ κοσμούμενος· Χριστὸν ἱκέτευον, τὸν παρέχοντα τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα. Ἦχος πλ. α'.

Ὅσιε Πάτερ, οὐκ ἔδωκας ὕπνον σοῖς ὀφθαλμοῖς, οὐδὲ τοῖς βλεφάροις σου νυσταγμόν, ἕως οὗ τὴν ψυχὴν καὶ τὸ σῶμα τῶν παθῶν ἠλευθέρωσας, καὶ σεαυτὸν ἡτοίμασας τοῦ Πνεύματος καταγώγιον· ἐλθὼν γὰρ ὁ Χριστὸς σὺν τῷ Πατρί, μονὴν παρὰ σοὶ ἐποιήσατο. καὶ τῆς Ὁμοουσίου Τριάδος θεράπων γενόμενος, Μεγαλοκήρυξ Εὐθύμιε, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε.

Τροπάριον, ἦχος δ'.

Εὐφραίνου ἔρημος ἡ οὐ τίκτουσα, εὐθύμησον ἡ οὐκ ὠδίνουσα· ὅτι ἐπλήθυνέ σοι τέκνα, ἀνὴρ ἐπιθυμιῶν τῶν τοῦ Πνεύματος· εὐσεβείᾳ φυτεύσας, ἐγκρατείᾳ ἐκθρέψας, εἰς ἀρετῶν τελειότητα· ταῖς αὐτοῦ ἱκεσίαις Χριστὲ ὁ Θεός, εἰρήνευσον τὴν ζωὴν ἡμῶν.

Τὸ αὐτό, καὶ εἰς τό, Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. Κάθισμα. Ἦχος δ'.

Ἐπεφάνης σήμερον.

Τῷ φωτὶ λαμπόμενος τῷ ἀπροσίτῳ, ὡς Ἀστὴρ ἐξέλαμψας, ἐν ταῖς ἐρήμοις διδαχαῖς, καταφωτίζων Εὐθύμιε, τοὺς ἀδισάκτῳ ψυχῇ προσιόντας σοι.

Δόξα. Ὅμοιον.

Ἐξ Αἰγύπτου ἤστραψας ὡς ἑωσφόρος, καὶ τὸν Κόσμον ἔλαμψας, ταῖς φαειναῖς σου ἀρεταῖς, ἠγλαϊσμένε Εὐθύμιε, πᾶσιν ἐκλάμψας, τὸ φῶς τῆς ἀσκήσεως.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἐν τῇ σκέπῃ Πάναγνε τῇ σῇ Παρθένε προσφυγόντων δέησιν, προσδεξαμένη παρ' ἡμῶν· μὴ διαλίπῃς πρεσβεύουσα, τῷ Φιλανθρώπῳ, σωθῆναι τοὺς δούλους σου.

Μετὰ τὴν β'. στιχολ. Κάθισμα. Ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Τὰς φροντίδας τοῦ βίου ἀπαρνησάμενος, καὶ Ἀγγέλων τὸν βίον ἀναλαβόμενος, ἐγκρατείᾳ τὴν ψυχὴν κατελάμπρυνας, καὶ θαυμάτων ἐκ Θεοῦ, χάριν ἐδέξω δαψιλῶς, Εὐθύμιε Θεοφόρε, ὑπὲρ ἡμῶν ἱκετεύων, τῶν εὐσεβῶς εὐφημούντων σε. Δίς.

Θεοτοκίον, Ὅμοιον.

Παναγία Παρθένε ἡμᾶς ἐλέησον, τοὺς προσφεύγοντας πίστει πρὸς σὲ τὴν Εὔσπλαγχνον, καὶ αἰτουμένους τὴν θερμήν σου νῦν ἀντίληψιν. δύνασαι γὰρ ὡς ἀληθῶς, τοὺς πάντας σώζειν ὡς οὖσα, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, ταῖς μητρικαῖς σου πρεσβείαις, ἀεὶ χρωμένη Θεοχαρίτωτε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν πτωχείαν τὴν ὄντως τοῦ δι' ἡμᾶς, ἐκ Παρθένου τεχθέντος ἀναλαβών, ἠγήσω τὰ πρόσκαιρα, ὡσεὶ χόρτον Μακάριε· τοῦ γνωστικοῦ γὰρ ξύλου, γευσάμενος Ὅσιε, τῶν Μοναζόντων ἐδείχθης, Διδάσκαλος ἔνθεος. ὅθεν καὶ πρὸς ζῆλον, Ἀγγελικῆς πολιτείας, διήγειρας ἅπαντας, καὶ πρὸς γνῶσιν τῆς πίστεως, Σημειοφόρε Εὐθύμιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν Ἁγίαν μνήμην σου. Δίς.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοτοκίον. Ὅμοιον.

Ὡς Παρθένον καὶ μόνην ἐν γυναιξί, σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκί, πᾶσαι μακαρίζομεν, γενεαὶ τῶν ἀνθρώπων· τὸ γὰρ πῦρ ἐσκήνωσεν, ἐν σοὶ τῆς Θεότητος. καὶ ὡς βρέφος θηλάζεις, τὸν Κτίστην καὶ Κύριον. ὅθεν τῶν Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζομεν, τὸν πανάγιον Τόκον σου, καὶ συμφώνως βοῶμέν σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Τίμιος ἐναντίον Κυρίου.

Στ. Τί ἀνταποδώσομεν τῷ Κυρίῳ.

Πᾶσα πνοή. Εὐαγγέλιον. ζήτει εἰς τὸν Ὄρθρον τοῦ μεγάλου Ἀντωνίου. ὁ Ν΄.

Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα τὸ Ἰδιόμελον εἰς ἦχον πλ. β΄.

Ὅσιε Πάτερ. Ὁ Κανὼν τῆς Θεοτόκου εἰς ς΄. μετὰ τῶν Εἱρμῶν, καὶ τοῦ Ὁσίου οἱ δύο εἰς η΄. Ὁ πρῶτος, Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ· οὗ ἡ ἀκροστιχὶς μετὰ τῶν Εἱρμῶν.

Ὄλβος πέφηνας γηγενῶν Εὐθύμιε.

Ὠδὴ α΄. ἦχος δ΄. Ὁ Εἱρμός.

Οὐκ ἔστι σοι ὅμοιος, Δεδοξασμένε Κύριε. ἐν χειρὶ γὰρ κραταιᾷ, ἐλυτρώσω τὸν λαὸν, ὃν ἐκτήσω Φιλάνθρωπε.

Λύσας τὴν κατήφειαν, τοῖς παραδόξως φύσασιν, ἐκ Θεοῦ ἐπαγγελθεὶς, καὶ πρὸ τοῦ τόκου σου δωρεᾷ, εὐθυμίας φερώνυμος.

Βοᾷ χαριστήριον, ἡ Ἐκκλησία Ὅσιε, δεξαμένη σε βλαστὸν, ἐκ Θεοῦ αἰωνικῆς εὐθυμίας προάγγελον.

Ἕτερος Κανὼν τοῦ Ὁσίου. οὗ ἡ ἀκροστιχίς.

Ταῖς σαῖς προσευχαῖς Παμμάκαρ, φῶς μοι νέμοις.

Ποίημα Θεοφάνους, ἦχος πλ. δ΄.

Ἁρματηλάτην Φαραώ.

Ταῖς προσευχαῖς σου καὶ ταῖς σαῖς δεήσεσιν, ἐκδυσωπῶν τὸν Θεὸν, τὸ σκοτεινὸν νέφος, τὸ τῆς ἀθυμίας μου, Παμμάκαρ διασκέδασον, εὐθυμίας ὑπάρχων, καὶ θυμηδίας ἀνάπλεως, τῷ Παμβασιλεῖ παρεστάμενος.

Ἄλλος καθάπερ Σαμουὴλ θεόσδοτος, καὶ πρὸ συλλήψεως, ἐπαγγελθεὶς Πάτερ, πᾶσαις ἐναπέφηνας, ταῖς Ἐκκλησίαις Ὅσιε, φερωνύμως τὴν κλῆσιν, κατάλληλον ἐπαγόμενος, τῇ τῆς εὐθυμίας φαιδρότητι.

Ἱκετηρίᾳ καὶ δεήσει χρώμενοι, οἱ σοὶ Γεννήτορες, πρὸς τὸν Θεὸν δῶρον, θεῖόν σε κομίζουσι· καὶ φωτοφόρον βλάστημα, τῇ γεννήσει μηνύον, τῆς εὐσεβείας τὴν ἔλλαμψιν, καὶ τὸν τῆς αἱρέσεως ἔλεγχον.

Σὺ ἐκ παιδὸς καθιερώθης Ὅσιε, τῷ δεδωκότι Θεῷ· καὶ πρὸς αὐτὸν βλέπων, καὶ καθοδηγούμενος, ζωοποιοῖς προστάγμασι, τοῖς αὐτοῦ Θεοφόρε, πρὸς ὕψος ἤρθης μετάρσιον, τὸ τῶν ἀρετῶν διὰ πίστεως.

Θεοτοκίον.

Σὲ Θεομῆτορ προστασίαν ἔχοντες, οὐ δειλιάσομεν, τὸ τῶν ἐχθρῶν ξίφος, τὸ ἀντιμαχόμενον, τοῖς εὐσεβῶς δοξάζουσι, τὸν ἐκ σοῦ γεννηθέντα, Θεὸν τῶν ὅλων καὶ Κύριον· ὃν ὑπὲρ ἡμῶν ἐκδυσώπησον.

Καταβασία. Χέρσον Ἀβυσσοτόκον.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλούτῳ καυχώμεθα· ἀλλ᾽ ἐν σοὶ τῇ τοῦ Πατρὸς, ἐνυποστάτῳ Σοφίᾳ Θεοῦ. οὐ γάρ ἐστιν Ἅγιος, πλήν σου Φιλάνθρωπε.

Σὲ ἡ τεκοῦσα, τὸ τῆς Ἄννης ζηλώσασα Ὅσιον, ὡς τὸν πάλαι Σαμουὴλ, θυσίαν ζῶσαν προσήγαγε, Θεῷ τῷ δοξάσαντι, καὶ πρὸ συλλήψεως.

Ἡ ἐρημουσία, τῆς πρὸς Θεὸν ἀγάπης πυρούμενος, λογισμῷ πανευσεβεῖ, παθῶν ἐκράτησας Ὅσιε. διὸ θεία Χάρις σοι ἐπανεπαύσατο.

Ἄλλος. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἀπὸ στερώσεως τεχθεὶς, πνευματικῆς εὐκαρπίας γεωργὸς πολυγονώτατος ὤφθης, τὰς ἀκάνθας ἐκτεμὼν, τῆς ἀσεβείας Ὅσιε· καὶ εὐσεβείας σπόρον, ἔνθεον καταβαλλόμενος.

Ἐνεργὸς ὑπερφυῶν, καὶ μυστικῶν θαυμάτων, Θεοφόρε γεγονὼς τοὺς ἀπίστους, προσενήνοχας Χριστῷ, θεοπρεπῶς πιστεύοντας, ταῖς διδαχαῖς σου Πάτερ, διδασκομένους τὰ κρείττονα.

Σωφρονεστάτῳ λογισμῷ, καὶ εὐσεβεῖ κεχρημένος, τῶν ῥευστῶν καὶ φθειρομένων αὐτίκα, τὴν αἰώνιον ζωὴν, καὶ τὴν τρυφὴν προέκρινας, δι᾽ ἐγκρατείας ἄκρας, σάρκα νεκρώσας Εὐθύμιε.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὑπολαμπομένῃ τῇ ψυχῇ, καὶ τετρωμένῳ τῷ πόθῳ, τοῦ ἐχθροῦ τὰς πυριφλέκτους ἐνέδρας, τῶν δαιμόνων ἐκφυγών, τῇ δροσοβόλῳ χάριτι, κατελαμπρύνθης Πάτερ, σημειοφόρος γενόμενος.

Θεοτοκίον.

Ῥήσεις τῶν θείων Προφητῶν, καὶ τὰς αὐτῶν προφητείας, ἐπεσφράγισας τεκοῦσα τὸν Λόγον, τὸν λαλοῦντα δι' αὐτῶν, καὶ τὰς αὐτῶν πληρώσαντα, θεηγορίας μόνη, Εὐλογημένη Πανύμνητε.

Ἄλλος. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐγκρατείας ἐλαίῳ τὴν ψυχικήν, ἐκπληρώσας λαμπάδα πνευματικῶς, ποθῶν τὴν ἄφθαρτον, τοῦ Νυμφίου σου ἔλλαμψιν, προσευχαῖς ἀγρύπνοις, ἐτήρησας Ὅσιε, καὶ νυμφῶνι τούτου, εὐφραίνῃ Μακάριε. ὅθεν ἐπαξίως, τὴν τρυφὴν ἐκομίσω, ταύτην τὴν ἀέναον, τῶν θαυμάτων ἐνέργειαν, Θεοφόρε Εὐθύμιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Δίς.

Θεοτοκίον. Ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν δυσχερῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην τῷ κλύδωνι, ἁμαρτιῶν τῷ φόρτῳ, ὀφθεῖσαν ὑπέραντλον, καὶ ἐν πυθμένι Ἅδου, ἐλθεῖν κινδυνεύουσαν. φθάσον Θεοτόκε, τῇ θερμῇ σου γαλήνῃ, παρέχουσα ἄφεσιν· σῷ λιμένι προσέδραμον, Θεοτόκε βοήθει μοι. πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ἔκλινας Χριστὲ τῇ καταβάσει σου, Οὐρανοὺς ἐν συνέσει, καὶ ὤφθης σεσαρκωμένος ἐπὶ γῆς. διὸ πάντες βοῶμεν· δόξα τῇ δυνάμει σου Κύριε.

Φλέξας τὸν νοῦν ἀμετεώριστον, ἐκ σπαργάνων τὸν βίον, ἀνάβασιν ἐπεδέξω πρὸς Θεόν, ᾧ προβαίνων ἐκράθης, ἐκ δυνάμεως Πάτερ εἰς δύναμιν.

Ἠράσθης Χριστοῦ τῆς ταπεινώσεως, μεταναστὰς ἐντεῦθεν, πρὸς ἄσυ τὸ θεοδόχον γεγονώς, συσταυρῶσαι τῇ γνώμῃ, τῷ Σταυρὸν διὰ σὲ ὑπομείναντι.

Νομίμως ἀθλῆσαι προελόμενος, ἐξεδύσω τὸν βίον, γυμνὸς δὲ τῷ ἀντιπάλῳ προσπλακείς, τῷ Χριστοῦ ἐκμιμήσει, ἐν ἐρήμῳ τὸ τρόπαιον ἔστησας.

Ἄλλος. Σὺ μου ἰσχὺς Κύριε.

Ὅλον σαυτόν, Πάτερ Θεῷ καθιέρωσας, ἀθανάτου, δόξης ἐφιέμενος· καὶ πρὸς αὐτὸν ἔδραμες θερμῶς, διὰ πολιτείας, ἀμέμπτου καὶ δι' ἀσκήσεως, καὶ βίου λαμπροτάτου, ἀνενδότως κραυγάζων· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Εὐθεῖαν ὁδόν, Ὅσιε τῆς ἀγαθότητος, ἀγαπήσας, ὅλως ἐκ δυνάμεως, τοῖς Ἀσκηταῖς γέγονας Πηγή, θείων χαρισμάτων, διψῶντας τούτους ἰώμενος· πηγὰς γὰρ ὥσπερ πάλαι, Μωϋσῆς ἐν ἐρήμῳ, παραδόξως Παμμάκαρ ἀνέβλυσας.

Ἐπιφανείς, ἐκ τῶν ἀδύτων τοῦ Πνεύματος, τῆς παιδίσκης, γόνους ἠλευθέρωσας, Υἱοὺς Θεοῦ, ἀξιοπρεπῶς, τούτους ἀναπλάσας, Υἱοθεσίας Βαπτίσματι· τοῦ θείου γὰρ Προδρόμου, μιμησάμενος βίον, Βαπτιστὴς ἀνεδείχθης Εὐθύμιε.

Ὑπὸ Θεοῦ, τοῖς ἀγνοοῦσιν Εὐθύμιε, ἐπεγνώσθης, χάριτι λαμπόμενος. οὐ γὰρ τὴν σήν, ἔδει ἀρετήν, ὄντως ἐν ἐρήμῳ, λαθεῖν καὶ κατακαλύπτεσθαι. διό σε Φωτοφόρον, ὡς Φωστῆρα τοῖς πᾶσιν, ὁ Δεσπότης τῶν ὅλων ἀνέδειξε.

Θεοτοκίον.

Χαῖρε Σεμνή, χαῖρε Παρθένε Παναμώμητε· χαῖρε Ὄρος, χάριτι κατάσκιον· χαῖρε Σκηνή, χαῖρε Κιβωτέ· χαῖρε ἡ Λυχνία, τὸ Φῶς τὸ θεῖον βαστάζουσα. χαρᾶς γὰρ ἀνεκφράστου, καὶ ψυχῶν εὐφροσύνης, τοῖς πιστεύουσι πρόξενος γέγονας.

Ὠδὴ ε'. Ἀσεβεῖς οὐκ ὄψονται.

Ἑαυτὸν ὑπέταξας τῷ νόμῳ τοῦ Θεοῦ. τὸ γὰρ σῶμά σου, ὡς ψυχῆς, Θεοφόρε, ὄργανον ἐδουλαγώγησας, τῆς σαρκὸς τὸ φρόνημα, καθυποτάξας τῷ πνεύματι.

Εὐθέως διανύσας τὴν τρίβον τῆς ζωῆς, καὶ Θεοῦ φόβον συλλαβών, σωτηρίαν ἔτεκες τοῖς πλανωμένοις, ἀναλάμψας Ἥλιος, τῇ ἐρήμῳ καλυπτόμενος.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Ἀσκητῶν εὐσεβείας, ἐπὶ τὴν οὐράνιον τρίβον Εὐθύμιε, προηγήσω Πάτερ, καὶ πρὸς κληροδοσίαν ἀνώλεθρον, ἐν ὑψίστοις ἄγων, στύλος πυρός τε καὶ νεφέλης, δεδεγμένος τὴν αἴγλην τοῦ Πνεύματος.

Ἰατρὸν ἀσθενούντων, ἄγαν συμπαθέστατον, Κόσμῳ δεδώρηται, ὁ Χριστός σε



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Πάτερ, καὶ πενόντων τροφέα παράδοξον· παιδευτὴν ἀφρόνων, σωφρονιστὴν ἀγνωμονούντων· ὀρφανῶν καὶ πτωχῶν ἀντιλήπτορα.

Συμπαθὴς, ἐλεήμων, γνώμην ταπεινόφρονα φέρων γεγένησαι, τῶν παθῶν ἐκτέμνων, τὰς αἰτίας ἐνθέοις διδάγμασι· καὶ σοφίζων Πάτερ, καὶ νουθετῶν τοὺς φοιτητάς σου. καὶ ψυχῶν θεραπεύων νοσήματα.

Πανταχοῦ τὰς ἀκτῖνας, πέμπων τῶν θαυμάτων σου, πάντας ἐφώτισας, καὶ μαγνήτης ὥσπερ, ἐφελκύσω πρὸς τὰ σὰ παιδεύματα, διαπλάττων ἤθη, καὶ τῶν ψυχῶν τὰς διαθέσεις, ἐμβατεύων ψυχῆς καθαρότητι.

Θεοτοκίον.

Ἀληθῆ Θεοτόκον, πάντες σε κηρύττομεν, Θεοχαρίτωτε, οἱ τῇ σῇ γεννήσει, τῆς φθαρτῆς λυτρωθέντες γεννήσεως· καὶ πρὸς τὴν ἀμείνω, πάλιν ζωὴν ἀνακληθέντες, διὰ σπλάγχνα ἐλέους Θεοῦ ἡμῶν.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ κατεπόντισέ με, καταιγὶς πολλῶν ἁμαρτημάτων· ἀλλ᾿ ὡς Θεὸς, ἐκ βυθοῦ ἀνάγαγε, τὴν ζωήν μου Πολυέλεε.

Υἱοὺς ὥσπερ πάλαι τῆς παιδίσκης, τῆς παλιγγενεσίας, τῷ λουτρῷ καὶ νῦν Υἱοθετήσας, ταῖς σαῖς λιταῖς, Θεοφόρε συντέτριψον, τὸν ζυγὸν τὸν τῆς δουλείας ἡμῶν.

Ἔθετο σοφόν σε οἰκονόμον, καὶ παιδευτὴν ἀφρόνων, πονηρῶν πνευμάτων τε διώκτην, ἡ τοῦ Θεοῦ Θεοφόρε χάρις σε, ἐναργῶς ἐν σοὶ σκηνώσασα.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Μεγίστην παρὰ Θεοῦ τὴν ἐξουσίαν δεξάμενος, τὰ πλήθη τῶν δυσμενῶν, δαιμόνων ἐδίωξας, τῆς τούτων στρεβλώσεως, ἰώμενος πάντας, τοὺς ἐν πίστει σοι προστρέχοντας.

Μακάριος ἀληθῶς, ἐγένου Πάτερ Εὐθύμιε, πτωχείαν πλουτοποιὸν, καὶ πένθος χαρμόσυνον, κτησάμενος Ὅσιε. δι᾿ ὧν Βασιλείαν, Οὐρανῶν ἐκληρονόμησας.

Ἀπώσω τὴν ἐπὶ γῆς, τιμὴν καὶ δόξαν ἀμάραντον· ἀΐδιον δὲ ζωὴν, καὶ κλῆρον ἀκήρατον, Παμμάκαρ ἀπείληφας, σκηνὰς οὐρανίους, κατοικήσας ἀσφαλέστατα.

Θεοτοκίον.

Κυρίαν σε τοῦ παντὸς, καὶ Δέσποιναν ὀνομάζομεν, τὸν ὄντως ὄντα Θεὸν, ἀῤῥήτως γὰρ τέτοκας, τὸν πάντα ποιήσαντα, καὶ διακρατοῦντα, καὶ συνέχοντα Πανάμωμε.

Κοντάκ. Ἦχος πλ. δ΄. Ὡς ἀπαρχάς.

Ἐν τῇ σεπτῇ γεννήσει σου, χαρὰν ἡ Κτίσις εὕρατο· καὶ ἐν τῇ θείᾳ μνήμῃ σου Ὅσιε, τὴν εὐθυμίαν ἔλαβε τῶν πολλῶν σου θαυμάτων. ἐξ ὧν παράσχου πλουσίως ταῖς ψυχαῖς ἡμῶν, καὶ ἀποκάθαρον ἁμαρτημάτων κηλῖδας, ὅπως ψάλλωμεν· Ἀλληλούϊα. Ὁ Οἶκος.

Ἐκ ῥαθύμου καρδίας τὴν αἴνεσιν, πῶς προσοίσω ὁ ἄθλιος δέδοικα, καὶ ὑμνήσω τὸν μέγαν Εὐθύμιον; ἀλλὰ τούτου θαῤῥῶν ταῖς δεήσεσιν, ἐν εὐθυμίᾳ καὶ σπουδῇ πολλῇ τῇ ᾠδῇ ἐγχειρήσω, καὶ πᾶσιν ἐξάρω αὐτοῦ τὴν πολιτείαν καὶ τὴν γέννησιν· καὶ πῶς οἱ τούτου γονεῖς ἔψαλλον· τὸ Ἀλληλούϊα.

Μηνὶ τῷ αὐτῷ κ΄. Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐθυμίου τοῦ Μεγάλου.

Στί. Τί κοινὸν Εὐθύμιε σοὶ καὶ τῷ βίῳ;
Πρὸς Ἀγγέλους ἔπαιρε τοὺς ξένους βίου.
Λῆξε βίου Εὐθύμιος εἰκάδι ἠϋγένειος.

Οὗτος ὁ Ὅσιος Πατὴρ ἡμῶν καὶ μέγας Εὐθύμιος ἦν ἐπὶ τῆς Βασιλείας Τραϊανοῦ, ἐν Μελιτινῇ τῇ κατὰ Ἀρμενίαν Μητροπόλει. Ἐκ Παύλου καὶ Διονυσίας εὐγενῶν τινῶν γεννηθεὶς, κατὰ τὸν μέγαν Ἰωάννην ἐκ στειρωτικῆς καὶ ἀκάρπου γαστρός. ὅθεν καὶ τὴν κλῆσιν κατ᾿ ἐπαγγελίαν ἔχει, εὐθυμοῦν τοῖς γεννήτορσιν ὑπὲρ γονῆς δεομένοις, φωνῆς ἄνωθεν ἐνεχθείσης. Οὗτος, μετὰ τὴν τοῦ Πατρὸς τελευτὴν, προσάγεται παρὰ τῆς Μητρὸς Εὐτροΐῳ τῷ μεγάλῳ τῆς Μελιτινῆς Ἐπισκόπῳ, καὶ παρ᾿ αὐτοῦ τῇ τάξει τῶν Κληρικῶν καταλέγεται. Γενόμενος δὲ περὶ τὴν τῶν ἱερῶν μαθημάτων συλλογὴν ἐπιτήδειος, καὶ πάντας τοὺς κατ᾿ αὐτὸν ἀσκήσει, καὶ ταῖς πρὸς ἀρετὴν ἐπιδόσεσιν ὑπερβαλὼν, ἀναγκάζεται τὴν τοῦ Πρεσβυτέρου χειροτονίαν λαβεῖν, καὶ τῶν ἱερῶν Ἀσκητηρίων, καὶ Μοναστηρίων τὴν ἐπιμέλειαν δέξασθαι. Ἔνατον δὲ καὶ εἰκοστὸν ἔτος ἄγων, τὰ Ἱεροσόλυμα καταλαμβάνει, καὶ ἔν τινι τῶν κατ᾿ ὄρος σπηλαίων, μετὰ τοῦ Ὁσίου Θεοκτίστου συνδιαιτᾶται· ἔνθα χαλεπῶν νοσημάτων πολλοὺς ἀπήλλαξε. Λέγεται δὲ καὶ οὗτος, ἐν ὀνόματι Κυρίου, ἐκ βραχέων πάνυ καὶ μικρῶν ἄρτων, τετρακοσίους τῇ μονῇ καθ᾿ ὁδὸν παραβαλόντας αὐτῷ διαθρέψαι. Οὐ-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μόνον δὲ αὐτὸς ἐν δυνάμει Θεοῦ στάρων λύσας ἐξῆλθεν, ἀλλὰ καὶ ἑτέρας ἀτέκνους γυναῖκας, δι᾽ εὐχῆς, ἀτέκνους καὶ γονίμους ἀπέδειξε. Καὶ κατὰ τὸν μέγαν Ἠλίαν καὶ οὗτος θύρας ἀνέῳξεν Οὐρανοῦ, καὶ τὴν γῆν ἀκαρπίαν νοσοῦσαν ἰάσατο. Ἐδήλωσε δὲ τοῦ Ὁσίου τὴν ἔνδον λαμπρότητα, καὶ ὁ τοῦ πυρὸς στῦλος, ὃν ἱερουργοῦντος αὐτοῦ τὴν ἀναίμακτον Θυσίαν, οὐρανόθεν εἶδον οἱ περιεστῶτες κατελθόντα, καὶ συμπαρεστῶτα τῷ Ὁσίῳ, μέχρι πέρας ἔλαβεν ὁ τῆς Θυσίας καιρός. Τὸ δὲ τὰς διαθέσεις τῶν προσιόντων τῆς θείας Κοινωνίας μετασχεῖν, νοερῶς καθορᾷν, καὶ τίς μὲν αὐτῶν μετὰ καθαροῦ συνειδότος, τίς δὲ ἐσπιλωμένος πρόσεισι, τῆς παντελοῦς δήπου καθάρσεως καὶ ἁγνείας σημεῖον ἐστίν. Οὗτος ὁ μακάριος γενόμενος ἐτῶν ἐννενήκοντα ἑπτά, πρὸς Κύριον ἐξεδήμησεν, ἐπὶ τῆς Βασιλείας Λέοντος τοῦ μεγάλου. Ἦν δὲ τὸ εἶδος εὐπρεπής, τὸν τρόπον ἁπλοῦς, τὸ χρῶμα λευκός, τὴν ἡλικίαν εὐσταλὴς καὶ σεμνός, πολιὸς τὴν τρίχα, τὴν ὑπήνην μέχρι τῶν μηρῶν καθεικώς. Λέγεται δὲ περὶ αὐτοῦ, ὅτι τινὸς μέλλοντος τελευτᾷν Μοναχοῦ, ὃς ἐνομίζετο μὲν τοῖς πολλοῖς σώφρων καὶ ἐγκρατής, οὐκ ἦν δέ, ἀλλὰ τοὐναντίον ἀκόλαστος, ἑώρα ὁ μακάριος Ἄγγελον μετὰ τριόδοντος τὴν ψυχὴν αὐτοῦ ἐκσπῶντα· καὶ ἅμα φωνῆς ἀκοῦσαι, τὰ κρυπτὰ τῆς αἰσχύνης δηλούσης τοῦ Μοναχοῦ. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ.

Ὠδὴ ζ΄. Νέοι τρεῖς ἐν Βαβυλῶνι.

Ὤφθης ἔσω τῆς νεφέλης, Πάτερ τῷ ὑπερφυεῖ, πυρὶ καλυπτόμενος, ὡς θεῖος βοῶν μυστιπόλος· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἡ Ἔμαθες σοὶ τὰ ὑπὲρ φύσιν, Πάτερ ὁ Δημιουργός, ἀφθόνως τῆς φύσεως, ψυχῶν διαθέσεις προφαίνων, τῶν μετεχόντων Ὅσιε τῆς σαρκὸς τοῦ Κυρίου σου.

Ἕνα καὶ μετὰ τὴν θείαν, Σάρκωσιν Μονογενῆ, ἐν δύο ταῖς Φύσεσιν, Εὐθύμιε σέβων ἐβόας· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Θεοῦ συγκατάβασιν.

Ἀσκήσεως στάδιον, ἁγιωσύνης Πάτερ γυμνάσιον, τὸν σὸν ἔδειξας βίον, δι᾽ ἐγκρατείας ἄκρας ἐνούμενος, τοῖς Ἀσωμάτοις κραυγάζων Εὐθύμιε· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ῥομφαίαν σε δίστομον, ἠκονημένην Χριστὸς ἀνέδειξε, τῶν ἐχθρῶν τὰς καρδίας, καὶ τῶν δαιμόνων σφάττουσαν φάλαγγας· καὶ τῶν ψαλλόντων ψυχὰς κατευφραίνουσαν· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Φωτὸς ἐμφορούμενος, τοῦ Τρισηλίου Πάτερ φῶς δεύτερον, τῇ μεθέξει τοῦ πρώτου, μεμορφωμένος ὤφθης Εὐθύμιε· τὰς λαμπηδόνας ἐκπέμπων τοῖς ψάλλουσιν· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ὡς ὄρθρος ἀνέτειλας, δικαιοσύνης Ἥλιον ἔχουσα, τὸν ἐκ σκότους τὸν Κόσμον, τῆς ἀγνωσίας ἀποκαθαίροντα, Θεογνωσίας ἀκτῖσιν, ᾧ ψάλλομεν· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Θεῷ ἑαυτὸν καθιερώσας, καὶ ἅψας τῆς συνειδήσεως τὴν κάμινον, ὅλον σου Εὐθύμιε, χαίρων ὡλοκαύτωσας, ὡς ἱερεῖον ἄμωμον, τὸν βίον μέλπων Χριστῷ· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Υἱοθετηθεὶς χάριτι θείᾳ, ὡς κλῆρον τὴν τῶν μελλόντων γνῶσιν εἴληφας. φύσεως κρατήσας γάρ, φύσιν ὑπερβέβηκας, προγνωστικῶς πρὸς ἔκβασιν, ἀπᾴδων Εὐθύμιε· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, βοῶν εἰς τοὺς αἰῶνας.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Συντονωτάτῃ χρώμενος, ἐγκρατείᾳ Πανόλβιε, πρὸς ὑψηλοτάτην πολιτείαν ἔφθασας, δοχεῖον γενόμενος, χωρητικὸν τοῦ Πνεύματος, τοῦ Ζωοποιοῦ, καὶ τῶν ἐκεῖθεν πλουσίως, βρυόντων χαρισμάτων, μελετῶν ἀνενδότως· λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Μετανιστεύων ἔφθασας, τῆς Σιὼν τὴν ἀκρόπολιν· εἰς τὰς αἰωνίους δὲ μονὰς κατηντήσας. καὶ κλῆρον οὐράνιον, ἐκ τῶν οἰκείων πόνων δρῶν, ταῖς Ἀγγελικαῖς Χοροστασίαις συμψάλλεις· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε.

Ὁλολαμπὴς ὡς Ἥλιος, τοὺς ἐρήμους ἐφώτισας, τοὺς σκοτεινομόρφους, ἀπελάσας



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

δαίμονας· καὶ σύλλογος ὁλόφωτος, οὐρανομήκης γέγονας· θαυματουργίας μαρμαρυγὰς ἀποστίλβων, ἀπαύστως ἀνακράζων, Ἱερεῖς ἀνυμνεῖτε.

Ἱερωτάταις πράξεσι, διὰ βίου κοσμούμενος· τὴν ἀρχικωτάτην, ἀρετὴν κατώρθωσας, δογμάτων ὀρθότητι, διαπρεπὴς γενόμενος, καὶ θεολογίας, ἀκριβοῦς ὑποφήτης, βοῶν ἀδιαλείπτως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε. Θεοτοκίον.

Νύμφη Θεοῦ Πανάμωμε, τοὺς πρὸς σὲ καταφεύγοντας, τῆς αἰχμαλωσίας τῶν παθῶν ἐξάρπασον· καὶ τὴν αὐτοδέσποτον ἐλευθερίαν Δέσποινα, ταῖς τῶν ὀρθοδόξων Ἐκκλησίαις παράσχου, ταῖς πίστει μελῳδούσαις· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε.

Ὠδὴ Θ΄. Μετὰ τόκον σε Ἁγνή.

Ἰαμάτων σε πηγήν, καὶ πρὸ θανάτου καὶ ἐν θήκαις Ὅσιε, κεκοιμημένον εὐμοιρήσαντες, ὡς νικηφόρον ἀθλητὴν μακαρίζομεν.

Ἐπιγείου Βασιλεῦ, τὸν ἐν ὑψίστοις ἀρραβῶνα ἀπείργασαι, κατὰ βαρβάρων καὶ τῇ ποίμνῃ σου, κατὰ ποικίλων ταρασμῶν, Πάτερ ὅσιε.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἐγνώρισε Χριστός σοι τὴν πρὸς αὐτόν, πολυέραστον Πάτερ ἀνάλυσιν, ὥσπερ Μωσεῖ, πάλαι τῷ Θεόπτῃ· οὗ μιμητής, δι' ἀρετῆς γενόμενος, ῥήξας σὺ τὴν θάλασσαν τῶν παθῶν, διέβης ἀκωλύτως, πρὸς γῆν ἐπαγγελίας, τοὺς ἐναντίους τροπωσάμενος.

Ἐρράγη ἐν ἐρήμῳ ὕδωρ καὶ γῆ, ἡ διψῶσα εἰς ἕλη ἐγένετο, ταῖς προσευχαῖς μετασκευασθεῖσα Πάτερ ταῖς σαῖς. ἀσκητικαὶ γὰρ φάλαγγες, ταύτην κατοικοῦσι ποταμηδόν, ἡ χώρα Ἰορδάνου, ἐξήνθησεν ὡς κρίνον, ἀρδευομένη τοῖς σοῖς δάκρυσι.

Μέτοχος ὡς Ἠλίας ὁ ζηλωτής, ἀρετῶν ἐποχούμενος ἅρματι, πρὸς Οὐρανόν. ὅτε τὸ πολίτευμα ἐμφανῶς, τὸ σὸν ἐγράφη Ὅσιε, καὶ νῦν τῷ Δεσπότῃ παρεστηκώς, μνημόνευε τῶν πίστει, τὴν μνήμην σου τελούντων, τὴν φωτοφόρον καὶ πανίερον.

Ὁ βίος σου Παμμάκαρ ἀγγελικός, ἡ ζωὴ δὲ Θεόφρον ὑπέρλαμπρος· ἡ δὲ ψυχή, φωτοειδεστάτη Θεοειδής. καὶ εὐσεβὴς ἡ πίστις σου. θείων γὰρ δογμάτων ὑφηγητής, ἐγένου Θεοφόρε, καὶ Κῆρυξ ὀρθοδόξου, διδασκαλίας ἐχρημάτισας.

Ἱκέτευε καὶ πρέσβευε πρὸς τὸν Θεόν, πρεσβευόμενον Πάτερ συγχώρησιν, ἁμαρτιῶν, καὶ τῶν ὀφλημάτων καὶ τῶν χρεῶν, ἀποκοπὰς αἰτούμενον, θείους μιμησάμενον οἰκτιρμούς, προβάλλομαι προθύμως, ἐλπίδι τῆς πρεσβείας, τῆς σῆς Θεόφρον στηριζόμενος. Θεοτοκίον.

Σωτήριος γενοῦ μοι πύργος Ἁγνή, τῶν δαιμόνων ἀπείργων τὰς φάλαγγας, καὶ ταρασμῶν, ὄχλον καὶ κινδύνων ἀποσοβῶν, καὶ τῶν παθῶν τὴν ἔφοδον, πόρρω ἀπελαύνων καὶ καθαράν, διδοὺς ἐλευθερίαν, καὶ θείων χαρισμάτων, τὴν ἀφθονίαν παρεχόμενος.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἐκ μήτρας καθηγίασε, Θεός σε Πάτερ ὅσιε, Ἱερεμίαν ὡς πάλαι, καὶ Σαμουὴλ Θεοφόρε, Προφήτην θεῖον δείξας σε, τερατουργὲ Εὐθύμιε, τῶν Ἀγγέλων ὁμόσκηνε. μεθ' ὧν μνημόνευε πάντων, τῶν σὲ πιστῶς ἀνυμνούντων. Θεοτοκίον. Ὅμοιον.

Ἐν δύο ταῖς θελήσεσι, καὶ φύσεσι Πανάμωμε, μιᾷ δὲ τῇ ὑποστάσει, τίκτεις Θεὸν ἀπορρήτως, τὸν δι' ἡμᾶς πτωχεύσαντα, μέχρι Σταυροῦ θελήματι· καὶ ἡμῖν χαρισάμενον, τὸν τῆς Θεότητος πλοῦτον, Θεοκυῆτορ Παρθένε.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος πλ. δ΄.

Ὢ τοῦ Παραδόξου θαύματος.

Ὅσιε Πάτερ Εὐθύμιε, καταλιπὼν τὰ ἐν γῇ, τῷ Χριστῷ ἠκολούθησας, μὴ προκρίνας ἔνδοξε, τὰ φθαρτὰ πρὸς τὰ μένοντα· ἐν τῇ ἐρήμῳ, ὥσπερ ἐν Πόλει οἰκῶν, τὰς τῶν δαιμόνων φάλαγγας ὤλεσας· ὢ τίς ἰσχύσειεν, ἐξειπεῖν ἀοίδιμε τῆς σῆς ψυχῆς, ὄντως τὴν θερμότητα, τὴν πρὸς τὸν Κύριον; Δίς.

Ὅσιε Πάτερ Εὐθύμιε, σὺ ἀνεδείχθης κανών, Μοναζόντων καὶ καύχημα, ὀρθοδόξων ἥδυσμα, καὶ λαμπρὸς Οἰκουμένης φωστήρ. τοῦ γὰρ δολίου ἐχθροῦ οὐκ ἔπτηξας, τὰς ἐκφοβήσεις ἐν τῷ σπηλαίῳ οἰκῶν. ὢ τοῦ χαρίσματος, τοῦ ἐν σοὶ Μακάριε, δι' οὗ σαφῶς, πᾶσαν κατεπάτησας, τὴν τῶν δαιμόνων ὀφρύν.

Ὅσιε Πάτερ Εὐθύμιε, σὺ ἀληθῶς πρὸς Θεόν, τὴν ψυχὴν ἀνεπτέρωσας· καὶ ἀσκήσει Ἅγιε, τὰς αἰσθήσεις ἐκάθηρας, καὶ ταῖς ἀπαύστοις εὐχαῖς πανόλβιε, τῆς ἀθανάτου ζωῆς ἠξίωσαι. ὢ ἐγκαλλώπισμα, Ἀσκη-

τῶν ἀοίδιμε· σὲ ὁ Χριστὸς, χαίρων ὑπεδέξατο, εἰς τὰς αὔλους μονάς.

Δόξα, ἦχος πλ. δ'.

Τῶν Μοναστῶν τὰ πλήθη, τὸν Καθηγητήν σε τιμῶμεν Εὐθύμιε. διὰ γάρ σου τὴν τρίβον, τὴν ὄντως ἀληθῆ, πορεύεσθαι ἔγνωμεν. μακάριος εἶ, τῷ Χριστῷ δουλεύσας, καὶ ἐχθροῦ θριαμβεύσας τὴν δύναμιν. Ἀγγέλων συμμέτοχε. Δικαίων ὁμόσκηνε, καὶ Ὁσίων. μεθ' ὧν πρέσβευε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος. Ὠδὴ γ'. καὶ ϛ'. Προκείμ. ἦχος βαρύς.

Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Πρὸς Κορινθίους β'. Ἐπιστολῆς Παύλου.

Ἀδελφοί, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν. πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ. Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ. καὶ μὴ ἐξ ἡμῶν. Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι· διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες. ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ.

Ἀλληλούϊα. Δίκαιος ὡς φοίνιξ.

Τὸ δὲ Εὐαγγέλιον ζήτει τῇ ιζ'. τοῦ αὐτοῦ μηνὸς ἐν τῇ Λειτουργίᾳ.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ κα'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαξίμου τοῦ Ὁμολογητοῦ. καὶ τοῦ Ἁγίου Μάρτυρος Νεοφύτου· ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον, καὶ εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ κβ'.

Τοῦ Ἁγίου Ἀποστόλου Τιμοθέου, καὶ τοῦ Ἁγίου Ὁσιομάρτυρος Ἀναστασίου τοῦ Πέρσου· ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀπόστολον, καὶ εἰς Ὁσιομάρτυρα.

Μηνὶ τῷ αὐτῷ κγ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Κλήμεντος Ἀγκύρας. καὶ τοῦ Ἁγίου Μάρτυρος Ἀγαθαγγέλου· ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα, καὶ εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ κδ'.

Τῆς Ὁσίας Μητρὸς ἡμῶν Ξένης· ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίαν Γυναῖκα.

Μηνὶ τῷ αὐτῷ ΚΕ'.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου.

Εἰς τὸ Λυχνικὸν, τὸ, Μακάριος ἀνήρ.

Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ'. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος α'.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Πάτερ Γρηγόριε τὰ σὰ, χείλη οὐχ ὁ πρόξενος, τῆς λήθης τάφος ἐκάλυψε. Θεολογίας γὰρ, ἀνεδείχθης στόμα, ἀσεβείας δόγματα, καὶ νῦν τῇ Οἰκουμένῃ φθεγγόμενος· διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Δίς.

Πάτερ Γρηγόριε σοφῶς, τῆς σαρκὸς ἐξέκλινας, τὸ δυσμενὲς καὶ ἐπίβουλον, οὐρανοδρόμῳ τε, ἐπιβὰς τεθρίππῳ, ἀρετῶν ὀχήματι, ἀνέπτης πρὸς τὸ κάλλος τὸ ἄρρητον οὗ ἐμφορούμενος, νῦν βράβευε ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Δίς.

Πάτερ Γρηγόριε Θεοῦ, καὶ ἀνθρώπων γέγονας, πιστὸς μεσίτης τῇ χάριτι· καὶ νῦν ἀΐλατον, ἀπαρρησιάστοις προσευχαῖς, τιθεὶς ἡμῖν, Χριστὸν μὴ διαλείπῃς τὸν Κύριον, πρέσβευε Ὅσιε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος. Δίς.

Δόξα, ἦχος πλ. δ'.

Ἡ Γρηγόρος γλῶσσά σου πρὸς διδασκαλίαν, ἐν τοῖς ὠσὶ τῶν καρδιῶν ἐνηχοῦσα, τὰς τῶν ῥαθύμων ψυχὰς διανίστησι· καὶ θεοφθόγγοις ῥήμασι, κλίμαξ εὑρίσκεται, τοὺς ἐκ γῆς πρὸς Οὐρανὸν ἀναφέρουσα. διὸ Γρηγόριε Θεολόγε, μὴ παύσῃ πρεσβεύων Χριστῷ, ἐκ κινδύνων σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θε. Ὁ αὐτός.

Ὁ Βασιλεὺς τῶν Οὐρανῶν.

Εἴσοδος, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. ζήτει Νοεμβρίῳ ιγ'.

Εἰς τὴν Λιτὴν, στιχ. ἰδιόμ. ἦχος α'.

Ἀνατολίου.

Ἐνθέοις πράξεσι, τὸ σῶμα σὺν τῇ ψυχῇ νομίμως καθηράμενος, τῷ τῆς Θεολογίας

ὄρει προέβης, τὰ Θεῖα μυσταγωγούμενος, Θεοφάντορ Γρηγόριε. καὶ τὸν ἄδυτον ὑπελθὼν γνόφον, τὴν θεοτύπωτον ἐδέξω νομοθεσίαν, ὁμοούσιον ἐγγεγραμμένην Τριάδα. ἣν προσκυνοῦντες διὰ σοῦ, ἀνυμνοῦντες λέγομεν· ἡ ἐν Τριάδι γινωσκομένη Μονὰς, ἐλέησον ἡμᾶς.

Ο αὐτός.

Ὁ ἐν Θεῷ ἀνοίξας τὸ στόμα σου, τὸ τῆς σοφίας εἵλκυσας Πνεῦμα· καὶ πλήρης χάριτος γενόμενος, τὰ θεῖα ἐβρόντησας δόγματα, Τρισμάκαρ Γρηγόριε. καὶ ταῖς Ἀγγελικαῖς συμμυηθεὶς Δυνάμεσι, τὸ τρισσὸν ἐκήρυξας φάος καὶ ἀμέριστον. διὸ ταῖς σαῖς ἐλλαμφθέντες Γρηγόριε θεολογίαις, Τριάδα προσκυνοῦμεν, ἐν μιᾷ Θεότητι γνωριζομένην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ο αὐτός.

Ἡ πυρίνη γλῶσσά σου, Θεοῤῥῆμον Γρηγόριε, τὰς θεομάχους ἐνέπρησας τῶν αἱρετιζόντων γλωσσαλγίας. θεῖον ὡς ἀληθῶς ἀνεδείχθης στόμα, ἐν Πνεύματι λαλῆσαν τὰ μεγαλεῖα τοῦ Θεοῦ· καὶ γράμμασι διατυπώσας, τὴν τῆς κρυφιομύστου Τριάδος, ὁμοδύναμον οὐσίαν· καὶ τὸ τρισήλιον φῶς ἐκδιδάξας, τὸν περίγειον Κόσμον ἐφώτισας, καὶ πρεσβεύεις ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος ὁ αὐτός.

Τὴν λύραν τοῦ Πνεύματος, τὸ τῶν αἱρέσεων θέλγιστρον, καὶ ὀρθοδόξων ἥδυσμα, τὸν δεύτερον Ἐπιστήθιον, τὸν τοῦ Λόγου αὐτόπτην τοῖς δόγμασιν ἑπόμενον, τὸν σοφὸν Ἀρχιποίμενα, τῆς Ἐκκλησίας τὰ θρέμματα, θεολογικοῖς ὕμνοις προσείπωμεν· σὺ εἶ ὁ ποιμὴν ὁ καλὸς, ὁ θεὶς ἑαυτὸν Γρηγόριε, ὡς ὁ Διδάσκαλος Χριστὸς ὑπὲρ ἡμῶν. καὶ σὺν Παύλῳ χορεύεις, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τῇ πρεσβείᾳ Κύριε πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου.

Εἰς τὸν στ. στ. προσόμοια, ἦχος πλ. α.

Χαίροις ἀσκητικῶν ἀληθῶς:

Χαίροις θεολογίας πηγὴ, καὶ θεωρίας ὑψηλῆς ἐνδιαίτημα· τὸν ἄνω βυθὸν γὰρ Πάτερ, μετ᾽ εὐσεβοῦς λογισμοῦ, ἐρευνήσας πᾶσι διετράνωσας, τρισὶν ἐν Ἡλίοις, μίαν φωτὸς εἶναι σύγκρασιν· ἑνιζομένην τῷ ταυτῷ τῆς Θεότητος· Τρισσομένην δὲ, ταῖς σεπταῖς ὑποστάσεσι. βίου μὲν καθαρότητι, καὶ λόγων λαμπρότητι, σέβειν διδάσκων Τριάδα, τὴν παναγίαν Θεόπνευστε. παρ᾽ ἧς ἐκπεμφθῆναι, ταῖς ψυχαῖς ἡμῶν δυσώπει τὸ μέγα ἔλεος.

στ. Τὸ στόμα μου λαλήσει σοφίαν.

Χαίροις Γλῶσσα θεολογίας τῆς σῆς, τὴν τῶν αἱρέσεων σκοτόμαιναν ἔλυσας. πηγὴν γὰρ ἀπαυγασμάτων, θεοσεβεῖ λογισμῷ, Θεολόγε φθάσας καὶ θεόφρονι, αὐγαῖς ταῖς ἐκεῖθεν, ἐκδιδομέναις ὡμίλησας. διαφανὲς γὰρ, τὸν σὸν νοῦν ὥσπερ ἔσοπτρον, ἐργασάμενος, τὸ τρισσὸν τῆς Θεότητος, Πάτερ φῶς καὶ ἀμέριστον, ἐδέξω λαμπρότατα, καὶ τὴν ἀκτῖνα πλουσίως, τὴν ἑνιαίαν ἐχώρησας. ἣν νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

στ. Στόμα δικαίου μελετήσει σοφίαν.

Χαίροις ὁ ποταμὸς τοῦ Θεοῦ, ὁ ἀεὶ πλήρης τῶν ὑδάτων τῆς χάριτος. ὁ πᾶσαν εὐφραίνων Πόλιν, τοῦ Βασιλέως Χριστοῦ, τοῖς ἐνθέοις λόγοις καὶ διδάγμασι. τρυφῆς ὁ χειμάῤῥους, τὸ ἀνεξάντλητον πέλαγος. ὁ τῶν δογμάτων, ἀκριβὴς φύλαξ εὔνομος· ὁ θερμότατος, τῆς Τριάδος ὑπέρμαχος, ὄργανον τὸ τοῦ Πνεύματος· ὁ νοῦς ὁ ἐγρήγορος, εὔηχος γλῶσσα τὸ βάθος, τὸ τῶν γραφῶν ἑρμηνεύουσα. Χριστὸν νῦν δυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. δ.

Τὰς καρδίας τῶν πιστῶν, γεηπονῶν τῇ γλώττῃ σου Γρηγόριε, εὐσεβείας ἐν αὐταῖς, ἀειθαλεῖς ἐβλάστησας καρποὺς τῷ Θεῷ· τὰς ἀκανθώδεις αἱρέσεις πρόῤῥιζον ἐκτεμὼν, καὶ κοσμῶν τοῖς λογισμοῖς καθαρότητα. διὸ δεχόμενος ἡμῶν τὰ ἐγκώμια· ἡ θεία Λύρα, ὁ γρήγορος ὀφθαλμὸς, τῶν ποιμνίων ὁ Ποιμὴν, ὁ τῶν λύκων ἀγρευτής· πρέσβευε ἐκτενῶς Θεολόγε τῷ Λόγῳ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Θεοτ. Τροπάριον, ἦχος α.

Ὁ Ποιμενικὸς αὐλὸς τῆς Θεολογίας σου, τὰς τῶν Ῥητόρων ἐνίκησε σάλπιγγας. ὡς γὰρ τὰ βάθη τοῦ Πνεύματος ἐκζητήσαντι, καὶ τὰ κάλλη τοῦ φθέγματος προσετέθη σοι· ἀλλὰ πρέσβευε Χριστῷ τῷ Θεῷ Πάτερ Γρηγόριε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α. στιχολ. καθισ. ἦχ. γ.

Θείας Πίστεως.

Θείαν ἔλλαμψιν κεκληρωμένος, βίον ἄϋλον ἐξησκημένος, ὁμωνύμῳ ἱερατείᾳ διέ-

πρεσβείας. ὑπερφυῶς γὰρ τρανώσας τὰ δόγματα, ὀρθοδοξίᾳ τὴν πίστιν ἐστήριξας. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Θείας φύσεως οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος ἐν τῇ γαστρί σου· ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον Μητέρα Παρθένον σε, ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμον, μόνος Κύριος. αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὴν β΄. Στιχολ. Κάθισμα. ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Γρηγορήσας τῷ λόγῳ τῆς ἀληθείας, τῆς Τριάδος τὸ κράτος ἐθεολόγησας. τὴν Ἀρείου δυσσεβῆ καὶ παράνομον, κακοδοξίαν καθελών, ὡς ἀσεβείας ἀρχηγούς, καὶ πρόμαχος Ἱεράρχα, ἐφώτισας τοὺς ἐν σκότει, τῆς ἀγνωσίας καθεύδοντας. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Τῆς ψυχῆς μου τὰ πάθη τὰ πολυώδυνα, καὶ σαρκός μου τὰς νόσους ἐν τάχει ἴασαι. τὰς τοῦ νοός μου ἐκτροπὰς στῆσον Πανάμωμε. καὶ ἐν γαλήνῃ λογισμῶν, εὐχὰς προσφέρειν καθαράς, τῷ Βασιλεῖ τῶν ἁπάντων, ἀξίωσον Θεοτόκε· καὶ ἐξαιτεῖσθαι πταισμάτων ἄφεσιν.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. ἦχος πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Στηλιτεύων τὴν πλάνην τῶν δυσσεβῶν, τὰς γραφὰς διανοίγων θεοπρεπῶς, ἐξέπεμψας δόγματα, ὑπὲρ μέλι ἡδύνοντα, τῶν πιστῶν τὰς καρδίας, σαφῶς ἀξιάγαστε· τῇ Τριάδι λατρείαν, ἐν μονάδι Θεότητος. ὅθεν τοῦ Σωτῆρος, τὴν μορφὴν ἐν εἰκόνι, προέστησας ἀσπάζεσθαι, σχετικῶς τὸ ἀνθρώπινον, Θεολόγε Γρηγόριε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Ὅταν ἔλθῃς τοῦ κρῖναι πᾶσαν τὴν γῆν, ὁ τῶν ὅλων Δεσπότης καὶ Ποιητής, προβάτοις με σύνταξον, δεξιοῖς τὸν κατάκριτον, καὶ ἐξωτέρου σκότους, καὶ πάσης κολάσεως, τὸν σὸν ἀχρεῖον δοῦλον, ἐξάρπασον δέομαι. ἵνα εὐχαρίστως, μεγαλύνω τὸν πλοῦτον, τῆς σῆς ἀγαθότητος, Θεοτόκε Πανάμωμε. καὶ βοῶ σοι γηθόμενος· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμ. ἦχος δ΄.

Τὸ στόμα μου λαλήσει σοφίαν.

Στίχ. Ἀκούσατε ταῦτα πάντα.

Τό, Πᾶσα πνοή. τὸ δὲ Εὐαγγέλιον, ζήτει τῇ ιγ΄. τοῦ Νοεμβρίου μηνός, εἰς τὸν Ὄρθρον. Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ Ἱεράρχου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα, Στίχ. Ἐλέησόν με ὁ Θεός. καὶ ψάλλομεν τὸ παρὸν Ἰδιόμελον, ἦχος πλ. β΄.

Ὅσιε τρισμάκαρ, Ἁγιώτατε Πάτερ· ὁ Ποιμὴν ὁ καλός, καὶ τοῦ Ἀρχιποίμενος Χριστοῦ μαθητής, ὁ τιθεὶς τὴν ψυχὴν ὑπὲρ τῶν προβάτων. αὐτὸς καὶ νῦν πανεύφημε, Θεολόγε Γρηγόριε, αἴτησαι πρεσβείαις σου, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Κανὼν τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου. οὗ ἡ ἀκροστιχίς.

Τὸν Θεορρήμονα Γρηγόριον τὸν ἀοίδιμον ᾄδω. Θεοφάνους.

Ὠδὴ α΄. ἦχος α΄. Χριστὸς γεννᾶται.

Τὸν Θεολόγον τὸν δεύτερον, τὸν στῦλον τοῦ φωτὸς τὸν οὐράνιον, σοφίας Θεοῦ τὴν σάλπιγγα, δεῦτε τῶν τούτου λόγων οἱ ἐρασταί, πόθῳ συνελθόντες, εὐφημήσωμεν αὐτὸν ὡς Θεοκήρυκα.

Ὁ Λόγος Πάτερ ὁ ἄναρχος, ὁ πάντων ὡς Θεὸς προμηθούμενος, προνοητικῇ δυνάμει σε, μάκαρ τῇ Ἐκκλησίᾳ, οἷα Μητρί, λόγῳ καὶ σοφίᾳ, χαριτώσας σου τὸν νοῦν, δῶρον χαρίζεται.

Νοῦν ἡγεμόνα ποιούμενος, παθῶν τῶν τῆς σαρκὸς κατεκράτησας, καὶ χωρητικὸς γενόμενος, θείων ἀπαυγασμάτων, οἷα Θεόν, ἐν τρισὶ προσώποις, κατεφώτισας ἡμᾶς, σέβειν Γρηγόριε.

Θεοτοκίον.

Θεοῦ σοφία Πανάμωμε, τὸν οἶκον ἑαυτῆς ᾠκοδόμησεν, ἐν τῇ σῇ Γαστρὶ σκηνώσασα, τῇ Κεχαριτωμένῃ, καὶ ὑπὲρ νοῦν, τούτῳ ἑνωθεῖσα, καθ' ὑπόστασιν Ἁγνή, ὤφθη ὡς ἄνθρωπος.

Καταβασία. Χέρσον Ἀβυσσοτόκον.

Ὠδὴ γ΄. Τῷ πρὸ τῶν αἰώνων.

Ἔχων τῆς σοφίας, τὴν πηγὴν ἀενάως βλυσάνουσαν, τῶν θεοσόφων διδαγμάτων, τὴν Χριστοῦ Ἐκκλησίαν, Παμμάκαρ

ἐπλήρωσας, τῷ ἐπὶ πάντων βοῶσαν Θεῷ, Ἅγιος εἶ Κύριε.

Ὁ τῆς εὐσεβείας, μεγαλόφωνος κήρυξ καὶ εὔσημος, Θεολογίας Θεολόγος, θησαυρὸν θεωρίας, ἀφθόνως προβάλλεται, καὶ διανέμει πλουσίως ἡμῖν, πλοῦτον ἀναφαίρετον.

Ῥήτωρ ὁ πυρίπνους, ἡ θεόφθογγος λύρα τῆς χάριτος, τῇ θεολόγῳ ἐπιπνοίᾳ, καὶ φθογγῇ θεοπνεύστῳ, ἠχήσας λαμπρότατα, τερπνοτάτου ὁσίας ἡμῖν, μέλος ἐμελῴδησεν. Θεοτοκίον.

Ἡ Θεογεννήτωρ, ἡ Βασίλισσα πάσης τῆς Κτίσεως, τὸν Βασιλέα τῶν ἁπάντων, δυσωποῦσα μὴ παύσῃ, Χριστὸν, ὃν ἡμῖν ἐγέννησας, εἰς σωτηρίαν τῶν ἐπὶ γῆς, σῶσαι τοὺς ὑμνοῦντάς σε.

Κάθισμα. ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐξανοίξας τὸ στόμα λόγῳ Θεοῦ, ἐξηρεύξω σοφίαν κήρυξ φωτός· καὶ φρόνημα ἔνθεον, τῇ Οἰκουμένῃ κατέσπειρας. τῶν Πατέρων ὄντως, κυρώσας τὰ δόγματα, κατὰ Παῦλον ὤφθης, τῆς Πίστεως πρόμαχος. ὅθεν καὶ Ἀγγέλων, συμπολίτης ὑπάρχεις, καὶ τούτων συνόμιλος, ἀνεδείχθης μακάριε, Θεολόγε Γρηγόριε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Δίς.

Θεοτοκίον. Ὅμοιον.

Ὅταν ἔλθῃ τοῦ κρῖναι πᾶσαν τὴν γῆν.

Εἶτα ἄνωθεν εἰς τὸν Πολυέλεον.

Ὠδὴ δ'. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Μύστης τῆς Τριάδος γεγονὼς, τῇ ταύτης κατελάμπρυνας, τὴν Οἰκουμένην ἐπιγνώσει σοφέ. δογμάτων μαρμαρυγαῖς, ἐξαστράπτων Ὅσιε, τῆς σῆς ἀκριβοῦς διδασκαλίας. ἣν μελετῶντες ἀεὶ, πάντες εὐσεβῶς ἀνυμνοῦμέν σε.

Ὄρθρος εὐσεβείας φανὸς, ἀκτῖνα τὴν τρισήλιον, εἰσδεδεγμένος ἐξανέτειλας· καὶ νύκτα τὴν ζοφερὰν, δυσσεβῶν αἱρέσεων, αἴγλῃ τῶν σοφῶν σου διδαγμάτων, ἐδίωξας καὶ ψυχὰς, Πάτερ τῶν πιστῶν κατεφαίδρυνας.

Νοῦν τὸν ὑπερούσιον πηγὴν, τοῦ Λόγου καὶ τοῦ Πνεύματος, ἐξ ἀϊδίου θεολόγῳ βροντῇ, παμμάκαρ θεολογῶν, εὐσεβῶς ἐδίδαξας, τοῦτο παρ' αὐτῆς μεμυημένος, τῆς ὄντως θεαρχικῆς, καὶ τῆς ἀρχιφώτου Θεότητος.

Ἀνῆλθες εἰς ὄρος ἀρετῶν, τὴν κάτω μεθιστάμενος, καὶ νεκρῶν ἔργων ἀφιστάμενος, καὶ πλάκας χειρὶ Θεοῦ, γεγραμμένας, δόγματα, τῆς σῆς ἀκραιφνοῦς Θεολογίας, ἐδέξω μυσταγωγὲ, τῶν ὑπερκοσμίων Γρηγόριε. Θεοτοκίον.

Γνώμῃ πρὶν πεσόντα τὸν Ἀδὰμ, ἀνέστησας Παναμώμητε, τὴν αὐτόζωον τεκοῦσα ζωὴν, ἐκ μήτρας παρθενικῆς, ἁγνισθείσης Πνεύματι· καὶ πρὸς ἀπαθῆ καὶ θειοτέραν, ἀκήρατόν τε τρυφὴν, τοῦτον ἐπανήγαγες Δέσποινα.

Ὠδὴ ε'. Θεὸς ὢν εἰρήνης.

Ῥημάτων ὁ φθόγγος ὁ θεῖος τῶν σῶν, καὶ δογμάτων ἡ χάρις ἡ ἔνθεος, τὴν γῆν πᾶσαν ἐπέδραμεν, ὡς τάχος ἀστραπῆς, Τριάδα ἐν Μονάδι, Μονάδα ἐν Τριάδι, προσκυνεῖν Θεολόγε, θεολογῶν καὶ ἐκδιδάσκων ἡμᾶς.

Ἐραστὴς τῆς ὄντως σοφίας Θεοῦ, καὶ τῶν λόγων τὸ κάλλος ἠγάπησας, καὶ πάντων προτιμήσας τερπνῶν τῶν ἐπὶ γῆς. διό σε τῷ στεφάνῳ, Παμμάκαρ τῶν χαρίτων, εὐπρεπῶς ἐκόσμησε, καὶ Θεολόγον ἀπειργάσατο.

Γνωστῶς σὺ τὸν ὄντα ὡς πάλαι Μωσῆς, καθορᾶν Θεορρῆμον ἐπόθησας· καὶ τούτου τὰ ὀπίσθια τῇ πέτρᾳ σκεπασθεὶς, ἰδεῖν κατηξιώθης· καὶ πέλαγος τῆς θείας, ἐμυήθης οὐσίας, ἀκαταλήπτως φανερούμενον. Θεοτ.

Ὁ πάλαι τὴν Εὔαν μητέρα τὴν σὴν, διαπλάσας ἐκ σοῦ σεσωμάτωται· ἐκαίνισε τὸ κατάκριμα, καὶ τὴν παρακοὴν, προδήλως θεραπεύων, καὶ λύων ὡς οἰκτίρμων, ὁ Δεσπότης τῶν ὅλων, Θεογεννῆτορ Μητροπάρθενε.

Ὠδὴ ς'. Σπλάγχνων Ἰωνᾶν.

Ῥείθροις τῶν σοφῶν, δογμάτων σου πάνσοφε, Ἀρείου τὸν νοῦν τὸν θολερώτατον, κατεξήρανας, ἐν γαλήνῃ φυλάττων τὴν ποίμνην σου, ἀπερίκλυστον καθάπερ λογικὴν κιβωτὸν, ἥπερ εὐσεβείας σπέρματα, ἐναπέθου τὸ κάλλος τῶν λόγων σου.

Ἵνα τῆς σεπτῆς, Τριάδος τὴν ἔλλαμψιν, πλουτίσῃς τὸν νοῦν, Πάτερ ἐστίλβωσας, ἀκηλίδωτον, ὡς καινὸν καὶ νεόσμηκτον ἔσοπτρον, δι' ἀσκήσεως ἀρίστης ἐργασάμενος. ἔνθεν καὶ θεοειδέστατος, ἀνεδείχθης ταῖς θείαις ἐμφάσεσιν.

Ὅλος συγκραθεὶς, τῇ αἴγλῃ τοῦ Πνεύματος, ἐγένου φωστὴρ, Πάτερ ὁλόφωτος,

τῇ λαμπρότητι, τῶν σῶν λόγων φωτίζων τὰ πέρατα. καὶ τῇ τῆς θεολογίας καθαρότητι, τέρπων τὴν τερπνὴν ὁμήγυριν, τῶν πιστῶν Θεολόγε Γρηγόριε.

Νέος Σαμουὴλ, θεόσδοτος πέφηνας, δοθεὶς τῷ Θεῷ καὶ πρὸ συλλήψεως, Παμμακάριστε, σωφροσύνῃ ἁγνείᾳ κοσμούμενος· καὶ τῇ τῆς ἱερωσύνης παναγίᾳ στολῇ, Πάτερ, καθωραϊζόμενος, μεσιτεύων τῷ Πλάστῃ καὶ πλάσματι. Θεοτοκίον.

Ὅρμος καθαρὸς, τὸν Λόγον δεξάμενος, γραφόμενον πρὶν τὸν ἀπερίγραπτον, τῇ Θεότητι, προεγνώσθης Προφήταις καὶ πρότερον, Μητροπάρθενε Μαρία Θεονύμφευτε. σὺ γὰρ τὸν ἀπερίοριστον, ἐν γαστρί σου ἀφράστως ἐχώρησας.

Κοντάκιον, ἦχος γ΄. Ἡ Παρθένος.

Θεολόγῳ γλώττῃ σου, τὰς συμπλοκὰς τῶν Ῥητόρων, διαλύσας ἔνδοξε, ὀρθοδοξίας χιτῶνα, ἄνωθεν ἐξυφανθέντα τῇ Ἐκκλησίᾳ, ἐστόλισας· ὃν καὶ φοροῦσα σὺν ἡμῖν κράζει τοῖς σοῖς τέκνοις· χαίροις Πάτερ, Θεολογίας ὁ νοῦς ἀκρότατος.

Ὁ Οἶκος.

Ἐκ τῆς θεολογικῆς καὶ ὑψηλῆς σοφίας σου, ἔμπλησόν μου τὸν νοῦν τὸν πτωχὸν καὶ ταλαίπωρον, ὅπως ἀνυμνήσω τὸν βίον σου Πάτερ. οὐ γὰρ ἰσχύσω λόγον προσάξαι σοι, εἰ μὴ παράσχῃς μοι λόγον καὶ γνῶσιν, ἰσχὺν καὶ σύνεσιν, ὅπως ἐκ τῶν σῶν τὰ σὰ προσφέρω σοι· καὶ ἐκ τοῦ πλούτου τῶν ἀρετῶν σου, ἐκεῖθεν ἔχω ἀφορμὰς, καὶ στεφανώσω τὴν σεπτὴν καὶ ἁγίαν κορυφήν σου, σὺν τοῖς πιστοῖς ἀνακράζων· χαίροις Πάτερ, Θεολογίας ὁ νοῦς ὁ ἀκρότατος.

Μηνὶ τῷ αὐτῷ κε΄. Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Γρηγορίου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Θεολόγου.

Στίχ. Θεοῦ γινώσκειν ὀρθοδόξως οὐσίαν,
Χριστιανοῖς λεγάτον ἐκ Γρηγορίου.
Εἰκάδι Γρηγόριος Θεορρήμων ἔκθανε πέμπτῃ.

Ὁ Μέγας Γρηγόριος ὁ Θεολόγος ὑπῆρχεν ἐπὶ τῆς Βασιλείας Οὐάλεντος. Ὧ, Πατρὶς μὲν ἐτύγχανεν, ἡ δευτέρα τῶν Καππαδοκῶν· οὐράνιος δὲ, ἡ ἄνω Ἱερουσαλήμ. Πατέρες δὲ αὐτῷ εὐπατρίδαι τε καὶ δίκαιοι, Γρηγόριος, καὶ Νόννα. Οἳ τὰ εἴδωλα πρότερον δι' ἄγνοιαν ἐσέβοντο· γεννήσαντες δὲ τὸν μέγαν Γρηγόριον, ὑπὸ τοῦ Ἁγίου Πνεύματος δι' ὕδατος καὶ Πνεύματος ἀνεγεννήθησαν, καὶ γνήσιος Μύστης καὶ Ἀρχιερεὺς Ναζιανζοῦ ὁ Πατὴρ τοῦ Ἁγίου καθίσταται. Ἀναχθεὶς δὲ εἰς μέτρον ἡλικίας, καὶ πᾶσαν τὴν ἐγκύκλιον παίδευσιν, ὡς ἄλλος οὐδεὶς μετελθὼν, ἐξηγητὴς καὶ Διδάσκαλος τοῦ κατ' αὐτὸν γεγένηται βίου. Ἐν οἷς τὸν μέγαν Βασίλειον, καὶ Γρηγόριον τὸν Πατέρα, καὶ τὸν ἀδελφὸν Καισάριον, καὶ Γοργονίαν τὴν ἀδελφὴν, λόγοις ἐπιταφίοις τιμᾷ. Ὅθεν οἱ περὶ αὐτοῦ τι συγγράψαντες, οὐκ ἄλλοθεν, ἀλλ' ἐκ τῶν αὐτοῦ λόγων ἔλαβον, ὡς εἶπον τὰς ἀφορμάς. Τοσοῦτον οὖν μόνον εἰπεῖν ἀναγκαῖον, ὅτι εἰ ἔδει γενέσθαι ἐν ἀνθρώποις εἰκόνα τινὰ, καὶ στήλην κατὰ μέρος, ἐκ πασῶν συγκειμένην τῶν ἀρετῶν, τοῦτο ἦν ὁ μέγας Γρηγόριος. Βίου γὰρ λαμπρότητι τοὺς κατὰ πρᾶξιν εὐδοκίμους ὑπερβαλὼν, ἐπὶ τοσοῦτον θεωρίας προήχθη, ὡς πάντας ἡττᾶσθαι τῆς σοφίας αὐτοῦ, τῆς ἔν τε λόγοις, καὶ δόγμασιν. Ὅθεν καὶ τὴν, Θεολόγος, προσηγορίαν ἐκτήσατο. Ἦν δὲ κατὰ τὸν τύπον τοῦ σώματος, τὴν ἡλικίαν μέτριος. ὕπωχρος βραχὺ μετὰ τοῦ χαρίεντος· σιμὸς, ἔχων ἐπ' εὐθείας τὰς ὀφρῦς. ἥμερον βλέπων καὶ προσηνές· θάτερον τῶν ὀφθαλμῶν, ὃς ἦν δεξιὸς, ἔχων στυγνότερον, ὃν καὶ οὐλὴ κατὰ τὸ κανθὸν συνῆγε· τὸν πώγωνα οὐ βαθὺς, δασὺς δὲ ἱκανῶς. φαλακρὸς, λευκὸς ταῖς θριξί. τὰ ἄκρα τῆς γενειάδος, ὡς περικεκαπνισμένα ὑποφαίνων. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ· καὶ ἐν τῷ Μαρτυρείῳ τῆς Ἁγίας Ἀναστασίας ἐν τοῖς Δομνίνου ἐμβόλοις· καὶ ἐν τῇ Ἐκκλησίᾳ τῶν μεγάλων Ἀποστόλων· ἔνθα τὸ τίμιον αὐτοῦ λείψανον, Κωνσταντῖνος ὁ φιλόχριστος καὶ πανευσεβὴς Βασιλεὺς ἡμῶν, κομίσας ἐκ Ναζιανζοῦ τῆς Καππαδοκῶν Χώρας, κατέθηκεν.

Ὠδὴ ζ΄. Οἱ Παῖδες εὐσεβείᾳ.

Ὅλος ἐπιθυμία, γλυκασμός τε προφανῶς ὁ λόγος σου· ὅλος Γρηγόριε μεστὸς, εὐφροσύνης καὶ φαιδρότητος· θυμηδίας ἐμπιπλῶν τοὺς πίστει ψάλλοντας· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ἡ Οἱ πεφωτισμένῳ, τὴν πηγὴν τῶν φωτισμάτων ἔφθασας, καὶ ταῖς ἐκεῖθεν ἀστραπαῖς, πυρπολούμενος κατέφλεξας, Εὐ-

νομίου γλωσσαλγίας, τῇ Τριάδι βοῶν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

ΑΝοίξας καταῤῥάκτας, τῆς Ἀβύσσου τῶν σοφῶν δογμάτων σου· ἀναστομώσας τε πηγὰς, τῆς σοφίας κατεκάλυψας, τοὺς τῆς πλάνης ἀρχηγοὺς καταστραπτόμενος, τῷ αἰωνίῳ φωτὶ καὶ τρισηλίῳ. Θεοτοκίον.

ΟΜβρος ὡς ἐπὶ πόκον, καταβὰς ἐν σῇ γαστρὶ σεσάρκωται, ὁ τῆς εἰρήνης ποταμὸς, ἡ πηγὴ τῆς ἀγαθότητος, ὁ σταγόνας ὑετοῦ ἐξαριθμούμενος· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Θαύματος ὑπερφυοῦς.

ΙΣον τῷ Πατρὶ τὸν Λόγον καὶ τὸ Πνεῦμα, ἀγαθότητι καὶ Βασιλείᾳ, εὐσεβῶς ἐδίδαξας, οὐσιώδη καὶ φυσικὴν, τὴν ταυτότητα γινώσκων καὶ τὴν ἕνωσιν. διὸ ἀνεβόας ἀγαλλόμενος· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

ΔΟξης τῆς ἀγγελικῆς κατηξιώθης· ὡς γὰρ Ἄγγελος ἔλαμψας Κόσμῳ, τῇ Τριάδι πάνσοφε. καθαγνίσας ἐπιμελῶς, τὴν ψυχήν τε καὶ τὸ σῶμα καὶ διάνοιαν· ᾗ νῦν ἀναμέλπεις εὐφραινόμενος· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

ΙΛεων ταῖς προσευχαῖς σου τὸν Δεσπότην, ἐργασάμενος αἴτησαι Πάτερ, τῶν πταισμάτων ἄφεσιν, τοῖς ἐν πίστει τὴν ἱερὰν, καὶ πανέορτόν σου μνήμην ἑορτάζουσιν· ἐν ᾗ γεγηθότες ἀναμέλπομεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

ΜΥστης τῆς τρισυποστάτου μοναρχίας, καὶ Θεότητος τῆς ἐν Τριάδι, ἀρετῶν ἀσκήσεσι, χρηματίσας Τριαδικὸς, Θεολόγος ἀνεδείχθης παμμακάριστε. καὶ νῦν ἀναμέλπεις ἀγαλλόμενος· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

ΟΤαῖς Ἀρχαγγελικαῖς ὑμνολογίαις, δοξαζόμενος πλούσιος Λόγος, δι᾽ ἡμᾶς ἐπτώχευσε, σὲ Μητέρα τὴν καλλονὴν, Ἰακὼβ εὐλογημένην ἐκλεξάμενος· διὸ ἀνυμνοῦντες ἀναμέλπομεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον.

Ὠδὴ θ΄. Τύπον τῆς Ἁγνῆς.

ΗΕμφαίνουσι ζωὴν ἀκήρατον, ἡ Ἀρχικὴ Τριὰς, ἣν ἐθεολόγησας· δεξαμένη σου τὰ δι᾽ αὐτὴν ἀγωνίσματα, καὶ τὰ δόγματα, καὶ τὰ παλαίσματα· ᾗ νῦν Πάτερ παρέστης, ὑπὲρ τοῦ Κόσμου πρέσβις ἄριστος.

ΑΙγλη τρισφεγγοῦς λαμπρότητος, τῆς ἐκ μιᾶς προερχομένη Θεότητος, ἐλλαμπόμενος ἱερομύστα Γρηγόριε, τοὺς ὑμνοῦντάς σε πίστει περίσωζε· καὶ τῇ τῶν σῶν δογμάτων, θεολογίᾳ φωταγώγησον.

ΔΡόμον τὸν καλὸν τετέλεκας, τῆς ἀρχικῆς Τριάδος ὑπεραγωνισάμενος· καὶ θεώσεως ὡς Θεολόγος τετύχηκας, καὶ τοῦ θείου σου πόθου πληρώσεως, μετείληφας ἀξίως, Ἐκκλησιῶν ἡ σεμνοπρέπεια. Θκ.

ΩΤοῦ φοβεροῦ σου θαύματος· σὺ γὰρ Παρθένε Θεοτόκε μυστήριον, τὸ πρὸ γενεῶν καὶ πρὸ αἰώνων ἀπόκρυφον, ἐν Θεῷ τῷ τὰ σύμπαντα κτίσαντι, τεκοῦσα Θεὸν Λόγον, ἀνερμηνεύτως ἐφανέρωσας.

Ἐξαποστειλ. Τοῖς Μαθηταῖς.

ΜΟνάδα Τρισυπόστατον, καὶ Τριάδα τελείαν, ἐν μιᾷ τῇ Θεότητι, πάνσοφε Θεολόγε, ἐδίδαξας προσκυνεῖσθαι. φῶς εἰπὼν τὸν Πατέρα, καὶ τὸν Υἱὸν φῶς τε, φῶς τὸ Ἅγιον Πνεῦμα. ἀλλὰ ἓν φῶς, ἀμερὲς ἀσύγχυτον· εἷς Θεὸς γὰρ, τρανῶν τὸ ὁμοούσιον, ὦ Γρηγόριε μάκαρ. Θκίον. Ὅμοιον.

ΜΕτὰ τῆς Θεομήτορος, καὶ Παρθένου Μαρίας, καὶ Βασιλείου πάνσοφε, παρεστὼς τοῦ μεγάλου, τῇ ἀπροσίτῳ Τριάδι, τὴν εἰρήνην τῷ Κόσμῳ, τῷ Βασιλεῖ τὰ τρόπαια, καὶ ἡμῖν σωτηρίαν· πρέσβευε νῦν, τοῖς ἀνευφημοῦσί σε Θεολόγε, Ἀρχιερεῦ Γρηγόριε, Ῥῆτορ τῆς Ἐκκλησίας.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος δ΄.

Ὁ ἐξ Ὑψίστου κληθείς.

ΔΙατεμὼν τὸν τοῦ γράμματος σὺ γνόφον, εἰσέδυς τῷ πνεύματι φῶς τὸ ὑπέρτερον· καὶ τὴν ἐκεῖθεν δεξάμενος φωτοχυσίαν, θεολογίας πάντας ἐπλούτισας, Γρηγόριε πάνσοφε, τῆς Ἐκκλησίας Φωστὴρ, ταῖς ἀστραπαῖς δὲ τῶν λόγων σου, σκοτώδη νέφη, τὰ τῶν αἱρέσεων ἀπεμάκρυνας· ὅθεν αὐλίζῃ ἔνθα ἦχος, ἑορταζόντων Ἀγγέλοις συνόμιλος. ἱκετεύων ἀπαύστως, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΟΘεολόγος ὁ δεύτερος καὶ μύστης, τῆς θείας ἐλλάμψεως, ὁ τῆς Τριάδος φαιδρὸς, ὑπογραφεὺς ὁ τὴν ἄρρητον, καὶ θείαν φύσιν, ὑπερ-



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

φυῶς διδάσκων Γρηγόριε, καὶ νῦν τηλαυγέστερον ἐξαπολαύων Θεοῦ, τῶν σὲ τιμώντων μνημόνευε, καὶ ὑπερμάχει, τῆς Ἐκκλησίας ἣν συνεκρότησας. σοῦ γὰρ ὁ φθόγγος ἐπὶ πάντα, τῆς Οἰκουμένης διῆλθε τὰ πέρατα· ἐκδιδάσκων δοξάζειν, τὴν Τριάδα ὁμοούσιον.

Ἐντονήσας τῇ γλώσσῃ Θεηγόρε, καρδίας ταῖς αὔλαξι σπόρον τὸν ἔνθεον, Θεολογίας ἐπλούτισας, τῆς ἀνωτάτω, τῆς Ἐκκλησίας ἅπαν τὸ πλήρωμα. ἐντεῦθεν ζιζάνια πυρὶ τοῦ Πνεύματος, τὰ τῶν αἱρέσεων ἔφλεξας, Φιλοσοφίας, τῆς θεϊκῆς τρεφόμενος ἔρωτι, Πάτερ Πατέρων, καὶ Ποιμὴν Ποιμένων, καὶ δόξα πιστῶν, Ἱερέων φωστήρ, Οἰκουμένης τὸ κλέος, παμμακάριστε Γρηγόριε.

Ὢ, τῆς σοφίας κρατῆρι προσπελάσας, τὸ τίμιον στόμα σου, Πάτερ Γρηγόριε, θεολογίας ἐξήντλησας, τὸ θεῖον νᾶμα, καὶ τοῖς πιστοῖς ἀφθόνως μετέδωκας. αἱρέσεων ἔφραξας, ῥοῦν τὸν ψυχόλεθρον, τὸν βλασφημίας ἀνάμεστον· ὡς κυβερνήτην, εὗρε καὶ γάρ σε, Πνεῦμα τὸ Ἅγιον, ἀποσοβοῦντα καὶ ἐλαύνοντα, ὡς ἀνέμων πνοάς, δυσσεβῶν τὰς ὁρμάς. ἐν μονάδι οὐσίας, τὴν Τριάδα καταγγέλλοντα.

Δόξα, ἦχος ά. Ἀνατολίου.

Τὴν λύραν τοῦ Πνεύματος, τὸ τῶν αἱρέσεων θέλγιστρον, καὶ ὀρθοδόξων ἥδυσμα· τὸν δεύτερον Ἐπιστήθιον, τὸν τοῦ Λόγου αὐτόπτην τοῖς δόγμασιν ἑπόμενον, τὸν σοφὸν Ἀρχιποίμενα, τῆς Ἐκκλησίας τὰ θρέμματα, θεολογικοῖς ὕμνοις προσάπτωμεν· σὺ εἶ ὁ ποιμὴν ὁ καλός, ὁ δοὺς ἑαυτὸν Γρηγόριε, ὡς ὁ Διδάσκαλος Χριστὸς ὑπὲρ ἡμῶν. καὶ σὺν Παύλῳ χορεύεις, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου τεχθέντι, σωθῆναι ἡμᾶς Παναγία Παρθένε.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τοῦ Κανόνος, ᾨδὴ γ'. καὶ ς'.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος ά.

Τίμιος ἐναντίον Κυρίου.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Πρὸς Κορινθίους ά. Ἐπιστολῆς Παύλου.

Κεφ. ιβ'. 7. Ἀδελφοί, ἑνὶ ἑκάστῳ δίδοται ἡ φανέρωσις τοῦ Πνεύματος πρὸς τὸ συμφέρον. ᾯ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας· ἄλλῳ δὲ λόγος γνώσεως, κατὰ τὸ αὐτὸ Πνεῦμα. ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ Πνεύματι. ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ Πνεύματι. ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διακρίσεις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται.

Ἀλληλούια. Οἱ Ἱερεῖς σου Κύριε.

Τὸ δὲ Εὐαγγέλιον, ζήτει εἰς τὴν τοῦ Χρυσοστόμου ἑορτὴν τῆς Λειτουργίας, τῇ ιγ'. τοῦ Νοεμβρίου, ὄπισθεν.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ κς'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ξενοφῶντος, καὶ τῆς συνοδίας αὐτοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίους.

Μηνὶ τῷ αὐτῷ κζ'.

Ἡ ἀνακομιδὴ τοῦ Λειψάνου τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. ζήτει πᾶσαν τὴν Ἀκολουθίαν τοῦ Ἑσπερινοῦ, καὶ τοῦ Ὄρθρου, Νοεμβρίῳ ιγ'. τὸ δὲ Κοντάκιον ζήτει ἐν τῷ Ὡρολογίῳ, τὸ Ηὐφράνθη μυστικῶς.

Μηνὶ τῷ αὐτῷ κή.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ κθ'.

Ἡ ἀνακομιδὴ τῶν λειψάνων τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰγνατίου τοῦ Θεοφόρου. ζήτει τὴν Ἀκολουθίαν αὐτοῦ, Δεκεμβρίῳ κ'.

Μηνὶ τῷ αὐτῷ λ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἱππολύτου Πάπα Ῥώμης.

Ἡ Ἀκολουθία αὐτοῦ ψάλλεται ἐν τοῖς Ἀποδείπνοις, καὶ ζήτει εἰς Ἱερομάρτυρα. Εἰς δὲ τὸν Ἑσπερινόν, καὶ τὸν Ὄρθρον, ψάλλομεν τὴν Ἀκολουθίαν τῶν Ἁγίων Ἱεραρχῶν, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου, τὴν γεγονυῖαν παρὰ τοῦ Ἁγιωτάτου Μητροπολίτου Εὐχαΐτων, Κυρίου Ἰωάννου.

Ἑσπέρας ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, ψάλλομεν τὸ ά. Ἀντίφωνον, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ή. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος δ'.

ς γενναῖον ἐν Μάρτυσι.

Τὰ τῆς χάριτος ὄργανα, τὰς κιθάρας τοῦ Πνεύματος, τὰς ἐπισήμους σάλπιγγας τοῦ κηρύγματος, τὰς φοβερὸν καὶ ἐξάκουστον, ἐξ ὕψους ἠχούσας βροντάς, καὶ τὴν δόξαν τοῦ Θεοῦ, γνωριζούσας τοῖς πέρασι· τοὺς τρεῖς Κήρυκας, τῆς μεγάλης Τριάδος, Ἰωάννην, καὶ Βασίλειον ἀξίως, σὺν Γρηγορίῳ τιμήσωμεν. Δίς.

Τῆς Τριάδος οἱ πρόμαχοι, εὐσεβείας οἱ πρόβολοι, οἱ κατὰ τοὺς δώδεκα τρεῖς Ἀπόστολοι. οἱ ἐξ Ἐδὲμ ἀναβλύζοντες, τὸ ζῶν ὕδωρ ποταμοί, καὶ τὸ πρόσωπον τῆς γῆς, ζωηρρύτως ποτίζοντες, θείοις ῥεύμασι. τὰ μεγάλα στοιχεῖα τὰ τὴν πίστιν, ὥσπερ Κτίσιν συνιστῶντα, ἀξιοχρέως τιμάσθωσαν. Δίς.

Οὐκ εἰσὶ λαλιαί φησιν, οὐδὲ λόγοι λεγόμενοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. εἰς πᾶσαν γῆν γὰρ καὶ θάλασσαν, ὁ φθόγγος διέδραμε, τῶν ἐνθέων καὶ σοφῶν, Διδασκάλων τῆς Κτίσεως. ὅθεν ἄριστα, τοῖς αὐτῶν θείοις νόμοις συγκροτεῖται, καὶ συνέχεται πρὸς μίαν, ὀρθοδοξίαν τὰ πέρατα. Δίς.

Τὰ τοῦ Πνεύματος ὄργανα, ἀληθείας τὰς σάλπιγγας, τοὺς τοῦ Λόγου Ῥήτορας εὐφημήσωμεν, φωναῖς ᾀσμάτων τοῖς δόγμασιν, αὐτῶν οἱ ἑπόμενοι, ἱκετεύοντες αὐτούς, παρρησίαν ὡς ἔχοντας, πρὸς τὸν Κύριον, δωρηθῆναι εἰρήνην σταθηρὰν μέν, εἰς ἀεὶ τῇ Οἰκουμένῃ, ἡμῖν δὲ πᾶσι συγχώρησιν. Δίς.

Δόξα. Ἦχος πλ. β'.

Τὰς μυστικὰς σήμερον τοῦ Πνεύματος σάλπιγγας, τοὺς Θεοφόρους Πατέρας ἀνευφημήσωμεν, τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς Ἐκκλησίας, μέλος ἐναρμόνιον Θεολογίας, Τριάδα μίαν ἀπαράλλακτον, οὐσίαν τε καὶ Θεότητα. τοὺς καθαιρέτας Ἀρείου, καὶ ὀρθοδόξων προμάχους· τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει σε Παναγία.

Εἴσοδος. τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Δευτερονομίου τὸ Ἀνάγνωσμα.

Κεφ. α'. 8. Εἶπε Μωσῆς πρὸς τοὺς Υἱοὺς Ἰσραήλ. Ἴδετε παραδέδωκα ἐνώπιον ὑμῶν τὴν γῆν. εἰσελθόντες κληρονομήσατε τὴν γῆν, ἣν ὤμοσε Κύριος τοῖς Πατράσιν ἡμῶν, τῷ Ἀβραάμ, καὶ τῷ Ἰσαάκ, καὶ τῷ Ἰακώβ, δοῦναι αὐτοῖς, καὶ τῷ σπέρματι αὐτῶν μετ' αὐτούς. καὶ εἶπον πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων· Οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς. Κύριος ὁ Θεὸς ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδοὺ ἐστε σήμερον ὡς τὰ ἄστρα τοῦ Οὐρανοῦ τῷ πλήθει. Κύριος ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, προσθείη ὑμῖν, ὡς ἐστὲ χιλιοπλασίως, καὶ εὐλογήσαι ὑμᾶς, καθότι ἐλάλησεν ὑμῖν. καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφούς, καὶ ἐπιστήμονας, καὶ συνετούς, καὶ κατέστησα αὐτοὺς ἡγεῖσθαι ἐφ' ὑμῶν, χιλιάρχους, καὶ ἑκατοντάρχους, καὶ πεντηκοντάρχους, καὶ δεκάρχους, καὶ γραμματοεισαγωγεῖς τοῖς κριταῖς ὑμῶν. καὶ ἐνετειλάμην τοῖς κριταῖς ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ, λέγων· Διακούετε ἀνὰ μέσον τῶν ἀδελφῶν ὑμῶν, καὶ κρίνετε δικαίως ἀνὰ μέσον ἀνδρός, καὶ ἀνὰ μέσον ἀδελφοῦ αὐτοῦ, καὶ ἀνὰ μέσον προσηλύτου αὐτοῦ. Οὐκ ἐπιγνώσεσθε πρόσωπον ἐν κρίσει, κατὰ τὸν μικρόν, καὶ κατὰ τὸν μέγαν κρινεῖς. Οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστιν.

Δευτερονομίου τὸ Ἀνάγνωσμα.

Εἶπε Μωσῆς πρὸς τοὺς Υἱοὺς Ἰσραήλ. Κεφ. ι'. 14.
Ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ Οὐρανός, καὶ ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ. ἡ γῆ, καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ. Πλὴν τοὺς Πατέρας ἡμῶν προείλετο Κύριος ἀγαπᾶν αὐτούς· καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν, μετ' αὐτοὺς ὑμᾶς, παρὰ πάντα τὰ ἔθνη, κατὰ τὴν ἡμέραν ταύτην. καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν, καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι. Ὁ γὰρ Κύριος ὁ Θεὸς ἡμῶν, οὗτος Θεὸς τῶν Θεῶν, καὶ Κύριος τῶν Κυρίων. Ὁ Θεὸς ὁ μέγας, καὶ ἰσχυρός, καὶ φοβερός, ὅστις οὐ θαυμάζει πρόσωπον, οὐ δὲ μὴ λάβῃ δῶρον, ποιῶν κρίσιν προσηλύτῳ, καὶ ὀρφανῷ, καὶ χήρᾳ. Καὶ ἀγαπᾷ τὸν προσήλυτον, δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον. Κύριον τὸν Θεόν σου φοβηθήσῃ, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ πρὸς αὐτὸν κολληθήσῃ, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ. Αὐτὸς καύχημά σου, καὶ οὗτος Θεός σου. ὅστις ἐποίησέ σοι τὰ μεγάλα, καὶ θαυμαστὰ καὶ τὰ ἔνδοξα ταῦτα, ἃ εἶδον οἱ ὀφθαλμοί σου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅ- Κεφ. γ'. 1.
ψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη

κάκω-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. Οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτὴν, τὰ ἰδιόμελ. τοῦ Ἁγίου τῆς Μονῆς, καὶ τὰ παρόντα τῶν Ἁγίων.

Ψ Θεία καὶ ἱερὰ τῆς Χριστοῦ Ἐκκλησίας μέλισσα, Βασίλειε Παμμακάριστε. σὺ γὰρ τοῦ θείου πόθου τῷ κέντρῳ σεαυτὸν καθοπλίσας, τῶν θεοστυγῶν αἱρέσεων, τὰς βλασφημίας κατέτρωσας, καὶ ταῖς ψυχαῖς τῶν πιστῶν, εὐσεβείας τὸν γλυκασμὸν ἐθησαύρισας. καὶ νῦν τῶν θείων λειμώνων, τῆς ἀκηράτου διερχόμενος νομῆς, μνημόνευε καὶ ἡμῶν, παρεστὼς τὴν Τριάδα τὴν ὁμοούσιον.

Ὁ αὐτός. Ἀνατολίου.

Φωστὴρ Ἰωάννη, στόμα χρυσεμφαὲς, ἐγκαλλώπισμα τῶν θεουργῶν ἀρετῶν, καὶ ἐνδιαίτημα γραφῶν μυσταρχικῶν. σὺ τοῦ Παναχράντου Ἁγίου Πνεύματος, ἀκήρατος θησαυρὸς ἐχρημάτισας. ὅθεν ἐπλούτισας πᾶσαν τὴν Ἐκκλησίαν, σωτηριώδεσι λόγοις ὑπαρκτικῷ. παῤῥησίαν οὖν ἔχων... πρὸς τὸν Θεὸν, ἐν τῇ ἀπολαύσει τῆς ἄνω κληρουχίας· πρέσβευε ὑπὲρ ἡμῶν, Πάτερ Ἁγιώτατε.

Ὁ αὐτός. Τῷ αὐτῷ.

Ψ Ἦν λύραν τοῦ Πνεύματος, τὸ τῶν αἱρέσεων θέλγητρον, καὶ ὀρθοδόξων ἥδυσμα· τὸν δεύτερον Ἐπιστήθιον, τὸν τοῦ Λόγου αὐτόπτην τοῖς δόγμασιν ἑπόμενον, τὸν σοφὸν Ἀρχιποίμενα, τῆς Ἐκκλησίας τὰ θρέμματα, θεολογικοῖς ὕμνοις προσάπωμεν· σὺ οὖν ὁ Ποιμὴν ὁ καλὸς, ὁ δοὺς ἑαυτὸν Γρηγόριε, ὡς ὁ Διδάσκαλος Χριστὸς ὑπὲρ ἡμῶν. καὶ σὺν Παύλῳ χορεύεις, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. ἦχος πλ. β΄.

Πρὸς τὸ Ἱεραρχῶν τὴν καλλονήν.

Ψ Οὺς Ἱεράρχας τοῦ Χριστοῦ, καὶ τῶν Πατέρων κλέος, τῆς πίστεως τοὺς πύργους, καὶ τῶν πιστῶν Διδασκάλους καὶ φύλακας· συνελθόντες ὦ φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις, ὑμνήσωμεν λέγοντες· χαίροις τῆς Ἐκκλησίας φωστὴρ, Βασίλειε σοφὲ, καὶ στῦλε ἀπερίτρεπτε. χαίροις ὁ νοῦς ὁ οὐράνιος, Ἀρχιερεῦ μέγιστε, Θεολόγε Γρηγόριε. χαίροις ὦ Χρυσολόγε, Πάγχρυσε Ἰωάννη, ὁ τῆς μετανοίας διαπρύσιος Κήρυξ. ἀλλ' ὦ Πατέρες Τρισόλβιοι, μὴ παύσησθε ἀεὶ πρεσβεύειν Χριστῷ, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων ὑμῶν, τὴν πανίερον καὶ θείαν πανήγυριν.

Καὶ νῦν. Ὁ αὐτός. Ὅμοιον.

Ψ Ἦν τῶν Παρθένων καλλονὴν, καὶ χαρμονὴν τῶν νόων, τὴν μόνην Θεοτόκον, καὶ τῶν Πιστῶν ἀῤῥαγὲς περιτείχισμα, συνελθόντες ὦ φιλέορτοι, ᾀσματικοῖς ἐγκωμίοις, ὑμνήσωμεν λέγοντες· χαίροις Παρθενομῆτορ Ἁγνὴ, Λυχνία χρυσαυγὴς, καὶ Πύλη ἐπουράνιε. χαίροις σκηνὴ ἁγιάσματος, ἡ τὸν Θεὸν χωρήσασα ἐν μήτρᾳ σου Πάνσεμνε. χαίροις τῶν οὐρανίων ταγμάτων ὑπερτέρα, ἁπάντων ἀσυγκρίτως. διὸ Μητράνανδρε Δέσποινα, μὴ διαλίπῃς φρουροῦσα τοὺς δούλους σου, τοὺς ἀνυμνοῦντάς σε πίστει καὶ πόθῳ ἀεὶ, καὶ τὸν Τόκον σου προσκυνοῦντας τὸν ἄσπορον.

Εἰς τὸν στ. στ. προσόμοια, ἦχος πλ. α΄. Ποίημα Νείλου τοῦ Ξανθοπούλου.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χ Αίροις Ἱεραρχῶν ἡ Τριὰς, τῆς Ἐκκλησίας τὰ μεγάλα προπύργια. οἱ στῦλοι τῆς εὐσεβείας, ὁ τῶν πιστῶν ἑδρασμὸς, τῶν αἱρετιζόντων ἡ κατάπτωσις· Χριστοῦ οἱ ποιμάναντες, τὸν λαὸν θείοις δόγμασι, καὶ ταῖς ποικίλαις, ἀρεταῖς οἱ ἐκθρέψαντες· οἱ τῆς χάριτος, διαπρύσιοι Κήρυκες. Νόμους οἱ προεκθέμενοι, Χριστοῦ τῷ πληρώματι, οἱ ὁδηγοὶ πρὸς τὰ ἄνω, τοῦ Παραδείσου αἱ εἴσοδοι, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν, αἰτεῖτε, τὸ μέγα ἔλεος.

Στ. Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Χαίροις Ἱεραρχῶν ἡ Τριὰς, ἀρανοβάμονες ἐπίγειοι Ἄγγελοι. τοῦ Κόσμου ἡ σωτηρία, ἡ τῶν ἀνθρώπων χαρὰ, καὶ τῆς οἰκουμένης οἱ Διδάσκαλοι, τοῦ Λόγου οἱ πρόμαχοι, ἰατροὶ ἐπισήμονες, τῶν νοσημάτων, τῆς ψυχῆς καὶ τοῦ σώματος. οἱ ἀέῤῥοοι, ποταμοὶ οἱ τοῦ Πνεύματος· λόγοις οἱ καταρδεύσαντες, τῆς γῆς ἅπαν πρόσωπον. οἱ Θεολόγοι αἱ βάσεις, οἱ χρυσολόγοι οἱ εὔθεοι. Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν αἰτεῖτε, τὸ μέγα ἔλεος.

Στ. Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.

Χαίροις Ἱεραρχῶν ἡ Τριὰς, τοῦ ἐπιγείου στερεώματος Ἥλιοι. ἀκτῖνες καὶ δαδουχίαι, ἐκ τρισηλίου αὐγῆς, τῶν ἐσκοτισμένων ἡ ἀνάβλεψις. τὰ ἄνθη τὰ εὔοσμα, τοῦ Παραδείσου τὰ κάλλιστα· ὁ Θεολόγος, ὁ σοφός τε Βασίλειος, ὁ Χρυσόστομος, τὰ πυξία τοῦ Πνεύματος, πλάκες αἱ Θεοχάρακτοι, μαζοὶ οἱ ἐκβλύζοντες, τῆς σωτηρίας τὸ γάλα, τὸ τῆς σοφίας ἀγλάϊσμα· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα, ἦχος ὁ αὐτός.

Σαλπίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, χορεύσωμεν ἑόρτια, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι, ἐν τῇ πανδήμῳ πανηγύρει τῶν Διδασκάλων ἡμῶν. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τοὺς Ἱεράρχας κροτείτωσαν ἐν ὕμνοις, ὡς δογμάτων βλύσαντας, ποταμοὺς ὑπερμεγέθεις τρεῖς, καλλιῤῥόους ἀενάως τοῦ Πνεύματος. Ποιμένες καὶ Διδάσκαλοι, τοὺς τῆς σεπτῆς Τριάδος τριττοὺς Ἱερομύστας, συνελθόντες εὐφημήσωμεν· οἱ Φιλόσοφοι τοὺς Σοφοὺς· οἱ Ἱερεῖς τοὺς Ποιμένας. οἱ ἁμαρτωλοὶ τοὺς προστάτας· οἱ πένητες τοὺς πλουτιστάς· οἱ ἐν θλίψεσι τοὺς παραμυθοῦντας. τοὺς συνοδίτας οἱ ὁδοιπόροι· οἱ ἐν θαλάσσῃ τοὺς κυβερνήτας. οἱ πάντες τοὺς πανταχοῦ θερμῶς προφθάνοντας, θείους Ἀρχιεράρχας ἐγκωμιάζοντες οὕτως εἴπωμεν· Παναγι[illegible] Διδάσκαλοι, σπεύσατε ἐξελεῖν τοὺς πισ[illegible] ἐκ τῶν τοῦ βίου σκανδάλων, καὶ ῥῦσαι [illegible]άσεων τῶν αἰωνίων ἡμᾶς.

Κα[illegible] Στ. Ὅμοιον. Γερμανοῦ Πατριάρχου.

Σ[illegible]ίσωμεν ἐν σάλπιγγι ᾀσμάτων, [illegible]κύψασα γὰρ ἄνωθεν, ἡ Παντάνασσα Μητροπάρθενος, ταῖς εὐλογίαις καταστέφει τοὺς εὐφημοῦντας αὐτήν. Βασιλεῖς καὶ Ἄρχοντες συντρεχέτωσαν, καὶ τὴν Βασιλίδα κροτείτωσαν ἐν ὕμνοις, Βασιλέα τεξασαν, τοὺς θανάτῳ κρατουμένους πρὶν, ἀπολῦσαι φιλανθρώπως εὐδοκήσαντα. Ποιμένες καὶ Διδάσκαλοι, τὴν τοῦ καλοῦ Ποιμένος Ὑπέραγνον Μητέρα, συνελθόντες εὐφημήσωμεν· τὴν λυχνίαν τὴν χρυσαυγῆ· τὴν φωτοφόρον νεφέλην· τὴν τῶν Χερουβὶμ Ὑπερτέραν· τὴν ἔμψυχόν τε Κιβωτόν· τὸν πυρίμορφον τοῦ Δεσπότου θρόνον· τὴν μαννοδόχον χρυσέαν στάμνον· τὴν ζωηφόρον τοῦ Λόγου πλάκα· ἁπάντων Χριστιανῶν τὸ καταφύγιον, ᾄσμασι θεηγόροις ἐγκωμιάζοντες, οὕτως εἴπωμεν· Παλάτιον τοῦ Λόγου, ἀξίωσον τοὺς ταπεινοὺς ἡμᾶς, τῆς Οὐρανῶν Βασιλείας. οὐδὲν γὰρ ἀδύνατον τῇ μεσιτείᾳ σου.

Ἀπολυτίκιον, ἦχος δ΄.

Ὡς τῶν Ἀποστόλων ὁμότροποι, καὶ τῆς Οἰκουμένης Διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν, τὸ μέγα ἔλεος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. Κάθ. ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Τριάδος τῆς σεπτῆς, ἡ Τριὰς ἡ Ἁγία, αἰνείσθω παρ' ἡμῶν, Γρηγορίῳ σὺν ἅμα, ὁ μέγας Βασίλειος, καὶ ὁ θεῖος Χρυσόστομος· οἱ ἀσφαλεῖς τῆς Ἐκκλησίας Φωστῆρες, καὶ πανάριστοι, τῶν σῳζομένων Ποιμένες. οἱ στῦλοι τῆς Πίστεως.

Ἕτερον, ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Φωστῆρες ὑπέρλαμπροι, τῆς Ἐκκλησίας Χριστοῦ, τὸν Κόσμον ἐφωτίσατε, ταῖς διδαχαῖς ὑμῶν, Πατέρες Θεόσοφοι. τέξαντες τὰς αἱρέσεις, πάντων τῶν κακοδόξων. σβέσαντες τὰς φλογώδεις, τῶν βλασφήμων συγχύσεις. διὸ ὡς Ἱεράρχαι Χριστοῦ, πρεσβεύσατε σωθῆναι ἡμᾶς.

Θεοτοκίον. Ὅμοιον.

Παρθένε Πανύμνητε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, Μαρία Θεόνυμφε καὶ ἀπειρόγαμε, πιστῶν ἡ ἀντίληψις, ῥῦσαι παντὸς κινδύνου, καὶ παντοίας ἀνάγκης, Δέσποινα Θεοτόκε, τοὺς ἐν πίστει καὶ πόθῳ, τῇ σκέπῃ σου προσφεύγοντας, μόνη Θεόνυμφε.

Μετὰ τὴν β'. Στιχολ. Κάθισμα. Ἦχος δ'.
Κατεπλάγη Ἰωσήφ.

ἘΝ λειμῶνι τῶν γραφῶν, καθάπερ μέλισσαι Σοφοί, προσιπτάμενοι ὑμᾶς, τετρυγήκατε... τρέψασθε καλῶς, καὶ τῶν ἀνθέων τὰ ἄριστα καὶ τὸ μέλι, πᾶσι τοῖς πιστοῖς, τῶν διδαγμάτων ὑμῶν, προτίθεσθε ὁμοῦ, εἰς πανδαισίαν αὐτῶν· καὶ διὰ τοῦτο ἅπας γλυκαινόμενος, μετ' εὐφροσύνης κραυγάζει· πάρεστε πάλιν, καὶ μετὰ πότμον τοὺς ὑμᾶς ἑορτάζουσι. Δίς.

Θεοτοκίον. Ὅμοιον.

ΤΡικυμίαις τῶν παθῶν, ὁ ἀσυνέτητος ἐγώ, χειμαζόμενος Ἁγνή, ἐπικαλοῦμαί σε θερμῶς. μή με παρίδῃς τὸν δείλαιον ἀπολέσθαι, ἄβυσσον ἐλέους ἡ τέξασα. πλὴν σοῦ γὰρ ἐλπίδα οὐ κέκτημαι. μὴ οὖν ἐχθροῖς ἐπίχαρμα, καὶ γέλως, ὁ πεποιθώς σοι ὀφθήσομαι. καὶ γὰρ ἰσχύεις, ὅσα καὶ βούλει, ὡς Μήτηρ οὖσα τοῦ πάντων Θεοῦ.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ'.
Ἐπεφάνης σήμερον.

ΟἹ σοφοὶ Διδάσκαλοι τῆς Οἰκουμένης, τὸν Θεὸν δοξάσαντες, ἔργοις καὶ λόγοις ἐπὶ γῆς. μεγαλυνέσθωσαν σήμερον, ὡς σωτηρίας ἡμῖν ὄντες πρόξενοι.

Δόξα. Ὅμοιον.

ἙΟρτάζει σήμερον ἡ Ἐκκλησία, τὴν σεπτὴν πανήγυριν, τῶν Διδασκάλων τῶν τριῶν. καὶ γὰρ αὐτοὶ ἐστερέωσαν, τὴν Ἐκκλησίαν, τοῖς θείοις αὐτῶν δόγμασι.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

ΠΡοστασία ἄμαχε τῶν θλιβομένων, καὶ θερμὴ ἀντίληψις τῶν πεποιθότων ἐπὶ σέ, ἀπὸ κινδύνων με λύτρωσαι. σὺ γὰρ ὑπάρχεις, ἡ πάντων βοήθεια.

Οἱ Ἀναβαθμοί, τὸ α'. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμ. Ἦχος δ'.

Οἱ Ἱερεῖς σου Κύριε ἐνδύσονται.
Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν.
Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον, ζήτει Ὀκτωβρίου ιη'. τῆς Λειτουργίας τοῦ Ἁγίου Ἀποστόλου Λουκᾶ. ὁ Ν'.
Δόξα. Ταῖς τῶν Διδασκάλων.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Στίχ. Ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ Ἰδιόμελ. Ἦχος πλ. β'.

ἘΞεχύθη ἡ χάρις ἐν χείλεσιν ὑμῶν, Ὅσιοι Πατέρες· καὶ γεγόνατε Ποιμένες, τῆς τοῦ Χριστοῦ Ἐκκλησίας· διδάσκοντες τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι.

Κανὼν τῆς Θεοτόκου μετὰ τῶν Εἱρμῶν εἰς ς'. καὶ τῶν Ἁγίων οἱ δύο εἰς η'.

Ποίημα Ἰωάννου Εὐχαΐτων, οὗ ἡ ἀκροστ.
Τρισήλιον φῶς τρεῖς ἀνῆψεν Ἥλιος.

Ὠδὴ α'. Ἦχος β'. Δεῦτε λαοί.

ΤΙς ἀμοιβή, τίς ἀνταπόδοσις πρέπουσα, τοῖς ἡμετέροις ἄνθρωποι, προσενεχθήσεται, παρ' ἡμῶν εὐεργέταις; δι' ὧν πρὸς τὸ εὖ εἶναι, χειραγωγούμεθα.

ῬΉτορικαί, γλῶσσαι καὶ τέχναι καὶ μέθοδοι, καὶ πᾶσα λόγων δύναμις, νῦν εἰς ὑπόθεσιν, συγκινείσθωσαν μίαν, καὶ τοὺς τετιμηκότας ἀντιτιμάσθωσαν.

ἸΔιον μέν, οὐδὲν ὑπέχοντο κτήσασθαι, ἐν γῇ οἱ Οὐρανόφρονες. φύλακες δ' ὤφθησαν, τοῦ κοινοῦ καὶ προστάται. κοινῶν οὖν καὶ τῶν ὕμνων, καταξιούσθωσαν. Θεοτ.

ΣΕ τὴν κοινήν, φιλοτιμίαν Παναμώμε, τῆς ἡμετέρας φύσεως, ταύτης δοξάζομεν· χάλκος εὖ γεγονότες, καὶ μίαν συμφωνίαν ἀποτελέσαντες.

Ἕτερος Κανών, Ποίημα τοῦ αὐτοῦ.
Ὠδὴ α'. Ἦχος πλ. δ'. Ἁρματηλάτην.

ΟΥκ ἀνθρωπίνης τὸ παρὸν ἐγχείρημα, σπουδῆς κατόρθωμα, ἀλλ' ἡ τοῦ σοῦ θρόνου, πάρεδρος φιλάνθρωπε, Σοφία συνεργάτω μοι, λόγου χάριν διδοῦσα. δι' ἧς δοξάσαι δυνήσομαι, οὓς αὐτὴ καλῶς προεδόξασε.

ὩΣτερ κρατὴρ ὑπερεῤῥύη Δέσποτα, ἡ ἀγαθότης σου· καὶ ὁ πολὺς πλοῦτος, τῆς φιλανθρωπίας σου, ἐκχεῖται καὶ διώδευσεν· ὡς καὶ ἄλλους Ἀγγέλους, μετὰ σαρκὸς ὑποστήσασθαι, τοὺς νῦν προκειμένους εἰς ἔπαινον.

ἘΞ Οὐρανοῦ τοῖς οὐρανίοις ἔπρεπε, καὶ τὰ ἐγκώμια, ἀγγελικὸς ὕμνος, τοῖς θείοις ἁρμόδιος. Θεοὶ γὰρ κατὰ μέθεξιν, οἱ τὸν φύσει καὶ μόνον, ἀληθινὸν Θεὸν ἔχοντες, ζῶντα ἐν αὐτοῖς καὶ φθεγγόμενον. Θεοτ.

ΜΝήμην δικαίων ὁ θεόφρων σύλλογος, μετ' ἐγκωμίων τελεῖ. οἷς ἡ Θεοῦ Μήτηρ, ὡς αὐτῶν κεφάλαιον, ἀκόπως συνδοξάζεται, τελευταίαν καὶ πρώτην, καὶ μέσην τάξιν ἐπέχουσα, καὶ τῆς εὐφημίας μετέχουσα.

Καταβασία. Χέρσον ἀβυσσοτόκον.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠδὴ γ. Ἐν πέτραμε τῆς πίστεως.

Ἡ Σάλπιγξ ἡ μεγάλη τῆς Ἐκκλησίας, ὁ λύχνος ὁ φωτίζων τὴν οἰκουμένην, ὁ Κήρυξ ὁ τῷ φθόγγῳ περιλαμβάνων, πάντα τὰ πέρατα, ὁ μεγαλώνυμος, συγκροτεῖ τὴν σύναξιν ταύτην Βασίλειος.

Λαμπρὸς ἀπὸ τοῦ βίου καὶ τῶν πραγμάτων, λαμπρὸς ἀπὸ τοῦ λόγου καὶ τῶν δογμάτων, ἐν πᾶσιν ὑπερλάμπων, πάντας ὡς ἄλλος, ἀστέρας Ἥλιος, ὁ πολυύμνητος, Θεολόγος σήμερον μακαρίζεται.

Ἰδοὺ τὸ φῶς τοῦ Κόσμου τῷ Κόσμῳ φαίνει· ἰδοὺ τῆς γῆς τὸ ἅλας τὴν γῆν ἡδύνει· ἰδοὺ τὸ ζωῆς ξύλον ἀθανασίας, καρποὺς προβάλλεται, ὁ Χρυσοῦς Ἅγιος. οἱ θανεῖν μὴ θέλοντες, δεῦτε τρυφήσατε. Ἕτ.

Ὁ Πάντα ἐκ μὴ ὄντων ὄντα ποιήσας, καὶ φύσιν δοὺς ἑκάστῳ τῶν γινομένων, αὐτὸς καὶ τὰς δοθείσας φύσεις ἀμείβειν, οἶδεν ὡς βούλεται. ὅθεν ἀκούεται, καὶ Παρθένος τίκτουσα· τίς οὐ θαυμάσεται;

Ἄλλος. Ὁ στερεώσας κατ' ἀρχάς.

Οἱ τῶν ἠθῶν διορθωταί, καὶ τῶν ψυχῶν οἰκονόμοι, οἱ Σωτῆρες οἱ κοινοὶ τῶν ἁπάντων, οἱ καὶ πράξεων ἡμῖν, καὶ λόγων τύπους δείξαντες· οἱ παιδευταὶ τοῦ βίου, λαμπροὶ λαμπρῶς ἀνυμνείσθωσαν.

Πνεῦμα ἐνέπλησε Θεοῦ, Βασίλειον ἐπισήμως· τῶν πυρίνων δὲ γλωσσῶν ἔσχε μίαν, ὁ Γρηγόριος, καὶ πῦρ, ὑψηγορίας ἔπνευσε· τὸ τοῦ Χριστοῦ δὲ στόμα, ἐν Ἰωάννῃ ἐλάλησε.

Τοῦ νῦν αἰῶνος τὴν σαφῶς, καταργουμένην σοφίαν, ἡ μωρία τοῦ κηρύγματος ἔχει, ὑποκύπτουσαν αὐτῇ, καὶ δουλικῶς λατρεύουσαν. Κήρυκας γὰρ ἡ χάρις, σοφοὺς προβάλλεται Ῥήτορας. Θεοτοκίον.

Ὁ Ἐν τῇ μήτρᾳ τῆς Ἁγνῆς, κατασκηνώσας Παρθένου· τὰς ψυχὰς τῶν θεοφόρων Ἁγίων, οἰκητήριον ποιεῖ, καὶ τοῖς ἐκείνων σώμασι, τὰ κατὰ τὴν Μητέρα, διερμηνεύει Μυστήρια.

Καταβασία. Τὸ στερέωμα τῶν ἐπὶ σοί.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τοὺς μεγάλους φωστῆρας, τοὺς φεραυγεῖς, Ἐκκλησίας τοὺς πύργους τοὺς ἀρραγεῖς, συμφώνως αἰνέσωμεν, οἱ τῶν καλῶν ἀπολαύοντες, καὶ τῶν λόγων τούτων, ὁμοῦ καὶ τῆς χάριτος, τὸν σοφὸν Χρυσορρήμονα, καὶ τὸν μέγαν Βασίλειον, σὺν τῷ Γρηγορίῳ, τῷ λαμπρῷ Θεολόγῳ· πρὸς οὓς καὶ βοήσωμεν, ἐκ καρδίας κραυγάζοντες· Ἱεράρχαι τρισμέγιστοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα. Ὅμοιον.

Τὴν Σοφίαν λαβόντες παρὰ Θεοῦ, ὡς Ἀπόστολοι ἄλλοι τρεῖς τοῦ Χριστοῦ· τῷ λόγῳ τῆς γνώσεως, συνεστήσατε τὰ δόγματα· ἃ τὸ πρὶν ἐν λόγοις, ἁπλοῖς κατεβάλλοντο, Ἁλιεῖς ἐν γνώσει, δυνάμει τοῦ Πνεύματος. ἔδει γὰρ καὶ οὕτω, τὸ ἁπλοῦν ὑμῶν σέβας, τὴν σύστασιν κτήσασθαι. ὅθεν πάντες βοῶμεν ὑμῖν· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινήν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν δυσχερῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην τῷ κλύδωνι· ἁμαρτιῶν τῷ φόρτῳ, ὀφθεῖσαν ὑπέραντλον, καὶ ἐν πυθμένι Ἅδου, ἐλθεῖν κινδυνεύουσαν. φθάσον Θεοτόκε, τῇ θερμῇ σου γαλήνῃ, παρέχουσα ἄφεσιν. σῷ λιμένι προσέδραμον, Θεοτόκε βοήθει μοι· πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Ὠδὴ δ΄. Ἐλήλυθας, ἐκ Παρθένου.

Νοήμονες, ἐκ τῆς κάτω σοφίας γενόμενοι, κυβέρνησιν Ἔνδοξοι, παρὰ τῆς θείας ἐκτήσασθε. ὅθεν ὡς θεράπαιναν, ταύτην ἐκείνῃ, πανσόφως ὑπετάξατε.

Φιλόσοφοι, τοὺς σοφοὺς εἰ φιλεῖτε σοφίσθητε· καὶ λέγειν διδάχθητε, πάντες οἱ λόγους θαυμάζοντες· πράξεως ἀκρίβειαν, καὶ θεωρίας ἐντεῦθεν ἐξασκούμενοι.

Θεοτοκίον.

Ὡς ὄμβριμος, ὑετὸς ἐπ' ἐσχάτων ὁ πρώϊμος, ὑδάτων αἰώνων τε, δημιουργὸς εἰς τὴν μήτραν σου, ἔσταξε Πανάμωμε· κατὰ καιρόν, ἀναψύχων τοὺς ἐκλείποντας.

Ἄλλος. Σύ μου ἰσχὺς Κύριε.

Στύλος πυρός, λαοῦ πιστοῦ προηγούμενος, καὶ φλογίζων, τοὺς ἐχθροὺς τῆς πίστεως, τὰς δὲ φυλὰς σώζων ἀσφαλῶς, τὰς ἑπομένας, ὁ μέγας ὤφθη Βασίλειος. Θαρ-

σάτω καὶ νικάτω ἡ Χριστοῦ Ἐκκλησία, τηλικοῦτον πλουτίσασα πρόμαχον.

Γλώσσης τρυφὴ, καὶ ἀκοῆς πάσης ἥδυσμα, ὁ σὸς λόγος, πέφυκε Γρηγόριε, μάννα ζωῆς, δρόσος γλυκασμοῦ, μέλι τὸ ἐκ πέτρας, Ἀγγέλων ἄρτος οὐράνιος· ἀπλήστως ἐμφορεῖσθαι τῆς ἡδύτητος πόθων, καὶ πληρῶν ἡδονῆς τοὺς μετέχοντας.

Ὁ Ποταμὸς, τῶν χαρισμάτων τοῦ Πνεύματος, ἐπληρώθη, μέχρι καὶ προχύσεως· καὶ τὸ καλὸν, πρόσωπον τῆς γῆς, ὡς τρυφῆς χειμάῤῥους, ἀπὸ χρυσοῦ ἄρδει στόματος· ἀφραίνων καὶ πιαίνων, τὸ Χριστοῦ πᾶσαν Πόλιν, τοῖς τῶν θείων κυμάτων ὁρμήμασι. Δίς.

Φύσιν ἁπλῆν, ἀναχομένην συνθέσεως, καὶ φανεῖσαν, κρείττονα συγχύσεως, ἐπὶ τοῦ σοῦ, Δέσποινα Υἱοῦ, οἱ τρεῖς Θεοφόροι, δογματισταὶ ὡμολόγησαν· ἐκ δύο θελημάτων, καὶ διπλῆς ἐνεργείας, τὸν διπλοῦν κατὰ φύσιν γνωρίσαντες.

Καταβασία. Ἐκάλυψεν Οὐρανούς.

Ὠδὴ ε'. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

Σὺ τὴν πηγὴν, τῶν σαυτοῦ χαρισμάτων ἐκπιεῖν ὅλην, Φιλάνθρωπε δέδωκας τοῖς Ἁγίοις, ἐλαττωθεῖσαν οὐδαμῶς τῇ κενώσει· τὸν δὲ Κόσμον ταύτῃ μεθύσασαν, τοῖς ἐκ τῆς κοιλίας αὐτῶν θείοις ῥεύμασι.

Τί μοι χρυσός; τί μοι πλοῦτος καὶ δόξα καὶ δυναστεία; καπνοὶ διαῤῥέοντες εἰς ἀέρα. ταῦτα οἰχέσθω. αὔρα ταῦτα φερέτω. ἐμοὶ πλοῦτος εἷς πολυέραστος, ἡ τῶν Διδασκάλων Τριὰς ῥητορεύουσα.

Ῥεῖ ποταμὸς, ἀμβροσίαν καὶ νέκταρ, ῥεῖ τοῖς πεινῶσιν, ἀθάνατος βρῶσις, καὶ τοῖς διψῶσιν, ἄφθαρτος πόσις, ὕδωρ ζῶν εἰς αἰῶνας, καὶ συνέχον ζῶντας τοὺς πίνοντας, πάντες πλημμυρούσης, ζωῆς ἐμφορήθητε.

Θεοτοκίον.

Ἔσχεν ἰσχὺν, καθ' ἡμῶν ἡ κακία, ἀλλ' οὐκ εἰς τέλος· ἠσθένησε γὰρ μετὰ τὴν Παρθένον, τὸν ἐν ἰσχύϊ δυνατὸν τετοκυῖαν, ὑπελθόντα σαρκὸς ἀσθένειαν, καὶ τὸν δυνατὸν ἐν κακίᾳ νεκρώσαντα.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Τοὺς τῶν θείων πραγμάτων, καὶ τῶν ἀνθρωπίνων σοφοὺς ἐπιστήμονας, τὰς τῶν ὄντων φύσεις, φιλαλήθως ἡμῖν σαφηνίσαντας, καὶ τὸν τούτων Κτίστην, πᾶσι γνωρίσαντας ὡς θέμις, ἀχαρίστοις φωναῖς ἀμειψώμεθα.

Τὸ πικραῖνον καὶ στῖφον, τῶν πρὸς σωτηρίαν φαρμάκων ἐγλύκαναν, ταῖς σοφαῖς τῶν λόγων, ἐπῳδαῖς τε καὶ τέχναις καὶ χάρισι, τῶν ψυχῶν οἱ θεῖοι, θεραπευταὶ θέλγεσθε πάντες, ἀσεβεῖς καὶ τερπόμενοι σῴζεσθε.

Ἓν Ἰῶτα λόγος ἅπας, τῶν Θεοκηρύκων λαλούντων τὰ ἔνθεα· καὶ κρατεῖ τῆς πάλαι, Διαθήκης ἡ νέα προβάλλουσα, τὰ σεπτὰ πηξεῖα, τῶν ἐν αὐτῇ νομοθετούντων· οἷς ῥυθμίζεται πᾶς πιστῶν σύλλογος. Δίς.

Τὴν ἀθάνατον φύσιν, ἡ θνητὴ παρέδραμεν εἰς ἁγιότητα· καὶ Παρθένος Κόρη, τοὺς ἀσάρκους Ἀγγέλους παρήλασεν, ὡς Θεὸν τεκοῦσα, τὸν Βασιλέα τῶν Ἀγγέλων· ᾧ προσβλέπειν ἐκείνοις ἀδύνατον.

Καταβασία. Ὡς ἦδεν Ἡσαΐας.

Ὠδὴ ς'. Ἄβυσσος ἁμαρτημάτων.

Ἴδια ἐν τῇ Τριάδι, τριττὴ συνθεολογεῖτε, τὴν ἀγεννησίαν τοῦ Πατρὸς, τοῦ Λόγου τὴν γέννησιν, καὶ Πνεύματος τὴν ἐκπόρευσιν μόνου.

Σήμερον τῷ Οἴκῳ τούτῳ, περιφανὴς σωτηρία. δύο γὰρ καὶ τρεῖς συνηγμένους, Χριστὸς εἰς τὸ ὄνομα αὐτοῦ τιμῶν, μέσον πάρεστι τούτων.

Ἄπειρον τῆς γῆς τὸ βάθος, πρὸς τὸ οὐράνιον ὕψος. ἀλλ' ἀπὸ τῆς γῆς τοὺς Ἁγίους ἐξῆρεν ἐπέκεινα, τῶν Οὐρανῶν ὁ οὐράνιος ἔρως.

Θεοτοκίον.

Νέαν σε πηγὴν Παρθένε, καὶ ἀφορμὴν μυστηρίων, ἔχοντες οἱ τρεῖς Θεηγόροι, καιναῖς ὑποθέσεσι, καινοπρεπῆ προσαρμόζουσι φράσιν.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Τριάδα μοναδικὴν, θεολογεῖν ἐδιδάχθημεν· Μονάδα τριαδικὴν, ὑμνεῖν παρελάβομεν· προσκυνεῖν ἐμάθομεν, παρὰ τῶν Πατέρων, μίαν Φύσιν τρισυπόστατον.

Ὁ Λόγος ἦν ἐν ἀρχῇ, πρὸς τὸν Πατέρα συνάναρχος, τὸ Πνεῦμα τὸ τοῦ Θεοῦ, Θεὸς συναΐδιος. ἁπλῆ ὁμοούσιος, συμφυὴς Θεότης, ὡς οἱ θεῖοι φασὶ Κήρυκες.

Συνάπτω καὶ διαιρῶ, τὰ συναπτῶς διαιρούμενα. ἓν ἀμερὲς ἐννοῶ, καὶ τρία φαντάζομαι· Διδασκάλους δέχομαι, τρεῖς Θεοφορήτους, οὕτω πείθοντας πιστεύειν με.

Θεοτοκίον.

Ἀμήτωρ πρὸ τῆς σαρκός, Ἀπάτωρ μετὰ τὴν σάρκωσιν. Υἱὸς Πατρὸς καὶ Μητρός, ὁ ταῦτα καλούμενος· ὑπὲρ νοῦν ἀμφότερα. τῷ Θεῷ γὰρ πρέπει, τῶν θαυμάτων τὰ παράδοξα.

Καταβασία. Ἐβόησέ σοι, ἰδών.

Κοντάκιον, ἦχος β΄. Τοὺς ἀσφαλεῖς.

Τοὺς Ἱερεῖς καὶ Θεοφθόγγους Κήρυκας, τὴν κορυφὴν τῶν Διδασκάλων Κύριε, προσελάβου εἰς ἀπόλαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν. τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος δοξάζων τοὺς Ἁγίους σου.

Ὁ Οἶκος.

Τίς ἱκανὸς τὰ χείλη διᾶραι, καὶ κινῆσαι τὴν γλῶσσαν πρὸς τοὺς πνέοντας πῦρ, δυνάμει Λόγου καὶ Πνεύματος; ὅμως τοσοῦτον εἰπεῖν θαῤῥήσω, ὅτι πᾶσαν παρῆλθον τὴν ἀνθρωπίνην φύσιν οἱ τρεῖς, τοῖς πολλοῖς καὶ μεγάλοις χαρίσμασι, καὶ ἐν πράξει καὶ θεωρίᾳ, τοὺς κατ' ἄμφω λαμπροὺς ὑπεράραντες. διὸ μεγίστων δωρεῶν τούτους ἠξίωσας, ὡς πιστούς σου θεράποντας, ὁ μόνος δοξάζων τοὺς Ἁγίους σου.

Τῇ αὐτῇ Μηνὶ λ΄. Μνήμη τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν, καὶ οἰκουμενικῶν μεγάλων Διδασκάλων, καὶ Ἱεραρχῶν, Βασιλείου τοῦ μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου.

Στίχ. Ὁμοῦ δίκαιον τρεῖς σέβειν Ἑωσφόρους,
Φῶς τρισολαμπὲς πηγάσαντας ἐν Κόσμῳ.
Κοινὸν τὸν ὕμνον προσφέρειν ταύτας θέμις.
Τοῖς ἐκχέασι πᾶσι κοινὴν τὴν χάριν.
Ἔαρ Χελιδὼν οὐ καθίστησι μία.
Αἱ τρεῖς Ἀηδόνες δὲ τῶν ψυχῶν ἔαρ.
Λάμψεν ἐνὶ τριακοστῇ χρυσοτριστήλιος αἴγλη.

Ἡ Αἰτία τῆς τοιαύτης Ἑορτῆς γέγονεν οὕτως. Ἐπὶ τῆς Βασιλείας Ἀλεξίου τοῦ Κομνηνοῦ. ὃς μετὰ τὸν Βοτανειάτην τὰ σκῆπτρα τῆς Βασιλείας ἐδέξατο ἐν Κωνσταντινουπόλει, στάσις γέγονε παρὰ τῶν ἐλλογίμων καὶ ἐναρέτων ἀνδρῶν· τῶν μὲν ὑπερτιθέντων τὸν μέγαν Βασίλειον, ὑψηγόρον αὐτὸν λεγόντων, ὡς τὴν τῶν ὄντων φύσιν ἐξερευνήσαντα τῷ λόγῳ, καὶ ταῖς ἀρεταῖς μικροῦ τοῖς Ἀγγέλοις παραμιλλώμενον· καὶ μηδ' ἐκ τοῦ προχείρου συγχωροῦντα, καὶ τὸ ἦθος ἐμβριθῆ, καὶ μηδὲν γήϊνον ἔχοντα· ὑποβιβαζόντων δὲ τὸν θεῖον Χρυσόστομον, ὡς ἐναντίως δῆθεν ἐκείνῳ διακείμενον, κατὰ τὸ πρόχειρον εἶναι καὶ ἑλκτικὸν εἰς μετάνοιαν. Τῶν δέ, τοῦτον δὴ τὸν θεῖον Χρυσόστομον ὑψούντων, ὡς ἀνθρωπικώτερον διακείμενον ταῖς διδασκαλίαις, καὶ τῷ λοιπῷ τῆς φράσεως πάντας καθοδηγοῦντα, καὶ πρὸς μετάνοιαν ἐκκαλούμενον, καὶ τῷ πλήθει τῶν μελιῤῥύτων λόγων, καὶ τῇ κατ' ἔννοιαν δεινότητι, προτιθέντων τοῦ τε μεγάλου Βασιλείου, καὶ Γρηγορίου. Ἑτέρων δὲ τῷ Θεολόγῳ Γρηγορίῳ προσκειμένων, ἅτε δὴ τῷ κομψῷ, καὶ τῷ πεποικιλμένῳ τῆς φράσεως, τῷ διαπύρῳ τε τῶν λόγων, καὶ τῷ τῶν λέξεων ἀνθηρῷ, πάντας τοὺς ἐπὶ τῇ ἑλληνικῇ παιδείᾳ διαβοήτους, καὶ τοὺς καθ' ἡμᾶς ὑπερβάντι, καὶ τούτῳ τὴν νικῶσαν διδόντων· κἀκείνων ὑπερβιβαζόντων αὐτόν. ὡς συμβαίνειν διαιρεθῆναι τὰ πλήθη· καὶ τοὺς μὲν Ἰωαννίτας λέγεσθαι, τοὺς δὲ Βασιλείτας, Γρηγορίτας δὲ τοὺς λοιπούς. Ἐπὶ τούτοις δὴ τοῖς ὀνόμασι τῶν περὶ λόγους στασιαζόντων, καὶ τούτων οὕτω λεγομένων, ἐπὶ χρόνοις ἐσύστερον, ὀπτάνονται οἱ Μέγιστοι οὗτοι, καθ' ἕνα πρότερον, εἶτα καὶ ἅμα, ὕπαρ, οὐκ ὄναρ, τῷ τότε της Εὐχαΐτων Πόλεως τῶν Ἱερῶν ἐξηγουμένῳ, Ἰωάννῃ τῷ πάνυ, ἀνδρί, τ' ἄλλα μὲν ἐλλογίμῳ, καὶ παιδείας ἑλληνικῆς οὐκ ἀμαθῶς ἔχοντι, ὡς τὰ αὐτῷ πονηθέντα δείκνυσιν· ἀρετῆς δὲ εἰς ἄκρον ἐληλακότι· καὶ μιᾷ γλώττῃ φασὶ πρὸς αὐτόν. Ἡμεῖς ἓν ἐσμεν, ὡς ὁρᾷς, παρὰ τῷ Θεῷ, καὶ οὐδὲν ἡμῖν ὑπεναντίον, οὐδὲ μάχιμον· ἀλλὰ καιροῖς ἰδίοις ἕκαστος, τῷ θείῳ κρουόμενοι Πνεύματι, τὰς πρὸς σωτηρίαν τῶν ἀνθρώπων διδασκαλίας συνεγραψάμεθα· καὶ ἃ ἐμυούμεθα, ἐκδεδώκαμεν. Καὶ ὁ πρῶτος ἐν ἡμῖν οὐκ ἔστιν, οὔτε μήν γε ὁ δεύτερος. ἀλλ' εἰ τὸν ἕνα λέξεις, οἱ δύο παρέπονται. Ὅθεν κέλευε ἀναστὰς τοῖς στασιάζουσιν ὑπὲρ ἡμῶν μὴ διΐστασθαι. σπουδὴ γὰρ καὶ ζῶσι, καὶ μεταστᾶσιν ἡμῖν, εἰρηνεύειν, καὶ εἰς ὁμόνοιαν ἄγειν τὰ πέρατα. Ἀλλὰ καὶ ἡμέρᾳ μιᾷ συνάψον, καὶ ὥσπερ προσῆκον, τὰ τῆς Ἑορτῆς ἡμῖν ἐπιτέλεσον. Καὶ τοῖς ἑξῆς παράδος, ὡς ἡμεῖς ἓν ἐσμεν τῷ Θεῷ· πάντως δὲ καὶ ἡμεῖς τοῖς ἐκτελοῦσι τὴν μνήμην, τὰ εἰς σωτηρίαν συμπράξωμεν· δοκοῦμεν γάρ τι καὶ ἡμεῖς ἔχειν παρὰ τῷ Θεῷ.

Ταῦτα ἀκούοντες, ἔδοξαν αὖθις εἰς Οὐρανοὺς ἀναπτᾶναι, φωτὶ ἀπείρῳ καταλαμπόμενοι, καὶ ὀνόμασι ἀλλήλους μετακαλούμενοι. Ὁ δὲ θεῖος ἐκεῖνος Ἀνὴρ ἀναστὰς, ὁ Εὐχαΐτων δηλαδὴ Ἰωάννης, καθὼς οἱ Ἅγιοι εἰσηγήσαντο, διεπράξατο, τό, τε πλῆθος, καὶ τοὺς στασιάζοντας καταστείλας, (ἐδόκει καὶ γὰρ ἐπ' ἀρετῇ διαβόητος ὁ ἀνὴρ,) τὴν Ἑορτὴν ταύτην παρέδωκε τῇ Ἐκκλησίᾳ ἑορτάζειν Θεῷ. Καὶ ὅρα μοι τὸ φρόνημα τοῦ Ἀνδρός. Ἐπεὶ γὰρ εὗρε τὸν Ἰαννουάριον μῆνα, τοὺς τρεῖς ἔχοντα τούτους, κατὰ μὲν τὴν πρώτην, τὸν μέγαν Βασίλειον, κατὰ δὲ τὴν εἰκοστὴν πέμπτην, τὸν Θεῖον Γρηγόριον, κατὰ δὲ τὴν εἰκοστὴν ἑβδόμην, τὸν Θεῖον Χρυσόστομον. συνῆψε πάλιν αὐτοὺς κατὰ τὴν τριακοστὴν, κανόσι, καὶ τροπαρίοις, καὶ ἐγκωμίοις καταστέψας, ὡς προσῆκεν αὐτοῖς· ἃ καὶ νεῖσα αὐτῶν, ὡς οἶμαι, γεγονότα, οὐδενὸς λείπονται τῶν εἰς ἔπαινον· ὡς καὶ πάντων ὑπερκεῖσθαι, τῶν ὅσα τε ἐξ ἐκείνου γεγόνασι, καὶ ὅσα γενήσονται. Τῶν τριῶν τούτων πρεσβείαις Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ πάντων τῶν Ἁγίων, ἡμᾶς ἐν ὁμονοίᾳ, καὶ εἰρηνικῇ καταστάσει διαφύλαξον, καὶ τῆς οὐρανίου σου Βασιλείας ἀξίωσον· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὠδὴ ζʹ. Ἀντίθεον πρόσταγμα.

Ἥττηται μακάριοι καὶ δραπετεύει, ἡ πρὶν ἀνυπόστατος, θρασύτης τῶν αἱρέσεων· κηρὸς δὲ τηκόμενος, ἀπὸ προσώπου πυρὸς, νόθον ἅπαν δόγμα τοῖς ὑμῶν, προσβάλλον φθόγγοις πυρπνόοις δείκνυται.

Ψευδεῖς μὲν ἐξέκλιναν Ἑλλήνων ἄθλους, παθῶν δὲ τὴν τύραννον, ἀνθρώποις μόνην εἵλοντο. ὑφ' ἧς τὴν ἀλήθειαν οἱ τρεῖς τονώσαντες, ὅπως ἅπαν σύστημα πιστῶν, χαροῦνται λόγοις καὶ καταπείθουσιν. Θεοτοκίον.

Ἐν σοὶ πᾶσα πρόῤῥησις ἐπανεπαύθη, καὶ πέρας ἐδέξατο, ξενίζουσα τοὺς λέγοντας. ἐκ σοῦ δὲ λαμπρότερα, καὶ τῶν προῤῥήσεων, θαύματα πηγάζουσιν Ἁγνὴ, σοφοὺς δηλοῦντα τοὺς ἑρμηνεύοντας.

Ἄλλος. Θεοῦ συγκατάβασιν.

Σιγῶσαι καὶ κράζουσαι, ὁρώμεναί τε καὶ ἀκουόμεναι, ἀρετῆς καὶ σοφίας, οἱ Θεηγόροι στῆλαι γεγόνασιν· ἔργῳ καὶ λόγῳ βοᾶν προτρεπόμενοι· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

ΘΕοῦ φωναῖς ἄνωθεν, ἐπιβροντώσας ἡμῖν ἐξαίσιον, ἀστραπῶν τε βολίδας, τοὺς ὑμῶν φθόγγους δεχόμενοι πάνσοφοι, συμμελῳδοῦμεν ὑμῖν καὶ κραυγάζομεν· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ῥιφθήσονται χάλαζαι, ἐκ πετροβόλων γλωσσῶν συντρίβουσαι, τὰ σαθρὰ τῶν δογμάτων, εἴ τις εἰς μέσον παῤῥησιάσηται, τῶν κενολόγων ὀρθὰ μὴ φθεγγόμενος. εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Παρθένον οἰκήσας σε, καὶ μετὰ τόκον Παρθένον ἔλιπεν, ὁ ἀμείβων στοιχεῖα. πρὸς ὃν βοῶμεν σὺν σοὶ Παναμώμητε· εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Καταβασία. Σὲ τὸν ἐν πυρί.

Ὠδὴ ηʹ. Ἰνδάλματος.

Ὑμνοῦμεν εὐσεβῶς, καὶ δοξάζομεν ὁμότιμον μίαν φύσιν· ἀπαροδύναμον Μονάδα τε καὶ Τριάδα, τὴν ταύτῃ ταῦτα λόγοις κυβερνῶσαν κρείττοσιν. οὕτω γὰρ δοξάζειν, οἱ τρεῖς Θεοφόροι παρεγγυῶσιν. οἷς συμπροσκυνοῦμεν, αὐτὴν εἰς τοὺς αἰῶνας.

Ἡνώθησαν οἱ τρεῖς, Θεοκήρυκες ἑνώσαντες τὴν Τριάδα· καὶ τὸ ἀμέριστον ἐν πᾶσι τετηρηκότες, τῇ θείᾳ φύσει, μίαν παρ' αὐτῆς ἀντέλαβον, ἀμέριστον δόξαν εἰς ἔπαινον ἓν ἅμα συγκαλουμένην, τοὺς ὑπερυψοῦντας αὐτὴν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Λαβὼν τὸ καθ' ἡμᾶς, ἀντιδοὺς τε τὸ οἰκεῖον ὁ εὐεργέτης, ἔδρασε μόνον, οὐκ ἔπαθε δὲ Παρθένε. ποιεῖ γὰρ, ἀλλ' οὐκ εἰς φθορὰν καθίστατο. μᾶλλον δὲ καὶ πάσχων ἑκὼν, διὰ Πάθους τὰ πάθη λύει, ὡς οἱ τρεῖς Πατέρες, ἡμᾶς μυσταγωγοῦσιν.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Οὓς ὁ Θεὸς συνήνωσεν, εἰς ὁμότιμον ἕνωσιν, ἐγκωμιαστὴς μὴ χωριζέτω ἄνθρωπος. ἀλλ' ἴσους ἡγούμενος, ἐν τοῖς αὐτοῖς χαρίσμασιν, ἴσων καὶ τῶν ὕμνων, μελῳδῶν ἀξιούτω. οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς τοὺς αἰῶνας.

Οἱ δυνατοὶ καὶ ἄμαχοι, τῆς Θεότητος σύμμαχοι, καὶ τῆς ἀληθείας, ἀψευδεῖς συνήγοροι, τὰ βάθη τοῦ Πνεύματος, καλῶς ἀνερευνήσαντες, τοὺς θεοπρεπεῖς περὶ Θεοῦ ὑπολήψεις ἐκεῖθεν συνιστῶσι, καὶ διδάσκουσι ψάλλειν· λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

Ἐξ Οὐρανοῦ μὲν μέγιστοι, δύο λύχνοι φωτίζουσιν, ἐκ διαδοχῆς ἀλλήλων τὴν ὑφήλιον· ἐκ γῆς δὲ φανώτερον, τὴν σύμπασαν αὐγάζουσι, τρεῖς κατὰ αὐτὸ, ὑπερμεγέθεις φωστῆρες, συλλάμποντες ἀλλήλοις, καὶ συμψάλλοντες ἅμα· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Ὑπὲρ ἡμῶν ἡ Σάρκωσις, καὶ τὰ Πάθη τὰ τίμια, δι᾽ ἡμᾶς Θεὸς, μετὰ νεκρῶν ἐγένετο, θανάτου μὲν ἄγευστος, οἷα παθῶν ἐλεύθερος· τῇ δὲ πρὸς τὴν σάρκα τὴν θνητὴν κοινωνίᾳ, λεγόμενος καὶ πάθους, μετασχεῖν καὶ θανάτου. μεθ᾽ ἧς ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Ἀσέκτῳ πυρὶ ἑνωθέντες.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Διὰ τὸ ὑμέτερον, γεώργιον καὶ ποίμνιον, ὑπὲρ οὗ τοὺς μεγίστους πόνους ὑπέστητε· εἰς ἓν συνελθόντες ὁμοῦ τε, τοὺς τρεῖς ὑμᾶς, συμπαραλαβόντες, κοινὴν ἔχει αἴνεσιν, τὴν ὑμῶν ἡδίστην ἕνωσιν.

Οὐ δίστομον μάχαιραν, ἡ χάρις ἀλλὰ τρίστομον, κατὰ τῶν πολεμίων αὐτῆς προβάλλεται. ἓν οὐρανοχάλκευτον ξίφος, τρισὶν ἀκμαῖς, κατεστομωμένον, ἀεὶ προμαχόμενον, τριλαμποῦς μιᾶς Θεότητος.

Ὑμῶν τὸ πολίτευμα, ἐν Οὐρανοῖς ἦν Ἔνδοξοι, καὶ τὴν σάρκα φορούντων εἰς ἔτι ἄσπιλον. οὓς εἰλικρινῶς νῦν οἰκοῦντες, τοὺς ἀπὸ γῆς, ἡμᾶς στρεφομένους, τὰ ἄνω πρεσβεύετε, καὶ φρονεῖν καὶ πραγματεύεσθαι.

Θεοτοκίον.

Ἐκπλήττει με τὸ πλάτος σου, τῶν μεγαλείων Δέσποινα, καταπνίγον τὸν λόγον ὑπὸ πυκνότητος. καί μοι παραδόξως συμβαίνει, τὸ ἀπορεῖν, ἐκ τῆς εὐπορίας. διὸ τὸν τοσοῦτόν σε, μεγαλύνοντα δοξάζομεν.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ.

Ἐπληρώθη τῆς Τριάδος ἡ ἀρετὴ, καὶ τὰ πάντα τῆς δόξης ἐπλήρωσεν, ἄλλην ἡμῖν, αἴγλην ἀναλάμψασα τριλαμπῆ· ὡς ἑαυτῆς ἀπαύγασμα, τοὺς οὐρανίους Μυσταγωγούς. δι᾽ ὧν ἐπὶ τὴν θείαν, ἐκείνης θεωρίαν, οἱ εὐσεβοῦντες ὁδηγούμεθα.

Οὐκ ἔστι δεύτερον ἐν τοῖς τρισί. τὰ πρεσβεῖα γὰρ ἕκαστος φέρεται, πρῶτος ἐκ τῶν, καὶ τοὺς ὁμοτίμους ὑπερνικῶν. ἐξοικεῖσθαι μᾶλλον δὲ, τὴν ἀλλήλων νίκην τεριχαρῶς· οὐ χώρα γὰρ ἐνταῦθα, τῷ φθόνῳ παῤῥησίας, λυμαινομένῳ τὴν ὁμόνοιαν.

Ἀπείρας ἡ εὐσέβεια τοὺς αὐτῆς, πρωτοτόκους Υἱοὺς ἀναδείξασα, τέκνα γεννᾷ, γνήσια καὶ ἄμωμα δι᾽ αὐτῶν· τελούμενα Πνεύματι, τῷ ζωὴν λαλήσαντι ἐν αὐτοῖς. καὶ σώζειν ἐξαιτεῖται, εἰς τέλος τὴν ἐρημίαν, ἣν ἀπ᾽ αὐτῶν ἐκληρονόμησεν.

Υἱὸν Θεοῦ τοῦ ζῶντος ἡ τῶν σοφῶν, Διδασκάλων ἀκρότης ἐκήρυξε, τὸν σὸν Υἱὸν, ἐξ ἀποκαλύψεως Πατρικῆς· οὐκ ἐκ σαρκὸς καὶ αἵματος, τοῦτο μυηθεῖσα Μῆτερ Θεοῦ. διό σε καὶ Παρθένον, δοξάσασα Μητέρα, καὶ Θεοτόκον ἐμεγάλυνε.

Καταβασία. Ἐν νόμῳ σκιᾷ, καὶ γράμματι.

Ἐξαποστειλάριον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Τὰ τοῦ φωτὸς δοχεῖα, τὰς φεγγοβόλους ἀστραπάς· Βασίλειόν τε τὸν μέγαν, Γρηγόριον Θεολόγον, Χρυσόστομον Ἰωάννην, ἀνευφημήσωμεν πάντες. Ὅμοιον.

Ἡ Ἑνιαία Θεότης, Πατὴρ Υἱὸς καὶ τὸ Πνεῦμα, ταῖς Βασιλείου πρεσβείαις, Γρηγορίου καὶ Ἰωάννου, καὶ τῆς ἁγνῆς Θεοτόκου, μὴ χωρισθῶ τῆς σῆς δόξης.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος β'.

Ποίοις εὐφημιῶν στέμμασι.

Ποίοις εὐφημιῶν στέμμασι, στεφανώσωμεν τοὺς Διδασκάλους; τοὺς διῃρημένους τοῖς σώμασι, καὶ συνημμένους τῷ Πνεύματι, τοὺς τῶν Θεοφόρων πρωτοστάτας. Τριάδος, τοὺς ἰσαρίθμους καὶ θεράποντας, φωστῆρας, τῆς Οἰκουμένης διαλάμποντας. τῆς Ἐκκλησίας τοὺς στύλους· οὓς στεφάνοις δόξης, ὡς νικήσαντας στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν· ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀναδήσωμεν τοὺς Θεοφόρους; τοὺς οὐρανομύστας καὶ κήρυκας, τῆς ὀρθοδοξίας ὑπάρχοντας, τοὺς ἀκραιφνεστάτους Θεολόγους· τὸν μέγαν, Ἱεροφάντορα Βασίλειον· τὸν θεῖον, καὶ Θεοῤῥήμονα Γρηγόριον· καὶ Ἰωάννην τὸν πάνυ, τὸν χρυσῆν τὴν γλῶτταν, οὓς ἐδόξασεν ἡ Τριάς, ἀξίως ὁ Κύριος· ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ἐγκωμιῶν ῥήμασιν, ἐπαινέσωμεν τοὺς Ἱεράρχας; τοὺς Ἰσαποστόλους ἐν χάριτι, καὶ ὁμοτίμους χαρίσμασι· τοὺς τῆς ἀσεβείας καταλύτας· σωτῆρας, καὶ ὁδηγοὺς λόγῳ καὶ πράγματι, ποιμένας, χριστομιμήτους

διὰ πίστεως. τοὺς ἐπιγείους Ἀγγέλους, βροτοὺς οὐρανίους, οὓς ἐτίμησεν ὁ Χριστὸς, τῆς δόξης ὁ Κύριος· ὁ ἔχων τὸ μέγα ἔλεος.

Τοὺς ἀρίοις εὐφημιῶν στέμμασι, καταστέψωμεν τὸν Χρυσολόγον, ἅμα Βασιλείῳ Γρηγόριον, τὰ σεπτὰ δοχεῖα τοῦ Πνεύματος· τοὺς στερροὺς τῆς Πίστεως προμάχους. τοὺς στύλους, τῆς Ἐκκλησίας, πιστῶν στήριγμα· ἁπάντων ἁμαρτανόντων παραμύθιον. πηγὰς βλυζούσας τὸ νάμα, ἐξ οὗ ἀρυόμενοι, ἡδυνόμεθα ταῖς ψυχαῖς, αἰτοῦντες συγχώρησιν, σφαλμάτων, καὶ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. β'.

Εὖ δοῦλοι ἀγαθοὶ καὶ πιστοὶ, εὖ ἐργάται τοῦ ἀμπελῶνος Χριστοῦ· ὑμεῖς καὶ τὸ βάρος τῆς ἡμέρας ἐβαστάσατε, καὶ τοῖς μεθ' ὑμᾶς ἐλθοῦσιν οὐκ ἐφθονήσατε· διὸ πύλη Οὐρανῶν ὑμῖν ἠνέῳκται. εἰσέλθετε χαίροντες, εἰς τὴν χαρὰν τοῦ Κυρίου ὑμῶν. πρεσβεύοντες ὑπὲρ ἡμῶν, Πατέρες θειότατοι.

Καὶ νῦν. Θεοτ. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων. ᾨδὴ γ'. καὶ ς'. Προκείμ. ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Τὸν δὲ Ἀπόστολον ζήτει τῇ ιζ'. τοῦ Γενναρίου Μηνὸς, τοῦ μεγάλου Ἀντωνίου.

Ἀλληλούϊα. Ἐξομολογήσονται οἱ Οὐρανοί.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ε. 14. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Ὑμεῖς ἐστὲ τὸ φῶς τοῦ Κόσμου. Οὐ δύναται Πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. Οὐδὲ καίουσι λύχνον, καὶ τιθέασιν αὐτὸν ὑπὸ τὸν μόδιον, ἀλλ' ἐπὶ τὴν λυχνίαν, καὶ λάμπει πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ. Οὕτω λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων· ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα, καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τὸν ἐν τοῖς Οὐρανοῖς. Μὴ νομίσητε, ὅτι ἦλθον καταλῦσαι τὸν Νόμον, ἢ τοὺς Προφήτας. οὐκ ἦλθον καταλῦσαι, ἀλλὰ πληρῶσαι. Ἀμὴν γὰρ λέγω ὑμῖν· ἕως ἂν παρέλθῃ ὁ Οὐρανὸς καὶ ἡ γῆ, ἰῶτα ἓν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ ἀπὸ τοῦ Νόμου, ἕως ἂν πάντα γένηται. Ὃς ἐὰν οὖν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξῃ οὕτω τοὺς ἀνθρώπους, ἐλάχιστος κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν. ὃς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ λα'.

Τῶν Ἁγίων καὶ Θαυματουργῶν Ἀναργύρων, Κύρου, καὶ Ἰωάννου. ζήτει τὴν Ἀκολουθίαν αὐτῶν Νοεμβρίῳ α'.

## ΜΗΝ ΦΕΒΡΟΥΑΡΙΟΣ.

Ἔχων ἡμέρας κη'. ἢ κθ'. Ἡ ἡμέρα ἔχει ὥρας ια'. καὶ ἡ νὺξ ὥρας ιγ'.

Εἰς τὴν α'. Προεόρτια τῆς Ὑπαπαντῆς τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ τοῦ Ἁγίου Μάρτυρος Τρύφωνος.

Εἰς τὸ, Κύριε ἐκέκραξα, στιχ. Προεόρτια, ἦχ. δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἡ Σεπτὴ εὐτρεπίζεται, Ἐκκλησία εἰσδέξασθαι, ἐν αὐτῇ τὸν Κύριον, ὥσπερ νήπιον, ἐπιδημοῦντα καὶ χάρισι, νοητῶς φαιδρύνοντα, τὸ πιστότατον αὐτῆς, καὶ φιλόθεον σύστημα· ᾧ καὶ κέκραγε· σὺ εἶ δόξα καὶ κλέος, καὶ ὁ κόσμος, τοῦ πληρώματός μου Λόγε, ὁ νηπιάσας σαρκὶ δι' ἐμέ.

Ἡ Παστὰς ἡ πολύφωτος, καὶ σκηνὴ ἡ ὑπέρτιμος, καὶ Ναὸς ὁ Ἅγιος καὶ εὐρύχωρος· ἔνδον θαλάμων εἰσάγουσα, τοῦ Ναοῦ τὸν Κύριον, προμνηστεύεται αὐτὸν, τῇ σεπτῇ Ἐκκλησίᾳ αὐτοῦ, ἱκετεύουσα, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς κυρίως Θεοτόκον, ταύτην ἀπαύστως δοξάζοντας.

Συμεὼν ἱερώτατε, τὴν ἐλπίδα ἣν κέκτησαι, τὸν Χριστὸν θεάσασθαι, δεῦρο πρόσελθε, ἐν τῷ Ναῷ καὶ εἰσδέδεξαι, ἀγκάλαις καὶ βόησον· νῦν ἀπόλυσον Σωτὴρ, ἐκ τῆς γῆς με τὸν δοῦλόν σου, καὶ συγκάλεσον, τὴν Προφῆτιδα Ἄνναν τοῦ δοξάσαι, μετὰ σοῦ τὸν εὐεργέτην, σαρκὶ φρικτῶς νηπιάζοντα.

Καὶ τοῦ Ἁγίου, ζήτει εἰς Μάρτυρα.

Δόξα, καὶ νῦν. ἦχος β'.

Σήμερον Συμεὼν ἐν ταῖς ἀγκάλαις, τὸν Κύριον τῆς δόξης ὑποδέχεται. Ζήτει εἰς τὴν Λιτήν.

Εἰς τὸν στ. στιχ. ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

Δέχου ὦ Συμεὼν, τὸν Κύριον τῆς δόξης, καθὼς ἐχρηματίσθης, ἐκ Πνεύματος Ἁγίου· ἰδοὺ γὰρ παραγέγονε.

Στί. Νῦν ἀπολύεις.

Φέρουσα ἡ Ἁγνή, καὶ ἄχραντος Παρθένος, τὸν πλάστην καὶ Δεσπότην, ὡς βρέφος ἐν ἀγκάλαις, ἐν τῷ Ναῷ εἰσέρχεται.

Στί. Φῶς εἰς ἀποκάλυψιν.

Μέγα καὶ φοβερόν, Μυστήριον καὶ ξένον. ὁ πάντα περιέπων, καὶ βρέφη διαπλάττων, ὡς βρέφος ἀγκαλίζεται.

Δόξα, καὶ νῦν, ἦχος β΄.

Τὸν Ἱερὸν ἡ Ἱερὰ Παρθένος. Ζήτει εἰς τὴν Λιτήν. Τροπάριον τοῦ Μάρτυρος.

Ὁ Μάρτυς σου Κύριε.

Ἕτερον Προεόρτιον, ἦχος α΄.

Οὐράνιος χορός, οὐρανίων Ἀγγέλων, προκύψας ἐπὶ γῆς, ἀφικόμενον βλέπει, ὡς βρέφος βασταζόμενον, πρὸς Ναὸν τὸν πρωτότοκον, πάσης Κτίσεως, ὑπὸ Μητρὸς ἀπειράνδρου. προεόρτιον, ὃν σὺν ἡμῖν μελῳδοῦσι, τὸν ὕμνον γηθόμενοι.

Εἰς τὸν Ὄρθρον, ὁ Κανὼν ὁ Προεόρτιος μετὰ τῶν Εἱρμῶν εἰς η΄. καὶ τοῦ Ἁγίου εἰς δ΄.

Ὁ Προεόρτιος, οὗ ἡ ἀκροστιχὶς

Κατὰ ἀλφάβητον.

Ὠδὴ α΄. ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ἀγκάλας ἁπλώσαντες, τὰς τῶν ψυχῶν ἐν εὐθύτητι, καρδίας δεξώμεθα τὸν πάντων Κύριον, νηπιάσαντα, καὶ χωρητὸν ἀγκάλαις, γηραιαῖς γενόμενον, δι' ἀγαθότητα.

Βουλὴν προαιώνιον, Πατρὸς πληρῶν Λόγος σύμμορφος, ἐκ Μητρὸς σεσάρκωται, βρέφος ὀφθεὶς καθ' ἡμᾶς, καὶ προέρχεται, Θεῷ Πατρὶ προσάξων, τεσσαρακονθήμερον δῶρα καθάρσια.

Γνωσθῆναι τοῖς πέρασιν, ἥκει Θεοῦ τὸ σωτήριον· ὅπερ κατὰ πρόσωπον, πάντων ἡτοίμασε, τῶν λαῶν αὐτοῦ· ἁγνίσωμεν καρδίας, καὶ προϋπαντήσωμεν τούτῳ γηθόμενοι.

Καὶ τοῦ Ἁγίου, ζήτει εἰς Μάρτυρα.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Δεσπόζων ἁπάντων τῶν κτισμάτων, ὑπέδυ μορφὴν δούλου Χριστός. καὶ βρέφος νῦν πρωτότοκον, Θεῷ Πατρὶ προσάγεται, Νόμου πληρῶν τὸ ἔνταλμα, ὁ ὑπὲρ Νόμον, καὶ τοῦ Νόμου δοτήρ.

Ἐξ ὕψους χρησμὸν καὶ δυναστείαν, λαβὼν ὁ πρεσβύτης Συμεών, πρὸς τὸν Ναὸν ἐπείγεται, τὸ τοῦ Θεοῦ σωτήριον, νῦν κατιδεῖν ἐν Πνεύματι, λύσιν ζωῆς αἰτησάμενος.

Ζωῆς ἀφεθήσας τῆς προσκαίρου, ζωὴν πρὸς ἀκήρατον ἰδού, μεταναστεύειν ἄρχεται, γήρᾳ μακρῷ καμπτόμενος, ὁ Συμεὼν νεάζοντα, τὸν προαιώνιον βλέψας Θεόν.

Κάθισμα, ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

Θησαυρὲ τῶν αἰώνων, ἡ ζωὴ τῶν ἁπάντων, δι' ἐμὲ νηπιάσας, ὑπὸ Νόμον ἐγένου, ὁ πάλαι χαράξας ἐν πλαξί, τὸν Νόμον ἐν τῷ ὄρει τῷ Σινᾶ· ἵνα πάντας ἀπαλλάξῃς, ἐκ τῆς τοῦ Νόμου πάλαι δουλείας. δόξα τῇ εὐσπλαγχνίᾳ σου Σωτήρ. δόξα τῇ Βασιλείᾳ σου. δόξα τῇ Οἰκονομίᾳ σου, μόνε Φιλάνθρωπε. Δίς.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ἡ Οὐράνιος χορεία, τοῖς γηΐνοις συνεγέγηθε, καὶ προεορτάζει, βρέφος ἐπὶ γῆς τὸν προτέλειον, Θεὸν ὁρῶσα πρὸς Ναὸν ἀφικόμενον, κατὰ Νόμον, θεσμοὺς νομικοὺς ἐκπληρώσαντα.

Θεοδέγμονα Παρθένον, Θεοτόκον ἀπείρανδρον, ἀγκαλοφοροῦσαν, βρέφος Θεοδόχε Χριστὸν καθορῶν· χαῖρε καὶ σκίρτα, καὶ δέχου καὶ μετάβαινε, ἐκ προσκαίρου φθαρτῆς, βιοτῆς πρὸς τὴν ὄντως ζωήν.

Ἰδοὺ ἥκει ἡ Παρθένος, Ἡσαΐας ἣν ἔφησεν, ὡς νεφέλη κούφη, Ἥλιον Χριστὸν βρέφος φέρουσα· καὶ ἱερῶς τῷ Ἱερεῖ νῦν προσάγουσα, ἐν ἁγίῳ Θεοῦ Ἱερῷ, ὡς Ναὸς ἱερώτατος.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Κοσμήσωμεν ἅπαντες, καρδίας καὶ δεξώμεθα, τοῦ Κόσμου κοσμήτορα καὶ Κτίστην. ἥκει γὰρ βρέφος πρωτοτοκούμενον, πρὸς Ναὸν τὸν ἅγιον αὐτοῦ, νέμων τὴν παγκόσμιον, χαρὰν τοῖς δεχομένοις αὐτόν.

Λαμπρύνθητι σήμερον, Ναὸς ὁ περίβοητος, κόσμησον ποικίλως τὰς ἐπαύλεις, δέχου τοῦ Νόμου καὶ τοῦ παντὸς ποιητήν, πάλαι τοῦ γηράσαντος λοιπόν, Γράμματος παλαίωσιν, καὶ πρὸς χάριν μετάβαινε.

Μητρὸς βασταζόμενος, ὠλέναις ἐν κόλποις Πατρός, τοῖς χερουβικοῖς πυρφόροις θρόνοις, ἐν τοῖς ὑψίστοις προσεποχούμενος. ἥκει πρὸς Ναὸν τὸν ἑαυτοῦ ἐπαναπαυόμενος, γηραιαῖς ἐν ἀγκάλαις Χριστός.

Ὠδὴ ς΄. Τὴν θείαν ταύτην.

Ναὸς καὶ θρόνος ὁ ἔμψυχος, τὸν μέγαν Ἱερέα βαστάζουσα, ἡ Θεοτόκος μέν, ὡς

βρέφος ἧκε ἐν οἴκῳ Θεοῦ, τῷ Ἱερεῖ προσάξαι, δῶρον ὑπέρτιμον.

Ξενίζει πᾶσαν διάνοιαν, τὸ μέγιστον τοῦ Κτίστου Μυστήριον. δι᾽ οὗ εὐδόκησε, γνωρίσαι νῦν τὸ σωτήριον, τὸ τῆς οἰκονομίας αὐτοῦ τοῖς ἔθνεσιν.

Ὁ Λόγος γέγονε σὰρξ μὴ τραπείς, παιδίον ὁ προτέλειος δείκνυται· καὶ ὁ συνέχων χειρί, τὸ πᾶν, ἀγκάλαις συνέχεται, καὶ ὑποκύπτει Νόμῳ, ὁ μόνος Νόμου δοτήρ.

Κοντάκ. Ἦχος δ᾽. Ἐπεφάνης σήμερον.

Ὡς ἀγκάλαις σήμερον, πιστοὶ καρδίας, ἐφαπλοῦντες δέξασθε, καθαρωτάτῳ λογισμῷ, ἐπιδημοῦντα τὸν Κύριον, προεορτίους αἰνέσεις προσᾴδοντες. Ὁ Οἶκος.

Ἱερὰ πανδαισία προτίθεται, φιλέορτον τὸ σύστημα σήμερον, προεόρτια σύμβολα φέρουσα, τοῦ Κυρίου τεσσαρακονθημέρου, τὴν ἐκ Παρθένου φρικτὴν Γέννησιν, καὶ Πρεσβύτου σεπτοῦ ἐναγκάλισιν· μεθ᾽ οὗ οἱ πιστοὶ ἀνυμνοῦμεν αὐτόν. προεορτίους αἰνέσεις προσᾴδοντες.

Ὠδὴ ζ᾽. Οὐκ ἐλάτρευσαν.

Παλαιοὺς θεσμούς, καὶ ἔθιμα γηράσαντος, Νόμου καινίζων Χριστός, ἀγκάλαις πρεσβυτικαῖς, κρατεῖται ὡς νήπιος, νῦν καταδέχεται, τὴν νεάζουσαν, χάριν πιστοῖς δωρούμενος, καὶ τοῦ Πνεύματος τὸν Νόμον.

Ῥάβδος ἄνθος ἡ Χριστὸν ἀναβλαστήσασα, τὸν τοῦ παντὸς γεωργόν, τοῦτον κρατοῦσα χερσί, πρὸς Ναὸν πορεύεται, δῶρον προσάξαι Θεῷ, τὸν πρωτότοκον, Πατρὸς πρωτοτοκούμενον, ἐξ αὐτῆς ἀρρήτῳ λόγῳ.

Συνευφραίνεται Πρεσβύτης τῇ Πρεσβύτιδι, θείῳ ἐν Πνεύματι· καὶ προδηλοῦσι τρανῶς, ἀνθομολογούμενοι τὰ σὰ θαυμάσια. δι᾽ ὧν ἔσωσας, Κόσμον κακοῖς γηράσαντα, Νεουργὲ πάντων κτισμάτων.

Ὠδὴ η᾽. Παῖδας εὐαγεῖς.

Τίς τὴν συγκατάβασιν ἀξίως, τῆς σῆς Σῶτερ ἐξυμνήσει ἀγαθότητος; τίς σου τὰ θαυμάσια, Λόγε διηγήσεται; τίς μὴ θαυμάσει Δέσποτα, τὴν σὴν ταπείνωσιν; δι᾽ ἣν Θεὸς ὑπάρχων ὡράθης, βρέφος ἐν ἀγκάλαις, κρατούμενος Πρεσβύτου.

Ὕψος ἀγαθότητος καὶ βάθος, ἀπείρου συγκαταβάσεως καὶ πλάτος Χριστέ, τῆς οἰκονομίας σου, ἔδειξας τοῖς πέρασι· τὸ καθ᾽ ἡμᾶς μορφούμενος, καὶ ἀναπλάττων ἡμᾶς, γηράσαντας πολλαῖς ἁμαρτίαις· καὶ πρὸς τὴν προτέραν, ἀνάγων πολιτείαν.

Φῶς εἰς ἀποκάλυψιν ἐπέστης, ἐθνῶν καὶ εἰς δόξαν τοῦ λαοῦ σου Ἰσραήλ. φῶς γὰρ ὢν ἀΐδιον. καὶ Πατρὶ συνάναρχον, ἑκὼν τῷ χρονικῷ φωτί, συνανεγράφης Χριστέ. καὶ φῶς τοῖς ἐν σκιᾷ καθημένοις, ἔλαμψας ὑμνοῦσι, τὴν σὴν φιλανθρωπίαν.

Ὠδὴ θ᾽. Ἅπας γηγενής.

Χαῖρε τοῦ Θεοῦ, ἡ Πόλις ἡ ἔμψυχος· χαῖρε Παλάτιον, τοῦ πάντων Δεσπόζοντος. χαῖρε καθέδρα καὶ θρόνε πύρινε. ἐν ᾗ ἐπανεπαύσατο, ἐπὶ τῶν Χερουβὶμ, ἐν ὑψίστοις, Λόγος ἐποχούμενος, κεκμηκότας ἡμᾶς ἀνακτώμενος.

Ψάλλωμεν Χριστῷ, καινὸν ᾆσμα σήμερον, ὡς Βασιλεῖ καὶ Θεῷ, καὶ προϋπαντήσωμεν, αὐτῷ μολοῦντι πρὸς τὸν Ναὸν αὐτοῦ. καὶ ἱερὰν πανήγυριν προεορτάσωμεν, μετὰ Ἄννης, ἀνθομολογούμενοι, καὶ μετὰ Συμεὼν εἰσδεχόμενοι.

Ὦ Λόγε Θεοῦ, σοφία καὶ δύναμις, καὶ χαρακτὴρ τοῦ Πατρός. ὁ Θεὲ νοούμενε, πιστοῖς καὶ ἄνθρωπε γνωριζόμενε· τῆς σῆς ἀξίους ποίησον ὑποδοχῆς καὶ ἡμᾶς· καθαρθέντας, ψυχὴν καὶ διάνοιαν, Θεοδόχου τοῦ θείου ἐντεύξεσιν.

Ἐξαποστειλάριον. Τῶν Μαθητῶν.

Ὁ πᾶσαν Κτίσιν νεύματι περιέχων, ὑπὸ Μητρὸς βαστάζεται ὥσπερ Βρέφος, καὶ τῷ Ναῷ προσάγεται κατὰ Νόμον· καὶ Ἱερεὺς εἰσδέχεται, νῦν ἀπολύεις κραυγάζων, τὸν δοῦλόν σου ἐν εἰρήνῃ.

Εἰς τὸν στιχ. τῶν Αἴνων, στιχ. ἦχος β᾽.

Οἶκος τοῦ Εὐφραθᾶ.

Υἱὸς δίχα Χριστός, γεννᾶται ἐκ Παρθένου, ὡς ἐκ Πατρὸς ἀρρεύστως, Υἱὸς πρὸ Ἑωσφόρου, ὁ τὸν Ἀδὰμ λυτρούμενος.

Στιχ. Νῦν ἀπολύεις.

Πύλαι τῶν Οὐρανῶν, ἀνοίχθητε Χριστὸς γάρ, ἐν τῷ Ναῷ ὡς βρέφος, ὑπὸ Μητρὸς Παρθένου, Θεῷ Πατρὶ προσάγεται.

Στιχ. Φῶς εἰς ἀποκάλυψιν.

Λέγε ὦ Συμεών, τὸν Κύριον τῆς δόξης, καθὼς ἐχρηματίσθης, ἐκ Πνεύματος Ἁγίου. ἰδοὺ γὰρ παραγέγονε.

Δόξα, καὶ νῦν, ἦχος β᾽.

Ὁ Κτίστης οὐρανοῦ καὶ γῆς. Ζήτει εἰς τὴν Λιτήν.

Τῇ αὐτῇ Μηνὶ Β'.

Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἰστέον ὅτι, εἰ τύχῃ ἡ παροῦσα Ἑορτὴ ἐν Κυριακῇ, προηγοῦνται τὰ Ἀναστάσιμα, ἔν τε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ. Εὐαγγέλιον δὲ λέγεται τῆς Ἑορτῆς.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, εἰ ἔστι Κυριακή, στιχολ. τὸ Μακάριος ἀνήρ. ὅλον τὸ κάθ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. η'. καὶ ψάλλομεν, στιχ. ἰδιόμ. ἦχος α'. Γερμανοῦ Πατριάρχου.

Λέγε Συμεών, τίνα φέρων ἐν ἀγκάλαις, ἐν τῷ Ναῷ ἀγάλλῃ; τίνι κράζεις καὶ βοᾷς νῦν ἠλευθέρωμαι; εἶδον γὰρ τὸν Σωτῆρά μου. οὗτός ἐστιν ὁ ἐκ Παρθένου τεχθείς. οὗτός ἐστιν, ὁ ἐκ Θεοῦ Θεὸς Λόγος. ὁ σαρκωθεὶς δι' ἡμᾶς, καὶ σώσας τὸν ἄνθρωπον· αὐτὸν προσκυνήσωμεν. Ὁ αὐτός.

Δέχου Συμεών, ὃν ὑπὸ τὸν γνόφον Μωσῆς νομοθετοῦντα, προεώρα ἐν Σινᾷ, βρέφος γενόμενον, Νόμῳ ὑποταττόμενον. οὗτός ἐστιν, ὁ διὰ Νόμου λαλήσας. οὗτός ἐστιν, ὁ ἐν Προφήταις ῥηθείς. ὁ σαρκωθεὶς δι' ἡμᾶς, καὶ σώσας τὸν ἄνθρωπον· αὐτὸν προσκυνήσωμεν. Ὁ αὐτός.

Δεῦτε καὶ ἡμεῖς, ᾄσμασιν ἐνθέοις, Χριστῷ συναντηθῶμεν, καὶ δεξώμεθα αὐτόν. οὗ τὸ σωτήριον ὁ Συμεὼν ἑώρακεν. οὗτός ἐστιν, ὃν ὁ Δαβὶδ καταγγέλλει. οὗτός ἐστιν, ὁ ἐν Προφήταις λαλήσας. ὁ σαρκωθεὶς δι' ἡμᾶς, καὶ Νόμῳ φθεγγόμενος· αὐτὸν προσκυνήσωμεν.

Δόξα, καὶ νῦν, ἦχος πλ. β'. Ἰωάννου Μοναχοῦ.

Ἀνοιγέσθω ἡ πύλη τοῦ οὐρανοῦ σήμερον. ὁ γὰρ ἄναρχος Λόγος τοῦ Πατρός, ἀρχὴν λαβὼν χρονικήν, μὴ ἐκστὰς τῆς αὐτοῦ Θεότητος. ὑπὸ Παρθένου ὡς βρέφος τεσσαρακονθήμερον, Μητρὸς ἑκὼν προσφέρεται, ἐν Ναῷ τῷ νομικῷ. καὶ τοῦτον ἀγκάλαις εἰσδέχεται ὁ πρέσβυς. ἀπόλυσον κράζων, ὁ δοῦλος τῷ Δεσπότῃ· οἱ γὰρ ὀφθαλμοί μου εἶδον τὸ σωτήριόν σου. ὁ ἐλθὼν εἰς τὸν Κόσμον, σῶσαι γένος ἀνθρώπων, Κύριε δόξα σοι.

Εἴσοδος. Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

Κεφ. ιβ'. 51. Ἐλάλησε Κύριος πρὸς Μωσῆν τῇ ἡμέρᾳ ἐκείνῃ, ᾗ ἐξήγαγε τοὺς Υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου, λέγων· Ἁγίασόν μοι πᾶν πρωτότοκον πρωτογενές, διανοῖγον πᾶσαν μήτραν ἐν τοῖς Υἱοῖς Ἰσραήλ. Εἶπε δὲ Μωϋσῆς πρὸς τὸν λαόν· μνημονεύετε τὴν ἡμέραν ταύτην, ἐν ᾗ ἐξήλθετε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. Ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγεν ὑμᾶς Κύριος ἐντεῦθεν· Καὶ φυλάξασθε τὸν Νόμον αὐτοῦ. Καὶ ἔσται ὡς ἂν εἰσαγάγῃ σε Κύριος ὁ Θεὸς εἰς τὴν γῆν τῶν Χαναναίων, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου· Καὶ ἀφοριεῖς πᾶν διανοῖγον μήτραν τὰ ἀρσενικὰ τῷ Κυρίῳ. Ἐὰν δὲ ἐρωτήσῃ σε μετὰ ταῦτα ὁ Υἱός σου λέγων· Τί τοῦτο; καὶ ἐρεῖς αὐτῷ· ὅτι ἐν χειρὶ κραταιᾷ ἐξήγαγεν ἡμᾶς Κύριος ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. Ἡνίκα δὲ ἐσκλήρυνε Φαραὼ τοῦ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτανε Κύριος πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ πρωτοτόκων ἀνθρώπων, ἕως πρωτοτόκων κτηνῶν. Διὰ τοῦτο ἐγὼ θύω τῷ Κυρίῳ πᾶν διανοῖγον μήτραν τὰ ἀρσενικά, καὶ πᾶν πρωτότοκον τῶν Υἱῶν μου λυτρώσομαι. Καὶ ἔσται εἰς σημεῖον ἐπὶ τῆς χειρός σου, καὶ ἀσάλευτον πρὸ τῶν ὀφθαλμῶν σου. ὅτι οὕτως ἔφη Κύριος ὁ Παντοκράτωρ· ὅτι τὰ πρωτότοκα τῶν Υἱῶν σου δώσεις ἐμοί. καὶ ἔσται πᾶς ὃς ἂν τέκῃ παιδίον ἄρσεν, τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτεμεῖ τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ. Καὶ τριάκοντα καὶ τρεῖς ἡμέρας οὐκ εἰσελεύσεται εἰς τὸ Ἁγιαστήριον τοῦ Θεοῦ πρὸς τὸν Ἱερέα, ἕως πληρωθῶσιν αἱ ἡμέραι τῆς καθάρσεως, καὶ μετὰ ταῦτα προσοίσει τῷ Κυρίῳ ἀμνὸν ἐνιαύσιον ἄμωμον εἰς ὁλοκαύτωμα, καὶ νεοσσὸν περιστερᾶς, ἢ τρυγόνος ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου πρὸς τὸν Ἱερέα. Ἢ ἀντὶ τούτων προσοίσει ἔναντι Κυρίου, δύο νεοσσοὺς περιστερῶν, ἢ δύο τρυγόνας· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ Ἱερεύς. ὅτι ἀπόδομα ἀποδεδομένοι οὗτοί μοι εἰσίν, ἐκ πάντων τῶν Υἱῶν Ἰσραήλ. καὶ εἴληφα αὐτούς, καὶ ἡγίασα αὐτοὺς ἐμοὶ ἀντὶ τῶν πρωτοτόκων τῶν Αἰγυπτίων· ᾗ ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπὸ ἀνθρώπου ἕως κτήνους. εἶπεν ὁ Θεὸς ὁ ὕψιστος, ὁ ἅγιος Ἰσραήλ.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Ἐγένετο τοῦ ἔτους, οὗ ἀπέθανεν Ὀζίας ὁ Βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ Κεφ. ς'. 1.
Θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου· καὶ πλήρης ὁ

οἶκος τῆς δόξης αὐτοῦ. Καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί. καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὸ πρόσωπον, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας αὐτῶν, καὶ ταῖς δυσὶν ἐπέταντο, καὶ ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον· Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαββαώθ, πλήρης ὁ Οὐρανός, καὶ πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. Καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐνεπλήσθη καπνοῦ. Καὶ εἶπον· Ὢ τάλας ἐγώ, ὅτι κατανένυγμαι, ὅτι ἄνθρωπος ὤν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ Λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ· καὶ τὸν Βασιλέα Κύριον Σαββαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. Καὶ ἀπεστάλη πρός με ἓν τῶν Σεραφίμ, καὶ ἐν τῇ χειρὶ αὐτοῦ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ θυσιαστηρίου· Καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν· Ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ. καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος· τίνα ἀποστείλω; καὶ τίς πορεύσεται πρὸς τὸν Λαὸν τοῦτον; Καὶ εἶπον· Ἰδοὺ ἐγώ, ἀπόστειλόν με. Καὶ εἶπε· Πορεύθητι, καὶ εἰπὲ τῷ λαῷ τούτῳ· ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε. καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν· μή ποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς. καὶ εἶπα· ἕως πότε Κύριε; καὶ εἶπεν· ἕως ἂν ἐρημωθῶσι Πόλεις, παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι, παρὰ τὸ μὴ εἶναι ἀνθρώπους. καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος. Καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ ἐγκαταλειφθέντες ἐπὶ τῆς γῆς.

### Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. ιθ΄. 1. Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς Αἴγυπτον, καὶ σεισθήσονται τὰ χειροποίητα Αἰγύπτου, ἀπὸ προσώπου αὐτοῦ. καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς· Καὶ ταραχθήσεται τὸ Πνεῦμα αὐτῶν ἐν αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω, καὶ παραδώσω τὴν Αἴγυπτον εἰς χεῖρας ἀνθρώπων Κυρίων σκληρῶν, τάδε λέγει Κύριος Σαββαώθ. Καὶ πίονται οἱ Αἰγύπτιοι ὕδωρ τὸ παρὰ θάλασσαν, ὁ δὲ ποταμὸς ἐκλείψει, καὶ ξηρανθήσεται. Τάδε λέγει Κύριος· Ποῦ εἰσὶ νῦν οἱ σοφοί σου; ἀναγγειλάτωσάν σοι, καὶ εἰπάτωσάν σοι. τί βεβούλευται, Κύριος Σαββαὼθ ἐπ᾽ Αἴγυπτον; Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσονται οἱ Αἰγύπτιοι ὡς γυναῖκες, ἐν φόβῳ καὶ τρόμῳ ἀπὸ προσώπου τῆς χειρὸς Κυρίου Σαββαώθ, ἣν αὐτὸς ἐπιβαλεῖ αὐτοῖς. Καὶ ἔσται θυσιαστήριον Κυρίου ἐν χώρᾳ Αἰγυπτίων, καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ Κυρίῳ. Καὶ ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα Κυρίῳ ἐν χώρᾳ Αἰγύπτου. Ὅτι κεκράξονται πρὸς Κύριον, καὶ ἀποστελεῖ αὐτοῖς Κύριος ἄνθρωπον, ὃς σώσει αὐτούς. Καὶ γνωστὸς ἔσται Κύριος τοῖς Αἰγυπτίοις. καὶ γνώσονται οἱ Αἰγύπτιοι τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ποιήσουσι θυσίαν, καὶ δῶρον. καὶ εὔξονται εὐχὰς τῷ Κυρίῳ, καὶ ἀποδώσουσι.

### Εἰς τὴν Λιτήν, Στιχηρὰ Ἰδιόμελα, ἦχος α΄. Ἀνατολίου.

Ὁ Παλαιὸς ἡμερῶν, ὁ καὶ τὸν Νόμον πάλαι ἐν Σινᾶ δοὺς τῷ Μωσεῖ, σήμερον βρέφος ὁρᾶται· καὶ κατὰ νόμον, ὡς νόμου ποιητής, τὸν Νόμον ἐκπληρῶν, Ναῷ προσάγεται, καὶ τῷ Πρεσβύτῃ ἐπιδίδοται. δεξάμενος δὲ τοῦτον Συμεὼν ὁ δίκαιος, καὶ τῶν δεσμῶν τὴν ἔκβασιν ἰδὼν τελεσθεῖσαν, γηθοσύνως ἐβόα· εἶδον οἱ ὀφθαλμοί μου, τὸ ἀπ᾽ αἰῶνος μυστήριον ἀποκεκρυμμένον, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν φανερωθέν· φῶς διασκεδάζον τῶν ἀπίστων ἐθνῶν τὴν σκοτόμαιναν, καὶ δόξαν τοῦ νεολέκτου Ἰσραήλ. διὸ ἀπόλυσον τὸν δοῦλόν σου, ἐκ τῶν δεσμῶν τῶνδε τοῦ σαρκίου, πρὸς τὴν ἀγήρω καὶ θαυμασίαν ἄληκτον ζωήν· ὁ παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

### Ὁ αὐτός. Ἰωάννου Μοναχοῦ.

Σήμερον ὁ πάλαι τῷ Μωσεῖ, ἐν Σινᾶ Νόμον ἐπιδούς, τοῖς νομικοῖς ὑποκύπτει θεσμοῖς· δι᾽ ἡμᾶς ὡς εὔσπλαγχνος, καθ᾽ ἡμᾶς γεγονώς. νῦν ὁ καθαρὸς Θεός, ὡς Παιδίον Ἅγιον, μήτραν διανοῖξαν ἁγνήν, ἑαυτῷ ὡς Θεὸς συγκομίζεται, τῆς τοῦ Νόμου κατάρας ἐλευθερῶν, καὶ φωτίζων τὰς ψυχὰς ἡμῶν.

### Ἦχος β΄. Ἀνδρέου τοῦ Πυρός.

Ὅνπερ οἱ ἄνω Λειτουργοὶ τρόμῳ λιτανεύουσι, κάτω νῦν ὁ Συμεών, ὑλικαῖς ἀγκάλαις



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

δεχόμενος τὸ θεῖον τοῖς ἀνθρώποις ἐνδῦσθαι ἐκήρυττε. καὶ βροτὸν τὸν οὐράνιον Θεὸν ὀπτανόμενος, ἀναχωρῶν τῶν ἐπὶ γῆς, χαρμονικῶς ἀνέκραζεν· ὁ τοῖς ἐν τῷ σκότει τὸ ἀνέσπερον φῶς ἀποκαλύπτων, Κύριε δόξα σοι.

Ὁ αὐτός. Γερμανοῦ.

Σήμερον Συμεὼν ἐν ταῖς ἀγκάλαις, τὸν Κύριον τῆς δόξης ὑποδέχεται, ὃν ὑπὸ τὸν γνόφον πρώην ὁ Μωϋσῆς ἐθεάσατο, ἐν τῷ ὄρει τῷ Σινᾷ πλάκας δόντι αὐτῷ. οὗτός ἐστιν ὁ ἐν τοῖς Προφήταις λαλῶν, καὶ τοῦ νόμου Ποιητής. οὗτός ἐστιν, ὃν ὁ Δαβὶδ καταγγέλλει. ὁ τοῖς πᾶσι φοβερός· ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Τὸν ἱερὸν ἡ ἱερὰ Παρθένος προσεκόμιζεν, ἐν ἱερῷ τῷ Ἱερεῖ· ἁπλώσας δὲ ἀγκάλας ὁ Συμεών, ἐδέξατο τοῦτον ἀγαλλόμενος, καὶ ἐβόησε· νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ Κύριε.

Ὁ αὐτός. Τοῦ αὐτοῦ.

Ὁ Κτίστης Οὐρανοῦ καὶ γῆς, ἐν ἀγκάλαις ἐβαστάζετο, ὑπὸ Ἁγίου Συμεὼν τοῦ πρεσβύτου σήμερον. αὐτὸς γὰρ ἐν Πνεύματι Ἁγίῳ ἔλεγε· νῦν ἠλευθέρωμαι, εἶδον γὰρ τὸν Σωτῆρά μου.

Ὁ αὐτός. Ἀνατολίου.
Οἱ δὲ, Ἀνδρέου Κρήτης.

Σήμερον Συμεὼν ὁ πρεσβύτης, ἐν τῷ Ναῷ εἰσέρχεται, χαίρων τῷ Πνεύματι, τὸν Νομοδότην Μωσέως, καὶ πληρωτὴν τοῦ Νόμου ἀγκάλαις εἰσδέξασθαι. Ἐκεῖνος μὲν διὰ γνόφου καὶ φωνῆς ἀμυδρᾶς, Θεοπτίας ἠξίωτο, κεκαλυμμένῳ προσώπῳ, τῶν Ἑβραίων τὰς ἀπίστους καρδίας διήλεγξεν· Οὗτος δὲ τὸν προαιώνιον Λόγον τοῦ Πατρὸς, σωματωθέντα ἐβάστασε· καὶ τῶν ἐθνῶν ἀπεκάλυψε τὸ φῶς, τὸν Σταυρὸν καὶ τὴν Ἀνάστασιν. καὶ Ἄννα Προφῆτις ἀναδείκνυται, τὸν Σωτῆρα Λυτρωτὴν τοῦ Ἰσραὴλ κηρύττουσα. αὐτῷ βοήσωμεν, Χριστῷ τῷ Θεῷ ἡμῶν· διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Ἦχος δ'. Ἀνδρέου Κρήτης.

Σήμερον ἡ ἱερὰ Μήτηρ, καὶ τοῦ ἱεροῦ ὑψηλοτέρα, ἐπὶ τὸ Ἱερὸν παραγέγονεν, ἐμφανίζουσα τῷ Κόσμῳ, τὸν τοῦ Κόσμου Πάροχον καὶ τοῦ Νόμου ποιητήν. Ὃν καὶ ἐν ἀγκάλαις ὑποδεξάμενος ὁ Πρεσβύτης Συμεών, γεραίρων ἐκραύγαζε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου.

Δόξα, ἦχος πλ. α'. Τοῦ αὐτοῦ.

Ἐρευνᾶτε τὰς γραφὰς, καθὼς εἶπεν ἐν Εὐαγγελίοις Χριστὸς ὁ Θεὸς ἡμῶν. ἐν αὐταῖς γὰρ εὑρίσκομεν αὐτὸν, τικτόμενον καὶ σπαργανούμενον, τιθηνούμενον καὶ γαλακτοτροφούμενον, περιτομὴν δεχόμενον, καὶ ὑπὸ Συμεὼν βασταχθέντα. οὐ δοκήσει, οὐδὲ φαντασίᾳ, ἀλλ' ἀληθείᾳ τῷ Κόσμῳ φανέντα. πρὸς ὃν βοήσωμεν· ὁ πρὸ αἰώνων Θεὸς ἡμῶν δόξα σοι.

Καὶ νῦν. Ὁ αὐτός.
Γερμανοῦ. Οἱ δὲ, Ἀνατολίου.

Ὁ Παλαιὸς ἡμερῶν, νηπιάσας σαρκὶ, ὑπὸ Μητρὸς Παρθένου τῷ Ἱερῷ προσάγεται, τοῦ οἰκείου νόμου πληρῶν τὸ ἐπάγγελμα. ὃν Συμεὼν δεξάμενος, ἔλεγε· νῦν ἀπολύεις ἐν εἰρήνῃ, κατὰ τὸ ῥῆμά σου τὸν δοῦλόν σου. εἶδον γὰρ οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου Κύριε.

Εἰς τὸν στ. στ. Ἰδιόμελ. ἦχος βαρύς.
Κοσμᾶ Μοναχοῦ.

Κατακόσμησον τὸν νυμφῶνά σου Σιὼν, καὶ ὑπόδεξαι τὸν Βασιλέα Χριστόν. ἄσπασαι τὴν Μαριάμ, τὴν ἐπουράνιον πύλην. αὕτη γὰρ Θρόνος χερουβικὸς ἀνεδείχθη. αὕτη βαστάζει τὸν Βασιλέα τῆς δόξης. νεφέλη φωτὸς ὑπάρχει ἡ Παρθένος, φέρουσα ἐν σαρκὶ Υἱὸν πρὸ Ἑωσφόρου. ὃν λαβὼν Συμεὼν ἐν ἀγκάλαις αὐτοῦ, ἐκήρυττε λαοῖς, Δεσπότην αὐτὸν εἶναι, ζωῆς καὶ τοῦ θανάτου, καὶ Σωτῆρα τοῦ Κόσμου.

Στ. Νῦν ἀπολύεις.

Τὸν ἐκλάμψαντα πρὸ αἰώνων ἐκ Πατρὸς, ἐπ' ἐσχάτων δὲ ἐκ μήτρας παρθενικῆς, φέρουσα ἐν τῷ Ναῷ, ἡ ἀπειρόγαμος Μήτηρ· τὸν ἐν Σιναίῳ νομοθετήσαντα ὄρει, τῇ διατάξει τῇ νομικῇ πειθαρχοῦντα, προσῆγεν Ἱερεῖ πρεσβύτῃ καὶ δικαίῳ, Χριστὸν τὸν Κύριον ἰδεῖν χρηματισθέντα. ὃν δεξάμενος Συμεὼν ἐν ταῖς ἀγκάλαις αὐτοῦ, ἠγαλλιάσατο βοῶν· Θεὸς ὑπάρχει οὗτος, Πατρὶ συναΐδιος, καὶ Λυτρωτὴς τῶν ψυχῶν ἡμῶν.

Στ. Φῶς εἰς ἀποκάλυψιν.

Τὸν ὀχούμενον ἐν ἅρματι Χερουβὶμ, καὶ ὑμνούμενον ἐν ᾄσμασι Σεραφίμ, φέρουσα ἐν ἀγκάλαις ἡ Θεοτόκος Μαρία· ἀπειρογάμως ἐξ αὐτῆς σαρκωθέντα, τὸν

Νομο-

Νομοδότην, Νόμου πληροῦντα τάξιν, ἐδίδου χερσὶ πρεσβύτου Ἱερέως. ζωὴν δὲ φέρων, ζωῆς ᾐτεῖτο λύσιν, λέγων· Δέσποτα νῦν ἀπόλυσόν με, μηνῦσαι τῷ Ἀδάμ, ὡς εἶδον ἄτρεπτον βρέφος, Θεὸν προαιώνιον, καὶ Σωτῆρα τοῦ Κόσμου.

Δόξα, καὶ νῦν. ἦχος πλ. δ'.

Ἀνδρέου Κρήτης.

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ. σήμερον τῷ θείῳ Ἱερῷ, κατὰ νόμον προσφερόμενος, πρεσβυτικαῖς ἐνθρονίζεται ἀγκάλαις, καὶ ὑπὸ Ἰωσὴφ εἰσδέχεται δῶρα θεοπρεπῶς· ὡς ζεῦγος τρυγόνων, τὴν ἀμίαντον Ἐκκλησίαν, καὶ τῶν ἐθνῶν τὸν νεόλεκτον λαόν· περιστερῶν δὲ δύο νεοσσούς, ὡς ἀρχηγὸς παλαιᾶς τε καὶ καινῆς. τοῦ πρὸς αὐτὸν χρησμοῦ δὲ Συμεὼν τὸ πέρας δεξάμενος, εὐλογῶν τὴν Παρθένον Θεοτόκον Μαρίαν, τὰ τοῦ Πάθους σύμβολα, τοῦ ἐξ αὐτῆς προηγόρευσε. καὶ παρ' αὐτοῦ ἐξαιτεῖται τὴν ἀπόλυσιν βοῶν· νῦν ἀπολύεις με Δέσποτα, καθὼς προεπηγγείλω μοι· ὅτι εἶδόν σε τὸ προαιώνιον φῶς, καὶ Σωτῆρα Κύριον, τοῦ χριστωνύμου λαοῦ.

Τροπάριον, ἦχος α'.

Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε· ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει. εὐφραίνου καὶ σὺ Πρεσβύτα δίκαιε, δεξάμενος ἐν ἀγκάλαις τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν, χαριζόμενον ἡμῖν καὶ τὴν Ἀνάστασιν. Ἐκ γ'.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. Κάθισμα. ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Χορὸς Ἀγγελικός, ἐκπληττέσθω τὸ θαῦμα. βροτοὶ δὲ ταῖς φωναῖς, ἀνακράξωμεν ὕμνον· ὁρῶντες τὴν ἄφατον, τοῦ Θεοῦ συγκατάβασιν· ὃν γὰρ τρέμουσι, τῶν Οὐρανῶν αἱ δυνάμεις, νῦν γηραλέαι, ἐναγκαλίζονται χεῖρες, τὸν μόνον Φιλάνθρωπον. Δίς.

Μετὰ τὴν β'. στιχολ. Κάθισμα. ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Ὁ ὢν σὺν τῷ Πατρί, ἐπὶ θρόνου ἁγίου, ἐλθὼν ἐπὶ τῆς γῆς, ἐκ Παρθένου ἐτέχθης. καὶ βρέφος ἐγένετο, χρόνοις ὢν ἀπερίγραπτος. ὃν δεξάμενος, ὁ Συμεὼν ἐν ἀγκάλαις, χαίρων, ἔλεγε· νῦν ἀπολύεις Οἰκτίρμον, εὐφράνας τὸν δοῦλόν σου. Δίς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Νηπιάζει δι' ἐμέ, ὁ παλαιὸς τῶν ἡμερῶν, καθαρσίων κοινωνεῖ, ὁ καθαρώτατος Θεός· ἵνα τὴν σάρκα πιστώσῃ μου τὴν ἐκ Παρθένου. καὶ ταῦτα Συμεὼν μυσταγωγούμενος, ἐπέγνω τὸν αὐτόν, Θεὸν φανέντα σαρκί, καὶ ὡς ζωὴν ἠσπάζετο. καὶ χαίρων, πρεσβυτικῶς ἀνεκραύγαζεν· ἀπόλυσόν με, σὲ γὰρ κατεῖδον, τὴν ζωὴν τῶν ἁπάντων. Δίς.

Οἱ Ἀναβαθμοί, τὸ α'. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμ. ἦχος δ'.

Μνησθήσομαι τοῦ ὀνόματός σου.

Στίχ. Ἐξηρεύξατο ἡ καρδία μου. Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, ἦν ἄνθρωπος ἐν Ἱερουσαλήμ, ᾧ ὄνομα Συμεών. καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ. καὶ Πνεῦμα Ἅγιον ἦν ἐπ' αὐτόν· Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου, μὴ ἰδεῖν θάνατον, πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου. καὶ ἦλθεν ἐν τῷ Πνεύματι εἰς τὸ Ἱερόν. καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ Νόμου περὶ αὐτοῦ· καὶ αὐτὸς ἐδέξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν Θεόν, καὶ εἶπε. Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· Ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου· Ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν· Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν Λαοῦ σου Ἰσραήλ.

Ὁ Ν'. Καὶ τὸ Ἰδιόμελ. ἦχος πλ. β'.

Ἀνοιγέσθω ἡ πύλη τοῦ Οὐρανοῦ σήμερον.

Ζήτει εἰς τὸν Ἑσπερινόν.

Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς.

Χριστὸν γεγηθὼς Πρέσβυς ἀγκαλίζεται.

Ποίημα τοῦ Κυρίου Κοσμᾶ.

Ὠδὴ α'. ἦχος γ'. Ὁ Εἱρμός.

Χέρσον Ἀβυσσοτόκον πέδον Ἥλιος, ἐπεπόλευσε ποτέ. ὡσεὶ τεῖχος γὰρ ἐπάγη, ἑκατέρωθεν ὕδωρ, λαῷ πεζοποντοποροῦντι, καὶ θεαρέστως μέλποντι· ᾄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Ῥανάτωσαν ὕδωρ νεφέλαι Ἥλιος. ἐν νεφέλῃ γὰρ κούφῃ, ἐποχούμενος ἐπέστη, ἀκηράτοις ὠλέναις, Χριστὸν ἐν τῷ Ναῷ ὡς

βρέφος. διὸ πιστοὶ βοήσωμεν. ᾄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Ἰσχύσατε χεῖρες Συμεὼν τῷ γήρᾳ, ἀνειμέναι καὶ κνῆμαι, παρειμέναι δὲ πρεσβύτου, ἀθυβόλως κινεῖσθε, Χριστοῦ πρὸς ὑπαντὴν χορείαν, σὺν Ἀσωμάτοις στήσαντες. ᾄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται.

Συνέστα ταθέντες Οὐρανοὶ εὐφράνθητε. ἀγάλλου δὲ ἡ γῆ. ὑπερθέων γὰρ ἐκ κόλπων ὁ τεχνίτης φοιτήσας. Χριστὸς ὑπὸ Μητρὸς Παρθένου, Θεῷ Πατρὶ προσάγεται, νήπιος ὁ πρὸ πάντων. ἐνδόξως γὰρ δεδόξασται.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Ὁ στερέωμα, τῶν ἐπὶ σοὶ πεποιθότων, στερέωσον Κύριε τὴν Ἐκκλησίαν, ἣν ἐκτήσω τῷ τιμίῳ σου αἵματι.

Ὁ Πρωτότοκος, ἐκ τοῦ Πατρὸς πρὸ αἰώνων, Πρωτότοκος νήπιος Κόρης ἀφθόρου. τῷ Ἀδὰμ χαρὰ, προτάνων ἐπέφανε.

Ἠπιόφρονα, τὸν γεγονότα ἀπάτῃ, Πρωτόπλαστον ἔμπαλιν ἐπανορθώσων, Θεὸς Λόγος, νηπιάσας ἐπέφανε.

Τῆς ἀπόγονον παλινδρομήσασαν ταύτην, Θεότητος σύμμορφον φύσιν ὁ Πλάστης; ὡς ἀτρέπτως, νηπιάσας ἀνέδειξε.

Κάθισμα. ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἐν τῷ ὄρει τῷ Σινᾶ, πάλαι κατεῖδε Μωϋσῆς, τὰ ὀπίσθια Θεοῦ. καὶ ἀμυδρῶς θείας φωνῆς, κατηξιώθη ἐν γνόφῳ τε καὶ θυέλλῃ. νῦν δὲ Συμεὼν, τὸν σαρκωθέντα Θεὸν, ἀτρέπτως δι' ἡμᾶς ἐνηγκαλίσατο. καὶ γεγηθὼς ἠπείγετο τῶν τῇδε, πρὸς τὴν ζωὴν τὴν αἰώνιον. διὸ ἐβόα, νῦν ἀπολύεις, τὸν δοῦλόν σου Δέσποτα. Δίς.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Ἐκάλυψεν Οὐρανοὺς ἡ ἀρετή σου Χριστέ. τῆς κιβωτοῦ γὰρ προελθὼν τοῦ ἁγιάσματός σου, τῆς ἀφθόρου Μητρὸς ἐν τῷ Ναῷ τῆς δόξης σου, ὤφθης ὡς βρέφος ἀγκαλοφορούμενος· καὶ ἐπληρώθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

Γηθόμενος Συμεὼν τῶν ἀπορρήτων μύστης, ἡ Θεοτόκος ἐβόα· ὃν ὑφ' ἁγίου πάλαι κεχρημάτισαι Πνεύματος, νηπιάσαντα Λόγον, Χριστὸν ἐναγκαλίζου κράζων αὐτῷ· ἐπλήσθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

Ὃν ἤλπισας Συμεὼν ἡλικιώτην βρεφῶν, χαίρων ὑπόδεξαι Χριστὸν, τοῦ Ἰσραὴλ τοῦ θείου τὴν παράκλησιν, τοῦ Νόμου Ποιητὴν καὶ Δεσπότην, πληροῦντα Νόμου τάξιν, κράζων αὐτῷ· ἐπλήσθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

Θεώμενος Συμεὼν Λόγον τὸν ἄναρχον, μετὰ σαρκὸς ὡς ἐν θρόνῳ χερουβικῷ, Παρθένῳ ἐποχούμενον, τὸν αἴτιον τοῦ εἶναι τὰ πάντα, ὡς βρέφος ἐκπλαγεὶς, ἐβόα αὐτῷ. ἐπλήσθη τὰ πάντα τῆς σῆς αἰνέσεως.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ὡς εἶδεν Ἡσαΐας συμβολικῶς, ἐν θρόνῳ ἐπηρμένῳ Θεὸν, ὑπ' Ἀγγέλων δόξης δορυφορούμενον, ὢ τάλας ἐβόα ἐγώ. πρὸ γὰρ εἶδον σωματούμενον Θεὸν, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα.

Συνῆκας ὁ θεῖος Πρέσβυς, τὴν προφανεῖσαν πάλαι τῷ Προφήτῃ δόξαν, χερσὶ Λόγον βλέπων Μητρὸς κρατούμενον· ὢ χαίροις ἐβόα σεμνὴ, ὡς γὰρ θρόνος περιέχεις τὸν Θεὸν, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα.

Προκύψας ὁ Πρεσβύτης, καὶ τῶν ἰχνῶν εὐθέως ἐφαψάμενος, τῆς ἀπειρογάμου καὶ Θεομήτορος, πῦρ ἔφη βαστάζεις Ἁγνή. βρέφος φρικτὸν ἀγκαλίσασθαι Θεὸν, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα.

Ῥύπτεται Ἡσαΐας τοῦ Σεραφὶμ, τὸν ἄνθρακα δεξάμενος, ὁ Πρέσβυς ἐβόα τῇ Θεομήτορι· σὺ ὥσπερ λαβίδι χερσὶ λαμπρυνεῖς με, ἐπιδοῦσα ὃν φέρεις, φωτὸς ἀνεσπέρου, καὶ εἰρήνης δεσπόζοντα.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Ἐβόησέ σοι, ἰδὼν ὁ Πρέσβυς, τοῖς ὀφθαλμοῖς τὸ σωτήριον, ὃ λαοῖς ἐπέστη, ἐκ Θεοῦ Χριστὲ, σὺ Θεός μου.

Ἐτέθης σὺ λίθος, ἐναπετέθης, τοῖς ἀπειθοῦσι προσκόμματος. καὶ σκανδάλου πέτρα, ἀρραγὴς πιστῶν σωτηρία.

Βεβαίως φέρων, τὸν χαρακτῆρα, τοῦ πρὸ αἰώνων σε φύσαντος, τὴν βροτῶν δι' οἶκτον, νῦν ἀσθένειαν περιέθου.

Υἱὸν ὑψίστου, Υἱὸν Παρθένου, Θεὸν παιδίον γενόμενον, προσκυνήσαντά σε, νῦν ἀπόλυσον ἐν εἰρήνῃ.

Κοντάκιον, ἦχος α΄.

Ὁ μήτραν παρθενικὴν ἁγιάσας τῷ τόκῳ σου, καὶ χεῖρας τοῦ Συμεὼν εὐλογήσας ὡς ἔπρεπε, προφθάσας καὶ νῦν ἔσωσας ἡμᾶς

Χριστὲ ὁ Θεός. ἀλλ' εἰρήνευσον ἐν πολέμοις τὸ πολίτευμα· καὶ κραταίωσον Βασιλεῖς οὓς ἠγάπησας, ὁ μόνος Φιλάνθρωπος.

Ὁ Οἶκος.

Τῇ Θεοτόκῳ προσδράμωμεν, οἱ βουλόμενοι κατιδεῖν τὸν Υἱὸν αὐτῆς πρὸς Συμεὼν ἀπαγόμενον. ὅν περ οὐρανόθεν οἱ Ἀσώματοι βλέποντες, ἐξεπλήττοντο λέγοντες· θαυμαστὰ θεωροῦμεν νῦν καὶ παράδοξα, ἀκατάληπτα ἄφραστα. ὁ τὸν Ἀδὰμ δημιουργήσας, βαστάζεται ὡς βρέφος, ὁ ἀχώρητος χωρεῖται ἐν ἀγκάλαις τοῦ πρεσβύτου· ὁ ἐπὶ τῶν κόλπων τῶν ἀπεριγράπτων ὑπάρχων τοῦ Πατρός, ἑκὼν περιγράφεται σαρκί, οὐ Θεότητι. ὁ μόνος Φιλάνθρωπος.

Τῷ αὐτῷ Μηνὶ β'. Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτε ἐδέξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ ὁ δίκαιος Συμεών.

Στ. Κόλπους Πατρὸς τυποῦσι τοῦ σοῦ Χριστέ μου,
Τοῦ Συμεὼν αἱ χεῖρες, αἳ φέρουσί σε.
Δέξατο δευτερίῃ Χριστὸν Συμεὼν παρὰ Νηῷ.

Τεσσαράκοντα ἡμερῶν διελθουσῶν, μετὰ τὴν σωτήριον τοῦ Κυρίου ἐνανθρώπησιν, καὶ ἐκ τῆς Ἁγίας Ἀειπαρθένου ἄνευ ἀνδρὸς γέννησιν, κατ' αὐτὴν τὴν σεβασμιωτάτην ἡμέραν, προσήχθη τῷ Ἱερῷ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, παρά τε τῆς Πανάγνου αὐτοῦ Μητρός, καὶ Ἰωσὴφ τοῦ δικαίου, κατὰ τὴν συνήθειαν τοῦ σκιώδους καὶ νομικοῦ γράμματος. Ὅτε καὶ ὁ γηραιὸς Συμεών, καὶ Πρεσβύτης, ὃς ἦν ὑπὸ τοῦ Ἁγίου Πνεύματος κεχρηματισμένος, μὴ ἰδεῖν θάνατον, πρὶν ἰδεῖν τὸν Χριστὸν Κυρίου. Καὶ δεξάμενος αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ τῷ Θεῷ εὐχαριστήσας, καὶ ἀνθομολογησάμενος, Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα κατὰ τὸ ῥῆμά σου, ἐξεβόησε. Καὶ μετὰ περιχαρείας τοῦ τῇδε βίου μετέστη, τῶν ἐπιγείων ἀνταλλαξάμενος τὰ οὐράνια καὶ ἀτελεύτητα. Ἡ τοιαύτη δὲ σύναξις τελεῖται ἐν τῷ σεβασμίῳ Οἴκῳ τῆς ἀχράντου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας, τῷ ὄντι ἐν Βλαχέρναις.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Σὲ τὸν ἐν πυρὶ δροσίσαντα, Παῖδας θεολογήσαντας, καὶ Παρθένῳ ἀκηράτῳ ἐνοικήσαντα· Θεὸν Λόγον ὑμνοῦμεν, εὐσεβῶς μελῳδοῦντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀδὰμ ἐμφανίσων ἄπειμι, εἰς ᾍδου διατρίβοντι. καὶ τῇ Εὔᾳ προσκομίσων εὐαγγέλια, Συμεὼν ἀνεβόα, σὺν Προφήταις χορεύων· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τέκνον χοϊκὸν ῥυσάμενος, Θεὸς ἕως τοῦ ᾍδου ἥξει. αἰχμαλώτοις δὲ παρέξει πᾶσιν ἄφεσιν, καὶ ἀνάβλεψιν τυφλοῖς, ὡς ἀλάλοις βοῆσαι· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Καὶ σοῦ τὴν καρδίαν Ἄφθορε, ῥομφαία διελεύσεται, Συμεὼν τῇ Θεοτόκῳ προηγόρευσεν· τὸ Σταυρῷ καθορῶσα, σὸν Υἱὸν ᾧ βοῶμεν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Ἀσπέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείᾳ προεστῶτες Νεανίαι. τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Λαὸς Ἰσραὴλ τὴν σὴν δόξαν, τὸν Ἐμμανουὴλ ὁρῶν παιδίον ἐκ Παρθένου, πρὸ προσώπου τῆς θείας Κιβωτοῦ νῦν χόρευε· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ἰδοὺ Συμεὼν ἀνεβόα· τὸ ἀντιλεγόμενον σημεῖον οὗτος ἐστί, Θεὸς ὢν καὶ παιδίον· τούτῳ πιστοὶ μέλψωμεν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ζωὴ πεφυκὼς οὗτος ἐστί, πτῶσις ἀπειθοῦσι, νηπιάσας Θεὸς Λόγος· ὡς ἀνάστασις πᾶσι, τοῖς πιστοῖς μέλπουσιν· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ἐν νόμῳ σκιᾷ ἐν γράμματι, τύπον κατίδωμεν οἱ πιστοί· πᾶν ἄρσεν τὸ τὴν μήτραν διανοῖγον, ἅγιον Θεῷ. διὸ πρωτότοκον Λόγον, Πατρὸς ἀνάρχου Υἱόν, πρωτοτοκούμενον Μητρί, ἀπειράνδρως μεγαλύνομεν.

Τοῖς πρὶν νεογνῶν τρυγόνων ζεῦγος, δυάς τε ἦν νεοσσῶν· ἀνθ' ὧν ὁ θεῖος Πρέσβυς, καὶ σώφρων Ἄννα Προφῆτις, τῷ ἐκ Παρθένου τεχθέντι, καὶ θείῳ γόνῳ Πατρός, ἐν τῷ Ναῷ προϊόντι, λατρεύοντες ἐμεγάλυνον.

Ἀπέδωκάς μοι ἐβόα, Συμεὼν τοῦ σωτηρίου σου Χριστὲ ἀγαλλίασιν. ἀπόλαβέ

σου τὸν λάτριν, τὸν τῇ σκιᾷ κεκμηκότα, νέον τῆς χάριτος, Ἱεροκήρυκα μύστην, ἐν αἰνέσει μεγαλύνοντα.

Ἱεροπρεπῶς ἀνθωμολογεῖτο, Ἄννα ὑποφθάσασα, ἡ σώφρων καὶ ὁσία, καὶ πρεσβυρὰ τῷ Δεσπότῃ, ἐν τῷ Ναῷ διαῤῥήδην· τὴν Θεοτόκον δὲ ἀνακηρύττουσα, πᾶσι τοῖς παροῦσιν ἐμεγάλυνεν.

Ἐξαπος. Αὐτόμελον, ἐκ γ΄.

ἘΝ Πνεύματι τῷ ἱερῷ, παραστὰς ὁ Πρεσβύτης, ἀγκάλαις ὑπεδέξατο, τὸν τοῦ Νόμου Δεσπότην. κραυγάζων νῦν τοῦ δεσμοῦ με, τῆς σαρκὸς ἀπόλυσον, ὡς εἴρηκας ἐν εἰρήνῃ. εἶδον γὰρ τοῖς ὀφθαλμοῖς, ἀποκάλυψιν ἐθνῶν, καὶ Ἰσραὴλ σωτηρίαν.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἵστῶμεν, στίχ. δ΄. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος δ΄.

Ἔδωκας σημείωσιν.

ΝΌμον τὸν ἐν γράμματι, ἀποπληρῶν ὁ Φιλάνθρωπος, τῷ Ναῷ νῦν προσάγεται· καὶ τοῦτον εἰσδέχεται, γηραιαῖς ἀγκάλαις, Συμεὼν ὁ Πρέσβυς, νῦν ἀπολύεις με βοῶν, πρὸς τὴν ἐκεῖθεν μακαριότητα. κατεῖδον γάρ σε σήμερον, σάρκα θνητὴν περικείμενον, τὸν ζωῆς κυριεύοντα, καὶ θανάτου δεσπόζοντα. Δίς.

ΦΩς εἰς ἀποκάλυψιν, ἐθνῶν ἐπέφανας Κύριε· ἐπὶ κούφης καθήμενος, νεφέλης ὁ Ἥλιος, τῆς δικαιοσύνης, νόμου τὸ σκιῶδες, ἀποπληρῶν καὶ τὴν ἀρχήν, καθυποφαίνων τῆς νέας χάριτος. διό σε θεασάμενος, ὁ Συμεὼν ἀνεκραύγαζεν· ἐκ φθορᾶς με ἀπόλυσον, ὅτι εἶδόν σε σήμερον.

ΚΌλπων τοῦ Γεννήτορος, μὴ χωρισθεὶς τῇ Θεότητι, σαρκωθεὶς ὡς ηὐδόκησας, ἀγκάλαις κρατούμενος, τῆς Ἀειπαρθένου, χερσὶν ἐπεδόθης, τοῦ Θεοδόχου Συμεών, ὁ τῇ χειρί σου κρατῶν τὰ σύμπαντα. διὸ νῦν ἀπολύεις με, περιχαρῶς ἀνεκραύγαζεν, ἐν εἰρήνῃ τὸν δοῦλόν σου, ὅτι εἶδόν σε Δέσποτα.

Δόξα, καὶ νῦν. ἦχος πλ. β΄. Γερμανοῦ.

ὉἘν χερσὶ πρεσβυτικαῖς, τὴν σήμερον ἡμέραν, ὡς ἐφ᾽ ἅρματος Χερουβίμ, ἀνακλιθῆναι εὐδοκήσας Χριστὲ ὁ Θεός· καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, τῆς τῶν παθῶν τυραννίδος, ἀνακαλούμενος ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος. Ὠδὴ γ΄. καὶ ς΄. Προκείμενον. Ὠδὴ τῆς Θεοτόκου.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν.

Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους Ἐπιστολῆς.

ἈΔελφοί, χωρὶς πάσης ἀντιλογίας, τὸ ἔλαττον ὑπὸ τοῦ κρείττονος εὐλογεῖται. Κεφ. ζ. 7.
καὶ ὧδε μὲν δεκάτας ἀποθνήσκοντες ἄνθρωποι λαμβάνουσιν· ἐκεῖ δὲ μαρτυρούμενος, ὅτι ζῇ. Καὶ ὡς ἔπος εἰπεῖν, διὰ Ἀβραὰμ καὶ Λευΐ, ὁ δεκάτας λαμβάνων δεδεκάτωται. Ἔτι γὰρ ἐν τῇ ὀσφύϊ τοῦ Πατρὸς ἦν, ὅτε συνήντησεν αὐτῷ ὁ Μελχισεδέκ. Εἰ μὲν οὖν τελείωσις διὰ τῆς Λευϊτικῆς Ἱερωσύνης ἦν· ὁ λαὸς γὰρ ἐπ᾽ αὐτῇ νενομοθέτητο· τίς ἔτι χρεία, κατὰ τὴν τάξιν Μελχισεδὲκ ἕτερον ἀνίστασθαι Ἱερέα, καὶ οὐ κατὰ τὴν τάξιν Ἀαρὼν λέγεσθαι; Μετατιθεμένης γὰρ τῆς Ἱερωσύνης, ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. Ἐφ᾽ ὃν γὰρ λέγεται ταῦτα, φυλῆς ἑτέρας μετέσχηκεν, ἀφ᾽ ἧς οὐδεὶς προσέσχηκε τῷ θυσιαστηρίῳ. Πρόδηλον γάρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ Κύριος ἡμῶν, εἰς ἣν φυλὴν οὐδὲν περὶ ἱερωσύνης Μωσῆς ἐλάλησε. Καὶ περισσότερον ἔτι κατάδηλόν ἐστιν, εἰ κατὰ τὴν ὁμοιότητα Μελχισεδὲκ ἀνίσταται Ἱερεὺς ἕτερος. Ὃς οὐ κατὰ νόμον ἐντολῆς σαρκικῆς γέγονεν, ἀλλὰ κατὰ δύναμιν ζωῆς ἀκαταλύτου. Μαρτυρεῖ γάρ, ὅτι σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Ἀλληλούϊα, ἦχος πλ. α΄.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου.

Στίχ. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

ΤΩ͂ καιρῷ ἐκείνῳ, ἀνήγαγον οἱ Γονεῖς τὸ Κεφ. β. 22.
παιδίον Ἰησοῦν εἰς Ἱεροσόλυμα, παραστῆσαι τῷ Κυρίῳ, καθὼς γέγραπται ἐν νόμῳ Κυρίου· ὅτι πᾶν ἄρσεν διανοῖγον μήτραν, Ἅγιον τῷ Κυρίῳ κληθήσεται· καὶ τοῦ δοῦναι θυσίαν κατὰ τὸ εἰρημένον ἐν νόμῳ Κυρίου, ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν. Καὶ ἰδοὺ ἦν ἄνθρωπος ἐν Ἱερουσαλήμ, ᾧ ὄνομα Συμεών. καὶ ὁ ἄνθρωπος οὗτος δίκαιος, καὶ εὐλαβής, προσδεχόμενος παράκλησιν τοῦ Ἰσραήλ. καὶ Πνεῦμα Ἅγιον ἦν ἐπ᾽ αὐτόν. Καὶ ἦν αὐτῷ κεχρηματισμένον ὑπὸ τοῦ Πνεύματος τοῦ Ἁγίου, μὴ ἰδεῖν θάνατον, πρὶν ἢ ἴδῃ τὸν Χριστὸν Κυρίου. Καὶ ἦλθεν ἐν τῷ

Πνεύ-

Πνεύματι εἰς τὸ Ἱερόν. καὶ ἐν τῷ εἰσαγαγεῖν τοὺς Γονεῖς τὸ παιδίον Ἰησοῦν, τοῦ ποιῆσαι αὐτοὺς κατὰ τὸ εἰθισμένον τοῦ νόμου περὶ αὐτοῦ. Καὶ αὐτὸς ἐδέξατο αὐτὸν εἰς τὰς ἀγκάλας αὐτοῦ, καὶ εὐλόγησε τὸν Θεόν, καὶ εἶπε· Νῦν ἀπολύεις τὸν δοῦλόν σου Δέσποτα, κατὰ τὸ ῥῆμά σου ἐν εἰρήνῃ· ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν. Φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ. Καὶ ἦν Ἰωσὴφ καὶ ἡ Μήτηρ αὐτοῦ θαυμάζοντες ἐπὶ τοῖς λαλουμένοις περὶ αὐτοῦ. Καὶ εὐλόγησεν αὐτοὺς Συμεών, καὶ εἶπε πρὸς Μαριὰμ τὴν Μητέρα αὐτοῦ· Ἰδού, οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραήλ, καὶ εἰς σημεῖον ἀντιλεγόμενον. (Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία.) ὅπως ἂν ἀποκαλυφθῶσιν ἐκ πολλῶν καρδιῶν διαλογισμοί. Καὶ ἦν Ἄννα Προφῆτις, Θυγάτηρ Φανουὴλ ἐκ φυλῆς Ἀσήρ· αὕτη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, ζήσασα ἔτη μετ' ἀνδρὸς ἑπτὰ ἀπὸ τῆς παρθενίας αὐτῆς· καὶ αὕτη χήρα ὡς ἐτῶν ὀγδοηκοντατεσσάρων. ἣ οὐκ ἀφίστατο ἀπὸ τοῦ Ἱεροῦ, νηστείαις καὶ δεήσεσι λατρεύουσα νύκτα καὶ ἡμέραν. Καὶ αὕτη αὐτῇ τῇ ὥρᾳ ἐπιστᾶσα, ἀνθωμολογεῖτο τῷ Κυρίῳ, καὶ ἐλάλει περὶ αὐτοῦ πᾶσι τοῖς προσδεχομένοις λύτρωσιν ἐν Ἱερουσαλήμ. Καὶ ὡς ἐτέλεσαν ἅπαντα τὰ κατὰ τὸν νόμον Κυρίου, ὑπέστρεψαν εἰς τὴν Γαλιλαίαν, εἰς τὴν Πόλιν αὐτῶν Ναζαρέτ. Τὸ δὲ Παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο Πνεύματι, πληρούμενον σοφίας· καὶ χάρις Θεοῦ ἦν ἐπ' αὐτό.

Κοινωνικόν. Ποτήριον σωτηρίου.

Ἰστέον ὅτι, εἰ τύχῃ ἡ παροῦσα Ἑορτὴ ἐν τῇ ἁγίᾳ Τεσσαρακοστῇ, ἑορτάζεται ἡμέραν μίαν. ἐν δὲ τῇ Τυρινῇ, ἡμέρας δ'. Εἰ δὲ τύχῃ ἔξωθεν τῆς Τεσσαρακοστῆς, καὶ τῆς Τυρινῆς, ἑορτάζεται ἡμέρας ὀκτώ.

Μηνὶ τῷ αὐτῷ Γ'.

Τοῦ Ἁγίου καὶ δικαίου Συμεὼν τοῦ Θεοδόχου.

Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς Ἑορτῆς γ'. ἦχος δ'. Νόμον τὸν ἐν γράμματι. Φῶς εἰς ἀποκάλυψιν. Κόλπων τοῦ Γεννήτορος.

Ζήτει εἰς τοὺς Αἴνους τῆς Ἑορτῆς.

Ἕτερα στιχηρὰ τοῦ Ἁγίου ὅμοια.

Δίκαιος καὶ τέλειος, καὶ κατὰ πάντα ἀοίδιμος, χρηματίζων Θεόπνευστε, Θεὸν Λόγον τέλειον, εἰς τὸ δικαιῶσαι, τὸν Κόσμον ἐλθόντα, καθυπεδέξω ταῖς χερσί, σωματωθέντα καὶ ἀπολέλυσαι, τοῦ σώματος βοῶν αὐτῷ· νῦν ἀπολύεις τὸν δοῦλόν σου, ἐν εἰρήνῃ φιλάνθρωπε, ὅτι εἶδόν σε σήμερον.

Ἡδόμενος (sic) — Ηεάζων τῷ Πνεύματι, προβεβηκὼς δὲ τῷ σώματι, Συμεὼν κεχρημάτισαι, μὴ ὄψεσθαι θάνατον, ἕως ἴδῃς βρέφος, νέον τὸν προόντα, πρὸ τῶν αἰώνων Ποιητήν, Θεὸν τῶν ὅλων σάρκα πτωχεύσαντα. ἰδὼν δὲ ἀνεσκίρτησας, καὶ τῆς σαρκὸς λύσιν ᾔτησας, πρὸς τὰ θεῖα σκηνώματα, μεταβὰς ἀγαλλόμενος.

Ἄννα ἡ Θεόπνευστος, καὶ Συμεὼν ὁ πανόλβιος, προφητείᾳ λαμπόμενοι, ἐν Νόμῳ τε ἄμεμπτοι, ἀποδεδειγμένοι, τὸν Νόμου Δοτῆρα, βρέφος ὀφθέντα καθ' ἡμᾶς, ἰδόντες τοῦτον νῦν προσεκύνησαν. αὐτῶν τὴν μνήμην σήμερον, περιχαρῶς ἑορτάσωμεν, κατὰ χρέος δοξάζοντες, Ἰησοῦν τὸν φιλάνθρωπον.

Δόξα, καὶ νῦν. ἰδιόμ. ἦχος α'.

Ὁ Παλαιὸς ἡμερῶν. Ζήτει εἰς τὴν Λιτήν.

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια, ἦχος α'.

Τῶν οὐρανίων Ταγμάτων.

Θεοφανείας ἀρρήτου νῦν ἑορτάζομεν, σωτηριώδη χάριν. ἐκ Παρθένου γὰρ Κόρης, ἀτρέπτως νηπιάσας Χριστὸς ὁ Θεός, ἐν Ναῷ τῷ Θεῷ καὶ Πατρί, ὑπὸ Μητρὸς νῦν προσάγεται, ὃν λαβών, Συμεὼν ἐνηγκαλίσατο.

Στίχ. Νῦν ἀπολύεις.

Ἐν τοῖς Προφήταις ὡράθης, ὡς θέμις ἦν Ἰησοῦ, σὲ θεαθῆναι πάλαι· ἀλλὰ νῦν Θεοῦ Λόγε, σαρκὶ ταυτὶ τῷ Κόσμῳ ὤφθης ἑκών, ἐκ Παρθένου Μαρίας Χριστέ, σοῦ τὸ σωτήριον πᾶσι τοῖς ἐξ Ἀδάμ, ἐμφανίσας ὡς φιλάνθρωπος.

Στίχ. Φῶς εἰς ἀποκάλυψιν.

Ὁ ἐν Σιναίῳ τῷ Ὄρει, τὸν νόμον τάξας ποτέ, νῦν ἐν Σιὼν τῇ Πόλει, ἐκπληρῶν τὰ τοῦ νόμου, χερσὶ τῆς Θεοτόκου βρέφος Χριστέ, σὺν τοῖς ὁλοκαυτώμασι, τοῦ Συμεὼν ἐν ἀγκάλαις εἰς τὸν Ναόν, εἰσαχθῆναι κατεδέξω σαρκί.

Δόξα, καὶ νῦν. ἦχος α'.

Σήμερον ὁ πάλαι τῷ Μωσῇ ἐν Σινᾷ.

Ζήτει εἰς τὴν Ἑορτήν. Τροπ. τῆς Ἑορτῆς.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. καὶ β΄. στιχολογίαν, τὰ Καθίσματα. καὶ ὁ Κανὼν τῆς Ἑορτῆς.

Εἰς τὸν στίχον τῶν Αἴνων. στιχηρὰ ἦχος πλ. β΄.

Τριήμερος ἀνέστης.

Ὑπόδεξαί φησι Συμεὼν, τὸν Κτίστην τῶν ἀπαύστων χερσὶν, ὦ Πρεσβύτα, ἀγκαλίζου τὸν Χριστόν· ὃν ἡ Παρθένος Κόρη, ἐγέννησεν ἀσπόρως, εἰς ἀγαλλίασιν τοῦ γένους ἡμῶν.

Στίχ. Νῦν ἀπολύεις.

Τοῦ νόμου ποιητὴν καὶ Θεὸν, ὃν φρίττουσιν Ἀγγέλων πληθὺς, συνελθόντες, ἀνυμνήσωμεν λαοὶ, τὸν μόνον εὐεργέτην, καὶ νόμου νομοδότην, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Στίχ. Φῶς εἰς ἀποκάλυψιν.

Νῦν ἀπολύεις Δέσποτα, τὸν δοῦλόν σου ὡς ἄρηκας, ἐν εἰρήνῃ, ὅτι εἶδόν σε Χριστὲ, τὸ φῶς τὸ πρὸ αἰώνων, δεσμοῦμε τοῦ σαρκίου, εἰς ἀποκάλυψιν ἐθνῶν Ἰσραήλ.

Δόξα, καὶ νῦν, ἦχος πλ. β΄.

Ὁ ἐν χερσὶ πρεσβυτικαῖς τὴν σήμερον ἡμέραν.

Ζήτει εἰς τοὺς Αἴνους τῆς Ἑορτῆς.

Μηνὶ τῷ αὐτῷ δ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰσιδώρου τοῦ Πηλουσιώτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ ε΄.

Τῆς Ἁγίας Μάρτυρος Ἀγάθης. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἁγίαν Γυναῖκα Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ς΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Βουκόλου Ἐπισκόπου Σμύρνης. ζήτει εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ ζ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παρθενίου Ἐπισκόπου Λαμψάκων· καὶ τοῦ Ὁσίου Λουκᾶ, τοῦ ἐν τῷ Στειρίῳ τῆς Ἑλλάδος. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην, καὶ εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ Η΄.

Τοῦ Ἁγίου Μεγαλομάρτ. Θεοδώρου τοῦ Στρατηλάτου, καὶ τοῦ Ἁγίου Προφήτου Ζαχαρίου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ὁ στρατιώτης Χριστοῦ, ὁ προπωσάμενος ἐχθροῦ τὴν παράταξιν, τῷ ὅπλῳ τῆς εὐσεβείας, ὁ τῶν πιστῶν στηριγμὸς, ὁ πολλαῖς βασάνοις ὠνησάμενος, Θεοῦ τὴν οὐράνιον, Βασιλείαν Θεόδωρε· ἐν ᾗ χορεύων, καὶ μεθέξει θεούμενος, καὶ λαμπόμενος καθαραῖς διαδόσεσι. μέμνησο τῶν τιμώντων σου, τὴν μνήμην τὴν εὔδοξον, καὶ προσκυνούντων ἐν πίστει, τὴν τῶν λειψάνων σου λάρνακα. ἀφ᾽ ἧς ἀναβλύζεις, τοῖς αἰτοῦσιν ἀφθονίαν, καὶ μέγα ἔλεος.

Χαίροις ἡ ἱερὰ κεφαλὴ, τῶν ἀθλοφόρων τὸ σεπτὸν ἀκροθίνιον, ὁ κόσμος τῆς Ἐκκλησίας, ὁ καθαιρέτης ἐχθροῦ, δωρεῶν ἐνθέων ὁ ἐπώνυμος. λαμπτὴρ, τὴν ὑφ᾽ ἥλιον, καταυγάζων τοῖς θαύμασι. στύλος ὁ μέγας, διαμείνας ἀσάλευτος, ταῖς προσρήξεσι, τῶν ἀπείρων κολάσεων, λόγχῃ τῆς καρτερίας σου, ὁ κτείνας τὸν δράκοντα· ὁ ἀριστεύσας μεγάλως, ὡς στρατιώτης ἀήττητος. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Ὅπλῳ τοῦ ζωηφόρου Σταυροῦ, τὴν τῶν εἰδώλων συντριβὴν ἐργασάμενος. μαστίγων ὑπέστης πεῖραν, καὶ ἐπὶ ξύλου παθὼν, ἀπαραγμοὺς παμμάκαρ ἐκαρτέρησας. ὑφ᾽ ὧν συντριβόμενος, καὶ λαμπάσι φλεγόμενος, Σταυρῷ ὑψώθης, τιτρωσκόμενος βέλεσι. καὶ τὰ ὄμματα, ὑπ᾽ αὐτῶν ἐκτυφλούμενος. ὅθεν σε μακαρίζομεν, καλῶς ἐναθλήσαντα, καὶ οὐρανίων στεφάνων, ἐπιτυχόντα Θεόδωρε. Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Καὶ τοῦ Προφήτου, ζήτει εἰς Προφήτην.

Δόξα, ἦχος πλ. α΄.

Σήμερον ἀνέτειλεν ὑπὲρ τὸν Ἑωσφόρον, ἡ σεβάσμιος μνήμη τοῦ ἀθλοφόρου Χριστοῦ· τῶν πιστῶν τὰς καρδίας, ἀοράτως φωτίζουσα, καὶ τὰ νέφη τῶν ψυχῶν ἀποδιώκουσα, τῇ ἐνεργείᾳ καὶ χάριτι τοῦ Πνεύματος. πρὸς ὃν φιλομάρτυρες ἀνακράξωμεν· χαίροις ὁ τοῖς πιστοῖς ἀναδειχθεὶς, θεοδώρητος χάρις, καὶ τῶν θαυμάτων τὰ πλήθη ἐφαπλῶν, τοῖς εἰς σὲ προστρέχουσι Θεόδωρε μακάριε. Χριστὸν ἀπαύστως πρεσβεύων μὴ ἐλλίπῃς, τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν πάνσεπτον μνήμην σου.

Καὶ νῦν. Ὁ αὐτός.

Ἐρευνᾶτε τὰς γραφάς.

Ζήτει εἰς τὴν Ἑορτήν. Εἰς τὸν στίχον στιχηρὰ προσόμοια τῆς Ἑορτῆς. καὶ λέγε οἷα βούλει.

Δόξα, ἦχος πλ. δ΄.

Τὸν τοῦ Θεοῦ δωρεῶν ὡς ἐπώνυμον, καὶ τῆς αὐτοῦ κληρονόμον μακαριότητος, πάντες εὐφημήσωμεν πιστοὶ, καὶ μακαρίσωμεν ἐπαξίως,

ξίως, Θεόδωρον τὸν γενναῖον μεγαλομάρτυρα, τῆς Οἰκουμένης τὸν ὑπέρμαχον. πρεσβεύει γὰρ Χριστῷ τῷ Θεῷ, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Ὁ αὐτός.

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος.

Ζήτει εἰς τὴν Ἑορτήν. Τροπάριον, ἦχος δ΄.

Στρατολογίᾳ ἀληθεῖ ἀθλοφόρε, τοῦ οὐρανίου στρατηγὸς Βασιλέως, περικαλλὴς γεγένησαι Θεόδωρε. ὅπλοις γὰρ τῆς πίστεως, παρετάξω ἐμφρόνως. ϗ κατεξωλόθρευσας, τῶν δαιμόνων τὰ στίφη· ϗ νικηφόρος ὤφθης ἀθλητής· ὅθεν σε πίστει ἀεὶ μακαρίζομεν.

Τοῦ Προφήτου, ἦχος β΄.

Τοῦ Προφήτου σου τὴν μνήμην Κύριε.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολογίαν. Κάθισμα. ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ὁ Μεγαλώνυμος Χριστοῦ ἀθλοφόρος, ὁ ἐπιπόθητος Θεῷ ϗ Ἀγγέλοις, ὁ θαυμαστὸς ϗ ἔνδοξος Θεόδωρος, πάσας τὰς ὑφ᾽ ἥλιον, ἱερὰς Ἐκκλησίας, σήμερον τῷ Πνεύματι, τῷ Ἁγίῳ εὐφραίνει. ϗ ἑορτάζειν πάντας ἐν χαρᾷ, παρασκευάζει αὐτοῦ τὸ μνημόσυνον.

Ἕτερον τῆς Ἑορτῆς. Κατεπλάγη Ἰωσήφ.

Ἐν τῷ ὄρει τῷ Σινᾶ, πάλαι κατεῖδε Μωϋσῆς, τὰ ὀπίσθια Θεοῦ, ϗ ἀμυδρῶς θείας φωνῆς, κατηξιώθη ἐν γνόφῳ τε ϗ θυέλλῃ. νῦν δὲ Συμεὼν, τὸν σαρκωθέντα Θεὸν, ἀτρέπτως δι᾽ ἡμᾶς ἐνηγκαλίσατο. ϗ γεγηθὼς ἐπείγετο, τῶν τῇδε, πρὸς τὴν ζωὴν τὴν αἰώνιον. διὸ ἐβόα· Νῦν ἀπολύεις, τὸν δοῦλόν σου Δέσποτα.

Εἰς τὴν β΄. στιχολογίαν. Κάθισμα. ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος.

Θησαυρὲ τῶν αἰώνων, ἡ ζωὴ τῶν ἁπάντων, δι᾽ ἐμὲ νηπιάσας, ὑπὸ Νόμον ἐγένου. ὁ πάλαι χαράξας ἐν πλαξὶ, τὸν Νόμον ἐν τῷ ὄρει τῷ Σινᾶ. ἵνα πάντας ἀπαλλάξῃς, ἐκ τῆς τοῦ Νόμου πάλαι δουλείας. δόξα τῇ εὐσπλαγχνίᾳ σου Σωτήρ. Δόξα τῇ Βασιλείᾳ σου. δόξα τῇ Οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε. Δίς.

Ὁ Κανὼν τῆς Ἑορτῆς, εἰς ς΄. ϗ τῶν Ἁγίων ἀνὰ τεσσάρων. ὁ Κανὼν τοῦ Ἁγίου Θεοδώρου, φέρων ἀκροστιχίδα τήνδε. Φερώνυμον δῶρόν σε τοῦ Θεοῦ σέβω. ἄνευ τῶν Θεοτοκίων.

Ὠδὴ α΄. ἦχος πλ. δ΄. Ἁρματηλάτην.

Φερωνυμίᾳ θεολήπτου κλήσεως, καλλωπιζόμενος, ϗ δωρεῶν θείων, θησαυρὸς δεικνύμενος· ϗ μαρτυρίου χάριτι, μάκαρ κεκοσμημένος, τοὺς ὑμνητάς σου χαρίτωσον, ὕμνοις σε τιμῶντας Θεόδωρε.

Ἔργῳ ϗ λόγῳ σου τὴν θεοδώρητον, κλῆσιν πιστούμενος, τὰς δωρεὰς νέμεις, δωρεὰν τοῖς χρήζουσι. δώρημα πᾶν γὰρ τέλειον, ἄνωθεν καταβαῖνον, ἐκ τοῦ Πατρὸς προσδεχόμενος, ἅπαντας πλουτίζεις τιμῶντάς σε.

Ῥώμην θεόθεν νηπιόθεν, Πάνσοφε, λαβὼν ϗ σύνεσιν, πάθη σαρκὸς πάντα, πρότερον ϗ δαίμονας, ἀνδρείως καταβέβληκας. ὕστερον δὲ καθεῖλες, ἐχθρῶν τυράννων τὸ φρύαγμα, μάκαρ συμμαχίᾳ τοῦ Πνεύματος.

Ὡς ἐντρεχὴς ϗ νουνεχὴς ϗ φρόνιμος, κατεσοφίσω σοφῶς, τὸν σοφιστὴν μάκαρ, τῆς κακίας ῥήμασι, καὶ πράγμασι Λικίνιον, ἐδελέασας δείξας, νεκροῖς ξοάνοις λατρεύοντα, ϗ κεναῖς ἐλπίσι τρεφόμενον. Θεοτ.

ΗΙκός μοι δίδου Θεοτόκε ἄχραντε, τῷ καταφεύγοντι, ὑπὸ τὴν σὴν σκέπην, τῶν δεινῶν ἐξαίρουσα, ἀεί με ταῖς πρεσβείαις σου. ϗ γὰρ τέτοκας Λόγον, τὸν τῷ Πατρὶ συναΐδιον, ὁμοῦ τε τῷ Πνεύματι σύνθρονον.

Καὶ τοῦ Προφήτου τὸν Κανόνα, ζήτει εἰς Προφήτην. Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Νεανίας ὡραῖος, πανευπρεπὴς δέδειξαι, κάλλει καταλλήλως ἐμπρέπων, ψυχῆς ϗ σώματος, ὡραϊζόμενος, τῶν ἀρετῶν εὐμορφίᾳ, ϗ μαρτύρων στίγμασι καλλωπιζόμενος.

Ὑπὸ θείας προνοίας, ὁδηγηθεὶς ἔνδοξε, τρίβον μαρτυρίου Δεσπότου, τοῦ τὴν καρδίαν σου Μάκαρ πλατύναντος, ταῖς δωρεαῖς τῶν χαρίτων, καὶ πρὸς τὴν οὐράνιον κλῆσιν ἰθύναντος.

Μεγαλόφρονι γνώμῃ, περιφρονῶν πάνσοφε, πάντων τῶν ἡδέων τοῦ Κόσμου, ϗ τῶν τοῦ βίου τερπνῶν, ἀδεῶς προέκρινας, τῆς τοῦ Σωτῆρος ἀγάπης. ἀλλ᾽ αὐτὸν ἐπόθησας ψυχῆς εὐθύτητι. Θεοτοκίον.

Ἱκέτευσε μόνην, τὴν τὸν Θεὸν τέξασαν, τὸν εἰς εὐλογίαν, κατάραν τὴν πρὶν ἀμείψαντα. ϗ χρηματίσαντα, ὑπὲρ ἀνθρώπων κατάραν, Κόρη Παντευλόγητε, καὶ Κόσμον σώσαντα.

Κάθισμα. ἦχος πλ. δ΄. Τὴν Σοφίαν ϗ Λόγον.

Θείαν πανοπλίαν ἀναλαβὼν, ϗ εἰδώλων τὴν πλάνην καταβαλὼν, Ἀγγέλους διήγειρας εὐφημεῖν τοὺς ἀγῶνάς σου. τῷ γὰρ θείῳ πόθῳ, τὸν νοῦν πυρπολούμενος, τοῦ ἐν πυρὶ

θανάτου, γενναίως κατετόλμησας. ὅθεν φερωνύμως, τοῖς αἰτοῦσί σε νέμοις, τὰ θεῖα δωρήματα, ἀθλοφόρε Θεόδωρε. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Τῆς Ἑορτῆς, ὁ αὐτός. Αὐλῶν ποιμενικῶν.

Ἐπέχθης ἐπὶ γῆς, ὁ προάναρχος Λόγος. προσήχθης τῷ Ναῷ, ὁ ἀκατάληπτος. χαίρων δὲ ὁ Πρεσβύτης, ἐν ταῖς ἀγκάλαις σὲ ὑπεδέξατο· κράζων Νῦν ἀπολύεις, ὃν ἐπεσκέψω κατὰ τὸ ῥῆμά σου· ὁ εὐδοκήσας σῶσαι ὡς Θεὸς, τὸ γένος τῶν ἀνθρώπων.

Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Ὁ πρὸς Θεὸν, πόθος σου πᾶσαν ἠμαύρωσε, προσπαθείας, ὕλην Παμμακάριστε, δόξαν τερπνὴν, πλοῦτον καὶ τρυφὴν· καὶ περιφανείας, τὸ περιβόητον ὕψωμα· ἐντεῦθεν ἀνυψώθης, πρὸς περίβλεπτον ὕψος, μαρτυρίου καὶ δόξαν ἀμάραντον.

Νόμῳ καινῷ, ζωοποιοῦντι τῷ πνεύματι, πεφραγμένος, νόμον ἀνομώτατον, παρανομούντων νεανικῶς, ἀνέτρεψας μάκαρ· διὸ νομίμως ἐνήθλησας· καὶ στέφος ἀνεδήσω, τὸ τῆς δικαιοσύνης, ἐκ χειρὸς τοῦ Δεσπότου Θεόδωρε.

Δῶρον Θεοῦ, δέδοσαι Κόσμῳ φερώνυμον· δῶρον θεῖον, δῶρον ἀξιέραστον, δῶρον πλουτίζον πάντα πιστόν· δῶρον δεχομένοις, γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα· τὸ πᾶσι καταπέμπον, καταλλήλως τὰς δόσεις, καὶ πληροῦν τὰς αἰτήσεις τῶν δούλων σου.

Ὡς μιμητὴς, τοῦ προσπαγέντος ἐν ξύλῳ Χριστοῦ, μετὰ πᾶσαν αἰκίαν τοῦ σώματος, μετὰ πολλὰς στρέβλας καὶ ποινὰς, τὰς τῶν μιαιφόνων, χριστομιμήτως ἐπάθης Σταυρῷ· καὶ βέλεσιν ἐτρώθης, καὶ δεινῶς συνεκόπης, ἀλλ' ἐρρύσθης ἐκ τούτων δυνάμει Χριστοῦ.

Στ.

Κἀλλοποιὸν, καὶ γῆς Δεσπότην κυήσασαν, ἀπορρήτῳ, τόκῳ κατὰ χρέος σε, πάντες πιστοὶ, γλώσσῃ καὶ ψυχῇ, Κόσμου Βασιλίδα, καὶ Δέσποιναν ὀνομάζομεν. διὸ τῆς τυραννούσης, πονηρᾶς συνηθείας, ἐλευθέρωσον τοὺς σὲ γεραίροντας.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ῥητορείας τὴν δόξαν, εὔδοξε Θεόδωρε σὺν παρρησίᾳ πολλῇ, τοῦ σαρκὶ παθόντος, καὶ θανάτῳ τὸν θάνατον λύσαντος· καὶ μαστίγων πεῖραν, πολλῶν λαβὼν λύσσῃ Τυράννου, στεφανηφόρος καταδίκην ὑπήνεγκας.

Ὁ λοτρόπῳ προθέσει, Σταύρωσιν ἑκούσιον Χριστοῦ μιμούμενος· τὴν αὐτὴν ὑπέστης, τιμωρίαν Σταυροῦ προσηλούμενος· ἀντὶ δὲ τῆς λόγχης, βελῶν πολλῶν πληγὰς ἐδέξω, ὀφθαλμοὺς σου τὰς κόρας ἐξορυττόμενος.

Νικηφόρος ὡράθης, ἄρτιος ὁλόκληρος μετὰ τὴν σταύρωσιν, καὶ τὴν ἄλλην πᾶσαν, τῶν μελῶν συγκοπήν τε καὶ νέκρωσιν· ὁ νικήσας Κόσμον, σὲ γὰρ Χριστὸς χειρὶ Ἀγγέλου, ὡς ζωῆς ἀρχηγὸς ἀνεζώωσε.

Συνιδόντα τὰ πλήθη, τὸ ἐν σοὶ γενόμενον θαῦμα Θεόδωρε, τὴν φωνὴν ἐπῆραν, μεγαλύνοντα Χριστοῦ τὴν δύναμιν· τοῦ δὲ λυμεῶνος, καὶ ἀλαζόνος Λυκινίου, στηλιτεύοντα λύσσαν τὴν ἄλογον.

Θεοτοκίον.

Ὃν τέτοκας Κόρη, τὸ φῶς τὸ αἰώνιον τοῖς ἀνυμνοῦσί σε, τὸν Χριστὸν ἀσπόρως, σωματώσασα, ὃν ἐξιλέωσαι, τοῦ σωθῆναι πάντας, ἐκ πειρασμῶν τοῦ ἀλλοτρίου, Παναγία Παρθένε Θεόνυμφε.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἐξέλαμψας ἀρεταῖς, καὶ διδαχαῖς διὰ βίου σου, ἐξήστραψας δὲ λαμπροῖς, ἀγῶσι Θεόδωρε· καὶ νῦν περιβόητος, ἐν θαυματουργίαις, καὶ θερμὸς προστάτης πέφηνας.

Τοῖς κάμνουσιν ἰατρὸς, τοῖς αἰχμαλώτοις ἀνάρρυσις· μεσίτης ἁμαρτωλοῖς, ὑπευθύνοις ἄφεσις, πενθοῦσι παράκλησις, πρὸς Θεοῦ ἐδόθης, συμπαθέστατε Θεόδωρε.

Οὐκ ἔστι κόρος τῶν σῶν, καλῶν ἀπείρων Θεόδωρε, οὐδὲ τῆς σῆς καλλονῆς, σταθμὸς ἰσοστάσιος· διὸ τὸν διάπυρον, πόθον μου προσδέχου, χορηγῶν μοι χάριν ἄφθονον.

Στ.

Ἀμψάτω νῦν ἐπ' ἐμὲ, ἡ ἄφατος εὐσπλαγχνία σου, βυθοῦ με ἁμαρτιῶν, καὶ τῆς ἀπογνώσεως, Κόρη ἀπαλλάττουσα, καὶ πρὸς μετανοίας, τοὺς λιμένας ἐμβιβάζουσα.

Κοντάκιον, ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἀνδρείᾳ ψυχῆς, τὴν Πίστιν θωρακισάμενος, καὶ ῥῆμα Θεοῦ, ὡς λόγχην χειρισάμενος, τὸν ἐχθρὸν κατέτρωσας, τῶν Μαρτύρων μέγιστε Θεόδωρε, σὺν αὐτοῖς Χριστῷ τῷ Θεῷ πρεσβεύων μὴ παύσῃ, ὑπὲρ πάντων ἡμῶν.

Ὁ Οἶκος.

Τῶν Ἀθλητῶν τὸ ἔκλαμπρον κάλλος, δεῦτε πάντες τοῖς ὕμνοις τῶν στεφάνων πιστοί, Θεόδωρον καταστέψωμεν· δῶρον Θεοῦ γὰρ μέγα τῷ Κόσμῳ ἀναδέδεικται, λάμψεσι ταῖς

τῶν θαυμάτων. τὸν γὰρ ἐχθρὸν ἐκνικήσας βελίαρ ἄθλοις σεπτοῖς, ὀμβρίζει ἀντὶ αἱμάτων, κρουνηδὸν ἰαμάτων τὰ ῥεύματα. σὺν τούτοις οὖν πᾶσι χαίρει Χριστῷ, καὶ δίδωσιν εἰρήνην ἀνέκλειπτον. διὸ βοῶμεν αὐτῷ· πρεσβεύων μὴ παύσῃ ὑπὲρ πάντων ἡμῶν.

Μηνὶ τῷ αὐτῷ η΄. Μνήμη τοῦ Ἁγίου ἐνδόξου μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου.

Στίχ. Ὢν Θεόδωρος ἀξίαν Στρατηλάτης.
Ὑπῆρξε τμηθεὶς τοῦ Θεοῦ Στρατηλάτης.
Ὄμβριμον ὀγδοάτῃ Θεοδώρου αὐχένα κόψαν.

Οὗτος κατὰ τοὺς χρόνους ἦν Λικινίου τοῦ Βασιλέως, τὸ γένος ἕλκων ἐκ τῶν Εὐχαΐτων, τὴν δὲ οἴκησιν ποιούμενος ἐν τῇ πρὸς Πόντον Ἡρακλείᾳ. Κάλλει δὲ ψυχῆς, καὶ ὥρᾳ σώματος, καὶ κράτει λόγων, τῶν πολλῶν ὑπερεῖχε. Πάντες δὲ ἐφιλοτιμοῦντο τὴν αὐτοῦ φιλίαν καρποῦσθαι. Ταύτῃ τοι καὶ Λικίνιος περὶ πολλοῦ ἐποιεῖτο συντυχεῖν αὐτῷ. καίπερ ἀκούσας Χριστιανὸν αὐτὸν εἶναι, καὶ τοὺς λεγομένους Θεοὺς βδελύττεσθαι. Διὸ καί τινας ἐκ Νικομηδείας τῆς αὐτοῦ τάξεως ἀποστείλας, ἐντίμως ἀγαγεῖν αὐτοῖς τὸν Μάρτυρα προσέταξεν. Ὡς δὲ ὑπέστρεψαν, τὸν μακάριον Θεόδωρον λέγοντες αὐτὸν ἀπαιτεῖν, ὡς χρὴ τὸν Βασιλέα μᾶλλον παραγενέσθαι μετὰ τῶν μαζόνων αὐτοῦ Θεῶν, εὐθὺς τὸν Βασιλέα ἐν Ἡρακλείᾳ ἄγειν. Ὁ δὲ Ἅγιος Θεόδωρος ὄψεσι νυκτεριναῖς θεόθεν αὐτῷ ἐκπεμφθείσαις προθυμοποιηθεὶς, ἐπεὶ τὸν Λικίνιον ἤδη πλησιάζοντα ἐπύθετο, ἐπικαθεσθεὶς ἵππῳ, ὑπήντησεν αὐτῷ, καὶ τὰ ἄκρα τούτου ἐτίμησεν. Ὁ δὲ δεξιὰν αὐτῷ δοὺς, καὶ κατασπασάμενος, εἰσελθὼν ἐν τῇ Πόλει, καὶ ἐφ' ὑψηλοῦ βήματος προκαθίσας, τὸν μακάριον Θεόδωρον προετρέπετο, τοῖς ἑαυτοῦ Θεοῖς θυσίαν προσενεγκεῖν. Ὁ δὲ Ἅγιος τοὺς ἐπισημοτέρους Θεοὺς ἐξαιτησάμενος, ὡς ἂν αὐτοὺς οἴκοι πρότερον θεραπεύσας, αὖθις δημοσίᾳ προσαγάγῃ αὐτοῖς σπονδάς. Ἐπεὶ δὲ κελεύσαντος τοῦ Βασιλέως, τοὺς χρυσοῦς καὶ ἀργυροῦς ἔλαβε, κατὰ τὸ μέσον τῆς νυκτὸς συνέτριψεν αὐτούς· καὶ λεπτύνας, τοῖς ἐνδεέσι καὶ πένησι δέδωκε. Μεθ' ἡμέραν δὲ Μαξεντίου τοῦ Κομενταρισίου ἐπιόντος, ἰδεῖν τὴν κεφαλὴν τῆς μεγάλης Θεᾶς Ἀρτέμιδος, ὑπὸ πτωχοῦ τινὸς περιφερομένην, εὐθέως ἀνάρπαστος ὑπὸ τῶν δορυφόρων ὁ Ἅγιος γίνεται, τοῦ Λικινίου ἐξάπτοντος. καὶ πρῶτον μὲν ἀποδυθεὶς, ἐκ τεσσάρων ὁ Ὅσιος τείνεται, καὶ νεύροις βοῶν κατὰ τῶν νώτων πληγὰς ἑξακοσίας δέχεται, καὶ πεντήκοντα κατὰ τῆς γαστρός· καὶ σφαίραις μολυβδίναις κατὰ τοῦ τένοντος τύπτεται. Εἶτα ξέεται, λαμπάσι καταφλέγεται, ὀστράκοις τὰς ἑλκομένας καὶ κεκαυμένας πληγὰς ἀνατρίβεται, καὶ ἐν τῇ εἱρκτῇ ἀπορρίπτεται, τοὺς πόδας ἀσφαλισθεὶς ἐν τῷ ξύλῳ. Διαμείνας δὲ ἀπόσιτος ἐν αὐτῇ ἐπὶ ἡμέρας ἑπτὰ, αὖθις ἐξάγεται, καὶ σταυρῷ καταπήγνυται χεῖρας καὶ πόδας. Καὶ περόνην κατὰ τοῦ κρυφίου πόρου δέχεται, καὶ μέχρι τῶν ἐγκάτων ἐν τῷ διελαύνεσθαι φθάσασαν. Περιεστήκασαν δὲ καὶ παῖδες τοξεύοντες τὸν Ἅγιον κατὰ τοῦ προσώπου, καὶ τῶν ὀφθαλμῶν αὐτοῦ. ταῖς δὲ βολίσι τῶν βελῶν τῶν κρουόντων κατὰ τῶν ὀφθαλμῶν, ἐξέπεσον αἱ κόραι τῶν ὀφθαλμῶν αὐτοῦ. Ἕτεροι δὲ ἐγκαρσίοις τομαῖς κατὰ τῶν κεκρυμμένων μορίων διελάσαντες, τὰ σπερμογόνα συνεξέτεμον μέλη. Ἐν δὲ τῷ σταυρῷ τὴν νύκτα διαγαγόντος, ἐνόμισεν ὁ Λικίνιος ὅτι ἤδη τεθνήκει. ἠπατᾶτο δέ· ὑπὸ γὰρ θείου Ἀγγέλου ἀπελύθη τῶν δεσμῶν, καὶ ὅλος γέγονεν ὑγιὴς, καὶ ἦν ψάλλων, καὶ εὐλογῶν τὸν Θεόν. Ἤδη δὲ τῆς ἡμέρας διαφαινούσης, ἀπέστειλεν ὁ Λικίνιος τοῦ ἆραι τὸ τοῦ Μάρτυρος σῶμα, καὶ ῥῖψαι ἐν τῇ θαλάσσῃ. Φθάσαντες οὖν οἱ σταλέντες, καὶ ὡς εἶδον τὸν Ἅγιον ἔτι ἐμπνέοντα, καὶ ὅλον ὑγιῆ, ἐπίστευσαν τῷ Χριστῷ, ἄνδρες ὄντες τὸν ἀριθμὸν ὡσεὶ πέντε καὶ ὀγδοήκοντα. Καὶ μετὰ τούτους ἕτεροι τριακόσιοι στρατιῶται, ὧν ἐξηγεῖτο ὁ Ἀνθύπατος Κέστης. οἵτινες ἐπὶ τῇ ἀναιρέσει τῶν πρώτων σταλέντες, καὶ αὐτοὶ ἐπίστευσαν τῷ Χριστῷ. Ἰδὼν δὲ ὁ Λικίνιος τὴν Πόλιν θορυβουμένην, ἐκέλευσε τὴν κεφαλὴν τοῦ Ἁγίου ἀποτμηθῆναι. ἔνθα δὴ ἐστήκασαν τῶν Χριστιανῶν πλήθη πάμπολλα, καὶ διεκώλυον αὐτούς. Μόλις οὖν ὁ Ἅγιος καταπαύσας αὐτοὺς, καὶ τῷ Χριστῷ ἐπευξάμενος, τέμνεται τὴν κεφαλὴν, τὸν δρόμον τοῦ μαρτυρίου τελέσας. Μετετέθη δὲ ἀπὸ τῆς Ἡρακλείας ἐν τοῖς Εὐχαΐτοις, ἐν τῷ γονικῷ αὐτοῦ οἰκήματι, καθὼς Αὐγάρῳ τῷ ταχυγράφῳ αὐτοῦ ὁ Μάρτυς διεκελεύσατο. Ὃς πᾶσαν αὐτοῦ τὴν ἄθλησιν συνὼν αὐτῷ, καὶ τὰς κατὰ μέρος πεύσεις καὶ ἀποκρίσεις, καὶ τὰ ποικίλα τῶν βασάνων εἴδη, καὶ τὰς θεόθεν ἐπιστασίας

καὶ

καὶ ἀντιλήψεις, πλατύτερον διεχάραξεν ἐν τῷ Μαρτυρίῳ αὐτοῦ.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Ὑψούμενον Κύριον, ἐπὶ τοῦ ξύλου καὶ καταῤῥάσαντα, τὸν μεγάλαυχον ὄφιν, κατανοήσας συμμορφώθης αὐτῷ. Χριστομιμήτως καὶ Σταυρὸν καὶ θάνατον, ὑπενεγκὼν ἀθλητά, συνεξανέστης αὐτῷ.

Θεῶσαι Θεόδωρε, τῆς ἀκηράτου δόξης θερμὸν ἐραστήν, ἐγνωκὼς τῷ σῷ πόθῳ, ὁλοκαρδίως ψυχὴν προσέδησα, τὴν προσδοκίαν πᾶσαν τῆς ἐλπίδος μου, ἀνατιθεὶς ἐπὶ σοί, μὴ ὑπερίδῃς με.

Ἐδόξασας Κύριον, τοῖς μέλεσί σου ἐνδοξαζόμενον, ἐν βουλαῖς τῶν Ἁγίων, τὸν σὲ μεγάλως ἀντιδοξάσαντα, τερατουργίαις καὶ ποικίλοις θαύμασι, καὶ περιόντα τῇ γῇ, καὶ μετὰ τέλος σοφέ. Θεοτοκίον.

Ἅγιον τὸν Ἅγιον, τέτοκας μόνη Θεοχαρίτωτε, ἀποῤῥήτῳ κυήσει· καὶ γὰρ Παρθένος ἔμεινας ἄχραντε, ὡς πρὸ τοῦ τόκου· διό σοι κραυγάζομεν, τὴν τοῦ Ἀγγέλου φωνήν, Εὐλογημένη Ἁγνή.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ὁ Συμεὼν Λυκίνιος, ὁ λυσσώδης καὶ βέβηλος, ὅλον ἑαυτὸν ὁλοτελῶς τοῖς δαίμοσιν, ἐκδοὺς ὑποβάλλει σε, τιμωριῶν ποικίλων ποιναῖς· νῶτον καὶ τὸ στῆθος, τοῖς βουνεύροις συγκόπτων, ἐν σφαίραις μολυβδίναις, τὸν αὐχένα συντρίβων· πλευρὰς ὄνυξι ξαίνων, καὶ φλέγων ταῖς λαμπάσιν.

Ὑπομονὴν ἀνένδοτον, καρτερίαν ἀνάλωτον, καὶ ὑπερφυῆ ἀνδρείαν ἐνδειξάμενος. ποικίλαις κολάσεσι, καὶ χαλεπαῖς στρεβλώσεσι· πάντων τῶν Μαρτύρων, ὑπερέβης τοὺς ἄθλους. παθῶν δεσποτικῶν δέ, τῷ Σταυρῷ κοινωνήσας, καὶ πλέον ὑπομείνας, μειζόνως ἐδοξάσθης.

Σταυρῷ παθὼν Θεόδωρε, τοῦ Χριστοῦ ὑστερήματα, ἐν σαρκὶ οἰκείᾳ, ἐκπληροῖς τῶν θλίψεων. οὐ χεῖρας καὶ πόδας γάρ, μόνον προσηλώθης καρτερῶς, ἀλλὰ καὶ περόνῃ, σιδηρᾷ διεπάρης, τὸ κρύφιόν σου μέλος, ἐκτμηθεὶς τοὺς διδύμους· καὶ βέλεσιν ὀμμάτων, ἐξορυχθεὶς τὰς κόρας. Θεοτοκίον.

Οὐρανομήκη κλίμακα, νοητὴν σε γινώσκομεν· δι' ἧς καταβάς, μετὰ σαρκὸς ὁ Ὕψιστος, ἀνθρώποις ὡμίλησε, καὶ πάντας ἀνύψωσε, πρὸς τὴν ὑψηλὴν, τῶν Οὐρανῶν πολιτείαν. ἐντεῦθεν ἀνωτέραν, Οὐρανῶν καὶ Ἀγγέλων, καὶ πάντων ποιημάτων, τιμῶμέν σε Παρθένε.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἐξέστη τῶν Ἀγγέλων δῆμος τὴν σήν, Στρατηλάτα τηρῶν γενναιότητα· πᾶς ὁ παρών, ὄχλος κατεπλάγη τότε τὰς σάς, ἀνδραγαθίας εὔδοξε· ἔφριξε δαιμόνων ἡ στρατιά. τὰ σὰ τρόπαια νῦν δέ, κροτεῖ Κόσμος τὰ γέρα, καὶ πᾶς πιστὸς ὑμνεῖ τὰ θαύματα.

Βοᾶται παρὰ πάσης σχεδὸν πνοῆς, τὰ πολλά σου καὶ μέγιστα τρόπαια, τὰ ἐπὶ σοί, τέρατα δειχθέντα καὶ διὰ σοῦ· ἡ ἐκ νεκρῶν ἀνέγερσις, ἡ ὁλοκληρία ἐκ συντριβῆς· ἡ ῥῶσις τῶν νοσούντων, ἡ λύσις τῶν δεσμίων, καὶ τῶν ἐν θλίψει ἡ παράκλησις.

Ὡς ἔχων παῤῥησίαν πρὸς τὸν Χριστόν, ὑπὲρ οὗ ποινὰς πάσας ὑπήνεγκας, μέχρι τομῆς, καύσεως θανάτου τε καὶ Σταυροῦ, ἐγκαρτερῶν Θεόδωρε, αἴτησαι συγγνώμην ἡμῖν κακῶν· τῷ Κόσμῳ τὴν εἰρήνην, νίκας τοῖς Βασιλεῦσι, καὶ σωτηρίαν τοῖς τιμῶσί σε. Θεοτ.

Ὑψώθη ἐδοξάσθη γένος βροτῶν, καὶ τιμῆς ἠξιώθη τῆς κρείττονος, διὰ τῆς σῆς, Κόρη συγγενείας καὶ θεϊκῆς, Υἱοθεσίας ἔτυχε, τῇ σῇ μεσιτείᾳ καὶ γὰρ Θεός, ὡράθη σαρκοφόρος, ἐκ σοῦ ἀῤῥήτῳ τρόπῳ, ἄτρεπτος μείνας τῇ Θεότητι.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Μεγαλομάρτυς εὔδοξε, τοῦ Χριστοῦ Στρατηλάτα, καὶ θεῖον ἐγκαλλώπισμα, τῶν σεπτῶν ἀθλοφόρων, Θεόδωρε γενναιόφρον, μὴ ἐλλίπῃς πρεσβεύειν, τῷ Βασιλεῖ τὰ τρόπαια, καὶ εἰρήνην τῷ Κόσμῳ, καὶ ἱλασμὸν τῶν ἁμαρτημάτων, καὶ σωτηρίαν, τοῖς ἐκτελοῦσι Πάνσοφε, τὴν φωσφόρον σου μνήμην.

Εἶτα Θεοτ. Η΄ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, στιχ. δ΄. προσόμοια, ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἀθλητὴς γενναιότατος, Στρατιώτης ἀήττητος, ἐν Ἁγίῳ Πνεύματι ἀναδέδειξαι. καταβαλὼν τὸν πολέμιον, σοφίᾳ τῶν λόγων σου, καὶ τῶν ἔργων σου σοφέ, καρτεραῖς ἐπιδείξεσιν· ὅθεν εἴληφας, τοὺς στεφάνους τῆς νίκης, καὶ ταῖς ἄνω, ὁμηγύρεσι συνήφθης, κλέος Μαρτύρων Θεόδωρε. Δίς.

Καὶ Σταυρῷ ἀναρτώμενος, καὶ τὰς σάρκας τυπτόμενος, ὀξυτάτοις βέλεσι τιτρωσκόμενος, καὶ ἐπὶ ξύλου τεινόμενος. καὶ πλευ-

ρὰς ξεόμενος, καὶ παντοίαις χαλεπαῖς, ἀλγηδόσι κυκλούμενος, ἀπαράτρωτος, καὶ ἀήττητος ὤφθης τῇ δυνάμει, τοῦ Σταυροῦ προσηλωθέντος, κλέος Μαρτύρων Θεόδωρε.

Θεῖον ἄγαλμα γέγονας, εὐσεβείας πανόλβιε, δυσσεβῶν ἀγάλματα βδελυξάμενος, καὶ ἱερεῖον ὁλόκληρον, καὶ θῦμα εὐπρόσδεκτον τῷ τυθέντι διὰ σέ, καθαρὸν προσαγόμενος, τῷ δοξάσαντι, τὴν ἁγίαν σου μνήμην, καὶ θαυμάτων, θησαυρόν σε τοῖς ἐν Κόσμῳ, δωρησαμένῳ Θεόδωρε. Δόξα, ἦχος πλ.

Ἀθλητικὴν ἀνδρείαν εὐσεβῶς καθοπλισθείς, ἀθλοφόρε Χριστοῦ, καὶ λογικὴν λατρείαν, μυστικῶς ὑπερμαχῶν τῇ δυνάμει αὐτοῦ, τῶν εἰδώλων τὸ ἀσεβές, καὶ τῶν τυράννων τὸ ἀπηνές, ἀσθενὲς ἀπέδειξας, καταφρονῶν τῶν βασάνων, καὶ τοῦ προσκαίρου πυρός. ἀλλ' ὦ θείων δωρεῶν, καὶ πρᾶγμα καὶ ὄνομα, ἀπὸ πάσης περιστάσεως, τῇ πρεσβείᾳ σου σῷζε, τοὺς ἐκτελοῦντας τὴν μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον. ἢ τῆς Ἑορτῆς.

Εἰς τὸν στ. στ. τῆς Ἑορτῆς. Δόξα, ἦχος πλ.

Ἀθλητικὸν συστησάμενος στάδιον, κατὰ τῆς πλάνης ἐνδραγάθησας Θεόδωρε. τῇ πυριφθόγγῳ γλώττῃ σου, κατήσχυνας Λικινίου τὸ ἀπάνθρωπον. διὸ καὶ σὺν Ἀγγέλοις χορεύων μακάριε, αἴτησαι Χριστῷ τῷ Θεῷ, ὅπως ἵλεως γενήσεται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Καὶ νῦν. Θεοτοκίον, ἢ τῆς Ἑορτῆς.

Εἰς τὴν Λειτουργίαν, ζήτει εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ Θ'.

Τοῦ Ἁγίου Μάρτυρος Νικηφόρου. Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ Ἑορτή, ἐὰν οὐκ ἔστι τεσσαρακοστή. καὶ ψάλλομεν ταῦτα τῆς Ἑορτῆς. ὁ δὲ Ἅγιος ψάλλεται ἐν τοῖς Ἀποδείπνοις. καὶ ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα. Μηνὶ τῷ αὐτῷ Ι'.

Τοῦ Ἁγίου Μάρτυρος Χαραλάμπους· ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ΙΑ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Βλασίου Ἀρχιεπισκόπου Σεβαστείας. Ἦχος α'.

Τῶν οὐρανίων Ταγμάτων.

Ἐν τῇ ἀσκήσει βλαστήσας, Ὅσιε Βλάσιε, ἱερωσύνης δόξῃ, ὥσπερ φοίνιξ δικαίως, ἠξιώθης παμμάκαρ, καρπὸς θεϊκός, μαρτυρίου προσάγων Θεῷ, τὴν τῶν εἰδώλων κατάλυσιν ἐμφανῶς, καὶ ἀνθρώπων τὴν οἰκείωσιν.

Ὡς προμηθέα σε πάντων, ὑμνοῦμεν Βλάσιε, καὶ λογικῶν θρεμμάτων, καὶ ἀλόγων πασχόντων· πάντας γὰρ ἰσχύεις, θεράπων Χριστοῦ, εὐεργετεῖν καὶ ἰᾶσθαι πιστούς. τὴν γὰρ τοῦ Πνεύματος χάριν πεπλουτηκώς, δαψιλεύεις τὰ θαυμάσια.

Χριστὸς τὸ ζῆν σοι παμμάκαρ, καὶ τὸ θανεῖν ἀληθῶς, κέρδος ἐδείχθη πιστά, κατὰ Παῦλον τὸν μέγαν, Βλάσιε θεόφρον, ἐπεὶ δι' αὐτόν, προθυμότατα τέθνηκας. καὶ σὺν αὐτῷ βασιλεύεις διαπαντός, εἰς ζωὴν τὴν ἀτελεύτητον. Δόξα, ἦχος πλ. β'. Τοῦ Στουδίτου.

Βλαστήσας ἐν τῇ ἀσκήσει τῶν θείων ἀρετῶν, φερωνύμως Βλάσιε, ἠξιώθης δαβιτικῶς, ὥσπερ φοίνιξ ἐν ταῖς αὐλαῖς Κυρίου, καὶ ὡσεὶ κέδρος, ἐπληθύνθης τοῖς κατορθώμασιν. ὡς ἄμπελος δὲ εὐθηνοῦσα ἐν οἴκῳ Θεοῦ, τῷ καιρῷ τοῦ μαρτυρίου τεμνόμενος, βασάνων ποιναῖς, ἐκ καρποῦ τῶν ἀγώνων σου, ἔβλυσας ἡμῖν οἶνον νοητόν· ἐξ οὗ πιόντες, εὐφροσύνης ἐνθέου τὰς καρδίας πλησθείημεν. καὶ συμφώνως συνελθόντες, ἐν τῇ σεβασμίᾳ μνήμῃ τῆς σῆς τελειώσεως, μακαρίζοντες εὐφημοῦμέν σε. αἰτούμενοι λαβεῖν διὰ σοῦ τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν, Θεοτοκίον. ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου.

Δόξα, ἦχος δ'. Βυζαντίου.

Ὡς καλὸς παιδοτρίβης, καὶ Διδάσκαλος τῆς εὐσεβείας, τῇ ἐνεργείᾳ καὶ δυνάμει τῶν θείων λόγων σου, γυναῖκας φιλοθέους ὑπήλειψας πρὸς ἀγῶνας μαρτυρικούς, τὸ ἀσθενὲς τῆς φύσεως αὐτῶν, ῥωννύων ἐν Χριστῷ. μεθ' ὧν τὸν δρόμον τῆς ἀσκήσεως, καλῶς τετελεκώς, εἰς νυμφῶνα οὐράνιον φαιδρῶς συναγάλλῃ, διπλῷ στεφάνῳ τῆς θείας δόξης σεμνυνόμενος, καὶ ἐξαιτούμενος σὺν αὐταῖς, τὴν εἰρήνην ἡμῖν δοθῆναι, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν, Θεοτοκίον. ἢ Σταυροθ.

Τροπάριον, ἦχος δ'. Καὶ τρόπων μέτοχος.

Εἰς τὸν Ὄρθρον, ζήτει τὸν Κανόνα εἰς Ἱερομάρτυρα. Μηνὶ τῷ αὐτῷ ΙΒ'.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μελετίου Ἀρχιεπισκόπου Ἀντιοχείας τῆς μεγάλης· ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ ιγ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαρτινιανοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ ιδ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Αὐξεντίου. ζήτει εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ ιε΄.

Τοῦ Ἁγίου Ἀποστόλου Ὀνησίμου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀπόστολον.

Μηνὶ τῷ αὐτῷ ιϛ΄.

Τοῦ Ἁγίου Μάρτυρος Παμφίλου, καὶ τῶν σὺν αὐτῷ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ ιζ΄.

Τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τύρωνος. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιη΄.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Λέοντος Πάπα Ῥώμης. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ ιθ΄.

Τοῦ Ἁγίου Ἀποστόλου Ἀρχίππου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀπόστολον.

Μηνὶ τῷ αὐτῷ κ΄.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Λέοντος Ἐπισκόπου Καταύνης. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ κα΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Τιμοθέου τοῦ ἐν συμβόλοις. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ κβ΄.

Ἡ εὕρεσις τῶν λειψάνων τῶν Ἁγίων Μαρτύρων τῶν ἐν τοῖς Εὐγενίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ κγ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Πολυκάρπου Ἐπισκόπου Σμύρνης. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Τῷ αὐτῷ Μηνὶ ΚΔ΄.

Ἡ Εὕρεσις τῆς τιμίας Κεφαλῆς τοῦ Ἁγίου Προφήτου, Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

Εἰ μὲν οὐκ ἔστι Μ. Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν τὰ προσόμοια τοῦ Προδρόμου γ΄. δευτεροῦντες αὐτά. Εἰδὲ ἔστι Μ. ἱστῶμεν στίχ. ι΄. καὶ ψάλλομεν τὸ ἰδιόμ. τῆς ἡμέρας δίς, καὶ Μαρτυρικόν, καὶ τὰ προσόμοια τοῦ Τριῳδίου· εἶτα τὰ τοῦ Προδρόμου γ΄. δευτεροῦντες τὸ α΄. ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἡ ἱερὰ Κεφαλή, καὶ φωτοφόρος, καὶ Ἀγγέλοις αἰδέσιμος· ἡ ξίφει τμηθεῖσα πάλαι, καὶ τμητικοῖς ἐλεγμοῖς, ἀσελγείας ἄχος διακόψασα. πηγὴ ἡ τοῖς θαύμασι, τοὺς πιστοὺς καταρδεύουσα· ἡ τοῦ Σωτῆρος, τὴν σωτήριον ἔλευσιν, καταγγείλασα· καὶ τὴν ἔπτησιν τοῦ Πνεύματος, πάλαι κατανοήσασα, πρὸς τοῦτον σκιώσασα· τῆς παλαιᾶς τε καὶ νέας, ἡ μεσιτεύσασα χάριτι· Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στάμνῳ ἐγκεκρυμμένη ποτέ, ἡ τοῦ Προδρόμου Κεφαλὴ πεφανέρωται· λαγόνων, ἀνατοθεῖσα, ἐκ τῶν τῆς γῆς ἐμφανῶς, καὶ θαυμάτων ῥεῖθρα ἀναβλύζουσα. καὶ γὰρ ἐν τοῖς ὕδασι, κεφαλὴν ἐναπέλουσε, τοῦ ὑπερφυᾶ, νῦν ῥεγάζοντος ὕδασι, καὶ ὀμβρίζοντος, τοῖς βροτοῖς θείαν ἄφεσιν. ταύτην οὖν μακαρίσωμεν, τὴν ὄντως ἀοίδιμον, καὶ ἐν τῇ ταύτης Εὑρέσει, περιχαρῶς ἑορτάσωμεν· Χριστὸν δυσωποῦσης, τοῦ δωρήσασθαι τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Κάρα ἡ τὸν Ἀμνὸν τοῦ Θεοῦ, ἀνακηρύξασα σαρκὶ φανερούμενον, καὶ πᾶσι τῆς μετανοίας, τὰς σωτηρίους ὁδούς, θείαις ὑποθήκαις βεβαιώσασα. ἡ πρὶν τοῦ Ἡρώδου, παρανομίαν ἐλέγξασα· καὶ διὰ τοῦτο ἐκτμηθεῖσα τοῦ σώματος, καὶ τὴν χρόνιον, ὑποστᾶσα κατάκρυψιν· ὥσπερ φωτοφανὴς ἡμῖν, ἀνέτειλεν Ἥλιος, μετανοεῖτε βοῶσα, καὶ τῷ Κυρίῳ προστίθεσθε, ψυχῆς κατανύξει, τῷ παρέχοντι τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. β΄.

Θησαυρὸς ἐνθέων δωρεῶν, ἡ θεοφρούρητος Κάρα σου Πρόδρομε, ἐκ τῶν τῆς γῆς λαγόνων ἀνέτειλεν. ἣν ἡμεῖς πιστῶς ἀρυσάμενοι, καὶ προσκυνοῦντες ἔνδοξε, πλουτοῦμεν διὰ σοῦ Χριστοῦ Βαπτιστά, θαυμάτων τὰ παράδοξα, καὶ τῶν πταισμάτων τὴν συγχώρησιν.

Καὶ νῦν. Θεοτοκίον.

Εἰ μὲν οὐκ ἔστι Μ. ψάλλομεν ἀπόστιχα τὰ προσόμοια· ζήτει τὸ ἐπαύριον εἰς τὸν Ἑσπερινόν, ἢ τῆς Ὀκτωήχου. Εἰδὲ τύχῃ ἡ ἑβδομὰς τῆς Τυρινῆς, ψάλλομεν τὸ Ἰδιόμελ. τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν, καὶ αὖθις τὸ Ἰδιόμελ.

Δόξα, ἦχος β΄.

Ἡ Τῶν θείων ἐννοιῶν πανσεβάσμιος θήκη, καὶ τῆς ἀρρήτου οὐσίας, τρανῶς ἡ προβλέψασα τὸ Μυστήριον Κάρα σου· ὡς ἐκ λαγόνων

μητρικῶν, ἐκ τῶν ταμείων τῆς γῆς, σήμερον ἀνατέταλκεν, Ἰωάννη Πανεύφημε· καὶ εὐωδίασε πᾶσαν τὴν ὑφήλιον, ἁγιασμοῦ προχέουσα μύρον, καὶ νοητῶς κηρύττουσα μετανοίας ὁδόν. καὶ τῷ Σωτῆρι τῶν ὅλων πρεσβεύουσα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. ἦχος δ΄.

Ἐκ γῆς ἀνατείλασα ἡ τοῦ Προδρόμου κεφαλὴ ἀκτῖνας ἀφίησι τῆς ἀφθαρσίας, πιστοῖς τῶν ἰάσεων. ἄνωθεν συναθροίζει, τὴν πληθὺν τῶν Ἀγγέλων. κάτωθεν συγκαλεῖται, τῶν ἀνθρώπων τὸ Γένος, ὁμόφωνον ἀναπέμψαι, δόξαν Χριστῷ τῷ Θεῷ.

Τὸ αὐτὸ, καὶ εἰς τὸ Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολ. τῆς Ὀκτωήχου, οἱ Ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου.

Προκείμενον, ἦχος δ΄.

Τίμιος ἐναντίον Κυρίου.

Στ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Κεφ. ιδ. 1. Τῷ καιρῷ ἐκείνῳ, ἤκουσεν Ἡρώδης ὁ Τετράρχης τὴν ἀκοὴν Ἰησοῦ, καὶ εἶπε τοῖς παισὶν αὐτοῦ. Οὗτός ἐστιν Ἰωάννης ὁ Βαπτιστής· αὐτὸς ἠγέρθη ἀπὸ τῶν νεκρῶν, καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ. Ὁ γὰρ Ἡρώδης κρατήσας τὸν Ἰωάννην, ἔδησεν αὐτὸν, καὶ ἔθετο εἰς φυλακὴν, διὰ Ἡρωδιάδα τὴν Γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης· Οὐκ ἔξεστί σοι ἔχειν αὐτήν. καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς Προφήτην αὐτὸν εἶχον. Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρώδου, ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ, καὶ ἤρεσε τῷ Ἡρώδῃ. Ὅθεν μεθ᾽ ὅρκου ὡμολόγησεν αὐτῇ δοῦναι, ὃ ἐὰν αἰτήσηται. Ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς Μητρὸς αὐτῆς, δός μοι, φησὶν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Καὶ ἐλυπήθη ὁ Βασιλεύς. διὰ δὲ τοὺς ὅρκους, καὶ τοὺς συνανακειμένους, ἐκέλευσε δοθῆναι αὐτῇ. Καὶ πέμψας ἀπεκεφάλισε τὸν Ἰωάννην ἐν τῇ φυλακῇ, καὶ ἠνέχθη ἡ κεφαλὴ αὐτοῦ ἐπὶ πίνακι, καὶ ἐδόθη τῷ Κορασίῳ· καὶ ἤνεγκε τῇ Μητρὶ αὐτῆς. Καὶ προσελθόντες οἱ Μαθηταὶ αὐτοῦ, ἦραν τὸ σῶμα, καὶ ἔθαψαν αὐτό. καὶ ἐλθόντες ἀπήγγειλαν τῷ Ἰησοῦ· Καὶ ἀκούσας ὁ Ἰησοῦς, ἀνεχώρησεν ἐκεῖθεν ἐν πλοίῳ εἰς ἔρημον τόπον κατ᾽ ἰδίαν. Καὶ ἀκούσαντες οἱ ὄχλοι, ἠκολούθησαν αὐτῷ πεζῇ ἀπὸ τῶν Πόλεων.

Εἶτα ὁ Ν΄. Δόξα. Ταῖς τοῦ σοῦ Προδρόμου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου. Εἶτα τὸ Ἐλέησόν με ὁ Θεός. Τὸ ἰδιόμ. ἦχος β΄.

Ἡ τῶν θείων ἐννοιῶν πανσεβάσμιος.

Ὁ Κανὼν τοῦ Προδρόμου μετὰ τῶν Εἱρμῶν εἰς ϛ΄. καὶ τὰ Τετρῴδια τῆς ἡμέρας, εἰς τὴν τάξιν αὐτῶν. Ὁ Κανών.

Ὠδὴ α΄. ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ.

Λευκῇ εὐφήμῳ τῇ γλώττῃ καὶ πανσθενεῖ, κροτουμένῃ Πνεύματι, ἐκ χειλέων ῥυπαρῶν, τὴν τοῦ Λόγου Πρόδρομον φωνὴν, ἐν ᾠδαῖς πνευματικαῖς, πιστοὶ δοξάσωμεν.

Εἰρηνικῇ καταστάσει γαλήνιᾳ, καὶ ἀπείροις πλήθεσιν, Ἐκκλησία τοῦ Χριστοῦ, ἀσαλεύτως κυμαίνεται τῶν σοὶ, τὴν ἐτήσιον ᾠδὴν, βοώντων Πρόδρομε.

Ἣν πρὸς Θεοῦ δεξαμένην ὡς θησαυρὸν, ἡμῖν ἀναφαίρετον, Θεοφόρων κορυφὴν, τοῦ Προδρόμου ἅπαντες ᾠδαῖς, ἐπαξίως πανδημεὶ, πιστοὶ τιμήσωμεν. Θεοτοκίον.

Ὃν ἑαυτῆς δεξαμένη Δημιουργὸν, ὡς αὐτὸς ἠθέλησεν, ἐξ ἀσπόρου σου γαστρὸς, ὑπὲρ νοῦν σαρκούμενον Ἁγνὴ, τῶν κτισμάτων ἀληθῶς, ἐδείχθης Δέσποινα.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ἀστὴρ στραπτούσα βλαστὸν, ὡς προσήνεγκε θεῖον, τῆς ἐθνῶν Ἐκκλησίας, εὐκλεῆ Νυμφαγωγὸν, Χριστοῦ τοῦ ὄντως Θεοῦ, καὶ Νυμφίου ταύτην μνηστευόμενον.

Ἣν σὴν θεόφθογγον φωνὴν, Πρόδρομε Ἰωάννη, οὐ δὲ ξίφει ἐπέσχεν, ἡ ἀθλία μοιχαλίς. τὴν θείαν κάραν σου ἡμῖν, ἐμφανίζεις, κάραν τὴν ὑπόγαιον.

Πανηγυρίζουσα φαιδρῶς, ἡ ποθοῦσά σε Πόλις, εὐωχεῖται ὡς ὄλβον, εὑραμένη μυστικὸν, καὶ κρήνην ἀνελλιπῆ ἰαμάτων, Πρόδρομε τὴν κάραν σου. Θεοτοκίον.

Οὐ θέας τόκου σου Ἁγνὴ, πᾶσαν φύσεως, τάξιν, ὑπερβαίνει τὸ θαῦμα. Θεὸν γὰρ ὑπερφυῶς, συνέλαβες ἐν γαστρὶ, καὶ τεκοῦσα, μένεις Ἀπαρθένος.

Ὁ Εἱρμός. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ὠδὴ δ΄. ἦχος δ΄. Ὁ ὑψωθείς.

Ἀναδοθεῖσα ὡς χρυσὸς ἐκ μετάλλων, ἡ ἱερά σου κεφαλὴ παραδόξως, ἐκ τῶν



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

ἀδύτων κόλπων γῆς, ἐπλούτισε πιστῶν, ἅπασαν διάνοιαν, ἐπιγνώσεως θείας· νῦν μετανοήσατε, ἐκβοῶσα συνήθως· ἣν προσκυνοῦντες Πρόδρομε Χριστοῦ, μεγαλοφώνως ἐν πίστει δοξάζομεν.

Δόξα, ἦχος πλ. δ'. Τὸ προσαχθέν.

Οὐ Βαπτιστοῦ ἡ Κεφαλὴ κατεκρύπτετο, ὡς μαργαρίτης ἐν τῇ γῇ ἐπὶ ὑδρίας. καὶ ὡς λύχνος θεόφωτος ἀγλαϊζομένη, ἐκλάμπει θαυματουργοῦσα Κόσμῳ παντί· ὡς ὄρθρος ἐξανατέλλων παμπρεπὴς, τοῦ Ἡλίου ὁ Πρόδρομος· καὶ ἀνεσπέρῳ φωτὶ, μηνύων πάλαι ἡμῖν· ἴδε κραυγάζει, ὁ Ἀμνὸς τοῦ Θεοῦ.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ προσαχθὲν μυστικῶς λαβὼν ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ αὐδὴ ἐπέστη, ὁ Ἀσώματος λέγων τῇ ἀπειρογάμῳ· ὁ κλίνας τῇ καταβάσει τοὺς Οὐρανοὺς, χωρεῖται ἀναλλοιώτως ὅλως ἐν σοί. ὃν καὶ βλέπων ἐν μήτρᾳ σου, λαβόντα δούλου μορφὴν, ἐξίσταμαι κραυγάζειν σοι· χαῖρε Νύμφη ἀνύμφευτε.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Ἧς πάλαι γέγονας σφραγὶς Πανόλβιε, ἐμφανῶς διαθήκης καὶ Προφητῶν, πέρας ἐχρημάτισας. καὶ νυμφοστόλος δὲ σεπτὸς, τῆς καινῆς ἐδείχθης Πρόδρομε.

Ῥιχίνοις ῥάκεσι συνήθως Πρόδρομε, τὴν τιμίαν ἠνέχου καὶ εὐκλεῆ, Κάραν σου καλύπτεσθαι, βασιλικῆς ἁλουργίδος, ὡς ἐσθῆτι ἀγαλλόμενος.

Ἡ αἴγλη Πρόδρομε τοῦ θείου Πνεύματος, τὴν τιμῶσάν σε Πόλιν διηνεκῶς, πρέσβευε φαιδρύνεσθαι· καὶ ἐν τῇ θείᾳ σου μνήμῃ, σὺν Ἀγγέλοις ἐπαγάλλεσθαι.

Θεοτοκίον.

Νεκρόν με ἔδειξε φυτοῦ ἀπόγευσις· τῆς ζωῆς δὲ τὸ ξύλον ἐκ σοῦ φανὲν, Πάναγνε ἀνέστησε· καὶ Παραδείσου τῆς τρυφῆς, κληρονόμον με κατέστησεν.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου.

Οὐκ ἔφυς κάλαμος Βαπτιστὰ, ταῖς παρασιακαῖς τοῦ δυσμενοῦς, αὔραις ἀλλὰ ῥιπιζόμενος. πύργος δὲ τοῦ θείου λαοῦ ἀκράδαντος. δυνάμει Ἡλίου γὰρ, ὤφθης καὶ Πνεύματος.

Ὁ τὴν θεότητα ἀθετῶν, καὶ κατασμικρύνων τὴν δόξαν, τοῦ ὑπὸ σοῦ βαπτισθέντος Χριστοῦ, τήν τε θείαν χάριν, σοῦ νοσφιζόμενος, ἐνδίκως περιβόλων, θείων ἀπείργεται.

Ἠνέῳξας ἀφθόνου θείας πηγῆς, τοῖς ὑμνοῦσί σε πόθῳ, ἀοίδιμε Πρόδρομε. χάριτος τῆς θείας, βλυζούσης νάματα, καὶ ῥεῖθρα ἰαμάτων, πάντας εὐφραίνοντα.

Θεοτοκίον.

Φοροῦσα κάλλος τὸ νοητὸν, τῆς ὡραιοτάτης σου ψυχῆς, Νύμφη Θεοῦ ἐχρημάτισας, κατεσφραγισμένη τῇ παρθενίᾳ σεμνή. καὶ φέγγει τῆς ἁγνείας, Κόσμον φαιδρύνουσα.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Προφήτην σε ἔφησεν, ἡ ἀλήθεια Χριστὸς, καὶ Προφητῶν ὑπέρτερον, Βαπτιστά τε καὶ Πρόδρομε τῆς ζωῆς. αὐτὸν γὰρ ἑώρακας, ὃν Προφῆται, καὶ νόμος προκατήγγειλαν.

Οὐκ ἔφερε κρύπτεσθαι, τῶν θαυμάτων ἡ πηγὴ, ὁ θησαυρὸς τῆς χάριτος, ἡ ἀοίδιμος Κάρα σου Βαπτιστὰ, Προφῆτα καὶ Πρόδρομε. ἀλλ' ὀφθεῖσα, προχέει ἰαμάτων πηγάς.

Πανόλβιον καύχημα, καὶ ἀγλάϊσμα φαιδρὸν, καὶ θυρεὸν σωτήριον, ἡ φιλόχριστος αὕτη καὶ εὐκλεὴς, προβάλλεται Πόλις σου, τὴν σεπτήν σου, καὶ θείαν Κάραν Πρόδρομε.

Θεοτοκίον.

Ὁ Μέγας προέγραψεν, ἐν Προφήταις Μωϋσῆς, σὲ Κιβωτὸν καὶ Τράπεζαν, καὶ λυχνίαν καὶ στάμνον συμβολικῶς, σημαίνων τὴν σάρκωσιν, τὴν ἐκ σοῦ τοῦ Ὑψίστου Μητροπάρθενε.

Ὁ Εἱρμός. Τοῦ βίου τὴν θάλασσαν.

Κοντάκιον, ἦχος β'. Τὰ ἄνω ζητῶν.

Προφῆτα Θεοῦ, καὶ Πρόδρομε τῆς χάριτος, τὴν Κάραν τὴν σὴν, ὡς ῥόδον ἱερώτατον, ἐκ τῆς γῆς εὑράμενοι, τὰς ἰάσεις πάντοτε λαμβάνομεν· καὶ γὰρ πάλιν ὡς πρότερον, ἐν Κόσμῳ κηρύττεις τὴν μετάνοιαν.

Ὁ Οἶκος.

Ἐκ τοῦ Κυρίου τὴν μαρτυρίαν ἀληθῶς Ἰωάννη ὑπὲρ πάντας βροτοὺς, ὑπέρτερος ἐχρημάτισας. ὅθεν ἐπαίνους τῶν ἐγκωμίων προσενέγκαι σοι δέδοικα. ἀλλὰ πόθῳ ἐκβιασθεὶς, τὴν ᾠδὴν ἐγχειρῆσαι τετόλμηκα. διὸ μὴ ἀπαξιώσῃς, συνεργός μοι γενέσθαι Πανεύφημε· ἵνα ἰσχύσω στεφανῶσαί σου κορυφὴν τὴν ἁγίαν τρισόλβιε. καὶ γὰρ σὺ ἐν Κόσμῳ, κηρύττεις τὴν μετάνοιαν.

Τῇ αὐτῇ Μηνὶ κδ'. Ἡ Εὕρεσις τῆς τιμίας Κεφαλῆς τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου.

Ἐκ γῆς προφαίνει Πρόδρομος σεπτὴν Κάραν,
Καρπὸς παρανῶν, ἀξίως ποιῶν πάλιν.
Ὁ βαπτίσας πρὶν ὑδάτων πηγαῖς ὄχλους,
Γῆθεν φανεὶς, βάπτιζε πηγαῖς θαυμάτων.
Εἰκοστῇ Προδρόμοιο φάνη Κάρη ἀμφὶ τετάρτῃ.

Ἡ Τιμία αὕτη, καὶ Ἀγγέλοις αἰδέσιμος Κεφαλὴ, πρῶτον μὲν εὑρέθη κατ' εὐδοκίαν καὶ ἐπιφάνειαν τοῦ Ἁγίου Ἰωάννου τοῦ Προδρόμου, ὑπὸ δύο τιμίων Μοναχῶν ἐν τῇ οἰκίᾳ Ἡρῴδου, ἐλθόντων εἰς Ἱερουσαλὴμ, εἰς προσκύνησιν τοῦ τάφου τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐκ δὲ τῶν Μοναχῶν τούτων λαβὼν αὐτὴν Κεραμεύς τις, εἰς τὴν Ἐμεσηνῶν ἤγαγε Πόλιν. Αἰσθόμενος δὲ εὐπραγίας τινὸς δι' αὐτῆς ὁ Κεραμεὺς, διαφερόντως ἐτίμα αὐτήν. Εἶτα μέλλων τελευτᾶν, τῇ ἰδίᾳ ταύτην κατέλιπεν Ἀδελφῇ, ἐπειπών· μὴ κινεῖν αὐτὴν, μηδὲ ἀνακαλύπτειν, ἀλλὰ μόνον τιμᾶν. Καὶ μετὰ τὴν τῆς γυναικὸς τελευτὴν, πολλοὶ ταύτην κατὰ διαδοχὴν ἐδέξαντο. Ἔσχατον δὲ εἰς Εὐστάθιον τινὰ Μοναχὸν καὶ Πρεσβύτερον περιῆλθε, τῆς τῶν Ἀρειανῶν ὄντα κακοδοξίας· ὃς ἀπελαθεὶς τοῦ σπηλαίου, ἐν ᾧ κατῴκει, παρὰ τῶν Ὀρθοδόξων, διὰ τὸ καπηλεύειν τὰς ἐκ τῆς τιμίας Κάρας ἰάσεις, καὶ ἐπιγράφεσθαι αὐτὰς τῇ κακοδοξίᾳ αὐτοῦ, κατὰ θείαν οἰκονομίαν, κατέλιπεν ἐν τῷ σπηλαίῳ τὴν τοῦ θείου Προδρόμου Κάραν. Καὶ ἦν ἐν αὐτῷ κρυπτομένη μέχρι τῶν Μαρκέλλου χρόνων, ὄντος Ἀρχιμανδρίτου ἐπὶ τῆς Βασιλείας Οὐαλεντινιανοῦ τοῦ νέου, καὶ Οὐρανίου Ἐπισκόπου Ἐμέσης. Τότε δὲ πολλῶν ἀποκαλυφθέντων περὶ αὐτῆς, εὑρέθη οὖσα ἐν ὑδρίᾳ· καὶ παρὰ τοῦ Ἐπισκόπου Οὐρανίου εἰσήχθη ἐν τῇ Ἐκκλησίᾳ, πολλὰς ἰάσεις καὶ θαύματα ἐνεργήσασα. Τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἐν τῷ Ἁγιωτάτῳ αὐτοῦ Προφητείῳ, τῷ ὄντι ἐν τοῖς Φωρακίου.

Ὠδὴ ζ'. Δροσοβόλον μέν.

Ὁ τῆς Παρθένου βλαστός σε ὑπὲρ ἅπαντας, ἔφη ἐν γεννητοῖς γυναικῶν· ὡς γὰρ ἄσαρκος, καὶ ἰσάγγελος ἐπὶ τῆς γῆς, αὐτῷ πεπολίτευσαι βοῶν· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὃν ἐν νηδύϊ παρθενικῇ σκιρτήσαντα, ἔγνως σαρωτικῆς ἐκ γαστρός. καὶ χρησάμενος τῇ μητρῴᾳ Πρόδρομε φωνῇ, σκιρτῶν ἀνεκραύγαζες αὐτῷ· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἐμακαρίσθαι ὡς ἀληθῶς ἐν πόλεσιν, αὕτη νῦν πανάοιδιμε, κτησαμένη σε, πολιοῦχον Πρόδρομε Χριστοῦ. διὸ ἑορτάζουσα βοᾷ· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Λίαν σοῦ Μῆτερ Παρθένε φῶς ἀνέτειλε, πάσῃ τῇ Οἰκουμένῃ φαιδρόν. σὺ γὰρ τὸν Κτίστην τῶν ἁπάντων τέτοκας Θεόν· ὃν αἴτησαι Πάναγνε ἡμῖν, καταπεμφθῆναι τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ἡ Μεγάλη βοῶντος φωνὴ ὁ Πρόδρομος, ταῖς ἐρήμοις καρδίαις, τὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ, Πίστιν εὐσεβῆ ἐγκεντρίζων τοῦ ὄντως Θεοῦ. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἑτοιμάσατε φάσκει καὶ νῦν ὁ Πρόδρομος, τοῦ Κυρίου τὴν τρίβον δι' ἁγιότητα. οὗτος γὰρ ἐλθὼν, σὺν Πατρὶ καὶ τῷ Πνεύματι, ταῖς ἡμῶν καρδίαις, οἰκήσει εἰς αἰῶνας.

Ψῆ φωνῇ ἀκοὴν μὲν τὴν τοῦ Γεννήτορος, ὀφθαλμοὺς δὲ τῇ θέᾳ τοῦ θείου Πνεύματος, ὅλως δὲ ἀφῇ, Ἰωάννης ὁ Πρόδρομος, σὲ χειροθετήσας, Χριστὲ θεοφορεῖται.

Θεοτοκίον.

Χρυσαυγῆ σε λυχνίαν προδιετύπωσε, δεξαμένην ἀφράστως φῶς τὸ ἀπρόσιτον, γνῶσιν τῇ αὐτοῦ, καταυγάζον τὰ σύμπαντα. ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις.

Σαφῶς τῆς πλήρους δεκάδος Πρόδρομε, τῶν ἐντολῶν σὺ φύλαξ, ἐνισχύων γενόμενος, καταλλήλως πρὸς Χριστοῦ τετίμησαι, χαρισμάτων δεκάδι. ὅθεν τοῦ Πνεύματος, μύστην τε καὶ φίλον σε, εἰδότες μακαρίζομεν.

Χριστοῦ Προφήτης τε καὶ Ἀπόστολος, Ἄγγελός τε καὶ Πρόδρομος τῆς θείας σαρκώσεως, Βαπτιστὴς καὶ Ἱερεὺς καὶ Μάρτυς πιστός. Κῆρυξ τε τοῖς ἐν ᾅδῃ σὺ ἐχρημάτισας. καὶ τοῖς παρθενεύουσι Κανὼν, καὶ τῆς ἐρήμου Βλαστός.

Ψυχῆς τὸ ἄπιστον δογματίζεται, ἱερουργοῦ χειρὸς, νενεκρωμένης τῷ θαύματι. βλαστησάσης αὖθις δὲ τῆς πίστεως, καὶ τῆς σῆς ἐκφανθείσης Κάρας μακάριε, ἡ καταποθεῖσα παλάμη ἀνακαινίζεται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοτοκίον.

Πάθων ἰάματα ἀρυσώμεθα, τῷ ἀκλεεῖ τεμένει τοῦ Προδρόμου προστρέχοντες. ἐν αὐτῷ γὰρ πάρεισιν Ἀγγέλων χοροί, πνευμάτων τε δικαίων, πάντων ἡ Δέσποινα, σὺν τῷ Βαπτιστῇ Ἰωάννῃ ἰάσεις νέμουσα.

Ὁ Εἱρμός. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ἐξαποστειλ. Τοῖς Μαθηταῖς.

Λαμπροφανὴς ἀνέτειλεν, ἡ τιμία σου Κάρα, ἐκ τῶν ἀδύτων κόλπων γῆς, Πρόδρομε Ἰωάννη, λύχνε φωτὸς τοῦ ἀΰλου. ἧς τὴν Εὕρεσιν πόθῳ, τελοῦντες δυσωποῦμέν σε, τῶν δεινῶν ἄρδην λύσιν, ϗ τὸν καιρόν, ἀμαρῶς ἀνύσαι τῆς ἐγκρατείας, πρεσβείαις σου Πανεύφημε, Βαπτιστὰ τοῦ Σωτῆρος.

Θεοτοκίον. Ὅμοιον.

Ψυχαγωγεῖται Πάναγνε, τῶν πιστῶν ἡ θεόφρων, ὁμήγυρις λατρεύουσα, καὶ πιστῶς ἀνυμνοῦσα, σὲ Θεοτόκον κυρίως. ταῖς πρεσβείαις σου ὅθεν, τῶν νηστειῶν τὸν δίαυλον, δὸς ἡμῖν ἐκτελέσαι, θεοπρεπῶς. καὶ Σταυρὸν τὸν τίμιον προσκυνῆσαι, ϗ Πάθη τὰ σωτήρια, τοῦ Υἱοῦ ϗ Θεοῦ σου.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν, στίχ. δ'. ϗ ψάλλομεν στιχ. προσόμοια, ἦχος δ'.

Ἔδωκας σημείωσιν.

Ἤνοιξε προπύλαια, τῆς ἐγκρατείας ἡ πάνσεμνος, Κεφαλή σου πανεύφημε, καὶ τροφὴν προέθηκεν, ἡδυτάτην πᾶσι, θείων χαρισμάτων. ὧνπερ μετέχοντες πιστῶς, τὸ τῆς νηστείας τραχὺ γλυκαίνομεν. ϗ πίστει εὐφημοῦμέν σε, ϗ ἐκβοῶμεν Χριστῷ τῷ Θεῷ· Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν. Δίς.

Ὑρὰ ὥσπερ νάματα, ἡ Κεφαλὴ ἀποστάζουσα, τοῦ Προδρόμου ἀένναα, ϗ τραπέζῃ σήμερον ἀποτεθειμένη, μυστικῇ ϗ θείᾳ, εὐωδιάζει νοητῶς, ϗ ἀηδίαν ἐλαύνει θλίψεων. καὶ εὐφροσύνης ἅπαντας, πληροῖ τοὺς πόθῳ κραυγάζοντας· Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἔτεμεν ἡ Κάρα σου, καθάπερ ξίφος τομώτερον, κεφαλὰς ἀνομούντων ἐχθρῶν. ϗ ἴαμα ἔβλυσεν, εὐνομοῦσι πᾶσι, τῶν θείων χαρίτων. ϗ διὰ τοῦτό σε πιστῶς, ἀνευφημοῦμεν φίλον ϗ Πρόδρομον, Ἰωάννη τοῦ κτίσαντος, ϗ ἐκβοῶμεν αὐτῷ ἐκτενῶς· Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος πλ. β'.

Τὴν πανσεβάσμιον Κάραν τοῦ Βαπτιστοῦ σου Κύριε, φανερωθεῖσαν σήμερον ἐκ γῆς, μετὰ φωνῆς αἰνέσεως, ἀρυσάμενοι πιστῶς εἰς πρεσβείαν φιλάνθρωπε, οἱ ἐπταικότες δοῦλοί σου, προσάγοντες αἰτούμεθα, δι' αὐτῆς ἐπιτυχεῖν, ἐν ἡμέρᾳ κρίσεως, παρὰ σοῦ τὸν ἱλασμόν, ϗ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Τριήμερος ἀνέστης.

Φιλάγαθε Θεὲ ϗ Σωτήρ, τοὺς δούλους σου περίσωζε, ἀπὸ πάσης περιστάσεως δεινῆς, πρεσβείαις τοῦ Προδρόμου, ϗ πάντων τῶν Ἁγίων, ϗ τῆς Μητρός σου ταῖς ἐντεύξεσιν.

Ἀπόστ. τὸ ἰδιόμ. τῆς ἡμέρας. εἶτα τοῦ Ἁγίου.

Δόξα, ἦχος πλ. β'.

Ἡ πρώην ἐπὶ πίνακος, τὸ τοῦ Ἡρώδου ἄθεσμον μῖσος ἐλέγξασα, τὴν δὲ μετάνοιαν πᾶσι κηρύξασα πιστοῖς, τιμία Κεφαλὴ τοῦ Βαπτιστοῦ σου Κύριε, ἐκ τῶν ταμείων τῆς γῆς ἀναφανεῖσα, πρόκειται, τοῖς πιστῶς προσιοῦσιν αὐτῇ, ϗ ἁπτομένοις ἐν φόβῳ, ϗ προσκυνοῦσι πόθῳ ψυχῆς, βραβευομένη λύσιν πταισμάτων, τῶν αἰτημάτων παρέχει τὰ ἐπίπονα, ϗ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος. Εἶτα, τό.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ.

Ποιοῦμεν δὲ μετανοίας μεγάλας γ'. Συνάπτομεν δὲ ϗ τὴν α'. Ὥραν, ϗ στιχολογοῦμεν ἀνὰ μετανοιῶν, ϗ ποιοῦμεν μετανοίας μεγάλας γ'. Οὕτως οὖν γίνεται, ἐὰν ἐστὶ τεσσαρακοστή. εἰ δὲ οὐκ ἔστι Μ'. εἰς τοὺς Αἴνους τὸ δοξαστικόν, ϗ τὸ ἑξῆς. Δοξολογία μεγάλη, ϗ ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, Τυπικά, ϗ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου, Ὠδὴ γ'. ϗ ς'.

Κοινωνικόν. Εἰς μνημόσυνον.

Εἰ δὲ ἐστὶ νηστεία, προσκομιδὴ οὐ γίνεται, ἀλλὰ μετὰ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. ϗ ψάλλομεν τὸ ἰδιόμ. τῆς ἡμέρας δίς, ϗ τὸ Μαρτυρικόν, καὶ τὰ προσόμοια τοῦ Τριῳδίου. ϗ εὐθὺς τοῦ Ἁγίου στιχ. προσόμοια γ'.

Δευτεροῦντος ... ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε τὴν τιμίαν Κεφαλήν, τὴν ἀποτμηθεῖσαν τῷ ξίφει, τοῦ Βαπτιστοῦ οἱ πιστοί, σήμερον τιμήσωμεν, ἐν τῇ Εὑρέσει αὐτῆς, ὑπαντῶντες ἐν ᾄσμασι, τιμῶντες ἐκ πόθου, χάριτας προχέουσαν τῶν ἰαμάτων ἡμῖν, ὥσ-

περ, ὁ ληρώδης Ἡρώδης, πάλαι προαπέτεμεν οἴστρῳ, τῇ Ἡρωδιάδι συμπλεκόμενος.

Ὥσπερ ἐκ μετάλλων ὁ χρυσὸς, οὕτως ἐκ τῆς γῆς τοῦ Προδρόμου, ἡ Κεφαλὴ δαδουχεῖ, σάμνῳ διαλάμπουσα, καὶ φθεγγομένη τρανῶς· τοῦ Ἡρώδου ἐλέγχουσα, μοιχείαν καὶ φόνον· αἴγλῃ τε φωτίζουσα, τὰς διανοίας ἡμῶν. Ἣν περ ἀσπαζόμενοι πίστει, σήμερον τιμήσωμεν ὕμνοις, ὡς ὑπὲρ ἡμῶν Θεῷ πρεσβεύουσαν.

Πάλαι, ὥσπερ θεῖος θησαυρὸς, σάμνῳ κεκρυμμένη ἡ Κάρα, τοῦ Βαπτιστοῦ ἐν τῇ γῇ, σήμερον τοῖς τέρασιν ἀποκαλύπτεται. ὥσπερ πλοῦτον προχέουσα, πηγὰς ἰαμάτων· νόσους θεραπεύουσα, ψυχὰς φωτίζουσα. ὅθεν θυμηδίας ἁπάσης, πάντες μετέχοντες ἐν ὕμνοις, χαίρειν τῷ Θεῷ ὁμολογήσωμεν. Δόξα, ἦχος β'.

Ἡ Τῶν θείων ἐννοιῶν πανσεβάσμιος θήκη, καὶ τῆς ἀρρήτου οὐσίας, τρανῶς ἡ προβλέψασα, τὸ Μυστήριον Κάρα σου, ὡς ἐκ λαγόνων μητρικῶν, ἐκ τῶν ταμείων τῆς γῆς, σήμερον ἀνατέταλκεν, Ἰωάννη πανεύφημε· καὶ εὐωδίασε πᾶσαν τὴν ὑφήλιον, ἁγιασμοῦ προχέουσα μῦρον, καὶ νοητῶς κηρύττουσα, μετανοίας ὁδόν· καὶ τῷ Σωτῆρι τῶν ὅλων πρεσβεύουσα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον.

Εἴσοδος, μετὰ τοῦ Εὐαγγελίου, τὸ, Φῶς ἱλαρόν. τὸ Προκείμενον, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας. τὸ, Κατευθυνθήτω.

Καὶ εὐθὺς τὸ, Προκείμενον τοῦ Ἀποστόλου.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πρὸς Κορινθίους β'. Ἐπιστολῆς.

Κεφ. δ. 6. Ἀδελφοὶ, ὁ Θεὸς ὁ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν, πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Θεοῦ, ἐν προσώπῳ Ἰησοῦ Χριστοῦ. Ἔχομεν δὲ τὸν θησαυρὸν τοῦτον ἐν ὀστρακίνοις σκεύεσιν, ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ Θεοῦ, καὶ μὴ ἐξ ἡμῶν. Ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι· ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι. Διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι· καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι. Πάντοτε τὴν νέκρωσιν τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες· ἵνα καὶ ἡ ζωὴ τοῦ Ἰησοῦ ἐν τῷ σώματι ἡμῶν φανερωθῇ.

Ἀλληλούϊα. Δίκαιος ὡς φοίνιξ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, ἀκούσας ὁ Ἰωάννης ἐν Κ ιά
τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Ἰησοῦ, πέμψας δύο τῶν Μαθητῶν αὐτοῦ, εἶπεν αὐτῷ· Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν; Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτοῖς· Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ, ἃ ἀκούετε, καὶ βλέπετε. Τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι· λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσι· νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται. Καὶ μακάριός ἐστιν, ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί. Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου. Τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; Ἰδοὺ, οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν Βασιλέων εἰσίν. Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; Προφήτην; ναὶ λέγω ὑμῖν, καὶ περισσότερον Προφήτου. Οὗτος γάρ ἐστι, περὶ οὗ γέγραπται· Ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν, μείζων Ἰωάννου τοῦ Βαπτιστοῦ. Ὁ δὲ μικρότερος ἐν τῇ Βασιλείᾳ τῶν Οὐρανῶν, μείζων αὐτοῦ ἐστιν. Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ Βαπτιστοῦ ἕως ἄρτι, ἡ Βασιλεία τῶν Οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν· Πάντες γὰρ οἱ Προφῆται, καὶ ὁ Νόμος ἕως Ἰωάννου προεφήτευσαν. Καὶ εἰ θέλετε δέξασθαι, αὐτός ἐστιν Ἠλίας ὁ μέλλων ἔρχεσθαι. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω.

Καὶ καθεξῆς ἡ θεία Λειτουργία τῶν Προηγιασμένων. Καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, καὶ καταλύομεν ἔλαιον καὶ οἶνον, ἀνὰ τῆς πρώτης ἑβδομάδος.

Μηνὶ τῷ αὐτῷ κε'.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ταρασίου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ κς'.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Πορφυρίου Ἀρχιεπισκόπου Γάζης. τὴν Ἀκολουθίαν ζήτει εἰς Ἱεράρχην.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μηνὶ τῷ αὐτῷ κζ´.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Προκοπίου τοῦ Δεκαπολίτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ κη´.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Βασιλείου, συνασκητοῦ τοῦ Ἁγίου Προκοπίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ κθ´.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Κασσιανοῦ τοῦ Ῥωμαίου.

Χρὴ γινώσκειν, ὅτι ὅταν ἐστὶν ὁ χρόνος Βίσεκτος, ψάλλεται ἡ τούτου Ἀκολουθία εἰς τὰς κθ´. εἰ δὲ οὐκ ἔστι Βίσεκτος, ψάλλεται εἰς τὰς κη´. εἰς τὰ Ἀπόδειπνα, καὶ ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

## ΜΗΝ ΜΑΡΤΙΟΣ.

Ἔχων ἡμέρας λα´. ἡ ἡμέρα ἔχει ὥρας ιβ´. καὶ ἡ νὺξ ὥρας ιβ´.

Εἰς τὴν α´. Τῆς Ἁγίας Ὁσιομάρτυρος Εὐδοκίας· τὴν Ἀκολουθίαν ζήτει εἰς Ὁσιομάρτυρα Γυναῖκα.

Μηνὶ τῷ αὐτῷ β´.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Θεοδότου Ἐπισκόπου Κυρηνίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Εἰς τὰς γ´. Τῶν Ἁγίων Μαρτύρων Εὐτροπίου, καὶ τῆς συνοδίας αὐτοῦ· ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Εἰς τὰς δ´. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γερασίμου, ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Εἰς τὰς ε´. Τοῦ Ἁγίου Μάρτυρος Κόνωνος. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Εἰς τὰς ς´. Τῶν Ἁγίων μβ´. Μαρτύρων νεοφανῶν, τῶν ἐν τῷ Ἀμμορίῳ. τὴν Ἀκολουθίαν ζήτει εἰς Μάρτυρας.

Εἰς τὰς ζ´. Τῶν Ἁγίων Ἱερομαρτύρων, τῶν ἐν Χερσῶνι μαρτυρησάντων, Βασιλέως, Ἐφραὶμ, Καπίτωνος, Αἰθερίου, καὶ τῶν λοιπῶν. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρας.

Εἰς τὰς η´. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Θεοφυλάκτου Ἐπισκόπου Νικομηδείας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ θ´.

Τῶν Ἁγίων Μεγάλων Μ´. Μαρτύρων, τῶν ἐν τῇ Λίμνῃ Σεβαστείας μαρτυρησάντων.

Ἰστέον ὅτι, εἰ τύχῃ ἡ μνήμη αὐτῶν ἐν Σαββάτῳ, ἢ Κυριακῇ, ψάλλεται ἡ Ἀκολουθία τῶν Ἁγίων, καὶ τῆς ἡμέρας. Ὁμοίως εἰ τύχῃ τῇ γ´. Κυριακῇ τῆς Σταυροπροσκυνήσεως, ψάλλεται ἡ Ἀκολουθία πᾶσα ἡ ἀναστάσιμος, τοῦ Σταυροῦ, καὶ τῶν Ἁγίων. Εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ. Ἑσπέρας εἰς τὸ Λυχνικὸν, προηγεῖται τὸ Ἰδιόμ. τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν. εἶθ᾽ οὕτω τὰ προσόμοια τοῦ Τριῳδίου. εἶτα γ´. ἰδιόμελ. τῶν Ἁγίων, ἦχος β´.

Δεύτερον τὸ α´. Ἰωάννου Μοναχοῦ.

Φέροντες τὰ παρόντα γενναίως, χαίροντες τοῖς ἐλπιζομένοις, πρὸς ἀλλήλους ἔλεγον οἱ Ἅγιοι Μάρτυρες. μὴ γὰρ ἱμάτιον ἀποδυόμεθα, ἀλλὰ τὸν παλαιὸν ἄνθρωπον ἀποτιθέμεθα. δριμὺς ὁ χειμὼν, ἀλλὰ γλυκὺς ὁ Παράδεισος. ἀλγεινὴ ἡ πῆξις, ἀλλ᾽ ἡδεῖα ἡ ἀπόλαυσις. μὴ οὖν ἐκκλίνωμεν ὦ Συστρατιῶται. μικρὸν ὑπομείνωμεν, ἵνα τοὺς στεφάνους τῆς νίκης ἀναδησώμεθα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ὅμοιον, τοῦ αὐτοῦ.

Ῥίπτοντες περιβόλαια πάντα, βαίνοντες ἀτρόμως εἰς λίμνην, πρὸς ἀλλήλους ἔλεγον οἱ Ἅγιοι Μάρτυρες. διὰ Παράδεισον, ὃν ἀπωλέσαμεν, ἱμάτιον φθαρτὸν σήμερον μὴ ἀντισχώμεθα· δι᾽ ὄφιν ποτὲ φθοροποιὸν ἐνδυσάμενοι, ἐκδυσώμεθα νῦν διὰ τὴν πάντων Ἀνάστασιν. καταφρονήσωμεν κρύους λυομένου, καὶ σάρκα μισήσωμεν· ἵνα τοὺς στεφάνους τῆς νίκης ἀναδησώμεθα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

Ὅμοιον, τοῦ αὐτοῦ.

Βλέποντες ὡς τρυφὰς τὰς βασάνους, τρέχοντες πρὸς λίμνην κρυώδη, ὡς πρὸς θάλψιν ἔλεγον, οἱ Ἅγιοι Μάρτυρες· μὴ ὑποπτήξωμεν ὥραν χειμέριον, ἵνα τὴν φοβερὰν γέενναν, τοῦ πυρὸς φύγωμεν. καυθήτω ὁ ποὺς, ἵνα χορεύῃ αἰώνια. ἡ δὲ χεὶρ ῥυέτω, ἵνα ὑψῶται πρὸς Κύριον. καὶ μὴ φεισώμεθα φύσεως θνησκούσης. ἑλώμεθα θάνατον, ἵνα τοὺς στεφάνους τῆς νίκης ἀναδησώμεθα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ Σωτῆρος τῶν ψυχῶν ἡμῶν.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Δόξα, ἦχος β΄. Φέροντες τὰ παρόντα.
Καὶ νῦν. Στίχος. Εἴσοδος, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

Εἰς τὸν Ὄρθρον, μετὰ τό, Θεὸς Κύριος.

Τροπάριον, ἦχος α΄.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε. καὶ πάσας ἡμῶν τὰς ὀδύνας, ἴασαι φιλάνθρωπε δεόμεθα.

Μετὰ τὴν α΄. καὶ β΄. στιχολογίαν. Κάθισμα. τοῦ Τριῳδίου.

Μετὰ δὲ τὴν γ΄. στιχολογίαν. Κάθισμα. ἦχος δ΄.

Ἐπεφάνης σήμερον.

Τὸ σεπτὸν στερέωμα τῆς Ἐκκλησίας, ὡς ἀστέρες μέγιστοι, καταλαμπρύνετε ἀεί· καὶ τοὺς πιστοὺς καταυγάζετε, Μάρτυρες θεῖοι, Χριστοῦ Τεσσαράκοντα.

Ἕτερον, ἦχος δ΄. Ὁ Ὑψωθείς.

Ἀνδρειοτάτῳ λογισμῷ ὑπελθόντες, τὴν μαρτυρίαν θαυμαστοὶ ἀθλοφόροι. διὰ πυρὸς καὶ ὕδατος διήλθετε, καὶ διεβιβάσθητε, σωτηρίας πρὸς πλάτος, κλῆρον κομισάμενοι, Οὐρανῶν Βασιλείαν. καὶ σὺν Ἀγγέλοις τῷ Παμβασιλεῖ, ἐν εὐφροσύνῃ ἀπαύστως παρίστασθε. Θεοτοκίον. Ὅμοιον.

Τοὺς ἀχαρίστως ἀνυμνεῖν ἐκ καρδίας, καὶ ἐξαιτεῖσθαι ἐκτενῶς Θεοτόκε, τὰ σὰ ἐλέη Δέσποινα τοὺς δούλους σου, κραυγάζοντας καὶ λέγοντας· Παναγία Παρθένε, πρόφθασον καὶ λύτρωσαι, ἐξ ἐχθρῶν ἀοράτων, καὶ ὁρατῶν, καὶ πάσης ἀπειλῆς· σὺ γὰρ ὑπάρχεις ἡμῶν ἡ ἀντίληψις.

Μετὰ τὸν Πολυέλεον Κάθισμα. ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Τῶν Ἁγίων Μαρτύρων τὸ ἐγκαλλώπισμα, ἡ τετράφωτος αὕτη καὶ θεοσύλλεκτος, τῶν Τεσσαράκοντα πληθύς, στρατιωτῶν ὡς ἀληθῶς, διὰ κρυμοῦ τε καὶ πυρός, δοκιμασθέντες οἱ Σοφοί, ἐδείχθησαν στρατιῶται, Χριστοῦ τοῦ Παμβασιλέως· ὧν καὶ πρεσβείαις, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον. Ὅμοιον.

Ἐμαυτὸν πρὸ τῆς δίκης νῦν ἀποκλαίομαι, ἐννοῶν μου τὰ ἔργα τὰ πονηρὰ καὶ δεινά· καὶ τῶν πταισμάτων τὸν βυθόν, τὸν προσφυέντα μοι, ἀπὸ νεότητος Ἁγνή, καὶ συμπνίγοντά μου τὸν νοῦν. ἀλλὰ τῇ σῇ προστασίᾳ, τὴν ἄφεσίν μοι παράσχου, καὶ σωτηρίας τυχεῖν ἀξίωσον.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος.

Στίχος. Ἐπύρωσας ἡμᾶς, ὡς πυροῦται.

Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον, ζήτει εἰς τὸν Ὄρθρον τοῦ μεγάλου Γεωργίου, ἐμπροσθεν, εἰς τὰς κγ΄. τοῦ Ἀπριλλίου. ὁ Ν΄. καὶ τὸ παρὸν ἰδιόμελον. ἦχος β΄.

Προφητικῶς μὲν ἐβόα ὁ Δαβὶδ ἐν ψαλμοῖς· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. ὑμεῖς δὲ Μάρτυρες Χριστοῦ, δι' αὐτῶν τῶν ἔργων, τὸ λόγιον πληροῦντες, διήλθετε διὰ πυρὸς καὶ ὕδατος, καὶ εἰσήλθετε εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. διὸ πρεσβεύσατε Τεσσαράκοντα Μάρτυρες, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ Κανὼν τῶν Ἁγίων εἰς ϛ΄. καὶ τὰ Τριῴδια εἰς τὴν τάξιν αὐτῶν. οὗ ἡ ἀκροστιχίς.

Θεοστεφῆ φάλαγγα μέλπω Μαρτύρων.

Ἀντὶ τῶν Θεοτοκίων. Ὠδὴ α΄. ἦχος β΄.

Δεῦτε λαοί. Ἰωάννου Μοναχοῦ.

Θεοστεφῆ, φάλαγγα μέλπω Μαρτύρων Χριστοῦ, ἐν θεοπνεύστοις ᾄσμασι τῶν τεσσαράκοντα, τὴν ἐτήσιον μνήμην, φαιδρῶς πανηγυρίζων, ὅτι δεδόξασται.

Ἐπὶ τῆς γῆς, ἅπασαν ἀπαρνησάμενοι, προσηγορίαν εἵλοντο οἱ τεσσαράκοντα, τὴν χριστώνυμον κλῆσιν. δι' ἧς ἐν τοῖς ὑψίστοις, νῦν πολιτεύονται.

Οἱ ἐν Χριστῷ, σάρκα καὶ Κόσμον μισήσαντες, τὸν παλαιὸν μὲν ἄνθρωπον συνεξεδύσασθε, τῇ προσκαίρῳ ἐσθῆτι, στολὴν δὲ ἀφθαρσίας, περιεβάλεσθε. Στίχος.

Ἄρτον ζωῆς, τὸν ἐπουράνιον τέτοκας, σεσαρκωμένον Πάναγνε τὸν εὐσπλαγχνότατον, τοῦ Γεννήτορος Λόγον· καὶ σὲ οἱ τῶν Μαρτύρων, δῆμοι δοξάζουσιν.

Ὠδὴ γ΄. Στερέωσον ἡμᾶς.

Στρατείαν καὶ ζωὴν καὶ ὡραιότητα, σωμάτων, καὶ ὄλβον ἠλογηκότες, εὐκλεῶς οἱ τεσσαράκοντα, τὸν Χριστὸν ἀντὶ πάντων ἐκληρώσαντο.

Τοῖς λίθοις ἀφειδῶς, οἱ τεσσαράκοντα, προσάξει βαλλόμενοι τῶν τυράννων, τὰς βολὰς διὰ τοῦ Πνεύματος, κατὰ τῶν προσαπτόντων ἀπεκρούσαντο.

Ἐλάλει κατὰ σοῦ τυράννων χάλεσιν, ὡς ὄφις τοῦ κτίσαντος βλασφημίαν· ἀλλ' αὐτοῦ



Δημόσια Κεντρική Βιβλιοθήκη

τὸ θεομάχον στόμα, τοῖς κατὰ τῶν Μαρτύρων λίθοις θλάττεται. Θεοτοκίον.

Ἀσπόρως ἐν γαστρὶ Θεὸν συνέλαβες, καὶ τίκτεις ἀφράστως σεσαρκωμένον, εἰς ὃν βλέπειν οὐ τολμῶσιν Ἁγνὴ, Οὐρανῶν αἱ Δυνάμεις Ἀειπάρθενε.

Κάθισμα. ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τῷ Χριστῷ στρατευθέντες μαρτυρικῶς, τὸν ἐχθρὸν καθελόντες ἀθλητικῶς, ἔργοις ἐπληρώσατε, τοῦ Προφήτου τὰ ῥήματα· διὰ πυρὸς γὰρ καὶ ὕδατος, ἀνδρείως διήλθετε, ἀναψυχὴν δεξάμενοι, ζωὴν τὴν αἰώνιον. ὅθεν οὐρανίοις, κοσμηθέντες στεφάνοις, χοροῖς συνευφραίνεσθε, Ἀσωμάτων μακάριοι, Ἀθλοφόροι πανεύφημοι τεσσαράκοντα μάρτυρες. πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Θεοτοκίον. Ὅμοιον.

Τὴν ψυχήν μου Παρθένε τὴν ταπεινὴν, τὴν ἐν ζάλῃ τοῦ βίου τῶν δυσχερῶν, νῦν ὡς ἀκυβέρνητον, ποντουμένην τῷ κλύδωνι, ἁμαρτιῶν τῷ φόρτῳ, ὀφθεῖσαν ὑπέραντλον· καὶ ἐν πυθμένι Ἅδου, ἐλθεῖν κινδυνεύουσαν· φθάσον Θεοτόκε, τῇ θερμῇ σου γαλήνην, παρέχουσα ἄφεσιν, σῷ λιμένι προσέδραμον, Θεοτόκε βοήθει μοι. πρεσβεύουσα Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Φρενοβλαβεῖτε ἔλεγον, οἱ ἀθληταὶ τὴν πρόσκαιρον ζημίαν, δωρεὰν προτείνοντες, ἀθεώτατοι.

Ἠκονημένα ξίφη, θῆρας καὶ πῦρ, Σταυρόν τε τοῖς ἁγίοις, οἱ Χριστοῦ διῶκται, ἐπανετείνοντο.

Φοβερὸν ἡμῖν ἔλεγον, οἱ ἀθληταὶ τὸ πῦρ τὸ τῆς γεέννης· τὸ δὲ νῦν ὡς σμώδουλον, οὐ πτοούμεθα.

Ἀφαιρείσθωσαν χεῖρες, καυθήτω δὲ πούς, οἱ Ἅγιοι ἐβόων. ἄφθαρτα γὰρ ταῦτα, πάλιν ληψόμεθα. Θεοτοκίον.

Δυσωποῦμέν σε Ἄχραντε, ἡ τὸν Θεὸν ἀσπόρως συλλαβοῦσα, τῇ σῇ πρεσβείᾳ, ὑπὲρ τῶν δούλων σου.

Ὠδὴ ε'. Ὁ τοῦ φωτὸς χορηγός.

Λύσσῃ παράφρονι, τῶν διωκτῶν οἱ ἀθληταὶ αἴθριοι, ἐν τῷ κρυμῷ, διανυκτερεύσαντες καταδικασθέντες, ἀνέμελπον ὕμνον, Θεῷ χαριστήριον.

Ἀγαλλιώμενοι, οἱ τεσσαράκοντα Χριστοῦ Μάρτυρες, τὴν ἀλγεινὴν, ὑπέμενον πῆξιν, ἐν λίμνῃ ἑστῶτες, ἐλπίδι τῶν θείων στεφάνων νευρούμενοι.

Τέλος προτίθεται, τοῖς τεσσαράκοντα Χριστοῦ Μάρτυσιν, ἀποπνιγεὶς, ὁ πρὶν ἐμφωλεύων, τοῖς ὕδασιν ὄφις· τὴν ὀλεθροτόκον, ἰσχὺν γὰρ ἀφῄρηται. Θε.

Σοὶ τῇ τεκούσῃ Χριστὸν, τὸν τοῦ παντὸς Δημιουργὸν κράζομεν· χαῖρε Ἁγνὴ, χαῖρε ἡ τὸ φῶς ἀνατείλασα ἡμῖν· χαῖρε ἡ χωρήσασα Θεὸν τὸν ἀχώρητον.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Γεγηθὼς ὁ ἀρχέκακος ἥρπασεν, ὡς τῆς δωδεκάδος Ἰούδαν τὸν δόλιον, καὶ τῆς Ἐδὲμ τὸν ἄνθρωπον, τῆς τεσσαρακοντάδος τὸν ἔκπτωτον.

Ἀναιδὴς ὢν δικαίως φρυάττεται· οἷα γὰρ λῃστῇ, καὶ Ματθίᾳ τὸ πρότερον, οὕτω καὶ νῦν ὁ τύραννος, τοῦ φρουροῦντος τῇ κλήσει εἰσπράττεται.

Ματαιόφρων καὶ θηρίων ἐπάξιος, ὅς τις τῶν ζώων ἀμφοτέρων διήμαρτε. διὰ πυρὸς γὰρ λέλυται, καὶ πρὸς πῦρ ἐξεδήμησεν ἄσβεστον. Θεοτοκίον.

Ἀπαράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Κοντάκιον, ἦχος πλ. β'. Τὴν ὑπὲρ ἡμῶν.

Πᾶσαν στρατιὰν τοῦ Κόσμου καταλιπόντες, τῷ ἐν Οὐρανοῖς Δεσπότῃ προσεκολλήθητε, Ἀθλοφόροι Κυρίου τεσσαράκοντα. διὰ πυρὸς γὰρ καὶ ὕδατος, διελθόντες μακάριοι, ἐπαξίως ἐκομίσασθε, δόξαν ἐκ τῶν Οὐρανῶν, καὶ στεφάνων πλῆθος.

Ὁ Οἶκος.

Τῷ ἐν θρόνῳ ἀστέκτῳ ἐποχουμένῳ, τῷ ἐκτείναντι τὸν οὐρανὸν καθάπερ δέῤῥιν, τῷ τὴν γῆν ἑδράσαντι, καὶ συνάξαντι τὰ ὕδατα εἰς τὰς συναγωγὰς αὐτῶν· τῷ τὰ πάντα ἐκ μὴ ὄντων ποιήσαντι ὑπάρχειν, καὶ πᾶσι χορηγοῦντι πνοήν· τῷ προσδεχομένῳ τῶν Ἀρχαγγέλων τὸν ὕμνον, καὶ ὑπ' Ἀγγέλων ἀνυμνουμένῳ, καὶ ὑπὸ πάντων προσκυνουμένῳ, Χριστῷ τῷ Παντοκράτορι, τῷ Πλάστῃ καὶ Θεῷ ἡμῶν, προσπίπτω

ὁ ἀνά-

ὁ ἀνάξιος, προσάγωμεν τὴν δέησιν, καὶ λόγῳ χάριν αὐτῶν, ἵνα ἰσχύσω εὐσεβῶς ἀνυμνῆσαι κἀγὼ τοὺς Ἁγίους, οὓς αὐτὸς ἔδειξας νικητάς· δωρησάμενος αὐτοῖς δόξαν ἐκ τῶν Οὐρανῶν, καὶ στεφάνων πληθύν.

Τῷ αὐτῷ Μηνὶ Θ΄. Μνήμη τῶν Ἁγίων τοῦ Χριστοῦ μεγάλων Μαρτύρων, μ΄. τῶν ἐν Σεβαστείᾳ τῇ λίμνῃ μαρτυρησάντων.

Στ. Πληροῦμεν ὑστέρημα σοῦ Σῶτερ πάθους.
Τεσσαράκοντα, συντριβεύτες τὰ σκέλη.
Ἀμφ᾽ ἐννάτῃ ἐάγη σκέλη ἀνδρῶν τεσσαράκοντα.

Οὗτοι οἱ Ἅγιοι ἐκ διαφόρων Πατρίδων ὄντες, ἐφ᾽ ἑνὶ στρατεύματι ἐστρατεύοντο. Διὰ δὲ τὴν εἰς Χριστὸν ὁμολογίαν κατασχεθέντες, καὶ εἰς ἐξέτασιν ἀχθέντες, πρῶτον μὲν λίθοις τὰς ὄψεις, καὶ τὰ στόματα βάλλονται. Αἱ δὲ βολαὶ, οὐ μᾶλλον τούτους, ἢ τοὺς βάλλοντας ἀντιστρεφόμεναι, ἔπληττον. Ἔπειτα ἐν ὥρᾳ χειμερινῇ, γυμνοὶ διανυκτερεύειν καταδικάζονται, μέσον τῆς λίμνης τῆς Πόλεως· ἔνθα ἑνὸς ἐξ αὐτῶν φιλοψυχήσαντος, καὶ πρὸς τὸ πλησίον βαλανεῖον προσδραμόντος, καὶ ἅμα τῇ προσβολῇ τῆς θέρμης διαλυθέντος, ὁ παρατηρῶν αὐτοὺς Δήμιος, εὐθὺς μετὰ τῶν Ἁγίων, ἀντὶ τοῦ λιπόντος κατέστησεν ἑαυτόν· φῶς ἐν νυκτὶ περὶ τοὺς Μάρτυρας ἰδὼν, καὶ στεφάνους ἐφ᾽ ἕκαστον αὐτῶν κατιόντας. Ἤδη δὲ τῆς ἡμέρας ἐπιφανείσης, ὡς λειποψυχοῦντες οἱ Ἅγιοι, ἔτι δὲ ἐμπνέοντες ὤφθησαν, τὰ σκέλη θλασθέντες, τὸν διὰ μαρτυρίου στέφανον ἐκομίσαντο. Εἶτα πυρὶ παραδοθέντες, τοῖς ποταμίοις ἀπερρίφησαν ὕδασιν. Οὕτω δὲ ἄρα αὐτοῖς ἀσπαστὸς, καὶ καθ᾽ ἡδονὴν ὁ θάνατος ἐνομίζετο, ὡς καταλειφθέντα τινὰ παρὰ τοῦ τυράννου δι᾽ ἡλικίαν, καὶ ῥώμην σώματος, ἔτι ἐμπνέοντα, νομίσαντος αὐτὸν ἴσως μεταβουλεύσασθαι τὴν μητέρα οἰομένου. ἐκείνη τὸν Υἱὸν παρὰ δόξαν ἐπὶ τῶν νώτων ἀραμένη, ὡς ταχυδρόμος τὰς ἁμάξας καταλαβοῦσα, αἳ πρὸς τὸν ποταμὸν ἔφερον τοὺς Ἁγίους, ὥστε ἐν ταύταις τὸν παῖδα ἀποφορτίζεσθαι, ἤδη καὶ αὐτὸν ὑπελθόντα τὸν θάνατον· Τελεῖται δὲ ἡ αὐτῶν σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτῶν Μαρτυρείῳ, τῷ ὄντι πλησίον τοῦ χαλκοῦ τετραπύλου.

Ταῖς αὐτῶν Ἁγίαις πρεσβείαις.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Ἐξέστη ὁρῶν, τοὺς στεφάνους ὁ φρουρὸς τῶν τεσσαράκοντα, παρωσάμενος τὸ φιλόζωον, ἀνεπτερώθη τῷ ἔρωτι, τῆς ἐπιφανείσης σου δόξης, καὶ σὺν τοῖς Μάρτυσιν ἔψαλλεν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Λουτρῷ προσδραμὼν, ψυχοφθόρῳ θανατοῦται ὁ φιλόζωος. ὁ δὲ φιλόχριστος ἅρπαξ ἄριστος, τῶν θεαθέντων γενόμενος· ὥσπερ ἐν λουτρῷ ἀφθαρσίας, σὺν τοῖς Μάρτυσιν ἔψαλλεν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Πυρὸς νοητοῦ, ἀναφθέντος ἐν φρεσὶ τῶν τεσσαράκοντα, ἡ πολυμήχανος κατεφλέγετο, τῶν ἀσεβούντων παράνοια, ὥσπερ τις κηρὸς τηκομένη· σοὶ δὲ Χριστὲ ἀνεμέλπετο· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς λίαν φαιδρὰ, εὐπρεπὴς ἡ τοῦ Σταυροῦ σου Χριστὲ δύναμις, δι᾽ ἐναντίων στέφη πλέκουσα, τοῖς τεσσαράκοντα Μάρτυσιν. ὕδωρ γὰρ καὶ πῦρ διελθόντες, ἐν ἀφθαρσίᾳ κραυγάζουσιν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Σὲ βάτον Μωσῆς, ἐν τῷ ὄρει τῷ Σινᾶ πυρπολουμένην ἁγνὴ, προεθεώρει τὴν ἐνέγκασαν, ἀκαταφλέκτως τὴν ἄστεκτον, αἴγλην τῆς ἀρρήτου Οὐσίας, ἑνωθείσης ταχύτητι, σαρκὸς μιᾶς τῶν ἐν αὐτῇ, ἁγίων ὑποστάσεων.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Μανιωδῶς τοῖς ἀθληταῖς, ἐπιστρωύσας ὁ ἐχθρὸς πᾶσαν Κτίσιν, διὰ πάσης ἰσχύνθη. οἱ τεσσαράκοντα γὰρ, ἀπαύστως ὑμνοῦσι τὸν Κύριον, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ἀνηλεῶς ὑπὲρ Χριστοῦ, τὰ τοῦ σώματος ὑμῶν μέλη θλασθέντες, ὁλοκαύτωμα θεῖον προσενεχθέντες Θεῷ, Ἀγγέλοις ἀεὶ συγχορεύετε, Μάρτυρες ὑμνοῦντες, αὐτὸν εἰς τοὺς αἰῶνας.

Ῥωμαλαιότητι φρενῶν, ὃν ἐκύησεν ἐπ᾽ ὤμων ἀραμένη, ἡ φιλόχριστος μήτηρ, τῷ φιλοχρίστῳ παιδὶ, ἐβόα· οὐ φέρω σὲ δεύτερον, τῷ ἀγωνοθέτῃ Χριστῷ ἐμφανισθῆναι. Θεοτ.

Τὸν ἐν τοῖς κόλποις τοῦ Πατρὸς, ἀχωρίστως τε Υἱὸν ἐνιδρυμένον τῇ ἁγίᾳ Γαστρί σου, κατῳκισθέντα Ἁγνὴ, ὑμνοῦμεν Παρθένε Θεόνυμφε, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ᾨδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ὑπὲρ Χριστοῦ γυμνωθέντες, ϗ τοῖς λίθοις βληθέντες, ἀέρος ὑπεμείνατε κρυμὸν, ὕδατος πῆξιν, ϗ θλάσιν μελῶν, ϗ πυρὶ φλογισθέντες, ἐν ποταμίῳ λάμπετε ῥάθρῳ, τηλαυγεῖς ὡς φωστῆρες, Μάρτυρες τεσσαράκοντα.

Ῥάβδον δυνάμεως θείας, τὸν Σταυρὸν κεκτημένοι, ἐβόων ἐν Χριστῷ οἱ Ἀθληταὶ, οἱ τεσσαράκοντα· Δέσποτα, πανσθενεῖ τροπαιούχῳ, τῇ σῇ στεφανωθείημεν χειρί· ἵνα πάντες σε ὕμνοις, ἀπαύστως μεγαλύνωμεν.

Ὡς ἀλγεινὴ μὲν ἡ πῆξις, ὡς δὲ λίαν ἐκτόπως, θερμὺς ὃν ὑπεμείνατε κρυμόν· ἀλλὰ γλυκὺς ὁ Παράδεισος. Ἀβραὰμ γὰρ οἱ κόλποι, τοῦ Πατριάρχου θάλψουσιν ὑμᾶς, ἐν σκηναῖς αἰωνίοις, Μάρτυρες τεσσαράκοντα.

Νενικηκότες τοῖς ἄθλοις, ϗ στεφάνους λαβόντες, ἐκ θείας τοῦ Δεσπότου δεξιᾶς, νῦν δωρηθῆναι πρεσβεύσατε, τὴν εἰρήνην τῷ Κόσμῳ, νίκας τῷ φιλοχρίστῳ Βασιλεῖ· ϗ ἡμῖν σωτηρίαν, Μάρτυρες τεσσαράκοντα. Θεοτοκίον.

Νύμφη ϗ μήτηρ Παρθένε, τῶν Ἀγγέλων τὰ πλήθη, τὸν σὸν καθικετεύουσιν Υἱόν. σπεῦσον ἡ μόνη ἐλπὶς τῶν πιστῶν, τὴν εἰρήνην τῷ Κόσμῳ, νίκας τῷ φιλοχρίστῳ Βασιλεῖ, ϗ ἡμῖν σωτηρίαν, τοῖς σὲ ποθοῦσι δώρησαι.

Ἐξαποστ. Γυναῖκες ἀκουτίσθητε.

Δεκάδα τὴν τετράριθμον, τροπαιοφόρον σύνταγμα, στρατὸν Ἁγίων Μαρτύρων, ὑμνήσωμεν ἐπαξίως. διὰ πυρὸς γὰρ ϗ ψύχους, ϗ ὕδατος κατήσχυναν, τῶν δυσμενῶν τὰς φάλαγγας, ϗ πρὸς Χριστὸν τὸν Σωτῆρα, στεφάνους ἤραντο δόξης. Θεοτοκίον.

Δεσπότιν πάσης Κτίσεως, τεκοῦσα Μητροπάρθενε, ϗ πάντων ὡς οὖσα Κόρη, ὦ Δέσποινα Θεοτόκε, παθῶν τῶν τυραννούντων με, ἐξάρπασον ϗ ἕλκυσον, πρὸς συμπαθείας ἔλλαμψιν, ϗ ὑπερκόσμιον Πάσχα, τοῦ Ἀναστάντος Υἱοῦ σου.

Εἰς τοὺς Αἴνους, ἦχος πλ. α'.

Χαίροις ἀσκητικῶν ἀληθῶς. Διπλοῦντες τὸ α'.

Δεῦτε μαρτυρικὴν ἀδελφοὶ, μετ' ἐγκωμίων ἀνυμνήσωμεν φάλαγγα, τὴν κρύει πυρποληθεῖσαν, ϗ τὸν τῆς πλάνης κρυμὸν, διαπύρῳ ζήλῳ πυρπολήσασαν. στρατὸν γενναιότατον, ἱερώτατον σύνταγμα, συνασπισμόν τε, ἀρραγῆ ϗ ἀνίκητον, τοὺς τῆς Πίστεως, προβόλους ϗ φύλακας· Μάρτυρας τεσσαράκοντα, χορείαν τὴν ἔνθεον, τῆς Ἐκκλησίας τοὺς πρέσβεις, τοὺς δυνατῶς ἱκετεύοντας, Χριστὸν καταπέμψαι, ταῖς ψυχαῖς ἡμῶν εἰρήνην, ϗ μέγα ἔλεος.

Χαίροις συναγωγὴ κραταιὰ, ϗ ἱερὰ ϗ τροπαιοῦχος παράταξις, οἱ πύργοι τῆς εὐσεβείας, οἱ στρατιῶται Χριστοῦ· οἱ στερροὶ ὁπλῖται ϗ ἀήττητοι. τὸν νοῦν εὐτονώτατοι, ϗ ψυχὴν ἀνδρειότατοι, τῷ ὄντι θεῖοι, ϗ Θεῷ ποθεινότατοι. χορὸς Ἅγιος, θεοσύλλεκτον σύστημα· Μάρτυρες τεσσαράκοντα, οἱ ἴσοι τὴν ἄθλησιν, ἴσοι τὴν γνώμην, ϗ ἴσους, ϗ τοὺς στεφάνους δεξάμενοι, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Χαίροις τροπαιοφόρος πληθὺς, ἡ ἐν πολέμοις ἀνδρικῶς ἀριστεύσασα. ἀστέρες οἱ διελθόντες, διὰ πυρὸς ϗ κρυμοῦ, ϗ ὑδάτων πῆξιν διαλύσαντες. οἱ γῆν οὐρανώσαντες, ϗ τὰ πάντα φωτίσαντες, οἱ ἐν τοῖς κόλποις, Ἀβραὰμ νῦν θαλπόμενοι. οἱ χορεύοντες, σὺν Ἀγγέλων στρατεύμασι. Μάρτυρες τεσσαράκοντα, τὰ ἄνθη τὰ πνέοντα, τὴν εὐωδίαν τὴν ὄντως, πνευματικῆς διαθέσεως, Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. α'. Ἰωάννου Μοναχοῦ.

Ἀθλοφόροι Χριστοῦ, τὴν πάνσεπτον Νηστείαν φαιδροτέραν ἀπεργάσασθε, τῇ μνήμῃ τῆς ἐνδόξου ὑμῶν Ἀθλήσεως. τεσσαράκοντα γὰρ ὄντες, τὴν τεσσαρακονθήμερον ἁγιάζετε· τὸ σωτήριον Πάθος μιμησάμενοι, τῆς ὑπὲρ Χριστοῦ ὑμῶν Ἀθλήσεως. διὸ ἔχοντες παῤῥησίαν, πρεσβεύσατε ἐν εἰρήνῃ καταντῆσαι ἡμᾶς, εἰς τὴν τριήμερον Ἀνάστασιν τοῦ Θεοῦ, ϗ Σωτῆρος τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν, Θεοτοκίον.

Εἰς τὸν στ. τὸ ἰδιόμελον τῆς ἡμέρας δὶς, ϗ τὸ Μαρτυρικόν. Δόξα, ἦχος β'.

Ἀληθείας κρατῆρα, ἐξ οἰκείων αἱμάτων, τῷ πυρὶ τῶν βασάνων, τῇ τοῦ ὕδατος πήξει, τοῖς πιστοῖς κατήρδευσαν. τετράριθμον γὰρ ᾄδοντες δεκάδι τῷ Σωτῆρι. εἷς μὲν ὢν τοῖς ἅπασιν, ἐν σώμασι δὲ πλείους, προσηνέχθησαν Χριστῷ. ϗ Θεόνυμφος μήτηρ, τῷ φιλοχρίστῳ Υἱῷ, ἐπ' ὤμων αἰρομένη ἔλεγε· δεῦρο Ἀθλητὰ, ϗ συναγωνίζου τοῖς προλοίποις. Καὶ νῦν, Θεοτοκίον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τῇ αὐτῇ ἡμέρᾳ, μετὰ τὴν συνήθη στιχολ. εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στί. ι'. καὶ ψάλλομεν τὸ ἰδιόμ. τῆς ἡμέρας δίς, καὶ τὸ Μαρτυρικόν, τὰ προσόμοια τοῦ Τριῳδίου, καὶ τῶν Ἁγίων. Φέροντες τὰ παρόντα. Καὶ τὰ ἕτερα δύο.

Δόξα, ἦχος β'. Κυπριανοῦ.

Προφητικῶς ἀνεβόα ὁ Δαβὶδ ἐν ψαλμοῖς· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. ὑμεῖς δὲ Μάρτυρες Χριστοῦ, δι' αὐτῶν τῶν ἔργων, τὸ λόγιον πληροῦντες, διήλθετε διὰ πυρὸς καὶ ὕδατος, καὶ εἰσήλθετε εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν. διὸ πρεσβεύσατε Τεσσαράκοντα Μάρτυρες, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. τὰ Ἀναγνώσματα τῆς ἡμέρας. τό, Κατευθυνθήτω. εἶθ' οὕτω τὸ Προκείμ. τοῦ Ἀποστόλου, ἦχος πλ. α'.

Σὺ Κύριε φυλάξαις ἡμᾶς.

Στί. Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν.

Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους Ἐπιστολῆς.

Κεφ. ιβ'. 1. Ἀδελφοί, τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος Μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς Πίστεως ἀρχηγόν, καὶ τελειωτὴν Ἰησοῦν. Ὅς, ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς, ὑπέμεινε Σταυρόν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ Θεοῦ ἐκάθισεν. Ἀναλογίσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ὑμῶν ἐκλυόμενοι. Οὔπω μέχρις αἵματος ἀντικατέστητε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι· καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς Υἱοῖς διαλέγεται· Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος. Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα Υἱόν, ὃν παραδέχεται. Εἰ παιδείαν ὑπομένετε, ὡς Υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός. τίς γάρ ἐστιν Υἱός, ὃν οὐ παιδεύει Πατήρ; Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστέ, καὶ οὐχ Υἱοί. Εἰ δὲ τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτάς, καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς, ἐπαίδευον· ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ.

Ἀλληλούια, ἦχος δ'.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Στί. Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεός.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην. Ὡμοιώθη ἡ Βασιλεία τῶν Οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅστις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ συμφωνήσας μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ ἐξελθὼν περὶ τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς, κἀκείνοις εἶπεν· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν. Οἱ δὲ ἀπῆλθον. Πάλιν, ἐξελθὼν περὶ ἕκτην, καὶ ἐννάτην ὥραν, ἐποίησεν ὡσαύτως. Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθών, εὗρεν ἄλλους ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς· Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; Λέγουσιν αὐτῷ· ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. Λέγει αὐτοῖς· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε. Ὀψίας δὲ γενομένης, λέγει ὁ Κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· Κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων, ἕως τῶν πρώτων. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον. Ἐλθόντες δὲ οἱ πρῶτοι, ἐνόμισαν ὅτι πλείονα λήψονται· καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. Λαβόντες δέ, ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες· Ὅτι, οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας, καὶ τὸν καύσωνα; Ὁ δὲ ἀποκριθείς, εἶπεν ἑνὶ αὐτῶν· Ἑταῖρε, οὐκ ἀδικῶ σε· οὐχὶ δηναρίου συνεφώνησάς μοι; ἆρον τὸ σόν, καὶ ὕπαγε. Θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι ὡς καὶ σοί. Ἢ οὐκ ἔξεστί μοι ποιῆσαι ὃ θέλω ἐν τοῖς ἐμοῖς; ἢ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμι; Οὕτως ἔσονται οἱ ἔσχατοι, πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι. Πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τῶν Προηγιασμένων.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κοινωνικόν. Ἐσημειώθη ἐφ' ἡμᾶς.

Αὕτη ἡ Ἀκολουθία γίνεται, εἰ τύχῃ νηστεία. Εἰ δὲ τύχῃ ἐν Σαββάτῳ, ἢ ἐν Κυριακῇ, γίνεται ἡ Ἀκολουθία τῶν Ἁγίων, καὶ τῆς ἡμέρας. Ἐὰν δὲ τύχῃ τῇ τρίτῃ Κυριακῇ τῆς Σταυροπροσκυνήσεως, γίνεται ἡ Ἀκολουθία πᾶσα ἡ Ἀναστάσιμος, καὶ τῶν Ἁγίων. Ἀπόστολον τῆς ἡμέρας, καὶ τῶν Ἁγίων.

Εὐαγγέλιον, τὰ ἀμφότερα.

Κοινωνικόν. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς. Καί. Εἰς μνημόσυνον αἰώνιον.

Εἰς τὰς ι'. Τοῦ Ἁγίου Μάρτυρος Κοδράτου, καὶ τῆς συνοδίας αὐτοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Εἰς τὰς ια'. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Σωφρονίου Πατριάρχου Ἱεροσολύμων. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Εἰς τὰς ιβ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Θεοφάνους, Ἡγουμένου τῆς Σιγριανῆς. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Εἰς τὰς ιγ'. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικηφόρου Πατριάρχου Κωνσταντινουπόλεως. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Εἰς τὰς ιδ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Βενεδίκτου· καὶ τοῦ Ἁγίου Μάρτυρος Ἀλεξάνδρου τοῦ ἐν Πίδνῃ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον, καὶ εἰς Μάρτυρα.

Εἰς τὰς ιε'. Τοῦ Ἁγίου Μάρτυρος Ἀγαπίου, καὶ τῶν σὺν αὐτῷ ἓξ Μαρτύρων. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Εἰς τὰς ιϛ'. Τοῦ Ἁγίου Ἱερομάρτ. Σαβίνου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Εἰς τὰς ιζ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀλεξίου τοῦ ἀνθρώπου τοῦ Θεοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Εἰς τὰς ιη'. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Κυρίλλου, Ἀρχιεπισκόπου Ἱεροσολύμων. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Εἰς τὰς ιθ'. Τῶν Ἁγίων Μαρτύρων Χρυσάνθου, καὶ Δαρείας. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Εἰς τὰς κ'. Τῶν Ὁσίων Πατέρων ἡμῶν, τῶν ἐν τῇ Μονῇ τοῦ Ἁγίου Σάββα ἀναιρεθέντων. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσιομάρτυρας.

Εἰς τὰς κα'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Ἰακώβου, Ἐπισκόπου Καταίνης. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Εἰς τὰς κβ'. Τοῦ Ἁγίου Ἱερομάρτυρος Βασιλείου Πρεσβυτέρου τῆς Ἀγκυρανῶν Ἐκκλησίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Εἰς τὰς κγ'. Τοῦ Ἁγίου Ὁσιομάρτυρος Νίκωνος, καὶ τῶν διακοσίων Μαθητῶν αὐτοῦ, τῶν σὺν αὐτῷ μαρτυρησάντων. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσιομάρτυρας.

## Μηνὶ τῷ αὐτῷ ΚΔ'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ζαχαρίου· καὶ Προεόρτια τοῦ Εὐαγγελισμοῦ. Στ. προσόμοια, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Κεκρυμμένον Μυστήριον, καὶ Ἀγγέλοις ἀγνώριστον, Γαβριὴλ πιστεύεται ὁ Ἀρχάγγελος· καὶ ἐπὶ σὲ νῦν ἐλεύσεται, τὴν μόνην ἀκήρατον, καὶ καλὴν περιστεράν, καὶ τοῦ γένους ἀνάκλησιν, καὶ βοήσει σοι· Παναγία τὸ χαῖρε ἑτοιμάζου, διὰ λόγου Θεὸν Λόγον, σοῦ ταῖς λαγόσιν εἰσδέξασθαι. Ὅμοιον.

Φωσφόρον παλάτιον, ἡτοιμάσθη σοι Δέσποτα, ἡ νηδὺς ἡ ἄχραντος τῆς Θεόπαιδος· δεῦρο πρὸς τοῦτο κατάβηθι, οἰκτείρας τὸ πλάσμα σου, φθονερῶς πολεμηθέν, καὶ δουλείᾳ κρατούμενον, τοῦ ἀλάστορος· καὶ τὸ κάλλος τὸ πρῶτον ἀπολέσαν, καὶ τὴν σὴν σωτηριώδη, προσαναμένον κατάβασιν.

Ὅμοιον.

Γαβριὴλ ὁ Ἀρχάγγελος, ἐπὶ σὲ Παναμώμητε, ἐμφανῶς ἐλεύσεται, καὶ βοήσει σοι· χαῖρε κατάρας λυτήριον, πεσόντων ἀνόρθωσις, χαῖρε μόνη ἐκλεκτή, τῷ Θεῷ χρηματίσασα. χαῖρε ἔμψυχε, τοῦ Ἡλίου νεφέλη ὑποδέχου, τὸν ἀχώρητον ἐν μήτρᾳ, τῇ σῇ οἰκῆσαι θελήσαντα.

Δόξα, καὶ νῦν. ἦχος β'.

Εὐαγγελίζεται ὁ Γαβριήλ, τῇ κεχαριτωμένῃ σήμερον. χαῖρε ἀνύμφευτε Κόρη καὶ ἀπειρόγαμε· μὴ καταπλαγῇς, τῇ ξένῃ μου μορφῇ· μηδὲ δειλιάσῃς· Ἀρχάγγελος εἰμί· ὄφις ἐξηπάτησεν Εὔαν ποτέ· νῦν εὐαγγελίζομαί σοι τὴν χαράν, καὶ μενεῖς ἄφθορος, καὶ τέξεις τὸν Κύριον Ἄχραντε.

Εἰ δὲ τελεῖται Προηγιασμένη, εἰς τὸν Στ. τὸ Ἰδιόμελον, καὶ τὸ Μαρτυρικόν.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Τὸ ἀπ᾽ αἰῶνος Μυστήριον, ἀνακαλύπτεται σήμερον· καὶ ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γίνεται· ἵνα τοῦ χείρονος μεταλαβών, μεταδῷ μοι τοῦ βελτίονος· ἐψεύσθη πάλαι Ἀδάμ, καὶ Θεὸς ἐπιθυμήσας οὐ γέγονεν. ἄνθρωπος γίνεται Θεός, ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται. Εὐφραινέσθω ἡ Κτίσις, χορευέτω ἡ φύσις, ὅτι Ἀρχάγγελος Παρθένῳ μετὰ δέους παρίσταται· καὶ τὸ χαῖρε κομίζει, τῆς λύπης ἀντίθετον. ὁ διὰ σπλάγχνα ἐλέους ἐνανθρωπήσας, Θεὸς ἡμῶν δόξα σοι.

Ὁ Κανών.

Ὠδὴ α'. Ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Ὁ Κόσμος περιχαρῶς εὐφράνθητι, ὥσπερ αἰσθόμενος, τὴν τοῦ Κυρίου κάθοδον ἐν σοί. διὰ σπλάγχνα ἐλέους γάρ, ἐξ Οὐρανοῦ κατέρχεται, γαστρὶ Παρθένου σωματούμενος.

Ἰδοὺ σοι τῇ Βασιλίδι στέλλεται, θεῖος Ἀρχάγγελος, τοῦ Βασιλέως πάντων καὶ Θεοῦ, προμηνῦσαι τὴν ἔλευσιν· καὶ προσφωνῆσαι χαῖρέ σοι, ἐπανακλήσει τοῦ Προπάτορος.

Ἡ στάμνος ἡ φωταυγὴς καὶ πάγχρυσος, διευτρεπίσθητι, πρὸς εἰσδοχὴν τοῦ μάννα τῆς ζωῆς. ἐπὶ σὲ γὰρ ἐλεύσεται, διὰ φωνῆς Ἀγγέλου σοι, ὑπερφυῶς εἰσοικιζόμενος.

Λαγόσι σου τῆς ἁγνῆς οἰκίζεσθαι, μέλλει ὁ Κύριος, ὁ κατοικῶν ἀεὶ τὸν Οὐρανόν. οὐρανῶσαι γὰρ ἔρχεται, τῶν γηγενῶν τὸ φύραμα, τοῦτο σαφῶς ἐπενδυσάμενος.

Ὠδὴ γ'. Οὐκ ἐν Σοφίᾳ.

Γῆ τὰς ἀκάνθας, τῶν παθῶν λυπηρῶν ἡ βλαστήσασα, σκίρτα, χόρευε ἰδού, ὁ γεωργὸς ὁ ἀθάνατος, κατάρας ἐξαίρων σε, νῦν ἐπελεύσεται.

Ὁ θεῖος πόκος, ἑτοιμάζου Παρθένε ἀμόλυντε. ἐπὶ σὲ γὰρ ὁ Θεός, ὡς ὑετὸς καταβήσεται, ξηρᾶναι τὰ ῥεύματα, τῆς παραβάσεως.

Τόμος ὁ θεῖος, εὐτρεπίζου, Πατρὸς τῷ δακτύλῳ γάρ, ἐγγραφήσεται ἐν σοί, ὁ θεῖος Λόγος, σαρκούμενος, τὴν ἐξ ἀλογίας μου, λύων παράβασιν.

Χρυσῆ λυχνία, ὑποδέχου τὸ πῦρ τῆς Θεότητος, ἀναλάμπον διὰ σοῦ, καὶ φῶς τῷ Κόσμῳ δωρούμενον. δι᾽ οὗ τῶν ψυχῶν ἡμῶν, σκότος λυθήσεται.

Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ὁ Μέγας Στρατηγός, τῶν ἀΰλων Ἀγγέλων, εἰς Πόλιν Ναζαρέτ, ἐπιστὰς Βασιλέα, μηνύσαι σοι Ἄχραντε, τῶν αἰώνων καὶ Κύριον· χαῖρε λέγων σοι, Εὐλογημένη Μαρία, ἀκατάληπτον, καὶ ἀνερμήνευτον θαῦμα, βροτῶν ἡ ἀνάκλησις.

Ἕτερον, ἦχος γ'. Τὴν ὡραιότητα.

Σήμερον ἅπασα, Κτίσις ἀγάλλεται. ὅτι τὸ χαῖρέ σοι, φάσκει ὁ Ἄγγελος, Εὐλογημένη σὺ σεμνή, καὶ ἄχραντε Παναμώμε. σήμερον τοῦ ὄφεως, ἀμαυροῦται τὸ φρύαγμα. ἀρᾶς γὰρ διαλέλυται, τοῦ Προπάτορος σύνδεσμος. διὸ καὶ κατὰ πάντα βοῶμέν σοι· χαῖρε ἡ Κεχαριτωμένη.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδοῦσα.

Τὸ Μυστήριον τὸ πάλαι πρὸ τῶν αἰώνων, προορισθὲν φανέρωσιν, ἄρχεται λαμβάνειν. γῆ καὶ τὰ οὐράνια συμφώνως εὐφράνθητε, καὶ χαρμονικῶς ἀλαλάξατε.

Τὸ παλάτιον τὸ μέγα τοῦ Βασιλέως, τῶν ἀκοῶν διάνοιξον τὰς θείας εἰσόδους, ἤδη γὰρ ἐλεύσεται, πρὸς σὲ ὁ φιλάνθρωπος, καὶ κατασκηνώσει ἐν μέσῳ σου.

Τῆς Προμήτορος τὸν ὄλισθον ἀνορθῶσαι, ὁ Λυτρωτὴς ὀφθήσεται, ἐν ἀπειρογάμῳ μήτρᾳ οἰκιζόμενος· αὐτῷ μελῳδήσωμεν· δόξα τῇ δυνάμει σου Κύριε.

Ἀββακούμ σε προηγόρευσεν ὄρος μέγα, ταῖς ἀρεταῖς κατάσκιον, ἐξ οὗ φανεροῦσθαι, μέλλει ὁ Θεὸς ἡμῶν Παρθένε Παναμώμε, μόνη τῶν βροτῶν ἐπανόρθωσις.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Ὦ Ἄσπιλε Ἀμνάς, ὁ Ἀμνὸς τοῦ Θεοῦ ἡμῶν, τὴν μήτραν σου ὑπεισδῦναι, κατεπείγεται αἴρων, ἡμῶν τὰ ἁμαρτήματα.

Ῥάβδος ἡ μυστική, μετ᾽ ὀλίγον ἀνθήσειεν, ὡς γέγραπται θεῖον ἄνθος, Ἰεσσαὶ ἐκ τῆς ῥίζης, ἡμῖν ἐμφανιζόμενον.

Ἀγγέλου τῇ φωνῇ, πιανθεῖσα ὡς ἄμπελος, πρὸς βλάστησιν ἑτοιμάζου, τοῦ πεπέρου Παρθένε, καὶ ἀκηράτου βότρυος.

Μέγιστε Προφητῶν, Ἡσαΐα εὐφράνθητι. Παρθένος γὰρ ἣν προέφης, ἐν γαστρὶ συλλαμβάνει, βουλῆς μεγάλης Ἄγγελον.

Ὠδὴ ς'. Θύσω σοι μετὰ φωνῆς.

Χαῖρέ σοι, Γαβριὴλ ὁ Ἀρχάγγελος φθέγγεται· τὴν γὰρ χαρὰν ἐν γαστρὶ σου, συλλαμβάνειν μέλλεις ἀνερμηνεύτως· ἣν ἡ Εὔα, παραβᾶσα Παρθένε ἀπώλεσεν.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Οὐ φλέξα, μὴ δαλιάσῃς ὅλως τὴν μήτραν σου, πῦρ τῆς Θεότητος Κόρη. ἡ γὰρ βάτος πάλαι σε προετύπου, καιομένη, οὐδαμῶς φλεγομένη δὲ Πάναγνε.

ΤΟ' ὄρος, Δανιὴλ ὃ προεῖδεν ἐν Πνεύματι, χαῖρε Παρθένε. ἐκ σοῦ γὰρ, νοητῶς ὁ λίθος τμηθήσεται, καὶ συντρίψει, τῶν δαιμόνων τὰ ἄψυχα ξόανα.

Εἰρήνης, ὁ Βασιλεὺς ἐν σοὶ ἐπελεύσεται, τοῦ διὰ σὲ εἰρηνεῦσαι, τοὺς πολεμηθέντας καὶ ἡττηθέντας, Θεομήτωρ, πονηρᾷ συμβουλίᾳ τοῦ ὄφεως.

Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.

Ἡ Κιβωτὸς ἡ λογικὴ, ἣν ὁ ἀληθὴς Νομοθέτης, ἠγαπηκὼς τὴν ἐπὶ σοὶ, κατασκήνωσιν μέλλει ποιήσασθαι, θυμηδίας ἐμπλήσθητι· διὰ σοῦ γὰρ τοὺς φθαρέντας ἀνακαινίσει.

Προφητικὸς θεῖος χορὸς, ὥσπερ ἐπαισθόμενος Κόρη, τὴν ἐπὶ σοὶ τοῦ Λυτρωτοῦ, εἰρηναίαν ἐπέλευσιν κράζει σοι· χαῖρε πάντων ἡ λύτρωσις, χαῖρε μόνη τῶν ἀνθρώπων ἡ σωτηρία.

Μὴ δαλιάσῃς τὴν φωνὴν, μὴ καταπλαγῇς τὸν λαλοῦντα, Θεοῦ διάκονος εἰμί· φανερῶσαί σοι ἥκω Μυστήριον, τὸ Ἀγγέλοις ἀπόρρητον, Ἀπειρόγαμε Παρθένε εὐλογημένη.

Ὁρᾷς τὴν Κτίσιν τῷ ἐχθρῷ, πᾶσαν δουλωθεῖσαν Παρθένε· κατελεῆσαι γὰρ αὐτὴν, διὰ σπλάγχνα ἐλέους βουλόμενος, διὰ σοῦ ὁ Φιλάγαθος. μὴ οὖν λόγοις τοῦ Ἀγγέλου προσαπιστήσῃς.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας.

Ἡ κούφη νεφέλη τοῦ φωτὸς, ἡ ἀπειρόγαμος εὐπρεπίσθητι· ἰδοὺ ὁ Ἥλιος ἄνωθεν, ἐπιλάμψας σοι ὁ ἄδυτος, πρὸς μὲν ὀλίγον ἐπὶ σοὶ κατακρυπτόμενος, τῷ δὲ Κόσμῳ, φαίνων καὶ λύων κακίας τὴν ζόφωσιν.

Ἀγγέλων ὁ πρῶτος λειτουργὸς, προσεπεφοίτησε φωνὴν χαρμόσυνον, καταμηνύων σοι ἄχραντε, τὸν μεγάλης βουλῆς Ἄγγελον, σαρκωθησόμενον ἐκ σοῦ δι' ἀγαθότητα· ᾧ βοῶμεν, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὡς ῥόδον κοιλάδων καθαρὸν, ὡς κρίνον εὔοσμον κατανοήσας σε, ὁ Πλαστουργὸς ἡμῶν Κύριος, νῦν ἠράσθη σου τοῦ κάλλους Ἁγνὴ, καὶ σαρκωθῆναι ἐκ τῶν σῶν, αἱμάτων βούλεται, τὸ δυσῶδες, ὅπως διώξῃ τῆς πλάνης χρηστότητι.

Πατρὸς δεξιόθεν οὐκ ἐκστὰς, ἐν σοὶ τὴν οἴκησιν, μέλλει ποιήσασθαι ὁ ὑπερούσιος Ἄχραντε. ὅπως στήσῃ δεξιῶν αὐτοῦ, σὲ τὴν πλησίον καλὴν, οἷα Βασίλισσαν, δεξιάν τε πᾶσι προτείνῃ πεσοῦσι, καὶ σώσῃ ἡμᾶς.

Ὠδὴ θ΄. Εὔα μὲν τῷ τῆς παρακοῆς.

Εὔα μὲν ἐτρύγησε καρπὸν, τὸν θάνατον γεωργοῦσα τὸν ὀλέθριον· σοῦ δὲ ἐν μέσῳ ἐκβλαστήσας, καρπὸς ἀθανασίας ὁ πρόξενος, Χριστὸς ὁ γλυκασμὸς ἡμῶν Δέσποινα· ὃν ἀνυμνοῦντες, σὲ δοξάζομεν.

Κλίνας Οὐρανοὺς νῦν πρὸς ἡμᾶς κατάβηθι, θρόνος ἤδη ἡτοιμάσθη σοι, Λόγε ἡ μήτρα τῆς Παρθένου, ἐν ᾧ ὡς Βασιλεὺς ἰσχυρότατος, καθίσας, ἐξεγερεῖς τοῦ πτώματος, τῆς δεξιᾶς σου τὸ πλαστούργημα.

Ἡ χώρα ἡ ἄσπορος Ἁγνὴ, ὑπόδεξαι διὰ λόγου τὸν οὐράνιον, Λόγον ὡς σῖτον καρποφόρον, βλαστάνοντα ἐκ σοῦ καὶ τὰ πέρατα, ἐκτρέφοντα τῷ ἄρτῳ τῆς γνώσεως, ὃν προσκυνοῦντες, σὲ δοξάζομεν.

Ἠράσθη τοῦ κάλλους σου Χριστὸς, Παναμώμε, καὶ τὴν μήτραν σου κατῴκησεν. ὅπως παθῶν ἐξ ἀμορφίας, τὸ γένος τῶν ἀνθρώπων λυτρώσηται, καὶ κάλλος τὸ ἀρχαῖον δωρήσηται· ὃν προσκυνοῦντες, σὲ δοξάζομεν.

Εἰ ἐστὶ Σάββατον, ἢ Κυριακὴ, λέγεται τὸ παρόν. Ἐξαπος. εἰ δὲ μὴ, τὸ Φωταγωγικόν.

Ἐξαποστλ. Τῶν Μαθητῶν.

Ὁ Γαβριὴλ ἐξ ὕψους καταφοιτήσας, ἀνεβόα τὸ χαῖρε τῇ Θεοτόκῳ· ὅπως τῆς Προμήτορος τὴν κατάραν, ἐξαφανίσας ἅπασαν, τοὺς ἐξ Ἀδὰμ εὐλογήσῃ, ὁ ἐξ αὐτῆς ἐκβλαστήσας.

Εἰς τὸν Στ. τὸ ἰδιόμ. τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν. Δόξα. καὶ νῦν, ἦχος δ΄.

Γλῶσαν ἣν οὐκ ἔγνω, ἤκουσεν ἡ Θεοτόκος· ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος, τοῦ Εὐαγγελισμοῦ τὰ ῥήματα. ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν. διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι. ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεὸς, εἰρήνην τῷ Κόσμῳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ ἡ λοιπὴ Ἀκολουθία κατὰ τὴν τάξιν αὐτῆς.

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τῇ αὐτῇ Μηνὶ ΚΕ΄.

**Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας.**

Εἰ μέν ἐστι νηστεία, ἡ ἀκολουθία οὕτω γίνεται. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι΄. καὶ ψάλλομεν τὸ ἰδιόμ. τῆς ἡμέρας, δίς, ἀνὰ Μαρτυρικῶν, τὰ γ΄. προσόμοια τοῦ Τριῳδίου, καὶ τοῦ Εὐαγγελισμοῦ εἰς ἕ. ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.

Τὸ βουλὴν προαιώνιον, ἀποκαλύπτων σοι Κόρη, Γαβριὴλ ἐπέστηκε, σὲ κατασπαζόμενος καὶ φθεγγόμενος. χαῖρε γῆ ἄσπορε, χαῖρε βάτε ἄφλεκτε, χαῖρε βάθος δυσθεώρητον· χαῖρε ἡ γέφυρα, πρὸς τοὺς Οὐρανοὺς ἡ μετάγουσα· καὶ κλίμαξ ἡ μετάρσιος, ἣν ὁ Ἰακὼβ, ἐθεάσατο· χαῖρε θεία στάμνε, τοῦ μάννα, χαῖρε λύσις τῆς ἀρᾶς. χαῖρε Ἀδὰμ ἡ ἀνάκλησις· μετὰ σοῦ ὁ Κύριος. Ὅμοιον.

Φαίνῃ μοι ὡς ἄνθρωπος, φησὶν ἡ ἄφθορος Κόρη, πρὸς τὸν Ἀρχιστράτηγον· καὶ πῶς φθέγγῃ ῥήματα ὑπὲρ ἄνθρωπον; μετ' ἐμοῦ ἔφης γὰρ, τὸν Θεὸν ἔσεσθαι, καὶ σκηνῶσαι ἐν τῇ μήτρᾳ μου· καὶ πῶς γεννήσομαι, λέγε μοι χωρίον εὐρύχωρον, καὶ τόπος ἁγιάσματος, τοῦ τοῖς Χερουβὶμ ἐπιβαίνοντος; μή με δελεάσῃς ἀπάτῃ, οὐ γὰρ ἔγνων ἡδονήν. γάμου ὑπάρχω ἀμύητος, πῶς οὖν παῖδα τέξομαι; Ὅμοιον.

Θεὸς ὅπου βούλεται, νικᾶται φύσεως τάξις, φησὶν ὁ Ἀσώματος, καὶ τὰ ὑπὲρ ἄνθρωπον διαπράττεται. τοῖς ἐμοῖς πίστευε, ἀληθέσι ῥήμασι, Παναγία ὑπεράμωμε. ἡ δὲ ἐβόησε, γένοιτό μοι νῦν ὡς τὸ ῥῆμά σου· καὶ τέξομαι τὸν ἄσαρκον, σάρκα ἐξ ἐμοῦ δανεισάμενον. ὅπως ἀναγάγῃ, τὸν ἄνθρωπον ὡς μόνος δυνατὸς, εἰς τὸ ἀρχαῖον ἀξίωμα, διὰ τῆς συγκράσεως. Δόξα, καὶ νῦν, ἦχος πλ. β΄.

Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος, εὐαγγελίσασθαι τῇ Παρθένῳ τὴν σύλληψιν. καὶ ἐλθὼν εἰς Ναζαρὲτ, ἐλογίζετο ἐν ἑαυτῷ, τὸ θαῦμα ἐκπληττόμενος, ὅτι πῶς ὁ ἐν ὑψίστοις ἀκατάληπτος ὢν, ἐκ Παρθένου τίκτεται. ὁ ἔχων θρόνον Οὐρανὸν, καὶ ὑποπόδιον τὴν γῆν, ἐν μήτρᾳ χωρᾶται γυναικός. ᾧ τὰ ἑξαπτέρυγα καὶ πολυόμματα, ἀτενίσαι οὐ δύνανται, λόγῳ μόνῳ ἐκ ταύτης σαρκωθῆναι ηὐδόκησε. Θεοῦ ἐστι Λόγος ὁ παρών. τί οὖν ἵσταμαι; καὶ οὐ λέγω τῇ Κόρῃ; χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. χαῖρε Ἁγνὴ Παρθένε, χαῖρε Νύμφη ἀνύμφευτε· χαῖρε Μήτηρ τῆς ζωῆς· εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου.

Εἴσοδος, τὸ Φῶς ἱλαρὸν, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, καὶ τῆς Ἑορτῆς τὰ γ΄.

Γενέσεως τὸ Ἀνάγνωσμα.

**Ἐξῆλθεν Ἰακὼβ, ἀπὸ τοῦ φρέατος.**

Προφητείας Ἰεζεκιήλ.

**Ἔσται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης.**

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

**Ἡ Σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον.**

Ζήτει Σεπτεμβρίῳ η΄.

Εἶτα τὸ, Κατευθυνθήτω, καὶ καθ' ἑξῆς ἡ θεία Λειτουργία τῶν Προηγιασμένων.

Μετὰ δὲ τὴν ἀπόλυσιν εἰσερχόμεθα εἰς τὴν τράπεζαν, καὶ ἐσθίομεν ἔλαιον καὶ οἶνον, οἵα ἡμέρα τύχῃ, διὰ τὸν κόπον τῆς ἀγρυπνίας. Περὶ δὲ ὥραν πρώτην τῆς νυκτὸς σημαίνει, καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ· καὶ εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα τῶν Ἀποδείπνων μετὰ δὲ τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ. ἐξερχόμεθα ἐν τῷ Νάρθηκι, προπορευομένου τοῦ Ἱερέως, ψάλλοντες τὰ παρόντα ἰδιόμ. τῆς Λιτῆς, Ἦχος α΄.

Τῷ ἕκτῳ μηνὶ, ὁ Ἀρχιστράτηγος ἀπεστάλη πρὸς σὲ τὴν Παρθένον καὶ ἁγνὴν, μηνῦσαί σοι τὸν λόγον τῆς σωτηρίας, ἅμα δὲ καὶ καλέσαι σε, χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. τέξεις Υἱὸν, τὸν πρὸ αἰώνων ἐκ Πατρός· καὶ σώσει τὸν λαὸν αὐτοῦ, ἐκ τῶν πταισμάτων αὐτῶν. Ὁ αὐτός.

Ἐν τῷ Μηνὶ τῷ ἕκτῳ, ἀπεστάλη οὐρανόθεν Γαβριὴλ ὁ Ἀρχάγγελος, ἐν Πόλει τῆς Γαλιλαίας Ναζαρὲτ, κομίσαι τῇ Κόρῃ χαρᾶς εὐαγγέλια. καὶ προσελθὼν πρὸς αὐτὴν, ἐβόησε λέγων· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ. χαῖρε χωρίον τῆς ἀχωρήτου φύσεως. ὃν γὰρ οἱ Οὐρανοὶ οὐκ ἐχώρησαν, ἡ νηδύς σου κεχώρηκεν εὐλογημένη. χαῖρε σεμνὴ, τοῦ Ἀδὰμ ἡ ἀνάκλησις, καὶ τῆς Εὔας ἡ λύτρωσις· καὶ χαρὰ τοῦ Κόσμου, καὶ ἀγαλλίασις τοῦ γένους ἡμῶν. Ὁ αὐτός.

Ἀπεστάλη Ἄγγελος Γαβριὴλ, οὐρανόθεν ἐκ Θεοῦ, πρὸς Παρθένον ἀμόλυντον, εἰς Πόλιν τῆς Γαλιλαίας Ναζαρὲτ, εὐαγγελίσασθαι αὐτῇ, τοῦ ξένου τρόπου τὴν σύλληψιν. ἀπεστάλη δοῦλος ἀσώματος, πρὸς τὴν ἔμ-



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

ψυχον Πόλιν καὶ πύλην νοερὰν, μηνῦσαι δεσποτικῆς παρουσίας τὴν συγκατάβασιν. ἀπεστάλη στρατιώτης οὐράνιος, πρὸς τὸ ἔμψυχον τῆς δόξης παλάτιον, προετοιμάσαι τῷ Κτίστῃ, κατοικίαν ἄληκτον. καὶ προσελθὼν πρὸς αὐτὴν ἐκραύγαζε· χαῖρε θρόνε πυρίμορφε, τῶν τετραμόρφων ὑπερενδοξοτέρα· χαῖρε καθέδρα βασιλικὴ οὐράνιε· χαῖρε ὄρος ἀλατόμητον, δοχεῖον πανέντιμον· ἐν σοὶ γὰρ πᾶν τὸ πλήρωμα κατῴκησε, τῆς Θεότητος σωματικῶς, εὐδοκίᾳ Πατρὸς ἀϊδίου, καὶ συνεργείᾳ τοῦ Παναγίου Πνεύματος. χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Δόξα, καὶ νῦν. ἦχος β'.

Εὐαγγελίζεται ὁ Γαβριὴλ, τῇ κεχαριτωμένῃ σήμερον· χαῖρε ἀνύμφευτε Μήτηρ, καὶ ἀπειρόγαμε. μὴ καταπλαγῇς τῇ ξένῃ μου μορφῇ, μὴ δὲ δειλιάσῃς, Ἀρχάγγελός εἰμι. ὄφις ἐξηπάτησεν Εὔαν ποτέ· νῦν εὐαγγελίζομαί σοι τὴν χαρὰν, καὶ μενεῖς ἄφθορος, καὶ τέξῃ τὸν Κύριον Ἄχραντε.

Εἶτα εἰσερχόμεθα ἐν τῷ Ναῷ, ψάλλοντες τὰ ἰδιόμελα τοῦ στίχου.

Εἰς τὸν στ. στ. Ἰδιόμ. ἦχος δ'.

Τῷ ἕκτῳ μηνὶ, ἀπεστάλη ὁ Ἀρχάγγελος πρὸς Παρθένον Ἁγνήν· καὶ χαίρειν αὐτῇ προσειπὼν, εὐηγγελίσατο ἐξ αὐτῆς τὸν Λυτρωτὴν προελθεῖν. ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν· τὸν ἀφράστως εὐδοκήσαντα ἐνανθρωπῆσαι, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός.

Στίχ. Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας.

Γλῶσσαν ἣν οὐκ ἔγνω, ἤκουσεν ἡ Θεοτόκος. ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος, τοῦ Εὐαγγελισμοῦ τὰ ῥήματα. ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν. διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι· ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεὸς, εἰρήνην τῷ Κόσμῳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Ὁ αὐτός.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Ἰδοὺ ἡ ἀνάκλησις, νῦν ἐπέφανεν ἡμῖν. ὑπὲρ λόγον ὁ Θεὸς τοῖς ἀνθρώποις ἑνοῦται. Ἀρχαγγέλου τῇ φωνῇ ἡ πλάνη ἐκμειοῦται. ἡ Παρθένος γὰρ δέχεται τὴν χαράν. τὰ ἐπίγεια γέγονεν Οὐρανὸς, ὁ Κόσμος λέλυται τῆς ἀρχαίας ἀρᾶς. ἀγαλλιάσθω ἡ Κτίσις, καὶ φωναῖς ἀνυμνείτω· ὁ Ποιητὴς καὶ Λυτρωτὴς ἡμῶν, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. ἦχος ὁ αὐτός.

Σήμερον χαρᾶς εὐαγγέλια, Παρθενικὴ πανήγυρις. τὰ κάτω τοῖς ἄνω συνάπτεται, ὁ Ἀδὰμ καινουργεῖται, ἡ Εὔα τῆς πρώτης λύπης ἐλευθεροῦται, καὶ ἡ σκηνὴ τῆς καθ' ἡμᾶς οὐσίας, τῇ θεώσει τοῦ προσληφθέντος φυράματος, Ναὸς Θεοῦ κεχρημάτικεν. ὢ Μυστήριον· ὁ τρόπος τῆς κενώσεως ἄγνωστος· ὁ τρόπος τῆς συλλήψεως ἄφραστος. Ἄγγελος λειτουργεῖ τῷ θαύματι· Παρθενικὴ γαστὴρ τὸν Υἱὸν ὑποδέχεται. Πνεῦμα Ἅγιον καταπέμπεται. Πατὴρ ἄνωθεν εὐδοκεῖ, καὶ τὸ συνάλλαγμα, κατὰ κοινὴν πραγματεύεται βούλησιν. ἐν ᾧ καὶ δι' οὗ σωθέντες, συνῳδὰ τῷ Γαβριὴλ, πρὸς τὴν Παρθένον βοήσωμεν· χαῖρε κεχαριτωμένη, ἐξ ἧς ἡ σωτηρία Χριστὸς ὁ Θεὸς ἡμῶν, τὴν καθ' ἡμᾶς προσλαβόμενος φύσιν, πρὸς ἑαυτὸν ἐπανήγαγεν. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς, ἦχος δ'. Ἐκ γ'.

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις. ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. διὸ σὺν αὐτῷ, τῇ Θεοτόκῳ βοήσωμεν· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Καὶ γίνεται ἡ εὐλόγησις τῶν ἄρτων. Καὶ ἀνάγνωσις εἰς τοὺς λόγους τῆς Ἑορτῆς.

Εἰς τὸν Ὄρθρον, εἰς τὸ, Θεὸς Κύριος, τὸ προγεγραμμένον Τροπάριον, ἐκ γ'. καὶ ἡ συνήθης στιχολογία τῶν γ'. Καθισμάτων, καὶ ὁ Πολυέλεος. Εἰς δὲ τὸ α'. στιχολ. λέγομεν καθ. τοῦ Τριῳδίου τὰ β'. μετὰ δὲ τὸ β'. στιχ. τὸ παρὸν καθ. ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Ὁ Μέγας Στρατηγὸς, τῶν ἀΰλων Ἀγγέλων, εἰς πόλιν Ναζαρὲτ, ἐπιστὰς Βασιλέα, μηνύει σοι Ἄχραντε, τῶν αἰώνων καὶ Κύριον. χαῖρε λέγων σοι, εὐλογημένη Μαρία, ἀκατάληπτον, καὶ ἀνερμήνευτον θαῦμα, βροτῶν ἡ ἀνάκλησις.

Ἕτερον, ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἀπεστάλη Γαβριὴλ, πρὸς τὴν Παρθένον Μαριὰμ, καὶ ἐμήνυσεν αὐτῇ, τὴν ἀνεκλάλητον χαρὰν, ὅτι ἀσπόρως συλλήψῃ, καὶ οὐ φθαρήσῃ. τέξῃ γὰρ Υἱὸν, τὸν πρὸ αἰώνων Θεόν.

καὶ σώσει τὸν λαὸν αὐτοῦ, ἐκ τῶν πταισμάτων αὐτῶν. καὶ μαρτυρεῖ ὁ πέμψας με, βοῆσαί σοι, εὐλογημένη τὸ χαῖρε. Παρθένος τίκτεις, καὶ μετὰ τόκον, πάλιν μένεις Παρθένος.

Μετὰ τὸν Πολυέλεον, κάθισμα. ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Γαβριὴλ ἐξ Οὐρανοῦ, τὸ χαῖρε κράζει τῇ Σεμνῇ, ὅτι συλλήψῃ ἐν γαστρί, τὸν προαιώνιον Θεόν, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον. ὅθεν Μαριὰμ ἀπεφθέγγετο· ἄνανδρος εἰμί, καὶ πῶς τέξω Υἱόν; ἄπορον γονὴν τίς ἑώρακε; καὶ ἑρμηνεύων ἔλεγεν ὁ Ἄγγελος, τῇ Θεοτόκῳ καὶ Παρθένῳ· ἐλεύσεταί σοι, Ἅγιον Πνεῦμα, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

Ἕτερον, πρὸς τό, Ἐπεφάνης σήμερον.

Οὐρανόθεν σήμερον ἐπιδημήσας, ἐπεφώνει χαῖρέ σοι, ὁ Γαβριὴλ περιχαρῶς, Θεοχαρίτωτε Δέσποινα, ἡ σωτηρία ἡμῶν καὶ ἀνάκλησις.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Τὸ Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα. Ζήτει Σεπτεμβ. η΄. ὁ Ν΄. καὶ τὸ ἰδιόμ. ἦχος πλ. β΄.

Ἀπεστάλη ἐξ Οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος. Ζήτει εἰς τὸν Ἑσπερινόν.

Ὁ Κανὼν τῆς Ἑορτῆς. τοὺς Εἱρμοὺς ἐκ δευτέρου, καὶ τὰ τροπάρια εἰς ιβ΄. ὕστερον δὲ Καταβασία, τὸν Εἱρμόν. Ἐν ᾗ δ᾽ ἂν τύχωσι τὰ Τριῴδια, λέγομεν τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς ς΄. τὸ δὲ Τριῴδιον ἀνὰ δ΄. ὕστερον δέ, Δόξα σοι ὁ Θεὸς ἡμῶν, καὶ τὸ τροπάρ. καὶ τὸν Εἱρμὸν τοῦ αὐτοῦ. ὁ Κανὼν τῆς Ἑορτῆς, οὗ ἡ ἀκροστιχίς. Κατὰ Ἀλφάβητον. μέχρι τῆς η΄ ᾠδῆς.

Ὠδὴ α΄. ἦχος δ΄.

Ἀνοίξω τὸ στόμα μου. Ἰωάννου Μοναχοῦ.

Ἀδέτω σοι Δέσποινα, κινῶν τὴν λύραν τοῦ Πνεύματος, Δαβὶδ ὁ προπάτωρ σου· ἄκουσον Θύγατερ, τὴν χαρμόσυνον, φωνὴν τὴν τοῦ Ἀγγέλου. χαρὰν γὰρ μηνύει σοι, τὴν ἀνεκλάλητον. Ὁ Ἄγγελος.

Βοῶ σοι γηθόμενος, κλῖνον τὸ οὖς σου καὶ πρόσχες μοι, Θεοῦ καταγγέλλοντι σύλληψιν ἄσπορον. εὗρες χάριν γάρ, ἐνώπιον Κυρίου, ἣν εὗρεν οὐδέ ποτε, ἄλλη τις Πάναγνε.

Ἡ Θεοτόκος.

Γνωσθήτω μοι Ἄγγελε, τῶν σῶν ῥημάτων ἡ δύναμις. πῶς ἔσται ὃ εἴρηκας, λέγε σαφέστατα; πῶς συλλήψομαι, Παρθένος οὖσα Κόρη; πῶς δὲ καὶ γενήσομαι, Μήτηρ τοῦ Κτίστου μου; Ὁ Ἄγγελος.

Δολίως με φθέγγεσθαι, διαλογίζῃ ὡς ἔοικε. καὶ χαίρω θεώμενος, τὴν σὴν ἀσφάλειαν. θάρσει Δέσποινα· Θεοῦ γὰρ βουλομένου, ῥᾳδίως περαίνεται καὶ τὰ παράδοξα.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους. Ἡ Θεοτόκος.

Ἐξέλιπεν Ἄρχων ἐξ Ἰούδα, ὁ χρόνος ἐπέστη δὲ λοιπόν, καθ᾽ ὃν ἀναφανήσεται, ἡ τῶν ἐθνῶν ἐλπὶς ὁ Χριστός. σὺ δὲ πῶς τοῦτον τέξομαι, Παρθένος οὖσα σαφήνισον. Ὁ Ἄγγελος.

Ζητεῖς παρ᾽ ἐμοῦ γνῶναι Παρθένε, τὸν τρόπον συλλήψεως τῆς σῆς· ἀλλ᾽ οὗτος ἀνερμήνευτος· τὸ Πνεῦμα δὲ τὸ Ἅγιον, δημιουργῷ δυνάμει σοι, ἐπισκιάσαν ἐργάσεται.

Ἡ Θεοτόκος.

Ἡ ἐμὴ Προμήτωρ δεξαμένη, τὴν γνώμην τοῦ ὄφεως τρυφῆς, τῆς θείας ἐξωστρακίσθαι. διόπερ κἀγὼ δέδοικα, τὸν ἀσπασμὸν τὸν ξένον σου, εὐλαβουμένη τὸν ὄλισθον.

Ὁ Ἄγγελος.

Θεοῦ παραστάτης ἀπεστάλην, τὴν θείαν μηνῦσαί σοι βουλήν. τί με φοβῇ Πανάμωμε, τὸν μᾶλλόν σε φοβούμενον; τί εὐλαβῇ με Δέσποινα, τὸν σὲ σεπτῶς εὐλαβούμενον;

Κάθισμα, ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Οὐρανόθεν Γαβριήλ, τὸ χαῖρε κράζει τῇ Σεμνῇ· ὅτι συλλήψῃ ἐν γαστρί, τὸν προαιώνιον Θεόν, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον. ὅθεν πρὸς αὐτὸν ἀπεφθέγγετο· ἄνανδρος εἰμί, καὶ πῶς τέξω Υἱόν; καὶ ἑρμηνεύων ἔλεγεν ὁ Ἄγγελος, τῇ Θεοτόκῳ καὶ Παρθένῳ· ἐλεύσεταί σοι, Ἅγιον Πνεῦμα, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι. Δίς.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ. Ἡ Θεοτόκος.

Ἱεράν τινα Παρθένον, τεξομένην ἀκήκοα, τοῦ Προφήτου πάλαι, τὸν Ἐμμανουὴλ προθεσπίσαντος. ἐπιποθῶ δὲ τοῦ γνῶναι πῶς Θεότητος, τὴν ἀνάκρασιν, φύσις βροτῶν ὑποστήσεται. Ὁ Ἄγγελος.

Κατεμήνυσεν ἡ βάτος, ἀκατάφλεκτος μένουσα, δεξαμένη φλόγα, Κεχαριτωμένη Πανύμνητε, τὸ κατὰ σὲ Μυστήριον τὸ πα-

ρά-

ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ

ράδοξον. μετὰ τόκον γάρ, μένεις Ἁγνὴ Ἀειπάρθενος. Ἡ Θεοτόκος.

Ἀμφιεννύμενος τοῦ φέγγει, τοῦ Θεοῦ παντοκράτορος, ἀληθείας κήρυξ, λέγε Γαβριὴλ ἀληθεύσατε· πῶς ἀκηράτου μενούσης τῆς Ἁγνείας μου, Λόγον τέξομαι, μετὰ σαρκὸς τὸν ἀσώματον; Ὁ Ἄγγελος.

Μετὰ δέους σοι ὡς δοῦλος, τῇ Κυρίᾳ παρίσταμαι· μετὰ φόβου Κόρη, νῦν κατανοῶν διαλαβοῦμαί σε· ὡς ὑετὸς ἐπὶ πόκον καταβήσεται, ἐπὶ σὲ Λόγος, ὁ τοῦ Πατρὸς ὡς ηὐδόκησεν.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα. Ἡ Θεοτόκος.

Οὔπω σου δύναμαι, τῶν λόγων τὴν ἀκρίβειαν· θαύματα γὰρ γέγονε πολλάκις, θείᾳ δυνάμει τερατουργούμενα· σύμβολα καὶ τύποι νομικοί· τέτοκε Παρθένος δέ, ἀπειράνδρως οὐδέποτε. Ὁ Ἄγγελος.

Ξενίζῃ Πανάμωμε, καὶ ξένον γὰρ τὸ θαῦμά σου· μόνη γὰρ τὸν πάντων Βασιλέα, τέξῃ ἐν μήτρᾳ σαρκωθησόμενον. καὶ σὲ προτυποῦσι Προφητῶν, ῥήσεις καὶ αἰνίγματα, καὶ τοῦ Νόμου τὰ σύμβολα. Ἡ Θεοτόκος.

Ὁ πᾶσιν ἀχώρητος, καὶ πᾶσιν ἀθεώρητος, πῶς οὗτος δυνήσεται Παρθένου, μήτραν οἰκῆσαι, ἣν αὐτὸς ἔπλασε; πῶς δὲ καὶ συλλήψομαι Θεόν, Λόγον τὸν συνάναρχον, τῷ Πατρί, καὶ τῷ Πνεύματι; Ὁ Ἄγγελος.

Πρὸς τὸν σὸν Προπάτορα, Δαβὶδ ἐπαγγελάμενος, θήσειν ἐκ καρποῦ τῆς σῆς κοιλίας, ἐπὶ τοῦ θρόνου τῆς Βασιλείας αὐτοῦ· τὴν τοῦ Ἰακὼβ σε καλλονήν, μόνην ἐξελέξατο, λογικὸν ἐνδιαίτημα.

Ὠδὴ ς'. Ἐβόησε. Ἡ Θεοτόκος.

Ῥημάτων σου, Γαβριὴλ τὴν φωνὴν τὴν χαρμόσυνον, δεξαμένη, εὐφροσύνης ἐνθέου πεπλήρωμαι. χαρὰν γὰρ μηνύεις, καὶ χαρὰν καταγγέλλεις τὴν ἄληκτον. Ὁ Ἄγγελος.

Σοὶ δέδοται, ἡ χαρὰ Θεομῆτορ ἡ ἔνθεος, σοὶ τὸ χαῖρε, πᾶσα Κτίσις κραυγάζει Θεόνυμφε. σὺ γὰρ μόνη Μήτηρ, τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐγνωρίσθης Ἁγνή. Ἡ Θεοτόκος.

Τῆς Εὔας νῦν, δι' ἐμοῦ καταργείσθω κατάκριμα· ἀποδότω, δι' ἐμοῦ τὸ ὀφείλημα σήμερον. δι' ἐμοῦ τὸ χρέος, τὸ ἀρχαῖον δοθήτω πληρέστατον. Ὁ Ἄγγελος.

Ὑπέσχετο, ὁ Θεὸς Ἀβραὰμ τῷ Προπάτορι, εὐλογεῖσθαι, ἐν τῷ σπέρματι τούτου τὰ ἔθνη Ἁγνή. διὰ σοῦ δὲ πέρας, ἡ ὑπόσχεσις δέχεται σήμερον. Κοντάκιον, ἦχος πλ. δ'.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε. ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον· ἵνα κράζω σοι· χαῖρε Νύμφη ἀνύμφευτε. Ὁ Οἶκος.

Ἄγγελος Πρωτοστάτης οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τὸ χαῖρε· καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ, σωματούμενόν σε θεωρῶν Κύριε, ἐξίστατο, καὶ ἵστατο κραυγάζων πρὸς αὐτὴν τοιαῦτα.

Χαῖρε, δι' ἧς ἡ χαρὰ ἐκλάμψει.
Χαῖρε, δι' ἧς ἡ ἀρὰ ἐκλείψει.
Χαῖρε, τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις.
Χαῖρε, τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.
Χαῖρε, ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς.
Χαῖρε, βάθος δυσθεώρητον καὶ Ἀγγέλων ὀφθαλμοῖς.
Χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα.
Χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα.
Χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον.
Χαῖρε, γαστὴρ ἐνθέου Σαρκώσεως.
Χαῖρε, δι' ἧς νεουργεῖται ἡ Κτίσις.
Χαῖρε, δι' ἧς βρεφουργεῖται ὁ Κτίστης.
Χαῖρε, Νύμφη ἀνύμφευτε.

Μηνὶ τῷ αὐτῷ κε'. Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας.

Στίχ. Ἤγγελεν Υἱὸν Ἄγγελος τῇ Παρθένῳ.
Πατρὸς μεγίστης Ἄγγελον βουλῆς μέγαν.
Γήθεο τῇ Μαρίῃ ἔφατ' Ἄγγελος εἰκάδι πέμπτῃ.

Ἡ ἀνάμνησις τοῦ Εὐαγγελισμοῦ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου. ὅτε τὸ ἀπ' αἰῶνος ἄρρητον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον τῆς θείας Ἐνανθρωπήσεως, ὁ Ἀρχιστράτηγος Γαβριὴλ μυηθείς, ἀπεστάλη πρὸς τὴν Πανάχραντον, καὶ Ὑπέραγνον, καὶ ὑπεράμωμον Μαρίαν, ἐν Πόλει Ναζαρέτ, μηνῦσαι αὐτῇ τὸ τοῦ Θεοῦ βούλημα, εὐδοκίᾳ καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, εἰς τὴν τῶν ἀνθρώπων σωτηρίαν· καὶ εἶπον αὐτῇ· Χαῖρε κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ· Αὐτῆς ταῖς πρεσβείαις ἐλέησον καὶ σῶσον ἡμᾶς Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν. Ἡ Θεοτόκος.

Φῶς τὸ ἄϋλον μιμούμενον ὕλῃ σώματος, ἐνωθησόμενον, δι᾽ εὐσπλαγχνίαν πολλήν, φαιδρὸν Εὐαγγέλιον, θεῖα κηρύγματα, νῦν κραυγάζεις μοι· εὐλογημένος Πάναγνε, ὁ καρπὸς τῆς σῆς κοιλίας.

Ὁ Ἄγγελος.

Χαῖρε Δέσποινα Παρθένε, χαῖρε Πάναγνε, χαῖρε δοχεῖον Θεοῦ, χαῖρε λυχνία φωτός. Ἀδὰμ ἡ ἀνάκλησις, Εὔας ἡ λύτρωσις, ὄρος ἅγιον, περιφανὲς ἁγίασμα, καὶ νυμφὼν ἀθανασίας.

Ἡ Θεοτόκος.

Ψυχὴν ἥγνισε, καὶ σῶμα καθηγίασε, Ναὸν εἰργάσατο, χωρητικόν με Θεοῦ, σκηνὴν Θεοκόσμητον, ἔμψυχος τέμενος, ἡ ἐπέλευσις, τοῦ παναγίου Πνεύματος, καὶ ζωῆς Ἁγνὴν Μητέρα.

Ὁ Ἄγγελος.

Ὡς πολύφωτον λαμπάδα, καὶ Θεότευκτον, παστάδα βλέπων σε, νῦν ὡς χρυσῆν Κιβωτόν, τοῦ νόμου τὸν πάροχον, δέχου Θεόνυμφε, εὐδοκήσαντα, τὴν τῶν ἀνθρώπων ῥύσασθαι, διὰ σοῦ φθαρτὴν οὐσίαν.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Ἄκουε Κόρη Παρθένε ἁγνή· εἰπάτω δὴ ὁ Γαβριήλ, Βουλὴν ὑψίστου, ἀρχαίαν ἀληθινήν. Γενοῦ πρὸς ὑποδοχὴν ἑτοίμη Θεοῦ. Διὰ σοῦ γὰρ ὁ ἀχώρητος, βροτοῖς συναναστρέφεται. διὸ καὶ χαίρων βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἡ Θεοτόκος.

Ἔννοια πᾶσα ἡττᾶται βροτῶν, ἀντέφησεν ἡ Παρθένος, Ζητοῦσα ἄπερ μοι φθέγγῃ παράδοξα. Ἤσθην σου τοῖς λόγοις, ἀλλὰ δέδοικα, Θαμβηθεῖσα μὴ ἀπάτῃ με, ὡς Εὔαν πόῤῥω πέμψῃς Θεοῦ. ἀλλ᾽ ὅμως ἰδὲ βοᾶς· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ Ἄγγελος.

Ἴδε σοι τὸ ἄπορον λέλυται, φησὶ πρὸς ταύτην ὁ Γαβριήλ. Καλῶς γὰρ ἔφης, τὸ πρᾶγμα δυσέκμαρτον. Λόγοις σῶν χειλέων πειθαρχοῦσα λοιπόν, Μὴ ἀμφίβαλλε ὡς πλάσματι, ὡς πράγματι δὲ πίστευε. ἐγὼ γὰρ χαίρων βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἡ Θεοτόκος.

Ὅμως οὗτος θεόθεν βροτοῖς, ἡ ἄμεμπτος αὖθις φησί. Ξένου ἔρωτος τόκον προέρχεσθαι. Οὐκ οἶδα συζύγου παντελῶς ἡδονήν. Πῶς ἂν λέγεις ὅτι τέξομαι; φοβοῦμαι μὴ ἀπάτῃ λαλῇς. ἀλλ᾽ ὅμως ἰδὲ βοᾶς· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὁ Ἄγγελος.

Ῥήματα ἅπερ μοι φθέγγῃ σεμνή, ὁ Ἄγγελος πάλιν βοᾷ, Συνήθους τέλει λοχείας ἀνθρώπων θνητῶν. Τὸν ὄντως Θεόν σοι ἐπαγγέλλομαι. Ὑπὲρ λόγον τε καὶ ἔννοιαν, σαρκούμενον, ὡς οἶδεν ἐκ σοῦ. διὸ καὶ χαίρων βοῶ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἡ Θεοτόκος.

Φαίνῃ μοι ἀληθείας ῥήτωρ, κατέθετο ἡ Παρθένος. Χαρᾶς γὰρ κοινῆς ἐλήλυθας Ἄγγελος. Ψυχὴν ἐπεὶ καθήγνισμαι Πνεύματι. Ὡς τὸ ῥῆμά σου γενέσθω μοι· σκηνούτω ἐν ἐμοὶ ὁ Θεός· πρὸς ὃν βοῶ μετὰ σοῦ· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄. Εὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε Οὐρανοὶ Θεοῦ τὴν δόξαν.

Ὡς ἐμψύχῳ Θεοῦ Κιβωτῷ, Ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων. Χείλη δὲ πιστῶν τῇ Θεοτόκῳ ἀσιγήτως, Φωνὴν τοῦ Ἀγγέλου ἀναμέλποντα, ἐν ἀγαλλιάσει βοάτω· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Ὑπὲρ ἔννοιαν συλλαβοῦσα Θεόν, Τῆς φύσεως θεσμοὺς ἔλαθες Κόρη. Σὺ γὰρ ἐν τῷ τίκτειν, τὰ μητέρων διέδρας, Ῥᾷστ᾽ ἡ φύσις περ καθεστηκυῖα. ὅθεν ἐπαξίως ἀκούεις· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Πῶς θηλάζεις γάλα Παρθένε ἁγνή; Οὐ φέρει ἐξειπεῖν γλῶσσα βροτεία. Ξένον γὰρ φύσεως ἐπιδείκνυσαι πρᾶγμα, Νομίμου γονῆς ὅρους ὑπερβαῖνον. ὅθεν ἐπαξίως ἀκούεις· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Μυστικῶς ταῖς ἱεροτεύκτοις γραφαῖς, Λαλεῖται περὶ σοῦ Μήτηρ ὑψίστου. Κλίμακα γὰρ πάλαι Ἰακὼβ σὲ προτυποῦσαν, Ἰδὼν ἔφη, βάσις Θεοῦ αὕτη. ὅθεν ἐπαξίως ἀκούεις· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Θαυμαστῶς τῷ ἱεροφάντῃ Μωσεῖ, Ἡ βάτος καὶ τὸ πῦρ ἔδειξε τέρας. Ζητῶν δὲ τὸ πέρας εἰς διάβασιν χρόνου. Ἐν Κόρῃ ἁγνῇ ἔφη κατοπτεύσω· ἣ ὡς Θεοτόκῳ λεχθείη· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Δανιήλ σε ὄρος καλεῖ νοητόν. Γεννήτειραν Θεοῦ ὁ Ἡσαΐας· Βλέπει δὲ ὡς πόκον Γεδεών. ὁ Δαβὶδ δὲ, Ἁγίασμα φάσκει. πύλην δέ σε ἄλλος· ὁ δὲ Γαβριήλ σοι κραυγάζει· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Τὸ ἀπ' αἰῶνος σήμερον, γνωρίζεται Μυστήριον, ὁ τοῦ Θεοῦ Πατρὸς Λόγος, Υἱὸς Παρθένου Μαρίας, δι' εὐσπλαγχνίαν γίνεται. καὶ χαρᾶς εὐαγγέλια, ὁ Γαβριὴλ προφθέγγεται. μεθ' οὗ βοήσωμεν ταύτῃ, χαῖρε ἡ Μήτηρ Κυρίου. Δίς.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχ. προσόμοια, τῆς Ἑορτῆς, ἦχος α'.

Τῶν οὐρανίων Ταγμάτων.

Τῶν οὐρανίων ἀψίδων, ὁ Γαβριὴλ καταπτὰς, εἰς Ναζαρὲτ ἐπέστη, πρὸς Παρθένον Μαρίαν, βοῶν αὐτῇ τὸ χαῖρε. συλλήψῃ Υἱὸν, τοῦ Ἀδὰμ ἀρχαιότερον, καὶ ποιητὴν τῶν αἰώνων καὶ λυτρωτὴν, τῶν βοώντων σοι τὸ χαῖρε ἁγνή.

Ὁ Γαβριὴλ τῇ Παρθένῳ τὸ Εὐαγγέλιον, ἐξ Οὐρανοῦ κομίσας, ἀνεβόα τὸ χαῖρε, συλλήψῃ ἐν γαστρί σου, τὸν σοὶ χωρητὸν, καὶ τοῖς πᾶσιν ἀχώρητον, καὶ κυοφόρος ὀφθήσῃ τοῦ ἐκ Πατρὸς, πρὸ ἑωσφόρου ἀνατείλαντος.

Ὁ Συναΐδιος Λόγος τοῦ προανάρχου Πατρὸς, μὴ χωρισθεὶς τῶν ἄνω, νῦν ἐπέστη τοῖς κάτω, δι' ἄκραν εὐσπλαγχνίαν, οἶκτον λαβὼν, τοῦ καθ' ἡμᾶς ὀλισθήματος· καὶ τοῦ Ἀδὰμ, τὴν πτωχείαν ἀναλαβὼν, ἐμορφώθη τὸ ἀλλότριον.

Ὁ Ἐκ Πατρὸς ἀϊδίως, καὶ ἐκ μητρὸς χρονικῶς, φανερωθεὶς τῷ Κόσμῳ, ὑπερούσιος Λόγος, μορφὴν δούλου λαμβάνει, καὶ γίνεται σὰρξ, μὴ ἐκστὰς τῆς Θεότητος, καὶ τὸν Ἀδὰμ ἀναπλάττει ἐν τῇ γαστρὶ, τῆς ἀσπόρως συλλαβούσης αὐτόν. Δόξα, καὶ νῦν, ἦχος β'.

Τὸ ἀπ' αἰῶνος Μυστήριον, ἀνακαλύπτεται σήμερον· καὶ ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γίνεται. ἵνα τοῦ χείρονος μεταλαβὼν, μεταδῷ μοι τοῦ βελτίονος· ἐψεύσθη πάλαι Ἀδὰμ, καὶ Θεὸς ἐπιθυμήσας οὐ γέγονεν. ἄνθρωπος γίνεται Θεὸς, ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται· εὐφραινέσθω ἡ Κτίσις, χορευέτω ἡ φύσις, ὅτι Ἀρχάγγελος Παρθένῳ, μετὰ δέους παρίσταται. καὶ τὸ χαῖρε κομίζει, τῆς λύπης ἀντίθετον ὁ διὰ σπλάγχνα ἐλέους ἐνανθρωπήσας, Θεὸς ἡμῶν δόξα σοι.

Εἰς τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας, καὶ τὸ Μαρτυρικόν. Δόξα, καὶ νῦν, ἦχος πλ. δ'.

Εὐφραινέσθωσαν οἱ Οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. ὁ γὰρ τοῦ Πατρὸς συναΐδιος, καὶ συνάναρχος καὶ σύνθρονος, οἶκτον λαβὼν, καὶ φιλάνθρωπον ἔλεον, ἑαυτὸν καθῆκεν εἰς κένωσιν, κατ' εὐδοκίαν, καὶ βούλησιν πατρικήν· καὶ μήτραν ᾤκησε παρθενικὴν προαγνισθεῖσαν τῷ Πνεύματι. ὢ τοῦ θαύματος· ὁ Θεὸς ἐν ἀνθρώποις, ὁ ἀχώρητος ἐν μήτρᾳ, ὁ ἄχρονος ἐν χρόνῳ. καὶ τὸ παράδοξον, ὅτι καὶ ἡ σύλληψις ἄσπορος, καὶ ἡ κένωσις ἄφραστος, καὶ τὸ Μυστήριον ὅσον· ὁ Θεὸς γὰρ κενοῦται, καὶ σαρκοῦται καὶ πλάττεται, Ἀγγέλου πρὸς τὴν ἁγνὴν, τὴν σύλληψιν λέξαντος· χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Τὸ Τρισάγιον. Τροπ. τῆς Ἑορτῆς, αἱ γ'. μεγάλαι μετάνοιαι. εἶθ' οὕτως ἡ α'. Ὥρα μετὰ τῆς στιχολ. Τροπάριον τῆς Ἑορτῆς, καὶ ἐν τῷ τέλει ὡς προείρηται, αἱ γ'. μεγάλαι μετάνοιαι. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς ἀδελφοῖς. Ψάλλομεν δὲ καὶ στιχ. ἰδιόμ. τῆς Ἑορτῆς ἐκ τῶν προγραφέντων. Καὶ ἀπόλυσις. Καὶ ὑποστρεφούσης τῆς Λιτῆς, γίνεται ἡ Ἀκολουθία τῆς γ'. καὶ τῆς ς'. Ὥρας. Περὶ δὲ ὥραν θ'. στιχολ. καὶ ἀναγινώσκεται ἡ Κατήχησις τοῦ Στουδίτου, ἐν ᾗ κάθηνται οἱ Ἀδελφοί. Οἱ Μακαρισμοὶ ἀνὰ μέλος, καὶ τὸ, Μνήσθητι ἡμῶν Κύριε. Χορὸς ὁ ἐπουράνιος. Ἄνες ἄφες. Πάτερ ἡμῶν, τὸ, Κοντάκιον τῆς Ἑορτῆς. τὸ, Κύριε ἐλέησον μ'. καὶ αἱ γ'. μεγάλαι μετάνοιαι. καὶ ἀρχόμεθα τοῦ Λυχνικοῦ, ἀνὰ στιχολογίας.

Τῷ αὐτῷ Μηνὶ Κς'.

Ἡ σύναξις τοῦ Ἀρχιστρατήγου Γαβριήλ.

Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν τὸ ἰδιόμ. τῆς ἡμέρας, δίς, ἀνὰ Μαρτυρικοῦ, τὰ γ'. προσόμοια τοῦ Τριῳδίου. εἶτα τῆς Ἑορτῆς, τὰς τρεῖς τετάρτας, καὶ τοῦ Ἀρχαγγέλου προσόμοια γ'. λέγοντες καὶ τὰ ἰδιόμ. τῆς Ἑορτῆς, ἦχος δ'.

Τῷ ἕκτῳ μηνί. Γλῶσσαν ἣν οὐκ ἔγνω. Ἰδοὺ ἡ ἀνάκλησις. Ζήτει ὄψε εἰς τὸν στίχ. τῆς Ἑορτῆς. Καὶ ἕτερα στιχ. προσόμοια τοῦ Ἀρχαγγέλου, ἦχος α'.

Πανεύφημοι Μάρτυρες.

Γαβριὴλ ὁ μέγιστος ὁ νοῦς, ὁ θεοειδέστατος, ὁ φωταυγὴς καὶ οὐράνιος, φῶς τὸ τρισήλιον, καθορᾷ καὶ βλέπει, σὺν ταῖς ἄνω τάξεσι· τὸ θεῖον καὶ φρικῶδες Μυστήριον, εὐηγγελίσατο, τῇ Παρθένῳ ἀφικόμενος. καὶ πρεσβεύει, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τὸ μέγα Μυστήριον τὸ πρὶν, τοῖς Ἀγγέλοις ἄγνωστον, καὶ πρὸ αἰώνων ἀπόκρυφον, μόνος πεπίστευσαι, Γαβριὴλ, καὶ τοῦτο, τῇ μόνῃ τεθάῤῥηκας, Ἁγνῇ εἰς Ναζαρὲτ ἀφικόμενος. μεθ' ἧς ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Στίχ. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ.

Φωτὸς ὢν ἀνάπλεως ἀεὶ, καὶ ποιῶν τὸ θέλημα, καὶ ἐκτελῶν τὰ προστάγματα, τοῦ Παντοκράτορος, Ἀρχηγὲ Ἀγγέλων, Γαβριὴλ πανάριστε, τοὺς πόθῳ σε τιμῶντας περίσωζε, ἀεὶ αἰτούμενος, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Ἦχος πλ. β'.

Ἀπεστάλη ἐξ οὐρανοῦ Γαβριὴλ ὁ ἀρχάγγελος, Ζήτει ὀψὲ εἰς τὸν Ἑσπερινόν. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, τὸ Φῶς ἱλαρὸν, τὰ Ἀναγνώσμ. τῆς ἡμέρας, εἶτα τῆς Ἑορτῆς τὰ δύο.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

Κεφ. γ'. 2. Εἰσῆλθε Μωσῆς εἰς τὸ ὄρος τοῦ Θεοῦ Χωρήβ. ὤφθη δὲ αὐτῷ Ἄγγελος Κυρίου ἐν φλογὶ πυρὸς ἐκ τῆς βάτου, καὶ ὁρᾷ ὅτι ἡ βάτος καίεται πυρὶ, ἡ δὲ βάτος οὐ κατεκαίετο. Εἶπε δὲ Μωσῆς· παρελθὼν ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο, τί ὅτι οὐ κατακαίεται ἡ βάτος; ὡς δὲ εἶδε Κύριος ὅτι προάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν ἐκ τῆς βάτου λέγων· Μωσῆ, Μωσῆ. ὁ δὲ εἶπε· τί ἐστι Κύριε; καὶ εἶπε, μὴ ἐγγίσῃς ὧδε· λῦσον τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστί· καὶ εἶπεν αὐτῷ· ἐγώ εἰμι ὁ Θεὸς τοῦ Πατρός σου, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ. ἀπέστρεψε δὲ Μωσῆς τὸ πρόσωπον αὐτοῦ· ηὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον τοῦ Θεοῦ. Εἶπε δὲ Κύριος πρὸς Μωσῆν· ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ, καὶ τῆς κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν. Οἶδα γὰρ τὴν ὀδύνην αὐτῶν, καὶ κατέβην ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς τῶν Αἰγυπτίων, καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης, καὶ εἰσαγαγεῖν αὐτοὺς εἰς γῆν ἀγαθὴν καὶ πολλήν· εἰς γῆν ῥέουσαν μέλι καὶ γάλα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κεφ. η'. 22. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, εἰς ἔργα αὐτοῦ. πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με· ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς Ἀβύσσους ποιῆσαι. πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων. πρὸ τοῦ ὄρη ἑδρασθῆναι. πρὸ δὲ πάντων τῶν βουνῶν γεννᾷ με. Κύριος ἐποίησε χώρας καὶ ἀοικήτους, καὶ ἄκρα οἰκούμενα τῆς ὑπ' Οὐρανόν. Ἡνίκα ἡτοίμαζε τὸν Οὐρανὸν, συμπαρήμην αὐτῷ. καὶ ὅτε ἀφώριζε τὸν ἑαυτοῦ θρόνον ἐπ' ἀνέμων. Ἡνίκα ἰσχυρὰ ἐποίει τὰ ἄνω νέφη, καὶ ὡς ἀσφαλεῖς ἐτίθει πηγὰς τῆς ὑπ' Οὐρανόν. Ἐν τῷ τιθέναι τῇ θαλάσσῃ ἀκριβασμὸν αὐτοῦ, καὶ ὕδατα οὐ παρελεύσεται στόματος αὐτοῦ, καὶ ἰσχυρὰ ἐποίει τὰ θεμέλια τῆς γῆς, ἤμην παρ' αὐτῷ ἁρμόζουσα. Ἐγὼ ἤμην ᾗ προσέχαιρε· καθ' ἡμέραν δὲ εὐφραινόμην ἐν προσώπῳ αὐτοῦ, ἐν παντὶ καιρῷ.

Εἶτα γίνεται ἡ συναπτὴ τοῦ Τρισαγίου.

Προκείμενον, ἦχος δ'.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας.

Στίχ. Ἄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ὁ Ἀπόστολος.

Πρὸς Ἑβραίους Ἐπιστολῆς.

Ἀδελφοί, ὁ ἁγιάζων, καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες. Δι' ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς Ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν· Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ' αὐτῷ· Καὶ πάλιν· Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν. Ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ' ἔστι τὸν διάβολον· καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν, ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου Ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς Ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ. Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. Κεφ. β'. 11.

Ἀλληλούϊα, ἦχος α'.

Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον.

Στίχ. Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ Ζαχαρίου, καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα· Ὅτι οὕτω μοι πεποίη- Κεφ. α'. 24.



Δημόσια Βιβλιοθήκη

κεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Ἐν δὲ τῷ μηνὶ τῷ ἕκτῳ ἀπεστάλη ὁ Ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς Πόλιν τῆς Γαλιλαίας, ᾗ ὄνομα Ναζαρέτ, πρὸς Παρθένον μεμνηστευμένην ἀνδρί, ᾧ ὄνομα Ἰωσήφ, ἐξ οἴκου Δαβίδ· καὶ τὸ ὄνομα τῆς Παρθένου, Μαριάμ. Καὶ εἰσελθὼν ὁ Ἄγγελος πρὸς αὐτὴν, εἶπε· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη σὺ ἐν γυναιξίν. Ἡ δὲ ἰδοῦσα διεταράχθη ἐπὶ τῷ λόγῳ αὐτοῦ, καὶ διελογίζετο ποταπὸς εἴη ὁ ἀσπασμὸς οὗτος. Καὶ εἶπεν ὁ Ἄγγελος αὐτῇ· μὴ φοβοῦ Μαριάμ. εὗρες γὰρ χάριν παρὰ τῷ Θεῷ. Καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ τέξῃ Υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Οὗτος ἔσται μέγας, καὶ Υἱὸς Ὑψίστου κληθήσεται. καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ Πατρὸς αὐτοῦ. Καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς Βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος. Εἶπε δὲ Μαριὰμ πρὸς τὸν Ἄγγελον· πῶς ἔσται μοι τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; Καὶ ἀποκριθεὶς ὁ Ἄγγελος, εἶπεν αὐτῇ· Πνεῦμα Ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται Υἱὸς Θεοῦ. Καὶ ἰδοὺ Ἐλισάβετ ἡ συγγενής σου, καὶ αὐτὴ συνειληφυῖα Υἱὸν ἐν γήρᾳ αὐτῆς· καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ, τῇ καλουμένῃ στείρᾳ. Ὅτι οὐκ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα. Εἶπε δὲ Μαριάμ· Ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου. Καὶ ἀπῆλθεν ἀπ' αὐτῆς ὁ Ἄγγελος.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Χρυσοστ. Κοινωνικόν. Ἐξελέξατο Κύριος τὴν Σιὼν, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

Γίνεται δὲ εἰς τὴν τράπεζαν παράκλησις τοῖς Ἀδελφοῖς μεγάλη. ἐσθίομεν γὰρ ὀψάριον, πίνοντες καὶ οἶνον, εἰς δόξαν τῆς Ὑπεραγίας Θεοτόκου.

Τὰ δὲ Ἀπόδειπνα ψάλλομεν ἐν τῷ Νάρθηκι χῦμα, καὶ ἄνευ μετανοιῶν, καὶ Κανόνων, πλὴν μετὰ τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ. εἰς τὸ Τρισάγιον, ποιοῦμεν τὰς γ'. μετανοίας, καὶ ἐν τῷ τέλει τὰς ιε'. Ὡσαύτως καὶ ἐν τῷ τελευταίῳ Τρισαγίῳ, τὰς γ'. καὶ Ἀπόλυσις.

Εἰς τὰς κζ'. Τῆς Ἁγίας Μάρτυρος Ματρώνης, τῆς ἐν Θεσσαλονίκῃ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἁγίαν Γυναῖκα Μάρτυρα.

Εἰς τὰς κη'. Τοῦ Ὁσίου Στεφάνου τοῦ Θαυματουργοῦ, καὶ τοῦ Ὁσίου Ἱλαρίωνος τοῦ νέου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίους.

Εἰς τὰς κθ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μάρκου τοῦ Ἐπισκόπου, καὶ τῶν σὺν αὐτῷ, ἐπὶ Ἰουλιανοῦ τοῦ παραβάτου ἀθλησάντων. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρας.

Εἰς τὰς λ'. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Συγγραφέως τῆς Κλίμακος. ζήτει τὴν Ἀκολουθίαν αὐτοῦ τῇ δ'. Κυριακῇ τῶν Νηστειῶν.

Εἰς τὰς λα'. Τοῦ Ἁγίου Ἱερομάρ. Ὑπατίου τοῦ ἐν Γάγγρᾳ. ζήτει τὴν Ἀκολουθ. εἰς Ἱερομάρ.

## ΜΗΝ ΑΠΡΙΛΛΙΟΣ.

Ἔχων ἡμέρας λ'. ἡ ἡμέρα ἔχει ὥρας ιγ'. καὶ ἡ νὺξ ὥρας ια'.

Εἰς τὴν α'. Τῆς Ὁσίας Μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας. ζήτει τὴν Ἀκολουθίαν Κυριακῇ πέμπτῃ τῶν Νηστειῶν.

Τροπάριον. Ἐν σοὶ Μῆτερ ἀκριβῶς.

Μηνὶ τῷ αὐτῷ β'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Θαυματουργοῦ Τίτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Εἰς τὰς γ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Νικήτα, Ἡγουμένου Μονῆς τοῦ Μηδικίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Εἰς τὰς δ'. Τῶν Ὁσίων Πατέρων ἡμῶν Ἰωσὴφ τοῦ Ὑμνογράφου, καὶ Γεωργίου τοῦ ἐν τῷ Μαλεῷ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίους.

Εἰς τὰς ε'. Τῶν Ἁγίων Μαρτύρων Θεοδούλου, καὶ Ἀγαθόποδος. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Εἰς τὰς ς'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Εὐτυχίου, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Εἰς τὰς ζ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Γεωργίου Ἐπισκόπου Μελιτινῆς. ζήτει ὁμοίως.

Εἰς τὰς η'. Τῶν Ἁγίων Ἀποστόλων Ἡρωδίωνος, Ἀγάβου, Ῥούφου, καὶ τῶν σὺν αὐτοῖς. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀποστόλους.

Εἰς

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

Εἰς τὰς θ΄. Τοῦ Ἁγίου Μάρτυρος Εὐψυχίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Εἰς τὰς ι΄. Τῶν Ἁγίων Μαρτύρων Τερεντίου, Πομπηΐου, καὶ τῶν σὺν αὐτοῖς. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Εἰς τὰς ια΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀντύπα, Ἐπισκόπου Περγάμου τῆς Ἀσίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Εἰς τὰς ιβ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Βασιλείου, Ἀρχιεπισκόπου Παρείου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Εἰς τὰς ιγ΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀρτέμωνος. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Εἰς τὰς ιδ΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν καὶ ὁμολογητοῦ Μαρτίνου Πάπα Ῥώμης. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Εἰς τὰς ιε΄. Τῶν Ἁγίων Ἀποστόλων Ἀριστάρχου, Πούδη, καὶ Τροφίμου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀποστόλους.

Εἰς τὰς ιϛ΄. Τῶν Ἁγίων Μαρτύρων Γυναικῶν Ἀγάπης, Εἰρήνης, καὶ Χιονίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας Γυναῖκας.

Εἰς τὰς ιζ΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Συμεὼν τοῦ ἐν Περσίδι, καὶ τῶν σὺν αὐτῷ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρας.

Εἰς τὰς ιη΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου Μαθητοῦ τοῦ Ἁγίου Γρηγορίου τοῦ Δεκαπολίτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Ἐν ταύτῃ τῇ ἡμέρᾳ συμψάλλεται καὶ ἡ Ἀκολουθία τοῦ Ἁγίου Ἰωάννου τοῦ Νέου Μάρτυρος, τοῦ ἐξ Ἰωαννίνων, εἰ βούληται ὁ Προεστώς. Ποιηθεῖσα μὲν παρὰ τοῦ Σοφωτάτου Κυρίου Ἰουστίνου τοῦ Δεκαδίου, αἰτήσει δὲ τῶν φιλοχρίστων εὐσεβῶν Χριστιανῶν.

Ἑσπέρας εἰς τὸ Λυχνικόν, στιχηρὰ ἦχος β΄.
Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε, συνδραμοῦσαι πανδημεί, πᾶσαι στρατιαὶ τῶν Ἀγγέλων, αἱ μὲν ἑπόμεναι, αἱ δὲ προηγούμεναι, δεῦτε προπέμψατε, ἀπὸ γῆς εἰς οὐράνια, τὸν νέον ὁπλίτην, τοῦ Χριστοῦ τὸν Μάρτυρα, τὸν χαριτώνυμον. ἥκει μεθ' ὑμῶν γὰρ ἁπάντων, ἵνα συγχορεύῃ καὶ ψάλλῃ· δόξα σοι Τριὰς Θεὲ Τρισάγιε.

Δεῦτε, συνελθόντες εὐκλεῶς, ἅπας τῶν Μαρτύρων ὁ δῆμος, κλεινὲ Γεώργιε, ἔνδοξε Δημήτριε, ἄμφω Θεόδωροι, ὑπαντήσατε χαίροντες, τῷ χαριτωνύμῳ, νέῳ τούτῳ Μάρτυρι, καὶ ὑποδέξασθε, ὅτι αἱ μοναὶ ὑμῶν πάντων. ἥκει γὰρ ὑμῖν συσκηνῶσαι, ὅτι Βασιλεία ἡ ἀνέσπερος.

Δεῦτε, ὁ χριστώνυμος λαός, δεῦτε καὶ κροτήσατε ἅμα, δεῦτε συγχάρητε. ὁ γὰρ χαριτώνυμος, Ἰωαννίνων βλαστός, τὴν κατήφειαν ἔλυσεν, ἣ πρὶν ἡμᾶς εἶχε, καὶ εἰς τὸ φαιδρότερον, ταύτην μετήμειψεν. ἤδη γὰρ νικᾷ τὰ βελτίω· ἤδη εἰς αὐτὴν κατεπόθη, ἐναποπνιγεὶς τοῖς τούτου αἵμασι. Δόξα, ἦχος α΄.

Τὸν γενναῖον ἀθλητὴν τιμήσωμεν, Ἰωάννην τὸν ἀοίδιμον. οὗτος γὰρ ἡδρασμένος ἐν τῇ πέτρᾳ τῆς ἀληθείας, Χριστῷ τῷ Θεῷ ἡμῶν, ταῖς ἀλλεπαλλήλοις προσβολαῖς τῶν βασάνων, ἀκλόνητος ἔμεινε. καὶ διηυγασμένος ταῖς θείαις ἀκτῖσιν αὐτοῦ, πυρός, τομῆς, καὶ μαστίγων, ἀνδρείως κατεφρόνησε. διὸ καὶ χαρὰν ἄληκτον, εἰς Οὐρανοὺς ἐκληρώσατο. ἀλλ' ὦ πολύαθλε Μάρτυς, νῦν τρανῶς καθορῶν τὴν δόξαν Θεοῦ, πρέσβευε ἐκτενῶς ὑπὲρ ἡμῶν, τῶν πιστῶς εὐφημούντων, τὴν πανέορτον μνήμην σου. Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν στίχον στιχηρὰ ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Δεῦτε φιλομάρτυρες, Ἰωαννίνων τὸ γέννημα, καὶ σεμνὸν παιδαγώγημα, ἀξίως τιμήσωμεν, Ἰωάννην πάντες· τὸ κλέος Μαρτύρων, Χριστοῦ τὸν νέον Ἀθλητήν· ὁμολογίας κρατῆρα πλήθοντα, τὸν πάντας προσκαλούμενον, μεθ' ὑψηλοῦ τοῦ κηρύγματος· δεῦτε πάντες καὶ πίετε, μαρτυρίου ποτήριον.

Ἡ Πόλις Μακάριε, σὲ μακαρίζει τοῦ Βύζαντος, τὰ βραβεῖα ὁρῶσά σου, τῆς νίκης ὁ Κύριος, ὡς ἡγιασμένῳ, λαμπρῶς σοι παρέσχε· καὶ ὡς τὸ ἔδαφος αὐτῆς, καθαγιάσαντι τῶν αἱμάτων σου, τοῖς ῥείθροις. καὶ στηρίξαντι, τοὺς ἐν αὐτῇ πιστοὺς ψάλλοντας· σὺ ἡμῶν χαριτώνυμε, στηριγμὸς καὶ κραταίωμα.

Εὔοσμον θυμίαμα, τῷ Βασιλεῖ προσενήνεξαι, ἱερὸν ὡς ὀσφράδιον, ὡς μύρον πολύτιμον, ὡς ῥόδον ὡραῖον, ὡς κρίνον εὐῶδες, εὐωδιάζον τοὺς πιστούς, ταῖς ἡδυπνόοις ὀσμαῖς τῶν ἄθλων σου· ὡς θῦμα τελειότατον, ὡς ἱερὸν καλλιέρημα, ὡς θυσία πανάμωμος, Ἰωάννη θεσπέσιε. Δόξα, ἦχος β΄.

Δεῦτε φίλαθλοι, τῶν ἀθλητῶν τὸ καύχημα, Ἰωάννην τὸν θεῖον ὕμνοις τιμήσωμεν·

μεν· οὗτος γὰρ τῇ πυρᾷ ἐναπλωθεὶς, καὶ στερρῶς ἐγκαρτερήσας τῇ τοῦ ξίφους ἐκτομῇ, τῷ Θεῷ τὸ πνεῦμα παρέδωκε, καὶ διαμένον στέφος ἐκληρώσατο. ὅθεν δυσωπεῖ ὁ πολύαθλος, τοῦ ῥυσθῆναι κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ, τελοῦντας τὴν μνήμην αὐτοῦ.

Καὶ νῦν, Θεοτοκίον.

Τροπάριον, ἦχος γ'. Θείας Πίστεως.

ΜΕγα καύχημα Ἰωαννίνων, μέγα στήριγμα τῆς Κωνσταντίνου, μέγα κλέος σὺ τούτων τῶν Πόλεων. τῆς μὲν γὰρ γόνος σεπτὸς ἐχρημάτισας. τὴν δὲ τοῖς σοῖς ἐπορφύρωσας αἵμασιν. ἀλλὰ πρέσβευε, Χριστῷ τῷ Θεῷ μακάριε, τοῦ περισῶσαι αὐτῶν τὴν εὐσέβειαν. Καὶ νῦν, Θεοτοκίον.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. κάθισμα ἦχος δ'.

Ταχὺ προκατάλαβε.

ΤΗν κάτω καὶ πρόσκαιρον, περιφρονήσας ζωὴν, δραμὼν προθυμίας δὲ, ὅλοις πτεροῖς πρὸς Θεὸν, ψυχῆς ὅλης ἔρωτι· ἵλεως ἐποπτεύοις, ἡμᾶς ἄνωθεν μάκαρ· πάντων πειρατηρίων, ἀνωτέρους φυλάττων, τοὺς τὴν ἁγίαν ἄθλησιν, πίστει τιμῶντάς σου.

Καὶ νῦν, Θεοτοκίον.

Μετὰ τὴν β'. στιχολ. κάθισμα ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

ΛΕιμῶνας εὐθαλεῖς, ὑπερίπταται χαῖρον, τὸ πνεῦμά σου σοφὲ, Ἰωάννη τρισμάκαρ. ἐξ ὧν πολυποίκιλα, καὶ εὐώδη δρεπόμενον, ἄνθη στέφανον, τῇ ἱερᾷ κεφαλῇ σου, πλέκει ἄφθαρτον. διὸ Χριστοῦ στεφανίτην, ἀξίως τιμῶμέν σε. Καὶ νῦν, Θεοτοκίον.

Μετὰ τὸν Πολυέλεον κάθισμα ἦχος γ'.

Θείας Πίστεως.

ΜΕγα ὄνομα, τῇ σῇ Πατρίδι, προεξένησαν οἱ σοὶ ἀγῶνες, ἀθλοφόρων κοινὸν ἐγκαλλώπισμα. οὐκ ἀφανὴς οὖσα γὰρ οὐδὲ πρότερον, νῦν διὰ σὲ, ἐπιπλέον πεφήμισαι, ὦ μακάριε. διὸ εὐχαρίστως ἤθροισαι, ἐπιτελέσαι σου νῦν τὰ μνημόσυνα. Καὶ νῦν, Θεοτοκίον.

Ὁ Κανὼν, οὗ ἡ ἀκροστιχὶς Κατὰ Ἀλφάβητον. μέχρι συμπληρώσεως τῆς ζ'. ᾠδῆς. Αἱ δὲ καθεξῆς, ἔχουσιν ἀκροστιχίδα τὸ, Ἰωάννου.

Ὠδὴ α'. ἦχος β'. Δεῦτε λαοί.

ΑΛλ' ὦ Χριστὲ, σὺ γὰρ τῶν λόγων ἡ Ἄβυσσος· σὺ Λόγε κἀμοὶ δώρησαι, λόγον ἀνάλογον. ὅπως λόγοις εὐλόγως, ὑμνήσω Ἰωάννην, τὸν νέον Μάρτυρα.

ΒΑπτισμα σοῦ, τὸ μαρτύριον ἀσδέδεξαι· ὃ καὶ λυσιτελέστερον καὶ ἀσφαλέστερον, βαπτισμάτων ἁπάντων· ἐπεὶ δευτέροις ῥύποις, ὅλως οὐ χραίνεται.

ΓΗθεν εὐθὺς, ὀψικεύουσί σε ἀπαίροντα, μάκαρ πρὸς τὰ οὐράνια, Μαρτύρων τάγματα, ἐπιτάφιον ὕμνον, Χριστὸς ἀνέστη ψάλλοντες εἰς ἀντίφωνα. Θεοτοκίον.

ΔΙαπαντὸς, ἐν σοί μου πᾶσα ἡ ὕμνησις. σὺ γὰρ ἐμὴ ἀντίληψις, σὺ προστασία μου, Παναγία Παρθένε. σὺ μόνη τῆς ψυχῆς μου ἡ ἀγαλλίασις.

Ὠδὴ γ'. Τῆς Πίστεως ἐν πέτρᾳ με.

ΕΘώπευον ἠπάτουν οἱ ἐναντίοι, ἀπόπειραν ποιούμενοι τῆς σῆς γνώμης· ἐκεῖνοι πάντα λίθον ἰχνηλατοῦντες, ἐντὸς τὸ θήραμα, ἐδόκουν ἔχειν σε· ἀλλ' εἰς μάτην ὤφθησαν, λύκοι χαίροντες.

ΖΩῆς περιφρονήσας τῆς ἐπικήρου, ζωὴν ἐκληρονόμησας οὐρανίαν, ἀθάνατον ἀγήρω· ἧς συμμερίτας, εὐχαῖς σου ποίησον, ἡμᾶς τρισόλβιε, τοὺς ὑμνεῖν ποθοῦντας, νῦν τοὺς ἀγῶνάς σου.

ΗΤτήθησαν οἱ ἄφρονες σὲ ζητοῦντες, ἡττῆσαι τὸν ἀήττητον ἀριστέα. ἀλλ' ἔλαθον νικήσαντες τὴν καρδίαν, νίκην ὃ λέγεται, οὐ γὰρ ἐνίκησαν· ἑαυτοῖς τὴν νίκην δὲ συναπώλεσαν. Θεοτοκίον.

ΘΕὸν Λόγον συνέλαβες ὑπὲρ λόγον· Θεὸν Λόγον ἐγέννησας ὑπὲρ φύσιν· Θεὸν Λόγον ἀνέπαυσας ἐν ἀγκάλαις· ὢ θαῦμα μέγιστον· τίς ποτε ἤκουσεν; ἢ τίς ἐθεάσατο παραπλήσιον;

Κάθισμα ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

ΚΑτεπλάγησαν τὰ σὰ, ἄπιστοι πάντες καὶ πιστοί· καὶ ἐνόμισαν αὐτὰ, καθάπερ ἀστεῖα τινὰ, τὰ ἐπὶ σοὶ γεγονότα ὦ Ἰωάννη. νέον ἀφαδοῦν σῆς νεότητος, βίου ἀνταλλάττεσθαι θάνατον, καὶ μαρτυροῦσι ταῦτα οἱ ὁρῶντες, ἀντίπαλοι καὶ ἡμέτεροι. διὸ ἡμεῖς σε ἀνυμνολογοῦντες, τὸν Σωτῆρα δοξάζομεν.

Δόξα, τὸ αὐτό. καὶ νῦν, Θεοτοκίον.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

ΙΚεσίαν ποιούμενος, ὑπὲρ ἡμῶν τὸ αἷμά σου τὸ θεῖον, προβάλλου, ὃ χάριν Χριστοῦ ἐξέχεας.

ΚΆραν σὴν ἐκτεμνόμενος, κάραν ἐχθροῦ συντρίβεις Ἀθλοφόρε, ποδῶν σου τῶν ὡραίων τοῖς συμπατήμασι.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Λαμπροτάταις τῶν ἄθλων σου, καὶ καθαραῖς ἀκτῖσι καταυγάσας, τοὺς πιστοὺς, τὴν πλάνην Μάρτυς ἠμαύρωσας. Δόξα.

Μήτηρ Κόρη γεγένησαι, τοῦ Ποιητοῦ καὶ Κτίστου τῶν ἁπάντων· ὑπὲρ λόγον δ᾽ αὖθις, καὶ μετὰ τόκον Παρθένος ἔμεινας.

Ὠδὴ ε´. Ὁ τοῦ φωτὸς χορηγός.

Νέος καθάπερ ἀμνὸς, σφαγιαζόμενος ἑκὼν ἔλεγες· τί θαυμαστὸν, εἰ χυθῇ τὸ αἷμα τὸ ἐμὸν ὑπὲρ Χριστοῦ, τοῦ ὑπὲρ ἡμῶν τὸ οἰκεῖον ἐκχέαντος;

Ξένον ἐδόκει παντὶ, ἐν ἡλικίᾳ καθορᾷν εὐστασιν, γεροντικὴν, πάνυ νεαζούσῃ, καὶ φρόνημα στεῤῥόν. ὁ γὰρ παρεστράτης, τῆς κρείττονος στάσεως.

Ὁ ἐν Πατρὶ καὶ Υἱῷ, καὶ Θείῳ Πνεύματι Θεὸς Ἅγιος, τοῦτον ἐγὼ, σέβω καὶ δοξάζω, ὑμνῶ καὶ λατρεύω, θεῖε Ἰωάννη, τυπτόμενος ἔψαλλες. Θεοτοκίον.

Παρθενομήτωρ ἁγνὴ, ἡ τὸν Θεὸν ὡς ἀληθῶς τέξασα, τοὺς πειρασμοὺς, τοὺς ἐπερχομένους, ἀπέλασον ἡμῶν, ταῖς τοῦ θεοκλήτου λιταῖς νέου Μάρτυρος.

Ὠδὴ ϛ´. Ἐν ἀβύσσῳ πταισμάτων.

Ῥαντισμῷ σῶν αἱμάτων ἐδρόσισας, τὰς τῶν ἀσεβῶν διανοίας τρισόλβιε· αὐτοῖς δὲ πάλιν ἔσβεσας, χαλεπῆς ἀσεβείας τοὺς ἄνθρακας.

Στεφηφόρος Θεῷ παριστάμενος, σὺν τοῖς τῶν Μαρτύρων χοροῖς χαριτώνυμε, τοὺς ὑμνητάς σου πρέσβευε, λυτρωθῆναι παντοίας κακώσεως.

Τὴν ἀρχέκακον κάραν συνέτριψας, τοῦ δολίου δράκοντος ἐν τοῖς ἀγῶσί σου, καὶ τῇ στεῤῥᾷ ἐνστάσει σου, τῶν δαιμόνων τὰ στίφη διεσκέδασας. Θεοτοκίον.

Ὑπεράμωμε πάναγνε Δέσποινα, ἡ Θεὸν ἀνθρώποις ἀφράστως κυήσασα, σῶσον ἡμᾶς δεήσεσιν, Ἰωάννου τοῦ θείου καὶ Μάρτυρος.

Κοντάκιον, ἦχος δ´. Ἐπεφάνης σήμερον.

Ἀθλοφόρον νέον σε ἡ Ἐκκλησία, κτησαμένη ἅπασαν τοῦ διαβόλου τὴν ἰσχὺν, καταβαλοῦσα γεραίρει σε, ἀξιοχρέως τιμῶσα τὴν μνήμην σου. Ὁ Οἶκος.

Πρὸς τοὺς κατ᾽ ἀρετὴν ἄθλους, καὶ μετὰ τὴν χάριν, καὶ πρὸ τῆς χάριτος, οὐ γυναῖκες μόνον, οὐ μείρακες, ἡ ἀτελὴς φύσις καὶ ἀσθενὴς, ἀλλὰ καὶ τελειτίζοντα νήπια ἀνδρεῖόν τε καὶ ἀνδρῶν ἀνεδείξαντο φρόνημα· ὡς δῆλον ἐκ τῶν ἐν Βαβυλῶνι Παίδων τριῶν, καὶ ἐκ τῶν ὑπὸ Βαβύλα μὲν ἀνατραφέντων τῷ Ἐπισκόπῳ καὶ Μάρτυρι, ἀθλησάντων δὲ πρὸ αὐτοῦ Παίδων τριῶν καὶ αὐτῶν, καὶ κομιδῇ νέων ὄντων. πρὸς δὲ καὶ τελευτῆς Κήρυκος τοῦ κήρυκος τοῦ Χριστοῦ. Οὐ μὴν ἀλλὰ καὶ ἐκ σοῦ τοῦ νῦν προκειμένου νῦν εἰς εὐφημίαν ἡμῖν, Ἰωάννη τρισόλβιε· ὃς ὅσον τε καὶ οἷον πρὸς τοὺς ὑπὲρ σὲ κατὰ Χριστὸν ἀγῶνας ἐνεδείξω τὸ τῆς ψυχῆς σου παράσημα, ἢ κατὰ σὲ μετὰ μικρὸν, ὅσον οὔπω δηλώσειεν ὑπόθεσις. Ὅθεν ἡ Ἐκκλησία διὰ σοῦ τὴν τοῦ διαβόλου ἰσχὺν καταβαλοῦσα γεραίρει σε ἀξιοχρέως τιμῶσα τὴν μνήμην σου.

Τῷ αὐτῷ Μηνὶ ιη´. Μνήμη τοῦ Ἁγίου Ἰωάννου τοῦ νέου Μάρτυρος, μαρτυρήσαντος ἐν τῇ περιφανεῖ Βασιλίδι τῶν Πόλεων.

Στίχ. Τμηθεὶς καμίνου δέσμιος γυμνὸς κάρη, Θεὸν ἀνύμνει ἐν μέσῳ Ἰωάννης.

Ὀγδοάτῃ δεκάτῃ κτάν᾽ Ἰωάννην πυρὶ ἄορ.

Οὗτος Πατρίδα μὲν ἔσχε τὰ Ἰωάννινα, Πόλις δὲ αὕτη τῆς παλαιᾶς Ἠπείρου προκαθημένη, Βασίλειον οὖσα, πάλαι μὲν Πύῤῥου ἐκείνου τοῦ Ἠπειρώτου, ὡς ἀπὸ τῶν Ἱστοριῶν συνάγειν ἐστίν. ὕστερον δὲ τῶν ἐσχάτων ἐνδιαίτημα γέγονε Δεσποτῶν. Ὠνόμασται δ᾽ οὕτως ἀπό τινος Ἰωάννου τῶν αὐτῶν Δεσποτῶν, μεταδόντος τῇ Πόλει τὸ ὄνομα, καὶ ἀφ᾽ ἑαυτοῦ Ἰωάννινα οὕτως εἰς φιλοτιμίαν καλέσαντος. ὡς καὶ Κωνσταντῖνος ὁ μέγας ἐν Βυζαντίῳ, καὶ Ἀδριανὸς ἐν Ἀδρυστοῖς, καὶ ἄλλοι πολλοὶ τῶν Βασιλέων πεπράχασι πολλάκις, ἐπὶ τοῖς ὀνόμασιν ἑαυτῶν, τινὰς τῶν Πόλεων ὀνομάσαντες. Γνώρισμα δὲ τῇ Πόλει ἄνωθεν, εὐσέβεια καὶ ὀρθοδοξία, καὶ μυρίοις ἄλλοις εὐθηνεῖται τοῖς ἀγαθοῖς, καὶ φοραῖς ἀγαθῶν καὶ χρησίμων ἀνδρῶν, χριστιανικωτάτων ταῖς καταστάσεσιν. Ἀλλ᾽ οὐδεὶς τούτων πάντων ταύτην ἐκόσμησε καὶ κοσμεῖ, ὡς ὁ ταύτης οὗτος πολίτης καὶ πολιοῦχος, Ἰωάννης φημὶ ὁ Μάρτυς Χριστοῦ· ὁ νέος μὲν τὴν ἡλικίαν, γέρων δὲ τοῖς διὰ Χριστὸν ἄθλοις γενόμενος, καὶ μέγας τῷ ὄντι τοῖς κατὰ Θεὸν ἀριστεύμασιν. οὕτως εὐνομωτάτης ἔτυχε τῆς Πατρίδος αὐτὸς, καὶ τοιούτῳ πολίτῃ ἐκείνη σεμνύνεσθαι ἔλαχεν. Ἀλλὰ καὶ Γονέων ηὐμοίρησε φιλοθέων καὶ εὐσεβῶν, μετρίως



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

πεπολιτευμένων καὶ εὐλαβῶς. Ἀπορφανισθεὶς οὖν τοῦ Πατρὸς, νέος πάνυ τῇ ἡλικίᾳ, εἰς Κωνσταντινούπολιν παραγίνεται· ἔνθα τὴν αὐτοῦ εἰργάζετο τέχνην, δι' αὐτῆς τὰ πρὸς τὴν ζωὴν ποριζόμενος. Ἀλλ' ἐφθόνουν οἱ ἐκ γειτόνων αὐτῷ τῶν ἀλλοφύλων ὁμότεχνοι, καὶ ζηλοτύπως ἄγαν διέκειντο πρὸς αὐτόν. Ἦν γὰρ παῤῥησίᾳ αὐτοσόλῳ φύσει κεχρημένος ὁ Νεανίσκος πρὸς ἅπαντας, καὶ τόλμαν τινὰ μετὰ τοῦ εὐθαρσοῦς ἐνδεικνύμενος· ὃ δὴ καὶ μᾶλλον ἀνῆπτε τὸν φθόνον αὐτῶν ἐκείνων. Καὶ καιροφυλακτοῦντες, ὡς λέοντες ἐνήδρευον ἄγριοι, ὅπως αἰτίας τινὸς εὐπροσώπου δραξάμενοι, διὰ συκοφαντίας δυνήσονται, κακοῖς τισι τὸν Νεανίαν περιβαλεῖν. Ὅπερ δὴ καὶ πεπράχασιν, ὡς παρακατιὼν ὁ λόγος δηλώσει σαφέστερον. Ἐπεὶ μὲν ᾔσθετο ἐπιβούλως φερομένων αὐτῶν κατ' αὐτοῦ, καὶ αὐτὸς ἔγνω καλὸν εἶναι ὑπὲρ Χριστοῦ θανεῖν, εἰς ὃ κἀκεῖνοι συνήλαυνον. Καὶ πρῶτον μὲν εἰς Πατέρα πνευματικὸν ἄπεισιν, ἡμέρα δ' ἦν ἂν ἡ μεγάλη Παρασκευή, τὰς αὐτοῦ ἁμαρτίας ἐξαγορεύων αὐτῷ. Ὁ μέγας δὲ Πρωτοτατᾶς, οὗτος ἦν ὁ Καλόθετος, ᾧ περὶ τούτων, ὡς τὸ εἰκὸς, κοινολογησάμενος, ὡς εὗρεν αὐτὸν, μὴ προπετῶς οὕτω παραινοῦντα πρὸς τὰ τοιαῦτα ὁρμᾷν, φείδεσθαι δὲ, καὶ προσέχειν τὰς τοῦ διαβόλου ἐπιβουλὰς ὑφορώμενον· ἐκεῖνος γὰρ τοιαύτας πολλοῖς πολλάκις ἐντίθησι τὰς βουλὰς, οὐχ ἵνα εἰς Μαρτύριον αὐτοὺς παροτρύνῃ, ἀλλ' ἵνα ἐς ὕστερον ἀποδείξῃ καταγελάστους, μὴ δυνηθέντας ἀντισχεῖν μέχρι τέλους. Ἐκεῖνος, ἐγὼ θαῤῥῶ ἐπὶ τῷ Χριστῷ μου, φησὶν, ὡς οὐκ ἐγκαταλείψει με, παίγνιον τοῦ ἐχθροῦ γενέσθαι, ὡς φής· ἀλλὰ καὶ συλλήψεταί μοι τῆς πρὸς ἐκεῖνον πάλης. κἀκεῖνον μὲν αἰσχρῶς ἡττηθῆναι ποιήσει, ἐμὲ δὲ νικητὴν ἀναδείξει καὶ τροπαιοῦχον. Τοιαῦτα εἰπόντος τοῦ Ἰωάννου, αὖθις πρὸς αὐτὸν ὁ ἱερὸς ἐκεῖνος ἔφη Ἀνήρ· Πρόσχες τέκνον, ὅτι τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενὴς, ὥς φασι τὰ ἱερώτατα λόγια· καὶ ὅτι τὰ τοιαῦτα τῶν πραγμάτων χρήζει τῆς παρασκευῆς τινὸς καὶ ἑτοιμασίας ψυχικῆς τε καὶ σωματικῆς. δεῖται συντόνου νηστείας, δεῖται προσευχῆς ἐπιμόνου· αἷς χρησαμένῳ σοι καὶ αὐτῷ εἰς κάθαρσιν τοῦ νοός σου, ἀποκαλυφθήσεταί σοι τὸ πρακτέον παρὰ Θεοῦ. φιλεῖ γὰρ τὰ τοιαῦτα ταῖς καθαραῖς ἐγγίνεσθαι διανοίαις. Πρόσεχε τοίνυν σαυτῷ, καὶ ἄπελθε ἐν εἰρήνῃ, τοῦ Θεοῦ σε διατηροῦντος ἀνώτερον ἐχθρῶν πάντων ἀοράτων, καὶ ὁρατῶν. Καὶ οὕτως ἀπολύει αὐτόν. Ὁ δ' ἐπανῆκε τὴν μετὰ ταῦτα φαιδρῷ τῷ προσώπῳ, λέγων αὐτῷ· Ἴσθι τίμιε Πάτερ, ὅτι πυρὸς μέσον χορεύοντα καθ' ὕπνον ἐμαυτὸν εἶδον, ὡς οἱ ἐν Βαβυλῶνι τρεῖς Παῖδες ποτὲ, καὶ εὔελπις εἰμὶ συνάρσει Θεοῦ, ὡς ὁ σκοπός μου εὐοδωθήσεται. Ἀλλὰ καὶ αὐτὸς ταῖς εὐχαῖς σου καθόπλισόν με παρακαλῶ. Ὁ Θεὸς ἐνισχύσαι σε, τέκνον, εἶπεν ἐκεῖνος, ὥστε καὶ τὸν Λυαῖον νικῆσαι, τὸν ἀφανῆ δράκοντα δηλονότι, καὶ ὑπὲρ Χριστοῦ μαρτυρῆσαι. Καὶ εὐλογήσας, ἀφῆκεν ὑπάγειν αὐτόν. Ἐλθόντος οὖν ἐν τῷ ἐργαστηρίῳ αὐτοῦ, ὡς εἶδον ἐκεῖνοι, ἤρξαντο λέγειν πρὸς ἀλλήλους· Οὐχ οὗτός ἐστιν ὁ τὸν Χριστὸν αὐτοῦ ἐν Τρίκκῃ ἐξομοσάμενος; πῶς πάλιν τὰ τοῦ Χριστοῦ φρονῶν καὶ ἔστι, καὶ φαίνεται; Ἐμβλέψας δὲ αὐτοῖς βλοσυρὸν, περὶ ἐμοῦ τὰ τοιαῦτα, ἢ περὶ ἄλλου τινὸς, ἔφη, λέγετε; Οἱ δὲ, περὶ σοῦ, ἀντέφησαν, καὶ οὐκ ἄλλου φαμέν· ἢ οὐκ ἀληθῆ φαμέν; καὶ ὃς, μή μοι γένοιτο, ἀπεκρίνατο, τοσαύτη παρὰ Θεοῦ ἐγκατάλειψις τώποτε, ὥστε με τὸν Χριστὸν ἐξαρνήσασθαι. Οὐδέ γε ἐξωμοσάμην ἔγωγε ἄλλοτε, οὔτ' ἐν Τρίκκῃ, οὔτ' ἀλλαχοῦ, μηδέ μοι γένοιτο τώποτε τοῦτο. ἀλλ' ἐν αὐτῷ τῷ Χριστῷ καὶ ζῶ, καὶ ζήσομαι, καὶ σὺν αὐτῷ, καὶ ὑπὲρ αὐτοῦ εὐγνωμόνως τεθνήξομαι. Ταῦτα ἐκεῖνοι ἀκούσαντες, καὶ τὴν παῤῥησίαν μισήσαντες, διὰ τὸ μετὰ θράσους μᾶλλον, ἢ θάρσους εἰπεῖν, ἀναστάντες εὐθὺς τῶν ἐργαστηρίων, ἀλλήλους ἐγκελευσάμενοι, καὶ συνωμοσίαν ἐπὶ τούτῳ, οἷα δὴ φιλοῦσι ποιεῖν ἑκάστοτε, ποιησάμενοι· τέχνην γὰρ ὥσπερ τινὰ τοῦτο πεποίηνται· ἕλκουσιν ἐπὶ βῆμα μετὰ βίας αὐτόν. Ὁ δὲ, εἰ δεῖ τ' ἀληθὲς εἰπεῖν, εἷλκε μᾶλλον, ἢ εἵλκετο. Οὕτως ἑκόντι, οὕτω φαιδρῷ εἵπετο τῷ προσώπῳ, ὡς εἴποις ἂν εἰς γάμους βαδίζειν κεκλημένον αὐτόν. Καὶ τὸ πρῶτον τὰ ἐγκαλούμενα εἰς ἔλεγχον προὔφερον, αὐτοὶ καὶ μάρτυρες ὄντες, καὶ ἐνάγοντες, καὶ κριταὶ, κατὰ τὸ αὐτοῖς εἰωθός. Καὶ μετὰ τοὺς ἐλέγχους, μεταβληθῆναι δῆθεν εἰς τὸ ἡμέ-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρον ὑπεκρίνοντο· καὶ μετὰ πρᾳότητος ὅτι πολλῆς, μετατεθῆναι τοῦτον ἐζήτουν τε, καὶ τὴν εἰς Χριστὸν ἐξομόσασθαι Πίστιν ἀνέπειθον. Ὡς δ᾽ ἐλέγχοντα εἶδον τὴν τούτων ἀπόνοιαν, καὶ μηδ᾽ αὖ ἔτι καὶ γένοιτο, τὸ εἰς τὸν Χριστὸν ἀθετῆσαί ποτε διϊσχυριζόμενον σέβας, ἤδη ἐχώρουν πρὸς ἀπειλάς, καὶ μετ᾽ αὐτὰς εἰς ὕβρεις, καὶ προπηλακισμούς· ἃ πάντα ὁ γενναῖος ἐκεῖνος εἰς οὐδὲν ἐλογίζετο· καὶ τελευταῖον εἰς αἰκισμούς· δεινότατα γὰρ ᾐκίσαντο. Ἐπεὶ δὲ οὐ μετέπειθον, πάντων ἀπογνόντες, ὅλοι τῆς ἀπειθείας ἑαυτῶν γίνονται. Ἀλλ᾽ ὅμως χώραν σκέψεως καὶ οὕτω δεδώκασιν, ἐναποκλείσαντες τῇ εἱρκτῇ. Τῇ δὲ ἑξῆς ἐξαγαγόντες αὐτόν, καὶ πυθόμενοι, ὡς εὕρισκον οὐδὲν ἐνδόσιμον ἔχοντα, τραχέσιν αὖθις ῥάβδοις ταῖς παρ᾽ αὐτοῖς διπλαῖς οὕτωσὶ λεγομέναις, μαστίξαι προσάττουσιν οἱ ἀνηλεεῖς, ἐπιμόνως αὐτὸν τιμωρούμενοι. Ὁ δὲ στεῤῥὸς ἐκεῖνος ἀδάμας, σιγῇ τὰς τύψεις ὑπέμενεν, ὡς μηδὲ αὐτὸν εἶναι δοκεῖν τὸν τυπτόμενον. ἀλλ᾽ ἐν γενναίῳ πάνυ καὶ ἀπτοήτῳ φρονήματι, νουθετῶν μὲν ἑαυτόν, καὶ πρὸς τὸν ὑπὲρ Χριστοῦ ὑπαλείφων ἀγῶνα· εὐχόμενος ἠρέμα καὶ καθ᾽ ἑαυτὸν τοιαῦτα, ὥς γε εἰκάζειν ἐνῆν· Ἐνίσχυσόν με μόνε Δυνατέ· δός μοι δύναμιν, δός μοι κραταίωσιν, καὶ χεῖρά μοι βοηθείας ἐξ ἁγίου σου κατοικητηρίου κατάπεμψον. Καὶ ταῦτα μὲν ἴσως πρὸς τὸν Θεόν. Πρὸς δὲ τοὺς ἐναντίους, τίς ἂν εἴποι ἀρκούντως, τὰς μετὰ πολλῆς ὅτι συνέσεως καὶ παῤῥησίας ἀποκρίσεις αὐτοῦ; ἢ πῶς ἀπεσόμιζε τοὺς βλοσυροὺς ἐκείνους ἐχθροὺς τὴν ὀφρῦν; τοὺς ἄντικρυς καταπιεῖν βρενθυομένους αὐτόν; Ἐμέ, πρὸς αὐτοὺς λέγων, οὐδὲν τῶν τοῦ Κόσμου τούτου νομιζομένων καλῶν, ἢ κακῶν, τῆς προθέσεως μεταστῆσαι δυνήσεται. μὴ γένοιτό μοι ἐναντία φρονῆσαι ποτὲ ἄλλα, ἢ ἃ φρονοῦσι Χριστιανοί. μὴ ταῖς ὑμῶν ὑπεῖξαι θωπείαις, μὴ θροηθῆναι ταῖς ἀπειλαῖς. Ὃ ἂν εἴη βουλομένοις ὑμῖν, τοῦτο δὴ καὶ ποιήσατε. Ἐν βραχεῖ τῆς ἐνταῦθα ζωῆς με στερήσατε, ὡς αὖ θᾶττον τῇ αἰωνίῳ με παραπέμψητε. Τοῦ Χριστοῦ ἐγὼ δοῦλος, τοῦ Χριστοῦ ὀπαδός εἰμι· σὺν Χριστῷ καὶ θανοῦμαι, καὶ ζήσομαι. Θυμοῦ πλησθέντες οἱ δικάζοντες ἐπὶ τούτοις, μεταστῆσαι τοῦτον ἀφ᾽ ἑαυτῶν διὰ ταχέως ἐκέλευσαν. Οἱ δὲ δραξάμενοι, μεθιστῶσι σύῤῥοντες τοῦτον, τῶν τε τριχῶν ἕλκοντες, καὶ κατὰ παρειῶν τύπτοντες· τί μὴ λέγοντες; τί μὴ ποιοῦντες; καὶ πάλιν τῇ εἱρκτῇ ἐναποκλείουσιν, εἰς ἄλλην ταμιεύσαντες τὴν ἐξέτασιν. Ἧς τῇ ἑξῆς ἐκβάλλοντες, ὑπὲρ οὗ τοσαύτην ποιοῦνται ἠρώτων τὴν ἔνστασιν. Ἐπεὶ δὲ ἤκουσαν οὕτω τοι στεῤῥῶς τοῦτον ἀποκρινόμενον, καὶ τὰ αὐτὰ λέγοντα ὡς καὶ πρότερον, ἀνηλεῶς μαστίζειν αὖθις ἐκέλευον· καὶ ὥσεὶ τινὰ κακοῦργον ῥίπτουσι κατὰ τῆς γῆς, καὶ τύπτουσιν ἀπηνῶς. Καὶ οἱ μὲν ἐμάστιζον, καὶ ὅση γε ἰσχὺς ἔτυπτον· ὁ δὲ εἰς Οὐρανὸν καὶ νοῦν ἀνατείνας, καὶ ὄμμα, Χριστὸς ἀνέστη, καὶ τὰ λοιπὰ τῆς ᾠδῆς ἐπέψαλλε κάμνων. Καὶ ἦν ὁρᾷν τὸ μὲν σῶμα ἐκείνου ὅλον καταξανθὲν ταῖς μάστιξι, κρουνοὺς δὲ αἱμάτων προεκχεομένους τοῦ σώματος, καὶ τὸ ἔδαφος ὑπ᾽ αὐτῶν φοινισσόμενον. Ὁ δὲ γενναῖος τῷ ὄντι Νεανίας ἐκεῖνος, τὴν κεφαλὴν διαίρων συνεχῶς, μαστίζετε, μαστίζετε ἔλεγε, τύπτετε ὡς ἰσχὺς ὑμῶν. ἐμὲ γὰρ ὑποκλῖναι τοῖς ὑμῶν θελήμασιν, οὐκ ἰσχύσετέ ποτε. Βλέποντες οὖν οὕτω γενναίως, οὕτω στεῤῥῶς ὑπομένοντα τὰς βασάνους, τὸ μὲν, τὴν ἧτταν ὥσπερ ἐπαισχυνόμενοι, τὸ δέ, τὴν σφῶν αὐτῶν θρησκείαν ἀντιποιούμενοι, καὶ οἷον ἐκθηριούμενοι, τό γε νῦν εἶναι, φρουρᾷ, καὶ τοῖς δεινοῖς τῆς φρουρᾶς παραδιδοῦσι καὶ παραπέμπουσι, κάμψαι τοῦτον οὕτω νομίζοντες, καὶ τῷ ἑαυτῶν ὑπεῖξαι θελήματι. Ἐπεὶ δὲ ἡμέραι παρῆλθον οὐ πολλαί, ἐξαγαγόντες αὖθις, καὶ πεῖραν αὐτοῦ ποιησάμενοι, ὡς εὗρον τὸν αὐτὸν στεῤῥόν, καταδικάζουσιν αὐτοῦ τὸν διὰ πυρὸς θάνατον. Ἔνθεν τοι καὶ εἷλκον τοῦτον ὡς βόσκημα, ἢ μᾶλλον εἰπεῖν ὡς ἀρνίον ἄκακον εἰς τὸ ὑπὲρ Χριστοῦ τυθῆναι ἀγόμενον. Ἐν τῷ μεταξὺ δὲ τὴν ἐπὶ θάνατον ἄγοντες, ἀνηλεῶς ταῖς ὕβρεσιν ἔπληττον, ἔτυπτον, ἐκολάφιζον. Ἐπεὶ δ᾽ ἀφίκοντο ὅπου δὴ τέλος δοῦναι προὔκειτο, ἅψαντες πυράν, τοῦτον ἐπέβαλον, μᾶλλον δ᾽ αὐτομόλως αὐτὸς ἐπεπήδησε τῇ πυρᾷ, ἀγαλλομένῳ χορεύων ποδί. Οἱ δὲ φειδόμενοι τούτου, ἐξήγαγον τῆς πυρᾶς, ταῖς οἷς παρεδέδετο ἁλύσεσιν ἕλκοντες. Ὁ δὲ δυσανασχετῶν, τί οὐκ εἴατέ με ἐν τῇ πυρᾷ, ἔλεγεν; ἵνα τί οὐκ ἀφίετε ὁλοκαυτωθῆναι, καὶ θυσίαν εὐπρόσδεκτον τῷ Χριστῷ μου γενέσθαι με; Ἐκεῖνοι δὲ τὸν μὲν διὰ πυρὸς θάνατον,



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

νατον, πικρὸν μὲν, καὶ ἄλλως ὀδυνηρὸν ὄντα ἤδεσαν· ἀλλ' ὡσανεὶ φειδόμενοι τοῦ πυρὸς, μήπω χριστιανοῖς χρανθῇ μιχθὲν αἵμασι. (πυρσολατροῦσιν ὡς ἔοικε) νεύσαντες τινὶ τῶν δημίων, μαχαίρᾳ τοῦτον ἀποκεφαλίσαι ἐποίησαν. Τὸ δὲ σῶμα πεσὸν ὕπτιον, ἐναπερρίφη τε τῇ πυρᾷ, καὶ ὡλοκαυτώθη· βραχυτάτων λειψάνων παραιρεθέντων μετὰ τῆς κεφαλῆς ἐν τῇ σποδιᾷ, καὶ ὑπό τινων φιλοχρίστων ἀναληφθέντων μετὰ ταῦτα πανευλαβῶς. Οὕτω μὲν τὰ κατὰ θυμὸν ἔπλησαν οἱ ἄδικοι δικασταί· ὁ δὲ, οὕτω τῶν κατ' ἔφεσιν ἔτυχεν. Ἐγὼ δὲ οἶμαι, καὶ ἀληθῶς πάντως οἶμαι, Ἄγγελοι καὶ τὴν τούτου ψυχὴν, ὡς καὶ τὰς τῶν πρὸ αὐτοῦ Μαρτύρων μετ' εὐφημίας ὅτι πολλῆς, καὶ μετ' ἀγαλλιάσεως καὶ εὐφροσύνης παρέπεμψαν. Οἱ γὰρ χαίροντες ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι, ὡς αὐτὸς ὁ Κύριος εἴρηκε, πῶς οὐκ ἐχάρησαν ἐπὶ τῷ ὑπὲρ Χριστοῦ θανόντι; καὶ πρὸς τὸ τοῦ μαρτυρίου στάδιον γενναίως οὕτωσὶ, καὶ ἐν πάνυ νέᾳ ἀποδυσαμένῳ τῇ ἡλικίᾳ; Καὶ ὄντως εὐφράνθησαν, βεβαίως ἐκρότησαν, καὶ τὸν ἐνισχύσαντα Χριστὸν αὐτὸν καὶ ὕμνησαν, καὶ ἐδόξασαν. Ἐγὼ δ' ἂν διισχυρισαίμην καὶ τοῦτο, ὅτι πολλοὺς συνάθλους δυνάμει οὗτος πεποίηκε, καὶ μεγίστη τοῖς μετ' αὐτὸν πρὸς τὸ θαῤῥεῖν ὑπόθεσις γέγονε. καὶ τῆς ἄνω Βασιλείας κρυφίους, ἵνα οὕτως εἴπω, κληρονόμους εἰργάσατο. Ἀνεχαιτίσθησαν γὰρ τῶν ἡμετέρων πολλοὶ, καὶ ἐνεδυναμώθησαν, στερεωθέντες τούτου τῷ ὑποδείγματι, τοῦ μὴ ἐξόμνυσθαι ῥᾳδίως οὕτω τὴν καθ' ἡμᾶς θρησκείαν ὡς πρότερον. Ἡμᾶς δὲ εὐχαριστήσωμεν τῷ καὶ ἐφ' ἡμῶν τοιαῦτα διενεργήσαντι Χριστῷ τῷ Θεῷ, καὶ τῷ δι' οὗ ταῦτα εὐεργετήθημεν ἐν ἀνωμάλοις οὕτω καὶ ταῦτα καιροῖς Ἰωάννῃ τῷ Μάρτυρι. Οὗ ταῖς πρεσβείαις ὁ Θεὸς, ἐλεῆσαι, καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Φωστὴρ φαεινὸς, τὴν Πατρίδα σου καθάπερ καταυγάζεις· καὶ καταλάμπεις τὸ Βυζάντιον, ταῖς λαμπηδόσι τῶν ἄθλων σου· ὅπου πανοίδιμον τέλους, τοῦ μακαρίου ἐπέτυχες· ἀλογητὸς εἶ ἐκβοῶν, ὁ τῶν Πατέρων Θεός.

Χοροῖς ἀθλητῶν, καὶ Ἀγγέλων ἱεροῖς συνηριθμήθης. σὺν οἷς Τρισμάκαρ καθικέτευε, ἁμαρτιῶν εὑρεῖν ἄφεσιν, τοὺς τὴν ἱερὰν εὐφημοῦντας, καὶ ἁγίαν σου ἄθλησιν, καὶ ἐκτελοῦντάς σου πιστῶς, νῦν τὰ μνημόσυνα.

Ψυχαῖς τῶν πιστῶν, ἀντεισήγαγες τὴν σὴν παραμυθίαν· ἀντὶ πολλῶν Μάρτυς τῶν θλίψεων, αἷς ὁσημέραι συνείχοντο, βλέποντες Χριστὸν ἀρνουμένους, πολλοὺς ἀφρόνως ἑκάστοτε· ὧν τὴν ἀκάθεκτον ὁρμὴν, σὺ προανέστειλας.

Θεοτοκίον.

Ὦ Λόγε Θεοῦ, παρακλήσεσι τῆς σὲ Γεννησαμένης, καὶ Ἰωάννου τοῦ σοῦ Μάρτυρος, ταῖς θερμοτάταις δεήσεσιν, οἰκτειρον ἐλέησον σῶσον, ἀβλαβεῖς διαφύλαξον, ἀπὸ παντοίων πειρασμῶν, τοὺς σοὺς θεράποντας.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ἐρωτάτῳ σου νοῒ, πρὸς τὰ ἄνω ἐκδημήσας Μάκαρ ὅλως· οὐκ ἐφρόντισας ξίφους, οὐδ' αἰκισμοῦ, οὐ πυρός. ὥς τις δὲ μὴ πάσχων διέκεισο, μόνον ἀποβλέπων, πρὸς τοὺς ἐκεῖ στεφάνους.

Ὁ Λογισμός σου Ἀθλητὰ, ἐγνωρίζετο δεινῶς αἰκιζομένου, βεβαιότερος ὄντως, εἰ καὶ τὸ σῶμα τὸ σὸν, αἰκίαις δεινῶς συνετρίβετο· αἱ γὰρ ἀντιδόσεις, ἐκούφιζον τοὺς πόνους.

Ὑπηρετῶν τὸ ἀκαμπὲς, καὶ μανίαν ἀπειλὴν τῶν δικαζόντων, στεῤῥοτάτως ὑπέστης, οὐδ' ὅλως πτήξας αὐτῶν, τῶν ἀπειλουμένων οὐδέτερον· ἀθανάτου δόξης, ἐπιθυμῶν τρυφῆσαι. Θεοτ.

Ὑ μόνη Λόγον ἐν γαστρὶ, τὸν τὰ πάντα συστησάμενον τῷ λόγῳ, συλλαβοῦσα ἀσπόρως Θεοκυῆτορ Ἁγνὴ, ὑπὲρ πάντα λόγον ἐγέννησας· ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ταῖς προσβολαῖς τῶν βασάνων, ταῖς πολλαῖς καὶ ποικίλαις, ἐνέδωκας οὐδόλως Ἀθλητά· ἀλλ' ἠγωνίζου στεῤῥότητι, καὶ ὑπέφερες πάσας, μεγάλως θαυμαζόμενος Σοφέ. διὸ πίστει τιμῶμεν, τοὺς ἱεροὺς ἀγῶνάς σου.

Ἰδοὺ συγχαίρει σοι ἅπας, τῶν Ἀγγέλων ὁ δῆμος· καὶ πάντων τῶν Μαρτύρων ἡ πληθὺς, τὸν Ὑπεράγιον Κύριον, εὐχαρίστως δοξάζει, καὶ σωτηρίαν ἄνωθεν ἡμῖν, ἐξαιτεῖ τοῖς ἐν πίστει, τιμῶσί σου τὴν ἄθλησιν.

Νικητικοῖς ὁ κοσμήσας, τὸν σὸν Μάρτυρα Λόγε, στεφάνοις καὶ κρατύνας κατ' ἐχθρῶν, ὁρατῶν καὶ ἀοράτων Σωτὴρ, κράτυνον καὶ τὸ κλέος τῆς ἡμῶν Ἐκκλησίας, ἀνεπηρέαστον ἀεὶ, πρεσβείαις τοῦ νέου τούτου Μάρτυρος.



Δημόσια Κεντρική Βιβλιοθήκη

Ὅλον ἐν σοὶ τὸν Σωτῆρα, ἀσοικισάμενος ὅλην, ἐκδέδωκας τὴν ἔφεσιν τὴν σὴν, πρὸς τὸν ποθούμενον ὄλβιε· αὐτὸς δέ σου τρισμάκαρ, κατεύθυνε τὰ σὰ πρὸς ἑαυτὸν, διαβήματα Μάρτυς, ὁμοῦ καὶ τὰ κινήματα. Θεοτ.

Ὑπὲρ ἡμῶν καμπτομένη, ταῖς ἀπαύστοις πρεσβείαις, δυσώπει τὸν Υἱόν σου καὶ Θεόν. σῶσον ἐλέησον οἴκτειρον, διατήρησον βλάβης, καὶ πάσης δυσμενῶν ἐπιβολῆς, τοὺς ἐν πίστει καὶ πόθῳ, τιμῶντάς σε Παναμώμε.

Ἐξαποστειλ. Τῶν Μαθητῶν.

Τῶν Ἀθλητῶν τὸ κλέος ὁ Ἰωάννης, ᾠδαῖς ἐναρμονίοις εὐφημείσθω· οὗτος γὰρ ἠλόγησε τοῦ σώματος, καθὰ φθείρεσθαι μέλλοντος· πολλὰς βασάνους ἐνέγκας, διὰ Χριστοῦ τὴν ἀγάπην.

Εἰς τοὺς Αἴνους, στιχ. ἦχ. πλ. β΄. Τριήμ. ἀνέστης.

Σήμερόν σε ἄγχου εἱρκτῇ, δεσμὰ σὺν ταῖς ἁλύσεσι, τετυμμένον, ᾐκισμένον χαλεπῶς. ἐξῆγον οὖν σε πάλιν, καὶ πάλιν ἐμάστιγον· ἀλλ' ἐκαρτέρεις ὡς ἀδάμας στερρός.

Σήμερον ἐκ τάφου Χριστὸν, τὸν ἀναστάντα σέβομαι, καὶ λατρεύω, ὡς Θεῷ Ἀληθινῷ. τί μοι παρενοχλεῖτε; οὐκ ἂν ποτ' ἀρνηθείην, τὸν Κτίστην καὶ Δημιουργὸν τοῦ παντός.

Σήμερον διῆλθε Χριστοῦ, τὸ τότε ἡ Ἀνάστασις, ὅτε οἱ ἀλλοτριόφρονες φονεῖς, περιεκύκλωσάν σε, ἄγριοι ἅτε θῆρες, ζητοῦντες αἷμα τὸ ἐκχέαι τὸ σόν. Δόξα. Ὅμοιον.

Τριάδα τοῖς προσώποις ὑμνῶ, Πατέρα Υἱὸν σὺν Πνεύματι· ἓν τὰ Τρία, καὶ τὰ τρία αὖθις ἕν, Συνάναρχα τὰ τρία, Ὁμότιμα τὰ τρία, ὁμοῦ τὰ τρία σύμφυῆ, καὶ τὰ αὐτά. Καὶ νῦν. Θεοτ.

Ἀντίληψίς μου Κόρη σὺ εἶ. σὺ εἶ ἡ σωτηρία μου. σύ μου τεῖχος, σύ μου εἶ καταφυγή. σὺ ἀγαλλίαμά μου, σύ μου ἐλπὶς βεβαία. λύτρωσαι πάσης με κακώσεως.

Εἰς τὴν Λειτουργίαν, ζήτει εἰς Μάρτυρα.

Εἰς τὰς ιθ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Παλαιολαυρίτου. τὴν Ἀκολουθίαν ζήτει εἰς Ὅσιον.

Εἰς τὴν κ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Τριχινᾶ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Εἰς τὰς κα΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἰανουαρίου, καὶ τῆς συνοδίας αὐτοῦ· καὶ τοῦ Ἁγίου Ἱερομάρτυρος Θεοδώρου τοῦ ἐν Πέργῃ· ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρας.

Εἰς τὰς κβ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Συκεώτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

## Τῷ αὐτῷ Μηνὶ ΚΓ΄.

### Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου.

Ἑσπέρας, ἐν τῷ μεγάλῳ Ἑσπερινῷ στιχολογοῦμεν τὸ α΄. Ἀντίφωνον, τὸ, Μακάριος ἀνήρ· Ἐὰν δὲ τύχῃ ἐν Κυριακῇ, καὶ τὸ ἐπίλοιπον τοῦ Καθίσματος.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στιχ. η΄. καὶ ἐν Κυριακῇ στιχ. ι΄. Καὶ εἰ μὲν τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, λέγομεν τῆς Ἑορτῆς ς΄. καὶ τοῦ Ἁγίου δ΄. εἰ δ' ἐν ἄλλῃ Κυριακῇ, Ἀναστάσιμα δ΄. καὶ τῆς Ἑορτῆς γ΄. καὶ τοῦ Ἁγίου γ΄. Δόξα, τοῦ Ἁγίου. Καὶ νῦν, τῆς Ἑορτῆς. Εἰ δὲ αὖθις ἐν ἄλλῃ ἡμέρᾳ τύχῃ, τῆς Ἑορτῆς δ΄. καὶ τοῦ Ἁγίου δ΄. τοῦ Ἁγίου στιχ. προσόμοια, ἦχος δ΄. Αὐτόμελον.

Ὡς γενναῖον ἐν Μάρτυσιν, Ἀθλοφόρε Γεώργιε, συνελθόντες σήμερον εὐφημοῦμέν σε· ὅτι τὸν δρόμον τετέλεκας, τὴν Πίστιν τετήρηκας· καὶ ἐδέξω ἐκ Θεοῦ, τὸν τῆς νίκης σου στέφανον. ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν ἀσέβαστον μνήμην σου. Ὅμοιον.

Ῥωμαλαίῳ φρονήματι, πεποιθὼς ηὐτομόλησας, ὥσπερ λέων εὔδοξε πρὸς τὴν ἄθλησιν. ὑπερορῶν μὲν τοῦ σώματος, ὡς φθείρεσθαι μέλλοντος· τῆς ἀφθάρτου δὲ ψυχῆς, σοφῶς ἐπιμελούμενος. καὶ κολάσεων, πολυτρόποις ἰδέαις ἐπυρώθης, ὡς χρυσὸς κεκαθαρμένος, ἑπταπλασίως Γεώργιε. Ὅμοιον.

Τῷ Σωτῆρι συνέπαθες, καὶ θανάτῳ τὸν θάνατον, ἑκουσίως ἔνδοξε μιμησάμενος. συμβασιλεύεις λαμπρότατα, πορφύραν ἐξ αἵματος ἐνδυσάμενος φαιδράν· καὶ τῷ σκήπτρῳ τῶν ἄθλων σου, ἐγκοσμούμενος, καὶ στεφάνῳ τῆς νίκης διαπρέπων, ἀπεράντους εἰς αἰῶνας, Μεγαλομάρτυς Γεώργιε. Ὅμοιον.

Τῷ τῆς πίστεως θώρακι, καὶ ἐλπίδι τῆς χάριτος, καὶ Σταυροῦ τῷ δόρατι συμφραξάμενος, τοῖς ἐναντίοις ἀνάλωτος, ἐγένου Γεώργιε. καὶ ὡς θεῖος ἀριστεύς, τῶν δαιμόνων τὰς φάλαγγας, τροπωσάμενος, σὺν Ἀγγέλοις χο-



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

ρίας· τοὺς πιστοὺς δὲ, ἁγιάζων περιέπεις, καὶ διασώζεις καλούμενος. Δόξα, ἦχ. πλ. β'.

Ἐπαξίως τοῦ ὀνόματος, ἐπολιτεύσω στρατιῶτα Γεώργιε. τὸν Σταυρὸν γὰρ τοῦ Χριστοῦ ἐπ' ὤμων ἀράμενος, τὴν ἐκ διαβολικῆς πλάνης χερσωθεῖσαν γῆν ἐκαλλιέργησας. καὶ τὴν ἀκανθώδη θρησκείαν τῶν Εἰδώλων ἐκριζώσας, τῆς ὀρθοδόξου Πίστεως, κλῆμα κατεφύτευσας. ὅθεν βλυσάνας ἰάματα, τοῖς ἐν πάσῃ τῇ Οἰκουμένῃ πιστοῖς· καὶ Τριάδος γεωργὸς, δίκαιος ἀνεδείχθης. πρέσβευε δεόμεθα, ὑπὲρ εἰρήνης τοῦ Κόσμου, καὶ σωτηρίας τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, τῆς τυχούσης Ἑορτῆς. Εἴσοδος, τὸ, Φῶς ἱλαρὸν, τὸ, Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κεφ. μγ'. 9. Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς Μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι Μάρτυρες, καὶ ἐγὼ Μάρτυς, Κύριος ὁ Θεὸς, καὶ ὁ παῖς ὃν ἐξελεξάμην, ἵνα γνῶτε, καὶ πιστεύσητέ μοι, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς, καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεὸς, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα· ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός. Ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεὸς, ὁ λυτρούμενος ἡμᾶς ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Κεφ. γ'. 1. Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν. Καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα. οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ, συνήσουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ Κεφ. ε'. 16.
ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ Βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου. ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν Κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. συνεκπολεμήσει αὐτῷ ὁ Κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. ἀντιστήσεται αὐτοῖς Πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους Δυναστῶν. Ἀκούσατε οὖν
Βασιλεῖς, καὶ συνίετε, μάθετε Δικασταὶ πε- Κεφ. ς'. 1.
ράτων γῆς. Ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Εἰς τὴν Λιτὴν, εἰ τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, λέγεται πρῶτον τῆς Ἑορτῆς, εἶτα τοῦ Ἁγίου. Δόξα, τοῦ Ἁγίου, καὶ νῦν, τῆς Ἑορτῆς. Εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχῃ, τῆς τυχούσης Ἑορτῆς ἰδιόμ. ἕν, καὶ τοῦ Ἁγίου τὰ ἰδιόμ. ἦχος α'. Ἀνατολίου.

Ὁ λαμπρὸς ἀριστεὺς Γεώργιος, ἐν τῇ ἐνδόξῳ ἀθλήσει αὐτοῦ, τὰς ἄνω Δυνάμεις εὐφραίνων, καὶ σὺν αὐταῖς ἀγαλλόμενος νῦν, ἐπίγειον τοῖς πιστοῖς πανήγυριν ἤγειρε. καὶ συνεορτάζειν ἡμῖν, τοῖς δι' αὐτὸν ἠθροισμένοις,

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

ὡς Χριστοῦ δοῦλος παραγέγονε. διόπερ αὐτὸν ἀξίως τιμήσωμεν, ἀπαύστως πρεσβεύοντα τῷ τῶν ὅλων Θεῷ, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος. Ὁ αὐτός.

Ἀριστέας ἄθλων γεωργῶν τὰ κρείττονα, τοὺς πόνους τῶν καρπῶν σου, τῷ Χριστῷ προσήνεγκας, παμμακάριστε Μάρτυς Γεώργιε, πίστει πόθον ἐνστησάμενος, ἐλπίδι φόβον ἀπωσάμενος, ἀγάπῃ ἐκτήσω τὰ οὐράνια παγκόσμιε. παρρησίαν οὖν ἔχων ἐν προσδέκτοις δεήσεσιν, αἴτησαι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, ἱλασμόν τε ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος. Ὁ αὐτός.

Τοῦ μεγάλου Βασιλέως στρατιῶτα Γεώργιε, χαῖρε καὶ εὐφραίνου. Θεῷ γὰρ εὐηρέστησας, καὶ πάντων καταφρονήσας ζωὴν τὴν αἰώνιον ἔλαβες ἐν οὐρανοῖς. τὸ γὰρ σῶμά σου πᾶσαν νόσον, ἐξ ἀνθρώπων ἀπελαύνει. Χριστὸς γὰρ ὃν ἐπόθησας, αὐτός σε δοξάζει μακάριε. Ἦχος δ'.

Δεῦτε φιλομάρτυρες, ᾀσματικὴν ὑμνῳδίαν, τῷ ἀναστάντι ἐκ τάφου Χριστῷ προσάξωμεν. σήμερον γὰρ ἔαρ νοητὸν ἀνέτειλεν ἡμῖν περκάζον ἄνθη τὰ λογικά, ἡ παγκόσμιος μνήμη, Γεωργίου τοῦ σοφοῦ μεγαλομάρτυρος. οὗτινος τὰ στίγματα ἀνυμνοῦντες, κομιζόμεθα ἰαμάτων πηγάς. μεθ' ὧν καὶ νῦν αὐτὸν ἱκετεύσωμεν, τοῦ πρεσβεύειν ἀπαύστως τῷ Σωτῆρι Χριστῷ, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. α'. Θεοφάνους.

Ἀνέτειλε τὸ ἔαρ, δεῦτε εὐωχηθῶμεν. ἐξέλαμψεν ἡ ἀνάστασις Χριστοῦ, δεῦτε εὐφρανθῶμεν. ἡ τοῦ ἀθλοφόρου μνήμη, τοὺς πιστοὺς φωτίζουσα ἀνεδείχθη. διὸ φιλέορτοι, δεῦτε μυστικῶς αὐτὴν πανηγυρίσωμεν. οὗτος γὰρ ὡς καλὸς στρατιώτης, ἀντηρείσατο κατὰ τῶν Τυράννων, καὶ τούτους κατῄσχυνε. μιμητὴς γενόμενος τοῦ πάθους τοῦ Σωτῆρος Χριστοῦ, οὐκ ἠλέησε τὸ σκεῦος τὸ πήλινον τὸ ἑαυτοῦ. ἀλλὰ γυμνὸν ἀνεχάλκευσεν, ἐν βασάνοις αὐτὸ προσαμαβόμενος. αὐτῷ βοήσωμεν· Ἀθλοφόρε ἱκέτευε, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, τῆς Ἑορτῆς.

Εἰς τὸν στιχ. εἰ τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, λέγε τῆς Ἑορτῆς. εἰ δὲ ἐν ἄλλῃ Κυριακῇ, τὰ Ἀναστάσιμα στιχ. τοῦ στιχ. εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχῃ, λέγε εἰς τὸν στιχ. τοῦ Ἁγίου, στιχ. προσόμοια. ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν,

Χαίροις ὁ στρατιώτης Χριστοῦ, μαρτυρικῆς παρεμβολῆς ὁ ταξίαρχος. τὸ κλέος τῶν Ἀθλοφόρων, ὁ κατ' ἐχθρῶν δυσμενῶν, παρατεταγμένος ἀνδρικώτατα, καὶ τούτους τρεψάμενος, τῇ δυνάμει τοῦ Πνεύματος, ἣν ἐνεδύσω, τῇ νεκρώσει τοῦ σώματος, κατὰ μίμησιν, τῶν παθῶν τοῦ Κυρίου σου. χαίροις ὁ τοῖς τιμίοις σου, τὰ στίγματα μέλεσι, τούτου βαστάσας καὶ δόξης, συγκληρονόμος γενόμενος, καὶ τῆς ἀφθαρσίας. ᾧ καὶ πρέσβευε σωθῆναι, τοὺς ἀνυμνοῦντάς σε.

στιχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Χαίροις τῆς Ἐκκλησίας Χριστοῦ, καὶ Βασιλείας ὁ προστάτης καὶ πρόβολος. ὁ στῦλος τῆς εὐσεβείας, τὸ τῶν πιστῶν ἀρραγές, τεῖχος καὶ προσφύγιον Γεώργιε. ἐχθρῶν ἀμυντήριον, ἀσεβῶν ὀλετήριον, τῶν ἐν ἀνάγκαις ὁ προφθάνων ἐπίκουρος, ἑτοιμότατος, καὶ ταχὺς εἰς ἀντίληψιν. χαίροις ὁ ὀπτανόμενος, ὡς ζῶν καὶ ῥυόμενος, τοὺς ἐν δεσμοῖς καὶ δουλείαις, καὶ διασῴζων ἐκ θλίψεων, πανταχοῦ τοὺς πάντας. μεθ' ἡμῶν γενοῦ παρέχων καὶ νῦν τὴν χάριν σου.

στιχ. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ.

Χαίροις ὁ στεφανίτης Χριστοῦ, ὁ κατὰ Παῦλον ὑπὲρ πάντας ἐν Μάρτυσιν, ὡς οὗτος ἐν Ἀποστόλοις· ὁ τοῖς ἀγῶσι λαμπρόν, γεγονὼς τῷ Κόσμῳ Μάρτυς θέατρον· ὁ πᾶσαν τοῖς θαύμασιν, ὡς αὐτὸς τῷ κηρύγματι, τὴν Κτίσιν μάκαρ, διελθὼν καὶ τὴν δύναμιν. τοῦ Κυρίου σου καταγγείλας τὴν ἄφραστον. χαίροις ὁ τὴν οὐράνιον, πλουτήσας ἀνάβασιν, καὶ κοινωνὸς σὺν Ἀγγέλοις, τῶν ὑπὲρ γνῶσιν γενόμενος, καὶ σκεῦος χαρίτων. ἃς Γεώργιε παρέχεις, τοῖς εὐφημοῦσί σε.

Δόξα, ἦχος δ'. Τοῦ Στουδίτου.

Τὸν νοερὸν ἀδάμαντα, τῆς καρτερίας ἀδελφοί, πνευματικῶς εὐφημήσωμεν, Γεώργιον τὸν ἀοίδιμον Μάρτυρα. ὃν ὑπὲρ Χριστοῦ πυρούμενον, ἐχάλκευσαν κίνδυνοι, καὶ ἐστόμωσαν βάσανοι, καὶ ποικίλαι κολάσεις ἀνήλωσαν, σῶμα τὸ φύσει φθειρόμενον. ἐνίκα γὰρ ὁ πόθος τὴν φύσιν, διὰ θανάτου πείθων τὸν ἐραστήν, διαβῆναι πρὸς τὸν ποθούμενον, Χριστὸν τὸν Θεόν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, τῆς Ἑορτῆς. Ἀπολυτίκιον, ἦχος δ'.

Ὡς τῶν αἰχμαλώτων ὁ ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων

ἰατρὸς Βασιλέων ὑπέρμαχ☉, τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Δίς.

Καὶ τῆς Ἑορτῆς ἅπαξ. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων. Τροπ. τῆς Ἑορτῆς, καὶ τὸ, Θεοτόκε Παρθένε. ἅπαξ. Εἰς δὲ τὸν Ὄρθρον εἰς τὸ, Θεὸς Κύριος. Τροπ. τῆς Ἑορτῆς, καὶ τὸ Ἁγίου, καὶ πάλιν τῆς Ἑορτῆς.

Μετὰ τὴν α΄. στιχολ. κάθισμα τῆς Ἑορτῆς. εἰς δὲ τὴν β΄. στιχολ. κάθισμα τοῦ Ἁγίου, ἦχ☉ α΄.

Τὸν τάφον σου Σωτήρ.

Ἀ'Νέτειλεν ἰδοὺ, τὸ τῆς χάριτος ἔαρ· ἐπέλαμψε Χριστοῦ, ἡ Ἀνάστασις πᾶσι, καὶ ταύτῃ συνεκλάμπει νῦν, Γεωργίου τοῦ Μάρτυρος, ἡ πανέορτος, καὶ φωτοφόρος ἡμέρα. δεῦτε ἅπαντες, λαμπροφοροῦντες εὐθέως, φαιδρῶς ἑορτάσωμεν. Καὶ τῆς Ἑορτῆς.

Μετὰ δὲ τὸν Πολυέλεον κάθισμα. ἦχ☉ γ΄.

Θείας Πίστεως.

Ἠ Ὁ'θῳ ζέοντι τῷ τοῦ Δεσπότου, πυρπολούμενος ἀνδρειοφρόνως, τὰ τῆς πλάνης τεμένη κατέβαλες, καὶ ἐν σταδίῳ Χριστὸν ὡμολόγησας, τροπαιοφόρε παμμάκαρ Γεώργιε. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλε☉.

Ἕτερον, ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Γ Εωργήσας ἐμμελῶς, ἀπόρον τῶν θείων ἐντολῶν, διεσκόρπισας πτωχοῖς, ταῦτα τὸν πλοῦτον εὐσεβῶς, ἀντικτησάμεν☉ ἔνδοξε Χριστοῦ τὴν δόξαν. ὅθεν πεποιθὼς, πρὸς ἀγῶνας χωρεῖς, καὶ πόνους τοὺς μακροὺς Μάρτυς Γεώργιε· καὶ κοινωνὸς γενόμεν☉ τοῦ πάθους, τοῦ ἀπαθοῦς, καὶ ἐγέρσεως, τῆς Βασιλείας, αὐτοῦ μετέχεις, ὑπὲρ ἡμῶν νῦν δεόμεν☉.

Καὶ τῆς Ἑορτῆς.

Οἱ Ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμ. ἦχ☉ δ΄.

Δίκαι☉ ὡς φοῖνιξ ἀνθήσει.

στίχ. Πεφυτευμέν☉ ἐν τῷ οἴκῳ Κυρίου.

Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον ζήτει εἰς τὴν Ἑορτὴν τοῦ μεγάλου Δημητρίου, τῇ κς΄. τοῦ Ὀκτωβρίου Μηνός. ὁ Ν΄. Δόξα, Ταῖς τοῦ Ἀθλοφόρου. Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

στίχ. Ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ Ἰδιόμελον, ἦχ☉ πλ. β΄.

Σ Ἤμερον ἡ Οἰκουμένη πᾶσα, ταῖς τοῦ Ἀθλοφόρου αὐγάζεται ἀκτῖσι· καὶ ἡ τοῦ Χριστοῦ Ἐκκλησία, τοῖς ἄνθεσιν ὡραϊζομένη, Γεώργιε βοᾷ σοι· θεράπων Χριστοῦ, καὶ προστάτα θερμότατε, μὴ ἐλλείπῃς πρεσβείαν ὑπὲρ ἡμῶν πρὸς Κύριον.

Τοὺς δὲ Κανόνας ψάλλομεν οὕτως. Εἰ μὲν τύχῃ τοῦ Ἁγίου Γεωργίου τῇ Κυριακῇ τοῦ Θωμᾶ, ψάλλομεν τὸν Κανόνα τῆς ἡμέρας εἰς ή. μετὰ τῶν Εἱρμῶν, καὶ τοῦ Ἁγίου εἰς ς΄. Εἰ δὲ τύχῃ ἐν ἄλλῃ Κυριακῇ, ψάλλομεν τὸν Κανόνα τῆς Ἑορτῆς, ἤγουν τὸ, Ἀναστάσεως ἡμέρα, εἰς ς΄. τῆς ἡμέρας εἰς δ΄. καὶ τοῦ Ἁγίου εἰς δ΄. Εἰ δὲ τύχῃ ἐν ἄλλῃ ἡμέρᾳ τῆς ἑβδομάδος, ψάλλομεν τὸν Κανόνα, τὸ, Ἀναστάσεως ἡμέρα, μετὰ τῶν Εἱρμῶν εἰς ή. καὶ τοῦ Ἁγίου εἰς ς΄. Εἰ δὲ τύχῃ τῆς Μεσοπεντηκοστῆς, τῆς Ἑορτῆς οἱ β΄. Κανόνες μετὰ τῶν Εἱρμῶν εἰς ί. καὶ τοῦ Ἁγίου εἰς δ΄.

Ὁ Κανὼν τοῦ Ἁγίου. οὗ ἡ ἀκροστ.

Θερμὸς πέφυκας Μάρτυς ὄντως προστάτης.

Ὠδὴ α΄. ἦχος β΄. Ἐν βυθῷ κατέστρωσε.

Θ Ερμοτάτῃ πίστει καὶ στοργῇ, τοὺς προσκαλουμένους σε, Μάρτυς Χριστοῦ στεφηφόρε Γεώργιε, παρεστὼς ὁλόφωτος, σεπτῷ βήματι τοῦ τῶν ὅλων Δεσπόζοντος, σοῦ ταῖς ἱκεσίαις, καὶ ταῖς προστασίαις διαφύλαξον.

Ε Ὑγενὲς γεώργιον Θεοῦ, γέγονας Γεώργιε, μαρτυρικαῖς γεωργούμενον πράξεσι· καὶ ὡς πλοῦτον ἔνδοξον, οὐρανίοις σε θησαυροῖς ἐναπέθετο, ὁ Ἀγωνοθέτης, ὡς διαφερόντως ἀθλήσαντα.

Ρ Ὠμαλαίως καὶ καρτερικῶς, ὥρμησας αὐτόκλητος, πρὸς τοὺς ἀγῶνας παμμάκαρ Γεώργιε· καὶ καταστρεψάμενος, τὴν ἀπίθασσον τῶν Τυράννων παράταξιν, πρέσβυς ὑπὲρ πάντων, τῶν προσκαλουμένων σε γεγένησαι.

Μ Ακαρίας ἔνδοξε ζωῆς, νῦν ἐπιλαβόμεν☉, τῆς ἐν Χριστῷ κρυπτομένης Γεώργιε, ὑπὲρ ἧς ἠγώνισαι μέχρις αἵματος, τοὺς ἐν πίστει ὑμνοῦντάς σε, αἴτησαι σωθῆναι, πάσης Ἀθλοφόρε περιστάσεως. Θεοτοκίον.

Ο Υ̓ρανὸς ἐγένου λογικὸς, Λόγον τὸν οὐράνιον, ἐν σῇ γαστρὶ Θεομήτωρ χωρήσασα. δι᾽ οὗ ταῦτα γέγονεν, Οὐρανός τε καὶ γῆ, καὶ τὰ τούτων ἐπέκεινα. ὅθεν παῤῥησίᾳ, πρέσβευε σωθῆναι τοὺς ὑμνοῦντάς σε.

Καταβασία. Ἀναστάσεως ἡμέρα.

Ὠδὴ γ΄. Ἐξῆνθησεν ἡ ἔρημ☉.

Σ Τεφάνῳ τῆς ἀθλήσεως, διαλάμπων ἔνδοξε, τοὺς εὐσεβῶς καλοῦντάς σε, λιτανείαις

νέων τῷ λυτρωτῇ καὶ Θεῷ, ἀπὸ πάσης ἀνάγκης Μάκαρ λύτρωσαι.

Ἠλυσίαις φωτιζόμενος, λαμπηδόσι πάνσοφε, τὴν ζοφερὰν ἀπέλασον, ἀθυμίαν καὶ τὴν ἀχλὺν τῶν παθῶν, ἀφ' ἡμῶν τῶν ἐν πίστει ἀνυμνούντων σε.

Ἐλπίδι στηριζόμενος, καὶ ἀγάπῃ πίστει τε, περιφραχθεὶς Γεώργιε· καὶ δυνάμει Χριστοῦ ῥωννύμενος, τῶν εἰδώλων τὴν πλάνην καταβέβληκας. Θεοτοκίον.

Φωτίζοντα τὰ πέρατα, Παναγία τέτοκας, μετὰ σαρκὸς τὸν Ἄσαρκον, καὶ πρὸ πάντων Πατρὶ συνάναρχον. Θεοτόκον διό σε πίστει σέβομεν.

Καταβασία. Δεῦτε πόμα πίωμεν.

Ποιητικόν. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Εὐσεβείας τοῖς τρόποις ἀνδραγαθῶν, ἀσεβείας τὴν πλάνην καταβαλών, Μάρτυς κατεπάτησας, τοῦ ἐχθροῦ τὰ φρυάγματα. τῷ γὰρ θείῳ ζήλῳ τὸν νοῦν πυρπολούμενος, τῶν εἰδώλων ἔσβεσας τὸ ἄθεον φρύαγμα. ὅθεν ἐπαξίως ἀμοιβὴν τῶν βασάνων, ἐδέξω τὸν στέφανον· καὶ παρέχεις ἰάματα, τοῖς ἐν πίστει προστρέχουσιν, ἀθλοφόρε Γεώργιε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Δόξα. Ὅμοιον.

Τὸν ἐπίγειον πλοῦτον τὸν ἐπὶ γῆς, διανέμων τοῖς πᾶσι, Μάρτυς σοφέ, πλοῦτον τὸν οὐράνιον, ἐκληρώσω τοῖς πόνοις σου. τὸν γὰρ Σταυρὸν τὸν ἄχραντον, ἐν σοὶ τεθωράκισαι. καὶ ἐν τούτῳ ἤχησας, Τυράννων τὸ φρύαγμα. ὅθεν σῇ πρεσβείᾳ, τοῖς αἰτοῦσί σε νέμοις, τὰ θεῖα δωρήματα, ἰαμάτων χαρίσματα, ἀθλοφόρε Γεώργιε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν, τῆς Ἑορτῆς. εἰ δὲ τύχῃ τῇ Κυριακῇ τοῦ Θωμᾶ, ἢ ἐν ἄλλῃ Κυριακῇ, λέγε πρῶτον τὸ Κοντάκιον τοῦ Ἁγίου, καὶ τὸν Οἶκον· εἶθ' οὕτω τὰ Καθίσματα.

Ὠδὴ δ'. Ἐλήλυθας.

Ὑμνοῦμέν σου, τοὺς ἀγῶνας παμμάκαρ Γεώργιε, δι' ὧν καταβέβληκας, τὰ τῶν εἰδώλων σεβάσματα· πᾶσαν δὲ κατήργησας, τὴν τῶν δαιμόνων ἀπάτην πανοίδιμε.

Κατάπαυσον, πειρασμῶν καὶ κινδύνων τὸν τάραχον· καὶ πᾶσαν ἐπήρειαν, τὴν τῶν δαιμόνων ἀπέλασον, ἀπὸ τῶν ὑμνούντων σε, ὡς τοῦ Χριστοῦ στρατιώτην ἀξιάγαστε.

Ἀνέτειλας, ὡς ἀστὴρ ἑωσφόρος Γεώργιε, ψυχῆς γενναιότητι, καὶ στηριγμῷ τῷ τῆς Πίστεως, πλάνης τὴν σκοτόμαιναν, ἀποδιώκων, καὶ σώζων τοὺς ὑμνοῦντάς σε. Θεοτοκίον.

Σωτηρίαν, ἐκνικῶσα Παρθένε γεγέννηκας, πλουσίᾳ χρηστότητι, καὶ φυσικῇ ἀγαθότητι, σώζουσαν τὸν ἄνθρωπον, καὶ τὴν φθαρεῖσαν εἰκόνα ἀναπλάττουσαν.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς.

Ὠδὴ ε'. Ὁ φωτισμός.

Μαρτυρικὴν, παρρησίαν ὡς ἔχων πρὸς τὸν Δεσπότην, αἴτησαι προθύμως τὴν σωτηρίαν, τοῖς σὲ ὑμνοῦσι, ψυχικῶν νοσημάτων, ἀπαλλάττων ταῖς σαῖς δεήσεσι, Μάρτυς ἀθλοφόρε, παμμάκαρ Γεώργιε.

Ἀγγελικοὺς, συγχορεύων ὡς Μάρτυς χοροστασίαις, καὶ τῆς ἀθανάτου καὶ μακαρίας, στεφανηφόρε ἐμφορούμενος δόξης, τοὺς τῇ σκέπῃ τῇ σῇ προστρέχοντας. πάσης τρικυμίας, καὶ ζάλης ἐξάρπασον.

Ῥῦσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης ὡς ἐλεήμων, τὸν τῆς ἁμαρτίας καὶ τῶν κινδύνων, ἐξαφανίζων πολυποίκιλον κλόνον, Γεωργίου τοῦ σοῦ θεράποντος, τὰς ἱκετηρίας Χριστὲ προσδεχόμενος. Θεοτοκίον.

Τὴν ὀφειλὴν, τῆς προμήτορος Εὔας σὺ Θεομήτωρ, ἀπήτησας σάρκα ἠμφιεσμένον, ἐκ σοῦ τεχθέντα, τὸν Σωτῆρα τοῦ Κόσμου. ὅθεν πάντες σε μακαρίζομεν, Κεχαριτωμένη, Παρθένε Πανάμωμε.

Ὠδὴ ς'. Ἐν ἀβύσσῳ πταισμάτων.

Ὑπὲρ φύσιν καὶ λόγον καὶ ἔννοιαν, τὰ τῆς ἀριστείας σου ἀνδραγαθήματα, διηνεκῶς ᾀδόμενα, παμμακάριστε Μάρτυς Γεώργιε.

Στρατιᾶς οὐρανίου συνόμιλος, Μάκαρ γεγονὼς, καὶ τὴν θείαν ἔμφανσιν, ὡς ἐφικτὸν θεώμενος, τοὺς τιμῶντάς σε πίστει διάσωσον.

Ὁλοτρόπως Θεῷ ἀνακείμενος, καὶ τὰς ἀστραπὰς τῶν θαυμάτων δεχόμενος, τὰς δωρεὰς τοῖς χρῄζουσι, διανέμεις παμμάκαρ Γεώργιε. Θεοτοκίον.

Νῦν πρὸς σὲ καταφεύγων Πανάχραντε, σῶσόν με πρεσβείαις σου καὶ διαφύλαξον· ὅσα γὰρ θέλεις δύνασαι, οἷα Μήτηρ τοῦ πάντα ἰσχύοντος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Κοντάκιον, ἦχος δ'. Ὁ ὑψωθεὶς.

Γεωργηθεὶς ὑπὸ Θεοῦ ἀνεδείχθης, τῆς εὐσεβείας γεωργὸς τιμιώτατος, τῶν ἀρετῶν τὰ δράγματα συλλέξας σεαυτῷ· σπείρας γὰρ ἐν δάκρυσιν, εὐφροσύνῃ θερίζεις· ἀθλήσας δὲ δι' αἵματος, τὸν Χριστὸν ἐκομίσω· καὶ ταῖς πρεσβείαις Ἅγιε ταῖς σαῖς, πᾶσι παρέχεις πταισμάτων συγχώρησιν. Ὁ Οἶκος.

Τὸν ὑπὲρ Κόσμου τῆς ζωῆς, τὴν ψυχὴν αὐτοῦ θέντα, Χριστὸν τὸν Βασιλέα, ποθῶν ὁ στρατιώτης, σπεύδει θανεῖν ὑπὲρ αὐτοῦ, ζῆλον μέγαν θεῖον ἐν καρδίᾳ ἐσχηκώς, αὐτὸς ἑαυτὸν προσήγαγε. τοῦτον οὖν καὶ ἡμεῖς πάντες, τὸν θεῖον Γεώργιον, ὡς θερμὸν προστάτην ἀνυμνήσωμεν πίστει, ὡς ἔνδοξον ὄντα Χριστοῦ δοῦλον, μιμούμενον σαφῶς τὸν ἴδιον Δεσπότην, καὶ αἰτούμενον τὸν Σωτῆρα, πᾶσι παρέχειν πταισμάτων συγχώρησιν.

Τῷ αὐτῷ Μηνὶ κγ'. Μνήμη τοῦ Ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου.

Στ. Ἐχθροὺς ὁ τέμνων Γεώργιος ἐν μάχαις,
Ἑκὼν παρ' ἐχθρῶν τέμνεται διὰ ξίφους.
Ἧρε Γεωργίου εἰκάδι τριτάτῃ αὐχένα χαλκός.

Οὗτος ὁ ἔνδοξος καὶ θαυμαστὸς καὶ μέγας Μάρτυς Γεώργιος, κατὰ τοὺς χρόνους ἦν Διοκλητιανοῦ τοῦ Βασιλέως, ἐκ Χώρας τῆς Καππαδοκῶν, γένους ἐπισήμου, ἐν ταῖς τῶν Τριβούνων στρατείαις διαπρέψας. Ἐν ᾧ δὲ ἀθλεῖν ἔμελλε, Κόμης ἦν τὴν ἀξίαν. Τοῦ οὖν Βασιλέως τὸν κατὰ τῶν Χριστιανῶν ὠδίνοντος πόλεμον, καὶ δόγμα ἐξενεγκόντος, τοὺς μὲν ἐξομνυμένους καὶ ἀθετοῦντας τὸν Χριστόν, τιμῶν βασιλικῶν καὶ δωρεῶν ἀξιοῦσθαι· τοῖς δὲ μὴ πειθομένοις, θάνατον εἶναι τὴν ζημίαν. Αὐτοὺς παρὼν ὁ Ἅγιος, Χριστιανὸν ἑαυτὸν ἀνεκήρυξε, τὴν τῶν εἰδώλων ματαιότητα διελέγχων καὶ αἰσχύνων, καὶ μυκτηρίζων τοὺς πιστεύοντας ἐπ' αὐτά. Εἶτα δὲ οὔτε κολακείαις, οὔτε ὑποσχέσεσι τοῦ Τυράννου, ἃς καὶ πολλὰς ἐποιεῖτο, ὑπεῖξεν, οὔτε ἀπειλαῖς, ἀλλὰ δῆλος ἦν πάντων ὑπερορῶν· πρῶτον μὲν κοντῷ κατὰ τῆς γαστρὸς ἐλαύνεται. Τοῦ δὲ κοντοῦ τῆς μὲν σαρκὸς ἀψαμένου, ὥστε καὶ πολὺ αἷμα καταρρεῦσαι· ἀποστραφείσης δὲ τῆς αἰχμῆς, διέμενεν ὁ Ἅγιος ἀβλαβής. Εἶτα ἐν τροχῷ ἀκμαῖς σιδηραῖς ἡρμοσμένῳ δεθείς, κατὰ πρανοῦς ἀφίεται τοῦ πεδίου· καὶ τὸ σῶμα εἰς πολλὰ διαμερισθείς, αὖθις ὑγιὴς καθίσταται θείου Ἀγγέλου ἐπιστασίᾳ. Ἐμφανισθεὶς δὲ τῷ Βασιλεῖ, καὶ Μαγνεντίῳ τῷ συνέδρῳ αὐτοῦ, θύουσι τοῖς εἰδώλοις, ἐπὶ τῷ σῶος φανῆναι, πολλοὺς πρὸς τὴν εἰς Χριστὸν ἐπεσπάσατο Πίστιν. Οἳ τῇ τοῦ Βασιλέως προστάξει, ἔξω τῆς Πόλεως τὰς κεφαλὰς ἀπετμήθησαν. Προσῆλθε δὲ τῷ Χριστῷ καὶ ἡ Βασίλισσα Ἀλεξάνδρα, καὶ τοῦ Τυράννου ἐνώπιον τὸν Χριστὸν Θεὸν ὡμολόγησεν. Ἐπίστευσαν δὲ καὶ ἕτεροι πολλοὶ τῷ Χριστῷ, ἀβλαβῆ τὸν Ἅγιον ἐκ τοῦ λάκκου τῆς ἀσβέστου, ἐν ᾧ ἐβλήθη, ἰδόντες ἐξελθόντα. Μετὰ ταῦτα, κρηπῖσι σιδηραῖς ἥλους ἐχούσαις, τοὺς πόδας ἐμπείρεται, καὶ τρέχειν καταναγκάζεται. καὶ προσέτι, ξηροῖς νεύροις βοῶν τύπτεται ἀφειδῶς. Ἐπιζητήσαντος δὲ τοῦ Μαγνεντίου σημεῖον, εἰ ἀναστήσει τις τῶν κειμένων ἐν τῇ φαινομένῃ σορῷ, τῶν πρὸ πολλοῦ τὸν βίον ἀπολιπόντων, εὐξαμένου τοῦ Ἁγίου ἐπὶ τῷ τοῦ τάφου καλύμματι, ἀνέστη ὁ νεκρός, καὶ τῷ Ἁγίῳ προσεκύνησε, καὶ ἐδόξασε τὴν Θεότητα τοῦ Χριστοῦ. Ἐρωτήσαντος δὲ τοῦ Βασιλέως, τίς τε εἴη, καὶ πότε τὸν βίον ἀπέλιπε; τῶν πρὸ τῆς Χριστοῦ παρουσίας βιωσάντων εἶναι, εἶπε, καὶ διὰ τὴν πρὸς τὰ εἴδωλα πλάνην, ἐν τοσούτοις χρόνοις, ἤδη πυρὶ κατακαίεσθαι. Ἐφ' ᾧ πολλῶν τῷ Χριστῷ πιστευσάντων, καὶ ἀεὶ προστιθεμένων τῇ πίστει, τὸν Θεὸν μιᾷ φωνῇ ἐδόξαζον. Ἐν οἷς ἦν καὶ Γλυκέριος, οὗ τὸν βοῦν τελευτήσαντα ὁ Ἅγιος ἤγειρε. Τῷ δὲ τοιούτῳ θαύματι πρὸς τὴν εἰς Χριστὸν Πίστιν βεβαιωθείς, τὸν διὰ μαρτυρίου στέφανον ἐκομίσατο, ξίφεσιν ὑπὸ τῶν ἀπίστων εἰς πολλὰ κατατμηθείς. Πολλῶν οὖν ἔτι τούτοις τῷ Χριστῷ προσερχομένων· καὶ ἔτι διὰ τὸ τὸν Ἅγιον Μάρτυρα Γεώργιον εἰσελθόντα ἐν τῷ Ναῷ τῶν Εἰδώλων, ἑνὶ τῶν ξοάνων ἐπισκῆψαι εἰπεῖν, εἰ αὐτὸς εἴη Θεός, καὶ αὐτῷ δεῖ προσκυνεῖν; τὸν δὲ ἐν αὐτῷ δαίμονα ὀλοφυρόμενον ἀποκρίνεσθαι, ὡς μόνος Θεός ἐστιν ὁ Χριστός. καὶ ἐπὶ τούτῳ ταραχθῆναι τὰ Εἴδωλα πάντα, καὶ καταπεσεῖν καὶ συντριβῆναι. Μηκέτι δὲ ἐνεγκεῖν τοὺς λατρευτὰς τῶν δαιμόνων, ἀλλὰ κρατήσαντας τὸν Ἅγιον, ἐνεγκεῖν πρὸς τὸν Βασιλέα, καὶ θᾶττον τὴν

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

κατ' αὐτοῦ ἀπόφασιν ἐξαιτήσασθαι. Τοῦ δὲ Βασιλέως κελεύσαντος, αὐτόν τε καὶ τὴν Βασιλίδα Ἀλεξάνδραν διὰ ξίφους τελειωθῆναι, ὁ μὲν Ἅγιος τὴν κεφαλὴν ἀπετμήθη, ἐκείνη δὲ εὐξαμένη ἐν τῇ φυλακῇ, τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ μαρτυρείῳ, τῷ ὄντι ἐν τῷ Δευτέρῳ.

Ὠδὴ ζ΄. Ἀντίθεον πρόσταγμα.

Τὸν σὸν ἐκμιμούμενος Μάρτυς Δεσπότην, ἑκὼν ηὐτομόλησας πρὸς τοὺς ἀγῶνας ἔνδοξε, καὶ νίκην ἀράμενος τῆς Ἐκκλησίας Χριστοῦ, φύλαξ ἐχρημάτισας αὐτὴν, ἀεὶ φυλάττων ταῖς πρεσβείαις σου.

Ὡς Μάρτυς ἀήττητος ὡς ἀθλοφόρος, ὡς ἀκαταγώνιστος τῆς Πίστεως ὑπέρμαχος· νῦν πύργος ἀκράδαντος, τοῖς εὐφημοῦσί σε, πάνσοφε Γεώργιε γενοῦ, περιτειχίζων ταῖς ἱκεσίαις σου.

Σοφῶς ἐγεώργησας τὸν θεῖον σπόρον, καὶ τοῦτον ἐπλήθυνας, αἱμάτων σου τοῖς ῥεύμασιν, ἀρδεύων Μακάριε, καὶ τῇ τῶν πόνων σπουδῇ, καὶ τοῖς ἐπαλλήλοις αἰκισμοῖς, δι' ὧν Τυράννων τὸ θράσος ἔσβεσας.

Θεοτοκίον.

Παρθένος διέμεινας καὶ μετὰ τόκον. Θεὸν γὰρ ἐγέννησας, τὸν πάντας διατρέφοντα, δι' ἄφατον ἔλεος καὶ εὐσπλαγχνίαν πολλὴν, Ἄνθρωπον γενόμενον Ἁγνή. Ὃν νῦν δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Ὠδὴ η΄. Κάμινος ποτέ.

Ῥῦσαι ἡμᾶς τῶν δεινῶν, παθῶν τε καὶ κινδύνων, καὶ ταραχώδους περιστάσεως, καὶ νόσων συμπτώματα, καὶ δαιμόνων μηχανήματα, καὶ δυσμενῶν ὁρμήματα, παῦσον ταῖς σαῖς πρεσβείαις, στεφανηφόρε Γεώργιε.

Ὅλῳ τῷ φωτὶ, παμμάκαρ τῆς Τριάδος, εἰλικρινῶς καταλαμπόμενος, ὡς Μάρτυς ἀήττητος, ἀσεβείας ὡς ὑπέρμαχος, ὡς νικητὴς Θεόστεπτος, σῶσον οὐρανοφοῖτα, τοὺς σὲ τιμῶντας πρεσβείαις σου.

Στέφει νοητῷ, ποικίλως διαπρέπων, καὶ βασιλείας διαδήματι, καὶ σκήπτρῳ κοσμούμενος, καὶ πορφύραν περιθέμενος, σῷ φοινιχθεῖσαν αἵματι, Μάκαρ συμβασιλεύεις, τῷ Βασιλεῖ τῶν δυνάμεων. Θεοτ.

Τὸν ἐκ τοῦ Πατρὸς, ἀχρόνως γεννηθέντα, καὶ πρὸ αἰώνων ἀναλάμψαντα, τὸν πάντα ποιήσαντα, ὁρατά τε καὶ ἀόρατα, Παρθενομήτωρ τέτοκας. Ὅθεν σε Θεοτόκον, πάντα τὰ ἔθνη δοξάζομεν.

Εἰ τύχῃ ἐν Κυριακῇ, ἡ Τιμιωτέρα οὐ στιχολογεῖται. εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχῃ, στιχολογεῖται.

Ὠδὴ θ΄. Ἀνάρχου Γεννήτορος.

Ἀπαύστως τὸν Κύριον, ὑπὲρ ἡμῶν δυσώπησον, τῶν ὑμνούντων σε Μάκαρ, ὡς Χριστομάρτυρα, ὡς νενικηκότα Τυράννους, ὡς πονηρῶν, πνευμάτων διώκτην, ὡς ἄγρυπνον φύλακα, ὡς προστάτην ἀκαταίσχυντον.

Τῶν ἄθλων τὰ ἔπαθλα, πλουσίως σοι δεδώρηται, ὁ τῶν ὅλων Δεσπότης· ᾧ παριστάμενος, μετὰ παρρησίας Τρισμάκαρ, μαρτυρικῆς, καὶ μετ' εὐφροσύνης, τοὺς προσκαλουμένους σε, περιέπων διαφύλαττε.

Ἡ Γῆ σε κατέκρυψε, καὶ Οὐρανὸς ἐδέξατο, καὶ ἠνοίγη σοι πύλη τοῦ Παραδείσου σαφῶς. ὃν περιχαρῶς ἀθλοφόρε χοροβατῶν, καὶ περιπολεύων, τοὺς πίστει ὑμνοῦντάς σε, σαῖς πρεσβείαις περιφρούρησον. Θεοτ.

Σκηνὴ προετύπωσε, τοῦ μαρτυρίου Πάναγνε, ἐν ᾗ πλάκες καὶ στάμνος, καὶ ἡ χρυσῆ κιβωτός· ὥσπερ γὰρ ἐκείνη, ἐκεῖνα, οὕτω καὶ σὺ, τὸν ἄναρχον Λόγον, ἐν γαστρὶ ἐχώρησας, Θεοτόκε σωματούμενον.

Ἐξαποστειλ. Τοῖς Μαθηταῖς.

Ἔαρ ἡμῖν ἐξέλαμψεν, ἡ λαμπρὰ τοῦ Δεσπότου, καὶ θεία ἐξανάστασις, πρὸς οὐράνιον Πάσχα, ἐκ γῆς ἡμᾶς παραπέμπον. ταύτῃ δὲ συνεκλάμπει, τοῦ πανενδόξου Μάρτυρος, Γεωργίου ἡ μνήμη, ἡ φωταυγής. Ἣν φαιδρῶς τελέσωμεν, ἵνα θείας, ἀξιωθῶμεν χάριτος, πρὸς Χριστοῦ τοῦ Σωτῆρος. Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν γ΄. προσόμοια, ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε τὴν πανέορτον φαιδρὰν, ἔνδοξον Ἀνάστασιν πάντες πανηγυρίσαντες, πάλιν ἑορτάσωμεν, φαιδρὰν πανήγυριν, Γεωργίου τοῦ Μάρτυρος. καὶ στέψωμεν τοῦτον, ἐαρινοῖς ἄνθεσιν, ὄντα ἀήττητον. ὅπως ταῖς αὐτοῦ ἱκεσίαις, λάβωμεν τῶν θλίψεων ἅμα, καὶ πλημμελημάτων ἀπολύτρωσιν.

Ὅλον προσενήνοχας σαυτὸν, τῷ σοὶ δεδωκότι παμμάκαρ ζωὴν ὁλόκληρον, ὥσπερ ὁλοκάρπωσιν, ζῶσαν καὶ ἔμψυχον, καὶ θυσίαν εὐπρόσδεκτον, καὶ καθαρωτάτην. Ὅθεν

ἐχθη-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ἐσχηματίσας, πρέσβυς θερμότατος, ζάλης ἐξαιρούμενος ταύτης, πίστει τοὺς ὑμνοῦντάς σε Μάρτυς, καὶ προσκαλουμένους σε Γεώργιε.

Σπόρον γεωργήσας ἐμμελῶς, τὸν καταβληθέντα τοῦ Λόγου, τῇ καθαρᾷ σου ψυχῇ, τοῦτον ἐπλεόνασας πόνοις ἀθλήσεως· καὶ σοφῶς ἀποθέμενος, ἐν ἐπουρανίαις, θήκαις τὴν ἀκήρατον, εὗρες ἀπόλαυσιν. ἧς νῦν ἐμφορούμενος Μάκαρ, ταῖς πρὸς τὸν Θεόν σου πρεσβείαις, τοὺς πιστῶς ὑμνοῦντάς σε περίσωζε.

Μάρτυς ἀθλοφόρε τοῦ Χριστοῦ, τοὺς ἐν διαφόροις ἀνάγκαις, σῷζε πρεσβείαις σου, πάσης περιστάσεως ἀπολυτρούμενος· καὶ διώκων ψυχόλεθρον, δεινὴν ἀθυμίαν, χάριν δὲ καὶ ἔλεος, ἡμῖν αἰτούμενος· ὅπως ταῖς λιταῖς σου σωθέντες, χαίροντες γεραίρωμεν ταύτης, τοὺς σεπτοὺς ἀγῶνάς σου Γεώργιε. Δόξα, ἦχ. β'.

Νευέτω δίκαια, ἔφησεν ὁ Σολομῶν, τοῖς βροτοῖς τὰ βλέφαρα. ἐλεηθήσεται γὰρ παρὰ Χριστοῦ τοῦ Θεοῦ, ὁ βλέπων λεῖα προηγόρευσεν. Ἀμαρῶς δὲ ταῦτα ἐνωτισθεὶς, ὦ πολύτλα Γεώργιε, τοῦ Δεσπότου διδαχαῖς ἠκολούθησας, καὶ ἀνόμοις ἐκδοθεὶς ἐκαρτέρησας· τῆς πλάνης τὰ ὄργια, καταπτύσας ὡς βέβηλα. τὸ σῶμα γὰρ δοὺς ὑπὲρ ἀγάπης τοῦ Κτίσαντος, ὅλον μεληδὸν κατετέμνετο· καὶ ὁ Βελίαρ μᾶλλον, ὅλος αἰσχυνθεὶς ἐπιτρώσκετο, στεφηφόρον σε ὁρῶν ἀκμαιότατον. ὅθεν ἐν αὐλαῖς οἴκων τοῦ Κυρίου σου, σὺν ταῖς ἄνω δυνάμεσι, πρέσβευε ἀθλοφόρε Χριστῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. τῆς Ἑορτῆς.

Δοξολογία μεγάλη, καὶ ἀπόλυσις. Δίδοται καὶ ἅγιον ἔλαιον παρὰ τοῦ Ἱερέως, ἐκ τῆς Κανδήλας τοῦ Ἁγίου τοῖς ἀδελφοῖς. ψάλλοντες ἐκ τῶν ἰδιομ. τοῦ Ἁγίου, καὶ ζήτει ταῦτα εἰς τὴν Λιτήν.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου, ᾠδὴ γ'. καὶ ς'. Εἰ δὲ βούλῃ, λέγε πρῶτον τῆς ἡμέρας, εἶτα τὴν ς'. ᾠδὴν τοῦ Ἁγίου.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος δ'.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κεφ. ιβ'. 1. Κατ' ἐκεῖνον τὸν καιρὸν ἐπέβαλεν Ἡρώδης ὁ Βασιλεὺς τὰς χεῖρας, κακῶσαί τινας τῶν ἀπὸ τῆς Ἐκκλησίας. Ἀνεῖλε δὲ Ἰάκωβον τὸν ἀδελφὸν Ἰωάννου μαχαίρᾳ. καὶ ἰδὼν ὅτι ἀρεστόν ἐστι τοῖς Ἰουδαίοις, προσέθετο συλλαβεῖν καὶ Πέτρον. (Ἦσαν δὲ αἱ ἡμέραι τῶν Ἀζύμων.) ὃν καὶ πιάσας, ἔθετο εἰς φυλακὴν, παραδοὺς τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτὸν, βουλόμενος μετὰ τὸ Πάσχα ἀναγαγεῖν αὐτὸν τῷ λαῷ. Ὁ μὲν οὖν Πέτρος ἐτηρεῖτο ἐν τῇ φυλακῇ. Προσευχὴ δὲ ἦν ἐκτενὴς γενομένη ὑπὸ τῆς Ἐκκλησίας πρὸς τὸν Θεὸν ὑπὲρ αὐτοῦ. Ὅτε δὲ ἔμελλεν αὐτὸν προάγειν ὁ Ἡρώδης, τῇ νυκτὶ ἐκείνῃ ἦν ὁ Πέτρος κοιμώμενος μεταξὺ δύο στρατιωτῶν, δεδεμένος ἁλύσεσι δυσί. φύλακές τε πρὸ τῆς θύρας ἐτήρουν τὴν φυλακήν. Καὶ ἰδοὺ Ἄγγελος Κυρίου ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτὸν, λέγων· Ἀνάστα ἐν τάχει. Καὶ ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν. Εἶπέ τε ὁ Ἄγγελος πρὸς αὐτόν· Περίζωσαι, καὶ ὑπόδησαι τὰ σανδάλιά σου· ἐποίησε δὲ οὕτω. καὶ λέγει αὐτῷ· περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι. Καὶ ἐξελθὼν ἠκολούθει αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ Ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. Διελθόντες δὲ πρώτην φυλακὴν, καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν, τὴν φέρουσαν εἰς τὴν Πόλιν, ἥτις αὐτομάτη ἠνοίχθη αὐτοῖς. Καὶ ἐξελθόντες, προῆλθον ῥύμην μίαν. Καὶ εὐθέως ἀπέστη ὁ Ἄγγελος ἀπ' αὐτοῦ. Καὶ ὁ Πέτρος γενόμενος ἐν ἑαυτῷ, εἶπε· Νῦν οἶδα ἀληθῶς, ὅτι ἐξαπέστειλε Κύριος τὸν Ἄγγελον αὐτοῦ, καὶ ἐξείλετό με ἐκ χειρὸς Ἡρώδου, καὶ πάσης τῆς προσδοκίας τοῦ λαοῦ τῶν Ἰουδαίων.

Ἀλληλούϊα. ἦχ. δ'. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

Εὐαγγέλιον, ζήτει τῆς Λειτουργίας τοῦ Μεγάλου Δημητρίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ κδ'.

Τῆς Ὁσίας Μητρὸς ἡμῶν Ἐλισάβετ τῆς Θαυματουργοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίαν Γυναῖκα.

Μηνὶ τῷ αὐτῷ ΚΕ'.

Τοῦ Ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Μάρκου.

Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν γ'. προσόμοια τῆς Ἑορτῆς γ'. καὶ τοῦ Ἀποστόλου γ'. ἦχος α'.

Τῶν οὐρανίων ταγμάτων.

Τῶν θεηγόρων λογίων τὸν συγγραφέα πιστοί, καὶ τῆς Αἰγύπτου μέγαν πολιοῦ-

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

χον ἀξίως, ὑμνήσωμεν βοῶντες· Μάρκε σοφέ, διδαχαῖς καὶ πρεσβείαις σου, πρὸς τὸν ἀκύμονα βίον πάντας ἡμᾶς, ὡς Ἀπόστολος ὁδήγησον. Ὅμοιον.

Συνοδοιπόρος ἐγένου τοῦ σκεύους τῆς ἐκλογῆς, καὶ σὺν αὐτῷ διῆλθες, ὅλην Μακεδονίαν. ἐν Ῥώμῃ δὲ φοιτήσας, τοῦ Πέτρου ἤδυς, ἑρμηνευτὴς ἀναδέδειξαι. καὶ ἀνεπαύσω ἀθλήσας θεοπρεπῶς, ἐν Αἰγύπτῳ Μάρκε πάνσοφε. Ὅμοιον.

Τὰς κεκαυμένας καὶ χέρσους, ψυχὰς ἐξζώωσας, ταῖς φαειναῖς νιφάσι, ταῖς τοῦ Εὐαγγελίου. διό σου Θεῖε Μάρκε, φαιδρῶς σὺν ἡμῖν, Ἀλεξάνδρεια σήμερον, πανηγυρίζει τὴν μνήμην καὶ εὐφημεῖ, προσκυνοῦσά σου τὰ λείψανα. Δόξα, ἦχος πλ. β'.

Σοῦ ἐξεχύθη ἡ χάρις ἐν χείλεσι, Μάρκε Ἀπόστολε· καὶ γέγονας ποιμὴν τῆς τοῦ Χριστοῦ Ἐκκλησίας· διδάσκων τὰ λογικὰ πρόβατα, πιστεύειν εἰς Τριάδα ὁμοούσιον, ἐν μιᾷ Θεότητι. Καὶ νῦν. τῆς Ἑορτῆς.

Εἰς τὸν στ. στ. προσόμοια τοῦ Ἀποστόλου, ἦχος α'. Πανεύφημοι Μάρτυρες.

Ὦ Μάρκε Θεόσοφε σοφοῦ, Γραμματέως κάλαμος, καὶ ὀξυγράφου γεγένησαι, Χριστοῦ τὴν Σάρκωσιν, θεοπνεύστως γράφων, καὶ τρανῶς φθεγγόμενος, ζωῆς ἀτελεύτητου τὰ ῥήματα. ἐν ᾗ δυσώπησον, ἐγγραφῆναι τοὺς ὑμνοῦντάς σε, καὶ τιμῶντας, τὴν ἔνδοξον μνήμην σου.

στ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Ὦ Μάρκε πανεύφημε Χριστόν, εὐαγγελιζόμενος, τὴν Οἰκουμένην διέδραμες, καθάπερ Ἥλιος, ἀφανίζων πᾶσαν, ταῖς αὐγαῖς τῆς Πίστεως, τὴν τῆς πολυθεΐας σκοτόμαιναν. καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

στ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Ὦ Μάρκε Ἀπόστολε ἐν οἷς, τὸ πρὶν ἐπλεόνασε, τῆς ἀσεβείας ἡ ἄνοια, αὐτὸς ἐκήρυξας. Αἰγυπτίων σκότος, φωτισμῷ τῶν λόγων σου, διώκων Θεοκήρυξ πανόλβιε. καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. δ'.

Δεῦτε τῆς οὐρανίου μυσταγωγίας τὸν Κήρυκα, καὶ ὑποφήτην τοῦ Εὐαγγελίου, ψαλμοῖς καὶ ὑμνῳδίαις, Μάρκον πάντες εὐφημήσωμεν. οὗτος γὰρ ποταμὸς ἀνεδείχθη, τοῦ νοητοῦ Παραδείσου, τὰς ψυχικὰς ἀρούρας, τοῖς οὐρανίοις ὄμβροις ἐπάρδων, καὶ καρποφόρους δεικνύων Χριστῷ τῷ Θεῷ, τῷ παρέχοντι πᾶσι, ταῖς πρεσβείαις αὐτοῦ, ἱλασμὸν καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. τῆς Ἑορτῆς.

Ἀπολυτίκιον, ἦχος γ'.

Ἀπόστολε Ἅγιε, καὶ Εὐαγγελιστὰ Μάρκε.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες, τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς η'. καὶ τοῦ Ἁγίου εἰς ς'.

Ὠδὴ α'. ἦχος α'. Σοῦ ἡ τροπαιοῦχος.

Μάρκον τὸν θεόπτην εὐφημῶν, ἐπικαλοῦμαι τὴν χάριν τοῦ Πνεύματος· ὅπως μοι ἐμπνεύσασα, φωτιστικῶς ἀπελάσῃ τὴν ἄγνοιαν, καὶ τὸν θεῖον πλοῦτον, τὸν τῆς σοφίας δωρήσηται.

Σοῦ τὸν φεγγοφόρον φωτισμῷ, καταλαμπρύνας Σωτὴρ τῷ τῆς χάριτος, Κόσμῳ ἐξαπέσταλκας, Λόγε Θεοῦ τῶν ἀγαθῶν ὡς αἴτιος, σοῦ τὴν παρουσίαν, ἡμῖν εὐαγγελιζόμενον.

Πέτρῳ τῷ σοφῷ μαθητευθείς, καὶ τὴν ἐκείνου πλουτήσας Υἱότητα, Μάρκε πανοίδιμε, μυσταγωγὸς ἐδείχθης Μυστηρίων Χριστοῦ, καὶ συγκληρονόμος, αὐτοῦ τῆς δόξης γεγένησαι. Θεοτοκίον.

Ὁ τοὺς Αἰγυπτίους ἐν βυθῷ, καταποντίσας νεφέλῃ τοῦ Πνεύματος· οὗτος ἐπεδήμησεν, ἐκ σοῦ Ἁγνὴ τοῖς Αἰγυπτίοις ὕστερον, καὶ διὰ τοῦ Μάρκου, αὐτοὺς τῆς πλάνης ἐρρύσατο.

Ὠδὴ γ'. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Σὲ τὸν ἐνυπόστατον Χριστέ, σοφίαν ἀνεκήρυξε, μαρμαρυγαῖς ταῖς σαῖς αὐγαζόμενος, παντὶ τῷ Κόσμῳ φανεῖσαν Δέσποτα, καὶ ζωὴν παρέχουσαν, καὶ βροτοὺς φωτίζουσαν, ὁ θεράπων σου Μάρκος φιλάνθρωπε.

Σοῦ ῥεῖθρον δεξάμενος Χριστέ, σοφίας τὸ ἀέρρυτον, ὡς ποταμὸς ῥοιζῶν γῆς ἐπέκλυσε, Θεογνωσίας φωτὶ τὰ πέρατα σου δεικνὺς ὑπάρχουσαν, ἀληθῆ τὴν πρόρρησιν, ὁ αὐτόπτης σου Μάρκος φιλάνθρωπε.

Σὺ Πέτρῳ ἑπόμενος σοφέ, σαφῶς τὸ Εὐαγγέλιον, ὡς Μαθητὴς αὐτοῦ διετύπωσας, Θεολογίας τὸ φῶς δρεψάμενος, παρ᾽ αὐτοῦ Ἀπόστολε, καὶ Θεοῦ τὴν ἔνσαρκον, παρουσίαν μηνύσας τρανώτατα. Θτ.

Αἰγύπτῳ τὸ πρὶν Παρθενικαῖς, ἀγκάλαις ἐποχούμενος, δαιμονικοὺς βωμοὺς σὺ κατέσπασας· καὶ ταύτῃ πάλιν τὸν Μάρκον ἔπεμψας, συνετίζειν ἅπαντας, τὴν σὴν

ἐναν-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἐνανθρώπησιν, καὶ τὸ θεῖον Χριστοῦ Μυστήριον.

Κοντάκιον τῆς Ἑορτῆς.

Ποιμ. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Εἰς ὕψος ἀνελθὼν, ἀρετῶν θεῖε Μάρκε, ἐβρόντησας ἡμῖν, σωτηρίων δογμάτων, μεγάλα Μυστήρια, θεῖος κῆρυξ γενόμενος. ὅθεν πίστει σε, ἐκδυσωποῦμεν Παμμάκαρ, πάσης θλίψεως, ἁμαρτιῶν καὶ κινδύνων, ἡμᾶς ἐλευθέρωσον. Δόξα.

Ποιμ. ἕτερον, Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ὡς Ἀστέρα μέγαν σε ἡ Ἐκκλησία, κεκτημένη ἔνδοξε, τῶν διδαγμάτων σου βολαῖς, φαιδρυνομένη κραυγάζει σοι· χαίροις Παμμάκαρ, Κυρίου Ἀπόστολε.

Καὶ νῦν, τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. Ὄρος σε τῇ χάριτι.

Εἰς πᾶσαν ὁ φθόγγος σου, τὴν γῆν ἐξελήλυθε, καὶ εἰς τὰ πέρατα σοφέ. τῆς Οἰκουμένης σου τρανῶς, ῥημάτων ἡ δύναμις· Δαβιτικῶς διαπρυσίως κηρύττουσα, τὴν σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Οἱ πόδες οἱ σοὶ προφητικῶς, ὡραιώθησαν. τὴν ὑπὲρ λόγον γὰρ ἡμῖν, εὐηγγελίσω προφανῶς, εἰρήνην θεόληπτε, διὰ σαρκὸς ἐμφανισθεῖσαν τοῖς πέρασιν, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν. Θεοτοκίον.

Νεφέλη ὁ Λόγος Παρθενικῇ ἐποχούμενος, τῶν Αἰγυπτίων τὰς βουλὰς, καὶ θεομάχων λογισμοὺς, μωράνας διέλυσε, ταῖς διδαχαῖς τοῦ Θείου Μάρκου ὡς εὔσπλαγχνος, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ὠδὴ ε΄. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ἐστάλαξας γλυκασμὸν εὐσεβείας τῶν λόγων σου, θείων ὄμβρων, πανταχόθεν ἀκτῖσι λαμπόμενος. ἐκφανθεὶς τῇ χάριτι, σαφῶς τοῦ νοητοῦ Ἡλίου, Μάρκε παμμάκαρ θεόληπτε.

Ἐκ τοῦ οἴκου τοῦ Κυρίου πηγὴ ἐξελήλυθας, καὶ ποτίζεις τὰς χερσώδεις καρδίας τοῖς χεύμασι, δαψιλῶς τοῦ Πνεύματος, καρπὸν ἀντὶ τῆς ἀκαρπίας, φέρειν διδάσκων Ἀπόστολε.

ΕΥ τοῦ Πέτρου τοῦ μεγάλου Υἱὸς ἐχρημάτισας. καὶ ταῖς τούτου διδαχαῖς, φωτιζόμενος πάντοτε, τὰς ψυχὰς ἐλάμπρυνας, τῶν σοὶ θερμῶς προσομιλούντων, Μάρκε Κυρίου Ἀπόστολε. Θεοτοκίον.

Ὡς ἄνθρωπος ἐκ Παρθένου τεχθεὶς, Αἰγυπτίοις Χριστὲ, ἐπεφάνης ἐκ Πατρὸς προεκλάμψας πρὸ κτίσεως· οἷς τὸν Μάρκον ἐχάρισας, σοφῶς αὐτοὺς μυσταγωγοῦντα, θεογνωσίας Μυστήρια.

Ὠδὴ ς΄. Ἐκύκλωσεν ἡμᾶς.

Κατέβαλες, ὀφρὺν ἀνόμων Κύριε, καὶ ὕβριν ὑπερήφανον, ἐταπείνωσας. Ἀπόστολον τὸν σὸν, δείξας τροπαιοῦχον τῇ δυνάμει σου· σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων, καὶ ἐπανόρθωσις.

Τὸν στέφανον, τὸν τῆς ἐλπίδος ἔνδοξε, δι' οὗ νῦν στεφανούμεθα, ἐν τοῖς λόγοις σου ἐκήρυξας σοφὲ, τὸν Δημιουργὸν Μάρκε τῆς κτίσεως, τὸν εἰς ἡμῶν δόξαν πλακοῦντα, φύσει τοῦ σώματος.

Ὁ Πέτρος σε, ὁ Κορυφαῖος ἔνδοξε, σαφῶς ἐμυσταγώγησεν, Εὐαγγέλιον συγγράψαι τὸ σεπτὸν, δείξας ὑπηρέτην σε τῆς χάριτος. σὺ γὰρ ἡμῖν θεογνωσίας, τὸ φῶς ἐξήπλωσας. Θεοτοκίον.

Τὴν Αἴγυπτον, τὴν πρὶν ἐν σκότει Κύριε, Παρθένου Θεομήτορος, κατελάμπρυνας ὡς βρέφος προελθών· ταύτης θριαμβεύσας τὰ σεβάσματα, ταῖς διδαχαῖς, τοῦ Θεηγόρου, Μάρκου Φιλάνθρωπε.

Κοντάκιον, Ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Ἐξ ὕψους λαβὼν, τὴν χάριν τὴν τοῦ Πνεύματος. Ῥητόρων πλοκὰς, διέλυσας Ἀπόστολε· καὶ τὰ ἔθνη ἅπαντα σαγηνεύσας Μάρκε ἀοίδιμε, τῷ Δεσπότῃ προσήγαγες, τὸ θεῖον κηρύξας Εὐαγγέλιον. Ὁ Οἶκος.

Τὸν ἐραστὴν τῆς σοφίας, καὶ Ἀπόστολον πάντες τοῦ Σωτῆρος Χριστοῦ, ᾠδαῖς ᾀσμάτων τιμήσωμεν. οὗτος γὰρ Πέτρῳ δεδιδαγμένος, τὸ Εὐαγγέλιον πᾶσι καθυπέγραψε, τῇ σαρκὶ τοῖς ἀνθρώποις ὀφθέντος Χριστοῦ τοῦ Θεοῦ· καὶ τούτου τὰ σεπτὰ Πάθη, καὶ τὴν θείαν Ἀνάστασιν, ἐν Κόσμῳ κατήγγειλεν. ἐν οἷς καὶ τὰ ἔθνη ἐφώτισε, μίαν διδάξας Τρισυπόστατον σέβειν Θεότητα ὁ θεῖος Μάρκος· καὶ πρεσβεύει ἀπαύστως τοῦ σωθῆναι ἡμᾶς.

Τῇ αὐτῇ Μηνὶ, κε΄. Μνήμη τοῦ Ἁγίου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Μάρκου.

Στίχ. Σύροντες εἰς γῆν Μάρκον οἱ μιαιφόνοι,
Πρὸς Οὐρανοὺς πέμποντες αὐτὸν ἠγνόουν.
Εἰκάδι πέμπτῃ Μάρκον ἐνὶ χθονὶ ἄφρονες εἷλκον.

Ὁ Πανεύφημος Ἀπόστολος Μάρκος, πάσῃ τῇ Αἰγύπτῳ, καὶ Λιβύῃ, καὶ Βαρβαρικῇ, καὶ Πενταπόλει τὸν Χριστὸν ἐκήρυξε, κατὰ τὰς



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

χρόνους Τιβερίου Καίσαρος. Συνεγράψατο δὲ καὶ τὸ κατ᾽ αὐτὸν Ἅγιον Εὐαγγέλιον, Πέτρου τοῦ Ἀποστόλου ἐξηγουμένου αὐτῷ· Καὶ ἐν Κυρήνῃ τῆς Πενταπόλεως γενόμενος, πολλὰ κατεργάσατο θαύματα. Εἶτα εἰς τὴν κατὰ Φάρον Ἀλεξάνδρειαν ἦλθε, καὶ ἐκεῖθεν εἰς τὴν Πεντάπολιν, πανταχοῦ θαυματουργῶν καὶ τὰς Ἐκκλησίας κατακοσμῶν, χειροτονίαις Ἐπισκόπων, καὶ τῶν λοιπῶν Κληρικῶν. Ὕστερον δὲ αὖθις εἰς Ἀλεξάνδρειαν ἐλθὼν καὶ τινας τῶν Ἀδελφῶν παρὰ θάλασσαν ἐν τοῖς Βουκόλου εὑρὼν, συνὴν αὐτοῖς, τὸν λόγον τοῦ Θεοῦ εὐαγγελιζόμενος καὶ κηρύττων. Ἔνθα ἐπελθόντες αὐτῷ οἱ τῶν Εἰδώλων προσκυνηταὶ, μὴ φέροντες ὁρᾷν τὴν εἰς Χριστὸν Πίστιν εὐοδουμένην, σχοινίοις αὐτὸν διαλαβόντες, ἔσυρον. Προσπίπτουσαι δὲ αἱ σάρκες αὐτοῦ ἐπὶ ταῖς πέτραις, κατεξαίνοντο, καὶ τὸ αἷμα αὐτοῦ τὴν γῆν ἐφοίνισσε. Τεθέντι δὲ ἐν φυλακῇ, ὤφθη αὐτῷ ὁ Κύριος, προϋποφαίνων τὴν μέλλουσαν αὐτὸν διαδέχεσθαι δόξαν. Μεθ᾽ ἡμέραν δὲ αὖθις δήσαντες αὐτὸν ἔσυρον κατὰ τῆς πλατείας, καὶ ἐν τῷ σπαράττεσθαι, καὶ περιθρύπτεσθαι ταῖς πέτραις, τὸ Πνεῦμα τῷ Θεῷ παρέθετο. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις, ἐν τῷ πανσέπτῳ αὐτοῦ Ἀποστολείῳ, τῷ ὄντι πλησίον τοῦ Ταύρου.

Ὠδὴ ζ΄. Σὲ νοητὴν Θεοτόκε.

Ταῖς θεϊκαῖς ἀστραπαῖς πυρσούμενος, ἀντανακλάσεις μυστικῶς, ἀντιπέμπεις αὐγοειδεῖς, Μάρκε παμμακάριστε. Λόγον γὰρ ἐκήρυξας, σεσαρκωμένον τὸν ἄσαρκον, τὸν αἰνετὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Θεουργικαῖς Παντουργοῦ δυνάμεσι, τὸν θεηγόρον Μαθητὴν, καθοπλίσας θαυματουργὸν, τοῦτον ἀπετέλεσας. νόσους γὰρ ἀπήλασε, καὶ μαλακίας ἰάσατο· τὸν αἰνετόν σε κηρύττων, Θεὸν καὶ ὑπερένδοξον.

Τῶν Μαθητῶν τοῦ χοροῦ τὸν ἔξαρχον, καθηγεμόνα ἐσχηκὼς, θεῖον Πέτρον, ἐκμιμητὴς, τούτου ἀναδέδειξαι. ἅπαν γὰρ ἐρρύθμισας, τῆς Ἐκκλησίας τὸ πλήρωμα· τὸν αἰνετὸν τῶν Πατέρων, Θεὸν κηρύττων ἔνδοξε. Θεοτ.

Στήλην αὐτοὺς ἐν Αἰγύπτῳ ἔστησας, Εὐαγγελίστα γραφὴν, τῷ τεχθέντι ἄνευ σπορᾶς, ἐκ τῆς Θεομήτορος, ῥήσεσιν ἑπόμενος, τοῦ Ἡσαΐου πανεύφημε· τὸν αἰνετὸν τῶν Πατέρων, Θεὸν κηρύξας ἔνδοξε.

Ὠδὴ η΄. Ἐν καμίνῳ Παῖδες.

Τὸν τεχθέντα Λόγον ἐκ Πατρὸς, πρὸ πάντων τῶν αἰώνων, τὴν φύσιν τὴν τῶν ἀνθρώπων, ἐνδυσάμενον Χριστὸν, ἐκήρυξας ἔνδοξε, καὶ ἐβόα· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν διδόντα λύτρον ἑαυτὸν, ἡμῶν τῆς ἁμαρτίας, καὶ πάθη τοὺς πεπτωκότας, ἀναστήσαντα Χριστὸν, ἐδόξασας ἔνδοξε, καὶ ἐβόας· πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Τῇ τοῦ Πέτρου Μάρκε πειθαρχῶν, σοφῇ διδασκαλίᾳ, πανσόφως διὰ γραμμάτων, ἀνετύπωσας πιστοῖς, σεπτὸν Εὐαγγέλιον τοῖς βοῶσι. πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Ἡ Παρθένος τὸν Ἐμμανουὴλ, βαστάζουσα ὡς Βρέφος, ἐπέστη τοῖς Αἰγυπτίοις. οἷς ὡς ἔκλαμπρος ἀστὴρ, ὁ Μάρκος ἀπέσταλται ἀνακράζων· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τύπον τῆς Ἁγνῆς.

Φθάσας τὴν πηγὴν τὴν ἄφθαστον, τῆς τρισηλίου Θεοφαοῦς ἐλλάμψεως, καθαρώτερον κατατρυφᾷς καὶ τρανώτερον, τῆς θεώσεως τῆς ὑπὲρ ἔννοιαν. Ἀγγέλοις συγχορεύων, ἀκαταπαύστως Ἱερώτατε.

Πέτρου κοινωνὸς γενόμενος, διδασκαλίας καὶ τοῦ Θείου κηρύγματος, τὰ οὐράνια περιπολεύεις σκηνώματα, σὺν αὐτῷ θεοῤῥήμον μακάριε. μεθ᾽ οὗ καὶ συμπρεσβεύεις, ὑπὲρ ἡμῶν Μάρκε Ἀπόστολε.

Φάος τὸ τριοστῶς ἑνούμενον, μοναδικῶς τε πάλιν ξένως τριοστούμενον, ἀνεκήρυξας πανευσεβῶς Μάρκε πάνσοφε, φωτιζόμενος αἴγλῃ τῆς χάριτος. διό σε δυσωποῦμεν, ὑπὲρ ἡμῶν ἀεὶ ἱκέτευε. Θεοτοκίον.

Μάρκος ὁ σεπτὸς Ἀπόστολος, τοῖς Αἰγυπτίοις Ἱεράρχης δεδώρηται· οἷς ὡς νήπιος σωματωθεὶς ἐπεδήμησεν, ἐκ Παρθένου Ἁγνῆς Θεομήτορος, ὁ Κύριος τῆς δόξης· ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Φῶς ἀναλλοίωτον.

Σὺ τὴν Υἱότητα Πέτρου, τοῦ Ἀποστόλου πλουτίσας, τοῖς Αἰγυπτίοις ἐντεῦθεν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

διατυποῖς πρῶτος πάντων, τὸ Εὐαγγέλιον Μάρκε, δι' ὃ τὸν Κόσμον φωτίζεις.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἵσῶμεν Στίχ. δ'. καὶ ψάλλομεν Στιχηρὰ προσόμοια, ἦχος α'.

Πανεύφημοι Μάρτυρες.

Μάρκε παμμακάριστε τρυφῆς τὸν χειμάῤῥουν ἔπιες, ὡς ἐξ Ἐδὲμ ἐξορμώμενος, περιφανέστατος, ποταμὸς εἰρήνης, περικλύζων νάμασι, τοῦ εὐαγγελικοῦ σου κηρύγματος, τῆς γῆς τὸ πρόσωπον. Ἐκκλησίας τὰ στερεώματα, καταρδεύων, θεοπνεύστοις δόγμασι.

Μάρκε πανασοίδιμε Μωσῆς, Αἰγυπτίους πρώην μὲν, ἐν τῇ θαλάσσῃ ἐβύθισεν. ἀλλὰ σὺ πάνσοφε, ἐκ θαλάσσης τούτους, τῆς πλάνης ἀνείλκυσας, δυνάμει τοῦ αὐτῇ μετὰ σώματος, ἐπιδημήσαντος, καὶ τὰ τούτων χειροποίητα, καθελόντος ὑψηλῷ βραχίονι.

Ὦ Μάρκε πανίερε φωτὶ, ὁμιλῶν τοῦ Πνεύματος, πνευματικὸς ὅλος γέγονας. καὶ νῦν Πανόλβιε, ταῖς πρὸς τὸν Δεσπότην, ἀνενδότοις νεύσεσι, καὶ μακαριωτάταις ἐλλάμψεσι, θέσει θεούμενος, Μυστηρίου τὸ κεφάλαιον, καὶ τὸ τέλος, εὗρες τὸ πολύευκτον.

Δόξα, ἦχος ὁ αὐτός.

Τὸ πῦρ τὸ νοερὸν, τὸ φωτίζον διανοίας, καὶ φλογίζον ἁμαρτίας, ἔνδον λαβὼν ὁ Ἀπόστολος Χριστοῦ καὶ Μαθητὴς, λάμπει μὲν ταῖς μυστικαῖς ἀκτῖσι τῶν διδαχῶν, ἐν ταῖς τῶν ἐθνῶν ἀφωτίστοις καρδίαις. φλέγει δὲ πάλιν, τὰς φρυγανώδεις τῶν ἀσεβῶν μυθουργίας. τὸ πῦρ γὰρ τοῦ Πνεύματος, τοιαύτην ἔχει τὴν ἐνέργειαν. ὢ θαῦμα ξένον καὶ φοβερόν· ἡ πηλώδης γλῶσσα, ἡ πηλίνη φύσις, τὸ σῶμα τὸ χοϊκὸν, τὴν νοερὰν καὶ ἄϋλον ὑπεδέξατο γνῶσιν. ἀλλ' ὦ Μύστα τῶν ἀῤῥήτων, καὶ Θεωρὲ τῶν Οὐρανίων, ἱκέτευε καταυγασθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, τῆς Ἑορτῆς.

Εἰς τὴν Λειτουργίαν. Προκείμ. τοῦ Ἀποστόλου.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Καθολικῆς α'. Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγ.

Κεφ. ε. 6. Ἀδελφοὶ, ταπεινώθητε ὑπὸ τὴν κραταιὰν χεῖρα τοῦ Θεοῦ, ἵνα ὑμᾶς ὑψώσῃ ἐν καιρῷ ἐπισκοπῆς. πᾶσαν τὴν μέριμναν ὑμῶν ἐπιῤῥίψαντες ἐπ' αὐτὸν, ὅτι αὐτῷ μέλει περὶ ὑμῶν. Νήψατε, γρηγορήσατε, ὅτι ὁ ἀντίδικος ὑμῶν διάβολος, ὡς λέων ὠρυόμενος, περιπατεῖ, ζητῶν τίνα καταπίῃ. Ὧ ἀντίστητε στεῤῥοὶ τῇ πίστει· εἰδότες τὰ αὐτὰ τῶν παθημάτων τῇ ἐν Κόσμῳ ὑμῶν ἀδελφότητι ἐπιτελεῖσθαι. Ὁ δὲ Θεὸς πάσης χάριτος, ὁ καλέσας ἡμᾶς εἰς τὴν αἰώνιον αὐτοῦ δόξαν ἐν Χριστῷ Ἰησοῦ, ὀλίγον παθόντας, αὐτὸς καταρτίσαι ὑμᾶς, στηρίξαι, σθενώσαι, θεμελιώσαι. Αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Διὰ Σιλουανοῦ ὑμῖν τοῦ πιστοῦ ἀδελφοῦ, ὡς λογίζομαι, δι' ὀλίγων ἔγραψα, παρακαλῶν, καὶ ἐπιμαρτυρῶν ταύτην εἶναι ἀληθῆ χάριν τοῦ Θεοῦ, εἰς ἣν ἑστήκατε. Ἀσπάζεται ὑμᾶς ἡ ἐν Βαβυλῶνι συνεκλεκτὴ, καὶ Μάρκος ὁ Υἱός μου. Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἀγάπης. Εἰρήνη ὑμῖν πᾶσι τοῖς ἐν Χριστῷ Ἰησοῦ. Ἀμήν.

Ἀλληλούϊα, ἦχος α'.

Ἐξομολογήσονται. Στίχ. Ὁ Θεὸς ὁ ἐνδοξαζόμ.

Τὸ Εὐαγγέλιον, ζήτει τῆς Λειτουργίας τοῦ Ἁγίου Ἀποστόλου Λουκᾶ, τῇ ιη'. τοῦ Ὀκτωβ.

Μηνὶ τῷ αὐτῷ κς'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Βασιλέως Ἐπισκόπου Ἀμασίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Μηνὶ τῷ αὐτῷ κζ'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Συμεὼν Συγγενοῦς τοῦ Κυρίου, Ἀρχιεπισκόπου Ἱεροσολύμων. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Μηνὶ τῷ αὐτῷ κη'.

Τῶν Ἁγίων Ἀποστόλων Ἰάσονος, καὶ Σωσιπάτρου· καὶ τῶν Ἁγίων Μαρτύρων Δάδα, Μαξίμου, καὶ Κυντιλιανοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀποστόλους, καὶ εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ κθ'.

Τῶν Ἁγίων ἐννέα Μαρτύρων τῶν ἐν Κυζίκῳ· καὶ τοῦ Ὁσίου Μέμνονος τοῦ θαυματουργοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας, καὶ εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ λ'.

Τοῦ Ἁγίου Ἀποστόλου Ἰακώβου, Ἀδελφοῦ τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀπόστολον.

# ΜΗΝ ΜΑΙΟΣ.

Ἔχων ἡμέρας λα'. ἡ ἡμέρα ἔχει ὥρας ιδ'. καὶ ἡ νὺξ ὥρας ι'.

Εἰς τὴν α'. Μνήμη τοῦ Ἁγίου Προφήτου Ἱερεμίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Προφήτην.



Δημόσια Κεντρική Βιβλιοθήκη

Μηνὶ τῷ αὐτῷ β'.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀθανασίου τοῦ μεγάλου, Πατριάρχου Ἀλεξανδρείας. ζήτει τὴν Ἀκολουθίαν πᾶσαν τοῦ Ἑσπερινοῦ, καὶ τοῦ Ὄρθρου, καὶ τῆς Λειτουργίας, Μηνὶ Ἰανν. ιή.

Μηνὶ τῷ αὐτῷ γ'.

Τῶν Ἁγίων Μαρτύρων Τιμοθέου, καὶ Μαύρας. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ δ'.

Τῆς Ἁγίας Μάρτυρος Πελαγίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἁγίαν Γυναῖκα Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ε'.

Τῆς Ἁγίας καὶ ἐνδόξου Μεγαλομάρτυρος Εἰρήνης. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα Γυναῖκα.

Μηνὶ τῷ αὐτῷ ς'.

Τοῦ Ἁγίου δικαίου καὶ πολυάθλου Ἰώβ. τὴν Ἀκολουθίαν ζήτει εἰς Προφήτην.

Μηνὶ τῷ αὐτῷ ζ'.

Μνήμη τοῦ ἐν Οὐρανῷ φανέντος σημείου τοῦ τιμίου Σταυροῦ, ὥρᾳ γ'. τῆς ἡμέρας, ἐπὶ Κωνσταντίου Βασιλέως, Υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου· καὶ τῶν Ἁγίων Μαρτύρων Ἀκακίου, καὶ Κοδράτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ η'.

Τοῦ Ἁγίου ἐνδόξου Ἀποστόλου, καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου· καὶ τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀρσενίου τοῦ μεγάλου. τὴν Ἀκολουθίαν πᾶσαν τοῦ Ἀποστόλου. ζήτει Σεπτεμβ. κς'. ἤτοι τοῦ Ἑσπερινοῦ, τοῦ Ὄρθρου, καὶ τῆς Λειτουργίας. καὶ τοῦ Ὁσίου, ζήτει εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ θ'.

Τοῦ Ἁγίου Προφήτου Ἡσαΐου· καὶ τοῦ Ἁγίου Μάρτυρος Χριστοφόρου. ζήτει τὴν Ἀκολουθίαν εἰς Προφήτην, καὶ εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ι'.

Τοῦ Ἁγίου Ἀποστόλου Σίμωνος τοῦ Ζηλωτοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀπόστολον.

Μηνὶ τῷ αὐτῷ ια'.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Μωκίου· καὶ τὰ Γενέθλια τῆς Κωνσταντινουπόλεως. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιβ'.

Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν καὶ Ἀρχιεπισκόπων, Γερμανοῦ Κωνσταντινουπόλεως, καὶ Ἐπιφανίου Κύπρου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχας.

Μηνὶ τῷ αὐτῷ ιγ'.

Τῆς Ἁγίας Μάρτυρος Γλυκερίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Γυναῖκα Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιδ'.

Τοῦ Ἁγίου Μάρτυρος Ἰσιδώρου τοῦ ἐν τῇ Χίῳ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιε'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Παχωμίου τοῦ Μεγάλου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ ις'.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Ἡγιασμένου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Εἰς τὰς ιζ'. Τοῦ Ἁγίου Ἀποστόλου Ἀνδρονίκου, καὶ τῶν σὺν αὐτῷ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀποστόλους.

Εἰς τὰς ιη'. Τῶν Ἁγίων Μαρτύρων, Πέτρου, Διονυσίου, Ἀνδρέου, Παύλου, Χριστίνης, Ἡρακλέου, Παυλίνου, καὶ Βενεδίμου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Εἰς τὰς ιθ'. Τοῦ Ἁγίου Ἱερομάρτυρος Πατρικίου Ἐπισκόπου Προύσης, καὶ τῶν σὺν αὐτῷ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρας.

Εἰς τὰς κ'. Τοῦ Ἁγίου Μάρτυρος Θαλλελαίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Εἰ βούληται ὁ Προεστώς, ἐν ταύτῃ τῇ ἡμέρᾳ ψαλλέτω τὴν Ἀκολουθίαν τοῦ Μεγάλου Νικολάου, ὡς εἰώθασιν ἔν τισι τόποις.

Ζήτει Δεκεμβρίῳ ς'.

Μηνὶ τῷ αὐτῷ ΚΑ'.

Τῶν Ἁγίων ἐνδόξων μεγάλων Θεοστέπτων Βασιλέων, καὶ Ἰσαποστόλων, Κωνσταντίνου, καὶ Ἑλένης.

Ἑσπέρας, εἰ δόξει τῷ Προεστῶτι, στιχολογοῦμεν τὸ α'. Ἀντίφωνον, τὸ, Μακάριος ἀνήρ. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τῆς Ἑορτῆς γ'. καὶ τῶν Ἁγίων γ'. ἦχος δ'. Ἔδωκας σημείωσιν.

Ὅπλον κραταιότατον, τῷ Βασιλεῖ ἡμῶν δέδωκας, τὸν Σταυρόν σου τὸν τίμιον· δι' οὗ ἐβασίλευσεν, ἐπὶ γῆς δικαίως, λάμψας εὐσεβείᾳ· καὶ Βασιλείας Οὐρανῶν, κατηξιώθη τῇ εὐσπλαγχνίᾳ σου· μεθ' οὗ σου τὴν φιλάνθρωπον οἰκονομίαν δοξάζομεν, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἔδωκας Φιλάνθρωπε, τῷ εὐσεβεῖ σου θεράποντι, Σολομῶντι τὴν φρόνησιν, Δαβὶδ τὴν πραότητα, καὶ τῶν Ἀποστόλων τὴν ὀρθοδοξίαν, ὡς Βασιλέων Βασιλεὺς, Κυριευόντων ἁπάντων Κύριος. διό σου τὴν φι-



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λάνθρωπον, οἰκονομίαν δοξάζομεν, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Πρῶτος καθυπέταξας, τὴν ἀλουργίδα φάμμησε, Βασιλεῦ, ἑκουσίως Χριστῷ, αὐτὸν ἐπιγνοὺς Θεὸν, καὶ Παμβασιλέα, πάντων εὐεργέτην, νικοποιὸν πάσης ἀρχῆς, καὶ ἐξουσίας τὸν ὑπερκείμενον. ἐντεῦθέν σοι φιλόχριστε, τὴν Βασιλείαν κατεύθυνεν, Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος β΄. Βυζαντίου.

Πλουσίων δωρεῶν τὰ κράττονα, εἰληφὼς παρὰ Θεοῦ, Ἄναξ κράτιστε, Κωνσταντῖνε Μέγιστε, καλῶς ἐν τούτοις διέπρεψας. καταυγασθεὶς γὰρ ἀκτῖσι τοῦ Παναγίου Πνεύματος, ὑπὸ Σιλβέστρου Ἱερέως διὰ τοῦ Βαπτίσματος, ἐν Βασιλεῦσιν ὤφθης ἀήττητος, τὴν Οἰκουμένην ὡς προῖκα προικοδοτήσας τῷ Κτίστῃ σου, καὶ Πόλιν βασιλεύουσαν θεοσεβῆ. διὸ ἱκετεύων μὴ παύσῃ Χριστῷ τῷ Θεῷ, δωρηθῆναι ἅπασι τοῖς τελοῦσι τὴν μνήμην σου, ὡς παρρησίαν ἔχων, ἁμαρτιῶν συγχώρησιν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν, τῆς Ἑορτῆς:

Εἴσοδος, τὸ Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας. καὶ εἰ τύχῃ ἡ μνήμη τῶν Ἁγίων τῇ Ἀναλήψει, ἢ τῇ Πεντηκοστῇ, πρῶτον τὰ Ἀναγνώσματα τῆς Ἑορτῆς, εἶτα τῶν Ἁγίων.

Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα.

Κεφ. ή. 22. Ἔστη Σολομὼν κατὰ πρόσωπον τοῦ θυσιαστηρίου Κυρίου, ἐνώπιον πάσης Ἐκκλησίας Ἰσραὴλ· καὶ διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν Οὐρανὸν, καὶ εἶπε· Κύριε ὁ Θεὸς Ἰσραὴλ, οὐκ ἔστι Θεὸς ὡς σὺ ἐν τῷ Οὐρανῷ ἄνω, καὶ ἐπὶ
Ἐδά. 27. τῆς γῆς κάτω. Εἰ ὁ Οὐρανὸς τοῦ Οὐρανοῦ οὐκ ἀρκέσουσί σοι, πῶς ὁ οἶκος οὗτος, ὃν ᾠκοδόμησα ἐν τῷ ὀνόματί σου; Πλὴν καὶ ἐπιβλέψεις ἐπὶ τὴν δέησίν μου, Κύριε ὁ Θεὸς Ἰσραὴλ, ἀκούειν τῆς δεήσεως καὶ τῆς προσευχῆς, ἧς ὁ δοῦλός σου προσεύχεται ἐνώπιόν σου πρὸς σὲ σήμερον, τοῦ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμένους εἰς τὸν οἶκον τοῦτον. ὃν εἶπας, ἔσται τὸ ὄνομά μου ἐκεῖ, τοῦ εἰσακούειν τῆς προσευχῆς, ἧς προσεύχεται ὁ δοῦλός σου εἰς τὸν τόπον τοῦτον ἡμέρας καὶ νυκτός· καὶ εἰσακούσῃ τῆς δεήσεώς μου τοῦ δούλου σου, καὶ τοῦ λαοῦ σου Ἰσραὴλ, ἃ ἂν προσεύχωνται εἰς τὸν τόπον τοῦτον· καὶ σὺ εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς κατοικήσεώς σου ἐν τῷ Οὐρανῷ· καὶ ποιήσεις, καὶ ἵλεως ἔσῃ αὐτοῖς.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ· Κεφ. ξά. 10.
ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης περιέβαλέ με. Ὡς Νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς Νύμφην κατεκόσμησέ με κόσμῳ. Καὶ ὡς γῆν αὔξουσαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ ἐκφύει· οὕτως ἀνατελεῖ Κύριος δικαιοσύνην, καὶ ἀγαλλίαμα ἐναντίον πάντων
τῶν ἐθνῶν. Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Κεφ. ξβ΄. 1.
Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη μου, καὶ τὸ σωτήριόν μου ὡσεὶ λαμπὰς καυθήσεται. Καὶ ὄψονται τὰ ἔθνη τὴν δικαιοσύνην σου, καὶ πάντες οἱ Βασιλεῖς τῆς γῆς τὴν δόξαν σου, καὶ καλέσουσι τὸ ὄνομά σου τὸ καινὸν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό. Καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα Βασιλείας ἐν χειρὶ Θεοῦ σου. Καὶ οὐκέτι κληθήσῃ καταλελειμμένη, καὶ ἡ γῆ σου οὐκέτι κληθήσεται ἔρημος. Σοὶ γὰρ κληθήσεται ὄνομα ἐμὸν, καὶ τῇ γῇ σου Οἰκουμένη. Ὅτι εὐδοκήσει Κύριος ἐν σοὶ, καὶ ἡ γῆ σου συνοικισθήσεται. καὶ ὡς συνοικῶν νεανίσκος σὺν παρθένῳ, οὕτω κατοικήσουσιν οἱ Υἱοί σου μετὰ σοῦ. καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Φωτίζου, φωτίζου Ἱερουσαλὴμ, ἥκει γάρ Κεφ. ξ΄. 1.
σου τὸ φῶς, καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν. Ὅτι ἰδοὺ σκότος καλύψει γῆν, καὶ γνόφος ἐπὶ ἔθνη. Ἐπὶ σὲ δὲ φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται. Καὶ πορεύσονται Βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητι τῆς ἀνατολῆς σου. Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου. Ἥκασι πάντες οἱ Υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ᾿ ὤμων ἀρθήσονται. Τότε ὄψει, καὶ χαρήσῃ, καὶ φοβηθήσῃ, καὶ ἐκστήσῃ τῇ καρδίᾳ, ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτον θαλάσσης, καὶ ἐθνῶν καὶ λαῶν. Καὶ ἥξουσί σοι ἀγέλαι καμήλων, καὶ καλύψουσί σε κάμηλοι Μαδιὰμ, καὶ Γεφάρ. Πάντες ἐκ Σαβὰ ἥξουσι, φέροντές σοι χρυσίον, καὶ λίβανον οἴσουσί σοι, καὶ λίθον τίμιον, καὶ τὸ σωτήριον παρὰ Κυρίου εὐαγγελιοῦνται. Καὶ πάντα τὰ πρόβατα Κηδὰρ συναχθήσονταί σοι, καὶ κριοὶ Ναβαιὼθ ἥξουσί σοι, καὶ ἀνενεχθήσονται δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν μου, καὶ ὁ οἶκος τῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

προσδέχῃς μου δοξασθήσεται. Τίνες δὲ οἵδε, ὡς νεφέλαι πέτανται, καὶ ὡσεὶ περιστεραὶ σὺν νεοσσοῖς αὐτῶν. Ἐπ' ἐμὲ ἔστι Σιών· ἐμὲ νῆσοι ὑπέμειναν, καὶ πλοῖα Θαρσεῖς ἐν πρώτοις τοῦ ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν, καὶ τὸ ἀργύριον, καὶ τὸ χρυσίον αὐτῶν μετ' αὐτῶν, διὰ τὸ ὄνομα Κυρίου τὸ ἅγιον, καὶ διὰ τὸ τὸν ἅγιον τοῦ Ἰσραὴλ ἔνδοξον εἶναι. Καὶ οἰκοδομήσουσιν Υἱοὶ ἀλλογενεῖς τὰ τείχη σου, καὶ οἱ Βασιλεῖς τῶν ἐθνῶν παραστήσονταί σοι. Διὰ γὰρ ὀργήν ἐπάταξά σε, καὶ διὰ ἔλεός σου ἠγάπησά σε. Καὶ ἀνοιχθήσονται αἱ πύλαι σου Ἱερουσαλὴμ διαπαντὸς ἡμέρας καὶ νυκτός· καὶ οὐ κλεισθήσονται τοῦ εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν, καὶ Βασιλεῖς αὐτῶν ἀγομένους. Τὰ γὰρ ἔθνη καὶ οἱ Βασιλεῖς, οἵτινες οὐ δουλεύουσί σοι, ἀπολοῦνται, καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσεται. Καὶ ἡ δόξα τοῦ Λιβάνου πρὸς σὲ ἥξει. ἐν κυπαρίσσῳ, καὶ πεύκῃ, καὶ κέδρῳ ἅμα δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου, καὶ τὸν τόπον τῶν ποδῶν μου δοξάσω. Καὶ πορεύσονται πρὸς σὲ δεδοικότες οἱ Υἱοὶ τῶν ταπεινωσάντων σε, καὶ παροξυνάντων σε. καὶ προσκυνήσουσιν ἐπὶ τὰ ἴχνη τῶν ποδῶν σου πάντες οἱ παροξύναντές σε· καὶ κληθήσῃ Πόλις Κυρίου Σιὼν τοῦ ἁγίου Ἰσραήλ, διὰ τὸ γεγενῆσθαί σε καταλελειμμένην, καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν σοι. Καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεαῖς γενεῶν. Καὶ θηλάσεις γάλα ἐθνῶν, καὶ πλοῦτον Βασιλέων φάγεσαι. καὶ γνώσῃ, ὅτι ἐγὼ Κύριος ὁ σώζων σε, καὶ ὁ ἐξαιρούμενός σε, ὁ Θεὸς Ἰσραήλ.

Εἰς τὴν Λιτήν, εἰ τύχῃ τῆς Ἀναλήψεως, ἢ τῆς Πεντηκοστῆς, τῆς Ἑορτῆς πρότερον, εἶτα Στιχ. ἰδιόμελα τῶν Ἁγίων, ἦχος α'.

Χρεωστικῶς ἐκπληροῦμεν τὴν μνήμην σου, Κωνσταντῖνε Ἰσαπόστολε, πάντων Ἀνάκτων βάσις καὶ καύχημα. φωτισθεὶς γὰρ ἀκτῖσι τοῦ Πνεύματος, πᾶσαν ἐφαίδρυνας τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ. τὰ συστήματα τῶν πιστῶν πανταχόθεν συνάξας, ἐν τῇ λαμπρᾷ Πόλει Νικαιέων, ἔνθα τῶν ἀσεβῶν ἐσβέσθη τὸ φρύαγμα, καὶ Αἱρετικῶν ἠθέτησαν γλῶσσαι καὶ ἐμαράνθησαν· τῶν δὲ ὀρθοδόξων ὑψώθη τὸ ξίφος, φανερωθείσης τῆς πίστεως. ὅθεν ὑπ' αὐτῶν ἐδοξάσθης ὀρθοδοξότατος, καὶ πάντων Βασιλέων ἐκηρύχθης Πατήρ, ὡς πρῶτος τὴν ἁλουργίδα παρὰ Θεοῦ κομισάμενος. διὸ αἰτούμεθά σε, οἱ τελοῦντες τὴν μνήμην σου πιστῶς, αἴτησαι ἱλασμὸν ἁμαρτιῶν ταῖς ψυχαῖς ἡμῶν.

Ἦχος β'. Βύζαντος.

Τοῦ εὐσεβοῦς Κωνσταντίνου ἡ μνήμη, ὡς μύρον ἐκκενούμενον σήμερον ἀνέτειλε. Χριστὸν γὰρ ποθήσας, Εἰδώλων κατεφρόνησε, ναὸν ἐγείρας ἐπὶ γῆς, τῷ σταυρωθέντι δι' ἡμᾶς· ἐν Οὐρανοῖς δὲ ἀπέλαβε, τὸν τῆς ἐλπίδος στέφανον.

Ἦχος δ'.

Ὕμνος τῷ Θεῷ, ἐκ χοϊκῶν χειλέων προσᾴδεται, ἐπὶ τῇ θείᾳ μνήμῃ σου, Κωνσταντῖνε πανεύφημε. σὺ γὰρ ὤφθης ἀκραιφνὴς στρατιώτης τοῦ λόγου τῆς Πίστεως, φαυλίσας ἐν τῷ σκάμματι τῶν Εἰδώλων τὰς μορφάς· καὶ νῦν προσεῤῥάσθης τῷ φέγγει τῆς Τριάδος. καταπυρσεύων ἡμῶν τὰς διανοίας ταῖς πρεσβείαις σου.

Δόξα, ἦχος πλ. α'.

Ἡ Ἐκκλησία σήμερον στολισαμένη, τῷ κράτει σου Ἄναξ, μυστικῶς εὐφραίνεται. καὶ τὴν σὴν πανίερον μνήμην, κατ' ἀξίαν εὐφήμως γεραίρει κραυγάζουσα· χαίροις ὁ τὸν Παῦλον ζηλώσας, καὶ τὸν Σταυρὸν τοῦ Χριστοῦ ἀράμενος, καὶ τὰς παγίδας συντρίψας τοῦ ἀντιπάλου. χαίροις Ἀνάκτων πανάριστε, καὶ Ἀποστόλων ἰσότιμε. χαίροις πιστῶν τὸ στήριγμα, καὶ Βασιλέων προπύργιον, Κωνσταντῖνε μακάριε. ὑπὲρ ἡμῶν πρὸς Κύριον, μὴ διαλίπῃς πρεσβεύων, ὡς παῤῥησίαν ἔχων, Βασιλέων ἐγκαλλώπισμα.

Καὶ νῦν, τῆς Ἑορτῆς. Αἱ συνήθεις εὐχαὶ παρὰ τοῦ Ἱερέως. Εἰς τὸν Στιχ. εἰ τύχῃ τῆς Ἀναλήψεως, ἢ τῆς Πεντηκ. λέγε τῆς Ἑορτῆς· εἰ δ' οὔ, λέγε τῶν Ἁγίων Στιχ. προσόμοια, ἦχ. β'.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Πρῶτος Βασιλεὺς Χριστιανῶν, παρὰ τοῦ Θεοῦ Κωνσταντῖνε τὸ σκῆπτρον ἔλαβες. σοὶ γὰρ πεφανέρωται ἐν γῇ κρυπτόμενον, τὸ σωτήριον σύμβολον. δι' οὗ καὶ τὰ ἔθνη, πάντα καθυπέταξας τοῖς τῶν Ῥωμαίων ποσίν. ὅπλον ἀπροσμάχητον ἔχων, τὸν ζωοποιὸν Σταυρὸν Μάκαρ, δι' οὗ καὶ προσήχθης τῷ Θεῷ ἡμῶν.

Στιχ. Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου· εὗρον Δαβὶδ τὸν δοῦλόν μου, ἐν ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν.

Ὄντως μακαρία ἡ γαστήρ, καὶ ἡγιασμένη κοιλία ἡ σὲ βαστάσασα, Μέδων κοσμοπόθητε, Χριστιανῶν ἡ χαρά, Κωνσταντῖνε θεόστεπτε, Ῥωμαίων ἡ δόξα, πλοῦτος καὶ ὑπέρμαχος τῶν ὀρφανῶν καὶ χηρῶν· σκέπη ταπεινῶν καὶ ἀπόρων· θλίψεων ἀνόρθωσις ὄντως, καὶ τῶν αἰχμαλώτων ἡ ἀνάῤῥυσις.

Στιχ. Διά

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ϛ. Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός, ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου.

Πόθῳ καὶ ἀγάπῃ τοῦ Χριστοῦ, κατεπαγομένη ἡ μήτηρ, τοῦ γλυκυτάτου βλαστοῦ, ἀπελθοῦσα κατέλαβεν, ἐν τῇ ἁγίᾳ Σιών, εἰς τὸν τόπον τὸν Ἅγιον, ἐν ᾧ ἐσταυρώθη, θέλων ὁ Σωτὴρ ἡμῶν, διὰ τὸ σῶσαι ἡμᾶς. ἔνθα, τὸν Σταυρὸν ἀραμένη, χαίρουσα ἐκραύγαζε· δόξα, τῷ δωρησαμένῳ μοι ὃν ἤλπιζον. Δόξα, ἦχος πλ. δ'.

Σέλας φαεινότατον, κομήτης ἐκπρεπέστατος, ἐξ ἀπιστίας εἰς Πίστιν Θεότητος παραχθείς, ἤχθης ἁγιάσαι λαὸν καὶ Πόλιν· καὶ τύπον Σταυροῦ ἐν Οὐρανῷ κατοπτεύσας, ἤκουσας ἐκεῖθεν· ἐν τούτῳ νίκα τοὺς ἐχθρούς σου. ὅθεν δεξάμενος τὴν γνῶσιν τοῦ Πνεύματος, Ἱερεὺς χρηματισθείς, καὶ Βασιλεύς, ἐλαίῳ ἐστήριξας τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, ὀρθοδόξων Βασιλέων Πατήρ, οὗ καὶ ἡ λάρναξ ἰάσεις βρύει, Κωνσταντῖνε Ἰσαπόστολε· πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν, τῆς Ἑορτῆς.

Ἀπολυτίκιον, ἦχος πλ. δ'.

Σοῦ Σταυροῦ σου τὸν τύπον ἐν οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν Βασιλεῦσιν Ἀπόστολός σου Κύριε, βασιλεύουσαν Πόλιν τῇ χειρί σου παρέθετο· ἣν περίσωζε διαπαντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. κάθ. ἦχος γ'. Θείας Πίστεως.

Νέος γέγονας, Δαβὶδ τοῖς τρόποις, κέρας ἄνωθεν εἰσδεδεγμένος, τῆς Βασιλείας τῇ κορυφῇ σου τὸ ἔλαιον, διὰ τοῦ Πνεύματος ἔχρισεν εὔδοξε, ὁ ὑπερούσιος Λόγος καὶ Κύριος. ὅθεν ἔλαβες, καὶ σκῆπτρον σοφὲ βασίλειον, αἰτούμενος ἡμῖν τὸ μέγα ἔλεος. Καὶ τῆς Ἑορτῆς.

Μετὰ τὴν β'. στιχολ. κάθ. ἦχος πλ. β'. Ἀγγελικαὶ δυνάμεις.

Ἑλκόμενος ἐπὶ Σταυροῦ, ὁ Ποιητὴς τοῦ Ἡλίου καὶ Κτίσεως, σὲ ὡς ἀστέρα φαεινόν, ἐξ Οὐρανοῦ θεόφρον ἐφελκύσατο. ᾧ καὶ κράτος πρώτῳ τὸ Βασίλειον ἐπέθηκε. διό σε ἀνευφημοῦμεν, Κωνσταντῖνε Βασιλεῦ εὐσεβέστατε, σὺν Ἑλένῃ Μητρὶ τῇ θεόφρονι.

Καὶ τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, κάθ. ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἡ εὔσημος μνήμη σου, ἐπιφανεῖσα ἡμῖν, αὐγάζει τὰ πέρατα, θεογνωσίας φωτί, Κωνσταντῖνε Θεόπνευστε. σὺ γὰρ ἐν Βασιλεῦσιν, εὐσεβὴς ἀνεδείχθης, νόμους ἐπουρανίου Βασιλέως τηρήσας. διὸ ταῖς ἱκεσίαις ταῖς σαῖς, ῥῦσαι ἡμᾶς πειρασμῶν. Καὶ τῆς Ἑορτῆς.

Οἱ Ἀναβαθμοί, τὸ α'. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ'.

Ὕψωσα ἐκλεκτὸν ἐκ τοῦ λαοῦ μου.

ϛ. Διὰ τοῦτο ἔχρισέ σε ὁ Θεός.

Τό, Πᾶσα πνοή. Εὐαγγέλιον, ζήτει τῇ ιγ'. τοῦ Νοεμβρίου, εἰς τὴν Λειτουργίαν, ὁ Ν'.

Δόξα. Ταῖς τῶν Θεοστέπτων πρεσβείαις.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα. ϛ. Ἐλέησόν με ὁ Θεός.

Καὶ τὸ ἰδιόμελον, ἦχος β'.

Τῶν εὐσεβῶν Κωνσταντίνου ἡ μνήμη. Ζήτει εἰς τὴν Λιτήν. καὶ οἱ Κανόνες. Εἰ τύχῃ ἐν τῇ Ἀναλήψει, ἢ ἐν τῇ Πεντηκοστῇ, οἱ Κανόνες τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς ι'. καὶ τῶν Ἁγίων εἰς δ'. εἰ δὲ ἐν ἄλλῃ ἡμέρᾳ τύχῃ, τῆς Ἑορτῆς μετὰ τῶν Εἱρμῶν εἰς η'. καὶ τῶν Ἁγίων εἰς ϛ'. ἐν τῇ θ'. ᾠδῇ στιχολογεῖται ἡ Τιμιωτέρα. Εἰ δὲ ἔξω τῆς Πεντηκοστῆς τύχῃ, οἱ Κανόνες τῆς Ὀκτωήχου εἰς ϛ'. καὶ τῶν Ἁγίων εἰς η'. καὶ στιχολογεῖται ἡ Τιμιωτέρα. Ὁ Κανὼν τῶν Ἁγίων.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Μόνε ἐπουράνιε Βασιλεῦ, τῆς βασιλευούσης, ἁμαρτίας νῦν ἐπ' ἐμοί, τῶν σῶν θεραπόντων ἱκεσίαις, τὴν ταπεινήν μου ψυχὴν ἐλευθέρωσον.

Τῆς ἄνω γενόμενος ἐραστής, μάκαρ Κωνσταντῖνε, Βασιλείας τῷ Βασιλεῖ, πάντων καὶ Δεσπότῃ διανοίᾳ, καθαρωτάτῃ πιστεύσας ἐλάτρευσας.

Φωτὶ ἐλλαμφθεῖσα θεαρχικῷ, σκότος ἀγνωσίας, καταλέλοιπας ἀληθῶς, θεόφρον Ἑλένη καὶ γνησίως, τῷ Βασιλεῖ τῶν αἰώνων ἐδούλευσας. Θεοτοκίον.

Ἡ Πύλη τῆς θείας Ἀνατολῆς, ἄνοιξόν μοι πύλας, μετανοίας καὶ ἐκ πυλῶν, τῆς θανατηφόρου ἁμαρτίας, τῇ μεσιτείᾳ σου ῥῦσαί με Δέσποινα. Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ἀμοιβῶν οὐρανίων, ἐπιτυχεῖν ἐπόθησας. ὅθεν τῷ καλοῦντι θεόφρον ἐπηκολούθησας· καὶ σκότος ἔλιπες, πατροπαράδοτον πλάνην, καὶ φωστὴρ ἐν Πνεύματι θείῳ γεγένησαι.

Σῷ Χριστῷ κολληθεῖσα, καὶ ἐπ' αὐτῷ πάνσεμνε, ἅπασαν θεμένη ἐλπίδα, τοὺς ἱεροὺς



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Σιάτιστας

αὐτῷ, τότε κατέλαβες· ἐν οἷς τὰ ἄχραντα Πάθη, σαρκωθεὶς ὑπέμεινεν ὁ Ὑπεράγαθος.

Τὸ σωτήριον Ὅπλον, τὸ ἄρραγὲς τρόπαιον· τῶν Χριστιανῶν τὴν ἐλπίδα, Σταυρὸν τὸν τίμιον, φθόνῳ κρυπτόμενον, σὺ ἐφανέρωσας θάφῳ, φλεγομένη ἔρωτι Θεομακάριστε. Θεοτοκίον.

Ἱερᾶς πολιτείας, ἀποπεσὼν Ἄχραντε, παρασυνεβλήθην τοῖς κτήνεσι, καὶ κατάκριτος, ὅλος γεγένημαι· ἡ τὸν Κριτὴν τετοκυῖα, πάσης κατακρίσεως ῥῦσαι καὶ σῶσόν με.

ᾨδὴ α'. ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Τὰς αἰσθήσεις ἐκτείνας πρὸς Οὐρανὸν, καὶ τῶν ἄστρων μανθάνων τὴν καλλονὴν, ἐκ τούτων μυούμενος, τὸν τῶν ἁπάντων Κύριον. τοῦ Σταυροῦ δὲ τὸ ὅπλον, ἐν μέσῳ ἀνέλαμψε, διαγράφων ἐν τούτῳ, νικᾷν καὶ κρατύνεσθαι. ὅθεν τῆς ψυχῆς σου, ἐκπετάσας τὸ ὄμμα, τὸ γράμμα ἀνέγνωκας, καὶ τὸν τρόπον μεμάθηκας, Κωνσταντῖνε πανσέβαστε, πρέσβευε Χριστῷ τῷ Θεῷ.

Καὶ τῆς Ἑορτῆς. ᾨδὴ δ'. Εἰσακήκοα.

Οὐρανόθεν ὡς Παῦλόν σε, πάλαι σαγηνεύει Χριστὸς ὁ Κύριος, Κωνσταντῖνε ἐκδιδάσκων σε, Βασιλέα τοῦτον μόνον σέβεσθαι.

Ὑπερλάμπρῳ σημείῳ σε, Μάκαρ διʼ ἀστέρων Χριστὸς ὁ Ἥλιος, καταυγάζει καὶ φωστῆρά σε τῶν ἐσκοτισμένων ἀναδείκνυσι.

Καὶ τοῖς τρόποις φιλόθεος, καὶ ταῖς θείαις πράξεσιν ἀξιάγαστος, Μακαρία ἐχρημάτισας· διὰ τοῦτο πίστει σε δοξάζομεν.

Φανεροῖς τὸ κρυπτόμενον, χρόνοις ἐπὶ πλείοσι νῦν θεῖον τρόπαιον, τοῦ Σταυροῦ, διʼ οὗ σεσώσμεθα, καὶ δαιμόνων πλάνης ἐλυτρώθημεν. Θεοτοκίον.

Τὴν ψυχήν μου καταύγασον, τὴν ἐσκοτισμένην τοῖς πλημμελήμασιν, ἡ τὸν Ἥλιον κυήσασα, τῆς δικαιοσύνης Ἀειπάρθενε.

ᾨδὴ ε'. Ὀρθρίζοντες βοῶμέν σοι.

Ὀρθρίσας πρὸς τὸν ἄδυτον Ἥλιον, καὶ Δεσπότην, Βασιλεῦ θεόσοφε, φωτὸς ἀνάπλεως γέγονας.

Ἀγάπην καὶ τελείαν συμπάθειαν, ὡς πορφύραν, φοροῦσα κατῴκησας, νῦν εἰς τὰ ἄνω Βασίλεια.

Συνήφθης Ἀσωμάτων Ἑλένη χοροστασίαις, Θεὸν θεραπεύσασα, ταῖς ἐναρέτοις σου πράξεσι. Θεοτοκίον.

Παρθενεύειν τὴν ψυχήν μου καθάρισον, μολυνθεῖσαν ἡδοναῖς τοῦ σώματος, τῇ ἐπηρείᾳ τοῦ ὄφεως. ᾨδὴ ς'. Τὴν δέησιν ἐκχεῶ.

Συνήθροισας θεοφόρων Πατέρων, τὸν μακάριον χορὸν παραδόξως· καὶ διʼ αὐτῶν, Κωνσταντῖνε τὰς πάντων, κυμαινομένας καρδίας ἐστήριξας, ὁμότιμον δοξολογεῖν, τῷ Τεκόντι τὸν Λόγον καὶ σύνθρονον.

Πιστεύσασα ἐπὶ Κύριον ζῶντα, τὸν τὸ εἶναι παρεχόμενον πᾶσι, τῶν βδελυκτῶν, καὶ ματαίων Εἰδώλων, νεκροποιὰ ἀπεβάλου θρησκεύματα· καὶ εἴληφας περιχαρῶς, Βασιλείαν Ἑλένη οὐράνιον.

Παλάμῃ σου κυβερνώμενοι Λόγε, ἀγνωσίας τὸ βαθύτατον σκότος, καὶ τῆς δεινῆς, ἀθείας τὸν σάλον, οἱ διὰ σοῦ βασιλεύοντες ἔλιπον· καὶ ἤχθησαν πρὸς γαληνοὺς, εὐσεβείας λιμένας γηθόμενοι. Θεοτοκίον.

Ἰάτρευσον ἀνιάτως νοσοῦσαν, καὶ τῷ δήγματι δεινῶς πληγωθεῖσαν, τοῦ πονηροῦ, τὴν καρδίαν μου Κόρη, καὶ τῆς ἐν σοὶ θεραπείας ἀξίωσον· καὶ σῶσόν με τὸν ἐπὶ σοὶ, πεποιθότα πρεσβείαις σου Ἄχραντε.

Κοντάκιον, ἦχος γ'. Ἡ Παρθένος.

Κωνσταντῖνος σήμερον, σὺν τῇ Μητρὶ τῇ Ἑλένῃ, τὸν Σταυρὸν ἐμφαίνουσι, τὸ πανσεβάσμιον ξύλον, πάντων μὲν τῶν Ἰουδαίων αἰσχύνην ὄντα, ὅπλον δὲ κατʼ ἐναντίων, πιστῶν Ἀνάκτων· διʼ ἡμᾶς γὰρ ἀνεδείχθη, σημεῖον μέγα, καὶ ἐν πολέμοις φρικτόν. Ὁ Οἶκος.

Κωνσταντῖνον πιστοὶ, σὺν τῇ Μητρὶ τιμήσωμεν. τοῦ Δαβὶδ γὰρ αὐτοὶ λόγους ἀκροασάμενοι, ἐν κέδρῳ, καὶ πεύκῃ, καὶ κυπαρίσσῳ τὸν τρισύνθετον Σταυρὸν κατενόησαν, διʼ οὗ τὸ σωτήριον Πάθος ἐξηκολούθησε, καὶ πάντας παρέστησαν τοὺς Ἰουδαίους παρασκευάζεσθαι, καὶ δεῖξαι τοῖς λαοῖς μέγα δικαίωμα, τὸ κεκρυμμένον διὰ τὸν φθόνον, καὶ βασκανίαν τὴν αὐτῶν, καὶ τοῦτο εὑρόντες, ἀνέδειξαν αὐτοί. Διὰ τοῦτο τοῖς πᾶσι νικηφόροι ἀνεδείχθησαν, ὅπλον φέροντες ἀπροσμάχητον. Σημεῖον μέγα, καὶ ἐν πολέμοις φρικτόν.

Μηνὶ τῷ αὐτῷ κά. Μνήμη τῶν Ἁγίων ἐνδόξων Θεοστέπτων, καὶ Ἰσαποστόλων Μεγάλων Βασιλέων, Κωνσταντίνου, καὶ Ἑλένης.

Στίχ. Ὡς κοινὸν εἶχον γῆς Βασιλεῖς τὸ στέφος,
Ἔχουσι κοινὸν καὶ τὸ τοῦ Πόλου στέφος.
Συνέθανεν εἰκάδι πρώτῃ Μητρὶ Κωνσταντῖνος.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Οὗτος ὁ μακάριος ἐν Βασιλεῦσι Κωνσταντῖνος, Υἱὸς γέγονε Κωνσταντος τοῦ Χλωροῦ, καὶ Ἑλένης τῆς τιμίας. Ὁδηγηθεὶς δὲ Θεόθεν πρὸς τὴν ἐπίγνωσιν τοῦ Χριστοῦ, ἐν Οὐρανῷ ἐμφανισθέντος αὐτῷ τοῦ τύπου τοῦ σταυροῦ, μεσούσης ἡμέρας, διάπυρος ζηλωτὴς τῆς εὐσεβείας ἐχρημάτισε. Καὶ πρῶτος Βασιλεὺς Χριστιανῶν ἀναδειχθεὶς, κτίζει μὲν τὴν ἐπώνυμον αὐτῷ Βασιλίδα τῶν Πόλεων. Συνήθροισε δὲ καὶ τὴν ἐν Νικαίᾳ πρώτην Σύνοδον, δι' ἧς οἱ περὶ τὸν ἀθεώτατον Ἄρειον, τῆς Ἐκκλησίας ἀπηλάθησαν, καὶ ἀνεθεματίσθησαν. ἡ δὲ ὀρθόδοξος Πίστις ἀνεκηρύχθη, καὶ τῷ Πατρὶ ὁμοούσιος ὁ Υἱὸς ἐγνωρίσθη. Ζήλῳ δὲ θείῳ κινηθεὶς, ἀπέστειλε τὴν ἑαυτοῦ μητέρα, τὴν μακαρίαν Ἑλένην εἰς Ἱεροσόλυμα, εἰς ἀναζήτησιν τοῦ ζωοποιοῦ Σταυροῦ. Ὃν καὶ εὑροῦσα, ἀνέκαμψεν εἰς τὴν Βασιλίδα τῶν Πόλεων, ἔνθα καὶ τὸν βίον κατέλυσεν. Ὁ δὲ Μέγας Κωνσταντῖνος, πολλοῖς ἀγωνίσμασιν ὑπὲρ τῆς εὐσεβείας, καὶ τοῦ Χριστιανοῦ φύλου εὐδιαπρέψας, καὶ ἐκρατείας κατὰ Περσῶν ἀψάμενος, καὶ γενόμενος ἐν Νικομηδείᾳ πρὸς Κύριον ἐξεδήμησεν.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Σοῦ τὰ προστάγματα φυλάττων, ὑπεκλίθης σου τῷ νόμῳ Κωνσταντῖνος. ἀνομούντων διὸ καθεῖλε παρατάξεις, ἀναβοῶν σοι Κύριε, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ζύλον τὸ ταύτης ἀνελκύσαν, Ἀξιάγαστε ἐκ λάκκου ἀπωλείας, συγχωσθὲν φθονερῶς, ἡμῖν ἀνακαλύπτεις, καταχωννύον δαίμονας, ὀλεθρίους εἰς αἰῶνας.

Πράξεσι θείαις ἐδομήσω, τὴν καρδίαν σου Ναὸν Θεοῦ Ἑλένη· καὶ Ναοὺς ἱεροὺς αὐτῷ ἀνῳκοδόμεις, ἔνθα σαρκὶ τὰ ἄχραντα, δι' ἡμᾶς ὑπέστη Πάθη. Θεοτοκίον.

Γνώμῃ οἰκείᾳ ἁμαρτάνων, καὶ δουλούμενος ἀτόποις συνηθείαις, τῇ συνήθει σου νῦν, προστρέχω συμπαθείᾳ· ἀπεγνωσμένον σῶσόν με, Παναγία Θεοτόκε.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ὡς πορφυρίδα Ἔνδοξε, στολισθεὶς τὴν συμπάθειαν, καὶ ὥσπερ χλαμύδα, τὴν καλὴν πραότητα, στεφάνῳ κεκόσμησαι, τῶν ἀρετῶν τελείῳ νοΐ. καὶ μετατεθεὶς ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω, Βασίλεια κραυγάζεις· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Εὐφραινομένην βλέποντες, σὺν Υἱῷ σε θεόφρονι, εὔδοξε Ἑλένη, εἰς Θεοῦ Βασίλεια, Χριστὸν μεγαλύνομεν, τὸν τὴν ὑμῶν σεπτὴν Ἑορτὴν, δείξαντα ἡμῖν, ὑπὲρ ἀκτῖνας Ἡλίου, ἡμᾶς φωταγωγοῦσαν, τοὺς πιστῶς μελῳδοῦντας· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὡς θαυμαστὸς ὁ πόθος σου, καὶ ὁ τρόπος ὁ εὔθετος, εὔδοξε Ἑλένη, γυναικῶν τὸ καύχημα· τοὺς τόπους γὰρ φθάσασα, τοὺς τὰ σεπτὰ Παθήματα, ὑποδεξαμένους, τοῦ Δεσπότου τῶν ὅλων, ναοῖς περικαλλέσι, κατεκόσμεις βοῶσα· λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας. Θε.

Τὰ τῆς ψυχῆς μου ὄμματα, ταῖς πολλαῖς παραβάσεσιν, ἀποτυφλωθέντα, Θεοτόκε φώτισον. τὸν νοῦν μου ἄρδευσον, καὶ τὴν καρδίαν δέομαι, ἐκταραττομένην, ἡδοναῖς πολυτρόποις· καὶ σῶσόν με βοῶντα, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε.

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Ὁ Τάφος ἔνθα κεῖται τὸ ἱερὸν, Κωνσταντῖνε καὶ τίμιον σῶμά σου, μαρμαρυγὰς, θείων ἰαμάτων εἰλικρινῶς, τοῖς προσιοῦσι πάντοτε, βλύζει ἰαμάτων παντοδαπῶν· τὸ σκότος ἀπελαύνων, καὶ φέγγη ἀνέσπερα, φωταγωγῶν τοὺς εὐφημοῦντάς σε.

Ὁσίως σου τελέσασα τὴν ζωὴν, σὺν Ἁγίοις νυνὶ κατεσκήνωσας, ἁγιασμοῦ, πλήρης γενομένη καὶ φωτισμοῦ· τῶν ἰαμάτων πάντοτε, ὅθεν ἀναβλύζεις τοὺς ποταμοὺς, καὶ πάθη κατακλύζεις, Ἑλένη μακαρία, καὶ καταρδεύεις τὰς ψυχὰς ἡμῶν.

Προάναρχε, ἀθάνατε Βασιλεῦ, Βασιλείας τῆς ἄνω ἠξίωσας, οὓς εὐσεβῶς, πάλαι ἐδικαίωσας ἐπὶ γῆς, τοῦ βασιλεύειν Κύριε, σὲ ἠγαπηκότας εἰλικρινῶς, Ἑλένην τὴν ἁγίαν, τὸν Μέγαν Κωνσταντῖνον. ὧν ταῖς πρεσβείαις πάντας οἴκτειρον. Θεοτοκίον.

Τὸν πάντων Βασιλέα καὶ Ποιητὴν, συλλαβοῦσα Παρθένε ἐκύησας. καὶ νῦν ἰδοὺ, οἷά περ Βασίλισσα δεξιᾷ, τούτου ἁγνὴ παρίστασαι. ὅθεν δυσωπῶ σε ἀριστερᾶς, μερίδος λυτρώσαί με, ἐν ὥρᾳ καταδίκης, καὶ δεξιοῖς προβάτοις σύνταξον.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς.

Οὐκ ἐξ ἀνθρώπων εἴληφε, τὸ βασίλειον κράτος, ἀλλ' ἐκ τῆς θείας χάριτος, Κων-

σαντῖνος ὁ Μέγας, σὺν τῇ Μητρὶ οὐρανόθεν. ἐξαστράπτον δὲ βλέπει, Σταυροῦ τὸ θεῖον τρόπαιον. ὃς ἐν τούτῳ ὀλέσας τοὺς δυσμενεῖς, καὶ Εἰδώλων ἔλυσε τὴν ἀπάτην. ἐν Κόσμῳ δὲ ἐκράτυνε, τὴν ὀρθόδοξον Πίστιν.

Καὶ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους, Στιχηρὰ προσόμοια, ἦχος πλ. δ'.

Ὢ τοῦ Παραδόξου Θαύματος.

Χαίροις Κωνσταντῖνε πάνσοφε, Ὀρθοδοξίας πηγὴ, ἡ ποτίζουσα πάντοτε, τοῖς γλυκέσι νάμασι, τὴν Ὑφήλιον ἅπασαν. χαίροις ἡ ῥίζα, ἐξ ἧς ἐβλάστησε, καρπὸς ὁ τρέφων, τὴν Ἐκκλησίαν Χριστοῦ. χαίροις τὸ καύχημα, τῶν περάτων εὔδοξε Χριστιανῶν, Βασιλέων πρώτιστε. χαῖρε χαρὰ τῶν πιστῶν.

Ὁ Βασιλεὺς τῆς Κτίσεως, τὸ ἀπαθὲς προορῶν, τῆς καρδίας σου πάνσοφε, λογικῶς θήρευσε, ἀλογίᾳ κρατούμενον. καὶ καταυγάσας τὴν σὴν διάνοιαν, τῆς εὐσεβείας ταῖς ἐπιγνώσεσι, Κόσμῳ ἀνέδειξε φωταυγῆ ὡς Ἥλιον, μαρμαρυγὰς, θείων ἀποπέμποντα, πράξεων εὔδοξε.

Τὰ τοῦ Κυρίου διδάγματα, καθάπερ γῆ ἐκλεκτὴ, δεξαμένη πανεύφημε, ἐναρέτων πράξεων, εὐκαρπίαν ἐβλάστησας, τὰς διανοίας, ἡμῶν ἐκτρέφουσαν, τῇ ἐκμιμήσει, Ἑλένη πάνσοφε, τῆς πολιτείας σου. ὅθεν ἑορτάζομεν περιχαρῶς, σήμερον τὴν μνήμην σου, πανηγυρίζοντες.

Ἔλαιον ἀγαλλιάσεως, τοὺς σοὺς μετόχους Χριστὲ, Κωνσταντῖνον Ἑλένην τε, παραδόξως ἔχρισας, τὴν ἀπάτην μισήσαντας, καὶ σοῦ τὸ κάλλος, ἐπιποθήσαντας, καὶ Βασιλείας, τῆς οὐρανίου σου, τούτους ἠξίωσας, εὐσεβῶς τὸ πρότερον ἐπὶ τῆς γῆς, Λόγε βασιλεύσαντας, τῇ ἐπινεύσει σου.

Δόξα, ἦχος πλ. δ'. Μεθοδίου Πατριάρχου.

Ὁ Τῶν Ἀνάκτων Ἄναξ καὶ Θεὸς, ὁ πλουσίαις δωρεαῖς κατακοσμῶν τοὺς ἀξίους, αὐτὸς οὐρανόθεν, ὥσπερ Παῦλον τὸν ἀοίδιμον, διὰ σημείου τοῦ Σταυροῦ, σὲ Κωνσταντῖνε ἐζώγρησεν. ἐν τούτῳ φήσας νίκα τοὺς ἐχθρούς σου· ὃν ἀναζητήσας σὺν Μητρὶ θεόφρονι, καὶ εὑρὼν ὡς ἐπόθεις, τούτους κατὰ κράτος ἐτροπώσω. σὺν αὐτῇ οὖν ἱκέτευε, ὑπὲρ ὀρθοδόξων Βασιλέων, καὶ τοῦ φιλοχρίστου στρατοῦ, καὶ πάντων τῶν τὴν μνήμην σου τελούντων πιστῶς, τὸν μόνον φιλάνθρωπον, λυτρωθῆναι πάσης ὀργῆς.

Καὶ νῦν, τῆς Ἑορτῆς.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος. ᾠδὴ γ'. καὶ ς'. Προκείμ. ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Ἐν ταῖς ἡμέραις ἐκείναις, Ἀγρίππας ὁ Κεφ. κς'. 1. 12.
Βασιλεὺς πρὸς τὸν Παῦλον ἔφη· Ἐπιτρέπεταί σοι ὑπὲρ σεαυτοῦ λέγειν. Τότε ὁ Παῦλος ἀπελογεῖτο, ἐκτείνας τὴν χεῖρα. Ἐν οἷς καὶ πορευόμενος εἰς τὴν Δαμασκὸν μετ' ἐξουσίας, καὶ ἐπιτροπῆς τῆς παρὰ τῶν Ἀρχιερέων, ἡμέρας μέσης, κατὰ τὴν ὁδὸν εἶδον, Βασιλεῦ, οὐρανόθεν ὑπὲρ τὴν λαμπρότητα τοῦ Ἡλίου, περιλάμψαν με φῶς, καὶ τοὺς σὺν ἐμοὶ πορευομένους. Πάντων δὲ καταπεσόντων ἡμῶν εἰς τὴν γῆν, ἤκουσα φωνὴν λαλοῦσαν πρός με, καὶ λέγουσαν τῇ Ἑβραΐδι διαλέκτῳ. Σαοὺλ Σαοὺλ, τί με διώκεις; σκληρόν σοι πρὸς κέντρα λακτίζειν. Ἐγὼ δὲ εἶπον· τίς εἶ Κύριε; Ὁ δὲ εἶπεν· Ἐγώ εἰμι Ἰησοῦς, ὃν σὺ διώκεις. Ἀλλὰ ἀνάστηθι, καὶ στῆθι ἐπὶ τοὺς πόδας σου· εἰς τοῦτο γὰρ ὤφθην σοι, προχειρίσασθαί σε ὑπηρέτην καὶ μάρτυρα, ὧν τε εἶδες, ὧν τε ὀφθήσομαί σοι· ἐξαιρούμενός σε ἐκ τοῦ λαοῦ, καὶ τῶν ἐθνῶν, εἰς οὓς νῦν σε ἀποστέλλω, ἀνοῖξαι ὀφθαλμοὺς αὐτῶν, τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς, καὶ τῆς ἐξουσίας τοῦ Σατανᾶ, ἐπὶ τὸν Θεόν. τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν, καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις, πίστει τῇ εἰς ἐμέ. Ὅθεν, Βασιλεῦ Ἀγρίππα, οὐκ ἐγενόμην ἀπειθὴς τῇ οὐρανίῳ ὀπτασίᾳ· ἀλλὰ τοῖς ἐν Δαμασκῷ πρῶτον, καὶ Ἱεροσολύμοις, εἰς πᾶσάν τε τὴν χώραν τῆς Ἰουδαίας, καὶ τοῖς ἔθνεσιν, ἀπήγγελον μετανοεῖν, καὶ ἐπιστρέφειν ἐπὶ τὸν Θεὸν, ἄξια τῆς μετανοίας ἔργα πράσσοντας.

Τὸ δὲ Εὐαγγέλιον, ζήτει τῇ ιγ'. τοῦ Νοεμβρίου, εἰς τὸν Ὄρθρον τοῦ Χρυσοστόμου.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν.

Εἰς τὰς κβ'. Τοῦ Ἁγίου Μάρτυρος Βασιλίσκου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Εἰς τὰς κγ'. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν καὶ Ὁμολογητοῦ Μιχαὴλ, Ἐπισκόπου Συνάδων. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Εἰς τὰς κδ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Συμεὼν τοῦ ἐν τῷ θαυμαστῷ ὄρει. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.
Εἰς τὰς κε΄. Ἡ τρίτη εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Ἁγίου ἐνδόξου Προφήτου Προδρόμου, καὶ Βαπτιστοῦ Ἰωάννου. τὴν Ἀκολουθίαν πᾶσαν τοῦ Ἑσπερινοῦ, τοῦ Ὄρθρου, καὶ τῆς Λειτουργίας, ζήτει Φεβρουαρίῳ κδ΄.
Εἰς τὰς κς΄. Τοῦ Ἁγίου Ἀποστόλου Κάρπου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀπόστολον.
Εἰς τὰς κζ΄. Τοῦ Ἁγίου ἐνδόξου Ἱερομάρτυρος Ἑλλαδίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.
Εἰς τὰς κη΄. Τοῦ Ἁγίου Μάρτυρος Εὐτυχοῦς, τοῦ ἐν Μελιτινῇ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.
Εἰς τὰς κθ΄. Τῆς Ἁγίας Ὁσιομάρτυρος Θεοδοσίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἁγίαν Ὁσιομάρτυρα Γυναῖκα.
Εἰς τὰς λ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰσαακίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.
Εἰς τὰς λα΄. Τοῦ Ἁγίου Μάρτυρος Ἑρμέου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

## ΜΗΝ ΙΟΥΝΙΟΣ.

Ἔχων ἡμέρας λ΄. ἡ ἡμέρα ἔχει ὥρας ιε΄. καὶ ἡ νὺξ ὥρας θ΄.

Εἰς τὴν α΄. Τοῦ Ἁγίου Μάρτυρος Ἰουστίνου, καὶ τῶν σὺν αὐτῷ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.
Εἰς τὰς β΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικηφόρου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Ὁμολογητοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.
Εἰς τὰς γ΄. Τοῦ Ἁγίου Μάρτυρος Λουκιλλιανοῦ. ζήτει εἰς Μάρτυρα.
Εἰς τὰς δ΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μητροφάνους Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.
Εἰς τὰς ε΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Δωροθέου Ἐπισκόπου Τύρου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.
Εἰς τὰς ς΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἱλαρίωνος, τοῦ νέου Ἡγουμένου τῶν Δαλμάτων. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.
Εἰς τὰς ζ΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Θεοδότου Ἀγκύρας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.
Εἰς τὰς η΄. Τοῦ Ἁγίου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Στρατηλάτου. ζήτει τὴν Ἀκολουθίαν Φεβρουαρίῳ η΄.
Εἰς τὰς θ΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν, Κυρίλλου Ἀρχιεπισκόπου Ἀλεξανδρείας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.
Εἰς τὰς ι΄. Τῶν Ἁγίων Μαρτύρων Ἀλεξάνδρου, καὶ Ἀντωνίνης. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.
Εἰς τὰς ια΄. Τῶν Ἁγίων Ἀποστόλων Βαρθολομαίου, καὶ Βαρνάβα. τὴν Ἀκολουθίαν ζήτει εἰς Ἀποστόλους.
Εἰς τὰς ιβ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ὀνουφρίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.
Εἰς τὰς ιγ΄. Τῆς Ἁγίας Μάρτυρος Ἀκυλίνης. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἁγίαν Γυναῖκα Μάρτυρα.
Εἰς τὰς ιδ΄. Τοῦ Ἁγίου Προφήτου Ἐλισσαίου· καὶ τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Μεθοδίου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Ὁμολογητοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Προφήτην, καὶ εἰς Ἱεράρχην.
Εἰς τὰς ιε΄. Τοῦ Ἁγίου Προφήτου Ἀμώς. ζήτει τὴν Ἀκολουθίαν εἰς Προφήτην.
Εἰς τὰς ις΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν καὶ θαυματουργοῦ Τύχωνος Ἀμαθοῦντος. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.
Εἰς τὰς ιζ΄. Τῶν Ἁγίων Μαρτύρων Μανουήλ, Σαβέλ, καὶ Ἰσμαήλ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.
Εἰς τὰς ιη΄. Τοῦ Ἁγίου Μάρτυρος Λεοντίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.
Εἰς τὰς ιθ΄. Τοῦ Ἁγίου Ἀποστόλου Ἰούδα. τὴν Ἀκολουθίαν ζήτει εἰς Ἀπόστολον.
Εἰς τὰς κ΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Μεθοδίου Ἐπισκόπου Παπάρων. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.
Εἰς τὰς κα΄. Τοῦ Ἁγίου Μάρτυρος Ἰουλιανοῦ τοῦ Ταρσέως. ζήτει εἰς Μάρτυρα.
Εἰς τὰς κβ΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Εὐσεβίου Ἐπισκόπου Σαμωσάτων. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.
Εἰς τὰς κγ΄. Τῆς Ἁγίας Μάρτυρος Ἀγριππίνης. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἁγίαν Γυναῖκα Μάρτυρα.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Μηνὶ τῷ αὐτῷ ΚΔ΄.

## Τὸ Γενέσιον τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Ἑσπέρας ἐν τῷ μεγάλῳ Ἑσπερινῷ στιχολογοῦμεν τὸ α΄. Ἀντίφωνον, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. η΄. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμ. ἦχος δ΄. Ἰωάννου Μοναχοῦ.

Λύει τοῦ Ζαχαρίου τὴν σιωπήν, γεννηθεὶς ὁ Ἰωάννης· καὶ γὰρ οὐδὲ ἔπρεπε τὸν Πατέρα σιωπᾷν, προελθούσης τῆς φωνῆς. ἀλλ᾽ ὥσπερ ἀπιστηθεῖσαν πρώην τὴν γλῶτταν ἔδησεν, οὕτω φανερωθεῖσαν, δοῦναι τῷ Πατρὶ τὴν ἐλευθερίαν. ᾧ καὶ εὐηγγελίσθη, καὶ ἐγεννήθη φωνὴ τοῦ Λόγου, καὶ φωτὸς Πρόδρομος· πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός. Δίς.

Σήμερον ἡ φωνὴ τοῦ Λόγου, τὴν φωνὴν δι᾽ ἀπιστίαν κρατουμένην, λύει τὴν Πατρικήν· καὶ τῆς Ἐκκλησίας ἐμφαίνει τὴν εὐτεκνίαν, δεσμὰ τῆς στειρώσεως λύων τὰ μητρικά. ὁ λύχνος τοῦ φωτὸς προέρχεται· ἡ αὐγὴ τοῦ Ἡλίου τῆς δικαιοσύνης, μηνύει τὴν ἔλευσιν, εἰς ἀνάπλασιν πάντων, καὶ σωτηρίαν τῶν ψυχῶν ἡμῶν. Ἀνατολίου, ὁ αὐτός.

Θεοῦ Λόγου μέλλοντος ἐκ Παρθένου τίκτεσθαι, Ἄγγελος ἐκ στειρωτικῶν ὠδίνων προέρχεται, ὁ μέγας ἐν γεννητοῖς γυναικῶν, καὶ Προφήτου περισσότερος. ἔδει γὰρ θείων πραγμάτων, παραδόξους εἶναι τὰς ἀρχάς. παρ᾽ ἡλικίαν τὸ γόνιμον. καὶ ἄνευ σπορᾶς σύλληψις. ὁ ποιῶν θαυμάσια, εἰς σωτηρίαν ἡμῶν δόξα σοι.

Ἀνδρέου Κρήτης. Ὁ αὐτός.

Ἐπέφανε σήμερον ὁ μέγας Πρόδρομος, ἐξ ἀγόνων λαγόνων, τῆς Ἐλισάβετ προελθών· ὁ μείζων πάντων τῶν Προφητῶν Προφήτης, καὶ ἕτερος οὐκ ἔστιν, οὐδὲ ἐγήγερται. ὅτι τῷ Προδρόμῳ λύχνῳ, τὸ φῶς ἀκολουθεῖ τὸ ὑπέρλαμπρον· καὶ τῇ φωνῇ ὁ Λόγος, καὶ τῷ Νυμφαγωγῷ ὁ Νυμφίος· κατασκευάζων Κυρίῳ λαὸν περιούσιον· καὶ προκαθαίρων ἐπὶ τὸ Πνεῦμα διὰ τοῦ ὕδατος. τοῦ Ζαχαρίου ὁ βλαστός, καὶ τῆς ἐρήμου τὸ κάλλιστον θρέμμα. τῆς μετανοίας ὁ κῆρυξ, ἡ κάθαρσις τῶν ἀμπλακημάτων, ὁ τοῖς ἐν ᾅδῃ εὐαγγελιζόμενος, τὴν ἐκ νεκρῶν Ἀνάστασιν, καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Ὁ αὐτός.

Προφήτης καὶ Πρόδρομος, ἀπὸ γαστρὸς ἀνεδείχθης τοῦ Χριστοῦ Ἰωάννη, σκιρτῶν καὶ ἀγαλλόμενος ἐν τῇ νηδύϊ τῆς Μητρός· ὁρῶν τὴν Βασιλίδα ἐλθοῦσαν πρὸς τὴν δούλην, φέρουσαν τὸν ἄχρονον, καὶ ἐκ Πατρὸς ἀμήτορα, πρὸς σὲ τὸν ἐκ τῆς στείρας καὶ τοῦ πρεσβύτου, κατ᾽ ἐπαγγελίαν ἀνατείλαντα. αὐτὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός.

Ὢ τοῦ παραδόξου θαύματος· ὁ τῷ λόγῳ τοῦ Ἀγγέλου μὴ πεισθείς, λέγοντος ὅτι συλλήψεται ἡ Ἐλισάβετ, καὶ τέξει Υἱόν· ὁ λέγων, πῶς αὕτη τέξεται; ὅτι κἀγὼ προέβην, κἀκείνης τὰ μέλη νενέκρωται· ὁ καταδικασθεὶς σιωπᾷν διὰ τὴν ἀπιστίαν, σήμερον ὁρᾷ τικτόμενον τὸ ἐπαγγελθέν· καὶ σιωπῆς λυθείς, εὐφροσύνην εἰσοικίζει· εὐλογητός, βοῶν, Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ, ὁ παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Ὁ αὐτός.

Ἰωάννη πανεύφημε, καὶ οἰκουμενικὲ Ἀπόστολε, τὸ τοῦ Γαβριὴλ εὐαγγέλιον, καὶ τῆς στείρας τὸ βλάστημα, καὶ τῆς ἐρήμου τὸ κάλλιστον θρέμμα, καὶ γνήσιε φίλε τοῦ Νυμφίου Χριστοῦ, αὐτὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. β΄. Βυζαντίου.

Σήμερον τοῦ φωτὸς ὁ λύχνος, προοδοποιεῖται τὴν ἔλευσιν Θεοῦ τοῦ Λόγου, ὡς ἀστὴρ φαεινός. σήμερον Ζαχαρίας γλῶτταν ἐτράνωσε, σιωπὴν ἐξασκήσας, Ἀγγέλου προστάξαντος. ἔπρεπε γὰρ οὕτω τὸν πατέρα τῆς φωνῆς, μὴ σιωπὴν φυλάττειν, προελθούσης ἐκ γαστρὸς στειρωτικῆς· καὶ παντὸς τοῦ Κόσμου τὴν λύτρωσιν, εὐαγγελιζομένης ἐν παῤῥησίᾳ πολλῇ. Καὶ νῦν. Ὁ αὐτός.

Ἡ Ἐλισάβετ συνέλαβε τὸν Πρόδρομον τῆς χάριτος, ἡ δὲ Παρθένος τὸν Κύριον τῆς δόξης. ἠσπάσαντο ἀλλήλας αἱ μητέρες, καὶ τὸ βρέφος ἐσκίρτησεν. ἔνδοθεν γὰρ ὁ δοῦλος ᾔνει τὸν Δεσπότην. θαυμάσασα ἡ Μήτηρ τοῦ Προδρόμου, ἤρξατο βοᾷν· πόθεν μοι τοῦτο, ἵνα ἡ Μήτηρ τοῦ Κυρίου μου ἔλθῃ πρός με; ἵνα σώσῃ λαὸν ἀπεγνωσμένον, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἴσοδος. τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσμ. Γενέσεως τὸ Ἀνάγνωσμα.

Εἶπε Κύριος ὁ Θεὸς τῷ Ἀβραάμ. Σάρα ἡ γυνή σου, οὐ κληθήσεται τὸ ὄνομα αὐτῆς Σάρα, ἀλλὰ Σάῤῥα ἔσται τὸ ὄνομα αὐτῆς. Εὐλογήσω δὲ αὐτήν, καὶ δώσω σοι ἐξ αὐτῆς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τέκνον· καὶ εὐλογήσω αὐτό, καὶ ἔσται εἰς ἔθνη, καὶ Βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἐξελεύσονται. Καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ, καὶ ἐγέλασε, καὶ εἶπεν ἐν τῇ διανοίᾳ αὐτοῦ· Εἰ τῷ ἑκατονταετεῖ γεννήσεται Υἱός; καὶ ἡ Σάῤῥα ἐννενήκοντα ἐτῶν οὖσα τέξεται; Εἶπε δὲ ὁ Θεὸς τῷ Ἀβραάμ· ναί· ἰδοὺ Σάῤῥα ἡ γυνή σου τέξεταί σοι Υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ· καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν, εἰς διαθήκην
Κεφ. ιη΄. 11. αἰώνιον. Ἀβραὰμ δὲ καὶ Σάῤῥα πρεσβύτεροι προβεβηκότες ἡμερῶν. Ἐγέλασε δὲ Σάῤῥα ἐν ἑαυτῇ λέγουσα· Οὔπω μοι γέγονεν ἕως τοῦ νῦν, ὁ δὲ Κύριός μου πρεσβύτερος. Καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ Ἀβραάμ· τί ὅτι ἐγέλασε Σάῤῥα ἐν ἑαυτῇ λέγουσα· Ἆρά γε ἀληθῶς τέξομαι; ἐγὼ δὲ γεγήρακα. Μὴ ἀδυνατήσει παρὰ τῷ Θεῷ πᾶν ῥῆμα;
Κεφ. κα΄. 1. Καὶ Κύριος ἐπεσκέψατο τὴν Σάῤῥαν, καθὰ ἐλάλησε· Καὶ συλλαβοῦσα, ἔτεκε τῷ Ἀβραὰμ Υἱὸν εἰς τὸ γῆρας, εἰς τὸν καιρὸν καθὰ ἐλάλησεν αὐτῷ Κύριος. Περιέτεμε δὲ αὐτὸν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καθὰ ἐνετείλατο αὐτῷ Κύριος ὁ Θεός. Καὶ Ἀβραὰμ ἦν ἐτῶν ἑκατὸν, ἡνίκα ἐγένετο αὐτῷ Ἰσαὰκ ὁ Υἱὸς αὐτοῦ. Εἶπε δὲ Σάῤῥα· γέλωτά μοι ἐποίησε Κύριος. ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι. Καὶ εἶπε· τίς ἀναγγελεῖ τῷ Ἀβραάμ, ὅτι θηλάζει παιδίον Σάῤῥα, ὅτι ἔτεκον Υἱὸν ἐν τῷ γήρᾳ μου; Καὶ ηὐξήθη τὸ παιδίον, καὶ ἀπεγαλακτίσθη. καὶ ἐποίησεν Ἀβραὰμ δοχὴν μεγάλην, ᾗ ἡμέρᾳ ἀπεγαλακτίσθη Ἰσαὰκ ὁ Υἱὸς αὐτοῦ.

### Κριτῶν τὸ Ἀνάγνωσμα.

Κεφ. ιγ΄. 2. ΕΝ ταῖς ἡμέραις ἐκείναις, ἐγένετο ἀνὴρ ἐκ τῆς φυλῆς τοῦ Δὰν, καὶ ὄνομα αὐτῷ Μανωέ. καὶ ἡ γυνὴ αὐτοῦ στεῖρα, καὶ οὐκ ἔτικτε. Καὶ ὤφθη Ἄγγελος Κυρίου πρὸς τὴν γυναῖκα, καὶ εἶπε πρὸς αὐτήν· ἰδοὺ σὺ στεῖρα, καὶ ἐν γαστρὶ ἕξεις, καὶ τέξῃ Υἱόν. Καὶ νῦν φύλαξαι, μὴ πίῃς οἶνον καὶ σίκερα, καὶ μὴ φάγῃς πᾶν ἀκάθαρτον· Ὅτι ἰδοὺ σὺ ἐν γαστρὶ ἕξεις, καὶ τέξῃ Υἱόν. καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ὅτι Ναζηραῖον τῷ Θεῷ ἔσται τὸ παιδάριον ἐκ τῆς γαστρός. καὶ ἦλθεν ἡ γυνὴ, καὶ εἶπε τῷ ἀνδρὶ αὐτῆς λέγουσα· ὅτι ἄνθρωπος τοῦ Θεοῦ
Κεφ. ιζ΄. 15. ἦλθε πρός με, καὶ ἡ ὅρασις αὐτοῦ ὡς ὅρασις Ἀγγέλου τοῦ Θεοῦ, ἐπιφανὴς σφόδρα. Καὶ εἶπεν· ἰδοὺ ἐν γαστρὶ ἕξεις, καὶ τέξῃ Υἱόν. καὶ νῦν μὴ πίῃς οἶνον καὶ σίκερα, καὶ μὴ φάγῃς πᾶν ἀκάθαρτον, ὅτι Ναζηραῖον Θεοῦ ἔσται τὸ παιδάριον ἀπὸ γαστρὸς, ἕως ἡμέρας θανάτου αὐτοῦ. Καὶ ἐδεήθη Μανωὲ τοῦ Κυρίου, καὶ εἶπεν· ἐν ἐμοὶ Κύριε ὁ ἄνθρωπος τοῦ Θεοῦ ὃν ἀπέστειλας, ἐλθέτω δὴ ἔτι πρὸς ἡμᾶς, καὶ φωτισάτω ἡμᾶς, τί ποιήσωμεν τῷ παιδαρίῳ τῷ τικτομένῳ. Ἦλθε δὲ ὁ Ἄγγελος πρὸς Μανωὲ, καὶ εἶπεν· Ἀπὸ πάντων ὧν εἶπον πρὸς τὴν γυναῖκά σου, φυλαξάσθω· Ἀπὸ παντὸς ὃ ἐκπορεύεται ἐξ ἀμπέλου, οὐ φάγεται. καὶ οἶνον καὶ σίκερα μὴ πιέτω. Καὶ εἶπε Μανωὲ πρὸς τὸν Ἄγγελον Κυρίου· Τί ὄνομά σοι, ἵνα ὅταν ἔλθῃ τὸ ῥῆμά σου δοξάσωμέν σε; Καὶ εἶπεν αὐτῷ ὁ Ἄγγελος Κυρίου· Ἵνα τί ἐρωτᾷς; τὸ ὄνομά μου, καὶ αὐτό ἐστι θαυμαστόν. Καὶ οὐ προσέθηκεν ἔτι ὁ Ἄγγελος Κυρίου ὀφθῆναι πρὸς Μανωὲ, καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ.

### Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

ΤΑ΄δε λέγει Κύριος· Παρακαλεῖτε, παρα- Κεφ. μ΄. 1.
καλεῖτε τὸν λαόν μου, λέγει ὁ Θεός. Οἱ Ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ. Παρακαλέσατε αὐτὴν, ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς. λέλυται γὰρ αὐτῆς ἡ ἁμαρτία· ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε
τὰς τρίβους αὐτοῦ. Ἐπ᾽ ὄρος ὑψηλὸν ἀνάβηθι ὁ Ἐδ. 9.
εὐαγγελιζόμενος Σιών. Ὕψωσον τῇ ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος Ἱερουσα-
λήμ. Ὑψώσατε, μὴ φοβεῖσθε. Ἐγὼ Κύριος Κεφ. μα΄. 17.
ὁ Θεός. Ἐγὼ ἐπακούσομαι ὁ Θεὸς Ἰσραὴλ, καὶ οὐκ ἐγκαταλείψω αὐτούς. ἀλλὰ ἀνοίξω ἐκ τῶν ὀρέων ποταμοὺς, καὶ ἐν μέσῳ πεδίων πηγάς. Ποιήσω τὴν ἔρημον εἰς ἕλη, καὶ τὴν διψῶσαν
γῆν ἐν ὑδραγωγοῖς. Εὐφρανθήτω ὁ Οὐρανὸς Κεφ. με΄. 8.
ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην. Ἀνατειλάτω ἡ γῆ, καὶ βλαστησάτω ἔλεος,
καὶ δικαιοσύνην ἀναγγειλάτω ἅμα. Φωνὴν εὐ- Κεφ. μη΄. 20.
φροσύνης ἀναγγείλατε. ἀκουστὸν γενέσθω τοῦτο ἕως ἐσχάτου τῆς γῆς. Λέγετε, ὅτι ἐρρύσατο Κύριος τὸν δοῦλον αὐτοῦ Ἰακώβ. καὶ ἐὰν διψήσωσι δι᾽ ἐρήμου, ἄξει αὐτοῖς ὕδωρ ἐκ πέτρας.
Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον, καὶ βόη- Κεφ. νδ΄. 1.
σον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

### Εἰς τὴν Λιτὴν, Στ. ἰδιόμ. ἦχος α΄.

ΣΤαλάξατε τὰ ὄρη γλυκασμὸν, καὶ οἱ βουνοὶ ὡς ἀρνία σκιρτήσατε· ὅτι ἐτέχθη ἐκ τῆς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἐλισάβετ, ὁ μέλλων ἐφ᾽ ὑμᾶς αὐλίζεσθαι, ὁ τοῦ Κυρίου Πρόδρομος· ὁ λύσας ἐν τῷ τίκτεσθαι τοῦ Πατρὸς τὴν ἀφωνίαν· διὸ καὶ ἡμεῖς βοῶμεν αὐτῷ· Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός.

Ἡ Θεοσήμαντος φωνή, τοῦ φωτὸς ὁ λύχνος, ὁ τοῦ Κυρίου Πρόδρομος, ὁ Χριστομαρτύρητος πρῶτος τῶν Προφητῶν, τὰς ὑπὲρ τοῦ Κόσμου πρεσβείας ποιούμενος. ἐξαιρέτως τὴν ποίμνην σου μνημόνευε, τοῦ σώζεσθαι ἀπρῶτον. Ὁ αὐτός.

Κήρυξ γέγονας τοῦ ἀμνοῦ τοῦ Θεοῦ καὶ Λόγου, Ἰωάννη Προφῆτα καὶ Πρόδρομε, προφητεύεις τὰ μέλλοντα, καὶ προλέγεις τοῖς πέρασιν· Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τοῦ Κόσμου τὴν ἁμαρτίαν, καὶ παρέχων τοῖς πᾶσι τὸ μέγα ἔλεος.

Δόξα, ἦχος πλ. α΄. Ἀνδρέου Κρήτης.

Τὸν ἐν Προφήταις ὅρον, καὶ ἀρχὴν Ἀποστόλων, τὸν ἐπίγειον Ἄγγελον, καὶ οὐράνιον ἄνθρωπον, τὴν φωνὴν τοῦ Λόγου, τὸν στρατιώτην καὶ Πρόδρομον Χριστοῦ, τὸν ἐξ ἐπαγγελίας προσκιρτήσαντα, καὶ προκηρύξαντα πρὸ τόκου τὸν ἥλιον τῆς δικαιοσύνης, σήμερον ἡ Ἐλισάβετ, καὶ τίκτει καὶ χαίρει· καὶ θαυμάζεται Ζαχαρίας παρὰ τῆς γερουσίας, τὴν σιωπὴν ὡς κλοιὸν ἀποθέμενος· καὶ ὡς γεννήτωρ τῆς φωνῆς, προφητεύει σαφέστατα· σὺ γὰρ παιδίον Προφήτης ὑψίστου κληθήσῃ, καὶ προπορεύσῃ ὁδοὺς ἑτοιμάσαι αὐτοῦ. διὸ Ἄγγελε, Προφῆτα, Ἀπόστολε, στρατιῶτα, Πρόδρομε, Βαπτιστὰ, καὶ κήρυξ τῆς μετανοίας, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν πιστῶς σου τελούντων τὸ μνημόσυνον.

Καὶ νῦν, Θεοτ. Εἰς τὸν στ. στ. ἰδιόμ. ἦχος β΄.

Τὸν ἐκ Προφήτου Προφήτην, καὶ τῆς στείρας τὸ βλάστημα, τὸν ἐν γεννητοῖς γυναικῶν ὑπὲρ ἅπαντας, τὸν τῆς ἐρήμου πολίτην, Ἰωάννην τὸν ἔνδοξον, ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς εὐφημήσωμεν, βοῶντες πρὸς αὐτόν· Βαπτιστὰ τοῦ Σωτῆρος καὶ Πρόδρομε, ὡς ἔχων παῤῥησίαν ἐν τῇ σεπτῇ σου γεννήσει, δυσώπησον Χριστὸν, δωρηθῆναι εἰρήνην τῷ Κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Στ. Εὐλογητὸς Κύριος ὁ Θεός.

Ἦλθεν ἡ φωνὴ τῆς χάριτος τοῦ Λόγου, ὁ τοῦ Ἡλίου κήρυξ, γεννηθεὶς σήμερον ἐκ στείρας τῆς ἀγόνου ἐξ ἐπαγγελίας, Ἰωάννης ὁ Πρόδρομος, λαοὶ ἀγαλλιᾶσθε. ἦλθεν εὐτρεπίσαι τὴν ὁδὸν ἡμῖν τῆς σωτηρίας, ὃν καὶ σκιρτήσας προσεκύνησεν, ἐν τῇ νηδύϊ ὄντα τῆς Μητρὸς, τὸν ἀμνὸν τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ Κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Στ. Καὶ σὺ Παιδίον Προφήτης Ὑψίστου.

Ὁ ἐκ κοιλίας Μητρὸς ἁγιασθεὶς, καὶ τῆς προφητείας δεξάμενος τὸ πλήρωμα, σήμερον ἐκ στείρας γεγέννηται, τοῦ Κυρίου τὴν ἔλευσιν κηρύττων τρανῶς· μετανοεῖτε. ἤγγικε γὰρ ἡ Βασιλεία τῶν Οὐρανῶν.

Δόξα, ἦχος πλ. δ΄. Κασσίας Μοναχῆς.

Ἡσαΐου νῦν τοῦ Προφήτου ἡ φωνὴ σήμερον, ἐν τῇ τοῦ μείζονος Προφητῶν κυήσει, Ἰωάννου πεπλήρωται. Ἰδοὺ γάρ φησιν, ἀποστελῶ τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου. οὗτος οὖν ὁ τοῦ ἐπουρανίου Βασιλέως στρατιώτης προδραμὼν, ὡς ἀληθῶς εὐθείας ἐποίει τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν, ἄνθρωπος μὲν τῇ φύσει, Ἄγγελος δὲ τὸν βίον ὑπάρχων· ἁγνείαν γὰρ παντελῆ, καὶ σωφροσύνην ἀσπασάμενος, ἔσχε μὲν τὸ κατὰ φύσιν, ἔφυγε δὲ τὸ παρὰ φύσιν, ὑπὲρ φύσιν ἀγωνισάμενος. αὐτὸν ἅπαντες πιστοὶ, ἐν ἀρεταῖς μιμούμενοι, πρεσβεύειν ὑπὲρ ἡμῶν δυσωπήσωμεν, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, ὁ αὐτός.

Βλέπε τὴν Ἐλισάβετ, πρὸς τὴν Παρθένον Μαριὰμ διαλεγομένην· τί παραγέγονας πρός με ἡ Μήτηρ τοῦ Κυρίου μου; σὺ Βασιλέα βαστάζεις, κἀγὼ στρατιώτην. σὺ τὸν Νομοδότην, κἀγὼ τὸν Νομοθέτην. σὺ τὸν Λόγον, κἀγὼ τὴν φωνὴν, τὴν κηρύξασαν τὴν Βασιλείαν τῶν Οὐρανῶν. Τροπάριον, ἦχος δ΄.

Προφῆτα καὶ Πρόδρομε τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε, οὐκ εὐποροῦμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε. στείρωσις γὰρ τεκούσης, καὶ Πατρὸς ἀφωνία, λέλυται τῇ ἐνδόξῳ, καὶ σεπτῇ σου γεννήσει· καὶ Σάρκωσις Υἱοῦ τοῦ Θεοῦ Κόσμῳ κηρύττεται.

Καὶ νῦν, Θεοτ. Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον.

Εἰς τὸν Ὄρθρον, μετὰ τὸ Θεὸς Κύριος, λέγονται πάλιν τροπάρια τὰ αὐτά.

Εἰς δὲ τὴν α΄. στιχολ. κάθισμα ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Νῦν ἐβλάστησεν ἡμῖν, τοῦ Ζαχαρίου ὁ βλαστός. καὶ εὐφραίνει νοητῶς, τὰς διανοίας τῶν πιστῶν, τὸ τῆς ἐρήμου καλλώπισμα, καὶ Προ-

φητῶν

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

φητῶν ἡ κρηπίς· ὅθεν τοῦ Χριστοῦ, ἐδείχθη Πρόδρομος, καὶ Μάρτυς ἀψευδὴς τῆς παρουσίας αὐτοῦ. πνευματικοῖς οὖν ᾄσμασι, συμφώνως τῷ Βαπτιστῇ ἐκβοήσωμεν· Προφῆτα κήρυξ, τῆς ἀληθείας, πρέσβευε τοῦ σωθῆναι ἡμᾶς. Θεοτοκίον. Ὅμοιον.

Κατηλλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε. βάτον ἐν πυρὶ ἀκατάφλεκτον· ῥάβδον Ἀαρὼν, τὴν βλαστήσασαν· καὶ μαρτυρῶν ὁ μνήστωρ σου, καὶ φύλαξ, τοῖς Ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει Παρθένος.

Μετὰ τὴν β΄. Στιχολ. Κάθισμα. Ἦχος πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς Χριστοῦ παρουσίας ἡ ἀπαρχή, παραδόξως ἐτέχθης ὡς ἀληθῶς, Ἰωάννη πανεύφημε, Προφητῶν τὸ κεφάλαιον· καὶ ὡς φωνὴ τοῦ Λόγου, ὑπάρχων ἐκραύγαζες· μετανοεῖτε ἤγγικεν, οὐρανῶν τὸ Βασίλειον. ὅθεν ἑτοιμάσας, τὴν ὁδὸν τοῦ Κυρίου, τῆς χάριτος Πρόδρομος, ἀνεδείχθης τοῖς πέρασι, Βαπτιστὰ καὶ Ἀπόστολε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Θεοτοκίον. Ὅμοιον.

Παναγία Παρθένε Μήτηρ Θεοῦ, τῆς ψυχῆς μου τὰ πάθη τὰ χαλεπά, ἴασαι δέομαι, καὶ συγγνώμην παράσχου μοι, τῶν ἐμῶν πταισμάτων, ἀφρόνως ὧν ἔπραξα, τὴν ψυχὴν καὶ τὸ σῶμα, μολύνας ὁ ἄθλιος. οἴμοι τί ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ, ἡνίκα οἱ Ἄγγελοι, τὴν ψυχήν μου χωρίζουσιν, ἐκ τοῦ ἀθλίου μου σώματος; τότε Δέσποινα βοήθειά μοι γενοῦ, καὶ προστάτις θερμότατος. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Μετὰ τὸν Πολυέλεον Κάθισμα. Ἦχος πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς.

Ἀγαλλιάσθω ὁ Πατήρ, Μήτηρ εὐφραίνου, ὅτι Προφήτην ἐπὶ γῆς, ἔτεκες σήμερον, τὸν θεόκλητον Πρόδρομον ἐξ ἐπαγγελίας· ἡ στεῖρα βρέφος θηλάζει τὸν Βαπτιστήν. καὶ χαίρει ὁ Ζαχαρίας τῷ τοκετῷ, λέγων· γλῶσσά μου λέλυται, τῇ σῇ προόδῳ ἐν γῇ, λύχνε τοῦ μεγάλου Φωτός. ὄντως θαῦμα παράδοξον.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τῶν Ἀσωμάτων σου Χριστέ, καὶ τοῦ Προδρόμου, τῶν Μαθητῶν καὶ Προφητῶν, καὶ τῶν Μαρτύρων, τῶν ἁγίων ἁπάντων καὶ τῆς Θεοτόκου, πρεσβείαις τῆς ἀπειράνδρου καὶ ἀγαθῆς, μηπρὸς σοῦ ἐκδυσωπούμενος δίδου ἡμῖν, τῷ φωτί σου πορεύεσθαι. καὶ καταξίωσον ἡμᾶς, τυχεῖν τῆς Βασιλείας σου, διὰ σπλάγχνα ἐλέους σου.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Καὶ σὺ Παιδίον Προφήτης Ὑψίστου.

Στίχ. Εὐλογητὸς Κύριος ὁ Θεός. Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, συνέλαβεν Ἐλισάβετ ἡ Κεφ. α. 24.
γυνὴ Ζαχαρίου, καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα. Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν, καὶ ἐγέννησεν Υἱόν. Καὶ ἤκουσαν οἱ περίοικοι καὶ οἱ συγγενεῖς αὐτῆς, ὅτι ἐμεγάλυνε Κύριος τὸ ἔλεος αὐτοῦ μετ᾽ αὐτῆς, καὶ συνέχαιρον αὐτῇ. Καὶ ἐγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ, ἦλθον περιτεμεῖν τὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόματι τοῦ Πατρὸς αὐτοῦ Ζαχαρίαν. Καὶ ἀποκριθεῖσα ἡ Μήτηρ αὐτοῦ, εἶπεν οὐχί, ἀλλὰ κληθήσεται Ἰωάννης· Καὶ εἶπον πρὸς αὐτήν· ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου, ὃς καλεῖται τῷ ὀνόματι τούτῳ. Ἐνένευον δὲ τῷ Πατρὶ αὐτοῦ, τό, τί ἂν θέλοι καλεῖσθαι αὐτόν. Καὶ αἰτήσας πινακίδιον, ἔγραψε λέγων. Ἰωάννης ἐστὶ τὸ ὄνομα αὐτοῦ. καὶ ἐθαύμασαν πάντες. Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παραχρῆμα, καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει, εὐλογῶν τὸν Θεόν. καὶ ἐγένετο ἐπὶ πάντας φόβος τοὺς περιοικοῦντας αὐτούς. καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες· Τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; καὶ χεὶρ Κυρίου ἦν μετ᾽ αὐτοῦ. Καὶ Ζαχαρίας ὁ Πατὴρ αὐτοῦ ἐπλήσθη Πνεύματος Ἁγίου, καὶ προεφήτευσε λέγων. Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ Λαῷ αὐτοῦ. καὶ σὺ παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. Τὸ δὲ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο Πνεύματι· καὶ ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ σοῦ Προδρόμου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις.

Στίχ. Ἐλέησόν με. Καὶ τὸ ἰδιόμ. Ἦχος πλ. β΄.

Ἡ Ἐλισάβετ. Ζήτει εἰς τὸν Ἑσπερινόν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Σῶσον ὁ Θεὸς τὸν Λαόν σου, τὸ, Κύριε ἐλέησον, ιβ΄. οἱ Κανόνες, ὁ παρὼν τοῦ Κυρίου Ἰωάννου μετὰ τοῦ Εἱρμοῦ εἰς η΄. καὶ ὁ ἕτερος, εἰς ς΄.

Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

Τρισσάτας κραταιοὺς, ὁ τεχθεὶς ἐκ Παρθένου, ἀπαθείας ἐν βυθῷ, ψυχῆς τὸ τριμερὲς, καταπόντισον δέομαι· ὅπως σοι ὡς ἐν τυμπάνῳ, τῇ νεκρώσει τοῦ σώματος, ἐπινίκιον ᾄσω μελῴδημα.

Ὡς ὄρθρος ἀρετῆς, τοῦ Ἡλίου προτρέχων, σαρκώσεως ὁ βλαστὸς, κηρύττει ἐμφανῶς τῆς Παρθένου τὸ κύημα· πάσῃ νῦν τῇ Οἰκουμένῃ, ἀναλάμπων τοῖς πέρασι, φωτισμὸν εὐσεβείας καὶ χάριτος.

Προφήτης ἀληθῶς, τοῦ Ὑψίστου κληθήσῃ. προπορεύσῃ γὰρ Χριστοῦ, βοᾷ σοι τῷ Υἱῷ, Ἰωάννη πανεύφημε, Πνεύματι ὁ Ζαχαρίας, Παναγίῳ φερόμενος, τὴν ὁδὸν ἑτοιμάσαι τοῦ Κτίσαντος.

Ῥημάτων Γαβριὴλ, Ζαχαρίας ἀκούσας, ἀγγελίας θεϊκῆς, ἐδείχθη ἀπειθὴς, καὶ σιγὴν κατακρίνεται· λύεται δὲ ἄφνω ταύτης. ἡ φωνὴ γὰρ γεγέννηται, Ἰωάννης τοῦ Λόγου ὁ Πρόδρομος. Θεοτοκίον.

Ἡ Πόλις τοῦ Θεοῦ, τὸ τοῦ Παμβασιλέως, θεοδόχον εὐαγὲς, κειμήλιον σεπτὸν, Θεοτόκε Πανάμωμε· φρούρησον τὴν κληρουχίαν, τὴν σὲ εὐφημοῦσάν σε, καὶ γεραίρουσαν πίστει τὸν τόκον σου.

Ἕτερος Κανὼν, ἦχος ὁ αὐτός.

Ἀνοίξω τὸ στόμα μου.

Κοσμεῖται τὴν χάριν νῦν, ἡ Ἐκκλησία τοῦ Πνεύματος· καὶ καταφαιδρύνεται καὶ ὡραΐζεται, τὴν γενέθλιον, ἡμέραν τοῦ Προδρόμου, εὐφροσύνως ἄγουσα, καὶ ἀναμέλπουσα.

Ὁ Κῆρυξ τῆς χάριτος, καὶ ἑωσφόρος φαιδρότερος, τῆς δόξης τὸν Ἥλιον μηνύει σήμερον, καὶ τὴν ἔλλαμψιν, αὐτοῦ νῦν προκηρύττει, ἐν πᾶσι τοῖς πέρασιν, αὐγάζειν μέλλουσαν.

Ἡ νὺξ τῆς ἀθεότητος, ἐν τῇ Γεννήσει σου Πρόδρομε, ἐκ γῆς ἀπελαύνεται, καὶ αἱ τῆς χάριτος, ἐν τοῖς πέρασιν, ἀκτῖνες ἐφαπλοῦνται. σὺ γὰρ τὸν ἀνέσπερον μηνύεις Ἥλιον. Θεοτ.

Τὴν γνῶσιν τῆς συλλήψεως, τῆς σῆς δεικνύει ἡ κύησις, τῆς στείρας πανάχραντε, προκαταγγέλλουσα, καὶ μηνύουσα, τὸν ἄσπορόν σου τόκον. καρπὸν ἐξ ἀκάρπου γὰρ, νηδύος ἤνεγκε.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει, καὶ πλούτῳ καυχώμεθα, ἀλλ' ἐν σοὶ τῇ τοῦ Πατρὸς, ἐνυποστάτῳ σοφίᾳ Θεοῦ. οὐ γάρ ἐστιν Ἅγιος, πλὴν σοῦ φιλάνθρωπε.

Δεσποτικὴ μὲν, ἐκ Παρθένου τελεῖται ἡ γέννησις· ἀλλ' οἰκέτου προσφιλοῦς, ἐκ γηραλαίας καὶ στείρας μητρός. εἰκότως προτρέχει γὰρ, θαῦμα τοῦ θαύματος.

Ῥυσὴ καὶ στεῖρα, τὴν Παρθένον Μητέρα ἀσπάζεται, ἐπιγνοῦσαν ἀψευδῶς, τῷ ταύτης τόκῳ ὡς λέλυται, δεσμὰ τῆς στειρώσεως, Θείῳ βουλήματι. Θεοτοκίον.

Ἀπειρογάμως, ἡ Θεὸν σαρκωθέντα κυήσασα, τῶν παθῶν ταῖς προσβολαῖς, κλονούμενόν με στερέωσον. οὐ γάρ ἐστιν Ἄχραντε, πλὴν σοῦ βοήθεια.

Ἄλλος. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ἦχος τῆς ἐκ στείρας σου προόδου, δεσμὰ διαλύσας πατρικῆς, φωνῆς κηρύττει Ἔνδοξε, λαμπρῶς τῆς ὑπὲρ ἔννοιαν, Χριστοῦ συγκαταβάσεως, τὰ θεῖα νῦν προμηνύματα.

Στείρας ἐξ ἀκάρπου ἐκβλαστήσας, ὁ τῆς εὐκαρπίας μηνυτὴς, τῆς ἐν Χριστῷ ἐξέτεμες, τὴν ἄγονον καὶ ἄκαρπον, ἀξίνῃ τοῦ κηρύγματος, ἀγνωμοσύνην Ἰουδαίων λαοῦ.

Χάριτος τῆς νέας αἱ ἀκτῖνες, ἐξέλαμψαν σήμερον φαιδρῶς, τῇ σῇ Γεννήσει Πρόδρομε· καὶ παλαιὰ αἰνίγματα, καὶ οἱ σκιώδεις γράμματος, μεταχωρεῖν τύποι ἀπήρξαντο. Θεοτ.

Ἔλυσεν ὁ τόκος σου Παρθένε, δεσμὰ καταδίκης τῶν βροτῶν, καὶ ἑαυτῷ συνέδησεν, ἡμᾶς διὰ τῆς χάριτος, εὐλογήσας ἅπαντας, τοὺς Θεοτόκον σε γεραίροντας.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Ἄλλ. ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ὥσπερ Ἥλιος φαιδρὸς, τῆς Ἐλισάβετ ἐκ γαστρὸς, ἐξανέτειλεν ἡμῖν, τοῦ Ζαχαρίου ὁ Υἱός· καὶ τοῦ Πατρὸς διαλύει τὴν ἀφωνίαν. καὶ πᾶσι τοῖς λαοῖς, ἐν παρρησίᾳ πολλῇ, εὐθύνατε βοᾷ, τὰς τοῦ Κυρίου ὁδούς. καὶ γὰρ αὐτὸς ἐλεύσεται, καὶ σώσει τοὺς πρὸς αὐτὸν ἐπιστρέφοντας. ὃν προκηρύξας, ὦ Ἰωάννη, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, πάλιν, τὸ αὐτό. Καὶ νῦν. Θεοτ.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Μυστηρίων ἀπορρήτων, προοδεύει Μυστήριον, τῇ καινοτομίᾳ, τῆς θεσμοθεσίας



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς φύσεως, τῆς ἀῤῥωστίας ἡ λύσις προμηνύουσα, τὴν διόρθωσιν, ταύτης Χριστὲ καὶ τὴν θέωσιν.

Ἠσαΐας μὲν πατρόθεν, τῷ Υἱῷ προεφήτευσε, σαρκωθησομένῳ, Ἄγγελον βροτὸν τὸν ἰσάγγελον. Ἰδοὺ ἐγὼ ἀποστέλλω πρὸ προσώπου σου, προκραυγάζοντα· δόξα Χριστὲ τῇ δυνάμει σου.

Ὑπηρετῆσαι ὡς δοῦλος, τῷ Δεσπότῃ γεγέννημαι. εἰς αὐτὸ γὰρ ἥκω, τοῦτο καταγγεῖλαι τὴν ἔλευσιν. ὡς τῆς Παρθένου τὸν τόκον, προτισώσηται, παραδόξως, στειρεύσασα γραῦς ἐκβλαστήσασα. Θεοτοκίον.

Ἡ Ἁγία Θεοτόκος, ἣν οἰκῆσαι ηὐδόκησεν, ὡς εὐώδη οἶκον, Λόγος τοῦ Πατρὸς ὁ ὑπέρθεος, οὐ διέφθειρε τὴν μήτραν, οὐκ ὤδινησε. καὶ γὰρ τέτοκεν, Ἐμμανουὴλ τὸν Θεάνθρωπον.

Ἄλλος. Τὴν ἀνεξιχνίαστον.

Ῥεῖθρα ἑτοιμάζουσιν οἱ ποταμοί, καὶ ὁ Ἰορδάνης τὰ νάματα, προευτρεπίζει, τὸν Δεσπότην τὸν αὐτοῦ, ἁγιασμοῦ τικτόμενον, σήμερον ἐκ στείρας θεώμενος.

Αἱ τῆς ἀγαθότητος τοῦ Ποιητοῦ, δωρεαὶ προκύπτουσιν ἄνωθεν, τοῦ ἑωσφόρου, διανίσχοντος ἐν γῇ· καὶ τὴν αὐτοῦ ἐπέλλαμψιν, καὶ ἐπιδημίαν κηρύττοντος.

Σάλπιγξ μεγαλόφωνος ἐπὶ τῆς γῆς, σήμερον ἐκ στείρας προέρχεται, ὁ Ἰωάννης, καὶ μηνύει τοῖς βροτοῖς, τὸν Βασιλέα Κύριον, ἐξ ἁγνῆς ἀφράστως τικτόμενον. Στίχ.

Ὡς ὄντων ἐκπλήρωμα τῶν ἐν σκιᾷ, τύπων καὶ συμβόλων Παναύγαστε, πάντες Προφῆται, σὲ ἀνύμνησαν φωναῖς, προμηνύσασαι ἅπασι, τὰ σὰ μεγαλεῖα καὶ θαύματα.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

„ Νῦν ἀναστήσομαι, προφητικῶς, ἔφη ὁ
„ Θεός. νῦν ὑψωθήσομαι, νῦν δοξα-
„ σθήσομαι, τὸν πεσόντα προσλαβών, ἐκ τῆς
„ Παρθένου, καὶ πρὸς φῶς τὸ θαυμαστὸν,
„ ἀνυψῶν τῆς ἐμῆς Θεότητος.

Γῆ ἐξανέτειλε παναληθῆ, κήρυκα φωνὴν πᾶσι κηρύττουσαν, γλῶσσα τοῦ Πνεύματος, τῆς Παρθένου τὸν Υἱὸν, δημοσιεύειν, οὐρανόθεν ἐφ' ἡμᾶς, διακύπτουσαν ὕλῃ σώματος.

Ἔθετο Κύριος παναληθῆ, λύχνον σε Χριστοῦ, πάντας φωτίζοντα, μόνους ἐνδύοντα, τοὺς ἐχθραίνοντας αὐτὸν, ὡς διπλοΐδα, τὴν αἰσχύνην ἀψευδῶς, Θεοῦ Λόγον Υἱὸν κηρύττοντα.

Γήθεται ἅπασα Κτίσις τῷ σῷ, τόκῳ θεϊκῶς. σὺ γὰρ ἐπίγειος Ἄγγελος Πρόδρομε, καὶ οὐράνιος βροτὸς, ἀνεδείχθης, τὸν οὐράνιον Θεὸν, προμηνύων ἡμῖν σαρκούμενον. Στίχ.

Σοῦ ἀποτίκτεται ἐκ τοῦ Πατρὸς, ὢν συνὼν σοὶ ἀεὶ, Λόγος ἀΐδιος, καὶ ἀδιάστατος, ὡς Υἱὸς μονογενής· καὶ ἐπ' ἐσχάτων, τῆς Παρθένου ὁ αὐτὸς, ἐξ Ἁγίου σαρκοῦται Πνεύματος.

Ἄλλος. Ἐξέστη τὰ σύμπαντα.

Ῥώννυται ἡ πρότερον, φύσις ἐξασθενήσασα, πρὸς τὴν τῶν καλῶν καρπογονίαν, ἐκ τῆς ἀκάρπου μήτρας τεχθέντος σου, καὶ βροτοῖς κηρύττεται ζωὴ, ἐν τῇ ἀποτέξει σου, πανασίδιμε Πρόδρομε.

Ὁ Λύχνος ὁ ἄσβεστος, ἐκ στείρας προερχόμενος, μηνύει τὸν Ἥλιον τῆς δόξης, ἐκ τῆς Παρθένου ἐξανατέλλοντα, πάντας τοὺς ἀνθρώπους τῷ φωτὶ, τῆς συγκαταβάσεως, καταυγάζοντα χάριτι.

Δεσμοῦνται πολύφθογγοι, γλῶσσαι τῆς ἀθεότητος, καὶ χείλη πλατύνονται εἰς δόξαν, καὶ ὑμνῳδίαν τοῦ τῶν ἁπάντων Θεοῦ, τοῦ Προδρόμου ταύτην τοῖς ἐν γῇ, σήμερον μηνύοντος, καὶ τρανῶς προκηρύττοντος. Στίχ.

Ῥήμασι τὴν δόξαν σου, ἡ Ἐλισάβετ Ἄχραντε, τοῖς προφητικοῖς δοξολογοῦσα, τὰ μεγαλεῖα τοῦ θείου Τόκου σου, χαίρουσα ἐκήρυττε τρανῶς· σὺ ὑπάρχεις πάντων γὰρ, εὐφροσύνη καὶ καύχημα.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ κα-
τεπόντισέ με, καταιγὶς πολλῶν ἁμαρ- „
τημάτων· ἀλλ' ὡς Θεὸς, ἐκ φθορᾶς ἀνάγα- „
γε, τὴν ζωήν μου ὡς φιλάνθρωπος. „

Θεὸν Λόγον ἔγνως ὡς Προφήτης, ἐν μητρικῇ νηδύϊ· καὶ τῇ ταύτης χρησάμενος γλώττῃ, θεολογεῖς, σκοτεινῷ θεώμενος, ἐν θαλάμῳ φῶς ἀπρόσιτον.

Ἀσιγήτως ὡς φωνὴ βοῶντος, τὸν Λυτρωτὴν τοῦ Κόσμου, Βαπτιστὰ ἱκετεύων μὴ παύσῃ, τὴν ψυχικὴν, διαλῦσαι στείρωσιν, τῶν ὑμνούντων σου τὴν Γέννησιν. Στίχ.

Ἀστέκτου Θεότητος χωρίον, ἡ καθαρὰ νηδύς σου, ἀναδέδεικται, ὦ Θεοτόκε. ἣν ἀδεῶς, Οὐρανῶν τὰ τάγματα, ἀτενίζειν οὐ δεδύνηνται.

Δημόσια Κεντρική Βιβλιοθήκη

Ἄλλος.

Ἄλλος. Τὴν θείαν ταύτην.

Ῥομφαίαν Πρόδρομε δίστομον, τὴν Γέννησιν τὴν σὴν ὁ πολέμιος, ἐχθρὸς ἐδέξατο. σὺ γὰρ τὴν τούτου ἀναίρεσιν, καὶ τὴν ἀνθρώπων ζώωσιν ἀνεκήρυξας.

Ὁ θεῖος πλοῦτος διέκυψεν, ἐξ ὕψους θεϊκοῦ εἰς τὰ σύμπαντα, τῆς τῶν βροτῶν ἐμφανῶς, Υἱοθεσίας καὶ χάριτος, τοῦ ταύτης τικτομένου σήμερον κήρυκος.

Μῦρα εὐώδη ἡ ἔρημος, ἐκβλύζει νοητῶς τὰ μηνύματα, ἐν τῇ Γεννήσει σου, τῇ ἐκ τῆς στείρας Πανεύφημε, τοῦ ἀκενώτου μύρου ἀποδεχομένη Χριστοῦ.

Θεοτοκίον.

Γνωρίσας μόνην σε Δέσποινα, Μητέρα τοῦ Θεοῦ προεσκίρτησεν, ὁ θεῖος Πρόδρομος, ἐν τῇ μητρῴᾳ νηδύϊ Ἁγνή, καὶ τὰ σὰ μεγαλεῖα προανεκήρυξε.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον, ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἡ πρὶν στεῖρα σήμερον, Χριστοῦ τὸν Πρόδρομον τίκτει, καὶ αὐτὸς τὸ πλήρωμα, πάσης τῆς προφητείας. ὃν γὰρ οἱ Προφῆται προεκήρυξαν, τοῦτον ἐν Ἰορδάνῃ χειροθετήσας. ἀνεδείχθη Θεοῦ Λόγου, Προφήτης, κήρυξ ὁμοῦ καὶ Πρόδρομος.

Ὁ Οἶκος.

Εὐφημήσωμεν νῦν τὸν τοῦ Κυρίου Πρόδρομον, ὅνπερ τῷ Ἱερεῖ ἡ Ἐλισάβετ ἔτεκεν ἐκ μήτρας ἀκάρπου, ἀλλ᾽ οὐχὶ ἀσπόρου. Χριστὸς γὰρ μόνος χώραν διώδευσεν ἀδιόδευτον, ἄσπορον, τὸν Ἰωάννην στεῖρα ἐγέννησεν, ἀνδρὸς δὲ ἀνδρὸς τοῦτον οὐκ ἔτεκε. τὸν δὲ Ἰησοῦν ἐπισκιάσει Πατρὸς, καὶ Πνεύματος Θείου, Παρθένος ἔτεκεν Ἁγνή. ἀλλὰ τοῦ ἐξ ἀσπόρου ἀνεδείχθη ὁ ἐκ στείρας, Προφήτης, κήρυξ ὁμοῦ καὶ Πρόδρομος.

Μηνὶ τῷ αὐτῷ κδ΄. Τὸ Γενέσιον τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Στίχ. Ζαχαρία χόρευε σὺν τῇ συζύγῳ,
Οὐ πολλὰ μὲν τίκτοντες, ἓν δὲ καὶ μέγα.
Πρόδρομον ἀμφὶ τετάρτην εἰκάδα γείνατο Μήτηρ.

Οὗτος ἐν γεννητοῖς γυναικῶν μαρτυρεῖται ὑπὸ τοῦ Χριστοῦ ὑπὲρ ἅπαντας, καὶ Προφήτου περισσότερος. Ὁ προσκιρτήσας ἀπὸ γαστρὸς, καὶ τοῖς ἐν γῇ τὴν τοῦ Σωτῆρος κηρύξας παρουσίαν, καὶ προδραμὼν ἐν τῷ Ἅδῃ, τὴν Ἀνάστασιν εὐαγγελίσασθαι. Οὗτος γέγονεν Υἱὸς Ζαχαρίου Ἀρχιερέως, καὶ Ἐλισάβετ τῆς στείρας, τεχθεὶς ἐξ ἐπαγγελίας. Ὃς τὴν τοῦ Πατρὸς σιωπὴν, ἐν τῷ γεννᾶσθαι ἐπιλυσάμενος, πάντα τὸν Κόσμον χαρᾶς ἐπλήρωσε. Διὸ καὶ Ἄγγελοι, σὺν τοῖς ἀνθρώποις σήμερον ἀγάλλονται, καὶ πᾶσα Κτίσις χαρᾶς καὶ εὐφροσύνης πεπλήρωται. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῷ ἁγιωτάτῳ αὐτοῦ Ἀποστολείῳ, τῷ ὄντι ἐν τοῖς Φωρακίου.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, ἐλέησαι ἡμᾶς ὁ Θεὸς, διὰ τὴν ἑαυτοῦ ἀγαθότητα.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Νέοι τρεῖς ἐν Βαβυλῶνι, πρόσταγμα τυραννικὸν, ὡς φλύαρον θέμενοι, ἐν μέσῳ πυρὸς ἀνεβόων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπῆρχε τὸ πρὶν ἐσκοτισμένη, ἅπασα τῶν γηγενῶν, ἡ φύσις ὦ Πρόδρομε· ἀλλ᾽ ὄρθρος βοῶν ἀνεφάνης· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νοσοῦσαν ἰάσατο τὴν φύσιν, ἅπασαν ἡ εὐκλεὴς, ἐκ στείρας σου Γέννησις, διδάξασα Πρόδρομε μέλπειν· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἐγεγένησαι Πρόδρομε ἐκ στείρας. ἦλθε γὰρ παναληθῶς, τοῦ νόμου στειρεύοντος, ἡ χάρις Χριστῷ μελῳδοῦσα· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Οὐκ ἐλάτρευσαν τῇ Κτίσει.

Ὁ Ποιῶν πάντα, τῷ Πνεύματι ὡς Κύριος, καὶ ποιητὴς τοῦ παντὸς, ἐκ στειρευούσης καρπὸν, παρήγαγε σήμερον, μητρὸς τὸν Πρόδρομον, προμηνύοντα, καρποφορεῖν τὴν ἄκαρπον, τῶν βροτῶν φύσιν τὰ θεῖα.

Νεκρωθεῖσαν, τὴν μήτραν ὡς ἐζώωσε, μήτραν τῷ τόκῳ σου, ὁ ζωοδότης Χριστὸς, διὰ τοῦ κηρύγματος τοῦ σοῦ ἀνέστησε· καὶ ἀνέρρωσε, νενεκρωμένας Πρόδρομε, τῶν βροτῶν τὰς προσδοκίας.

Ὑπὲρ Ἥλιον, ἡ ἔρημος φωστῆρά σε, θεῖον Πανεύφημε, ἀποδεχομένη τερπνῶς, διὰ σοῦ φαιδρύνεται καὶ ὡραΐζεται, καὶ σὺν ἅπασιν, ὑμνολογεῖ τὸν Κύριον, καὶ Θεὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἰδεῖν Ἄχραντε, τὴν δόξαν σου οἱ δίκαιοι, πάλαι ἐζήτησαν· ἣν καθορῶμεν ἡμεῖς, καὶ πιστῶς γεραίρομεν σὲ καὶ κραυγάζομεν, ὑπερένδοξε, εὐλογημένος Δέσποινα, ὁ Καρπὸς τῆς σῆς Κοιλίας.

Δημοσία Κεντρική Βιβλιοθήκη Βεροίας

Καταβασία. Οὐκ ἐλάτρευσαν.

ᾨδὴ η΄. Ὁ Εἱρμός.

Ἄτρωτοι τοῦ παντὸς παντοδύναμε, τοὺς ἐν μέσῳ φλογὸς ἀσεβήσαντας, συγκαταβὰς ἐδρόσισας, καὶ ἐδίδαξας μέλπειν· ταῦτα τὰ ἔργα, εὐλογεῖτε τὸν Κύριον.

Νομοθέτης ἱκέτης ὑπῆρξε Μωσῆς, Ἰησοῦς δὲ Θεὸς διαθήκης καινῆς. νῦν δὲ ἀμφοῖν ὁ Πρόδρομος, μελῳδεῖ ὡς μεσίτης· ταῦτα τὰ ἔργα.

Ἐξ ἐρήμου γαστρὸς τρυγὼν πάρεστιν, ὡς θεόφυτον νῦν, ἄλσος ἤγαγε, τῇ Ἐκκλησίᾳ Πρόδρομος, τοῦ Χριστοῦ καὶ ἐπᾴδει, ταῦτα τὰ ἔργα, εὐλογεῖτε τὸν Κύριον.

Θεοφόρος λαὸς ἔθνος ἅγιον, τὴν τρυγόνα Χριστοῦ ἐκμιμήσασθε· καὶ μελιρρύτως ᾄσατε, σωφροσύνῃ συζῶντες. ταῦτα τὰ ἔργα εὐλογεῖτε.

Ἄλλος. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Φίλος καὶ Ἀπόστολος τοῦ Κτίστου, καὶ Κῆρυξ, καὶ Βαπτιστὴς καὶ θεῖος Πρόδρομος, Μάρτυς καὶ Διδάσκαλος, μεσίτης, καὶ Ἄγγελος, καὶ λειτουργὸς πανεύφημε, καὶ πρεσβευτὴς ἡμῶν, ὑπάρχων, ἐκ τῆς στείρας προῆλθες, ταῦτα προμηνύων ἐν λόγοις τε καὶ ἔργοις.

Ἤνοικται ταμεῖα τῶν χαρίτων, τῆς νέας τε διαθήκης Χριστοῦ Πρόδρομε. καὶ θυσιῶν ἔθιμα, ἐν τῇ ἀποτέξει σου, τῶν παλαιῶν ἐκλάθησαν, καὶ ἀπεπαύθησαν. ὁ νέος δὲ λαὸς ἀναμέλπει, καὶ ὑπερυψοῖ τὸν Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὡς ἄνθη τερπνὰ τοῦ θείου Λόγου, συμπλέξαντες ἐγκωμίοις σοι τὸν στέφανον, σήμερον προσάγομεν, Πρόδρομε πανεύφημε, καὶ εὐχαρίστως κράζομεν τῷ στεφοδότῃ Χριστῷ. τὸν Κύριον, ὑμνεῖτε τὰ ἔργα. Θκ.

Ὁ πρῴην δεσμὸς τῆς ἀφωνίας, ἐλύθη Παρθένε τῇ κυήσει σου· καὶ χείλη ἠνοίγησαν εἰς αἶνον τοῦ Τόκου σου, ἡμῶν τῶν εὐφημούντων σε, καὶ ἐκβοώντων αὐτῷ· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε.

Καταβασία. Παῖδας εὐαγεῖς.

ᾨδὴ θ΄. Ὁ Εἱρμός.

Κρυπτὸν θεῖον Ἄχραντε, ἐν σοὶ τελεῖται, ἐμφανὲς Μυστήριον, Παρθένε πάνσεμνε. καὶ γὰρ ὁ Θεός, ἐκ σοῦ σεσωμάτωται δι' εὐσπλαγχνίαν. διό σε ὡς Θεοτόκον μεγαλύνομεν.

Ἰδοὺ φωνὴ Πρόδρομος, ταῖς στειρευούσαις, καὶ ἐρήμοις πάρεστι, καρδίαις μέλπουσα. ὁδὸν Χριστοῦ νυνὶ ἑτοιμάσατε, ὅτι ἐν δόξῃ ἔρχεται· ὦ πειθαρχοῦντες μεγαλύνομεν.

Ὡς πάλαι ἐν Πνεύματι τῷ παναγίῳ, ἐμφανῶς ἐκήρυξας, τὸν Υἱὸν Πρόδρομε, ἀμνὸν Θεοῦ, τοῦ Κόσμου. τὸν αἴροντα τὴν ἁμαρτίαν, τῇ ποίμνῃ σου τῶν πταισμάτων λύσιν αἴτησαι. Ἄλλος. Ἅπας γηγενής.

Πύλαι τοῦ φωτός, τοῦ θείου ἀνοίγεσθαι, σήμερον ἄρχονται· καὶ ἐναποκλείεσθαι, ταμεῖα σκότους προκαταγγέλλεται. ὁ κῆρυξ γὰρ καὶ Πρόδρομος, Χριστοῦ εἰς φῶς προελθών, τὰ τοῦ βίου, ταῦτα ἀνεκήρυξε, καὶ πατρῴᾳ φωνῇ ἐβεβαίωσεν.

Ὄμβρος νοητός, ἀνικμοῦ νεφέλης δέ, ῥίζης ὁ Πρόδρομος, ῥεῖθρον τὸ οὐράνιον, τοῦ τῆς εἰρήνης πᾶσιν ἐκήρυξε, ποταμοῦ παραγίνεσθαι εἰς ἀνακαίνισιν, τῶν ἀνθρώπων φύσεως ἐν Πνεύματι, τοὺς καρποὺς πληθυνούσης τῆς χάριτος.

Ὥσπερ Οὐρανός, ἄστροις καταυγάζεται καὶ ὡραΐζεται, τοῦ Προδρόμου σήμερον, ἡ Ἐκκλησία ταῖς θείαις χάρισι, καὶ εὔφημα τὴν γέννησιν αὐτοῦ δοξάζουσα· καὶ αἰνοῦσα τὸν τῶν ὅλων Κύριον, δωρεῶν τῶν κρειττόνων ὡς πρόξενον. Θεοτοκίον.

Ὕδωρ τῆς ζωῆς, ἐκ σοῦ Θεονύμφευτε, βλύσαν ὁ Κύριος, ἔπλυνεν ἡγίασεν, ἡμᾶς τοὺς πίστει ἀποδεξαμένους αὐτόν. καὶ κληρονόμους ἔδειξε τῆς βασιλείας αὐτοῦ, ἀνυμνοῦντας τὴν αὐτοῦ χρηστότητα, καὶ σὲ πόθῳ θερμῶς μεγαλύνοντας.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποσταλ. Γυναῖκες ἀκουτίσθητε.

Τὸ τοῦ Προδρόμου σήμερον, χαροποιὸν Γενέθλιον, τὸ σκυθρωπὸν διαλύει, τῆς τοῦ Πατρὸς ἀφωνίας, καὶ τῆς τεκούσης στείρωσιν. μηνύει δὲ τὴν παροῦσαν, χαρὰν καὶ ἀγαλλίασιν. διὸ καὶ πᾶσα ἡ Κτίσις, αὐτὸ φαιδρῶς ἑορτάζει. Θεοτοκίον. Ὅμοιον.

Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν, καὶ Μάρτυρες θεοφρόνως, τὸν σὸν Υἱὸν Θεοτόκε, τρανῶς καθωμολόγησαν, Θεὸν τῶν ὅλων Πάναγνε. μεθ' ὧν σε μεγαλύνομεν, οἱ διὰ σοῦ λυτρωθέντες, τῆς παλαιᾶς καταδίκης.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος πλ. δ΄.

Ὢ τοῦ Παραδόξου Θαύματος.

Ὢ τοῦ Παραδόξου Θαύματος, ἐκ γηραλέας Μητρός, Θεοῦ Λόγου προάγγελος,

Ἰωάν-

Ἰωάννης σήμερον, προελθὼν κατεπείγεται. τὴν δεσμευθεῖσαν γλῶσσαν τρανώτατα, διὰ τοῦ τόκου εὔλαλον δείκνυσιν. ὢ τῆς ἀφάτου σου, προμηθείας Δέσποτα, δι᾽ ἧς Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

Ὢ Τοῦ παραδόξου θαύματος, ἐν γεννητοῖς γυναικῶν, Προφητῶν τε ὑπέρτερος, μητρικῆς στειρώσεως, διαλύει τὸ ἔγκλημα, ὁ ἐν Πνεύματι καὶ δυνάμει ἐλθὼν Ἠλιοῦ, ὁδὸν Κυρίου ἑτοιμαζόμενος. ὢ τῆς ἀφράστου σου, εὐσπλαγχνίας Δέσποτα, δι᾽ ἧς Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

Ὢ Τοῦ παραδόξου θαύματος, ὁ προκηρύξας Χριστοῦ, πρὸς ἀνθρώπους τὴν κένωσιν, ὑπεράνω δείκνυται, πάντων αὐτοῦ τῇ φωνῇ. καὶ τῇ τεκούσῃ, λύει τὴν στείρωσιν, δυνάμει θείᾳ, καὶ Ζαχαρίου φωνήν. ὢ τῶν μεγάλων σου, θαυμασίων Δέσποτα, δι᾽ ὧν Χριστέ, σῶσον τοὺς τιμῶντάς σου, τὸν μέγαν Πρόδρομον.

Ὢ Τοῦ παραδόξου θαύματος, ἐν γεννητοῖς γυναικῶν, ὁ Προφήτης καὶ Πρόδρομος, ὑπεράνω δείκνυται, Προφητῶν τε ὑπέρτερος, καὶ παρουσίας Χριστοῦ προάγγελος, ὁ προσκιρτήσας ἐν τῇ νηδύϊ Μητρός. ὢ τῶν μεγίστων σου, δωρεῶν φιλάνθρωπε, δι᾽ ὧν Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς παντοδύναμος.

Δόξα, ἦχος πλ. β΄. Ἀνατολίου.

Ἀστὴρ ἀστέρων Πρόδρομος, στειρωτικῆς ἐκ νηδύος ἐπὶ γῆς τίκτεται σήμερον, Ἰωάννης ὁ Θεοπόθητος. καὶ Χριστοῦ ἐπιφαίνει τὴν αὐγήν, ἀνατολὴν τὴν ἐξ ὕψους, εἰς ἀλήθειαν πιστοῖς διάβασιν.

Καὶ νῦν. Θεοτοκίον. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς Ἀδελφοῖς, ψαλλομένων τῶν ἰδιομέλων τοῦ Ἁγίου.

Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ ἐκ τῶν Κανόνων τοῦ Ἁγίου, Ὠδὴ γ΄. καὶ ϛ΄.

Προκείμ. τοῦ Ἀποστόλου, ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Ὁ Ἀπόστολος. Πρὸς Ῥωμαίους Ἐπιστολῆς.

Κεφ. ιγ΄. 11. Ἀδελφοί, νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν. ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. Ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν· μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔριδι καὶ ζήλῳ· ἀλλ᾽ ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν. Κε ιδ΄, Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει. Ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω. Ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο. Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην; Τῷ ἰδίῳ Κυρίῳ στήκει, ἢ πίπτει· σταθήσεται δέ· δυνατὸς γάρ ἐστιν ὁ Θεὸς στῆσαι αὐτόν.

Ἀλληλούϊα, ἦχος γ΄.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ.

Στίχ. Καὶ σὺ παιδίον Προφήτης ὑψίστου.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ α΄. 1 Ἐπειδήπερ πολλοὶ ἐπεχείρησαν ἀνατάξασθαι διήγησιν περὶ τῶν πεπληροφορημένων ἐν ἡμῖν πραγμάτων, καθὼς παρέδοσαν ἡμῖν οἱ ἀπ᾽ ἀρχῆς αὐτόπται, καὶ ὑπηρέται γενόμενοι τοῦ Λόγου· ἔδοξε κἀμοὶ παρηκολουθηκότι ἄνωθεν πᾶσιν ἀκριβῶς, καθεξῆς σοι γράψαι, κράτιστε Θεόφιλε· ἵνα ἐπιγνῷς περὶ ὧν κατηχήθης λόγων τὴν ἀσφάλειαν. Ἐγένετο ἐν ταῖς ἡμέραις Ἡρῴδου τοῦ Βασιλέως τῆς Ἰουδαίας, Ἱερεύς τις ὀνόματι Ζαχαρίας, ἐξ ἐφημερίας Ἀβιά· καὶ ἡ γυνὴ αὐτοῦ ἐκ τῶν θυγατέρων Ἀαρών, καὶ τὸ ὄνομα αὐτῆς Ἐλισάβετ. Ἦσαν δὲ δίκαιοι ἀμφότεροι ἐνώπιον τοῦ Θεοῦ, πορευόμενοι ἐν πάσαις ταῖς ἐντολαῖς, καὶ δικαιώμασι τοῦ Κυρίου ἄμεμπτοι. Καὶ οὐκ ἦν αὐτοῖς τέκνον, καθότι ἡ Ἐλισάβετ ἦν στεῖρα, καὶ ἀμφότεροι προβεβηκότες ἐν ταῖς ἡμέραις αὐτῶν ἦσαν. Ἐγένετο δὲ ἐν τῷ ἱερατεύειν αὐτὸν ἐν τῇ τάξει τῆς Ἐφημερίας αὐτοῦ ἔναντι τοῦ Θεοῦ, κατὰ τὸ ἔθος τῆς ἱερατείας, ἔλαχε τοῦ θυμιάσαι, εἰσελθὼν εἰς τὸν Ναὸν τοῦ Κυρίου. Καὶ πᾶν τὸ πλῆθος τοῦ λαοῦ ἦν προσευχόμενον ἔξω τῇ ὥρᾳ τοῦ θυμιάματος. Ὤφθη δὲ αὐτῷ Ἄγγελος Κυρίου, ἑστὼς ἐκ δεξιῶν τοῦ θυσιαστηρίου τοῦ θυμιάματος. Καὶ ἐταράχθη Ζαχαρίας ἰδών, καὶ φόβος ἐπέπεσεν ἐπ᾽ αὐτόν. Εἶπε δὲ πρὸς αὐτὸν ὁ Ἄγγελος· μὴ φοβοῦ Ζαχαρία. διότι εἰσηκούσθη ἡ δέησίς σου· καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει Υἱόν σοι, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. Καὶ ἔσται χαρά σοι καὶ ἀγαλλίασις· καὶ πολλοὶ ἐπὶ τῇ γεννήσει αὐτοῦ χαρήσονται. Ἔσται γὰρ μέγας ἐνώπιον τοῦ Κυρίου, καὶ οἶνον καὶ σίκερα οὐ μὴ



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τίῃ. καὶ Πνεύματος Ἁγίου πλησθήσεται ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ. καὶ πολλοὺς τῶν Υἱῶν Ἰσραὴλ ἐπιστρέψει ἐπὶ Κύριον τὸν Θεὸν αὐτῶν. Καὶ αὐτὸς προελεύσεται ἐνώπιον αὐτοῦ ἐν Πνεύματι καὶ δυνάμει Ἠλιοῦ, ἐπιστρέψαι καρδίας Πατέρων ἐπὶ τέκνα, καὶ ἀπειθεῖς ἐν φρονήσει δικαίων, ἑτοιμάσαι Κυρίῳ λαὸν κατεσκευασμένον. Καὶ εἶπε Ζαχαρίας πρὸς τὸν Ἄγγελον· κατὰ τί γνώσομαι τοῦτο; ἐγὼ γάρ εἰμι πρεσβύτης, καὶ ἡ γυνή μου προβεβηκυῖα ἐν ταῖς ἡμέραις αὐτῆς. Καὶ ἀποκριθεὶς ὁ Ἄγγελος εἶπεν αὐτῷ· Ἐγώ εἰμι Γαβριὴλ ὁ παρεστηκὼς ἐνώπιον τοῦ Θεοῦ, καὶ ἀπεστάλην λαλῆσαι πρὸς σέ, καὶ εὐαγγελίσασθαί σοι ταῦτα. Καὶ ἰδοὺ ἔσῃ σιωπῶν, καὶ μὴ δυνάμενος λαλῆσαι, ἄχρι ἧς ἡμέρας γένηται ταῦτα, ἀνθ᾽ ὧν οὐκ ἐπίστευσας τοῖς λόγοις μου· οἵτινες πληρωθήσονται εἰς τὸν καιρὸν αὐτῶν. Καὶ ἦν ὁ λαὸς προσδοκῶν τὸν Ζαχαρίαν· καὶ ἐθαύμαζον ἐν τῷ χρονίζειν αὐτὸν ἐν τῷ Ναῷ. Ἐξελθὼν δὲ οὐκ ἠδύνατο λαλῆσαι αὐτοῖς, καὶ ἐπέγνωσαν ὅτι ὀπτασίαν ἑώρακεν ἐν τῷ Ναῷ. καὶ αὐτὸς ἦν διανεύων αὐτοῖς, καὶ διέμενε κωφός. Καὶ ἐγένετο ὡς ἐπλήσθησαν αἱ ἡμέραι τῆς λειτουργίας αὐτοῦ, ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ. Μετὰ δὲ ταύτας τὰς ἡμέρας συνέλαβεν Ἐλισάβετ ἡ γυνὴ αὐτοῦ, καὶ περιέκρυβεν ἑαυτὴν μῆνας πέντε, λέγουσα· Ὅτι οὕτω μοι πεποίηκεν ὁ Κύριος ἐν ἡμέραις, αἷς ἐπεῖδεν ἀφελεῖν τὸ ὄνειδός μου ἐν ἀνθρώποις. Τῇ δὲ Ἐλισάβετ ἐπλήσθη ὁ χρόνος τοῦ τεκεῖν αὐτήν· καὶ ἐγέννησεν Υἱόν. Καὶ ἤκουσαν οἱ περίοικοι, καὶ οἱ
συγ[illegible]εῖς αὐτῆς, ὅτι ἐμεγάλυνε Κύριος τὸ
ἔ[illegible] αὐτοῦ μετ᾽ αὐτῆς, καὶ συνέχαιρον αὐτῇ.
Κ[illegible]εγένετο ἐν τῇ ὀγδόῃ ἡμέρᾳ, ἦλθον περιτε-
μ[illegible]ὸ παιδίον, καὶ ἐκάλουν αὐτὸ ἐπὶ τῷ ὀνόμα-
τ[illegible] Πατρὸς αὐτοῦ, Ζαχαρίαν. Καὶ ἀπο-
[illegible]ισα ἡ Μήτηρ αὐτοῦ, εἶπεν· Οὐχί, ἀλ-
[illegible]ηθήσεται Ἰωάννης. Καὶ εἶπον πρὸς αὐ-
[illegible] Ὅτι οὐδείς ἐστιν ἐν τῇ συγγενείᾳ σου, ὃς
[illegible]ται τῷ ὀνόματι τούτῳ. Ἐνένευον δὲ τῷ
[illegible]ρὶ αὐτοῦ, τὸ τί ἂν θέλοι καλεῖσθαι αὐ-
[illegible] Καὶ αἰτήσας πινακίδιον, ἔγραψε λέγων·
[illegible]νης ἐστὶ τὸ ὄνομα αὐτοῦ. καὶ ἐθαύμασαν
[illegible]ες. Ἀνεῴχθη δὲ τὸ στόμα αὐτοῦ παρα-
[illegible]α, καὶ ἡ γλῶσσα αὐτοῦ, καὶ ἐλάλει εὐλο-
[illegible]ὸν Θεόν. Καὶ ἐγένετο ἐπὶ πάντας φόβος
[illegible]εριοικοῦντας αὐτούς· καὶ ἐν ὅλῃ τῇ ὀρεινῇ
τῆς Ἰουδαίας διελαλεῖτο πάντα τὰ ῥήματα ταῦτα. Καὶ ἔθεντο πάντες οἱ ἀκούσαντες ἐν τῇ καρδίᾳ αὐτῶν, λέγοντες· Τί ἄρα τὸ Παιδίον τοῦτο ἔσται; καὶ χεὶρ Κυρίου ἦν μετ᾽ αὐτοῦ. Καὶ Ζαχαρίας ὁ Πατὴρ αὐτοῦ ἐπλήσθη Πνεύματος Ἁγίου, καὶ προεφήτευσε λέγων· Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὅτι ἐπεσκέψατο, καὶ ἐποίησε λύτρωσιν τῷ Λαῷ αὐτοῦ. Καὶ σύ Παιδίον, Προφήτης Ὑψίστου κληθήσῃ· προπορεύσῃ γὰρ πρὸ προσώπου Κυρίου, ἑτοιμάσαι ὁδοὺς αὐτοῦ. Τὸ δὲ Παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο Πνεύματι. καὶ ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως αὐτοῦ πρὸς τὸν Ἰσραήλ.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Μηνὶ τῷ αὐτῷ κε΄.

Τῆς Ἁγίας Ὁσιομάρτυρος Φεβρωνίας.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχ. ἰδιόμ. τοῦ Προδρόμου γ΄. Λύει τοῦ Ζαχαρίου τὴν σιωπήν. Καὶ τῆς Ἁγίας, ζήτει εἰς Ἁγίαν Γυναῖκα Μάρτυρα.

Εἰς τὰς κϛ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Δαβὶδ τοῦ ἐν Θεσσαλονίκῃ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Εἰς τὰς κζ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σαμψὼν τοῦ Ξενοδόχου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Εἰς τὰς κη΄. Ἡ ἀνακομιδὴ τῶν Λειψάνων τῶν Ἁγίων καὶ ἰαματικῶν Ἀναργύρων Κύρου, καὶ Ἰωάννου. ζήτει πᾶσαν τὴν Ἀκολουθίαν αὐτῶν Μηνὶ Νοεμβ. α΄.

Τῷ αὐτῷ Μηνὶ ΚΘ΄.

Τῶν Ἁγίων ἐνδόξων καὶ Πανευφήμων Ἀποστόλων, καὶ Πρωτοκορυφαίων, Πέτρου, καὶ Παύλου.

Ἑσπέρας, ἐν τῷ μεγάλῳ Ἑσπερινῷ, στιχολογοῦμεν τὸ α΄. Ἀντίφ. τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. η΄. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος β΄.

Αὐτόμελον. Ἀνδρέου Πυροῦ.

Ποίοις εὐφημιῶν στέμμασιν, ἀναδήσωμεν Πέτρον καὶ Παῦλον; τοὺς διῃρημένους τοῖς σώμασι, καὶ ἡνωμένους τῷ πνεύματι, τοὺς Θεοκηρύκων Πρωτοστάτας· τὸν μέν, ὡς τῶν Ἀποστόλων προεξάρχοντα· τὸν δέ, ὡς ὑπὲρ τοὺς ἄλλους κοπιάσαντα. τούτους γὰρ ὄντως ἀξίως, ἀθανάτου δόξης, διαδήμασι στεφανοῖ, Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀνυμνήσωμεν Πέτρον καὶ Παῦλον; τῆς θεογνωσίας τὰς πτέρυγας, τὰς διαπτάσας τὰ πέρατα, καὶ πρὸς Οὐρανὸν ἀνυψωθείσας. τὰς χεῖρας, Εὐαγγελίου τοῦ τῆς χάριτος, τοὺς πόδας, τῆς ἀληθείας τοῦ κηρύγματος, τοὺς ποταμοὺς τῆς σοφίας, τοῦ Σταυροῦ τὰ κέρατα, δι' ὧν δαιμόνων ὀφρὺν, Χριστὸς καταβέβληκεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Ποίοις πνευματικοῖς ᾄσμασιν, ἐπαινέσωμεν Πέτρον καὶ Παῦλον; τὰ τὴν ἀθεότητα σφάττοντα, καὶ μὴ ἀμβλυνόμενα στόματα, τῆς φρικτῆς τοῦ Πνεύματος μαχαίρας. τὰ Ῥώμης περιφανῆ ἐγκαλλωπίσματα, τὰ πάσης τῆς Οἰκουμένης ἐντρυφήματα, τὰς τῆς καινῆς διαθήκης, θεογράφους πλάκας, νοουμένας ἃς ἐν Σιὼν, Χριστὸς ἐξεφώνησεν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Δόξα, ἦχος δ'. Ἰωάννου Μοναχοῦ.

Τῷ τριττῷ τῆς ἐρωτήσεως, τοῦ Πέτρε φιλεῖς με, τὸ τριττὸν τῆς ἀρνήσεως ὁ Χριστὸς διωρθώσατο. διὸ καὶ πρὸς τὸν κρυφιογνώστην ὁ Σίμων· Κύριε, πάντα γινώσκεις, τὰ πάντα ἐπίστασαι· σὺ οἶδας ὅτι φιλῶ σε. ὅθεν πρὸς αὐτὸν ὁ Σωτήρ· ποίμαινε τὰ πρόβατά μου, ποίμαινε τὴν ἐκλογάδα μου, ποίμαινε τὰ ἀρνία μου, ἃ ἐν τῷ ἰδίῳ Αἵματι περιεποιησάμην εἰς σωτηρίαν. αὐτὸν ἱκέτευε Θεομακάριστε Ἀπόστολε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος. Καὶ νῦν.

Ὁ διὰ σὲ Θεοπάτωρ Προφήτης Δαβίδ.

Εἴσοδος· τὸ Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Καθολικῆς Α'. Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

Κεφ. α'. 3. Ἀδελφοὶ, εὐλογητὸς ὁ Θεὸς, καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν, δι' Ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν, εἰς κληρονομίαν ἄφθαρτον, καὶ ἀμίαντον, καὶ ἀμάραντον, τετηρημένην ἐν Οὐρανοῖς εἰς ἡμᾶς, τοὺς ἐν δυνάμει Θεοῦ φρουρουμένους
Κεφ. ιγ'. 1 διὰ πίστεως, εἰς σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ. Ἐν ᾧ ἀγαλλιᾶσθε, ὀλίγον ἄρτι (εἰ δέον ἐστὶ) λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς· ἵνα τὸ δοκίμιον ὑμῶν τῆς πίστεως πολὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζομένου, εὑρεθῇ εἰς ἔπαινον, καὶ δόξαν, καὶ τιμὴν, ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ. Ὃν οὐκ εἰδότες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ, ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ· κομιζόμενοι τὸ τέλος τῆς Πίστεως ὑμῶν, σωτηρίαν ψυχῶν.

Καθολικῆς Α'. Ἐπιστολῆς Πέτρου.

Ἀγαπητοὶ, ἀναζωσάμενοι τὰς ὀσφύας τῆς Κεφ. α'. 13.
διανοίας ὑμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ. Ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις· ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς Ἅγιον, καὶ αὐτοὶ Ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε. Διότι γέγραπται· Ἅγιοι γίνεσθε, ὅτι ἐγὼ Ἅγιός εἰμι. Καὶ εἰ Πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὸ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε. Εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ, ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν πατροπαραδότου ἀναστροφῆς· ἀλλὰ τιμίῳ Αἵματι, ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ.

Καθολικῆς Α'. Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

Ἀγαπητοὶ, παρακαλῶ ὑμᾶς ὡς παροίκους Κεφ. β'. 11
καὶ παρεπιδήμους, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς· τὴν ἀναστροφὴν ὑμῶν ἐν τοῖς ἔθνεσιν ἔχοντες καλήν. ἵνα ἐν ᾧ καταλαλῶσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες, δοξάσωσι τὸν Θεὸν ἐν ἡμέρᾳ ἐπισκοπῆς. Ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον· εἴτε Βασιλεῖ, ὡς ὑπερέχοντι· εἴτε Ἡγεμόσιν, ὡς δι' αὐτοῦ πεμπομένοις, εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν. Ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν. Ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλ' ὡς δοῦλοι Θεοῦ. Πάντας τιμήσατε· τὴν ἀδελφότητα ἀγαπᾶτε· τὸν Θεὸν φοβεῖσθε· τὸν Βασιλέα τιμᾶτε. Οἱ οἰκέται ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς. Τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως. Ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε;

ἀλλ' εἰ ἀγαθοποιοῦντες, καὶ πάσχοντες ὑπομενεῖτε, τοῦτο χάρις παρὰ τῷ Θεῷ. Εἰς τοῦτο γὰρ ἐκλήθητε, ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμὸν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ. Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Ὃς λοιδορούμενος, οὐκ ἀντελοιδόρει· πάσχων, οὐκ ἠπείλει· παρεδίδου δὲ τῷ κρίνοντι δικαίως· Ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον. ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν.

Εἰς τὴν Λιτὴν, στιχηρὰ Ἰδιόμελα, ἦχος β΄.

Ἀνδρέου Ἱεροσολυμίτου.

Δεῦρο δή μοι σήμερον, τὸ τῶν πιστῶν εὐφήμως καλλιέρημα, τοὺς τῆς χάριτος ἐκλόγους ὑφαντὰς, Πέτρον καὶ Παῦλον, πρέπουσιν ἐγκωμίοις στεφανώσωμεν, ὅτι ἀφθόνως πᾶσι, τὸν λόγον κατασπείραντες, σὺν τούτοις καὶ τὴν χάριν τοῦ Πνεύματος κατεπλούτησαν. καὶ τῆς ἀληθινῆς ἀμπέλου ὑπάρχοντες κλήματα, βότρυν ἡμῖν πέπειρον ἐδωμήσαντο, εὐφραίνοντα τὰς καρδίας ἡμῶν. πρὸς οὓς βοήσωμεν, ἀνακεκαλυμμένῳ προσώπῳ, καὶ καθαρῷ συνειδότι, λέγοντες· χαίρετε πορθμευταὶ τῶν ἀλόγων, καὶ ὑπουργοὶ τῶν ἐν λόγῳ. χαίρετε τοῦ παντὸς ποιητοῦ καὶ κηδεμόνος, ἐκλόγια τερπνά· χαίρετε πρόξενοι τῶν ἀγαθῶν, καὶ διῶκται τῶν φαύλων· οὓς ἱκετεύσωμεν πρεσβεύειν ἀεὶ, εἰρήνην σταθηρὰν τῷ Κόσμῳ δωρήσασθαι, πρὸς τὸν κτίστην καὶ Διδάσκαλον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἀρσενίου, ὁ αὐτός.

Τοὺς Μαθητὰς τοῦ Χριστοῦ, καὶ θεμελίους τῆς Ἐκκλησίας, τοὺς ἀληθεῖς στύλους, καὶ βάσεις, καὶ σάλπιγγας ἐνθέους, τῶν τοῦ Χριστοῦ δογμάτων καὶ παθημάτων, τοὺς Κορυφαίους Πέτρον καὶ Παῦλον, ἅπας ὁ Κόσμος ὡς προστάτας εὐφημήσωμεν. Οὗτοι γὰρ διαδραμόντες τὸ κλίτος ὅλον τῆς γῆς, ὥσπερ ἀρότρῳ ἔσπειραν τὴν Πίστιν, καὶ πᾶσι τὴν θεογνωσίαν κατέβλυσαν τῆς Τριάδος δεικνύντες λόγον· ὦ Πέτρε πέτρα καὶ κρηπὶς, καὶ Παῦλε σκεῦος ἐκλογῆς. οἱ καὶ ζευκτοὶ βόες τοῦ Χριστοῦ, πάντας εἵλκυσαν πρὸς τὴν θεογνωσίαν, ἔθνη Πόλεις τε καὶ νήσους. Ἑβραίους δὲ πάλιν πρὸς τὸν Χριστὸν ἐπανήγαγον. καὶ πρεσβεύουσι, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Γερμανοῦ. Ὁ αὐτός.

Πέτρε Κορυφαῖε τῶν ἐνδόξων Ἀποστόλων, ἡ πέτρα τῆς Πίστεως, καὶ Παῦλε θεσπέσιε, τῶν Ἁγίων Ἐκκλησιῶν. ὁ Ῥήτωρ καὶ Φωστήρ· τῷ θείῳ θρόνῳ παριστάμενοι, ὑπὲρ ἡμῶν Χριστῷ πρεσβεύσατε.

Ὁ αὐτός.

Παῦλε στόμα Κυρίου, ἡ κρηπὶς τῶν δογμάτων· ὁ ποτὲ μὲν διώκτης Ἰησοῦ τοῦ Σωτῆρος, νῦν δὲ καὶ πρωτόθρονος, τῶν Ἀποστόλων γενόμενος μακάριε. ὅθεν ἄρρητα εἶδες σοφὲ, ἕως τρίτου Οὐρανοῦ ἀναβὰς, καὶ ἔκραζες· δεῦτε σὺν ἐμοὶ, καὶ τῶν ἀγαθῶν μὴ ὑστερηθῶμεν.

Ἦχος γ΄. Ἰωάννου Μοναχοῦ.

Οἱ τῆς ἄνω Ἱερουσαλὴμ πολῖται, ἡ πέτρα τῆς Πίστεως, ὁ Ῥήτωρ τῆς Ἐκκλησίας τοῦ Χριστοῦ· ἡ τῆς Τριάδος δυὰς, τοῦ Κόσμου οἱ σαγηνευταὶ, καταλιπόντες σήμερον τὰ ἐπὶ γῆς, ἐπορεύθησαν ἐν ἀθλήσει πρὸς Θεόν· καὶ πρεσβεύουσιν αὐτῷ ἐν παρρησίᾳ, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχ. πλ. α΄. Βυζαντίου.

Ἡ Σοφία τοῦ Θεοῦ, ὁ συναΐδιος Λόγος τοῦ Πατρὸς, καθὼς ἐν Εὐαγγελίοις προέφη, τὰ εὔφορα κλήματα, ὑμεῖς ἐστὲ πανεύφημοι Ἀπόστολοι, οἱ τὸν βότρυν τὸν πέπειρον καὶ τερπνὸν, ἐν τοῖς κλάδοις ὑμῶν φέροντες. ὃν οἱ πιστοὶ ἐσθίοντες, ἐπιστοιχοῦμεν γεῦσιν πανευφρόσυνον. Πέτρε ἡ πέτρα τῆς Πίστεως, καὶ Παῦλε καύχημα τῆς Οἰκουμένης, στηρίξατε ποίμνην, ἣν ἐκτήσασθε διδαχαῖς ὑμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε.

Αἱ συνήθεις εὐχαί. Εἶτα εἰσερχόμεθα ἐν τῷ Ναῷ, ψάλλοντες στιχηρὰ ἰδιόμελα τοῦ στίχου.

Ἦχος α΄. Ἀνδρέου Κρήτης.

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου, τίς διηγήσεται, ἔνδοξε Ἀπόστολε Παῦλε; ἢ τίς παραστήσει τοὺς ἀγῶνας καὶ τοὺς κόπους σου, οὓς ἐκοπίασας ἐν τῷ Εὐαγγελίῳ τοῦ Χριστοῦ· ἵνα πάντας κερδήσῃς, καὶ Χριστῷ προσαγάγῃς τὴν Ἐκκλησίαν; ἀλλὰ ταύτην αἴτησαι φυλάττειν, τὴν καλήν σου ὁμολογίαν, μέχρι τελευταίας ἀναπνοῆς, Παῦλε Ἀπόστολε, καὶ Διδάσκαλε τῶν Ἐκκλησιῶν.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Τὰ κατὰ Πόλιν δεσμὰ καὶ τὰς θλίψεις σου, τίς διηγήσεται, ἔνδοξε Ἀπόστολε Παῦλε; τοὺς πόνους, τοὺς μόχθους, τὰς ἀγρυπνίας, τὰς ἐν λιμῷ καὶ δίψει κακοπαθείας, τὰς ἐν ψύχει καὶ

γυμνότητι, τὴν σαργάνην, τοὺς ῥαβδισμοὺς, τοὺς λιθασμοὺς, τὴν περίοδον, τὸν βυθὸν, τὰ ναυάγια· θέατρον ἐγένου καὶ Ἀγγέλοις καὶ ἀνθρώποις. πάντα οὖν ὑπέμενας ἐν τῷ ἐνδυναμοῦντί σε Χριστῷ, ἵνα Κόσμον κερδήσῃς, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ σου. διὸ δυσωποῦμέν σε, οἱ πλοῦντες τὴν μνήμην σου πιστῶς, ἀδιαλείπτως ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Τοὺς Φωστῆρας τοὺς μεγάλους τῆς Ἐκκλησίας Πέτρον καὶ Παῦλον εὐφημήσωμεν. ὑπὲρ ἥλιον γὰρ ἔλαμψαν, ἐν τῷ τῆς Πίστεως στερεώματι, καὶ τὰ ἔθνη ταῖς ἀκτῖσι τοῦ κηρύγματος, ἐκ τῆς ἀγνοίας ἐπανήγαγον. ὁ μὲν τῷ σταυρῷ προσηλωθεὶς, πρὸς Οὐρανὸν τὴν πορείαν ἐποιήσατο· ἔνθα τῆς Βασιλείας, παρὰ Χριστοῦ τὰς κλεῖς ἐγκεχείριστο· ὁ δὲ τῷ ξίφει ἀποτμηθεὶς, πρὸς τὸν Σωτῆρα ἐκδημήσας, ἐπαξίως μακαρίζεται. καὶ ἀμφότεροι τὸν Ἰσραὴλ καταγγέλλουσιν, ὡς εἰς αὐτὸν τὸν Κύριον, χεῖρας ἀδίκως ἐκτείναντα. διὸ εὐχαῖς αὐτῶν Χριστὲ ὁ Θεὸς ἡμῶν, τοὺς καθ' ἡμῶν κατάβαλε, καὶ τὴν ὀρθόδοξον Πίστιν κράτυνον ὡς φιλάνθρωπος.

Δόξα, ἦχος πλ. β'. Ἐφραὶμ Καρίας.

Ἑορτὴ χαρμόσυνος, ἐπέλαμψε τοῖς πέρασι σήμερον, ἡ πάνσεπτος μνήμη, τῶν σοφωτάτων Ἀποστόλων, καὶ Κορυφαίων Πέτρου καὶ Παύλου. διὸ καὶ Ῥώμη συγχαίρει χορεύουσα. ἐν ᾠδαῖς καὶ ὕμνοις, ἑορτάσωμεν καὶ ἡμεῖς ἀδελφοὶ, τὴν πανσέβαστον ταύτην ἡμέραν ἐκπελέσαντες· χαῖρε Πέτρε Ἀπόστολε, καὶ γνήσιε φίλε, τοῦ σοῦ Διδασκάλου, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. χαῖρε Παῦλε παμφίλτατε, καὶ κῆρυξ τῆς Πίστεως, καὶ Διδάσκαλε τῆς Οἰκουμένης. Ὡς ἔχον παῤῥησίαν ζεῦγος ἁγιόλεκτον, Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκετεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θτ. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Τροπάριον, ἦχος δ'.

Οἱ τῶν Ἀποστόλων πρωτόθρονοι, καὶ τῆς Οἰκουμένης Διδάσκαλοι, τῷ Δεσπότῃ τῶν ὅλων πρεσβεύσατε, εἰρήνην τῇ Οἰκουμένῃ δωρήσασθαι, καὶ ταῖς ψυχαῖς ἡμῶν, τὸ μέγα ἔλεος. Δίς.

Τὸ, Θεοτόκε Παρθένε, ἅπαξ· ἡ εὐλόγησις τῶν ἄρτων, καὶ Ἀνάγνωσις.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. μετὰ δὲ τὴν α'. στιχολ. καθ. ἦχος πλ. δ'.

Τὴν Σοφίαν καὶ Λόγον.

Τὸν βυθὸν τῆς σαρκὸς καταλιπὼν, οὐρανόθεν ἐδέξω παρὰ Πατρὸς, τὴν θείαν ἀποκάλυψιν, τῆς τοῦ Λόγου Σαρκώσεως, καὶ παῤῥησίᾳ πᾶσιν, ἐβόας τῇ Κτίσει σου. τοῦ Θεοῦ σε γινώσκω, Υἱὸν ὁμοούσιον. ὅθεν ἐπαξίως, ἀληθῶς ἀνεδείχθης, πέτρα τῆς Πίστεως, καὶ κλειδοῦχος τῆς χάριτος, Πέτρε Ἀπόστολε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Θκίον. Ὅμοιον.

Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ. τὴν ἐξέτασιν φρίττω τὴν φοβεράν· τρέμω τὴν ἀπόφασιν, καὶ πτοοῦμαι τὴν κόλασιν, τὴν τοῦ πυρὸς ὀδύνην, τὸ σκότος, τὸν τάρταρον. οἴμοι τί ποιήσω, ἐν ἐκείνῃ τῇ ὥρᾳ, ὅταν τίθωνται θρόνοι, καὶ βίβλοι ἀνοίγωνται, καὶ αἱ πράξεις ἐλέγχωνται; τότε Δέσποινα βοήθειά μοι γενοῦ, καὶ προστάτις θερμότατος. σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Μετὰ τὴν β'. στιχολ. καθ. Ὅμοια.

Οὐρανόθεν τὴν κλῆσιν παρὰ Χριστοῦ, κομισάμενος ὤφθης, κήρυξ φωτὸς, πᾶσι τῆς χάριτος, καταλάμψας διδάγμασι. τὴν γὰρ τοῦ νόμου ξέσας, λατρείαν τοῦ γράμματος, καὶ πιστοῖς κατήστραψας, τὴν γνῶσιν τοῦ Πνεύματος. ὅθεν καὶ εἰς τρίτον, οὐρανὸν ἐπαξίως, ἐπήρθης μετάρσιος, καὶ Παράδεισον ἔφθασας, Παῦλε Ἀπόστολε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Θεοτοκίον. Ὅμοιον.

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύο λεπτὰ, προσφέρω σοι Δέσποινα, ὑπὲρ πασῶν τῶν χαρίτων σου. σὺ γὰρ ὤφθης σκέπη, ὁμοῦ καὶ βοήθεια, πειρασμῶν καὶ θλίψεων, ἀεί με ἐξαίρουσα. ὅθεν ὡς ἐκ μέσης, φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζω σοι· Θεοτόκε βοήθει μοι· πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸν τόκον σου.

Μετὰ τὸν Πολυέλεον καθ. Ὅμοια.

Κορυφαίους ὀφθέντας τῶν Μαθητῶν, τοὺς μεγάλους φωστῆρας καὶ φαεινοὺς, Πέτρον εὐφημήσωμεν, καὶ τὸν πάνσοφον Παῦλον. τῷ γὰρ πυρὶ τοῦ θείου, ἐκλάμψαντες Πνεύματος, τὴν ἀχλὺν τῆς πλάνης, κατέφλεξαν ἅπα-



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

σαν· ὅθεν καὶ τῆς ἄνω, Βασιλείας ὀπλῖται, ἀξίως ἐδέχθησαν, καὶ τῆς χάριτος σύνθρονοι. διὰ τοῦτο βοήσωμεν. Ἀπόστολοι Χριστοῦ τοῦ Θεοῦ, τῶν πταισμάτων ἄφεσιν αἰτήσασθε, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν, Θεοτ. Ὅμοιον. Ζήτει ἄνωθεν.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμ. ἦχος δ΄.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Στ. Οἱ Οὐρανοὶ διηγοῦνται.

Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον, ἑωθινὸν ια΄. ὁ Ν΄. Δόξα. Ταῖς τῶν Ἀποστόλων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου πρεσβείαις.

Στ. Ἐλέησόν με ὁ Θεός. Καὶ τὸ ἰδιόμ. ἦχ. β΄.

Πέτρε Κορυφαῖε τῶν ἐνδόξων Ἀποστόλων.

Ζήτει εἰς τὴν Λιτήν.

Οἱ Κανόνες τοῦ Κυρίου Ἰωάννου. Τοῦ Ἁγίου Πέτρου, μετὰ τῶν Εἱρμῶν εἰς η΄. καὶ τοῦ Ἁγίου Παύλου ὁ ἕτερος, τὰ τροπ. εἰς ς΄. ὁ Κανὼν τοῦ Ἁγίου Πέτρου. Ὠδὴ α΄. ἦχος δ΄. Ὁ Εἱρμός.

» Οὐκ ἔστι σοι ὅμοιος, δεδοξασμένε Κύριε.
» ἐν χειρὶ γὰρ κραταιᾷ, ἐλυτρώσω τὸν
» λαόν, ὃν ἐκτήσω φιλάνθρωπε.

Τὸν κορυφαιότατον, τῶν Ἀποστόλων σήμερον, ὡς πρωτόκλητον Χριστοῦ, θεοπνεύστοις ἐν ᾠδαῖς, ἐπαξίως ὑμνήσωμεν.

Σὲ ὁ προαιώνιος, προεγνωκὼς προώρισε, παμμακάριστε Πέτρε, ὡς προστάτην Ἐκκλησίας καὶ πρόεδρον.

Οὐ σὰρξ οὐδὲ αἷμά σοι, ἀλλ' ὁ Πατὴρ ἐνέπνευσε, τὸν Χριστὸν θεολογεῖν, Υἱὸν Θεοῦ ἀληθινόν, τοῦ ὑψίστου Ἀπόστολε. Θεοτ.

Τὸ ὄρος τὸ ἅγιον, τὸ ὑπὲρ ἔννοιαν ὄχημα, τὴν Μητέρα τοῦ Θεοῦ, καὶ Παρθένον ἀληθῶς, μετὰ τόκον ὑμνήσωμεν.

Ἕτερος Κανὼν τοῦ Ἁγίου Παύλου.

Ὠδὴ α΄. ἦχ. πλ. δ΄. Ἡ κεκομμένη τὴν ἄτομον.

Ποίημα τοῦ αὐτοῦ Κυρίου Ἰωάννου.

Ὥσπερ ὄντα καλῶν τὰ ἀνύπαρκτα, Χριστὸς τῇ θείᾳ γνώσει, Παῦλε παμμακάριστε. αὐτὸς ἐκ μητρικῆς γαστρός σε ἐξελέξατο, βαστάσαι ἐναντίον τῶν ἐθνῶν, αὐτοῦ τὸ θεῖον ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα. ἐνδόξως γὰρ δεδόξασαι.

Περιτομὴν μὲν τελῶν ὀκταήμερον, καὶ ζηλωτὴς τῶν πατρῴων Παῦλε παραδόσεων, Ἑβραῖον ἐκ σποράς, φυλῆς Βενιαμίτιδος, ἐν νόμῳ Φαρισαῖος πεπαιδευθείς, ἡγήσω ταῦτα σκύβαλα, καὶ Χριστὸν ἐκέρδησας, ἐνδόξως γὰρ δεδόξασαι.

Ἣν ἐσομένην μηνύων σοι ἔλλαμψιν, τῆς ἀσεβείας Παῦλε, καὶ πλάνης τὴν καθαίρεσιν, Χριστὸς ἐπιφανεὶς ἐν ὄρει ἀστρατόμορφος, τὸ ὄμμα μὲν σκοτίζει τῆς σαρκός, τὴν ψυχὴν συνετίζει δὲ τῆς Τριάδος τῇ γνώσει, ἐνδόξως γὰρ δεδόξασαι. Θεοτ.

Ἄχραντε Μήτηρ Θεοῦ παντοκράτορος, ἡ Βασιλείου φυλῆς, Δέσποινα βλαστήσασα, καὶ μόνη τὸν Θεὸν τὸν πάντων βασιλεύοντα, γεννήσασα σαρκὶ ὑπερφυῶς, κινδύνων με διάσωσον, τῷ Υἱῷ σου ψάλλοντα· ἐνδόξως γὰρ δεδόξασαι.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Οὐκ ἐν σοφίᾳ, καὶ δυνάμει καὶ πλούτῳ »
καυχώμεθα. ἀλλ' ἐν σοὶ τῇ τοῦ Πα- »
τρός, ἐνυποστάτῳ σοφίᾳ Χριστέ. οὐ γάρ ἐστιν »
Ἅγιος, πλήν σου φιλάνθρωπε. »

Μακαρίζουσέ σε, τὸ γλυκύτατον στόμα Χριστοῦ τοῦ Θεοῦ, καὶ ταμεῖον ἀσφαλὲς, τῆς Βασιλείας ἀνέδειξε. διὸ ἀνυμνοῦμέν σε Πέτρε Ἀπόστολε.

Ἐπὶ τὴν πέτραν, τῆς σῆς θεολογίας ἐπήξατο, ὁ Δεσπότης Ἰησοῦς, τὴν Ἐκκλησίαν ἀκλόνητον. ἐν ᾗ σε Ἀπόστολε Πέτρε δοξάζομεν.

Ὡς ὑπέρτερος, τῶν Ἀγγέλων ὁ Πέτρος ἐν σώματι. ἐν γὰρ τῇ ἐπιφανείᾳ, ἐλεύσει τοῦτον Χριστὸς ὁ Θεός, κριτήν τε καὶ σύνεδρον ἔσεσθαι ἔφησεν. Θεοτ.

Ἡ Παρθένος, ἡ Θεὸν σαρκωθέντα κυήσασα, τῶν παθῶν ταῖς προσβολαῖς, κλονούμενόν με στερέωσον. οὐ γάρ ἐστιν Ἄχραντε πλήν σου βοήθεια.

Ἄλλος. Σὺ εἶ τὸ στερέωμα.

Σὲ λίθον θεμέλιον, ταῖς τῶν πιστῶν ψυχαῖς πέθεικας, πολυτελῆ, ἀκρογωνιαῖον, τὸν Σωτῆρα καὶ Κύριον.

Πάντοτε τὴν νέκρωσιν, τοῦ Ἰησοῦ ἐν τῷ σώματι, ἀληκρινῶς, Παῦλε περιφέρων, ἠξιώθης τῆς ὄντως ζωῆς.

Παῦλε παμμακάριστε, τῷ θεμελίῳ σου πρέσβευε, τῶν ἀρετῶν, ἐποικοδομεῖσθαι, ἀσεβῶν τὴν λαμπρότητα. Θεοτ.

Σὲ νῦν μακαρίζουσιν, ὡς προεφήτευσας Πάναγνε, αἱ γενεαί, πᾶσαι τῶν ἀνθρώπων, διὰ σοῦ νῦν σῳζόμεναι.

Καταβασία. Τοὺς σοὺς ὑμνολογοῦντας.

Ἡ Ὑπακοή, ἦχος πλ. δ'.

Ποία φυλακὴ οὐκ ἔσχε σε δέσμιον; ποία δὲ Ἐκκλησία οὐκ ἔσχε σε Ῥήτορα; Δαμασκὸς μέγα φρονεῖ ἐπὶ σοὶ Παῦλε· ἅδε γάρ σε σκελισθέντα φωτί. Ῥώμη σου τὸ αἷμα δεξαμένη, καὶ αὐτὴ κομπάζει. ἀλλ' ἡ Ταρσὸς πλέον χαίρει, καὶ πόθῳ τιμᾷ σου τὰ σπάργανα. Πέτρε τῆς Πίστεως ἡ πέτρα. Παῦλε τὸ καύχημα τῆς Οἰκουμένης, ἐκ τῆς Ῥώμης συνελθόντες, στηρίξατε ἡμᾶς.

Ἰστέον ὅτι ὅτε λέγεται Ὑπακοή, Κάθισμα οὐ λέγεται.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Οὗτος ὁ Θεὸς ἡμῶν, ὁ ἐκ Παρθένου σαρκωθεὶς, καὶ τὴν φύσιν θεώσας· ὃν ἀνυμνοῦντες βοῶμεν. δόξα τῇ δυνάμει σου Κύριε.

Βροτῶν ἁλιέα σε, ὡς ἐπηγγείλατο Χριστὸς, ἀπεργασάμενος θεῖον, τῆς αὐτοῦ Ἐκκλησίας, πρώτῳ ἐγχειρήσας τοὺς οἴακας.

Πρὸς σοῦ δυσωπούμενος, ὁ ζωοδότης Ἰησοῦς, δεσμεῖν τε καὶ λύειν, δεδωκώς σοι ἐξουσίαν, Πέτρε γενηθήτω μοι ἵλεως.

Χριστοῦ τὰ Βασίλεια, ἀνεῳχθῆναι ἐκτενῶς, καθικέτευσον Πέτρε, τοῖς τὴν θείαν σου μνήμην, πιστῶς ἀδιστάκτῳ γεραίρουσι. Θεοτοκίον.

Κυρία Πανύμνητε Θεοκυῆτορ, τοὺς ἐμοὺς λογισμοὺς, ταῖς πρεσβείαις ἐκκαθάρασα, δεῖξον εὔκαρπον, Μήτηρ τοῦ πάντων Θεοῦ.

Ἄλλος. Ἐπέβης ἐφ' ἵππους.

Ἐπέβη ὡς λέων, ἀγριωτῶς λυμαινόμενος, τὴν Χριστοῦ Ἐκκλησίαν ὁ Σαῦλός ποτε. τιθασευθεὶς δὲ θείᾳ φωνῇ τοῦ ἀμνοῦ τοῦ Θεοῦ, ἣν ἐδίωκε ποίμνην, οἷά περ ποιμὴν ἐγχειρίζεται.

Ὁ μέλλων φωτίζειν, τὴν οἰκουμένην σκοτίζεται. Ἀνανίας δὲ τούτῳ ἀπέσταλται, τὸ τῆς ψυχῆς φέγγος διδοὺς, καὶ τὸ τοῦ σώματος. ἐκ θείας ἐμφανείας, σκεῦος ἐκλογῆς διδαχθεὶς αὐτῷ.

Τῷ Παύλῳ ἀξίως, ἡ Δαμασκὸς ἐναβρύνεται. ἐκ γὰρ ταύτης ὡς ἐκ Παραδείσου ποτὲ, ναμάτων οὕτω προῆλθε μεγίστη πηγή. καὶ ἐμέθυσε πᾶσαν, τῇ θεογνωσίᾳ ἀφθόνως τὴν γῆν. Θεοτοκίον.

Καθεῖλε δυνάστας ἀπὸ τῶν θρόνων ὁ Κύριος, ἡ Παρθένος καὶ μήτηρ ὡς ἔφησε· τοὺς δὲ πεινῶντας θείων ἀγαθῶν ἐνέπλησε, τοὺς πίστει μελῳδοῦντας· δόξα τῇ δυνάμει σου Κύριε.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Ὁ κτησάμενος ἡμᾶς, περιούσιον λαὸν, τῷ αἵματί σου Κύριε, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, ἐν ὁμονοίᾳ φυλάττων τὴν ποίμνην σου.

Τὴν ἐκ πόθου ἀληθῶς, παῤῥησίαν πρὸς Θεὸν ἀξίως ἐθαυμάζετο, ὁ ἁλιεὺς καὶ ἀγροῖκος, τερατουργῶν παραδόξως τῇ χάριτι.

Οὐ χρυσίον διὰ σὲ, οὐκ ἀργύριον Χριστὲ, ὁ θεῖός σου Ἀπόστολος, ἀλλ' ἀρετὴν κτησάμενος, τὴν τῶν θαυμάτων ἐπλούτησε δύναμιν.

Κατηρτίζοντο σφυρὰ, καὶ αἱ βάσεις τῶν χωλῶν τῷ ἐνεργῷ σου ῥήματι. διὰ γὰρ θείου Πνεύματος ἀπετελεῖτο παράδοξα πράγματα.

Ἐσωμάτωται Θεὸς, καθ' ὑπόστασιν ἁγνὴ, ἐκ σοῦ σαρκὶ ἑνούμενος, μεμενηκὼς οὐκ ἔλαττον, κατὰ γὰρ θείαν οὐσίαν ἀσώματος.

Ἄλλος. Φώτισον ἡμᾶς.

Σὺ τὸ ἀληθὲς, ἐξελέξω Παῦλε καύχημα. τὸν Σταυρὸν τοῦ Βασιλέως Χριστοῦ, ἀεὶ βαστάζων, ὥσπερ τρόπαιον Ἀπόστολε.

Σοὶ τὸ ζῆν Χριστὸς, τὸ θανεῖν δὲ κέρδος ἄριστον. τῷ γὰρ πόθῳ συνεσταύρωσαι, τῷ σταυρωθέντι δι' ἡμᾶς, Παῦλε ἔνδοξε.

Χαίροις ἀληθῶς, ἐν Κυρίῳ Παῦλε τίμιε· ἐκδημήσας ἐκ τοῦ σώματος, καὶ ἐνδημήσας πρὸς Χριστὸν, τὸν ζωοδότην Θεόν. Θεοτοκίον.

Χαίροις ἀληθῶς, παρθενίας τὸ κειμήλιον, ἡ τῆς Προμήτορος ἀνάκλησις, καὶ τῆς κατάρας ἡ λύσις τοῦ Προπάτορος.

Καταβασία. Ἐξέστη τὰ σύμπαντα.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Ἐν κήτει Χριστὲ τριημερεύσας, Ἰωνᾶς προέγραψέ σε τὸν ἀθάνατον, ὡς νεκρὸν ἑκουσίως, ἐν τῇ κοιλίᾳ τῆς γῆς τριημερεύσαντα.

Ὡς πάλαι Χριστὲ τῇ δεξιᾷ σου, ἐν ὕδασι πεζεύοντα Πέτρον διέσωσας· κἀμὲ βυθιζόμενον, σάλῳ δεινῶν πειρασμῶν, σῶσόν με ὡς εὔσπλαγχνος.

Ἀφῆκας ὦ Πέτρε τὰ μὴ ὄντα, καὶ τὰ ὄντα ἔφθασας ὥσπερ τις ἔμπορος· καὶ σαφῶς ἠλλάξω, τὸν μαργαρίτην Χριστὸν τὸν πολύτιμον.

Πειράζειν ἀφρόνως οἰηθέντας, Πνεῦμα τὸ πανάγιον, Πέτρε ἐνέκρωσας· ὁ θεολογήσας πρῶτος, τρανώσας Θεὸν παμμακάριστε. Θεοτοκίον.

Τὸν πάσης ἐπέκεινα οὐσίας, Λόγον Θεοῦ τέτοκας σεσαρκωμένον ἡμῖν. διὸ Θεοτόκον χείλεσι, καὶ ψυχῇ καταγγέλλομεν.

Ἄλλος. Τὴν δέησιν ἐκχεῶ.

Ἁπάντων περιφρονήσας τῶν τερπνῶν, βεβλημένος τοῦ Δεσπότου τῷ φίλτρῳ, καὶ τῆς κοινῆς, σωτηρίας τῷ πόθῳ, διαμαρτεῖν αὐτῷ αἱρετισάμενος· ὦ Παῦλε μακάριε καὶ νῦν, ὑπὲρ τῆς Οἰκουμένης ἱκέτευε.

Ἀξίως σοι ἐδωρήσατο Χριστὸς, τὸ πολίτευμα Ἀπόστολε Παῦλε, ἐν οὐρανοῖς. μένουσαν γὰρ ἐνταῦθα, οὐκ ἐπεπόθησας Πόλιν μακάριε· πιστὸς ὑπηρέτης γεγονὼς, οἰκονόμος τε τῶν Μυστηρίων αὐτοῦ.

Ὡς ἄριστος τοῦ Δεσπότου μιμητὴς, καὶ αὐτὸν ἐνδεδυμένος ὁ Παῦλος, εἰλικρινῶς, πᾶσι γέγονε πάντα, ἵνα τοὺς πάντας κερδήσῃ καὶ σώσῃ λαούς. καὶ ἔσωσεν ὡς ἀληθῶς, τῷ Χριστῷ σαγηνεύσας τὰ πέρατα. Θκ.

Ἐπέβλεψεν ἐπὶ σοὶ ὁ Κύριος, τὴν ἐμὴν ἀνακαινίζων οὐσίαν, ὡς δυνατὸς, μεγαλεῖα ποιήσας, Θεογεννῆτορ ὡς ἔφης πανάμωμε· καὶ ἔσωσέ με διὰ σοῦ, ἐκ φθορᾶς ὁ Θεός μου ὡς εὔσπλαγχνος.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον, ἦχος β΄.

Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους Κήρυκας, τὴν κορυφὴν τῶν μαθητῶν σου Κύριε, προσελάβου εἰς ἀπόλαυσιν, τῶν ἀγαθῶν σου καὶ ἀνάπαυσιν. τοὺς πόνους γὰρ ἐκείνων καὶ τὸν θάνατον, ἐδέξω ὑπὲρ πᾶσαν ὁλοκάρπωσιν, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια. Ὁ Οἶκος.

Ῥῶσόν μου τὴν γλῶτταν Σωτήρ μου, πλάτυνόν μου τὸ στόμα, καὶ πληρώσας αὐτὸ, κατάνυξον τὴν καρδίαν μου, ἵνα οἷς λέγω, ἀκολουθήσω, καὶ ἃ δῆθεν διδάξας, ποιήσω πρῶτος. πᾶς γὰρ ποιῶν καὶ διδάσκων, φησὶν, οὗτος μέγας ἐστίν. ἐὰν γὰρ λέγω, καὶ μὴ πράττω, ὡς χαλκὸς ἠχῶν λογισθήσομαι. διὸ λαλεῖν μοι τὰ δέοντα, καὶ ποιεῖν τὰ συμφέροντα δώρησαι, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Τῷ αὐτῷ Μηνὶ κθ΄. Τῶν Ἁγίων ἐνδόξων Πανευφήμων Ἀποστόλων, καὶ Πρωτοκορυφαίων, Πέτρου, καὶ Παύλου.

Στ. Σταύρωσις εἷλε Κήρυκα Χριστοῦ Πέτρον.
Τομὴ δὲ Παῦλον τὸν τεμόντα τὴν πλάνην.
Τλῆ ἐννάτῃ Σταυρὸν Πέτρος, εἰκάδι ἄορ ὁ Παῦλος.

Τούτοις, τίνα ἐγκωμίων ὑπόθεσιν μείζονα ἄν τις ἐπινοήσειε, παρὰ τὴν τοῦ Κυρίου μαρτυρίαν καὶ ἀνακήρυξιν; τὸν μὲν μακαρίσαντος, καὶ πέτραν καλέσαντος, ἐφ' ἧς ἱδρῦσαι τὴν Ἐκκλησίαν φησί. τὸν δὲ σκεῦος ἐκλογῆς ἔσεσθαι προειπόντος, τοῦ βαστάσαι τὸ ὄνομα αὐτοῦ ἐνώπιον τυράννων καὶ Βασιλέων. Ὑπῆρχε δὲ ὁ Ἅγιος Πέτρος ἀδελφὸς τοῦ Πρωτοκλήτου Ἀνδρέου, ἐκ Πόλεως ἀσήμου, καὶ εὐτελοῦς τῆς Βηθσαϊδᾶ, Υἱὸς Ἰωνᾶ, ἐκ φυλῆς Συμεὼν, ἐπὶ Ὑρκανοῦ Ἀρχιερέως, πενίᾳ συζῶν ἐσχάτῃ, καὶ ταῖς ἰδίαις χερσὶ τὸ ζῆν πορίζόμενος. Αὐτοῦ δὲ τελευτήσαντος, ὁ μὲν Σίμων ἑαυτὸν μισθωσάμενος, ἔγημε τὴν θυγατέρα Ἀριστοβούλου, ἀδελφοῦ Βαρνάβα τοῦ Ἀποστόλου, καὶ παῖδας ἔτεκεν. Ὁ δὲ Ἀνδρέας τῇ ἁγνείᾳ ἑαυτὸν ἐπέδωκε. Κατὰ δὲ τὸν καιρὸν ὃν ἐφρουρεῖτο ὁ Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ, ὁ Ἰησοῦς πρὸς τὴν λίμνην Γεννησαρὲτ ἀφικόμενος, καὶ εὑρὼν Ἀνδρέαν καὶ Πέτρον καταρτίζοντας τὰ δίκτυα αὐτῶν, αὐτοὺς ἐκάλεσε. καὶ εὐθέως ἠκολούθησαν αὐτῷ. Καὶ λοιπὸν κηρύξας ὁ Πέτρος τὸ Εὐαγγέλιον ἐν Ἰουδαίᾳ καὶ Ἀντιοχείᾳ καὶ ἐν Πόντῳ, καὶ Γαλατίᾳ, καὶ Καππαδοκίᾳ, Ἀσίᾳ τε καὶ Βιθυνίᾳ, κατῆλθε μέχρι Ῥώμης αὐτῆς. Καὶ διὰ τὸ παρευδοκιμῆσαι αὐτὸν ἐν τοῖς θαύμασι τὸν Σίμωνα μάγον, αὐτόθι Νέρωνος ὑπάρχοντος, σταυρωθεὶς κατὰ κεφαλῆς ὡς αὐτὸς ἐξητήσατο, τὸ μακάριον τέλος ἐδέξατο.

Ὁ δὲ Ἅγιος Παῦλος, Ἑβραῖος μὲν ἦν τὸ γένος καὶ αὐτὸς, Φυλῆς Βενιαμὶν, τὴν αἵρεσιν Φαρισαῖος. μαθητευθεὶς ὑπὸ Γαμαλιὴλ, καὶ ἄκρως τὸν Μωσέως Νόμον πεπαιδευμένος, τὴν Ταρσὸν οἰκῶν. Ὃς καὶ διάπυρος ἐραστὴς γενόμενος τοῦ Νόμου, ἐπόρθει τὴν τοῦ Θεοῦ Ἐκκλησίαν. Τῇ αὐτοῦ εὐδοκίᾳ καὶ προθέσει ἀναιρεῖται Στέφανος ὁ Πρωτομάρτυς. Ἐπιγνωσθεὶς δὲ παρὰ Θεοῦ μεσούσης ἡμέρας, καὶ πηρωθεὶς τὰς ὄψεις, φωνῆς αὐτῷ θείας ἐνεχθείσης ἄνωθεν, πέμπεται πρὸς Ἀνανίαν ἀρχαῖον Μαθητὴν, οἰκοῦντα ἐν Δαμασκῷ. Ὃν κατηχήσας καὶ βαπτίσας, ἐπεὶ σκεῦος ἐκλογῆς ἐγένετο, καθάπερ ὑπόπτερός τις, πᾶσαν διαδραμὼν τὴν Οἰκουμένην, ἐσαγήνευσε. Καὶ ἐν Ῥώμῃ καταντήσας, καὶ διδάξας πολλοὺς, ἐκεῖσε τὸν βίον κατέλυσε, χρόνοις ὕστερον μετὰ Πέτρον τὸν αὐχένα τμηθείς. Ἐκ δὲ τῆς πληγῆς ἀπορρεῦσαι, φασὶν, αἷμα σὺν γάλακτι.

Εἰ δὲ ϗ ὕστερον ἐτελειώθη ὁ μακάριος Παῦλος τῷ χρόνῳ, ἀλλ' ἐν σοὶ τούτῳ ἐτέθη αὐτῶν τὰ λείψανα. Ταῖς αὐτῶν πρεσβείαις.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Ὁ ἐν ἀρχῇ ἄναρχος Λόγος, σὺν Πατρὶ ϗ Πνεύματι Υἱὸς Μονογενὴς, εὐλογητὸς εἶ καὶ ὑπερυψούμενος, ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ συμπαθὲς θεία προνοία, τοῦ Χριστοῦ παιδευόμενος, ἐκμιμεῖσθαι, συγχωρεῖ, τὸ πρὸ τοῦ πάθους Πέτρε τῆς ἀρνήσεως, ὑποστῆναι κλυδώνιον.

Σοὶ ὁ Χριστὸς πρώτῳ κληθέντι, ϗ σφοδρῶς ἀγαπήσαντι, ὡς Προέδρῳ εὐκλεῶς, τῶν Ἀποστόλων πρώτῳ ἐμφανίζεται, ἀναστὰς ἐκ τοῦ μνήματος.

Σοῦ τὸ τριττὸν τῆς πρὸ τοῦ πάθους, ἐξαλείφων ἀρνήσεως, ὁ Δεσπότης, τῷ τριττῷ τῆς θεοφθόγγου ἐρωτήσεως, βεβαιοῖ τὴν ἀγάπησιν.

Ἧς πρὸς Χριστὸν Πέτρε φιλίας, προετίθεσο μάρτυρα, καὶ τὸν πάντα ὡς Θεὸν εἰδότα Λόγον. ὅθεν ϗ τὸ φίλτατον, ἐγχειρίζεσαι ποίμνιον.

Ἄλλος. Ἐν πεδίῳ Δεειρᾷ.

Ἐχρημάτισε Χριστὲ, σφραγὶς ϗ στέφανος τῶν Ἀποστόλων σου, ὁ ἐπ' ἐσχάτων κληθεὶς τῶν χρόνων, αὐτοὺς πάντας ὑπερβάλλων δέ· μεθ' οὗ ὁ λαὸς τῆς Ἐκκλησίας ψάλλει σοι· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Εἰ ϗ ἐδίωξε τὸ πρὶν, τὴν Ἐκκλησίαν σου Παῦλος ὁ δέσμιος, ἀλλ' ὑπερέβη τὴν πάλαι τόλμαν, τῷ σῷ ζήλῳ τῷ ἐπ' ἐσχάτων. συνήγαγε γὰρ Χριστὲ, τὰ ἔθνη κράζοντα. ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Σὺ ἐξ Ἱερουσαλὴμ κηρύξας, ἅπασι τὸ Εὐαγγέλιον. περιλαβὼν δὲ κύκλῳ πᾶσαν τὴν γῆν, μέχρι τερμάτων Παῦλε τοῦ Ἰλλυρικοῦ, διδάσκων ἀνεκραύγαζες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἐν ἐκστάσει ἐπαρθεὶς, τὸν τρίτον ἔφθασας πόλον πανόλβιε, ϗ ἐπακούσας ἀρρήτων λόγων βοᾷς· δόξα τῷ αὐτοτάτῳ Πατρὶ, ϗ τῷ Υἱῷ ἀπαυγάσματι συνθρόνῳ, τῷ ἐρευνῶντι σαφῶς, Πνεύματι Θεοῦ τὰ βάθη. Θκ.

Ὡς ἐπὶ πόκον ὑετὸς, ἐν σοὶ κατέβη Παρθένε Χριστὸς ϗ σαρκοφόρος ἐκ σοῦ προῆλθεν, ἑνῶν τὰ πρὶν διεστηκότα. εἰρήνην ἐν γῇ, ϗ Οὐρανῷ δωρούμενος, ὁ τῶν Πατέρων ἡμῶν.

Καταβασία. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Ὁ τὰ σύμπαντα φέρων, τῇ ἀπορρήτῳ σου δυνάμει Χριστὲ, τοὺς ὁσίους σου Παῖδας, ἐν τῇ φλογὶ ἐδρόσισας, κράζοντας· εὐλογεῖτε·

Ἐκτενεῖς σου χεῖρας, ϗ σταυρῷ σε περιζώσουσιν, ὁ Δεσπότης προφητεύων, Πέτρε προστάττεσθαι, κράζοντα· εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ὢ τῆς χάριτος λόγῳ τὸν μὲν Αἰνέαν παρειμένον δεινῶς, Ταβηθὰν δὲ θανοῦσαν, τερατουργῶν ἀνέστησας κράζοντας· εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον.

Ὁ τῷ Πέτρῳ τὰ ἔθνη, κεκαθαρμένα ἀποφήνας Χριστὲ, τῇ τοῦ Πνεύματος αἴγλῃ, κἀμοῦ τὰς φρένας κάθαρον, κράζοντος· εὐλογεῖτε πάντα τὰ ἔργα τὸν Κύριον. Θκ.

Ἐν μιᾷ συσκηνοῦσα, τῶν ἑαυτῆς Ἁγίων ὑποστάσεων, ἡ Θεότης Παρθένε, ὅλη μοι ὅλῳ ἥνωται. ὅθεν σε ὡς Μητέρα Θεοῦ μακαρίζομεν.

Ἄλλος. Τὸν ἐν ὄρει ἁγίῳ.

Συνεκράθη τῷ πόθῳ σου ὁ Παῦλος, τὴν καλὴν δὲ ἀλλοίωσιν ἔσχε· οὐχ ἑαυτῷ γὰρ ἔζη ὁ ἀοίδιμος. εἶχε δὲ οἰκτίρμων, ζῶντα ἐν αὐτῷ σὲ εἰς πάντας τοὺς αἰῶνας.

Συνηρμόσω ὡς Νύμφην παραστῆσαι, τῷ Νυμφίῳ Χριστῷ τὴν Ἐκκλησίαν. Νυμφαγωγὸς γὰρ ταύτης ἀναδέδειξαι, Παῦλε Θεοφόρε. ὃν ὑπερυψοῦμεν εἰς πάντας.

Ἠγωνίσω τὸν κάλλιστον ἀγῶνα, ϗ τελέσας τὸν δρόμον σου νομίμως, Χριστῷ προσῆλθες χαίρων παναοίδιμε. ὅθεν τῶν στεφάνων, Παῦλε ἠξιώθης τῶν τῆς δικαιοσύνης. Θκ.

Χαῖρε θρόνε πυρίμορφε Κυρίου· χαῖρε Νύμφη ἀνύμφευτε Παρθένε. χαῖρε νεφέλη Ἥλιον ἐκλάμψασα, τῆς δικαιοσύνης. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Παῖδας εὐαγεῖς.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Σὲ τὴν ὑπερένδοξον Νύμφην, ϗ Παναγίαν Θεοτόκον, τὴν τὸν Κτίστην τεκοῦσαν, τῶν ὁρατῶν τε πάντων ϗ ἀοράτων, ἐν ὕμνοις μεγαλύνομεν.

Σοῦ ἡ ὑπερβάλλουσα χάρις, δημοσιεύεται ἀξίως· τῆς σκιᾶς σου τὰ πάθη τῶν ἀσθενούντων, Πέτρε φυγαδευούσης. διό σε μεγαλύνομεν.

Φάσμασι τὸν Σίμωνα μάγον, τὸν θεομάχον ἐπαρθέντα, πρὸς αἰθέριον ὕψος,

καταβαλὼν ἀῤῥήτῳ θείᾳ δυνάμει, ὁ Πέτρος μακαρίζεται.

Τῶν πλημμελημάτων τὴν λύσιν, ταῖς ἱκεσίαις σου παράσχου· φωτισμόν τε καρδίας, καὶ εὐφροσύνην Πνεύματος τοῖς ὑμνοῦσι, τὴν μνήμην σου Ἀπόστολε. Θεοτοκίον.

Θεὸν συλλαβοῦσα Παρθένε, Κυριοτόκος ὀνομάζῃ. κατ' ἀξίαν διό σε οἱ πιστοὶ συμφώνως δοξολογοῦντες, ἐν ὕμνοις μεγαλύνομεν.

Ἄλλος. Ὅρους παρῆλθες τῆς φύσεως.

Σοῦ προσκυνοῦμεν τὴν ἅλυσιν, ἣν ὑπὲρ Χριστοῦ ὡς κακοῦργος ἐφόρεσας· τὰ στίγματά τε Παῦλε περιπτυσσόμεθα, ἃ ἐν τῷ εὐκλεεῖ σου, καὶ νικηφόρῳ φέρεις σώματι.

Ἣν ἀναλύσας Ἀπόστολε, πρὸς τὸν ὑπὸ σοῦ ἀεννάως ποθούμενον, αὐτῷ τε ὡς θεράπων συναυλιζόμενος, ἀπαύστοις ἱκεσίαις, τοὺς σοὺς ἱκέτας πρὸς σὲ ἕλκυσον.

Ὃν οὐδαμῶς ἐν αἰνίγματι, οὐδὲ ἐν ἐσόπτρῳ Χριστός σοι ὀπτάνεται· πρὸς πρόσωπον δὲ μᾶλλον, ὁρᾶται πρόσωπον, τελείως σοι τὴν γνῶσιν, ἀποκαλύπτων τῆς Θεότητος. Θε.

Λόγον ἐδέξω τὸν ἄσαρκον, φύσιν τὴν ἐμὴν ἀναπλάσαι βουλόμενον, καὶ τοῦτον σαρκωθέντα Παρθένε τέτοκας. διό σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνομεν.

Καταβασία. Ἅπας γηγενής.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Τῶν Ἀποστόλων ἅπαντες, τὴν κορυφὴν ὑμνήσωμεν, Πέτρον καὶ Παῦλον τοὺς θείους, τῆς Οἰκουμένης φωστῆρας· τοὺς Κήρυκας τῆς Πίστεως, τοὺς θεολόγους σάλπιγγας· δογμάτων τοὺς ἐκφάντορας· τῆς Ἐκκλησίας τοὺς στύλους, καὶ καθαιρέτας τῆς πλάνης. Θεοτοκίον. Ὅμοιον.

Τὸ μέγα καὶ παράδοξον, τοῦ τόκου σου Μυστήριον, Θεοχαρίτωτε Κόρη, καὶ Θεομῆτορ Παρθένε, Προφῆται προεκήρυξαν, Ἀπόστολοι ἐδίδαξαν, μάρτυρες ὡμολόγησαν· ἄγγελοι δὲ ἀνυμνοῦσι, καὶ ἄνθρωποι προσκυνοῦσιν.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στί. δ'. καὶ ψάλλομεν στί. προσόμοια, ἦχος δ'. Ὁ ἐξ ὑψίστου κληθείς.

Οὐρανόθεν τὴν χάριν δεδεγμένος, ὅτε τὴν ἐρώτησιν τῶν Μαθητῶν, ὁ Σωτὴρ, τὴν δωδεκάριθμον ἔφησε, τῶν Ἀποστόλων· τίνα με λέγουσιν εἶναι ἄνθρωποι; τότε καὶ ὁ πρόκριτος τῶν Ἀποστόλων Πέτρος, θεολογῶν ἀνεκήρυξε, τρανῶς βοήσας· σὺ εἶ Χριστὸς, τοῦ ζῶντος Θεοῦ Υἱός. ὅθεν ἀξίως μακαρίζεται, ὡς ἐξ ὕψους λαβὼν ἀποκάλυψιν, τοῦ δεσμεῖν τε καὶ λύειν, τὰς ἐξουσίας κομισάμενος.

Ὁ ἐξ ὑψίστου κληθεὶς οὐκ ἀπ' ἀνθρώπων· ὅτε τὸ ἐπίγειον σκότος ἠμαύρωσε, τοὺς ὀφθαλμοὺς τοὺς τοῦ σώματος, τῆς ἀσεβείας, δημοσιεύων τὴν σκυθρωπότητα· τότε τὸ οὐράνιον φῶς περιήστραψε, τῆς διανοίας τὰ ὄμματα, τῆς εὐσεβείας, ἀνακαλύπτων τὴν ὡραιότητα. ὅθεν ἐπέγνως τὸν ἐξάγοντα, φῶς ἐκ σκότους Χριστὸν τὸν Θεὸν ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Σὺ ἐπαξίως πέτρα προσηγορεύθης, ὅτε τὴν ἀκράδαντον Πίστιν ὁ Κύριος, τῆς Ἐκκλησίας ἐκράτυνεν, Ἀρχιποιμένα, τῶν λογικῶν προβάτων κατέστησεν. ἐντεῦθεν κλειδοῦχόν σε τῶν οὐρανίων πυλῶν, ὡς ἀγαθὸς ἐνεχείρισεν, ἀνοίγειν πᾶσι, τοῖς μετὰ πίστεως προσεδρεύουσιν. ὅθεν ἀξίως κατηξιώσαι, σταυρωθῆναι καθὼς ὁ Δεσπότης σου. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ Χριστοκήρυξ σταυροῦ καύχημα φέρων, σὺ τὴν πολυέραστον θείαν ἀγάπησιν, ὡς τοὺς ὁρῶντας συνδέουσαν, τῷ ποθουμένῳ, εἰλικρινῶς ἁπάντων προέκρινας. ἐντεῦθεν καὶ δέσμιος προσηγορεύθης Χριστοῦ, τῶν περισπασμῶν τὴν δυσχέρειαν, ὡς γλυκυτέραν, τρυφῆς ἁπάσης αἱρετισάμενος· καὶ τῆς τιμίας ἀναλύσεως, ἠξιώθης συνὼν τῷ Δεσπότῃ σου· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. β'. Κοσμᾶ Μοναχοῦ.

Ἡ πάνσεπτος τῶν Ἀποστόλων, ἐπεδήμησεν ἑορτὴ τῇ Ἐκκλησίᾳ Χριστοῦ, προξενοῦσα σωτηρίαν ἡμῖν. μυστικῶς οὖν κροτήσαντες, τούτοις προσείπωμεν· χαίρετε φωστῆρες τῶν ἐν σκότει, τοῦ Ἡλίου ἀκτῖνες ὑπάρχοντες. χαίρετε Πέτρε καὶ Παῦλε, δογμάτων τῶν θείων θεμέλιοι ἀῤῥαγεῖς, φίλοι τοῦ Χριστοῦ, σκεύη τίμια· πάρεστε μέσον ἡμῶν ἀοράτως, καταξιοῦντες δωρεῶν ἀΰλων, τοὺς τὴν ὑμῶν ἑορτὴν εὐφημοῦντας ᾄσμασι.

Καὶ νῦν, Θε. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων. Ὠδὴ γ'. καὶ ς'.

Προκείμενον, ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Στί. Οἱ Οὐρανοὶ διηγοῦνται.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὁ Ἀπόστολος. Πρὸς Κορινθίους β΄. Ἐπιστολῆς.

Κεφ. ιά. 21. Ἀδελφοί, ἐν ᾧ δ᾽ ἄν τις τολμᾷ, (ἐν ἀφροσύνῃ λέγω,) τολμῶ κἀγώ. Ἑβραῖοί εἰσι; κἀγώ. Ἰσραηλῖταί εἰσι; κἀγώ. σπέρμα Ἀβραάμ εἰσι; κἀγώ. διάκονοι Χριστοῦ εἰσι; (παραφρονῶν λαλῶ,) ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις. Ὑπὸ Ἰουδαίων πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον. Τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα, νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα. Ὁδοιπορίαις πολλάκις, κινδύνοις ποταμῶν, κινδύνοις λῃστῶν, κινδύνοις ἐκ γένους, κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ, κινδύνοις ἐν θαλάσσῃ, κινδύνοις ἐν ψευδαδέλφοις. Ἐν κόπῳ ϗ μόχθῳ, ἐν ἀγρυπνίαις πολλάκις, ἐν λιμῷ ϗ δίψει, ἐν νηστείαις πολλάκις, ἐν ψύχει ϗ γυμνότητι. Χωρὶς τῶν παρεκτός, ἡ ἐπισύστασίς μου ἡ καθ᾽ ἡμέραν, ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν. τίς ἀσθενεῖ, ϗ οὐκ ἀσθενῶ; τίς σκανδαλίζεται, ϗ οὐκ ἐγὼ πυροῦμαι; Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι. Ὁ Θεὸς ϗ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἶδεν, ὁ ὢν εὐλογητὸς εἰς τοὺς αἰῶνας, ὅτι οὐ ψεύδομαι. Ἐν Δαμασκῷ ὁ Ἐθνάρχης Ἀρέτα τοῦ Βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν Πόλιν πιάσαι με θέλων. Καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ

Κεφ. ιβ΄. 1. ἐξέφυγον τὰς χεῖρας αὐτοῦ. Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι. ἐλεύσομαι γὰρ εἰς ὀπτασίας, ϗ ἀποκαλύψεις Κυρίου. Οἶδα ἄνθρωπον ἐν Χριστῷ πρὸ ἐτῶν δεκατεσσάρων, (εἴτε ἐν σώματι, οὐκ οἶδα. εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν.) ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου Οὐρανοῦ. Καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, (εἴτε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν.) ὅτι ἡρπάγη εἰς τὸν Παράδεισον, ϗ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι. ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι, εἰ μὴ ἐν ταῖς ἀσθενείαις μου. Ἐὰν γὰρ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων. ἀλήθειαν γὰρ ἐρῶ. Φείδομαι δέ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει με, ἢ ἀκούει τι ἐξ ἐμοῦ. Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων, ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, Ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα, ἵνα ἀποστῇ ἀπ᾽ ἐμοῦ. Καὶ εἴρηκέ μοι· Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται. Ἥδιστα οὖν μᾶλλον καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου· ἵνα ἐπισκηνώσῃ ἐπ᾽ ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ.

Ἀλληλούϊα, ἦχος α΄.

Ἐξομολογήσονται οἱ Οὐρανοί.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν ὁ Ἰησοῦς εἰς τὰ Κε[...]
μέρη Καισαρείας τῆς Φιλίππου, ἠρώτα ιϛ΄.
τοὺς Μαθητὰς αὐτοῦ, λέγων· Τίνα με λέγουσιν οἱ ἄνθρωποι εἶναι, τὸν Υἱὸν τοῦ ἀνθρώπου; Οἱ δὲ εἶπον· Οἱ μὲν Ἰωάννην τὸν Βαπτιστήν· ἄλλοι δὲ Ἠλίαν· ἕτεροι δὲ Ἱερεμίαν, ἢ ἕνα τῶν Προφητῶν. Λέγει αὐτοῖς· Ὑμεῖς δὲ τίνα με λέγετε εἶναι; Ἀποκριθεὶς δὲ Σίμων Πέτρος, εἶπε. Σὺ εἶ ὁ Χριστός, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. Καὶ ἀποκριθεὶς ὁ Ἰησοῦς, εἶπεν αὐτῷ· Μακάριος εἶ Σίμων Βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ᾽ ὁ Πατήρ μου ὁ ἐν τοῖς Οὐρανοῖς. Κἀγὼ δέ σοι λέγω, ὅτι σὺ εἶ Πέτρος, ϗ ἐπὶ ταύτῃ τῇ πέτρᾳ οἰκοδομήσω μου τὴν Ἐκκλησίαν· καὶ πύλαι Ἅδου οὐ κατισχύσουσιν αὐτῆς. καὶ δώσω σοι τὰς κλεῖς τῆς Βασιλείας τῶν Οὐρανῶν. Καὶ ὃ ἐὰν δήσῃς ἐπὶ τῆς γῆς, ἔσται δεδεμένον ἐν τοῖς Οὐρανοῖς· ϗ ὃ ἐὰν λύσῃς ἐπὶ τῆς γῆς, ἔσται λελυμένον ἐν τοῖς Οὐρανοῖς.

Κοινωνικόν. Εἰς πᾶσαν τὴν γῆν.

Μηνὶ τῷ αὐτῷ λ΄.

Ἡ σύναξις τῶν Ἁγίων ἐνδόξων ϗ πανευφήμων Ἀποστόλων τῶν ιβ΄. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀποστόλους, ἢ ὄπισθεν ἐν τῇ κθ΄.

# ΜΗΝ ΙΟΥΛΙΟΣ.

Ἔχων ἡμέρας λα΄. ἡ ἡμέρα ἔχει ὥρας ιδ΄. καὶ ἡ νὺξ ὥρας ι΄.

Εἰς τὴν α΄. Τῶν Ἁγίων ϗ θαυματουργῶν Ἀναργύρων, Κοσμᾶ, ϗ Δαμιανοῦ. ζήτει τὴν Ἀκολουθίαν αὐτῶν, Μηνὶ Νοεμβ. α΄.

Εἰς τὰς β΄. Ἡ κατάθεσις τῆς τιμίας ἐσθῆτος, τῆς Ὑπεραγίας Θεοτόκου ἐν Βλαχέρναις. ζήτει τὴν Ἀκολουθίαν πᾶσαν, Αὐγούστου λα΄.



Δημόσια Κεντρική Βιβλιοθήκη

Εἰς τὰς γ΄. Τοῦ Ἁγίου Μάρτυρος Ὑακίνθου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Εἰς τὰς δ΄. Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱεράρχην.

Εἰς τὰς ε΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἀθανασίου τοῦ ἐν τῷ Ἄθῳ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Εἰς τὰς ϛ΄. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σισώη τοῦ μεγάλου. ζήτει τὴν Ἀκολουθίαν εἰς ὅσιον.

Εἰς τὰς ζ΄. Τῶν Ὁσίων Πατέρων ἡμῶν Θωμᾶ τοῦ ἐν τῷ Μαλαιῷ, καὶ Ἀκακίου τοῦ ἐν τῇ Κλίμακι, καὶ τῆς Ἁγίας Μάρτυρος Κυριακῆς. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίους, καὶ εἰς Ἁγίαν Γυναῖκα Μάρτυρα.

Εἰς τὰς η΄. Τοῦ Ἁγίου καὶ ἐνδόξου Μεγαλομάρτυρος Προκοπίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Εἰς τὰς θ΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Παγκρατίου Ἐπισκόπου Ταυρομενίας, τῆς ἐν Σικελίᾳ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Εἰς τὰς ι΄. Τῶν Ἁγίων με΄. Μαρτύρων, τῶν ἐν Νικοπόλει τῆς Ἀρμενίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Εἰς τὰς ια΄. Τῆς Ἁγίας Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἁγίαν Γυναῖκα Μάρτυρα.

Εἰς τὰς ιβ΄. Τῶν Ἁγίων Μαρτύρων Πρόκλου, καὶ Ἱλαρίωνος. ζήτει εἰς Μάρτυρας.

Εἰς τὰς ιγ΄. Ἡ σύναξις τοῦ Ἀρχαγγέλου Γαβριήλ. καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Στεφάνου τοῦ Σαββαΐτου. Τὴν Ἀκολουθίαν τοῦ Ἀρχαγγέλου. ζήτει Νοεμβρίῳ η΄. εἰς φύλλ. 94.

Ἐν μὲν τῷ Ἑσπερινῷ, τὰ ἕτερα στιχηρά, ἦχος δ΄. Ὡς ὁ προαιώνιος. Δόξα, Συγχάρητε ἡμῖν ἅπασαι. Καὶ νῦν, Θεοτ. Ἐν δὲ τοῖς Ἀποστίχοις. Δόξα, ἦχος β΄. Ἀσωμάτοις χείλεσι. ζήτει εἰς τὴν Λιτήν. Εἰς τὸν Ὄρθρον ψάλλε τὸν δεύτερον Κανόνα ἀπὸ τῶν δύο, ἦχος πλ. δ΄. Τοῦ δὲ Ὁσίου τὴν Ἀκολουθίαν, ζήτει εἰς Ὅσιον.

Εἰς τὰς ιδ΄. Τοῦ Ἁγίου Ἀποστόλου Ἀκύλα. ζήτει εἰς Ἀπόστολον.

Εἰς τὰς ιε΄. Τῶν Ἁγίων Μαρτύρων Κηρύκου, καὶ Ἰουλίττης τῆς Μητρὸς αὐτοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Εἰς τὰς ιϛ΄. Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἀθηνογένους. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Χρὴ εἰδέναι, ὅτι μετὰ τὴν μνήμην τοῦ προειρημένου Ἁγίου, ἤτοι μετὰ τὰς ιϛ΄. τοῦ παρόντος Μηνός, τῇ πρώτῃ ἐρχομένῃ Κυριακῇ, ψάλλομεν τὴν Ἀκολουθίαν τῶν Ἁγίων Πατέρων, τῶν ἐν Νικαίᾳ τιη΄. τῶν ἐν Χαλκηδόνι χλ΄. τῶν ἐν τῇ Βασιλευούσῃ Πόλει ρν΄. τῶν ἐν Ἐφέσῳ σ΄. τῶν ἐν τῇ ε΄. Συνόδῳ ρξε΄. καὶ τῶν ἐν τῇ ϛ΄. Συνόδῳ ρο΄. Εἰ δὲ τύχῃ ἡ παροῦσα ἡμέρα, ἤγουν ἡ ιϛ΄. τοῦ παρόντος Μηνὸς ἐν Κυριακῇ, ψάλλεται ἡ παροῦσα Ἀκολουθία τῶν Ἁγίων Πατέρων ἐν αὐτῇ, τοῦ δὲ Ἁγίου ψάλλεται ἐν τοῖς Ἀποδείπνοις. Αὕτη ἡ Ἀκολουθία ἐστὶ ποίημα τοῦ ἁγιωτάτου Πατριάρχου Κωνσταντινουπόλεως Κυρίου Φιλοθέου. Ἰστέον ὅτι ἡ παροῦσα Ἀκολουθία ψάλλεται οἵα Κυριακῇ τύχῃ, ἀπὸ τῆς ιγ΄. τοῦ παρόντος Μηνός, ἕως τῆς ιθ΄. Ἑσπέρας ἡ συνήθης στιχολογία. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι΄. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου γ΄. καὶ Ἀνατολικὰ γ΄. καὶ τῶν Ἁγίων Πατέρων δ΄. ἦχος πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Σὲ τὸν ἀπερίγραπτον, καὶ ἀνερμήνευτον Λόγον, σάρκα χρηματίσαντα, δι' ἡμᾶς φιλάνθρωπε ἀνεκήρυξε, τὸ σεπτὸν σύστημα, τῶν σοφῶν Πατέρων, Θεὸν τέλειον καὶ ἄνθρωπον, διπλοῦν ταῖς φύσεσι, καὶ ταῖς ἐνεργείαις ὑπάρχοντα, διπλοῦν καὶ ταῖς θελήσεσιν, ἕνα τὸν αὐτὸν καθ' ὑπόστασιν. ὅθεν σὺν Πατρί σε, καὶ Πνεύματι γινώσκοντες Θεόν, ἕνα πιστῶς προσκυνοῦμέν σε, τούτους μακαρίζοντες.

Πύρρον τε καὶ Σέργιον, καὶ τὸν Ὀνώριον ἅμα, Εὐτυχῆ, Διόσκορον, καὶ δεινὸν Νεστόριον κατεστρέψατε, τῶν κρημνῶν ἔνδοξοι, τὸ Χριστοῦ ποίμνιον, ἑκατέρων διασώσαντες, διπλοῦν ταῖς φύσεσιν, ἕνα τὸν Χριστὸν καθ' ὑπόστασιν, λαμπρῶς ἀνακηρύξαντες, μόναις ἐνεργείαις δεικνύμενον· ὃν καὶ προσκυνοῦντες, ὡς ἄνθρωπον καὶ τέλειον Θεόν, σὺν τῷ Πατρὶ καὶ τῷ Πνεύματι, νῦν ὑμᾶς δοξάζομεν.

Ἄκτιστον ἐκήρυξαν, οἱ θεοφόροι συμφώνως, τὴν θείαν ἐνέργειαν, καὶ τὴν θείαν θέλησιν, τοῦ πτωχεύσαντος, τὸν ἐμὸν ἄνθρωπον, τῇ σαρκὶ νέμοντες, τὸ κτιστὸν τῆς ἐνεργείας τε, καὶ τῆς θελήσεως, φύσεως φυ-

γόν-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γόντες τὴν σύγχυσιν, ἐμφρόνως οἱ μακάριοι, ὑποστατικὴν τε διαίρεσιν· ὡς ἐν ἐτησίοις, τιμῶντες οἱ πιστοὶ ταῖς ἑορταῖς, Χριστὸν συμφώνως δοξάζομεν, τὸν αὐτοὺς δοξάσαντα.

Τριάδα τὴν ἄκτιστον, οἱ θεοφόροι Πατέρες, Θεὸν ἕνα Κύριον, ὁμοφρόνως σήμερον, ἀνεκήρυξαν· τὸ ἁπλοῦν ἅπασι, τῆς μιᾶς φύσεως, καταλλήλως ὑποδείξαντες, κοινῷ θελήματι, καὶ τῆς ἐνεργείας ἁπλότητι· ἄναρχον ἀτελεύτητον, τοῦτον διὰ πάντων γνωρίσαντες. ὅθεν ἀνυμνοῦμεν, αὐτοὺς ὡς Ἀποστόλων μιμητὰς, καὶ τὸ ἐκείνων διδάξαντας, πάντας Εὐαγγέλιον.

Δόξα, ἦχος πλ. β΄.

Τὰς μυστικὰς σήμερον, τοῦ Πνεύματος σάλπιγγας, τοὺς Θεοφόρους Πατέρας ἀνευφημήσωμεν, τοὺς μελῳδήσαντας ἐν μέσῳ τῆς Ἐκκλησίας, μέλος ἐναρμόνιον θεολογίας. Τριάδα μίαν ἀπαράλλακτον, οὐσίαν τε καὶ θεότητα, τοὺς καθαιρέτας τῆς πλάνης, καὶ ὀρθοδόξων προμάχους, τοὺς πρεσβεύοντας πάντοτε Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ α΄. τοῦ ἤχου. Εἴσοδος, Φῶς ἱλαρὸν, τὸ, Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα· ζήτει Κυριακῇ πρὸ τῆς Χριστοῦ Γεννήσεως. εἰς φύλλ. 184.

Εἰς τὸν στ. στ. τῆς Ὀκτωήχου, τὰ κατ' Ἀλφάβητον.

Δόξα, ἦχος γ΄.

Ἀποστολικῶν παραδόσεων, ἀκριβεῖς φύλακες γεγόνατε ἅγιοι Πατέρες· τῆς γὰρ ἁγίας Τριάδος τὸ ὁμοούσιον, ὀρθοδόξως δογματίσαντες, Ἀρείου τὸ βλάσφημον συνοδικῶς κατεβάλετε. μεθ' ὃν καὶ Μακεδόνιον Πνευματομάχον ἀπελέγξαντες, κατεκρίνατε Νεστόριον, Εὐτυχέα καὶ Διόσκορον. Σαβέλλιόν τε, καὶ Σεβῆρον τὸν ἀκέφαλον. ὧν τῆς πλάνης αἰτήσασθε, ῥυσθέντας ἡμᾶς, ἀκηλίδωτον ἡμῶν τὸν βίον, ἐν τῇ πίστει φυλάττεσθαι δεόμεθα.

Καὶ νῦν. Ἀπορῶς ἐκ θείου Πνεύματος.

Τροπάριον τὸ Ἀναστάσιμον, καὶ τῶν Πατέρων, ἦχος πλ. δ΄.

Ὑπερδεδοξασμένος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ φωστῆρας ἐπὶ γῆς, τοὺς Πατέρας ἡμῶν θεμελιώσας. καὶ δι' αὐτῶν πρὸς τὴν ἀληθινὴν πίστιν, πάντας ἡμᾶς ὁδηγήσας, πολυεύσπλαγχνε δόξα σοι.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. καὶ οἱ Κανόνες, ὁ Ἀναστάσιμος εἰς δ΄. τῆς Θεοτόκου εἰς β΄. καὶ τῶν Ἁγίων Πατέρων εἰς η΄.

Ὁ Κανὼν, οὗ ἡ ἀκροστιχίς.

Πλάνης ἀνυμνῶ δεξιοὺς καθαιρέτας.

Ἐν δὲ τοῖς Θεοτοκίοις. Φιλόθεος.

Ὠδὴ α΄. ἦχος α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Πλάνης καθαιρέτας δεξιοὺς, νῦν ἀνυμνῆσαι προθέμενος Δέσποτα, χάριν τὴν σὴν ἄνωθεν, τὴν πανσθενῆ καλῶ καὶ τὴν ἐνέργειαν. δεξιὰ γὰρ ὄντως, σὺ τοῦ Πατρός τε καὶ δύναμις.

Λόγοις Προφητῶν τῶν ἱερῶν, Εὐαγγελίων τε νόμοις ἑπόμενοι, τοῦ Θεοῦ τὸ ἄγνωστον, καὶ τὸ γνωστὸν σαφῶς ἡμᾶς ἐδίδαξαν, οἱ σοφοὶ Πατέρες, τῆς πλάνης πάντας ῥυσάμενοι.

Ἄνωθεν χορὸς Προφητικὸς, καὶ Ἀποστόλων ὁ θεῖος κατάλογος, ἕνα τρισυπόστατον, Θεὸν τρανῶς καὶ πανσθενῆ ἐδίδαξαν· ὃν σεπτοὶ Πατέρες, ἡμῖν σαφῶς ἐξεκάλυψαν.

Ὁμοίως καταρχοῦντες θεϊκοῖς, οἱ θεοφόροι Πατέρες ἐδίδαξαν, κατ' οὐσίαν ἄγνωστον, τὸν ποιητὴν ἁπάντων χρηματίζοντα, ἐνεργείαις μόναις, καλῶς νοεῖσθαι τοῖς βλέπουσι.

Θεοτοκίον.

Ὡς τὸ τριλαμπὲς θεουργικῶς, ἐν τῇ γαστρί σου χωρήσασα Δέσποινα· τὰς καρδίας φώτισον, ὡς ἀγαθὴ τῶν εὐσεβῶς ὑμνούντων σε. φῶς γὰρ σὺ καὶ δόξα, καὶ σωτηρία αἰώνιος.

Καταβασία. Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ΄. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Ἡ πρώτη πηγὴ τῶν ἀγαθῶν, ἡ χάρις ἡ τοῦ Πνεύματος, ὡς ποταμοὺς ὑμᾶς ἀνεστόμωσε, τὴν πλάνην εὔδοξοι κατασύροντας, καὶ πιστοὺς ποτίζοντας, εὐσεβείας νάματα, Προφητῶν Ἀποστόλων τὸ κήρυγμα.

Σέργιον καὶ Πύῤῥον τοὺς δεινοὺς, προστάτας τῆς αἱρέσεως, Παῦλον καὶ Πέτρον καὶ τὸν Θεόδωρον, γενναίως ἅμα σοφοὶ καθέλετε, τὴν σεπτὴν στηρίξαντες, Ἐκκλησίαν εὔδοξοι, Ἀποστόλων Πατέρων τοῖς δόγμασιν.

Ἄναρχον Θεότητος τρανῶς, ἐνέργειαν συνάναρχον, οἱ θεοφόροι ἀνακηρύξαντες, κτιστὴν ἐδίδαξαν τὴν ἐνέργειαν. τοῦ κτιστοῦ προσλήμματος, ἐν διπλόῃ φύσεων, Υἱὸν ἕνα Χριστὸν καταγγείλαντες.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοτοκίον.

Ἰδεῖν οἱ ποθοῦντες τὰς αὐγὰς, τῆς χάριτος τοῦ Πνεύματος, καὶ τὴν ἀνέσπερον θείαν ἔλλαμψιν· πηγῇ προσδράμωμεν τῇ τῆς χάριτος, τῇ Μητρὶ τοῦ κτίσαντος· ἐν αὐτῇ γὰρ ἅπαντα, τοῖς πιστοῖς χορηγεῖται τὰ βέλτιστα.

Κάθισμα. Ἦχος δ. Ταχὺ προκατάλαβε.

Φωστῆρες ὑπέρλαμπροι, τῆς ἀληθείας Χριστοῦ, τῷ Κόσμῳ ἐδείχθητε, ἐπὶ τῆς γῆς ἀληθῶς, Πατέρες μακάριοι· πέξαντες τὰς αἱρέσεις, τῶν δυσφήμων γλωσσαλγῶν, σβέσαντες τὰς φλογώδεις, τῶν βλασφήμων συγχύσεις. διὸ ὡς Ἱεράρχαι Χριστοῦ, πρεσβεύσατε σωθῆναι ἡμᾶς. Θεῖον. Ὅμοιον.

Ταχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν· καὶ ταύτας προσάγαγε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία πανάμωμε. λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων, πράϋνον μηχανάς τε, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέως Ἄχραντε κατὰ τῶν δούλων σου.

Ὠδὴ δ. Ὄρος σε τῇ χάριτι.

Νόμους τοὺς τοῦ Πνεύματος, μελέτην ποιούμενοι, τοὺς Πατρικοὺς νόμους σοφοὶ, καταπεμφθέντας πρὸς ὑμᾶς, ἐκ Ῥώμης ἐδέξασθε· καὶ ἀναπτύξαντες φωτὶ τῷ τοῦ Πνεύματος, τὴν Ἐκκλησίαν καλῶς ἐστηρίξατε.

Ὕμνοις καταστέψωμεν τὴν θείαν ὁμήγυριν, τῶν Θεοφόρων οἱ πιστοί. τὸν σαρκωθέντα Λόγον γὰρ, Θεόν τε καὶ ἄνθρωπον, ταῖς ἐνεργείαις ἅμα καὶ τοῖς θελήμασι, τοῖς καταλλήλοις ἡμῖν ἀνεκήρυξαν.

Μέγιστα φυσώμενον Ὁνώριον πάνσοφοι, ἐπὶ τῷ θρόνῳ καὶ ἀρχῇ, Ῥώμης τοῦ τῆς παλαιᾶς, καλῶς κατεστρέψατε· καὶ μετὰ τέλος τοῦτον ἀποκηρύξαντες, ὡς τῆς ἀρχῆς καὶ τοῦ θρόνου ἀνάξιον. Θεοτοκίον.

Λόγον ἐνυπόστατον Παρθένε γεννήσασα, Θεοῦ καὶ φῶς ἀληθινὸν, τοὺς ὀφθαλμούς μου τῆς ψυχῆς, διάνοιξον δέομαι, καὶ τῆς ἐκεῖθεν αἴγλης μέτοχον ποίησον. σὺ γὰρ μεσίτης αὐτοῦ τε καὶ πρύτανις.

Ὠδὴ ε. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Νομοθέτας Θεοφόροι Χριστὸς ὑμᾶς ἔδειξεν, ὁδηγοῦντας εἰς Μωσῆς Ἰσραὴλ νέον ἄριστα, Φαραὼ τὸν ἔχθιστον, βυθῷ δεινῷ τῆς ἀπωλείας, ὥσπερ ἐκεῖνος ποντίσαντας.

Ὡς καλλίστη καὶ λαμπρὰ τῶν Πατέρων ἡ σύνοδος· τὸν ἁπλοῦν γὰρ Ἰησοῦν ἐκμαθοῦσα καὶ σύνθετον, ὡς Θεὸν καὶ ἄνθρωπον, διπλᾶς αὐτοῦ τὰς ἐνεργείας, πᾶσι κηρύττει τοῖς πέρασι.

Δῶρον θεῖον τὰς ἐκ Ῥώμης, γραφὰς λογισάμενοι, ἐπ' ἐκείναις δυσσεβείας τὸν πύργον ἐστήριξαν, οἱ σοφοὶ διδάσκαλοι. διττὰς Χριστοῦ τὰς ἐνεργείας, ὡς καὶ τὰς φύσεις κηρύξαντες.

Ἐξηλέγχθη Παῦλος Πέτρος ὁμοῦ καὶ Θεόδωρος, σὺν τῷ Πύρρῳ καὶ Σεργίῳ Ὁνώριος· σύγχυσιν τῶν Χριστοῦ φύσεων, τῆς ἐνεργείας τῇ συγχύσει, κατασκεδάζοντες αἴσχιστα. Θεοτοκίον.

Θεία Κόρη φωτισμὸς σὺ ὑπάρχεις καὶ ἔλλαμψις, τοῦ ἀδύτου φωτισμοῦ χρηματίσασα τέμενος. διὰ τοῦτο δέομαι, φωτὶ τῷ σῷ Θεογεννήτωρ, ψυχῆς τὰς κόρας μου φώτισον.

Ὠδὴ ς. Σπλάγχνων Ἰωνᾶν.

Ξένον καὶ καινὴν, σύγχυσιν τῶν φύσεων, Χριστοῦ τὸ δεινὸν ὄντως συνέδριον, ἐξηρεύξατο, τὰς διττὰς ἐνεργείας συγχέαντες, εἰς ἐνέργειαν τὴν μίαν καὶ ἀλλόκοτον. ἥνπερ ὀρθοδόξων πλήρωμα, ἱερῶν περιβόλων ἀπήλασεν.

Ἵνα τὸν δεινὸν, ἐκφύγῃ Νεστόριον, δυάδα Υἱῶν κακῶς εἰσάγοντα, τὸ συνέδριον τὸ τῆς πλάνης ἐκ βόθρου εἰς βάραθρον, ἐξωλίσθησε θελήσεσι τῶν φύσεων, μάτην δογματίζων σύγχυσιν· ἀλλὰ θείοις Πατράσι διήλεγκται.

Ὅνπερ τῷ Πατρὶ, Υἱὸν ὁμοούσιον, Πατέρες τὸ πρὶν τρανῶς ἐκήρυξαν, σὺν τῷ Πνεύματι, διδασκάλων ἐνθέων ὁ σύλλογος, ἐνεργείαις θεϊκαῖς πάντως ἐδίδαξαν, μίαν φυσικὴν γνωρίσαντες, τὴν ἐνέργειαν ἅμα καὶ θέλησιν.

Ὑποστατικὴν φρονοῦντες τὴν θέλησιν, ἀσῆγον κακῶς σὺν ταῖς θελήσεσι, καὶ τὰ πρόσωπα, τῶν θελόντων τῆς μάχης οἱ πρόμαχοι. ὥσπερ κάλλιστα Πατέρες ἐξελέγξαντες, φύσει συμφυῆ διδάσκουσι τὴν κατάλληλον ταύτης ἐνέργειαν. Θεοτοκίον.

Θύρα θεϊκῆς, ἀκτῖνος σὺ Δέσποινα πηγή τε φωτὸς, ἀδύτου γέγονας. τὸ γὰρ πλήρωμα, τῆς Θεότητος ἅπαν ἐσκήνωσεν, ἀπορρήτως ἐν τῇ μήτρᾳ σου πανάμωμε· ὥσπερ φυσικὴν ἐνέργειαν, καὶ τὴν αἴγλην βραβεύεις τοῖς χρήζουσι.

Κοντάκιον, ἦχος πλ.

Τῶν Ἀποστόλων τὸ κήρυγμα, καὶ τῶν Πατέρων τὰ δόγματα, ἡ Ἐκκλησία μίαν

τὴν Πίστιν ἐκράτυνεν. ἡ καὶ χιτῶνα φοροῦσα τῆς ἀληθείας, τὸν ὑφαντὸν ἐκ τῆς ἄνω Θεολογίας, ὀρθοτομεῖ καὶ δοξάζει, τῆς εὐσεβείας τὸ μέγα Μυστήριον.

Ὁ Οἶκος.

Ἐν ὑψηλῷ κηρύγματι τῆς τοῦ Θεοῦ Ἐκκλησίας, ἀκούσωμεν βοώσης· ὁ διψῶν, ἐρχέσθω πρός με, καὶ πινέτω. ὁ κρατὴρ ὃν φέρω, κρατήρ ἐστι τῆς σοφίας. τοῦτο τὸ πόμα ἀληθείας λόγῳ κεκέρακα, ὕδωρ οὐ προχέων ἀντιλογίας, ἀλλ' ὁμολογίας. ἧς πίνων ὁ νῦν Ἰσραὴλ, Θεὸν ὁρᾷ φθεγγόμενον· ἴδετε, ἴδετε, ὅτι αὐτὸς ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι. ἐγὼ Θεὸς πρῶτος, ἐγὼ καὶ μετὰ ταῦτα, καὶ πλήν μου ἄλλος οὐκ ἔστιν ὅλως. ἐντεῦθεν οἱ μετέχοντες πλησθήσονται, καὶ αἰνέσουσι τῆς εὐσεβείας τὸ μέγα Μυστήριον.

Τὸ Συναξάριον τῆς ἡμέρας. Εἶτα.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμην ἐπιτελοῦμεν τῶν Ἑξακοσίων Τριάκοντα Ἁγίων Πατέρων τῶν ἐν Χαλκηδόνι, τῆς Ἁγίας καὶ Οἰκουμενικῆς τετάρτης Συνόδου.

Στίχ. Φωστήρων ὁμήγυρις ἐκλελεγμένη,
Ἀκτινοβολῶς φωτίσατέ μου φρένας.

Αὕτη ἡ ἁγία καὶ οἰκουμενικὴ Σύνοδος, ἐπὶ Μαρκιανοῦ γέγονε καὶ Πουλχερίας τῶν εὐσεβῶν Βασιλέων· τῇ χάριτι τοῦ ἁγίου Πνεύματος συνελθόντων τῶν ἁγίων Πατέρων ἐν τῷ περιωνύμῳ Ναῷ τῆς ἁγίας Εὐφημίας, καὶ βεβαιωσάντων τὸ ἅγιον Σύμβολον, τῶν τριακοσίων δέκα καὶ ὀκτὼ Ἁγίων Πατέρων, τῶν κατὰ τὴν Νικαέων Μητρόπολιν συνελθόντων· ὅπερ καὶ αἱ λοιπαὶ ἅγιαι Σύνοδοι ἐκύρωσάν τε, καὶ ἐπεσφράγισαν. Θεοδοσίου γὰρ Υἱοῦ Ἀρκαδίου τὰ σκῆπτρα ἰθύνοντος, γέγονέ τι τοιοῦτον τεράστιον. Εὐτύχιός τις Μοναχὸς καὶ Πρεσβύτερος, ἀρχηγὸς αἱρέσεως κατέστη, λέγων, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, μιᾶς φύσεως εἶναι, καὶ μιᾶς ἐνεργείας. Ὃς καὶ καθαιρεῖται ὑπὸ Φλαβιανοῦ τοῦ τῆς Κωνσταντινουπόλεως Προέδρου, καὶ τῶν λοιπῶν ὀρθοδόξων. Ὁ δὲ Εὐτύχιος χρησάμενος βοηθοῖς τοῖς τοῦ Βασιλέως ἀθέοις Εὐνούχοις, οὐκ ἐπαύσατο στασιάζειν, καὶ ἐνέδρας ποιεῖν, μέχρις οὗ ὁ Θεοδόσιος τῶν τῇδε μετέστη. Ἐπεὶ δὲ τὴν Βασιλείαν ἐδέξατο ὁ Μαρκιανὸς, κελεύει γενέσθαι Σύνοδον Οἰκουμενικήν· Ὅθεν συνήχθησαν τὸν ἀριθμὸν, Ἐπίσκοποι ἑξακόσιοι τριάκοντα. Ἀμφότεροι δὲ κατασκευάσαντες Τόμους δύο, τῶν τε ὀρθοδόξων, καὶ ἑτεροδόξων, καὶ διανοίξαντες τὴν λάρνακα τῆς πανευφήμου Μάρτυρος Εὐφημίας, ἐπὶ τοῦ ταύτης στήθους σφραγίσαντες ἔθηκαν. Καὶ μετὰ ῥητὰς ἡμέρας, εὐξάμενοι, καὶ ὑπανοίξαντες, εἶδον καὶ ἐξέστησαν. Ἐθεάσαντο γὰρ, τὸν μὲν τῶν αἱρετικῶν τόμον, ὑπὸ τοὺς πόδας τῆς Ἁγίας ἐῤῥιμμένον· τὸν δὲ τῶν Ὀρθοδόξων, ταῖς τιμίαις χερσὶν αὐτῆς κατεχόμενον. Τούτου δὲ γενομένου, ἐξέστησαν ἅπαντες, ἰδόντες τὸ τοιοῦτον θαῦμα. Καὶ ἐπὶ πλεῖον στηριχθέντες τῇ πίστει, ἐδόξασαν τὸν Θεὸν, τὸν ποιοῦντα καθ' ἑκάστην παράδοξα, καὶ ἐξαίσια πράγματα, πρὸς ἐπιστροφὴν τῶν πολλῶν καὶ ὠφέλειαν. Τελεῖται δὲ ἡ τοιαύτη σύναξις ἐν τῇ ἁγιωτάτῃ μεγάλῃ Ἐκκλησίᾳ.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε.

Σὲ τὸν Υἱὸν, τοῦ Θεοῦ καὶ ἄνθρωπον, κατανοήσαντες χοροὶ, Θεολόγων Δέσποτα πρὶν Κόσμῳ σὲ ἐκήρυξαν, διπλοῦν ταῖς θελήσεσι, καὶ ἐνεργείαις φιλάνθρωπε· σοῦ τὸ διπλοῦν ἑκατέρων, τῶν φύσεων πιστούμενοι.

Κόσμος λαμπρὸς, Ἐκκλησίας ὤφθητε· τῶν Ἀποστόλων γὰρ καλῶς, ἐκδεξάμενοι τὰ θεσμὰ, πάντας ἐδιδάξατε, λόγον τὸν τῆς πίστεως, Τριαδικὸν ἕνα Κύριον, δημιουργὸν, ἐνεργῆ, θελητικὸν παντοδύναμον.

Ἄκτιστον φῶς, καὶ ζωὴν ἀθάνατον, κατανοήσαντες Θεὸν, ὑπὲρ ταῦτα τοῦτον καλῶς, πᾶσιν ἐκηρύξατε, φύσεως κατώτερα, τὰ φυσικὰ ἰδιώματα, τὰ συμφυῆ ἐγνωκότες ὁμοῦ, καὶ ἀδιαίρετα.

Θείου φωτὸς, ἀστραπὰς ἐξέπεμψεν, ὑμᾶς εἰς Κόσμον ὁ Χριστὸς, τοὺς τῆς πλάνης δημιουργοὺς, ἄρδην καταφλέγοντας· πᾶσαν δὲ φωτίζοντας, τὴν Ἐκκλησίαν μακάριοι. τὸν αἰνετὸν ἀνυμνοῦντας, Θεὸν καὶ παντοδύναμον.

Θεοτοκίον.

Ἔλαμψε φῶς, ὁ Χριστὸς ἀνέσπερον, ἐκ σῆς νηδύος προελθὼν, καὶ τὸν Κόσμον ἔσωσε πρὶν, ὁ ὑπερυψούμενος· ὅνπερ καθικέτευε, Θεογεννῆτορ φωτίσαι μου, τῆς σκοτισθείσης καρδίας, τὰ νοούμενα ὄμματα.

Ὠδὴ η'. Ἐν καμίνῳ Παῖδες.

Ἀποστόλων τε καὶ Προφητῶν, ὡς ἐξορμητήριον, Πατέρες κεκινημένοι, τῆς ἐνθέου διδαχῆς, ἐκήρυξαν λέγοντες· εἷς ὑπάρ-

χει Κύριος, πάντων Χριστὸς ἐν ὑποστάσει, διπλοῦς τὰς φύσεις ὁμοῦ καὶ ἐνεργείας.

Ἵνα πλάνην πᾶσαν ἀναιδῆ, καλῶς καὶ βλασφημίαν, Πατέρες τῆς Ἐκκλησίας, ἐξορίσωσιν ὁμοῦ, ἐνέργειαν θέλησιν οὐσιώδη, ἄκτιστον φέρειν τὸν Κύριον ἀνεῖπον, τὴν κτιστὴν δὲ πάλιν, ὡς ἄνθρωπον καὶ κτίστην.

Ῥῆμα θεῖον ἔχοντες ἐν χερσί, Πατέρες ὥσπερ ξίφος, ἐχθροὺς τοὺς τῆς ἀσεβείας, κατεφλέξατε καλῶς· ἐνέργειαν θέλησιν τοῦ Σωτῆρος, πάντοτε τούτου τὰ φυσικὰ προσφόρως, διπλᾶ προσειπόντες, καθάπερ καὶ τὰς φύσεις. Θεοτοκίον.

Ὅλη Κόρη ὅλη εἶ καλή, ὅλη φωτοειδής τε, φωσφόρος καὶ θεοφόρος, ὅλη μόνη καὶ λαμπρά. διὸ μου τὰ ὄμματα τῆς καρδίας, φώτισον, πνέοντος Δέσποινα τὴν δόξαν σου, καὶ τετρωμένου τῷ πρὸς ἐκείνην πόθῳ.

Ὠδὴ θ΄. Τύπον τῆς Ἁγνῆς.

Ἔχοντες Χριστὸν μακάριοι, ἐν ἑαυτοῖς τὰ θεῖα πάλαι λαλήσαντα. καὶ νῦν καθαρῶς τῷ καθαρῷ συναπτόμενοι, τὴν αὐτοῦ Ἐκκλησίαν στηρίξατε· ἣν πόνοις καὶ ἱδρῶσι, μεγίστοις ὄντως συνεστήσατε.

Τύπος καὶ κανὼν γεγόνατε, τῇ Ἐκκλησίᾳ πάσῃ Θεοῦ τρισόλβιοι, σάρκωσιν Χριστοῦ, θεολογίαν διδάξαντες, τῆς ἀκτίστου μιᾶς τε Θεότητος, τὴν νῦν τε γλωσσαλγίαν, προφητικῶς ἀποκρουσάμενοι.

Ἅπαν δυσσεβείας πρόβλημα, προφητικῶς Πατέρες καλῶς ἐλύσατε· τὴν διαφορὰν τῆς ἐνεργείας διδάξαντες, φυσικὴν ἀδιαίρετον ἄκτιστον, ἀξίως προσειπόντες, καὶ παντουργὸν καὶ παντοδύναμον.

Στόμα τοῦ Θεοῦ γενόμενοι, ταῖς ἐνεργείαις μόναις καὶ ταῖς ἐκλάμψεσι, μεθεκτὸν αὐτὸν ὡς ἀγαθὸν ἐκηρύξατε, τὸν τῇ φύσει ἀπρόσιτον Ἅγιοι· ὅθεν ὑμᾶς ἀξίως, ὡς εὐεργέτας μακαρίζομεν. Θεοτοκίον.

Ὕμνοι τῆς ᾠδῆς πανύμνητε, καὶ κορωνὶς χρυσῆ, καὶ θεῖον συμπέρασμα, ἥνπερ τῆς φυγῆς ἐπανελθὼν νῦν ἀνέθηκα, τῷ Υἱῷ σου σεμνὴ χαριστήριον, τὸν ὕμνον σοι συνάγειν, ὡς τῶν καλῶν αἰτία Πάναγνε.

Ἐξαποστειλ. τὸ Ἀναστάσιμον. εἶθ' οὕτω τῶν Ἁγίων Πατέρων. Γυναῖκες ἀκουτίσθητε.

Πατέρων θείων σήμερον, τὴν μνήμην ἑορτάζοντες, ταῖς παρακλήσεσι τούτων, δεόμεθα πανοικτίρμων, πάσης βλάβης αἱρέσεων, ῥῦσαι λαόν σου Κύριε, καὶ πάντας καταξίωσον, Πατέρα, Λόγον δοξάζειν, καὶ τὸ Παναγιον Πνεῦμα.

Τὴν λοιπὴν Ἀκολουθίαν, ζήτει Ὀκτωβρίῳ ιά. εἰς φύλλ. 67.

Μηνὶ τῷ αὐτῷ ΙΖ΄. Τῆς Ἁγίας Μεγαλομάρτυρος Μαρίνης.

Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν γ΄. προσόμοια, ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, τὴν ἐπηρμένην ὀφρύν, τοῦ τὴν γῆν καὶ τὴν θάλασσαν, ἐξαλείφειν φάσκοντος, πρὸς τὴν γῆν ἐταπείνωσεν, ἁπαλὴ κόρη καὶ παναμώμητος, τὰς πανουργίας αὐτοῦ νικήσασα. ὢ τῆς δυνάμεως, τοῦ Σταυροῦ καὶ χάριτος· ἥτις ἡμῶν, πᾶσαν ὑπεστήριξε, σαφῶς ἀσθένειαν.

Μάρτυς Μαρίνα πανένδοξε, τὰς οὐρανίους μονάς, ἐπαξίως οἰκήσασα, σὺν παρθένων τάγμασι, καὶ Μαρτύρων στρατεύμασι, τοὺς ἐκτελοῦντας πίστει τὴν μνήμην σου, καὶ προσιόντας πιστῶς τῇ σκέπῃ σου· σῷζε πρεσβείαις σου, καὶ πταισμάτων ἄφεσιν παρὰ Θεοῦ, αἴτησαι καὶ λύτρωσιν, καὶ μέγα ἔλεος.

Μάρτυς Μαρίνα πανεύφημε, οὔτε βασάνων τὸ πῦρ, οὐ τρυφῆς ἡ ἀπόλαυσις, οὐ τοῦ Κόσμου χάριτες, οὐ τερπνότης νεότητος, τῆς πρὸς Χριστόν, ἀγάπης ἐχώρισεν, ἐφιεμένην τῆς ὡραιότητος, τῆς ὑπὲρ ἔννοιαν, τοῦ σεπτοῦ Νυμφίου σου ἐπιτυχεῖν· ἧσπερ κατηξίωσαι θεομακάριστε. Δόξα, ἦχος β΄.

Ἐν φωνῇ ἀγαλλιάσεως, καὶ ἐν ψαλμοῖς ἀλαλαγμοῦ, ἀνυμνήσωμεν Μαρίναν τὴν Μάρτυρα· ὅτι καθεῖλεν ἐπὶ γῆς, τῶν εἰδώλων τὴν πλάνην· καὶ τὸν ἀντίπαλον ἐχθρόν, ἀνδρείως ἐν τοῖς ποσὶν αὐτῆς καθεῖλε. διὸ καὶ τελειωθεῖσα, εἰς Οὐρανοὺς ἀνίπταται, τὴν χαρὰν στεφηφοροῦσα καὶ ἀνακράζουσα. σὲ Νυμφίε μου ποθῶ, καὶ τὸ τοῦ πόθου φίλτρον ἔχουσα, ὑπὲρ σοῦ τὰς σάρκας μου τῷ πυρὶ παρέδωκα. κατασκήνωσον οὖν εἰς τὰς αἰωνίους σου μονάς, ἔνθα ἐστὶ τῶν εὐφραινομένων ἡ κατοικία.

Καὶ νῦν, Θεοτοκίον. Εἰς τὴν Λιτήν, στιχηρὰ ἰδιόμελα, ἦχος α΄.

Ὡς ἐν πέτρᾳ στερρᾷ τῆς ὁμολογίας Χριστοῦ, προσερεισθεῖσα Μαρίνα πανεύφη-

με,

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας
Anemi Digital Library

με, τὸν παλαμναῖον ἐχθρὸν εἰς χάος ἐβύθισας, καὶ στέφος τὸ τῆς νίκης, ἐπαξίως ἀπείληφας. Ὁ αὐτός.

Μετὰ τῶν ἄνω ταγμάτων, συνηριθμήθης ἔνδοξε, Κόσμον λιποῦσα, καὶ τὸν Χριστὸν ποθήσασα, Μαρίνα πάνσεμνε, αἰτοῦσα ἡμῖν τὸ μέγα ἔλεος. Ἦχος β'.

Ὡς ἀλάβαστρον μύρου, τὸ αἷμά σου προσενήνοχας, τῷ σῷ Νυμφίῳ Χριστῷ. Μαρίνα μάρτυς ἀθλοφόρε ἀήττητε, ἀντάμειψιν δὲ εἴληφας, στέφος ἄφθαρτον παρ' αὐτοῦ ἀξιάγαστε. ὅθεν καὶ τὸν ἀρχέκακον ἐχθρὸν, ὡραίοις σου ποσὶ κατεπάτησας, τῇ ἐπικλήσει τοῦ σωτηρίου ὀνόματος τοῦ Σωτῆρος Χριστοῦ. διὸ καὶ οὐρανίων θαλάμων ἠξιώθης, ὡς Παρθένος καὶ Μάρτυς Χριστοῦ πολύαθλε. Ἦχος δ'.

Δοξάζομέν σου Χριστὲ, τὴν πολλὴν εὐσπλαγχνίαν καὶ τὴν ἀγαθότητα, τὴν εἰς ἡμᾶς γενομένην· ὅτι καὶ γυναῖκες κατήργησαν, τὴν πλάνην τῆς εἰδωλομανίας, δυνάμει τοῦ Σταυροῦ σου φιλάνθρωπε· Τύραννον οὐκ ἐπτοήθησαν. τὸν δόλιον κατεπάτησαν. ἴσχυσαν δὲ ὀπίσω σου ἐλθεῖν, εἰς ὀσμὴν μύρου σου ἔδραμον, πρεσβεύουσαι ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Δόξα, ἦχος πλ. α'.

Ἡ παρθενικῇ σου θελχθεὶς ὡραιότητι, ὁ Βασιλεὺς τῆς δόξης Χριστὸς, ὡς ἀμώμητον Νύμφην, ἑαυτῷ σε ἡρμόσατο, ἀκηράτῳ συναφείᾳ. ἐν γὰρ τῷ θελήματι αὐτοῦ, παρασχόμενος τῷ κάλλει σου δύναμιν, κατ' ἐχθρῶν τε καὶ παθῶν ἀήττητον ἔδειξεν, ἐγκαρτερήσασαν αἰκίαις πικραῖς, καὶ βασάνοις δριμυτάταις, διπλῷ στέφει διοσῶς σε κατέστεψε, παρέστησεν ἐκ δεξιῶν αὐτοῦ, ὡς βασίλισσαν πεποικιλμένην, αὐτὸν δυσώπησον, Παρθενομάρτυς Μαρίνα πανεύφημε, τοῖς ὑμνηταῖς σου δοθῆναι σωτηρίαν, καὶ ζωὴν καὶ μέγα ἔλεος. Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ καταχρέως, τὴν Πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στ. Στ. προσόμοια, ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε φιλομάρτυρες πιστῶς, τὴν ὑπὲρ τοῦ πάντων δεσπότου στεῤῥῶς ἀθλήσασαν, Μάρτυρα τιμήσωμεν, Μαρίναν Νύμφην Χριστοῦ. παρθενίας χιτῶνα γὰρ, τὸ σῶμα κοσμοῦσα, χρύσεον ὡς ὕφασμα, τούτῳ ἐπέθηκεν, αἷμα τοῦ σεπτοῦ Μαρτυρίου, καὶ διπλοῖς κοσμεῖται στεφάνοις, καὶ τῷ στεφανίτῃ νῦν παρίσταται. Στ. Θαυμαστὸς ὁ Θεός.

Μέγα τὸ κατόρθωμα τὸ σὸν, μέγα καὶ παράδοξον ὄντως, σοῦ τὸ ἐκνίκημα. φύσις γὰρ ἀπτόητος, καὶ ἀπτάνωτος, τὸν ἀόρατον δράκοντα, τὸ ὄρος τὸ μέγα, νοῦν τὸν πολυμήχανον, Μαρίνα σὺ ἀληθῶς, εἷλες, ἀτελὲς ὡς στρουθίον, καὶ καταπατοῦσα χορεύεις. νῦν μετ' Ἀγγέλων ἀξιάγαστε.

Στ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Λόγῳ τοῦ φανέντος ἐπὶ γῆς, Νύμφη ἐκλεκτὴ ἀνεδείχθης, Μαρίνα σὺ ἀληθῶς, κάλλει διαλάμπουσα, ἐνθέων πράξεων, καὶ μαραίνουσα χάριτι, φυτὰ ἀθεΐας. ὅθεν τὴν πανίερον, μνήμην σου σέβομεν, πόθῳ, καὶ λειψάνων τὴν θήκην, νῦν περιπτυσσόμεθα χαίρειν, ἐξ αὐτῆς ἰάσεων λαμβάνοντες. Δόξα, ἦχος πλ. β'.

Ἐκ δεξιῶν τοῦ Σωτῆρος, παρέστη ἡ Παρθένος καὶ ἀθλοφόρος καὶ Μάρτυς, περιβεβλημένη, ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμένη ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως. καὶ βοῶσα πρὸς αὐτὸν ἐν ἀγαλλιάσει, τὴν λαμπάδα κατέχουσα· εἰς ὀσμὴν μύρου σου ἔδραμον, Χριστὲ ὁ Θεὸς, ὅτι τέτρωμαι τῆς σῆς ἀγάπης ἐγώ. μὴ χωρίσῃς με Νυμφίε ἐπουράνιε. αὐτῆς ταῖς ἱκεσίαις, κατάπεμψον ἡμῖν, παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου. Καὶ νῦν. Θεοτοκίον. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Ἀπολυτίκιον, ἦχος δ'.

Ἡ Ἀμνάς σου Ἰησοῦ κράζει μεγάλῃ.

Εἰς τὸν Ὄρθρον, Κανόνες τῆς Θεοτόκου, ὁ βουλ. ἀδ' ἐκ τῆς Ὀκτωήχου, καὶ τῆς ἁγίας, οὗ ἡ ἀκροστιχίς. Χριστοῦ Παρθενομάρτυρα Νύμφην ᾄσμασι μέλπω.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Χορεύουσα Μάρτυς περὶ Θεὸν, καὶ τῶν λαμπηδόνων, πληρουμένη τῶν παρ' αὐτοῦ, αἴγλην μοι παράσχου φωτοφόρον, ταῖς σαῖς πρεσβείαις Καλλιπάρθενε.

Ῥεόντων τὸ ἄστατον καὶ φθαρτὸν, σοφῇ διανοίᾳ, κεχρημένη Μάρτυς Χριστοῦ, παρεῖδες ἐμφρόνως, καὶ δικαίως, κατηξιώθης τῆς ἄνω λαμπρότητος.

Ἱκέτης προσέρχομαί σοι σεμνή, ταῖς σαῖς ἱκεσίαις, τῶν τοῦ βίου με δυσχερῶν, διάσωσον Μάρτυς ἀθληφόρε, καὶ τῶν παθῶν μου κατεύνασον τάραχον.

Σοφίᾳ καὶ χάριτι λαμπρυνθεὶς, ὁ νοῦς σου Μαρίνα, τῶν Τυράννων τὰς ἀπειλὰς, οὐκ ἔπτηξε Μάρτυς τοῦ Σωτῆρος, θείᾳ δυνάμει κρατυνόμενος. Θεοτ.

Ἣν τρίβον ὑπέδειξας τῆς ζωῆς, ζωὴν οὐσιώδη, συλλαβοῦσα καὶ σαρκικῶς, κυήσασα ταύτην Θεομήτωρ· καὶ τὰ δεσμὰ τοῦ θανάτου διέρρηξας.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς ὁ Κύριος.

Οὐ πῦρ οὐδὲ μάστιγες, οὐδὲ ξίφους ἀκμὴ, οὐ Τυράννων ὠμότητες, οὐδὲ θάνατος, οὐ θηρῶν ἀγριότης, τῆς θείας ἐχώρισεν, ἀγάπης σε Πανόλβιε.

Ὑπῆρξας ἄσειστος καὶ ἀσάλευτος, ἐν καιρῷ πειρασάσεως, πύργος πανένδοξε, εὐσεβείας κρηπῖδα θεμένη τῆς Πίστεως, ἐν πέτρᾳ Παμμακάριστε.

Παρθένος ἐν Μάρτυσιν ἐσχηματίσας, ἐν Παρθένοις ἀήττητος Μάρτυς γεγένησαι, τῷ Χριστῷ νυμφευθεῖσα, διπλοῦν σοι παρέχοντι, τὸν στέφανον Πανόλβιε.

Ἁγίων αἱμάτων σου καλλιπάρθενε, οἱ κρουνοὶ προχεόμενοι, πᾶσαν κατέσβεσαν, τῶν εἰδώλων τὴν πλάνην, καὶ δῆμον προσήγαγον, Μαρτύρων τῷ Νυμφίῳ σου. Θεοτ.

Ῥωσθέντες τῇ χάριτι, Θεοτόκον σε ὁμοφρόνως δοξάζομεν· σάρκα γενόμενον, τὸν τὸ εἶναι τοῖς πᾶσι, διδόντα γὰρ τέτοκας, καὶ Κόσμον ἀνεκαίνισας.

Κάθισμα. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Μαρίνα Μάρτυς τοῦ Χριστοῦ, ἀνευφημοῦμέν σε πιστοὶ, ὅτι τὸν Τύραννον ἐχθρὸν, ἐν τῇ δυνάμει τοῦ Σταυροῦ, ἐν τοῖς ποσὶ κατεπάτησας γενναιοφρόνως· καὶ γέγονας ἡμῖν, ἀνδρεία Πίστεως, πᾶσαν τοῦ ἐχθροῦ πατοῦσα δύναμιν. καὶ οὐρανόθεν ἔλαβες τὸν στέφανον, τῇ κορυφῇ σου ἀοίδιμε. Χριστὸν δυσώπει, σωθῆναι πάντας, τοὺς τελοῦντας τὴν μνήμην σου. Θεοτόκιον. Ὅμοιον.

Κατεπλάγη Ἰωσὴφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετὸν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε, βάτον ἐν πυρὶ ἀκατάφλεκτον· ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν. καὶ μαρτυρῶν ὁ Μνήστωρ σου, καὶ φύλαξ τοῖς Ἱερεῦσιν ἐκραύγαζε. Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει Παρθένος.

Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Θεοπρεπὴς, γέγονεν ὄντως ὁ βίος σου· τοῖς Ἀγγέλοις, ὤφθη ποθεινότατος· τῶν δὲ δαιμόνων τῇ στρατιᾷ, καὶ τοῖς ὑπηρέταις, ἐκείνων τῆς ἀγριότητος, ἀπρόσιτος ἐδείχθης. τῷ Χριστῷ γὰρ ἐβόας, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ἐπὶ τῆς γῆς ἠγωνισμένη πανόλβιε, καὶ προσκαίρους, πόνους ὑπομείνασα, ἐν οὐρανοῖς νῦν τὰς ἀμοιβὰς, παρὰ τοῦ Δεσπότου, κομίζῃ Μάρτυς ἀοίδιμε, ἀπείρους εἰς αἰῶνας, πρὸς Ἀγγέλους βοῶσα· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Νῦν ἐπὶ σοὶ, χαίρει παρθενίας τὸ καύχημα. νῦν παρθένων, ὅμιλος εὐφραίνεται. νῦν καὶ τὸ πλῆθος τῶν ἀθλητῶν, ἐπισυναχθέντες, χορεύουσιν ἀγαλλόμενοι. βοῶντες τῷ Δεσπότῃ, ἐν φωναῖς ἀσιγήτοις· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Ὅλη καλὴ, πέφυκας Κόρη καὶ ἄσπιλος. ὤφθης ὅλη, Νύμφη παναμώμητος, τῷ τῶν ψυχῶν κάλλους ἐραστῇ. διὰ γὰρ βασάνων, πυρώσεως παμμακάριστε, ἐφάνης λαμπροτέρα, τῷ Χριστῷ μελῳδοῦσα· τῇ δυνάμει σου δόξα φιλάνθρωπε. Θεοτοκίον.

Μόνη Ἁγνὴ, καὶ μετὰ τόκον διέμεινας. σὺ γὰρ Λόγον, μόνη ἐνυπόστατον, τὸν τῷ Πατρὶ σύνθρονον Υἱὸν, ἐκ σοῦ σαρκωθέντα, γεγέννηκας Θεονύμφευτε. καὶ φέρεις ἐν ἀγκάλαις, τὸν ἀχώρητον πᾶσι, καὶ τὸν πάντων τὸ κράτος κατέχοντα.

Ὠδὴ ε΄. Ἱνατί με ἀπώσω.

Ἀθλητῶν ἐν σταδίῳ, δρόμον συντονώτατον Κόρη διήνυσας. ὁ γὰρ θεῖος πόθος, τὸ τοῦ θήλεως χαῦνον ἐπτέρωσε, προφανῶς δεικνύων, τὸν λογισμὸν τῶν παθημάτων, αὐτοκράτορα Μάρτυς ὑπάρχοντα.

Ῥανίδες σῶν αἱμάτων, Μάρτυς ἀποστάξασαι χλαῖναν πολύτιμον, καὶ τῆς ἀκηράτου, εὐφροσύνης χιτῶνα ἐξύφαναν· ὅνπερ νῦν θεόφρον, ἐν Οὐρανοῖς ἐνδεδυμένη, νοητῶς τῷ Νυμφίῳ παρίστασαι.

Τοῖς δεσμοῖς τῶν ἀγώνων σου, Κόρη τὸν μεγάλαυχον ὄφιν ἐδέσμευσας. καὶ ὀφρὺν τὴν πρώην, ἐπηρμένην πρὸς γῆν ἐταπείνωσας. ἐκτελεῖν γὰρ οἶδεν, ὡς ἀγαθὸς ὁ παντεπόπτης, τῶν αὐτοῦ φοβουμένων τὸ θέλημα.

Ὑπερτέραν σε δόξης, θείοις διαδήμασιν ὄντως ἐκόσμησεν, ὁ Νυμφίος Λόγος, δι' αὐτὸν ἀναθλήσασαν θεώμενος· καὶ πυρὸς τὴν φλόγα, καὶ αἰκισμῶν τὰς ἀλγηδόνας, καρτερῶς ὑπομείνασαν εὔδοξε. Θε.

Ῥυομένην ὁρῶντες, τῷ τῆς παρθενίας σου τόκῳ Παναμώμε, τῶν βροτῶν τὴν φύσιν, τῆς κατάρας τῆς πρώην δοξάζομεν. τὸν ἐκ σοῦ τεχθέντα, μόνη Ἁγνὴ δι' εὐσπλαγχνίαν. ὃν δυσώπει Παρθένε σωθῆναι ἡμᾶς.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ἀπόθετον τῷ Χριστῷ, ἐφάνης κάλλος καὶ ἄσπιλον· καὶ ὡς πηγὴ διαυγής, καὶ κῆπος πολύκαρπος, Μαρίνα πανεύδοξε, καὶ γνησία Νύμφη, καὶ Παράδεισος ἀσύλητος.

Νεάνις πανευπρεπής, ὀπίσω σου ἠκολούθησε· δραμοῦσα πρὸς τὴν ὀσμήν, τῶν μύρων σου Δέσποτα, τὸ ἄχραντον πάθος σου, διὰ καρτερίας, μιμουμένη τὸ σεβάσμιον.

Ὑπέμεινας ἀνδρικῶς, ἀγῶνας Μάρτυς πολύαθλε, καὶ τὸν πρὶν φρενοβλαβῶς, μεγάλα καυχώμενον, μετ' ἤχου ἀπώλεσας, Σταυροῦ τῇ δυνάμει, ὦ Μαρίνα κυριώνυμε. Θεοτοκίον.

Μαρία τὸ καθαρόν, καὶ πάνσεπτον ἐνδιαίτημα, τοῦ πάντων δημιουργοῦ, ψυχῆς καθαρτήριον, παράσχου μοι δάκρυα, καὶ ἐπάκουσόν μου, τῆς δεήσεως Παναμώμε.

Κοντάκ. Ἦχος γ'. Ἡ Παρθένος σήμερον.

Παρθενίας κάλλεσι, πεποικιλμένη Παρθένε, Μαρτυρίου στίγμασι, στεφανωθεῖσα Μαρίνα, αἵμασιν ἀθλητικοῖς δὲ ἐρραντισμένη, θαύμασι καταλαμφθεῖσα τῶν ἰαμάτων, εὐσεβῶς Μάρτυς ἐδέξω, βραβεῖα νίκης τῆς σῆς ἀθλήσεως. Ὁ Οἶκος.

Ὡς Νυμφίῳ Χριστῷ, ἔρωτι τῆς καρδίας σου ἀπὸ βρέφους σεμνὴ πυρποληθεῖσα, ἔδραμες, δορκὰς ὡς διψῶσα, πηγαῖς ἀειρρύτοις, Παρθενομάρτυς· καὶ τῇ ἀθλήσει δὲ σεαυτὴν συντηρήσασα, ἐν τῷ ἀφθάρτῳ ὄντως τοῦ Κτίστου σου, Νύμφη εὐκλεής, θαλάμῳ ἔφθασας ἐστολισμένη, πεποικιλμένη, στεφανηφόρος, νικητής, λαμπαδηφόρος, εὐθαλὴς ἀφθάρτου Νυμφῶνος τυχοῦσα· καὶ δεξαμένη ὡς χρυσίον, βραβεῖα νίκης τῆς σῆς ἀθλήσεως.

Τῷ αὐτῷ Μηνὶ ιζ'. Τῆς Ἁγίας Μεγαλομάρτυρος Μαρίνης.

Ξ. Χεὶρ δημίου τέμνουσα Μαρίνα ξίφει.
Χεὶρ Κυρίου χάριτι θείᾳ δὲ στέφει.
Ἑβδομάτῃ δεκάτῃ Μαρίνα δειροτομήθη.

Αὕτη ὑπῆρχεν ἐκ Κώμης τῆς Πισιδίας, ἐν τοῖς μέρεσιν Ἀντιοχείας, Αἰδεσίου τινὸς Ἱερέως τῶν εἰδώλων ὑπάρχουσα θυγάτηρ μονογενής. Παραδοθεῖσα δὲ ὑπ' αὐτοῦ γυναικί τινι, τῆς Μητρὸς αὐτῆς τὸν βίον ἀπολιπούσης, δωδεκαετὴς γενομένη τῆς τῶν Χριστιανῶν ἐδέετο Πίστεως. Ἐδιδάσκετο δὲ ὑπό τινων τῶν ἐν τῇ Κώμῃ. Καὶ ἤδη πέντε καὶ δεκάτου ἀγομένου αὐτῇ ἔτους, τὸν τοῦ μαρτυρίου ἀγῶνα ἐπεπόθει ἀνύσασθαι. Ὀλύμβριος δὲ ὁ Ἡγεμὼν μαθὼν περὶ αὐτῆς, ἀποστείλας, συνελάβετο αὐτήν, καὶ ἔβαλεν εἰς φυλακήν. Μεθ' ἡμέρας δὲ ἐξαγαγὼν αὐτὴν τῆς φυλακῆς, παρέστησε τῷ βήματι αὐτοῦ. Καὶ ἰδὼν αὐτήν, ὅλος ἐξέστη ἐπὶ τῇ ὡραιότητι αὐτῆς. Ἐρωτηθεῖσα οὖν παρ' αὐτοῦ τὴν τύχην, καὶ τὸ ὄνομα· Μαρίνα, ἔφη, καλοῦμαι, τῆς Πισιδίας γέννημα καὶ θρέμμα, καὶ τὸ τοῦ Κυρίου μου ὄνομα ἐπικαλουμένη. Μὴ ἀνεχομένης δὲ αὐτῆς τὸν Χριστὸν ἐξομόσασθαι, ἐκέλευσεν ὁ Ἡγεμὼν ταθῆναι αὐτήν, καὶ ῥάβδοις ἀπηνῶς καταξαίνεσθαι. Καὶ τῷ αἵματι αὐτῆς ἡ γῆ ἐφοινίσσετο. Εἶθ' οὕτως ἀναρτηθῆναι ταύτην προστάττει, καὶ τὸ σῶμα αὐτῆς ξέεσθαι ἐπὶ πολύ. Μετὰ δὲ τοῦτο, ἔβαλεν αὐτὴν εἰς φυλακήν. Ἐγένετο δὲ σεισμὸς μέγας, ὥστε σαλευθῆναι τὸ δεσμωτήριον, Δράκων δὲ ποθεν ἑρπύσας, δεινῶς τὴν ἠχὴν ποιούμενος ἐν τῷ ἕρπειν αὐτόν, καὶ κύκλῳ αὐτῆς πῦρ ἔδοξεν ἐμβαλεῖν. Φοβηθείσης δὲ αὐτῆς ἐπὶ πολύ, καὶ συντρόμου γενομένης, ἐδέετο πρὸς τὸν Θεόν· καὶ οὕτως ὁ φοβερώτατος ἐκεῖνος δράκων, εἰς κυνὸς μέλανος μορφὴν διεδείκνυτο. Ἡ δὲ Ἁγία τῶν τριχῶν τούτου δραξαμένη, καὶ σφαῖραν εὑροῦσα, κατὰ τῆς κεφαλῆς καὶ τοῦ νώτου τοῦτον τύπτουσα, εἰς τέλος αὐτὸν ἐταπείνωσε. Μετὰ δὲ τοῦτο, λαμπάσι πυρὸς κατακαίεται, καὶ ἐπὶ σκεύους ὕδατος πλήρους κατὰ κεφαλῆς ἐμβάλλεται. Ἐπὶ τούτῳ δέ, πολλοὶ ἐπίστευσαν εἰς Χριστόν, οἳ καὶ τὰς κεφαλὰς ἐτμήθησαν. ἐπὶ τούτῳ θυμωθεὶς ὁ Ἡγεμών, ξίφει τὴν κεφαλὴν αὐτῆς ἀπέτεμε. Ταῖς αὐτῆς πρεσβείαις.

Ὠδὴ ζ'. Παῖδες Ἑβραίων.

Φῶς τὸ ἀπρόσιτον Μαρίνα, κατεφώτισεν ἀξίως τὴν ψυχήν σου. καὶ λαμπάσι φω-

τὸς, κατηύγασε βοῶσαν· ἀλογητὸς ὁ Κύριε, ὁ Θεὸς εἰς τὸς αἰῶνας.

Ἠ Ρθης πρὸς θεῖον ὄντως ὕψος· ὑψηλὴν γάρ σου ἐκέκτησο τὴν γνώμην· καὶ συμφῶνα λαμπρὸν, κατῴκησας βοῶσα· ἀλογητὸς ὁ Κύριε, ὁ Θεὸς εἰς τὸς αἰῶνας.

Ν Ύμφη γνησία τοῦ Δεσπότου, ἀναδέδεξαι Μαρίνα θεοφόρε, καὶ ὡς Μάρτυς αὐτῷ, ἀήττητος κραυγάζεις· ἀλογητὸς ὁ Κύριε, ὁ Θεὸς εἰς τὸς αἰῶνας. Θεοτοκίον.

Α Ρχων οὐκ ἔτι ἐξ Ἰούδα, ἀλλ' ἐξέλιπεν. ἐκ σοῦ γὰρ ὁ Δεσπότης, τῶν ἐθνῶν ἡ ἐλπὶς, ἀνέτειλεν ἀφράστως· ὃν ἀλογοῦσιν ἅπασαι γενεαὶ, φυλαὶ, καὶ γλῶσσαι.

Ὠδὴ η'. Μουσικῶν ὀργάνων.

Σ Ταθηρὰν τὴν γνώμην κεκτημένη, στεῤῥῶς τοὺς ἄθλους ἐκαρτέρεις· καὶ στέμμασι νικητικοῖς ἐστέφθης μελῳδοῦσα· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Μ Υστικὴν Μαρίνα σοι παστάδα, ὁ ψυχῶν Νυμφίος Θεὸς Λόγος, ηὐτρέπισεν ἐν Οὐρανοῖς· ὃν βλέπουσα κραυγάζεις, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Α Ρεταῖς ποικίλαις κοσμουμένη, δωρεῶν πλειόνων ἠξιώθης, τὸ ἔσχατον τῶν ὀρεκτῶν, ὁρῶσα καὶ βοῶσα· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Σ Ωτηρίας ὤφθης ἀθλοφόρε, τοῖς πολλοῖς αἰτία, καὶ Μαρτύρων, προσήγαγες δῆμον Χριστῷ, συμφώνως μελῳδοῦσα· τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε. Θεοτοκίον.

Ι Λασμὸς ἡμῖν Θεογεννῆτορ, διὰ σοῦ ἐδόθη. σὺ γὰρ μόνη αἰτήσασα τὴν ὀφειλὴν· τὸν πάντων συλλαβοῦσα, Θεόν τε καὶ Δεσπότην, εἰς πάντων σωτηρίαν.

Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.

Μ Αρίνα Μάρτυς τοῦ Χριστοῦ, τὴν αἰώνιον ζωὴν, καὶ ἀνώλεθρον, ἐν Παραδείσῳ τρυφῆς, ἐπιτηδείως ὄντως ἐτρύγησας. τὴν στρεφομένην ἀβλαβῶς, ῥομφαίαν διέβης γὰρ, Μαρτύρων αἵμασι, λαμπομένη τηλαυγῶς Καλλιπάρθενε.

Ε Φλεξε πᾶσαν ὑλικὴν, καὶ φιλόκοσμόν σου Μάρτυς διάνοιαν, ἔρως ὁ ἔνθεος· καὶ στεῤῥοτάτην Μάρτυρα ἔδειξε, παρθενικαῖς μαρμαρυγαῖς, τὸ τρὶν διαλάμπουσαν, Μαρίνα Πάνσεμνε. διὸ πάντες σε πιστῶς μακαρίζομεν.

Α Υτόν μου Νύμφη ἐκλεκτὴ, τῶν πταισμάτων τὰς σειρὰς ταῖς πρεσβείαις σου· καὶ τὸ χειρόγραφον, τῆς ἁμαρτίας Μάρτυς διάῤῥηξον· παριστάμενη ἀτρέπτως, Χριστῷ τῷ Νυμφίῳ σου τῷ πανοικτίρμονι, καὶ παθῶν μου τὴν ἀχλὺν διασκέδασον.

Π Έπαυται φρύαγμα δεινὸν, τοῦ ἀλάστορος. ἰδοὺ γὰρ νεάνιδες, ἐπιλαθόμεναι, τῆς γυναικείας φύσεως ἤθλησαν, καὶ κατ' αὐτοῦ περιφανῶς, τὴν νίκην ἀράμεναι, νοῦν τῆς Προμήτορος ἀνεκτήσαντο σαφῶς τὴν παράπτωσιν. Θεοτοκίον.

Ω Ριμον δρέπομαι ζωὴν, μὴ βλαπτόμενος τῷ ξύλῳ τῆς γνώσεως. σὺ γὰρ Παναγιωτάτη, ζωῆς τὸ ξύλον Χριστὸν ἐβλάστησας, τὸν τὰς εἰσόδους τῆς ζωῆς, τοῖς πᾶσι γνωρίζοντα. διό σε Πάναγνε, Θεοτόκον εὐσεβῶς καταγγέλλομεν.

Ἐξαποστειλάριον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Μ Αρίνα Μάρτυς Κυρίου, καὶ Καλλιπάρθενε Νύμφη, ῥῦσαι λαόν σου καὶ Πόλιν, ἐκδυσωποῦσα τὸν Θεὸν, ὅπως ῥυσθῶμεν οἱ πάντες, φθορᾶς ὀργῆς καὶ κινδύνων.

Θεοτοκίον. Ὅμοιον.

Χ Ρυσοπλοκώτατε πύργε, καὶ δωδεκάτειχε Πόλις, ἡλιοστάλακτε Θρόνε, καθέδρα τοῦ Βασιλέως· ἀκατανόητον θαῦμα, πῶς γαλουχεῖς τὸν Δεσπότην;

Εἰς τοὺς Αἴνους, ἱστ. προσόμοια, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Π Ολυώδυνα βάσανα, ὑποστᾶσα Πανεύδοξε, ἀνδρικῷ φρονήματι ηὐτομόλησας· καὶ τῶν Ἑλλήνων σεβάσματα, ὡς κόνιν ἐλέπτυνας, καὶ τὸν τύραννον στεῤῥῶς, Ἀθληφόρε κατέβαλες, ἐγκαυχώμενον, καὶ ἐφύπερθεν ἄστρων θρόνον θεῖναι, σὺ κατήχυνας Μαρίνα, καὶ τοὺς λαοὺς κατεφώτισας.

Τ Ὸν ἀρχέκακον δράκοντα, τὸν τὴν Εὔαν γυμνώσαντα, παραβάσει πρότερον, Μάρτυς εὔδοξε, διὰ Σταυροῦ ἀπενέκρωσας, ἀγῶσι δεσμεύσασα, τοῖς διττοῖς σου εὐσεβῶς, Χριστὸν δύναμιν ἔχουσα· ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀσέβαστον μνήμην σου.

Ω Σπερ προῖκα πολύτιμον, τῷ Νυμφίῳ προσήγαγες, ἀθληφόρε εὔδοξε, δῆμον ἅγιον, τοῖς θαυμασίοις πιστεύσαντα, ἃ πίστει ἐτέλεσας, ἀνωτέρα καὶ ποινῶν, καὶ πυρὸς κα-

πυρφλέγοντος, καὶ στρεβλώσεων, ἐν Χριστῷ δακνυμένη τὴν νίκην, οὐρανόθεν σοι Παρθένε, θεαργικῶς χορηγήσαντι.

Δευτεροῦμεν τὸ α΄. Δόξα, ἦχος πλ. β΄.

Ἀθλητικὴν ὁδεύσασα ὁδόν, προγονικὴν ἐξέφυγες βουλήν, Μαρίνα πανσεβάσμιε. καὶ ὡς μὲν Παρθένος φρονίμη, λαμπαδηφόρος εἰσῆλθες εἰς τὰς αὐλὰς τοῦ Κυρίου σου. ὡς δὲ Μάρτυς ἀνδρεία, χάριν ἔλαβες ἀπελαύνειν πᾶσαν νόσον τῶν ἀνθρώπων. ἀλλὰ καὶ ἡμᾶς τοὺς ὑμνοῦντάς σε, ψυχικῶν ἀλγηδόνων ἐλευθέρωσον, ταῖς πρὸς Θεὸν ἱκεσίαις σου.

Καὶ νῦν, Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή.

Εἰ βούλει, ποίησον Δοξολογίαν μεγάλην.

Εἰς δὲ τὴν Λειτουργίαν. Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας, Ὠδὴ γ΄. καὶ ς΄. Ἀπόστολον καὶ Εὐαγγέλιον, ζήτει τῆς Ἁγίας Αἰκατερίνης.

Μηνὶ τῷ αὐτῷ ιη΄.

Τοῦ Ἁγίου Μάρτυρος Αἰμιλιανοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιθ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Δίου· καὶ τῆς Ὁσίας Μακρίνης, ἀδελφῆς τοῦ μεγάλου Βασιλείου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον, καὶ εἰς Ὁσίαν.

Μηνὶ τῷ αὐτῷ Κ΄.

Τοῦ Ἁγίου ἐνδόξου Προφήτου Ἠλιοῦ τοῦ Θεσβίτου.

Ἑσπέρας μετὰ τὴν συνήθη ψαλ. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν, στίχ. ς΄. καὶ ψάλλομεν γ΄. προσόμοια, ἦχος α΄.

Τῶν οὐρανίων Ταγμάτων.

Ὁ τὸν Θεσβίτην Ἠλίαν πυρίνῳ ἅρματι, ἀπὸ τῆς γῆς Οἰκτίρμον, μεταθέμενος Λόγε, ταῖς τούτου ἱκεσίαις σῶσον ἡμᾶς, τοὺς πιστῶς σὲ δοξάζοντας, καὶ τὴν αὐτοῦ ἐκτελοῦντας χαρμονικῶς, θείαν μνήμην καὶ σωτήριον.

Ἐν συσσεισμῷ καὶ ἐν αὔρᾳ λεπτῇ τεθέασαι, Θεοῦ τὴν παρουσίαν, Ἠλιοῦ θεομάκαρ, φωτίζουσάν σε πάλαι· ἅρματι δέ, ἐποχούμενος τέθριππος, τὸν Οὐρανὸν διΐπτευσας ξενοπρεπῶς, θαυμαζόμενος Θεόπνευστε.

Οὓς Ἱερεῖς τῆς αἰσχύνης, ξίφει κατέσφαξας· τὸν Οὐρανὸν τῇ γλώττῃ, ἐπὶ γῆς τοῦ μὴ βρέχειν, ἐπέσχες ζήλῳ θείῳ πυρποληθείς. Ἐλισσαῖον δὲ ἔπλησας, τῆς μηλωτῆς ἐπιδόσει, διπλῆς σοφέ, Ἠλιοῦ ἐνθέου χάριτος.

Δευτεροῦντες αὐτό. Δόξα, ἦχ. πλ. β΄. Βυζαντίου.

Δεῦτε τῶν ὀρθοδόξων τὸ σύστημα, συναθροισθέντες σήμερον, ἐν τῷ πανσέπτῳ Ναῷ τῶν θεηγόρων Προφητῶν, ψαλμικῶς ᾄσωμεν ἐναρμόνιον μέλος, τὸν τούτους δοξάσαντα Χριστὸν τὸν Θεὸν ἡμῶν. καὶ ἐν χαρᾷ καὶ ἀγαλλιάσει ἀναβοήσωμεν· χαίροις ἐπίγειε Ἄγγελε, καὶ οὐράνιε ἄνθρωπε, Ἠλία μεγαλώνυμε. χαίροις ὁ διπλῆν τὴν χάριν, παρὰ Θεοῦ κομισάμενος, Ἐλισσαῖε πανσεβάσμιε. χαίρετε ἀντιλήπτορες θερμοί, καὶ προστάται καὶ ἰατροὶ τῶν ψυχῶν καὶ τῶν σωμάτων τοῦ φιλοχρίστου λαοῦ· ἀπὸ πάσης προσβολῆς ἐναντίας καὶ περιστάσεως, καὶ παντοίων κινδύνων λυτρώσασθε, τοὺς πιστῶς ἐκτελοῦντας τὴν πάνσεπτον μνήμην ὑμῶν.

Καὶ νῦν, Θεοτ. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα.

Ἐγένετο λόγος Κυρίου πρὸς Ἠλιοῦ τὸν Προφήτην, καὶ εἶπε· Ζῇ Κύριος ὁ Θεὸς τῶν δυνάμεων, ὁ Θεὸς Ἰσραήλ, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον. Οὐκ ἔσται τὰ ἔτη ταῦτα δρόσος, καὶ ὑετός, εἰ μὴ διὰ στόματός μου. Καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς Ἠλιοῦ λέγων· Πορεύου ἐντεῦθεν κατὰ ἀνατολάς, καὶ κρύβηθι ἐν τῷ χειμάρρῳ Χορράθ, τῷ ἐπὶ προσώπου τοῦ Ἰορδάνου. Καὶ ἔσται ἐκ τοῦ χειμάρρου πίεσαι ὕδωρ, καὶ τοῖς κόραξιν ἐντελοῦμαι τοῦ διατρέφειν σε ἐκεῖ. Καὶ ἐπορεύθη, καὶ ἐποίησεν Ἠλίας κατὰ τὸ ῥῆμα Κυρίου, καὶ ἐκάθισεν ἐν τῷ χειμάρρῳ Χορράθ, ἐπὶ προσώπου τοῦ Ἰορδάνου. Καὶ οἱ κόρακες ἔφερον αὐτῷ ἄρτους τὸ πρωΐ, καὶ κρέας τὸ δείλης, καὶ ἐκ τοῦ χειμάρρου ἔπινεν ὕδωρ. Καὶ ἐγένετο μεθ' ἡμέρας, καὶ ἐξηράνθη ὁ χείμαρρος, ὅτι οὐκ ἐγένετο ὑετὸς ἐπὶ τῆς γῆς.

Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα.

Εἶπεν Ἠλίας τῷ Ἀχαάβ· φωνὴ ποδῶν τοῦ ὑετοῦ· Ζεῦξον τὸ ἅρμα σου, καὶ κατάβηθι, μὴ καταλάβῃ σε ὁ ὑετός. Καὶ Ἠλίας ἀνέβη ἐπὶ τὸν Κάρμηλον, καὶ ἔκυψεν ἐπὶ τὴν γῆν, καὶ ἔθηκε τὸ πρόσωπον αὐτοῦ ἀναμέσον τῶν γονάτων αὐτοῦ, καὶ ηὔξατο πρὸς Κύριον· Καὶ ὁ Οὐρανὸς συνεσκότασεν ἐν νεφέλαις καὶ πνεύματι, καὶ ἐγένετο ὑετὸς μέγας. Καὶ ἐπορεύετο Ἀχαὰβ εἰς Ἰεζάβελ. Καὶ ἀνήγγειλεν Ἀχαὰβ Ἰεζάβελ τῇ γυναικὶ αὐτοῦ πάντα



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ὅσα ἐποίησεν Ἠλίας. καὶ ἀπέστειλεν Ἰεζάβελ πρὸς Ἠλίαν, καὶ εἶπεν· Αὔριον θήσομαι τὴν ψυχήν σου ὡς μίαν ἐξ αὐτῶν. Καὶ ἤκουσεν Ἠλίας, καὶ ἐφοβήθη, καὶ ἀνέστη καὶ ἀπῆλθε κατὰ τὴν ψυχὴν αὐτοῦ. Καὶ ἔρχεται εἰς Βηρσαβεὲ γῆν Ἰούδα, καὶ ἀφῆκε τὸ παιδάριον αὐτοῦ ἐκεῖ· καὶ αὐτὸς ἐπορεύθη ἐν τῇ ἐρήμῳ ὁδὸν ἡμέρας, καὶ ἦλθε, καὶ ἐκάθισεν ὑποκάτω ἀρκεύθου· καὶ ἐκοιμήθη, καὶ ὕπνωσεν ἐκεῖ ὑπὸ τὸ φυτόν. καὶ ἰδού τις ἥψατο αὐτοῦ, καὶ εἶπεν αὐτῷ· Ἀνάστηθι, καὶ φάγε, καὶ πίε, ὅτι πολλὴ ἀπὸ σοῦ ἡ ὁδός. Καὶ ἐπέβλεψεν Ἠλίας, καὶ ἰδοὺ πρὸς κεφαλῆς αὐτοῦ ἐγκρυφίας ὀλυρίτης, καὶ καμψάκης ὕδατος. Καὶ ἀνέστη, καὶ ἔφαγε, καὶ ἔπιε, καὶ ἐπιστρέψας ἐκοιμήθη. Καὶ ἐπέστρεψεν ὁ Ἄγγελος Κυρίου ἐκ δευτέρου, καὶ ἥψατο αὐτοῦ, καὶ εἶπεν αὐτῷ· Ἀνάστηθι, φάγε, καὶ πίε, ὅτι πολλὴ ἀπὸ σοῦ ἡ ὁδός. Καὶ ἀνέστη, καὶ ἔφαγε, καὶ ἔπιε. καὶ ἐπορεύθη ἐν τῇ ἰσχύϊ τῆς βρώσεως ἐκείνης, τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας.

Βασιλειῶν δ'. τὸ Ἀνάγνωσμα.

Κεφ. β'. 2. Εἶπεν Ἠλίας τῷ Ἐλισσαιέ· κάθου δὴ ἐνταῦθα, ὅτι Κύριος ἀπέσταλκέ με ἕως τοῦ Ἰορδάνου. καὶ εἶπεν Ἐλισσαιέ· ζῇ Κύριος, καὶ ζῇ ἡ ψυχή σου εἰ ἐγκαταλείψω σε. καὶ ἐπορεύθησαν ἀμφότεροι, καὶ πεντήκοντα ἄνδρες ἀπὸ τῶν Υἱῶν τῶν Προφητῶν ἦλθον, καὶ ἔστησαν ἐξ ἐναντίας μακρόθεν, ἀμφότεροι δὲ ἔστησαν ἐπὶ τὸν Ἰορδάνην. καὶ ἔλαβεν Ἠλίας τὴν μηλωτὴν αὐτοῦ, καὶ εἴλησεν αὐτήν. καὶ ἐπάταξεν ἐν αὐτῇ τὰ ὕδατα, καὶ διῃρέθη τὸ ὕδωρ ἔνθεν καὶ ἔνθεν, καὶ διέβησαν ἀμφότεροι διὰ ξηρᾶς. καὶ ἐγένετο ὡς διῆλθον, εἶπεν Ἠλίας τῷ Ἐλισσαιέ· Αἴτησον τί ποιήσω σοι, πρὶν ἀναληφθῆναί με ἀπὸ σοῦ. Καὶ εἶπεν Ἐλισσαιέ· γενηθήτω δὴ τὸ Πνεῦμα τὸ ἐπὶ σοί, διπλῶς ἐπ' ἐμέ. Καὶ εἶπεν Ἠλίας· ἐσκλήρυνας τοῦ αἰτήσασθαι· Πλὴν ἐὰν ἴδῃς με ἀναλαμβανόμενον ἀπὸ σοῦ, ἔσται σοι οὕτως· ἐὰν δὲ μὴ ἴδῃς, οὐ μὴ γένηται. Καὶ ἐγένετο αὐτῶν πορευομένων καὶ λαλούντων, καὶ ἰδοὺ ἅρμα πυρός, καὶ ἵπποι πυρός, καὶ διεχώρισεν ἀναμέσον ἀμφοτέρων. Καὶ ἀνελήφθη Ἠλίας ἐν συσσεισμῷ ὡς εἰς τὸν Οὐρανόν. Καὶ Ἐλισσαιὲ ἑώρα, καὶ αὐτὸς ἐβόα· Πάτερ, Πάτερ, ἅρμα Ἰσραήλ, καὶ ἱππεὺς αὐτοῦ. Καὶ οὐκ εἶδεν αὐτὸν οὐκ ἔτι. Καὶ ἐκράτησεν Ἐλισσαιὲ τοῦ ἱματίου αὐτοῦ, καὶ διέρρηξεν αὐτὸ εἰς δύο. Καὶ ἀνείλετο τὴν μηλωτὴν Ἠλιοὺ Ἐλισσαιέ, τὴν πεσοῦσαν ἐπάνωθεν αὐτοῦ. Καὶ ἐπέστρεψεν Ἐλισσαιέ, καὶ ἔστη ἐπὶ τοῦ χείλους τοῦ Ἰορδάνου. Καὶ ἔλαβεν Ἐλισσαιὲ τὴν μηλωτὴν Ἠλιοῦ, τὴν πεσοῦσαν ἐπάνωθεν αὐτοῦ, καὶ ἐπάταξε τὰ ὕδατα, καὶ οὐ διῃρέθη. Καὶ εἶπεν Ἐλισσαιέ· ποῦ δή ἐστιν ὁ Θεὸς Ἠλιοὺ Ἀπφώ; Καὶ οὕτως ἐπάταξε τὰ ὕδατα ἐκ δευτέρου, καὶ διῃρέθη τὰ ὕδατα· καὶ διῆλθε διὰ ξηρᾶς.

Εἰς τὴν Λιτήν, στιχηρὰ ἰδιόμελα. Ἦχος α'. Γερμανοῦ.

Ἠλίας ὁ ζηλωτής, καὶ τῶν παθῶν αὐτοκράτωρ, ἀεροβάτης ἐδέρκετο σήμερον, τῆς παγκοσμίου μυστὴς σωτηρίας προχαριζόμενος. ὢ δόξης ἀκραιφνοῦς, ἧς ἠξίωται ὁ ὑψιπέτης Προφήτης, καὶ Προφητῶν ἐξαίρετον ἐγκαλλώπισμα. οὗτος γὰρ ἐν σώματι Ἄγγελος, καὶ ἄσαρκος ἄνθρωπος δέδεικται τοῖς κατορθώμασιν. ὃν ἐπαινοῦντες εἴπωμεν· ἀντιλαβοῦ ἡμῶν σοφέ, ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως. Ὁ αὐτός.

Λαβιτικῶς σήμερον πιστοί, τὸν Προφήτην Κυρίου ὕμνοις τιμήσωμεν, Ἠλίαν τὸν Θεσβίτην, καὶ ζηλωτὴν τὸν ὑπέρλαμπρον· οὗτος γὰρ ἐν τῇ γλώσσῃ τὸν οὐρανὸν ὡσεὶ δέρριν ἐχάλκευσε· καὶ τὴν γῆν τὴν ἔγκαρπον, ἄκαρπον ἐποίησεν. ὢ τοῦ θαύματος. ὁ πήλινος ἄνθρωπος, οὐρανοὺς τοῦ βρέχειν ὑετὸν οὐκ ἔδωκεν. ὢ τοῦ θαύματος. ὁ φθαρτὸς ἄνθρωπος, ἀφθαρσίαν ἐνδέδυται. καὶ οὐρανοὺς ἀνατρέχει, ἐν πυρίνῳ ἅρματι, τῇ μηλωτῇ Ἐλισσαίῳ διπλῆν τὴν χάριν χαριζόμενος. Βασιλεῖς ἐλέγχει, καὶ λαὸν ἀπειθῆ λιμῷ διαφθείρει· τοὺς Ἱερεῖς τῆς Αἰσχύνης, πάντας κατήσχυνε· καὶ τῆς χήρας τὸν Υἱὸν λόγῳ ἀνέστησεν. αὐτοῦ ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐν εἰρήνῃ διαφύλαξον, τοὺς ὀρθοδόξους Βασιλεῖς ἡμῶν· καὶ τὰ τῆς νίκης τρόπαια κατὰ βαρβάρων αὐτοῖς δώρησαι. Ὁ αὐτός.

Ἐναματικοῖς ᾄσμασι, τοὺς Προφήτας τοῦ Χριστοῦ ἅπαντες εὐφημήσωμεν. Ἠλίας γὰρ ὁ Θεσβίτης, οὐρανοδρόμος γέγονε, καὶ μηλωτῇ Ἐλισσαῖος, τὴν χάριν ἐδέξατο διπλῆν παρὰ Θεοῦ· καὶ φωστῆρες φαιδροὶ τῇ Οἰκουμένῃ ἀνεδείχθησαν· πρεσβεύοντες ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β'. Ἰωάννου Μοναχοῦ.

Φωστῆρες ἀνέτειλαν τῇ Οἰκουμένῃ, δύο λαμπάδες, Ἠλίας καὶ Ἐλισσαῖος. ὁ μὲν



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

θείῳ λόγῳ, οὐρανίους σταγόνας ἀπέκλεισε, καὶ Βασιλεῖς διήλεγξεν· ἅρματι δὲ πυρίνῳ εἰς οὐρανοὺς ἀνῆλθεν· ὁ δὲ, ἀτεκνοῦντα ἰάσατο ὕδατα· καὶ διπλῆν δεξάμενος χάριν, Ἰορδάνου τὰ ῥεῖθρα ἐπέρασε· καὶ νῦν μετ᾽ Ἀγγέλων χορεύοντες, ὑπὲρ ἡμῶν πρεσβεύουσι, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτὸς, τοῦ αὐτοῦ.

Ὁ ἐξάρας ἅρμασί σε πυρφόρον, ὡς ἐν συσσεισμῷ εἰς οὐρανοὺς, πυρίπνοον χάριν σοι παρέχετο, Ἠλία Θεσβίτα, τὸ μὴ ἰδεῖν θάνατον, ἕως αὖ κηρύξῃς τὴν τῶν πάντων συντέλειαν. διὸ πάρεσο, διδοὺς ἡμῖν τῶν σῶν κατορθωμάτων τὴν μύησιν.

Δόξα, ἦχος δ΄. Ἀρσενίου.

Ἐν πυρίνῳ ἅρματι ἐπιδίφριος ἀρθεὶς, εἰς χώραν φωτοειδῆ μετετέθης, ὦ Θεσβίτα Ἠλιού. Αἰχμωσύνης δὲ Προφήτας κατήχησας. ὁ τὸν Οὐρανὸν λόγῳ μετρήσας· ὡσαύτως λῦσον καὶ ἡμῶν τὰ πταίσματα, ταῖς πρὸς Κύριον πρεσβείαις σου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια, ἦχος δ΄.

Ὁ ἐξ Ὑψίστου κληθείς.

Ὁ πρὸ συλλήψεως ὢν ἡγιασμένος, ὁ ἔνσαρκος Ἄγγελος, ὁ νοῦς ὁ πύρινος, ὁ ἐπουράνιος ἄνθρωπος, ὁ τῆς δευτέρας Χριστοῦ ἐλεύσεως θεῖος πρόδρομος, Ἠλίας ὁ ἔνδοξος, τῶν Προφητῶν ἡ κρηπὶς· πνευματικῶς συνεκάλεσε τοὺς φιλεόρτους, πανηγυρίσαι τὴν θείαν μνήμην αὐτοῦ. οὗ ταῖς πρεσβείαις διαφύλαξον, τὸν λαόν σου Χριστὲ ὁ Θεὸς ἡμῶν, ἀπὸ βλάβης παντοίας, τοῦ δολίου ἀνενόχλητον.

Στίχ. Μὴ ἅπτεσθε τῶν χριστῶν μου.

Ὁ οὐρανόφρων Ἠλίας ὁ Προφήτης, θεώμενος ἅπαντα ἀπὸ Κυρίου Θεοῦ, τὸν Ἰσραὴλ ἐκπορνεύσαντα, καὶ τοῖς εἰδώλοις προσεπηκότα, ζήλῳ πυρούμενος, νεφέλας συνέσχε, καὶ γῆν ἐξήρανε, καὶ Οὐρανοὺς λόγῳ ἔκλεισεν, ὑετὸν οὐκ ἔσεσθαι, σταγόνα ἐν γῇ, εἰ μὴ ἐμοῦ διὰ στόματος. αὐτὸς ὑπάρχει ἑστιάτωρ νῦν, ὡς ἀφθόνως ἡμῖν παρεχόμενος, ἀνεκλάλητον χάριν, τοῖς πιστῶς αὐτὸν γεραίρουσιν.

Στίχ. Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα.

Ὁ τῶν ἀρρήτων ἐπόπτης μυστηρίων, σὺ τὰ Ἰορδάνεια ῥεῖθρα διέρρηξας· σὺ τὴν ἀπάτην ἐπέφρασας, τὴν τῶν Εἰδώλων, τῇ ἀστραπῇ τῶν θείων ῥημάτων σου. σὺ παρανομήσαντα ἤλεγξας Ἄνακτα· καὶ Ἱερεῖς ἐθανάτωσας, τῆς ἀνομίας. καὶ τὴν θυσίαν ἀρχῇ ἐνέπρησας, καὶ νῦν λαβοῦσα τὰς φλογώδεις, τῶν παθημάτων καὶ θλίψεων ἄνθρακας, Ἠλιοῦ σῆς πρεσβείας, τῷ πυρὶ ἐναπομάρανον.

Δόξα, ἦχος πλ. β΄.

Προφῆτα κήρυξ Χριστοῦ, τοῦ θρόνου τῆς μεγαλωσύνης οὐδέποτε χωρίζῃ. καὶ ἑκάστῳ ἀσθενοῦντι ἀεὶ παρίστασαι. ἐν τοῖς ὑψίστοις λατρεύων, τὴν Οἰκουμένην ἀλογεῖς, πανταχοῦ δοξαζόμενος· αἴτησαι ἱλασμὸν ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή.

Τροπάριον, ἦχος δ΄.

Ὁ ἔνσαρκος Ἄγγελος, τῶν Προφητῶν ἡ κρηπὶς, ὁ δεύτερος Πρόδρομος τῆς παρουσίας Χριστοῦ, Ἠλίας ὁ ἔνδοξος, ἄνωθεν καταπέμψας, Ἐλισσαίῳ τὴν χάριν, νόσους ἀποδιώκει, καὶ λεπροὺς καθαρίζει. διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.

Καὶ νῦν. Θεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. καὶ οἱ Κανόνες, ὁ Κανὼν τῆς Ὀκτωήχου, ἢ τῆς Θεοτόκου εἰς η΄. καὶ τοῦ Προφήτου εἰς ϛ΄. οὗ ἡ ἀκροστιχίς.

Νέμοις Μάκαρ μοι θείαν Ἠλιοῦ χάριν. Ἰωσήφ.

Ὠδὴ α΄. ἦχ. πλ. δ΄. Ἁρματηλάτην.

Νενεκρωμένην τὴν ψυχήν μου ζώωσον, ὡς τὸν τῆς χήρας Υἱὸν· καὶ ἀρεταῖς θείαις, μάκαρ καταλάμπρυνον, καὶ πρὸς ζωὴν ὁδήγησον. καὶ τῆς αἰωνιζούσης, τρυφῆς ἀνάδειξον μέτοχον, σοῦ κατατρυφᾶν ἐφιέμενον.

Ἐν τῷ σὲ τίκτεσθαι ὁ σὸς μεμύηται, Γεννήτωρ μέγιστον, ὡς ἀληθῶς θαῦμα. πῦρ γὰρ σιτιζόμενον, φλογίτε σπαργανούμενον, σὲ τεθέαται Μάκαρ. διὸ ταῖς σαῖς παρακλήσεσι, ῥῦσαί με πυρὸς αἰωνίζοντος.

Μεγαλυνθεὶς ταῖς πρὸς Θεόν σου νεύσεσι, ζηλῶν ἐζήλωσας, ὡς ἀληθῶς μάκαρ, τῷ Κυρίῳ τῷ τότε. διό με ἐνδυνάμωσον, ζήλου θείου πλησθέντα, τὸ ἔνθεον πράττειν βούλημα, ἵνα σε γεραίρω σωζόμενος.

Θεοτοκίον.

Ὑπερούσιος Θεὸς Πανάμωμε, ἐκ σοῦ σεσάρκωται, καὶ δι᾽ ἡμᾶς ὤφθη, καθ᾽ ἡμᾶς ὡς ἄνθρωπος. ὃν ἐκτενῶς ἱκέτευε, ὑπὲρ ταύτης ἀνθρώπους, ἡμαρτηκότα με Παναγνε, σῶσαι καὶ κολάσεως ῥύσασθαι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

ΤΕρᾶς τῆς αἰσχύνης, ὡς δυσμενεῖς ἐκτανας, εὔδοξε Προφῆτα, τῷ θείῳ ζήλῳ σὺ πυρπολούμενος. ὅθεν κραυγάζω σοι· τῶν τῆς αἰσχύνης μου ἔργων, καὶ διαιωνίζοντος πυρὸς ἐξάρπασον.

ΣΕ προβάλλομαι πρέσβιν, πρὸς τὸν Θεὸν μέγιστον, σώζειν με δυνάμενον, πάσης μάκαρ κακώσεως· προσεπικάμφθητι, τῇ ταπεινῇ μου δεήσει· καὶ μὴ ὑπερίδῃς με παρακαλοῦντά σε.

ΜΕγαλύνει Θεός σε, ὁ Παντουργὸς εὔδοξε, πάλαι Ἠλιοὺ, δι' ὀρνέου τρέφων Προφῆτά σε. ὃν ἐκδυσώπησον, τῆς αἰωνίου τρυφῆς με, καὶ φωτὸς τοῦ μέλλοντος ποιῆσαι μέτοχον. Θεοτοκίον.

ἈΔιόδευτε Πύλη, ἡ πρὸς Θεὸν φέρουσα, πύλας μετανοίας μοι Κόρη, ἄνοιξον δέομαι· ἀποκαθαίρουσα ἁμαρτιῶν μου τὸν ῥύπον, ὄμβροις τοῦ ἐλέους σου Θεοχαρίτωτε.

Ἦχος πλ. Τὴν Σοφίαν καὶ Λόγον.

ὩΣ Προφήτης τοῦ ὄντως θείου φωτὸς, τοὺς Προφήτας τοῦ ψεύδους καταβαλὼν, ἐν τούτῳ διήλεγξας Ἀχαὰβ ἀνομήσαντα· μὴ προσκυνεῖν διδάξας τῷ Βάαλ πανεύδοξε, καὶ εὐχῇ αἰτήσας ἐξ ὕψους τὰ νάματα. ὅθεν καὶ πυρίνῳ, ἀνελήφθης Ἠλία, ὀχήματι μετάρσιος, διφρηλάτης πρὸς Κύριον. διὰ τοῦτο βοῶμέν σοι· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι.

Θεοτοκίον. Ὅμοιον.

ὩΣ Παρθένον καὶ μόνην ἐν γυναιξὶ, σὲ ἀσπόρως τεκοῦσαν Θεὸν σαρκὶ, πᾶσαι μακαρίζομεν γενεαὶ τῶν ἀνθρώπων· τὸ γὰρ πῦρ ἐσκήνωσεν ἐν σοὶ τῆς Θεότητος, καὶ ὡς βρέφος θηλάζεις τὸν Κτίστην καὶ Κύριον. ὅθεν τῶν Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζομεν τὸν πανάγιον Τόκον σου· καὶ συμφώνως βοῶμέν σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄσπορον Τόκον σου.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

ΚΑμπτει τὸν σὸν, ζῆλον Θεὸς πυρακτούμενος· καὶ πρὸς χήραν πέμπει διατρέφεσθαι, τὸν γυναικὸς πάλαι ἀπειλῇ, Ἠλιοὺ φυγάδα, γεγενημένον Θεσπέσιε. διό σε ἱκετεύω, τὴν ψυχήν μου πεινῶσαν, διαθρέψαι ἐνθέοις χαρίσμασιν.

ἉΜαρτιῶν, νέφη δεινὰ συγκαλύπτει με· τρικυμίαι βίου με χειμάζουσι, καὶ ἐπιπνέουσι χαλεπῶς, κατὰ τῆς ψυχῆς μου, τῆς πονηρίας τὰ πνεύματα· Προφῆτα Θεηγόρε, κυβερνήτης γενοῦ μοι, σωτηρίας πρὸς ὅρμον ἰθύνων με.

ῬΩσιν ψυχῆς, ῥῶσιν παράσχου μοι σώματος, τὸν τὰς νόσους πάντων ἀφαιρούμενον, ἐκδυσωπῶν μάκαρ Ἠλιοὺ, Κύριον τῆς δόξης, καὶ ἀβλαβῶς διατρέχειν με, τὰ σκάνδαλα τοῦ βίου, κατευόδωσον· σὲ γὰρ, ἀγαθόν μου προστάτην προβάλλομαι. Θεοτοκίον.

ΜΕτὰ πασῶν, τῶν οὐρανίων Δυνάμεων, μετὰ πάντων, Δέσποινα Πανάμωμε, τῶν Προφητῶν καὶ τῶν Ἀθλητῶν, καὶ τῶν Ἀποστόλων, καὶ τῶν Ὁσίων ἱκέτευε, τυχεῖν με σωτηρίας, τὸν πολλὰ ἁμαρτῶντα, καὶ ῥυσθῆναι μελλούσης κολάσεως.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

ὈΜβροτόκους νεφέλας, εἶργες πυρακτούμενος ζήλῳ τῆς πίστεως. ἀλλὰ δέομαί σου, Ἠλιοὺ ἱεραῖς μεσιτείαις σου, τὴν φλογμῷ τακεῖσαν, τῶν ἡδονῶν ψυχήν μου θείαις, ἐπομβρίαις ἀρδεῦσαι καὶ σῶσαί με.

ἹΕρεῖς δεδειγμένος, τέθυκας ἀθῴοις σου χερσὶ πανόλβιε, τῶν προσοχθισμάτων, Ἱερεῖς ἐνεργοῦντας τὰ ἄτοπα. ἀλλὰ δέομαί σου, πάσης ἀτόπου ἁμαρτίας, ἀβλαβῆ με Προφῆτα συντήρησον.

ΘΑυμαστοῦσαι Προφῆτα, θείαις ἐπικλήσεσι φλέγων τὰ νάματα, ἐκτελέσας πίστει. διὰ τοῦτο ἀπαύστως σου δέομαι, τῇ ἐμῇ καρδίᾳ, τὸν ἱερὸν ἀνάψαι πόθον, τὰ ὑλώδη μου πάθη συμφλέγοντα. Θεοτοκίον.

ἘΠὶ σὲ ὥσπερ ὄμβρος, Λόγος καταβέβηκεν ὁ Ὑπερούσιος. ὃν δυσώπει Κόρη, ἐπομβρῆσαί μοι νῦν κατανύξεως, καθαρὰς σταγόνας, ἀποπλυνούσας πάντα ῥύπον, τῶν ἀμέτρων κακῶν μου Πανάμωμε.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

ἹΛάσθητί μοι Σωτὴρ, πολλά σοι ἀφρόνως πταίσαντι· καὶ τῆς μελλούσης ἐκεῖ, κολάσεως λύτρωσαι, ἔχων δυσωποῦντά σε, Ἠλιοὺ τὸν μέγαν, καὶ τὴν Ἀχράντου Μητέρα σου.

ἉΓνείας ὡς φυτουργὸς, ἁγνὴν ψυχήν μου συντήρησον· ὡς ζηλωτὴς Ἠλιοὺ, ζήλου θείου πλήρωσον, τὴν ἐμὴν διάνοιαν. ὅπως τῆς κακίας, τὰς ἐφόδους ἀποκρούσωμαι.



Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

Ἡσθίας βρῶσιν μιᾷ, ὁδὸν τεσσαρακονθήμερον, αὐτῶν Θείᾳ ῥοπῇ. διὸ ἱκετεύω σε, πάσης παραβάσεως, ἐγκρατεύεσθαί με, θεοφόρε ἐνδυνάμωσον. Θεοτοκίον.

Ἡ Πύλη ἡ τοῦ Θεοῦ, ἀσόδους θείας ὑπάνοιξον, τῇ ταπεινῇ μου ψυχῇ, ἐν αἷς ἀσελεύσομαι, ἐξομολογούμενος· καὶ κακῶν τὴν λύσιν, Θεοτόκε ἀπολήψομαι.

Κοντάκιον, ἦχος β'.

Προφῆτα καὶ προόπτα τῶν μεγαλουργιῶν τοῦ Θεοῦ, Ἠλία μεγαλώνυμε, ὁ τῷ φθέγματί σου στήσας τὰ ὑδατόρρυτα νέφη. πρέσβευε ὑπὲρ ἡμῶν τὸν μόνον Φιλάνθρωπον. Ὁ Οἶκος.

Τὴν πολλὴν τῶν ἀνθρώπων ἀνομίαν, Θεοῦ δὲ τὴν ἄμετρον φιλανθρωπίαν θεασάμενος ὁ Προφήτης ἐταράττετο, Ἠλίας θυμούμενος. καὶ λόγους ἀσπλαγχνίας πρὸς τὸν εὔσπλαγχνον ἐκίνησεν, ὀργίσθητι, βοήσας, ἐπὶ τοὺς ἀθετήσαντάς σε, Κριτὰ Δικαιότατε. ἀλλὰ τὰ σπλάγχνα τοῦ ἀγαθοῦ, οὐδ᾽ ὅλως παρεκίνησε, πρὸς τὸ τιμωρήσασθαι τοὺς αὐτὸν ἀθετήσαντας. ἀεὶ γὰρ τὴν μετάνοιαν πάντων ἀναμένει, ὁ μόνος Φιλάνθρωπος.

Τῷ αὐτῷ Μηνὶ κ'. Ἡ πυρφόρος ἀνάβασις εἰς Οὐρανοὺς τοῦ Ἁγίου ἐνδόξου Προφήτου Ἠλιοὺ τοῦ Θεσβίτου.

Στίχ. Ἐπέσχεν ὄμβρον, πῦρ τρίτον φέρων κάτω.
Σχίζει δὲ ῥεῖθρον Ἠλίας τρέχων ἄνω.
Εἰκάδι βήσατο Ἠλίας οὔλυμπόνδε τέθριππος.

Οὗτος ἦν Υἱὸς Σωβὰκ ἐκ Θέσβης, ἐκ γῆς Ἀράβων, ἐκ φυλῆς Ἀαρών. οἰκῶν ἐν Γαλαάδ· ὅτι ἡ Θέσβη δόμα ἦν τοῖς Ἱερεῦσι δεδομένη· Καὶ ὅτε ἔτεκεν αὐτὸν ἡ Μήτηρ αὐτοῦ, εἶδε Σωβὰκ ὁ Πατὴρ αὐτοῦ, ὅτι ἄνδρες λευκοφανεῖς αὐτὸν προσηγόρευον, καὶ ὅτι ἐν πυρὶ αὐτὸν ἐσπαργάνουν, καὶ φλόγα πυρὸς ἐδίδουν αὐτῷ φαγεῖν. Καὶ ἐλθὼν εἰς Ἱερουσαλήμ, ἀπήγγειλε τοῖς Ἱερεῦσι. Καὶ εἶπεν αὐτῷ ὁ χρηματισμός· μὴ δειλιάσῃς ἄνθρωπε. ἔσται γὰρ ἡ οἴκησις τοῦ Παιδίου φῶς, καὶ ὁ λόγος αὐτοῦ ἀπόφασις, καὶ ἡ ζωὴ αὐτοῦ μετὰ Κυρίου, καὶ ὁ ζῆλος αὐτοῦ ἀρεστὸς τῷ Κυρίῳ, καὶ κρινεῖ τὸν Ἰσραὴλ ἐν ῥομφαίᾳ καὶ πυρί. Οὗτος ὃν προεφήτευσεν ἔτη κέ. προέλαβε δὲ τὴν ἔλευσιν τοῦ Χριστοῦ ἔτη ὀκτακόσια ἓξ καὶ δέκα. Οὗτός ἐστιν Ἠλίας, ὁ τὸ πῦρ ἐξ Οὐρανοῦ τρίτον κατενέγκας, καὶ τὸν ὑετὸν τῇ ἰδίᾳ γλώττῃ βαστάσας, καὶ νεκροὺς ἐγείρας, καὶ πεντήκοντα δυσσεβεῖς καταφλέξας. Καὶ ἐν τῷ Χωρὴβ ὄρει τὸν Θεὸν ἰδών, ὡς ἀνθρώπῳ δυνατὸν ἦν ἰδεῖν. Καὶ τὸν Ἰορδάνην τῇ μηλωτῇ σχίσας. Καὶ εἰς οὐρανοὺς ἐν ἅρματι πυρὸς ἀναληφθείς. Καὶ ἐν τῇ μεταμορφώσει μετὰ Μωσέως τῷ Χριστῷ παραστάς. Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις ὁ Θεός.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Λαὸν ἀπολύμενον, κατοικτειρήσας ζήλῳ τῆς πίστεως, ἐπικλήσεσι θείαις, πῦρ κατηγάγω φλογίζον ἔνδοξε, ὅσιον θῦμα. διὸ ἱκετεύω σε, τῆς αἰωνίου φλογὸς, ῥῦσαι καὶ σῶσόν με.

Ἰδεῖν κατηξίωσαι, Θαβὼρ ἐν ὄρει Θεοῦ τὸ πρόσωπον· ὃν δυσώπει Προφῆτα, τοῦ παραβλέψαι τὰς ἁμαρτίας μου· καὶ ἐν ἡμέρᾳ τῆς δίκης θεάσασθαι, ἀκαταγνώστῳ ψυχῇ αὐτοῦ τὸ πρόσωπον.

Ὁδὸν πορευόμενος, τοῦ βίου πλείστας πολλὰς ὑφίσταμαι· ἀγαθέ μου προστάτα, κυβέρνησόν με τῇ προστασίᾳ σου, ἐπιστηρίζων γνώμῃ σαλευόμενον, καὶ πρὸς σαρκὸς ἡδονὰς, Ἠλιοὺ νεύοντα. Θεοτοκίον.

Ὑμνῶ σε Πανύμνητε, καὶ μεγαλύνω Θεοχαρίτωτε, τὴν ἁγνήν σου Λοχείαν· βοήθησόν μοι βίου τοῖς κύμασι, χειμαζομένῳ καὶ δίδου κατάνυξιν, τῇ ταπεινῇ μου ψυχῇ, καθαρτικὴν μολυσμῶν.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Χωρητικὸν δοχεῖόν σε, Θείου Πνεύματος ἔγνωμεν, Ἄγγελον ἐν γῇ, πῦρ ζήλου θείου πνέοντα, δυσσεβεῖς τρέποντα, καὶ Βασιλεῖς ἐλέγχοντα· χρίοντα Προφήτας, Ἠλιοὺ, καὶ Αἰσχύνης, συγκόπτοντα μαχαίρᾳ, Ἱερεῖς· διὰ τοῦτο, βοῶμέν σοι αἰσχύνης, ἡμᾶς παντοίας ῥῦσαι.

Ἅρμα πυρός σε ἔλαβεν, ἀπὸ γῆς πυρακτούμενον, ζήλῳ Ἠλιοὺ, τῷ θεϊκῷ Θεόπνευστε. διὸ ἱκετεύω σε, τῶν ἐν τῇ γῇ με πάντων κακῶν, τῶν σῶν ἀρετῶν, ἐπικουφίζων τὸν νοῦν μου, τεθρίππῳ καὶ πρὸς νύσσαν, οὐρανίαν με φθάσαι, τὸν πάντων ἐκδυσώπει, Θεὸν καὶ Βασιλέα.

Ῥήματι ζῶντι ἔκλεισας, Οὐρανὸν ὑετίζοντα. ῥηματίσει νῦν, πνευματικῷ διάνοιξον, τὰς πύλας μοι δέομαι, τῆς μετανοίας Ἅγιε. πέμπων τῇ ψυχῇ μου, κατανύξεως ὄμβρους· καὶ σῶσόν με βοῶντα. Ἱερεῖς εὐλογεῖτε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Γσο-

Ἰσόθεον ἣν ὁμότιμον, ὁμοούσιον σύνθρονον, σέβοντες Τριάδα, ἐν μιᾷ Θεότητι, Πατέρα δοξάζομεν, Υἱὸν καὶ Πνεῦμα Ἅγιον, ἄδυτον αὐγήν, ὁμοβασίλειον κράτος· καὶ μέλπομεν συμφώνως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε. Θεοτοκίον.

Ἡ ὁμοθετῶν εὐσέβειαν, καὶ διδάσκων μετάνοιαν, ὁ Ἐμμανουήλ, ἐκ σοῦ τεχθεὶς ἐπέφανεν· ὃν νῦν ἐκδυσώπησον, Ὑπεραγία Δέσποινα, τῆς δικαιοσύνης ὑπανοῖξαί μοι πύλας, καὶ σῶσαί με βοῶντα· Ἱερεῖς εὐλογεῖτε.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός.

Ἰδεῖν ἐν λεπτοτάτῃ αὔρᾳ Θεόν, ὡς ἰδεῖν δυνατὸν κατηξίωσαι, ἀσκητικαῖς πρότερον τὸ σῶμα διαγωγαῖς, καταλεπτύνας Ἔνδοξε. ὅθεν δυσωπῶ σε ταῖς προσευχαῖς, τὸ πάχος τοῦ νοός μου, λεπτύνας μετανοίας, μαρμαρυγαῖς θείαις καταύγασον.

Ὡς πάλαι Ἰορδάνην τῇ μηλωτῇ, διαρρήξας διέβης Πανόλβιε· οὕτω κάμοῦ, τῶν ἁμαρτημάτων τῶν χαλεπῶν, τὰς διεκχύσεις ξήρανον, ὄμβρους ἐπιπέμπων μου τῇ ψυχῇ, δακρύων καθ' ἑκάστην, Προφῆτα θεηγόρε, τρυφῆς χειμάῤῥους προξενοῦντάς μοι.

Σκανδάλων τῶν ἐν βίῳ πολυειδῶν, ἀνομούντων ἐχθρῶν πάσης θλίψεως, σωματικῆς, νόσου ψυχικῆς τε παρατροπῆς, ταῖς προσευχαῖς σου ῥῦσαί με, Ἔνδοξε Προφῆτα ὡς ἀγαθός, προστάτης μου βοῶ σοι· καὶ τῆς ἐν τῇ γεέννῃ, αἰωνιζούσης κατακρίσεως.

Ἡρπάγης πρὸς τὸ ὕψος, Ἐλισσαιὲ, διπλουμένην τὴν χάριν τοῦ Πνεύματος, καταλιπὼν, Ἔνδοξε αἰτήσαντι Ἠλιοῦ. μεθ' οὗ ἀπαύστως αἴτησαι, νίκην οὐρανόθεν τῷ Βασιλεῖ, καὶ ἄφεσιν πταισμάτων, προστάτην σε πλουτοῦντι, πρὸς τὸν Δεσπότην ἀκαταίσχυντον. Θεοτοκίον.

Φωνὰς τῶν οἰκετῶν σου ὡς ἀγαθή, μὴ παρίδῃς Πανάμωμε Δέσποινα· ἀλλ' ἐκτενῶς, αἴτησαι τὸν πάντων Δημιουργόν, τῷ Βασιλεῖ τὰ τρόπαια, καὶ τὴν εὐρωστίαν τὴν ψυχικήν, δωρήσασθαι Παρθένε, καὶ θείας Βασιλείας, τὴν μετουσίαν καὶ λαμπρότητα.

Ἐξαποστειλάριον. Φῶς ἀναλλοίωτον.

Ὡς ἐν πυρίνῳ τεθρίππῳ, οὐρανοδρόμον σε δεῖξαν, ἁρματηλάτην Ἠλία, ὃ κατηνάλωσεν ὅλως· πῦρ γὰρ ἐν γλώσσῃ πυρίνῃ, ἕλκυσας κάτω, καὶ ἀνεξήρανας ὄμβρους.

Θεοτοκίον. Ὅμοιον.

Ὡς ἡ τεκοῦσα Παρθένε, δυσώπησον ταῖς πρεσβείαις, τὸν σὸν Υἱὸν Θεοτόκε, τοῦ οἰκτειρῆσαι καὶ σῶσαι, τοῦ αἰωνίου με σκότους, τὸν πεποιθότα, τῇ σῇ σεπτῇ ἀντιλήψει.

Εἰς τοὺς Αἴνους, ς΄ προσόμοια, ἦχος πλ. δ΄.

Τί ὑμᾶς καλέσωμεν.

Ὅτε σὺ Προφῆτα θεσπέσιε, τῷ Θεῷ δι' ἀρετῆς, καὶ πολιτείας ἀκραιφνοῦς, συνεκράθης παρ' αὐτοῦ, τὴν ἐξουσίαν εἰληφώς· τὴν Κτίσιν κατὰ γνώμην μετηῤῥύθμισας· καὶ πύλας ὑετοῦ θέλων ἀπέκλεισας. καὶ ἄνωθεν πῦρ κατήγαγες, καὶ δυσσεβεῖς κατηνάλωσας· ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Δίς.

Ζήλῳ τοῦ Κυρίου πυρούμενος, παρανόμους Βασιλεῖς, σὺ διήλεγξας σφοδρῶς. τῆς αἰσχύνης Ἱερεῖς ἐθανάτωσας θερμῶς. ἀνῆψας πῦρ ἐν ὕδατι παράδοξον, τροφὴν δὲ ἀγεώργητον ἐπήγασας· καὶ νάματα Ἰορδάνου, τῇ μηλωτῇ σου διέτεμες. ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὅτε σὺ Προφῆτα κατέδειξας, ἐπὶ γῆς ὡς ἀληθῶς τὴν ἐπουράνιον ζωήν, καὶ ζωὴν ἐν σεαυτῷ τὴν ἐνυπόστατον πλουτῶν, θανόντα, σοῖς φυσήμασιν ἀνέστησας· σὺ κρείττων ἔτι θαύματος διέμεινας. ἅρμα πυρὸς ἐπιβέβηκας, αἰθέριος αἰωρούμενος. ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Δόξα, ἦχος πλ. δ΄.

Τῶν Προφητῶν τοὺς ἀκραίμονας, καὶ παμφαεῖς Φωστῆρας τῆς Οἰκουμένης, ἐν ὕμνοις τιμήσωμεν πιστοί, Ἠλίαν καὶ Ἐλισσαῖον, καὶ Χριστῷ ἐκβοήσωμεν χαρμονικῶς· εὔσπλαγχνε Κύριε, παράσχου τῷ λαῷ σου, ἱκεσίαις τῶν Προφητῶν σου, ἄφεσιν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτ. Δέσποινα πρόσδεξαι.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν. Τυπικά, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου· Ὠδὴ γ΄. καὶ ς΄.

Προκείμενον, τοῦ Ἀποστόλου, ἦχος δ΄.

Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Ὁ Ἀπόστολος. Καθολ. Ἐπιστολῆς Ἰακώβου. Κεφ. έ. 10.

Ἀδελφοί, ὑπόδειγμα λάβετε τῆς κακοπαθείας, καὶ τῆς μακροθυμίας, τοὺς Προφήτας, οἳ ἐλάλησαν τῷ ὀνόματι Κυρίου. Ἰδοὺ μακαρίζομεν τοὺς ὑπομένοντας. Τὴν ὑπομονὴν Ἰὼβ ἠκούσατε, καὶ τὸ τέλος Κυρίου εἴδετε,

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

ὅτι πολυεύσπλαγχνός ἐστιν ὁ Κύριος, καὶ οἰκτίρμων. Πρὸ πάντων δὲ, ἀδελφοί μου, μὴ ὀμνύετε μήτε τὸν Οὐρανὸν, μήτε τὴν γῆν, μήτε ἄλλον τινὰ ὅρκον· ἤτω δὲ ὑμῶν τὸ ναὶ, ναὶ, καὶ τὸ οὒ, οὔ· ἵνα μὴ εἰς ὑπόκρισιν πέσητε. Κακοπαθεῖ τις ἐν ὑμῖν; προσευχέσθω. Εὐθυμεῖ τις; ψαλλέτω. Ἀσθενεῖ τις ἐν ὑμῖν; προσκαλεσάσθω τοὺς Πρεσβυτέρους τῆς Ἐκκλησίας, καὶ προσευξάσθωσαν ἐπ' αὐτὸν, ἀλείψαντες αὐτὸν ἐλαίῳ ἐν τῷ ὀνόματι τοῦ Κυρίου. Καὶ ἡ εὐχὴ τῆς Πίστεως σώσει τὸν κάμνοντα, καὶ ἐγερεῖ αὐτὸν ὁ Κύριος. κἂν ἁμαρτίας ᾖ πεποιηκὼς, ἀφεθήσεται αὐτῷ. Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, καὶ εὔχεσθε ὑπὲρ ἀλλήλων, ὅπως ἰαθῆτε. Πολὺ ἰσχύει δέησις Δικαίου ἐνεργουμένη. Ἠλίας ἄνθρωπος ἦν ὁμοιοπαθὴς ἡμῖν, καὶ προσευχῇ προσηύξατο τοῦ μὴ βρέξαι· καὶ οὐκ ἔβρεξεν ἐπὶ τῆς γῆς ἐνιαυτοὺς τρεῖς, καὶ μῆνας ἕξ. Καὶ πάλιν προσηύξατο, καὶ ὁ Οὐρανὸς ὑετὸν ἔδωκε, καὶ ἡ γῆ ἐβλάστησε τὸν καρπὸν αὐτῆς. Ἀδελφοὶ, ἐάν τις ἐν ὑμῖν πλανηθῇ ἀπὸ τῆς ὁδοῦ τῆς ἀληθείας, καὶ ἐπιστρέψῃ τις αὐτὸν, Γινωσκέτω, ὅτι ὁ ἐπιστρέψας ἁμαρτωλὸν ἐκ πλάνης ὁδοῦ αὐτοῦ, σώσει ψυχὴν ἐκ θανάτου, καὶ καλύψει πλῆθος ἁμαρτιῶν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Κεφ. δ. 22. Τῷ καιρῷ ἐκείνῳ, ἐθαύμαζον οἱ ὄχλοι ἐπὶ τοῖς λόγοις τῆς χάριτος, τοῖς ἐκπορευομένοις ἐκ τοῦ στόματος τοῦ Ἰησοῦ, καὶ ἔλεγον· Οὐχ οὗτός ἐστιν ὁ Υἱὸς Ἰωσήφ; καὶ εἶπε πρὸς αὐτούς· Πάντως ἐρεῖτέ μοι τὴν παραβολὴν ταύτην· Ἰατρὲ, θεράπευσον σεαυτόν· ὅσα ἠκούσαμεν γενόμενα ἐν τῇ Καπερναοὺμ, ποίησον καὶ ὧδε ἐν τῇ Πατρίδι σου. Εἶπε δέ· ἀμὴν λέγω ὑμῖν, ὅτι οὐδεὶς Προφήτης δεκτός ἐστιν ἐν τῇ Πατρίδι αὐτοῦ. Ἐπ' ἀληθείας δὲ λέγω ὑμῖν· πολλαὶ χῆραι ἦσαν ἐν ταῖς ἡμέραις Ἠλιοῦ ἐν τῷ Ἰσραὴλ, ὅτε ἐκλείσθη ὁ Οὐρανὸς ἐπὶ ἔτη τρία, καὶ μῆνας ἕξ, ὡς ἐγένετο λιμὸς μέγας ἐπὶ πᾶσαν τὴν γῆν· καὶ πρὸς οὐδεμίαν αὐτῶν ἐπέμφθη Ἠλίας, εἰμὴ εἰς Σάρεφθα τῆς Σιδῶνος, πρὸς γυναῖκα χήραν. Καὶ πολλοὶ λεπροὶ ἦσαν ἐπὶ Ἐλισσαίου τοῦ Προφήτου ἐν τῷ Ἰσραὴλ, καὶ οὐδεὶς αὐτῶν ἐκαθαρίσθη, εἰμὴ Νεεμὰν ὁ Σύρος. Καὶ ἐπλήσθησαν πάντες θυμοῦ ἐν τῇ συναγωγῇ, ἀκούοντες ταῦτα. Καὶ ἀναστάντες, ἐξέβαλον αὐτὸν ἔξω τῆς Πόλεως· καὶ ἤγαγον αὐτὸν ἕως τῆς ὀφρύος τοῦ ὄρους, ἐφ' οὗ ἡ Πόλις αὐτῶν ᾠκοδόμητο, εἰς τὸ κατακρημνίσαι αὐτόν. Αὐτὸς δὲ διελθὼν διὰ μέσου αὐτῶν, ἐπορεύετο.

Κοινωνικόν. Ἀγαλλιᾶσθε δίκαιοι.

## Μηνὶ τῷ αὐτῷ ΚΑ΄.

Τῶν Ὁσίων Πατέρων ἡμῶν Ἰωάννου, καὶ Συμεὼν τοῦ διὰ Χριστὸν Σαλοῦ. ζήτει εἰς Ὁσίους.

## Μηνὶ τῷ αὐτῷ ΚΒ΄.

### Τῆς Ἁγίας Μυροφόρου, καὶ Ἰσαποστόλου Μαρίας τῆς Μαγδαληνῆς.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Μύρα προσεκόμισας Χριστῷ, τεθειμένῳ μνήματι, καὶ τοῖς νεκροῖς τὴν ἀνάστασιν πᾶσιν ἐμπνέοντι· καὶ ἰδοῦσα τοῦτον, πρώτη προσεκύνησας, Μαρία θεοφόρε δακρύουσα. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Σταυρῷ καθηλωμένον Χριστὸν, καθορῶσα ἔκλαιες, Μαγδαληνὴ καὶ ἐκραύγαζες· τί τὸ ὁρώμενον; ἡ ζωὴ πῶς θνήσκει; καὶ ἡ Κτίσις βλέπουσα, κλονεῖται, καὶ φωστῆρες σκοτίζονται. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἐπλήσθης συνέσεως πολλῆς, ἀληθοῦς τε γνώσεως, ἐν τῷ συνεῖναι τῷ Κτίσαντι, Μαρία ἔνδοξε. καὶ αὐτοῦ τὰ Πάθη, καὶ τὴν συγκατάβασιν, ἐκήρυξας λαοῖς παναοίδιμε. διὸ ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν.

Δόξα, ἦχος πλ. β΄. Ἀνατολίου.

Πρώτη κατιδοῦσα τὴν θείαν Ἀνάστασιν, Μαρία ἡ Μαγδαληνὴ, τοῦ Πρώτου τῶν ἀγαθῶν Αἰτίου, τοῦ τὴν ἡμετέραν εὐσπλάγχνως φύσιν θεώσαντος· πρώτη καὶ εὐαγγελίστρια ἐδείχθη, βοῶσα τοῖς Ἀποστόλοις· τὴν ἀθυμίαν ἀναλάβετε· καὶ δεῦτε κατοπτεύσατε Χριστὸν ἐξαναστάντα, καὶ Κόσμῳ παρέχοντα τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον. Τίς μὴ μακαρίσει σε.

Εἰς τὸν στίχον στιχηρὰ τῆς Ὀκτωήχου.

Δόξα, ἦχος πλ. δ΄. Βυζαντίου.

Τῷ ἑκουσίως πτωχεύσαντι τὴν πτωχείαν τὴν ἐμὴν, ὑπερβολῇ εὐσπλαγχνίας Χριστῷ τῷ Θεῷ, ἡ Μαγδαληνὴ Μαρία ὡς

μαθή-

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

μαθήτρια πιστῶς διακονήσασα, ἐπὶ ξύλου ταθέντα, καὶ τάφῳ συγκλεισθέντα, κατιδοῦσα ἐβόα δακρυῤῥοοῦσα· τί τὸ ξένον θέαμα; ὁ νεκροὺς ζωοποιῶν, πῶς νεκρὸς λογίζεται; ποῖα μῦρα κομίσω, τῷ ἀπαλλάξαντί με δυσωδίας τῶν δαιμόνων; ποῖα δάκρυα χέω, τῷ δακρύων τὴν ἐμὴν μεταμφιάσαντι προμήτορα; ἀλλ' ὁ τοῦ σύμπαντος Ἄναξ, ὡς Παραδείσου φύλαξ φανεὶς, δροσισμῷ τῶν αὐτοῦ ῥημάτων, τὸν καύσωνα ἀφανίζει, λέξας πρὸς αὐτήν· ἀγγέλια χαρᾶς ἀναβόησον· ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν· ὅπως παρέξω τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Καὶ νῦν. Θεοτοκίον.

Τὰ οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη Μήτηρ ἀνύμφευτε. καὶ ἡμεῖς δοξολογοῦμεν, τὴν ἀνεξιχνίαστόν σου γέννησιν. Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τροπάριον, ἦχος α΄.

Χριστῷ τῷ δι' ἡμᾶς ἐκ Παρθένου τεχθέντι, σεμνὴ Μαγδαληνὴ ἠκολούθεις Μαρία. αὐτοῦ τὰ δικαιώματα, καὶ τοὺς νόμους φυλάττουσα. ὅθεν σήμερον τὴν παναγίαν σου μνήμην, ἑορτάζοντες, ἀνευφημοῦμέν σε πίστει, καὶ πόθῳ γεραίρομεν.

Τὴν Ἀκολουθίαν τοῦ Ὄρθρου,
Ζήτει εἰς Ὁσίαν Γυναῖκα.

Μηνὶ τῷ αὐτῷ κγ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Φωκᾶ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Μηνὶ τῷ αὐτῷ κδ΄.

Τῆς Ἁγίας Μάρτυρος Χριστίνης. ζήτει εἰς Ἁγίαν Μάρτυρα Γυναῖκα.

Μηνὶ τῷ αὐτῷ κε΄.

Ἡ Κοίμησις τῆς Ἁγίας Ἄννης τῆς Μητρὸς τῆς Ὑπεραγίας Θεοτόκου. ζήτει τὴν Ἀκολουθίαν Σεπτεμβ. θ΄.

Μηνὶ τῷ αὐτῷ κϛ΄.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Ἑρμολάου· καὶ τῆς Ἁγίας Ὁσιομάρτυρος Παρασκευῆς.

Τὴν Ἀκολουθίαν τοῦ Ἁγίου ζήτει εἰς Ἱερομάρτυρα. Στιχ. προσόμοια τῆς Ἁγίας, ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος, Παρασκευὴ ἡ σοφὴ, Ἀντωνίνου τὸ φρύαγμα, ἀνδρικῶς κατέβαλες, προθύμως ἐναθλήσασα· καὶ τῶν βραβείων τῆς ἄνω κλήσεως, καὶ τῶν στεφάνων ἀξιωθεῖσα σεμνή· ὑπὲρ τῶν δούλων σου, τῶν πιστῶς τιμώντων σε, μνείαν ποιοῦ, πάντοτε πρὸς Κύριον, ἐλεηθῆναι ἡμᾶς.

Μάρτυς τοῦ Χριστοῦ πανεύφημε, ἡ τὸν Δεσπότην Χριστὸν, εὐψύχως ποθήσασα, τῶν βασάνων ἤνεγκας, τὰς πληγὰς καρτερώτατα· καὶ ξεομένη πλευρὰς ταῖς μάστιξιν, αἰκίας πάσας διὰ τὸν σὸν ἐραστὴν, καθυπομείνασα, τῶν στεφάνων ἔτυχες, τῶν παρ' αὐτοῦ. ὅθεν εὐφημοῦμέν σε Θεομακάριστε.

Ὁσιομάρτυς πανεύδοξε, τίς ἐξισχύσει εἰπεῖν, τῶν σῶν πόνων τὰ ἔπαθλα; καὶ τοῦ μαρτυρίου σου, τὰ ἀνδρεῖα τεράστια; ὑπομονήν τε καὶ τὴν πραότητα, ἣν ἐνεδείξω σεμνὴ ὡς ἄσαρκος; ὅθεν συνόμιλος, τῶν Ἀγγέλων γέγονας, Παρασκευὴ, Νύμφη τοῦ Παντάνακτος, σκεῦος τοῦ Πνεύματος.

Δόξα, ἦχος πλ. β΄.

Παρθενομάρτυς ἀθλοφόρε, Παρασκευὴ πανεύδοξε, τοὺς τὴν σὴν μνήμην ἀξίως ἐκτελοῦντας, αἴτησαι ῥυσθῆναι πειρασμῶν καὶ θλίψεων, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, καὶ τῆς μελλούσης κρίσεως, Μάρτυς πανοίδιμε.

Καὶ νῦν. Θεοτ. Τίς μὴ μακαρίσει σε.

Εἰς τὸν στιχ. στιχηρὰ προσόμοια τῆς Ἁγίας, ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Πολυώδυνα βάσανα, ὑποστᾶσα Πανεύδοξε, ἀνδρικῷ φρονήματι ηὐτομόλησας· καὶ τῶν Ἑλλήνων σεβάσματα, ὡς κόνιν ἐλέπτυνας. τῷ γὰρ σθένει τοῦ Σταυροῦ, τὸν ἀντίπαλον ἔκτανας, τὸν καυχώμενον, καὶ ἐφ' ὑπεράνω ἄστρων θρόνον θεῖναι, πρὸ ποδῶν σου γὰρ ἐῤῥάγη, ὥσπερ στρουθίον παιζόμενος.

Στιχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Τῆς πλακὸς τὴν βαρύτητα, καὶ πυρὸς τὴν κατάκαυσιν, Θεϊκῇ προνοίᾳ Ἄγγελος τάχιστα, τὴν μὲν ὡς φύλλον ἀνέδειξε, τὴν δὲ αὔραν εὔδροσον, οἷα πάλαι τοῖς Παισὶ, τοῦ τετάρτου ἡ ὅρασις. μεθ' ὧν ἔκραζες· σοῦ τὸ ἔλεος μέγα Πανοικτίρμον· ὅθεν σέβω γηθομένη, σοῦ τὸ πανύμνητον ὄνομα.

Στιχ. Καὶ ἔστησεν ἐπὶ πέτραν.

Καθαρότητα σώματος, καὶ ψυχῆς τὴν λαμπρότητα, κτησαμένη πάντοτε, ὤφθης ἄμωμος· σὸν γὰρ Νυμφίον ποθήσασα, κατ' ἴχνος ἐβάδισας, νοητοῦ μύρου σεμνὴ, Παρασκευὴ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ρασκδιὴ ἀοίδιμε. καὶ νῦν πρέσβευε, τὸν Σωτῆρα τῶν ὅλων λύσιν δοῦναι, ὀφλημάτων τοῖς ἐν πίστει, ἐπιτελοῦσι τὴν μνήμην σου.

Δόξα, ἦχος πλ. β'.

ΛΕῦτε πάντα τῆς γῆς τὰ πέρατα, πνευματικὴν χορείαν ἐπικροτήσωμεν· καὶ τὴν Χριστοῦ Παρθενομάρτυρα εὐφημήσωμεν, λέγοντες· χαίροις Παρασκευὴ ὁσία καὶ θεοτίμητε· χαίροις ἡ τὸ μαρτύριον καλῶς ὑποδεξαμένη· χαίροις τῶν Μαρτύρων ἰσοστάσιε, καὶ τῶν Ὁσίων ὁμόσκηνε. μεθ' ὧν ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν. Θεοτοκίον.

Τροπάριον τῆς Ἁγίας, ἦχος δ'.

Ἡ Ἀμνάς σου Ἰησοῦ.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. καὶ οἱ Κανόνες, τῆς Ὀκτωήχου, ἡ τῆς Θεοτόκου, καὶ τῶν Ἁγίων. τὸν Κανόνα τοῦ Ἁγίου, ζήτει εἰς Ἱερομάρτυρα. Εἶτα ὁ Κανὼν τῆς Ἁγίας.

Ποίημα τοῦ Κυρίου Θεοφάνους.

Ὠδὴ α'. ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

ΥΜνοῦσι τὴν φωτοφόρον μνήμην σου, Μάρτυς πανεύφημε, χαίρειν δοθῆναι αἴτησαι ἡμῖν, καὶ πταισμάτων τὴν ἄφεσιν, Παρασκευὴ ἀοίδιμε, ταῖς πρὸς τὸν Κύριον δεήσεσι.

ΗΟμίσας τῆς καρτερίας λύχνον σου, Μάρτυς τὸ εὔτονον, ὁ τοῖς ξοάνοις Τύραννος δεινῶς, ἀπονέμων προσκύνησιν· ἀλλὰ σοφοῖς σου ῥήμασι, τούτου τὸ θράσος ἅπαν λέλυται.

ΜΑρτύρων σὺ καλλονὴ ἀνέφανας, τὰς τοῦ ἐχθροῦ μηχανὰς, καταβαλοῦσα ὅπλῳ τοῦ Σταυροῦ, καὶ Τυράννων ὠμότητα, ἀθλητικῶς παλαίσασα, θεοσεβῆ Πίστιν ἐκήρυξας. Θεοτοκίον.

ΟΛόγος ἐκ σῶν ἀχράντων Δέσποινα, αἱμάτων τίκτεται, ἐμψυχωμένην σάρκα ἀληθῶς· καὶ ἡμᾶς ὀλισθήσαντας, ἀπατεῶνος δήγματι, τῷ Θείῳ κράτει ἀνεπλάσατο.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

ΕΝδυσε τὸ ἀσθενὲς, τὸ Θεῖον Πνεῦμα, καὶ φαιδρὸν δίδαχεν, ἐξακονίζον ἄρρητα, τῆς σῆς ἀκραιφνοῦς ψυχῆς ἔλλαμψιν.

ΠΩθοῦσα θεία Χριστοῦ, τὰς τῶν βασάνων ἀφειδῶς μάστιγας, Μάρτυς Χριστοῦ ὑπέφερες, οἷά τις ἀδάμας στερρότατος.

ΑΓάπῃ τῇ πρὸς Θεὸν, ἐν τῷ σταδίῳ καρτερῶς ἤνεγκας, τὸν σκορπισμὸν τοῦ σώματος, καὶ τοὺς ἀνυποίστους πικροὺς αἰκισμούς.

ΣΥ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας. ὅθεν σοι τὸ χαῖρε κραυγάζομεν.

Ὁ Εἱρμός.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου.

Κάθισμα. ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

ΕΚ σπαργάνων μητρῴων σὺ τῷ Χριστῷ, ἀνετέθης ὡς Μάρτυς διηνεκῶς. αὐτῷ εὐηρέστησας, τῷ Σωτῆρι τῶν ὅλων· καὶ Τυράννων τὰ θράση, στερρῶς κατεπάτησας· καὶ βασάνους ὄντως, ἀνδρείως ὑπέμεινας. ὅθεν ὁ Χριστός σοι, τοὺς στεφάνους κομίσας, ἐνδόξως ἡτοίμασεν, εἰς νυμφῶνα οὐράνιον, Παρασκευὴ ἀξιάγαστε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν.

Θεοτοκίον. Ὅμοιον.

ΩΣ Παρθένον καὶ μόνην ἐν γυναιξὶ, σὲ ἀσπόρως τεκοῦσαν, Θεὸν σαρκὶ, πᾶσαι μακαρίζομεν γενεαὶ τῶν ἀνθρώπων. τὸ γὰρ πῦρ ἐσκήνωσεν, ἐν σοὶ τῆς Θεότητος· καὶ ὡς βρέφος θηλάζεις, τὸν Κτίστην καὶ Κύριον. ὅθεν τῶν Ἀγγέλων, καὶ ἀνθρώπων τὸ γένος, ἀξίως δοξάζομεν, τὸν πανάγιον τόκον σου· καὶ συμφώνως βοῶμέν σοι· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσιν ἐν πίστει, τὸν ἄσπορον Τόκον σου.

Ὠδὴ δ'. Ἐπαρθένος σε.

ΙΑμάτων τυχοῦσα καὶ χαρισμάτων, καὶ ὀπτασίας Ἔνδοξε, τὰς θείας πηγάζεις χάριτας ἑκάστοτε, τοῖς πίστει γεραίρουσι, καὶ τῷ σῷ λιμένι προστρέχουσι.

ΡΥπίδα ὄντως καὶ σπίλον μηδ' ὅλως χοῦσα, ἁγιασμόν τε σώματος ἐπικτησαμένη, Ἀγγέλους τεθέασαι· μεθ' ὧν ἀνεκραύγαζες· δόξα τῇ δυνάμει σου Κύριε.

ΩΣ καταπληκτικὸν σημεῖον φρικτῆς ἡμέρας, τοῦ σωτηρίου πάθους γὰρ ἐξακονισθείσης, γυναικείῳ σώματι, Σταυρόν τε καὶ κάλαμον, στέφανον καὶ σπόγγον τεθέασαι. Θεοτοκίον.

ΑΠαρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης Παρθενεύουσα πάλιν. ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιαλείπτῳ κραυγάζομεν.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

ΗΓώνισαι Σεμνὴ, καὶ τὸν Τύραννον ἐξέπληξας, ῥητορεύσεσι ταῖς πανσόφοις, πρὸ βημάτων ἀφρόνων, τὸν Χριστὸν καταγγέλλουσα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Νοῦν ἔχουσα στεῤῥὸν, ἀηττήτῳ φρονήματι, κατῄσχυνας τῶν εἰδώλων, τὰ σεβάσματα πάντα, γραφικαῖς ἀποδείξεσι.

Τ Ἀγαθὸς νοητοῦ, καὶ νυμφῶνος ἠξίωσαι, χορεύουσα σὺν Παρθένοις, ταῖς φρονίμοις ἐνθέως, Παρασκευὴ ἀοίδιμε. Θεοτοκίον.

Σὲ ὅπλον ἀῤῥαγὲς, κατ' ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ϛ΄. Θύσω σοι, μετὰ φωνῆς.

Ἀγγέλου, παρουσίᾳ τὴν στέρνοις τεθέασαι σοι, μεγίστην Πάνσεμνε πλάκα, καὶ χαρῶν τοὺς ἥλους εὔδοξε Μάρτυς, ὁ Δεσπότης, ῥοπῇ θείᾳ θᾶττον ἠφάνισε.

Νέαν σε, Πρωτομάρτυρα Θέκλαν δοξάζομεν, οἷα κηρύξασαν πᾶσι, καὶ πολλοὺς φωτίζουσαν θείῳ λόγῳ, καὶ ἀπίστους, πρὸς τὴν ἔνθεον Πίστιν ῥυθμίζουσαν.

Ἐῤῥάσου, τῶν ἐνθέων δογμάτων ὁ σύλλογος, μελισταγὴς τῶν χειλέων, καὶ τὴν γνῶσιν πάντας διδάσκουσα, παῤῥησίᾳ, Παρασκευὴ Μαρτύρων ἀγλάϊσμα. Θεοτοκίον.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησεν.

Ὁ Εἱρμός.

Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε.

Κοντάκιον, ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τὸν Ναόν σου Πάνσεμνε ὡς ἰατρεῖον, ψυχικὸν εὑράμενοι, ἐν τούτῳ πάντες οἱ πιστοὶ, μεγαλοφώνως τιμῶμέν σε, Ὁσιομάρτυς Παρασκευὴ ἀοίδιμε. Ὁ Οἶκος.

Ἡ τοῦ Νυμφίου σε φωνὴ καλέσασα, ὡς Νύμφην, στεφάνῳ ἀφθαρσίας ἐκόσμησε Θεόφρων, Παρασκευὴ Πανευκλεής. καὶ μετὰ Ἀθλοφόρων καὶ Μαρτύρων τῶν σεπτῶν, ἀξίως συνηρίθμησε. μεθ' ὧν εὐφραινομένη μέμνησο τῶν ἐκτελούντων τὴν ἁγίαν ἑορτήν σου, καὶ συνελθόντων ἔνδον τοῦ Ναοῦ σου. ἐν αὐτῷ γὰρ νυνὶ παρεστῶτες, ἀπὸ ψυχῆς προσφέρομέν σοι τοὺς ὕμνους, Ὁσιομάρτυς Παρασκευὴ ἀοίδιμε.

Μηνὶ τῷ αὐτῷ κϛ΄. Τῆς Ἁγίας Ὁσιομάρτυρος τοῦ Χριστοῦ Παρασκευῆς.

Στίχ. Θεῷ παρεσκεύασας ἁγνὸν ὡς δόμον,
Σαυτὴν ἀγῶσι σεμνὴ εἰς κατοικίαν.
Παρασκευὴν ἔκτανεν ἀκάδι χαλκὸς ἐν ἕκτῃ.

Αὕτη ἦν ἐπὶ τῆς Βασιλείας Ἀντωνίνου, ἐκ τῶν ὁρίων τῆς πρεσβυτέρας Ῥώμης, Χριστιανῶν γονέων θυγάτηρ μονογενής. Σχολάσασα δὲ ἐν τοῖς ἱεροῖς γράμμασι, τῶν γονέων αὐτῆς τελευτησάντων, αὕτη διανέμασα τὰ ὄντα τοῖς πτωχοῖς, καὶ κατὰ Μοναχοὺς ἀποκαρεῖσα, ἐξῆλθεν ἀποστολικῶς κηρύττουσα τὸν Χριστόν. Καὶ πολλοὺς πρὸς θεογνωσίαν ἐπιστρέψασα, διεβλήθη ὑπὸ Ἰουδαίων πρὸς τὸν βασιλέα Ἀντωνῖνον. Ὁ δὲ τῷ βήματι αὐτοῦ παραστήσας αὐτὴν, ἐπεὶ μήτε κολακείαις, μήτε ἀπειλαῖς ἀρνήσασθαι τὸν Χριστὸν ἐβουλήθη, κασίδα πεπυρακτωμένην κατὰ κεφαλῆς δέχεται· καὶ εἰς Λέβητα χαλκοῦν, ἐλαίου καὶ πίσσης μεστὸν, σφοδρῶς ἐκκαιόμενον ἐμβάλλεται· καὶ παραδόξως ἐκ τούτων ῥυσθεῖσα, καὶ θαυματουργήσασα, τὸν Βασιλέα Ἀντωνῖνον σὺν τοῖς περὶ αὐτὸν πρὸς τὴν εἰς Χριστὸν ἐκκαλεῖται Πίστιν. Κἀκεῖθεν ἀπολυθεῖσα, ἐξῆλθεν αὖθις εἰς ἑτέρας Πόλεις, κηρύττουσα τὸν Χριστόν. Καὶ εἰσελθοῦσα εἴς τινα Πόλιν, ἐν ᾗ ἐβασίλευεν Ἀσκληπιός τις, παρέστη τῷ βήματι αὐτοῦ. Ὁ δὲ ἰδὼν τὸ ἀμετάθετον τῆς γνώμης αὐτῆς, ἔπεμψεν αὐτὴν πρὸς τὸν ἐμφωλεύοντα ἔξω τῆς Πόλεως φοβερώτατον Δράκοντα, εἰς τὸ διασπαραχθῆναι ὑπ' αὐτοῦ. Τῆς δὲ τοῦτον τῷ σημείῳ τοῦ Σταυροῦ διαῤῥαγῆναι εἰς δύο ποιησαμένης, ὁ Βασιλεὺς καὶ οἱ σὺν αὐτῷ ἐπίστευσαν τῷ Χριστῷ. Καὶ πάλιν ἀπολυθεῖσα ἡ Ἁγία, διήρχετο πᾶσαν Πόλιν καὶ χώραν· κηρύττουσα τὴν εὐσέβειαν. Καὶ εἰσελθοῦσα εἰς Πόλιν, ἐν ᾗ ἐβασίλευεν ἕτερος Βασιλεὺς, τοὔνομα Ταράσιος, παρέστη κἀκείνου τῷ βήματι, καὶ τὸν Χριστὸν ἀνεκήρυξεν. Ὁ δὲ πολλαῖς καὶ δειναῖς βασάνοις ἐτάσας αὐτὴν, ἐπεὶ μὴ εἶχεν αὐτὴν καταπεισθῆναι τὸν Χριστὸν ἐξομόσασθαι, ξίφει τὴν τιμίαν αὐτῆς ἀπέτεμε Κεφαλήν.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Ὑπὸ Κυρίου συμφρουρουμένη, πρὸ βήματος ἀσεβῶν, Μάρτυς, τὰς μασχάλας ἔφερες καρτερῶς, φλεγομένη καὶ ὑπέψαλλες. Εὐλογητὸς εἶ ὁ Θεός μου βοῶσα καὶ Κύριος.

Φλέξαι μηδ' ὅλως, τοὺς παρανόμους καίει μᾶλλον τὸ πῦρ, Κόρη, ὁ Χριστὸς δὲ φυλάττει σε ἀβλαβῆ, καθὼς πάλαι διεσώσατο, πυρὸς τοῦ βρέμοντος, ἀδεεῖς Νεανίας χειρὶ κραταιᾷ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ἤπειρον πᾶσαν, σαφῶς καὶ πόλον μὴ τεκτηνάμενοι, ὄντως τὰ δαιμόνια ξόανα καὶ Θεοὶ, ἀπολέσθωσαν ἐκραύγαζες· Χριστὸς ὁ Κύριος, Πλαστουργός ἐστι πάντων ἐκήρυττες. Θεοτοκίον.

Ὁ τοῦ ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ, Θεοτόκε τοῖς κραυγάζουσιν· εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις Παναμώμε Δέσποινα.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας.

Οὐκ ὄντας Θεοὺς, ἀλλὰ ψευδῆ, δαιμόνων φάσματα, Μάρτυς ἀπέδειξας, καὶ κατηδάφισας τέλεον, καὶ εἰς τέλος κατελέπτυνας, ἐν εὐφροσύνῃ τῷ Χριστῷ ἀπαύστως μέλπουσα· εὐλογεῖτε πάντα τὰ ἔργα.

Ναοῦ δονηθέντος ἐπὶ γῆς, ἐπιφοιτήσει σεμνὴ, Ἀπόλλων πέπτωκε, καὶ κατηκόντισαι ξόανα, ἐνεργείᾳ τοῦ ἄχραντου Σταυροῦ· δι' οὗ φραχθεῖσα μυστικῶς, ἐν παῤῥησίᾳ πολλῇ ἀνεβόας· πάντα τὰ ἔργα.

Κάλλους καὶ τοῦ πόθου σου Χριστὲ, Παρασκευὴ ἡ Ἁγνὴ, τρωθεῖσα ἔφερε, πυρὸς τὴν ἔκκαυσιν κράζουσα· εἰς ὀσμὴν τοῦ θείου μύρου σου, νῦν συναθλοῦσα καρτερῶς. δραμοῦμαι ἄληκτα, σοῦ ὀπίσω, εὐλογοῦσα τὸ θεῖόν σου Ὄνομα. Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε Ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ. σὺ τῆς Θεότητος γέγονας ἐνδιαίτημα Παναμώμε, μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτός. ὅθεν πάντες, σὲ εὐλογοῦμεν, Μαρία Θεόνυμφε.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Ῥευστῆς βιοτῆς καὶ προσκαίρου, Μάρτυς θεόφρων ἀντηλλάξω, κάλλος τὸ ἀμήχανον ὁρᾶν, τοῦ σοῦ Νυμφίου ἐπαγομένη τρανῶς· ὅθεν στεφάνων ἔτυχες, τῶν ἀκηράτων Καλλιπάρθενε.

Ἀκούσασα φωνῆς βεβαιούσης, Παρασκευὴ σοῦ τὰς αἰτήσεις, θείας οὐρανόθεν τὸν δρόμον, προθύμως Μάρτυς σεμνὴ διανύσασα, καὶ πρὸς αὐτὸν ἀνέδραμες, κάραν τμηθεῖσα, τὴν ἐρίτιμον.

Νίκην κατ' ἐχθρῶν δωρηθῆναι, Παρασκευὴ Χριστὸν οὐ παύσῃ αἰτοῦσα, πᾶσι τοῖς τῷ θείῳ Ναῷ σου, προσερχομένοις ἐν θερμοτάτῃ πίστει, καὶ τῶν πταισμάτων ἄφεσιν, καὶ τῶν δεινῶν τὴν ἀπολύτρωσιν. Θεοτοκίον.

Ὤφθης Χερουβὶμ ἀνωτέρα, καὶ Οὐρανῶν Ὑψηλοτέρα; Ἄχραντε Παρθένε Μαρία, βουλῆς μεγάλης Ἄγγελον τέξασα, τὸν τῷ Πατρὶ συνάναρχον, Κριτὴν ἁπάντων ἐλευσόμενον.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ῥωσθεῖσα Καλλιπάρθενε, Σταυρῷ τῷ τοῦ Κυρίου σου, Τυράννων ἔλυσας θράσος, ἀθλοῦσα Μάρτυς γενναίως· καὶ πρὸς Χριστὸν ἀπείληφας, βραβεῖα νίκης πάνσοφε, Παρασκευὴ πανθαύμαστε, ὑπὲρ ἡμῶν δυσωποῦσα, τῶν σὲ τιμώντων ἐκ πόθου. Θεοτοκίον. Ὅμοιον.

Μαρία καθαρώτατον, χρυσοῦν θυμιατήριον· τῆς ἀχωρήτου Τριάδος, δοχεῖον γεγενημένη. ἐν ᾧ Πατὴρ ηὐδόκησεν, ὁ δὲ Υἱὸς ἐσκήνωσε, καὶ Πνεῦμα τὸ Παναγιον, ἐπισκιάσαν σοι Κόρη, ἀνέδειξε Θεοτόκον.

Εἰς τοὺς Αἴνους, δ΄. προσόμοια, ἦχος α΄.

Τῶν οὐρανίων Ταγμάτων.

Ἐν ταῖς αὐλαῖς τοῦ Κυρίου χοροβατοῦσα σεμνὴ, ἅμα Παρθένοις Μάρτυς, ταῖς φρονίμοις ἐκείναις, ἐκεῖθεν ἐκομίσω χάριν Σοφὴ, τοῦ ἰᾶσθαι νοσήματα, καὶ ἐκδιώκειν τὰ πνεύματα μυσαρὰ, ἐκ τῶν πίστει προσιόντων σοι. Δίς.

Ῥήξασα κράτος, Τυράννων εἰδωλοθύτων σεμνὴ, καὶ πρὸς Θεὸν τὰς βάσεις, ἀνυψώσασα Παρθένε, οὐδ' ὅλως ἐπτοήθης, οὔτε κρουσμὸν, μολυβδίνων σφαιρῶν, οὔτε πῦρ, οὔτε ξεσμοὺς τῶν σαρκῶν σου, οὔτε βρασμὸν, τῶν Λεβήτων, οὔτε ξίφους σφαγήν.

Ἀσκήσει πρώτην τὸ σῶμα τήξασα εὔδοξε, τὸ δεύτερον ἀθλοῦσα, στομωθεῖσα τὴν φρένα, τοῖς πᾶσιν ἀνεδείχθης, Μάρτυς Χριστοῦ, οὐρανοχάλκευτον φάσγανον, ὥσπερ χρυσὸς ἐν χωνείᾳ δοκιμασθεῖσα, ταῖς αἰκίαις Καλλιπάρθενε. Δόξα, ἦχος β΄.

Ἐν Πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ, ἐκεῖ κατεσκήνωσεν ἡ Ἁγία, τὴν λαμπάδα ἄσβεστον τηρήσασα. ἀκούσωμεν τῆς Παρθένου ἐγκώμιον. ὦ Παρθενία Ναὸς Θεοῦ· ὦ Παρθενία Ἁγίων δόξα· ὦ Παρθενία Ἀγγέλων συμμέτοχε.

Καὶ νῦν, Θεοτοκίον. Τὴν πᾶσαν ἐλπίδα μου.

Ἡ λοιπὴ Ἀκολουθία, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, ζήτει εἰς Ἁγίαν Ὁσιομάρτυρα Γυναῖκα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μηνὶ τῷ αὐτῷ ΚΖ.

## Τοῦ Ἁγίου Μεγαλομάρτυρος καὶ Ἰαματικοῦ Παντελεήμονος.

Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια γ'. δευτεροῦντες αὐτά. ἦχος δ'. Ὁ ἐξ ὑψίστου κληθείς.

Ὁ Ἐπαξίως κληθεὶς Παντελεήμων, ὅτε τὸ φιλάνθρωπον πᾶσιν ἐφήπλωσας, τὴν τῶν ψυχῶν ἐπιμέλειαν, καὶ τῶν σωμάτων, τὴν θεραπείαν ἐπιδεικνύμενος· τότε τὴν φερώνυμον κλῆσιν ἐπλούτησας, τῆς ἀρετῆς τὴν ἀντίδοσιν, καὶ εὐσεβείας, ἀντιμισθίαν Μάρτυς εὐδραμὼν, στεφανηφόρος καὶ ἀήττητος, στρατιώτης δειχθεὶς τοῦ Θεοῦ ἡμῶν· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ Ἰαμάτων τὴν χάριν δεδεγμένος, ὅτε τὴν εὐσέβειαν πάντων προέκρινας, τῆς μητρικῆς ἀντεχόμενος, Θεοσεβείας, καὶ πατρικὴν μισήσας δυσσέβειαν· τότε σοι τὴν ἔνθεον αἴγλην δεδώρηται, τῶν φωτισμάτων ἡ ἄβυσσος, ὁ φωτοδότης, τοῦ Θεοῦ Λόγος ὁ μεγαλόδωρος, θείᾳ προγνώσει προειδώς σου, Παντελεῆμον σοφὲ τὴν λαμπρότητα, ἣν ὑπέδειξας πᾶσιν, εὐσεβῶς πολιτευσάμενος.

Ὁ Ἐξ αὔλων πηγῶν τοῦ σωτηρίου, τῶν θείων ἰάσεων διὰ τὴν χάριν ἀντλῶν, καὶ δαψιλῶς ἀρυόμενος, καὶ διανέμων, τοῖς προσιοῦσί σοι παμμακάριστε. ταύτης τοὺς τὴν εὔδοξον, σοῦ καὶ πανίερον, καὶ φωτοφόρον πανήγυριν, πιστῶς τελοῦντας, χάριτι θείᾳ τούτους καταύγασον, θεομιμήτῳ κεχρημένος, προσωνυμίᾳ σαφῶς καὶ χρηστότητι. ὃν δυσώπησον πᾶσι, δωρηθῆναι τοῖς ὑμνοῦσί σε.

Δόξα, ἦχος πλ. β'. Βυζαντίου.

Ἐξέλαμψε σήμερον, ἡ σεβάσμιος μνήμη τοῦ Ἀναργύρου, τοὺς πιστοὺς συγκαλοῦσα, πρὸς εὐωχίαν μυστικήν, καὶ πρὸς πανήγυριν ἑόρτιον ἄγουσα, τῶν φιλεόρτων τὰ συστήματα. ἐπέστη γὰρ ἡμῖν θαυματουργὸς Ἰατρός, τὰς νόσους πάντων ἰώμενος, Παντελεήμων ὁ στερρὸς Ἀθλητής· καὶ πρεσβεύει ἐκτενῶς τῷ Κυρίῳ, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτ. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος, τὸ Προκείμενον, καὶ τὰ Ἀναγνώσματα, ζήτει τοῦ Μεγάλου Γεωργίου, τῇ κγ'. τοῦ Ἀπριλλίου.

Εἰς τὴν Λιτήν, στιχ. ἰδιόμ. ἦχος α'. Βυζαντίου.

Ἀγῶνα καλὸν ἠγωνίσω, καὶ δρόμον τετέλεκας τοῦ μαρτυρίου σου, Μάρτυς Παντελεήμων. διὸ ἐν ὑψίστοις μετ' Ἀγγέλων χορεύεις, ἀντάξια τῶν πόνων σου, εἰληφὼς τὰ ἄνω Βασίλεια. ἀλλὰ πρέσβευε Ἰατρὲ παμμακάριστε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἦχος β'. Ἀνατολίου.

Ἀναργύρως τὴν χάριν παρέχεις τοῖς ἀνθρώποις, Παντελεῆμον Μάρτυς εὔδοξε, καὶ πνεύματα διώκεις τῇ ἐπικλήσει Χριστοῦ. καὶ τυφλοῖς ἀναβλέπειν δεδώρησαι, ὡς αὐτοῦ θεράπων γνήσιος. ἀλλὰ πρέσβευε Ἰατρὲ παμμακάριστε, τοῦ δωρηθῆναι τῷ Κόσμῳ, εἰρήνην σταθηράν, καὶ τοῖς σὲ ποθοῦσι μέγα ἔλεος.

Ὁ αὐτός, τοῦ αὐτοῦ.

Ἀπεσείσω τὴν πλάνην τοῦ Πατρὸς πανεύδοξε, καὶ τοὺς λόγους τῆς Μητρός, ἐμφρόνως δεξάμενος, ὑπὲρ χρυσίον ἐκαρποφόρησας, κατὰ τὴν τοῦ Κυρίου φωνήν· καὶ ἰατρὸς ἄμισθος ἐδείχθης, Παντελεήμων Μάρτυς. βαίνων δὲ ἐν χάριτι ἐν τῇ ὁδῷ, εὗρες κείμενον χαμερπὲς νήπιον, ὑπὸ ἐχίδνης δηχθέν. καὶ πρὸς Θεὸν εὐξάμενος, καὶ ἐκτενῶς δυσωπήσας, εὐθὺς τὸν παῖδα ἀνέστησας, καὶ τὸ θηρίον διεσπάραξας. διὸ μνημόνευε καὶ ἡμῶν, τῶν ἐν πίστει σου τελούντων τὸ μνημόσυνον.

Ὁ αὐτός, τοῦ αὐτοῦ.

Μητρὸς εὐσεβοῦς ἐπιποθήσας πίστιν, τοῦ Πατρὸς διωρθώσω τὴν ἀσέβειαν. ταῖς γὰρ Ἑρμολάου στηριχθεὶς διδασκαλίαις, ἐν τούτῳ καὶ τὸ Βάπτισμα ἐτέλεσας, Παντελεῆμον Μάρτυς εὔδοξε, τοῦ Ἐλεήμονος Θεοῦ, τῶν νοσούντων θεραπευτά, καὶ τῶν παθῶν διῶκτα· πρέσβευε λυτρωθῆναι ἐκ περιστάσεως, τοὺς ἐν πίστει τελοῦντας, τὴν πανσέβαστον μνήμην σου.

Ἦχος πλ. α'. Γερμανοῦ.

Ἡ Παμφαὴς τοῦ Μάρτυρος μνήμη, λάμπει ὡς Ἥλιος τοῖς πέρασι· καὶ ἀπαύστως δᾳδουχεῖ τοῖς πιστοῖς τὰ ἰάματα, νόσους ἀποσοβοῦσα, καὶ πάθη θεραπεύουσα. ἱκετεύει γὰρ διὰ Παντελεήμων τῷ Χριστῷ, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, ἦχος ὁ αὐτός. Βυζαντίου.

Δεῦτε φιλομάρτυρες, ὁμοφρόνως ἅπαντες εὐφημήσωμεν, τὸν τοῦ Χριστοῦ ἀθλοφόρον· τὸν ὑπὲρ τῆς εὐσεβείας καλῶς ἀγωνισάμενον, καὶ τὸ βραβεῖον τῆς νίκης ἀναδυ-

σάμενον. τὸν Φωςῆρα τῆς Οἰκουμένης, καὶ ἀϑάλαμπῆ ἀςέρα τῆς Ἐκκλησίας. διὸ καὶ πρὸς αὐτὸν βοῶντες εἴπωμεν· Παντελεῆμον Μάρτυς ἔνδοξε, γενοῦ ἡμῶν ψυχῶν τε καὶ σωμάτων σωτηρία, καὶ σκέπη ἀσάλευτος· πρεσβεύων πρὸς Κύριον, ὑπὲρ ἡμῶν ἀδιαλείπτως, εἰς τὸ σωθῆναι ἡμᾶς.

Καὶ νῦν, Θτ. Μακαρίζομέν σε Θεοτόκε.

Εἰς τὸν ςί. ςῖ. προσόμοια, ἦχος α΄.

Τῶν οὐρανίων Ταγμάτων.

ΠΑντελεήμονος μνήμην τοῦ ἐλεήμονος, μετ᾽ ἐγκωμίων ἄγαν, φιλομάρτυσι χρέος. οὗτος γὰρ τὸν μόνον ἐν οἰκτιρμοῖς, καὶ ἐλέει ἀνάκαςον, τῇ συμπαθείᾳ ζηλώσας τὴν παρ᾽ αὐτοῦ, θείαν χάριν ἐκομίσατο.

ςῖ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

ΤΗν κατὰ γνώμην σὺ χάριν ἐφιλοσόφησας, ἐμμελετῶν τῇ πράξει· τὴν ἐπίβασιν εὗρες, Μάκαρ θεωρίας τῆς ἀληθοῦς, εὐεργέτης γενόμενος, τῶν κακουμένων ἐν νόσοις παντοδαπαῖς, Χριστὸν ἔχων θεῖον φάρμακον.

ςῖ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

ΤΊς ἂν ἀξίως τοὺς ἄθλους ἐκδιηγήσαιτο, Παντελεῆμον Μάρτυς, οὓς ἀνέτλης γενναίως; ἅπασαν ἰδέαν τιμωριῶν, ἀπελέγξας ἀνίσχυρον. ὑπὲρ ἡμῶν νῦν ἱκέτευε πρὸς Χριστὸν, τὸν σὲ νῦν ἀντιδοξάζοντα.

Δόξα, ἦχος πλ. δ΄.

ΜΗτρικὴν ἀγαπήσας εὐσέβειαν, Πατρικὴν ἀθεΐαν βδελυξάμενος, τῷ Ἰατρῷ τῶν ψυχῶν ςρατευσάμενος, ἰατρικῶς σεαυτὸν ἐξεπαίδευσας. καὶ θείᾳ χάριτι ἐν ἀμφοτέροις εὐδοκιμῶν, τῶν παθῶν ὁλοθρευτὴς, καὶ τῶν ψυχῶν θεραπευτὴς ἀναδέδειξαι. ἀλλ᾽ ὡς ἐν ἄθλοις τὸ εὔτονον, καὶ ἐν πρεσβείαις τὸ ἔμμονον κεκτημένος, Παντελεῆμον Μάρτυς τοῦ Χριστοῦ, ἐκτενῶς ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θτ. Δέσποινα πρόσδεξαι.

Ἀπολυτίκιον, ἦχος γ΄.

ἈΘλοφόρε ἅγιε, καὶ ἰαματικὲ Παντελεῆμον, πρέσβευε τῷ ἐλεήμονι Θεῷ· ἵνα πταισμάτων ἄφεσιν παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν, Θτ. Οἷον βάλῃ. Τὸ αὐτὸ, καὶ εἰς τὸ Θεὸς Κύριος. Εἰς δὲ τὸν Ὄρθρον ἡ συνήθης ςιχολ. Μετὰ τὴν α΄. ςιχολ. κάθ. ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

ΜΗτρὸς τὸ εὐσεβὲς, σὺ ἐτήρησας Μάκαρ, Πατρὸς τὸ ἀσεβὲς, εὐσεβῶς διορθώσω. ὅθεν καὶ χάριν εἴληφας, ἐκ Θεοῦ Παντοκράτορος, ἰατρεύειν σὺ, τῶν ἀσθενούντων τὰς νόσους, Μάρτυς ἔνδοξε, Παντελεῆμον τῶν πίςει, θερμῇ προσρεχόντων σοι. Δίς.

Θεοτοκίον. Ὅμοιον.

ἘΛπὶς Χριςιανῶν, Παναγία Παρθένε, ὃν ἔτεκες Θεὸν, ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύςως ἱκέτευε, σὺν ταῖς ἄνω Δυνάμεσι, δοῦναι ἄφεσιν, ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν, βίου τοῖς πίςει καὶ πόθῳ, ἀεί σε δοξάζουσι.

Μετὰ τὴν β΄. ςιχολ. κάθ. ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ὩΣ ςρατιώτην τοῦ Χριςοῦ ἀκαθαίρετον, καὶ Ἀθλοφόρον οἱ πιςοὶ γενναιότατον, ἀνευφημοῦμεν ἅπαντες Μαρτύρων καλλονὴ, πίςει ἑορτάζοντες, τὴν ἁγίαν σου μνήμην, Μάρτυς πανοίδιμε, τοὺς σεπτοὺς σου ἀγῶνας, μελῳδικῶς δοξάζομεν σοφὲ, καὶ τὸν Σωτῆρα Χριςὸν μεγαλύνομεν. Δίς.

Θεοτοκίον. Ὅμοιον.

ΤΩν ἀκαθάρτων λογισμῶν μου τὰ πλήθη, καὶ τῶν ἀτόπων ἐννοιῶν τὰς νιφάδας, τίς ἐξαπατᾶν δυνήσεται Πανάμωμε; τὰς ἐπαναςάσεις δὲ, τῶν ἀσάρκων ἐχθρῶν μου, τίς ἐκδιηγήσεται, καὶ τὴν τούτων κακίαν; ἀλλὰ τῇ σῇ πρεσβείᾳ Ἀγαθὴ, τούτων μοι πάντων τὴν λύτρωσιν δώρησαι.

Μετὰ τὸν Πολυέλεον, κάθ. ἦχος ὁ αὐτός.

Ἐπεφάνης σήμερον.

ἙΟρτάζει σήμερον ἡ Οἰκουμένη, τοὺς σεπτοὺς ἀγῶνάς σου, Παντελεῆμον ἀθλητά. τὸν Ζωοδότην δοξάζουσα, τὸν σὲ προςάτην θερμὸν ἀναδείξαντα. Δίς.

Θεοτοκίον. Ὅμοιον.

ΤΑῖς ἀχράντους χεῖράς σου, Παρθενομῆτορ, ἐφαπλοῦσα σκέπασον, τοὺς πεποιθότας ἐπὶ σὲ, καὶ τῷ Υἱῷ σου κραυγάζοντας· πᾶσι παράσχου Χριςὲ τὸ ἔλεός σου.

Οἱ Ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

ςῖ. Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου.

Πᾶσα πνοή. Εὐαγγέλιον ζήτει τοῦ Μεγάλου Δημητρίου εἰς τὸν Ὄρθρον, τῇ κς΄. τοῦ Ὀκτωβρίου Μηνός. καὶ τὸ ἰδιόμ. ἦχος πλ. β΄.

Ἐξέλαμψε σήμερον. ζήτει εἰς τὸν Ἑσπερινόν. Οἱ Κανόνες τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου εἰς ϛ΄. οὗ ἡ ἀκροστιχίς.

Παντελεήμονα τὸν Πανάριστον Μάρτυρα μέλπω. Θεοφάνους.

Ὠδὴ α΄. Ἦχος β΄. Ἐν βυθῷ.

Προσελθὼν προθύμως τῷ Χριστῷ, πρὸ τῆς τελειώσεως, τῆς ἐν Χριστῷ, τὸν νεκρὸν πρώην ἤγειρας. νῦν δέ με πανόλβιε, νεκρωθέντα τῆς ἁμαρτίας τῷ δήγματι, ταῖς σαῖς ἱκεσίαις, ὦ Παντελεῆμον ζωοποίησον.

Ἀνατείλας οἷά περ ἀστήρ, φέρων ἐν νεότητι, πρεσβυτικὴν καὶ θεόφρονα σύνεσιν, καλλονῇ τε σώματος, τὴν εὐπρέπειαν τῆς ψυχῆς ἐπικτώμενος, τῷ δεδοξασμένῳ, Λόγῳ καθωράθης ὡραιότατος.

Νεκρωθεὶς τῷ Κόσμῳ καὶ Χριστὸν, μάκαρ ἐνδυσάμενος, διὰ λουτροῦ τοῦ βαπτίσματος γέγονας, θεοφόρον Ὄργανον, καὶ δοχεῖον τῆς ἐνεργείας τοῦ Πνεύματος· ταύτης θεραπεύων, πάντων ἰατρεύων τὰ νοσήματα.

Τὴν σοφίαν φίλην σεαυτῷ, περιποιησάμενος, καὶ κοινωνὸν τῆς ζωῆς ἐπαγόμενος, ὑπ᾽ αὐτῆς τετίμησαι· καὶ στεφάνῳ τῷ τῶν χαρίτων κεκόσμησαι· θείαις ἀγλαΐαις, μάκαρ ἀποστίλβων τὴν λαμπρότητα. Θεοτοκίον.

Εὐλογίαις Πάναγνε σεμνή, φύσιν τὴν ἐπάρατον, παρακοῇ γενομένην τοῦ Κτίσαντος, τὸν Χριστὸν γεννήσασα, ἐστεφάνωσας καὶ φθορᾶς ἠλευθέρωσας. ὅθεν γεγηθότες, πάντες οἱ πιστοὶ σὲ μακαρίζομεν.

Ὠδὴ γ΄. Ἐξηνθήσεν ἡ ἔρημος.

Λογίων τῶν τοῦ Πνεύματος, ἐπακούσας γέγονας, ὡς γῆ καλὴ καὶ εὔκαρπος, δεχομένη σπόρον πολύτιμον, καὶ τεκοῦσα Τρισμάκαρ σωτηρίαν ψυχῶν.

Ἐνέκρωσας τὸ φρόνημα, δρακοντίου δήγματος. καὶ τὴν ψυχὴν ἐζώωσας, θεοπνεύστως ἀναγεννώμενος, Βασιλεῖ τε τῶν ὅλων παριστάμενος.

Ἠλλοίωσας τὸ ἄθεον, τῶν Τυράννων πρόσταγμα· καὶ τῷ Χριστῷ προσέδραμες, ἀντὶ πάντων τοῦτον κτησάμενος· καὶ γέγονας Θεόφρον μεγαλέμπορος.

Μητρός σου τὴν εὐσέβειαν, ἀγαπήσας εὔδοξε, τὴν πατρικὴν ἐμίσησας, ἀθεΐαν τὴν πολυπίραχον· ὡς ἐχέφρων τὸ κρεῖττον ἐκλεξάμενος. Θεοτοκίον.

Ὁ φέρων θείῳ νεύματι, πᾶσαν Κτίσιν Κύριος, ἐν ταῖς χερσὶ βαστάζεται, σοῦ Παρθένε· ὃν νῦν δυσώπησον, ῥυσθῆναι ἐκ κινδύνων τὰς ψυχὰς ἡμῶν.

Κάθ. ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Μαρτυρήσας γενναίως ὑπὲρ Χριστοῦ, καὶ τὴν Πίστιν κηρύξας τῷ σῷ Πατρὶ, ἀνείλκυσας Πανεύφημε, τοῦ βυθοῦ τῆς ἀσεβείας. καὶ Τυράννων μὴ πτήξας, τὸ ἄθεον φρόνημα, τῶν δαιμόνων κατῄσχυνας, τὸ ἀνίσχυρον θράσος. ὅθεν καὶ τὴν χάριν, παρὰ Χριστοῦ κομισάμενος, τὰς νόσους τῶν ψυχῶν ἡμῶν, καὶ σωμάτων ἰώμενος, Παντελεῆμον Πανεύφημε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ. Θεοτοκίον.

Τὴν Σοφίαν καὶ Λόγον ἐν σῇ γαστρὶ, συλλαβοῦσα ἀφλέκτως Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν τὰ πάντα συνέχοντα. καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν τὰ πάντα βαστάζοντα, τὸν Τροφοδότην πάντων, καὶ Πλάστην τῆς Κτίσεως. ὅθεν Παναγία, δυσωπῶ σε Παρθένε, καὶ πίστει κραυγάζω σοι τοῦ ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι, πρὸ προσώπου τοῦ Κτίστου μου· Δέσποινα Παρθένε Ἁγνή, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι. δύνασαι γὰρ ὅσα θέλεις Πανάμωμε.

Ὠδὴ δ΄. Ἐλήλυθας.

Νυττόμενος, τοῦ Δεσπότου τῷ πόθῳ διέσπειρας, τὸν πλοῦτον τοῖς πένησι, σαυτὸν γυμνάζων πρὸς ἄθλησιν· ἥνπερ καὶ διήνυσας, τὰς δι᾽ αἰῶνος ἐλπίδας προορώμενος.

Αἰνέσεως, τῷ Θεῷ τὴν θυσίαν προσήνεγκας, σαφῶς βδελυξάμενος, τὰ τῶν εἰδώλων σεβάσματα· ὅλον δὲ τὸ φρύαγμα, τῶν ἀσεβῶν Ἀθλοφόρε κατεπάτησας.

Τετρωμένος, βασκανίᾳ καὶ φθόνῳ μαχόμενος, τὴν ἀκαταμάχητον, τούτοις ἀντέστησας δύναμιν, Μάρτυς καὶ νενίκηκας, τὴν δυσσεβῆ τυραννίδα τροπωσάμενος.

Ὁ Πρεσβύτου, Συμεὼν ἐν ἀγκάλαις κρατούμενος, Πρεσβύτου σε ῥήμασι, Παντελεῆμον ἐζώγρησε, θείαν πρὸς ἐπίγνωσιν, καὶ πρὸς πολλῶν σωτηρίαν καὶ ἐκλύτρωσιν.

Νεάνιδες, καὶ παρθένοι ὀπίσω σου ἔδραμον, Παρθένον νεάνιδα, σὲ καὶ Μητέρα θεώμεναι. μόνη γὰρ ἀμφότερα, πρὸς εὖ συνῆψας, Παρθένε Παναμώμητε.

Ὠδὴ ε΄. Ὁ φωτισμός.

Περιχαρῶς, τοὺς ἀγῶνας ὑπέδυς τοῦ μαρτυρίου, περιπεφραγμένος δυνάμει θείᾳ· καὶ καρτερίᾳ, σταθερᾷ τὰς βασάνους, ὑπομένων χαίρων ἐκραύγαζες· ἕτερον ἐκτὸς σοῦ, Θεὸν οὐ γινώσκομεν.

Ἀθλητικῶν, προϊστάμενος Μάκαρ ἀγωνισμάτων, θείᾳ δυναστείᾳ περιεγένου, τῆς τῶν ἀθέων δυσσεβῶν τυραννίδος, καὶ μανίας τῆς δεισιδαίμονος, τὸν ἀγωνοθέτην Χριστὸν ἐνδυσάμενος.

Νεανικήν, σὺ τὴν ἔνστασιν ἔχων καὶ ῥωμαλέον, ψυχῆς τὸ ἀνάστημα κεκτημένος, πᾶσαν αἰκίαν ῥωμαλέως ὑπέστης, καὶ ἀνδρείῳ Μάκαρ φρονήματι, χάριτι τοῦ Θείου, Σταυροῦ κρατυνόμενος.

Ἀσυμφωνῇ, διεκρούσατο λέξιν τῶν πλανωμένων, τῇ οὐρανίῳ διδασκαλίᾳ, ὁ Ἀθλοφόρος, καὶ πολλοῖς σωτηρίας, παραδόξου γέγονεν αἴτιος, τῇ σῇ συνεργείᾳ Χριστὲ δυναμούμενος. Θεοτοκίον.

Ῥήσεις σοφῶν, καὶ αἰνίγματα πάντων δεδοξασμένη, καὶ τῶν Προφητῶν αἱ προαγορεύσεις, σὲ προετύπουν, προφανῶς ἐπ' ἐσχάτων, ἐσομένην Θεοῦ Γεννήτριαν· ἄλλην γὰρ ἐκτὸς σοῦ, Ἁγνὴν οὐ γινώσκομεν.

Ὠδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἰνδαλμάτων τῆς πλάνης κατέπτυσας, καὶ κορυφουμένην ἀπάτην κατήργησας, θαυματουργῶν ἐξαίσια, καὶ τελῶν τὰς ἰάσεις Θεόσοφε.

Στεφανίτης ἐδείχθης πανάριστος· σὺ διὰ πυρὸς γὰρ διῆλθες καὶ ὕδατος, καὶ ἐν τροχῷ τανυόμενος, παραδόξως ἀνεῖλες τοὺς ἄφρονας.

Τῶν Τυράννων τὸ θράσος κατέβαλες, τὰς δυσφορωτάτας αἰκίας τοῦ σώματος, τῇ τῆς ψυχῆς στερρότητι, διαθλήσας Θεόφρον ἐν χάριτι. Θεοτοκίον.

Ὁ κατέχων τὸν γύρον τῆς γῆς ὡς Θεός, ἐν ταῖς σαῖς ἀγκάλαις Ἁγνὴ περιέχεται, περιγραφῇ τοῦ σώματος, ὁ τῇ θείᾳ μορφῇ ἀπερίγραπτος.

Κοντάκιον, ἦχος πλ. α΄.

Μιμητὴς ὑπάρχων τοῦ Ἐλεήμονος, καὶ ἰαμάτων τὴν χάριν παρ' αὐτοῦ κομισάμενος, ἀθλοφόρε καὶ Μάρτυς Χριστοῦ τοῦ Θεοῦ· ταῖς εὐχαῖς σου, τὰς ψυχικὰς ἡμῶν νόσους θεράπευσον· ἀπελαύνων τοῦ ἀεὶ πολεμίου τὰ σκάνδαλα, ἐκ τῶν βοώντων ἀπαύστως· σῶσον ἡμᾶς Κύριε. Ὁ Οἶκος.

Τοὺς Ἀναργύρους τὴν μνήμην, τοῦ γενναίου τὴν ἄθλησιν, τοῦ πιστοῦ τὰς ἰατρείας εὐσεβῶς ὑμνήσωμεν, φιλόχριστοι, ἵνα λάβωμεν ἔλεος· μάλιστα οἱ βορβορώσαντες ὡς κἀγὼ τοὺς ἑαυτῶν Ναούς· ψυχῶν γὰρ καὶ σωμάτων, ἀγαπητοί, τὴν θεραπείαν παρέχει. σπουδάσωμεν οὖν, πιστοὶ ἀδελφοί, ἐν ταῖς καρδίαις ἡμῶν ἔχειν τοῦτον ἀσφαλῶς, τὸν ῥυόμενον ἐκ πλάνης τοὺς βοῶντας· σῶσον ἡμᾶς Κύριε.

Τῷ αὐτῷ Μηνὶ κζ΄. Τοῦ Ἁγίου ἐνδόξου Μεγαλομάρτυρος καὶ Ἰαματικοῦ Παντελεήμονος.

Στίχ. Γαλακτόμικτον Μάρτυς αἷμα σῆς κάρας,
Δι' ἣν ὑδατόμικτον ὁ Χριστὸς χέει.
Φάσγανον ἑβδομάτῃ λάχεν εἰκάδι Παντελεήμων.

Οὗτος ἦν ἐπὶ τῆς Βασιλείας Μαξιμιανοῦ, ἐκ Πόλεως Νικομηδείας· Πατρὸς μὲν Εὐστοργίου τινὸς Ἕλληνος, ὕστερον δὲ Χριστιανοῦ γεγονότος ταῖς τοῦ Υἱοῦ νουθεσίαις· Μητρὸς δὲ Εὐβούλης, ἐκ προγόνων τὸν Χριστὸν σεβομένης. Ἐκπαιδεύεται οὖν τὴν ἰατρικὴν ἐπιστήμην παρὰ Εὐφροσύνου, δόξαν μεγίστην ἔχοντος· ὃς καὶ ἐδόκει εἰς ἄκρον τῆς τέχνης ἀφικέσθαι. Τὴν δὲ κατὰ Χριστὸν ἰατρικὴν τέχνην καὶ πίστιν, παρὰ Ἑρμολάου τοῦ πρεσβυτέρου μανθάνει. Δι' ἧς παῖδα τινὰ ἀπὸ ἐχίδνης πληγέντα, νεκρὸν κείμενον παρὰ τὴν ὁδὸν ἐξανέστησεν, ἐπικαλεσάμενος τὸν Χριστόν. Βαπτίζεται οὖν παρὰ Ἑρμολάου τοῦ πρεσβυτέρου, καὶ χειραγωγεῖται πρὸς τὴν εἰς Χριστὸν Πίστιν. Ὁ δὲ τρόπος τῆς μαρτυρίας αὐτοῦ γέγονεν οὕτω. Τυφλός τις προσελθὼν πρὸς αὐτόν, ἔτυχε τῆς ἰάσεως παρ' αὐτοῦ. Ἐρωτηθεὶς οὖν παρὰ τοῦ Βασιλέως, τίς αὐτῷ θεραπείας γέγονεν αἴτιος; Ὁ Παντολέων εἶπε, (τοῦτο γὰρ αὐτῷ πρότερον ὄνομα) ἐπικαλεσάμενος τὸν Χριστόν· εἰς ὃν καὶ αὐτὸς ἔφη πιστεύειν. Ἀλλ' ἐκεῖνος μὲν εὐθὺς τὴν κεφαλὴν ἀπετμήθη. Ὁ δὲ Παντολέων ἤχθη πρὸς τὸν Βασιλέα. Καὶ ἐρωτηθείς, καὶ μήτε ὑποσχέσεσι, μήτε ἀπειλαῖς ἀπὸ τῆς εἰς Χριστὸν Πίστεως σαλευθείς, τύπτεται δεινῶς, καὶ λαμπάσι φλέγεται. Ἐμφανισθεὶς δὲ αὐτῷ ὁ Κύριος, ἐν σχήματι Ἑρμολάου τοῦ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

πρεσβυτέρου, θαῤῥεῖν παρακελεύεται. Καὶ ἐν τῷ βράσματι τοῦ μολύβδου, ἔνθα ὁ Ἅγιος ἐβλήθη, καὶ ἐν τῇ θαλάσσῃ εἰς ἣν ἀπεῤῥίφη, ἔδοξε συνεισελθεῖν μετ' αὐτοῦ. Διαμείνας οὖν ἐκ πάντων ἀβλαβής, θηρίοις ἐκδίδοται. Ἐξ ὧν ἀσινὴς διαφυλαχθεὶς, δεσμεῖται τροχῷ καθηλωθέντι μαχαίραις, καὶ ἀφεθέντι ὑψόθεν κατὰ πρανοῦς. Εἶτα δεξάμενος τὴν διὰ ξίφους ἀπόφασιν, ηὔξατο· καὶ φωνὴ ἄνωθεν ἠνέχθη αὐτῷ, ἀντὶ Παντολέοντος, καλοῦσα αὐτὸν Παντελεήμονα· Πληρουμένης δὲ τῆς εὐχῆς, καὶ ἐν τῷ μέλλειν τὸν αὐχένα τέμνεσθαι, ἐκτείναντος τοῦ Δημίου τὴν χεῖρα, ἀπεστράφη ὁ σίδηρος, καὶ ἐτάκη ὡσεὶ κηρός· Ἐπὶ δὲ τῷ τοιούτῳ θαύματι, ἐπίστευσαν οἱ στρατιῶται τῷ Χριστῷ. Τότε ὁ Ἅγιος Μάρτυς ἑκουσίως τὸν αὐχένα προτείνας, ἐτμήθη τὴν κεφαλήν. Λέγεται δὲ, ἀντὶ αἵματος γάλα ῥυῆναι, καὶ τὸ φυτὸν τῆς ἐλαίας ἐν ᾧ προσεδέθη, ἀθρόως τελεσφορῆσαι καρπόν. Τελεῖται δὲ ἡ αὐτοῦ σύναξις ἐν τῇ αὐτοῦ ἐπωνύμῳ Ἐκκλησίᾳ.

Ὠδὴ ζ'. Εἰκόνος χρυσῆς.

Νομίμως ἀθλῶν, καὶ νικήσας τὸν ἐχθρὸν λιμὴν πανεύδιος, τοῖς ἐν θαλάσσῃ Πανασοίδιμε, χειμαζομένοις γεγένησαι· φῶς δὲ τοῖς ἐν σκότει τοῦ βίου· οὓς καὶ μέλπειν ἐδίδαξας· Εὐλογητὸς εἶ ὁ Θεός.

Μακάριος εἶ, καὶ καλῶς σοι ἔσται νῦν Μακαριώτατε, ἀπολαβόντι τὴν τρισόλβιον, καὶ μακαρίαν ἐλπίδα σου· τὴν ἀποκειμένην τοῖς πιστοῖς, τῷ Κυρίῳ κραυγάζουσιν· Εὐλογητὸς εἶ ὁ Θεός.

Ἁγίων ψυχαὶ, καὶ Δικαίων οἱ χοροὶ καὶ ἡ ἀσώματος, τάξις Ἀγγέλων προσεδέξαντο, συγχορεύειν σε Μακάριε. Ξίφει γὰρ τμηθεὶς τὸν αὐχένα, μελῳδεῖς ἀγαλλόμενος· Εὐλογητὸς εἶ ὁ Θεός.

Θεοτοκίον.

Ῥομφαία τὸ πρὶν, ἐκ τοῦ ξύλου τῆς ζωῆς ἡμᾶς χωρίσασα, νῦν στρεφομένη ὑποδέχεται, τοὺς σημανθέντας τῷ Αἵματι, τῷ ἐκ τῆς πλευρᾶς τοῦ Υἱοῦ σου προελθόντι Παναμώμε· Εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Τὸ περιδέξιον τῆς σῆς, εὐφυΐας ψυχικὴν ἀμβλυωπίαν, τοῦ Πατρὸς θεραπεία, ἀποδιδοῦσα τὸ φῶς, τοῖς πιστοῖς Παμμάκαρ προστρέχουσι, καὶ πρὸς τὸν Σωτῆρα Χριστὸν καθοδηγοῦσα.

Ὑπὲρ Χριστοῦ σφαγιασθεὶς, πρὸς αἰώνιον ζωὴν διεβιβάσθης· καὶ Θεόκλητος ὤφθης, προσηγορίᾳ Χριστοῦ, τῇ θείᾳ Θεόφρον τιμώμενος, καὶ ὑπερυψῶν τὸν Χριστὸν εἰς τοὺς αἰῶνας.

Ῥητορικὴν ἀποβαλὼν, καὶ δεινὴν τῶν Σοφιστῶν ἀδολεσχίαν, τῇ Χριστοῦ ἐπικλήσει, τῶν ἐπωδύνων παθῶν, τὰς ῥίζας ἐκτέμνεις ἰώμενος, τοὺς ὑπερυψοῦντας Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἀθανασίας διαυγῆ, ἐπιστάμεθα πηγήν σε Θεοτόκε· ὡς τεκοῦσαν τὸν Λόγον, τοῦ ἀθανάτου Πατρὸς, τὸν πάντας θανάτου λυτρούμενον, τοὺς ὑπερυψοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Μετέσχες γηθόμενος πρὸς ὀρεκτῶν τὸ ἔσχατον· ἔνθα κατασκηνώσας Μακαριώτατε, τὸ μακαριώτατον τέλος, ἀπολαβεῖν, ὄντως ἠξιώθης, συνὼν τῷ Δεσπότῃ σου, εἰς αἰῶνα τὸν ἀπέραντον.

Ἐφέσεως ἔτυχες, καὶ πόθου σου πληρώσεως, συσταζόμενος ἔτι θερμῷ τῷ αἵματι, τῷ ὑπὲρ Χριστοῦ κενωθέντι, καὶ δι' αὐτὸν, Παμμάκαρ χυθέντι· παρ' οὗ χαίρων εἴληφας, τοὺς στεφάνους τῶν ἀγώνων σου.

Λεόντων τὰ χάσματα, καὶ τῶν θηρῶν τὰ στόματα, Δανιὴλ ὥσπερ πάλαι σὺ ἐχαλίνωσας. Οἶδε γὰρ αἰδεῖσθαι Μαρτύρων, τὴν ἀρετὴν, καὶ ἄλογος φύσις. Διό σε Πανεύφημε, συνελθόντες μακαρίζομεν.

Πλουσίαν χρηστότητα, σοὶ ὁ Χριστὸς χαρίζεται, θησαυρὸν ἰαμάτων ἡμῖν δωρούμενος· καὶ Παντελεήμονα θεῖα, σὲ παρεχὼν, παντὶ θλιβομένῳ, καὶ λιμένα εὔδιον, καὶ Προστάτην καὶ συλλήπτορα.

Θεοτοκίον.

Ὡς πόκος Παναμώμε, τὸν ὄμβρον τὸν οὐράνιον, ἐν γαστρὶ συλλαβοῦσα ἡμῖν ἐκτέτοκας· τὸν τὴν ἀμβροσίαν διδόντα, τοῖς ὡς Θεὸν, αὐτὸν ἀνυμνοῦσι· καὶ σὲ τὴν Πανύμνητον Θεοτόκον καταγγέλλουσι.

Ἐξαποστειλ. Τοῖς Μαθηταῖς.

Παντελεῆμον Πάνσοφε, τῶν σεπτῶν Ἀναργύρων, τὸ ἱερὸν ἀγλάϊσμα, καὶ τῶν θείων Μαρτύρων· οὐρανόθεν τὰς ῥίνας,

τῷ Βασιλεῖ πρυτάνευσον, καὶ εἰρήνην τῷ Κόσμῳ, καὶ τοῖς πιστῶς, ἀνυμνοῦσιν Ἅγιε σωτηρίαν. μετὰ τῆς Θεομήτορος, πρέσβευε ὑπὲρ πάντων. Δίς.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στ. δ΄. καὶ ψάλλομεν στ. προσόμοια, ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Ἔλεον Θεοῦ μιμούμενος, Παντελεήμων σαφῶς, ὠνομάσθης κατάλληλον, προσλαβὼν τὸ ὄνομα, καὶ συμβαῖνον τῷ πράγματι. ὡς συμπαθὴς γὰρ, ἠλέεις ἅπαντας, διπλῆν παρέχων, τούτοις τὴν ἴασιν. τρέφων ἰώμενος, καὶ πρὸς γνῶσιν ἔνδοξε καθοδηγῶν, θείαν καὶ ὑπέρλαμπρον Χριστοῦ Πανόλβιε. Δίς.

Ἔργον προνοίας τῆς ἄνωθεν, τὸ ἐπὶ σοὶ γεγονὸς, τηλαυγῶς ἀναδέδεικται. τῶν σωμάτων πάθη γὰρ, θεραπεύειν σαφέστατα, Παντελεῆμον ἐκδιδασκόμενος, ψυχῶν ἐδείχθης Ἰατρὸς ἕτοιμος· λόγῳ τῆς χάριτος, ἰατρεύων ἅπαντας, καὶ ζοφερᾶς, πλάνης ἐκλυτρούμενος τοὺς σοὶ προστρέχοντας.

Κάλλει θεόφρον τοῦ σώματος, τὴν ψυχικὴν καλλονὴν, εὐθυβόλως ἀντέθηκας, καὶ φρενῶν εὐπρέπειαν, τῆς σαρκὸς ὡραιότητι· καὶ τοὺς ὁρῶντας, Μάρτυς κατέπληξας, τερατουργίαις λάμπων καὶ θαύμασιν· ἄνθει νεότητος, πρεσβυτέρων σύνεσιν, προσειληφὼς, πίστει τε καὶ χάριτι καταλαμπόμενος.

Δόξα, ἦχος πλ. β΄. Βυζαντίου.

Σήμερον ἐξέλαμψε, τοῦ Ἀθλοφόρου ἡ μνήμη. δεῦτε πιστοὶ πνευματικῶς εὐφρανθῶμεν, καὶ τοῖς ᾄσμασι τοῦτον καταστέψωμεν. τὸν γὰρ ἀόρατον ἐχθρὸν, τῇ δυνάμει τοῦ Σταυροῦ ἀνδρικῶς ἐτροπώσατο· καὶ τῶν Τυράννων τὰς ἀπειροὺς βασάνους μὴ δειλιάσας, νομίμως τὸ βραβεῖον ἐδέξατο τῆς ἄνω κλήσεως· καὶ νῦν μετ' Ἀγγέλων εἰς αἰῶνας συναγάλλεται. ἀλλ' ὦ Μάρτυς τοῦ Χριστοῦ Παντελεῆμον, Ἰατρὲ τῶν νοσούντων, καὶ Λιμὴν τῶν χειμαζομένων, μὴ διαλίπῃς πρεσβεύων τῷ Ἐλεήμονι Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος, ᾠδὴ γ΄. καὶ ς΄. τὸν Ἀπόστολον, ὁμοίως καὶ τὸ Εὐαγγέλιον, ζήτει τῇ κς΄. τοῦ Ὀκτωβρίου Μηνὸς, τοῦ μεγάλου Δημητρίου.

Μηνὶ τῷ αὐτῷ κη΄.

Τῶν Ἁγίων Ἀποστόλων Προχόρου, καὶ Νικάνορος. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀποστόλους.

Μηνὶ τῷ αὐτῷ κθ΄.

Τοῦ Ἁγίου Μάρτυρος Καλλινίκου· καὶ τῆς Ἁγίας Μάρτυρος Θεοδότης. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρα, καὶ εἰς Ἁγίαν Γυναῖκα Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ λ΄.

Τῶν Ἁγίων Ἀποστόλων Σίλα, καὶ Συλουανοῦ. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀποστόλους.

Μηνὶ τῷ αὐτῷ ΛΑ΄.

Τοῦ Ἁγίου καὶ δικαίου Εὐδοκίμου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, στ. προσόμοια, ἦχ. α΄.

Τῶν οὐρανίων Ταγμάτων.

Ἀκοιμήτατον πλῆθος εὗρες Εὐδόκιμε, εὐδοκιμήσας θείαις, ἀρεταῖς φερωνύμως, καὶ Κόσμου ταῖς ἀπάταις μὴ συγχωσθεὶς, ἀναλάμψας φαιδρότερον, τῶν τοῦ Ἡλίου ἀκτίνων, καὶ τῶν πιστῶν, καταυγάσας τὰ συστήματα. Ὅμοιον.

Ἡ Ἐλεήμων καρδία καὶ εὐσυμπάθητος, ὁ τῆς ἀγάπης λύχνος, ὀρφανῶν ὁ προστάτης· γυμνῶν καὶ πεινομένων ὁ σκεπαστὴς, σωφροσύνης τὸ ἄγαλμα· τῶν ἐντολῶν τοῦ Κυρίου ὁ πληρωτὴς, εὐφημείσθω νῦν Εὐδόκιμος. Ὅμοιον.

Τῇ καθαρᾷ σου καρδίᾳ Θεὸν ἐξήτησας, καὶ τὰ τοῦ Κόσμου πάντα, ἐβδελύξω ἡδέα, Εὐδόκιμε Θεόφρον· ὅθεν πιστῶς, καὶ τῶν κόπων ἀντάμειψιν, παρὰ Θεοῦ ἐκομίσω παναληθῶς, ὡς ἐν πείρᾳ πεφανέρωται.

Δόξα, ἦχος β΄.

Πάντος Δικαίου μνήμη μετ' ἐγκωμίων γίνεται. μεθ' ὧν καὶ ἡ σὴ, Θεράπον Χριστοῦ Εὐδόκιμε. ὅπλον γὰρ ἔχεις Σταυρὸν, καὶ κράτος· Τριάδα ὁμοούσιον Πίστιν. διὰ τοῦτο μετ' Ἀγγέλων, συναναπαύῃ ἀΐμνηστε.

Καὶ νῦν. Θεοτ. Ἀπολυτίκιον, ἦχος δ΄.

Ἐκ γῆς ὁ καλέσας σε πρὸς οὐρανίους σκηνὰς, τηρεῖ καὶ μετὰ θάνατον, ἀδιαλώβητον τὸ σῶμά σου Ἅγιε. σὺ γὰρ ἐν σωφροσύνῃ, καὶ σεμνῇ πολιτείᾳ, Μάκαρ ἐπολιτεύσω, μὴ μολύνας τὴν σάρκα. διὸ ἐν παῤῥησίᾳ, Χριστῷ πρέσβευε σωθῆναι ἡμᾶς.

Τὸν δὲ Κανόνα ζήτει εἰς Ὅσιον.

## ΜΗΝ ΑΥΓΟΥΣΤΟΣ.

Ἔχων ἡμέρας λα΄. ἡ ἡμέρα ἔχει ὥρας ιγ΄. καὶ ἡ νὺξ ὥρας ια΄.

Εἰς τὴν α΄. Τῶν Ἁγίων ἑπτὰ Μαρτύρων τῶν Μακκαβαίων, καὶ τοῦ Διδασκάλου αὐτῶν Ἐλεαζάρου, καὶ τῆς Μητρὸς ἡμῶν Σολομονῆς.

Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ τιμίου Σταυροῦ γ΄. καὶ τῶν Ἁγίων γ΄. Τοῦ τιμίου Σταυροῦ, ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς κοινὸν φυλακτήριον, ὡς πηγὴν ἁγιάσματος, τὸν Σταυρὸν τὸν Τίμιον ἀσπασώμεθα. καὶ γὰρ κοιμίζει παθήματα, καὶ πάντα νοσήματα, καὶ παντοίων ἀλγεινῶν, ἀπαλλάττει τοὺς κάμνοντας· ὑπὲρ ἄβυσσον, πελαγίζων τὰ ῥεῖθρα τῶν θαυμάτων, τοῖς πιστῶς αὐτοῦ τὸν τύπον, καὶ προσκυνοῦσι καὶ σέβουσιν.

Οἱ τοῦ βίου τοῖς κύμασι, θαλαττεύοντες ἄνθρωποι, παθημάτων ζάλῃ τε κυμαινόμενοι, ὡς εἰς ὁλκάδα σωτήριον, τὸ Ξύλον τὸ Τίμιον, καταφύγωμεν πιστῶς· καὶ σιγήσει τὰ κύματα καὶ τὰ πνεύματα, καὶ ῥαγήσει τὰ πάθη, καὶ πρὸς ὅρμον ἀκύμαντον σωτηρίας, χαρμονικῶς καταντήσωμεν.

Ὑπὲρ Ἥλιον ἔλαμψεν, ὁ Σταυρὸς ὁ Παναγιος, ὡς ἀκτῖνας θαύματα προβαλλόμενος, καὶ ὡς βολίδας ἰάματα. προσέλθωμεν ἄνθρωποι, οἱ τῷ σκότει τῶν δεινῶν, συνεχόμενοι πάντοτε, καὶ ληψόμεθα φωτοπάροχον χάριν ἰαμάτων, τὸν ἐν τούτῳ προσπαγέντα, σαρκὶ Θεὸν μεγαλύνοντες.

Ἕτερα στιχηρὰ τῶν Ἁγίων, ἦχος α΄.

Πανεύφημοι Μάρτυρες.

Τοῦ Νόμου τὸν ὄροφον ἑπτά, στύλοις ἐπαιρόμενον, ἡ τυραννὶς οὐ κατέσεισε· τὴν γὰρ ἀλόγιστον, τοῦ διώκτου λύσσαν, ἀνδρικῶς ὑπέμειναν, τὸ σῶμα παραδόντες τοῖς τέμνουσιν, οἱ εὐγενέστατοι, Νεανίαι καὶ Ὁμαίμονες, τῶν Μωσέως θεσπισμάτων φύλακες.

Ὑπὲρ τὰ ὁρώμενα τὸν νοῦν, ὄντως ἀνυψώσαντες, μέλη σαρκὸς κατετέμνοντο, οἱ εὐσεβέστατοι, καὶ γενναῖοι Παῖδες, σὺν Μητρὶ Θεόφρονι, μεγίσταις ἐν ἐλπίσι νευρούμενοι. ὧν νῦν ἐπέτυχον, Ἀβραὰμ ἀναπαυσάμενοι, ἐν τοῖς κόλποις τοῦ αὐτῶν Προπάτορος.

Ψυχῆς γενναιότητι στερρῶς, ἑαυτοὺς ὁπλίσαντες· καὶ τὸν θυμὸν ὥσπερ θήξαντες, πρὸς τὸν ἀντίπαλον, σταθερῶς ἐχώρουν, εὐσεβείας ἕνεκα, καὶ νόμου τοῦ πατρῴου τηρήσεως· ὁ Ἱερώτατος, Ἐλεάζαρ καὶ οἱ πάνσοφοι, Νεανίαι, σὺν Μητρὶ Θεόφρονι.

Δόξα, ἦχος πλ. β΄. Ἰωάννου Μοναχοῦ.

Οἱ Ἅγιοι Μακκαβαῖοι, τῷ Τυράννῳ ἔλεγον· ἡμῖν ὦ Ἀντίοχε, εἷς Βασιλεὺς ὁ Θεός, παρ' οὗ γεγόναμεν, καὶ πρὸς ὃν ἐπιστρέφομεν. Κόσμος μενεῖ ἄλλος ἡμῖν, τοῦ ὁρωμένου ὑψηλότερος καὶ μονιμώτερος. Πατρὶς δὲ ἡμῶν, Ἱερουσαλὴμ ἡ κραταιὰ καὶ ἀνώλεθρος. πανήγυρις δέ, ἡ μετ' Ἀγγέλων διαγωγή. Κύριε πρεσβείαις αὐτῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Καὶ νῦν, ὁ αὐτός.

Ὅνπερ πάλαι Μωϋσῆς. Ζήτει τῇ ιδ΄. τοῦ Σεπτεμβρίου.

Ἀπόστιχα στιχηρὰ τῆς Ὀκτωήχου.

Δόξα, ἦχος πλ. δ΄. Κοσμᾶ Μοναχοῦ.

Ψυχαὶ δικαίων ἐν χειρὶ Κυρίου, καθάπερ Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, οἱ πρὸ Νόμου Προπάτορες, καὶ Μακκαβαίων πρόγονοι, τῶν νῦν εὐφημουμένων παρ' ἡμῶν. οὗτοι γὰρ οἱ καρτερόψυχοι, Ἀβραμιαῖοι ὑπάρχοντες, τὴν πίστιν ἐζήλωσαν, τοῦ ἑαυτῶν Προπάτορος Ἀβραάμ· καὶ μέχρι θανάτου, ἠγωνίσαντο δι' εὐσέβειαν. εὐσεβῶς γὰρ συντραφέντες, καὶ ἐννόμως συναθλήσαντες, τὴν ἀσέβειαν διήλεγξαν τοῦ ἐπαράτου Ἀντιόχου· καὶ μηδὲν προτιμήσαντες τῶν τῆς παρούσης ζωῆς, διὰ τὴν αἰώνιον, πάντα Θεῷ ἀνέθεντο, ψυχήν, ἀνδρείαν, αἴσθησιν, σῶμα ἁπαλόν, καὶ ἀμοιβὰς τῶν ἁγνείᾳ τεθραμμένων. ὦ ῥίζης εὐσεβοῦς, ἐξ ἧς Ὑμᾶς ἐβλαστήσατε Μακκαβαῖοι. ὦ Μητρὸς ἁγίας, τῆς τεξαμένης τὸν ἰσάριθμον τῆς ἑβδομάδος ἀριθμόν. Ἀλλ' ἱκετεύομεν ὑμᾶς Μακκαβαῖοι, σὺν τῇ Μητρὶ ὑμῶν Σολομονῇ, καὶ τῷ σοφῷ Ἱερεῖ Ἐλεαζάρῳ, ὅταν παραστῆτε Χριστῷ τῷ Θεῷ, δι' ὃν κεκοπιάκατε, τοὺς πόνους τῶν καρπῶν ὑμῶν ἀπολαβεῖν παρ' αὐτοῦ, ἐκτενῆ ἱκεσίαν ποιήσατε ὑπὲρ τῆς ἀνθρωπότητος. ποιεῖ γὰρ ὅσα βούλεται, καὶ πληροῖ τὰ θελήματα ὑμῶν, τῶν φοβουμένων αὐτόν.

Καὶ νῦν, ὁ αὐτός.

Ἡ φωνὴ τοῦ Προφήτου. Ζήτει εἰς τὸν Σεπτέμβριον.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἀπολυτίκιον, ἦχος α΄.

ΤΑ'ς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε· καὶ πάσας ἡμῶν τὰς ὀδύνας ἴασαι φιλάνθρωπε δεόμεθα.

Δόξα, καὶ νῦν, ἦχος ὁ αὐτός.

Σῶσον Κύριε τὸν Λαόν σου.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολογία. Καὶ ἀνάγνωσις εἰς τὸν Θεολόγον. οἱ Κανόνες, τῆς Ὀκτωήχου ὁ εἷς, καὶ τοῦ Σταυροῦ, καὶ τῶν Ἁγίων.

Ὁ Κανὼν τοῦ τιμίου Σταυροῦ· οὗ ἡ ἀκροστιχίς.

Τὸ προσκυνητὸν πάντες ὑμνοῦμεν Ξύλον. Ἰωσήφ.

Ὠδὴ α΄. ἦχος πλ. δ΄.

Ἁρματηλάτην Φαραώ.

ΤΟ'ν τοῦ Κυρίου ζωηφόρον σήμερον, Σταυρὸν νοῒ καθαρῷ, καὶ εὐσεβεῖ γνώμῃ, πάντες προσκυνήσωμεν. πρόκειται γὰρ δωρούμενος, τοῖς αὐτῷ προσιοῦσιν, ἁγιασμὸν καὶ σωτήριον, ἔλλαμψιν καὶ δόξαν καὶ ἔλεος.

Ὁ Ζωοδώρητος Σταυρὸς πρόκειται, καὶ καθορώμενος, φωταυγῆ αἴγλην, ἀποπέμπει χάριτος. προσέλθωμεν καὶ λάβωμεν, φωτισμὸν εὐφροσύνης, καὶ σωτηρίαν καὶ ἄφεσιν, αἴνεσιν Κυρίῳ προσάγοντες.

Πρόκειται ξένον τοῖς ὁρῶσι θέαμα, Σταυρὸς ὁ τίμιος· καὶ ὡς πηγὴ βρύει, ψυχικὰ χαρίσματα, καὶ παύει ἁμαρτήματα, καὶ νοσήματα λύει, καὶ τὰ φρονήματα ῥώννυσι, τῶν εἰλικρινῶς προσκυνούντων αὐτόν.

Ῥάβδος ἐτύπου τοῦ Σταυροῦ τὸ τρόπαιον, θάλασσαν τέμνουσα· δι᾽ οὗ ἡμᾶς πίστει, ἀποντίστως πλέομεν, τοῦ βίου ὕδωρ ἄστατον. καὶ τὰ ῥεύματα πάντα, τῆς ἁμαρτίας ἐκφεύγομεν, καὶ θείας γαλήνης πληρούμεθα. Θεοτ.

Ὅπερ σε Τέκνον ἀπορρήτως ἔτεκον, ὠδῖνας ἔφυγον· καὶ πῶς νῦν ὅλη, ὀδυνῶν πεπλήρωμαι; ὁρῶ γάρ σε κρεμάμενον, ὡς κακοῦργον ἐν ξύλῳ, τὸν γῆν ἀσχέτως κρεμάσαντα, ἔλεγεν ἡ Πάναγνος κλαίουσα.

Κανὼν τῶν Ἁγίων. Ὠδὴ α΄. ἦχος α΄.

Ὠδὴν ἐπινίκιον. Ἀνδρέου Κρήτης.

Μωσέως τὰ δόγματα πάνσοφοι Παῖδες, νομίμως φυλάξαντες· τοῦ Χριστοῦ τὸν θάνατον, ζηλώσαντες εὐσεβῶς, πρεσβεύσατε αὐτῷ ἀεί, σωθῆναι πάντας ἡμᾶς.

Τίς εἶδε; τίς ἤκουσεν οἵους ἀγῶνας, στεῤῥῶς ἐπεδείξαντο, οἱ τοῦ Νόμου φύλακες, οἱ Σολομονῆς Υἱοί, ἀθλήσαντες μιᾷ ψυχῇ, καὶ φρονήματι;

Ἀλλήλους ὀτρύνοντες οὕτως ἐβόων· νομίμως ἀθλήσωμεν, καὶ προθύμως θάνωμεν, ὑπὲρ πατρῴων ἐθῶν, οἱ Σολομονῆς τῆς σεπτῆς, Ἅγιοι Παῖδες ἑπτά.

Ἠσχύνθη ὁ Τύραννος, στῶμεν ἀνδρείως, ἠσθένησαν βάσανοι, ὁ Βελίαρ ἥττηται, τὸ πῦρ ἐσβέσθη λοιπόν. μηδεὶς οὖν ἔξω Ἀδελφοὶ, στήτω τοῦ σκάμματος.

Ἡμῖν ὦ Ἀντίοχε ὑπὲρ πατρῴων, ἐθῶν ὁ ἀγών ἐστιν, οἱ σοφοὶ ἀνέκραζον, ἐν τῷ σταδίῳ γυμνοί. ὑπὲρ ὧν μᾶλλον τὸ θανεῖν, τοῦ ζῆν προκρίνομεν.

Τὰς σάρκας τοῖς ὄνυξιν ἐν τῷ σταδίῳ, ξεόμενοι ἔκραζον, οἱ τοῦ νόμου φύλακες· ἡμῖν Ἀντίοχε, γλυκεῖς οἱ πόνοι καὶ τὸ πῦρ, διὰ τὴν πάντων ζωήν. Δόξα.

Τριάδα δοξάσωμεν τὴν ἐν Μονάδι, Οὐσίαν ἀΐδιον, συμφυῆ καὶ σύνθρονον, καὶ ὁμοδύναμον, Πατέρα, ἄναρχον Υἱὸν, καὶ Πνεῦμα Ἅγιον. Θεοτοκίον.

Τὸν βότρυν τὸν πέπειρον ἐν τῇ γαστρί σου, ἀφράστως βλαστήσασα, ζωηφόρος ἄμπελος, τῇ Ἐκκλησίᾳ Χριστοῦ, ἐδείχθης Μήτηρ τοῦ Θεοῦ, πάντας εὐφραίνουσα.

Καταβασία. Σταυρὸν χαράξας Μωσῆς.

Ὠδὴ γ΄. Ὁ Στερεώσας κατ᾽ ἀρχάς.

Σταυρὸς ἁπάντων τῶν καλῶν, παρεκτικὸς καθορᾶται, προσκυνούμενος, καὶ πᾶσα ἡ Κτίσις, ἑορτάζει ἐν χαρᾷ, φωτιζομένη χάριτι, τοῦ ἐν αὐτῷ βουλήσει, ὑψωθέντος Θεοῦ ἡμῶν.

Καταυγαζόμενοι φωτὶ, τῶν τοῦ Σταυροῦ λαμπηδόνων, ὁλικῶς οἱ ἐν αὐτῷ πεποιθότες, σκοτασμὸν ἁμαρτιῶν, ἐκφύγωμεν, καὶ κράξωμεν· ὁ φωτισμὸς τῶν ὅλων, εὔσπλαγχνε Κύριε δόξα σοι.

Ὑμνολογοῦμέν σε Σταυρὲ, καὶ προσπτυσσόμεθα πίστει, ἐξαιτούμενοι τὴν σὴν δυναστείαν. ἐξελοῦ ἡμᾶς ἐχθροῦ, παγίδων, καὶ κυβέρνησον, πρὸς ὅρμον ἡμᾶς πάντας, τῆς σωτηρίας ὑμνοῦντάς σε. Θεοτ.

Νενεκρωμένην τὴν ζωὴν, ἐπὶ Σταυροῦ θεωροῦσα, καὶ μὴ φέρουσα τῶν σπλάγχνων τὸν πόνον, ἐβόα ἡ σεμνὴ, Παρθένος ἀνακράξασα· οἴμοι Υἱέ μου τί σοι, δῆμος ἀνόμων πεποίηκε;

Ἄλλος. Λίθον ὃν ἀπεδοκίμασαν.

Παῖδες ἱερῶς βλαστήσαντες, καὶ συναυξηθέντες, πάντες κατὰ νόμον, παι-

δαγωγηθέντες, ὑπὸ Ἐλεαζάρου, νομίμως ἠθλήσατε· καὶ Ἀντιόχου τὰς βουλάς, πάσας εἰς γῆν κατεπατήσατε.

Σπεῦδε ἀνεβόων Τύραννε, οἱ Ἀβραμιαῖοι, ποίει ἅπερ θέλεις, καὶ ὀργίζου πλέον· ἡμεῖς τοῖς δόγμασί σου, οὐδ᾽ ὅλως πειθόμενοι, τοὺς τῶν βασάνων αἰκισμούς, πόθῳ Θεοῦ μᾶλλον αἱρούμεθα.

Μή τις ὑστεράτω σήμερον, τοῦ καλοῦ ἀγῶνος· μή τις θηρευθήτω, ὑπὸ τοῦ μανιώδους· σοφός ἐστιν ὁ δράκων, ἀλλήλους παρώτρυνον, τῆς Σολομονῆς οἱ Υἱοί· μή τις ἡμῶν γένηται βρῶμα αὐτοῦ.

Δεῦτε οἱ τοῦ νόμου φύλακες, ὁμοῦ αἰκισθῶμεν· δεῦτε ἀνδρυνθῶμεν, οἱ παῖδες ἀνεβόων, ἀλλήλους ὀτρύνοντες, πρὸς τοὺς ἀγῶνας εὐσεβῶς, οὓς καὶ ἡμᾶς ζηλοτυπήσωμεν. Δόξα.

Μίαν οἱ πιστοὶ δοξάσωμεν, τοῦ Θεοῦ οὐσίαν, μίαν Δεσποτείαν, μίαν Βασιλείαν· ἑνοῦντες ἀσυγχύτως, τὴν μίαν Θεότητα, καὶ διαιροῦντες εὐσεβῶς ταύτην τρισὶ ταῖς ὑποστάσεσι. Καὶ νῦν. Θεοτοκίον.

Βάτος προεγνώσθης ἄφλεκτος, ἐν Σινᾷ τῷ ὄρει. ὄρος δὲ τὸ θεῖον, Δανιὴλ ἐφάνης· ἐξ οὗ ἀχειροτμήτως, ἐτμήθη ὁ ἄτμητος, Χριστὸς ἡ πέτρα τῆς ζωῆς, εἰς ὃν Υἱὸς Θεογεννήτορ ἐκ σοῦ.

Καταβασία. Ῥάβδος εἰς τύπον.

Κοντάκιον τοῦ τιμίου Σταυροῦ, ἦχος δ΄.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ. Εἶτα.

Κάθ. ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Εὐσεβῶς συντραφέντες Παῖδες σοφοί, μαρτυρικῶς τοῦ Τυράννου τὰς ἀπειλάς, ἀνδρείως κατῃσχύνατε, ὡς τοῦ νόμου ὑπέρμαχοι. καὶ τοῦ Πατρὸς ἀκόλουθοι, γενόμενοι Ἅγιοι, σὺν Μητρὶ θεόφρονι, προθύμως ἠθλήσατε. ὅθεν καὶ θανάτῳ, τὴν ὡραίαν ὄντως, ζωὴν ὠνησάμενοι, αἰωνίως ἀγάλλεσθε, Μακκαβαῖοι στερρόψυχοι· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν.

Δόξα, τὸ αὐτό. καὶ νῦν, ἦχος πλ. β΄.

Ὁ Σταυρός σου Κύριε ἡγίασται. ἐν αὐτῷ γὰρ γίνονται ἰάματα, τοῖς ἀσθενοῦσιν ἐν ἁμαρτίαις· δι᾽ αὐτοῦ σοὶ προσπίπτομεν, ἐλέησον ἡμᾶς.

Ὠδὴ δ΄. Σύ μου ἰσχὺς Κύριε.

Ἡ Κραταιά, σκέπη τε καὶ ἐπανόρθωσις, τῶν ἀνθρώπων τὸ ἀκαταμάχητον, ὅπλον τῆς Πίστεως ὁ Σταυρός, ὁ σωτηριώδης, ἰδοὺ ὁρᾶται προκείμενος· καὶ πάντων τὰς καρδίας, τῶν πιστῶς προσιόντων, ἁγιάζει φωτίζει ἐν χάριτι.

Τῶν εὐσεβῶν, φρουρὸς ὁ μέγας προκείμενος, ἐν τῷ μέσῳ, πάντων Ὑπεράγαθε, Σταυρὸς ὁ τίμιος μέσον γῆς· ἐν ᾧ ἀνυψώθης, ἐθελουσίῳ θελήσει σου, τὸν Κόσμον ἁγιάζει, τῇ αὐτοῦ προσκυνήσει, καὶ διώκει δαιμόνων τὰς φάλαγγας.

Νόμους τοὺς σούς, Κύριε ὁ ἀσυνείδητος, μὴ φυλάξας, μέλλων κατακρίνεσθαι, ἡνίκα ἔρχῃ ἐξ Οὐρανοῦ, κρῖναι τῶν ἀνθρώπων, τὰ ἔργα· ὅθεν κραυγάζω σοι· δύναμις τοῦ Σταυροῦ σου, ἐπιστρέψας με σῶσον, μετανοίας παρέχων μοι δάκρυα.

Ὁ Οὐρανός, πάσῃ τῇ γῇ συνευφραίνεται. οἱ ἀθλοφόροι, Μάρτυρες, Ἀπόστολοι, ψυχαὶ Δικαίων περιχαρῶς, νῦν ἀγαλλιῶνται, τὸ πάντας σῷζον θεώμενοι, προκείμενον ἐν μέσῳ, ζωοδώρητον Ξύλον, καὶ πιστοὺς ἁγιάζον ἐν χάριτι. Σταυροθεοτοκίον.

Παρθενικῆς, Τέκνον ἐκ μήτρας σε ἔτεκον, καὶ ὁρῶσα ξύλῳ νῦν κρεμάμενον, ἐπαπορῶ καὶ οὐ συνορῶ, ὕψος Μυστηρίου, καὶ βάθος πολλῶν κριμάτων σου, ἡ Πάναγνος ἐβόα· ἣν φωναῖς ἀσιγήτοις, ὡς Μητέρα Θεοῦ μακαρίζομεν.

Ἄλλος. Ἐν Πνεύματι προβλέπων.

Εὐφραίνου Ἐλεάζαρ, ὁρῶν τοὺς ἱερούς, φοιτητάς σου σήμερον, ἀθλοῦντας εὐσεβῶς, ὑπὲρ πατρῴων νομίμων τε προσταγμάτων, καὶ Ἀντιόχου τοῦ διώκτου τὴν μανίαν, λόγοις τοῖς σοφοῖς διελέγχοντας.

Ἀγάλλου Σολομονή, ὁρῶσα τοὺς ἑπτά, κλάδους συνακμάσαντας, τοῦ νόμου τοὺς καρπούς· ἐξ ὧν τρυγῶσα ἡ ἄμεμπτος Ἐκκλησία, τοὺς κληρονόμους τῆς ἐν χάριτι λατρείας, τρέφει καθ᾽ ἡμέραν ὡς Μήτηρ ἡμᾶς.

Σκιρτᾶτε Πατριάρχαι, κροτήσατε χερσί, τοὺς τοῦ νόμου φύλακας, ὁρῶντες εὐσεβῶς, ὑπεραθλοῦντας τῆς κατὰ νόμον λατρείας· καὶ διὰ πάντων αἰκισμῶν δοκιμασθέντας, μήπως τῶν πατρῴων ἐκστῶσιν ἐθῶν.

Χορεύσατε νομίμως, ὑπέρμαχοι στερροί, καὶ συνεορτάσατε τοῖς Μάρτυσι Χριστοῦ· ὡς πρὸ ἐκείνων ἀθλήσαντες ὑπὲρ νόμου, καὶ μετ᾽ ἐκείνων εὐφημούμενοι ἐννόμως, πάσῃ τῇ Χριστοῦ Ἐκκλησίᾳ φαιδρῶς.

Δόξα.

Τριάδα ἐν μονάδι δοξάσωμεν πιστοί, ἀσιγήτοις στόμασι, βοῶντες πρὸς αὐτήν· ἡ ἐν μονάδι Τριὰς συμπροσκυνουμένη, καὶ ἐν Τριάδι τῶν προσώπων ὑμνουμένη, δόξα σοι τιμὴ καὶ προσκύνησις. Καὶ νῦν. Θεοτ.

Ὑμνοῦμέν σε Παρθένε, Θεόνυμφε σεμνή, ὡς Θεογεννήτριαν, καὶ τεῖχος τῶν πιστῶν. σὺ γὰρ τὴν φύσιν ἀνέστησας τὴν πεσοῦσαν. καὶ τὴν εἰκόνα ἀνενέωσας τεκοῦσα, μόνη τὸν προόντα Θεὸν τοῦ Ἀδάμ.

Καταβασία. Εἰσακήκοα Κύριε.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

Ἀλαλάξατε ἔθνη, ᾄσατε σκιρτήσατε φυλαὶ καὶ ψάλατε, τῷ Θεῷ τῷ δόντι, τὸν Σταυρὸν ἀδιάσειστον ἔρεισμα. οὗ τῇ νῦν προθέσει, πάντες πιστοὶ ἀγαλλιώμεν. ὡς δι' οὗ τῶν καλῶν ἀπολαύοντες.

Ἱεραὶ στρατιαί σε, πᾶσαι περιέπουσι Σταυρὲ πανάγιε· καὶ βροτοὶ πηλίνοις, σοῦ προσψαύοντες χείλεσι σήμερον, ἀπαντλοῦμεν πόθῳ, ἁγιασμὸν καὶ εὐλογίαν, τὸν ἐν σοὶ προσπαγέντα δοξάζοντες.

Τῆς ψυχῆς μου τὰ πάθη, ἴασαι τὰ χρόνια εὔσπλαγχνε Κύριε· καὶ ὡς λατρεύειν με, τοῦ Τιμίου Σταυροῦ σου περίσωζε· οὗ τῇ δυναστείᾳ, πᾶν ἐμποδὼν ἀποσοβεῖται· καὶ κακῶν ἀπαθεῖς διαμένομεν. Σταυροθ.

Ἐν Σταυρῷ καθορῶσα, τὸν δι' ἀγαθότητα ἐκ σοῦ Πανάμωμε, ὑπὲρ νοῦν τεχθέντα, ἐδονήθης τὰ σπλάγχνα καὶ ἔλεγες· οἴμοι Θεῖον Τέκνον, πῶς ὑπὲρ πάντων ὀδυνᾶσαι; προσκυνῶ σου τὸ εὔσπλαγχνον Κύριε.

Ἄλλος. Τὴν σὴν εἰρήνην.

Θηλάσωμεν φιλόχριστοι, τοὺς Παῖδας τοὺς ἑπτά, οὓς ἡμῖν Μωσῆς νομίμως ἐθρέψατο, καὶ Ἐλεάζαρ προεβίβασεν, ἐν τῷ πατρῴῳ Νόμῳ, δι' εὐσεβοῦς θρησκείας.

Μὴ νόμιζε Ἀντίοχε, διῶκτα τῶν πιστῶν, ὅτι σοῦ τὸ πῦρ φοβήσει καιόμενον. πρὸς ταῦτα σφάζε ἀνομώτατε· ποία λοιπὸν ὃ βούλει, οἱ Παῖδες ἀνεβόων.

Ὁμοίως ἐναθλήσωμεν, ἀλλήλοις οἱ στερροί, Μάρτυρες Χριστοῦ, Μωσέως τὰ δόγματα, παρηγγυῶντο μὴ παραψαῦσαι, τῶν μιαρῶν ὄψων, οἱ Παῖδες ἀνεβόων. Δόξα.

Τριάναρχε συνάναρχε, ὁμόθρονε Τριάς, Πάτερ καὶ Υἱὲ καὶ Πνεῦμα τὸ Ἅγιον, μονὰς Ἁγία Τρισυπόστατε, τοὺς ἐξ Ἀδὰμ σῷζε, τοὺς σὲ πιστῶς ὑμνοῦντας. Καὶ νῦν. Θεοτ.

Χριστὲ ὁ μόνος εὔσπλαγχνος, εἰρήνευσον ἡμᾶς. σὲ γὰρ δυσωπεῖ ἡ ἄχραντος Μήτηρ σου, σὺν τοῖς Ἁγίοις τοῖς ἀθλήσασιν, ὑπὲρ ἐθῶν πατρῴων, καὶ τοῦ Μωσέως νόμου.

Καταβασία. Ὢ Τρισμακάριστον ξύλον.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Σταυροῦ παγέντος ἐν γῇ, δαιμόνων πτῶσις ἐγένετο. ὃν νῦν ὁρῶντες ἡμᾶς, ἐνδόξως προκείμενον, καὶ κατασπαζόμενοι, τῶν συμπτωμάτων, ἁμαρτίας ἀνιστάμεθα.

Ὑμνοῦντές σε τὸν Θεόν, καὶ Βασιλέα καὶ Κύριον. ὃν ἐδωρήσω ἡμῖν, Σταυρὸν τεῖχος ἄρρηκτον, νῦν περιπτυσσόμεθα, ἐν ἀγαλλιάσει, καὶ δεινῶν ἀπαλλαττόμεθα.

Μεγάλα πᾶσιν ἡμῖν, δωρήματα παρεχόμενος, ὁ τοῦ Κυρίου Σταυρός, ὁρᾶται προκείμενος. προσέλθωμεν ἄνθρωποι, φωτισμὸν καρδίας, καὶ ψυχῆς ἀπαρυόμενοι. Θεοτ.

Νηστεύειν ἡμᾶς Ἁγνή, κακίας πάσης ἐνίσχυσον· καὶ φαύλων καὶ πονηρῶν, ἀπέχεσθαι πράξεων, ἀεὶ ἐνδυνάμωσον, προστασία πάντων, τῶν ἀνθρώπων χρηματίζουσα.

Ἄλλος. Τὸν Προφήτην Ἰωνᾶν.

Ἡ Σοφία τοῦ Θεοῦ, ᾠκοδόμησε Ναόν, καὶ ὑπήρεισεν αὐτὸν, ἑπτὰ στύλοις λογικοῖς, προγράφουσα, τοὺς Παῖδας τούτους ὡς Νόμου φύλακας.

Ἡ Σοφὴ Σολομονή, Υἱοὺς ἔτεκεν ἑπτά· οὓς ἐθρέψατο καλῶς, Ἐλεάζαρ ὁ σοφός, καὶ ἔστεψεν, ἡ θεία χάρις, στερρῶς ἀθλήσαντας.

Τί βραδύνεις δικαστά, πρὸς Ἀντίοχον φησίν, ἐν τῷ μέσῳ τῶν δεινῶν, ἡ ἑπτάκλωνος σειρά; τιμώρει, συντόνως σφάττε, ποία θέλεις λοιπόν.

Προενήθλησε Πατήρ, συναθλοῦσι καὶ Υἱοί. εὐφραινέσθω σὺν ἡμῖν, καὶ ἡ Μήτηρ δικαστά, καὶ γένοιτο, προσθήκη Τέκνοις, καὶ σεμνολόγημα.

Κἂν τὰ σώματα ἡμῶν, ἀναλώσῃς τῷ πυρί, ὁ ἑπτάδελφος χορός, ἀνεβόα τολμηρῶς· Ἀντίοχε, μὴ ὅλως οἴου, νικᾶν κἂν ἕνα ἡμῶν. Δόξα.

Τὸν Πατέρα καὶ Υἱόν, καὶ τὸ Πνεῦμα τὸ εὐθές, ἐν Θεότητι μιᾷ, προσκυνήσωμεν πιστῶς, κραυγάζοντες· Τριὰς Ἁγία, σῷζε τὸν Κόσμον σου.

Καὶ νῦν. Θεοτοκίον.

Πῶς ἐγέννησας Υἱὸν, ὃν οὐκ ἔσπειρε Πατήρ; πῶς διέμεινας Ἁγνὴ, μετὰ τόκον ὥσπερ ἦς; Θεὸς οἶδεν, ὁ πάντα πράττων, ὅπως ἂν βούληται.

Καταβασία. Νοτίου θηρός.

Κοντάκιον, ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Σοφίας Θεοῦ, οἱ στύλοι οἱ ἑπτάριθμοι, καὶ θείου φωτὸς, οἱ λύχνοι οἱ ἑπτάφωτοι, Μακκαβαῖοι Πάνσοφοι, πρὸ Μαρτύρων μέγιστοι Μάρτυρες· σὺν αὐτοῖς τῷ πάντων Θεῷ, αἰτεῖσθε σωθῆναι τοὺς ὑμνοῦντας ὑμᾶς.

Ὁ Οἶκος.

Αἴνει θερμῶς Σιὼν τὸν Θεόν σου, ὅτι ἐνίσχυσεν ὄντως τοὺς μοχλοὺς τῶν πυλῶν, καὶ τοὺς Υἱούς σου εὐλόγησεν. οὗτοι στρατὸς γὰρ ὡς τροπαιοῦχος, φάλαγξ ὄντως γενναία καὶ κραταιόφρων, πρὸς μηχανὰς δυσσεβῶν, θεοφρόνως ἀνθέστηκαν· ὅμου νίκης στεφάνους οὐρανίους Σιὼν ἀπολαύουσι, καὶ θείῳ θρόνῳ πελάζουσιν· ὑπὲρ πιστῶν ἀπαύστως δεόμενοι, αἰτοῦσι σωθῆναι τοὺς ὑμνοῦντας αὐτούς.

Μὴν Αὔγουστος, ἔχων ἡμέρας λα΄. ἡ ἡμέρα ἔχει ὥρας ιγ΄. καὶ ἡ νὺξ ὥρας ια΄.

Εἰς τὴν Πρώτην, Μνήμη τῶν Ἁγίων Μακκαβαίων, καὶ Ἐλεαζάρου τοῦ Διδασκάλου αὐτῶν, καὶ τῆς Μητρὸς αὐτῶν Σολομονῆς.

Στίχ. Πρῶτος πρὸ Χριστοῦ πῦρ στέγων Ἐλεάζαρ,
Ἀθλήσεως προὔθηκε τοῖς ἄλλοις ἴχνη.
Πρωτάθλον ἄλλην καὶ πρὸ τῆς Θέκλης ἔχω,
Τὴν Σολομονὴν, ἣν πρὸ Χριστοῦ πῦρ φλέγει.
Ἐξ ἑβδόμης πέμπουσι παίδων ἑπτάδα,
Ἀθρέμβολα, πῦρ, καὶ τροχοὶ πρὸς ὀγδόην.
Καῦσαν ἐνὶ πρώτῃ Σολομονὴν ἑπτά τε Υἱάς.

Οὗτοι, Ἀντιόχου Υἱοῦ Σελεύκου, τοῦ τῶν Ἑβραίων ὅλον ἔθνος ἐξελόντος καὶ ἀνδραποδισαμένου, καὶ ἀναγκάζοντος τὰ πάτρια ἀρνήσασθαι ἔθη, καὶ ἀπογεύσασθαι ὑείων κρεῶν, ἠπείθησαν τῷ Τυράννῳ, τῶν πατρῴων ἀντεχόμενοι νόμων, ὅ, τε πρεσβύτης Ἐλεάζαρ, Διδάσκαλος ὢν τοῦ νόμου καὶ ἐξηγητὴς, καὶ οἱ ἑπτὰ Παῖδες ὑπ᾽ αὐτῷ παιδευόμενοι. Καὶ ὁ μὲν Πρεσβύτης, προσδεθεὶς εἰς τοὐπίσω τὰς χεῖρας τύπτεται σφοδρῶς· καὶ κατὰ τῶν μυκτήρων δριμεῖς καὶ δυσώδεις χυμοὺς δεξάμενος, καὶ εἰς πῦρ ἐμβληθεὶς, καὶ εὐξάμενος τὸ αὐτοῦ αἷμα καὶ τὸν θάνατον, ἀντίλυτρον προσδεχθῆναι ὑπὲρ τοῦ Ἔθνους παντὸς, ἐξέπνευσεν. Οἱ δὲ γενναιότατοι Παῖδες, ἕκαστος κατὰ τὴν τάξιν αὐτῶν, τῆς ἐν τῷ βίῳ προόδου ἀχθέντες, καὶ ἀθρεμβόλοις, καὶ τροχοῖς, καὶ καταπέλταις, καὶ πυρὶ, οἷς καθ᾽ ἕνα αὐτῶν ὁ Τύραννος ἐξέτασεν, ἀγωνισάμενοι, καὶ τὰ πάτρια ἔθη μὴ ἀρνησάμενοι, μηδὲ τὸν νομοθέτην Θεὸν τῆς προσκαίρου ταύτης ζωῆς ἀλλαξάμενοι· ἀλλὰ ταῖς βασάνοις αὐταῖς ἐναποθανόντες, καὶ κύριον τὸν λογισμὸν, καὶ αὐτοκράτορα δείξαντες τῶν παθῶν, τοὺς τῆς καρτερίας στεφάνους ἀνεδύσαντο. Μεθ᾽ ὧν καὶ ἡ αὐτῶν Μήτηρ Σολομονὴ, ἐπεὶ τελειωθέντας τούτους εἶδε, μὴ ὑπομείνασα χειρῶν ἀνθρωπίνων ἐπιβολὴν, τῇ ἐξαφθείσῃ πυρκαϊᾷ ἑαυτὴν ἀπέρριψε· καὶ οὕτω τῷ Θεῷ τὸ πνεῦμα παρέθετο.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Ὁ Χρόνων ἐπέκεινα, ἐν χρόνῳ σάρκα φορέσας δείκνυται· καὶ τὰ χρόνια πάθη, ἡμῶν ἰᾶται δι᾽ ἀγαθότητα, σαρκὸς ὁμοῦ τε καὶ πνεύματος, ἤδη δὲ, τῷ θείῳ τούτου Σταυρῷ καθαγιάζει ἡμᾶς.

Ὑμνοῦμεν δοξάζομεν, καὶ προσκυνοῦμεν καὶ μεγαλύνομεν, τὸ σὸν Κύριε κράτος· ὅτι παρέχεις ἡμῖν τοῖς δούλοις σου, Σταυρὸν τὸν θεῖον, τρυφὴν ἀδαπάνητον, καὶ φύλακα τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Μὴ δείξῃς με Κύριε, ἐν τῇ ἡμέρᾳ τῆς διαγνώσεως, κατεγνωσμένον κακοῖς. μὴ ἀπορρίψῃς ἐκ τοῦ προσώπου σου, κατῃσχυμμένον· ἀλλ᾽ οἴκτειρον, σῶσόν με, τῷ σῷ τιμίῳ Σταυρῷ ὡς Ὑπεράγαθος.

Ἐν τούτῳ τὴν χάριν σου, Σταυρὲ γλυκαίνων Μωσῆς τὰ ὕδατα, τὰ πικρότατα ξύλῳ· καὶ γὰρ πικρίας κακῶν ἐρρύσθημεν, τῇ σῇ δυνάμει. διὸ ἡμᾶς γλύκανον, ἀσπαζομένους σε νῦν, ἐν κατανύξει ψυχῆς. Θεοτ.

Ἡ Οὐσία μου τὴν στένωσιν, τῇ σῇ πρεσβείᾳ πλάτυνον Δέσποινα, ἡ στενώσασα πάσας, τὰς μεθοδείας τοῦ πολεμήτορος· καὶ δι᾽ ὁδοῦ με στενῆς κατεύοδωσον, πρὸς πλατυσμὸν τῆς ζωῆς, βαδίζειν Μήτηρ Θεοῦ.

Ἄλλος. Τοὺς ἐν καμίνῳ Παῖδάς σου.

Οἱ τοῦ πατρῴου νόμου ζηλωταὶ, οἱ σύμψυχοι, φύλακες τοῦ νόμου ἀκλινεῖς, ἕνα Θεὸν πανευσεβῶς ὁμολογοῦντες, τρισὶν ὑποστάσεσιν, ἑνοποιοῦντες πιστῶς, καὶ διαιροῦντες εὐσεβῶς.

Τί ἐπιμένεις Τύραννε λοιπόν; οἱ Μάρτυρες ἔκραζον τῷ πλάνῳ δικαστῇ· ἕνα Θεὸν ἡμᾶς ὁμολογοῦμεν, καὶ Πατρίδα ἔχομεν, τὴν ἄνω Ἱερουσαλήμ, τὴν θρέψαμένην ἡμᾶς.

Οὐ μιαροφαγήσομεν φασὶν, οὐ θύσομεν, γόνυ οὐδὲ κάμψομεν εἰς γῆν· ἕνα Θεὸν ἡμᾶς ἀεὶ ὁμολογοῦμεν, καὶ αὐτὸν φοβούμεθα· παρ' οὗ γεγόναμεν, καὶ πρὸς ὃν ἀπεῖδομεν. Δόξα.

Τριαδικὴν ὑμνήσωμεν ᾠδὴν, δοξάζοντες ἄναρχον Πατέρα καὶ Υἱὸν, Πνεῦμα ἅγιον συνδιαιωνίζον· καὶ ἅμα μοναδικὴν μίαν οὐσίαν· ἣν τρισσῶς ὑμνήσωμεν· Ἅγιος, Ἅγιος, Ἅγιος κράζοντες. Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε τὸ τάχος πάντων καὶ χαρὰ, Πανύμνητε· χαῖρε τῶν τεράτων ἡ Ἐλπίς· χαῖρε βροτῶν ἡ Καλλονὴ, καὶ τῶν Ἀγγέλων ἡ τερπνότης Ἄχραντε. σὺ γὰρ τὸν μόνον Θεὸν σαρκὶ ἐκύησας.

Καταβασία. Ἔκνοον πρόσαγμα.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ξύλῳ ποτὲ ἀνέλκυσε, ποταμοῦ τὸ σιδήρεον, θεῖος Ἐλισσαῖος, σὲ προγράφων πόρρωθεν, Σταυρὲ Πανσεβάσμιε· ἐκ τοῦ βυθοῦ τῆς πλάνης καὶ γὰρ, διὰ σοῦ πρὸς πίστιν, ἀναχθέντες βεβαίαν, τὴν σήμερον ἡμέραν, ἀξιούμεθα βλέπειν, καὶ πίστει προσκυνεῖν σε, εἰς πάντας τοὺς αἰῶνας.

Ὑποσημαίνει πόρρωθεν, σὲ Σταυρὲ Πανσεβάσμιε, ἐν ταῖς εὐλογίαις, Ἰακὼβ τρανώτατα. ἡμᾶς δὲ ἐν χάριτι, ἀξιωθέντες βλέπειν σε, πίστει ἀδιστάκτῳ, προσερχόμεθα πάντες· καὶ ψάλλομεν πλουσίως, εὐλογίαν τρυγῶντες, καὶ φῶς καὶ σωτηρίαν, καὶ τῶν πταισμάτων λύσιν.

Τεὐχαμονοῦντες πράξεσιν, ἐναρέτοις προσέλθωμεν, ἐν ἀγαλλιάσει, τῷ Χριστῷ κραυγάζοντες· Πανάγαθε Δέσποτα, τῷ σῷ ὑψίστῳ Θείῳ Σταυρῷ, ὕψωσον ἡμῶν τοῦ χριστωνύμου λαοῦ σου, τὸ κέρας ἵνα πίστει, καὶ εἰρήνῃ βαθείᾳ, ὑμνῆταί σου τὸ κράτος, εἰς πάντας τοὺς αἰῶνας.

Ὁμοφυῆ συνάναρχον, συναΐδιον σύνθρονον, φύσιν μὲν ἁπλῆν, διαιρετὴν προσώποις δὲ, Πατέρα ἀγέννητον, Υἱὸν καὶ Πνεῦμα Ἅγιον· ἄκτιστον οὐσίαν, καὶ Θεότητα πάντες, ὑμνοῦντες μελῳδοῦμεν· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε.

Σταυροθεοτοκίον.

Ἣν ὡς ἀρνίον ἄκακον, καθορῶσα κρεμάμενον, καὶ ὑπὸ ἀνόμων, τῷ Σταυρῷ πηγνύμενον, Υἱέ μου προάναρχε, τοῖς ὀδυρμοῖς συγκόπτομαι· καὶ ταῖς μητρικαῖς, τετρωμένη ὀδύναις· ἡ Πάναγνος ἐβόα· ἣν φωναῖς ἀσιγήτοις, ὑμνοῦμεν θεοφρόνως, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Τὸν ἐν Σοφίᾳ τοὺς Οὐρανούς.

Οἱ τῶν πατρῴων ἐθῶν νομοφύλακες, τοὺς Μωσέως διαταγῆς προκήρυκες, ὡς ἑπτὰ φωστῆρες ἐν Κόσμῳ φαίνοντες, ταῖς ἀκτῖσι τῶν ἄθλων ἡμᾶς καταλάμπουσιν, οἱ νοεροὶ λαμπτῆρες.

Οἱ κατὰ Νόμον Θεοῦ ἀριστεύσαντες, τὰς Ἀντιόχου βουλὰς καταπτύσαντες, τολμηρῶς ἐβόων· ἡμᾶς Ἀντίοχε, οὐ θηρία οὐ ξίφη, οὐ πῦρ οὐδὲ μάστιγες, ὅλως χωρίσει Θεοῦ.

Οἱ τὴν Μωσέως καθέδραν κοσμήσαντες, καὶ τοὺς πατρῴους θεσμοὺς συντηρήσαντες, ὡς ἑπτὰ ἀστέρες ἐν Κόσμῳ λάμποντες, τοὺς πλανήτας ἀστέρας λοιπὸν ἀπημαύρωσαν, τῇ αἴγλῃ τῶν ἀρετῶν, τῇ πίστει φαιδρυνθέντες.

Τῆς ἀσεβοῦς Σολομονῆς βλαστήματα, καὶ τοῦ πιστοῦ Ἐλεαζάρου τὰ θρέμματα, οἱ ἑπτὰ φωστῆρες ὡς λύχνοι φαίνοντες, τῇ τοῦ Νόμου λυχνίᾳ, σαφῶς ἐπετέθησαν, ἐν τῇ σκηνῇ τοῦ Θεοῦ. Δόξα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, τῇ ἐν Τριάδι προσώπων Θεότητι, καὶ μονάδι φύσεως, τρισὶν ὑποστάσεσιν ὑμνουμένῃ ἀπαύστως, ὑπὸ πάσης Κτίσεως, εἰς πάντας τοὺς αἰῶνας. Καὶ νῦν. Θεοτοκίον.

Τῆς Πατρικῆς εὐδοκίας θησαύρισμα, τῆς τοῦ Υἱοῦ παρουσίας ἐναύλισμα, τοῦ Ἁγίου Πνεύματος σεπτὸν ἐνδιαίτημα, ἀνεδείχθης Μαρία, Τριάδος τὴν ἔμφασιν ἐν σοὶ ἀνατυποῦσα.

Καταβασία. Εὐλογεῖτε Παῖδες.

Ὠδὴ θ΄. Ἔφριξε ἐπὶ τούτῳ.

Τάσω ὑπεράγαθε τὴν ἐμὴν, συντριβὴν ἐν Σταυρῷ προσπηγνύμενος, ἥλοις ποτὲ, πόδας τε καὶ χεῖρας Παμβασιλεῦ· καὶ τὴν πλευρὰν νυττόμενος, ὄξος ποτιζόμενος καὶ χολὴν, ἡ πάντων εὐφροσύνη, ὁ γλυκασμὸς ἡ δόξα, ἡ αἰωνία ἀπολύτρωσις.

Ὡραῖος ὑπὲρ σάπφειρον καὶ χρυσὸν, φωταυγὴς ὥσπερ Ἥλιος πέφυκας, Θεῖε

Σταυ-

Σταυρὲ, κάμενος μὲν τούτῳ περιγραπτῶς· καὶ νοεραῖς Δυνάμεσι, πάντοτε κυκλούμενος φανερῶς· ἀκτῖσι δὲ τῆς θείας, δυνάμεως φωτίζων, τῆς Οἰκουμένης τὰ πληρώματα.

Σταυρὸς χειμαζομένων ἐστὶ λιμὴν, ὁδηγὸς πλανωμένων καὶ στήριγμα, δόξα Χριστοῦ, θεῖος Ἀποστόλων καὶ Προφητῶν· τῶν Ἀθλητῶν κραταίωμα, πάντων τῶν ἀνθρώπων καταφυγή· αὐτὸν ἐν μέσῳ πάντων, προκείμενον ὁρῶντες, μετ' εὐλαβείας ἀσπαζόμεθα.

Ἡνίκα μέλλεις ἔρχεσθαι ἐπὶ γῆς, κρῖναι Κόσμον ὃν ἔπλασας Κύριε, Ἀγγελικῶν, προπορευομένων σῶν στρατιῶν· τοῦ δὲ Σταυροῦ προλάμποντος, ὑπὲρ τὰς αὐγὰς τὰς ἡλιακάς· τῇ τούτου δυναστείᾳ, οἰκτείρητόν με σῶσον, τὸν ὑπὲρ πάντας βροτοὺς πταίσαντα. Σταυροθεοτοκίον.

Φθορᾶς σε δίχα τέτοκα ἐκ γαστρὸς, πρὸ αἰώνων Πατὴρ ὃν ἐγέννησε· καὶ πῶς φθορᾶς, ἄνθρωποι σπαράττουσί σε Υἱέ; καὶ τὴν πλευρὰν ὀρύττουσι, λόγχῃ καὶ τὰς χεῖρας σὺν τοῖς ποσὶν, ἥλοισιν ἀπανθρώπως; ἡ Πάναγνος ἐβόα. Ἣν ἐπαξίως μεγαλύνομεν.

Ἄλλος. Τὴν φωτοφόρον Νεφέλην.

Οἱ κατὰ Νόμον τραφέντες, καὶ ὑπὲρ Νόμου θανόντες, Ἐλεαζάρου φοιτηταὶ, Σολομονῆς δὲ Παῖδες, καὶ τοῦ Μωσέως ζηλωταὶ, ἑλκόμενοι ἔκραζον· Ἀντίοχε, τί βραδύνεις, τί μέλλεις, τί οὐ πράττεις, ἃ βούλει καθ' ἡμῶν;

Οἱ ταξιάρχαι τοῦ Νόμου, τῆς Ἀντιόχου ἀνοίας, καταφρονήσαντες στεῤῥῶς, ταῖς βασάνοις ἐνήθλουν· ζηλοτυποῦντες ἑαυτοὺς, ἀλλήλους προτρέποντες, καὶ ᾄδοντες προαρπάζειν τοὺς πόνους, καὶ τοὺς ἄθλους, καὶ θανεῖν ὑπὲρ τὸ ζῆν.

Ὡς Ὀλυμπιονίκη, ἀνδρεία τις καὶ γενναία, ἡ Σολομονὴ τοὺς Υἱοὺς, ἐσφαγμένους ὁρῶσα, οὐκ ἐσαλεύθη τὴν ψυχὴν, ἀλλ' ἔκραζεν ἄκουε· κἀμὲ πρόσθες τοῖς τέκνοις, ἄτερ ὅλως, ἔσται χάρις παρ' ἐχθρῶν.

Ὢ Γυναικὸς ἀριστείας. ὢ γενναιότητος ἄκρας. ἡ τὸν ἑπτάκλωνον χορὸν, τῶν Υἱῶν ὑπὲρ Νόμου, ἀφιερώσασα προθύμως ἐδωρήσατο· καὶ δέδωκεν ἑαυτὴν ταῖς βασάνοις ὡς προσθήκην, τῶν θανόντων νῦν Υἱῶν.

Οἱ τῆς σεπτῆς ἑβδομάδος, τοῦτον ἐπέχοντες Παῖδες, ἐν τῷ θανάτῳ τὴν ζωὴν, θησαυρίζειν ποθοῦντες, ταῖς τοῦ διώκτου ἀπειλαῖς, γενναίως ἀντέστησαν· καὶ ἤσχυναν τῇ τοῦ Νόμου λατρείᾳ, τὰς ἐκείνου παμβεβήλους μηχανάς.

Τοὺς ἀριστέας τοῦ Νόμου, οὓς Ἐλεάζαρ ἐκθρέψας, τοῦτον κατέλιπε καλὸν, ἑαυτὸν προσενέγκας, τοῖς τῶν ἁγίων αἰκισμοῖς ἐνδόξως τιμήσωμεν, πρεσβεύοντας, τοῦ δοθῆναι τῷ Κόσμῳ τὴν εἰρήνην, καὶ ἡμῖν τὸν ἱλασμόν.

Τοὺς ἐκτελοῦντας τὴν μνήμην, τῶν ἱερῶν ὑμῶν ἄθλων, Παῖδες τοῦ Νόμου τοῦ Θεοῦ, ταῖς ὑμῶν ἱκεσίαις, ἐκ πάσης νόσου καὶ φθορᾶς, λυτρώσασθε Ἅγιοι δωρούμενοι, τῇ μονῇ ἡμῶν ταύτῃ τὴν εἰρήνην, καὶ κακῶν ἀπαλλαγήν. Δόξα.

Φῶς τὸν Πατέρα δοξάζω, φῶς τὸν Υἱὸν μεγαλύνω, φῶς καὶ τὸ Πνεῦμα προσκυνῶ, τὴν Ἁγίαν Τριάδα. ἀλλ' ἐν προσώποις μὲν τρισὶ, μιᾷ δὲ Θεότητι, ἀΐδιον ἀτελεύτητον κράτος, ἐκ μὴ ὄντων, τὰ πάντα παραγαγόν. Καὶ νῦν. Θεοτοκίον.

Πῶς εἰπὲ τίκτεις Παρθένε; πῶς ἐκ μαζῶν σου τὸ γάλα; πῶς τοῦ ἀπάτορος ἐκ σοῦ, καὶ ἀμήτορος ἄνω, ἐκ τοῦ Πατρὸς μονογενοῦς, Γεννήτρια γέγονας, θηλάζουσα, τὸν τροφέα τοῦ Κόσμου; πῶς; ὡς οἶδεν, ὡς ηὐδόκησεν αὐτός.

Καταβασία. Μυστικὸς εἶ Θεοτόκε.

Ὁ διὰ βρώσεως τοῦ ξύλου.

Ἐξαποστ. Τῶν Μαθητῶν ὁρώντων σε.

Τοὺς θαυμαστοὺς ὑμνήσωμεν Μακκαβαίους, Ἐλεαζάρου Παῖδας καὶ Σολομονῆς. οὗτοι γὰρ καθεῖλον τὰ φρυάγματα, τοῦ ἀρχεκάκου δράκοντος. καὶ τῇ τοῦ Νόμου λατρείᾳ, ἐγένοντο στεφανῖται. Εἶτα, Σταυρὸς ὁ φύλαξ.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν, στίχ. ϛ'. καὶ ψάλλομεν στιχ. προσόμοια τοῦ Σταυροῦ. ἦχ. δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐν φωναῖς ἀλαλάξωμεν, ἐν ᾠδαῖς μελῳδήσωμεν, τὸν Σταυρὸν τὸν τίμιον ἀσπαζόμενοι· καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν· Σταυρὲ Παμμακάριστε, καθαγίασον ἡμῶν, τὰς ψυχὰς καὶ τὰ σώματα, τῇ δυνάμει σου· καὶ παντοίας ἐκ βλάβης ἐναντίων, διατήρησον ἀτρώτους, τοὺς εὐσεβῶς προσκυνοῦντάς σε.

Προσελθόντες ἀρύσασθε, μὴ κενούμενα νάματα, τοῦ Σταυροῦ τῆς χάριτος προερχόμενα. ἰδοὺ προκείμενον βλέποντες, τὸ Ξύλον τὸ Ἅγιον, χαρισμάτων τὴν πηγὴν, ἀρδομένην τῷ Αἵματι, καὶ τῷ Ὕδατι, τοῦ

Δεσπότου τῶν ὅλων τοῦ ἐν τούτῳ, ἑκουσίως ὑψωθέντος, καὶ τοὺς βροτοὺς ἀνυψώσαντος.

Ἐκκλησίας ἑδραίωμα, μοναζόντων ἀγλάϊσμα, Ἱερέων καύχημα, καὶ διάσωσμα, σὺ ὦ Σταυρὲ πανσεβάσμιε. διὸ προσκυνοῦμέν σε, καὶ καρδίας καὶ ψυχάς, φωτιζόμεθα σήμερον, θείᾳ χάριτι, τοῦ ἐν σοὶ προσπαγέντος καὶ τὸ κράτος, τοῦ δολίου καθελόντος, καὶ τὴν ἀρὰν ἀφανίσαντος.

Ἕτερα τῶν Ἁγ. Ἰδιόμελ. ἦχος α΄.

Ἡ Πολύαθλος Μήτηρ, πρὸς ἀγῶνα συγκαλοῦσα, τοὺς οἰκείους Παῖδας ἔλεγε· τῇ Ἀβραμιαίᾳ πολιᾷ ἀκολουθήσατε, ἵνα τῇ σφαγῇ τοῦ Ἰσαὰκ συγκοινωνήσητε. αὐτοὶ δὲ προελάμβανον τὴν ὁδηγοῦσαν, προέπεμπον τὴν νουθετοῦσαν, ἐπαλλήλους τιμωρίας, τὰς βασάνους βλέποντες· ὧν ταῖς εὐχαῖς, ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Ἦχος δ΄. Θαυμαστὸς ὁ Θεός.

Ἑπτὰ στῦλοι ἐκλεκτοί, ἐκ μιᾶς πέτρας λογικῆς λατομηθέντες, ἀσάλευτον ἔδειξαν τὸν τοῦ Νόμου πύργον, δι᾽ ὧν εὐδόκησον Σωτήρ, ἐν ἀρωγῇ φυλαχθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος πλ. α΄. Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.

Οἱ τοῦ Νόμου φύλακες, καὶ τῆς Σολομονῆς Υἱοί, ἐν σταδίῳ ἀθλοῦντες, πρὸς Ἀντίοχον ἐβόων· ἡμᾶς ὦ Ἀντίοχε, ὑπὲρ πατρῴων Νόμων ἐγκαρτεροῦμεν· οὐ χωρίσει δὲ ἡμᾶς, οὐ πῦρ, οὐ ξίφος, οὐ θῆρες, οὐ μάστιγες· ἀλλ᾽ ὁμοῦ τεθνηξόμεθα σὺν μητρὶ γηραλαίᾳ, καὶ Διδασκάλῳ πατρί· ζῶντες καὶ συγχαίροντες, εἰς τοὺς ἀπελεύτητους αἰῶνας. Δόξα, ἦχος δ΄.

Ψυχὸν κατὰ τῶν Μακκαβαίων, συγκροτηθέντα πόλεμον, δεῦτε θεασώμεθα πιστοὶ τὴν ἀνδρείαν. Τύραννος γὰρ Βασιλεύς, πάντων τῶν ἐθνῶν κρατήσας, ἀντεκρατεῖτο ὑπὸ γέροντος, καὶ παίδων ἑπτά, καὶ μιᾶς γυναικός. διὸ εὐχαῖς αὐτῶν, ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Καὶ νῦν, ἦχος ὁ αὐτός.

Ὁ Συμμαχήσας Κύριε.

Δοξολογία μεγάλη, καὶ γίνεται ἡ προσκύνησις τοῦ τιμίου Σταυροῦ, κατὰ τὸν τύπον τῆς τρίτης Κυριακῆς τῶν Νηστειῶν, ἐπιλέγοντες καὶ τὸ παρὸν Ἰδιόμελον στιχηρόν, ἦχος β΄.

Δεῦτε πιστοὶ τὸ ζωοποιὸν Ξύλον.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ β΄.

Ἡ Ἀνακομιδὴ τοῦ Λειψάνου τοῦ Ἁγίου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου. ζήτει τὴν Ἀκολουθίαν Δεκεμβρίου κζ΄.

Μηνὶ τῷ αὐτῷ γ΄.

Τῶν Ὁσίων Πατέρων ἡμῶν Ἰσαακίου, Δαλμάτου, καὶ Φαύστου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὁσίους.

Μηνὶ τῷ αὐτῷ δ΄.

Τῶν Ἁγίων ἑπτὰ Παίδων, τῶν ἐν Ἐφέσῳ. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ ε΄.

Προεόρτια τῆς Ἁγίας Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ τοῦ Ἁγίου Μάρτυρος Εὐσιγνίου.

Εἰς τό, Κύριε ἐκέκραξα, στιχ. Προεόρτια, ἦχος δ΄.

Ἔδωκας σημείωσιν.

Δεῦτε συνανέλθωμεν, τῷ Ἰησοῦ ἀναβαίνοντι, εἰς τὸ ὄρος τὸ ἅγιον· κἀκεῖ ἀκουσώμεθα, φωνῆς Θεοῦ ζῶντος, Πατρὸς προανάρχου, διὰ νεφέλης φωτεινῆς, προσμαρτυρούσης ἐν θείῳ Πνεύματι, αὐτῷ τὴν γνησιότητα, τῆς ἀϊδίου Υἱότητος· καὶ τὸν νοῦν φωτιζόμενοι, ἐν φωτὶ φῶς ὀψώμεθα.

Δεῦτε προχορεύσωμεν, καὶ ἑαυτοὺς ἐκκαθάρωμεν· καὶ πιστῶς ἑτοιμάσωμεν, πρὸς θείαν ἀνάβασιν, τῆς ὑψηλοτάτης, Θεοῦ πολιτείας· ὅπως ἐπόπται τῆς αὐτοῦ, μεγαλειότητος ἐποφθείημεν· καὶ δόξης ἐπιτύχοιμεν, ἣν κατιδεῖν ἠξιώθησαν, Ἀποστόλων οἱ πρόκριτοι, μυστικῶς ἐν τῷ ὄρει Θαβώρ.

Δεῦτε νῦν τὴν κρείττονα, ἀλλοιωθέντες ἀλλοίωσιν, ἑαυτοὺς εἰς τὴν ἄϋλον, καλῶς εὐτρεπίσωμεν, ἐν ὄρει προβῆναι, Θεοῦ τῷ ἁγίῳ, τὴν ἀναλλοίωτον Χριστοῦ, δόξαν ἀστράπτουσαν κατοπτεύσοντες, λαμπρῶς ὑπὲρ τὸν Ἥλιον· καὶ τὸ τριλαμπὲς αὐγαζόμενοι, φῶς ἐν τούτῳ δοξάσωμεν, τὴν αὐτοῦ συγκατάβασιν.

Καὶ τοῦ Ἁγίου, ζήτει εἰς Μάρτυρα.

Δόξα, καὶ νῦν, ἦχος πλ. α΄.

Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν· καὶ θεασώμεθα τὴν δόξαν, τῆς Μεταμορφώσεως αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός· φωτὶ προσλάβωμεν φῶς, καὶ μετάρσιοι γενόμενοι τῷ Πνεύματι, Τριάδα ὁμοούσιον, ὑμνήσωμεν εἰς τοὺς αἰῶνας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς τὸν στ. στ. προσόμοια, ἦχος β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Φέγγει τῶν ἀρετῶν, ἐκλάμποντες προβῶμεν, ἐν ὄρει τῷ Ἁγίῳ, ὀψόμενοι τὴν θέαν, Κυρίου Μεταμόρφωσιν.

στ. Σοί εἰσιν οἱ Οὐρανοί.

Σῆμα θεοπρεπὲς, Θεότητος δεικνύει, πρὸ τοῦ Σταυροῦ τοῖς Μύσταις, ὡς Ἥλιος ἐκλάμψας, Χριστὸς ἐν ὄρει σήμερον.

στ. Θαβὼρ καὶ Ἑρμών.

Φύσιν τὴν ἐν Ἀδὰμ, Χριστὸς ἀμεῖψαι θέλων, ἐν ὄρει νῦν ἀπαίρει, Θαβὼρ παραγυμνώσων, τοῖς Μύσταις τὴν Θεότητα.

Δόξα, καὶ νῦν. ἦχος β'.

Ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ, μεταμορφωθεὶς ἐν δόξῃ Χριστὲ ὁ Θεὸς, καὶ ὑποδείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν τῆς σῆς Θεότητος, καταύγασον καὶ ἡμᾶς, τῷ φωτὶ τῆς σῆς ἐπιγνώσεως· καὶ ὁδήγησον ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἀπολυτίκιον, ἦχος δ'.

Χριστοῦ τὴν Μεταμόρφωσιν προϋπαντήσωμεν, φαιδρῶς πανηγυρίζοντες τὰ προεόρτια, πιστοὶ καὶ βοήσωμεν· ἤγγικεν ἡ ἡμέρα τῆς ἐνθέου εὐφροσύνης· ἄνεισιν εἰς τὸ ὄρος, τὸ Θαβὼρ ὁ Δεσπότης, τῆς Θεότητος αὐτοῦ ἀπαστράψαι τὴν ὡραιότητα.

Τὸ αὐτὸ καὶ εἰς τὸ, Θεὸς Κύριος.

Προεόρτιος Κανὼν, οὗ ἡ ἀκροστιχίς.

Ἡ Ἀλφάβητος.

Ὠδὴ α'. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀστράφθητι κάτωθεν, φῶς Οὐρανοῦ ὑπὲρ Ἥλιον, καὶ γῆς ἀκτινώθητι ῥήμασι ζῶντος Θεοῦ. τὴν υἱότητα τοῦ μεταμορφουμένου, Πατὴρ μαρτυρήσει γὰρ, ἐπὶ τοῦ ὄρους Θαβώρ.

Βροτὸς τὸ ὁρώμενον, ἀλλὰ Θεὸς τὸ κρυπτόμενον, ἐπὶ τὸ Θαβώριον, Χριστὸς ἀνέρχεται, τῆς Θεότητος αὐγὴν παραγυμνῶσαι, ταῖς ὑπὲρ τὸν Ἥλιον δόξης λαμπρότησι.

Γνωστῶς νῦν προέρχεται, ἐμφανισθῆναι Μωσῇ Χριστὸς, τὴν δόξαν τὴν ἄρρητον δεῖξαι ἐν ὄρει Θαβὼρ, τὴν πρὸς πρόσωπον, ἀμέσως ὁμιλίαν. γηθόμενοι σήμερον, προεορτάσωμεν.

Καὶ τοῦ Ἁγίου. ζήτει εἰς Μάρτυρα.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Δεσπόζων τῆς Κτίσεως ἁπάσης, ὡράθης μορφὴν δούλου λαβὼν, ἐν ᾗ τὸ τῆς Θεότητος, ἀπρόσιτον ἀπαύγασμα, τοῖς Μαθηταῖς παρέδειξας, καθὼς ἐχώρουν θεάσασθαι.

Ἐξ ὄρους ἐπάγεται ἀστράψαι, τῆς δόξης ὁ Ἥλιος Χριστὸς, καὶ τὸν ἐξ ὕψους λάμποντα, φωστῆρα ἀμαυρῶσαι φωτί. οὗ ταῖς αὐγαῖς λαμπόμενοι, προεορτάσωμεν σήμερον.

Ζωῆς αἰωνίου ἐκπληρῶσαι, τὰ ῥήματα πάρεστι Χριστός· ὥσπερ δεικνύων πράγματα, τοῖς φίλοις ἐπιγνώσεσθαι, ἐν ἑαυτῷ ηὐδόκησε, τὴν Πατρικὴν δόξαν ἀστράπτουσαν.

Καθ. ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ἐναντίων ἀνόμων καθωμολόγησας, τὸν τῶν ὅλων Δεσπότην Θεὸν καὶ Κύριον, μὴ φεισάμενος σαρκὸς, αἰκιζομένης σφοδρῶς, Στρατιῶτα τοῦ Χριστοῦ, τῶν οὐρανίων στρατιῶν, συνόμιλε καὶ τῆς δόξης, τῆς ἀληθοῦς κληρονόμε. διὸ ἱκέτευε σωθῆναι ἡμᾶς.

Δόξα, καὶ νῦν. ἦχος δ'. Ἐπεφάνης σήμερον.

Ἐπεφάνη, ἤγγικε τοῖς ἐν τῷ σκότει, ὁ τῆς δόξης Ἥλιος, τὰς τῆς Θεότητος αὐγὰς, ἐν τῷ Θαβὼρ ἀνερχόμενος· οὗ τὴν φωσφόρον τιμήσωμεν ἔλευσιν.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ἡ Οὐράνιος χορεία, τοῖς γηΐνοις συγγέγηθε, καὶ προεορτάζει, τὴν τοῦ φωτοδότου ἐπίλαμψιν· ἣν ἀσυγχύτως ἀστράψας ἀμειβόμενος, τὴν βροτείαν μορφὴν ἐν Θαβὼρ ὡς ηὐδόκησε.

Θεανθρώπῳ παρουσίᾳ, τοῖς ἀνθρώποις ὡμιλήσας· καὶ θαυμάτων πλήθει, Κόσμον μυστικῶς κατεφώτισας. ἐξαστραπτούσῃ δὲ δόξῃ τῆς Θεότητος, ὑπερέλαμψας, ἐν τῷ Θαβὼρ ἀπροσίτῳ φωτί.

Ἰησοῦς Ναυῆ ὁ γόνος, πρὶν τὸν Ἥλιον ἔστησε, προτυπῶν ἡμέραν, τὴν τοῦ θείου Πάθους σου Δέσποτα· αὐτὸς δὲ Σωτὴρ, πρὸ τοῦ τιμίου Σταυροῦ σου, σέλας ἔκρυψας, τοῦ Ἡλίου, αὐγῇ τοῦ προσώπου σου Κύριε.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Κυρίῳ γηθόμενοι, πιστῶς ἀκολουθήσωμεν. ἰδοὺ γὰρ ἀνέρχεται πρὸς ὄρος, Μύστας προκρίτους συνεπαγόμενος, οἷς ἐν ἀπροσίτῳ καλλονῇ, λάμψας ὑπὲρ Ἥλιον, ὑποδείξει τὴν δόξαν αὐτοῦ.

Λαμπρύνθητι σήμερον, ὁ Οὐρανὸς φαιδρότερον. ἄνεισιν ἰδοὺ γὰρ πρὸς τὸ ὄρος, ὅθεν ἀστράψει Χριστὸς ἀπλέτῳ φωτὶ, τὰς ἡλιακὰς μαρμαρυγὰς, δόξῃ τῆς Θεότητος, ἀμαυρῶν ὡς φωτὸς χορηγός.

Δημόσια Κεντρική Βιβλιοθήκη

Μυστήριον δείκνυσι, Χριστὸς τοῖς Μαθηταῖς ἐν Θαβώρ, λάμψας ὑπὲρ αἴγλην τῷ προσώπῳ, τῷ στολισμῷ δὲ τῶν ἱματίων αὐτοῦ, λευκανθεὶς φαιδρῶς ὥσπερ χιών, ὁ ἀναβαλλόμενος, ὡς ἱμάτιον φῶς ψαλμικῶς.

Ὠδὴ ς΄. Τὴν θείαν ταύτην.

Νυμφῶνα δόξης μελλούσης χαρᾶς, τοῖς φίλοις εὐτρεπίζων ἀνέρχεται, ἐπὶ τὸ ὄρος Χριστός, πρὸς πολιτείαν μετάρσιον, ἐκ βίου χαμαιζήλου, ἀνακομίζων αὐτούς.

Ξενίζων φρένας Χριστὸς Μαθητῶν, οὐράνιον ἐν γῇ σέλας ἤστραψε, Νόμου καὶ τῶν Προφητῶν, δουλοπρεπῶς παρεστῶν ἀρχηγούς. ὑφ᾽ ὧν νεκρῶν καὶ ζώντων, προσμαρτυρᾶται Θεός.

Ὁ Λύχνος φαίνειν νῦν ἄρχεται, Χριστὸς ἐν αὐχμηρῷ τούτῳ φαύσει, τῆς θεϊκῆς ἀστραπῆς· οὗ πρὸς τὴν λάμψιν ὁδεύσωμεν, ἐν αἴγλῃ τοῦ προσώπου αὐτοῦ γηθόμενοι.

Κοντάκ. ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἐν τῇ θείᾳ σήμερον Μεταμορφώσει, ἡ βροτεία ἅπασα, φύσις προλάμπει θεϊκῶς, ἐν εὐφροσύνῃ κραυγάζουσα· μεταμορφοῦται Χριστός, σώζων ἅπαντας.

Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν τῇ Κτίσει.

Πρὸς μετάρσιον ψυχῆς ὕψος ἀνάγοντι, τῶν Μαθητῶν ἐκλογήν, ἀκολουθήσωμεν νῦν, Χριστῷ κατοπτεύοντες ξένα θεάματα· θαμβηθέντες δέ, σὺν αὐτοῖς ἐκβοήσωμεν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ῥυπωθεῖσαν ἐκκαθαίρας φύσιν βρότειον, ὕδατί τε καὶ πυρί, ἐν τῇ οἰκείᾳ σαρκί, τὴν ταύτης λαμπρότητα ὑποδεικνύεις Σωτὴρ· τῷ προσώπῳ σου, λάμψας ὑπὲρ τὸν Ἥλιον, εἰς μελλούσης δόξης τύπον.

Συνανέλθωμεν Χριστῷ εἰς ὄρος ἅγιον, συναναφέροντι, τοὺς Ζεβεδαίου Υἱούς, καὶ Πέτρον τὸν πρόκριτον. οὓς ἐξελέξατο, δόξης μάρτυρας, τῆς ἑαυτοῦ κραυγάζοντας· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Τίς μὴ ἐκπλαγῇ Παντάναξ Λόγε, τὴν μεγαλοπρέπειαν τῆς δόξης σου, ἣν μεταμορφούμενος, ἔδειξας τοῖς φίλοις σου, ταῖς θεϊκαῖς λαμπρότησι περιαστράψας αὐτούς; μεθ᾽ ὧν, προεορτάζοντας πίστει, λάμπρυνον φωτί σου, ἡμᾶς τοὺς σὲ ὑμνοῦντας.

Ὕψος οὐρανίου πολιτείας, καὶ δόξης τῆς ἀϊδίου θείαν ἔλλαμψιν, δώρησαι τοῖς δούλοις σου, νῦν προεορτάζουσι, τῆς σῆς Μεταμορφώσεως, λαμπρὰν πανήγυριν. ἐν ᾗ φῶς ἀπαστράπτων φαιδρυνεῖς, τοὺς σὲ ἀνυμνοῦντας, Χριστὸν τὸν Φωτοδότην.

Φωτὸς χορηγός, καὶ φῶς ὑπάρχων, ἀπρόσιτον καὶ ἀΐδιον Προάναρχε, ὁ ἀναβαλλόμενος, φῶς ὥσπερ ἱμάτιον, φῶς ἐν τῷ Κόσμῳ ἔλαμψας, μετὰ σαρκὸς προελθών. καὶ φῶς ἐπὶ τοῦ ὄρους ἀστράπτεις, δόξης τῆς Πατρῴας, δεικνὺς τὸν χαρακτῆρα.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Χαῖρε Οὐρανός, ἐκ γῆς ἀνατέλλοντα, νῦν προαισθόμενος, Ἥλιον τὸν ἔνδοξον, ἐν Θαβωρίῳ τῷ ὄρει σήμερον, ἡλιακαῖς φαιδρότητας· γῆ δὲ χορεύει φαιδρῶς, οὐρανίῳ αἴγλῃ καὶ λαμπρότητι, λαμπομένη καὶ φῶς χρηματίζουσα.

Ψάλλων ὁ Δαβίδ, τὴν σὴν Μεταμόρφωσιν προανεφώνησε· τίς ὁμοιωθήσεται, σοὶ τῷ Κυρίῳ λέγων Υἱοῖς ἐν Θεοῦ; σὺ γὰρ ἐνδοξαζόμενος ἐν ταῖς Ἁγίων βουλαῖς, μέγας ὤφθης ἐν τοῖς περικύκλῳ σου, φοβερὸς ἐν τῇ δόξῃ τῆς θείας μορφῆς.

Ὢ Λόγε Θεοῦ, Σοφία καὶ δύναμις, καὶ χαρακτὴρ τοῦ Πατρός· ὦ Θεὲ νοούμενε, πιστοῖς καὶ ἄνθρωπε γνωριζόμενε· τῆς σῆς Μεταμορφώσεως ἡμᾶς ἀξίωσον, ἐκτελέσαι τὴν φαιδρὰν πανήγυριν, ἐν φωτὶ καλῶν ἔργων ἐκλάμποντας.

Ἐξαποστειλ. Τοῖς Μαθηταῖς.

Οἱ δόξης ἐφιέμενοι, ὁλικῶς τῆς ἐνθέου, τὸ νέφος διακόψωμεν, τοῦ γεώδους σαρκίου, μετάρσιοι πρὸς τὸ ὄρος, τὸ Θαβὼρ ἀνελθόντες· καὶ Μωϋσεῖ Ἠλίᾳ τε, Μαθητῶν τοῖς πρωτάρχαις, συμμετασχεῖν, θεϊκῆς ἐλλάμψεως ἀπροσίτου, ἀξιωθῆναι σπεύσωμεν, φῶς φωτὶ προσλαβόντες.

Εἰς τὸν Στ. Στ. τῆς Ἑορτῆς, ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων.

Τῆς παναγίας ἐνδόξου Μεταμορφώσεως, προϋπαντὴν ποιοῦντες, τῇ παρούσῃ ἡμέρᾳ, Χριστὸν δοξολογοῦμεν, τὸν τὴν ἡμῶν, τῷ πυρὶ τῆς Θεότητος, ἀναμορφώσαντα φύσιν, καὶ ὡς τὸ πρίν, ἀφθαρσίαν ἀπαστράψαντα.

Στ. Σοὶ εἰσιν οἱ Οὐρανοί.

Ἐπὶ τὸ ἅγιον ὄρος δεῦτε ἀπίωμεν, καὶ τὴν παμφαεστάτην, Μεταμόρφωσιν πίστει,

ὀψω-

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

ὀψώμεθα Κυρίου· τοῦτον πιστῶς, προσκυνοῦντες καὶ λέγοντες· σὺ Θεὸς μόνος ὑπάρχεις ὁ Σαρκωθείς, καὶ θεώσας τὸ ἀνθρώπινον.

Στ. Θαβὼρ καὶ Ἑρμών.

Αὕτη ἐστὶν ἡ ἡμέρα ἡ προεόρτιος, μεθ' ἣν μεταμορφοῦται, ὁ Χριστὸς συμπαρόντων, Μωσέως καὶ Ἠλία, καὶ τῶν αὐτοῦ, Μαθητῶν ἐν τῷ ὄρει Θαβώρ, φωνῆς τοιᾶς δε λαλούσης, οὗτος ἐστίν, ἀληθῶς, ὁ ἐκλεκτός μου Υἱός.

Δόξα, καὶ νῦν, ἦχος πλ. α'.

Νόμου καὶ Προφητῶν σε Χριστέ· Ζήτει εἰς τὴν Λιτὴν τῆς Ἑορτῆς. καὶ Ἀπόλυσις.

Μηνὶ τῷ αὐτῷ ς'.

## Ἡ Ἁγία Μεταμόρφωσις τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Χρὴ γινώσκειν, ὅτι ἐὰν φθάσῃ γενέσθαι ἡ Μεταμόρφωσις ἐν ἡμέρᾳ Κυριακῇ, οὐδὲν τῶν Ἀναστασίμων ψάλλομεν, ἀλλὰ ταῦτα τῆς Ἑορτῆς. Ἑσπέρας ἐν τῇ ἀγρυπνίᾳ, στιχολ. οὐκ ἔστι. μετὰ δὲ τὸν Προοιμιακὸν Ψαλμόν. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. η'. καὶ ψάλλομεν στ. ἰδιόμ. ἦχος δ'.

Κοσμᾶ Μοναχοῦ

Πρὸ τοῦ Σταυροῦ σου Κύριε, ὄρος Οὐρανὸν ἐμιμεῖτο, νεφέλη ὡς σκηνὴ ἐφηπλοῦτο. σοῦ μεταμορφουμένου, ὑπὸ Πατρὸς δὲ μαρτυρουμένου, παρῆν ὁ Πέτρος σὺν Ἰακώβῳ, καὶ Ἰωάννῃ, ὡς μέλλοντες συνεῖναί σοι, καὶ ἐν τῷ καιρῷ τῆς παραδόσεώς σου· ἵνα θεωρήσαντες τὰ θαυμάσιά σου, μὴ δειλιάσωσι τὰ παθήματά σου· ἃ προσκυνῆσαι ἡμᾶς, ἐν εἰρήνῃ καταξίωσον, διὰ τὸ μέγα σου ἔλεος. Δίς.

Πρὸ τοῦ Σταυροῦ σου Κύριε, παραλαβὼν τοὺς Μαθητὰς εἰς ὄρος ὑψηλόν, μετεμορφώθης ἔμπροσθεν αὐτῶν, ἀκτῖσι δυνάμεως, καταυγάζων αὐτούς. ἔνθεν φιλανθρωπίᾳ, ἐκεῖθεν ἐξουσίᾳ, δεῖξαι βουλόμενος, τῆς ἀναστάσεως τὴν λαμπρότητα. ἧς καὶ ἡμᾶς ὁ Θεός, ἐν εἰρήνῃ καταξίωσον, ὡς ἐλεήμων καὶ φιλάνθρωπος. Δίς.

Εἰς ὄρος ὑψηλὸν μεταμορφωθεὶς ὁ Σωτήρ, τοὺς κορυφαίους ἔχων τῶν Μαθητῶν, ἐνδόξως ἐξέλαμψας· δηλῶν, ὅτι οἱ τῷ ὕψει τῶν ἀρετῶν διαπρέψαντες, καὶ τῆς ἐνθέου δόξης ἀξιωθήσονται. συλλαλοῦντες δὲ τῷ Χριστῷ, Μωϋσῆς καὶ Ἠλίας ἐδείκνυον, ὅτι ζώντων καὶ νεκρῶν κυριεύει· καὶ ὁ πάλαι διὰ Νόμου, καὶ Προφητῶν λαλήσας, ὑπῆρχε Θεός· ᾧ καὶ φωνὴ τοῦ Πατρός, ἐκ νεφέλης φωτεινῆς, ἐμαρτύρει λέγουσα· αὐτοῦ ἀκούετε, τοῦ διὰ Σταυροῦ τὸν ᾅδην σκυλεύσαντος, καὶ νεκροῖς δωρουμένου ζωὴν τὴν αἰώνιον. Δίς.

Ὄρος τὸ ποτὲ ζοφῶδες καὶ καπνῶδες, νῦν τίμιον καὶ ἅγιον ἐστίν, ἐν ᾧ οἱ πόδες σου ἔστησαν Κύριε. πρὸ αἰώνων γὰρ κεκαλυμμένον Μυστήριον, ἐπ' ἐσχάτων ἐφανέρωσεν, ἡ φρικτή σου Μεταμόρφωσις, Πέτρῳ, Ἰωάννῃ, καὶ Ἰακώβῳ. Οἵτινες τὴν ἀκτῖνα τοῦ προσώπου σου μὴ φέροντες, καὶ τὴν λαμπρότητα τῶν χιτώνων σου, ἐπὶ πρόσωπον εἰς γῆν κατεβαρύνοντο· οἱ καὶ τῇ ἐκστάσει συνεχόμενοι, ἐθαύμαζον βλέποντες Μωϋσῆν καὶ Ἠλίαν, συλλαλοῦντάς σοι τὰ μέλλοντα συμβαίνειν σοι. καὶ φωνὴ ἐκ τοῦ Πατρός, ἐμαρτύρει λέγουσα. οὗτος ἐστὶν ὁ Υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα, αὐτοῦ ἀκούετε· ὅστις καὶ δωρεῖται τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Δίς.

Δόξα. καὶ νῦν. ἦχος πλ. β'. Ἀνατολίου.

Προτυπῶν τὴν Ἀνάστασιν τὴν σὴν Χριστὲ ὁ Θεός, τότε παραλαμβάνεις τοὺς τρεῖς σου Μαθητὰς Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην, ἐν τῷ Θαβὼρ ἀνελθών. σοῦ δὲ Σῶτερ μεταμορφουμένου, τὸ Θαβώριον ὄρος φωτὶ ἐσκέπετο· οἱ Μαθηταί σου Λόγε, ἔρριψαν ἑαυτοὺς ἐν τῷ ἐδάφει τῆς γῆς, μὴ φέροντες ὁρᾷν τὴν ἀθέατον μορφήν. Ἄγγελοι διηκόνουν φόβῳ, καὶ τρόμῳ· Οὐρανοὶ ἔφριξαν, γῆ ἐτρόμαξεν, ὁρῶντες ἐπὶ γῆς τῆς δόξης τὸν Κύριον.

Εἴσοδος, Προκείμ. τῆς ἡμέρας, καὶ τὰ Ἀναγν.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

Εἶπε Κύριος πρὸς Μωϋσῆν. Ἀνάβηθι Κεφ. ά. 3.
πρός με εἰς τὸ ὄρος, καὶ στῆθι ἐκεῖ, καὶ δώσω σοι τὰ πυξία τὰ λίθινα, τὸν Νόμον καὶ τὰς ἐντολάς, ἃς ἔγραψα, νομοθετῆσαι αὐτοῖς. Καὶ ἀναστὰς Μωϋσῆς, καὶ Ἰησοῦς ὁ παρεστηκὼς αὐτῷ, ἀνέβησαν ἐπὶ τὸ ὄρος τοῦ Θεοῦ. Καὶ τοῖς Πρεσβυτέροις εἶπον. ἡσυχάσατε αὐτοῦ, ἕως ἂν ἐπιστρέψωμεν πρὸς ὑμᾶς. καὶ ἰδοὺ Ἀαρών, καὶ Ὢρ μεθ' ὑμῶν, ἐάν τινι συμβῇ κρίσις, προσπορευέσθωσαν αὐτοῖς. Καὶ ἀνέβη Μωϋσῆς εἰς τὸ ὄρος, καὶ ἐκάλυψεν ἡ νεφέλη τὸ ὄρος· καὶ κατέβη ἡ δόξα τοῦ Θεοῦ ἐπὶ τὸ ὄρος τὸ Σινᾶ, καὶ ἐκάλυψεν αὐτὸ ἡ νεφέλη ἓξ ἡμέρας. καὶ ἐκάλεσε Κύριος τὸν

Μωϋ-

Μωϋσῆν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐκ μέσου τῆς νεφέλης. Τὸ δὲ εἶδος τῆς δόξης Κυρίου, ὡσεὶ πῦρ φλέγον ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, ἐναντίον τῶν Υἱῶν Ἰσραήλ. Καὶ εἰσῆλθε Μωϋσῆς εἰς τὸ μέσον τῆς νεφέλης, καὶ ἀνέβη εἰς τὸ ὄρος. καὶ ἦν ἐκεῖ ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας.

### Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

Κεφ. λγ΄. 11 ἘΛάλησε Κύριος πρὸς Μωϋσῆν ἐνώπιος
ἐνωπίῳ, ὡς εἴτις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον· καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν. Ὁ δὲ θεράπων Ἰησοῦς Υἱὸς Ναυῆ νέος, οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς. Καὶ εἶπε Μωϋσῆς πρὸς Κύριον. Ἰδοὺ σύ μοι λέγεις, ἀνάγαγε τὸν λαὸν τοῦτον. σὺ δὲ οὐκ ἐδήλωσάς μοι, ὃν συναποστελεῖς μετ' ἐμοῦ. Σὺ δέ μοι εἶπας· Οἶδά σε παρὰ πάντας, καὶ χάριν ἔχεις παρ' ἐμοί. Εἰ οὖν εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτόν, ἵνα γνωστῶς ἴδω σε. ὅπως ἂν εὑρηκὼς χάριν ἐνώπιόν σου, καὶ ἵνα γνῶ, ὅτι λαός σου τὸ ἔθνος τοῦτο. Καὶ λέγει, αὐτὸς προπορεύσομαί σου, καὶ καταπαύσω σε. Καὶ εἶπε πρὸς αὐτόν· εἰ μὴ σὺ αὐτὸς συμπορεύῃ μεθ' ἡμῶν, μή με ἀναγάγῃς ἐντεῦθεν. Καὶ πῶς γνωστὸν ἔσται ἀληθῶς, ὅτι εὕρηκα χάριν παρὰ σοὶ ἐγώ τε καὶ ὁ λαός σου, ἀλλ' ἢ συμπορευομένου σου μεθ' ἡμῶν; καὶ ἐνδοξασθησόμεθα ἐγώ τε καὶ ὁ λαός σου παρὰ πάντα τὰ ἔθνη, ὅσα ἐπὶ τῆς γῆς ἐστιν. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· καὶ τοῦτόν σοι τὸν λόγον ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιον ἐμοῦ, καὶ οἶδά σε παρὰ πάντας. Καὶ λέγει Μωϋσῆς· Δεῖξόν μοι τὴν σεαυτοῦ δόξαν; Καὶ εἶπεν· ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω τῷ ὀνόματί μου Κύριον ἐναντίον σου, καὶ ἐλεήσω, ὃν ἂν ἐλεῶ· καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω. Καὶ εἶπεν, οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου. Οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται. Καὶ εἶπε Κύριος. Ἰδοὺ τόπος παρ' ἐμοί, καὶ στήσῃ ἐπὶ τῆς πέτρας. Ἡνίκα δ' ἂν παρέλθῃ ἡ δόξα μου, καὶ θήσω σε εἰς ὀπὴν τῆς πέτρας, καὶ σκεπάσω τῇ χειρί μου ἐπὶ σέ, ἕως ἂν παρέλθω· καὶ ἀφελῶ τὴν χεῖρά μου, καὶ τότε ὄψῃ τὰ ὀπίσω μου· τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι.
Κεφ. λδ΄. 4 Καὶ ὀρθρίσας Μωϋσῆς τὸ πρωΐ, ἀνέβη εἰς τὸ
ὄρος τὸ Σινᾶ, καθὰ συνέταξεν αὐτῷ Κύριος. Καὶ κατέβη Κύριος ἐν νεφέλῃ, καὶ παρέστη αὐτῷ ἐκεῖ Μωϋσῆς, καὶ ἐκάλεσε τῷ ὀνόματι Κυρίου. Καὶ παρῆλθε Κύριος πρὸ προσώπου αὐτοῦ, καὶ ἐκάλεσε Κύριος ὁ Θεός, ὁ οἰκτίρμων, καὶ ἐλεήμων, μακρόθυμος, καὶ πολυέλεος, καὶ ἀληθινός. Καὶ σπεύσας Μωϋσῆς, κύψας ἐπὶ τὴν γῆν, προσεκύνησε τῷ Κυρίῳ.

### Βασιλειῶν τρίτης τὸ Ἀνάγνωσμα.

ἘΝ ταῖς ἡμέραις ἐκείναις, ἔρχεται Ἠλιοὺ Κεφ. ιθ΄. 3.
εἰς Βηρσαβεέ, ἥ ἐστι τοῦ Ἰούδα. καὶ ἀφῆκε τὸ Παιδάριον αὐτοῦ ἐκεῖ. Καὶ αὐτὸς ἐπορεύθη ἐν τῇ ἐρήμῳ ὁδὸν ἡμέρας, καὶ ἦλθε, καὶ ἐκάθισεν ὑποκάτω Ἀρκεύθου· Καὶ ἐκοιμήθη, καὶ ὕπνωσεν ἐκεῖ ὑπὸ φυτόν. Καὶ ἰδού τις ἥψατο αὐτοῦ, καὶ εἶπεν αὐτῷ· Ἀνάστηθι, φάγε, καὶ πίε. Καὶ ἐπέβλεψεν Ἠλιού, καὶ ἰδοὺ πρὸς κεφαλῆς αὐτοῦ ἐγκρυφίας ὀλυρίτης, καὶ καμψάκης ὕδατος. Καὶ ἀνέστη, καὶ ἔφαγε, καὶ ἔπιε, καὶ ἐπιστρέψας ἐκοιμήθη. καὶ ἐπέστρεψεν ὁ Ἄγγελος Κυρίου ἐκ δευτέρου, καὶ ἥψατο αὐτοῦ καὶ εἶπεν αὐτῷ· ἀνάστηθι, καὶ φάγε, καὶ πίε, ὅτι πολλὴ ἀπὸ σοῦ ἡ ὁδός. Καὶ ἀνέστη καὶ ἔφαγε, καὶ ἔπιε· καὶ ἐπορεύθη ἐν τῇ ἰσχύϊ τῆς βρώσεως ἐκείνης τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, ἕως ὄρους Χωρήβ. Καὶ εἰσῆλθεν ἐκεῖ εἰς τὸ σπήλαιον, καὶ κατέλυσεν ἐκεῖ. καὶ ἰδοὺ ῥῆμα Κυρίου πρὸς αὐτόν· Καὶ εἶπεν αὐτῷ Κύριος· ἐξελεύσῃ, καὶ στήσῃ ἐν τῷ ὄρει ἐνώπιον Κυρίου. καὶ ἰδοὺ Κύριος παρελεύσεται, καὶ πνεῦμα μέγα κραταιὸν διαλύον ὄρη, καὶ συντρῖβον πέτρας ἐνώπιον Κυρίου. οὐκ ἐν τῷ πνεύματι Κύριος. καὶ μετὰ τὸ πνεῦμα συσσεισμός· οὐκ ἐν τῷ συσσεισμῷ Κύριος. καὶ μετὰ τὸν συσσεισμὸν πῦρ· οὐκ ἐν τῷ πυρὶ Κύριος· Καὶ μετὰ τὸ πῦρ φωνὴ αὔρας λεπτῆς, κἀκεῖ Κύριος. Καὶ ἐγένετο ὡς ἤκουσεν Ἠλιού, ἐπεκάλυψε τὸ πρόσωπον αὐτοῦ ἐν τῇ μηλωτῇ αὐτοῦ, καὶ ἐξῆλθε, καὶ ἔστη παρὰ τὸ σπήλαιον. Καὶ εἶπε Κύριος πρὸς αὐτόν· πορεύου, καὶ ἀνάστρεφε εἰς τὴν ὁδόν σου, καὶ ἥξεις εἰς ὁδὸν ἐρήμου Δαμασκοῦ· καὶ χρίσεις τὸν Ἐλισσαιὲ Υἱὸν Σαφάτ, ἀντὶ σοῦ εἰς Προφήτην.

### Εἰς τὴν Λιτὴν στιχ. ἰδιόμ. ἦχος β΄.

Ὁ φωτίσας ἅπασαν τὴν Οἰκουμένην ἁγιάσας, εἰς ὄρος ὑψηλὸν μετεμορφώθης Ἀγαθέ, δείξας τοῖς Μαθηταῖς σου, τὴν δύναμιν σου, ὅτι Κόσμον λυτρώσαι ἐκ παραβάσεως. διὸ βοῶμέν σοι· Εὔσπλαγχνε Κύριε σῶσον τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Ὁ ἐν τῷ ὄρει τῷ Θαβώρ, μεταμορφωθεὶς ἐν δόξῃ Χριστὲ ὁ Θεός, καὶ ὑποδείξας τοῖς Μαθηταῖς σου, τὴν δόξαν τῆς σῆς Θεότητος· καταύγασον καὶ ἡμᾶς, τῷ φωτὶ τῆς σῆς ἐπιγνώσεως· καὶ ὁδήγησον ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, ὡς μόνος Ἀγαθὸς καὶ Φιλάνθρωπος.

Ὁ αὐτός.

Τὸ προήλιον σέλας Χριστός, σωματικῶς ἐπὶ τῆς γῆς περιπολεύων· καὶ πρὶν τοῦ Σταυροῦ, ἅπαντα τὰ τῆς φρικτῆς Οἰκονομίας τελέσας θεοπρεπῶς, σήμερον ἐν Θαβὼρ τῷ ὄρει, μυστικῶς τῆς Τριάδος τὸν τύπον ὑποδείκνυσι. τοὺς γὰρ προκρίτους τρεῖς τῶν Μαθητῶν, Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην, σὺν αὐτῷ ἀναγαγὼν κατ᾽ ἰδίαν· καὶ μικρὸν ὑποκρύψας, τῆς σαρκὸς τὸ πρόσλημμα, μετεμορφώθη ἔμπροσθεν αὐτῶν, ἐμφαίνων τοῦ ἀρχετύπου κάλλους τὴν εὐπρέπειαν· καὶ ταύτην οὐχ ὁλόκληρον. τὸ μέν, πληροφορῶν αὐτούς, ἅμα καὶ φειδόμενος, μήπως σὺν τῇ ὁράσει καὶ τὸ ζῆν ἀπολέσωσιν· ἀλλ᾽ ὡς ἠδύναντο χωρεῖν, τοῖς σωματικοῖς ὀφθαλμοῖς περιφέροντες. Καὶ Προφητῶν τοὺς ἀκραίμονας, Μωϋσῆν καὶ Ἠλίαν ἠνέγκατο, ἀναλόγως μαρτυροῦντας αὐτοῦ τὴν Θεότητα. καὶ ὅτι αὐτός ἐστι, τὸ ἀληθινὸν τῆς Πατρικῆς οὐσίας ἀπαύγασμα, ὁ κυριεύων ζώντων καὶ νεκρῶν. Διὸ καὶ νεφέλη καθάπερ σκηνὴ περιέχει αὐτούς, καὶ φωνὴ ἄνωθεν τοῦ Πατρός, ἐκ τῆς νεφέλης ἠχητικῶς, προσμαρτυροῦσα καὶ λέγουσα· Οὗτός ἐστιν ὃν ἀρρεύστως, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησα, Υἱός ὁ ἀγαπητός μου· ὃν ἀπέστειλα σῶσαι, τοὺς εἰς Πατέρα, καὶ Υἱόν, καὶ Πνεῦμα Ἅγιον βαπτιζομένους, καὶ ὁμολογοῦντας πιστῶς, ὡς ἀδιαίρετον ἐστιν, ἓν τὸ κράτος τῆς Θεότητος· αὐτοῦ ἀκούετε. Αὐτὸς οὖν Φιλάνθρωπε Χριστὲ ὁ Θεός, καὶ ἡμᾶς καταύγασον ἐν τῷ φωτὶ τῆς ἀπροσίτου σου δόξης, καὶ ἀξίους ἀνάδειξον κληρονόμους, τῆς ἀτελευτήτου Βασιλείας σου, ὡς Ὑπεράγαθος.

Δόξα, ἦχος πλ. α΄.

Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ ἡμῶν· καὶ θεασώμεθα τὴν δόξαν, τῆς Μεταμορφώσεως αὐτοῦ, δόξαν ὡς μονογενοῦς παρὰ Πατρός. φωτὶ προσλάβωμεν φῶς, καὶ μετάρσιοι γενόμενοι τῷ Πνεύματι, Τριάδα Ὁμοούσιον, ὑμνήσωμεν εἰς τοὺς αἰῶνας. Καὶ νῦν. Ὁ αὐτός.

Νόμου καὶ Προφητῶν σε Χριστέ, Ποιητὴν καὶ πληρωτὴν ἐμαρτύρησαν, ὁρῶντες ἐν τῇ νεφέλῃ, Μωϋσῆς ὁ Θεόπτης, καὶ Ἠλίας ὁ ἔμπυρος ἁρματηλάτης, καὶ ἄφλεκτος οὐρανοδρόμος, ἐπὶ τῆς Μεταμορφώσεώς σου. μεθ᾽ ὧν καὶ ἡμᾶς, τοῦ σοῦ φωτισμοῦ ἀξίωσον Δέσποτα, ὑμνοῦντάς σε εἰς τοὺς αἰῶνας.

Εἰς τὸν Στίχ. εἰσερχόμενοι ἐν τῷ Ναῷ, ψάλλομεν τὰ ἰδιόμελα ταῦτα, ἦχος α΄.

Ὁ Πάλαι τῷ Μωσεῖ συλλαλήσας, ἐπὶ τοῦ ὄρους Σινᾶ διὰ συμβόλων· ἐγώ εἰμι λέγων ὁ ὤν· σήμερον ἐπ᾽ ὄρους Θαβώρ, μεταμορφωθεὶς ἐπὶ τῶν Μαθητῶν, ἔδειξε τὸ ἀρχέτυπον κάλλος τῆς εἰκόνος, ἐν ἑαυτῷ τὴν ἀνθρωπίνην ἀναλαβοῦσαν οὐσίαν. καὶ τῆς τοιαύτης χάριτος, μάρτυρας παραστησάμενος, Μωϋσῆν καὶ Ἠλίαν, κοινωνοὺς ἐποιεῖτο τῆς εὐφροσύνης, προμηνύοντας τὴν ἔνδοξον διὰ Σταυροῦ, καὶ σωτήριον Ἀνάστασιν.

Στίχ. Σοί εἰσιν οἱ Οὐρανοί.

Τὴν σὴν τοῦ Μονογενοῦς Υἱοῦ προορώμενος, ἐν Πνεύματι διὰ σαρκὸς πρὸς ἀνθρώπους ἐπιδημίαν, ὁ Θεοπάτωρ Δαβίδ, πόρρωθεν πρὸς εὐφροσύνην συγκαλεῖται τὴν Κτίσιν, καὶ προφητικῶς ἀνακράζει· Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται. ἐν τούτῳ γὰρ ἐπιβὰς τῷ ὄρει Σωτήρ, μετὰ τῶν Μαθητῶν σου τὴν ἀμαυρωθεῖσαν ἐν Ἀδὰμ φύσιν, μεταμορφωθεὶς ἀπαστράψαι πάλιν πεποίηκας· μεταστοιχειώσας αὐτήν, εἰς τὴν σὴν τῆς Θεότητος δόξαν τε, καὶ λαμπρότητα. διὸ βοῶμέν σοι· Δημιουργὲ τοῦ παντὸς Κύριε δόξα σοι.

Στίχ. Θαβὼρ καὶ Ἑρμών.

Τὸ ἄχρονον τῆς σῆς φωτοχυσίας, καὶ ἀπρόσιτον τῆς Θεότητος, θεασάμενοι τῶν Ἀποστόλων οἱ πρόκριτοι, ἐπὶ τοῦ ὄρους τῆς Μεταμορφώσεως, Ἄναρχε Χριστέ, τὴν θείαν ἠλλοιώθησαν ἔκστασιν. καὶ νεφέλῃ περιλαμφθέντες φωτεινῇ, φωνῆς ἤκουον Πατρικῆς, βεβαιούσης τὸ Μυστήριον τῆς σῆς ἐνανθρωπήσεως· ὅτι σὺ ὑπάρχεις καὶ μετὰ σάρκωσιν, Υἱὸς Μονογενὴς καὶ Σωτὴρ τοῦ Κόσμου.

Δόξα, καὶ νῦν. ἦχος πλ. β΄.

Πέτρῳ, καὶ Ἰωάννῃ, καὶ Ἰακώβῳ, τοῖς προκρίτοις Μαθηταῖς σου Κύριε, σή-

μερον ὑπέδειξας ἐν τῷ ὄρει τῷ Θαβώρ, τὴν δόξαν τῆς θεϊκῆς σου μορφῆς. ἔβλεπον γὰρ τὰ ἱμάτιά σου, ἀστράπτοντα ὡς τὸ φῶς, καὶ τὸ πρόσωπόν σου ὑπὲρ τὸν Ἥλιον· καὶ μὴ φέροντες ὁρᾷν τὸ ἄσεκτον τῆς σῆς ἐλλάμψεως, εἰς γῆν κατέπιπτον, μηδ' ὅλως ἀτενίσαι ἰσχύοντες. φωνῆς γὰρ ἤκουον μαρτυρούσης ἄνωθεν· οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ὁ ἐλθὼν εἰς τὸν Κόσμον σῶσαι τὸν ἄνθρωπον.

Ἀπολυτίκιον, ἦχος βαρύς.

Μετεμορφώθης ἐν τῷ ὄρει Χριστὲ ὁ Θεὸς, δείξας τοῖς Μαθηταῖς σου τὴν δόξαν σου, καθὼς ἠδύναντο· λάμψον καὶ ἡμῖν τοῖς ἁμαρτωλοῖς τὸ φῶς σου τὸ ἀΐδιον· πρεσβείαις τῆς Θεοτόκου Φωτοδότα δόξα σοι.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῆς Λειτουργίας.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολ. κάθισμα ἦχ. δ΄.

Κατεπλάγη Ἰωσήφ.

Τὴν τῶν βροτῶν ἐναλλαγὴν, τὴν μετὰ δόξης σου Σωτὴρ, ἐν τῇ δευτέρᾳ καὶ φρικτῇ, τῆς σῆς ἐλεύσεως δεικνὺς, ἐπὶ τοῦ ὄρους Θαβὼρ μετεμορφώθης. Ἠλίας καὶ Μωσῆς, συνελάλουν σοι. καὶ τρεῖς τῶν Μαθητῶν, συνεκάλεσας· οἱ κατιδόντες Δέσποτα, τὴν δόξαν σου, τῇ ἀστραπῇ σου ἐξέστησαν· ὁ τότε τούτοις, τὸ Φῶς σου λάμψας, φώτισον τὰς ψυχὰς ἡμῶν. Δίς.

Εἰς τὴν β΄. στιχολ. κάθισμα. Ὅμοιον.

Ἐπὶ τὸ ὄρος τὸ Θαβὼρ, μετεμορφώθης Ἰησοῦ. καὶ νεφέλη φωτεινὴ, ἐφηπλωμένη ὡς σκηνὴ, τοὺς Ἀποστόλους τῆς δόξης σου κατεκάλυψεν. ὅθεν καὶ εἰς γῆν ἐνατέβλεπον, μὴ φέροντες ὁρᾷν τὴν λαμπρότητα, τῆς ἀπροσίτου δόξης τοῦ προσώπου σου, Ἄναρχε Σῶτερ, Χριστὲ ὁ Θεός. ὁ τότε τούτοις, τὸ φῶς σου λάμψας, φώτισον τὰς ψυχὰς ἡμῶν. Δίς.

Μετὰ τὸν Πολυέλεον, κάθισμα ἦχος δ΄.

Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Θεὸς Ἀνελθὼν σὺν Μαθηταῖς ἐν τῷ ὄρει, καὶ ἐν τῇ δόξῃ τοῦ Πατρὸς ἀπαστράψας, σὺν Μωϋσῇ Ἠλίας σοι παρίστανται. Νόμος καὶ Προφῆται γὰρ, ὡς Θεῷ λειτουργοῦσιν. ᾧ καὶ τὴν Υἱότητα, τὴν φυσικὴν ὁ Γεννήτωρ, ὁμολογῶν ἐκάλεσεν Υἱόν· ὃν ἀνυμνοῦμεν σὺν σοὶ καὶ τῷ Πνεύματι. Δίς.

Εἶτα οἱ Ἀναβαθμοὶ, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμ. ἦχος δ΄.

Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου.

Στίχ. Σοί εἰσιν οἱ Οὐρανοί. Πᾶσα πνοή.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον, καὶ Ἰωάννην, καὶ Ἰάκωβον, καὶ ἀνέβη εἰς τὸ ὄρος προσεύξασθαι. Καὶ ἐγένετο, ἐν τῷ προσεύχεσθαι αὐτὸν, τὸ εἶδος τοῦ προσώπου αὐτοῦ ἕτερον, καὶ ὁ ἱματισμὸς αὐτοῦ λευκὸς ἐξαστράπτων. Καὶ ἰδοὺ ἄνδρες δύο συνελάλουν αὐτῷ, οἵτινες ἦσαν Μωσῆς, καὶ Ἠλίας· οἳ ὀφθέντες ἐν δόξῃ, ἔλεγον τὴν ἔξοδον αὐτοῦ, ἣν ἔμελλε πληροῦν ἐν Ἱερουσαλήμ. Ὁ δὲ Πέτρος, καὶ οἱ σὺν αὐτῷ, ἦσαν βεβαρημένοι ὕπνῳ. Διαγρηγορήσαντες δὲ εἶδον τὴν δόξαν αὐτοῦ, καὶ τοὺς δύο ἄνδρας τοὺς συνεστῶτας αὐτῷ. Καὶ ἐγένετο ἐν τῷ διαχωρίζεσθαι αὐτοὺς ἀπ' αὐτοῦ, εἶπεν ὁ Πέτρος πρὸς τὸν Ἰησοῦν· Ἐπιστάτα, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· καὶ ποιήσωμεν σκηνὰς τρεῖς, μίαν σοὶ, καὶ Μωσῇ μίαν, καὶ μίαν Ἠλίᾳ, μὴ εἰδὼς ὃ λέγει. Ταῦτα δὲ αὐτοῦ λέγοντος, ἐγένετο νεφέλη, καὶ ἐπεσκίασεν αὐτούς. ἐφοβήθησαν δὲ ἐν τῷ ἐκείνους εἰσελθεῖν εἰς τὴν νεφέλην. Καὶ φωνὴ ἐγένετο ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε. Καὶ ἐν τῷ γενέσθαι τὴν φωνὴν, εὑρέθη ὁ Ἰησοῦς μόνος, καὶ αὐτοὶ ἐσίγησαν, καὶ οὐδενὶ ἀπήγγειλαν ἐν ἐκείναις ταῖς ἡμέραις οὐδὲν, ὧν ἑωράκασιν.

Ὁ Ν΄. καὶ τὸ ἰδιόμελον.

Προτυπῶν τὴν Ἀνάστασιν. Ζήτει εἰς τὸν Ἑσπερινόν.

Οἱ Κανόνες, ὁ δ΄. μετὰ τῶν Εἱρμῶν εἰς η΄. καὶ ὁ πρ. εἰς ς΄. Ὁ Κανὼν τοῦ Κυρίου Κοσμᾶ, Οὗ ἡ ἀκροστιχίς.

Χριστὸς ἐνὶ σκοτίῃ σέλας ἄπλετον εἴδεος ἧκε.

Ὠδὴ α΄. ἦχος δ΄. Ὁ Εἱρμός.

Χοροὶ Ἰσραὴλ ἀνίκμοις ποσὶ, πόντον ἐρυθρὸν, καὶ ὑγρὸν βυθὸν διελάσαντες, ἀναβάτας τριστάτας, δυσμενεῖς ὁρῶντες ἐν αὐτῷ ὑποβρυχίους, ἐν ἀγαλλιάσει ἔμελπον· ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται. Δίς.

Ῥήματα ζωῆς τοῖς φίλοις Χριστὸς, καὶ περὶ τῆς θείας δημηγορῶν Βασιλείας ἔφη· ἐν ἐμοὶ τὸν Πατέρα ἐπιγνώσεσθε, φωτὶ ὡς ἐξαστράπτων ἀπροσίτῳ, ἐν ἀγαλλιάσει μέλποντες· ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασται. Δίς.

Ἰσχὺν τῶν ἐθνῶν κατέδεσθε φίλοι Μαθηταὶ, θαυμασθήσεσθε δὲ τῷ πλούτῳ αὐτῶν· ὅτι δόξης πληροῦσθε, ὡς ὀφθήσομαι

λαμ-

λαμπρότερον, Ἡλίου ἐξαστράπτων, ἐν ἀγαλλιάσει μέλλοντες· ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασαι. Δίς.

Σήμερον Χριστὸς ἐν ὄρει Θαβὼρ, λάμψας ἀμυδρῶς, Θεϊκῆς αὐγῆς ὡς ὑπέχετο, Μαθηταῖς παρεγύμνου χαρακτῆρα. σελασφόροι δὲ, πλησθέντες θείας αἴγλης, ἐν ἀγαλλιάσει ἔμελλον· ᾄσωμεν τῷ Θεῷ ἡμῶν, ὅτι δεδόξασαι.

Ἕτερος Κανὼν, οὗ ἡ ἀκροστ.

Μωσῆς Θεοῦ πρόσωπον ἐν Θαβὼρ ᾄδε.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Μωσῆς ἐν θαλάσσῃ προφητικῶς, ἰδὼν ἐν νεφέλῃ, καὶ ἐν στύλῳ πάλαι πυρὸς, τὴν δόξαν Κυρίου ἀνεβόα· τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν. Δίς.

Ὡς πέτρᾳ τῷ σώματι σκεπασθεὶς, τῷ τεθεωμένῳ, τὸν ἀόρατον καθορῶν, Μωσῆς ὁ Θεόπτης ἀνεβόα· τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν. Δίς.

Σὺ ἐπὶ τοῦ ὄρους τοῦ νομικοῦ, καὶ ἐν Θαβωρίῳ, καθωράθης τῷ Μωϋσῇ, ἐν γνόφῳ τὸ πάλαι, ἐν φωτὶ δὲ, νῦν ἀπροσίτῳ τῆς Θεότητος. Δίς.

Καταβασία. Σταυρὸν χαράξας Μωσῆς.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Ῥοῖζον δυνατῶν ἠσθένησε, καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν. διὰ τοῦτο ἐστερεώθη ἐν Κυρίῳ ἡ καρδία μου.

Ὅλον τὸν Ἀδὰμ φορέσας Χριστὲ, τὴν ἀμαυρωθεῖσαν ἀμείψας ἐλάμπρυνας, πάλαι φύσιν, καὶ ἀλλοιώσει, τῆς μορφῆς σου ἐθεούργησας.

Στύλῳ πυρίμορφῳ καὶ νεφέλῃ πάλαι, ὁ ἐν τῇ ἐρήμῳ τὸν Ἰσραὴλ ἄγων, σήμερον ἐν τῷ ὄρει Θαβὼρ ἀρρήτως, ἐν φωτὶ Χριστὸς ἐξέλαμψε.

Ἄλλος. Οὐρανίας ἁψῖδος.

Ἡ σκιάζουσα δόξα ἐν τῇ Σκηνῇ πρότερον, καὶ τῷ Μωϋσῇ ὁμιλοῦσα τῷ σῷ θεράποντι, τύπος γεγένηται, τῆς ἀστραψάσης ἀρρήτως, ἐν Θαβὼρ σου Δέσποτα Μεταμορφώσεως.

Συνανῆλθέ σοι Λόγε Μονογενὲς Ὕψιστε, ἡ τῶν Ἀποστόλων ἀκρότης ἐπὶ τοῦ ὄρους Θαβώρ· καὶ συμπαρέστησαν, ὅ,τε Μωσῆς καὶ Ἠλίας, ὡς Θεοῦ θεράποντες, μόνε Φιλάνθρωπε.

Θεὸς ὅλος ὑπάρχων, ὅλος βροτὸς γέγονας, ὅλῃ τῇ Θεότητι μίξας τὴν ἀνθρωπότητα, ἐν Ὑποστάσει σου· ἣν ἐν δυσὶ ταῖς οὐσίαις, Μωϋσῆς Ἠλίας τε εἶδον ἐν ὄρει Θαβώρ.

Καταβασία. Ῥάβδος εἰς τύπον.

Ἄλλος. Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἐπὶ τοῦ ὄρους τοῦ Θαβὼρ, μετεμορφώθης ὁ Θεὸς, ἀναμέσον Ἠλιοῦ, καὶ Μωϋσέως τῶν σοφῶν, σὺν Ἰακώβῳ, καὶ Πέτρῳ, καὶ Ἰωάννῃ. ὁ Πέτρος δὲ συνιὼν ταῦτά σοι ἔλεγε· καλὸν ὧδε ἐστὶ, ποιῆσαι τρεῖς σκηνὰς, μίαν Μωσεῖ, καὶ μίαν Ἠλίᾳ, καὶ μίαν σοὶ τῷ Δεσπότῃ Χριστῷ. ὁ τότε τούτοις, τὸ φῶς σου λάμψας, φώτισον τὰς ψυχὰς ἡμῶν. Δίς.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Εἰσακήκοα τὴν ἔνδοξον Οἰκονομίαν σου Χριστὲ ὁ Θεὸς, ὅτι ἐτέχθης ἐκ τῆς Παρθένου, ἵνα ἐκ πλάνης ῥύσῃ τοὺς βοῶντάς σοι· δόξα τῇ δυνάμει σου Κύριε.

Νόμον ἐν Σινᾷ τῷ γράμματι, διατυπούμενος Χριστὲ ὁ Θεὸς, ἐν τῇ νεφέλῃ πυρὶ καὶ γνόφῳ, καὶ ἐν θυέλλῃ ὤφθης ἐποχούμενος. δόξα τῇ δυνάμει σου Κύριε.

Ἵνα πιστώσῃ τὴν ἔνδοξον οἰκονομίαν σου Χριστὲ ὁ Θεὸς, ὡς προϋπάρχων πρὸ τῶν αἰώνων, καὶ ὁ αὐτὸς ἐν νέφει τὴν ἐπίβασιν θεὶς, ἐν τῷ Θαβὼρ ἀρρήτως ἐξέλαμψας.

Συλλαλοῦντες παρεστήκασιν, δουλοπρεπῶς σοὶ τῷ Δεσπότῃ Χριστῷ· οἷς ἐν πυρὸς ἀτμίδι καὶ γνόφῳ, καὶ λεπτοτάτῃ αὔρᾳ προσωμίλησας. δόξα τῇ δυνάμει σου Κύριε.

Κατεμήνυον τὴν ἔξοδον, τὴν ἐν Σταυρῷ σου ἐν Θαβὼρ παρόντες, ὁ ἐν πυρί σε καὶ βάτῳ πάλαι, προκατιδὼν Μωσῆς, καὶ ὁ μετάρσιος δίφρῳ ἐν πυρίνῳ Ἠλίας Χριστέ. Ἄλλος.

Ἐκ σαρκός σου βολίδες Θεότητος, ἐξεπορεύοντο. Προφητῶν καὶ Ἀποστόλων, ὅθεν οἱ πρόκριτοι, μέλλοντες ἀνεβόων· δόξα τῇ δυνάμει σου Κύριε.

Ὁ τὴν βάτον φυλάξας ἀλώβητον, προσομιλοῦσαν πυρὶ, τῷ Μωσεῖ θεολαμποῦσαν, σάρκα ὑπέδειξας, Δέσποτα μελῳδοῦντι· δόξα τῇ δυνάμει σου Κύριε.

Ὑπεκρύβη ἀκτῖσι Θεότητος, αἰσθητὸς Ἥλιος, ὡς ἐν ὄρει Θαβωρίῳ, εἶδέ σε μεταμορφούμενον Ἰησοῦ μου. δόξα τῇ δυνάμει σου Κύριε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Πῦρ μὴ φλέγον τὴν ὕλην τοῦ σώματος, ὡράθης ἄϋλον· ὡς Μωσεῖ καὶ Ἀποστόλοις, ὤφθης Ἠλίᾳ τε, Δέσποτα, εἷς ἐκ δύο, ἐν δυσὶ τελείαις ταῖς φύσεσι.

Καταβασία. Εἰσακήκοα Κύριε.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ὁ Τοῦ φωτὸς διατμήξας τὸ πρωτόγονον χάος, ὡς ἐν φωτὶ τὰ ἔργα ὑμνεῖ σε Χριστὲ, τὸν Δημιουργόν· ἐν τῷ φωτί σου, τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

Πρὸς ἐνωτίῳ σοι ὧραι ὑπεκλίθησαν· φῶς γὰρ καὶ πρὸ ποδῶν, ὑψίδρομον σέλας Χριστὲ, Ἥλιος εἶχε μορφὴν βροτείαν, ὡς ἀμεῖψαι ηὐδόκησας.

Ἰδοὺ Σωτὴρ ἀνεβόων, Μωϋσῆς καὶ Ἠλίας τῶν Μαθητῶν, ἐν ὄρει ἁγίῳ Θαβὼρ ἐνηχουμένων, Χριστὸς ὃν πάλαι, προηγγέλλομεν ὄντα Θεόν.

Ἡ Ἀναλλοίωτος φύσις, τῇ βροτείᾳ μιχθεῖσα, τῆς ἐμφεροῦς αὐλου Θεότητος, φῶς παραγυμνοῦσα τοῖς Ἀποστόλοις, ἀποῤῥήτως ἐξέλαμψε.

Σὲ τὸ ἀΐδιον φέγγος, ἐν πατρῴᾳ τῇ δόξῃ, οἱ Μαθηταὶ, ὡς εἶδον ἐκλάμψαν Χριστὲ, σοὶ ἀνεβόων· ἐν τῷ φωτί σου τὰς ὁδοὺς ἡμῶν εὔθυνον.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Ῥητορεύουσα γλῶσσα, σοῦ τὰ μεγαλεῖα οὐ δύναται φθέγξασθαι· ὁ κρατῶν ζωῆς γὰρ, καὶ θανάτου δεσπόζων παρέστησας, ἐν Θαβὼρ τῷ ὄρει, τὸν Μωϋσῆν καὶ τὸν Ἠλίαν, μαρτυρήσοντάς σου τὴν Θεότητα.

Ὁ Χερσὶν ἀοράτοις, πλάσας κατ' εἰκόνα σου Χριστὲ τὸν ἄνθρωπον, τὸ ἀρχέτυπόν σου, ἐν τῷ πλάσματι κάλλος ὑπέδειξας· οὐχ ὡς ἐν εἰκόνι, ἀλλ' ὡς αὐτὸς εἶ κατ' οὐσίαν, ὁ Θεὸς χρηματίσας καὶ ἄνθρωπος.

Συγκραθεὶς ἀσυγχύτως, ἄνθρακα ὑπέδειξας ἡμῖν Θεότητος, καταφλέγοντα μὲν ἁμαρτίας, ψυχὰς δὲ φωτίζοντα· ἐν Θαβὼρ τῷ ὄρει, τὸν Μωϋσῆν καὶ τὸν Ἠλίαν, Μαθητῶν τε ἐξάρχους ἐξέστησας.

Καταβασία. Ὢ Τρισμακάριστον Ξύλον.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

Ἐν τῷ θλίβεσθαί με ἐβόησα πρὸς Κύριον, καὶ ἐπήκουσέ μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Λαμπηδόνος πλέον, Ἡλίου φῶς τρανώτερον, ἐν Θαβὼρ ἐκλάμψας, ὁ Χριστὸς ἡμᾶς ἐφώτισεν.

Ἐνελθὼν ἐν ὄρει, Θαβὼρ μετεμορφώθης Χριστὲ, καὶ τὴν πλάνην πᾶσαν, ἀμαυρώσας φῶς ἐξέλαμψας.

Σὲ Θεὸν ἐπέγνων οἱ εὔδοξοι Ἀπόστολοι, ἐν Θαβὼρ Χριστὲ δὲ, ἐκπλαγέντες γόνυ ἔκλιναν.

Ἄλλος. Ἱλάσθητί μοι Σωτήρ.

Ὡς μέγα καὶ φοβερὸν, ὡράθη θέαμα σήμερον. ἐξ Οὐρανοῦ αἰσθητὸς, ἐκ γῆς δὲ ἀσύγκριτος, ἐξήστραψεν Ἥλιος, τῆς δικαιοσύνης, νοητὸς ἐπὶ τοῦ ὄρους Θαβώρ.

Παρῆλθε μὲν ἡ σκιὰ, τοῦ Νόμου ἐξασθενήσασα· ἐλήλυθε δὲ σαφῶς, Χριστὸς ἡ ἀλήθεια, Μωσῆς ἀνεβόησεν, ἐν τῷ Θαβωρίῳ, κατιδών σου τὴν Θεότητα.

Ὁ Στύλος ὁ τοῦ πυρὸς, Χριστὸν τὸν μεταμορφούμενον· ἡ δὲ νεφέλη σαφῶς, τὴν χάριν τοῦ Πνεύματος, τὴν ἐπισκιάσασαν, ἐν τῷ Θαβωρίῳ, παρεδήλου ἐμφανέστατα.

Καταβασία. Νοτίου θηρὸς ἐν σπλάγχνοις.

Κοντάκιον, ἦχος βαρύς. Αὐτόμελον.

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο. ἵνα ὅταν σε ἴδωσι σταυρούμενον, τὸ μὲν Πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ Κόσμῳ κηρύξωσιν· ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Ὁ Οἶκος.

Ἐγέρθητε οἱ νωθεῖς, μὴ πάντοτε χαμερπεῖς· οἱ συγκύπτοντες εἰς γῆν τὴν ψυχήν μου λογισμοὶ, ἐπάρθητε καὶ ἄρθητε εἰς ὕψος θείας ἀναβάσεως. Προσδράμωμεν Πέτρῳ, καὶ τοῖς Ζεβεδαίου, καὶ ἅμα ἐκείνοις τὸ Θαβώριον ὄρος προφθάσωμεν· ἵνα ἴδωμεν σὺν αὐτοῖς τὴν δόξαν τοῦ Θεοῦ ἡμῶν· Φωνῆς δὲ ἀκούσωμεν, ἥς περ ἄνωθεν ἤκουσαν, καὶ ἐκήρυξαν· ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

Μηνὶ τῷ αὐτῷ ϛ΄. Ἡ Μεταμόρφωσις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

Στ. Θαβὼρ ὑπὲρ πᾶν γῆς ἐδοξάσθη μέρος.
Ἰδὸν Θεοῦ λάμψασαν ἐν δόξῃ φύσιν.
Μορφὴν ἀνδρομέην κατὰ ἕκτην Χριστὸς ἄμειψε.

Τῇ ἕκτῃ τοῦ Αὐγούστου Μηνὸς, τὴν ἀνάμνησιν τῆς θείας Μεταμορφώσεως τοῦ Κυρίου καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία περιχαρῶς ἑορτάζει. Ἡ δὲ ὑπόθεσις ἐστὶν αὕτη. Ἐπειδὴ πολλὰ περὶ



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

κινδυνῶν ὁ Χριστὸς διηλέχθη πρὸς τοὺς Μαθητάς, καὶ τοῦ θανάτου, καὶ τοῦ πάθους αὐτοῦ, καὶ τῆς τῶν Μαθητῶν αὐτοῦ σφαγῆς· καὶ τὰ μὲν ἐν τῷ παρόντι βίῳ, καὶ ἐν χερσί, τὰ δὲ ἀγαθὰ ἐν ἐλπίσι· βουλόμενος καὶ τὴν ὄψιν αὐτῶν πληροφορῆσαι, καὶ δεῖξαι, τίς ποτε ἐστὶν ἡ δόξα ἐκείνη, μεθ' ἧς μέλλει παραγενέσθαι, ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν. καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ Ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένοντο λευκὰ ὡς τὸ φῶς· καὶ ὤφθησαν αὐτοῖς Μωϋσῆς καὶ Ἠλίας συλλαλοῦντες αὐτῷ. Παραλαμβάνει δὲ τῶν ἄλλων τοὺς τρεῖς μόνους ὡς ὑπερέχοντας. Ὁ μὲν γὰρ Πέτρος, ἐκ τοῦ σφόδρα φιλεῖν αὐτόν. ὁ δὲ Ἰωάννης, ἐκ τοῦ σφόδρα φιλεῖσθαι. ὁ δὲ Ἰάκωβος, ἐκ τοῦ δύνασθαι πιεῖν τὸ ποτήριον, ὃ καὶ ὁ Κύριος ἔπιε. Μωϋσῆν δὲ καὶ Ἠλίαν εἰς μέσον παράγει, τὰς οὐκ ὀρθὰς ὑπονοίας τὰς εἰς αὐτὸν παρὰ τοῖς πολλοῖς γενομένας διορθούμενος. Ἐπειδὴ γάρ τινες μὲν αὐτὸν Ἠλίαν ἔλεγον· ἄλλοι δὲ Ἱερεμίαν· διὰ τοῦτο τοὺς Κορυφαίους ἄγει, ἵνα τὸ μέσον ἐντεῦθεν ἴδωσι τοῦ δούλου, καὶ τοῦ Δεσπότου· καὶ ἵνα μάθωσιν, ὅτι καὶ θανάτου καὶ ζωῆς αὐτός ἐστιν ὁ ἔχων πᾶσαν τὴν ἐξουσίαν. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας.

Ὠδὴ ζʹ. Ὁ Εἱρμός.

Ἀβραμιαῖοι ποτέ, ἐν Βαβυλῶνι Παῖδες, καμίνου φλόγα κατεπάτησαν. καὶ ὑμνοῦντες ἔψαλλον· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Περιχυθέντες φωτί, τῆς ἀπροσίτου δόξης, Θαβὼρ ἐν ὄρει οἱ Ἀπόστολοι, Χριστὲ ἀνεβόησαν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Λαίλαπι θείας ἠχῆς, καὶ δροσοβόλῳ νεφέλῃ Χριστέ, καὶ αἴγλῃ σου ἡδόμενοι, οἱ Ἀπόστολοι ἔψαλλον· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἐν ἀπορρήτῳ φωτί, ὡς σὲ κατεῖδε Πέτρος, Θαβὼρ ἐν ὄρει ἐξαστράψαντα, Χριστὲ ἀνεβόησεν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τῷ ἀρχηγῷ τῆς ζωῆς, Χριστῷ συνόντες Παῖδες οἱ Ζεβεδαίου, ὡς ἀπέπεμψε, μορφῆς φῶς ἐβρόντησαν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Νῦν καθωράθη Ἀποστόλοις, ἡ ἀθέατος Θεότης ἐν σαρκίῳ, ἐν τῷ ὄρει Θαβώρ, ἀστράπτουσα βοῶσιν· εὐλογητὸς εἶ Κύριε ὁ Θεός.

Ἔφριξαν φόβῳ ἐκπλαγέντες, τὴν εὐπρέπειαν τῆς θείας Βασιλείας, ἐν τῷ ὄρει Θαβὼρ Ἀπόστολοι βοῶντες· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Νῦν τὰ ἀνήκουστα ἠκούσθη· ὁ ἀπάτωρ γὰρ Υἱὸς ἐκ τῆς Παρθένου, τῇ Πατρῴᾳ φωνῇ, ἐνδόξως μαρτυρεῖται, οἷα Θεὸς καὶ ἄνθρωπος, ὁ αὐτὸς εἰς τοὺς αἰῶνας.

Θέσει οὐ γέγονας Υἱὸς Ὑψίστου, τῇ οὐσίᾳ δὲ Υἱὸς ἠγαπημένος, προϋπάρχων ἡμῖν ὡμίλησας ἀτρέπτως· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Καταβασία. Ἔκνοον πρόσταγμα.

Ὠδὴ ηʹ. Ὁ Εἱρμός.

Οἱ ἐν Βαβυλῶνι Παῖδες, τῷ θείῳ πυρπολούμενοι ζήλῳ, Τυράννου καὶ φλογὸς ἀπειλὴν ἀνδρείως κατεπάτησαν· καὶ μέσον πυρὸς ἐμβληθέντες, δροσιζόμενοι ἔψαλλον· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Νεύματι τὸ πᾶν ὁ φέρων, ποσὶν ἀχράντοις ὄρους ἐπέβης Θαβώρ. ἐν ᾧ Ἡλίου μᾶλλον αὐγῆς, ἐξαστράψας τὸ πρόσωπον, τοὺς Νόμου προκρίτους, καὶ τῆς χάριτος ἔδειξε μέλποντας· εὐλογεῖτε πάντα τὰ ἔργα.

Ἐν τῇ ἀπροσίτῳ δόξῃ, κατ' ὄρος ἐκφανθεὶν ἀπορρήτως, Θαβὼρ τὸ ἄσχετον καὶ ἄδυτον φῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, τὴν Κτίσιν φαιδρύνων, τοὺς ἀνθρώπους ἐθέωσε μέλποντας· εὐλογεῖτε πάντα τὰ ἔργα.

Ἱεροπρεπῶς ἑστῶτες, Μωσῆς τε καὶ Ἠλίας ἐν ὄρει Θαβώρ, τῆς θείας χαρακτῆρα τρανῶς, ὑποστάσεως βλέποντες, Χριστὸν ἐν Πατρῴᾳ ἐξαστράψαντα δόξῃ, ἀνέμελπον· εὐλογεῖτε πάντα τὰ ἔργα.

Διὰ τῆς ἐν γνόφῳ θείας ὀμφῆς, τὸ πρόσωπον ποτὲ ἐδοξάσθη Μωσῆς. Χριστὸς δὲ ὡς ἱμάτιον, φῶς καὶ δόξαν ἀναβάλλεται. φωτὸς αὐτουργὸς γὰρ πεφυκώς, καταυγάζει τοὺς μέλποντας· εὐλογεῖτε πάντα τὰ ἔργα.

Ἐκ φωτογενοῦς νεφέλης, Χριστὸν οἱ Μαθηταὶ ἀμπεχόμενοι, ὁρῶντες ἐν Θαβώρ, καὶ πρηνεῖς ἐπὶ γῆς καταπεσόντες, τὸν νοῦν ἐλλαμφθέντες, σὺν Πατρὶ τοῦτον ὕμνουν καὶ Πνεύματι· εὐλογεῖτε πάντα τὰ ἔργα.

Ἄλλος. Ἑπταπλασίως κάμινον.

Ἀκηκοότες Δέσποτα, ἐκ Πατρὸς μαρτυρούμενον· καὶ ὡς ἀνθρωπίνης στερροτέραν ὄψεως, ὁρᾷν τοῦ προσώπου σου, τὴν ἀστραπὴν μὴ φέροντες, σοῦ οἱ Μαθηταὶ ἐπὶ τὴν γῆν κατέπιπτον· ἐν φόβῳ μελῳδοῦντες, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε.

Βασιλευόντων πέφυκας, Βασιλεὺς ὡραιότατος. καὶ τῶν πανταχοῦ κυριευόντων Κύριος. Δυνάστης μακάριος, καὶ φῶς οἰκῶν ἀπρόσιτον, ᾧ οἱ Μαθηταί, καταπλαγέντες ἐβόων· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὡς Οὐρανοῦ δεσπόζοντι, καὶ τῆς Γῆς βασιλεύοντι, καὶ καταχθονίων τὴν κυρείαν ἔχοντι· Χριστέ σοι παρέστησαν, ἐκ μὲν τῆς γῆς Ἀπόστολοι· ὡς ἐξ Οὐρανοῦ δέ, ὁ Θεσβίτης Ἠλίας· Μωσῆς δὲ ἐκ νεκρῶν, μελῳδοῦντες συμφώνως· λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ῥαθυμοτόκοι μέριμναι, ἐπὶ γῆς κατελείφθησαν, τῇ τῶν Ἀποστόλων ἐκλογῇ Φιλάνθρωπε· ὡς σοὶ ἠκολούθησαν, πρὸς τὴν ἐκ γῆς μετάρσιον, θείαν πολιτείαν. ὅθεν καὶ ἐπαξίως, τῆς σῆς Θεοφανείας, ἐμελῳδοῦν τυχόντες· λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Εὐλογεῖτε Παῖδες.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Ὁ Τόκος σου ἄφθορος ἐδείχθη, Θεὸς ἐκ λαγόνων σου προῆλθε· σαρκοφόρος ὡς ὤφθη ἐπὶ γῆς, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. σὲ Θεοτόκε, διὸ πάντες μεγαλύνομεν.

Ἔντρομοι καινῇ φωτοχυσίᾳ, ἀθρόως οἱ Μαθηταὶ ἐλλαμφθέντες, πρὸς ἀλλήλους ἑώρων, καὶ πρηνεῖς εἰς γῆν καταπεσόντες, σοὶ τῷ Δεσπότῃ, τῶν ἁπάντων προσεκύνησαν.

Ἦχος ἐκ νεφέλης ἀνεπέμπετο, θεόκτυπος βεβαιῶν τὸ θαῦμα. ὁ Πατὴρ γὰρ τῶν φώτων, οὗτός ἐστιν Υἱὸς ὁ ἀγαπητός μου, τοῖς Ἀποστόλοις, ἀνεβόα οὗ ἀκούετε.

Καινὰ κατιδόντες καὶ παράδοξα, φωνῆς Πατρικῆς ἐνωτισθέντες, ἐν Θαβὼρ τοῦ Λόγου οἱ ὑπηρέται, ἐκμαγεῖον τοῦ ἀρχετύπου, οὗτος ὑπάρχει, ἀνεβόων ὁ Σωτὴρ ἡμῶν.

Εἰκὼν ἀπαράλλακτε τοῦ ὄντος, ἀκίνητε σφραγὶς ἀναλλοίωτε, Υἱὲ, Λόγε Σοφία, καὶ βραχίων, δεξιά, Ὑψίστου σθένος· σὲ ἀνυμνοῦμεν, σὺν Πατρί τε καὶ τῷ Πνεύματι.

Εἱρμὸς ἄλλος.

Ἔφριξε πᾶσα ἀκοή, τὴν ἀπόρρητον Θεοῦ συγκατάβασιν· ὅπως ὁ Ὕψιστος ἑκών, κατῆλθε μέχρι καὶ σώματος, Παρθενικῆς ἀπὸ γαστρός, γενόμενος ἄνθρωπος. διὸ τὴν Ἄχραντον, Θεοτόκον οἱ πιστοὶ μεγαλύνομεν.

Ἵνα σου δείξῃς ἐμφανῶς, τὴν ἀπόρρητον δευτέραν κατάβασιν. ὅπως ὁ Ὕψιστος, Θεός, ὀφθήσῃ ἑστὼς ἐν μέσῳ θεῶν, τοῖς Ἀποστόλοις ἐν Θαβώρ, Μωσεῖ σὺν Ἠλίᾳ τε, ἀρρήτως ἔλαμψας. διὸ πάντες σε Χριστὲ μεγαλύνομεν.

Δεῦτέ μοι πείθεσθε λαοί, ἀναβάντες εἰς τὸ ὄρος τὸ ἅγιον, τὸ ἐπουράνιον· ἀΰλως στῶμεν ἐν Πόλει ζῶντος Θεοῦ· καὶ ἐποπτεύσωμεν νοΐ, Θεότητα ἄϋλον Πατρὸς καὶ Πνεύματος, καὶ Υἱῷ μονογενεῖ ἀπαστράπτουσαν.

Ἔθελξας πόθῳ με Χριστέ, καὶ ἠλλοίωσας τῷ θείῳ σου ἔρωτι. Ἀλλὰ κατάφλεξον, πυρὶ ἀΰλῳ τὰς ἁμαρτίας μου· καὶ ἐμπλησθῆναι τῆς ἐν σοί, τρυφῆς καταξίωσον· ἵνα τὰς δύο σκιρτῶν, μεγαλύνω Ἀγαθὲ παρουσίας σου.

Καταβασία. Μυστικὸς εἶ Θεοτόκε.

Ὁ διὰ βρώσεως τοῦ ξύλου.

Ἐξαποστειλάριον αὐτόμελον, ἐκ γ'.

Φῶς ἀναλλοίωτον Λόγε, φωτὸς Πατρὸς ἀγεννήτου, ἐν τῷ φανέντι φωτί σου, σήμερον ἐν Θαβωρίῳ, φῶς εἴδομεν τὸν Πατέρα, φῶς καὶ τὸ Πνεῦμα, φωταγωγοῦν πᾶσαν Κτίσιν.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή. ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχ. προσόμοια, ἦχος δ'.

Ὁ ἐξ ὑψίστου κληθείς.

Πρὸ τοῦ τιμίου Σταυροῦ σου καὶ τοῦ Πάθους, λαβὼν οὓς προέκρινας τῶν Ἱερῶν Μαθητῶν, πρὸς τὸ Θαβώριον Δέσποτα, ἀνῆλθες ὄρος, δεῖξαι θελήσας τούτοις τὴν δόξαν σου· οἳ καὶ κατιδόντες σε μεταμορφούμενον, καὶ ὑπὲρ Ἥλιον λάμψαντα, πρηνεῖς πεσόντες, τὴν δυναστείαν σου κατεπλάγησαν. ἀναβοῶντες σὺ τὸ ἄχρονον, φῶς ὑπάρχεις Χριστὲ καὶ ἀπαύγασμα, τοῦ Πατρὸς εἰ καὶ θέλων, σὰρξ ὡράθης ἀναλλοίωτε. Δίς.

Ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς Λόγος, ὁ φῶς ὡς ἱμάτιον περιβαλλόμενος, μεταμορφούμενος ἔμπροσθεν, τῶν Μαθητῶν σου, ὑπὲρ τὸν Ἥλιον Λόγε ἔλαμψας, Μωσῆς, καὶ Ἠλίας τε, σοὶ παρεστήκασαν· νεκρῶν καὶ

ζών-

ζώντων σε Κύριον, δηλοποιοῦντες, καὶ σοῦ δοξάζοντες τὴν ἀπόρρητον, οἰκονομίαν καὶ τὸ ἔλεος, καὶ τὴν πολλὴν συγκατάβασιν· δι' ἧς ἔσωσας Κόσμον, ἁμαρτίαις ἀπολλύμενον.

Παρθενικῆς ἐκ νεφέλης σε τεχθέντα, καὶ σάρκα γενόμενον, καὶ πρὸς τὸ ὄρος Θαβὼρ, μεταμορφούμενον Κύριε, καὶ τῇ νεφέλῃ, τῇ φωτεινῇ σε περικυκλούμενον, φωνὴ τοῦ Γεννήτορος ἀγαπητόν σε Υἱόν, τῶν Μαθητῶν συμπαρόντων σοι, σαφῶς ἐδήλου, ὡς ὁμοούσιον καὶ ὁμόθρονον. ὅθεν ὁ Πέτρος ἐκπληττόμενος, καλὸν ὧδε εἶναι εἶναι ἔλεγε· μὴ εἰδὼς ὃ ἐλάλει, Εὐεργέτα Πολυέλεε.

Δόξα, καὶ νῦν, ἦχος πλ. β. Βύζαντος.

Παρέλαβεν ὁ Χριστὸς, τὸν Πέτρον καὶ Ἰάκωβον καὶ Ἰωάννην, εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ Ἥλιος· τὰ δὲ ἱμάτια αὐτοῦ, ἐγένοντο λευκὰ ὡς τὸ φῶς. καὶ ὤφθησαν Μωϋσῆς καὶ Ἠλίας μετ' αὐτοῦ συλλαλοῦντες· καὶ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτοὺς· καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης λέγουσα· οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα. αὐτοῦ ἀκούετε.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς Ἀδελφοῖς. Εἰς τὴν Λειτουργίαν, Τυπικὰ, καὶ ἐκ τῶν Κανόνων τῆς Ἑορτῆς. Ὠδὴ γ'. καὶ ς'.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος δ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε.

Στ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον.

Καθολικῆς Β. Ἐπιστολῆς Πέτρου.

Κεφ. α. 10. Ἀδελφοὶ, σπουδάσατε βεβαίαν ὑμῶν τὴν κλῆσιν καὶ ἐκλογὴν ποιεῖσθαι. ταῦτα γὰρ ποιοῦντες, οὐ μὴ πταίσητέ ποτε. Οὕτω γὰρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τὴν αἰώνιον Βασιλείαν τοῦ Κυρίου ἡμῶν, καὶ Σωτῆρος Ἰησοῦ Χριστοῦ. Διὸ οὐκ ἀμελήσω ὑμᾶς ἀεὶ ὑπομιμνήσκειν περὶ τούτων, καίπερ εἰδότας, καὶ ἐστηριγμένους ἐν τῇ παρούσῃ ἀληθείᾳ. Δίκαιον δὲ ἡγοῦμαι, ἐφ' ὅσον εἰμὶ ἐν τούτῳ τῷ σκηνώματι, διεγείρειν ὑμᾶς ἐν ὑπομνήσει· εἰδὼς ὅτι ταχινή ἐστιν ἡ ἀπόθεσις τοῦ σκηνώματός μου, καθὼς καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐδήλωσέ μοι. Σπουδάσω δὲ καὶ ἑκάστοτε ἔχειν ὑμᾶς μετὰ τὴν ἐμὴν ἔξοδον, τὴν τούτων μνήμην ποιεῖσθαι. Οὐ γὰρ σεσοφισμένοις μύθοις ἐξακολουθήσαντες, ἐγνωρίσαμεν ὑμῖν τὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμιν καὶ παρουσίαν· ἀλλ' ἐπόπται γενηθέντες τῆς ἐκείνου μεγαλειότητος. Λαβὼν γὰρ παρὰ Θεοῦ Πατρὸς τιμὴν καὶ δόξαν, φωνῆς ἐνεχθείσης αὐτῷ τοιᾶσδε ὑπὸ τῆς μεγαλοπρεποῦς δόξης· οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, εἰς ὃν ἐγὼ εὐδόκησα. Καὶ ταύτην τὴν φωνὴν ἡμεῖς ἠκούσαμεν ἐξ Οὐρανοῦ ἐνεχθεῖσαν, σὺν αὐτῷ ὄντες ἐν τῷ ὄρει τῷ ἁγίῳ. Καὶ ἔχομεν βεβαιότερον τὸν προφητικὸν λόγον· ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ, καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, παραλαμβάνει ὁ Ἰησοῦς τὸν Πέτρον, καὶ Ἰάκωβον, καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀναφέρει αὐτοὺς εἰς ὄρος ὑψηλὸν κατ' ἰδίαν, καὶ μετεμορφώθη ἔμπροσθεν αὐτῶν. Καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ Ἥλιος, τὰ δὲ ἱμάτια αὐτοῦ ἐγένετο λευκὰ ὡς τὸ φῶς. Καὶ ἰδοὺ ὤφθησαν αὐτοῖς Μωσῆς καὶ Ἠλίας, μετ' αὐτοῦ συλλαλοῦντες. Ἀποκριθεὶς δὲ ὁ Πέτρος, εἶπε τῷ Ἰησοῦ· Κύριε, καλόν ἐστιν ἡμᾶς ὧδε εἶναι· εἰ θέλεις, ποιήσωμεν ὧδε τρεῖς σκηνὰς, σοὶ μίαν, καὶ Μωσῇ μίαν, καὶ μίαν Ἠλίᾳ. Ἔτι αὐτοῦ λαλοῦντος, ἰδοὺ νεφέλη φωτεινὴ ἐπεσκίασεν αὐτοὺς· καὶ ἰδοὺ φωνὴ ἐκ τῆς νεφέλης, λέγουσα· Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα· αὐτοῦ ἀκούετε. Καὶ ἀκούσαντες οἱ Μαθηταὶ, ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἥψατο αὐτῶν, καὶ εἶπεν· Ἐγέρθητε, καὶ μὴ φοβεῖσθε. Ἐπάραντες δὲ τοὺς ὀφθαλμοὺς αὐτῶν, οὐδένα εἶδον, εἰ μὴ τὸν Ἰησοῦν μόνον. Καὶ καταβαινόντων αὐτῶν ἀπὸ τοῦ ὄρους, ἐνετείλατο αὐτοῖς ὁ Ἰησοῦς, λέγων· Μηδενὶ εἴπητε τὸ ὅραμα, ἕως οὗ ὁ Υἱός τοῦ ἀνθρώπου ἐκ νεκρῶν ἀναστῇ. Κεφ. ιζ'. 1.

Κοινωνικόν. Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου Κύριε πορευσόμεθα, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιασόμεθα εἰς τὸν αἰῶνα.

Δεῖ εἰδέναι, ὅτι παράδοσιν ἔχομεν ἐκ τῶν Ἁγίων Πατέρων, κατὰ τὴν σωτήριον ταύτην Ἑορτὴν τῆς Μεταμορφώσεως, ἐσθίειν σταφυλὰς, τὴν εὐλογίαν πρότερον παρὰ τοῦ Ἱερέως ἐν τῇ Ἐκκλησίᾳ δεχομένας.

Μηνὶ τῷ αὐτῷ ζ΄.

Τοῦ Ἁγίου Ὁσιομάρτυρος Δομετίου. ἡ Ἀκολουθία τῆς Ἑορτῆς· καὶ τοῦ Ἁγίου, ζήτει εἰς Ὁσιομάρτυρα.

Μηνὶ τῷ αὐτῷ η΄.

Τοῦ Ἁγίου Αἰμιλιανοῦ, Ἐπισκόπου Κυζίκου. ἡ Ἀκολουθία τῆς Ἑορτῆς· καὶ τοῦ Ἁγίου, ζήτει εἰς Ἱεράρχην.

Μηνὶ τῷ αὐτῷ θ΄.

Τοῦ Ἁγίου Ἀποστόλου Ματθία. ἡ Ἀκολουθία τῆς Ἑορτῆς· καὶ τοῦ Ἁγίου, ζήτει εἰς Ἀπόστολον.

Μηνὶ τῷ αὐτῷ ι΄.

Τοῦ Ἁγίου Μάρτυρος καὶ Ἀρχιδιακόνου Λαυρεντίου. ἡ Ἀκολουθία τῆς Ἑορτῆς· καὶ τοῦ Ἁγίου, ζήτει εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ια΄.

Τοῦ Ἁγίου Μάρτυρος Εὔπλου. ἡ Ἀκολουθία τῆς Ἑορτῆς· καὶ τοῦ Ἁγίου, ζήτει εἰς Μάρτυρα.

Μηνὶ τῷ αὐτῷ ιβ΄.

Τῶν Ἁγίων Μαρτύρων Φωτίου, καὶ Ἀνικήτου. Τῇ αὐτῇ ἡμέρᾳ ψάλλεται καὶ ἡ Ἀκολουθία τοῦ Ὁσίου Μαξίμου τοῦ Ὁμολογητοῦ, διὰ τὸ ἐν τῇ ιγ΄. ἀποδίδοσθαι τὴν Ἑορτήν. Τὴν Ἀκολουθίαν ζήτει εἰς Μάρτυρας, καὶ εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ ιγ΄.

Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαξίμου τοῦ Ὁμολογητοῦ. Ἡ Ἀκολουθία ψάλλεται ἐν τῇ ιβ΄. διὰ τὸ ἀποδίδοσθαι ἐνταῦθα τὴν Ἑορτήν. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχ. ἰδιόμ. τῆς δ΄. τετάρτης, δευτεροῦντες τὰ δύο. Δόξα, καὶ νῦν. Προτυπῶν τὴν Ἀνάστασιν. Εἰς τὸν στίχ. στιχ. ἰδιόμελ. τῆς γ΄. πρώτης. Δόξα, καὶ νῦν, ἦχος δ΄. Πέτρου καὶ Ἰωάννου. Εἰς τὸν Ὄρθρον, τὰ Καθίσματα, καὶ οἱ Κανόνες τῆς Ἑορτῆς· Ἀφ' ἕκτης τὸ Κοντάκιον, καὶ τὸν Οἶκον τῆς Ἑορτῆς. Ἡ λοιπὴ Ἀκολουθία ὡς σύνηθες, καὶ Ἀπόλυσις.

Μηνὶ τῷ αὐτῷ ΙΔ΄.

Προεόρτια τῆς Κοιμήσεως τῆς Ὑπεραγίας Θεοτόκου, καὶ τοῦ Ἁγίου Προφήτου Μιχαίου. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχ. προεόρτια. ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Ἐν κυμβάλοις ἠχήσωμεν, ἐν ᾠδαῖς ἀλαλάξωμεν, Ἑορτὴν ἐξόδιον προεξάρχοντες, καὶ ἐπιτύμβια ᾄσματα, φαιδρῶς ἐκβοήσωμεν. ἡ γὰρ Μήτηρ τοῦ Θεοῦ, Κιβωτός τε ἡ πάγχρυσος, ἑτοιμάζεται, νῦν ἐκ γῆς πρὸς τὰ ἄνω μεταβῆναι, πρὸς τὴν ἀΐζωον καὶ θείαν, μεθισταμένη λαμπρότητα.

Ἀποστόλων ὁ θίασος, παραδόξως ἀθροίσθητε, ἐκ περάτων σήμερον· ἡ γὰρ ἔμψυχος, Πόλις τοῦ πάντων Δεσπόζοντος, ἀπαίρειν ἐπάγεται, πρὸς τὰ κρείττω εὐκλεῶς, συγχορεύειν Βασιλεῖα, τῷ Υἱῷ αὐτῆς, ἧς τῇ θείᾳ κηδείᾳ ὁμοφρόνως, σὺν ταῖς ἄνω Στρατηγίαις, ὕμνον ἐξόδιον ᾄσατε.

Ἱερέων ὁ σύλλογος, Βασιλεῖς τε καὶ Ἄρχοντες, σὺν Παρθένων τάγμασι, νῦν προφθάσατε, ἅπας λαός τε συνδράμετε, ᾠδὴν ἐπιτάφιον, ἀναπέμποντες ὁμοῦ. ἡ γὰρ πάντων Δεσπόζουσα, μέλλει αὔριον, τὴν ψυχὴν παραθέσθαι εἰς τὰς χεῖρας, τοῦ Υἱοῦ μεθισταμένη, πρὸς αἰωνίαν κατοίκησιν.

Καὶ τοῦ Ἁγίου, ζήτει εἰς Προφήτην.

Δόξα, καὶ νῦν, ἦχος δ΄.

Τὴν πάνσεπτόν σου Κοίμησιν. Ζήτει εἰς τὴν λιτήν, εἰς τὴν Ἑορτήν.

Εἰς τὸν στίχ. στιχ. ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Ὢ Θαύματος καινοῦ· ὢ τεραστίου ξένου. πῶς νέκρωσιν ὑπέστη, ἡ ζωηφόρος Κόρη, καὶ τάφῳ νῦν καλύπτεται;

στίχ. Ἀπενεχθήσονται.

Πᾶσα τῶν γηγενῶν, ἡ φύσις χορευέτω. ἰδοὺ γὰρ ἡ Παρθένος, ὡς τοῦ Ἀδὰμ θυγάτηρ, πρὸς Οὐρανὸν μεθίσταται.

στίχ. Ὤμοσε Κύριος τῷ Δαβίδ.

Λάβε μοι κατὰ νοῦν, τὴν κλίνην τῆς Παρθένου, χοροῖς τῶν Ἀποστόλων, εὐκόσμως κυκλουμένην, καὶ ᾄδουσιν ἐξόδιον.

Δόξα, καὶ νῦν, ἦχος β΄.

Ἡ τῶν Οὐρανῶν ὑψηλοτέρα. Ζήτει ἔμπροσθεν εἰς τὴν Ἑορτήν, εἰς τὴν Λιτήν.

Ἀπολυτίκιον, ἦχος δ΄.

Λαοὶ προσκιρτήσατε, χεῖρας κροτοῦντες πιστῶς, καὶ πόθῳ ἀθροίσθητε, σήμερον χαίροντες, καὶ φαιδρῶς ἀλαλάζοντες, πάντες ἐν εὐφροσύνῃ. τοῦ Θεοῦ γὰρ ἡ Μήτηρ, μέλλει τῶν ἐπιγείων πρὸς τὰ ἄνω ἀπαίρειν. ἣν ἐνδόξως ἀεὶ ὑμνοῦντες πιστοί, ὡς Θεοτόκον δοξάζομεν.

Εἰς τὸν Ὄρθρον, ὁ Κανὼν τῆς Θεοτόκου ὁ Προεόρτιος, καὶ τοῦ Ἁγίου.

Ὁ Προεόρτιος, οὗ ἡ ἀκροστιχίς·

Αἰνῶ γεγηθὼς τοῦ Θεοῦ τὴν Μητέρα.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ ἐν χώρᾳ ζώντων μεταστήσαντι, τὴν αὐτοῦ κατὰ σάρκα, Παναγίαν Μητέρα τὴν ἄχραντον.

Ἵνα τὸ κάλλος βλέπῃς, καὶ κατατολαύῃς ὡραιότητος, τοῦ Υἱοῦ σου Παρθένε, πρὸς αὐτὸν μεταστᾶσα ἀνέδραμες.

Ἡ ἔκρωσιν πῶς ὑπέστης, ἡ τὸν νεκρωτὴν Ἅδου κυήσασα, καὶ νεκροῖς τοῖς ἀνθρώποις, διὰ σοῦ τὴν ζωὴν χαρισάμενον;

Ὤφθης καθαρωτέρα, πάντων τὸν καθαίροντα κυήσασα, ἁμαρτίας Παρθένε. διὰ τοῦτό σε πίστει δοξάζομεν.

Καὶ τοῦ Ἁγίου τὸν Κανόνα, ζήτει εἰς Προφήτην. Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Ἤ καὶ τὰ οὐράνια, τῇ μεταστάσει σου χαίρουσι, Μήτηρ Θεοῦ, διὰ σοῦ τυχόντα, παραδόξου ἑνώσεως.

Ἔχαιρον οὐράνιοι, ὑποδεχόμενοι Ἄγγελοι, σὲ ἀπὸ γῆς, ἀναφερομένην, Θεοτόκε πανύμνητε.

Γέγονε παράδοξος, ὥσπερ ἡ κύησις ἄχραντε, σοῦ ἀληθῶς, οὕτω καὶ ἡ θεία, καὶ σεπτή σου μετάστασις.

Ἤρθης πρὸς σκηνώματα, τὰ ἐπουράνια πάναγνε, οὖσα Θεοῦ, ἄχραντε Παρθένε, καθαρώτατον τέμενος.

Καθ. ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὰ προεόρτια, τῆς μεταστάσεως, πανηγυρίζοντες τῆς Θεομήτορος, ἀγαλλιώμενοι φαιδρῶς, πρὸς αὐτὴν ἀνακράξωμεν· χαῖρε ἡ ἀπαίρουσα, ἀπὸ γῆς πρὸς οὐράνια· χαῖρε ἡ τὰ πέρατα, σῇ κοιμήσει ζωώσασα. διὸ νῦν μεταβαίνουσα μέμνησο, τοῦ Κόσμου ἡ κεχαριτωμένη.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Θάμβος εἶχε καὶ ἔκστασις, τοὺς τοῦ Λόγου μύστας ὁρῶντας ἄχραντε, σὲ νεκρὰν οὖσαν καὶ ἄφωνον, τῆς ζωῆς Μητέρα χρηματίζουσαν.

Ὤ Κηδείας, ὢ χάριτος, ὢ τῆς ὑπὲρ λόγον τότε ὑμνήσεως, ἣν προσῆγον οἱ θεόφρονες, σὲ περιεστῶτες παμμακάριστε.

Ὡς χωρίον εὐρύχωρον, γέγονας τοῦ Λόγου, ὅθεν μετῆρέ σε, πρὸς εὐρύχωρον καὶ ἅγιον, Θεοτόκε λῆξιν, καὶ αἰώνιον.

Τὴν ἁγίαν σου Κοίμησιν, Ἄγγελοι καὶ ἄνθρωποι μακαρίζουσι. πάντων τέλος γὰρ Βασίλισσα, Βασιλέα πάντων κόρη τέξασα.

Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμέν σοι.

Ὁ Τάφος σου κηρύττει πανάμωμε, τὴν ταφήν σου, καὶ τὴν μετὰ σώματος, πρὸς Οὐρανὸν νῦν μετάστασιν.

Ὑμνήσατε Παρθένοι δοξάσατε, νεανίσκοι, πρεσβῦται καὶ Ἄρχοντες, τῆς Θεοτόκου τὴν κοίμησιν.

Θανοῦσαν ἀθανάτους, μετέβης πρὸς κατοικίας, ἐχθρὸν θανατώσασα, τῷ τοκετῷ σου πανάμωμε.

Ἐκύκλουν θεολήπτων, ἀνδρῶν σε χοροστασίαι. ἐξοδίοις ῥήμασιν, ὑμνολογοῦντές σε Δέσποινα.

Ὠδὴ ς΄. Τὴν δέησιν.

Ὁ Οἶκος τὸν τοῦ παντὸς συνοχέα, ὁ χωρήσας μεταβαίνειν οἰκῆσαι, πρὸς Οὐρανοὺς, Οὐρανὸς δεδεγμένος, Χριστοῦ καὶ θρόνος, καὶ μέγα Παλάτιον, ἡ πάναγνος περιφερεῖ· ἧς τὴν θείαν ὑμνήσωμεν κοίμησιν.

Ὑπόπτεροι ἐν νεφέλαις ἀρθέντες, ἀετοὶ ὡς ὑψηπέται τοῦ Λόγου, Γεθσημανῇ, συνελθόντες· Παρθένε, σὲ ἐπεφώνουν ἀπαίρουσαν τὴν μέλλουσαν, πανύμνητε πρὸς Οὐρανὸν, οὓς ὡς τέκνα Υἱοῦ σου ηὐλόγησας.

Τίς αὕτη ἡ ἀναβαίνουσα τέλει, κοσμικῶν ἀπὸ κοιλάδων; τίς αὕτη, ἡ προτομὴ, καὶ προτόρασις ξένη; τί τὸ ὁρώμενον μέγα Μυστήριον; ἡ πάντων ἐστὶ Βασιλὶς, καὶ Κυρία καὶ δόξα καὶ καύχημα.

Ἠλάλαζεν Ἀποστόλων ὁ δῆμος, καὶ δακρύων ἐπληρώθη ἡνίκα, σοῦ τὴν ψυχὴν, τὴν ἁγίαν λιποῦσαν, τὸ θεοδόχον τεθέαται σκήνωμα· καὶ ὕμνησε θεοπρεπῶς, σοῦ τὴν θείαν πανάμωμε κοίμησιν.

Κοντάκιον, ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἡ ἐνδόξῳ μνήμῃ σου ἡ Οἰκουμένη, τῷ ἀΰλῳ Πνεύματι πεποικιλμένη νοερῶς, ἐν εὐφροσύνῃ κραυγάζει σοι· χαῖρε Παρθένε, Χριστιανῶν τὸ καύχημα.

Ὁ Οἶκος.

Νῦν εὐφραινέσθω Οὐρανὸς, σκιρτάτω πᾶσα Κτίσις. ἰδοὺ γὰρ ἡ Παρθένος ἀπὸ τῆς γῆς ἀπαίρει, καὶ πρὸς Παράδεισον μολεῖ. Πᾶσι σωτηρία ἐπεφάνη ἐκ Θεοῦ, προσβάλουσα καὶ σκέπουσα. διὸ καὶ Ἀποστόλων ἐπέδραμε πᾶσα ἡ χορεία, ἐκ περάτων ἀθροισθεῖσα. νεφέλαι γὰρ ἐφάνησαν ἄφνω ἁρπάσαι αὐτούς. ἔστησαν ἅμα τῇ Μητρὶ καὶ τῷ Υἱῷ, καὶ ἀνεβόων·

Χαῖρε θησαυρὲ τοῦ Μάννα τῆς διαθήκης. Χαῖρε Παρθένε Χριστιανῶν τὸ καύχημα.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Νόμους τῆς φύσεως λαθοῦσα, τῷ κυήσασθαι τῷ ἀνθρωπίνῳ Νόμῳ, θνήσκεις μόνη Ἁγνὴ ζωώσασα τοὺς πάλαι, νενεκρωμένους ἄχραντε, ζωηφόρῳ τοκετῷ σου.

Μένει κενὸς ὁ θεῖος τάφος, σοῦ τοῦ σώματος, τῆς χάριτος δὲ πλήρης. ποταμοὺς γὰρ ἡμῖν πηγάζει ἰαμάτων, καὶ ἀποπαύει ῥεύματα, Παναγία Θεοτόκε.

Ἤρθη τὸ σῶμα μὲν τοῦ τάφου, παραμένει δὲ ἡμῖν ἡ εὐλογία, σοῦ Παρθένε ἁγνὴ, τυφλοὺς φωταγωγοῦσα, καὶ σοῦ τὸ ἀσυμπάθητον, ὑπεμφαίνουσα πλουσίως.

Τόμε καινὲ ἐν ᾧ ὁ Λόγος, ἀναγέγραπται συνόδῳ ξενοτάτῃ. βίβλου πάντας ζωῆς ἱκέτευε γραφῆναι, τοὺς τὴν σεπτήν σου κοίμησιν, καὶ παράδοξον ὑμνοῦντας.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Οἱ θεορρήμονες Παῖδες ἐν τῇ καμίνῳ, σὺν τῷ πυρὶ, καὶ τὴν πλάνην, καταπατοῦντες ὑπέψαλλον· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἐκ τῶν περάτων ἐλθόντες οἱ περάτων, φωτοειδέστατοι στύλοι, πρὸς τὴν Σιὼν παρεγένοντο, πέρας βίου λαβοῦσαν, κηδεῦσαί σε ἄχραντε.

Ῥητορευόντων οὐ σθένει πᾶσα γλῶσσα, οὐδὲ Ἀγγέλων ἀξίως, εὐφημῆσαί σε στόματα. ἀσυγκρίτως γὰρ πάντων, ὑπέρκεισαι Δέσποινα.

Ἀγαλλιάσθω ἡ Κτίσις αἱ νεφέλαι, ἐν τῇ παρούσῃ ἡμέρᾳ, δικαιοσύνην ῥανάτωσαν, τῆς Παρθένου τιμῶσαι τὴν θείαν μετάστασιν.

Ἴδε ὁ θρόνος Κυρίου ὑπερέχων, τὰ Χερουβὶμ καὶ τοὺς θρόνους, γῆθεν ὑψοῦται τεθήσεσθαι, εἰς Βασίλεια θεῖα ἡ μόνη πανάμωμος.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ὡς πάντων φαιδροτέρα, τῶν ἐπουρανίων, τοὺς ὑμνητὰς τῆς φαιδρᾶς σου κοιμήσεως, τῶν σῶν χαρίτων τῷ φέγγει, φαιδρυνον φώτισον.

Σκιρτήσατε καρδίαι, πάντων εὐσεβούντων, ἐν τῇ Κοιμήσει τῆς μόνης Θεόπαιδος· τῇ ἀκοιμήτῳ πρεσβείᾳ ταύτης σωζόμεναι.

Ἡ γῆ πανηγυρίζει, Ἄγγελοι σκιρτῶσιν· ἀγαλλιῶνται δὲ πάντες οἱ δίκαιοι, ἐν τῇ κοιμησάσῃ Κόρῃ ὑμνολογοῦντές σε.

Φιλάγαθε Παρθένε, ῥᾷον ἐπὶ πάντας, τὰ ἀγαθά σου ἐλέη, καὶ σῶσον ἡμᾶς, ἡ τὸν πανάγαθον Λόγον ἀποκυήσασα.

Ἐξαποστειλ. Γυναῖκες ἀκουτίσθητε.

Σοῦ τῆς σεπτῆς κοιμήσεως, τὴν μνήμην τὴν ὑπέρλαμπρον, πανηγυρίζοντες πόθῳ, ᾄδομεν Θεοτόκε. σὺ δὲ ὡς Μήτηρ ἄχραντε, πρὸς τὸν Υἱὸν ἀπαίρουσα, ἐν δόξῃ σου καὶ Κύριον, Χριστιανῶν ὑπερμάχου, τῶν πίστει σε ἀνυμνούντων.

Εἰς τὸν στίχ. στιχ. τῆς Θεοτόκου, ζήτει ἐν τῷ μικρῷ Ἑσπερινῷ εἰς τὸν στίχ. Δόξα, καὶ νῦν, ἦχος γ΄. Δεῦτε ἅπαντα τὰ πέρατα.

Ὕπαγε ἔμπροσθεν εἰς τὴν Λιτὴν τῆς Ἑορτῆς, καὶ ἀφήσας.

Μηνὶ τῷ αὐτῷ ΙΕ΄.

Ἡ Κοίμησις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν γ΄. προσόμοια, ἦχος β΄.

Ποίοις εὐφημιῶν.

Ποίοις οἱ εὐσεβεῖς χείλεσι, μακαρίσωμεν τὴν Θεοτόκον; τὴν τιμιωτέραν τῆς Κτίσεως, καὶ ἁγιωτέραν ὑπάρχουσαν, Χερουβὶμ καὶ πάντων τῶν Ἀγγέλων· τὸν θρόνον, τοῦ Βασιλέως τὸν ἀσάλευτον· τὸν οἶκον, ἐν ᾧ κατῴκησεν ὁ Ὕψιστος. τὴν σωτηρίαν τοῦ Κόσμου. καὶ Θεοῦ ἁγίασμα, τὴν παρέχουσαν τοῖς πιστοῖς, ἐν τῇ θείᾳ μνήμῃ αὐτῆς, πλουσίως τὸ μέγα ἔλεος. Δίς.

Ἵνα τὰ φοβερὰ ᾄσματα, ἃ προσῆξάν σοι τότε Παρθένε; κύκλῳ τῆς σῆς κλίνης ἱστάμενοι, πάντες οἱ τοῦ Λόγου Ἀπόστολοι, καὶ θαμβητικῶς ἀναβοῶντες· ἀπαίρει, τοῦ Βασιλέως τὸ Παλάτιον· ὑψοῦται, ἡ κιβωτὸς τοῦ ἁγιάσματος· πύλαι ἐπάρθητε ὄντως, τοῦ Θεοῦ ἡ πύλη εἰσελεύσεται ἐν χαρᾷ, τῷ Κόσμῳ ἀπαύστως αἰτουμένη τὸ μέγα ἔλεος.

Οἷα πνευματικὰ ᾄσματα, νῦν προσάξωμεν σοὶ Παναγία; τῇ γὰρ ἀθανάτῳ κοιμήσει σου, ἅπαντα τὸν Κόσμον ἡγίασας, καὶ πρὸς ὑπερκόσμια μετέβης, τὸ κάλλος, κατανοεῖν τοῦ Παντοκράτορος· καὶ τούτῳ,

οἷά περ Μήτηρ συναγάλλεσθαι, Ἀγγελικῶν σε ταγμάτων, δορυφορησάντων Ἁγνή, καὶ ψυχῶν δικαίων· μεθ᾽ ὧν αἴτησαι ἡμῖν, εἰρήνην καὶ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, ἦχος α΄.

Ἔπρεπε τοῖς αὐτόπταις. Ζήτει εἰς τὴν Λιτήν.

Εἰς τὸν στ. στ. προσόμοια, ἦχος β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Δῆμος τῶν Μαθητῶν, ἀθροίζεται κηδεῦσαι, Μητέρα Θεοτόκον, ἐλθόντες ἐκ περάτων, παντοδυνάμῳ Πνεύματι.

στ. Ἀνάστηθι Κύριε εἰς τὴν.

Νύμφη ἡ τοῦ Θεοῦ, Βασίλισσα Παρθένος, τῶν ἐκλεκτῶν ἡ δόξα, καύχημα τῶν Παρθένων, πρὸς τὸν Υἱὸν μεθίσταται.

στ. Ὤμοσε Κύριος τῷ Δαβίδ.

Ἤθροισται ὁ χορός, Μαθητῶν παραδόξως, ἐκ τῶν περάτων Κόσμου, κηδεῦσαί σου τὸ Σῶμα, τὸ θεῖον καὶ ἀκήρατον.

Δόξα, καὶ νῦν. Ὅμοιον.

Δέσποινα ἀγαθή, τὰς ἁγίας σου χεῖρας, πρὸς τὸν Υἱόν σου ἆρον, τὸν φιλόψυχον πλάστην, οἰκτειρῆσαι τοὺς δούλους σου.

Ἐν δὲ τῷ μεγάλῳ Ἑσπερινῷ, στιχολογοῦμεν τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στ. η΄. καὶ ψάλλομεν στ. προσόμοια, ἦχος α΄. Αὐτόμελον.

Ὢ Τοῦ παραδόξου θαύματος, ἡ πηγὴ τῆς ζωῆς ἐν μνημείῳ τίθεται, καὶ κλίμαξ πρὸς Οὐρανόν, ὁ τάφος γίνεται. εὐφραίνου Γεθσημανή, τῆς Θεοτόκου τὸ ἅγιον τέμενος. βοήσωμεν οἱ πιστοί, τὸν Γαβριὴλ κεκτημένοι Ταξίαρχον· κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Βαβαὶ τῶν σῶν Μυστηρίων Ἁγνή. τοῦ ὑψίστου θρόνος, ἀνεδείχθης Δέσποινα, καὶ γῆθεν πρὸς Οὐρανόν, μετέστης σήμερον. ἡ δόξα σου εὐπρεπής, θεοφεγγέσιν ἐκλάμπουσα χάρισι. Παρθένοι σὺν τῇ Μητρί, τοῦ Βασιλέως πρὸς ὕψος ἐπάρθητε. κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Ἣν σὺν δοξάζουσι κοίμησιν, Ἐξουσίαι Θρόνοι, Ἀρχαὶ Κυριότητες, Δυνάμεις καὶ Χερουβίμ, καὶ τὰ φρικτὰ Σεραφίμ. ἀγάλλονται γηγενεῖς, ἐπὶ τῇ θείᾳ σου δόξῃ κοσμούμενοι· προσπίπτουσι Βασιλεῖς, σὺν Ἀρχαγγέλοις Ἀγγέλοις καὶ μέλπουσι· κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ Κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. ἰδιόμ. ἦχος α΄.

Θεαρχίῳ νεύματι, πάντοθεν οἱ Θεοφόροι Ἀπόστολοι, ὑπὸ νεφῶν μεταρσίως αἰρόμενοι, ἦχ. α΄. Καταλαβόντες τὸ πανάχραντον, καὶ ζωαρχικόν σου σκῆνος, ἐξόχως ἠσπάζοντο, β΄. Αἱ δὲ ὑπέρτατοι τῶν Οὐρανῶν δυνάμεις, σὺν τῷ οἰκείῳ Δεσπότῃ παραγενόμεναι. ἦχ. β΄. Τὸ Θεοδόχον καὶ ἀκραιφνέστατον σῶμα προπέμπουσαι, τῷ δέει κρατούμεναι. ὑπερκοσμίως δὲ προῴχοντο, καὶ ἀοράτως ἐβόων ταῖς ἀνωτέραις Ταξιαρχίαις. ἰδοὺ ἡ Παντάνασσα Θεόπαις παραγέγονεν· γ΄. Ἄρατε πύλας, καὶ ταύτην ὑπερκοσμίως ὑποδέξασθε, τὴν τοῦ ἀεννάου φωτὸς Μητέρα· βαρύς. Διὰ ταύτης γὰρ ἡ παγγενὴς τῶν βροτῶν σωτηρία γέγονεν, ᾗ ἀτενίζειν οὐκ ἰσχύομεν. δ΄. Καὶ ταύτῃ ἄξιον γέρας ἀπονέμειν ἀδύνατον. ταύτης γὰρ τὸ ὑπερβάλλον, ὑπερέχει πᾶσαν ἔννοιαν· πλ. δ΄. Διὸ ἄχραντε Θεοτόκε, ἀεὶ σὺν ζωηφόρῳ Βασιλεῖ, καὶ τόκῳ ζῶσα, πρέσβευε διηνεκῶς, περιφρουρῆσαι καὶ σῶσαι, ἀπὸ πάσης προσβολῆς ἐναντίας τὴν νεολαίαν σου, τὴν γὰρ σὴν προστασίαν κεκτήμεθα· α΄. Εἰς τοὺς αἰῶνας ἀγλαοφανῶς μακαρίζοντες.

Εἴσοδος, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. ζήτει Σεπτεμβρίῳ η΄.

Εἰς τὴν Λιτήν, στ. ἰδιόμ. ἦχος α΄.

Ἔπρεπε τοῖς αὐτόπταις τοῦ Λόγου καὶ ὑπηρέταις, καὶ τῆς κατὰ σάρκα Μητρὸς αὐτοῦ, τὴν κοίμησιν ἐποπτεῦσαι, τελευταῖον ὅσον ἐπ᾽ αὐτῇ Μυστήριον. ἵνα μὴ μόνον τὴν ἀπὸ γῆς τοῦ Σωτῆρος ἀνάβασιν, θεάσωνται, ἀλλὰ καὶ τῆς Τεκούσης αὐτόν, τῇ μεταθέσει μαρτυρήσωσι. διόπερ πάντοθεν θείᾳ δυνάμει περαιωθέντες, τὴν Σιὼν κατελάμβανον. καὶ πρὸς Οὐρανόν, ἐπειγομένην προέπεμπον, τὴν ἀνωτέραν τῶν Χερουβίμ· ἣν καὶ ἡμᾶς σὺν αὐτοῖς προσκυνοῦμεν, ὡς πρεσβεύουσαν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄. Ἀνατολικά.

Ἡ Τῶν Οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης

Κτίσεως τιμιωτέρα. ἡ δι᾽ ὑπερβάλλουσαν καθαρότητα, τῆς αἰδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον τὴν Παναγίαν παρατίθεται ψυχήν. καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

Ἦχος β΄. Ἰωάννου.

Ἡ Πανάμωμος Νύμφη, καὶ μήτηρ τῆς εὐδοκίας τοῦ Πατρός, ἡ Θεῷ προορισθεῖσα εἰς ἑαυτοῦ κατοίκησιν, τῆς ἀσυγχύτου ἑνώσεως. σήμερον τὴν ἄχραντον ψυχήν, τῷ Ποιητῇ καὶ Θεῷ παρατίθεται· ἣν ἀσωμάτων δυνάμεις, θεοπρεπῶς ὑποδέχονται. καὶ πρὸς ζωὴν μετατίθεται, ἡ ὄντως μήτηρ τῆς ζωῆς. ἡ λαμπὰς τοῦ ἀπροσίτου φωτός, ἡ σωτηρία τῶν πιστῶν, καὶ ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

Ἦχος γ΄. Γερμανοῦ.

Δεῦτε ἅπαντα τὰ πέρατα τῆς γῆς, τὴν σεπτὴν μετάστασιν τῆς Θεομήτορος μακαρίσωμεν. ἐν χερσὶ γὰρ τοῦ Υἱοῦ, τὴν ψυχὴν τὴν ἄμωμον ἐναπέθετο. ὅθεν τῇ ἁγίᾳ κοιμήσει αὐτῆς, ὁ Κόσμος ἀνεζωοποιήθη. καὶ ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, μετὰ τῶν Ἀσωμάτων, καὶ τῶν Ἀποστόλων ἑορτάζει φαιδρῶς.

Δόξα, ἦχος πλ. α΄. Θεοφάνους.

Δεῦτε φιλεόρτων τὸ σύστημα, δεῦτε καὶ χορείαν στησώμεθα. δεῦτε καταστέψωμεν ᾄσμασι τὴν Ἐκκλησίαν, τῇ καταπαύσει τῆς κιβωτοῦ τοῦ Θεοῦ. σήμερον γὰρ Οὐρανὸς ἐφαπλοῖ τοὺς κόλπους, δεχόμενος τὴν τεξαμένην τὸν ἐν πᾶσι μὴ χωρούμενον. καὶ ἡ τὴν πηγὴν τῆς ζωῆς ἀποδιδοῦσα, τὴν εὐλογίαν στολίζεται καὶ τὴν εὐπρέπειαν. Ἄγγελοι χοροστατοῦσι σὺν Ἀποστόλοις, περιδεῶς ἐνατενίζοντες, ἐκ ζωῆς εἰς ζωὴν μεθισταμένην, τὴν τεκοῦσαν τὸν Ἀρχηγὸν τῆς ζωῆς. πάντες προσκυνήσωμεν αὐτήν, δεόμενοι· συγγενοῦς οἰκειότητος μὴ ἐπιλάθῃ Δέσποινα, τῶν πιστῶς ἑορταζόντων, τὴν Παναγίαν σου Κοίμησιν.

Καὶ νῦν. Ὁ αὐτός.

Ἄσατε λαοί, τῇ μητρὶ τοῦ Θεοῦ ἡμῶν ᾄσατε· σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς, εἰς τὰς ἀχράντους παλάμας τοῦ ἐξ αὐτῆς σαρκωθέντος, ἀνὰ ἀπορᾶς παρατίθησιν· ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, δωρηθῆναι τῇ Οἰκουμένῃ, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Ἀπόστ. στιχ. ἰδιόμελα, ἦχος δ΄.

Δεῦτε ἀνυμνήσωμεν λαοί, τὴν Παναγίαν Παρθένον ἁγνήν. ἐξ ἧς ἀῤῥήτως προῆλθε σαρκωθεὶς ὁ Λόγος τοῦ Πατρός. κράζοντες καὶ λέγοντες· εὐλογημένη σὺ ἐν γυναιξί. Μακαρία ἡ γαστήρ, ἡ χωρήσασα Χριστόν· αὐτοῦ ταῖς ἁγίαις χερσὶ τὴν ψυχὴν παραθεμένη· πρέσβευε ἄχραντε σωθῆναι τὰς ψυχὰς ἡμῶν. Ὁ αὐτός.

Στιχ. Ἀνάστηθι Κύριε εἰς τὴν.

Τὴν πάνσεπτόν σου Κοίμησιν Παναγία Παρθένε Ἁγνή, τῶν Ἀγγέλων τὰ πλήθη ἐν Οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος ἐπὶ τῆς γῆς μακαρίζομεν. ὅτι μήτηρ γέγονας τοῦ ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ. αὐτὸν ἱκετεύουσα, ὑπὲρ ἡμῶν μὴ παύσῃ δεόμεθα, τῶν εἰς σὲ μετὰ Θεὸν τὰς ἐλπίδας θεμένων, Θεοτόκε πανύμνητε καὶ ἀπειρόγαμε.

Στιχ. Ὤμοσε Κύριος τῷ Δαβίδ.

Δαβιτικὴν ᾠδὴν σήμερον λαοί, ᾄσωμεν Χριστῷ τῷ Θεῷ. ἀπενεχθήσονται φησί, τῷ Βασιλεῖ Παρθένοι ὀπίσω αὐτῆς· ἀπενεχθήσονται ἐν εὐφροσύνῃ καὶ ἀγαλλιάσει. ἡ γὰρ ἐκ σπέρματος Δαβίδ, δι᾽ ἧς ἡμεῖς ἐθεώθημεν, ἐν ταῖς χερσὶ τοῦ ἑαυτῆς Υἱοῦ καὶ Δεσπότου, ἐνδόξως καὶ ὑπὲρ λόγον μετατίθεται. ἣν ὡς Μητέρα Θεοῦ ἀνυμνοῦντες βοῶμεν καὶ λέγομεν· σῶσον ἡμᾶς τοὺς ὁμολογοῦντάς σε Θεοτόκον, ἀπὸ πάσης περιστάσεως, καὶ λύτρωσαι κινδύνων τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, ἦχος δ΄.

Ὅτε ἐξεδήμησας Θεοτόκε Παρθένε, πρὸς τὸν ἐκ σοῦ τεχθέντα ἀφράστως, παρῆν Ἰάκωβος ὁ ἀδελφόθεος, καὶ πρῶτος Ἱεράρχης. Πέτρος δὲ ἡ τιμιωτάτη κορυφαία τῶν Θεολόγων ἀκρότης, καὶ σύμπας ὁ θεῖος τῶν Ἀποστόλων χορός, ἐκφαντορικαῖς θεολογίαις ὑμνολογοῦντες, τὸ θεῖον καὶ ἐξαίσιον τῆς Χριστοῦ τοῦ Θεοῦ, Οἰκονομίας Μυστήριον. καὶ τὸ ζωαρχικὸν καὶ θεοδόχον σου σῶμα κηδεύσαντες, ἔχαιρον πανύμνητε. ὕπερθεν δέ, αἱ πανάγιαι καὶ πρεσβύταται τῶν Ἀγγέλων δυνάμεις, τὸ θαῦμα ἐκπληττόμεναι, κεκυφυῖαι ἀλλήλαις ἔλεγον. ἄρατε ὑμῶν τὰς πύλας, καὶ ὑποδέξασθε τὴν τεκοῦσαν τὸν Οὐρανοῦ καὶ γῆς ποιητήν. δοξολογίαις τε ἀνυμνήσωμεν, τὸ σεπτὸν καὶ ἅγιον σῶμα, τὸ χωρῆσαν τὸν ἡμῖν ἀθεώ-

ρητον καὶ Κύριον. διό περ καὶ ἡμᾶς τὴν μνήμην σου ἑορτάζοντες, ἐκβοῶμέν σοι Πανύμνητε· Χριστιανῶν τὸ κέρας ὕψωσον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Τροπάριον, ἦχος α'.

ΕΝ τῇ γεννήσει τὴν παρθενίαν ἐφύλαξας. ἐν τῇ Κοιμήσει τὸν Κόσμον οὐ κατέλιπες Θεοτόκε. μετέστης πρὸς τὴν ζωήν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς. καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν. Ἐκ γ'.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ.

Εἰς τὴν α'. στιχολ. Κάθ. ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

ΑΝαβόησον Δαβίδ, τίς ἡ παροῦσα Ἑορτή, ἣν ἀνύμνησας ποτέ, ἐν τῷ βιβλίῳ τῶν ψαλμῶν, ὡς θυγατέρα Θεόπαιδα καὶ Παρθένον. μετέστησεν αὐτήν, πρὸς τὰς ἐκεῖθεν μονάς, Χριστὸς ὁ ἐξ αὐτῆς, ἄνευ σπορᾶς γεννηθείς. καὶ διὰ τοῦτο χαίρουσι Μητέρες καὶ θυγατέρες, καὶ Νύμφαι Χριστοῦ. βοῶσαι, χαῖρε, ἡ μεταστᾶσα, πρὸς τὰ ἄνω Βασίλεια. Δίς.

Εἰς τὴν β'. στιχολ. Κάθ. ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

ΟΠάντιμος χορός, τῶν σοφῶν Ἀποστόλων, ἠθροίσθη θαυμαστῶς, τοῦ κηδεῦσαι ἐνδόξως, τὸ σῶμά σου τὸ ἄχραντον, Θεοτόκε Πανύμνητε. οἷς συνύμνησαν, καὶ τῶν Ἀγγέλων τὰ πλήθη, τὴν μετάστασιν, τὴν σὴν σεπτῶς εὐφημοῦντα. ἣν πίστει ἑορτάζομεν. Δίς.

Μετὰ τὸν Πολυέλεον Κάθ. ἦχος γ'.

Τὴν ὡραιότητα.

ΕΝ τῇ γεννήσει σου, σύλληψις ἄσπορος. ἐν τῇ Κοιμήσει σου, νέκρωσις ἄφθορος. θαῦμα ἐν θαύματι διπλοῦν, συνέδραμε Θεοτόκε. πῶς γὰρ ἡ Ἀπείρανδρος, βρεφοτρόφος ἁγνεύουσα; πῶς δὲ ἡ Μητρόθεος, νεκροφόρος μυρίζουσα; διὸ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι· χαῖρε ἡ Κεχαριτωμένη. Δίς.

Οἱ Ἀναβαθμοί, τὸ α'. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ'.

Μνησθήσομαι τοῦ ὀνόματός σου.

Στίχ. Ἄκουσον θύγατερ, καὶ ἴδε.

Εὐαγγέλιον, ζήτει Σεπτεμβρίῳ η'. Ὁ Ν'. καὶ τὸ ἰδιόμ. ἦχος πλ. β'. Βύζαντος.

ΟΤε ἡ μετάστασις, τοῦ ἀχράντου σου Σκήνους ηὐτρεπίζετο, τότε οἱ Ἀπόστολοι, περικυκλοῦντες τὴν κλίνην, ἑώρων σε. καὶ οἱ μὲν ἀτενίζοντες τῷ σκήνει, θάμβει συνείχοντο. ὁ δὲ Πέτρος σὺν δάκρυσιν ἐβόα σοι· ὦ Παρθένε, ὁρῶ σε τρανῶς ἡπλωμένην ὑπτίαν, τὴν ζωὴν τῶν ἁπάντων, καὶ καταπλήττομαι· ἐν ᾗ ἐσκήνωσε, τῆς μελλούσης ζωῆς ἡ ἀπόλαυσις. ἀλλ' ὦ Ἄχραντε, ἱκέτευε ἐκτενῶς τὸν Υἱόν σου καὶ Θεόν, τοῦ σώζεσθαι τὴν Πόλιν σου ἄτρωτον.

Εἶτα οἱ Κανόνες, ὁ πρῶτος μετὰ τῶν Εἱρμῶν, εἰς η'. καὶ ὁ δεύτερος, εἰς ς'. ὕστερον δὲ πάλιν τοὺς Εἱρμούς. ὁ Κανὼν τοῦ Κυρίου Κοσμᾶ. οὗ ἡ ἀκροστ. Πανηγυριζέτωσαν οἱ Θεόφρονες.

ᾨδὴ α'. ἦχος α'. Ὁ Εἱρμός.

ΠΕποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς Παρθένε μνήμη σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστούς, ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων, τῷ σῷ ᾄδοντας Μονογενεῖ, ἐνδόξως ὅτι δεδόξασται.

ΑΜφεπολεῖτο ἀΰλων τάξει, οὐρανοβάμον ἐν Σιὼν τὸ θεῖον Σῶμά σου. ἄφνω δὲ συρρεύσασα, τῶν Ἀποστόλων ἡ πληθύς, ἐκ περάτων Θεοτόκε, σοὶ παρέστησαν ἀρδήν. μεθ' ὧν Ἄχραντε, σοῦ τὴν σεπτήν, Παρθένε μνήμην δοξάζομεν.

ΝΙκητικὰ μὲν βραβεῖα ἦρω, κατὰ τῆς φύσεως Ἁγνὴ Θεὸν κυήσασα. ὅμως μιμουμένη δέ, τὸν Ποιητήν σου καὶ Υἱόν, ὑπὲρ φύσιν ὑποκύπτας, τοῖς τῆς φύσεως νόμοις. διὸ θνήσκουσα, σὺν τῷ Υἱῷ ἐγείρῃ διαιωνίζουσα.

Ἕτερος Κανὼν Ἰωάννου τοῦ Δαμασκηνοῦ.

ᾨδὴ α'. ἦχος δ'. Εἱρμὸς ἄλλος.

ΑΝοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι μητρί. καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων· καὶ ᾄσω γηθόμενος, ταύτης τὴν Κοίμησιν.

ΠΑρθένοι νεάνιδες, σὺν Μαριὰμ τῇ Προφήτιδι, ᾠδὴν τὴν ἐξόδιον νῦν ἀλαλάξατε· ἡ Παρθένος γάρ, καὶ μόνη Θεοτόκος, πρὸς λῆξιν οὐράνιον, διαβιβάζεται.

ΑΞίως ὡς ἔμψυχον, σὲ Οὐρανὸν ὑπεδέξαντο, οὐράνια Πάναγνε θεῖα σκηνώματα· καὶ παρέστηκας, φαιδρῶς ὡραϊσμένη, ὡς Νύμφη Παναμώμητος, τῷ Βασιλεῖ καὶ Θεῷ.

ᾨδὴ γ'. Ὁ Εἱρμός.

Η Δημιουργικὴ καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ σοφία καὶ δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον Χριστέ. μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν Ἁγίοις ἀναπαυόμενος.



ΑΝΕΜΗ ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Γυναῖκά σε θνητήν, ἀλλ' ὑπερφυῶς καὶ Μητέρα, Θεοῦ εἰδότες Πανάμωμε, οἱ κλεινοὶ Ἀπόστολοι, τρεμούσαις ἥπτοντο χερσί, δόξῃ ἀπαστράπτουσαν, ὡς Θεοδόχον σκῆνος θεώμενοι.

Ὑπέφθασε χερσί, ταῖς ὑβριστικαῖς τοῦ αὐθάδους, τομὴν ἡ δίκη ἐπάξασα· τοῦ Θεοῦ φυλάξαντος, τὸ σέβας τῇ ἐμψύχῳ Κιβωτῷ, δόξῃ τῆς Θεότητος· ἐν ᾗ ὁ Λόγος Σὰρξ ἐχρημάτισεν.

Εἱρμὸς ἄλλος.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος Πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ μνήμῃ σου, στεφάνων δόξης ἀξίωσον.

Θνητῆς ἐξ ὀσφύος προαχθεῖσα, τῇ φύσει κατάλληλον Ἁγνή, τὴν ἔξοδον διήνυσας. τεκοῦσα δὲ τὴν ὄντως Ζωήν, πρὸς τὴν ζωὴν μεθέστηκας, τὴν θείαν καὶ ἐνυπόστατον.

Δῆμος Θεολόγων ἐκ περάτων, ἐξ ὕψους Ἀγγέλων δὲ πληθύς, πρὸς τὴν Σιὼν ἠπάγοντο, παντοδυνάμῳ νεύματι, ἀξιοχρέως Δέσποινα, τῇ σῇ ταφῇ λειτουργήσοντες.

Ἡ Ὑπακοή. Ἦχος πλ. α'.

Μακαρίζομέν σε πᾶσαι αἱ γενεαί, Θεοτόκε Παρθένε. ἐν σοὶ γὰρ ὁ ἀχώρητος Χριστὸς ὁ Θεὸς ἡμῶν, χωρηθῆναι ηὐδόκησε. μακάριοι ἐσμὲν καὶ ἡμεῖς, προστασίαν σε ἔχοντες. ἡμέρας γὰρ καὶ νυκτός, πρεσβεύεις ὑπὲρ ἡμῶν· καὶ τὰ σκῆπτρα τῆς Βασιλείας, ταῖς σαῖς ἱκεσίαις κρατύνονται. διὸ ἀνυμνοῦντες βοῶμέν σοι· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

Εἰ βούλει, λέγε καὶ τὸ κα. ἦχος δ'.

Κατεπλάγη Ἰωσήφ.

Ἀναβόησον Δαβίδ, τίς ἡ παροῦσα Ἑορτή, ἣν ἀνύμνησας ποτέ, ἐν τῷ βιβλίῳ τῶν ψαλμῶν, ὡς Θυγατέρα Θεόπαιδα καὶ Παρθένον· μετέστησεν αὐτήν, πρὸς τὰς ἐκεῖθεν μονάς, Χριστὸς ὁ ἐξ αὐτῆς, ἄνευ σπορᾶς γεννηθείς. καὶ διὰ τοῦτο χαίρουσι, Μητέρες καὶ Θυγατέρες, καὶ νύμφαι Χριστοῦ, βοῶσαι· χαῖρε, ἡ μεταστᾶσα, πρὸς τὰ ἄνω Βασίλεια.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφηναν, τὴν ἐκ Παρθένου σου Χριστέ. φέγγος ἀστραπῆς σου, εἰς φῶς ἐθνῶν ἐξελεύσεται, καὶ φωνεῖ σοι ἄβυσσος ἐν ἀγαλλιάσει· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Ἴδετε λαοὶ καὶ θαυμάσατε. τὸ Ὄρος γὰρ τὸ Ἅγιον, καὶ ἐμφανέστατον Θεοῦ, τῶν ἐπουρανίων μονῶν, ἐφύπερθεν αἴρεται. Οὐρανὸς ἐπίγειος, ἐν ἐπουρανίῳ, καὶ ἀφθάρτῳ χθονὶ οἰκιζόμενος.

Ζωῆς τῆς ἀϊδίου καὶ κρείττονος, ὁ θάνατός σου γέγονε, διαβατήριον Ἁγνή, ἐκ τῆς ἐπικήρου, πρὸς θείαν ὄντως καὶ ἄῤῥευστον, μεθιστῶν σε Ἄχραντε, ἐν ἀγαλλιάσει, τὸν Υἱὸν καθορᾶν σου καὶ Κύριον.

Ἐπήρθησαν πύλαι οὐράνιαι, καὶ Ἄγγελοι ἀνύμνησαν, καὶ ὑπεδέξατο Χριστός, τὸ τῆς Παρθενίας αὐτοῦ μητρῷον κειμήλιον. Χερουβὶμ ὑπῆξέ σοι, ἐν ἀγαλλιάσει. Σεραφὶμ δὲ δοξάζουσί σε χαίροντα.

Εἱρμὸς ἄλλος.

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τὴν ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· δόξα τῇ δυνάμει σου Κύριε.

Θάμβος ἦν θεάσασθαι τὸν οὐρανόν, τοῦ Παμβασιλέως τὸν ἔμψυχον, τοὺς κενεῶνας, ὑπερχόμενον τῆς γῆς. ὡς θαυμαστὰ τὰ ἔργα σου· δόξα τῇ δυνάμει σου Κύριε.

Ἐν τῇ μεταστάσει σου Μῆτερ Θεοῦ, τὸ εὐρυχωρότατον Σῶμά σου, καὶ Θεοδόχον, τῶν Ἀγγέλων στρατιαί, ἱερωτάταις πτέρυξι, φόβῳ, καὶ χαρᾷ συνεκάλυπτον.

Εἰ ὁ ἀκατάληπτος ταύτης Καρπός, δι' ὃν Οὐρανὸς ἐχρημάτισε, ταφὴν ὑπέστη, ἑκουσίως ὡς θνητός· πῶς τὴν ταφὴν ἀρνήσεται, ἡ ἀπειρογάμως Κυήσασα;

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Τὸ θεῖον καὶ ἄρρητον κάλλος, τῶν ἀρετῶν σου Χριστὲ διηγήσομαι. ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον, καὶ ἐνυπόστατον λάμψας ἀπαύγασμα· Παρθενικῆς ἀπὸ Γαστρός, τοῖς ἐν σκότει καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας Ἥλιος.

Ὡς ἐπὶ νεφέλης Παρθένε, τῶν Ἀποστόλων ὁ δῆμος ὀχούμενος, πρὸς τὴν Σιὼν ἐκ περάτων λειτουργῆσαί σοι, τῇ νεφέλῃ τῇ κούφῃ ἠθροίζετο· ἀφ' ἧς ὁ Ὕψιστος Θεός, τοῖς ἐν σκότει καὶ σκιᾷ, δικαιοσύνης ἔλαμψεν Ἥλιος.

Σάλπιγγες θεόληπτοι Γλῶσσαι, τῶν Θεολόγων ἀνδρῶν ἀπηχέστερον, τῇ Θεοτόκῳ ἐβόων τὸν ἐξόδιον, ἐνηχούμεναι ὕμνον τῷ Πνεύματι. χαίροις ἀκήρατε Πηγή, τῆς

τοῦ Θεοῦ ζωαρχικῆς, καὶ σωτηρίου πάντων Σαρκώσεως. Εἱρμὸς ἄλλος.

Ἐξέστη τὰ σύμπαντα, ἐν τῇ σεπτῇ Κοιμήσει σου. σὺ γὰρ Ἀπειρόγαμε Παρθένε, γῆθεν μετέστης πρὸς αἰωνίους μονάς, καὶ πρὸς ἀτελεύτητον ζωήν. πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα.

Κροτείτωσαν σάλπιγγες, τῶν Θεολόγων σήμερον. γλῶσσα δὲ πολύφθογγος ἀνθρώπων, νῦν εὐφημείτω, περιηχείτω ἀήρ, ἀπείρῳ λαμπόμενος φωτί. Ἄγγελοι ὑμνείτωσαν, τῆς Παρθένου τὴν Κοίμησιν.

Τὸ σκεῦος διέπρεπε, τῆς ἐκλογῆς τοῖς ὕμνοις σου, ὅλος ἐξιστάμενος Παρθένε· ἔκδημος ὅλος ἱερωμένος Θεῷ, τοῖς πᾶσι θεόληπτος καὶ ὤν, ὄντως καὶ δεικνύμενος, Θεοτόκε Πανύμνητε.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

Ἔλιον ποντογενές, κητῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου ταφῆς σου τί προεικόνισμα. οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδεικται. σεσωσμένος γὰρ ὡς καὶ προπέποτο, ἀσινὴς ἐβόα· Θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε.

Νέμα σοι τὰ ὑπὲρ φύσιν, Ἄναξ ὁ πάντων Θεός· ἐν γὰρ τῷ τίκτειν Παρθένον, ὥσπερ ἐφύλαξεν, οὕτως ἐν τάφῳ τὸ σῶμα διετήρησεν ἀδιάφθορον καὶ συνεδόξασε, θείᾳ μεταστάσει, γέρα σοι ὥσπερ Υἱός, Μητρὶ χαριζόμενος.

Ὄντως σε ὡς φαεινὴν Λυχνίαν, ἀΰλου πυρὸς Θυμιατήριον, Θείου χρύσεον ἄνθρακος, ἐν τοῖς Ἁγίων Ἁγίοις κατεσκήνωσε. στάμνον, ῥάβδον τε, Πλάκα θεόγραφον, Κιβωτὸν Ἁγίαν, τράπεζαν Λόγου ζωῆς, Παρθένε ὁ Τόκος σου.

Εἱρμὸς ἄλλος.

Τὴν θείαν ταύτην, καὶ πάντιμον, τελοῦντες Ἑορτὴν οἱ Θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα, Θεὸν δοξάσωμεν.

Ἐκ σοῦ ζωὴ ἀνατέταλκε, τὰς κλεῖς τῆς Παρθενίας μὴ λύσασα. πῶς οὖν τὸ ἄχραντον, ζωαρχικόν τε σοῦ Σκήνωμα, τῆς θανάτου πείρας, γέγονε μέτοχον;

Ζωῆς ὑπάρξασα Τέμενος, ζωῆς τῆς ἀϊδίου τετύχηκας. διὰ θανάτου γάρ, πρὸς τὴν ζωὴν μεταβέβηκας, ἡ τὴν ζωὴν Τεκοῦσα τὴν ἐνυπόστατον.

Κοντάκιον, ἦχος β΄.

Τὴν ἐν πρεσβείαις ἀκοίμητον Θεοτόκον, καὶ προστασίαις ἀμετάθετον ἐλπίδα, τάφος καὶ νέκρωσις, οὐκ ἐκράτησεν. ὡς γὰρ ζωῆς Μητέρα πρὸς τὴν ζωὴν μετέστησεν, ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

Ὁ Οἶκος.

Τείχισόν μου τὰς φρένας Σωτήρ μου· τὸ γὰρ τεῖχος τοῦ Κόσμου ἀνυμνῆσαι τολμῶ, τὴν Ἄχραντον Μητέρα σου, ἐν πύργῳ ῥημάτων ἐνίσχυσόν με, καὶ ἐν βάρεσιν ἐννοιῶν ὀχύρωσόν με. σὺ γὰρ βοᾷς, τῶν αἰτούντων πιστῶς τὰς αἰτήσεις πληροῦν. σὺ οὖν μοι δώρησαι γλώττης προφοράν, καὶ λογισμὸν ἀκαταίσχυντον. πᾶσα γὰρ δόσις ἐλλάμψεως, παρὰ σοῦ καταπέμπεται φωταγωγέ. ὁ μήτραν οἰκήσας ἀειπάρθενον.

Τῷ αὐτῷ Μηνὶ ιε΄. Ἡ Σεβασμία Μετάστασις τῆς Ὑπερενδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.

Στίχ. Οὐ θαῦμα θνήσκειν κοσμοσώτηρα Κόρην,
Τοῦ Κοσμοπλάστου σαρκικῶς τεθνηκότος.
Ζῇ ἀεὶ Θεομῆτορ, κἂν δεκάτῃ θάνε πέμπτῃ.

Ὅτε πρὸς ἑαυτὸν Χριστὸς ὁ Θεὸς ἡμῶν προσλαβεῖν ηὐδόκησε τὴν ἰδίαν Μητέρα. τότε πρὸ τριῶν ἡμερῶν δι' Ἀγγέλου αὐτῇ τὴν ἀπὸ γῆς μετάστασιν γνωρίζων, καιρός φησι τὴν ἐμὴν προσλαβέσθαι μητέρα πρὸς ἐμαυτόν. Μηδὲν οὖν ἐπὶ τούτῳ θορυβηθῇς, ἀλλὰ μετ' εὐφροσύνης δέξαι τὸν λόγον· καὶ γὰρ πρὸς ἀθάνατον ἔρχῃ ζωήν. Καὶ δὴ τῷ πόθῳ τῆς πρὸς τὸν Υἱὸν μεταστάσεως, ἐπὶ τὸ ὄρος τῶν Ἐλαιῶν ἄνεισι, προσευξομένη μετὰ σπουδῆς, (εἰώθει γὰρ συνεχῶς ἐν αὐτῷ ἀνιοῦσα, προσεύχεσθαι.) ἐφ' ᾧ καί τι παράδοξον τηνικαῦτα συμβαίνει γενέσθαι. Κλίνουσι γὰρ ἐξ ἑαυτῶν τὰ παρὰ τὸ ὄρος φυτά, καὶ ὥσπερ ἔμψυχα δοῦλα, τὸ προσῆκον σέβας τῇ Δεσποίνῃ ἀποπληροῦσι. Μετὰ δὲ τὴν εὐχήν, ὑποστρέφει πρὸς τὴν οἰκίαν, καὶ εὐθέως ἐσείσθη ἅπασα. Αὐτὴ δὲ πολλὰ φῶτα ποιησαμένη, καὶ εὐχαριστήσασα τῷ Θεῷ, συγκαλεῖ τοὺς αὐτῆς Συγγενεῖς τε καὶ Γείτονας· σαροῖ πᾶσαν τὴν οἰκίαν. ἑτοιμάζει τὴν κλίνην, καὶ πάντα τὰ πρὸς ταφὴν ἐπιτήδεια. Δηλοποιεῖ τὰ παρὰ τοῦ Ἀγγέλου πρὸς αὐτὴν λαληθέντα, περὶ τῆς εἰς Οὐρανοὺς αὐτῆς

Μεταστάσεως. καὶ εἰς πίστιν τῶν βλεπομένων, τὸ δοθὲν αὐτῇ βραβεῖον ὑποδεικνύει· Τὸ δὲ ἦν, Φοίνικος κλάδος. Αἱ δὲ μετακληθεῖσαι γυναῖκες, τούτων ἀκούσασαι, θρήνοις ἑαυτὰς σὺν δάκρυσιν ἔλυον, καὶ μετ᾽ οἰμωγῆς ὠλοφύροντο. Ὅμως τοῦ κόπτεσθαι παυσάμεναι, μὴ ἀπορφανισθῆναι ταύτης ἱκέτευον. Ἡ δὲ οὐ μόνον αὐτὰς, ἀλλὰ καὶ πάντα τὸν Κόσμον μεταστᾶσα, περισκέπειν καὶ ἐφορᾷν διεβεβαιοῦτο. καὶ τὸ πολὺ τῆς λύπης ἀφῄρει τοῖς παραμυθητικοῖς ῥήμασιν, οἷς πρὸς τοὺς περιεστῶτας ἐλάλει. Εἶτα περὶ τῶν αὐτῆς δύο χιτώνων διατάττεται, ὥστε τὰς δύο πενιχρὰς χήρας, ἀνὰ χιτῶνος λαβεῖν. αἵτινες συνήθεις αὐτῇ ἦσαν, καὶ γνώριμοι, καὶ τὰ πρὸς διατροφὴν παρ᾽ αὐτῆς ἐκομίζοντο. Ταῦτα οὕτω διεξιούσης αὐτῆς, καὶ διαταττομένης, γίνεται ἄφνω βροντῆς βιαίας ἦχος, καὶ πλεῖστον ἐπιστασία νεφελῶν, ἀπὸ τῶν τοῦ Κόσμου περάτων, τοὺς Χριστοῦ Μαθητὰς ἀθρόον τῇ οἰκίᾳ τῆς Θεομήτορος φερομένων. Ἐν οἷς ἦσαν οἱ θεόσοφοι Ἱεράρχαι, Διονύσιος ὁ Ἀρεοπαγίτης, Ἱερόθεός τε ὁμοῦ καὶ Τιμόθεος. Οἳ ἐπεὶ ἔμαθον τὴν αἰτίαν τῆς αὐτῶν ἀθρόας παρουσίας, τοιαῦτα πρὸς αὐτὴν διεξίασι λέγοντες· Σὲ Δέσποινα, μένουσαν ἐν τῷ Κόσμῳ, ὡς αὐτὸν τὸν Δεσπότην ἡμῶν καὶ Διδάσκαλον βλέποντες, παρεμυθούμεθα· νῦν δὲ πῶς οἴσομεν τὸ πάθος; Ἐπεὶ δὲ τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου βουλῇ μεθίστασαι πρὸς τὰ ὑπερκόσμια, χαίρομεν τοῖς ἐπὶ σοὶ οἰκονομουμένοις. Ταῦτα λέγοντες, τοῖς δάκρυσιν ἑαυτοὺς ἔβρεχον. Ἡ δὲ πρὸς αὐτούς· μὴ φίλοι καὶ Μαθηταὶ τοῦ ἐμοῦ Υἱοῦ καὶ Θεοῦ, μὴ πένθος ἐργάσησθε τὴν ἐμὴν χαράν· ἀλλὰ τὸ ἐμὸν σῶμα, καθὼς ἐγὼ σχηματίσω τῇ κλίνῃ, κηδεύσατε. Τούτων οὕτω πληρωθέντων, φθάνει καὶ Παῦλος ὁ θεσπέσιος, τὸ σκεῦος τῆς ἐκλογῆς· ὃς καὶ πεσὼν πρὸς τοὺς πόδας τῆς Θεομήτορος, προσεκύνησε· καὶ ἀνοίξας αὐτοῦ τὸ στόμα, διὰ πολλῶν ἐγκωμιάζει αὐτήν. Χαῖρε λέγων· Μήτηρ τῆς ζωῆς, καὶ τοῦ ἐμοῦ κηρύγματος ἡ ὑπόθεσις. εἰ γὰρ καὶ τὸν Χριστὸν μὴ τεθέαμαι, ἀλλὰ σὲ βλέπων, ἐκεῖνον ἐδόκουν θεωρεῖν. Εἶτα συντάσσεται πᾶσιν ἡ Παρθένος, ἀναπίπτει ἐπὶ τῆς κλίνης, σχηματίζει τὸ πανάχραντον αὐτῆς ὡς ἠβουλήθη σῶμα· ὑπὲρ συστάσεως Κόσμου, καὶ εἰρηνικῆς διαγωγῆς δεήσεις ποιεῖται· εὐλογίας τῆς δι᾽ αὐτῆς πληροῖ καὶ αὐτούς. καὶ οὕτως εἰς χεῖρας τοῦ ἑαυτῆς Υἱοῦ καὶ Θεοῦ τὸ Πνεῦμα ἀφίησι. Καὶ αὐτίκα τυφλοῖς τὰ ὄμματα ἐφωτίζοντο, κωφοῖς αἱ ἀκοαὶ διηνοίγοντο, χωλοῖς αἱ τῶν ποδῶν βάσεις ὑπεστηρίζοντο, καὶ πᾶν ὁτιοῦν πάθος, καὶ νοσημάτων γένος εὐχερῶς διελύετο. Ἐπὶ τούτοις ἄρχεται τῶν ἐξοδίων ὕμνων ὁ Πέτρος, αἴρουσιν οἱ λοιποὶ τῶν Ἀποστόλων, οἱ μὲν τὸ κλινίδιον, οἱ δὲ προάγουσι μετὰ λαμπάδων καὶ ὑμνῳδιῶν, τὸ θεοδόχον σῶμα πρὸς τὸ μνῆμα προπέμποντες. Τότε δὴ τότε καὶ Ἄγγελοι ὑμνοῦντες ἠκούοντο, καὶ φωναὶ τῶν ὑπερκοσμίων Τάξεων τὸν ἀέρα ἐπλήρουν. Ἐφ᾽ οἷς οἱ τῶν Ἰουδαίων ἄρχοντες, τινὰς τοῦ ὄχλου ἀνερεθίσαντες, πείθουσι ταρᾶξαι τὴν κλίνην περιτρέψαι εἰς γῆν, ἐφ᾽ ἣν τὸ ζωαρχικὸν ἐτέθη σῶμα, καὶ τοῦτο καταβαλεῖν. Ἀλλ᾽ ἤδη τοὺς τολμητὰς ἡ δίκη φθάσασα, ὀμμάτων τυφλώσει πάντας κολάζει. Ἕνα δὲ αὐτῶν καὶ χειρῶν ἀποστερεῖ ἀμφοτέρων, μανικώτερον ὁρμήσαντα, καὶ τοῦ ἱεροῦ ἐκείνου σκίμποδος ἐναψάμενον. Ὃς καὶ παρὰ τὴν κλίνην τὰς αὐθάδας χεῖρας κοπείσας τῷ ξίφει τῆς δίκης, καὶ ἀπῃωρημένας ἀφεὶς, ἔμενεν ἐλεεινὸν θέαμα. ἕως οὗ πιστεύσας ἐξ ὅλης ψυχῆς, καὶ θεραπείας τυχὼν, ἀπεκατέστη ὡς τὸ πρότερον ὑγιής. Οὕτω καὶ τοῖς τυφλωθεῖσι πιστεύσασι, μέρος τι τοῦ παλίου τῆς κλίνης ἐπιτεθὲν, τὴν ἴασιν ἐδωρήσατο. Οἱ δὲ Ἀπόστολοι καταλαβόντες τὸ χωρίον Γεθσημανῆ, κατέθηκαν ἐν τῷ μνήματι τὸ ζωαρχικὸν Σῶμα. καὶ τρεῖς ἡμέρας προσμένουσιν ἐν αὐτῷ, τῶν γινομένων ἀπαύστως Ἀγγελικῶν φωνῶν ὑπακούοντες. Ἐπεὶ δὲ κατὰ θείαν οἰκονομίαν εἷς τῶν Ἀποστόλων ἀπολειφθεὶς τῆς κηδείας τοῦ ζωαρχικοῦ σώματος, τῇ τρίτῃ παραγέγονεν ἡμέρᾳ, ἠθύμει σφόδρα καὶ συνεχεῖτο, διὰ τὸ μὴ τῶν αὐτῶν καὶ αὐτὸν ἀξιωθῆναι, ὧν ἠξιώθησαν πάντες οἱ Συναπόστολοι· ὥστε κοινῇ ψήφῳ εἵνεκα τοῦ ἀπολειφθέντος Ἀποστόλου τὸν τάφον ἤνοιξαν, οὕτω δόξαν αὐτοῖς πᾶσιν, εἰς τὸ προσκυνῆσαι καὶ αὐτὸν τὸ Πανάγιον καὶ πανάμωμον ἐκεῖνο σκῆνος. Καὶ

ἰδόν-

ἰδόντες ἐξέςησαν. Εὗρον γὰρ αὐτὸν κενὸν τοῦ Ἁγίου Σώματος, μόνην δὲ τὴν σινδόνα φέροντα· παραμύθιον μάνασαν τοῖς λυπεῖσθαι μέλλουσι, καὶ πᾶσι τοῖς πιςοῖς, καὶ τῆς Μεταθέσεως ἀψευδὲς μαρτύριον. Καὶ γὰρ μέχρι τοῦ νῦν ὁ ἐν πέτρᾳ διαγλυφεὶς τάφος, ὅπως ὁρᾶται καὶ προσκυνεῖται, σώματος μένων κενὸς, εἰς δόξαν καὶ τιμὴν τῆς Ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ Ἀειπαρθένου Μαρίας. Ἧς ταῖς πρεσβείαις ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Τἀμῷ θυμῷ τε καὶ πυρὶ, θεῖος ἔρως ἀντιπαττόμενος· τὸ μὲν πῦρ ἐδρόσιζε, τῷ θυμῷ δὲ ἐγέλα· θεοπνεύςῳ λογικῇ, τῇ τῶν Ὁσίων τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος, μουσικοῖς ὀργάνοις ἐν μέσῳ φλογός· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτεύκτους πλάκας Μωϋσῆς, γεγραμμένας τῷ Θείῳ Πνεύματι, ἐν θυμῷ συνέτριψεν. ἀλλ᾽ ὁ τότε Δεσπότης, τὴν Τεκοῦσαν αὐτὸν, τοῖς οὐρανίοις φυλάξας δόμοις, νῦν εἰσῳκίσατο. σὺν αὐτῇ σκιρτῶντες βοῶμεν Χριστῷ· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐν κυμβάλοις χείλεσιν ἁγνοῖς, μουσικῇ τε καρδίας φόρμιγγι, ἐν εὐήχῳ σάλπιγγι, ὑψηλῆς διανοίας, τῆς Παρθένου καὶ Ἁγνῆς, ἐν τῇ ἀσήμῳ κλητῇ ἡμέρᾳ τῆς μεταςάσεως, πρακτικαῖς κροτοῦντες βοῶμεν χερσίν· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὁ Θεόφρων ἤθροισαι λαός. τῆς γὰρ δόξης Θεοῦ τὸ Σκήνωμα, ἐκ Σιὼν μεθίςαται πρὸς οὐράνιον δόμον· ἔνθα ἦχος καθαρὸς ἑορταζόντων, φωνὴ ἀφραςὸς ἀγαλλιάσεως· καὶ ἐν εὐφροσύνῃ βοώντων Χριστῷ· ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Εἱρμὸς ἄλλος.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει, οἱ Θεόφρονες παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλὴν, ἀνδρείως πατήσαντες, ἔχαιρον ψάλλοντες· Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Νεανίσκοι καὶ Παρθένοι, τῆς Παρθένου τε καὶ Θεομήτορος, τὴν μνήμην σέβοντες, Πρεσβῦται καὶ Ἄρχοντες, καὶ Βασιλεῖς σὺν Κριταῖς, μελῳδήσατε· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Σαλπισάτωσαν τῇ σάλπιγγι, τοῦ Πνεύματος, ὄρη Οὐράνια· ἀγαλλιάσθωσαν νῦν, βουνοί, καὶ σκιρτάτωσαν Θεῖοι Ἀπόςολοι. ἡ Βασίλισσα, πρὸς τὸν Υἱὸν μεθίςαται, Βασιλεύουσα σὺν αὐτῷ εἰς τοὺς αἰῶνας.

Ἡ Πανίερος μετάςασις τῆς θείας σου, καὶ ἀκηράτου Μητρὸς, τὰ ὑπερκόσμια, τῶν ἄνω Δυνάμεων ἤθροισε τάγματα, συνευφραίνεσθαι, τοῖς ἐπὶ γῆς σοι μέλπουσιν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Φλόγα δροσίζουσαν Ὁσίους, δυσσεβεῖς δὲ καταφλέγουσαν, Ἄγγελος Θεοῦ ὁ πανσθενὴς, ἔδειξε Παισί. ζωαρχικὴν πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου καὶ ζωὴν, βλυσάνουσαν τοῖς μέλπουσι· τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ῥήμασιν ἄχοντο τῆς θείας, Κιβωτοῦ τοῦ ἁγιάσματος, πᾶσα ἡ πληθὺς τῶν Θεολόγων ἐν τῇ Σιών· τοῦ νῦν αἰταίρας Σκηνὴ, κραυγάζοντες, Θεοῦ τοῦ ζῶντος· μὴ διαλίπῃς ἐποπτεύουσα, τοὺς πίςει μέλποντας· τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὢ πῶς ὑψώσασα τὰς χεῖρας, ἐκδημοῦσα ἡ Πανάμωμος, χεῖρας τὰς Θεὸν ἠγκαλισμένας σωματικῶς, ἐν παῤῥησίᾳ, ὡς Μήτηρ ἔφησε, πρὸς τὸν τεχθέντα· οὓς μοι ἐκτήσω, εἰς αἰῶνας φύλαττε βοῶντάς σοι· τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν.

Εἱρμὸς ἄλλος.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ Τόκος τῆς Θεοτόκου διεσώζετο· τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, τὴν Οἰκουμένην ἅπασαν ἤγειρε ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σὴν μνήμην σου Ἄχραντε Παρθένε, Ἀρχαί τε καὶ Ἐξουσίαι καὶ Δυνάμεις τε, Ἄγγελοι, Ἀρχάγγελοι, Θρόνοι, Κυριότητες, τὰ Χερουβὶμ δοξάζουσι, καὶ τὰ φρικτὰ Σεραφίμ· ἀνθρώπων δὲ τὸ γένος ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ ἀξίως οἰκήσας Θεοτόκε, ἐν τῇ ἀχράντῳ νηδύϊ σου σαρκούμενος, αὐτὸς τὸ πανίερον, Πνεῦμά σου δεξάμενος, ἐν ἑαυτῷ κατέπαυσεν, ὡς ὀφειλέτης Υἱός. διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὢ Τῶν ὑπὲρ ἔννοιαν θαυμάτων, τῆς Ἀειπαρθένου τε καὶ Θεομήτορος. τάφον γὰρ οἰκήσασα, ἔδειξε Παράδεισον. ᾧ παρεστῶτες σήμερον, χαίροντες ψάλλομεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα.

Ὠδὴ θ'.

Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε τὴν μόνην Θεοτόκον. Ὁ Εἱρμός.

Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε Ἄχραντε. Παρθενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. ἡ μετὰ τόκον Παρθένος, καὶ μετὰ θάνατον ζῶσα, σώζεις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

Ἐξίσταντο Ἀγγέλων αἱ Δυνάμεις, ἐν τῇ Σιὼν σκοπούμεναι, τὸν οἰκεῖον Δεσπότην, γυναικείαν ψυχὴν χειριζόμενον. τῇ γὰρ ἀχράντως τεκούσῃ, Υἱοπρεπῶς προσεφώνει· δεῦρο Σεμνή, τῷ Υἱῷ καὶ Θεῷ συνδοξάσθητι.

Ἐξέστησε χορὸς τῶν Ἀποστόλων, τὸ Θεοδόχον Σῶμά σου, μετὰ δέους ὁρῶντες, καὶ φωνῇ λιγυρᾷ προσφθεγγόμενοι· εἰς οὐρανίους θαλάμους, πρὸς τὸν Υἱὸν ἐκφοιτῶσα, σώζεις ἀεί, Θεοτόκε τὴν κληρονομίαν σου.

Ἄλλος.

Ἄγγελοι τὴν Κοίμησιν τῆς Παναγνοῦ. ὁρῶντες ἐξεπλήττοντο· πῶς ἡ Παρθένος ἀπαίρει, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Ὁ Πᾶς γηγενής, σκιρτάτω τῷ Πνεύματι λαμπαδουχούμενος. πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὴν ἱερὰν Μετάστασιν τῆς Θεομήτορος. καὶ βοάτω· χαίροις Παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.

Δεῦτε ἐν Σιών, τῷ θείῳ καὶ πίονι ὄρει τοῦ ζῶντος Θεοῦ, ἀγαλλιασώμεθα, τὴν Θεοτόκον ἐνοπτριζόμενοι· πρὸς γὰρ τὴν λίαν κρείττονα, καὶ θειοτέραν σκηνήν, ὡς Μητέρα, ταύτην εἰς τὰ Ἅγια, τῶν Ἁγίων Χριστὸς μετατίθησι.

Δεῦτε οἱ πιστοί, τῷ τάφῳ προσέλθωμεν τῆς Θεομήτορος, καὶ περιπτυξώμεθα, καρδίας χείλη, ὄμματα μέτωπα, εἰλικρινῶς προσάπτοντες, καὶ ἀρυσώμεθα, ἰαμάτων, ἄφθονα χαρίσματα, ἐκ πηγῆς ἀεννάου βλυζάνοντα.

Δέχου παρ' ἡμῶν, ᾠδὴν τὴν ἐξόδιον, Μῆτερ τοῦ ζῶντος Θεοῦ· καὶ τῇ φωτοφόρῳ σου, καὶ θείᾳ ἐπισκίασον χάριτι. τῷ Βασιλεῖ τὰ τρόπαια, τῷ φιλοχρίστῳ λαῷ, τὴν εἰρήνην, ἄφεσιν τοῖς μέλπουσι, καὶ ψυχῶν σωτηρίαν βραβεύουσα.

Ἐξαποστειλάριον, ἐκ τρίτου.

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ Σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ Πνεῦμα.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή, ἱστῶμεν στιχ. δ'. ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῇ ἐνδόξῳ Κοιμήσει σου, Οὐρανοὶ ἐπαγάλλονται, καὶ Ἀγγέλων γέγηθε τὰ στρατεύματα. πᾶσα ἡ γῆ δὲ εὐφραίνεται, ᾠδήν σοι ἐξόδιον, προσφωνοῦσα τῇ Μητρὶ, τοῦ τῶν ὅλων Δεσπόζοντος· Ἀπειρόγαμε, Παναγία Παρθένε ἡ τὸ γένος, τῶν ἀνθρώπων ῥυσαμένη, προγονικῆς ἀποφάσεως. Δίς.

Ἐκ περάτων συνέδραμον, Ἀποστόλων οἱ πρόκριτοι, Θεαρχίῳ νεύματι τοῦ κηδεῦσαί σε· καὶ ἀπὸ γῆς αἰρομένην σε, πρὸς ὕψος θεώμενοι, τὴν φωνὴν τοῦ Γαβριήλ, ἐν χαρᾷ ἀνεβόων σοι· χαῖρε Ὄχημα, τῆς Θεότητος ὅλης· χαῖρε μόνη, τὰ ἐπίγεια τοῖς ἄνω, τῷ τοκετῷ σου συνάψασα.

Τὴν ζωὴν ἡ Κυήσασα, πρὸς ζωὴν μεταβέβηκας, τῇ σεπτῇ Κοιμήσει σου τὴν ἀθάνατον· δορυφορούντων Ἀγγέλων σοι, Ἀρχῶν καὶ Δυνάμεων, Ἀποστόλων Προφητῶν, καὶ ἁπάσης τῆς Κτίσεως, δεχομένου τε ἀκηράτοις παλάμαις τοῦ Υἱοῦ σου, τὴν ἀμώμητον Ψυχήν σου, Παρθενομῆτορ Θεόνυμφε.

Δόξα, καὶ νῦν, ἦχος πλ. β'.

Τῇ ἀθανάτῳ σου Κοιμήσει, Θεοτόκε Μήτηρ τῆς ζωῆς, νεφέλαι τοὺς Ἀποστόλους, αἰθερίους διήρπαζον· καὶ κοσμικῶς διεσπαρμένους, ὁμοχώρους παρέστησαν τῷ ἀχράντῳ σου Σώματι· οἳ καὶ κηδεύσαντες σεπτῶς, τὴν φωνὴν τοῦ Γαβριήλ, μελῳδοῦντες ἀνεβόων· χαῖρε Κεχαριτωμένη, Παρθένε Μήτηρ Ἀνύμφευτε. ὁ Κύριος μετὰ σοῦ. μεθ' ὧν, ὡς Υἱόν σου καὶ Θεὸν ἡμῶν, ἱκέτευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Δίδοται καὶ ἅγιον ἔλαιον τοῖς Ἀδελφοῖς.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τοῦ Κανόνος, Ὠδὴ γ'. καὶ ς'. τὸν δὲ Ἀπόστολον, καὶ τὸ Εὐαγγέλιον, Ζήτει Σεπτεμβρίῳ η'. Φύλλ. 32.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Μηνὶ τῷ αὐτῷ ΙϚ΄.

Ἡ ἐξ Ἐδέσης ἀνακομιδὴ τῆς ἀχειροποιήτου Εἰκόνος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἤτοι τοῦ Ἁγίου Μανδηλίου· καὶ τοῦ Ἁγίου Μάρτυρος Διομήδους.

Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχ. προσόμοια τῆς Ἁγίας Εἰκόνος, ἦχος β΄. Ποίοις εὐφημιῶν.

Ποίοις οἱ γηγενεῖς ὄμμασιν, ἐποψόμεθά σου τὴν Εἰκόνα; ἣν τὰ τῶν Ἀγγέλων στρατεύματα, βλέπειν ἀδεῶς οὐ δεδύνηνται, θεϊκῷ φωτὶ ἀστραπτομένην. ἀπαίρει γάρ, ἀπὸ γῆς ἀπίστων σήμερον· καὶ πόλιν, πρὸς βασιλίδα καὶ λαὸν εὐσεβῆ, ἐπιδημεῖ θείᾳ νεύσει· ἧς περ τῇ εἰσόδῳ ἐπιφαίνονται βασιλεῖς, προσπίπτοντες ταύτῃ, μετὰ φόβου Χριστὲ καὶ πίστεως.

Ποίαις οἱ χοϊκοὶ ψαύσομεν, τῆς Εἰκόνος σου Λόγε παλάμαις; οἱ ῥερυπωμένοι τοῖς πταίσμασι, τοῦ ἀναμαρτήτου Θεοῦ ἡμῶν· οἱ ἐν μολυσμοῖς τοῦ ἀπροσίτου. καλύπτει, τὰ Χερουβὶμ τὰς ὄψεις τρέμοντα· οὐ φέρει, τὰ Σεραφὶμ ὁρᾶν τὴν δόξαν σου· φόβῳ δουλεύει σοι Κτίσις. μὴ οὖν κατακρίνῃς ἀναξίως σοῦ τὴν μορφήν, Χριστὲ τὴν φρικτήν, ἀσπαζομένους ἡμᾶς ἐκ πίστεως.

Πάλιν Δεσποτικῆς πάρεστι, πανηγύρεως θεία ἡμέρα. ὁ γὰρ ἐν ὑψίστοις καθήμενος, νῦν ἡμᾶς σαφῶς ἐπεσκέψατο, διὰ τῆς σεπτῆς αὐτοῦ Εἰκόνος. ὁ ἄνω, τοῖς Χερουβὶμ ὢν ἀθεώρητος, ὁρᾶται, διὰ γραφῆς οἷς περ ὡμοίωται. Πατρὸς ἀχράντῳ δακτύλῳ, μορφωθεὶς ἀρρήτως, καθ' ὁμοίωσιν τὴν αὐτοῦ. ἣν πίστει καὶ πόθῳ, προσκυνοῦντες ἁγιαζόμεθα.

Εἶτα τοῦ Ἁγίου γ΄. καὶ ζήτει ταῦτα, καὶ τὴν λοιπὴν Ἀκολουθίαν εἰς Μάρτυρα.

Δόξα, καὶ νῦν. τῆς Ἑορτῆς.

Μηνὶ τῷ αὐτῷ ΙΖ΄.

Τοῦ Ἁγίου Μάρτυρος Μύρωνος.

Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχ. προσόμοια τῆς Ἑορτῆς γ΄. ἦχος πλ. β΄.

Τριήμερος ἀνέστης Χριστέ.

Ῥημάτων τοῦ σεπτοῦ Γαβριήλ, τὸ χαῖρέ σοι βοῶμεν Ἁγνή, μεμνημένοι. ἀλλ' ὦ Ἄχραντε σεμνή, καὶ Μήτηρ τοῦ Κυρίου, πρὸς τοῦτον μεταστᾶσα, μνείαν ποίει τῶν εὐφημούντων σε.

Ἡ Ἄπορος Σοφία Θεοῦ, τὸν οἶκον ἑαυτῆς ὑπὲρ νοῦν, Θεοτόκε, ᾠκοδόμησεν ἐκ σοῦ, ἐν Πνεύματι Ἁγίῳ· καὶ νῦν σε πρὸς αὔλους, σκηνὰς μετέθηκε Πανύμνητε.

Ἱκέτης νῦν προσέρχομαι, σοὶ τῇ Μητρὶ τοῦ πάντων Θεοῦ, λυτρωθῆναι, ἐκ παντοίων πειρασμῶν· ἀλλ' ὦ Θεογεννῆτορ, σώζουσα τῷ Τόκῳ σου, Χριστιανῶν τὸ γένος φύλαττε.

Καὶ τοῦ Ἁγίου ζήτει εἰς Μάρτυρας.

Δόξα, καὶ νῦν, τῆς Ἑορτῆς. ἦχος β΄.

Ἡ τῶν Οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα. Ζήτει εἰς τὴν Λιτήν.

Ἀπόστ. ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.

Δῆμος τῶν Μαθητῶν, ἠθροίσθη ἐκ περάτων, σὺν τοῖς σεπτοῖς Ἀγγέλοις, Μῆτερ Θεοῦ κηδεῦσαι, τὸ θεοδόχον Σῶμά σου.

Στίχ. Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου.

Δεῦτε οἱ γηγενεῖς, στησώμεθα χορείαν, ἐξόδια βοῶντες, ἐπὶ τῇ μεταστάσει, τῆς Θεοτόκου σήμερον.

Στίχ. Ὤμοσε Κύριος τῷ Δαβίδ.

Σῶμά σου τῇ φθορᾷ, ἀπρόσιτον ὑπῆρξε, καὶ πρὸς ταφὴν ἐδόθη, τῆς φύσεως τῷ νόμῳ· μένει δὲ ἀδιάφθορον.

Δόξα, καὶ νῦν. ἦχος β΄.

Ἡ Παναμώμος Νύμφη. Ζήτει εἰς τὴν Λιτήν. Ταῦτα ψάλλονται ἄχρι τῆς ἀποδόσεως τῆς Ἑορτῆς, ὡς μεθέορτα.

Μηνὶ τῷ αὐτῷ ιη΄.

Τῶν Ἁγίων Μαρτύρων Φλώρου, καὶ Λαύρου. ἡ Ἀκολουθία τῆς Ἑορτῆς. καὶ τῶν Ἁγίων· ζήτει εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ ιθ΄.

Τῶν Ἁγίων Μαρτύρων, Ἀνδρέου τοῦ Στρατηλάτου, καὶ τῶν σὺν αὐτῷ δισχιλίων πεντακοσίων ἐννενήκοντα τριῶν. ἡ Ἀκολουθία τῆς Ἑορτῆς. καὶ τῶν Ἁγίων· ζήτει εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ κ΄.

Τοῦ Ἁγίου Προφήτου Σαμουήλ. ἡ Ἀκολουθία τῆς Ἑορτῆς. καὶ τοῦ Ἁγίου· ζήτει εἰς Προφήτην.

Μηνὶ τῷ αὐτῷ κα΄.

Τοῦ Ἁγίου Ἀποστόλου Θαδδαίου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀπόστολον.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μηνὶ τῷ αὐτῷ κβʹ.

Τοῦ Ἁγίου Μάρτυρος Ἀγαθονίκου. Τῇ αὐτῇ ἡμέρᾳ ψάλλομεν καὶ τὴν Ἀκολουθίαν τοῦ Ἁγίου Μάρτυρος Λούππου, διὰ τὸ ἐν τῇ κγʹ. ἀποδίδοσθαι τὴν Ἑορτήν. καὶ ζήτει τὴν Ἀκολουθίαν τῶν Ἁγίων εἰς Μάρτυρας.

Μηνὶ τῷ αὐτῷ κγʹ.

Τοῦ Ἁγίου Μάρτυρος Λούππου. Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἀποδίδοται ἡ Ἑορτή· καὶ ζήτει πάντα εἰς τὴν ἡμέραν τῆς Ἑορτῆς.

Μηνὶ τῷ αὐτῷ κδʹ.

Τοῦ Ἁγίου Ἱερομάρτυρος Εὐτυχοῦς, Μαθητοῦ τοῦ Ἁγίου Ἰωάννου τοῦ Θεολόγου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἱερομάρτυρα.

Μηνὶ τῷ αὐτῷ κεʹ.

Ἡ ἐπάνοδος τοῦ Λειψάνου τοῦ Ἁγίου Ἀποστόλου Βαρθολομαίου· καὶ τοῦ Ἁγίου Ἀποστόλου Τίτου. ζήτει τὴν Ἀκολουθίαν εἰς Ἀποστόλους.

Μηνὶ τῷ αὐτῷ κϛʹ.

Τῶν Ἁγίων Μαρτύρων Ἀδριανοῦ, καὶ Ναταλίας. ζήτει τὴν Ἀκολουθίαν εἰς Μάρτυρας.

Εἰς τὰς κζʹ. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ποιμένος. ζήτει τὴν Ἀκολουθίαν εἰς Ὅσιον.

Εἰς τὰς κηʹ. Τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μωϋσέως τοῦ Αἰθίοπος. ζήτει εἰς Ὅσιον.

Μηνὶ τῷ αὐτῷ ΚΘʹ.

Ἡ Ἀποτομὴ τῆς τιμίας Κεφαλῆς τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Ἑσπέρας, μετὰ τὸν προοιμιακὸν Ψαλμόν, στιχολογοῦμεν τὸ αʹ. Ἀντίφωνον, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ηʹ. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα. ἦχος πλ. βʹ.

Δεύτερον τοῦ αὐτοῦ. Ἰωάννου Μοναχοῦ.

Γενεθλίων τελουμένων, τοῦ ἀναιδεστάτου Ἡρώδου, τῆς ἀσελγοῦς ὀρχιστρίδος, ἐπληροῦτο ἡ διάθεσις τοῦ ὅρκου. τοῦ γὰρ Προδρόμου ἡ Κεφαλὴ ἀποτμηθεῖσα, ὡς ὀψώνιον ἐφέρετο ἐπὶ πίνακι τοῖς ἀνακειμένοις. ὢ συμποσίου μισητοῦ, ἀνοσιουργήματος, καὶ μιαιφονίας πλήρους. ἀλλ᾽ ἡμεῖς τὸν Βαπτιστήν, ὡς ἐν γεννητοῖς γυναικῶν μείζονα, ἐπαξίως τιμῶντες μακαρίζομεν. Ὁ αὐτός.

Ὠρχήσατο ἡ μαθήτρια τοῦ παμπονήρου διαβόλου, καὶ τὴν Κεφαλήν σου Πρόδρομε, μισθὸν ἀφῄρετο. ὢ συμποσίου πλήρους αἱμάτων. εἴθε μὴ ὤμοσας Ἡρώδη ἄνομε, ψεύδους ἔκγονε· εἰ δὲ καὶ ὤμοσας, μὴ εὐορκήσας. κρεῖττον γὰρ ψευσάμενον ζωῆς ἐπιτυχεῖν, καὶ μὴ ἀληθεύσαντα, τὴν Κάραν τοῦ Προδρόμου ἀποτεμεῖν. ἀλλ᾽ ἡμεῖς τὸν Βαπτιστὴν ὡς ἐν γεννητοῖς γυναικῶν μείζονα, ἐπαξίως τιμῶντες μακαρίζομεν. Ὁ αὐτός.

Οὐκ ἔδει σε ὦ Ἡρώδη, τὸν τῆς μοιχείας ἔλεγχον, δι᾽ ἔρωτα σατανικόν, καὶ οἶστρον θηλυμανίας, θανάτῳ κατακρῖναι. οὐκ ἔδει σε τούτου τὴν πάντιμον Κάραν, παρανόμῳ γυναικί, δι᾽ ὅρκον ὀρχήσεως, παραδοῦναι σφαλερῶς. ὢ πῶς ἐτόλμησας τοιοῦτον φόνον τελέσαι; πῶς δὲ οὐ κατεφλέχθη ἡ ἀσελγὴς ὀρχίστρια, ἐν μέσῳ τοῦ συμποσίου, ἐπὶ πίνακι βαστάζουσα ταύτην; ἀλλ᾽ ἡμεῖς τὸν Βαπτιστήν, ὡς ἐν γεννητοῖς γυναικῶν μείζονα, ἐπαξίως τιμῶντες μακαρίζομεν.

Ὁ αὐτός.

Πάλιν Ἡρωδιὰς μαίνεται, πάλιν ταράττεται. ὢ ὄρχισμα δόλιον, καὶ πότος μετὰ δόλου. ὁ Βαπτιστὴς ἀπετέμνετο, καὶ Ἡρώδης ἐταράττετο. πρεσβείαις Κύριε τοῦ σοῦ Προδρόμου, τὴν εἰρήνην παράσχου ταῖς ψυχαῖς ἡμῶν.

Δόξα, τὸ αʹ. Γενεθλίων τελουμένων.

Καὶ νῦν, Θεοτοκίον. Τίς μὴ μακαρίσει σε.

Εἴσοδος. τὸ Προκείμενον τῆς ἡμέρας. καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· παρακαλεῖτε, παρακαλεῖτε τὸν Λαόν μου, λέγει ὁ Θεός. Οἱ Ἱερεῖς λαλήσατε εἰς τὴν καρδίαν Ἱερουσαλήμ. Παρακαλέσατε αὐτήν, ὅτι ἐπλήσθη ἡ ταπείνωσις αὐτῆς. Λέλυται γὰρ αὐτῆς ἡ ἁμαρτία, ὅτι ἐδέξατο ἐκ χειρὸς Κυρίου διπλᾶ τὰ ἁμαρτήματα αὐτῆς. Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, εὐθείας ποιεῖτε τὰς τρίβους τοῦ Θεοῦ ἡμῶν. Πᾶσα φάραγξ πληρωθήσεται, καὶ πᾶν ὄρος καὶ βουνὸς ταπεινωθήσεται. Καὶ ἔσται τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. Καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ. Ἐπ᾽ ὄρους ὑψηλοῦ ἀνάβηθι ὁ εὐαγγελιζόμενος Σιών. ὕψωσον ἐν ἰσχύϊ τὴν φωνήν σου ὁ εὐαγγελιζόμενος Ἱερουσαλήμ. Ὑψώσατε, μὴ φοβεῖσθε. ἐγὼ Κύριος ὁ Θεός. Ἐγὼ ἐπακούσομαι ὁ Θεὸς Ἰσραήλ, καὶ οὐκ ἐγκαταλείψω

αὐτούς·

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

αὐτούς, ἀλλὰ ἀνοίξω ἐκ τῶν ὀρέων ποταμούς, καὶ ἐν μέσῳ πεδίων πηγάς. ποιήσω τὴν ἔρημον εἰς ἕλη, καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς. Εὐφρανθήτω ὁ Οὐρανὸς ἄνωθεν, καὶ αἱ νεφέλαι ῥανάτωσαν δικαιοσύνην. Ἀνατειλάτω ἡ γῆ, καὶ βλαστησάτω ἔλεος, καὶ δικαιοσύνη ἀνατειλάτω ἅμα. φωνὴν εὐφροσύνης ἀναγγείλατε ἕως ἐσχάτου τῆς γῆς, καὶ ἀκουστὸν γενέσθω τοῦτο. Λέγετε, ὅτι ἐῤῥύσατο Κύριος τὸν δοῦλον αὐτοῦ Ἰακώβ. καὶ ἐὰν διψήσωσι δι' ἐρήμων, ἄξει αὐτοῖς ὕδωρ ἐκ πέτρας. Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον, καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

Προφητείας Μαλαχίου τὸ Ἀνάγνωσμα.

Κεφ. Τάδε λέγει Κύριος Παντοκράτωρ· Ἰδοὺ
γ΄. 1. ἐγὼ ἐξαποστελῶ τὸν Ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. Καὶ ἥξει εἰς τὸν Ναὸν αὐτοῦ Κύριος, ὃν ὑμεῖς ζητεῖτε. Καὶ τίς ὑπομενεῖ ἡμέραν εἰσόδου αὐτοῦ; ἢ τίς ὑποστήσεται ἐν τῇ ὀπτασίᾳ αὐτοῦ; Διότι αὐτὸς εἰσπορεύεται ὡς πῦρ ἐν χωνευτηρίῳ, καὶ ὡς πόα πλυνόντων. Καὶ καθιεῖται χωνεύων, καὶ καθαρίζων αὐτὸν ὡς τὸ ἀργύριον καὶ τὸ χρυσίον. Καὶ προσελεύσεται πρὸς ἡμᾶς ἐν κρίσει. καὶ ἔσται μάρτυς ταχὺς ἐπὶ τοὺς πονηρούς, καὶ ἐπὶ τὰς μοιχαλίδας, καὶ ἐπὶ τοὺς ὀμνύοντας τῷ ὀνόματι αὐτοῦ ἐπὶ ψευδεῖ, καὶ τοὺς μὴ φοβουμένους αὐτόν, λέγει Κύριος Παντοκράτωρ. Διότι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, καὶ οὐκ ἠλλοίωμαι. καὶ ὑμεῖς Υἱοὶ Ἰακώβ, ἐξεκλίνατε νόμιμα, καὶ οὐκ ἐφυλάξατε. Διὰ τοῦτο ἐπιστρέψατε πρός με, καὶ ἐπιστραφήσομαι πρὸς ὑμᾶς, λέγει Κύριος Παντοκράτωρ. Καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη. καὶ γνώσεσθε, ὅτι ἐγὼ Κύριος, ἐπιβλέπων ἀναμέσον δικαίου, καὶ ἀναμέσον ἀνόμου, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ᾗ ἐγὼ ποιῶ εἰς περιποίησιν τῶν ἀγαπώντων με. Ἐπίγνωτε οὖν, καὶ μνήσθητε τοῦ νόμου Μωσῆ τοῦ δούλου μου, καθότι ἐνετειλάμην αὐτῷ ἐν Χωρήβ, πρὸς πάντα τὸν Ἰσραήλ, προστάγματα καὶ δικαιώματα. καὶ ἰδοὺ ἐγὼ ἀποστελῶ ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, πρὶν ἢ ἐλθεῖν τὴν ἡμέραν Κυρίου, τὴν μεγάλην καὶ ἐπιφανῆ. Ὃς ἀποκαταστήσει καρδίαν Πατρὸς πρὸς Υἱόν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ· Μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην. λέγει Κύριος Παντοκράτωρ, ὁ Θεὸς ὁ Ἅγιος Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀ- Κεφ.
ναπαύσει ἔσται. Κατακρινεῖ δίκαιος ἀ- δ΄. 7.
ποθανὼν τοὺς ζῶντας ἀσεβεῖς. Ὄψονται γὰρ τελευτὴν δικαίου, καὶ οὐ μὴ συνήσουσι τί ἐβουλεύσατο περὶ αὐτοῦ. ὅτι ῥήξει Κύριος τοὺς ἀσεβεῖς ἀφώνους πρηνεῖς, καὶ σαλεύσει αὐτοὺς ἐκ θεμελίων· καὶ ἕως ἐσχάτου χερσωθήσονται ἐν ὀδύνῃ, καὶ ἡ μνήμη αὐτῶν ἀπολεῖται. Ἐλεύσονται γὰρ ἐν συλλογισμῷ ἁμαρτημάτων αὐτῶν δειλοί, καὶ ἐλέγξει αὐτοὺς ἐξ ἐναντίας τὰ ἀνομήματα αὐτῶν.
Τότε στήσεται ἐν παῤῥησίᾳ πολλῇ ὁ δίκαιος, Κεφ.
κατὰ πρόσωπον τῶν θλιψάντων αὐτόν, καὶ τῶν ε΄. 1.
ἀθετούντων τοὺς πόνους αὐτοῦ. Ἰδόντες αὐτόν, ταραχθήσονται φόβῳ δεινῷ, καὶ ἐκστήσονται ἐπὶ τῷ παραδόξῳ τῆς σωτηρίας αὐτοῦ. Ἐροῦσι γὰρ ἐν ἑαυτοῖς μετανοοῦντες, καὶ διὰ στενοχωρίαν στενάξουσι, καὶ ἐροῦσιν· Οὗτος ἦν ὃν ἔχομέν ποτε εἰς γέλωτα, καὶ εἰς παραβολὴν ὀνειδισμοῦ οἱ ἄφρονες; Τὸν βίον αὐτοῦ ἐλογισάμεθα μανίαν, καὶ τὴν τελευτὴν αὐτοῦ ἄτιμον. Πῶς δὲ κατελογίσθη ἐν Υἱοῖς Θεοῦ, καὶ ἐν Ἁγίοις ὁ κλῆρος αὐτοῦ ἐστιν; Ἄρα ἐπλανήθημεν ἀπὸ ὁδοῦ ἀληθείας, καὶ τὸ τῆς δικαιοσύνης φῶς οὐκ ἐπέλαμψεν ἡμῖν, καὶ ὁ Ἥλιος οὐκ ἀνέτειλεν ἡμῖν. Ἀνομίας ἐπλήσθημεν τρίβοις, καὶ ἀπωλείας· καὶ ὡδεύσαμεν τρίβους ἀβάτους· τὴν δὲ ὁδὸν Κυρίου οὐκ ἔγνωμεν.

Εἰς τὴν Λιτήν, Στιχηρὰ Ἰδιόμελα, Ἦχος α΄. Γερμανοῦ Πατριάρχου.

Τί σε καλέσωμεν Προφῆτα; Ἄγγελον; Ἀπόστολον; ἢ Μάρτυρα; Ἄγγελον, ὅτι ὡς ἀσώματος διῆξας. Ἀπόστολον, ὅτι ἐμαθήτευσας τὰ ἔθνη. Μάρτυρα δέ, ὅτι σοῦ ἡ Κεφαλὴ ὑπὲρ Χριστοῦ ἐτμήθη. αὐτὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Τῆς ἀποτμηθείσης Κεφαλῆς τοῦ Προδρόμου, τὰ μνημόσυνα τελέσωμεν. ποτὲ μὲν ἐπὶ πίνακι ἐκβλυζούσης αἵματα, νυνὶ δὲ ἐν τοῖς πέρασι, προχεούσης ἰάματα.

Ὁ αὐτός.

Σήμερον ἡ ἀνοσιουργότροπος μήτηρ τοῦ φόνου, τὴν ἐξ ἀνόμου συμπλοκῆς αὐτῆς παντσελγῆ θυγατέρα, κατὰ τοῦ πάντων τῶν



Δημόσια Κεντρική Βιβλιοθήκη

Προφητῶν Θεοπροκρίτου μείζονος, φονοτρόπῳ συμβολῇ ἐσημειώσατο. τοῦ γὰρ ἐχθίστου Ἡρώδου τελοῦντος συμπόσιον, τοῦ ἑαυτοῦ ἀθεμίτου γενεθλίου, μεθ' ὅρκου αἰτήσασθαι παρεσκεύασε, τὴν θαυματόβρυτον τοῦ Θεοκήρυκος τιμίαν Κεφαλήν· ὃ καὶ τετέλεκεν ὁ παράφρων, θυμελικοῦ ὀρχίσματος, δοὺς αὐτῇ ἀντίμισθον ἀορκίας χάριν· ὅμως οὐκ ἐπαύσατο ὁ μύστης τῆς Χριστοῦ παρουσίας, τὴν θεόζυγον μίξιν αὐτῶν, καὶ μετὰ τὸ τέλος στηλιτεύειν. ἀλλ' ἐλέγχων ἐβόα· οὐκ ἔξεστί σοι λέγων, μοιχεύειν τοῦ ἀδελφοῦ σου Φιλίππου τὴν γυναῖκα. ὢ γενεθλίου προφητοκτόνου, καὶ αἱμάτων γέμοντος συμποσίου. Ἡμεῖς δὲ εὐσεβοφρόνως, ἐν τῇ ἀποτομῇ τοῦ Προδρόμου, λευχειμονοῦντες ἑορτάσωμεν, ὡς ἐν ἐπισήμῳ ἡμέρᾳ ἀγαλλιώμενοι· καὶ αἰτησώμεθα τοῦτον, ἐξευμενίσαι τῇ Τριάδι· τῶν παθῶν τῆς ἀτιμίας ῥύσασθαι ἡμᾶς, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος πλ. α'. Ἰωάννου Μοναχοῦ.

Τῆς ἀνόμου πράξεως, τοὺς ἐλέγχους ἐκφυγεῖν ὁ Ἡρώδης βουληθεὶς, τὴν Κεφαλήν σου Πρόδρομε, παρανόμῳ γυναικὶ παρεδίδου σφαλερῶς. οὐ γὰρ ἐπέγνω ὁ δείλαιος στηλιτεύων ἑαυτὸν, ἐπὶ δίσκου περιφέρων αὐτήν. ἀλλ' ὡς ἀγνείας πρακτικὸς Διδάσκαλος, καὶ μετανοίας ὁδηγὸς σωτήριος, πρέσβευε Βαπτιστὰ τῷ Χριστῷ, ἐκ τῶν παθῶν τῆς ἀτιμίας λυτρώσασθαι ἡμᾶς. Καὶ νῦν, Θεοτ.

Εἰς τὸν στίχ. στιχ. Ἰδιόμελα, ἦχος β'.

Τῆς μετανοίας ὁ Κήρυξ, Ἰωάννη Βαπτιστὰ, ἐκτμηθείς σου τὴν Κάραν, τὴν γῆν ἡγίασας. ὅτι τὸν νόμον τοῦ Θεοῦ τοῖς πιστοῖς ἐτράνωσας, καὶ παρανομίαν ἐξηφάνισας. ὡς παρεστηκὼς τῷ θρόνῳ τοῦ ἐπουρανίου Βασιλέως Χριστοῦ, αὐτὸν ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Δίκαιος ὡς φοίνιξ ἀνθήσει.

Διὰ τὸν νόμον Κυρίου, τὴν Κεφαλὴν ἀπετμήθης, ὦ Παναγίε Ἰωάννη. ἤλεγξας Βασιλέα δυσσεβῆ παρανομήσαντα, παῤῥησίᾳ ἀμέμπτῳ. διὸ θαυμάζουσί σε στρατιαὶ τῶν Ἀγγέλων· δοξάζουσί σε χοροὶ τῶν Ἀποστόλων, καὶ Μαρτύρων· τιμῶμέν σου καὶ ἡμεῖς, τὴν ἐτήσιον μνήμην πανένδοξε. δοξάζοντες τὴν Ἁγίαν Τριάδα, τὴν σὲ στεφανώσασαν, Πρόδρομε μακάριε.

Στίχ. Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Ὁ ἐκ Προφήτου Προφήτης, καὶ μείζων Προφητῶν γενόμενος· ἐκ κοιλίας Μητρὸς, ὁ ἡγιασμένος εἰς ὑπουργίαν Κυρίου· σήμερον ὑπ' ἀνόμου Βασιλέως, τὴν Κάραν ἀπετμήθη. καὶ τὴν ἀσέμνως ὀρχησαμένην κόρην, τρανῶς καὶ πρὸ τῆς ἐκτομῆς, καὶ μετὰ τὴν ἐκτομὴν διελέγξας, ἤχωσε τῆς ἁμαρτίας τὴν φάλαγγα. καὶ διὰ τοῦτο βοῶμεν· Βαπτιστὰ Ἰωάννη, ὡς ἔχων παῤῥησίαν, ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος πλ. δ'.

Πρόδρομε τοῦ Σωτῆρος, σὺ Βασιλεῖς ἤλεγξας, παρανομίαν μὴ ἐργάζεσθαι. διὸ παίγνιον ἀνόμου γυναικὸς, ἔπεισε τὸν Ἡρώδην ἀποτεμεῖν σου τὴν Κεφαλήν. καὶ διὰ τοῦτο, ἀπὸ ἀνατολῶν Ἡλίου μέχρι δυσμῶν, αἰνετὸν τὸ ὄνομά σου. παῤῥησίαν ἔχων πρὸς Κύριον, ἐκτενῶς ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτ. Ἀνύμφευτε Παρθένε.

Ἀπολυτίκιον, ἦχος β'.

Μνήμη δικαίου μετ' ἐγκωμίων· σοὶ δὲ ἀρκέσει ἡ μαρτυρία τοῦ Κυρίου Πρόδρομε. ἀνεδείχθης γὰρ ὄντως, καὶ Προφητῶν σεβασμιώτερος, ὅτι καὶ ἐν ῥείθροις βαπτίσαι κατηξιώθης τὸν κηρυττόμενον. ὅθεν τῆς ἀληθείας ὑπεραθλήσας, χαίρων εὐηγγελίσω καὶ τοῖς ἐν Ἅδῃ, Θεὸν φανερωθέντα ἐν σαρκί· τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ Κόσμου, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Εἰς τὸν Ὄρθρον, ἡ συνήθης στιχολ. μετὰ τὴν α'. στιχολ. καθ. ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Τὸν μεσίτην συμφώνως Νόμου καὶ Χάριτος, οἱ πιστοὶ συνελθόντες ἀνευφημήσωμεν, ὅτι μετάνοιαν ἡμῖν προεκήρυξε· καὶ Ἡρώδην ἐμφανῶς, στηλιτεύσας θαῤῥηκῶς, τὴν Κάραν αὐτοῦ ἐτμήθη. καὶ ἄρτι ζῶν μετ' Ἀγγέλων, Χριστῷ πρεσβεύει τοῦ σωθῆναι ἡμᾶς.

Δόξα, τὸ αὐτό. Καὶ νῦν. Θεοτ. Ὅμοιον.

Τὸ ἐξαίσιον θαῦμα τὸ τῆς συλλήψεως, καὶ ὁ ἄφρασος τόκος ὁ τῆς λοχείας σου, ἐν σοὶ ἐγνώρισαι Ἁγνὴ Ἀειπάρθενε. καταπλήττει μου τὸν νοῦν, καὶ ἐξίστησι τὸν λογισμόν. ἡ δόξα σου Θεοτόκε, τοῖς πᾶσιν ἐφαπλωμένη, πρὸς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Μετὰ τὴν β΄. στίχ. Κάθισμα. ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

ΤΟν ἐκ μήτρας Προφήτην ἀναδειχθέντα ἡμῖν, καὶ ἐκ στείρας φωστῆρα τῇ Οἰκουμένῃ φαιδρῶς, προελθόντα, ἐν ᾠδαῖς ἀνυμνήσωμεν, τοῦ Χριστοῦ τὸν Βαπτιστήν, καὶ νικηφόρον Ἀθλητήν, τὸν Πρόδρομον Ἰωάννην. πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Θεοτοκίον. Ὅμοιον.

ΤΗν ταχεῖαν σου σκέπην καὶ τὴν βοήθειαν, καὶ τὸ ἔλεος δεῖξον ἐπὶ τὸν δοῦλόν σου· καὶ τὰ κύματα Ἁγνὴ καταπράϋνον, τῶν ματαίων λογισμῶν· καὶ τὴν πεσοῦσάν μου ψυχήν, ἀνάστησον Θεοτόκε. οἶδα γὰρ οἶδα Παρθένε, ὅτι ἰσχύεις ὅσα καὶ βούλοιο.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. ἦχος πλ. δ΄.

Τὴν Σοφίαν καὶ Λόγον.

ΕΚ τῆς στείρας ἐκλάμψας ψήφῳ Θεοῦ, καὶ δεσμὰ διαρρήξας γλώσσης Πατρός, ἔδειξας τὸν Ἥλιον, ἑωσφόρον αὐγάζοντα· καὶ λαοῖς ἐν ἐρήμῳ, τὸν Κτίστην ἐκήρυξας, τὸν Ἀμνὸν τὸν αἴροντα, τοῦ Κόσμου τὰ πταίσματα· ὅθεν καὶ πρὸς ζῆλον, Βασιλέα ἐλέγξας, τὴν ἔνδοξον κάραν σου, ἀπετμήθης ἀοίδιμε, Ἰωάννη πανεύφημε. πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Εἶτα. Θεοτοκίον. Ὅμοιον.

Οἱ Ἀναβαθμοί, τὸ α΄. Ἀντίφωνον τοῦ τετάρτου ἤχου. Προκείμενον, ἦχος δ΄.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος.

Στίχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, ἤκουσεν Ἡρώδης ὁ Τετράρχης τὴν ἀκοήν. Ζήτει τῇ κδ΄. τοῦ Φεβρουαρίου εἰς τὸν Ὄρθρον. Ματθαῖος. εἰς φύλλ. 358. ὁ Ν΄.

Δόξα. Ταῖς τοῦ σοῦ Προδρόμου.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα στίχ. Ἐλέησόν με ὁ Θεός. Καὶ τὸ ἰδιόμελον ἦχος πλ. β΄. Γενεθλίων τελουμένων. Ζήτει εἰς τὸν Ἑσπερινόν.

Ὁ Κανὼν τῆς Θεοτόκου; καὶ τοῦ Ἁγίου οἱ δύο. Ὁ Κανὼν τοῦ Ἁγίου.

Ποίημα Ἰωάννου Μοναχοῦ.

Ὠδὴ α΄. ἦχος πλ. Ὑγρὰν διοδεύσας.

ΤΟν ἀπὸ νηδύος στειρωτικῆς, φανέντα Προφήτην, τοῦ ἐκ μήτρας Παρθενικῆς, κυοφορηθέντος ἀπορρήτως, τὸν ἱερὸν ἀνυμνήσωμεν Πρόδρομον.

ΤΟὺς ὅρους τῆς φύσεως ὑπερβάς, τῆς δικαιοσύνης, συνετήρησας τοὺς θεσμούς· παράνομον μῖξιν διελέγχων, μὴ δεδοικὼς Βασιλέων θρασύτητα.

ΤΟῦ νόμου τῷ γάλακτι ἐκτραφείς, τὴν νομοθεσίαν, συναφείας τῆς νομικῆς, ὡς νόμου σφραγὶς ἐπισφραγίζων, ἀντεκατέστης πρὸς μῖσος ἀκόλαστον. Θεοτοκίον.

ΤΑὔξησε Ἀγγέλων καὶ τῶν βροτῶν, Ἀνύμφευτε Μῆτερ, εὐφημοῦσιν ἀνελλιπῶς· τὸν Κτίστην γὰρ τούτων ὥσπερ βρέφος, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Ἕτερος Κανών, ἦχος ὁ αὐτός.

Τὸν Ἰσραὴλ ἐκ δουλείας.

ΤΟν ὑπὲρ πάντας ἀνθρώπους, μαρτυρηθέντα ὑπὸ Χριστοῦ, ὡς Πρόδρομον καὶ φίλον αὐτοῦ, Ἰωάννην ἅπαντες τὸν θεῖον εὐφημήσωμεν.

ΤΟν τῆς ἐρήμου πολίτην, καὶ τῶν Ἀγγέλων τὸν σύσκηνον, τὸ καύχημα τοῦ νέου λαοῦ, Ἰωάννην ἅπαντες, τὸν θεῖον εὐφημήσωμεν.

ΕΠὶ τῇ μνήμῃ τοῦ Προδρόμου, Ἀγγελικῶς χορεύσωμεν, καὶ τῷ Χριστῷ βοήσωμεν· αὐτοῦ ταῖς ἱκεσίαις Χριστέ, εἰρήνευσον τὸν Κόσμον σου. Θεοτοκίον.

ΔΙαπαντὸς Θεοτόκε, τὸν ἐκ σοῦ ἱκέτευε, ἀρρήτῳ λόγῳ σαρκωθέντα Θεόν, πάσης περιστάσεως, λυτρώσασθαι τοὺς δούλους σου.

Καταβασία. Σταυρὸν χαράξας Μωσῆς.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

ἌΣεμνον ἀναίδειαν, τῷ μεθυσμῷ πλησθὲν κόριον, δός μοι φησί, κάραν Ἰωάννου, τῷ Ἡρώδῃ ἀνέκραζεν.

ἩΠαῖς ἐξωρχήσατο, καὶ ὡς παράνομον τέρψασα, τὸν Ἡρώδην, πρὸς φόνον ἀνθεῖλκε, τοῦ Προδρόμου καὶ Κήρυκος.

ὪΣ τῆς ἀθλιότητος, Ἡρώδη ἄφρον καὶ ἄνομε. ποία τόλμη, κόρῃ ἀσελγούσῃ, φόνον ἄδικον ἔπραξας. Θεοτοκίον.

ΔΟς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Πάναγνε, τὰς προσβολάς, ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Ἄλλος. Οὐρανίας ἁψῖδος.

ΗΛίας ὡς μεσίτης, καὶ τῆς καινῆς Πρόδρομος εὐαγγελικῶν, κηρυγμάτων σὺ

προϊστάμενος, μίξιν παράνομον, τυραννικὴν διελέγξας, εὐκλεῶς τὸν θάνατον χαίρων διήνυσας.

Ἐκ μητρὸς παρανόμου προβιβασθεῖσα κόρη, ἐκβεβακχευμένον τῇ μέθῃ, Ἡρώδη ἔφησε· δός ἐπὶ πίνακι, τὴν κεφαλὴν Ἰωάννου. τῇ μητρὶ χαρίσομαι δῶρον ποθούμενον.

Τοὺς ἐλέγχους μὴ φέρων ὁ ἀναιδὴς Τύραννος, τῆς θεοφρρρήτου σου γλώττης, ἔνδοξε Πρόδρομε, Κόρῃ προδίδωσι, θυμελικῶν ὀρχισμάτων, τὴν σεπτήν σου ἔπαθλον Κάραν ἀοίδιμε.

Θεοτοκίον.

Ἐνοικήσας Παρθένῳ σωματικῶς Κύριε, ὤφθης τοῖς ἀνθρώποις, ὡς ἔπρεπε θεαθῆναί σε· ἣν καὶ ἀνέδειξας, ὡς ἀληθῆ Θεοτόκον, καὶ πιστῶν βοήθειαν μόνε φιλάνθρωπε.

Κάθισμα, ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τὸν Πρόδρομον Χριστοῦ, Βαπτιστὴν καὶ Προφήτην, τιμήσωμεν πιστοί, καθαρᾷ συνειδότι, ὡς ἔνδοξον Κήρυκα, μετανοίας Διδάσκαλον, καὶ ὡς Μάρτυρα, παναληθῆ τοῦ Σωτῆρος. τὴν γὰρ ἄνοιαν, τὴν τοῦ Ἡρώδου ἐλέγξας, τὴν κάραν ἐκτέμνεται.

Δόξα, ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Νῦν ἐπέφανεν ἡμῖν, ὁ τοῦ Σωτῆρος Βαπτιστής, καὶ εὐφραίνει νοητῶς, τὰς διανοίας τῶν πιστῶν· τὸ τῆς ἐρήμου καλλώπισμα, καὶ Προφητῶν ἡ σφραγίς. ὅθεν τοῦ Χριστοῦ ἐδείχθη Πρόδρομος, καὶ Μάρτυς ἀψευδής, τῆς παρουσίας αὐτοῦ. πνευματικοῖς οὖν ᾄσμασι, συμφώνως τῷ Ἰωάννῃ βοήσωμεν· Προφῆτα Κήρυξ, τῆς ἀληθείας, πρέσβευε τοῦ σωθῆναι ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Κατεπλάγησαν Ἁγνή, ταύτης Ἀγγέλων οἱ χοροί, τὸ Μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν. πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς Βροτός, ταῖς σαῖς συνέχεται. καὶ δέχεται ἀρχὴν ὁ προαιώνιος· καὶ γαλουχεῖται σύμπασαν, ὁ τρέφων πνοὴν ἀφάτῳ χρηστότητι, καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

Οὐκ ἐνεγκὼν, τὸ τῶν ἐλέγχων ἀπότομον, ὁ τοῦ Νόμου, ταῖς ποιναῖς ὑπεύθυνος, οὐ παρρησίαν θεοσεβῆ, ὁ ταῖς ἀσελγείαις, τῶν ἡδονῶν συμφυρόμενος, δεσμεύσας συνετήρει, τὸν αὔλως τοῖς ἄνω, πρὸ τοῦ τέλους χοροῖς συναπτόμενον.

Ψυχοβλαβῆ, μέθην καὶ οἶστρον ἀκόλαστον, ἐκνοσήσας, ἔκδοτος ὁ δείλαιος, τοῖς χορικοῖς κρότοις τῶν ποδῶν, ἀποδεδειγμένος, φονεὺς Προφήτου γεγένηται. συνέλαβε γὰρ μέθην, ἀσωτίας μητέρα, καὶ δεινὴν ἀνομίαν ἀπέτεκε.

Ὄντως ἐν σοί, οὐ διεψεύσθη ἡ θεία φωνή, τῶν Προφητῶν· σὺ γὰρ, περισσότερος ὡς Προφήτας ἀξιωθείς, ἐξ αὐτῆς νηδύος, ἐν ἀτελεῖ τῷ τοῦ σώματος· καὶ τὸν προφητευθέντα, ὑπὸ σοῦ Θεὸν Λόγον, καὶ ἰδὼν καὶ βαπτίσας ἐν σώματι.

Θεοτοκίον.

Σὺ τῶν πιστῶν, καύχημα τέλειος ἀνύμφευτε. σὺ προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν τεῖχος καὶ λιμήν. πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρεις Πανάμωμε, καὶ σῴζεις ἐκ κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ, Θεοτόκον Ἁγνήν σε γινώσκοντας.

Ἄλλος. Ἐξ ὄρους κατασκίου.

Οὐκ ἔφερε τοὺς σοὺς, ἐλέγχους ὁ Ἡρώδης, θεράπων τοῦ Χριστοῦ, παμμάκαρ Ἰωάννη· ὅθεν ὥπλιζε τὸν ἄδικον πρὸς σὲ φόνον, οὐκ αἰδεσθείς σου τὸ σεβάσμιον.

Οἴστρῳ καὶ τῇ μέθῃ, ὁμοῦ βεβακχευμένος, ὁ ἄδικος Βασιλεύς, σὲ Παμμάκαρ παρανόμως, θανατηφόρῳ ἀπάγει ψήφῳ Προφῆτα, οὐκ αἰδεσθείς σου τὸ σεβάσμιον.

Τῆς Κόρης ὁ δεινός, ἀπαχθεὶς τοῖς λόγοις, Ἡρώδης δυσσεβής, τῇ μοιχαλίδι δῶρον, τὴν κεφαλήν σου Προφῆτα ὄντως παρέχει. ἀφ' ἧς πηγάζεις χάριν πᾶσιν ἡμῖν.

Θεοτοκίον.

Χαίροις παρ' ἡμῶν, Ἁγία Θεοτόκε, χαῖρε ἡ χαρὰν κυήσασα τῷ Κόσμῳ. χαῖρε ἡ μόνη ἀντίληψις τῶν ἀνθρώπων, εὐλογημένη Θεοτόκε Ἁγνή.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Μητρικαῖς ὑποθήκαις, ἆθλον τῆς ὀρχήσεως τῆς κακοδαίμονος, τῆς ὠμῆς λεαίνης, ὁ ὠμότερος σκύμνος ᾐτήσατο, ἣν καὶ θῆρες πάντες, ἐν ἐρημίαις ηὐλαβοῦντο, κεφαλὴν τοῦ Προδρόμου καὶ Κήρυκος.

Ὢ τῶν σῶν ἀνεφίκτων, καὶ ἀκαταλήπτων κριμάτων φιλάνθρωπε. ὅτι τοῦ ἐκ μήτρας, πεφηνότος δοχεῖον τοῦ Πνεύματος, καὶ συναυξηθέντος, τῇ σωφροσύνῃ καὶ ἁγνείᾳ, ἀσελγὴς κατωρχήσατο κόριον.

Προσφιλὲς καὶ οἰκεῖον, τῷ τὴν συζυγίαν τὴν ἄσεμνον στέργοντι, γενεσίων τόποις, καὶ Προφήτου συνάψαι ἀναίρεσιν. καὶ κρατῆρα πλήρη, προφητικῶν τοῖς φιληδόνοις, καὶ ἁγίων αἱμάτων κεράσασθαι. Δξ.

Μητρικὴν παῤῥησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πάναγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα· ὅτι σὲ καὶ μόνην, Χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ἄλλος. Ὀρθρίζοντες βοῶμέν σοι.

Ὀρχήσεως ἐδίδοτο μίσθωμα τῆς ἀπάτης, τῇ κόρῃ ἐν πίνακι, Προδρόμου κάρα. ὢ ἄνοια.

Ὢ λύθρῳ σταζομένης τῆς κάρας σου θεοκήρυξ, μοιχαλὶς ἐτέρπετο, φρονοῦσα μέγα. ὢ ἄνοια.

Σιγᾷν σου μὲν τὴν γλῶτταν, ὑπέλαβεν ὁ Ἡρώδης· ἡ δὲ καὶ σιγήσασα, πλέον ἐλέγχει Πανεύφημε. Θεοτοκίον.

Παρθένον μετὰ τόκον, ὑμνοῦμέν σε Θεοτόκε. σὺ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ τῷ Κόσμῳ ἐκύησας.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Οὐ νόμου τῶν ἐντολῶν, προκινδυνεύων μακάριε, ἐλέγχοις παιδαγωγεῖς, τὸν παρανομήσαντα. οὐ γὰρ ἔφυς κάλαμος, δυσμενῶν πνευμάτων, ῥιπιζόμενος προσπνεύσεσι.

Ὢ λύθρῳ τῷ τῆς σφαγῆς, ἡ κεφαλὴ σταζομένη σου, ἠνέχθη τῶν πορνικῶν, ἀγώνων εἰς μίσθωμα, Ἡρωδίαν ἐλέγχουσα, καὶ μετὰ τὸ τέλος, ὡς τὴν φύσιν συνθολώσαντα.

Ἐρήμους περιπολῶν, θριξὶ καμήλου σκεπόμενος· τὰς μὲν ὡς φωτολαμπεῖς, κατῴκεις ἀνάκτορον· τὰς δὲ ὡς βασίλειον, περιφέρων κόσμον, τῶν παθῶν κατεβασίλευσας. Θεοτοκίον.

Ῥυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογεννήτωρ Ἁγνή. καὶ τύχοιμεν Πάναγνε, τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Ἄλλος. Χιτῶνά μοι παράσχου.

Ἐπήγασας τῷ πλήθει τῶν πιστῶν, Ἰωάννη ἔνδοξε, θεῖα διδάγματα· τὸν ἀμνὸν τὸν τοῦ Θεοῦ, καταγγείλας ἡμῖν.

Σεμνότητος καὶ βίου ἀκριβοῦς, ἀψευδὲς ὑπόδειγμα, μέμνησο Πρόδρομε, τῶν ὑμνούντων σε Χριστῷ παριστάμενος.

Πρεσβείαις σου Προφῆτα τοῦ Χριστοῦ, Βαπτιστὰ καὶ Πρόδρομε, Κόσμον εἰρήνευσον, διασῴζων ἐκ κινδύνων τὰς ψυχὰς ἡμῶν. Δξ.

Ἡ Μόνη διὰ λόγου ἐν γαστρί, τὸν Λόγον κυήσασα, ῥῦσαι δεόμεθα, τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον, ἦχος πλ. α'.

Ἡ τοῦ Προδρόμου ἔνδοξος ἀποτομή, οἰκονομία γέγονέ τις θεϊκή· ἵνα καὶ τοῖς ἐν ᾅδῃ τοῦ Σωτῆρος κηρύξῃ τὴν ἔλευσιν. θρηνείτω οὖν Ἡρωδιάς, ἄνομον φόνον αἰτήσασα. οὐ νόμον γὰρ τὸν τοῦ Θεοῦ, οὐ ζῶντα αἰῶνα ἠγάπησεν, ἀλλ' ἐπίπλαστον πρόσκαιρον.

Ὁ Οἶκος.

Τὰ γενέσια τοῦ Ἡρώδου, πᾶσιν ἐφάνησαν ἀνόσια, ὅτι ἐν μέσῳ τῶν τρυφώντων, ἡ κεφαλὴ τοῦ νηστεύοντος παρετέθη, ὥσπερ ἔδεσμα, τῇ χαρᾷ συνήφθη λύπη, καὶ γέλωτι ἐκράθη πικρὸς ὀδυρμός· ὅτι τὴν κάραν τοῦ Βαπτιστοῦ πίνακι φέρουσα, ἐπὶ πάντων εἰσῆλθεν, ὡς εἶπεν ἡ παῖς. καὶ διὰ οἶστρον, θρῆνος ἐπέπεσε πᾶσι τοῖς ἀριστήσασι τότε σὺν τῷ Βασιλεῖ. οὐ γὰρ ἔτερψεν ἐκείνους, ὅτε Ἡρώδην αὐτόν. φησὶ γάρ, ἐλυπήθησαν λύπην οὐκ ἀληθινήν, ἀλλ' ἐπίπλαστον πρόσκαιρον.

Τῷ αὐτῷ Μηνὶ κθ'. Ἡ ἀποτομὴ τῆς τιμίας κεφαλῆς τοῦ τιμίου ἐνδόξου Προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

Στίχ. Τέμνει κεφαλὴν χεὶρ μιαιφόνος ξίφει,
Τοῦ χεῖρα θέντος εἰς κεφαλὴν Κυρίου.
Εἰκάδι ἀμφ' ἐνάτῃ Προδρόμου τάμεν αὐχένα χαλκός.

Οὗτος ἐν γεννητοῖς γυναικῶν μαρτυρεῖται ὑπὲρ ἅπαντας εἶναι ὑπὸ Χριστοῦ, καὶ Προφήτου περισσότερος· ὁ προσκιρτήσας ἀπὸ γαστρός, καὶ τοῖς ἐν γῇ, καὶ ἐν τῷ ᾅδῃ τὸν Χριστὸν κηρύξας. Οὗτος ἦν Υἱὸς Ζαχαρίου τοῦ Ἀρχιερέως, καὶ Ἐλισάβετ, ἐξ ἐπαγγελίας Γαβριὴλ τεχθείς. Ἐτμήθη δὲ τὴν τιμίαν κεφαλὴν ὑπὸ Ἡρώδου, διὰ τὴν παράνομον μίξιν τῆς Ἡρωδιάδος. Οὗτος ὁ ἐξ αὐτῆς τῆς νηδύος ἁγιωσύνην περικείμενος, ἁγνείαν εἰσοικισάμενος, σωφροσύνην ἀσπασάμενος, ἀτροφίαν ἀσκήσας, καὶ πάσης ἀνθρώπων ἐπιμιξίας ἀπερρωγώς, καὶ τὴν ἔρημον ὡς Πόλιν οἰκήσας, θηρίοις διαιτώμενος, καμήλου θριξὶ σκεπόμενος, δερματίνῃ ζώνῃ περισφιγγόμενος, καὶ ἴσα πτωχοῖς τὸ τῆς τροφῆς κεκ-



Δημόσια Κεντρική Βιβλιοθήκη

τημένος αὐτόματον. Μελέτην δὲ διηνεκῆ τὸν τοῦ Θεοῦ νόμον ποιούμενος, ἡγεῖτο τῆς αὐτοῦ φυλακῆς, καὶ τηρήσεως πάντα δεύτερα καὶ ὑποδεῆ· ὁ τοὺς ὅρους ὑπερβὰς τῆς φύσεως, καὶ τὸν καθαρὸν, καὶ ἀμόλυντον, καὶ πάσης ἐπέκεινα φύσεως βαπτίσας Χριστόν. Τοίνυν ὁ πολὺς ἐν ἀκολασίᾳ Ἡρώδης, τοῦ Ἰουδαϊκοῦ τετραρχῶν ἐδάφους, τὴν τοῦ ἀδελφοῦ αὐτοῦ Φιλίππου γυναῖκα, πρὸς γάμον ἠγάγετο. Θείῳ οὖν κινηθεὶς ζήλῳ ὁ Προφήτης, καὶ ἀληθείας ὅπλοις φραξάμενος, ἔλεγε πρὸς τὸν Τύραννον. Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου. Ἐντεῦθεν φυλακὴ καὶ δεσμοὶ περὶ τὸν Ἅγιον, τοῦ μανικοῦ γυναίου πρὸς τοῦτο τὸν ἐραστὴν συνελάσαντος. Ὅθεν γενεθλίων τελουμένων, καὶ πότου δαψιλοῦς καὶ φιληδόνου πρὸς παραφροσύνην ἐκκυλίσαντος τὸν ἑστιάτορα, ὄρχησις ἑταιρικοῦ θυγατρίου, καὶ μισθὸς Προφήτου ἀναίρεσις. Αὐτίκα οὖν ἤχθη ἐπὶ πίνακος ἡ τοῦ Δικαίου κεφαλὴ, καὶ ἐπεδόθη ἀνόμῳ καὶ μοιχαλίδι γυναικὶ, ἔτι τὸ αἷμα στάζουσα, καὶ τὰ αὐτὰ φθεγγομένη. Ἐτελεῖτο δὲ ταῦτα ἐν τῇ Σεβαστῇ Πόλει, ἀπεχούσῃ τῆς Ἱερουσαλὴμ ἡμέρας ὁδόν. Ἔνθα καὶ ὁ μετ᾽ ἐκεῖνον ἄρξας Τετράρχης, τοὺς ἀνακτορικοὺς ἐπήξατο δόμους, καὶ ὁ προφητοκτόνος ἐτελέσθη πότος. Ἐκεῖ καὶ τὸ προφητικὸν ἐκεῖνο καὶ ἅγιον περιστελλὸν παρὰ τῶν ἰδίων Μαθητῶν, ἀπεκρύπτετο σῶμα.

Ταῖς αὐτοῦ πρεσβείαις ὁ Θεὸς ἐλεῆσαι, καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Ἀκόλαστον ὄρεξιν, δεινήν τε μέθην καθοπλισάμενος, προσβαλὼν κατερράγης, πρὸς ἐγκρατείας πύργον ἀκλόνητον· καὶ σωφροσύνης πρὸς πόλιν ἀπόρθητον, τὸν τοῦ Χριστοῦ Βαπτιστὴν, Ἡρώδη ἄνομε.

Οὐκ ἔφριξε Πρόδρομε, οὐ συνεστάλη οὐ κατενάρκησεν, ἡ μεμαθητευμένη, τῷ διαβόλῳ, τὴν σὴν προσφέρουσα, τιμίαν κάραν ἀναιδῶς ἐν πίνακι, προβιβασμοῖς μητρικοῖς ἐκμοχλευθεῖσα τὸν νοῦν.

Ὡς λύχνος προέλαμψας, προαπεστάλης δὲ ὥσπερ Ἄγγελος· ὡς Προφήτης κηρύττεις, Ἀμνὸν Θεοῦ τὸν φανέντα Χριστόν· ὡς Μάρτυς ξίφει κεφαλὴν ἐκτέτμησαι, προκαταγγέλλων αὐτὸν, καὶ τοῖς ἐν ᾅδῃ νεκροῖς.

Θεοτοκίον.

Ῥυσθέντες τῷ τόκῳ σου, τῆς καταδίκης τοῦ πάλαι πτώματος, τὴν φανεῖσαν αἰτίαν, ἐλευθερίας σὲ Μητροπάρθενε, σὺν τῷ Υἱῷ σου τῷ δόντι ἀντίλυτρον, ὑπὲρ ἡμῶν ἑαυτὸν ἀεὶ δοξάζομεν.

Ἄλλος. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Δοῦλος Δεσπότου παρουσίαν, ἑωσφόρος τε Ἥλιον προμηνύων, Ἰωάννης εἰς ᾅδου ἀνέδραμε κραυγάζων· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὢ τῆς Ἡρώδου ἀφροσύνης· τὸν ἰσάγγελον ἐν σώματι ἀΰλῳ, τῷ ἀσέμνῳ γυναίῳ παίγνιον δωρεῖται· εὐλογητὸς εἶ Κύριε.

Λέξαι με Ἅγιε ἁγίων, λιτανεύοντα ὑπὲρ τῆς Ἐκκλησίας, τῷ Δεσπότῃ βοᾷ, ὁ Πρόδρομος κραυγάζων· εὐλογητὸς εἶ Κύριε.

Ἔστησας ῥύμην τοῦ θανάτου, τὸν ἀθάνατον Θεὸν, ὡς συλλαβοῦσα, καὶ τεκοῦσα Ἁγνή. ᾯ πάντες μελῳδοῦμεν· εὐλογητὸς εἶ Κύριε.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ὁ Προδραμὼν τοῦ τόκου σου, καὶ τοῦ θείου παθήματος, ἐν τοῖς κατωτάτοις, διὰ ξίφους γίνεται, Προφήτης καὶ Ἄγγελος, καὶ τῆς ἐκεῖ εἰσόδου σου, ὡς φωνὴ τοῦ Λόγου, Ἰωάννης κραυγάζων· νεκροὶ τὸν ζωοδότην, καὶ τυφλοὶ τὸν φωσφόρον, αἰχμάλωτοι τὸν ῥύστην, Χριστὸν ὑπερυψοῦτε.

Παρθενικῆς γεννήσεως, προδραμὼν ἐκ στειρώσεως, νῦν τῆς ἑκουσίου, τοῦ τὰ πάντα κτίσαντος, ὑπῆρξας σταυρώσεως, προοδεύτης ἐκτμήσεως, τῆς κεφαλικῆς, τοῖς ἐν τῷ ᾅδῃ κραυγάζων· νεκροὶ τὸν ζωοδότην, τυφλοὶ τὸν φωτοδότην, αἰχμάλωτοι τὸν ῥύστην, Χριστὸν ὑπερυψοῦτε.

Τῆς κεφαλῆς τοῦ σώματος, ἐκτμηθείσης σου Πρόδρομε, ἡ τῆς σῆς σαρκὸς, ψυχὴ ἡγεμονεύουσα, ἐκ ταύτης διῄρητο. ἀλλ᾽ ἡ Θεότης δὲ τῆς σαρκὸς, τοῦ Ἐμμανουὴλ, οὐ διῃρέθη ἐντεῦθεν· ὅσον οὐ συνετρίβη, τοῦ Θεοῦ καὶ Δεσπότου· διὸ ὑπερυψοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Κυριοτόκε Δέσποινα, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τὰς ὠτειλὰς, τῇ συμπαθεῖ πρεσβείᾳ σου, Παρθένε ἐξάλειψον, καὶ πεπτωκότα ἔργον· σῶσόν με Παναμώμε, τὸν ἄσωτον σῶσον. σὺ γάρ μου εἶ προστάτις, καὶ ἀντίληψις μόνη, Ἁγνὴ εὐλογημένη, εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς, Ὁ αὐτός.

Παρανομῶν ὁ Τύραννος, Ἡρώδης ὁ ἀλάσωρ ποτὲ, καὶ εἰς ἀλωχίαν, γενεσίων παραπραπὰς, τὴν παῖδα ὀρχήσασθαι, παρασκευάζει ὅρκοις αὐτὴν, πάσας πᾶσαν αἴτησιν αὐτῆς ἐκπληρῶσαι· ἡ δὲ ἐκβιβασθεῖσα, διδαχαῖς ταῖς μητρῴαις, ἐν πίνακι αἰτεῖται, τὴν κάραν τοῦ Προδρόμου.

Μιαιφονίας ἔγκλημα, ἑαυτῷ κληρωσάμενος, κόλασιν ἀπέραντον, Ἡρώδης ὁ ἄθλιος, ὁ Ἄναξ εἰσπράττεται, παρανομήσας ἄθεσμα. ἔδεσμα γὰρ ὥσπερ, τῇ τραπέζῃ προσάγει, τὴν κάραν τοῦ Προδρόμου, ἀπελέγχουσαν τοῦτον, σὺν τῇ Ἡρωδιάδι, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Φανὸς Ἀπόστολος, τοῦ Κυρίου καὶ Πρόδρομος, μάκαρ Ἰωάννη, Προφητῶν ὁ πρόκριτος, λιταῖς σου περίσωζε, τοὺς ἐκτελοῦντας πόθῳ σου, μνήμην τὴν φαιδρὰν, καὶ φωτοφόρον βοῶντας· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε.

Θεοτοκίον.

Ἁγιωτέρα πέφυκας, τῶν Ἀγγέλων κυήσασα, Κόρη Παναγία, τὸν Ἁγίοις Ἅγιον, δι' οἶκτον γενόμενον, ὅπερ ἐσμὲν ἀφύρτως βροτοί. σῶσαι τοὺς αὐτῷ, ἀναβοῶντας ἀπαύστως· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἔφριξε, πᾶσα ἀκοή.

Ἔφριξε φάλαγξ πονηρὰ, καὶ ὁ ταύτης πρωτοστάτης Διάβολος, τὴν Θεολόγον σου, Προφῆτα γλῶσσαν Χριστὸν κηρύττουσαν· καὶ διὰ Κόρης ἀσελγοῦς, Ἡρώδην ἀνέπασε, καρατομῆσαί σε. ἀλλ' ἡμᾶς σε οἱ πιστοὶ μεγαλύνομεν.

Φάραγξ μὲν φύσις παπεινὴ, ἀνυψώθη καὶ βουνὸς πεταπείνωται, ἡ τοῦ θανάτου ὀφρύς. φωνὴ βοῶντος γὰρ ἀνακέκραγεν· ἐν τοῖς ἐρήμοις τοῦ φωτὸς, τοῦ ᾅδου σκηνώμασι, τὰς πύλας ἄρατε· Βασιλεὺς γὰρ δυνατὸς ἀσελεύσεται.

Φρίττουσι πάθη τῶν βροτῶν, καὶ τῷ φόβῳ δραπετεύουσι δαίμονες, τὴν ἐπισκίασιν, τῆς ἐκ Θεοῦ σοι δοθείσης χάριτος. ἀλλ' ἀμφοτέρων παρασμῶν, τὴν ποίμνην σου φύλαττε, Κύριε Πρόδρομε, τὴν ἐν πίστει σε ἀεὶ μεγαλύνουσαν. Θκίον.

Ἔντανε καὶ κατευόδου, καὶ βασίλευε τῇ Θεομήτορος· Ἰσμαηλίτην λαὸν, καθυποτάσσων τὸν πολεμοῦντα ἡμᾶς· τῷ ὀρθοδόξῳ Βασιλεῖ, νίκας χαριζόμενος, κατὰ βαρβάρων ἐχθρῶν, ταῖς πρεσβείαις τῆς τεκούσης σε Λόγε Θεοῦ.

Ἄλλος. Ἔξεστιν ἐπὶ τοῦτο.

Φωνὴ βοῶντος ἔφυς, ὦ Βαπτιστά. ἐκ Προφήτου Προφήτης γὰρ ἔλαμψας, ἐν τῇ ἐρήμῳ, μετανοεῖτε πᾶσι βοῶν. καὶ τὸν Ἡρώδην ἤλεγξας, πράττοντα ἀσέμνως τὰ ἀσελγῆ. διὸ καὶ τοῖς ἐν ᾅδῃ, προέδραμες κηρύττων, τὴν Βασιλείαν τοῦ Θεοῦ ἡμῶν.

Μητρὸς Ἡρωδιάδος ἐκβιβασθεὶν, ἀναιδέστατον κόριον ᾔτησε, τοῦ Βαπτιστοῦ, κάραν ἐκτμηθῆναι τὴν ἱεράν. τότε Ἡρώδης τάχιστα, ἔδεσμα καθάπερ παρατεθὲν, προστάττει ἐν τρυβλίῳ, δοθῆναι ὥσπερ δῶρον, τοῦτο ἐλέγχουσαν τὴν ἄνοιαν.

Ὡς Μάρτυς καὶ Προφήτης καὶ Βαπτιστὴς, ὡς φωνή τε καὶ λύχνος καὶ Ἄγγελος, ὑπὸ Θεοῦ, μείζων Προφητῶν τε μαρτυρηθεὶς, δυσώπησον τὸν Κύριον, ῥύσασθαι παντοίων ἐκ παρασμῶν, καὶ βλάβης ἐναντίας, τοὺς πόθῳ ἐκτελοῦντας, σοῦ τὴν φωσφόρον μνήμην Πρόδρομε. Θεοτοκίον.

Ὡραιότης ὦ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν ἀγαθὸν, Λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ. ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς ἀγαθός· ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, ἃ καὶ τὸ σῶμα περιβέβληται.

Ἐξαποστειλ. Τῶν Μαθητῶν.

Τὸν ἐν Προφήταις μείζονα γνωρισθέντα, καὶ Ἀποστόλων πρόκριτον γεγονότα, ὕμνοις ἐγκωμίων στεφανώσωμεν, τὸν Πρόδρομον τῆς χάριτος. τὴν κεφαλὴν γὰρ ἐτμήθη, διὰ τὸν νόμον Κυρίου.

Ἕτερον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ὁ Ἀσελγὴς Ἡρώδης, τὸν τῆς ἁγνείας φυτουργὸν, σὲ Βαπτιστὰ τοῦ Σωτῆρος, καρατομήσας δολερῶς. σοῦ τοὺς ἐλέγχους τῆς γλώττης, τεμεῖν οὐκ ἴσχυσεν ὅλως.

Θεοτοκίον. Ὅμοιον.

Τὴν ἀρὰν τοῦ Κόσμου, τῷ θείῳ τόκῳ σου Σεμνὴ, ἐξαφανίσασα, ποίμνην, σὲ λιτανεύουσαν πιστῶς, ἀπὸ παντοίων κινδύνων, ῥῦσαι πρεσβείαις σου Κόρη.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ Τοῦ παραδόξου θαύματος, τὴν ἱερὰν Κεφαλήν, καὶ Ἀγγέλοις αἰδέσιμον, ἀσελγὲς ἀκόλαστον, περιέφερε κόριον· τὴν ἐλέγξασαν γλῶσσαν παράνομον, τῇ μοιχαλίδι μητρὶ προσέφερεν. ὢ τῆς ἀφάτου σου, ἀνοχῆς φιλάνθρωπε· δι᾽ ἧς Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος. Δίς.

Ὢ Τῆς Ἡρώδου πωρώσεως, ὁ ἀτιμάσας Θεόν, ταῖς τοῦ Νόμου ἐκλύσεσι, τὴν τῶν ὅρκων τήρησιν, δολερῶς ὑποκρίνεται. καὶ τῇ μοιχείᾳ φόνον προστίθησιν, ὁ σκυθρωπάζειν σχηματιζόμενος. ὢ τῆς ἀφάτου σου, συμπαθείας Δέσποτα· δι᾽ ἧς Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

Ὢ Τῆς ὑπὲρ νοῦν ἐκπλήξεως, τῶν Προφητῶν ἡ σφραγίς, ὁ ἐπίγειος Ἄγγελος, πορνικῆς ὀρχήσεως, ἀναδείκνυται ἔπαθλον· ἡ Θεολόγος γλῶσσα προφθέγγεται· καὶ τοῖς ἐν Ἅδῃ Χριστοῦ προάγγελος. ὢ τῆς ἀρρήτου σου, προμηθείας Δέσποτα· δι᾽ ἧς Χριστέ, σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς μόνος εὔσπλαγχνος.

Δόξα, ἦχος πλ. β΄.

Πάλιν Ἡρωδιὰς μαίνεται, πάλιν ταράττεται. ὢ ὄρχισμα δόλιον, καὶ πότος μετὰ δόλου. ὁ Βαπτιστὴς ἀπετέμνετο, καὶ Ἡρώδης ἐταράττετο. πρεσβείαις Κύριε τοῦ σοῦ Προδρόμου, τὴν εἰρήνην παράσχου ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν, Θεοτ. Θεοτόκε σὺ εἶ ἡ ἄμπελος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, Τυπικά, καὶ ἐκ τῶν Κανόνων. Ὠδὴ γ΄. καὶ ϛ΄.

Προκείμ. τοῦ Ἀποστόλου, ἦχος βαρύς.

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Πράξεων τῶν Ἀποστόλων.

Κεφ. ιγ΄. 25. ἘΝ ταῖς ἡμέραις ἐκείναις, ὡς ἐπλήρου ὁ Ἰωάννης τὸν δρόμον ἔλεγε· Τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγώ· ἀλλ᾽ ἰδοὺ ἔρχεται μετ᾽ ἐμέ, οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι. Ἄνδρες ἀδελφοί, Υἱοὶ γένους Ἀβραάμ, καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεόν· ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη. Οἱ γὰρ κατοικοῦντες ἐν Ἱερουσαλήμ, καὶ οἱ Ἄρχοντες αὐτῶν, τοῦτον ἀγνοήσαντες, καὶ τὰς φωνὰς τῶν Προφητῶν, τὰς κατὰ πᾶν Σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν. Καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο Πιλάτον ἀναιρεθῆναι αὐτόν. Ὡς δὲ ἐτέλεσαν ἅπαντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου, ἔθηκαν εἰς μνημεῖον. Ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν. Ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς συναναβᾶσιν αὐτῷ ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλήμ. οἵτινές εἰσι μάρτυρες αὐτοῦ πρὸς τὸν λαόν. Καὶ ἡμεῖς ὑμᾶς εὐαγγελιζόμεθα τὴν πρὸς τοὺς Πατέρας ἐπαγγελίαν γενομένην· Ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν ἡμῖν, ἀναστήσας Ἰησοῦν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον.

ΤΩ καιρῷ ἐκείνῳ, ἤκουσεν Ἡρώδης ὁ Βασιλεὺς τὴν ἀκοὴν Ἰησοῦ· (φανερὸν γὰρ ἐγένετο τὸ ὄνομα αὐτοῦ.) Καὶ ἔλεγεν, ὅτι Ἰωάννης ὁ βαπτίζων ἐκ νεκρῶν ἠγέρθη, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις ἐν αὐτῷ. Ἄλλοι ἔλεγον, ὅτι Ἠλίας ἐστίν. Ἄλλοι δὲ ἔλεγον, ὅτι Προφήτης ἐστίν, ὡς εἷς τῶν Προφητῶν. Ἀκούσας δὲ ὁ Ἡρώδης, εἶπεν· ὅτι ὃν ἐγὼ ἀπεκεφάλισα Ἰωάννην, οὗτός ἐστιν. αὐτὸς ἠγέρθη ἐκ νεκρῶν. Αὐτὸς γὰρ ὁ Ἡρώδης ἀποστείλας, ἐκράτησε τὸν Ἰωάννην, καὶ ἔδησεν αὐτὸν ἐν τῇ φυλακῇ, διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ, ὅτι αὐτὴν ἐγάμησεν. Ἔλεγε γὰρ ὁ Ἰωάννης τῷ Ἡρώδῃ· ὅτι οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου· Ἡ δὲ Ἡρωδιὰς ἐνεῖχεν αὐτῷ, καὶ ἤθελεν αὐτὸν ἀποκτεῖναι, καὶ οὐκ ἠδύνατο. Ὁ γὰρ Ἡρώδης ἐφοβεῖτο τὸν Ἰωάννην, εἰδὼς αὐτὸν ἄνδρα δίκαιον καὶ ἅγιον· καὶ συνετήρει αὐτόν· καὶ ἀκούσας αὐτοῦ, πολλὰ ἐποίει, καὶ ἡδέως αὐτοῦ ἤκουε. Καὶ γενομένης ἡμέρας εὐκαίρου, ὅτε Ἡρώδης τοῖς γενεσίοις αὐτοῦ δεῖπνον ἐποίει τοῖς Μεγιστᾶσιν αὐτοῦ, καὶ τοῖς Χιλιάρχοις, καὶ τοῖς πρώτοις τῆς Γαλιλαίας· καὶ εἰσελθούσης τῆς θυγατρὸς αὐτῆς τῆς Ἡρωδιάδος, καὶ ὀρχησαμένης, καὶ ἀρεσάσης τῷ Ἡρώδῃ, καὶ τοῖς συνανακειμένοις, εἶπεν ὁ Βασιλεὺς τῷ κορασίῳ. Αἴτησόν με ὃ ἐὰν θέλῃς, καὶ δώσω



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σοι. Καὶ ὤμοσεν αὐτῇ, ὅτι ὃ ἐάν με αἰτήσῃς, δώσω σοι, ἕως ἡμίσους τῆς Βασιλείας μου. Ἡ δὲ ἐξελθοῦσα, εἶπε τῇ Μητρὶ αὐτῆς· τί αἰτήσομαι; Ἡ δὲ εἶπε, τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Καὶ εἰσελθοῦσα εὐθέως μετὰ σπουδῆς πρὸς τὸν Βασιλέα, ᾐτήσατο λέγουσα· Θέλω ἵνα μοι δῷς ἐξ αὐτῆς ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ. Καὶ περίλυπος γενόμενος ὁ Βασιλεὺς, διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους, οὐκ ἠθέλησεν αὐτὴν ἀθετῆσαι. Καὶ εὐθέως ἀποστείλας ὁ Βασιλεὺς σπεκουλάτωρα, ἐκέλευσεν ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ. Ὁ δὲ ἀπελθὼν ἀπεκεφάλισεν αὐτὸν ἐν τῇ φυλακῇ, καὶ ἤνεγκε τὴν κεφαλὴν αὐτοῦ ἐπὶ πίνακι, καὶ ἔδωκεν αὐτὴν τῷ κορασίῳ· καὶ τὸ κοράσιον ἔδωκεν αὐτὴν τῇ Μητρὶ αὐτῆς. Καὶ ἀκούσαντες οἱ Μαθηταὶ αὐτοῦ, ἦλθον, καὶ ἦραν τὸ πτῶμα αὐτοῦ,
Κεφ. ς'. 14 καὶ ἔθηκαν αὐτὸ ἐν μνημείῳ. Καὶ συνάγονται οἱ Ἀπόστολοι πρὸς τὸν Ἰησοῦν, καὶ ἀπήγγειλαν αὐτῷ πάντα, καὶ ὅσα ἐποίησαν, καὶ ὅσα ἐδίδαξαν.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον.

Τῷ αὐτῷ Μηνὶ Λ'.

Τῶν ἐν Ἁγίοις Πατέρων ἡμῶν Πατριαρχῶν Κωνσταντινουπόλεως, Ἀλεξάνδρου, Ἰωάννου, καὶ Παύλου τοῦ Νέου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ τοῦ Προδρόμου γ'. ζήτει εἰς τοὺς Αἴνους· καὶ τῶν Ἁγίων γ'. ζήτει εἰς Ἱεράρχας. Δόξα, τοῦ Ἁγίου, ἦχος πλ. β'.

Πάλιν Ἡρωδιὰς μαίνεται. Καὶ νῦν, Θεοτοκίον.

Εἰς τὸν στίχον στιχηρὰ τῆς Ὀκτωήχου. Δόξα τοῦ Ἁγίου, ἐκ τῶν ἰδιομέλων αὐτοῦ οἷον βούλει. Εἰς τὸν Ὄρθρον, ὁ Κανὼν τῆς Ὀκτωήχου, τοῦ Προδρόμου, καὶ τῶν Ἁγίων, ζήτει εἰς Ἱεράρχας.

Μηνὶ τῷ αὐτῷ ΛΑ'.

Τὰ καταθέσια τῆς τιμίας Ζώνης τῆς Ὑπεραγίας Θεοτόκου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἡ Σορὸς ἡ κατέχουσα, Θεοτόκε τὴν ζώνην σου, κιβωτὸς τοῖς δούλοις σου ἁγιάσματος, καὶ ἱερὸν περιτείχισμα, καὶ δόξα καὶ καύχημα, καὶ ἰάσεων πηγὴ, καθ' ἑκάστην γνωρίζεται, ἔνθα σήμερον, ἱερῶς ἀθροισθέντες ἀνυμνοῦμεν, τὰ πολλά σου μεγαλεῖα, καὶ τῶν θαυμάτων τὸ πέλαγος.

Ἣν ἁγίαν κατάθεσιν, Θεοτόκε τῆς ζώνης σου, Ἑορτὴν κεκτήμεθα εὐφραινόμενοι. ὅτι τῇ Πόλει σου σήμερον, δοθῆναι ἠξίωσας, ἱερὰν περιβολὴν· φυλακτήριον ἄσυλον, δῶρον τίμιον, ἀναφαίρετον πλοῦτον ἰαμάτων, ποταμὸν πεπληρωμένον, τῶν χαρισμάτων τοῦ Πνεύματος.

Ἴδε τοῦτο περίδοξος, ἴδε οἶκος ἀείφωτος, ἐν ᾧ τεθησαύρισται τῆς Θεόπαιδος, ζώνη τιμία ἐν χάριτι. προσέλθετε ἄνθρωποι, φωτισμὸν καὶ ἱλασμὸν, προφανῶς ἐπαρύσασθαι. καὶ βοήσατε, εὐχαρίστῳ καρδίᾳ Παναγία, εὐλογοῦμέν σε Παρθένε, οἱ σεσωσμένοι τῷ τόκῳ σου.

Δόξα, καὶ νῦν, ἦχος β'.

Ὡς στέφανον ὑπέρλαμπρον, Πανάχραντε Θεοτόκε, τὴν ζώνην σου τὴν ἁγίαν, ἡ Ἐκκλησία τοῦ Θεοῦ περιέθετο. καὶ φαιδρύνεται χαίρουσα σήμερον, καὶ μυστικῶς χορεύει Δέσποινα ἐκβοῶσά σοι· χαῖρε διάδημα τίμιον, καὶ στέφανε τῆς θείας δόξης αὐτοῦ. χαῖρε ἡ μόνη δόξα τοῦ πληρώματος, καὶ αἰώνιος εὐφροσύνη. χαῖρε τῶν εἰς σὲ προστρεχόντων, λιμὴν καὶ προστασία, καὶ σωτηρία ἡμῶν.

Εἰς τὸν στίχον στιχηρὰ τῆς Ὀκτωήχου.

Δόξα, καὶ νῦν, ἦχος β'.

Φρένα καθάραντες καὶ νοῦν, σὺν τοῖς Ἀγγέλοις καὶ ἡμᾶς πανηγυρίσωμεν, φαιδρῶς ἐξάρχοντες, δαβιτικὴν μελῳδίαν, τὴν νεάνιδα Νύμφην, τοῦ Παμβασιλέως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ἀνάστηθι Κύριε λέγοντες, εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτὸς τοῦ ἁγιάσματός σου. ὡς γὰρ Παλάτιον τερπνὸν, ταύτην κατεκόσμησας· καὶ κατεκλήρωσας αὐτὴν τῇ Πόλει σου Δέσποτα· περιποιεῖσθαι καὶ σκέπειν, ἐκ πολεμίων βαρβάρων, τῇ κραταιᾷ δυνάμει σου, ταῖς ἱκεσίαις αὐτῆς.

Ἀπολυτίκιον, ἦχος πλ. δ'.

Θεοτόκε Ἀειπάρθενε τῶν ἀνθρώπων ἡ σκέπη, Ἐσθῆτα καὶ Ζώνην τοῦ ἀχράντου σου σώματος, κραταιὰν τῇ Πόλει σου περιβολὴν ἐδωρήσω, τῷ ἀσπόρῳ τόκῳ σου ἄφθαρτα διαμέναντα. ἐπὶ σοὶ γὰρ καὶ φύσις καινοτο-

μᾶται καὶ χρόνος. διὸ δυσωποῦμέν σε, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Δίς.

Εἰς τὸν Ὄρθρον, οἱ Κανόνες τῆς Θεοτόκου. ὁ δ΄. τοῦ Κυρίου Γεωργίου, καὶ ὁ ἕτ. δ΄. τοῦ Κυρίου Ἰωσήφ.

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Λαμπάδα φωτοφανῆ τὴν ἄδυτον, ὁ τῆς Παρθένου Ναὸς, ὡς Οὐρανὸς ἀστράμενος φαιδρὸς, τὴν ὑπέρλαμπρον Ζώνην αὐτῆς· τὴν οἰκουμένην σήμερον, ταῖς τῶν θαυμάτων αἰθριάζει αὐγαῖς.

Ἰσχύν τε καὶ ἀσφαλείας σύνδεσμον, τὴν σὴν Πανάχραντε, θείαν ὡς ὄντως ζώνην νοητῶς, ἐζωσμένη ἡ Πόλις σου, τὸ κράτος ἀδιάσπαστον ἔχει· διὸ καὶ ἐγκαυχᾶται ἐν σοί.

Ἡ πάλαι ὡς ἀληθῶς ὑπέρτιμος, ἡ σὴ σορὸς Κιβωτοῦ, Θεογεννήτωρ ὤφθη τοῖς ἐν γῇ· οὐ τὰ σύμβολα φέρουσα, ἀλλὰ πιστῶς φυλάττουσα, τῆς ἀληθείας τὰ γνωρίσματα.

Ἀρώματα μυστικὰ προχέονται, ἐν τῷ Ναῷ τῆς Ἁγνῆς, ἐκ τῆς τιμίας σήμερον σοροῦ· καὶ πληροῦσι τοῦ Πνεύματος, τῆς εὐωδίας ἅπαντας, τοὺς μετὰ πόθου προσιόντας αὐτῇ.

Ἕτερος Κανών, οὗ ἡ ἀκροστιχίς.

Ἰσχύν με τὴν σὴν ζῶσον, Ἁγνὴ Παρθένε.

Ἰωσήφ. Ὠδὴ α΄. Ἦχος πλ. δ΄.

Ἁρματηλάτην Φαραώ.

Ἰσχύν με θείαν εὐσεβῶς περίζωσον ὑμνολογοῦντά σου, τὴν ἱερὰν Ζώνην, θεῖον χρηματίζουσαν, τῇ πόλει σου περίζωσμα, καὶ κραταίωμα Κόρη, καὶ ἀρραγὲς περιτείχισμα, Ἄχραντε Παρθένε τῇ ποίμνῃ σου.

Σὺ τὸν Θεὸν τὸν δυνατὸν ἐκύησας, περιζωννύοντα, τοὺς εὐσεβεῖς πάντας, δύναμιν Πανάμωμε. διό σε μακαρίζομεν, καὶ τὴν θείαν σου Ζώνην, περιχαρῶς ἀσπαζόμενοι, χάριν ἀπαντλοῦμεν καὶ ἔλεος.

Χαρμονικῶς τῇ καταθέσει σήμερον, περιχορεύσωμεν, τῆς ἱερᾶς Ζώνης, τῆς Ἁγνῆς Θεόπαιδος. ἐξ ἧς ἡμῖν περίζωσμα, ἀφθαρσίας ὑφάνθη, καὶ ἀδιάρρηκτον ἔνδυμα, καὶ περιβολὴ ἀδιάσπαστος.

Ὑπὸ τὴν σὴν ὁ σὸς λαὸς Πανάμωμε, προστρέχει δύναμιν· ὑπὸ τὴν σὴν σκέπην, καταφεύγει πάντοτε. πᾶσι γενοῦ βοήθεια· καὶ τὰ πρὸς σωτηρίαν, τοῖς πᾶσι δίδου αἰτήματα, σώζουσα δεινῶν τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Ὑμνήσωμεν οἱ πιστοὶ, ὡς συναφείας πρὸς Θεὸν σύνδεσμον, τὴν τῆς Ἁγνῆς σήμερον, Ζώνην καὶ πιστῶς προσκυνήσωμεν.

Ἀέναοι ὀχετοὶ, ἐκ τῆς ἀχράντου σου σοροῦ ῥέοντες, τῶν χαρισμάτων Ἁγνὴ, πάντας τοὺς πιστοὺς καταρδεύουσιν.

Ἰάματα τοῖς πιστοῖς, ἡ Πολυΰμνητος ἡμῖν σήμερον, τῆς ὑπερτίμου Ἁγνῆς, Ζώνη ἀναβρύει ἐν χάριτι.

Ὡς δρόσος ἑωθινὴ, ἡ εὐφροσύνη σου Ἁγνὴ, ῥέουσα, τὴν τῶν παθῶν κάμινον, τῶν σὲ ἀνυμνούντων κοιμίζει ἀεί.

Ἄλλος. Οὐρανίας ἁψῖδος.

Νευροῦται καρδία, πίστει θερμῇ ψαύουσα, Ζώνῃ ἱερᾷ τῆς Παρθένου. καὶ περιζώννυται, δύναμιν ἄμαχον, κατὰ παθῶν ἀκαθάρτων, δυσμενῶν ἀσάρκων τε ἄτρωτος μένουσα.

Μένει ἄφθορος ἔτι, ἡ ἱερὰ Ζώνη σου. ἥτις σου τὸ ἄχραντον σῶμα Κόρη διέζωσε· καθαγιάζουσα, τοὺς εὐσεβῶς προσιόντας· καὶ φθορᾶς ἐξαίρουσα νόσων καὶ θλίψεων.

Ἐχρημάτισας οἶκος, περικαλλὴς Ἄχραντε, Λόγου τοῦ ἐκ σοῦ σαρκωθέντος, καὶ ἐν ἁγίῳ σου, Οἴκῳ εὐδόκησας, Ζώνην τὴν σὴν ἐντεθῆναι. ἣν κατασπαζόμενοι ἁγιαζόμεθα.

Ἣν τιμίαν σου Ζώνην, τιμητικῶς ἅπαντες, ἐν ἀγαλλιάσει καρδίας περιπτυσσόμεθα· τιμὴν ὑπάρχουσαν, πάντων πιστῶν Θεοτόκε, ὡς τῷ ὑπερτίμῳ σου ψαύσασαν σώματι.

Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τὰ καταθέσια τῆς σῆς σεπτῆς Ζώνης, ἡ Ἐκκλησία σου φαιδρῶς ἑορτάζει· καὶ ἐκτενῶς κραυγάζει σοι Παρθένε Ἁγνή· ἅπαντας περίσωζε τῆς ἐχθρῶν δυναστείας· θραῦσον τὰ φρυάγματα, τῶν ἀθέων βαρβάρων. καὶ τὴν ἡμῶν κυβέρνησον ζωὴν, πράττειν Κυρίου τὰ θεῖα θελήματα. Ὅμοιον.

Οἱ τῶν θαυμάτων ποταμοὶ Θεοτόκε, ἐκ τῆς πανσέπτου σου σοροῦ προερχόμενοι, ὡς ἐξ Ἐδὲμ ποτίζουσι τὸ πρόσωπον τῆς γῆς· χάριτι καταρδοντες τῶν πιστῶν τὰς καρδίας, καὶ καταδροσίζοντες τοὺς πιστῶς σε τιμῶντας, καὶ εὐχαρίστως κράζοντας ἀεί· χαῖρε ἡ μόνη ἐλπὶς τῶν ὑμνούντων σε.

Ὠδὴ δ'. Ἐπαρθέντα σε ἰδῦσα.

Ὡς ὑπέρτιμον στερέωμα Θεοτόκε, ὁ Ποιητὴς καὶ Κτίστης σε τηξάμενος, ὥσπερ ἄστροις κατεκόσμησε, ταῖς θείαις ἐλλάμψεσιν, αἷς καταφαιδρύνας τὰ πέρατα.

Σὲ κραταίωμα ἡ Πόλις σε Θεοτόκε, καὶ ἀσφαλῆ κρηπῖδα, ἔχουσα τῇ θείᾳ, Ζώνῃ σου συνέχεται, δεσμὸν ἀδιάσπαστον, ταύτην ἐν πολέμοις προτάνουσα.

Ἀπὸ γῆς ἡμᾶς ἀνέλκει Θεογεννῆτορ, πρὸς οὐρανὸν ἡ θεία Ζώνη σου τῷ πόθῳ, ταύτης ἀναχθεῖσης τῷ σῷ. διό σε δοξάζομεν, ὡς αἰτίαν δόξης τῆς κρείττονος.

Ἰδοὺ χάρις ἀνεξάντλητος, δεῦτε πάντες, εἰλικρινεῖ καρδίᾳ, ἀρρύσασθε πιστὰ νάματα πηγάζοντα, ἀφθόνως φιλέορτοι, τῆς σεπτῆς σοροῦ τῆς Παναγνοῦ Μητρός.

Ἄλλος. Σὺ μου ἰσχὺς Κύριε.

Ἤρθης πρὸς φῶς, ἄδυτον μεταχωρήσασα· ἔλιπές δε, τοῖς σὲ μακαρίζουσιν, ἀντὶ τοῦ σώματός σου Ἁγνή, τὴν τιμίαν Ζώνην, πηγὴν θαυμάτων ὑπάρχουσαν· καὶ τοῦτον σωτηρίας, καὶ χαράκωμα ταύτης, τῆς τιμώσης σε Πόλεως Ἄχραντε.

Νέον ἡμᾶς, ὡς Οὐρανὸν ὑπερχόμεθα, σοῦ τὸν Οἶκον, ἐν ᾧ τεθησαύρισαι, καθάπερ Ἥλιος φωταυγὴς, σοῦ ἡ θεία Ζώνη, βολὰς θαυμάτων ἐκπέμπουσα, καὶ πάντων τὰς καρδίας, καταυγάζουσα Κόρη, καὶ παθῶν τὴν ὁμίχλην διώκουσα.

Σὺ κιβωτὸς, τοῦ νοητοῦ ἁγιάσματος, χρηματίζεις, Ἄχραντε Πανύμνητε· καὶ τὴν τιμίαν ταύτην σορὸν, ἔχουσαν τὴν Ζώνην, ἣν περιοῦσα ἐφόρεσας· παρέχεις τῷ λαῷ σου, καταφύγιον πᾶσι, καὶ πηγὴν ἰαμάτων ἀκένωτον.

Ἧκε τῇ σῇ, Πόλει πολύολβον δώρημα, ἡ τιμία, Ζώνη σου Πανύμνητε, καὶ κατετέθη περιφανῶς, ταύτῃ τῇ ἡμέρᾳ ἐν τούτῳ τῷ θείῳ Οἴκῳ σου· καὶ γέγονε μεγίστης, Ἑορτῆς Θεοτόκε, τοῖς θερμῶς σε ποθοῦσιν ὑπόθεσις.

Ὅμου σκιαὶ, καὶ Προφητῶν τὰ αἰνίγματα, προεδήλουν, ἔσεσθαί σε Πάναγνε, Θεοῦ Μητέρα παναληθῆ· δι' ἧς ἡ κατάρα, ἀπεσβέσθη καὶ λύθησε, τελεία ἀλογία, καὶ σωτήριος χάρις, τοῖς ἐν πίστει καὶ πόθῳ ὑμνοῦσί σε.

Ὠδὴ ε'. Σὺ Κύριέ μου φῶς.

Σὺ Κύριε τὴν σὴν, Μητέρα ἐμεγάλυνας· σὺ ὕψωσας ὑπὲρ πάσας, νοερὰς οὐσίας, ἀσυγκρίτως τὴν δόξαν αὐτῆς.

Ἡ Χάρις τοῦ Θεοῦ, νῦν ἀφθόνως παρέχεται, Πανάχραντε Θεοτόκε, ἐκ τιμίας σοροῦ σου, τοῖς πίστει προσκυνοῦσί σε.

Σὲ δύναμιν πιστοὶ, Βασιλεῖς περιζώννυνται· σὲ σύνδεσμον Θεοτόκε, ἡ σὴ Πόλις αὐχοῦσα, τῇ Ζώνῃ σου σεμνύνεται.

Ἰνωσῆς σου ἀληθῶς, ἡ χάρις ἀναδέδεικται, Πανάχραντε παραδόξως, ἐνεργοῦσα δυνάμεις, καὶ πέρατα ἐν πάσῃ τῇ γῇ.

Ἄλλος. Ἵνα τί με ἀπώσω.

Ζώνης θείας τεθείσης, σήμερον ἐν Οἴκῳ σου Θεοχαρίτωτε, συνεπανετέθη, ἀγαθῶν πᾶσα δόσις τοῖς χρήζουσι, καὶ πληροῦται πᾶς τις, ἁγιασμοῦ ὁ προσπελάζων, τὰς αἰτήσεις πιστῶς κομιζόμενος.

Ὡραιώθης Παρθένε, Λόγον ὡραιότατον ἀποκυήσασα, καὶ τῷ σῷ ὡραίῳ, ἐνδόκησας Οἴκῳ τεθήσεσθαι, τὴν ὡραίαν Ζώνην, ἥτις τὸ σὸν ὡραῖον σῶμα, Θεοτόκε ὡραίως διέζωσε.

Σοῦ ὁ ἅγιος Οἶκος, ἄλλος ὡς Παράδεισος πᾶσι γνωρίζεται, μέσον κεκτημένος, ὥσπερ εὔοσμον ῥόδον τὴν Ζώνην σου, εὐωδίας θείας, ἀποπληροῦσαν τὰς καρδίας, τῶν πιστῶς προσιόντων Πανάμωμε.

Ὄμβρου θείου νεφέλη, γέγονας Πανάμωμε ἐναποστάζουσα, σωτηρίας ὕδωρ, καὶ πηγὴ χερσωθεῖσιν ἐγκλήμασι, πρὸς καρποφορίαν, μετααγαγοῦσα ἀσεβείας. διὰ τοῦτο πιστῶς σε δοξάζομεν.

Ὠδὴ ς'. Θύσω σοι μετὰ φωνῆς.

Ὅλως σε, ὑπερφυῶς ἐδόξασε Κύριος, ὅλην ἀνύψωσε μόνην, ὅλην σε ἐτίμησεν ὑπὲρ λόγον, Θεοτόκε, τὸν Ναὸν σὺν τῇ Ζώνῃ καὶ θείᾳ σορῷ.

Νάουσιν, ἐκ πελάγους τὰ ῥεῖθρα τῆς χάριτος, ἐκ τῆς σοροῦ τῆς ἀχράντου, καὶ τὴν Κτίσιν πᾶσαν περικυκλοῦσιν, ἀρδεύοντα, τοὺς πιστῶς προσκυνοῦντας τὸν Τόκον σου.

Ἴσχυσε, οἱ πιστοὶ κεκτημένοι καύχημα, περιζωννύονται δόξαν, τὴν σεπτήν σου Ζώνην Θεοκυῆτορ, κατέχοντες, ὡς ὑπέρλαμπρον κόσμον καὶ τίμιον.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἄλλος. Ἄβυσσος ἁμαρτιῶν.

Νέον τέτοκας ἡμῖν, ὡς Παιδίον τὸν πρὸ πάντων αἰώνων· καὶ καινουργεῖς καρδίας ἁμαρτίας παλαίωσιν, δεξαμένας, καινισμῷ τῆς καταθέσεως τῆς τιμίας, Ζώνης σου Κόρη Ἀειπάρθενε.

Ἅγιός σου ὁ Ναός, θαυμαστὸς δικαιοσύνῃ ὑπάρχει. ὅστις τὴν θαυμαστήν σου, Ζώνην θαύματα βρύουσαν, κεκτημένος τοῖς πιστοῖς, πέλαγος δείκνυται ἰαμάτων, Θεοκυῆτορ Μητροπάρθενε.

Γέγηθε πᾶσα ψυχή, συνιοῦσα ἐν ἁγίῳ Ναῷ σου, καὶ ἐν αὐτῷ ὁρῶσα Θεοτόκε τὴν Ζώνην σου, ὥσπερ Ἥλιον φαιδρόν, φέγγος ἀστράπτουσαν χαρισμάτων, τοῦ Παντουργοῦ καὶ Θείου Πνεύματος.

Νεύρωσον ἡμῶν Ἁγνή, τὰς καρδίας παρεθείσας παντοίων, ἁμαρτιῶν ἰδέαις, καὶ περίζωσον δύναμιν, τοὺς τὴν Ζώνην σου πιστῶς, ὡς πολυτίμητον κεκτημένους, καὶ ἀναφαίρετον θησαύρισμα.

Κοντάκιον. Ἦχος β΄. Τὴν ἐν πρεσβείαις.

Τὴν Θεοδόχον γαστέρα σου Θεοτόκε, περιλαβοῦσα ἡ Ζώνη σου ἡ τιμία, κράτος τῇ Πόλει σου ἀπροσμάχητον, καὶ θησαυρὸς ὑπάρχει τῶν ἀγαθῶν ἀνέκλειπτος, ἡ μόνη τεκοῦσα Ἀειπάρθενος.

Ὁ Οἶκος.

Τίς γηγενῶν τὰ σὰ μεγαλεῖα διηγήσεται λόγος; ποία γλῶσσα βροτῶν; νοῦς γὰρ οὐδὲ οὐράνιος. ἀλλ' ἡ τεκοῦσα τῆς συμπαθείας τὸ ἀμέτρητον πέλαγος, δέξαι καὶ νῦν ἐξ ἀκάρπων χειλέων τὰ ᾄσματα· καὶ δίδου μοι θείαν χάριν εὐφημῆσαι τὴν Ζώνην Δέσποινα, δι' ἧς Κόσμος ἀγάλλεται σὺν Ἀγγέλοις, ὑμνῶν σου τὰ θαύματα. Ἡ μόνη τεκοῦσα Ἀειπάρθενος.

Τῇ αὐτῇ Μηνὶ λα΄. Ἡ ἀνάμνησις τῆς ἐν τῇ ἁγίᾳ Σορῷ καταθέσεως τῆς τιμίας Ζώνης, τῆς Ὑπεραγίας Θεοτόκου, ἐν τῷ σεβασμίῳ αὐτῆς Οἴκῳ, τῷ ὄντι ἐν τοῖς Χαλκοπρατείοις. ἀνακομισθείσης ἀπὸ τῆς Ἐπισκοπῆς Ζήλας ἐπὶ Ἰουστινιανοῦ τοῦ Βασιλέως. καὶ τοῦ γεγονότος θαύματος, διὰ τῆς ἐπιθέσεως τῆς τιμίας Ζώνης, εἰς τὴν Βασιλίδα Ζωήν, τὴν σύζυγον Λέοντος τοῦ Βασιλέως.

Στ. Χρυσῆν κορωνὶν οἷα σεμνὴ Παρθένε,
Τῷ τοῦ χρόνου τίθημι σὴν Ζώνην τέλει.
Ἔνγε σορῷ Ζώνην πρώτῃ πανάγνου τριακοστῇ.

Ὁ τοῦ Μεγάλου Θεοδοσίου Υἱὸς Ἀρκάδιος, τὴν τιμίαν Ζώνην τῆς Ὑπεραγίας Θεοτόκου ἐξ Ἱεροσολύμων ἐξαγαγών, φυλαττομένην ἐκεῖσε μέχρι τοῦ τότε καιροῦ μετὰ τῆς τιμίας Ἐσθῆτος ὑπὸ Παρθένου γυναικός τινος, καὶ ἐν Κωνσταντινουπόλει ἀποκομισθείσης, κατέθετο ἐν λαμπρᾷ θήκῃ· ἣν καὶ ἐκάλεσεν ἁγίαν Σορόν. χρόνων δὲ διελθόντων τετρακοσίων δέκα, Λέων ὁ Βασιλεὺς ἤνοιξε τὴν ἁγίαν ταύτην Σορὸν διὰ τὴν τότε σύζυγον ζωήν, ἐνοχλουμένην ὑπὸ πνεύματος ἀκαθάρτου, ἥτις καὶ ἠξιώθη θείας ὀπτασίας· ὡς εἰ ἐπιτεθῇ ἡ τιμία Ζώνη ἐπ' αὐτῇ, τεύξεται τῆς ἰάσεως. Εὑρέθη οὖν ἡ τιμία Ζώνη, ὡς νεοΰφαντος ἀποστίλβουσα, σφραγίδα ἔχουσα χρυσίνης βούλλης, καὶ κωδίκελλον ἐμφαίνοντα λεπτομερῶς τόν τε χρόνον, τὴν ἰνδικτιῶνα, καὶ τὴν ἡμέραν, καθ' ἣν ἐν Κωνσταντινουπόλει προσεκομίσθη ἡ ἁγία Ζώνη· καὶ πῶς ἐτέθη χερσὶ τοῦ Βασιλέως ἔνδον τῆς θήκης, ὑπ' αὐτοῦ σφραγισθεῖσα. Ἣν καὶ ἀσπασάμενος ὁ Βασιλεύς, καὶ διὰ χειρὸς τοῦ τηνικαῦτα Πατριάρχου αὖθις τῆς Βασιλίσσης ὑφαπλωθεῖσα, ἐλευθερίαν τοῦ νοσήματος εἰργάσατο. καὶ πάντες τὸν Σωτῆρα Χριστὸν δοξάσαντες, καὶ τῇ Παναγνῷ αὐτοῦ Μητρὶ ὕμνους εὐχαριστηρίους ἀποδόντες, κατέθεντο τὴν ἁγίαν Ζώνην ἐν τῇ τιμίᾳ Σορῷ, ἐν ᾗ προϋπῆρχε. Ταῖς τῆς Παναμώμου πρεσβείαις ἐλέησον ἡμᾶς Κύριε, ὁ ἐξ αὐτῆς ἀσπόρως τεχθείς. Ἀμήν.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ.

Σὺ ὡς ἥλιος δικαιοσύνης, μόνος ὢν φωτουργὲ θείως τὸν ναὸν ἐφαίδρυνας τῆς Σεμνῆς, τοῖς ποικίλοις σου χαρίσμασιν. ἐν ᾧ ἀνήχυσα, τὰς ἀκτῖνας ἐκλάμπει ἡ Ζώνη αὐτῆς.

Χρυσῆν ὡς στάμνον, τὴν σὴν σορὸν κυκλοῦντες μόνη Ἁγνή, θείας ἀληθῶς μετέχομεν νῦν τρυφῆς, τῶν χαρίτων Πανευλόγητε· καὶ τῶν συμβόλων σου, ὑπερτέραν ὡς οὖσαν τιμῶμεν αὐτήν.

Ὑπερβλύζουσιν, οἱ τῶν θαυμάτων Κόρη Πάναγνε, χάριν ἀληθῶς κρατῆρές σου τοῖς πιστοῖς, καὶ ἀφθόνως τῆς τιμίας σου, Σοροῦ προέρχονται, ὡς ἐξ ἄλλης Ἐδὲμ ποταμοί.

Νῦν προσέλθετε, μετ' εὐφροσύνης πάντες οἱ ἐπὶ γῆς, δεῦτε, ἡ σορὸς προτρέπεται μυστικῶς· τῆς Κυρίας περιπτύξα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σθε,

τεται μυστικῶς, τῆς Κυρίας περιτετύχαμεν, ὑπερένδοξον, ἐν ἐμοὶ θησαυρισθεῖσαν Ζώνην αὐτῆς.

Ἄλλο. Θεοῦ συγκατάβασιν.

Ἡ Πάντων Βασίλισσα, πρὸς οὐρανίους σκηνὰς ἀπαίρουσα, καταλέλοιπεν ὄλβον, τῇ Βασιλίδι πασῶν τῶν Πόλεων, τὴν ταύτης Ζώνην, δι' ἧς περισώζεται, ἐπιδρομῆς ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν.

Πηγῇ νῦν προσέλθωμεν, ἀποσταζούσῃ χάριν καὶ ἔλεος, τῇ σορῷ τῇ τιμίᾳ, τῇ κατεχούσῃ Ζώνην τὴν πάντιμον, τῆς τιμησάσης ἀνθρώπων τὸ φύραμα, τιμίῳ τόκῳ αὐτῆς, Παρθένου τε καὶ Μητρός.

Αἰνεῖτε τὸν Κύριον, Δυνάμεις πᾶσαι αἱ ἐπουράνιαι· καὶ τὴν τοῦτον Τεκοῦσαν, ἀνθρώπων γλῶσσαι πᾶσαι δοξάσατε· ὅτι τὴν Ζώνην αὐτῆς ἐδωρήσατο, καταφυγὴν ἀληθῆ, καὶ σωτηρίαν πιστοῖς.

Ῥάναπτωσαν ἄνωθεν, δικαιοσύνην νεφέλαι σήμερον, καταθέσει τῆς Ζώνης, τῆς σῆς νεφέλη Θεοχαρίτωτε. καὶ μελῳδείτω ψυχὴ πᾶσα χαίρουσα· εὐλογητὸς ὁ Θεός.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Πλάκας θείας πάλαι Κιβωτὸς, χειρὶ γραφείσας Θεοῦ, μετεῖχε Πανάγνε· ἡ σὴ δὲ Ἀχράντε Δέσποινα, σεβασμία καὶ τιμία σορὸς, Ζώνην κατέχει τὴν αὐτὸν, τὸν Νομοθέτην ἐν σοὶ, συγκαταχοῦσαν· φρικτὸν τὸ Μυστήριον.

Ἄγγελοι Παναχράντε Ἁγνὴ, νῦν συγχορεύουσιν, ἐν τῷ σεπτῷ σου Ναῷ, καὶ περιέπουσι Δέσποινα, τὴν τιμίαν καὶ ἁγίαν σου Ζώνην, ἣν πόθῳ καὶ χαρᾷ, καὶ εὐφροσύνῃ πολλῇ, προσκυνοῦμεν, σὲ ἀνυμνοῦντες τὴν δόξαν τοῦ γένους ἡμῶν.

Ῥάβδος ἡ τὸ ἄνθος τῆς ζωῆς, ἀναβλαστήσασα, σὺ εἶ ἡ πάντων χαρά. ἡ πολυτίμητος Ἀχράντε μυροθήκη ἡ τοῦ Πνεύματος, ὁ θησαυρὸς τῶν ἀγαθῶν, τῶν ἀρωμάτων πηγή· ἐξ ἧς μύρον, τῶν ἰαμάτων ἐκβλύζει ἡ θεία σορός.

Ὑμνοῦσι Παναχράντε Ἁγνὴ, τὰ μεγαλεῖα τὰ σὰ, αἱ νοεραὶ Στρατιαί· ἀνακηρύττουσιν ἅπαντες, Πατριάρχαι καὶ Προφῆται τρανῶς, σὺν Ἀποστόλοις ἱεροῖς, καὶ τῶν Μαρτύρων χοροί· μεθ' ὧν προσκυνοῦμέν σε.

Ἄλλο. Ἑπταπλασίως κάμινον.

Θρόνος καθάπερ ἅγιος, ἡ σορὸς ἀνατίθεται, ἔνδον ἐν ἀδύτοις, ἱεροῖς φαιδρότητι, τῆς μόνης Θεόπαιδος, καὶ Βασιλίδος πάντων Ἁγνῆς· Ζώνην κεκτημένη, ἐπαναπαυομένην· ἐξ ἧς τοῖς κοπιῶσιν, ἐν πολλαῖς ἁμαρτίαις ἀνάπαυσις τελεία, προέρχεται ἀφθόνως.

Ἐπὶ τῆς γῆς τὸν Κύριον, ἱερῶς ἐσωμάτωσας, καὶ χερσὶν ἁγίαις, ἀληθῶς διέζωσας, τὸν περιζωννύοντα, τοὺς εὐσεβοῦντας δύναμιν. νῦν δὲ ἀναβᾶσα, Οὐρανῶν ὑπεράνω, κατέλιπες ἀνθρώποις, τὴν τιμίαν σου Ζώνην, Παρθένε Θεοτόκε, κραταίωμα καὶ σκέπην.

Νενοσηκόσιν ἴαμα, ὀλισθαίνουσι στήριγμα, καὶ τοῖς ῥαθυμοῦσιν, εὐθυμία ἄνθεος, κυβέρνησις πλέουσι, πεπλανημένοις ἐπιστροφὴ, ἡ παρεπομένη, τῇ τιμίᾳ σου Ζώνῃ, Παρθένε θεία χάρις, ἀληθῶς χρηματίζει. ἣν πίστει προσκυνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἐπιτελοῦντες σήμερον, τὴν ἁγίαν κατάθεσιν, Ζώνης σου τῆς θείας, ἱερὰν πανήγυριν, οἱ δοῦλοί σου ἄγομεν, καὶ ἐν χαρᾷ βοῶμέν σοι· χαῖρε Θεοτόκε, ἡ χαρὰ τῶν Ἀγγέλων, καὶ πάντων τῶν ἀνθρώπων, τῶν πιστῶς μελῳδούντων· λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος ὄρους.

Θάλαμος ὑπέρτιμος ὄντως, Θεογεννῆτορ ἡ σορός σου, ὤφθη τὴν ἁγίαν σου Ζώνην, Παρθενικήν τε καὶ νυμφικὴν ὡς στολὴν, ἀξίως περιέχουσα, καὶ συντηροῦσα ὡς ζωῆς θησαυρόν.

Ἔνθεον διάδημα κάλλους, ἡ Ἐκκλησία Θεοτόκε, ἀναδυσαμένη τὴν θείαν, καὶ παναγίαν Ζώνην σου σήμερον, βασιλικῶς εὐφραίνεται, καὶ ὡραΐζεται τῇ δόξῃ σου.

Ναὸν ἐκμιμούμενον πᾶσαν, τῶν Οὐρανῶν τὴν εὐκοσμίαν, σήμερον πιστοὶ τῆς Παρθένου, καταληφότες τῶν χαρισμάτων αὐγὰς, ὥσπερ ἀστέρων κάλλεσι, καταλαμπόμενοι φαιδρύνθητε.

Ἔχει τὴν Ἁγίαν σου Ζώνην, Θεογεννῆτορ ἡ σὴ Πόλις, σύνδεσμον εἰρήνης καὶ τεῖχος, καὶ τῶν δογμάτων θείαν ἑνότητα, καὶ ὀρθοδόξων καύχημα, καὶ Βασιλέων τροπαιοῦχημα.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὑμνοῦμεν τὴν ἄφατον δόξαν, καὶ τὴν ἀνάκασόν σου χάριν. σὺ γὰρ εἶ πηγὴ τῆς σοφίας, ἐξ ἧς ὁ Λόγος πᾶσι προέρχεται, τοῖς σὲ τιμῶσιν Ἄχραντε, καὶ μεγαλύνουσι τὸν Τόκον σου.

Ἄλλος. Ἐξέστη ἐπὶ τούτῳ.

Ἰδοὺ ἡ θεία κλίνη τοῦ Σολομῶν, δυνατοὶ ἣν κυκλοῦσιν ἑξήκοντα, ῥήσεις γραφῶν, οἷάπερ ἐν κλίνῃ βασιλικῇ, σορῷ τιμίᾳ σήμερον, Ζώνην ἀνακλίνει τὴν ἑαυτῆς· ἀνάκλησιν εἰς πάντων, τῶν τεταπεινωμένων, καὶ ἀσεβούντων περιποίησιν.

Ὡς Πόλις Βασιλέως τῶν Οὐρανῶν, περὶ ἧς ἐλαλήθη παράδοξα, ἔθου τῇ σῇ Πόλει δῶρον τίμιον καὶ σεπτόν, τὴν παναγίαν Ζώνην σου, πάντων εἰς κραταίωμα τῶν πιστῶν. δι' ἧς οἱ στεφηφόροι, τροποῦνται πολεμίους, ὀρθοδοξίᾳ διαλάμποντες.

Σταλάξατε τὰ ὄρη νῦν γλυκασμόν, καὶ βουνοὶ εὐφροσύνην αἰώνιον, Πατριαρχῶν, δῆμοι καὶ Μαρτύρων πάντες χοροί, τῶν Προφητῶν ὁ σύλλογος, θείων Ἀποστόλων δῆμος σεπτός, εὐφράνθητε σὺν πᾶσιν, ἡμῖν τῇ καταθέσει, τῆς θείας Ζώνης τῆς Θεόπαιδος.

Ἡγίασας τὰ πάντα διὰ τῆς σῆς, Παναγία Παρθένε κυήσεως· καὶ νῦν ἡμῖν, δέδωκας εἰς πλέονα φωτισμόν, τὴν Παναγίαν Ζώνην σου. ἧς τῇ καταθέσει πᾶσα ἡ γῆ, χορεύει καὶ γεραίρει, σὲ τὴν χαρᾶς ἀρρήτου, ἀποπληροῦσαν τὸ ἀνθρώπινον.

Φιλίας με δολίας τῆς τῶν παθῶν, καὶ ἐχθροῦ καθ' ἑκάστην ταράζοντος, ἁμαρτιῶν, βάρει ῥᾳθυμίας τε χαλεπῆς, ἀπαγωγῆς Παναγία Ἄχραντε, καὶ αἰχμαλωσίας καὶ προνομῆς, τῷ σῷ προσπεφευγότα, ἐλέει διὰ τάχους, ὡς συμπαθὴς Ἁγνὴ ἀπάλλαξον.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ὁ πάντα ὑπὲρ ἔννοιαν, τὰ σὰ ποιήσας Ἄχραντε, τὴν σὴν Ἐσθῆτα καὶ Ζώνην, ἐτίμησεν ἀφθαρσίᾳ, τῇ Πόλει σου κραταίωμα, δοὺς ταύτην καὶ ἀσφάλειαν. ἧς καὶ νῦν τὴν κατάθεσιν, περιχαρῶς ἐκτελοῦντες, πανηγυρίζομεν πόθῳ. Ὅμοιον.

Κυρία πάντων τέλουσα, τῶν ποιημάτων Δέσποινα, καὶ πλήρης ὄντως σοφίας, τῆς ὑπερφώτου ὡς Μήτηρ, Θεοῦ τοῦ Παντοκράτορος, φωτὸς καὶ θείας γνώσεως, καὶ χάριτός με πλήρωσον, τῇ συμπληρώσει τῶν ὕμνων, σοῦ τῆς Ἁγνῆς Θεοτόκου.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς ὑπέρλαμπρον στέφανον, Θεοτόκε Παναγία Ἄχραντε, τὴν ἁγίαν Ζώνην σου περιέθετο, ἡ Ἐκκλησία καὶ χαίρουσα, φαιδρύνεται σήμερον, καὶ χορεύει μυστικῶς, ἐκβοῶσά σοι Δέσποινα· χαῖρε στέφανε, καὶ διάδημα θεῖον, χαῖρε μόνη, τοῦ πληρώματος ἡμῶν δόξα, καὶ εὐφροσύνη αἰώνιος. Δίς.

Σὺ Παναγία Ἄχραντε Δέσποινα, κραταιὸν περιτείχισμα, ἀρραγές τε στήριγμα, καὶ διάσωσμα, τῷ σῷ λαῷ καὶ τῇ Πόλει σου, ὑπάρχουσα δέδωκας, ὡς φαιδρὰν περιβολήν, τὴν ὑπέρτιμον Ζώνην σου. περισώζουσαν, συμφορῶν ἐκ παντοίων τοὺς ἐν πίστει, καὶ ζεούσῃ προθυμίᾳ, ταύτην τιμῶντας Θεόνυμφε.

Ὁ Ναός σου Παναγία Ἄχραντε, ὡς πηγὴ ἀνεξάντλητος, τῶν θαυμάτων σήμερον ἀναδέδεικται. οἱ ποταμοὶ γὰρ τῆς χάριτος, ἀφθόνως προχέονται τῆς ἁγίας σου σοροῦ, καὶ πιστῶν τὴν διάνοιαν κατευφραίνουσι, τῶν ἐν πίστει καὶ πόθῳ σοι βοώντων· ἡ χαρὰ καὶ εὐφροσύνη, καὶ ἡ ζωὴ σὺ ὑπάρχεις ἡμῶν.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Ὡς στέφανον ὑπέρλαμπρον.

Εἰς τὸν στίχον. στιχηρὰ τῆς Ὀκτωήχου.

Δόξα, καὶ νῦν. Ἦχος β'.

Φρενὶ καθαρᾷ ἄραντες καὶ νοΐ. Ζήτει αὐτὸ ὄπισθεν εἰς τὸν Ἑσπερινόν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, ζήτει Σεπτεμβρίου η'.

Τέλος σὺν Θεῷ Ἁγίῳ τῶν Δεσποτικῶν, καὶ Θεομητορικῶν Ἑορτῶν, καὶ τῶν ἑορταζομένων Ἁγίων, τῶν περιεχομένων ἐν τοῖς ιβ'. Μησὶ τοῦ Ἐνιαυτοῦ.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ἈΡΧΗ ΣΥ̓Ν ΘΕῼ͂ ἉΓΊΩ,

# ΤΩ͂Ν ἈΝΩΝΎΜΩΝ ἈΚΟΛΟΥΘΙΩ͂Ν.

## Ψαλλομένων εἰς Ἕνα, καὶ εἰς πολλούς, κατὰ τάξιν, Ἁγίους.

ἈΚΟΛΟΥΘΊΑ Ἀνώνυμος εἰς Ἕνα Ἀπόστολον.

Στιχηρὰ προσόμοια, ἦχος πλ. δ΄.

Τί ὑμᾶς καλέσωμεν.

Τί σε ὀνομάσω Ἀπόστολε; Οὐρανόν; ὅτι τὴν δόξαν διηγήσω τοῦ Θεοῦ. ποταμόν; ὅτι τὴν Κτίσιν καταρδεύεις μυστικῶς. ἀστέρα; Ἐκκλησίαν καταυγάζοντα. κρατῆρα; πόμα ἅγιον προχέοντα. φίλον Χριστοῦ γνησιώτατον; τῶν Ἀσωμάτων ὁμόσκηνον; ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὄντως Θεηγόρε Ἀπόστολε, ἀπεστάλης ὡς βολὶς ἀπὸ Χριστοῦ φωτοειδής, τραυματίζουσα ἐχθροὺς τραυματιωθείσαις δὲ ψυχαῖς, προδήλως προμνηστεύουσα τὴν ἴασιν. διό σε καταχρέως μακαρίζομεν, καὶ τὴν ἁγίαν σου σήμερον, ἐπιτελοῦμεν πανήγυριν, ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἔνδοξε Θεόπτα Ἀπόστολε, ὡραιώθησαν οἱ πόδες σου Κυρίου τὰς ὁδούς, βηματίζοντες καλῶς, καὶ τὴν ὁδὸν τοῦ δυσμενοῦς, στενοῦντες πλατυσμῷ τῆς θείας γνώσεως, τοῦ Λόγου τοῦ ὀφθέντος ὕλῃ σώματος· καὶ Μαθητὴν σε περίδοξον, ἐκλεξαμένου Μακάριε, ᾧ πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α΄. ἦχος πλ. δ΄. Ἄσωμεν τῷ Κυρίῳ.

Λόγῳ ἐνυποστάτῳ, μεμαθητευμένος ὁ Ἀπόστολος, τὴν τοῦ Κόσμου σοφίαν, ὡς ἀράχνης ἱστὸν διεσκέδασε.

Ἄρρητα ἐμυήθης, καὶ τῶν ἀπορρήτων κατηξίωσαι, τοῦ Χριστοῦ Μυστηρίων, ὡς αὐτοῦ Μαθητὴς καὶ Ἀπόστολος.

Μέγας Ἥλιος ὤφθης, Φωτὶ τῷ μεγάλῳ ἀξιάγαστε, μεθ' ἡμῶν γενομένῳ, ὁμιλήσας Ἀπόστολε ἔνδοξε.

Θεοτοκίον.

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα ὑμνοῦμέν σε.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Λόγῳ ἐσαγήνευσας, πρὸς λογικὴν Χριστοῦ τράπεζαν, ἀναγαγών, τοὺς βεβυθισμένους, ἐν τῇ πλάνῃ Ἀπόστολε.

Ἔλυσεν Ἀπόστολε, ἡ παμμακάριστος μνήμη σου, θεουργικαῖς θαυματοποιΐαις, τοῖς νοσοῦσιν ἰάματα.

Στέργων τὸν Διδάσκαλον, καὶ ὑπουργῶν αὐτοῦ νεύσεσι, παντουργικαῖς, πλάνης διασῴζεις, τοὺς βροτοὺς Ἀξιάγαστε.

Θεοτοκίον.

Δός ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Πάναγνε, τὰς προσβολάς, ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Κάθισμα, ἦχος γ΄. Θείας Πίστεως.

Θείου Πνεύματος, τῇ φωταυγίᾳ, σκότος ἔλυσας πολυθείας, καὶ τῶν πιστῶν τὰς καρδίας ἐφώτισας, ἀναβοήσας σωτήρια δόγματα, τῇ Οἰκουμένῃ Ἀπόστολε πάνσοφε· Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη Πάναγνε Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα. τὸν ὑπὲρ πάντας ἐμὲ χοῦν γενόμενον, ἐρρυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον πρεσβειῶν σου ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Τὴν ὡραιότητα.

Ἡ Ἀπειρόγαμος, Ἁγνὴ καὶ Μήτηρ σου, Χριστὲ ὁρῶσά σε, νεκρὸν κρεμάμενον, ἐπὶ τοῦ Ξύλου μητρικῶς, θρηνολογοῦσα ἔλεγε· τί σοι ἀνταπέδωκε, τῶν Ἑβραίων ὁ ἄνομος, δῆμος καὶ ἀχάριστος, ὁ πολλῶν καὶ μεγάλων σου, Υἱέ μου δωρεῶν ἀπολαύσας; ὑμνῶ σου τὴν θείαν συγκατάβασιν.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ὡς φωστῆρα τοῖς ἔθνεσιν, ὁ ζωαρχικός σε Λόγος ἀπέστειλε, τὴν πολύθεον ἐλαύνοντα, τῶν Εἰδώλων πλάνην Παμμακάριστε.

Ἡ τοῦ Πνεύματος δύναμις, σοῦ τὸ ἀσθενὲς Ἀπόστολε ῥώσασα, τῶν Τυράννων δυνατώτερον, ἀληθείας λόγῳ κατεσκεύασε.

Τὸν Δεσπότην τοῖς Πάθεσιν, ἐγκαλλωπιζόμενος ὁ Ἀπόστολος, Παντοκράτορα καὶ Κύριον, τὸν ἐσταυρωμένον ἀνεκήρυξε.

Θεοτοκίον.

Θεοτόκον σε Πάναγνε οἱ πεφωτισμένοι πάντες κηρύττομεν· τὸν γὰρ Ἥλιον ἐκύησας, τῆς δικαιοσύνης Ἀειπάρθενε.

Ὠδὴ ε΄. Ὀρθρίζοντες.

Ὡραῖοι σου οἱ πόδες Ἀπόστολε, τὴν εἰρήνην εὐαγγελιζόμενοι, τὴν πάντα νοῦν ὑπερέχουσαν.

Δυνάμει ἀπεδίδως καὶ πνεύματι, ἀληθείας χαίρων τὸ μαρτύριον, τῆς Βασιλείας Ἀπόστολε.

Ἐπ' ὄρους ἀναβὰς Παμμακάριστε, τῶν ἀρετῶν πᾶσί τε τοῖς πέρασι, τὸ Εὐαγγέλιον ἐκήρυξας.

Θεοτοκίον.

Μαρία Θεοτόκε ἀνύμφευτε, τὰς ἐλπίδας τῶν ἐχθρῶν ματαίωσον, καὶ τοὺς ὑμνοῦντάς σε εὔφρανον.

Ὠδὴ ϛ΄. Χιτῶνά μοι παράσχου.

Ἀνήγγειλε τὴν δόξαν σου Χριστέ, ὁ σεπτὸς Ἀπόστολος· καὶ πάντας ἐφώτισε, διὰ λόγου τῆς αὐτοῦ θείας χάριτος.

Ὡς Ἥλιος ἐπέδραμες τὴν γῆν, Ἀπόστολε ἔνδοξε, τηλαύγειον ἀκτῖνον, καταγγέλλων τοῖς πιστοῖς φῶς Θεότητος.

Θεοτοκίον.

Ναόν σε τοῦ Θεοῦ καὶ κιβωτόν, καὶ παστάδα ἔμψυχον, καὶ πύλην οὐράνιον, Θεοτόκε οἱ πιστοὶ καταγγέλλομεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Λογικὸς Οὐρανός σε, διηγήσατο πᾶσι τὴν λυτρωτικὴν τοῦ παντὸς, Θεὸν σεσαρκωμένον, βροντήσας ἐν τῷ Κόσμῳ, καὶ βοᾶν προτρεψάμενος· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὡς Θεοτάκτῳ λύρα, ἡρμοσμένη τῷ Λόγῳ τοῦ Παντοκράτορος, καὶ Πνεύματι Ἁγίῳ, ἐνθέως κρουομένη, σὺν τοῖς ἔθνεσιν ἔψαλλες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὁ τῶν λόγων σου σπόρος, ἐν ψυχαῖς τῶν ἀνθρώπων καταβληθεὶς νοητῶς, καρπὸν τῆς εὐσεβείας, ἐπλήθυνε βοώσαις, καὶ ὑμνούσαις Ἀπόστολε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Παρθενικῆς ἐκ νηδύος, σαρκωθεὶς ἐπεφάνης εἰς σωτηρίαν ἡμῶν. διό σου τὴν Μητέρα, εἰδότες Θεοτόκον, ὀρθοδόξως κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ὁ Μαθητής σου ὥσπερ ἀμνὸς πρὸς Τυράννους, τοῦ τυθῆναι ἤγετο βοῶν σοι· σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἐμυσταγώγητεν ἀληθῶς τὴν Τριάδα, ἐν μιᾷ Θεότητι ὑμνεῖσθαι, καὶ ὑπερυψοῦσθαι Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὁ συναΐδιος τῷ Πατρὶ Θεὸς Λόγος, φίλον σε καὶ κήρυκα καὶ μύστην, ἔδειξε τῆς θείας αὐτοῦ οἰκονομίας.

Θεοτοκίον.

Ὑπερφυῶς τὸν Δημιουργὸν καὶ Σωτῆρα, Θεὸν Λόγον τέτοκας Παρθένε. ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Καθεῖλε τῇ φωσφόρῳ, ῥώμῃ τῆς Τριάδος, τὸ τῆς ζοφώδους ἀπάτης ὀχύρωμα, ὁ κλεινὸς τοῦ Σωτῆρος, Χριστοῦ Ἀπόστολος.

Συνήφθης Ἀποστόλων, Μάκαρ καὶ Μαρτύρων, καὶ Ἀσωμάτων χορείαις γηθόμενος· μεθ' ὧν δυσώπει σωθῆναι, τοὺς σὲ γεραίροντας.

Συνήγαγες τὰ ἔθνη, τὰ ἐσκορπισμένα, δι' Ἀποστόλων καὶ θείων Μαρτύρων Χριστέ· καὶ τὴν βροτῶν Ἐκκλησίαν, ἐν σεαυτῷ ἐνίδρυσας.

Θεοτοκίον.

Ὡραῖος Θεοτόκε, ἔφυ ὁ καρπός σου, οὐχὶ φθορᾶς τοῖς μετέχουσι πρόξενος· ἀλλὰ ζωῆς τοῖς ἐν πίστει σὲ μεγαλύνουσιν.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς ιη΄. τοῦ Ὀκτωβρίου.

## ἈΚΟΛΟΥΘΙΑ εἰς Δύο, καὶ πολλοὺς Ἀποστόλους.

Στιχηρὰ προσόμοια. Ἦχος δ΄.
Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς αὐτόπται καὶ Μάρτυρες, τῆς τοῦ Λόγου σαρκώσεως, Μαθηταὶ πανόλβιοι μακαρίζεσθε. ὡς ἀστραπαὶ γὰρ λαμπόμενοι, τῷ Κόσμῳ ἐφάνητε, καὶ ὡς ὄρη νοητὰ, γλυκασμὸν ἐσταλάξατε· ὡς ἀέναοι, ποταμοὶ Παραδείσου μερισθέντες, τῶν ἐθνῶν τὰς Ἐκκλησίας, θείοις ποτίζετε νάμασι.

Ὡς βολίδες ἀστράπτουσαι, ταῖς ἀκτῖσι τοῦ Πνεύματος, εἰς τὸν Κόσμον ἅπαντα διεπέμφθητε, τὴν τῶν θαυμάτων ἐνέργειαν, ἀφθόνως παρέχοντες, λειτουργοὶ τῶν τοῦ Χριστοῦ, μυστηρίων γενόμενοι, καὶ θεόγραφοι, θείας χάριτος πλάκες γεγραμμέναι, θεοδίδακτον τὸν Νόμον, Ἱερομύσται πανόλβιοι.

Ἁλιέων ὁ κάλαμος, Φιλοσόφων τὸ φρύαγμα, καὶ Ῥητόρων ῥήματα διετάραξε. Θεοσοφίας διδάγματα, χαρίτων καὶ δόγματα, καὶ μυστηρίων ἀγαθῶν, τηλαυγῶς ἐκτιθέμενος, Εὐαγγέλιον· καὶ τρυφῆς ἀϊδίου μετουσίαν, καὶ Ἀγγέλων ἀπολαύσεις, καὶ διαμένουσαν εὔκλειαν.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανὼν, οὗ ἡ ἀκροστιχίς.
Χριστοῦ γεραίρω τοὺς σοφοὺς Ἀποστόλους.

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Χορείαν τῶν Ἀποστόλων μέλπειν σοι, προθυμούμενοι Χριστὲ, ταῖς ἱκεσίαις τούτων ὡς Θεὸς, τὴν ἀκτῖνα τοῦ Πνεύματος, τοῦ Παναγίου δώρησαι, καὶ τὴν λαμπάδα τῆς σοφίας σου.

Ῥωσθέντες ῥώμῃ τῇ σῇ καὶ χάριτι, Χριστὲ τὴν δύναμιν, τῶν ἐναντίων ἔθραυσαν ἐχθρῶν, οἱ σεπτοί σου Ἀπόστολοι, θεοειδεῖς γενόμενοι, ταῖς ἀνενδότοις πρὸς σὲ νεύσεσι.

Ἰάσεις ἐπιτελοῦντες Δέσποτα, τῷ σῷ ὀνόματι, τὰ τῶν ἐθνῶν συστήματα τῇ σῇ, ἐπιγνώσει ἐζώγρησαν, οἱ κλεινοὶ Ἀπόστολοι, καὶ τῷ φωτί σου κατελάμπρυναν.

Σοφίᾳ μαθητευθέντες ἔνδοξοι, Χριστοῦ Ἀπόστολοι, τῇ Οὐρανίῳ πᾶσαν προφανῶς, τῶν σοφῶν ἐμωράνατε, πολυλογίαν ἄχρηστον, τῇ συντονίᾳ τοῦ κηρύγματος.

Θεοτοκίον.

Τὸν φύσει Δημιουργὸν ἐκύησας, ἡμᾶς θεώσαντα, τῇ ὑπὲρ νοῦν ἑνώσει ἀληθῶς, Θεοτόκε πανύμνητε· ὃν ἐκτενῶς ἱκέτευε, φωταγωγῆσαι τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Οὐράνια καὶ σεπτὰ, θεηγοροῦντες ἐπὶ γῆς δόγματα, γλώσσαις πυρὸς φθεγγόμενοι, Κήρυκες Χριστοῦ παρεδώκατε.

Ὑπέδειξας Οὐρανοὺς, τοὺς Μαθητάς σου λογικοὺς Δέσποτα, δόξαν τὴν σὴν ἅπασιν, ἐνδιηγουμένους τοῖς πέρασι.

Γραφέντες ἐν Οὐρανοῖς, καὶ δεδειγμένοι τοῦ Χριστοῦ σύσκηνοι, τοὺς νῦν ἡμᾶς Πάνσοφοι, σέβοντας προθύμως φρουρήσατε.

Θεοτοκίον.

Ἐσκήνωσεν ἐν ἡμῖν, ὁ ἐν ὑψίστοις κατοικῶν Ἄχραντε· οὐδὲ σπορᾶς σάρκα γὰρ, ἐκ σοῦ προσλαβὼν πεφανέρωται.

Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τῇ σαγήνῃ τῶν λόγων τῶν θείων, τοὺς ἰχθύας ζωγροῦντες τοὺς λογικοὺς, τούτους προσηγάγετε, ἀπαρχὴν τῷ Θεῷ ἡμῶν. καὶ τοῦ Χριστοῦ τὰ στίγματα ποθοῦντες ἐνδύσασθαι, μιμηταὶ τοῦ Πάθους αὐτοῦ πεφανέρωσθε. ὅθεν συνελθόντες κατὰ χρέος τιμῶμεν, Ἀπόστολοι ἔνδοξοι, τὴν πανέορτον μνήμην ὑμῶν, καὶ συμφώνως βοῶμεν ὑμῖν· πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην ὑμῶν.

Θεοτοκίον. Ὅμοιον.

Χαῖρε Θρόνε πυρίμορφε τοῦ Θεοῦ· χαῖρε Κόρη καθέδρα Βασιλική. κλίνη πορφυρόστρωτε, χρυσοπόρφυρε θάλαμε· χλαμὺς ἁλουργόχροε, τιμαλφέστατον τέμενος· ἀστραπηφόρον ἅρμα, λυχνία πολύφωτε· χαῖρε Θεοτόκε, δωδεκάτειχε Πόλις, καὶ πύλη χρυσήλατε, καὶ παστὰς ἀγλαόμορφε, ἀγλαόχρυσε τράπεζα, θεοκόσμητον σκήνωμα. χαῖρε εὔδοξε Νύμφη ἡλιοστάλακτε· χαῖρε μόνη ψυχῆς μου διάσωσμα.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τὸν Ἀμνὸν καὶ ποιμένα καὶ λυτρωτὴν, ἡ ἀμνὰς θεωροῦσα ἐν τῷ Σταυρῷ, ἠλάλαζε δακρύουσα,

καὶ πικρῶς ἀνακράζουσα· ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν Σταύρωσιν· ἥνπερ ὑπομένεις, διὰ σπλάγχνα ἐλέους, μακρόθυμε Κύριε, τοῦ ἐλέους ἡ ἄβυσσος, καὶ πηγὴ ἀγαθότητος. σπλαγχνίσθητι καὶ δώρησαι, τῶν πταισμάτων ἄφεσιν τοῖς πίστει σου, ἀνυμνοῦσι τὰ Θεῖα Παθήματα.

ᾨδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Ῥημάτων θείων ὁ φθόγγος τῶν Ἀποστόλων, πυρσοφανῶς διῆλθε τὴν Οἰκουμένην πᾶσαν· πλάνης μὲν τὴν ὕλην ἐμπιπρῶν, φωτίζων δὲ χάριτι, τὰ τῶν εὐσεβούντων συστήματα.

Ἀμαυρωθέντα τῷ ζόφῳ τῆς ἀθεΐας, θεοφεγγεῖς φωστῆρες, οἱ Μαθηταὶ φανέντες, Κόσμον κατελαμπρύνατε, ἀκτῖσι τῆς χάριτος, καὶ μαρμαρυγαῖς τοῦ κηρύγματος.

Ἱερωτάταις λαμπάσιν ἠγλαϊσμένοι, τοῦ νοητοῦ Ἡλίου, ὡς Ἥλιοι ἐν Κόσμῳ, λάμπετε πανεύφημοι, φωτὶ τῆς Θεότητος, πλάνης τὴν ἀχλὺν ἐκδιώκοντες.

Ῥάβδον δυνάμεως ἔχοντες τὸν Σταυρόν σου, τὴν ἁλμυρὰν τοῦ βίου, οἱ Αὐτόπται σου Λόγε, θάλασσαν διέτεμον, ὡς ἵπποι ταράσσοντες, τῆς πολυθεΐας τὰ κύματα. Θεοτοκίον.

Ὡραϊσμένος ποικίλῃ φωτοχυσίᾳ, ὁ Οὐρανὸς ὁ ἔμψυχος, σὺ τοῦ Βασιλέως, τῶν βασιλευόντων Χριστέ, Παρθένος ἡ ἄχραντος, νῦν ὡς Θεοτόκος δοξάζεται.

ᾨδὴ ε΄. Σὺ Κύριέ μου Φῶς.

Τοὺς θείους σου Χριστέ, καὶ πανσόφους θεράποντας, φῶς ἔδειξας ἐν τῷ Κόσμῳ, σὲ τὸ ἄδυτον φέγγος, τοῖς πᾶσιν ἐξαγγέλλοντας.

Οἱ πᾶσαν ἀρετὴν, προφανῶς ἐξασκήσαντες, Ἀπόστολοι τῆς ποικίλης, τῶν δαιμόνων κακίας, τοὺς βρόχους διελύσατε.

Ὑπέφηναν ἡμῖν, τῆς Τριάδος τὴν ἔλλαμψιν, Θεότητος ἐν μονάδι, οἱ πυρίναις ἐν γλώσσαις, φθεγγόμενοι Ἀπόστολοι. Θεοτοκίον.

Σὲ ὅπλον ἀρραγὲς, κατ' ἐχθρῶν προβαλλόμεθα· σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

ᾨδὴ ς΄. Θύσουσι, μετὰ φωνῆς.

Στηρίξας, τοὺς Μαθητὰς σοφίᾳ καὶ θαύμασι, δυνατωτέρους εἰργάσω, τῆς Ἑλλήνων Σῶτερ ἐρεσχελίας· καὶ τὰ τούτων, ἀπατηλὰ κατήργησαν δόγματα.

Οἱ θεῖοι, ποταμοὶ τῆς Σοφίας ἐπλήρωσαν, τῶν σωτηρίων ναμάτων, τὰς κοιλάδας πάσας τῆς Ἐκκλησίας, σωτηρίου ἐκ τῶν πηγῶν τὰ ῥεῖθρα πλουτήσαντες.

Φανέντες, ζωτικοὶ ὡς ἀστέρες Πανόλβιοι, διασκεδάσατε πᾶσαν, τὴν ζοφώδη πλάνην ταῖς φωτοβόλοις, λαμπηδόσι, θεογνωσίας φέγγος ἀστράψαντες. Θεοτοκίον.

Ὅλως σε, περιστερὰν τελείαν καὶ πάγκαλον, καὶ τηλαυγὲς ἀγρῶν κρίνον, καὶ κοιλάδων ἄνθος, ὦ Θεομῆτορ, ὁ Νυμφίος, ὁ νοητὸς ἐν σοὶ κατεσκήνωσεν.

ᾨδὴ ζ΄. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Υἱοθετήσας τοὺς Μαθητάς σου πρὶν ὁ φύσει Θεὸς, ὄντως κληρονόμους ἔδειξας πατρικῆς, κληρουχίας ὑπεράγαθε· καὶ συνοδεύειν σοι, ὡς Θεῷ καὶ Δεσπότῃ ηὐδόκησας.

Σοφίας χύμα, καρδίας πλάτος, γλῶσσαν εὔλαλον, Λόγε παρασχὼν, τοῖς θείοις σου Μαθηταῖς, ἐξαπέστειλας κηρύττοντας, τὸ Εὐαγγέλιον, τῆς Βασιλείας πᾶσι τοῖς ἔθνεσιν.

Ἀναφανέντες ὥσπερ νεφέλαι, θείου φωτὸς, πᾶσιν ἐπομβρεῦσιν ὕδωρ ζωοποιὸν, οἱ Ἀπόστολοι κραυγάζοντες· εὐλογημένος εἶ, ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε. Θεοτοκίον.

Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ὤφθης Ἄχραντε, μόνη ἐξ αἰῶνος Λόγον τὸν τοῦ Θεοῦ, δεξαμένη Μητροπάρθενε· εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις πανάμωμε Δέσποινα.

ᾨδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὁ θεῖος καὶ πάνσοφος χορὸς, τῶν Ἀποστόλων Χριστοῦ, πυρὶ τοῦ Πνεύματος, ὡς ὕλην εὔπρησον ἔφλεξε, τῶν δαιμόνων τὰ σεβάσματα· καὶ τὰς καρδίας τῶν πιστῶν, ἐφωταγώγησε τῶν βοώντων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Συμφώνως τοὺς θείους Μαθητὰς, καὶ Ἀποστόλους Χριστοῦ, τοὺς τὰ οὐράνια ἡμῖν βροντήσαντας δόγματα· τοὺς λειμῶνας τοὺς τῆς πίστεως, τοὺς εὐεργέτας τοὺς κοινοὺς, τῆς ἀνθρωπότητος, τοῦ Σωτῆρος τοὺς ὑπηρέτας, ἐν ὕμνοις τιμήσωμεν.

Τὰ πάνσεπτα καὶ χωρητικὰ, δοχεῖα τῶν ἀρετῶν, τὰς τῶν βροτῶν ἀπαρχὰς, τὰς τοῦ κηρύγματος σάλπιγγας, τοὺς χειμάρρους τῆς ἀφθάρτου ζωῆς, τὰς θεοφόρους ἀστραπὰς, τῶν ἰαμάτων πηγὰς τοὺς ὡραίους πόδας, τοῦ Εὐαγγελίου τιμήσωμεν. Θεοτοκίον.

Ὁ πλήρης κενοῦται δι' ἡμᾶς, ἵνα πληρώσεως αὐτοῦ μετάσχωμεν· τῇ γὰρ παναχράντῳ μήτρᾳ σου, ὁ ἀπερίληπτος Λόγος, τῶν πατρικῶν οὐκ ἀποστὰς, κόλπων σεσάρκωται. ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

ᾨδὴ θ΄. Λίθος ἀχειρότμητος ὄρους.

Λύειν τὰ δεσμὰ τῶν πταισμάτων, τὴν ἐξουσίαν εἰληφότες, παρὰ τοῦ Δεσπότου Θεόπται· τὰς ἁμαρτίας τῶν ἀνυμνούντων ὑμᾶς, συμπαθῶς ἐξαλείψαντες, τῆς σωτηρίας ἀξιώσατε.

Ὅλην τὴν τοῦ Πνεύματος αἴγλην, οὐσιωδῶς ὑμῖν φανεῖσαν, πάντες ὑπεδέξασθε Σοφοὶ, ἐν ὑπερῴῳ μυσταγωγούμενοι, τὰ ὑψηλὰ διδάγματα· καὶ νῦν ἀξίως μακαρίζεσθε.

Ὑμῖν ὁ Χριστὸς νῦν τοῖς φίλοις, ἀναπαυσάμενος βραβεύει, τοὺς ἀμαραντίνους στεφάνους, καὶ θεωρίας θείας ἐμπίπλησιν. ὅνπερ νῦν δυσωπήσατε, τὰς Ἐκκλησίας διασῴζεσθαι. Θεοτοκίον.

Σαρκὶ ἐπιδημῆσαι θελήσας, ὁ διακοσμήσας πάντα λόγῳ, ἐν σοὶ κατεσκήνωσε μόνην, Ἁγιωτέραν πάντων εὑράμενος· καὶ Θεοτόκον ἔδειξεν, ἐπ' ἀληθείας Μητροπάρθενε.

Εἰς τὴν Λειτουργίαν, ζήτει ἅπαντα εἰς τὰς ιη΄. τοῦ Ὀκτωβρίου.

## ἈΚΟΛΟΥΘΙΑ εἰς Ἕνα Προφήτην.

Στιχηρὰ προσόμοια, ἦχος δ΄.
Ὁ ἐξ ὑψίστου κληθείς.

Τὸν σὸν Προφήτην ὡς ἔμψυχον νεφέλην, ἔδειξας Ἀθάνατε ὕδωρ ἁλλόμενον, εἰς ζωὴν ὄντως αἰώνιον· ἐξαπέστειλας, τοῦτον πλουσίως καὶ χαριτάμενος, τὸ Πνεῦμα τὸ Ἅγιον καὶ Ὁμοούσιον, σοὶ τῷ Πατρὶ Παντοκράτορι, καὶ τῷ Υἱῷ σου, τῷ ἐκ τῆς σῆς οὐσίας ἐκλάμψαντι· δι' οὗ προεῖπε τὴν σωτήριον,

παρουσίαν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ τοῖς ἔθνεσι πᾶσι, σωτηρίαν προεθέσπισεν.

Ὁ Τὴν ἀκτῖνα τῆς θεαρχικωτάτης, αἴγλης εἰσδεξάμενος νοῦ καθαρότητι· καὶ θείων λόγων προσήγορος, καὶ προσημαντὼρ, καὶ ὑποφήτης θεῖος γενόμενος, στόμα θεοκίνητον ὤφθης τοῦ Πνεύματος· τὰ παρ᾽ αὐτοῦ σοι δεικνύμενα, διαβιβάζων, καὶ σαφηνίζων πᾶσι τοῖς ἔθνεσι· δοθησομένην σωτηρίαν, καὶ Βασιλείαν Χριστοῦ πανσεβάσμιε· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ Θεοπτίᾳ λαμπόμενος ἀξίᾳ, καὶ προφητικῇ θεωρίᾳ καὶ χάριτι, τετιμημένος Θεόπνευστε, καὶ τῆς ἐνθέου, ἠξιωμένος μακαριότητος· τῇ πρὸς τὸν πανάγαθον νῦν παρρησίᾳ σου, καὶ συμπαθείᾳ χρησάμενος, καθικετεύων, μὴ διαλίπῃς ὑπὲρ τῶν πίστει σε, εὐφημούντων καὶ τιμώντων σε, ὡς Θηγόρον σεπτὸν καὶ θεόληπτον, ἐκ κινδύνων ῥυσθῆναι, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α΄. Ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Σὲ δυσωποῦμεν Προφῆτα τῷ τοῦ Θεοῦ, παρεστῶτα βήματι, ἱκετεύειν ἐκτενῶς, φωτισμὸν δωρήσασθαι ἡμῖν, τοῖς ἐν πίστει τὴν σεπτὴν, ὑμνοῦσι μνήμην σου.

Ὄργανον θεῖον ἐδείχθης χωρητικὸν, τῶν τοῦ θείου Πνεύματος, φωτισμῶν καὶ δωρεῶν, ἀπολαύσας Πάνσοφε. διὸ, γεγηθότες οἱ πιστοὶ, σὲ μακαρίζομεν.

Θεοτοκίον.

Φαεινοτάταις ἀκτῖσι πᾶσαν τὴν γῆν, ὁ ἐκλάμψας Ἥλιος, ἐξ ἁγίας σου Γαστρὸς, καταυγάζει Δέσποινα· δι᾽ ὧν, φωτισθέντες σὲ Θεοῦ Μητέρα σέβομεν.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ὁ Πάντα βλέπων ὡς Θεὸς, τῶν μελλόντων τὴν γνῶσιν, καὶ τῶν γενησομένων, τὴν εἴδησίν σοι σαφῆ, προφαίνει θεοπρεπῶς, καὶ δεικνύει, Μάκαρ ἀξιάγαστε.

Νευρώσας Μάκαρ σου τὸν νοῦν, εὐσεβεῖ παρρησίᾳ, τῷ Πνεύματι τῷ θείῳ, ὑπέκλινας σεαυτόν. καὶ γέγονας δεκτικὸς, τῶν ἐκεῖθεν, θείων ἐπιλάμψεων.

Θεοτοκίον.

Ἰδοῦσε πᾶσαι γενεαὶ, μακαρίζουσι πίστει, τὴν τὸν ἄχρονον Λόγον, ἐν σώματι χρονικῶς, τεκοῦσαν ὑπερφυῶς, καὶ Παρθένον πάλιν διαμείνασαν.

Κάθισμα, ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Προφήτης ὁ σεπτὸς, ἐπιλάμψεσι θείαις, τὸν νοῦν φωτοειδῆ, κεκτημένος θεσπίζει, τὰ μέλλοντα Πνεύματι, παναγίῳ φθεγγόμενος· τοῦτον σήμερον, εὐσεβοφρόνως τιμῶντες, ἐκτελέσωμεν τὴν ἱερὰν αὐτοῦ μνήμην, καρδίας εὐθύτητι.

Θεοτοκίον. Ὅμοιον.

Ἐλπὶς Χριστιανῶν, Παναγία Παρθένε, ὃν ἔτεκες Θεὸν, ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε, σὺν ταῖς ἄνω Δυνάμεσι, δοῦναι ἄφεσιν, ἁμαρτιῶν ἡμῖν πᾶσι, καὶ διόρθωσιν, βίου τοῖς πίστει καὶ πόθῳ, ἀεί σε δοξάζουσι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἄσπιλος Ἀμνὰς, τὸν Ἀμνὸν καὶ Ποιμένα, κρεμάμενον νεκρὸν, ἐπὶ ξύλου ὁρῶσα, θρηνοῦσα ἐφθέγγετο μητρικῶς ἀλαλάζουσα· πῶς ἐνέγκω σου, τὴν ὑπὲρ λόγον Υἱέ μου, συγκατάβασιν, καὶ τὰ ἑκούσια Πάθη, Θεὲ ὑπεράγαθε;

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Ὁ Πάντων Κύριος, ἡμῖν ἐπέφανε, κατὰ τὴν Προφητείαν, Μάκαρ τὴν σὴν, πάντας προσκαλούμενος, πρὸς τὴν ἐπίγνωσιν αὐτοῦ, καὶ δουλείας ἠλευθέρωσε.

Ὑπὸ τῆς χάριτος, καταυγαζόμενος, προηγόρευσας λέγων ὑπὸ ζυγὸν, εἶναι προσκυνοῦντας τελεῖν, τοὺς ἑλομένους τὴν Πίστιν, καὶ Κυρίῳ τοὺς λατρεύοντας.

Θεοτοκίον.

Μαρία Πάναγνε, παθῶν τὴν σύγχυσιν, τῆς ἐμῆς διανοίας, καὶ πειρασμῶν, ζάλην διασκέδασον, τῆς ἀπαθείας τὴν πηγὴν, ἡ τεκοῦσα Μητροπάρθενε.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.

Ἐξ ἀδικίας πρὸς ἀρετὴν, ἐκ τῆς τῶν παθῶν αἰχμαλωσίας με μάκαρ ἐπίστρεψον, ταῖς σαῖς ἱκεσίαις Προφῆτα ἔνδοξε, καὶ πρὸς φῶς εὐσεβείας ἔργων κατεύθυνον.

Καταλαμπρύνας σου τὴν ψυχὴν, ταῖς τῶν ἀρετῶν εὐμορφίαις, ἐπιτηδείαν ἀνέδειξας, πρὸς τὰς λαμπηδόνας τοῦ Θείου Πνεύματος· ἐξ οὗ καὶ προφητείας χάριν ἐπλούτησας.

Θεοτοκίον.

Ὑποφωνοῦσι Προφητικαὶ, ῥήσεις Παναγία, διὰ πλειόνων συμβόλων τὸν τόκον σου· ὧν νῦν τὰς ἐκβάσεις ἡμεῖς θεώμενοι, κυρίως Θεοτόκον σε καταγγέλλομεν.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Δεχόμενος Ἔνδοξε, τὰς τοῦ Πνεύματος αὐγὰς, διαφανὲς ὡς ἔσοπτρον, προφητείας ἐνθέου μαρμαρυγὰς, τῷ Κόσμῳ ἐξήστραψας, ὡς παρόντα θεσπίζων τὰ ἐσόμενα.

Ὁ Σὸς ἐπεδήμησε, Βασιλεὺς χαῖρε Σιὼν, καὶ κατατέρπου βλέπουσα· καὶ τὸν Κόσμον ἐφώτισεν ἀστραπαῖς, ἰδίας Θεότητος, καὶ δαιμόνων τὴν πλάνην ἐθριάμβευσε.

Θεοτοκίον.

Σαρκὸς πηλικότητι, ἑνωθεὶς ὁ ἐκ Πατρὸς, Μονογενὴς ἐν μήτρᾳ σου, εἷς ἐκ δύο προῆλθε δίχα φθορᾶς, τηρήσας ἀλώβητον, τὴν σεπτὴν Παρθενίαν σου Πανύμνητε.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ἀνατέταλκεν ἡ μνήμη σου θεσπέσιε, Κόσμῳ καθάπερ Ἥλιος, καταυγάζουσα προφητείας χάριτι τῆς σῆς, συμφώνως τοὺς ψάλλοντας Χριστῷ· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Γονιμωτέρα νεφέλη σὺ δεικνύμενος, ὄμβρον θεογνωσίας ἡμῖν, ἐξανέτειλας σωτηρίου μάκαρ ἐκ πηγῆς, δι᾽ ἧς φωτιζόμεθα βοᾶν· εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Λόγος ὁ πάλαι τὸ εἶναι παρεχόμενος, πᾶσι θείῳ βουλήματι, ἀνακαλέσασθαι βουληθεὶς τὸν ἄνθρωπον Ἁγνὴ, ἐν σῇ κατεσκήνωσε γαστρί· εὐλογημένη ἡ Θεὸν σαρκὶ κυήσασα.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ἀνακείμενος ὅλος τῷ Παντοκράτορι, τῆς προνοίας τοὺς τρόπους μεμυσταγώγησαι, οἰκονομικῶς ἔθνη πάντα παιδεύοντας. ὅθεν σε ὑμνοῦμεν, Προφῆτα Θηγόρε.

Ἱκετήριον ὕμνον ἀεὶ προσάγαγε, ὑπὲρ τῶν σὲ ὑμνούντων Θεομακάριστε· καὶ τῶν πειρασμῶν ἡμῶν λῦσον τὸν τάραχον, ἵνα σε ὑμνῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ζωοδότην τεκοῦσα Θεὸν καὶ Κύριον, τοῦ θανάτου τὴν ῥύμην ἔστησας Πάναγνε, σὺ τὴν ἀκατα-

χέτως πάντας νεκρώσασαν· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

ΕΝ γῇ πραέων σὺ κατεσκήνωσας, ἔνθα πολλῶν Ἀγγέλων ἐποπτάνεις λαμπρότητας, ὦ Προφῆτα πάνσοφε, θεράπον Χριστοῦ, πρᾶος γεγενημένος, λάμπων τῇ χάριτι· ὅθεν γεγηθότες οἱ πιστοὶ σὲ μακαρίζομεν.

ΤΩν σῶν προῤῥήσεων Πανασίδιμε, περιφανῶς ὁρῶντες γενομένην τὴν ἔκβασιν, τὴν δοθεῖσάν σοι χάριν θαυμάζομεν, καὶ τὴν τῆς διανοίας σου καθαρότητα· καὶ τὸ τῆς ψυχῆς θεοειδὲς καταπληττόμεθα.

Θεοτοκίον.

ΩΣ σὺ οὐδέποτε κεχαρίτωται, ἐκ γενεῶν ἀρχαίων Θεομῆτορ πανάμωμε. σὺ γὰρ μόνη τὴν πασῶν ἀσύγκριτον, ἔχεις ἁγιωσύνην καὶ καθαρότητα. ὅθεν ὑπεδέξω τὸν Θεὸν ἐν σοὶ σαρκούμενον.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς κ'. τοῦ Ἰουλίου.

---

ἈΚΟΛΟΥΘΙΑ εἰς Δύο, καὶ πολλοὺς Προφήτας.

Στιχηρὰ προσόμοια, ἦχος α'.
Πανεύφημοι Μάρτυρες.

ΠΡοφῆται πανεύδοξοι ὑμεῖς, βασιλεῖς ἠλέγξατε, λαῶν τε θράσει αὐτέστητε, Θεὸν κηρύττοντες, ἐν Τριάδι ἕνα, καὶ θερμῶς ἐλαύνοντες, τὴν πλάνην ἀπὸ γῆς τὴν πολύθεον· καὶ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

ΠΡοφῆται πανεύδοξοι ὑμεῖς, ἀσεβῶς πλανώμενοι, ἐν ἐρημίαις καὶ ὄρεσι, καὶ κακουχούμενοι, ἐν λιμῷ καὶ δίψει, ὡς Θεοῦ θεράποντες, Χριστῷ ἐν Οὐρανοῖς συναυλίζεσθε· καὶ νῦν πρεσβεύσατε δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

ΠΡοφῆται πανεύδοξοι ὑμεῖς, καρτερῶς πελόμενοι, βολαῖς τε λίθων βαλλόμενοι, καὶ θανατούμενοι, ἐν μαχαίρας φόνῳ, ἀσεβείας ἕνεκα, λαμπροὶ διὰ τῶν ἄθλων γεγόνατε· καὶ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς.

Χορὸς κροτείσθω τῶν Προφητῶν ἀξίως.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ἵππον καὶ ἀναβάτην.

ΧΑρισμοὶ δωρηθῆναι τοῦ Θείου Πνεύματος, τὴν σεπτὴν ὑμῶν μνήμην, ὑμνοῦντι τὸν παναίτιον, Χριστὸν ἱκετεύσατε, καὶ πταισμάτων ἄφεσιν, ὡς Προφῆται τῆς θείας χάριτος.

ΟΡγανα Θεοπνεύστων λογίων ἠχητικὰ, καὶ ἔσοπτρα τῆς θείας, μαρμαρυγῆς τὴν ἔμφασιν, εὐθέως δεχόμενα, τοὺς Προφήτας ἅπαντας, τοὺς Θεοφόρους ἀνυμνήσωμεν.

ΡΗματα τὰ τοῦ Νόμου ἐν ὄρει τῷ τοῦ Σινᾶ, Μωϋσῆς ὁ Θεόπτης, παρὰ Θεοῦ δεξάμενος, τὴν ὄψιν ἐλάμπρυνε, Θεοπτίας χάριτι, σημειούμενος ὁ θεσπέσιος.

ΟΜβροις θεογνωσίας τὴν θάλασσαν τῶν ἐθνῶν, τὴν τῆς πολυθείας, χάριτι αἱ νεφέλαι Θεοῦ, μετ' ἤχου κατέκλυσαν, μοναρχίας δύναμιν, θεϊκῶς ἀνακηρύττοντες.

Θεοτοκίον.

ΣΑλπιγγες Θεηγόροι Μυστήρια τοῦ Θεοῦ, ἐπ' ἐσχάτων αἰώνων, γεννησομένην Πάναγνε, Προφῆται θεσπίζουσι, μυηθέντες ἄνωθεν, Θεοτόκε τὰ σὰ μυστήρια.

Ὠδὴ γ'. Ὁ πήξας ἐπ' οὐδενός.

ΚΙθάραι τοῦ Πνεύματος τῷ πλήκτρῳ κρουόμεναι, οἱ Προφῆται πάντες τὸ παναρμόνιον, μέλος τῆς σῆς γνώσεως Χριστὲ, πᾶσι θεολογοῦντες, τοῖς φιλοθέοις ἀναμέλπουσιν, ἄνωθεν πλουτοῦντες τὴν ἔλλαμψιν.

ΡΟμφαῖαι ἐξεγειρόμεναι τῇ προστάξει σου, οἱ Προφῆται πάντες τὴν πολυτάραχον, πλάνην διακόπτουσι Χριστὲ, θείᾳ σου δυναστείᾳ, οἱ εὐσεβῶς περιζωσάμενοι, καὶ τὸ ἀκατάληπτον κράτος σου.

ΟΙ θεῖοι καὶ νοητοὶ κρατῆρες τῆς γνώσεως, οἱ Προφῆται πάντες τὴν γῆν ἐμέθυσαν, προδιατυποῦντες ἐμφανῶς, τῆς σῆς Οἰκονομίας, τὸ δυσθεώρητον Μυστήριον, ἄλλος, ἀλλαχοῦ σε κηρύττοντες.

Θεοτοκίον.

ΤΟ πάλαι προορισθὲν Παρθένε Μυστήριον, καὶ πρὸ τῶν αἰώνων προγινωσκόμενον, τῷ πάντα γινώσκοντι Θεῷ, χρόνων νῦν ἐπ' ἐσχάτων, ἐν τῇ νηδύϊ σου Πανάμωμε, πέρας εἰληφὸς ἀναδέδεικται.

Κάθισμα, ἦχος πλ. δ'.

ΝΥν ὁ χορὸς τῶν Προφητῶν, μετὰ Μωσῆ καὶ Ἀαρὼν, εὐφροσύνῃ εὐφραίνεται σήμερον· ὅτι πέρας τῆς Προφητείας ἐπαγαγὼν, λάμπει ὁ Σταυρὸς, ἐν ᾧ ἡμᾶς ἔσωσας. ταῖς αὐτῶν ἱκεσίαις, Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.

Θεοτοκίον. Ὅμοιον.

ΘΕοτόκε μὴ παρίδῃς με δεόμενον, ἀντιλήψεως καὶ βοηθείας τῆς παρὰ σοῦ. ἐπὶ σοὶ γὰρ πέποιθεν, ἡ ψυχή μου, ἐλέησόν με.

Ὠδὴ δ'. Τὴν θείαν ἐννοήσας σου κένωσιν.

ΕΝ Πνεύματι Προφῆται θεώμενοι, τῆς ἀληθείας ἀπλανεῖς, φωστῆρες ὤφθητε πάνσοφοι, καταφωτίζοντες πάντα, τὰ ἔθνη τῇ τοῦ βίου λαμπρότητι.

ΙΔὲ νῦν τὰς ἐκβάσεις θεώμενοι, τῶν εἰρημένων ὑφ' ὑμῶν, Προφῆται θεῖοι δοξάζομεν τὸν δι' ἡμᾶς κηρυχθέντα, καὶ ἔργῳ τὰς προῤῥήσεις πληρώσαντα.

ΣΟφίᾳ θείῃ φωτιζόμενοι, τὴν τῶν ἐθνῶν προσαγωγὴν, τῇ θείᾳ χάριτι ἔγνωτε, τοῦ Ἰσραήλ τε τὴν πτῶσιν, καὶ πάντων ἀγαθῶν τὴν ἐρήμωσιν.

Θεοτοκίον.

ΘΕὸν σεσαρκωμένον ὀψόμενοι, ἐπὶ τῆς θείας φυλακῆς, σταθέντες τοῦτον πανόλβιοι, κατηξιώθητε βλέπειν, ἐξ ὄρους κατασκίου ἐρχόμενον.

Ὠδὴ ε'. Ὁ ἀναβαλλόμενος.

ΩΡθρισε τὸ πνεῦμά σου, πρὸς τὸν καθήμενον ἐπὶ τοῦ θρόνου τοῦ ἐπηρμένου, Ἡσαΐα πάνσοφε, καὶ ταῖς ἀνωτάταις χορείαις συνανύμνησας.

ΤΑς γλώσσας τῷ Πνεύματι, κινοῦντες Ἅγιοι, τοὺς τούτου λόγους, τῇ Οἰκουμένῃ, ἀπαθῶς κηρύττοντες, τῆς θεογνωσίας τὸ φέγγος ἐτρανώσατε.

ΩΣπερ καταγώγια Θεοῦ γενόμενοι, τὰ ὑπὲρ φύσιν τελοῦντα τοῦτον, ἐν ὑμῖν ἐσχήκατε· ὧν νῦν παρεστῶτες, ὑπὲρ ἡμῶν πρεσβεύσατε.

Θεοτοκίον.

ΝΟῦν αὐτὸν τὸν πάνσοφον, καὶ τὴν ἀρχαίαν βουλὴν, ὑμῖν Προφῆται τῆς ἀληθείας, ὁ Θεὸς ἐγνώρισεν, ὁ ἐκ τῆς Παρθένου, τεχθεὶς ὡς μόνος εὔσπλαγχνος.

Ὠδὴ ς'. Μαινομένην κλύδωνι.

ΠΟλιτείαν ἔνθεον, εὐσεβείας λόγον ἀληθῆ, κεκτημένοι Κήρυκες γεγόνατε, παναληθεῖς θείας σαρκώσεως Ἅγιοι.

Ρ'Ώμην θείαν ἔχοντες, Βασιλέων ἄσχετον ὁρμὴν, καὶ θηρῶν τὰ στόματα ἐφράξατε, καὶ ἐκ γαστρὸς τοῦ κήτους σῶοι ἐῤῥύσθητε.

Ο'Ἱ ἐκ μήτρας Ἅγιοι, ἐν τῷ Κόσμῳ λάμποντες παντὶ, ἀρετῆς Διδάσκαλοι γεγόνατε, καὶ φυτουργοὶ Προφῆται πάντες πανόλβιοι.

Θεοτοκίον.

Φ Ιλοθέους ἔχοντες, διανοίας γέννησιν τὴν σὴν, οἱ Προφῆται Δέσποινα προήγγειλαν, σὲ τυπικοῖς καὶ πολυτρόποις συμβόλοις Ἁγνή.

Ὠδὴ ζ'. Ὁ ὑπερυψούμενος.

Η' Ἀπειροδύναμος, τοῦ Κυρίου δύναμις, ἐν λάκκῳ τοὺς λέοντας, σοφῶς ἐχαλιναγώγησε, βοῶντι τῷ Προφήτῃ· ὁ Θεὸς εὐλογητὸς εἶ.

Τ Ριάδος ἰσάριθμοι, τῆς σεπτῆς ὑπάρχοντες, τὴν φλόγα κατέσβεσαν, οἱ πάνσοφοι Παῖδές σου, συμφώνως μελῳδοῦντες· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ω'Σ φωστῆρες λάμποντες, ἀρετῶν ἐν ἄνθεσι, τὴν γῆν οὐρανώσαντες, Ἀβραὰμ ἀπόγονοι, Προφῆται μελῳδοῦντες· ὁ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ν Ό'μους τοὺς τῆς φύσεως, ὑπερέβης Δέσποινα, τεκοῦσα τὸν Κύριον, τὸν μόνον δεσπόζοντα, ᾧ πάντες μελῳδοῦμεν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Σοὶ τῷ παντουργῷ.

Ε' Νδον τῆς τρυφῆς, τοῦ Παραδείσου ὄντες, Προφῆται θεόληπτοι, χορείαν στήσαντες, πάντας τοὺς πίστει ὑμᾶς εὐφημοῦντας, ῥύσασθαι κινδύνων, Χριστὸν ἐκδυσωπεῖτε.

Υ'Μνον οἱ πιστοὶ, τοῖς θεηγόροις πᾶσι, Προφήταις προσφέρωμεν χορείαν πλέξαντες, πάντες οἱ τούτων, τοῖς λόγοις στηριχθέντες, ἵνα ταῖς πρεσβείαις, αὐτῶν δικαιωθῶμεν.

Σ Κεύη νοητὰ, τῆς εὐωδίας πάντες, Προφῆται τοῦ Πνεύματος σαφῶς γενόμενοι, πάντα τὰ ἔθνη, πρὸς γνῶσιν ὁδηγοῦντες, καὶ ὑπερυψοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Σ Ὺ τὴν τοῦ Πατρὸς, θεαρχικὴν ἀκτῖνα, Παρθένε γεγέννηκας, σαρκὸς προσλήμματι. ὅθεν ἀπαύστως τὸ χαῖρέ σοι βοῶμεν, καὶ ὑπερυψοῦμεν, ἁγνὴ εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἡσαΐα χόρευε.

Ο' Μοφρόνως δεῦτε νῦν, τοὺς Προφήτας πάντας τοῦ Θεοῦ, θαυμάτων τοὺς τελεστὰς, τὴν ὑπερφυῶν, τὸ κλῆμα τὸ εὔτιμον, τὴν ἐκλογὴν τὴν ἐξ Ἰακὼβ, ὡς προκηρύξαντας, τὸν Χριστὸν εὐφημήσωμεν.

Χ Ἀρμονῆς προάγγελοι, παγκοσμίου Κήρυκες σαφῶς, καὶ γνώσεως φαιδροὶ, θεῖοι θησαυροὶ, σοφίας γεγόνατε, παναληθεῖς, στόματα ἁγνὰ, γλῶσσαι τοῦ Πνεύματος, τοῦ Ἁγίου πανσεβάσμιοι.

Ω'Σ Προφῆται πάνσοφοι, τὸν τῶν ὅλων Κτίστην καὶ Θεὸν, ὁρῶντες ὡς ἐφικτὸν, καὶ τῇ παρ' αὐτοῦ αἴγλῃ φωτιζόμενοι, τοὺς τὴν ὑμῶν, μνήμην εὐλαβῶς, πίστει γεραίροντας, ἐκ κινδύνων διασώσατε.

Θεοτοκίον.

Σ Ωτηρίας πρόξενος, τοῖς ἀνθρώποις γέγονας Ἁγνὴ, γεννήσασα σαρκικῶς, τὸν Δημιουργὸν, Σωτῆρα καὶ Κύριον, τὸν διὰ σοῦ, πᾶσιν ἱλασμὸν, τοῖς μεγαλύνουσι, σὲ Παρθένε παρεχόμενον.

Εἰς τὴν Λιτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς κοινὰς [illegible].

# ἈΚΟΛΟΥΘΙΑ εἰς Ἕνα Μάρτυρα.

Στιχηρὰ προσόμοια, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Φ Οινιχθεῖσαν ἐν αἵματι, τῆς σαρκός σου ἐνδέδυσαι, πορφυρίδα ἔνδοξε θείᾳ χάριτι· καὶ κορυφῇ σῇ διάδημα, ἐπαναδησάμενος, ἀφθαρσίας καὶ ζωῆς· τοῦ Σταυροῦ τε τὸ τρόπαιον, Μάρτυς πάνσοφε, δεξιᾷ περιφέρων ὥσπερ σκῆπτρον, τῷ Χριστῷ συμβασιλεύεις, διαπαντὸς εὐφραινόμενος.

Σ Τρατιώτης ἀήττητος, ἐγνωρίσθης Ἀοίδιμε· τοῦ Σταυροῦ τὸ ὅπλον γὰρ, συμφραξάμενος, πρὸς συμπλοκὴν ἐξελήλυθας, ἐχθροῦ πολεμήτορος, καὶ κατέῤῥαξας αὐτὸν, ἀριστεύσας λαμπρότατα· καὶ τὸν στέφανον, εἴληφας τὸν τῆς νίκης ἐκ τοῦ μόνου, ἀθλοθέτου καὶ Δεσπότου, καὶ εἰς ἀεὶ βασιλεύοντος.

Τ Οῖς τιμίοις σου πάθεσι, Πάθος τίμιον ἔνδοξε, Ἀθλητὰ ἀήττητε ἐξεικόνισας· καὶ νικηφόρος γενόμενος, τὴν ἄνω Μητρόπολιν, μετὰ πάντων κατοικεῖς, Ἀθλοφόρε γηθόμενος, καὶ θεούμενος, κατὰ μέθεξιν θείαν, διὰ τοῦτο, τὴν σεπτήν σου καὶ ἁγίαν, ἐπιτελοῦμεν πανήγυριν.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών. Ἰωσήφ.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Τ Ὸν θεῖον ἀγῶνα Μάρτυς Χριστοῦ, διηγωνισμένος, ἠξιώθης ἐπιτυχεῖν, τῆς ἐπουρανίου Βασιλείας, ὑπὲρ τοῦ Κόσμου πρεσβεύων ἀοίδιμε.

Η' Λλοίωσας δόγμα τυραννικὸν, ἐνθέοις ἀγῶσιν· ἀλλὰ δέομαι Ἀθλητὰ, ταῖς σαῖς μεσιτείαις οἰκτειρόν με, πρὸς τὰ κακὰ ἀλλοιούμενον πάντοτε.

Ν Αοὺς χρηματίσας τοῦ Παντουργοῦ, τοὺς ἐν τῷ τεμένει, τῷ σεπτῷ σου, Μάρτυς Χριστοῦ, ἀνυμνολογοῦντας ταῖς εὐχαῖς σου, κατοικητήρια δεῖξον τοῦ Πνεύματος.

Θεοτοκίον.

Ο' Πλήρης κενοῦται ἐν τῇ γαστρὶ, τῇ σῇ μὴ κενώσας, τοὺς πατρῴους κόλπους Ἁγνή. τοῦτον οὖν δυσώπει σωτηρίας, καταξιῶσαι τοὺς πίστει τιμῶντάς σε.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

Γ Ένος, περιφάνειαν, καταλιπὼν Χριστοῦ ἐπόθησας, Μάρτυς θανεῖν, ὅπως ἀπολαύσῃς, τὴν ζωὴν τὴν αἰώνιον.

Δ Ὸς ἡμῖν βοήθειαν, τοῖς κινδυνεύουσι πάντοτε, ταῖς κοσμικαῖς, Μάρτυς ἐπηρείαις, καὶ δειναῖς περιστάσεσιν.

Ο' Λβιος γενόμενος, καὶ φωτισμοῦ παντὸς ἔμπλεως, πάντας πλουτεῖν, τὴν δικαιοσύνην, Ἀθλοφόρε ἱκέτευε.

Θεοτοκίον.

Η' Νεγκας τὸν ἄσταχυν, τὸν ἀγεώργητον Ἄχραντε, τὸν πάντων ἡμῶν, τρέφοντα καρδίας, τῶν πιστῶς ἀνυμνούντων σε.

Κάθισμα, ἦχος πλ. δ'. Τὸν συνάναρχον Λόγον.

Α' Ρετῶν ταῖς ἰδέαις καταστραπτόμενος, μαρτυρίου τῷ φέγγει ὡραϊζόμενος, ὑπὲρ Ἥλιον σοφὲ, ἐκλάμπεις ἀδαμάντινε· καὶ φωτίζεις ἀληθῶς, τοὺς ἐκτελοῦντάς σου πιστῶς, τὴν μνήμην τὴν φωσφόρον, πανένδοξε Ἀθλοφόρε, καὶ προσκυνοῦντάς σου τὰ λείψανα.

Θεοτοκίον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Τ Ὸν Σταυρῷ τοῦ Υἱοῦ σου Θεοχαρίτωτε, τῶν Εἰδώλων ἡ πλάνη πᾶσα κατήργηται, καὶ τῶν δαι-

μόνων ἡ ἰσχὺς καταπεπάτηται· διὰ τοῦτο οἱ πιστοὶ, καταχρέωστε ἀεὶ, ὑμνοῦμεν καὶ εὐλογοῦμεν, καὶ Θεοτόκον κυρίως, ὁμολογοῦντές σε μεγαλύνομεν.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Νόμους θείους παρέβλεψα, καὶ παρανομίαις πάσαις συνέζησα· σπεῦσον Ἅγιε βοήθει μοι, τῷ κατεγνωσμένῳ ἱκετεύω σε.

Δεσμευθεὶς διὰ Κύριον, πᾶσαν τὴν κακίαν ἐχθροῦ διέλυσας· ἐξ ἧς ἅπαντας περίσωζε, τοὺς πιστῶς σε Μάρτυς λιτανεύοντας.

Ἐν ἡμέρᾳ τῆς κρίσεως, ὅταν παραστῶμεν Κυρίῳ κρίνεσθαι· βοηθὸς ἡμῖν γενήθητι, τοῖς κατεγνωσμένοις Μάρτυς ἔνδοξε.

Θεοτοκίον.

Ἡ Θεὸν σωματώσασα, τὸν ἀνερμηνεύτως ἐν σοὶ οἰκήσαντα, τοῦτον αἴτησαι Παναμώμε, αἰωνίου δόξης ἀξιωθῆναί με.

Ὠδὴ ε'. Ὀρθρίζοντες.

Στυχὼν ταῖς οὐρανίαις Δυνάμεσιν, Ἀθλοφόρε, σωθῆναι ἱκέτευε, τοὺς ἐπὶ γῆς ἀνυμνοῦντάς σε.

Ἰάτρευσον βῶσοι Ἀοίδιμε, τῆς ψυχῆς μου τὰ πάθη τὰ χρόνια, ἐκδυσωπῶν τὸν Φιλάνθρωπον.

Νομίμως ἐναθλήσας τοὺς νόμους, διαφυλάττειν ἡμᾶς ἐνδυνάμωσον, τοῦ Παντοκράτορος ἔνδοξε.

Θεοτοκίον.

Παρθένε Θεοτόκε ἱκέτευε τὸν Υἱόν σου, πταισμάτων συγχώρησιν, ἡμῖν δοθῆναι καὶ ἔλεος.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ἀνέτειλέ σοι Σοφὲ, φῶς ἄδυτον ἐναθλήσαντι, καὶ εὐφροσύνης σκηναὶ, ἅγιαι ἐδέξαντο· ἐν αἷς αὐλιζόμενος, τῶν ἐπὶ τῆς γῆς σε, εὐφημούντων Μάρτυς μέμνησο.

Μεγάλους ἐπὶ τῆς γῆς, ἀνύσας ἄθλους Ἀοίδιμε, μεγάλων ἡμᾶς κακῶν, κινδύνων καὶ θλίψεων, ταῖς σαῖς ἀπολύτρωσαι, ἱεραῖς πρεσβείαις· ἵνα πόθῳ σε δοξάζωμεν.

Μὴ δείξῃς με Ἰησοῦ, κατεγνωσμένων ἡνίκα σου, τῷ θρόνῳ τῷ φοβερῷ, Λόγε παραστήσομαι· ἀλλ' οἰκτείρον σῶσόν με, θείαις μεσιτείαις, τοῦ Ἁγίου πολυέλεε.

Θεοτοκίον.

Ἁγίασόν μου τὸν νοῦν, καὶ τὴν ψυχὴν φωταγώγησον, τὸν ἐν Ἁγίοις Θεὸν, ἐπαναπαυόμενον, ἀρρήτως κυήσασα, Παναγία Κόρη, Θεοτόκε Ἀειπάρθενε.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Κοσμικῶν με σκανδάλων, καὶ παθῶν ἀτιμίας καὶ πάσης θλίψεως, Μαρτύρων χαρμοσύνη, διάσωζε, καὶ δίδου, ἀναμέλπειν ἑκάστοτε· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἀγαθέ μου προστάτα, δυσχερείαις τοῦ βίου κλυδωνιζόμενον, μηδόλως με παρίδῃς· ἀλλ' οἰκτείρον εὐχαῖς σου, καὶ διάσωσον ψάλλοντα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ῥαθυμίας ἀτόπου, καὶ δεινῆς ἁμαρτίας καὶ ἀμαυρώσεως, διάσωσον Παμμάκαρ, προστρέχοντάς σοι πίστει, τῇ θερμῇ ἀντιλήψει σου· ὅπως τιμῶσε πιστῶς, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Δαπανήσας τὸν χρόνον, τῆς ζωῆς μου Παρθένε, ἐν ἀμελείᾳ πολλῇ, προσπίπτω καὶ βοῶ σοι, διέγειρόν με σῶσον τῷ Υἱῷ σου κραυγάζοντα· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Νικηταὶ Τυράννου.

Ἐν πυρὶ βασάνων, ὡς χρυσὸς Ἀήττητε ἐδοκιμάσθης· καὶ τῶν Παθημάτων, τοῦ Χριστοῦ ἐσφράγισμα βοῶν ἐδείχθης· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Χειμαζόμενόν με, καὶ δελεαζόμενον τοῦ ἀλλοτρίου, ταῖς δειναῖς ἀπάταις, προστάξεσι σου Ἅγιε βοῶντα σῶσον· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ὁ τὴν δυναστείαν, πᾶσαν τοῦ ἀλάστορος ἐξαφανίσας, τῆς αὐτοῦ με ῥῦσαι, Ἔνδοξε κακώσεως ἀναβοῶντα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Θεοτοκίον.

Ὑπὲρ εὐσπλαγχνίαν, Ἄνθρωπον γενόμενον τὸν εὐεργέτην, ἀπορρήτως τίκτεις, Θεοτόκε σώζοντα τοὺς μελῳδοῦντας· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἵνα σε θείαις ἐν φωναῖς, μακαρίζωμεν καλῶς ἐναθλήσαντα, Μάρτυς ἀοίδιμε, καὶ τὰ τοῦ πλάνου κέντρα συντρίψαντα· σῶζε ἡμᾶς πολυειδῶν, κινδύνων καὶ θλίψεων καὶ περιστάσεων, τοὺς προστάτην σε καλὸν εὐμοιρήσαντας.

Ὡς ὄρθρος, ὡς ἡμερινὸς, ἐξανέτειλας ἀστὴρ Παναοίδιμε· καὶ κατεφώτισας, ταῖς διδαχαῖς σου πάντα τὰ πέρατα· καὶ τῶν δαιμόνων τὸ δεινὸν, σκότος ἐξηφάνισας· διό με φώτισον, ῥαθυμίᾳ τὴν ψυχὴν σκοτιζόμενον.

Στήριξον πάντας τοὺς πιστῶς, ἐν τῇ σκέπῃ σου ἀεὶ καταφεύγοντας, Μάρτυς ἀοίδιμε· ὅπως τοῦ βίου ταῖς περιστάσεσι, καὶ μηχαναῖς τοῦ πονηροῦ, μὴ περιτρεπώμεθα, οἱ ἐπιστίως σε, μεγαλύνοντες ὁμοῦ, καὶ δοξάζοντες.

Ἤγγικε, πρόσεχε ψυχὴ, ἡ ἡμέρα ἡ μεγάλη τῆς Κρίσεως, ὅταν τὸ ποίημα, ἀχθῇ εἰς κρίσιν καθάπερ γέγραπται· καὶ τί ποιήσεις πονηροῖς ἔργοις ἐπιμένουσα; σπεῦσον καὶ βόησον· τοῦ Ἁγίου με εὐχαῖς σῶσον Κύριε.

Θεοτοκίον.

Φρίττουσι μόνε Βασιλεῦ, τὸ ἀδέκαστον ὁ τάλας Κριτήριον· ἐν ᾧ με τήρησον, τῇ εὐσπλαγχνίᾳ σου ἀκατάκριτον· ἐκδυσωπεῖ σε ἐκτενῶς, ἡ πανάγνος Δέσποινα, ἡ ἀπορρήτως σε, σωματώσασα Χριστὲ πολυέλεε.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς κς'. τοῦ Ὀκτωβρίου.

## ΑΚΟΛΟΥΘΙΑ εἰς Δύο, καὶ πολλοὺς Μάρτυρας.

Στιχηρὰ προσόμοια, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ὡς καλῶς στρατευσάμενοι, Βασιλεῖ τῶν δυνάμεων, ἑαυτοὺς Πανεύφημοι παρεδώκατε, ἐθελουσίως εἰς μάστιγας, καὶ βίαιον θάνατον, ἐπαγόμενοι χορούς, Συμμαρτύρων μακάριοι, μεθ' ὧν εὕρατε, τὸ μακάριον τέλος, καὶ στεφάνους, ἀνεδήσασθε τῆς νίκης, ὑπὲρ ἡμῶν ἱκετεύοντες.

Ἀνενδότως τυπτόμενοι, καὶ πυρὶ δαπανώμενοι, καὶ κρημνοῖς πάντοθεν καθελκόμενοι· καὶ ἐν ὁδοῖς ἐλαυνόμενοι, εἱρκτῇ συγκλειόμενοι, καὶ ὡς θῦμα καθαρὸν, ταῖς ἐσχάραις ὀπτώμενοι, προσηνέχθητε, δι' ἡμᾶς τῷ τυθέντι ὡς ἀμνὸς, ἱερεῖα ἐν τῇ ἄνω, τραπέζῃ Μάρτυρες ἔνδοξοι.

Καὶ χειρῶν παναοίδιμοι, καὶ ποδῶν τε στερέμενοι, κεφαλὰς τεμνόμενοι, καὶ στρεβλούμενοι· καὶ πάσαις ἄλλαις κολάσεσι, καθυποβαλλόμενοι, οὐκ ἠρνήσασθε Χριστόν, οὐ ξοάνοις ἐθύσατε· ἀλλὰ χαίροντες, τῆς ζωῆς τῆς προσκαίρου Ἀθλοφόροι, πρὸς οὐράνιον καὶ θείαν, μετεβιβάσθητε εὔκλειαν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Μακαρίζομέν σε Πάναγνε, τὴν βροτοὺς ἀφαρπάσασαν, ἐκ βυθοῦ κακίας καὶ ἀπογνώσεως· ὑμνολογοῦμέν σε Θεόνυμφε, τὴν ἀειμακάριστον, καὶ δοξάζομεν σεμνή, τὴν ἀπόρρητον κύησιν, ὅτι ἔτεκες, τὸν Σωτῆρα τοῦ Κόσμου, καὶ κατάρας, ἠλευθέρωσας Παρθένε, προγονικῆς τὸ ἀνθρώπινον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς ἑώρακε Κύριε, ἡ Παρθένος καὶ Μήτηρ σου, ἐν Σταυρῷ κρεμάμενον ἐξεπλήττετο· καὶ ἀτενίζουσα ἔλεγε· τίσοι ἀνταπέδωκαν, οἱ πολλῶν σου δωρεῶν, ἀπολαύσαντες Δέσποτα; ἀλλὰ δέομαι, μή με μόνην ἐάσῃς ἐν τῷ Κόσμῳ· ἀλλὰ σπεῦσον ἀναστῆναι, συνανιστῶν τοὺς Προπάτορας.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς.

Δόξα κροτείσθω Χριστέ, ἡ τῶν Μαρτύρων.

Ὠδὴ α΄. Ἦχος δ΄. Δεῦτε λαοί.

Δεῦτε πιστοί, ἅπαντες χεῖρας κροτήσωμεν· καὶ θεοφθόγγοις ᾄσμασι πανηγυρίσωμεν, τῶν Μαρτύρων τοὺς ἄθλους, Χριστὸν δοξολογοῦντες, ὅτι δεδόξασται.

Ὅπλον ἡμῖν, θεῖον ἐδείχθη καὶ καύχημα, τὸ τοῦ Σωτῆρος τρόπαιον, ἡ ἀκαθαίρετος, τοῦ Σταυροῦ πανοπλία, δι᾽ ἧς οἱ νικηφόροι, ἐστεφανώθησαν.

Ξίφος καὶ πῦρ, βόθρον Σταυρόν τε καὶ θάνατον, τοῖς ἀοιδίμοις Μάρτυσιν ἐπανετείνοντο, οἱ τοῦ θείου διῶκται, ζωὴν πρὸς τὴν ἀμείνω, αὐτοὺς ἐλαύνοντες.

Θεοτοκίον.

Ἄρτον ζωῆς, τέτοκας τὸν ἐπουράνιον, σεσαρκωμένον Πάναγνε τὸν ἐνυπόστατον, τοῦ Γεννήτορος Λόγον· διό σε τῶν Μαρτύρων, δῆμοι δοξάζουσι.

Ὠδὴ γ΄. Τῆς Πίστεως ἐν Πέτρᾳ με.

Καθεῖλον οἱ καλλίνικοι στρατιῶται, τῷ Πάθει σου τῷ θείῳ δυναμωθέντες, τῆς πλάνης τὴν πολύθεον ἀθεΐαν, ἐν πίστει κράζοντες· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν Ἅγιος, πλὴν σου Κύριε.

Ῥάνισι θείου Αἵματος ῥαντισθέντες, θυσίαις οὐκ ἐχράνθητε δαιμονίων, θυσία προσηνέχθητε τῷ Κυρίῳ, ὁλοκαυτούμενοι, καὶ πίστει κράζοντες· ὡς οὐκ ἔστιν Ἅγιος, πλὴν σου Κύριε.

Ὅλον σε κεκτημένοι οἱ Ἀθλοφόροι, ταῖς ἑαυτῶν καρδίαις εἰσῳκισθέντα, τραυοῦντες τὴν ἀσέβειαν ἀνεβόων· οὐκ ἔστιν Ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλὴν σου Κύριε.

Θεοτοκίον.

Τὴν μόνην παρθενεύουσαν μετὰ τόκον, πρὸς Πίστιν τῆς Θεότητος τοῦ τεχθέντος, τιμῶμέν σε κραυγάζοντες τῷ Υἱῷ σου· οὐκ ἔστιν Ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλὴν σου Κύριε.

Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Οἱ στρατιῶται τοῦ Χριστοῦ οἱ γενναῖοι, ἀγωνισάμενοι καλῶς τὸν Βελίαρ, ὁλοτελῶς ἐβύθισαν αἱμάτων ταῖς ῥοαῖς. λίθοις γὰρ συνθλώμενοι, καὶ τεμνόμενοι ξίφει, καὶ πυρὶ καιόμενοι, καὶ εἰς ὕδωρ βληθέντες, στεφανηφόροι ὤφθησαν σαφῶς. ὅθεν τιμῶνται, καὶ πίστει δοξάζονται.

Θεοτοκίον. Ὅμοιον.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Παναμώμητος Ἀμνὰς καὶ Παρθένος, ὃν ἀπεκύησεν Υἱὸν ἡπλωμένον, ἐπὶ Σταυροῦ ὡς ἔβλεψεν ὀδύναις τὴν ψυχήν, καιρίαις κατεπλήττετο, καὶ ἐβόα συντόνως· οὗτός σου Τέκνον φίλτατον, δωρεῶν καὶ θαυμάτων, μνήμην ὧν ἀπήλαυσεν ὁ ἀχάριστος δῆμος; ἀλλ᾽ εἰς τὸ σῶσαι γένος τῶν βροτῶν, ταῦτα νῦν πάσχεις. ὑμνῶ σου τὸ εὔσπλαγχνον.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ἐμιμήσαντο Πάθος σου, τοῦ ἀπαθοῦς προθύμως τῷ θανάτῳ, ἑαυτοὺς ἐκδόντες οἱ Ἀθλοφόροι σου.

Ἱκετεύοντας πρόσδεξαι, τοὺς Ἀθλητάς, καὶ λύσιν τῶν πταισμάτων, πειρασμῶν τε δίδου, ἡμῖν πρεσβείαις αὐτῶν.

Σεσιώπηται ἅπασα, πλάνη δαιμόνων Χριστέ. Θεὸν γάρ σε τὸν ὄντως ἀληθῆ, οἱ Μάρτυρες ἀνεκήρυξαν.

Θεοτοκίον.

Θεοτόκον σε ἔσεβον, οἱ Ἀθληταὶ Θεὸν σεσαρκωμένον, τὸν Υἱόν σου Δέσποινα καταγγέλλοντες.

Ὠδὴ ε΄. Ὁ τοῦ φωτὸς χορηγός.

Ὡραιοτάτην στολήν, πεφοινιγμένην ἀσεβῶν αἵματι, μαρτυρικῷ, καὶ ἠμφιεσμένην, τῇ χάριτι τῇ σῇ, νῦν οἱ Ἀθλοφόροι Χριστὲ ἠμφιάσαντο.

Χάρις καὶ ἔλεος, τοῦ Παντοκράτορος Θεοῦ στέφουσι, τοὺς Ἀθλητάς, τῷ πόθῳ κατάλληλον νέμοντος ἰσχύν· δι᾽ ἧς νικηφόροι ἐδείχθησαν Μάρτυρες.

Ῥάβδον δυνάμεως, τοῖς Ἀθλοφόροις τὸν Σταυρὸν δέδωκας, καὶ τῶν ἐχθρῶν, κατακυριεύειν ἐποίησας τούτους. διό σου ὑμνοῦμεν Χριστὲ τὴν Θεότητα.

Θεοτοκίον.

Ἱερουργὸν ἐκ Δαβίδ, καταγομένη τὸν Χριστὸν τέτοκας. ὅθεν Ἁγνή, τῆς ἱερωσύνης μετατιθεμένης, ἀνάγκῃ καὶ Νόμου μετάθεσιν γίνεσθαι.

Ὠδὴ ς΄. Ἄβυσσος ἁμαρτιῶν.

Σάλπιγγος ἠχῇ κροτείτω, πνευματικῇ ἐπαξίως, λογικῶν χειλέων καρδία, ὕμνον ἐκπέμπουσα καὶ μέλπουσα, τῶν Μαρτύρων τοὺς ἄθλους.

Τέτρωνται τῶν ἀσεβούντων, καὶ δυσμενῶν αἱ καρδίαι. Χριστὸς γὰρ ἐκτείνας τὸν Σταυρόν, ὡς τόξον ἀπέστειλε, τοὺς Μάρτυρας, βέλη ἠκονημένα.

Ὅπλοις τῆς δικαιοσύνης, καὶ πίστεως οἱ γενναῖοι, ἑαυτοὺς πρὸς πάλην ἐχθρῶν, ἀσάρκων καθωπλίσαντο, καὶ τέλεον ἐξηφάνισαν τούτους.

Θεοτοκίον.

Δίασωσον ἀπὸ κινδύνων, τοὺς δούλους σου Θεοτόκε.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Σαρκῶν Δανιήλ, οὐ κατίσχυσαν ποτὲ λεόντων στόματα, ἀλλ᾽ οὐδὲ θάνατος τῶν Μαρτύρων σου, ἐν τῇ χειρί σου γὰρ Κύριε, ζῶσιν αἱ ψυχαὶ τῶν δικαίων, ἀγαλλιῶσαι καὶ ψάλλουσαι· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἡ φλὸξ τοῖς τρισίν, ἐδροσίζετο Παισὶν ἐν Βαβυλῶνι ποτέ, τοῖς Ἀθλοφόροις δὲ ἡ πολύθεος κατεμαραίνετο κάμινος. ὅθεν τὴν ἀπάτην ὁρῶντες, τεφρωμένην ἐκραύγαζον· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τῷ πόθῳ Χριστέ, ἐξιστάμενοι τῷ σῷ οἱ Ἀθλοφόροι σου, ὥσπερ ἀλλότριον περικείμενοι, τὸ τῆς σαρκὸς περιβόλαιον, βασάνων ἀλγεινῶν κατεφρόνουν, σοὶ ἐντρυφῶντες καὶ λέγοντες· εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὡς εὔπλοκος ἦν, καὶ ὡραῖος ὁ χορὸς τῶν Ἀθλοφόρων σου, ἡ πολυτίμητος καὶ Θεόλεκτος, τῶν ἐκ-

λεκτῶν

λεκτῶν σου ὁμήγυρις, Πνεύματι τῷ σῷ κρατυμένη, καὶ ἀρύθμως χορεύουσα· ἀλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Νομίμως τῆς σῆς, ὁμολογίας ἀσεβῶς ὑπερήθλησαν, οἱ Ἀθλοφόροι σου αἰκιζόμενοι· καὶ Θεοπνεύστῳ χάριτι, μίαν τρισυπόστατον Φύσιν, θεολογοῦντες ἐκραύγαζον· ἀλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Τὸν ἀρρήτῳ Σοφίᾳ.

Μεμηνότων Τυράννων, τὴν δυσκάθεκτον μανίαν, οἱ Ἀθλοφόροι κατέβαλον, διαπρυσίως μελῳδοῦντες· ἀλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀνανήψατε πλάνοι, καὶ ἐπίγνωτε τὸν Κύριον ὄντως, οἱ εὔδοξοι Ἀθλοφόροι ἀνεβόων· ἀλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ῥητορεύειν μηδόλως, μελετήσαντες οἱ Χριστοῦ Ἀθλοφόροι, Πνεύματος δὲ Θείου πλησθέντες ἐβόων· ἀλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῶν γενναίων Μαρτύρων, ὡραιώθησαν ἐν χάριτι οἱ πόδες, τρισυπόστατον Φύσιν ἀγγελιζομένων· ἀλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ὑλομανήσασαν πάλαι, τῶν Εἰδώλων τὴν πλάνην, Χριστὲ ἐν ταῖς καρδίαις τῶν βροτῶν, σὺ τῷ πυρὶ τῷ τῆς Πίστεως κατεφλέξας, Μαρτύρων τῆς ἀσεβείας ἤθροισας χορούς, ἐπαξίως σὲ ὕμνοις, ἀπαύστως μεγαλύνοντας.

Ῥευστὴν οἱ Μάρτυρες δόξαν, καὶ τὸν ἄστατον πλοῦτον, Χριστὲ καταλιπόντες ἐπὶ γῆς, σὲ τὸ τῆς δόξης ἀπαύγασμα, ἀναφαίρετον πλοῦτον, ἀρόντες αἰωνίων ἀγαθῶν, κληρονόμοι ἀξίως, ἐν Οὐρανοῖς ἐγένοντο.

Ὡς ἐν ἑσπέρᾳ ἡ φύσις, τῶν ἀνθρώπων ἡ πάλαι, τῆς πλάνης ὑποκύψασα ζυγοῖς, σὺ ὑπὲρ φύσιν τεκούσης Ἁγνὴ, τὸν ἁπάντων Δεσπότην· ὃς ἐπιγείους Κήρυκας σαφῶς, τῆς αὐτοῦ δεσποτείας τοὺς Μάρτυρας προβάλλεται. Θεοτοκίον.

Νύμφη καὶ Μήτηρ Παρθένε, τῶν Ἁγίων τοὺς δήμους, τὸν σὸν καθικετεύοντας Υἱὸν, δέξαι ἡ μόνη ἐλπὶς τῶν πιστῶν· καὶ εἰρήνην τῷ Κόσμῳ, νίκας τῷ φιλοχρίστῳ Βασιλεῖ, καὶ ἡμῖν σωτηρίαν, τοῖς σὲ ὑμνοῦσι βράβευσον.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τοὺς κς'. τοῦ Ὀκτωβρίου.

---

## ἈΚΟΛΟΥΘΙΑ εἰς Ἕνα Ἱεράρχην.

Στιχηρὰ προσόμοια, ἦχος πλ. β'.
Ὅλην ἀποθέμενοι.

Ὅλος ἱερώτατος, καὶ φωσφόρος ἐδείχθης, χρίσματι Θείῳ ἅγιον, ἐν Ἁγίῳ Πνεύματι περικείμενος· καὶ φαιδρῶς πάντοτε, προχωρῶν Ὅσιε, τῶν Ἁγίων εἰς τὰ Ἅγια, καὶ ταῖς λαμπρότησι, ταῖς θεαρχικαῖς ἀστραπτόμενος· καὶ χάριτι μυούμενος, τὰ σωτηριώδη Μυστήρια, ὡς Ἱερομύστης, ὡς ὄντως Ἱεράρχης ἀκλεής· καὶ παρρησίᾳ δεόμενος, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἤστραψεν ὁ βίος σου, τῶν ἀρετῶν λαμπηδόσι, καὶ πιστοὺς ἐφώτισε, καὶ τῆς πλάνης ζόφωσιν διεσκέδασεν. ἀληθῶς ὤφθης γὰρ, φωταυγὴς Ἥλιος, Ἱεράρχα παμμακάριστε· καὶ νῦν ἐσκήνωσας, ἔνθα φῶς ὑπάρχει ἀνέσπερον. Υἱὸς ἡμέρας χάριτι, Πνεύματος Ἁγίου γενόμενος. ὅθεν σου τὴν μνήμην, τὴν θείαν καὶ φωσφόρον καὶ σεπτὴν, ἐπιτελοῦντες ἀείμνηστε, πόθῳ σε γεραίρομεν.

Ὅ Νύσσου ταῖς νάρκεσι, ταῖς πρὸς τὸ θεῖον θέφρον, πίστει καλλυνόμενος, καὶ λαμπρῶς θέμενος πανσοίδιμε· ἐν θνητῷ σώματι, καὶ φθαρτῷ πάνσοφε, ἀφθαρσίαν ἐμελέτησε, καὶ προσεκτήσατο, τὴν τῶν Ἀσωμάτων λαμπρότητα. παθῶν ἔξω γενόμενος, καὶ τῇ ἀπαθείᾳ κοσμούμενος, Πάτερ Ἱεράρχα, σοφώτατε λαμπρότατε φωστήρ, καὶ πρέσβευε τῶν τιμώντων σου, πίστει τὰ μνημόσυνα.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α'. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Πλουτήσας Θεόπνευστε, πνευματικῶς τὰ Μυστήρια, ἠρεύξω Μακάριε δογμάτων λόγια· δι' ὧν γέγονας, ποιμὴν τῆς Ἐκκλησίας, πρὸς μάνδραν οὐράνιον, διαβιβάζων αὐτήν.

Πρὸς ὕψος ἀνέδραμες, τῶν τῆς Γραφῆς ἀναβάσεων· καὶ ταύτης κατώπτευσας, νοῦ καθαρότητι, τὸ ἀμήχανον, ἀπόρθητόν τε κάλλος, δι' οὗ ἐξημμάτισας, Ἱεραρχίας λαμπτήρ.

Τῆς θείας ἐλλάμψεως, τοῦ νοητοῦ Πάτερ ἔτυχες, φωτὸς καὶ κατηύγασας τὰς διανοίας ἡμῶν· τὰς αἱρέσεις δὲ, ὀρθοτόμοις ἀκτῖσι, τεφρώσας κατέφλεξας, διὰ τοῦ Πνεύματος. Θεοτοκίον.

Ὁ Τόκος ἀπείρανδρος, ἐν σοὶ τελεῖται Πανάμωμε, ἐκ σοῦ ὁ ὑπέρθεος Λόγος προέρχεται· καὶ τηρήσας σε, Παρθένον μετὰ τόκον, Θεός τε καὶ Ἄνθρωπος, ὁρᾶται τέλειος.

Ὠδὴ γ'. Εὐφραίνεται ἐπὶ σοί.

Ἀκηλίδωτον τὸν νοῦν, τῇ ἀναλάμψει τῶν σεπτῶν πράξεων, ἔχων ἐδείχθης ἔσοπτρον, Ἱεράρχα θείας λαμπρότητος.

Τῇ χάριτι ἀληθῶς, τῇ ἐπ' ἐλπίδι τελεσθεὶς Ὅσιε, ἱερουργὸς γέγονας, τοῦ Εὐαγγελίου τῆς χάριτος.

Τῶν λόγων σου τὸ τερπνὸν, ὑπὲρ κηρίον γλυκασμὸν φέρουσα, ἡ Ἐκκλησία Ἔνδοξε, ἐκπτύει πικρίαν αἱρέσεων. Θεοτοκίον.

Ὡς πύλην σε καὶ Ναὸν, τῆς θείας δόξης κοινωνὸν σέβοντες, Μῆτερ Θεοῦ Πανάμωμε, πάντες τῶν κινδύνων λυτρούμεθα.

Κάθισμα, ἦχος πλ. α'. Τὸν Συνάναρχον Λόγον.

Τὸν λειμῶνα τῶν λόγων τῶν θεοπνεύστων γραφῶν, τὸν ἡμᾶς ὁδηγοῦντα πρὸς τὴν μετάνοιαν, τὸν τοὺς ποικίλους πειρασμοὺς ὑπομείναντα, Ἱεράρχην τοῦ Χριστοῦ, ὡς διδαχθέντες ὑπ' αὐτοῦ, τιμήσωμεν κατὰ χρέος. πρεσβεύει γὰρ τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον. Ὅμοιον.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε τεῖχος καὶ σκέπη, τῶν προστρεχόντων εἰς σέ· χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ, τὸν ποιητήν σου καὶ Θεὸν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἐν Σταυρῷ σε ὁρῶσα Χριστὲ ἡ Μήτηρ σου, ἑκουσίως ἐν μέσῳ λῃστῶν κρεμάμενον, κοπτομένη μητρικῶς τὰ σπλάγχνα ἔλεγεν· ἀναμάρτητε Υἱὲ, πῶς ἀδίκως ἐν Σταυρῷ, ὥσπερ κακοῦργος ἐπάγης; τὸ γένος τὸ τῶν ἀνθρώπων, ζωῶσαι θέλων ὡς εὔσπλαγχνος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

ΤΗ͂, σαγόνι τῆς ἀληθοῦς, ὁμολογίας ζωγρήσας Πάτερ· ὡς ἰχθύας δὲ τῆς ποίμνης σου, ἱερὸν κατάστημα Θεῷ, θυσίαν προσήγαγες.

ΣΥ͂ διέκοψας κεφαλάς, ὡς ἐν ἐκστάσει αἱρετιζόντων, τὸ τῆς Πίστεως κεφάλαιον, Χριστὸν ὁπλισάμενος, διὸ καὶ νίκης στέφος ἀνεπλέχθη σοι.

ἹΕράρχης καὶ λειτουργός, τῆς θείας ὤφθης οἰκονομίας· καὶ τῆς δόξης τῶν τοῦ Πνεύματος χαρισμάτων, γέγονας μυσταγωγός, καὶ μύστης πανίερος.

Θεοτοκίον.

ΣΕ͂ τεῖχος ἐν πειρασμοῖς, καὶ θείαν σκέπην ἐν περιστάσει, Θεονύμφευτε κεκτήμεθα, καὶ λιμένα εὔδιον, καὶ ἀσφαλὲς ψυχῶν ἱλαστήριον.

Ὠδὴ ε'. Σὺ Κύριέ μου Φῶς.

ΣΥ͂ θεῖος ποταμός, ἐγνωρίσθης τῇ ποίμνῃ σου, τὴν ἄρουραν καταρδεύων, τῶν ψυχῶν Ἱεράρχα, τοῖς θείοις σου χαρίσμασιν.

ἘΞέλαμψας ἡμῖν, τὴν σῶν λόγων λαμπρότητα· σκεδάσας δὲ τὴν ὁμίχλην, τῶν ἀθέων δογμάτων, ἀστὴρ ὤφθης ἀνέσπερος.

ΧΕῖρας σὰς πρὸς Θεόν, ἱκεσίας μοι ἔκτεινον, ἐν θλίψεσι βοηθείας, ἐν δεινοῖς ἀρχερείας, Πανεύφημε θεράπον Χριστοῦ. Θεοτοκίον.

ΣΕ͂ ὅπλον ἄρραγές, κατ᾽ ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα. Ὠδὴ ς'. Ἐβόησε, προτυπῶν.

ΤΗ͂ν Ἄβυσσον, τῶν γραφῶν νοημάτων ἐξαντλήσας· καὶ τὸν πλοῦτον, τῶν ἀθέων δογμάτων ἐπλούτησας· καὶ ἐξήρανας, ποταμοὺς Ἱεράρχα αἱρέσεων.

ΤΗ͂, τραπέζῃ, τοῦ Δεσπότου Χριστοῦ παριστάμενος, καὶ τῆς θείας, λατρείας αὐτοῦ ἀξιούμενος, ἐκτενῶς μὴ παύσῃ, ἱλασμὸν ἐξαιτῶν ταῖς ψυχαῖς ἡμῶν.

ΤΗ͂ν μάχαιραν, τῷ τοῦ Πνεύματος λόγῳ σπασάμενος, τῶν ἀθέων, νοημάτων καθεῖλες τὰ ἔκφυλα, καὶ ἐρρίζωσας, Θεοφόρε πιστῶς τὰ νοήματα.

Θεοτοκίον.

ΤΩ͂, τόκῳ σου, τῆς ἀρχαίας ἀρᾶς ἀπηλλάγημεν, τὴν χαρὰν γάρ, ἐν γαστρί σου Παρθένε συνέλαβες, καὶ Θεὸν τεκοῦσα, τῶν ἀνθρώπων τὴν φύσιν ἐθέωσας.

Ὠδὴ ζ'. Ὁ διασώσας ἐν πυρί.

ὨΣ τῆς σοφίας ἐραστής, ἔρωτι ἀχέτῳ συνήφθης, τῇ ἀγαπήσει τοῦ Χριστοῦ, Ἱεράρχα. διὸ καὶ ἐκραύγαζες· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

ἘΝ τῇ τῆς Πίστεως στερρᾷ, ἔστησας τοὺς πόδας σου πέτρᾳ, καὶ ταῖς κυμίαις πειρασμῶν, ἀκατάσειστος ὤφθης καὶ ἔψαλλες· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

ΠΟίμνης κατάρχων λογικῆς, ἔθρεψας αὐτὴν ἐν τῇ χλόῃ, τῶν ἀθανάτων διδαχῶν, καὶ πιστῶς σὺν αὐτῇ ἀνεκραύγαζες· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ. Θεοτοκίον.

ἘΛπὶς καὶ σκέπη καὶ λιμήν, καὶ ἀκαταμάχητον τεῖχος, καὶ προστασία ἀσφαλής, τοῖς κραυγάζουσιν ὤφθης Πανάμωμε· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ὠδὴ η'. Λυτρωτὰ τοῦ παντός.

ΤΩ͂, ἐλαίῳ χρισθεὶς τῷ τοῦ Πνεύματος, Ἱεράρχης Θεοῦ ἀναδέδειξαι, ὡς Ἀαρὼν Μακάριε· καὶ ἐδίδασκες κράζειν· πάντα τὰ ἔργα εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

ἈΠροσίτῳ φωτὶ ἀστραπτόμενος, τὴν τῆς πλάνης ἀχλὺν ἀπημείωσας· κἀμοῦ τὸν ζόφον σκέδασον, τῶν παθῶν Ἱεράρχα, ταῖς σαῖς πρεσβείαις· ἵνα χαίρων δοξάζω τὴν μνήμην σου.

ΤΗ͂ν ἱεράν σου στολὴν τῷ τοῦ λόγου πρέποντι, Θεοφάντορ πιστῶς κατεκόσμησας· καὶ δι᾽ ἀμφοῖν ἐξέλαμψας, ἐκδιδάσκων κραυγάζειν· πάντα τὰ ἔργα εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον. Θεοτοκίον.

ὩΣ ἐκ ζάλης παθῶν κυματούμενοι, τῷ λιμένι τῷ σῷ καταφεύγομεν, Θεοκυῆτορ Ἄνασσα· καὶ βοῶμεν ἀπαύστως· πάντα τὰ ἔργα εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον. Ὠδὴ θ'. Ἐποίησε κράτος.

Ἡ Εὔσημός σου γλῶσσα, ὥσπερ σάλπιγξ εὔηχος, φωνοῦσα τὸ τοῦ λόγου μυστικόν, διεγείρει τοὺς πιστούς, καὶ καθοπλίζει θεουργῶς, πρὸς ἀοράτους ἐχθρούς.

ΤΟ͂ ἔνδυμα τὸ θεῖον στολισάμενος μυστικῶς, εἰσῆλθες εἰς τὴν ἄνω νυμφικῶς λατρείαν καὶ χαράν· καὶ ἀνεκλίθης σὺν Χριστῷ, Πάτερ πανόλβιε.

ἈΓάλλεται συμφώνως, καὶ σκιρτᾷ Πατέρων χορός, εὐφραίνεται ὁμήγυρις πιστῶν, καὶ χορεύει μυστικῶς, ἡ Ἐκκλησία τοῦ Θεοῦ ἐπὶ τῇ μνήμῃ σου.

Θεοτοκίον.

ΤΗ͂ν τιμῶσάν σε Πόλιν, ἡ τεκοῦσα τὸν τοῦ Θεοῦ Ἀμνόν, καὶ Ἀρχιποίμενα Χριστόν, ἐκ κινδύνων καὶ φθορᾶς, καὶ ἁμαρτίας παθῶν, λύτρωσαι Δέσποινα.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικόν, εἰς τὰς ιγ'. τοῦ Νοεμβρίου.

---

## ἈΚΟΛΟΥΘΙ͂Α εἰς Δύο, καὶ πολλοὺς Ἱεράρχας.

Στιχηρὰ προσόμοια, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

ὨΣ φωστῆρες ἀείφωτοι, νοητοῦ στερεώματος, Ἐκκλησίας ἔνδοξοι πανσεβάσμιοι, ταύτην ἀκτῖσι φαιδρύνετε, δογμάτων τῆς Πίστεως, καὶ αἱρέσεως ἀχλὺν ἀπελαύνετε Ὅσιοι, καὶ πρεσβεύετε, ἐκ φθορᾶς, καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας τὴν ἀεισέβαστον μνήμην ὑμῶν.

ΦΡυκτωρίαις τοῦ Πνεύματος, ἀστραφθέντες διάνοιαν, φωτοβόλοι Ἥλιοι χρηματίσαντες, ὥσπερ ἀκτῖνας τὰ δόγματα, εἰς πάντα τὰ πέρατα, ἀπαστράπτοντες πιστῶν, καταυγάζετε πλήρωμα, Παμμακάριστοι· καὶ διώκετε σκότος Θεοφόροι, τῶν αἱρέσεων δυνάμει, τοῦ ἐκ Παρθένου ἐκλάμψαντος.

ΤΗ͂ς Χριστοῦ ἐδιώξατε, νοητοὺς λύκους Ὅσιοι, Ἐκκλησίας τῇ ῥάβδῳ τῶν δογμάτων ὑμῶν· καὶ ταύτην κύκλῳ τειχίσαντες, λόγων ὀχυρότητι παραστήσαντες Χριστῷ, ἄσυλον καὶ ἀλώβητον· ὃν πρεσβεύσατε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην ὑμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α'. ἦχος πλ. δ'. Τῷ ἐκτινάξαντι.

ΤΟὺς ἀνατείλαντας ἐν τῷ Κόσμῳ, τοὺς Ἱεράρχας τοὺς σοφούς, τοὺς τῆς Βασιλείας διαλάμποντας δόγμασιν, ᾄσωμεν τῷ Κυρίῳ, τῷ δοξάσαντι αὐτοὺς εἰς τοὺς αἰῶνας.

ΤΟὺς διαπρέψαντας ἐν τῷ Κόσμῳ, τῆς εὐσεβείας τῷ φωτί, καὶ τῆς ἀσεβείας τὴν ἀχλὺν ἐκδιώξαντας, τιμήσωμεν οἱ πιστοί, τοὺς Ἱεράρχας μεγάλους τοῦ Κυρίου.

ΩΣ παριστάμενοι σὺν Ἀγγέλοις, τῷ ἀπροσίτῳ Βασιλεῖ, τοῖς ἐπιτελοῦσι τὴν ὑμῶν μνήμην ἱκετεύσατε, δοθῆναι τὸν ἱλασμὸν, Ἱεροκήρυκες ὄντες Θεοφόροι. Θεοτοκίον.

ΩΣ συλλαβοῦσα τὸν πρὸ αἰώνων, ἄναρχον Λόγον τοῦ Πατρὸς, καὶ σαρκὶ τεκοῦσα ὑπὲρ λόγον Πανύμνητε, ἱκέτευε ἐκτενῶς, τοῦ λυτρωθῆναι ἡμᾶς ἐκ τῶν κινδύνων.

Ὠδὴ γ΄. Ὁ στερεώσας λόγῳ τοὺς Οὐρανούς.

ΔΙ' ἐγκρατείας ὄντως καὶ προσευχῆς, ἀκλινοῦς ἀνήλθετε εἰς ἀκρόπολιν, τῆς ἀρετῆς Θεοφόροι· ἔνθα τῆς τρυφῆς τὸν χειμάῤῥουν τρυφᾶτε ἀεί.

ΩΣ παῤῥησίαν ἔχοντες πρὸς τὸν Θεὸν, Ἱεράρχαι Ὅσιοι δυσωπήσατε, ὑπὲρ ἡμῶν τοῦ σωθῆναι, τοὺς πίστει ἐκτελοῦντας τὴν μνήμην ὑμῶν.

ΩΣ ἀσεβῶν δογμάτων Καθηγηταὶ, καὶ σοφῶν λογίων ὑφηγηταὶ ἀληθεῖς, τὸν στέφανον κομιεῖσθε κατὰ τῶν αἱρέσεων Ὅσιοι. Θεοτοκίον.

ΩΣ Οὐρανὸν καὶ θρόνον σε τοῦ Θεοῦ, ἀνυμνοῦμεν πάντες Θεοκυῆτορ Ἁγνὴ, ὅτι ἐκ σοῦ ἐπεφάνη Ἰησοῦς ἡ ἀλήθεια.

Ὁ Εἱρμός. Ὁ Στερεώσας λόγῳ τοὺς Οὐρανούς.

Κάθισμα, ἦχος γ΄. Θείας Πίστεως.

ΣΚεύη τίμια τῆς ἐγκρατείας, πλοῦτοι ἄσυλοι τῆς εὐσεβείας, ἀνεδείχθητε ὄντως μακάριοι, ἐν ἀπαθείᾳ τὸν βίον φαιδρύναντες, τοῖς δεομένοις τὸν πλοῦτον νείμαντες. Πατέρες ὅσιοι, Χριστὸν τὸν Θεὸν αἰτήσασθε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

ΘΕίας φύσεως οὐκ ἐχωρίσθη, σὰρξ γενόμενος ἐν τῇ γαστρί σου· ἀλλὰ Θεὸς ἐνανθρωπήσας μεμένηκεν, ὁ μετὰ τόκον Παρθένον Μητέρα σε, ὡς πρὸ τοῦ τόκου φυλάξας πανάμωμε, μόνος Κύριος. αὐτὸν ἐκτενῶς ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ ἀμίαντος Ἀμνὰς τοῦ Λόγου.

Ὠδὴ δ΄. Μυστικῶς ὁ Προφήτης.

ΤΟὺς Ἱεράρχας πάντες καὶ σοφοὺς, ἐν ᾠδαῖς εὐφημήσωμεν λέγοντες· Θεοφόροι Κυρίου, ἐκτενῶς δυσωπεῖτε σωθῆναι ἡμᾶς.

ΩΣ ἀσεβῶν δογμάτων ὑφηγητὰς, φυτουργοὺς καὶ σοφοὺς Διδασκάλους, Ἱεράρχας τε ἔχοντες, Θεομακάριστοι ὄντως, ὕμνοις καὶ ᾠδαῖς εὐφημοῦμεν ὑμᾶς.

ΤΗν ἱερὰν ὑμῶν μνήμην οἱ πιστοὶ, ἀρχηγέται, τροφίμων ἀοίδιμοι, Ἱεράρχαι Κυρίου, ὕμνοις καὶ ᾠδαῖς ἑορτάζομεν. Θεοτοκίον.

Η' Ἀνύμφευτος Νύμφη καὶ Ἁγνὴ, καὶ ἀλόχευτος Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, αὐτὸν ἀπαύστως πρέσβευε, σωθῆναι πάντας ἡμᾶς.

Ὠδὴ ε΄. Ὁ ἐκ νυκτὸς ἀγνοίας.

ΠΟιμαντικῶς χρισθέντες, τῆς εὐσεβείας τῷ μύρῳ Θεόσοφοι· ὅθεν ὡς Ἱεράρχας, πάντες εὐφημοῦμεν Θεόληπτοι.

ΩΣ μιμηταὶ δειχθέντες, τῶν Ἀποστόλων Θεόφρονες εὔδοξοι, πόνοις καὶ ἀγρυπνίαις, τοῦ τῆς Ἐκκλησίας προΐστασθε λαοῦ.

ΤΟν ζηλωτὴν Ἠλίαν, καὶ Μωσῆν τὸν Θεόπτην ζηλώσαντες, Πατέρες Ἱεροφάνται, τοὺς Αἱρεσιάρχας ᾐχμαλωτίσατε. Θεοτοκίον.

ΩΣ Βασιλίδα πάντων, καὶ Βασιλέα τῶν ὅλων κυήσασαν, δεῦτε σὺν τῷ Ἀγγέλῳ, τὴν εὐλογημένην τιμήσωμεν.

Ὠδὴ ς΄. Ὡς τὸν Προφήτην ἐῤῥύσω.

ΤΗς Ἐκκλησίας τὴν δόξαν, κατεκοσμήσατε Πατέρες μακάριοι, θείοις ὑμῶν δόγμασιν αὐτὴν ἀπαστράπτοντες, τὰς αἱρέσεις τε ἐκποδὼν ἐξήρατε.

ΩΣ εὐσεβείας φωστῆρες, τῶν δογμάτων τῷ κάλλει ἠστράψατε, καθ' ὅλης τῆς Κτίσεως, Διδάσκαλοι εὔδοξοι· ἀμαυρώσαντες τὰς αἱρέσεις λόγῳ Θεοῦ.

ΑΝτὶ μαχαίρας τῇ γλώττῃ, καὶ τῷ λόγῳ χρησάμενοι Ὅσιοι, τὰ νόθα ἐκόψατε, διδάγματα ἅπαντα, καὶ ἐτρανώσατε τὴν Τριάδα πᾶσι σαφῶς.

Θεοτοκίον.

Ο' Τεχθεὶς ἐκ Παρθένου, καὶ τὸν Κόσμον φωτίσας Χριστὲ ὁ Θεὸς, κἀμὲ τῶν πταισμάτων μου, ῥῦσαι ὡς φιλάνθρωπος, καὶ κυβέρνησον τὴν ζωήν μου δέομαι.

Ὁ Εἱρμός.

ΩΣ τὸν Προφήτην ἐῤῥύσω, ἐκ βυθοῦ κατωτάτου Χριστὲ ὁ Θεὸς, κἀμὲ τῶν πταισμάτων μου, ῥῦσαι ὡς φιλάνθρωπος, καὶ κυβέρνησον τὴν ζωήν μου δέομαι.

Ὠδὴ ζ΄. Ὁ ἐν Ἀρχῇ τὴν γῆν θεμελιώσας.

Ο' Ἐπὶ γῆς φωστῆρας ἀναδείξας, τοὺς εὐσεβεῖς καὶ σοφοὺς Ἱεράρχας· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ο' Ἀληθεῖς Ἱεράρχας ἐνθέους, ποίμνης τῆς σῆς, ποιμένας ἀναδείξας· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

ΟΙ' τῶν παθῶν κατασβέσαντες φλόγα, καὶ τὰς ψυχὰς ἐνθέως δροσισθέντες, δι' ἐγκρατείας καὶ ἀγρυπνίας, καὶ πίστεως ἀληθοῦς, μνήσθητε πάντων ἡμῶν.

ΤΑς τῆς σαρκὸς δεινὰς ἐπαναστάσεις, καταβαλόντες τῷ Χριστῷ ἐκβοᾶτε· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ο' Δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ τοῦ ἐχθροῦ ῥυσάμενος τὸν Κόσμον· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει Ἁγίῳ δοξασθέντα.

ΤΟν Μωσέα, μιμούμενοι Πατέρες, ἐν τῷ ὄρει, προέβητε καὶ γνόφῳ, τὸν νοητὸν τῆς χάριτος δεξάμενοι, Νόμον Ἱεράρχαι· ὅθεν ἀνυμνοῦμεν ὑμᾶς, εἰς τοὺς αἰῶνας.

ΛΑὸν Χριστοῦ ποιμάναντες ὁσίως, τῆς Αἰγύπτου τὴν πλάνην ἐκφυγόντες, τὴν Βαβυλῶνα τὴν τῶν παθῶν ἀπωσάμενοι, τὴν Σιὼν τὴν ἄνω, εὑρόντες κατοικίαν, εἰς πάντας τοὺς αἰῶνας.

ΩΣ τῷ μύρῳ, χρισθέντες Ἱεράρχαι, τῆς ἐν λόγῳ καὶ ἔργῳ εὐσεβείας, ἱερουργεῖτε τὰ θεῖα Ἱερώτατοι· ὅθεν τὴν Τριάδα, ἐν μιᾷ οὐσίᾳ, ὑμνεῖτε εἰς αἰῶνας. Θεοτοκίον.

ΤΟν ἐν Μήτρᾳ, οἰκήσαντα Παρθένου, καὶ ἐν ταύτῃ, φρικτῶς καὶ ὑπὲρ λόγον, τὸν παλαιὸν Ἀδὰμ ἀνακαινίσαντα· Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τὸν προδηλωθέντα.

ΟΙ' δι' ἀπαθείας καὶ πίστεως καὶ ἐλπίδος, καὶ ἀγάπης λόγον, ἡμῖν ζωῆς τῆς αἰωνίου, ὑποδείξαντες σοφοὶ Ἱεράρχαι, πρεσβεύσατε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΕΝ τῇ βακτηρίᾳ τοῦ Πνεύματος τοῦ Ἁγίου, λαὸν ὡς ποιμάναντες, τῆς σεπτῆς Ἐκκλησίας, καὶ διώξαντες θεομάχους αἱρέσεις, πάντες Ἱεράρχαι, εὐφημοῦμεν ὑμᾶς.

ΩΣ τῆς Ἐκκλησίας φωστῆρας καὶ Ἱεράρχας, ἐν ψαλμοῖς καὶ ὕμνοις, τιμῶμεν ἅπαντες ἀπαύστως,

τὴν σορὸν τῶν λειψάνων ὑμῶν, μακάριοι Πατέρες, ἀξίως μεγαλύνοντες.

Θεοτοκίον.

Χαῖρε τὸ ἀείζωον ῥεῖθρον τῆς ἀφθαρσίας· χαῖρε ἡ ὁλόφωτος τοῦ Ἡλίου νεφέλη· χαῖρε ὄχημα τῆς Θεότητος ὅλης· χαῖρε κιβωτὲ τοῦ ἁγιάσματος.

Ὁ Εἱρμός.

Τὸν προδηλωθέντα ἐν ὄρει τῷ Νομοθέτῃ, ἐν πυρὶ καὶ βάτῳ, τόκον τὸν τῆς Ἀειπαρθένου, εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν, ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικόν, εἰς τὰς ιη'. Ἰανουαρίου.

## ἈΚΟΛΟΥΘΙΑ εἰς Ἕνα Ἱερομάρτυρα.

Στιχηρὰ προσόμοια, ἦχος α'.

Πανεύφημοι Μάρτυρες.

Θεόφρον μακάριε βαφαῖς τοῦ οἰκείου αἵματος, τὴν Ἱεράν σου καὶ ἔνθεον, στολὴν ἐφαίδρυνας. ἐκ δυνάμεως γὰρ, εὐσεβῶς εἰς δύναμιν, εἰς δόξαν ἀπὸ δόξης προβέβηκας. καὶ νῦν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην.

Θυσίαν τὸ πρότερον Θεῷ, φέρων τὴν ἀναίμακτον, ὡς Ἱερεὺς ἐννομώτατος, ὡς ὁλοκάρπωμα, καὶ δεκτὴν θυσίαν, σεαυτὸν δι' αἵματος, ὡς Μάρτυς ἀληθέστατος ὕστερον, Χριστῷ προσήγαγες, Θεοῤῥῆμον πανσεβάσμιε· ὃν δυσώπει ὑπὲρ τῶν ὑμνούντων σε.

Μαρτύρων στρατεύματα Χριστῷ, Πάτερ προσενήνοχας, ταῖς ὑποθήκαις σου ἔνδοξε καὶ παραινέσεσι, νουθετῶν διδάσκων, καὶ σαφὲς ὑπόδειγμα, Θεόφρον σεαυτὸν παρεχόμενος· μεθ' ὧν ἱκέτευε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ἄσωμεν τῷ Κυρίῳ.

Διπλοῦν εὐσεβείας, τῆς Ἱεραρχίας καὶ ἀθλήσεως, κομισάμενος στέφος, πρὸς Χριστοῦ μακαρίως Ἀοίδιμε.

Σοὶ τῷ Ἀρχιποίμενι, ὁ Ἱερουργός σου ὥσπερ ἄκακον, καὶ σεπτὸν ἱερεῖον, δι' ἀνόμων χειρῶν προσενήνεκται.

Ἔλυσας Ἱεράρχα, τῶν Αἱρετικῶν τὰ ὀχυρώματα, εὐσεβεῖ παῤῥησίᾳ, καταγγείλας Τριάδα τὴν ἄκτιστον.

Θεοτοκίον.

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα ὑμνουμένη σε.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

Ὤφθης Ἱερώτατος, ἱερουργῶν τὸ πρὶν Ὅσιε, τὸν λυτρωτὴν, ἔπειτα ὡς θῦμα, αὐτῷ ἱερουργούμενος.

Γέγονας πιστότατος, οὐ μισθωτὸς ποιμὴν Ὅσιε, τὸ σεαυτοῦ, αἷμα προεκχέων, φιλοθέως τῆς ποίμνης σου.

Ἄριστα ἐποίμανας, τὸ τοῦ Δεσπότου σου ποίμνιον, Ἀρχιερεῦ· ὅθεν ἐν τῷ τόπῳ, τῆς χλόης κατεσκήνωσας.

Θεοτοκίον.

Δὸς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Πάναγνε, τὰς προσβολὰς, ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Κάθισμα, ἦχος γ'. Θείας Πίστεως.

Θείῳ αἵματι, τὴν Ἐκκλησίαν, κατελάμπρυνας, ὡς ἀθλοφόρος, Ἱερομάρτυς καὶ στῆλαι πατήργησας, ὑπενεγκὼν τὰς βασάνους στεῤῥότατα, καὶ τῶν πιστῶν τὰς καρδίας ἐφώτισας. ὅθεν ἅπαντες, τὴν μνήμην τὴν σὴν πανσεβάσμιε, τελοῦντες ἐν πίστει, τὸν Σωτῆρα δοξάζομεν.

Θεοτοκίον.

Ξένος γέγονα, τῶν ἐντολῶν σου, ὅλως πάθεσι, δεδουλωμένος· καὶ καθ' ἑκάστην ἁμαρτάνων ὁ δείλαιος, συντετριμμένῃ ψυχῇ ἐκβοήσω σοι· νῦν με συγγνώμης ἀξίωσον Δέσποτα, τὸν κατάκριτον, διὰ τῆς ἀσπόρως Τεκούσης σε, ὁ μόνος ὑπάρχων πᾶσιν ἀνεξιχνίαστος.

Σταυροθεοτοκίον.

Ἡ Ἀμίαντος, Ἀμνὰς τοῦ Λόγου, ἡ ἀκήρατος, Παρθενομήτωρ, ἐν Σταυρῷ θεασαμένη κρεμάμενον, τὸν ἐξ αὐτῆς ἀνωδύνως βλαστήσαντα, μητροπρεπῶς θρηνῳδοῦσα ἐκραύγαζεν· οἴμοι Τέκνον μου, πῶς πάσχεις θέλων ῥύσασθαι, παθῶν τῆς ἀτιμίας τὸν ἄνθρωπον.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Τὰ τῶν λύκων συστήματα, ἄρνας ἐκτελῶν τῷ λόγῳ Μακάριε, τεθανάτωσαι τῷ σώματι, τὸ δὲ πνεῦμα ἔθου ταῖς χερσὶ τοῦ Θεοῦ.

Ὡς εὐώδης καὶ πάναγνος, καὶ τῷ Λυτρωτῇ δεκτὴ ἡ θυσία σου, καὶ προσάγοντος ἐνθέῳ φρενὶ, καὶ προσαγομένου παρανόμοις χερσί.

Κεχρισμένος Μακάριε, ἱερατικῷ ἐν χρίσματι πρότερον, ἐτελέσθης καὶ τὸ δεύτερον, τῷ μαρτυρικῷ σου μάκαρ αἵματι.

Θεοτοκίον.

Ἡ τὸν στάχυν βλαστήσασα, τὸν ζωοποιὸν ἀνήροτος ἄρουρα, τὸν παρέχοντα τῷ Κόσμῳ ζωὴν, Θεοτόκε σῶζε τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ ε'. Ὀρθρίζοντες βοῶμέν σοι Κύριε.

Ἀναίμακτον θυσίαν προσήνεγκας, τῷ Δεσπότῃ· σεαυτὸν δὲ δι' αἵματος, ἐκαρποφόρησας Ἔνδοξε.

Ἡ θεία μὲν γλῶσσά σου ἀπέσταξε, σωτηρίαν, ὁ ῥοῦς δὲ τοῦ σοῦ αἵματος πνευματικὴν ἀγαλλίασιν.

Τῶν λόγων σου ἡ χάρις, στηρίζει τὴν Ἐκκλησίαν, στῦλον σε Μακάριε, ὀρθοδοξίας τε ἕδρασε.

Θεοτοκίον.

Ἀτρεύσι τῷ τόκῳ σου ἄχραντε Θεοτόκε, Ἀγγέλων τὰ τάγματα, καὶ τῶν βροτῶν τὰ συστήματα.

Ὠδὴ ς'. Χιτῶνά μοι παράσχου φωτεινόν.

Ἐβάπτισας ἐν ὕδασι λαοὺς, καὶ Ἁγίῳ Πνεύματι, ὥσπερ βεβάπτισαι· ἐβαπτίσθης δὲ, τῷ σῷ αὖθις αἵματι.

Μὴ παύσῃ τὰς ἐντεύξεις ἐκτελῶν, πρὸς Χριστὸν Μακάριε, ὑπὲρ τῆς ποίμνης σου, καὶ τὸ αἷμα προτιθεὶς ἱκετήριον.

Ὡς κλῆμα τῆς ἀμπέλου τῆς ζωῆς, ἐκλεκτὸν καὶ εὔτιμον, πλεῖστον ἐξήνθησας, τῷ Δεσπότῃ σου καρπὸν Ἱερώτατε.

Θεοτοκίον.

Ξοάνων καταλύτης ὡς Θεὸς, γεγονὼς ὁ Τόκος σου, Μαρία Θεόνυμφε, προσκυνεῖται σὺν Πατρὶ, καὶ τῷ Πνεύματι.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ὡς καλὴ ὡς δὲ πίων, ἡ θυσία σου ὤφθη Πάτερ ἀοίδιμε. αὐτὸς γὰρ τῷ Δεσπότῃ, δι' αἵματος προσήχθης, ὡς προσάγων ἀναίμακτα, ὁ τῶν Πατέρων.

Ποιμανθεὶς καὶ ποιμάνας, ἀμφοτέρωθεν Πάτερ ὄλβον συνήθροισας· καὶ τοῦτον διεσώσω, τηρήσας τὴν σφραγίδα, τῆς ἀθλήσεως μέλπωντε· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Τρισυπόστατον Φύσιν, ἐν πιστῶν Ἐκκλησίᾳ ἐθεολόγησας· καὶ ταύτῃ Θεοφόρε, ἀδίκων πρὸ

θυμα-

βημάτων ἀναιρέμενος ἔψαλλες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ῥάβδος ἔφυς Παρθένε, Ἰεσσαὶ ἐκ τῆς ῥίζης ἡ παμμακάριστος· καρπὸν αὐθηφοροῦσα, σωτήριον τοῖς πίστει, τῷ Υἱῷ σου κραυγάζουσιν, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ἱερομάρτυρος ἀπλοῦς ἐν τῇ μνήμῃ, οἱ πιστοὶ εὐφραίνεσθε βοῶντες, καὶ ὑπερυψοῦντες εἰς πάντας.

Τὸν Ἱεράρχην μαρτυρικῷ καθορῶντες, ἐκπρεπῶς κοσμούμενον στεφάνῳ, σὲ ὑπερυψοῦμεν Χριστὲ εἰς.

Τὴν τῶν θαυμάτων σοι δωρεὰν καὶ τὴν χάριν, ἐπαξίως νέμει ὁ Δεσπότης, ὦ Ἱερομάρτυς εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὑπερφυῶς, τὸν Δημιουργὸν καὶ Σωτῆρα, Θεὸν Λόγον τέτοκας Παρθένε· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τὸν προδηλωθέντα.

Σὺ τοῖς μὲν προβάτοις, ποιμὴν πιστῶς ἀνεδείχθης· τῷ Ποιμένι δὲ πρόβατον, προσαχθεὶς εἰς θυσίαν, καὶ διπλοῦν ἐκομίσω τὸ κλέος· ὅθεν σε τιμῶμεν παμμακάριστε.

Σοῦ τὰς παραδόσεις, Πάτερ ἀτρώτους τηροῦντες, καὶ τὴν ἄθλησιν σέβοντες, εὐσεβῶς τὴν Τριάδα, ἐν μιᾷ τῆς Θεότητος φύσει, ᾄσμασιν ἀπαύστως μεγαλύνομεν.

Σὺ τοὺς χαρακτῆρας, δι' ἐγκρατείας Παμμάκαρ, εὐσεβείας τοῖς χρώμασιν, ἑαυτῷ ἐμμόρφωσας, ἀληθῶς τοῦ Θεοῦ κατ' εἰκόνα, τὴν ψυχήν σου ἔδειξας μακάριε.

Θεοτοκίον.

Σὺ εἶ Θεοτόκε, τὰ ὅπλα ἡμῶν καὶ τεῖχος. σὺ εἶ ἡ ἀντίληψις, τῶν εἰς σὲ προστρεχόντων. σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν, ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς ιε'. τοῦ Ὀκτωβρίου.

---

ἈΚΟΛΟΥΘΙΑ εἰς Δύο, καὶ πολλοὺς Ἱερομάρτυρας.

Στιχηρὰ προσόμοια, ἦχος α'.

Πανεύφημοι Μάρτυρες.

Τῆς Ἱερωσύνης τὴν στολὴν, ὄντως ἐλαμπρύνατε, τοῦ μαρτυρίου τοῖς αἵμασι· καὶ ἀμφοτέρωθεν, φαιδρῶς αὐγασθέντες, σὺν Ἀγγέλοις ᾄδετε, τῷ Κτίσῃ παρεστῶτες θεράποντες· ὃν ἱκετεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν.

Θεόπνευστον ὄργανον ἡμῖν, ὄντως ἀνεδείχθητε, ἀναφωνοῦν τὰ ἀπόρρητα, Θεῖα Μυστήρια, τῆς Γραφῆς τῆς θείας· καὶ Εἰδώλων ἄνοιαν, ἐλέγχοντες, Χριστῷ προσηγάγετε· ὃν ἱκετεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν.

Ὡς Μῦρον τὰ αἵματα ὑμῶν, Χριστῷ προσηνέγκατε, ὡς δι' αὐτὸν ἐκχυνόμενα· δι' ὧν μυρίζετε, τὰς καρδίας πάντων, τῶν πιστῶς ὑμνούντων ὑμᾶς, καὶ πόθῳ εὐφημούντων Πανίεροι· καὶ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α'. ἦχος δ'. Ἅρματα Φαραώ.

Δεῦτε μαρτυρικαῖς, εὐφημήσωμεν ᾠδαῖς τοὺς Ἱερομάρτυρας, θεοφεγγεῖ καθορῶντες χάριτι, φαιδρῶς ἐκλάμποντας· Χριστὸν δοξάζοντες πάντοτε.

Ὑμεῖς ποίμνην, λογικὴν πρὸς Χριστοῦ πιστευθέντες, ταύτης ἐκμιμούμενοι, προκινδυνεύετε ἀρίστως· ὑμεῖς τὴν ψυχὴν προτεθείκατε, καὶ διπλῷ στέφει κεκόσμησθε.

Τῷ ἱερατικῷ, ἐκ προστάγματος αὐτοῦ, τῆς ἀγαλλιάσεως, προκεχρισμένοι ἐλαίῳ, τῷ μαρτυρικῷ Πανίεροι, ἐπεσφραγίσθητε δι' αἵματος.

Θεοτοκίον.

Ἄφλεκτον Μωϋσῆς, ἐν τῷ ὄρει τῷ Σινᾶ, βάτον ἐθεάσατο, τὴν ζωγραφοῦσαν Παρθένον, ἄγλην μὴ φλεχθεῖσαν θείου πυρός· καὶ γὰρ Θεὸν ἀπεκύησεν.

Ὠδὴ γ'. Τόξον δυνατῶν ἠσθένησε.

Ἄρνας λογικοὺς ποιμάναντες, καὶ ὥσπερ ἀρνία τῶν προβάτων προτέθυσθε· τὸν ἁπάντων Ἀρχιποίμενα, καὶ Θεοῦ ἀμνὸν μιμούμενοι.

Γάλα λογικὸν Πανίεροι, τοὺς ποιμαινομένους θεοπνεύστως ποτίσαντες, τοῦ Χριστοῦ δὲ τῆς μαρτυρίας, χαίροντες πεπώκατε ποτήριον.

Στέφους Ἀθλητῶν ἡγούμενοι ὑπὲρ εὐσεβείας ὑποδύντες τὰ σκάμματα, εὖ δοξάζοντες Θεὸν Πατέρα, σὺν Υἱῷ καὶ Θείῳ Πνεύματι.

Θεοτοκίον.

Χαίροις Μῆτερ Ἀπειρόγαμε, ἡ τὸν Θεὸν Λόγον ἐν γαστρί σου χωρήσασα, καὶ τεκοῦσα Σεσαρκωμένον, ὡς Θεὸν ὁμοῦ καὶ Ἄνθρωπον.

Κάθισμα, ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Φωστῆρες παμφεγγεῖς, ὡς δειχθέντες τῷ Κόσμῳ, φωτίζετε αὐγαῖς, τῶν ὑμῶν θείων λόγων, πιστῶν τὴν διάνοιαν, Ἱεράρχαι πολύαθλοι. ὅθεν ἅπαντες, τὴν ἱεράν τε καὶ θείαν, μνήμην σήμερον, χαρμονικῶς ἐκτελοῦμεν, καὶ πίστει γεραίρομεν.

Θεοτοκίον. Ὅμοιον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον ὀφθεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα. σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁρῶσά σε Χριστὲ, ἡ πανάμωμος Μήτηρ, νεκρὸν ἐπὶ Σταυροῦ, ἡπλωμένον ἐβόα· Υἱέ μου συνάναρχε, τῷ Πατρὶ καὶ τῷ Πνεύματι· τίς ἡ ἄφατος, Οἰκονομία σου αὕτη; δι' ἧς ἔσωσας, τὸ τῶν ἀχράντων χειρῶν σου, σοφὸν δημιούργημα.

Ὠδὴ δ'. Τῆς σῆς ἐπὶ τῆς γῆς.

Τῶν ἀρετῶν ὑμῶν, ὡς πολύπλοκος ἡ θεία σειρά. ὡς Ποιμένες τε καὶ Μάρτυρες εὔδοξοι, παρὰ Θεοῦ δοξάζεσθε, σφόδρα ἐν αὐτῷ εὐφραινόμενοι.

Τῆς προσφορᾶς τοῦ Ἄβελ ὑπερβεβήκατε· λογικοὺς γὰρ προσενηνόχατε ἄρνας Χριστῷ· καὶ τὸ οἰκεῖον αἷμα, χαίροντες τῷ Δεσπότῃ ἀπεδώκατε.

Αἱρετιζόντων τὴν πολύφημον κακόνοιαν, διὰ τοῦ Πνεύματος τρεψάμενοι μακάριοι, Ἱερομάρτυρες ἄριστοι, πόθῳ τοῦ Δεσπότου γενόμενοι.

Θεοτοκίον.

Ὡς εἶδον οἱ Ἄγγελοι Παρθένε Ἁγνὴ, ἐκ τῆς γαστρός σου προελθόντα τὸν Υἱὸν τοῦ Θεοῦ, ἐν εὐφροσύνῃ ἔλεγον· δόξα τῇ Κυήσει σου Δέσποινα.

Ὠδὴ ε'. Σὺ Κύριέ μου Φῶς.

Καὶ Μάρτυρες Χριστοῦ, Ἱερεῖς τε γεγένησθε, καὶ Μάρτυρες Ἱεράρχαι, καὶ διτταῖς λαμπρυνθέντες ταῖς χάρισι πανεύφημοι.

ΛΊθοι μεθ' διαυγεῖς, ἐν χρυσῷ διαπρέπουσι, Πανεύφημοι, τὸ δὲ φέγγος, τῆς ὑμῶν προστασίας, τῇ αἴγλῃ τῆς ἀθλήσεως.

ΜΥ'θους Ἑλληνικοὺς, ἀσεβῶς διηλέγξατε, ὡς ἄριστοι τῶν Μαρτύρων, καὶ παρανόμων πλάνην, Ἑβραίων θείᾳ χάριτι. Θεοτοκίον.

ΣΕ' ὅπλον ἄρραγες, κατ' ἐχθρῶν προβαλλόμεθα· σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ς'. Θύσω σοι, μετὰ φωνῆς.

ΤΕθύκατε, τῷ Σωτῆρι θυσίαν αἰνέσεως, ἐν Ἐκκλησίᾳ Ὁσίων· ὡς Θεοῦ μετίται καὶ τῶν ἀνθρώπων, καὶ προθύμως, τὰς ψυχὰς δι' αἱμάτων προσμίξαντες.

ΕΓλύψατε, χαρισμάτων πληθὺν διὰ Πνεύματος, Ἱερομάρτυρες ὄντως, ἐν ἀνοίξει θείων ὑμῶν χειλέων· καὶ προσάγετε, ἀχαρίστως αὐτοὺς θανατούμενοι.

ΩΣ θεῖον, τῶν Ἀθλητῶν σου Χριστέ μου τὸ σύστημα, τῶν ἐπ' ἐλπίδι κειμένων, ὡς παρόντων ἤδη κατατρυφώντων, καὶ ἥδιω τῆς ζωῆς ἡγημένων τὸν θάνατον. Θεοτοκίον.

ΩΘαῦμα τῶν ἁπάντων θαυμάτων καινότερον· ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως συλλαβοῦσα, οὐκ ἐστενοχώρησε.

Ὠδὴ ζ'. Ὁ διασώσας ἐν πυρί.

ΜΑρτυρικαῖς μαρμαρυγαῖς, ἱερατικαῖς φρυκτωρίαις, Ἱερομάρτυρες ὁμοῦ, τοὺς βοῶντας Χριστῷ νῦν φωτίζετε· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

ΤΟν προγνωσθέντα τηλαυγῶς, ἆθλον ἱερώτατοι Πατέρες, τοῦ Μαρτυρίου καθορᾶν, ἐφεστῶτά τε χαίροντες κράζετε· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ. Θεοτοκίον.

ΤΗν ἀλοχεύτως ἐν γαστρί, καὶ ὑπερφυῶς δεξαμένην, τὸν ἀναλλοίωτον Θεὸν, εὐσπλαγχνίᾳ βροτοῖς ὁμιλήσαντα, ὑπερύμνητον Κύριον, οἱ πιστοὶ εὐσεβοφρόνως ὑμνολογοῦμεν.

Ὠδὴ η'. Τὸν ἐν μορφῇ Ἀγγέλου.

ΩΣ λιπαρὰ καὶ πίων ἡ θυσία· οἱ καλοὶ τῶν Ποιμένες, πρόβατα δίκην προσάγονται, τῷ Χριστῷ κραυγάζοντες· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε.

ΜΑρτυρικοῖς στεφάνοις ἐξαστράπτοντες, τῇ Ἐκκλησίᾳ Χριστοῦ, οἱ Ἱεράρχαι ἀνέτειλαν· ὑμνεῖτε Παῖδες γηθοσύνως κραυγάζοντες, λαοὶ ὑπερυψοῦτε.

ΤΗ τοῦ ἀπειλουμένου ἀποφάσει, οἱ Χριστοῦ Ἀθλοφόροι, θανάτου χαίροντες ἔκραζον· Παῖδες ὑπερυψοῦτε, Χριστὸν τὸν μόνον Θεὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

ΤΗν ἀπορρήτως καὶ ἀσπόρως συλλαβοῦσαν, καὶ τεκοῦσαν χαρὰν τῇ Οἰκουμένῃ· Χριστὸν τὸν Θεὸν ὑμνεῖτε Παῖδες, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Τόκος σου ἄφθορος.

ΩΣ πανκλεεῖς Ἱερομάρτυρες, διττῷ κατελαμπρύνατε τῷ φέγγει, τὴν Χριστοῦ Ἐκκλησίαν, τῆς Ἱεραρχίας καὶ τοῦ Μαρτυρίου· ὅθεν πάντες ὑμᾶς ἐπαξίως, μεγαλύνομεν μακάριοι.

ΠΗγὴν ἀναβλύσαντες διδαγμάτων, Παμμακάριστοι Χριστοῦ τῇ Ἐκκλησίᾳ, μαρτυρικῶς αἱμάτων τοὺς κρουνοὺς, ποταμηδὸν τῷ Θεῷ προσφέρετε· ὅθεν πάντες ὑμᾶς μεγαλύνομεν πανίεροι.

ΕΔιδάξατε εὐαγῶς Θεηγόροι, Θεὸν προσκυνεῖσθαι ἐν Τριάδι, δημιουργὸν ἁπάντων, ὁρατῶν τε ποιημάτων καὶ ἀοράτων, μαρτυρικῷ τε κοσμηθέντες διαδήματι. Θεοτοκίον.

ἈΣτράπτων σοι Ἄγγελος ἐπέστη, καὶ μαρμαρυγαῖς Παρθενίας, σφοδρῶς σου ἀντεστράφθη, ἑαυτῷ ὡς τῆς οἰκείας ἐπιμελεῖσθαι, δόξης τὸ χαῖρε, διὸ φόβῳ σοι ἐφθέγξατο.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀπόστολον, Εὐαγγέλιον, καὶ Κοινωνικὸν, εἰς τὰς κς'. τοῦ Ὀκτωβρίου.

## ἈΚΟΛΟΥΘΙΑ εἰς Ἕνα Ὅσιον.

Στιχηρὰ προσόμοια, ἦχος δ'.

Ἔδωκας σημείωσιν.

ΠΑσαν ἡδυπάθειαν, ὑποπιάζων τὸ σῶμά σου, ἀπηρνήσω Θεόσοφε, πικραίνων τὴν αἴσθησιν, ἐγκρατείας πόνοις, καὶ σκληραγωγίαις, ὑπομονῇ τε πειρασμῶν, καὶ καρτερίᾳ τῶν περιστάσεων· ἀνθ' ὧν τὴν ἀτελεύτητον, ἀντιλαμβάνεις ἀπόλαυσιν, καὶ τρυφὴν ἀδιάδοχον, καὶ χαρὰν ἀνεκλάλητον.

ΠΑ'θη τὰ τοῦ σώματος, δι' ἐγκρατείας ἐμάρανας, καὶ συντόνου δεήσεως· καὶ ὄφιν τὸν δόλιον, τῶν δακρύων ὄμβροις, ἀπέπνιξας μάκαρ, καὶ εὐηρέστησας Θεῷ, ὑπερβαλλόντως Θεόφρον Ὅσιε. διό σε κατεκόσμησεν, ἐπουρανίοις χαρίσμασιν, Ἰησοῦς ὁ φιλάνθρωπος, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

ΔΡόμον τῆς ἀσκήσεως, ἀπαρατρέπτως τετέλεκας, καὶ τὴν Πίστιν τετήρηκας. ἐντεῦθεν καὶ στέφανον, ἐκομίσω Πάτερ, τῆς δικαιοσύνης, ὅν σοι ἡτοίμασε Χριστὸς, ὁ κατ' ἀξίαν νέμων τὰ ἔπαθλα, καὶ γέρα χαριζόμενος, καὶ τὴν τῶν πόνων ἀντίδοσιν. ὧν καὶ νῦν ἡμᾶς τεύξασθαι, Θεοφόρε δυσώπησον.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ἄσωμεν τῷ Κυρίῳ.

ἘΘέλξε σε ὁ πόθος ὁ δεσποτικὸς, καὶ τὰς τοῦ σώματος ἡδονὰς καταλείψας, ἐν Χριστῷ ἀναπαύῃ Μακάριε.

ἬΡθης Πάτερ πρὸς ὕψος, καὶ διαπεράσας τὸ μεσότειχον, τῆς ἀντίστου οὐσίας, καθαρῶς ἀπολαύεις μακάριε.

ΑἼγλην ἄϋλον Πάτερ, ἔνδον ἐν καρδίᾳ σου δεξάμενος, ἐφωτίσθης καὶ πᾶσαν, τὴν ἀχλὺν τῶν παθῶν ἐξηφάνισας. Θεοτοκίον.

ΓΕ'νος Ἀδαμιαῖον, πρὸς τὴν ὑπὲρ νοῦν μακαριότητα, διὰ σοῦ ἀνηγμένον, Θεοτόκε ἀξίως δοξάζει σε.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

ΠΥ'ρ τὸ τῆς Θεότητος, ἐνστερνισάμενος Ὅσιε, καὶ καθαρθεὶς, ἄνθραξ Θεοφόρε, ἐπὶ γῆς ἐχρημάτισας.

ΝΕ'κρωσιν ἐνδέδυσο, πρὸ τελευτῆς παθῶν Ὅσιε, καὶ πρὸς ζωὴν, διὰ τοῦ θανάτου, ἐξεδήμησας ἄληκτον.

ΣΑ'ρκα καθυπέταξας, τῷ λογισμῷ στερρῷ Ὅσιε, τὴν δὲ ψυχὴν, ἔδειξας δουλείας, τῶν παθῶν ἀταπείνωτον.

Θεοτοκίον.

ΔΟ'ς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Πάναγνε, τὰς προσβολὰς ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Κάθισμα, ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

ΤΗν πτωχείαν Ἰησοῦ, ἐπιποθήσας εὐσεβῶς, πλοῦτον ἔλιπες φθαρτὸν, καὶ ῥέουσαν ζωὴν σοφέ. καὶ τὸν Σταυρόν σου ἐπ' ὤμων ἀράμενος, τρίβον τὴν στενὴν χαί-

ρων διανύσας· πατῶν τὰς ἡδονὰς τὰς τοῦ σώματος, δι' ἐγκρατείας Ἅγιε, ἁπάσης κακοπαθείας τε ἔφθασας, πρὸς πλάτος θεῖον τοῦ Παραδείσου, Πατὴρ ἡμῶν Ὅσιε.

Θεοτοκίον. Ὅμοιον.

Κατανύξει μου ψυχῆς, κλίνω σοι γόνυ ἀγαθή, καὶ λιτανεύων ἐκβοῶ· πρόσχες καὶ ἴδε τὴν ἐμήν, ἐν ἁμαρτίαις συγκύπτουσαν ταλαιπωρίαν. μολύνας γὰρ κακῶς, ψυχὴν καὶ σῶμά μου, ἐκδέχομαι λοιπόν, κατὰ τὰς πράξεις μου, τὰς φοβερὰς ἐκείνας τε κολάσεις. σὺ οὖν Παρθένε βοήθει μοι, καὶ λύτρωσαί με, Θεογεννῆτορ, ἐξ αὐτῶν ὅτι δύνασαι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Παρθένος καὶ Ἀμνάς, θεασαμένη ἐν Σταυρῷ, τὸν ἀσπόρως ἐξ αὐτῆς, Ἀμνὸν τεχθέντα ὑπὲρ νοῦν, ἀναρτηθέντα καὶ λόγχῃ διατρωθέντα, λύπης τετρωμένη τοῖς βέλεσιν, ἐβόα γοερῶς ὀλολύζουσα· τί τὸ καινὸν Μυστήριον; πῶς θνήσκεις, ὁ τῆς ζωῆς ἡμῶν Κύριος; διὸ ἀνάστα, τὸν πεπτωκότα, συνεγείρας Προπάτορα.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Ὁ Θεράπων σου Κύριε, τὴν πολυσχεδῆ ἀπώσατο μέριμναν, τὴν διάνοιαν ἀθόλωτον, ἐργαζόμενος σου καταγώγιον.

Ἠρετίσω Μακάριε, ἀγγελικοῖς προστάγμασιν ἕπεσθαι. τὸν Σταυρόν σου γὰρ ἀράμενος, τῷ Δεσπότῃ χαίρων ἠκολούθησας.

Ταπεινώσεως πτέρυξι, τὰς τοῦ δυσμενοῦς παγίδας συνέτριψας· ὅθεν Ὅσιε ὑψούμενος, οὐρανοπολίτης ἐχρημάτισας.

Θεοτοκίον.

Ἱλασμὸν ἡμῖν δώρησαι, τῶν ἀγνοημάτων ὡς ἀναμάρτητος· καὶ εἰρήνευσον τὸν Κόσμον σου, ὁ Θεὸς πρεσβείαις τῆς Τεκούσης σε.

Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶμεν σοι Κύριε.

Θυμὸν μὲν κατὰ μόνου τοῦ ὄφεως Θεοφόρε, πᾶσαν δὲ τὴν ἔφεσιν, πρὸς τὸν Δεσπότην σου ἔτρεψας.

Ἐμφρόνως τὰς αἰσθήσεις τοῦ σώματος κυβερνήσας, στήλη ἐχρημάτισας, τῶν ἀρετῶν Παμμακάριστε.

Τὸν καύσωνα βαστάσας ἀοίδιμε τῆς ἡμέρας, χαρᾶς κατηξίωσαι, τῆς τοῦ Κυρίου σου Ὅσιε.

Θεοτοκίον.

Μαρία Θεοτόκε ἀνύμφευτε, τὰς ἐλπίδας, τῶν ἐχθρῶν ματαίωσον, καὶ τοὺς ὑμνοῦντάς σε εὔφρανον.

Ὠδὴ ς΄. Χιτῶνά μοι παράσχου φωτεινόν.

Τοῦ ὄφεως Χριστὲ ἡ προσβολή, οὐ τῷ λείῳ ἔθελξε σοῦ τὸν Θεράποντα, οὐ τὸ πῦρ τῶν πειρασμῶν κατεπτόησεν.

Ἰσάγγελον βιώσας ἐπὶ γῆς, πολιτείαν Ὅσιε, θείοις χαρίσμασιν, ἐκοσμήθης δεξιᾷ παντοκράτορι.

Ἐγκράτειαν ἀένναον ἀρχὴν, κτησάμενος Ὅσιε, ἀγάπην ἀθόλωτον, ἀκηλίδωτον Θεοῦ ὤφθης ἔσοπτρον.

Θεοτοκίον.

Ὁ Λόγος τοῦ Θεοῦ σε τοῖς βροτοῖς, Θεοτόκε ἔδειξεν, οὐράνιον κλίμακα· διὰ σοῦ γὰρ πρὸς ἡμᾶς καταβέβηκεν.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἡδονὰς θανατώσας, καὶ θυμὸν χαλινώσας, ὦ παμμακάριστε, ἐδέξω τὸ βραβεῖον, τῆς ἄνω κληρουχίας, καὶ βοᾷς εὐφραινόμενος· ὁ τῶν Πατέρων ἡμῶν.

Ἀρετῶν τὴν ἀρίστην, ἀκλινῶς διοδεύσας τρίβον ἀοίδιμε, πρὸς Πόλιν εἰσελαύνεις, Ἐδὲμ τῆς ἀκηράτου, μελῳδῶν εὐφραινόμενος· ὁ τῶν Πατέρων ἡμῶν.

Τῆς Τριάδος τὴν δόξαν, εὐσεβῶς καταγγείλας ὦ Παμμακάριστε, φωτὶ τῷ τρισηλίῳ, τρυφᾷς ἐπαναπαύῃ, καὶ βοᾷς ἀγαλλόμενος· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ῥάβδος ἔφυς Παρθένε, Ἰεσσαὶ ἐκ τῆς ῥίζης ἡ παμμακάριστος, καρπὸν ἀνθηφοροῦσα, σωτήριον τοῖς πίστει τῷ Υἱῷ σου κραυγάζουσιν· ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Τὸν ἐνισχύσαντα, θαυμαστῶς πρὸς ἀγῶνας, ἀσκητικοὺς τὸν Ὅσιον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὴν τῶν Ἀγγέλων ἐπὶ τῆς γῆς πολιτείαν, μετελθὼν Παμμάκαρ νῦν σὺν τούτοις, ἐν ἐπουρανίοις αὐλίζῃ εἰς αἰῶνας.

Θίασος χαίρει τῶν μοναστῶν καὶ χορεύει, τῶν Ὁσίων δῆμος καὶ δικαίων. στέφος γὰρ ἐδέξω, τῆς νίκης ἐπαξίως.

Θεοτοκίον.

Ὑπερφυῶς τὸν δημιουργὸν καὶ Σωτῆρα, Θεὸν Λόγον τέτοκας Παρθένε. ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ἡ Μνήμη σου ἀξίως, Ὅσιε εὐφραίνει, πάντα τῆς γῆς τὰ πληρώματα σήμερον, ἣν ἐτησίως τιμῶντας, ἡμᾶς περίσωζε.

Τοὺς πίστει ἐκτελοῦντας, Ὅσιε τὴν μνήμην, τὴν ἀξιέπαινον σου καθικέτευε, ἐκ τῶν σκανδάλων ῥυσθῆναι τοῦ πολεμήτορος.

Τῷ θρόνῳ τοῦ Δεσπότου, μάκαρ ὡς θεράπων, τούτου ἀεὶ παριστάμενος Ὅσιε, μὴ διαλίπῃς πρεσβεύων ὑπὲρ τῆς ποίμνης σου.

Θεοτοκίον.

Ψαλμοῖς σε ἀνυμνοῦμεν, Κεχαριτωμένη, καὶ ἀσιγήτως τὸ χαῖρέ σοι κράζομεν. σὺ γὰρ ἐπήγασας πᾶσι τὴν ἀγαλλίασιν.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀπόστολον, Εὐαγγέλιον, καὶ Κοινωνικόν, εἰς τὰς ιζ΄. τοῦ Γενν...

## ἈΚΟΛΟΥΘΙΑ εἰς Δύο, καὶ πολλοὺς Ὁσίους.

Στιχηρὰ προσόμοια, Ἦχος δ΄.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐγκρατείᾳ παθήματα, Θεοφόροι νεκρώσαντες, τὴν ψυχὴν ὁλόφωτον ἀπεργάσασθε· καὶ οἰκητήριον Πνεύματος, ταύτην ἐκτελέσαντες, τῇ Τριάδι καθαρῶς, τῇ Ἁγίᾳ παρίστασθε, ἱκετεύοντες, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὴν ἀεισέβαστον μνήμην ὑμῶν.

Ἀμπρυνθέντες τῷ Πνεύματι, τῷ Ἁγίῳ πανόλβιοι, πρὸς τοὺς Κοσμοκράτορας παρετάξασθε· τὰς μηχανὰς γενναιότατοι, τὰς τούτων νικήσαντες, συμμαχίᾳ θεϊκῇ, κατ' αὐτῶν ἀριστεύσαντες. ὅθεν σήμερον, τὴν λαμπρὰν ὑμῶν μνήμην ἐκτελοῦντες, κατὰ χρέος ἐν αἰνέσει, ὑμᾶς τιμῶμεν πανόλβιοι.

Τῇ ἀσκήσει Μακάριοι, καὶ κακώσει τοῦ σώματος, θαυμαστὰ ἠνύσατε ἀγωνίσματα, Χριστῷ τὴν σάρκα δουλώσαντες, καὶ πάθη μειώσαντες, καὶ ὁρμὰς τῶν ἡδονῶν, παντελῶς χαλινώσαντες, τοῖς παλαίσμασι, καὶ συντόνῳ δεήσει Θεοφόροι, καὶ ταῖς θείαις πρὸς τὸ θεῖον, καὶ ἀνενδότοις συννεύσεσι.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α΄. Ἦχος β΄. Δεῦτε λαοί.

Κράτος ἐχθροῦ, τῇ κραταιᾷ διαλύσαντες, τοῦ Παρακλήτου χάριτι, Θεομακάριστοι, κραταιώσατε πάντας, κατὰ τῶν τυραννούντων ἐχθρῶν δεόμεθα.

Λόγοις ἡμᾶς, τοὺς ἐπὶ γῆς μακαρίζοντας, παθῶν ἀλόγων ῥύσασθε, ταῖς πρεσβείαις ὑμῶν, παμμακάριστοι Μύσται, τοῦ Λόγου τοῦ ἀνάρχου, θεῖοι γενόμενοι.

Ὅλοι ὑμεῖς, τῷ Ποιητῇ ἀνατέθεισθε, ὅλον ψυχῆς τὸν ἔρωτα κατενεύσατε, εἰς αὐτὸν, διὰ τοῦτο, τοῦ Πνεύματος τὴν χάριν ὅλην ἐδέξασθε.

Θεοτοκίον.

Σωματικῶς, ἀποτεκοῦσα τὸν ἄσαρκον, Θεογεννήτορ πανάγνε, τῶν σαρκικῶν ἡμᾶς, ψυχικῶν τε κηλίδων, ἀπόπλυνον ῥανίσι θείας πρεσβείας σου.

Ὠδὴ γ΄. Στερέωσον ἡμᾶς.

Πατέρες ἀγαθοὶ φανέντες Ὅσιοι, τῇ πίστει ὑμᾶς ἐπικαλουμένων, τὰς ψυχὰς ἀπολυτρώσασθε, καὶ τοῦ σώματος πάθη θεραπεύσατε.

Ὁδοὺς τὰς πρὸς ζωὴν φερούσας Ὅσιοι, ὁδηγεῖν στηρίξατέ με, καὶ πάσης, τῆς ἐχθρῶν ἀποπλανήσεως, πρεσβείαις ὑμῶν θείαις διασώσατε.

Ἀμώμως τὴν ὁδὸν τοῦ βίου Ὅσιοι, δραμόντες στενούμενοι κακουχίαις, πρὸς τὸ πλάτος ἐσκηνώσατε, τῶν πραέων· διὸ καὶ μακαρίζεσθε.

Θεοτοκίον.

Μαρία τὸ χρυσοῦν θυμιατήριον, τοῦ θείου ἄνθρακος γενομένη, τὸ δυσῶδες τῆς καρδίας μου, εὐώδιασον, ὅπως μεγαλύνω σε.

Κάθισμα, ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Λαμπρυνθέντες χάριτι καὶ ἀληθείᾳ, τὰ τῆς γῆς πληρώματα, φωταγωγεῖτε εὐσεβῶς, ἀειμακάριστοι Ὅσιοι. ὅθεν ἐν πίστει, ὑμᾶς μακαρίζομεν.

Θεοτοκίον. Ὅμοιον.

Προστασία ἄμαχε τῶν ἐν ἀνάγκαις, καὶ πρεσβεία ἕτοιμος, τῶν ἐλπιζόντων ἐπὶ σὲ, ἀπὸ κινδύνων με λύτρωσαι· καὶ μὴ παρόψῃ, ἡ πάντων βοήθεια.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε τὴν ἀκοήν.

Φωτισμὸς ἡμῖν Ὅσιοι, παρὰ Θεοῦ γεγόνατε, καὶ θεϊκὸς, περιβεβλημένοι φῶς τὸ ἀπρόσιτον.

Φῶς ἀνέσπερον Ὅσιοι, τὸ τοῦ Χριστοῦ ἰδεῖν ἀξιωθέντες, τοῖς ἐν σκότει λάμπειν κατηξιώθητε.

Λαμπρυνθέντες τῇ χάριτι, τῇ τοῦ Χριστοῦ πιστοὺς φωταγωγεῖτε, καὶ παθῶν τὴν νύκτα διασκεδάζετε.

Θεοτοκίον.

Δυσωποῦμέν σε Ἄχραντε, τὴν τὸν Θεὸν ἀφράστως συλλαβοῦσαν, τοῦ ἀεὶ πρεσβεύειν ὑπὲρ τῶν δούλων σου.

Ὠδὴ ε΄. Ὁ φωτισμὸς, τῶν ἐν σκότει.

Ὡς ἀστραπαὶ, καθαρότητι βίου καὶ πολιτείᾳ, τῇ τῶν Ἀσωμάτων ὁμοιούμενοι, λάμψαντες Κόσμῳ, τὸν τοῦ σκότους προστάτην, ἀπελαύνειν κατηξιώθητε, τῷ τῆς εὐσεβείας φωτὶ λαμπρυνόμενοι.

Τῷ φωτισμῷ, τῆς τοῦ Πνεύματος αἴγλης καταπυρσευόμενοι, ταῖς φωτοχυσίαις ταῖς ἀΰλοις, τοὺς τὴν ἁγίαν καὶ φαιδρὰν ὑμῶν μνήμην, ἐκτελοῦντας καταφωτίσατε· σκότους πειρασμῶν, καὶ κινδύνων λυτρούμενοι.

Ἐν Οὐρανοῖς, τὴν ἀΐδιον δόξαν νῦν καθορῶντες, καὶ τῆς ἀκηράτου καὶ θείας αἴγλης, ταῖς φανοτάταις ἐντρυφῶντες ἀκτῖσι, τῶν παθῶν μου σκότος μειώσατε, Ὅσιοι θεράποντες Χριστοῦ πανσεβάσμιοι.

Θεοτοκίον.

Τὸν τοῦ φωτὸς χορηγὸν, ἡ τεκοῦσα Παρθένε ἀνερμηνεύτως, σάρκα γεγονότα αὐτὸν δυσώπει, μετὰ τῶν ἄνω νοερῶν στρατευμάτων, φωτοφόρον ἀκτῖνα λάμψαι μοι, σκότει ἁμαρτίας ἀεὶ καλυπτομένῳ.

Ὠδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Ἀρραγεῖς Ἐκκλησίας θεμέλιοι, πάσαις μεθοδείαις ἐχθροῦ σαλευόμενον, τὸ τῆς ψυχῆς μου οἴκημα, ταῖς ὑμῶν ἱκεσίαις στηρίξατε.

Καὶ ψυχῶν καὶ σωμάτων ἀκέστορες, θεῖοι χρηματίζοντες Θεομακάριστοι, τὰς τῆς ψυχῆς μου δέομαι, καὶ σαρκὸς ἀσθενείας ἰάσασθε.

Ἐν πελάγει δεινῶς κυματούμενος, Ὅσιοι ὑμᾶς κυβερνήτας προβάλλομαι, καὶ δυσωπῶ ἰθύνατέ με, πρὸς σωτήριον ὅρμον μακάριοι. Θεῖον.

Ἐπὶ σοὶ τὰς ἐλπίδας ἀνέθηκα, Μῆτερ Ἀειπάρθενε τῆς σωτηρίας μου· καὶ σὲ προστάτιν τίθημι, τῆς ζωῆς ἀσφαλῆ τε καὶ ἄσειστον.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Ἐπέστη φαιδρῶς, ἡ ἐτήσιος ὑμῶν μνήμη Πανόλβιοι, καταλαμπρυνομένη τηλαυγέστατα, τῇ ἐκπρεπείᾳ τῆς χάριτος. Ἣν ἐπιτελοῦντες ἐν πίστει τῷ Κυρίῳ κραυγάζομεν· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Πυρσοὶ νοητοὶ, καταλάμποντες ἡμᾶς ὤφθητε Ὅσιοι, χειμαζομένους διεσώσατε, καὶ ὁδηγεῖτε τοὺς πλέοντας, βίου τὴν κυμαίνουσαν ζάλην, τῷ Κυρίῳ κραυγάζοντας· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀδύτοις φωτὸς, ταῖς ἀΰλοις ἀστραπαῖς καταλαμπόμενοι, τοὺς ἐν τῷ σκότει τῶν θλίψεων, κεκακωμένους ἡρπάσατε· καὶ πρὸς φωτισμὸν εὐφροσύνης, ὁδηγήσατε ψάλλοντας· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Δυσώπει Χριστὸν, τὸν Υἱόν σου καὶ Θεὸν Θεογεννήτρια, τοὺς πεπραμένους δεινοῖς πταίσμασι, καὶ ταῖς ἀπάταις τοῦ ὄφεως, Αἵματι αὐτοῦ τῷ τιμίῳ ἀναρρύσασθαι ψάλλοντας· Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Οἱ τῶν παθῶν δημιουργοὶ, ἐν τῷ νώτῳ μου δεινῶς τὴν ἀνομίαν, ἐτεκτήναντο Σῶτερ, καὶ ἀνανεῦσαι πρὸς σὲ, οὐκέτι ἰσχύω ὁ δοῦλός σου· ταῖς τῶν σῶν Ὁσίων, πρεσβείαις οἴκτειρόν με.

Ὡς ὑπηρέται τοῦ Χριστοῦ, ὡς διάκονοι πιστοὶ καὶ οἰκονόμοι, τῶν αὐτοῦ Μυστηρίων· ὡς ἀπλανεῖς ὁδηγοὶ, φανέντες πάθη θεραπεύετε, ψυχῶν καὶ σωμάτων ἡμῶν εἰς τοὺς αἰῶνας.

Ὑπὲρ ἡμῶν τὸν Λυτρωτὴν, ἱκετεύσατε Θεὸν Ὅσιοι θεῖοι, χαλεπῶν ἐκ κινδύνων καὶ νοσημάτων πικρῶν, καὶ βλάβης ἡμᾶς ἐκλυτρώσασθαι, τοὺς ὑπερυψοῦντας, αὐτὸν εἰς τοὺς αἰῶνας. Θεῖον.

Ἐξασθενήσασαν πολλαῖς, τὴν ἀθλίαν μου ψυχὴν Θεοκυῆτορ, προσβολαῖς τοῦ Βελίαρ, ταῖς ῥωστικαῖς σου λιταῖς, Παρθένε ὑγιῆ ἀπέργασαι, ἵνα σε δοξάζω, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ἱερωτάταις χορείαις, τῶν Ἁγίων ἁπάντων, συνόντες, καὶ ταῖς θείαις καλλοναῖς, ὡραϊζόμενοι Ἅγιοι, τὸν ὡραῖον ἐν κάλλει, αἰτήσασθε Χριστὸν διαπαντὸς, ὡραιῶσαι καρδίας, ἡμῶν ἐν θείᾳ χάριτι.

Ὡς εὐωδέστατα κρίνα, νοητοῦ Παραδείσου, γενόμενοι μακάριοι σαφῶς, πᾶσαν ψυχὴν κατευφραίνετε, ἱεραῖς εὐωδίαις. διό μου τὸ δυσῶδες τῶν παθῶν, ἀπελάσατε ῥῶσιν, καὶ χάριν μοι δωρούμενοι.

Ἡ καταιγὶς τῶν δαιμόνων, τῶν ψυχῶν τὰς ὁλκάδας, βυθίσαι οὐ κατίσχυσεν ὑμῶν· τῇ κυ-

βερνήσει τῷ Ὅσιοι, τῷ Δεσπότῃ τῶν ὅλων, πρὸς ὅρμον κατιθυντήσατε ζωῆς· καὶ ἡμῖν σωτηρίας, λιμένες ἀνεδείχθητε.

Θεοτοκίον.

Φείσαί μου Κύριε φεῖσαι, ὅταν μέλλῃς με κρῖναι, καὶ μὴ καταδικάσῃς με εἰς πῦρ, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με. δυσωπεῖ σε Παρθένος ἡ σὲ κυοφορήσασα Χριστὲ, τῶν Ὁσίων ὁ δῆμος, καὶ τῶν Μαρτύρων τάγματα.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς ιζ. τοῦ Γαννουαρίου.

## ἈΚΟΛΟΥΘΙΑ εἰς Ἕνα Ὁσιομάρτυρα.

Στιχηρὰ προσόμοια, ἦχος πλ. β΄.

Τριήμερος ἀνέστης.

Ἀγῶνας τοῦ σοφοῦ Ἀσκητοῦ, τοὺς πόνους τοῦ ὁπλίτου Χριστοῦ, εὐφημοῦντες, κατὰ χρέος οἱ πιστοὶ, βοήσωμεν Κυρίῳ· αὐτοῦ ταῖς ἱκεσίαις, πάσης ἀνάγκης ἐξελοῦ ἡμᾶς.

Ἐδόθη σοι πολλὴ ἐκ Θεοῦ, εἰρήνη γενναιότατε, καὶ τὸν σάλον, διελθόντι τῶν δεινῶν, ὁσιώτατε Πάτερ, γενναῖε στρατιῶτα, καὶ πρεσβευτὰ τῶν εὐφημούντων σε.

Ἐνήθλησας ἐννόμως σοφὲ, καὶ γέγονας πανσόφως Θεῷ, ὥσπερ ἄλλος, οἶκος σὺ τοῦ Παντουργοῦ, ἐδείχθης Θεοφόρε, φωστὴρ τῆς Ἐκκλησίας, Μάρτυς Ὁσίων ἐγκαλλώπισμα.

Δόξα, καὶ νῦν. Θεοτοκίον. ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α΄. ἦχος πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Ἐκ τῶν σκανδάλων τοῦ βίου, καὶ τῶν παθῶν, τῶν παρενοχλούντων μοι, εἰρήνευσάς μου τὸν νοῦν· Ἀθλητὰ πανόσιε τὴν σὴν, εὐφημῆσαι γαληνῶς μνήμην ἀξίωσον.

Ἀθλητικοὺς τοὺς στεφάνους ὡς Ἀθλητὴς, εἰληφὼς πανόσιε, μετετέθης ἐκ τῆς γῆς, πρὸς εἰρήνην ἄμαχον καὶ φῶς, καὶ ζωὴν ἀληθινὴν Θεομακάριστε.

Ῥείθροις αἱμάτων τὴν φλόγα τῶν διωκτῶν, κατασβέσας ἤρδευσας, διανοίας τῶν πιστῶν, καὶ ἐνθάλπεις ἔρωτι ζωῆς, αἰωνίου εὐσεβῶς Μάρτυς πανόσιε.

Θεοτοκίον.

Ἡ τὸν ἀχώρητον Λόγον τῇ σῇ γαστρὶ, χωρηθέντα τέξασα, Θεοχώρητε σκηνὴ, τῆς στενοχωρούσης με δεινῆς, τρικυμίας τῶν κακῶν Ἁγνὴ ἀπάλλαξον.

Ὠδὴ γ΄. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Νευρούσαι ἔρωτι θεϊκῷ, καὶ χωρεῖς πρὸς ἀγῶνας, θαρσαλέως παμμάκαρ, ὑπομένων αἰκισμοὺς, καὶ στρέβλας τῶν διωκτῶν, ἀθλοφόρε Ὅσιε Πατὴρ ἡμῶν.

Ἰσχύν σοι δίδωσι Χριστὸς, Ἀθλοθέτης ὁ μέγας, διολέσαι τὴν πλάνην· κατῄσχυνας τὸν ἐχθρὸν, καυχώμενον ἀναιδῶς, καὶ ἀκαίρως μάτην φρυαττόμενον.

Θεοτοκίον.

Ἣν εἶδε πάλαι Ἰακὼβ, ἀπὸ γῆς τεταμένην, πρὸς οὐράνιον ὕψος, θείαν κλίμακα σαφῶς, Μαρίαν τὸ καθαρὸν, τοῦ Δεσπότου μέλψωμεν παλάτιον.

Κάθισμα, ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἐβαπτίσθης νῦν τρισσῶς, τὸ πρῶτον Βάπτισμα πιστῶς, τὸ δι' ὕδατος πυρὸς, καὶ Θείου Πνεύματος τὸ πρίν· καὶ τῶν δακρύων τὸ δεύτερον ἐν ἀσκήσει πολλῇ. ἀσκήσας οὖν καλῶς, καὶ διανύσας στερρῶς, ὡς Ἄγγελος ἐν γῇ, βίον Μακάριε· καὶ ὡς κλαδὸς ἐπίσημος τὸ τρίτον, ἐσφραγιάσθης Χριστῷ τῷ Θεῷ. αὐτὸν ἀπαύστως, οὖν ἐκδυσώπει, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον. Ὅμοιον.

Κατεπλάγησαν Ἁγνὴ, αἱ τῶν Ἀγγέλων στρατιαὶ, τὸ Μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν. πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς Βροτὸς, ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ Προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν, ὁ τρέφων πνοὴν ἀφάτῳ χρηστότητι, καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα εὐφημοῦντες δοξάζουσι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Παρθένος καὶ Ἀμνὰς, θεασαμένη ἐν Σταυρῷ, τὸν ἀσπόρως ἐξ αὐτῆς, Ἀμνὸν τεχθέντα ὑπὲρ νοῦν, ἀναρτηθέντα καὶ λόγχῃ διατρωθέντα, λύπης τετρωμένη τοῖς βέλεσιν, ἐβόα γοερῶς ὀλολύζουσα· τί τὸ καινὸν Μυστήριον; πῶς θνήσκεις ὁ τῆς ζωῆς ἡμῶν Κύριος; διὸ ἀνάστα, τὸν πεπτωκότα συνεγείρας Προπάτορα.

Ὠδὴ δ΄. Χριστός μου δύναμις.

Νομίμως ἤσκησας, νομίμως ἤθλησας, καὶ νομίμως ἐστέφθης τῷ τοῦ Θεοῦ, λόγῳ κρατυνόμενος, καὶ ἀπαράτρωτον σαυτὸν, συντηρῶν Μακαριώτατε.

Μὴ στέργων Ὅσιε, τὴν πλάνην νήχεσθαι, τῇ Θεογενεσίᾳ ὡς νουνεχὴς, χαίρων προσεχώρησας, φῶς νοερὸν ἀναλαβὼν, καὶ φωστὴρ ἀποδεικνύμενος.

Θεοτοκίον.

Παρθένος ἔμεινας μετὰ τὴν κύησιν, ὥσπερ ἦς πρὸ τοῦ τόκου· ὅτι Θεὸν, Λόγον ἀπεκύησας, τὸν λυτρωσάμενον ἡμᾶς, μεσιτείᾳ σου Πανάμωμε.

Ὠδὴ ε΄. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.

Ῥομφαία τέτρωται ὁ ἐχθρὸς, τῆς ὑπομονῆς τῆς καρτερᾶς τοῦ γενναιόφρονος Μάρτυρος· καὶ ταῖς τούτου πτέρναις καθυποτέτακται, καὶ γέλως καθορᾶται καταισχυνόμενος.

Σὺ τὴν κακίαν τῶν διωκτῶν, ἄκακος, ἀκέραιος ὀφθεὶς, Μάρτυς ἀπῶσω πανόλβιε· καὶ τῇ τελειώσει σου τῇ δι' αἵματος, στεφάνοις ἀφθαρσίας κατεστεφάνωσαι.

Θεοτοκίον.

Νοήσας πόρρωθεν μυστικῶς, ὁ τῶν Προφητῶν θεολαμπὴς χορὸς, Παρθένε Θεόνυμφε, τοῦ θείου τοκετοῦ σου βάθος ἀπόρρητον, συμβόλοις ἱεροῖς σε προδιεχάραξεν.

Ὠδὴ ς΄. Τοῦ βίου τὴν θάλασσαν.

Ἐπέβης τοῖς ὕδασι, κυβερνώμενος χειρὶ, ζωαρχικῇ Πατὴρ ἡμῶν· διεσώθης δὲ τούτοις τῶν διωκτῶν, βυθίσας σεβάσματα, Προστάχῃ ἐπιμόνῳ ἱερώτατε.

Μικροῖς αὐτωνούμενος, τὰ μεγάλα ἑαυτὸν, τοῖς αἰκισμοῖς ἐξέδωκας, Ὅσιε Πάτερ, καὶ τὸν πτερνιστὴν, τῆς Εὔας ἐν Πνεύματι, ἐθανάτωσας ὄφιν ἐμφανέστατα.

Θεοτοκίον.

Ἰδοὺ νῦν σεσάρκωται, ἐξ αἱμάτων σου ἁγνῶν, Παρθενομῆτορ Κύριος· καὶ τοῖς βροτοῖς ἑνοῦται δίχα τροπῆς, δι' ἄφατον ἔλεος, τὴν ἡμῶν σωτηρίαν ἐργαζόμενος.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Συμπαθείας τῆς πρὸς σάρκα διαζεύξας σου, τὸν νοῦν Μακαριώτατε· φλογιζόμενος, καὶ πυρὶ καιόμενος σοφὲ, τῶν Παίδων ἐβόας τὴν ᾠδήν· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀπελαύνονται ἐκ μόνης σου προσκλήσεως, τῆς πονηρίας πνεύματα, ἐγνωκότα σε Ἀσκητὴν καὶ

Μάρτυρα Χριστοῦ, καὶ Ὅσιον μέλποντα θερμῶς· Εὐλογητὸς εἶ ὁ Θεός.

Θεοτοκίον.

Ῥαθυμίᾳ με κρατούμενον διέγειρον, πρὸς ἐργασίαν Ἄχραντε, θείων πράξεων, ἐνισχύσασά με κατ' ἐχθρῶν, ἀεὶ πολεμούντων με δεινῶς, καὶ ἐναντίοις λογισμοῖς δελεαζόμενον.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Τοῖς ἀσκήσεως πόνοις κατατηκόμενος, καὶ μαστίγων τῷ κάλλει καλλωπιζόμενος, τῷ νικοποιῷ ἐμφανίσθης Πανόλβιε, νίκης τὰ βραβεῖα, πρὸς τοῦτο δεδεγμένος.

Ὑψωθεὶς τῇ ἀγάπῃ τοῦ Παντοκράτορος, ἐπηρμένην δαιμόνων ὀφρὺν κατέβαλες· Πνεύματος δὲ τὴν χάριν Μακαριώτατε, ἔχεις ἐνοικοῦσαν, ἐν σοὶ εἰς τοὺς αἰῶνας.

Συμπαθείας με θείας Μάρτυς ἀξίωσον, πειρασμῶν καὶ κινδύνων Θεομακάριστε, Ὅσιε τὸν τιμῶντα ἀπολυτρούμενος, καὶ ὑπὸ τὴν σκέπην, τὴν σὴν καταφυγόντα.

Θεοτοκίον.

Χαῖρε ἅγιον ὄρος, καὶ Θεοβάδιστον, ἀπορρήτων πραγμάτων χαῖρε φανέρωσις· ἄκουσμα φρικτὸν, δυσθεώρητον ὅραμα. χαῖρε τῶν πεσόντων, ἀνάκλησις Παρθένε.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Σὺ τὸ ἔσχατον καὶ ἀκρότατον, τῶν ἐφετῶν κατείληφας Θεόφρον Πατὴρ ἡμῶν. καὶ μεθέξει Θεὸς ἐχρημάτισας, ψάλλων σὺν Ἀσωμάτοις· Ἅγιος, Ἅγιος, Ἅγιος Τριὰς ἡ παντουργὸς, καὶ παντοδύναμος.

Ῥυσθεὶς παγίδων τῶν θηρευόντων σε, πρὸς χορὸν οὐράνιον κατέπαυσας Ὅσιε· καὶ Μαρτύρων συνήφθης στρατεύμασι, μετὰ τῶν Ἀσωμάτων καὶ νῦν ἱκέτευε, ὑπὲρ πάντων ἡμῶν, ὅπως σε μακαρίζωμεν.

Ἰσχὺν καὶ κράτος Χριστὸν τιθέμενος, τὸν χαλεπὸν δαιμόνων διεπέρασας τάραχον· καὶ πρὸς τοὺς ἄνω λιμένας κατήντησας, ὅλος ὡραϊσμένος, ὅλος τοῦ Πνεύματος, ταῖς φωτοχυσίαις δαψιλῶς περιχεόμενος.

Θεοτοκίον.

Νοεῖν τὸ θαῦμα τὸ ἀκατάληπτον, τοῦ Τοκετοῦ σου Παρθενομῆτορ μὴ σθένοντες· σιωπῇ δὲ μᾶλλον τοῦτο δοξάζομεν, καὶ σὲ δοξολογοῦμεν τὴν παμμακάριστον, μόνην καὶ καλὴν ἐν γυναιξὶ καὶ παναμώμητον.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς ιζ'. τοῦ Ἰανουαρίου.

---

## ἈΚΟΛΟΥΘΙΑ εἰς Δύο, καὶ πολλοὺς Ὁσιομάρτυρας.

Στιχηρὰ προσόμοια, ἦχος α'.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Ἀσκήσει τὸ πρότερον Σοφοὶ, τὰ πάθη νικήσαντες, Θεοειδεῖς ἐγνωρίσθητε· νῦν δὲ ἀθλήσαντες, καὶ τελειωθέντες, συμπολῖται ὤφθητε, τῶν ἄνω μακαρίων Δυνάμεων· μεθ' ὧν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Πύργοι ἀκαθαίρετοι ἐχθροῦ, προσβολαῖς ἐδείχθητε, τῶν ἀσεβῶν τε κραταίωμα, καὶ τεῖχος ἄρρηκτον, καὶ βεβαία σκέπη, ὦ Ὁσιομάρτυρες. ἐντεῦθεν μακαρίζεσθε πάντοτε, Χριστῷ πρεσβεύοντες, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἀβρόχως ἐπλεύσατε Σοφοὶ, βίου τὸ κλυδώνιον, τῇ συνεργείᾳ τοῦ Πνεύματος, οἱ αἰκιζόμενοι· καὶ πρὸς ὅρμον θείας, χάριτος ἐφθάσατε, φωτὸς τοῦ ἀκηράτου ταῖς λάμψεσι, καταυγαζόμενοι, καὶ φωτίζοντες τοὺς μέλποντας, ἐν αἰνέσει ὑμῶν τὸ μνημόσυνον.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Παρθένε πανύμνητε Μωσῆς, τὸ ἐν σοὶ Μυστήριον, προφητικοῖς εἶδεν ὄμμασι, βάτον μὲν καίεσθαι, ἀλλὰ μὴ φλεχθῆναι. πῦρ γὰρ τῆς Θεότητος, τὴν μήτραν σου ἁγνὴ οὐ κατέφλεξε. διὸ αἰτοῦμέν σε ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν, τὴν εἰρήνην, τῷ Κόσμῳ δωρήσασθαι.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σφαγιασθέντα τὸν ἄδικον Χριστὲ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι· Τέκνον γλυκύτατον, πῶς ἀδίκως θνήσκεις, πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι; μὴ λίπῃς μόνην με, Εὐεργέτα Πολυέλεε, τὴν Μητέρα, καὶ δούλην σου δέομαι.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α'. ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ὤφθη ἡ πανέορτος ὑμῶν μνήμη, ἡλιακαῖς μαρμαρυγαῖς, τὸν Κόσμον φωτίζουσα, σεπτοὶ Ὁσιομάρτυρες, Ἀγγέλων ἰσοστάσιοι.

Δακρύων τὸ πρότερον ἐπομβρίαις, τῶν ψυχικῶν ὑμῶν παθῶν, τὸν ῥύπον ἐκπλύναντες, διπλοῦν καὶ τῆς ἀθλήσεως τὸν στέφανον ἐδέξασθε.

Θεοτοκίον.

Νέκρωσον τὰ πάθη τὰ τῆς ψυχῆς μου, ἡ τὴν ζωὴν ἡμῶν Χριστὸν, ἀρρήτως κυήσασα, Παρθένε ἀπειρόγαμε, ἐλπὶς τῶν προστρεχόντων σοι.

Ὠδὴ γ'. Ὅτι στεῖρα ἔτεκε.

Κόσμον ἀρνησάμενοι, τῷ δι' ἡμᾶς ἐν τῷ Κόσμῳ, σαρκὶ Θεῷ ἐλθόντι, ἠκολουθήσατε Χριστῷ· διὸ τὴν ὑπερκόσμιον, Πανόλβιοι δόξαν ἐκληρώσασθε.

Εὐσεβείας θώρακι, καθοπλισθέντες καθεῖλον, τὰς παρατάξεις πάσας, οἱ Ἀθληταὶ τοῦ δυσμενοῦς, καὶ νικηταὶ γενόμενοι κραυγάζουσιν· Ἅγιος εἶ Κύριε.

Θεοτοκίον.

Πύλη ἡ σωτήριος, τῆς μετανοίας μοι πύλας, ὡς ἀγαθὴ προστάτις, διάνοιξον καὶ ἐκ πυλῶν, τῆς ἁμαρτίας ῥῦσαί με, φρουρήσασα θείᾳ δυναστείᾳ σου.

Κάθισμα, ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀσκήσει τὸ πρότερον, πάθη νεκρώσαντες· ἀθλήσει τὸ δεύτερον ἐχθρὸν καθείλετε, τὸν πᾶσι πολέμιον, Μάρτυρες Ἀθλοφόροι, τῶν Ἀγγέλων πολῖται. ὅθεν κληρονομεῖτε τὴν ἀΐδιον δόξαν· διὸ ταῖς ἱκεσίαις ὑμῶν σώσατε πάντας ἡμᾶς.

Θεοτοκίον. Ὅμοιον.

Δακρύων μοι δώρησαι πηγὰς Θεόνυμφε, δι' ὧν τῆς καρδίας μου τοὺς ἐμπαθεῖς λογισμοὺς, ἐκπλύνω Παναμώμητε· καὶ τῆς ἐπιθυμίας τῆς ἀτόπου τὴν φλόγα, τελείως ἐναποσβέσω, συμμαχίᾳ σου μόνῃ. ἐλπίς μου καὶ στήριγμα, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἄνυμφος Μήτηρ σου ὡς ἐθεάσατο, Σταυρῷ σε ὑψούμενον ὀδυρομένη πικρῶς, τοιαῦτα ἐφθέγγετο· τί τὸ καινὸν καὶ ξένον, καὶ παράδοξον θαῦμα; πῶς σε ἄνομος δῆμος τῷ Σταυρῷ προσπηγνύει; τὴν πάντων σε ζωὴν, Φῶς μου γλυκύτατον.

Ὠδὴ δ'. Διὰ ἀγάπησιν Οἰκτίρμον.

Τῇ ἀγάπῃ πυρακτούμενοι τοῦ Δεσπότου, τὰς πυρακτώσεις ἅμα τῶν ὀδυνῶν ἀνδρείως, Μάρτυρες ἠνέγκατε, Χριστὸν μεγαλύνοντες.

Ἐφαπλουμένων ὀργάνων κολαστηρίων, καὶ ἀπειλῶν παντοίων ἀπηνῶς πεμπομένων, οἱ Ὁσιομάρτυρες ἀνδρείως ἠρίστευσαν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοτοκίον.

Σωματοῦται ἐκ λαγόνων σου Θεὸς Λόγος, Θεοκυῆτορ Κόρη· καὶ ὁρᾶται ὡς βρέφος, πᾶσιν ἀναγεννῆσιν φρικτὴν παρεχόμενος.

ᾨδὴ ε'. Σὺ Κύριέ μου Φῶς.

Ὑψούμενα σφοδρῶς, τῶν βασάνων τὰ κύματα, οὐκ ἴσχυσε τῶν Μαρτύρων, τὰς ὁλκάδας βυθίσαι, κυβερνωμένας Πνεύματι.

Σθένος κραταιὸν, πρὸς ἐχθρὸν τὸν ἀόρατον, οἱ Μάρτυρες κεκτημένοι, τὴν ἀνίσχυρον τούτου, ἰσχὺν Χριστὲ κατέβαλον. Θεοτοκίον.

Γενόμενος ἐκ σοῦ, ὁ παντέλειος Ἄνθρωπος, ἐθέωσε τὴν φθαρεῖσαν, τῶν ἀνθρώπων οὐσίαν, Παρθενὲ ἀπειρόγαμε.

ᾨδὴ ς'. Ἐβόησε, προτυπῶν.

Ἰσότιμοι, καὶ τὴν ἄσκησιν ὡς καὶ τὴν ἄθλησιν, γεγονότες, τῶν ἐπάθλων ἐπίσης ἐτύχετε. Ἀθλοφόροι ὅθεν, τοῖς Ἀγγέλοις ἀεὶ συναγάλλεσθε.

Τυπτόμενοι, καὶ σφοδραῖς ἀλγηδόσι βαλλόμενοι, τῇ ἀγάπῃ, τοῦ Χριστοῦ ἀταπείνωτοι ὤφθητε· τὰς ἡμῶν ὀδύνας, διὰ τοῦτο Σοφοὶ θεραπεύετε.

Οὐ πρὸς αἷμα, οὐ πρὸς σάρκα τὴν πάλην ἐνέγκαντο, οἱ γενναῖοι, ἀλλ' ἀρχὰς ἐτροποῦντο καὶ δαίμονας, ἀοράτῳ σθένει, τοῦ Υἱοῦ τοῦ Θεοῦ κρατυνόμενοι. Θεοτοκίον.

Τὸ χαῖρέ σοι, ἀσιγήτως βοῶμεν πανάχραντε· τῶν ἁπάντων, τὴν χαρὰν τὸν Χριστὸν ἀπεκύησας, καὶ τὴν λύπην πᾶσαν, τῆς προμήτορος Εὔας ἀπήλασας.

ᾨδὴ ζ'. Ἀβραμιαῖοι ποτέ.

Σταγόσι λόγων ὑμῶν, καὶ ἱερῶν αἱμάτων, πυρὰν κακίας κατεσβέσατε, βοῶντες πανεύφημοι· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Οἱ τῆς Τριάδος σεπτοί, καὶ θαυμαστοὶ ὁπλῖται, θεολογοῦντες ταύτην ἄτμητον, ἀσύγχυτον ἄτρεπτον, τὸν ἱερὸν ἀγῶνα, ἐτέλεσαν νομίμως. Θεοτοκίον.

Ὑπὲρ ἡμῶν τὸν ἐκ σοῦ, ἀποτεχθέντα Λόγον, Ἁγνὴ, δυσώπει τῶν τιμώντων σε, ὅπως ἡμᾶς ῥύσηται, τῆς αἰωνίου Κόρη, καὶ χαλεπῆς γεέννης.

ᾨδὴ η'. Τὸν ἐν τῷ Σταυρῷ.

Νέκρωσιν παθῶν ἐνδεδυμένοι, ἀπενεκρώσατε ἐχθρὸν, βοῶντες Ἀθλοφόροι· Παῖδες ὑπερυψοῦτε Χριστὸν, τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Φέγγει νοητῷ πεπυρσευμένοι, τῆς ἀθεΐας τὴν ἀχλὺν, ἐλύσατε βοῶντες· Παῖδες ὑπερυψοῦτε Χριστὸν, τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

Ἕνα Θεὸν ὁμολογοῦντες, καὶ κατερράξατε ἐχθροὺς, ἐνθέως μελῳδοῦντες· Παῖδες ὑπερυψοῦτε Χριστὸν, τὸν Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Ὤφθης Οὐρανῶν ὑψηλοτέρα, τὸν ἀνυψώσαντα ἡμᾶς, τεκοῦσα Θεοτόκε· ὃν ὑμνεῖ πᾶσα πνοὴ, ὡς Θεὸν ἡμῶν εἰς τοὺς αἰῶνας.

ᾨδὴ θ'. Εὕα μὲν τῷ τῆς παρακοῆς.

Ἰδεῖν ἠξιώθητε Θεὸν, θυμίαμα τῷ Δεσπότῃ προσενέχθητε· ὥσπερ χρυσίον ἐν καμίνῳ πυρὶ δοκιμασθέντες ἀθλήσεως, καὶ κόσμος τῆς Ἐκκλησίας γενόμενοι, τῶν πρωτοτόκων Ἀξιάγαστοι.

Ὡς ὄντες φωστῆρες νοητοὶ, φωτίζετε Ἀθλοφόροι, τὴν ὑφήλιον, φέγγει θαυμάτων παραδόξων, καὶ σκότος νοσημάτων διώκετε, καὶ νέφη πειρασμῶν ἀπελαύνετε· ὅθεν ἐν πίστει μακαρίζεσθε.

Συνήφθητε τάξεσι Σοφοὶ, γηθόμενοι τῶν Ἀγγέλων, τὸν ἰσάγγελον, βίον ἐν γῇ πολιτευθέντες, Μαρτύρων ὁμηγύρει εὐφραίνεσθε· καὶ νῦν τῶν πρωτοτόκων φαιδρύνετε, τὴν Ἐκκλησίαν ἀξιάγαστοι. Θεοτοκίον.

Φωτὸς τοῦ ἐν σοὶ μαρμαρυγαῖς, Θεόνυμφε τὴν ψυχήν μου φωταγώγησον, κείμενον βάθρῳ ἀπωλείας ἀνάστησον, ἐχθροὺς καταράσουσα, τοὺς θλίβοντας ἀεὶ τὴν καρδίαν μου, καὶ πρὸς τὰ πάθη συνωθοῦντάς με.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς ιζ'. τοῦ Ἰαννουαρίου.

## ἈΚΟΛΟΥΘΊΑ εἰς Γυναῖκα Μάρτυρα.

Στιχηρὰ προσόμοια, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ταῖς βαφαῖς ταῖς ἐξ αἵματος, σωτηρίας ἱμάτιον, σεαυτῇ Πανεύφημε ἐπιχρώσασα, καὶ λαμπρυνθεῖσα τῷ Πνεύματι, Κυρίῳ μεμνήστευσαι, ἀθανάτῳ Βασιλεῖ, συντηροῦντί σε ἄμωμον, ἀδιάφθορον, εἰς αἰῶνα αἰῶνος ἐν θαλάμοις, οὐρανίοις ὡς Παρθένον, περικαλλῆ καὶ ἀκήρατον.

Αἰκισμοῖς ὁμιλήσασα, καὶ πυρὶ προσπελάσασα, καὶ σαρκὸς σπαράγματα καρτερήσασα, καὶ τῶν λεβήτων τὰ βράσματα, γενναίως ἐνέγκασα, οὐχ ἡττήθης λογισμοῖς, οὐ ξοάνοις ἐπέθυσας· ἀλλὰ κλίνασα, τῷ Θεῷ τὸν αὐχένα τῇ τοῦ ξίφους, τιμωρίᾳ στεφηφόρος, εἰς Οὐρανοὺς ἀνελήλυθας.

Παρθενίας λαμπρότητι, λαμπρυνθεῖσα Πανεύφημε, μαρτυρίῳ ἤστραψας ἀγωνίσμασι· μὴ προσκυνῆσαι Εἰδώλοις γὰρ, πεισθεῖσα τὴν ἄδικον, καθυπέμεινας σφαγὴν· φοινιχθεῖσα σοῖς αἵμασι, καὶ παρέστηκας, τῷ Θεῷ καὶ Δεσπότῃ στεφηφόρος, ταῖς ἐκεῖθεν πεμπομέναις, αὐγαζομένη φαιδρότησι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Μακαρίζωσε Πάναγνε, τὴν βροτοὺς ἁρπάσασαν, ἐκ βυθοῦ κακίας καὶ ἀπογνώσεως. ὑμνολογῶσε Θεόνυμφε, τὴν ἀειμακάριστον, καὶ δοξάζωσι σεμνὴ, τὴν ἀπόρρητον κύησιν· ὅτι ἔτεκες, τὸν Σωτῆρα τοῦ Κόσμου καὶ κατάρας, ἠλευθέρωσας Παρθένε, προγονικῆς τὸ ἀνθρώπινον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς ἑώρακε Κύριε, ἡ Παρθένος καὶ Μήτηρ σου, ἐν Σταυρῷ κρεμάμενον ἐξεπλήττετο. καὶ ἀτενίζουσα ἔλεγε· τί σοι ἀνταπέδωκαν, οἱ πολλῶν σου δωρεῶν, ἀπολαύσαντες Δέσποτα; ἀλλὰ δέομαι, μή με μόνην ἐάσῃς ἐν τῷ Κόσμῳ· ἀλλὰ σπεῦσον ἀναστῆναι, συνανιστῶν τοὺς Προπάτορας.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

ᾨδὴ α'. ἦχος δ'. Θαλάσσης τὸ ἐρυθραῖον.

Ταῖς θείαις τῶν Ἀσωμάτων τάξεσι, νῦν συγχορεύουσα, περὶ τὸν πάντων αἴτιον Χριστὸν· καὶ τρανῶς ἀπολαύουσα, θεαρχικῆς ἐλλάμψεως, τοὺς σὲ ὑμνοῦντας καταφαίδρυνον.

Τὸ θῆλυ ἀρρενωθὲν τῇ χάριτι, τὴν ἐπηρμένην ὀφρὺν, καὶ καυχωμένην ἄμετρα τὸ πρὶν, ἐξαλείφειν τὴν θάλασσαν, δι' ἀσθενείας σώματος, θείᾳ δυνάμει καταβέβληκε.

Σταυρῷ σε ἀναρτηθέντα Δέσποτα, κατανοήσασα, ἡ εὐκλεὴς σου Μάρτυς αἰκισμῶν, καρτερεῖ τὸ ἐπίπονον, δυναμουμένη σθένει σου, τοῦ τὴν ἡμῶν φύσιν νευρώσαντος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοτοκίον.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ Θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱόν· καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ ἀπάτορα.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

Ἀνάψας σου τὴν ψυχήν, ἔρως ὁ θεῖος τῆς σαρκὸς ἔρωτα, καὶ χαλεπὰ βράσματα, τὰ τῶν αἰκισμῶν ἐναπέσβεσεν.

Ἰσχύϊ παντουργικῇ, τὴν κεφαλὴν τοῦ δυσμενοῦς ἔθλασας, τῆς κεφαλῆς φέρουσα, Μάρτυς καρτερῶς τὴν ἀφαίρεσιν.

Αἱμάτων σου οἱ κρουνοί, τῆς ἀθεΐας τὴν πυρὰν ἔσβεσαν· τοὺς δὲ πιστοὺς ἤρδευσαν, τῆς θεοσεβείας τοῖς νάμασι.

Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας. ὅθεν σοι τὸ χαῖρε προσάγομεν.

Κάθισμα, ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὰς βασάνους γενναίως ἡ Ἀθληφόρος σου, ὑπομείνασα πάσας τὰς τῶν Τυράννων Χριστέ, κατεπάτησεν ἐχθρὸν τὸν πολυμήχανον. καὶ ἀνεδείχθη ἀληθῶς, τροπαιοφόρος κατ' αὐτοῦ· καὶ στέφος εἴληφε δόξης, ἐκ σοῦ τοῦ ἀγωνοθέτου· καὶ νῦν πρεσβεύει εἰς τὸ σωθῆναι ἡμᾶς.

Θεοτοκίον. Ὅμοιον.

Τὴν ταχεῖάν σου σκέπην καὶ τὴν βοήθειαν, καὶ τὸ ἔλεος δεῖξον ἐπὶ τὸν δοῦλόν σου, καὶ τὰ κύματα Ἁγνὴ καταπράϋνον, τῶν ματαίων λογισμῶν, καὶ τὴν πεσοῦσάν μου ψυχήν, ἀνάστησον Θεοτόκε. οἶδα γὰρ οἶδα Παρθένε, ὅτι ἰσχύεις ὅσα καὶ βούλοιο.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὑψωθέντα τῷ ξύλῳ ὡς ἐθεάσατο, ἡ Τεκοῦσά σε Σῶτερ ὠδίνων ἄνευθεν, ὠλοφύρετο κλαυθμῷ, καὶ ἀνεκραύγαζεν· οἴμοι γλυκύτατε Υἱέ, τιτρώσκομαι τὴν ψυχήν, σὲ ἐν Σταυρῷ καθορῶσα, ἐν μέσῳ δύο κακούργων, δίκην κακούργου προσηλωμένον.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

Σὲ τὴν ἄσπιλον Ἀμνάδα καθάπερ λύκοι, οἱ δυσμενεῖς σπαράττοντες, Μάρτυς ταῖς αἰκίαις, ἄμωμον, ὁλόκληρον, Θεῷ ἀπετέλεσαν, θεῖον ἱερεῖον καὶ σφάγιον.

Τὸν πτερνίσαντα ἀπάτῃ τὴν πρώτην Εὔαν, μαρτυρικαῖς ἐνστάσεσι, τρέψασα καθεῖλες, δείξασα ἀνίσχυρον, Χριστῷ ἀναμέλπουσα· δόξα τῇ δυνάμει σου Κύριε.

Ἡ Καρδία σου τῷ ἔρωτι τοῦ Νυμφίου, πυρπολουμένη ἄνθρακας, πλάνης Γενναιόφρον, λύθρῳ ἐναπέσβεσεν, αἱμάτων, καὶ θάλασσαν, τῆς πολυθεΐας ἐξήρανεν.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης, παρθενεύουσα πάλιν. ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου Φῶς.

Μύρον ἐκκενωθέν, τὸν Χριστὸν ἀγαπήσασα, Νεανὶς ἡ γενναιόφρων, ἠκολούθησε τούτῳ, ἐν ᾄσμασι δοξάζουσα.

Τῷ κάλλει τὴν ψυχήν, τετρωμένη παρέδραμεν, ὦ Δέσποτα ἡ Παρθένος, τὰ ὁρώμενα κάλλη, ἀθλήσει ὑπερλάμπουσα.

Ὁλόκληρον σαυτήν, τῷ Θεῷ προσενήνοχας, ἐρύθημα Παρθενίας, ταῖς βαφαῖς τῶν αἱμάτων, τὸ πρότερον τελέσασα.

Θεοτοκίον.

Σὲ ὅπλον ἀρραγές, κατ' ἐχθρῶν προβαλλόμεθα, σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ὠδὴ ϛ΄. Θύσω σοι, μετὰ φωνῆς.

Ἀνδρεῖον, ἐν γυναικείῳ σώματι φρόνημα, ἀναλαβοῦσα πρὸς πάλην, ἐπεξῆλθες Μάρτυς τῶν τυραννούντων· καὶ ῥομφαίᾳ, ὑπομονῆς αὐτοὺς ἐθανάτωσας.

Ἐστέτι, σταζομένη τῷ αἵματι Παύσεμνε, τῷ σῷ Νυμφίῳ παρίστῃς, καλλοναῖς παντοίαις ὡραϊσμένη· καὶ τῇ τούτου, εἰς ἀεὶ ἐντρυφᾷς ὡραιότητι.

Ἔρωτι, τετρωμένη τῷ θείῳ ἐκραύγαζες· Χριστὸν ἐπείγομαι φθάσαι, τὸν ὡραῖον κάλλει· ὅθεν βασάνους, ὑπομένω, ἀκλινεῖ γηθομένη φρονήματι.

Θεοτοκίον.

Ὢ θαῦμα, τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Μετὰ Παρθένων, λαμπαδηφόρος εἰς οὐράνια πέλεις, τοῦ πυρὸς λαμπάδας καρτερικῶς, ἐν τῷ ψάλλειν ὑπομείνασα· εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

Σὺ τῷ Νυμφίῳ, καθάπερ προῖκα προσήγαγες, δῆμον, καὶ λαὸν πιστεύσαντα εἰς Χριστόν, τὴν τῆς πλάνης ἀμαυρότητα, ταῖς φωτοβόλοις σου, θαυματουργίαις ἐναποκρύψασα.

Οὐ δειλιῶσα, ἀνδρειοφρόνως μᾶλλον δὲ Πάνσεμνε, Μάρτυς τῇ πυρᾷ, προσέρχῃ ἀναψυχὴν αἰσθομένη καὶ κραυγάζουσα· εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου, ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· εὐλογημένη σὺ ἐν γυναιξίν, ὑπάρχεις Παναμώμε Δέσποινα.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Ὡραία ἐν κάλλεσι τῶν σῶν, στιγμάτων γέγονας, καὶ γὰρ κατηύγασαι, Παρθένος ἄφθορος μένουσα, τῷ Νυμφίῳ Λόγῳ Πάνσεμνε, τῷ ἐκ Παρθένου δι' ἡμᾶς, σεσαρκωμένῳ Θεῷ, ᾧ βοῶμεν· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Λυθεῖσα δεσμῶν τῶν τῆς σαρκός, Παρθενομάρτυς σεμνή, ἀνέπτης χαίρουσα, πρὸς φωτεινόμορφον θάλαμον, νυμφικῶς περιχορεύουσα· καὶ μαρτυρίου φοινικῷ, αἵματι στάζουσα καὶ βοῶσα· πάντα τὰ ἔργα.

Οἰκεῖς μετ' Ἀγγέλων ἐν φωτί, Παρθένων τάγμασι, δήμοις Μαρτύρων τε, συνεορτάζουσα πρόσωπον, ἀτενίζουσα πρὸς πρόσωπον· καὶ θεωροῦσα καὶ λαμπρᾶς, δόξης μετέχουσα, καὶ βοῶσα· πάντα τὰ ἔργα.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε Ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ. σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα Παναμώμε, μὴ φλογισθεῖσα τῷ πυρὶ τοῦ ἀπροσίτου φωτός. ὅθεν πάντες, σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος ὄρους.

Ὡς περικαλλὴς καὶ ὡραία, καὶ περιδέξιος Παρθένος· ὡς ἀκαταγώνιστος Μάρτυς, καὶ τοῦ Δεσπότου Νύμφη παναμώμος, χρυσοειδέσι πτέρυξι, πρὸς τὰ οὐράνια κατέπτασας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΣΕ τὴν νοητὴν χελιδόνα, καὶ ἀδιάφθορον τρυγόνα, καὶ περιστερὰν κεχρυσωμένας, τοῦ Μαρτυρίου ἔχουσαν πτέρυγας· καὶ πρὸς Θεὸν πετάσασαν, καὶ καταπαύσασαν γεραίρομεν.

ΕΝδον τῆς ἀφθάρτου παστάδος, κατασκηνώσασα Θεόφρον, ταῖς ἐκπεμπομέναις ἀστραπαῖς, τοῦ σοῦ Νυμφίου φαιδρυνομένη ἀεὶ, ὑπὲρ ἡμῶν ἱκέτευε, τῶν εὐσεβῶς ἀνευφημούντων σε.

Θεοτοκίον.

ΙΝα σε δοξάζω Παρθένε, τὴν ἀληθῶς δεδοξασμένην, πάσης ἀδοξίας με ῥῦσαι, καὶ ἁμαρτίας, καὶ δόξης μέτοχον, ἐπουρανίου ποίησον, τὸν προσφυγόντα τῷ ἐλέει σου.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς κε΄. τοῦ Νοεμβρίου.

## ἈΚΟΛΟΥΘΙΑ εἰς Γυναῖκας Μάρτυρας.

Στιχηρὰ προσόμοια, ἦχος α΄.
Πανεύφημοι Μάρτυρες,

ΠΑρθένοι νεάνιδες Χριστὲ, σοὶ στεῤῥῶς ἀθλήσασαι, τῷ Βασιλεῖ ὑπηνέχθησαν, ἀγαλλιώμεναι, εὐφροσύνης πλήρεις, χαρμονῆς ἀνάμεστοι· καὶ ξύλῳ τῆς ζωῆς σοι προσήγγισαν, καθικετεύουσαι, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

ΠΑρθένοι νεάνιδες τῶν σῶν, μύρων ὀσφραινόμεναι, σοῖς ἠκολούθησαν ἴχνεσι, τὸ σὸν μιμούμεναι, ζωηφόρον Πάθος, τὸ ψυχοσωτήριον· καὶ πρὸς τὴν ἐκ νεκρῶν ἐξανάστασιν, ἐν σοὶ γηθόμεναι, Εὐεργέτα κατοπτεύσουσι, τοῦ σοῦ κάλλους, σαφῶς ἀπολαύουσαι.

ΠΑρθένοι νεάνιδες σαφῶς, Εὔας τῆς προμήτορος, ἐπιτηδείως νομίζεσθε, πόθῳ θεώσεως, ἀνενδότῳ νόσει, πρὸς Θεὸν θεούμεναι, καὶ πόθῳ ἀκλινεῖ ἐπαιρόμεναι· καὶ νῦν πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν, τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

ΦΩτὸς ἐνδιαίτημα Ἁγνὴ, μόνη ἐχρημάτισας, τοῦ ἐκ Πατρὸς ἀνατείλαντος· ὅθεν κραυγάζω σοι· τὴν ἐσκοτισμένην, ψυχήν μου τοῖς πάθεσι, φωτὶ τῶν ἀρετῶν καταφαίδρυνον· καὶ ἐν σκηνώμασι, φωτεινοῖς με κατασκήνωσον, ἐν ἡμέρᾳ, τῆς Κρίσεως ἄχραντε.

Σταυροθεοτοκίον. Ὅμοιον.

ΣΦαγήν σου τὴν ἄδικον Χριστὲ, ἡ Παρθένος βλέπουσα, ὀδυρομένη ἐβόα σοι· Τέκνον γλυκύτατον, πῶς ἀδίκως θνήσκεις; πῶς τῷ ξύλῳ κρέμασαι, ὁ πᾶσαν γῆν κρεμάσας τοῖς ὕδασι; μὴ λίπῃς μόνην με, Εὐεργέτα Πολυέλεε, τὴν Μητέρα, καὶ δούλην σου δέομαι.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

ΤΡιάδα τὴν ἄκτιστον, ἣν εὐσεβῶς ἐκηρύξατε, ἡμῖν ἱλεώσασθε Μάρτυρες ἔνδοξοι, νῦν γεραίρουσιν, ὑμῶν τοὺς θείους ἄθλους, καὶ τὰ κατορθώματα, Θεομακάριστοι.

ΡΗμάτων ἠλόγησαν, τοῦ δυσμενοῦς αἱ Νεάνιδες, τῷ θείῳ φραττόμεναι ὅπλῳ τῆς Πίστεως· καὶ ὑπέστησαν, βασάνων τρικυμίας, καὶ θάνατον ἄδικον, διὰ τὴν πάντων ζωήν.

ΙΣχυῒ ῥωννύμεναι, παντοδυνάμῳ τοῦ Κτίσαντος, ἀνδρείαν ἀνέλαβον γνώμην αἱ Πάνσεμνοι· καὶ τὸν δράκοντα, τὸν σκολιὸν τὸν μέγαν, ποσὶ συνεπάτησαν, καὶ κατηδάφισαν.

Θεοτοκίον.

ΩΣ ἔμψυχον θάλαμον, ὡς ἀδιάφθορον σκήνωμα, ὡς πύλην Οὐράνιον, ὡς θείαν τράπεζαν, ὡς παλάτιον, καὶ θρόνον τοῦ Δεσπότου, Μαρίαν τὴν ἄχραντον, ὕμνοις τιμήσωμεν.

Ὠδὴ γ΄. Οὐκ ἐν σοφίᾳ.

ΝΕνεκρωμένος, λογισμῷ ὁ παράνομος Τύραννος, τὴν ζωὴν ἡμῶν Χριστὸν, δεινῶς ἀρνεῖσθαι ἠνάγκαζε, Κόραι πανοίδιμοι, καταικιζόμενος.

ἈΜυντηρίων, προκειμένων ὀργάνων ἠλόγησε, τῶν Μαρτύρων ὁ χορὸς, πρὸς σὲ τὸν μόνον δυνάμενον, σώζειν Παντοδύναμε, ἐνατενίζων πιστῶς.

ΔΙὰ βασάνων, αἱ τρισόλβιοι Ἅγιαι Μάρτυρες, θησαυρὸν ἐν Οὐρανοῖς, καὶ αἰωνίζουσαν εὔκλειαν, ἤραντο τρανώτερον, Θεῷ ἐγγίζουσαι.

Θεοτοκίον.

ἘΠιφανεῖσα, τῆς ψυχῆς μου τὸ σκότος ἀπέλασον· ἁμαρτίας τὰς σειρὰς, Ἁγνὴ Παρθένε διάῤῥηξον, σῶσόν με κυήσασα, τὸν Πανοικτίρμονα.

Κάθισμα, ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ὙΠὲρ Τριάδος καρτερῶς ἐναθλήσασαι, τὸν πολυμήχανον ἐχθρὸν ἐτροπώσασθε, ἀδελφικῶς συνδέμεναι τὰ πνεύματα ὑμῶν· ὅθεν εἰσῳκίσθητε, σὺν ταῖς πέντε Παρθένοις, πρὸς τὸν ἐπουράνιον, Ἀθλοφόροι νυμφῶνα· καὶ σὺν Ἀγγέλοις τῷ Παμβασιλεῖ, ἐν εὐφροσύνῃ ἀπαύστως παρίστασθε.

Θεοτοκίον.

Οὐ σιωπήσωμεν ποτὲ Θεοτόκε.

Σταυροθεοτοκίον. Ὅμοιον.

ἩΠαναμώμητος Ἀμνὰς καὶ Παρθένος, ὃν ἀπεκύησεν Υἱὸν ἡπλωμένον, ἐπὶ Σταυροῦ ὡς ἔβλεψεν, ὀδύναις τὴν ψυχὴν, καιρίαις κατεπλήττετο, καὶ ἐβόα συντόνως· ποῦ σου Τέκνον φίλτατον, δωρεῶν καὶ θαυμάτων, μνήμη ὧν ἀπήλαυσεν, ὁ ἀχάριστος δῆμος; ἀλλ' εἰς τὸ σῶσαι γένος τῶν βροτῶν, ταῦτα νῦν πάσχεις· ὑμνῶ σου τὸ εὔσπλαγχνον.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

ΛΑμπρυνόμεναι τῷ κάλλει, τῆς ἀρίστης ἀθλήσεως, φαειναὶ λυχνίαι, Κόραι τοῦ Χριστοῦ ἀνεδείχθητε· φαεινοτάταις ἀκτῖσι καταυγάζουσαι, τοὺς κραυγάζοντας· δόξα Χριστὲ τῇ δυνάμει σου.

ὩΡαιώθητε Παρθένοι, καὶ φαιδρῶς ἐδοξάσθητε, τὸν δεδοξασμένον, Λόγον ὁλικῶς ἀγαπήσασαι· οὗ τετρωμέναι τῷ πόθῳ ὑπεμείνατε, παθημάτων, τὰς ἐπαγωγὰς καρτερώτατα.

ΤΩν ποικίλων πειρασμῶν μου, καὶ κινδύνων τὴν ἔφοδον, ταῖς ὑμῶν πρεσβείαις, ταῖς πρὸς τὸν Χριστὸν διακρούσασθε, τοῦ ἐκτελοῦντος προθύμως τὴν πανέορτον, καὶ πανίερον μνήμην ὑμῶν Ἀξιάγαστοι.

Θεοτοκίον.

ΝΕκρωθέντα με κακίᾳ, τοῦ δολίου Παναμώμε, τὴν Ζωὴν τεκοῦσα, ζώωσον πρὸς σὲ καταφεύγοντα, καὶ ἐπαρθέντα εἰς βάθη παραπτώσεων, ἐπανάγαγε, ὡς συμπαθὴς Παναμώμητε.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου Φῶς.

ΓΝώμην καρτερικὴν, καὶ ἀήττητον φρόνημα, αἱ Μάρτυρες πρὸ βημάτων, ἐνδεικνύμεναι νίκης, στεφάνους ἀνε[illegible]αντο.

ΑἹ Μάρτυρες ἐν γῇ, τοῖς ἀγῶσιν ἀθλήσασαι, Οὐρανίων ἐν ὑψίστοις, παρὰ σοῦ Ζωοδότα, τὴν ἀντίδοσιν ἔχουσιν.

ΠΟλύφωτος λαμπὰς, πολυώροφον οἴκημα, τὸ σκήνωμα τῆς Τριάδος, εὐφημείσθωσαν ὕμνοις, Παρθένοι αἱ Θεόφρονες.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Θεοτοκίον.

ΣΕ μόνην ἐκλεκτήν, καὶ καλὴν καὶ ἀμώμητον, ἀγαπώμενος σωματοῦται, ὁ ὑπέρθεος Λόγος, ἐκ σοῦ Θεοχαρίτωτε.

Ὠδὴ ς'. Θύσωσοι, μετὰ φωνῆς.

ΙΔοῦσαι, ἐφιέμεναι κάλλος ἀμήχανον, αἱ τετρωμέναι τῷ πόθῳ, σοῦ τῷ γλυκυτάτῳ ἄναρχε Λόγε, τῶν βασάνων, τὴν πικρίαν γενναίως ὑπήνεγκαν.

ΩΣ κεῖνα, Ἀθλητῶν ἐν λειμῶνι ἠξιώθησαν, αἱ πανᾳοίδιμοι Κόραι, καὶ τὴν Ἐκκλησίαν πνοαῖς βασάνων, τῶν ποικίλων, διώδιασαν Πνεύματος χάριτι.

ΝΥμφίον, τὸν ἀθάνατον μόνον ποθήσασαι, τοῦ ὁρωμένου θανάτου, ἀοράτῳ θέρει νευρούμεναι, ἀειδήλως, οὐκ ἐφρόντισαν Κόραι νεάνιδες.

Θεοτοκίον.

ΑΊτιος, ὁ σκηνώσας ἐν μήτρᾳ σου Κύριος, ἁγιωτέραν ἀνέδειξε, καὶ καθαρωτέραν Κτίσεως πάσης, Θεομῆτορ, ὑμνῳδίωμε Ἄχραντε Δέσποινα.

Ὠδὴ ζ'. Ἀβραμιαῖοι ποτέ.

ΛΕλαμπρυσμέναι τὸν νοῦν, θεαρχικαῖς ἀκτῖσιν, ἀχλὺν Εἰδώλων ἠμαυρώσατε, πανεύφημοι ψάλλουσαι· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

ΘΥ'εὶν Εἰδώλοις κωφοῖς, τοῦ δυσσεβοῦς Τυράννου, κολακευόμεναι κατεπτύσατε, βοῶσαι νεάνιδες· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

ΟΥ'κ ἐκτομαὶ τῶν μελῶν, οὐ διωγμὸς, οὐ θλίψεις, Χριστοῦ χωρίσαι ὅλως ἴσχυσαν, βοώσας τὰς Μάρτυρας· ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

ΥΠερφυῶς τὸν Κτίστην, ἐν τῇ γαστρί σου Κόρη, κυοφορῆσαι κατηξίωσαι, βροτοὺς ἀναπλάττοντα, τοὺς μελῳδοῦντας πιστῶς· ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ὠδὴ η'. Λυτρωτὰ τοῦ παντός.

ΣΤομωθεῖσαι ἀγάπῃ τοῦ Κτίσαντος, ἀπημβλύνατε κέντρα τοῦ ὄφεως, ἐν γυναικείῳ σώματι ἀνδρικῶς διανύσασαι, τοὺς ἀγῶνας, καὶ στεφάνοις ἐνθέοις κοσμούμεναι.

ΣΥμπλακεῖσαι ἐν μέσῳ τοῦ σκάμματος, ἀοράτοις ἐχθροῖς μετὰ σώματος, τοὺς ἀσωμάτους ἔτρεψαν αἱ Θεόφρονες Κόραι, ἀναβοῶσαι· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

ΒΑσιλείας τῆς ἄνω ἐτύχετε, σὺν Χριστῷ Ἰησοῦ βασιλεύουσαι, πεποικιλμέναι στίγμασι καὶ βασάνων τῷ κάλλει, διηνθισμέναι, ἀξιάγαστοι Κόραι νεάνιδες.

Θεοτοκίον.

ΩΣ Θεοῦ ἀκηλίδωτον ἔσοπτρον, ὑπεδέξω αὐτὸν σωματούμενον, καὶ ἐν δυσὶ ταῖς φύσεσι γνωριζόμενον Κόρη, ᾧ μελῳδοῦμεν· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος ὄρους.

ΙΔεῖν ἐφιέμεναι κάλλος, τὸ τοῦ Νυμφίου ὁλοτρόπως, νεύσει πρὸς αὐτὸν Θεοφόροι, ἀθανασίαν ἐμελετήσατε, ἐν τῷ θνητῷ τοῦ σώματος. ὅθεν ἀξίως μακαρίζεσθε.

ΩΦθητε Τυράννων ἐν μέσῳ, οἷάπερ λύκων ὠμοτάτων, ἄσπιλοι ἀμνάδες τὴν τούτων, θηριωδίαν καταπαλαίσασαι, καὶ τῷ Χριστῷ εὐπρόσδεκτοι, ὡς ἱερεῖα προσαγόμεναι.

ΣΤέφος ἀνεπλέξατε ἄμα, μὴ παλαιούμενον παρθένοι, θείας ἐπετύχετε δόξης, καὶ Βασιλείαν ὄντως ἀσάλευτον, παραλαβεῖν ὦ Μάρτυρες, μετὰ Μαρτύρων ἠξιώθητε.

ΗΣ κατηξιώθητε δόξης, ἧς ἐπετύχετε χορείας, τοὺς ἐπιτελοῦντας ἐκ πόθου, ὑμῶν τὴν μνήμην τυχεῖν πρεσβεύσατε, ὡς παῤῥησίαν ἔχουσαι, πρὸς τὸν Δεσπότην Σεμνοπάρθενοι.

Θεοτοκίον.

ΦΕισαί μου Χριστὲ ὅταν ἔλθῃς, κρῖναι τὸν Κόσμον μετὰ δόξης· λῦσον τὴν ἀχλὺν τῶν κακῶν μου, ταῖς ἱκεσίαις τῆς Κυησάσης σε, καὶ τῶν σεπτῶν Μαρτύρων σου, ὡς ἀγαθὸς καὶ παντοδύναμος.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς κε'. τοῦ Νοεμβρίου.

## ἈΚΟΛΟΥΘΙ'Α εἰς Ὁσίαν Γυναῖκα.

Στιχηρὰ προσόμοια, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

ΠΑρθενίαν ἀκήρατον, ἐμμελῶς ἐξασκήσασα, ἐν νυμφῶνος χαίρουσα τῷ ποιήσαντι· ἀρνησαμένη τὴν πρόσκαιρον, ἀπόλαυσιν εὔδοξε, καὶ ἀσκήσασα στεῤῥῶς, καὶ τὸν δρόμον τελέσασα, κατηξίωσαι, Οὐρανίου παστάδος δυσωποῦσα, τοῖς τιμῶσί σε Ὁσία, χάριν δοθῆναι καὶ ἔλεος.

ΕΓκρατείᾳ τὸ σῶμά σου, μακαρία νεκρώσασα, τὴν ψυχὴν ἐκόσμησας καὶ ἡτοίμασας· καὶ οἰκητήριον Πνεύματος, σαυτὴν ἀπετέλεσας, καὶ συνήφθης μυστικῶς, τῷ Νυμφίῳ καὶ Κτίστῃ σου· ὃν ἱκέτευε, ἐκ φθορᾶς καὶ κινδύνων λυτρωθῆναι.

ΤΟ ὡραῖον τοῦ σώματος, εἰς τὸ πρῶτον ἀξίωμα, μακαρία εὔδοξε μετεῤῥύθμισας· Κόσμον λιποῦσα τὸν πρόσκαιρον, ἀρετῶν φαιδρότησι, κατεκάλλυνας σαυτὴν, καὶ τοῦ Κτίστου ἀνεδείχθης, καταγώγιον, καὶ τερπνὴ θυμηδία τοῦ Κυρίου. ἀνυμνοῦμέν σε Ὁσία, πνευματικοῖς μελῳδήμασι.

Δόξα, καὶ νῦν. Θεοτοκίον, ἢ Σταυροθεοτοκίον.

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ἁρματηλάτην Φαραώ.

ΤΗΣ ἀκηράτου λαβομένη Παναγνε, καὶ μακαρίας ζωῆς, τῷ τοῦ Χριστοῦ Θρόνῳ σὺν Ἀγγέλων τάγμασι, παρισταμένη πάντοτε, φωτισμόν μοι παράσχου, ὅπως ὑμνήσω γηθόμενος, τὴν πανένδοξον πολιτείαν σου.

ἈΠοσυγοῦσα τὰ τοῦ Κόσμου Πάνσεμνε, πᾶσαν ἠγάπησας, ἀσκητικὴν πρᾶξιν· πρῶτον τὴν ἐγκράτειαν, εἶθ' οὕτω τὴν πραότητα, καὶ τὴν σκληραγωγίαν, τὰς προσευχὰς καὶ τὰ δάκρυα, καὶ τὴν πρὸς Θεὸν στάσιν πάννυχον.

ΤΑς πυριφλέκτους ἡδονὰς τοῦ σώματος, δρόσῳ κατέσβεσας, ἀσκητικῶν πόνων. ὅθεν σοι ἀνέτειλε, τῆς ἀπαθείας Ἥλιος, καὶ ἰάσεων φέγγος, καὶ χαρισμάτων τοῦ Πνεύματος, ἄδυτος αὐγὴ Ἀξιάγαστε.

Θεοτοκίον.

ΔΕδοξασμένα περὶ σοῦ λελάληνται, ἐν γενεαῖς γενεῶν, ἡ τὸν Θεὸν Λόγον, ἐν γαστρὶ χωρήσασα, Ἁγνὴ δὲ διαμείνασα, Θεοτόκε Μαρία. διό σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ' ἀρχάς.

ΕΝατενίζουσα πιστῶς, ταῖς τοῦ Κυρίου Ὁσία, πανᾳοίδιμε Θεόφρων ἀκτῖσι, τῆς ἐφέσεως τυχεῖν, ἱκέτευε σὺν δάκρυσι· διὸ καὶ τῆς ἐλπίδος, μετ' εὐφροσύνης ἐπέτυχες.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

ΤΗν σκοτισθεῖσάν μου ψυχήν, ταῖς πονηραῖς καὶ βεβήλοις, ἐνθυμήσεσι φιλάνθρωπε Λόγε, τῆς Ὁσίας σου εὐχαῖς, καταύγασον καὶ σκότους με, τοῦ ἀφεγγοῦς ἐν ὥρᾳ, τῆς Κρίσεως ἐλευθέρωσον.

ΝΗφαλιότητι νοός, τῶν οὐρανίων τὰ κάλλη, φαντασθεῖσα ταῖς φροντίσιν οὐδ᾽ ὅλως, ἐνεπάρης ὑλικαῖς, πτεροῖς κουφιζομένη δέ, ἀκταμοσυνης Μῆτερ, ὅλη μετάρσιος γέγονας. Θεοτοκίον.

ΤΩν Χερουβὶμ καὶ Σεραφίμ, ἐδείχθης ὑψηλοτέρα, Θεοτόκε. σὺ γὰρ μόνη ἐδέξω, τὸν ἀχώρητον Θεόν, ἐν σῇ γαστρὶ ἀμόλυντε. διὸ πιστοί σε πάντες, ὕμνοις Ἁγνὴ μακαρίζομεν.

Κάθισμα, ἦχος δ΄. Ταχὺ προκατάλαβε.

ἈΣκήσει ἐλαμπρύνας, τὴν ἱεράν σου στολήν, καὶ δῶρον προσήνεγκας, τῷ σαρκωθέντι Θεῷ, Ὁσία θεόπνευστε. χάριν δὲ ἰαμάτων, δεξαμένη ποικίλων, λύσεις ἀῤῥωστημάτων, τὴν ἀχλὺν μακαρία· πρεσβεύουσα σωθῆναι ἡμᾶς τοὺς εὐφημοῦντάς σε.

Θεοτοκίον. Ὅμοιον.

ΤΑχὺ δέξαι Δέσποινα, τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε, τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία πανάμωμε· λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων· πράϋνον μηχανάς τε, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέως, Πάναγνε κατὰ τῶν δούλων σου.

Σταυροθεοτοκίον. Ὅμοιον.

ΤΑχὺ προκατάλαβε πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἀνελε τῷ Σταυρῷ σου τοὺς ἡμᾶς πολεμοῦντας. γνώτωσαν πῶς ἰσχύει, ὀρθοδόξων ἡ Πίστις· πρεσβείαις τῆς Θεοτόκου μόνε Φιλάνθρωπε.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς, Κύριε.

ΣΥ τὴν στενήν, τρίβον Ὁσία διώδευσας. σὺ νηστεία, σάρκα κατεμάρανας, ὑπερφυῶς, ὅθεν δυσμενῶν, στῖφος κατεπλάγη τὴν ἀκλινῆ καρτερίαν σου, Ἀγγέλων αἱ χορεῖαι, ἐπεκρότησαν δόξαν, τῷ τῶν ὅλων Θεῷ ἀναπέμπουσαι.

ΤΟν ἀγαθόν, καὶ συμπαθέστατον Κύριον, ὃν διψῶσα Μῆτερ ἐξεζήτησας, μετὰ δακρύων καὶ στεναγμῶν, καὶ συντετριμμένης, καρδίας Ὁσία πάνσεμνε, δυσώπει οἰκτειρῆσαι, τὴν ἀθλίαν ψυχήν μου, τὴν εἰς βάθη κακῶν ὀλισθήσασαν.

ΤΑς τῆς ψυχῆς, αὔλακας τῆς σῆς ἀρδεύσασα, τῶν δακρύων, ῥείθροις ἐγκατέσπειρας, τῶν ἀρετῶν σπόρον ἀληθῶς· ὃν καλλιεργοῦσα, ἀσκητικοῖς πόνοις Ἔνδοξε, ἐδρέψω τῶν δραγμάτων, τοὺς καρποὺς ἀποθήκαις, ταῖς ἀσύλοις συγκλείσασα Πάνσεμνε. Θεοτοκίον.

ΣΥ τῶν πιστῶν, καύχημα πέλεις Ἀνύμφευτε, σὺ προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν τεῖχος καὶ λιμήν. πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρεις πανάμωμε, καὶ σώζεις ἐκ κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ, Θεοτόκον Ἁγνήν σε γινώσκοντας.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

ΠΟία γλῶσσα βροτεία, σου τὴν ὑπερθαύμαστον Ὁσία εὔδοξε, βιοτὴν ἐξείποι, καὶ τὴν ἄϋλον καὶ μακαρίαν ζωήν; ἥνπερ παραδόξως, πόθῳ τρωθεῖσα τοῦ Σωτῆρος, καρτερῶς καὶ γενναίως διήνυσας.

ΤΟν χειμάῤῥουν πιοῦσα, τῆς τρυφῆς πανεύδοξε Ὁσία γέγονας, πηγῆς θεῖον ὕδωρ, ὑπερβλύζουσα τῆς κατανύξεως· ἐξ οὗ οἱ πιόντες, ἐν εὐφροσύνῃ εὐφημοῦσι, τοὺς ἀγῶνας τῶν πόνων σου πάνσεμνε.

ΒΑρυτάτῳ φορτίῳ, τῶν ἀνομιῶν μου δεινῶς πιεζόμενος, τὴν σὴν εὐσπλαγχνίαν, ἱκετεύω ἐλάφρυνον Κύριε, τοὺς μεγίστους πόνους, δυσωπηθεὶς τῆς σῆς Ὁσίας, καὶ τὴν ἄσκησιν τὴν ὑπεράπειρον.

Θεοτοκίον.

ΜΗτρικὴν παῤῥησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πάναγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα· ὅτι σὲ καὶ μόνην, Χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ὠδὴ ς΄. Ἄβυσσος ἁμαρτιῶν.

ἌΡξασα τῶν ψυχικῶν, παθημάτων τῇ δυνάμει τοῦ Λόγου, πάσας τὰς τῶν δαιμόνων, ἐξηφάνισας φάλαγγας, ἐν νηστείαις καὶ εὐχαῖς, καὶ ἐν τοῖς δάκρυσι τὸν Νυμφίον, τὸν σὸν ἀπαύστως μεγαλύνασα.

ἌΣκησιν ὑπερφυῆ, ἐν νηστείαις καὶ δεήσεσιν ὄντως, στεῤῥῶς ὑπενεγκοῦσα, καὶ παθῶν κυριεύσασα, ἀπαθείας τὴν στολήν, κατακεκόσμησαι τοῦ Σωτῆρος, Νύμφη ὡραία χρηματίζουσα.

ΠΡόσχες μου τῇ προσευχῇ, καὶ εἰσάκουσον ψυχῆς κατωδύνου. ἰδοὺ γὰρ ἡ ζωή μου, ἐν τῷ Ἅδῃ ἐξέλιπε. καὶ παράσχου μοι Χριστέ, ἄφεσιν δέομαι τῶν πταισμάτων, τῆς σῆς Ὁσίας παρακλήσεσι. Θεοτοκίον.

ΝΈκρωσον μου τῆς σαρκός, τὰ κινήματα Ζωὴν ἡ τεκοῦσα, καὶ τῶν παθῶν τὸν σάλον, εἰς γαλήνην μετάβαλε· καὶ γενοῦ μοι βοηθός, ἐξαιρουμένη με τῶν κινδύνων, τῶν ἐν τῷ βίῳ Παναμώμητε.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων.

ΓΝώμην φιλόθεον ἐκτήσω, μετὰ σώματος Ἀγγέλους ἐμιμήσω, ἀγρυπνοῦσα θερμῶς, καὶ ψάλλουσα προθύμως· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

ΤΗξασα σῶμα ἐγκρατείᾳ, πανασίδιμε καὶ πάσῃ κακουργίᾳ, ἀνεβόας θερμῶς, Ὁσία πρὸς τὸν Κτίστην· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

ὍΛος ὁ πόθος σου Ὁσία, ἀνατέτατται πρὸς μόνον τὸν Δεσπότην, ὁλοτρόπως αὐτὸν ὑμνοῦσα καὶ βοῶσα· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

ΛΎων τῆς Εὔας τὴν κατάραν, τὴν πανάμωμον κατῴκησας Παρθένον, εὐλογίας πηγάς, βλυστάνων τοῖς βοῶσιν· εὐλογημένος Πάναγνε ὁ Καρπὸς τῆς σῆς κοιλίας.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

ΔΙ᾽ ἐγκρατείας Ἔνδοξε, σεαυτὴν ἐκκαθάρασα, τὰς μαρμαρυγάς, ἐδέξω τὰς τοῦ Πνεύματος, Θεοῦ σε δοξάσαντος, ἐν γῇ καὶ μεγαλύναντος, τοῦ προσδεξαμένου τοὺς σεπτούς σου καμάτους. πρὸς ὃν καὶ ἀνεβόας· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε.

ΤΗν ψυχικὴν λαμπάδα σου, ἐν ἐλαίῳ φαιδρύνουσα, θείας ἀπαθείας, εἰς νυμφῶνα ἔφθασας, οὐράνιον Ἔνδοξε· καὶ τῷ Νυμφίῳ Λόγῳ Χριστῷ, ἅμα ταῖς φρονίμοις, συναγάλλῃ Παρθένοις· βοῶσα μακαρία· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ἈΣκητικῶς πανεύδοξε, τὸν Θεὸν θεραπεύσασα, πάντων τῶν παθῶν, τοὺς πυριφλέκτους ἄνθρακας, τελείως ἀπέσβεσας, τοῖς ῥείθροις τῶν δακρύων σου. ὅθεν δυσωποῦσέ, τῶν παθῶν μου τὴν φλόγα, μαρᾶναι ταῖς εὐχαῖς σου· ἵνα πίστει καὶ πόθῳ, δοξάζω σου Ὁσία, τὴν μνήμην εἰς αἰῶνας. Θεοτοκίον.

ΘΕογεννῆτορ πάναγνε, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας, τὰς οὐλὰς ἐξάλειψον, Θεὸν ἡ κυήσασα, τὸν ἐπὶ πάντων Κόρη Ἁγνή. ὅθεν Θεοτόκον, οἱ πιστοί σε κυρίως, δοξάζομεν βοῶντες· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε.

Ὠδὴ θ'. Ἔφριξε πᾶσα ἀκοή.

Ἰδέσθαι κάλλος νοητὸν, τοῦ Νυμφίου καθαρῶς ἐπεπόθησας· καὶ ποῦ κοιτάζεις αὐτῷ; ποῦ δὲ ποιμένεις Σεμνὴ ἐκραύγαζες; ἐπαναπαύσομαι ἐν σοὶ, καὶ σοῦ τῆς χρηστότητος, κατατρυφήσομαι, μεγαλύνουσα τὴν σὴν ἀγαθότητα.

Σύνεσιν ἔσχες ἐν ψυχῇ, καὶ ταπείνωσιν καὶ θείαν πραότητα, Πίστιν ἀδίστακτον, καὶ τὴν ἐλπίδα ἀγάπην ἔνθεον· ἐν ὀλονύκτοις προσευχαῖς, Θεῷ προσεδρεύουσα, καὶ ταῖς ἐκεῖθεν αὐγαῖς, Μακαρία λαμπομένη φαιδρότησιν.

Ἤνοιξέ σοι πύλη Οὐρανοῦ, ἠνεῴχθη Μακαρία πανεύδοξε, καὶ εἰσελήλυθας, Ἀγγέλων θείων δορυφορούντων σε. καὶ κατεσκήνωσας φαιδρῶς, ἔνθα τὸ πολίτευμα, Ἁγίων ὑπάρχει σεμνὴ, μετὰ πάντων τὸν Σωτῆρα δοξάζουσα. Θεοτοκίον.

Φεῖσαί μου Σῶτερ ὁ τεχθεὶς, καὶ φυλάξας τὴν τεκοῦσάν σε ἄφθορον, μετὰ τὴν κύησιν, ὅταν καθίσῃς κρῖναι τὰ ἔργα μου· τὰς ἀνομίας παρορῶν, καὶ τὰς ἁμαρτίας μου, ὡς ἀναμάρτητος, Ἐλεῆμον ἀγαθὲ καὶ φιλάνθρωπε.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς κς'. τοῦ Ἰουλίου.

---

## ἈΚΟΛΟΥΘΙΑ εἰς Ὁσίας Γυναῖκας.

Στιχηρὰ προσόμοια, ἦχος α'.
Τῶν Οὐρανίων ταγμάτων.

Θεοφεγγεῖς ὡς βολίδες ἐξ ὕψους φαίνουσαι, ταῖς νοηταῖς ἀκτῖσι, καταυγάζετε Κόσμον· καὶ σκότος ἐκμειοῦσαι τοῦ πονηροῦ, τῶν δαιμόνων ἀθροίσματος. τὴν φωτοφόρον καὶ θείαν ὅθεν πιστῶς, ἑορτάζομεν ὑμῶν Ἑορτήν.

Τοῦ Παραδείσου τὰ κάλλη κατοπτευσάμεναι, καὶ δαψιλῶς τρυφῶσαι, ἀκηράτους λειμῶνας, ἐνωθήσατε τῷ Κόσμῳ, γνῶσιν Θεοῦ· ἧς μετέχοντες σήμερον, τῇ διαθέσει Ὅσιαι τὴν ψυχικὴν, παγκαρπίαν γεωργοῦμεν σεμναί.

Μοναδικῇ πολιτείᾳ κατελαμπρύνατε, τῶν Ἀσκητῶν τὰ πλήθη, ἀνατείλασαι πᾶσιν, ὥσπερ τινὲς φωστῆρες· διὸ σὺν αὐτοῖς, συνδοξάζεσθε Πάνσεμνοι· ἐπεντρυφῶσαι τῇ δόξῃ τῇ θεϊκῇ, καὶ πρεσβεύουσαι σωθῆναι ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἐκ τῆς Ἁγίας Εἰκόνος τῆς σῆς Πανάχραντε, ἰάσεις ἰαμάτων, χορηγοῦνται ἀφθόνως, τοῖς πίστει προσιοῦσιν· οὕτω κἀμοῦ, τὰς ἀσθενείας ἐπίσκεψαι. καὶ τὴν ψυχήν μου ἐλέησον ἀγαθὴ, καὶ τὸ σῶμά μου θεράπευσον.

Σταυροθεοτοκίον. Ὅμοιον.

Σὲ τὸν Ἀμνὸν καὶ Ποιμένα ἐπὶ τοῦ ξύλου Σωτὴρ, ἡ σὲ ἁγνῶς Τεκοῦσα, ὡς ἑώρα Θεέ μου, θρηνοῦσα ἀνεβόα· Τέκνον ἐμὸν, φῶς τοῦ Κόσμου γλυκύτατον, πῶς ἐπὶ ξύλου ὁρῶ σε τοῦ σταυρικοῦ, ὡς κακοῦργον ἀναρτώμενον;

Εἰς τὸν Ὄρθρον, ὁ Κανών.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας.

Σαρκὸς ἀσθενείᾳ τὸν δυνατὸν, ἐχθρὸν καθελοῦσαι, ᾠκειώθητε τῷ Θεῷ. Ὅσιαι Γυναῖκες δυσωποῦσαι, δύναμιν πᾶσι δοθῆναι σωτήριον.

Μαράνασαι πόνοις ἀσκητικοῖς, σωμάτων τὰ κάλλη, ὡραιώθητε τὰς ψυχάς· καὶ Χριστῷ Νυμφίῳ εἰς θαλάμους, ὡραιοτάτους συνεισήλθετε.

Θεοτοκίον.

Νυμφὼν ἀνεδείχθη φωτοειδὴς, ἡ μήτρα σου Κόρη, τοῦ δι' οἶκτον σωματικῶς, ἐκ σοῦ σαρκωθέντος καὶ τὰ πάντα, θεογνωσίας ἀκτῖσι φωτίσαντος.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος.

Ὑπερίδετε κάλλους σωματικοῦ Πάνσεμναι, καὶ τὴν παραρρέουσαν δόξαν, ὄναρ ἡγήσασθε· ἐν ταπεινώσει δὲ, καὶ ἀγρυπνίαις, καὶ πόνοις, τὸν Χριστὸν ζητήσασαι, τοῦτον εὑρήκατε.

Ἀπηρνήσασθε Κόσμον, καὶ σαρκικὸν φρόνημα, καὶ δι' ἐγκρατείας, καὶ πόνων Χριστὸν ἐκτήσασθε, Νυμφίον ἄχραντον, ἐπουρανίου παστάδος, θείαν παρεχόμενον, ὑμῖν ἀπόλαυσιν. Θεοτοκίον.

Ἱερῶν Προφητῶν σε, αἱ ἱεραὶ σάλπιγγες, πάλαι προεμήνυσαν πύλην, φωτὸς γενήσεσθαι· καὶ τόμον ἔμψυχον, ἐν ᾧ χειρὸς ἄνευ Λόγος, ὑπὲρ λόγον Ἄχραντε, Κόρη γραφήσεται.

Κάθισμα, ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἐπὶ τῶν ὤμων τὸν Σταυρὸν, ἀναλαβοῦσαι τοῦ Χριστοῦ, ἠκολουθήσατε αὐτῷ, διὰ τῶν ἔργων εὐσεβῶς, τῶν τῆς ἀσκήσεως Ἀοίδιμοι καὶ Ὅσιαι. καὶ πάσαις γυναιξὶν, ἐνασκουμέναις σεμνῶς, ἐφάνητε κανὼν, καὶ τύπος ἔνδοξοι. ἀλλὰ τοῖς θείοις σκάμμασι, τὰ ἄνω ἀπολαβοῦσαι Βασίλεια. μὴ διαλίπητε, ἱκετεύειν, τοῦ σῴζεσθαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Μὴ εἰσέλθῃς μετ' ἐμοῦ, ὡς ὁ Προφήτης σοι βοῶ, εἰς κριτήριον Χριστέ· ἐγὼ γὰρ οἶδα τὰ ἐμὰ, κατηγοροῦντά με πταίσματα, καὶ σοὶ κραυγάζω· ἐλέησον εὐχαῖς, τῆς Τεκούσης σε, ἐμὲ τὸν ταπεινὸν καὶ ἀνάξιον, ὡς τὸν λῃστὴν καὶ πόρνην καὶ τὸν ἄσωτον, καὶ τὸν τελώνην φιλάνθρωπε. οὐ γὰρ δικαίους, ἦλθες τοῦ σῶσαι, ἀλλὰ μᾶλλον τοὺς πταίσαντας.

Σταυροθεοτοκίον. Ὅμοιον.

Μεληδὸν τὰς ἐκτομὰς, κατανοοῦσα τῶν σαρκῶν, συνεκτέμνομαι Υἱὲ, καὶ συναιροῦμαί σοι λοιπὸν, τὰ νῦν καὶ μεληδὸν κατατέμνω μου τὸ σαρκίον, ἕκαστον ἐν σοὶ μέλος ἅγιον, βλέπουσα πικρῶς τιμωρούμενον. οὐ γὰρ διέτλης μέλος εὖ ὁραθῆναι, τῶν σῶν σαρκῶν ἀτιμώρητον, ὡς ἂν τὸ πάθος, ὁλομελείας βροτῶν θεραπεύσειας.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε.

Ἵνα κάλλος τὸ ἄχραντον, τοῦ ποθουμένου Νυμφίου ἴδωσι, κατεμάραναν αἱ Ὅσιαι, τῆς σαρκὸς τὰ κάλλη δι' ἀσκήσεως.

Νυσταγμὸν ἀπωσάμεναι, ψυχικῶν βλεφάρων κατεκοιμήσατε, τὰς κινήσεις τὰς τοῦ σώματος, Ἱεραὶ Γυναῖκες δι' ἀσκήσεως.

Ἡ φαιδρὰ ἑορτὴ ὑμῶν, φέγγει Θείου Πνεύματος ἀπαστράπτουσα, καταυγάζει τὰς ψυχὰς ἡμῶν, τῶν πιστῶν τιμώντων ὑμᾶς Ὅσιαι. Θεοτοκίον.

Σαρκωθέντα σε Κύριε, ἐξ ἀπειρογάμου Κόρης ποθήσασαι, εἰς ὀσμὴν μύρου σου ἔδραμον, αἱ τῷ σῷ τρωθεῖσαι θείῳ ἔρωτι.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

Δρόσον βρύουσαι πάντα, θερμῇ Θείου Πνεύματος ἀποδιώκετε, νοσημάτων ζόφον, ἀστραπαῖς τῶν ἐνδόξων θαυμάτων ὑμῶν, καὶ πρὸς μέγα φέγγος, τῆς οὐρανίου Βασιλείας, τοὺς πιστοὺς ὁδηγεῖτε Ἀοίδιμοι.

Νεκρωθεῖσαι τῷ Κόσμῳ, ἐκληρονομήσατε ζωὴν ἀνώλεθρον· καὶ νυμφῶνος θείου, ἠξιώθητε Θεομακάριστοι, τὰς ὑμῶν λαμπάδας, τῷ τῆς ἀσκήσεως ἐλαίῳ, ἀκοιμήτως τηρήσασαι πάνσεμνοι.

Θεοτοκίον.

Ὁ Θεοῦ Θεὸς Λόγος, μήτραν ἀπειρόγαμον τὴν σὴν κατῴκησε· καὶ βροτὸς ὡράθη, ὁ Παρθένον τηρήσας σε Ἄχραντε· ὃν ποθοῦσαι Κόραι, ἀσκητικῶς τούτου ὀπίσω, ἠκολούθησαν βίου λαμπρότητι.

Ὠδὴ ϛ΄. Τὴν δέησιν ἐκχεῶ.

Ἐγκράτειαν ταπεινώσει καρδίας, ἀγρυπνίαν ἀσυμπάθητον γνώμην, Πίστιν ὀρθὴν, καὶ τελείαν ἀγάπην, τὰ ἱερὰ ἐξασκήσαντα Γύναια, ἐγένοντο τέκνα Θεοῦ, καὶ θαυμάτων πηγαὶ ἀδαπάνητοι.

Ξενώσασαι ἑαυτὰς τῆς τοῦ βίου, ἡδονῶν δι' ἐπιδόσεως πόνων, ἀσκητικῶν, τὸν εἰς γῆν καταβάντα, καὶ ἑκουσίᾳ βουλῇ ξενιτεύσαντα, ἐκτήσασθε ἐν Οὐρανοῖς, ξεναγοῦντα ὑμᾶς Ἀξιάγαστοι. Θεοτοκίον.

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ θανάτῳ, τὴν τῇ φθορᾷ, καὶ θανάτῳ μου φύσιν, καταχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱὸν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Δόξαν ἀγήρω τῆς ῥεούσης, ἀντηλλάξαντο αἱ Ὅσιαι προθύμως· ἧς τρυφῶσαι Χριστῷ, γηθόμεναι βοῶσιν· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἄστρα πολύφωτα ὀφθεῖσαι, ταῖς λαμπρότησι τῶν πόνων δαδουχεῖτε, τὰς ψυχὰς τῶν πιστῶν διδάσκουσαι τοῦ μέλπειν· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ῥῦσαι δεσμῶν τῆς ἁμαρτίας, τὴν ἀθλίαν μου ψυχὴν Θεογεννῆτορ, καὶ ἀγάπῃ Θεοῦ ὑπόζευξον τελείᾳ· ἵνα πιστῶς δοξάζω σε, καὶ ὑμνῶ σε εἰς αἰῶνας.

Ὠδὴ η΄. Νικηταὶ Τυράννου.

Λογισμῷ Παρθένοι, πάθη ὑπετάξατε τῆς ἀλογίας. καὶ Νυμφίῳ Λόγῳ, νοητῶς συνήφθητε ἀναβοῶσαι· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σταυρωθεῖσαι Κόσμῳ, καὶ τῷ θείῳ ἔρωτι κατατρωθεῖσαι, γλώσσει ἐνηδόνῳ, τὸν τὴν Εὔαν τρώσαντα τῆς ἐγκρατείας, ἱεραὶ Παρθένοι, βέλεσιν ἐτρώσατε., ἀνυμνολογοῦσαι, Χριστὸν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἡ Θεὸν τεκοῦσα, ἐξ ἁγνῶν αἱμάτων σου σεσαρκωμένον, τὰς Παρθένους πάσας, ἐπεσπάσω Ἄχραντε Παρθενομῆτορ, σὺν αὐταῖς βοῶσα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Ὡραῖαι τοῦ Δεσπότου, εὔλαλοι τρυγόνες, καὶ χελιδόνες φανεῖσαι Φιλόσεμνοι, πρὸς καλιὰς Οὐρανίους μετεβιβάσθητε.

Συνήφθητε ταῖς ἄνω, νῦν χοροστασίαις, καὶ ἐκλεκτῶν πανηγύρει εὐφραίνεσθε. ὑπὲρ ἡμῶν δυσωποῦσαι τὸν φιλοικτίρμονα.

Ἡ Μνήμη ἡ φωσφόρος, νῦν ἡ ὑμετέρα, καθάπερ Ἥλιος οὕτως ἀνέτειλε, τὰς τῶν πιστῶν διανοίας καταφαιδρύνουσα. Θεοτοκίον.

Φωτὸς οὖσα δοχεῖον, φώτισον Παρθένε, τὴν σκοτισθεῖσαν ψυχήν μου τοῖς πάθεσι, καὶ ἐξωτέρου με σκότους, ῥῦσαι πρεσβείαις σου.

Εἰς τὴν Λειτουργίαν, ζήτει Ἀποστολοευάγγελον, καὶ Κοινωνικὸν, εἰς τὰς κϛ΄. Ἰουλίου.

Τέλος τῶν Ἀνωνύμων Ἀκολουθιῶν.

# ΣΤΙΧΗΡΑ ΠΡΟΣΟΜΟΙΑ ΘΕΟΤΟΚΙΑ.

Ψαλλόμενα ἐν τῷ Ἑσπερινῷ, ὅταν τύχῃ Ἀλληλούϊα, μετὰ τῶν στιχηρῶν τοῦ κατὰ τὴν ἡμέραν λαχόντος Ἁγίου.

Εἰς τὸ, Κύριε ἐκέκραξα, στιχηρὰ προσόμοια Θεοτοκία, ἦχος α΄.

Πανεύφημοι Μάρτυρες ὑμᾶς.

Τῆς ψυχῆς μου σὺ εἶ ἡ χαρμονὴ, καὶ τὸ ἀγαλλίαμα, σὺ τῶν παθῶν μου τὸ ἴαμα, Κόρη Θεόνυμφε, τῶν ἀρρωστημάτων, τῆς ψυχῆς μου Πάναγνε, ταχεῖα θεραπεία καὶ λύτρωσις, τῶν συνεχόντων με, πειρασμῶν καὶ καταφύγιον, ἐν ἀνάγκαις. διὸ μεγαλύνω σε.

Ἐλέους ἡ ἄβυσσος ἐμὲ, τὸν βυθὸν γενόμενον, ἀκαθαρσίας ἐλέησον, καὶ λῦσον πάντα μου, τῶν παθῶν τὸν ῥύπον, δάκρυσι καθαίρουσα, καὶ θείᾳ κατανύξει λαμπρύνουσα. δι' ἧς μοι δώρησαι, ταπεινὸν τῷ ὄντι φρόνημα, καὶ καρδίας συντριβὴν σωτήριον.

Φωτὸς ἐνδιαίτημα Ἁγνὴ, μόνη ἐχρημάτισας, τοῦ ἐκ Πατρὸς ἀνατείλαντος. ὅθεν κραυγάζω σοι· τὴν ἐσκοτισμένην, ψυχήν μου τοῖς πάθεσι, φωτὶ τῶν ἀρετῶν καταφαίδρυνον· καὶ ἐν σκηνώμασι, φωτεινοῖς με κατασκήνωσον, ἐν ἡμέρᾳ τῆς Κρίσεως Ἄχραντε.

Εἶτα τοῦ Ἁγίου.

Στιχηρὰ προσόμοια Θεοτοκία, ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα, τῶν ἐπὶ γῆς ἀνθρώπων, κραταιὰ προστασία, Ἄχραντε Παρθένε, σῶσον ἡμᾶς, τοὺς εἰς σὲ καταφεύγοντας. ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεὸν, Θεοτόκε ἀνεθέμεθα.

Τῆς εὐσπλαγχνίας ἡ Πύλη, τὴν ταπεινήν μου ψυχὴν, μὴ ὑπερίδῃς πίστει, ἱκετεύω σε Κόρη· οἴκτειρον ἐν τάχει, καὶ σῶσον αὐτὴν, τοῦ βυθοῦ τῶν πταισμάτων μου, καὶ ἐγκαινίσασα χάριν σὴν ἐπ' ἐμοὶ, καταγλάϊσον Παρθένε Ἁγνή.

Χριστιανῶν προστασία ἡ ἀκαταίσχυντος, ἡ σωτηρία πάντων, ἡ ἐλπὶς τῶν περάτων, βοήθησον σοῖς δούλοις. δύνασαι γὰρ, ὅσα θέλεις πανάχραντε. ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεὸν, Θεοτόκε ἀνεθέμεθα.

Στιχηρὰ προσόμοια Θεοτοκία, ἦχος β΄.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Σὺ εἶ τῶν Ἀγγέλων ἡ χαρὰ, σὺ εἶ τῶν ἀνθρώπων ἡ δόξα, σὺ τῶν πιστῶν ἡ ἐλπὶς, Δέσποινα πανάμωμε, καὶ προστασία ἡμῶν. καὶ πρὸς σὲ καταφεύγοντες, ἐν πίστει βοῶμεν, ὅπως ταῖς πρεσβείαις σου, ἐκ τῶν βελῶν τοῦ ἐχθροῦ, λύπης ψυχοφθόρου καὶ πάσης, θλίψεως ῥυσθείημεν πάντες, οἱ ἀνευφημοῦντές σε Θεόνυμφε.

Μόνη τὸν ἀχώρητον Θεὸν, ἀστενοχωρήτως ἐν μήτρᾳ ἐκυοφόρησας, Ἄνθρωπον γενόμενον, δι' ἀγαθότητα, Παναγία Θεόνυμφε. διὸ δυσώπω σε, τῶν παρενοχλούντων με παθῶν ἐξάρπασον. ὅπως τὴν

στενὴν ἀθυδρόμως, τρίβον διανύσας πρὸς πλάτος, φθάσω τῆς ἐκεῖ μακαριότητος.

Δεῖξον εἰς ἡμᾶς τοὺς ταπεινούς, Μῆτερ τοῦ Θεοῦ τοῦ ὑψίστου, τὴν εὐσπλαγχνίαν σου. δέξαι Παναμώμητε, καὶ τὰς δεήσεις ἡμῶν, εἰς λαὸν ἁμαρτήσαντα, καὶ ἀπεγνωσμένον· ὅπως λυτρωθείημεν ἐκ πάσης θλίψεως. σὲ γὰρ πᾶσα Κτίσις δοξάζει, καὶ ἀνακηρύττει σε ὄντως, μέγα ἱλαστήριον καὶ καύχημα.

Στιχηρὰ προσόμοια Θεοτοκία, ἦχος γ'.

Μεγάλη τοῦ Σταυροῦ σου Κύριε.

Παθῶν με τρικυμίαι Δέσποινα χειμάζουσι, καὶ κλύδων με ταράττει, βυθοῦ τῆς ἁμαρτίας· δός μοι χεῖρα βοηθείας καὶ διάσωσόν με. καὶ τὰ δεινὰ ἀπέλασον, καὶ ἴθυνον πρὸς λιμένα γαλήνης.

Τῶν θείων Προφητῶν Ἁγνὴ χαῖρε τὸ καύχημα. χαῖρε πασῶν Κυρία. χαῖρε νεφέλη κούφη. χαῖρε Ἄχραντε Μῆτερ εὐλογημένη. χαῖρε Κόσμου χαρὰ καὶ ἀντίληψις. χαῖρε νῖκος ὀρθοδόξων Ἀνάκτων.

Τῶν θείων Ἀποστόλων χαῖρε τὸ κραταίωμα. χαῖρε χρυσῆ λυχνία, καὶ μαννοδόχε στάμνε. χαῖρε ἄνθος τὸ τῆς Πίστεως Παρθένε. χαῖρε ἡ τὸ Φῶς ἀρρήτως κυήσασα. χαῖρε Θρόνε πύρινε τοῦ Ὑψίστου.

Στιχηρὰ προσόμοια Θεοτοκία, ἦχος δ'.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐπομβρίαις τοῦ Πνεύματος, τοῦ Ἁγίου Πανάμωμε, τὴν ἐμὴν διάνοιαν, καταδρόσισον· ἡ τὴν σταγόνα κυήσασα, Χριστὸν τὴν ἀμέτρητον, ἀνομίαν τῶν βροτῶν, οἰκτιρμοῖς ἀποσμήχουσαν. ἀποξήρανον, τὴν πηγὴν τῶν παθῶν μου καὶ χειμάρρουν, καταξίωσον τρυφῆς με, τῆς ἀειζώου πρεσβείαις σου.

Ἐν θαλάσσῃ με πλέοντα, ἐν ὁδῷ με βαδίζοντα, ἐν νυκτὶ καθήμενον περιφρούρησον. ἐπαγρυπνοῦντα χαρίτωσον, τὸν νοῦν μου Πανάμωμε, καὶ ἀξίωσον ποιεῖν, τοῦ Κυρίου τὸ θέλημα· ὅπως εὕροιμι, ἐν ἡμέρᾳ τῆς δίκης τῶν ἐν βίῳ, πεπραγμένων μοι τὴν λύσιν, ὁ προσφυγὼν ἐν τῇ σκέπῃ σου.

Μυριάκις Πανάχραντε, ὑπεσχόμην μετάνοιαν, τῶν ἐμῶν ποιήσασθαι, παραπτώσεων. ἀλλ᾽ οὐκ ἐᾷ με ἡ φαύλη μου, τῶν κακῶν συνήθεια. διὰ τοῦτό σοι βοῶ, καὶ προσπίπτω καὶ δέομαι· σύ με Δέσποινα, ἐξελοῦ τῆς τοιαύτης τυραννίδος, ὁδηγοῦσα πρὸς τὰ κρείττω, καὶ σωτηρίας ἐχόμενα.

Στιχηρὰ προσόμοια Θεοτοκία, ἦχος ὁ αὐτός.

Ἔδωκας σημείωσιν.

Σὲ τὸ καθαρώτατον, τοῦ Βασιλέως παλάτιον, δυσωπῶ Πολυΰμνητε, τὸν νοῦν μου καθάρισον, τὸν ἐσπιλωμένον, πάσαις ἁμαρτίαις, καὶ καταγώγιον τερπνόν, τῆς ὑπερθέου Τριάδος ποίησον· ὅπως τὴν δυναστείαν σου, καὶ τὸ ἀμέτρητον ἔλεος, μεγαλύνω σῳζόμενος, ὁ ἀχρεῖος οἰκέτης σου.

Τὸν ῥύπον ἀπόσμηξον, τῆς ταλαιπώρου καρδίας μου, Θεοτόκε πανύμνητε, καὶ πάντα τὰ τραύματα, καὶ τὰ ἕλκη ταύτης, τὰ ἐξ ἁμαρτίας, ἐναποκάθαρον Ἁγνή, καὶ τοῦ νοός μου στῆσον τὸ ἄστατον· ὅπως τὴν δυναστείαν σου, καὶ τὴν μεγάλην ἀντίληψιν, μεγαλύνω σῳζόμενος, ὁ ἀχρεῖος οἰκέτης σου.

Ζόφος φοβερώτατος, ὁ τοῦ θανάτου Θεόνυμφε, τὴν ψυχὴν κατατρύχει μου· τὸ δὲ λογοθέσιον, ἐξιστᾶν καὶ τρέμειν, ἀεὶ τῶν δαιμόνων, παρασκευάζει ἀγαθή· ἐξ ὧν με ῥῦσαι τῇ δυναστείᾳ σου, Παρθένε ἀπειρόγαμε· καὶ πρὸς λιμένα σωτήριον, καὶ πρὸς φῶς τὸ ἀνέσπερον, τῶν Ἁγίων κατάταξον.

Στιχηρὰ προσόμοια Θεοτοκία, ἦχος ὁ αὐτός.

Ὁ ἐξ ὑψίστου κληθείς.

Χαῖρε φωτὸς καθαρώτατον δοχεῖον. χαῖρε στύλε πύρινε, τὸν νοητὸν Ἰσραήλ, ἔνδον εἰς θείαν κατάπαυσιν, εἰσαγομένη· χαῖρε νεφέλη τὸν μέγαν Ἥλιον, Κόσμῳ διαυγάσασα· καὶ πρὸς τὸ ἄδυτον, φῶς τοὺς ἐν σκότει καθεύδοντας, τῆς ἀγνωσίας, μεταρρυθμήσασα παναμώμητε. χαῖρε Παρθένε, χαῖρε πάνσεμνε. χαῖρε Μῆτερ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Χαῖρε φαιδρὸν ἐνδιαίτημα Κυρίου. χαῖρε θρόνε πύρινε. χαῖρε λυχνία χρυσῆ. χαῖρε κογχύλη ἡ βάψασα, ἐκ σῶν αἱμάτων, τῷ Βασιλεῖ πορφύραν θεοΰφαντον. χαῖρε Πόλις ἔμψυχε, τίμιε στέφανε, καὶ κραταιὸν περιτείχισμα, βασιλευόντων, ἐν εὐσεβείᾳ χαῖρε ἀνίκητον, στρατευομένων θάρσος πάναγνε. χαῖρε πύλη Κυρίου πανύμνητε. ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Φύσεως ὅρους καὶ νόμους ὑπερβᾶσα, τὸν Κτίστην τῆς φύσεως, ἀδιαφθόρως ἁγνή, ἐν τῇ γαστρί σου συνέλαβες, μὴ γνοῦσα πεῖραν, ὅλως ἀνδρὸς Παρθένε Ἀμόλυντε· καὶ τοῦτον ἐκύησας, εἰς σωτηρίαν βροτῶν· καὶ μετὰ τόκον διέμεινας, ὡς πρὸ τοῦ τόκου, τῆς παρθενίας σῶα τὰ σήμαντρα, διατηροῦσα. ὄντως μέγιστον, σοῦ τὸ θαῦμα καὶ ξένον καὶ ἄφραστον, καταπλῆττον Ἀγγέλους, καὶ βροτῶν πᾶσαν διάνοιαν.

Στιχηρὰ προσόμοια Θεοτοκία, ἦχος πλ. α'.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Χαίροις ἀνατολὴ νοητή, ἡ ἐκ λαγόνων τὸν Χριστὸν ἀνατείλασα, πληροῦντα τὴν Οἰκουμένην, φωτὸς ἀρρήτου Ἁγνή, τὸ τῶν Ἀσωμάτων ἀγαλλίαμα. Ἀμνὸν Θεοῦ αἴροντα, ἁμαρτίας ἡ τέξασα, παντὸς τοῦ Κόσμου, τὸν τροφέα Πανάμωμε, ἡ θηλάσασα, καὶ ἀγκάλαις κατέχουσα· μόνη ἡ ἀδιάφθορος, Ἁγνὴ ἡ ἀμόλυντος· χαῖρε Ἁγία Ἁγίων, τὸν ὑπεράγιον Κύριον, Ἁγνὴ δυσωποῦσα, καταπέμψαι τοῖς σοῖς δούλοις, τὸ μέγα ἔλεος.

Χαίροις τῶν γηγενῶν ἡ ἐλπίς, γῆ ἐκλεκτὴ καὶ καθαρὰ καὶ ἀμόλυντος· πηγή τε ἐσφραγισμένη, τοῦ Παρακλήτου σεμνή, σὺ ὑπάρχεις μόνη Ἀειπάρθενε· ἐξ ἧς οἱ σεβόμενοι, σωτηρίαν εὑρίσκομεν. γένους βροτείου, ἡ ἀνάκλησις Ἄχραντε. γῆ κατάκαρπε, ἡ τὸν στάχυν βλαστήσασα. γέφυρα ἡ μετάγουσα, γαλήνην πρὸς εὔδιον, ἡ κυβερνῆτις ἡ θεία, χειμαζομένων ἡ ἄγκυρα, λιμὴν ὁ ἐν ζάλῃ, τῶν ἐκ πόθου σε ζητούντων ὁ εὐδιώτατος.

Χαίροις βάτε πυρφόρε σεμνή, Βασιλικῆς φυλῆς φυεῖσα Βασίλισσα· Παρθένε, τὸν Βασιλέα, καὶ Ποιητὴν τοῦ Παντός, ὡς τεκοῦσα Κόρη Μητροπάρθενε, βωμοὺς ἀφανίσαντα, τῶν δαιμόνων ἐν χάριτι. χαίροις τὸν βότρυν, τῆς ζωῆς ἡ βλαστήσασα, τὸν ἐκβλύζοντα, ἀφθαρσίας τὴν ἄβυσσον. χαίροις ἡ ἀφανίσασα, βλαστήματα ἅπαντα, τῆς ἁμαρτίας καὶ Κόσμῳ, πηγὴν ἀείζωον βλύσασα, βροτοῖς σωτηρίαν, τῷ ἀφθάρτῳ τοκετῷ σου, μόνη Θεόνυμφε.

Στιχηρὰ προσόμοια Θεοτοκία, ἦχος πλ. β'.

Ὅλην ἀποθέμενοι.

Δῶρον Θεονύμφευτε, θείας μοι γνώσεως δίδου, καὶ τὸν νοῦν μου φώτισον, καὶ τὴν γλῶτταν τράνωσον, τοῦ δοξάζειν σε, καὶ ὑμνεῖν ᾄσμασι, τὴν μεγίστην χάριν, καὶ τὴν θείαν προστασίαν σου. ὡς γὰρ φιλάγαθος προνοητική τε τῆς φύσεως, ἡμῶν Θεοχαρίτωτε,

θέλεις τὴν ἑκάστου ὠφέλειαν, καὶ τὴν σωτηρίαν· ἣν βράβευσον κἀμοὶ τῷ ἐκ ψυχῆς, καὶ ἐκ καρδίας προστρέχοντι, τῇ σκέπῃ σου Ἄχραντε.

Ἔχει πᾶς ὁ Κόσμος σε, πρὸς τὸν Θεὸν, ὃν ἀρρήτως, καὶ φρικτῶς ἐκύησας, σάρκα προσλαβόμενον ἐξ αἱμάτων σου, ἀγαθὴ Δέσποινα, ἀσφαλῆ γέφυραν, καὶ προστάτιν ἀκαταίσχυντον, πρέσβιν εὐήκοον, συμπαθῆ μεσίτιν καὶ σύντονον. διόπερ καὶ ὡς ἄνθρωποι, φύσις ἀσθενὴς ἁμαρτάνοντες, οὐδέποτε τούτου, ἀπέστημεν τῆς δόξης ἐπὶ σοὶ, τῆς σωτηρίας Παναγίας Ἄχραντε, τὰς ἐλπίδας θέμενοι.

Χαῖρε ῥίζα εὔδοξε, χαῖρε ἡ ῥάβδος ἡ θεία, Ἀαρὼν βλαστήσασα, ἄνθος τὸ ἀμάραντον καὶ ἀείζωον. Εὐθαλὴς Παράδεισε, τῆς ζωῆς τὸ ξύλον, Ἰεσσαὶ ἐκ ῥίζης ἄχραντε, ἐξανατείλασα, Κόρη καὶ βροτοὺς διατρέφουσα, τῷ ἄρτῳ τῷ τῆς γνώσεως· χαῖρε ἡ πορφύρα ἡ πάντιμος, τοῦ Παμβασιλέως, Θεόνυμφε διάδημα φαιδρὸν, Ἀρχιερέων εὐπρέπεια, χαῖρε μόνη Ἄχραντε.

Στιχηρὰ προσόμοια Θεοτοκία, ἦχος ὁ αὐτός.

Τρισήμερος ἀνέστης Χριστέ.

Τὸ ὄμμα τῆς καρδίας μου, ἐκτείνω πρὸς σὲ Δέσποινα· μὴ παρίδῃς, τὸν μικρόν μου στεναγμὸν, ἐν ὥρᾳ ὅταν κρίνῃ, ὁ σὸς Υἱὸς τὸν Κόσμον, γενοῦ μοι σκέπη καὶ βοήθεια.

Παρθένε παναμώμητε, ἱκέτευε ὃν ἔτεκες, οἰκτειρῆσαι, τὴν ἀθλίαν μου ψυχήν· καὶ τῇ μερίδι τάξαι, τῶν ἐκλεκτῶν ἐν ὥρᾳ, τῆς δίκης ἄκρᾳ ἀγαθότητι.

Ἐγὼ Παρθένε Ἄχραντε, τῇ σκέπῃ σου κατέφυγον· οἰκτειρόν με, μιμουμένη σὸν Υἱὸν, Θεόν σου καὶ Δεσπότην· καὶ τοῦ βορβόρου ῥῦσαι, καὶ τῆς ἰλύος τῶν πταισμάτων μου.

Στιχηρὰ προσόμοια Θεοτοκία, ἦχος πλ. δ᾽.

Ὢ τοῦ παραδόξου θαύματος, πῶς τὸν τῶν ὅλων Θεὸν, ἐν γαστρί σου ἐχώρησας; πῶς Βρέφος ἐβάστασας, τὸν Ποιητὴν τοῦ Παντός; ὄντως ἐκπλήττει νοῦν καὶ διάνοιαν, ἡ ὑπὲρ λόγον κυοφορία σου. ὢ Παμμακάριστε, Θεοτόκε Ἄχραντε. διὸ αὐτὸν, πάντοτε ἱκέτευε, τοῦ ἐλεῆσαι ἡμᾶς.

Χαῖρε φωτὸς θείου ὄχημα, φαεινοτάτη λαμπὰς, καὶ σκηνὴ ἁγιάσματος, φῶς ἡμῖν ἀνέτειλεν, ἐξ ἀχράντου νηδύος σου, καταφωτίζον Κόσμου τὰ πέρατα, καὶ ἁγιάζον τῇ σῇ χρηστότητι. χαῖρε κεφάλαιον σωτηρίας ἄχραντε· χαῖρε φρικτὸν, ἄκουσμα καὶ λάλημα, τῶν πεποιθότων εἰς σέ.

Χαῖρε Παρθένε πανάμωμε· χαῖρε ζωῆς θησαυρέ· χαῖρε ὄρος κατάσκιον· χαῖρε στύλε πύρινε, καὶ νεφέλη ὑπέρφωτε. παντὸς ῥυπώδους, χαῖρε καθάρσιον· παντὸς θρηνώδους, χαῖρε καθαίρεσις· χαῖρε ἀνύμφευτε· χαῖρε Μήτηρ Ἄχραντε, χαῖρε φλογμὸν, σβέσασα τῷ τόκῳ σου· χαῖρε ἡ πάντων ἐλπίς.

# ἈΚΟΛΟΥΘΙ͂Α ΤΗ͂Σ ὍΛΗΣ ἙΒΔΟΜΆΔΟΣ,

## ΨΑΛΛΟΜΈΝΗ ἈΝΤῚ ΤΗ͂Σ ΠΑΡΑΚΛΗΤΙΚΗ͂Σ.

### ΤΗ͂͂Ι ΚΥΡΙΑΚΗ͂͂Ι ἙΣΠΈΡΑΣ.

Εἰς τὸν στίχον στιχηρὰ Κατανυκτικά. ἦχος α᾽.

Ὅτι τὸ πέλαγος πολὺ, τῶν παραπτωμάτων μου Σωτὴρ, καὶ δεινῶς βεβύθισμαι ταῖς πλημμελείαις μου· δός μοι χεῖρα σῶσόν με, ὡς τῷ Πέτρῳ ὁ Θεὸς, καὶ ἐλέησόν με.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου.

Ὅτι ἐννοίαις πονηραῖς, καὶ ἔργοις καταδεδίκασμαι Σωτὴρ, λογισμόν μοι δώρησαι, ἐπιστροφῆς ὁ Θεός. ἵνα κράζω· σῶσόν με, εὐεργέτα ἀγαθὲ, καὶ ἐλέησόν με.

Στίχ. Ἐλέησον ἡμᾶς Κύριε.

Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν· καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος Οἰκτίρμων.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Αὐτόμελον.

Τῶν Οὐρανίων Ταγμάτων τὸ ἀγαλλίαμα, τῶν ἐπὶ γῆς ἀνθρώπων, κραταιὰ προστασία· Ἄχραντε Παρθένε, σῶσον ἡμᾶς, τοὺς εἰς σὲ καταφεύγοντας, ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεὸν, Θεοτόκε ἀνεθέμεθα.

Τῇ Δευτέρᾳ εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη στιχολογίαν Καθίσματα, ἦχος α᾽.

Ἐν ἀνομίαις συλληφθεὶς ἐγὼ ὁ ἄσωτος, οὐ τολμῶ ἀτενίσαι εἰς τὸ ὕψος τοῦ Οὐρανοῦ. ἀλλὰ θαῤῥῶν εἰς τὴν φιλανθρωπίαν σου, κράζω· ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με.

Εἰ ὁ δίκαιος μόλις σώζεται, ἐγὼ ποῦ φανοῦμαι ὁ ἁμαρτωλός; τὸ βάρος καὶ τὸν καύσωνα τῆς ἡμέρας οὐκ ἐβάστασα. τοῖς περὶ τὴν ἑνδεκάτην ὥραν, συναρίθμησόν με ὁ Θεὸς, καὶ σῶσόν με.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἄχραντε Θεοτόκε, ἡ ἐν Οὐρανοῖς εὐλογημένη, καὶ ἐπὶ γῆς δοξολογουμένη. χαῖρε Νύμφη ἀνύμφευτε.

Μετὰ τὴν β᾽. στιχολογ. Καθίσμ. Κατανυκτικά. ἦχος α᾽.

Τὸν τάφον σου Σωτήρ.

Ἀγκάλας πατρικὰς, διανοῖξαί μοι σπεῦσον· ἀσώτως τὸν ἐμὸν, κατηνάλωσα βίον. εἰς πλοῦτον ἀδαπάνητον, ἀφορῶν τῶν οἰκτιρμῶν σου Σωτὴρ, νῦν πτωχεύουσαν, μὴ ὑπερίδῃς καρδίαν. σοὶ γὰρ Κύριε, ἐν κατανύξει κραυγάζω· ἥμαρτον Πάτερ εἰς τὸν Οὐρανὸν καὶ ἐνώπιόν σου.

Τὸ βῆμά σου φρικτὸν, καὶ ἡ Κρίσις δικαία· τὰ ἔργα μου δεινά· ἀλλ᾽ αὐτὸς Ἐλεῆμον, προφθάσας με, διάσωσον, καὶ κολάσεως λύτρωσαι. ῥῦσαι Δέσποτα, τῆς τῶν ἐρίφων μερίδος, καὶ ἀξίωσον, ἐκ δεξιῶν σου με στῆναι, Κριτὰ δικαιότατε.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Κυβέρνησον Ἁγνὴ, τὴν ἀθλίαν ψυχήν μου· καὶ οἴκτειρον αὐτὴν, ὑπὸ πλήθους πταισμάτων, βυθῷ ὀλισθαίνουσαν, ἀπωλείας πανάμωμε. καὶ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, ἐλευθέρωσον, κατηγορούντων δαιμόνων, φρικτῆς ἀποφάσεως.

Δημοσια Κεντρικη Βιβλιοθηκη Βεροιας

Τῇ β΄. Κανὼν Κατανυκτικός.

Ποίημα τοῦ Κυρίου Ἰωσήφ. οὗ ἡ ἀκροστιχίς.

Τῶν πταισμάτων με τὸν ῥύπον πλῦνον Λόγε.

Ἰωσήφ. Ὠδὴ α΄. ἦχος α΄. Ὁ Εἱρμός.

ΣΟῦ ἡ τροπαιοῦχος δεξιά, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται. αὕτη γὰρ Ἀθάνατε, ὡς παντοδύναμος ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις ὁδὸν βυθοῦ καινουργήσασα.

Τροπάριον.

ΤΩν ἁμαρτιῶν μου τὸ πλῆθος, κατὰ τὸ πλῆθος Χριστὲ τοῦ ἐλέους σου, δέομαι ἐξάλειψον, καὶ λογισμὸν ἐπιστροφῆς μοι δώρησαι· ὅπως σε δοξάζω τὴν ὑπὲρ νοῦν ἀγαθότητα.

ὮΦθης διὰ σπλάγχνα οἰκτιρμῶν, ἐπὶ τῆς γῆς σωματούμενος Ἄνθρωπος. ὅθεν ὑπὲρ ἄνθρωπον, Λόγε Θεοῦ ἡμαρτηκότα δέξαι με, νῦν ἐν μετανοίᾳ, τοῖς οἰκτιρμοῖς σου προσπίπτοντα.

Μαρτυρικά.

ΝΕκρωσιν μιμούμενοι Χριστοῦ, τοῦ ἑκουσίως παθόντος καὶ θάνατον, πάθη ὑπεμείνατε, πολυειδῆ καὶ θάνατον Ἀοίδιμοι· ὅθεν ἀθανάτου ζωῆς ἐτύχετε Μάρτυρες.

ΠΥρ ἔνδον ἀγάπης θεϊκῆς, περιφανῶς περιφέροντες Μάρτυρες, πῦρ οὐκ ἐπτοήθητε· ἀλλὰ θερμαῖς τῶν πόνων ἐπιδόσεσι, τῆς πολυθεΐας τὴν ὕλην πᾶσαν ἐφλέξατε.

Θεοτοκίον.

ΤΑξεις Ἀσωμάτων σὺν ἡμῖν, σὲ ἀνυμνοῦσι Παρθένε Πανύμνητε. τὸν γὰρ ἀπερίληπτον, ἐν σῇ γαστρὶ σωματωθέντα τέτοκας, μείναντα Παρθένος, ὡς πρὸ τοῦ τόκου Θεόνυμφε.

Ἕτερος Κανὼν τῶν Ἀσωμάτων. οὗ ἡ ἀκροστιχίς.

Θεοφανοῦς ὁ πρῶτος Ἀγγέλων ὕμνος.

Σοῦ ἡ τροπαιοῦχος δεξιά.

ΘΡόνῳ παριστάμενοι φαιδρῶς, τῷ τοῦ Δεσπότου πανάγιοι Ἄγγελοι, τὸν Πατρὶ συνάναρχον, καὶ τῆς αὐτοῦ μεγάλης βουλῆς Ἄγγελον, λόγον μοι ἐμπνεῦσαι, ὑμᾶς ὑμνοῦντι πρεσβεύσατε.

ἘΣοπτρα Φωτὸς θεαρχικοῦ, καὶ Τρισηλίου λαμπάδος τὴν ἔλλαμψιν, πᾶσαν εἰσδεχόμενα, ὡς ἐφικτὸν τὰ τῶν Ἀγγέλων τάγματα, πρῶτον ἐννοήσας, ὁ Νοῦς ὁ θεῖος ὑπέστησεν.

Θεοτοκίον.

ὉΔιακοσμήσας ὡς Θεός, ταξιαρχίας τῶν ἄνω Δυνάμεων, μήτραν ἀπειρόγαμον, τῶν Σεραφὶμ ὑψηλοτέραν ᾤκησε, τὴν σὴν Θεοτόκε, καὶ σὰρξ ἀτρέπτως ἐγένετο.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

ὉΜόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ Ναὸς ὁ ἔμψυχος, τῆς ἀχράντου σου δόξης Φιλάνθρωπε.

Τροπάριον.

ἈΝάνηψον δεῦρο ὦ ψυχή, καὶ βόησον τῷ Κτίστῃ σου, τῷ τὰ κρυπτά σου πάντα γινώσκοντι· καὶ μετανοίας καρποὺς ἐπίδειξαι· ὅπως ἐλεήσῃ σε ὁ οἰκτίρμων Κύριος, καὶ πυρὸς αἰωνίου λυτρώσηται.

ἸΛάσθητι μόνε Ἀγαθέ, ἱλάσθητι καὶ σῶσόν με, ὡς ὁ Τελώνης φόβῳ κραυγάζω σοι· ἐσμὸν πταισμάτων ἐπισυρόμενος, καὶ κατακαμπτόμενος, βάρει παραπτώσεων, καὶ αἰσχύνης ἀμέτρου πληρούμενος.

Μαρτυρικά.

ΣΟφίᾳ καὶ γνώσει ἀληθεῖ, οἱ Μάρτυρες πληρούμενοι, ἑλληνικὴν σοφίαν ἐμώραναν, τὸν σοφιστὴν τε κακίας ὤλεσαν, καὶ στερρῶς ἀθλήσαντες, ἐπαξίως ἔλαβον, τοὺς τῆς νίκης στεφάνους γηθόμενοι.

ΜΟνάδα μὲν φύσει Ἀθληταί, Τριάδα τοῖς προσώποις τε, ὁμολογοῦντες πλάνην πολύθεον, τῇ θείᾳ πίστει ἐξηφανίσατε· καὶ φωστῆρες ὤφθητε, πάντων καταυγάζοντες, τὰς καρδίας ἀκτῖσι τῆς χάριτος.

Θεοτοκίον.

ἉΓία Θεόνυμφε Ἁγνή, ἁγίως ἀπεκύησας, τὸν ἐν Ἁγίοις ἀναπαυόμενον, Υἱὸν καὶ Λόγον Πατρὶ συνάναρχον, τὸν καθαγιάζοντα, ἐν Ἁγίῳ Πνεύματι, τοὺς αὐτὸν εὐσεβῶς ἁγιάζοντας.

Εἱρμὸς ὁ αὐτός.

ΦΩτὶ θεουργῷ τὰ Σεραφίμ, ἀμέσως πλησιάζοντα, καὶ πολλαχῶς αὐτοῦ ἐμπιπλάμενα, ταῖς πρωτοδότοις σαφῶς ἐλλάμψεσι, πρωτουργῶς λαμπρύνονται, καὶ ὡς φῶτα δεύτερα, χρηματίζουσι θέσει θεούμενα.

ἈΓγέλων λαμπρότητας ὑμνεῖν, προθύμως ἐφιέμενοι, τὴν δι' αὐτῶν θεόθεν βοήθειαν, χορηγουμένην πιστοὶ αἰτήσωμεν, νοὸς καθαρότητι, καὶ παναγνοῖς στόμασι· καὶ ταξώμεθα τύπων τὴν ἔλλαμψιν.

Θεοτοκίον.

ΝΟῦν τὸν ὑπερούσιον ἰδεῖν, ὡς θέμις ἀξιούμενος, ὁ Γαβριὴλ Παρθένε πανάμωμε, περιχαρῆ σοι φωνὴν ἐκόμισε, τὴν τοῦ Λόγου σύλληψιν, ἐμφανῶς μηνύσασαν, καὶ τὸν ἄφραστον τόκον κηρύττουσαν.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

ὌΡοσε τῇ χάριτι τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀββακούμ, κατανοήσας ὀφθαλμοῖς, ἐκ σοῦ ἐξελεύσεσθαι, τοῦ Ἰσραὴλ προανεφώνει τὸν Ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Τροπάριον.

ΤΙνι σε ψυχή μου ὁμοιώσω ταλαίπωρε, ἐργαζομένην τὰ δεινά, καὶ μὴ ποιοῦσαν τὰ καλά; ἐπίστρεψον βόησον, τῷ διὰ σὲ ἐθελουσίως πτωχεύσαντι· Καρδιογνῶστα οἰκτείρησον σῶσόν με.

ὨΡισας μετάνοιαν Σωτὴρ ἐπιστρέφουσιν· ἣν μοι παράσχου ἀγαθέ, πρὸ τῆς τοῦ βίου τελευτῆς, διδοὺς μοι κατάνυξιν, καὶ στεναγμόν, ὥσπερ τῇ Πόρνῃ τὸ πρότερον, καταφιλέσῃ τὰ ἴχνη σου Δέσποτα.

Μαρτυρικά.

ΝΑμάτων τοῦ Πνεύματος πλησθέντες οἱ Μάρτυρες, ὕδατος ζῶντος ποταμοί, ὤφθησαν νεύσει θεϊκῇ, καὶ πλάνης ἐξήραναν, τοὺς θολεροὺς Χριστὲ χειμάρρους ἐν Πνεύματι· καὶ τῶν πιστῶν διανοίας κατήρδευσαν.

ΜΕγάλως οἱ θεῖοι ἠγωνίσαντο Μάρτυρες· πῦρ γὰρ καὶ ξίφος καὶ δεινὴν, πᾶσαν ὑπήνεγκαν ποινήν. αὐτῶν παρακλήσεσι, Λόγε Θεοῦ, μεγίστης ῥῦσαι κολάσεως, καὶ αἰωνίου τοὺς πίστει ὑμνοῦντάς σε.

Θεοτοκίον.

ὉΠάλαι Πατρὸς ἐξ ἀγεννήτου Υἱὸς γεννηθείς, γέννησιν ἔσχε χρονικήν, ἐκ σοῦ Παρθένε γεννηθείς· τὸν χρόνιον πόλεμον, τῶν γηγενῶν ἐξᾶραι θέλων ὡς εὔσπλαγχνος, ὁ ἡμερῶν τε καὶ χρόνων ἐπέκεινα.

Εἱρμὸς ὁ αὐτός.

ΟἹ Θρόνοι τὸν πρῶτον συμπληροῦντες διάκοσμον, καὶ Χερουβὶμ καὶ Σεραφίμ, ταῖς τῆς Θεότητος αὐγαῖς, ἀμέσως ἐλλάμπονται, θεουργικαῖς Ἱεραρχίαις δεχόμενοι, νῦν μελῳδοῦσι· δόξα τῇ δυνάμει σου Κύριε.

ὙΜνοῦσι τρισάριθμον Μονάδα Θεότητος, τριαδικοῖς ἁγιασμοῖς, ἀκαταπαύστοις ἐν φωναῖς, τρανοῦντα τὸ ἄχραντον, τὰ Σεραφὶμ Θεολογίας Μυστήριον, καὶ τὴν ὀρθόδοξον Πίστιν διδάσκοντα.

ΣΟφίας τὴν χύσιν, καὶ τὸ πλάτος τῆς γνώσεως, τῆς ἑνιαίας καὶ ἁπλῆς, αὐτοσοφίας ἀληθῶς,

Χερου-

Χερουβὶμ δεχόμενα, τοῖς ἐφ' ἑξῆς θεομιμήτως παρέχουσι, διαπορθμεύοντα τούτοις τὴν ἔλλαμψιν.

Θεοτοκίον.

Ὁ Πάσης ἐπέκεινα νοούμενος Κτίσεως, τῆς ὑπὲρ νοῦν ζωαρχικῆς, ζωοπλαστείας ἀληθῶς ἐκτελῶν τεράστια, παρθενικαῖς ἠγλαϊσμένην φαιδρότησι, τὴν σὴν γαστέρα, κατῴκησεν Ἄχραντε.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ὁ Φωτίσας τῇ ἐλλάμψει τῆς σῆς παρουσίας Χριστέ, καὶ φαιδρύνας τῷ Σταυρῷ σου, τοῦ Κόσμου τὰ πέρατα· τὰς καρδίας φώτισον φωτί, τῆς σῆς θεογνωσίας, τῶν ὀρθοδόξως ὑμνούντων σε.

Τροπάρια.

Ὑπέπεσα τῶν παθῶν τῇ φθορᾷ, καὶ πτοοῦμαί σου τὸ δίκαιον, δικαστήριον δίκαιε Κύριε. διὸ ἱκετεύω σε, ἐνίσχυσόν με τοῦ ποιῆσαι, πράξεις καλὰς δικαιώσας με.

Τὰ ἄδηλα καὶ τὰ κρύφια σὺ τῆς καρδίας μου, ἐπίστασαι ὁ Θεός μου, καὶ Πλάστης καὶ Κύριος. μὴ οὖν κατακρίνῃς με ἐν ὥρᾳ κρίσεως, ἡνίκα ἔρχῃ τοῦ κρῖναι τὰ σύμπαντα.

Μαρτυρικά.

Οἱ Ἅγιοι ὁμιλοῦντες πυρὶ τὸ διάπυρον, ἐδείκνυον τῆς ἐνθέου αὐτῶν ἀγαπήσεως· ὅθεν δροσιζόμενοι, τῇ προσδοκίᾳ τῶν μελλόντων, οἱ θεοφόροι ἐμφρόνως ἠγάλλοντο.

Νευρούμενοι ἀγαθῶν τῇ ἐλπίδι οἱ Μάρτυρες, ὑπέφερον παραγμοὺς τῶν μελῶν καρτερώτατα, καὶ τὸν πολυμήχανον, νεκροῖς τῆς τούτων ἀνενδότου ὑπομονῆς ἐναπέπνιξαν.

Θεοτοκίον.

Ῥητορεῦον οὐ δυνήσεται στόμα τοῦ τόκου σου, τὸ ἄρρητον διηγήσασθαι, θαῦμα Θεόνυμφε. τὸν γὰρ ἀνερμήνευτον τίκτεις, καὶ φέρεις ἐν ἀγκάλαις, χειρὶ κρατοῦντα τὰ σύμπαντα.

Εἱρμός, ὁ αὐτός.

Πόθῳ θείῳ πυρπολούμεναι αἱ Κυριότητες, Ἐξουσίαι, αἱ Δυνάμεις, αἱ τάξεις αἱ δεύτεραι, ἀσιγήτοις στόμασι, θεαρχικὴν ὑμνολογοῦσι, μίαν οὐσίαν καὶ δύναμιν.

Ῥυθμίζονται Ἀρχαγγέλων αἱ τάξεις τῷ Πνεύματι, καὶ Ἀγγέλων καὶ Ἀρχῶν σὺν ἀπείροις στρατεύμασι, μίαν Τρισυπόστατον, φωτιστικὴν Οὐσίαν σέβειν, περιφανῶς διδασκόμεναι.

Θεοτοκίον.

Ὡραιώθης ὑπὲρ πᾶσαν Ἀγγέλων εὐπρέπειαν· τὸν γὰρ τούτων Ποιητὴν συλλαβοῦσα καὶ Κύριον, Θεομῆτορ Ἄχραντε, σωματωθέντα ἀπορρήτως, ἐκ σῶν αἱμάτων ἐκύησας.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος, οὐκ ἔστιν ὁ ῥυόμενος· ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν. σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων καὶ ἐπανόρθωσις.

Τροπάριον.

Ὑπάρχων Ἰατρὸς Χριστὲ ἰάτρευσον, τὰ πάθη τῆς καρδίας μου· καὶ ἀπόπλυνον παντός με μολυσμοῦ, ῥείθροις Ἰησοῦ μου κατανύξεως· ἵνα ὑμνῶ καὶ μεγαλύνω τὴν εὐσπλαγχνίαν σου.

Πλανώμενον ὁδοῖς τῆς ἀπωλείας με, καὶ βόθροις παραπτώσεων, περιπίπτοντα ἐπίστρεψον Χριστέ· καὶ πρὸς ἀπλανεῖς τρίβους εἰσάγαγε, σοῦ τῶν σεπτῶν δικαιωμάτων ἵνα δοξάζω σε.

Μαρτυρικά.

Οἱ λίθοι ἀληθῶς οἱ πολυτίμητοι, τοῖς λίθοις συγχωννύμενοι, οὐκ ἠρνήσαντο τὴν πέτραν τῆς ζωῆς, οὐδὲ τοῖς γλυπτοῖς λίθοις ἐπέθυσαν, οἱ εὐκλεεῖς, καὶ στεφηφόροι Κυρίου Μάρτυρες.

Νεκρώσαντες ψυχὰς ἀρότρῳ Πίστεως, τὸν ἄσταχυν οἱ Μάρτυρες, τῆς ἀθλήσεως ἐν Πνεύματι Θεοῦ, τὸν ἑκατοστεύοντα ἠξιώθησαν, καὶ τῆς τρυφῆς τῆς μακαρίας κατηξιώθησαν.

Θεοτοκίον.

Πτερύγων Λειτουργῶν τὸ πῦρ κυήσασα, ἐφάνης παναμώμητος· καὶ τῆς Κτίσεως ἁπάσης πρωτεργός, Πάναγνε Παρθένε ὑπερέχουσα, ἐν γυναιξὶν εὐλογημένη Θεοχαρίτωτε.

Εἱρμός, ὁ αὐτός.

Τὰ Τάγματα τῶν Ἀσωμάτων Κύριε, τῷ θρόνῳ παριστάμενα, τῷ τῆς δόξης σου φωναῖς Ἀγγελικαῖς, ταῖς ἀκαταπαύστοις σε γεραίρουσι. σὺ γὰρ ἰσχύς, τούτων ὑπάρχεις Χριστὲ καὶ ὕμνησις.

Οἱ πρόσωπον τὸ σὸν ὁρῶντες Ἄγγελοι, τὸ κάλλος τὸ ἀμήχανον, τὴν ὑπέρθεον εὐπρέπειαν τῆς σῆς, θείας ἀγλαΐας ἐκλαμπρύνονται. σὺ γὰρ ἰσχύς, τούτων ὑπάρχεις, καὶ ἀγαλλίαμα.

Θεοτοκίον.

Σεσάρκωται ὁ πρὶν ὑπάρχων ἄσαρκος, ὁ Λόγος ἐκ σοῦ Πάναγνε, ὁ τὰ σύμπαντα βουλήματι ποιῶν· ὁ τῶν Ἀσωμάτων τὰ στρατεύματα, παραγαγὼν ἐκ τοῦ μὴ ὄντος, ὡς Παντοδύναμος.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Σὲ νοητὴν Θεοτόκε κάμινον, κατανοοῦμεν οἱ πιστοί. ὡς γὰρ Παῖδας ἔσωσε τρεῖς ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον ἐν τῇ γαστρί σου ἀνέπλασεν· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Λέοντας πρὶν Δανιὴλ ἐφίμωσε, σιώοικον ἔχων ἀρετήν· τοῦτον ζήλωσον ὦ ψυχή, καὶ τὸν ὠρυόμενον πάντοτε ὡς λέοντα, καὶ συλλαβεῖν σε βουλόμενον, τῇ πρὸς Θεὸν ἀνανεύσει ἀεὶ ἄπρακτον ποίησον.

Ὑπερβολῇ ἀσωτείας Κύριε, ψυχὴν ἐρρύπωσα δεινῶς· ὑπερβάλλουσαν οὖν Χριστὲ ἔχων ἀγαθότητα, δέξαι ὡς τὸν Ἄσωτον, καὶ μελῳδοῦντά με οἴκτειρον· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Μαρτυρικά.

Νόμῳ Χριστοῦ ἐνθέως ῥωννύμενοι, τῶν ἀνομούντων τὰς βουλάς, ἐξηφάνισαν ἀνδρικῶς οἱ ἀκαταγώνιστοι, Μάρτυρες νομίμως τε, τελειωθέντες ἀνέμελπον· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Οἱ θεαυγεῖς τοῦ Κυρίου Μάρτυρες, πεπυρσευμένοι τῷ φωτί, τῆς Τριάδος περιφανῶς· σκότος τῶν κολάσεων, πλάνης τὴν ὁμίχλην τε, διεληλύθατε μέλποντες· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Θεοτοκίον.

Νόμοι ἐν σοὶ φύσεως καινίζονται· τὸν νομοδότην γὰρ Χριστόν, δίχα νόμων τῶν σαρκικῶν, τίκτεις Παναμώμητε, πᾶσιν ἀπολύτρωσιν νομοθετοῦντα τοῖς μέλπουσιν· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Εἱρμός, ὁ αὐτός.

Ἄναρχον φῶς σὺ ὑπάρχεις Δέσποτα, φωτὸς ἐκλάμψαν ἐκ Πατρός· τῶν Ἀγγέλων τὰς στρατιὰς φῶτα κατεσκεύασας, ἔσοπτρα δεχόμενα, τὴν ἀστραπήν σου τὴν ἄδυτον· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Γένος βροτῶν ὁ τῶν ὅλων Κύριος, ἐπιστασίαις ἐμφανῶς περισώζεις Ἀγγελικαῖς. τούτους γὰρ ἐπέστησας πᾶσι τοῖς πιστεύουσι, καὶ ὀρθοδόξως ὑμνοῦσί σε τὸν αἰνετὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Γλῶσσα καὶ νοῦς, οὐκ ἰσχύει Δέσποτα, τῶν σῶν θαυμάτων ἐξειπεῖν, καὶ τῶν ἔργων τὸ εὐπρεπές. σὺ γὰρ κατηγλάϊσας, πᾶσαν διακόσμησιν, τῶν οὐρα-



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

υἱῶν Δυνάμεων· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Θεοτοκίον.

Ἐκ σοῦ Σεμνή, ὁ Υἱὸς σεσάρκωται, ὁ πρὶν Ἀμήτωρ ἐκ Πατρός, καὶ Ἀπάτωρ τὸ καθ' ἡμᾶς, δι' ἡμᾶς γενόμενος· ᾧ καὶ νῦν λατρεύουσι, τῶν Ἀσωμάτων αἱ φάλαγγες, ὡς αἰνετὸν τῶν Πατέρων, Θεὸν καὶ ὑπερένδοξον.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Ἐν καμίνῳ Παῖδες Ἰσραήλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Τροπάριον.

Λύτρωσαί με εὔσπλαγχνε Χριστέ, τῆς νῦν με κατεχούσης, ὁμίχλης ἁμαρτιῶν τε, καὶ παντοίων πειρασμῶν, λύτρωσαι κραυγάζοντα· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Ὅταν μέλλῃς ἔρχεσθαι Χριστέ, ἐν δόξῃ κρῖναι Κόσμον, τῇ στάσει τῶν ἐκλεκτῶν σου, συναρίθμητον κἀμέ, βοῶντα καὶ λέγοντα· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Μαρτυρικά.

Γῆς Ἁγίας Μάρτυρες σοφοὶ ἐπέβητε· ἐν γῇ γάρ, μεγάλως ἀγωνισάμενοι, οὐράνιον ζωὴν εἰλήφατε μέλποντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Ἐκδυθέντες σῶμα τὸ φθαρτόν, στολὴν ἀθανασίας, ὡς Μάρτυρες νικηφόροι, ἐπενδύσασθε Χριστῷ, ἐξ ὕψους κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Θεοτοκίον.

Ἱεραί σε πόρρωθεν φωναί, γενήσεσθαι Μητέρα, τοῦ πάντα τεκτηναμένου, προκατήγγειλαν Θεοῦ· ᾧ μέλπομεν Ἄχραντε· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Εἱρμός, ὁ αὐτός.

Λαμπομένας καὶ πλησιφαεῖς, Ἀγγέλων στρατηγίας, ἀκτῖσι τῆς τρισηλίου, ὡραιότητος πιστοί, μιμούμενοι μέλψωμεν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε.

Ὡς πηγαία πάντων τῶν καλῶν, ἡ Θεαρχικωτάτη, παράγει θείᾳ δυνάμει, φῶτα δεύτερα τὸ φῶς, τὸ πρῶτον δεχόμενα, καὶ βοῶντα· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Νοῦς ὁ πρῶτος καὶ Δημιουργός, ὑπερκοσμίους Νόας, Ἀγγέλων ὑπερουσίως, ὑπεστήσατο αὐτῷ, σαφῶς πλησιάζοντας καὶ βοῶντας· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὑπὲρ λόγον τὸν ἐκ τοῦ Πατρός, τεχθέντα πρὸ αἰώνων, ἀφράστως σεσαρκωμένον, ἀπεγέννησας ἡμῖν, Παρθένε Πανάμωμε, ᾧ βοῶμεν· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Τύπον τῆς Ἁγνῆς λοχείας σου, πυρπολουμένη βάτος, ἔδειξεν ἄφλεκτος· καὶ νῦν καθ' ἡμῶν τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον· ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν.

Τροπάριον.

Ὥσπερ Χαναναία κράζω σοι· ἐλέησόν με Λόγε. ψυχὴν γὰρ κέκτημαι, ταῖς δαιμονικαῖς ἐπιφοραῖς κινδυνεύουσαν, καὶ ἀφρόνως τὰ ἄθεσμα πράττουσαν· καὶ μὴ αἰσθανομένην, τοῦ θείου φόβου σου Μακρόθυμε.

Στῆσον ἐπὶ πέτραν Κύριε, τὰς τῆς ψυχῆς μου βάσεις, τῶν προσταγμάτων σου· καὶ τὸν ἀναιδῶς ὑποσκελίζειν με θέλοντα, ὑποσκέλισον ὄφιν καὶ ῥῦσαί με, τῆς τούτου κακουργίας, ὡς ἀγαθὸς καὶ πολυέλεος.

Μαρτυρικά.

Ἤδη παρελθόντες Μάρτυρες, τῶν πειρασμῶν τὸ ὕδωρ, τὸ ἀνυπόστατον, καὶ τῶν αἰκισμῶν τῶν χαλεπῶν τὸ κλυδώνιον, πρὸς λιμένα σαφῶς κατηντήσατε, τῆς ἄνω Βασιλείας, θείας γαλήνης ἀπολαύοντες.

Φέγγους ἀνεσπέρου Μάρτυρες, φωτοειδεῖς γενόμενοι ἠξιώθητε· καὶ ἐν Ἐκκλησίᾳ πρωτοτόκων εὐφραίνεσθε, καὶ Ἀγγέλων χοροῖς συναγάλλεσθε· μεθ' ὧν τὸν Ζωοδότην, ὑπὲρ ἡμῶν καθικετεύσατε.

Θεοτοκίον.

Φέρεις τὸν τὰ πάντα φέροντα, καὶ γαλουχεῖς τὸν πᾶσι, τροφὴν παρέχοντα. μέγα καὶ φρικτόν, τὸ ὑπὲρ νοῦν σου Μυστήριον, Κιβωτὲ τοῦ σεπτοῦ ἁγιάσματος, Παρθένε Θεοτόκε. ὅθεν σε πίστει μακαρίζομεν.

Εἱρμός, ὁ αὐτός.

Μύστας τῆς ἀρρήτου δόξης σου, τοὺς Ἀσωμάτους Νόας Σῶτερ ὑπέστησας· καὶ νῦν δι' αὐτῶν, τὸν σὸν Λαὸν διαφύλαξον, τὸν σοὶ πίστει καὶ πόθῳ προσφεύγοντα. ἵνα σε τὸν Δεσπότην, ἀκαταπαύστως μεγαλύνωμεν.

Νέμεις τῆς εἰρήνης Ἄγγελον, περιφρουροῦντα Παντοκράτορ τὴν ποίμνην σου· τῆς εἰρήνης γάρ, καὶ τῆς ἀγάπης σὺ αἴτιος, καὶ τὴν ἔμφρονα Πίστιν φυλάττοντα· καὶ πάσας τὰς αἱρέσεις, τῇ σῇ δυνάμει καταλύοντα.

Ὅλος γλυκασμὸς ὑμνούμενος, τῶν οὐρανίων τὴν γλυκεῖαν φαιδρότητα, καταφύτευσον ἐν Ἐκκλησίαις σου Δέσποτα· καὶ τὴν εὔτακτον δίδου κατάστασιν· ἵνα σε τὸν Σωτῆρα, ἀκαταπαύστως μεγαλύνωμεν.

Θεοτοκίον.

Στίφη τῶν Ἀγγέλων Πάναγνε, νῦν ἀσιγήτως τὸν σὸν Τόκον γεραίρουσι· ταῖς γὰρ τάξεσιν ἐπιστατοῦντα θεώμενοι, τῆς αὐτῶν θυμηδίας ἐμπίπλανται· καὶ σὲ τὴν Θεοτόκον, ἀκαταπαύστως μεγαλύνουσιν.

Εἰς τοὺς στίχους τῶν Αἴνων, στιχηρὰ Κατανυκτικά. Ἦχος α΄.

Ἄλλος σε Κόσμος ψυχὴ ἀναμένει, καὶ Κριτὴς τὰ σὰ μέλλων δημοσιεύειν κρυπτὰ καὶ δεινά. μὴ οὖν ἐμμείνῃς τοῖς ὧδε, ἀλλὰ πρόφθασον βοῶσα τῷ Κριτῇ· ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Μὴ ἀποδοκιμάσῃς με Σωτήρ μου, τῇ ῥαθυμίᾳ τῆς ἁμαρτίας συνεχόμενον· διέγειρόν μου τὸν λογισμὸν πρὸς μετάνοιαν, καὶ τοῦ σοῦ ἀμπελῶνος ἐργάτην δόκιμον ἀνάδειξόν με· δωρούμενός μοι τῆς ἑνδεκάτης ὥρας τὸν μισθόν, καὶ τὸ μέγα ἔλεος.

Μαρτυρικόν.

Τοὺς Ἀθλοφόρους τοῦ Χριστοῦ, δεῦτε λαοὶ ἅπαντες τιμήσωμεν, ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς· τοὺς Φωστῆρας τοῦ Κόσμου, καὶ Κήρυκας τῆς Πίστεως, τὴν πηγὴν τὴν ἀέναον, ἐξ ἧς ἀναβλύζει τοῖς πιστοῖς τὰ ἰάματα. αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ Κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τῶν Οὐρανίων ταγμάτων.

Ἁγιωτέρα Ἁγίων πασῶν Δυνάμεων, τιμιωτέρα πάσης, Κτίσεως Θεοτόκε. Δέσποινα τοῦ Κόσμου, σῶσον ἡμᾶς, τὸν Σωτῆρα κυήσασα, ἀπὸ πταισμάτων μυρίων ὡς Ἀγαθή, καὶ κινδύνων ταῖς πρεσβείαις σου.

## ΤΗ͂Ι ΔΕΥΤΕ΄ΡΑι ἙΣΠΕ΄ΡΑΣ.

Εἰς τὸν στίχον, στιχηρὰ Κατανυκτικά. ἦχος β΄.

Η῞Μαρτον εἰς σὲ Σωτήρ, ὡς ὁ Ἄσωτος Υἱός· δέξαι με Πάτερ μετανοοῦντα, καὶ ἐλέησόν με ὁ Θεός.

Κ Ράζω σοι Χριστὲ Σωτήρ, τοῦ Τελώνου τὴν φωνήν· ἱλάσθητί μοι ὥσπερ ἐκείνῳ, καὶ ἐλέησόν με ὁ Θεός.

Μαρτυρικόν.

ΤΩ͂ν Ἁγίων Μαρτύρων πρεσβευόντων ὑπὲρ ἡμῶν, καὶ τὸν Χριστὸν ὑμνούντων, πᾶσα πλάνη πέπαυται· καὶ τῶν ἀνθρώπων τὸ γένος πίστει διασῴζεται.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΤΗ'ν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Τῇ Τρίτῃ εἰς τὸν Ὄρθρον, μετὰ τὴν α΄. στιχολογ. Καθίσμ. Κατανυκτικά. ἦχος β΄.

Ἔ'Ννοοῦσα ψυχή μου τῆς φρικτῆς ἡμέρας τὴν ἔτασιν, τρόμαξον τὴν ἀνταπόδοσιν τῆς αἰωνίου κολάσεως, καὶ ἐν μετανοίᾳ βόησον δακρύουσα· ὁ Θεὸς ἥμαρτον ἐλέησόν με.

Ἐ'Ρευνῶμεν τὸ συνειδὸς τὸ κατάκριτον, δειλιῶ σου τὸ φοβερὸν δικαστήριον Κύριε, ὅτι οὐκ ἔστι μοι ἐξ ἔργων σωτηρία· ἀλλ' ὡς ἔχων τὸν πλοῦτον τῆς εὐσπλαγχνίας, οἰκτείρησόν με Χριστὲ ὁ Θεός, καὶ σῶσόν με.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΣΕ' μεγαλύνομεν Θεοτόκε βοῶντες· χαῖρε ἡ ῥάβδος, ἐξ ἧς ἀσπόρως Θεὸς βλαστήσας, ἀνεῖλεν ἐν ξύλῳ τὸν θάνατον.

Μετὰ τὴν β΄. στιχολογίαν Καθίσματα Κατανυκτικά.

Ἐ'Λέησόν με εἶπεν ὁ Δαβίδ· κἀγώ σοι κράζω ἥμαρτον Σωτήρ. τὰς ἐμὰς ἁμαρτίας διὰ τῆς μετανοίας, ἐξαλείψας ἐλέησόν με.

Ἐ'Λέησόν με ὁ Θεός, ἐλέησόν με, ἐπὶ δυσὶν ἁμαρτήμασιν ὁ Δαβὶδ ἐθρήνει· ἐπὶ μυρίοις ἐγὼ πλημμελήμασι βοῶ σοι. ἐκεῖνος τὴν στρωμνὴν τοῖς δάκρυσιν ἔβρεχεν· ἐγὼ δὲ ῥανίδα μίαν οὐ κέκτημαι. ἀπέγνωσμαι, καὶ δέομαι, ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα σου ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΘΕοτόκε μὴ παρίδῃς με, δεόμενον ἀντιλήψεως τῆς παρὰ σοῦ. ἐπὶ σοὶ γὰρ πέποιθεν ἡ ψυχή μου, ἐλέησόν με.

Τῇ γ΄. Κανὼν Κατανυκτικός.

Ὠδὴ α΄. ἦχος β΄. Ὁ Εἱρμός.

ΤΗ'ν Μωσέως ᾠδὴν, ἀναλαβοῦσα βόησον ψυχή· βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν.

Ἐ'Αυτοὺς Ἀδελφοί, πρὸ τῆς ἐξόδου κλαύσωμεν πικρῶς· ὅπως δάκρυσι καλοῖς, φύγωμεν δάκρυα τιμωρίας, ἔχοντα οὐδὲν τότε ὄφελος.

ΜΤελάνις Χριστὲ, ἐπηγγειλάμην τοῦ μετανοεῖν· καὶ ἀναίσθητον ψυχὴν, ἔχων τοῖς σφάλμασι περιπίπτω. οἰκτείρησόν Σωτὴρ τὴν ἀσθένειάν μου.

Μαρτυρικά.

ΟἹ βασάνων πυρὰν, ὑπενεγκόντες θείῳ δροσισμῷ, Ἀθλοφόροι τοῦ Χριστοῦ, πυρὸς γεέννης λυτρώσασθέ με, πάθη χαλεπὰ περικείμενον.

ΙἸσχυροὶ κατ' ἐχθρῶν, ἀναδειχθέντες σθένει θείῳ, τὴν ἀνίσχυρον αὐτῶν, κατεπαλαίσατε δυναστείαν, Μάρτυρες Χριστοῦ ἀξιάγαστοι.

Θεοτοκίον.

ΦΔογοφόρε λαβὶς, ἣν Ἡσαΐας ἔβλεψε ποτὲ, τὰ ὑλώδη τῆς ἐμῆς, καρδίας πάθη Θεογεννῆτορ, φλέξον, καὶ εἰς τέλος ἀφάνισον.

Ἕτερος Κανὼν τοῦ Προδρόμου. Οὗ ἡ ἀκροστιχίς. Βαπτιστὰ τήνδε τὴν δέησιν προσδέχου. Ἰωσήφ.

Ἐν βυθῷ κατέστρωσε ποτέ.

ΒΑπτιστὰ καὶ Πρόδρομε Χριστοῦ, καταβαπτιζόμενον, διηνεκῶς ταῖς ἡδοναῖς τοῦ σώματος, τὸν νοῦν μου κυβέρνησον, καὶ τὰ κύματα τῶν παθῶν καταπράϋνον· ὅπως ἐν γαλήνῃ, θεία γεγονὼς ὑμνολογήσω σε.

ἈΠορρήτῳ λάμψας φωτισμῷ, ἄστρον ὡς πολύφωτον, τῆς νοητῆς ἀνατολῆς προέδραμες· ὑφ' ἧς καταυγάζεσθαι, τὴν καρδίαν μου, Βαπτιστὰ καθικέτευε, τὴν ἐσκοτισμένην, πάσαις τῶν δαιμόνων ἐπιθέσεσι.

ΠΟταμῷ τὴν Ἄβυσσον ποτὲ, Πάνσοφε κατέδυσας, κατακλυσμὸν ἐργαζομένην χάριτι, πάσης παραβάσεως· ἀλλὰ δέομαι τοὺς χειμάρρους μακάριε, τῶν ἐμῶν πταισμάτων, ξήρανον ἐνθέῳ μεσιτείᾳ σου.

Θεοτοκίον.

ΤΗ῀ς Ἁγνῆς Παρθένου συγγενὴς, μάκαρ ἐχρημάτισας, τῆς τὸν Θεὸν σωματωσάσης Πρόδρομε· μεθ' ἧς σε γεραίρομεν, καὶ δεόμεθα, οἱ τῷ θείῳ τεμένει σου, νῦν περιπολοῦντες, οἴκους ἡμᾶς ποίησον τοῦ Πνεύματος.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

ΣΤερεωθήτω μου τὸν νοῦν, καρποφόρον ὁ Θεός, ἀνάδειξόν με, Γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου.

Τροπάριον.

ΡἈθυμίας νυσταγμῷ, ἐβαρύνθην τὴν ψυχὴν, διέγειρόν με, πρὸς ἐγρήγορσιν Χριστὲ, μετανοίας τοῦ ποιεῖν, τὰ σὰ προστάγματα.

ΜΗ' με δείξῃς Ἰησοῦ, ἐν ἡμέρᾳ φοβερᾷ, κατεγνωσμένον· ἀλλὰ πρὸ τῆς τελευτῆς, ἐπιστρέψας χαλεπῆς, ῥῦσαι κολάσεως.

Μαρτυρικά.

ΟἹ τὰ Πάθη τοῦ Χριστοῦ, μιμησάμενοι καλῶς, ἐνθέοις τρόποις, Ἀθλοφόροι Χριστοῦ, τῆς ψυχῆς μου τὰ δεινὰ, πάθη ἰάσασθε.

ΙἽΝα τῶν ἐν Οὐρανοῖς, ἀϊδίων ἀγαθῶν ἀξιωθῆτε, πᾶσαν πεῖραν δεινῶν, Ἀθλοφόροι ἐπὶ γῆς, στερρῶς ὑπέμειναστε.

Θεοτοκίον.

ΓΑλουχεῖς μητροπρεπῶς, τὸν τροφέα τοῦ παντὸς, καὶ φέρεις τοῦτον, ἐν ἀγκάλαις Ἁγνή, τὸν τὰ σύμπαντα χειρὶ, φέροντα πάντοτε.

Εἱρμὸς ἄλλος.

Ἐν πέτρᾳ με τῆς Πίστεως στερεώσας.

ΙἸΆτρευσον τὰ τραύματα τῆς ψυχῆς μου, τὸν νοῦν μου σκοτιζόμενον ἀμελείᾳ, καταύγασον ἐνθέῳ σου μεσιτείᾳ, Κυρίου Πρόδρομε· καὶ πάσης ῥῦσαί με, ἐναντίας δέομαι περιστάσεως.

ΣΤειρώσεως ἀπέλυσας τὴν τεκοῦσαν, τεχθεὶς Θεοῦ προνοίᾳ σοφὲ Προφῆτα· στειρεύσασαν οὖν ἔργασαι καρποφόρον, νῦν τὴν καρδίαν μου, Κυρίου Πρόδρομε, ἀρετῶν ἐκφέρουσαν τὰ βλαστήματα.

ΤΟ'ν πόθῳ σοι δειμάμενον θεῖον Οἶκον, τῆς ἄνω κληρουχίας τυχεῖν δυσώπει, τοὺς πίστει τῷ Τεμένει σου λειτουργοῦντας, Ναοὺς τοῦ Πνεύματος, τοῦ Θεοῦ ποίησον, Βαπτιστὰ καὶ Πρόδρομε μεσιτείαις σου.

Θεοτοκίον.

ἈΓάλλεται ὁ Πρόδρομος ἐν νηδύϊ, φερόμενος μητρῴᾳ καὶ προσκυνεῖ, τὸν Κύριον φερόμενον ἐν νηδύϊ, Θεοχαρίτωτε· ὃν καθικέτευε, ἀπὸ πάσης θλίψεως λυτρωθῆναί με.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

ΤΗν ἐκ Παρθένου σου Γέννησιν, ὁ Προφήτης προβλέπων, ἀνεκήρυττε βοῶν· τὴν ἀκοήν σου ἀκήκοα καὶ ἐφοβήθην· ὅτι ἀπὸ Θαιμὰν, καὶ ἐξ ὄρους ἁγίου, κατασκίου, ἐπεδήμησας Χριστέ.

Τροπάριον.

ΣΕσυλημένον με πάντοθεν, καὶ πτωχεύσαντα Λόγε, καθορῶν ὁ δυσμενὴς, τῇ ἀπωλείᾳ μου τέρπεται ὁ δολιόφρων. Κύριε τῆς δόξης, πλουτιστὰ τῶν ἀπόρων, τῆς αὐτοῦ με, κακουργίας ἐξελοῦ.

ΧΕῖρας καὶ ὄμματα Κύριε, κατερρύπωσα πράττων, ἃ οὐκ ἔξεστι ποιεῖν, καὶ εἰς ὀργὴν συνεκίνησα τοὺς οἰκτιρμούς σου, καταδαπανήσας τὴν σὴν μακροθυμίαν. ἐπιβλέψας, οἰκτειρόν με ἀγαθέ.

Μαρτυρικά.

ΩΣ θαυμαστὸς ὁ Θεὸς ἡμῶν, ἐν Ἁγίοις ὑπάρχεις, πειθαρχήσασιν αὐτῷ, καὶ καθελοῦσι τὰ ξόανα τῆς ἀπωλείας, καὶ κληρωσαμένοις Παραδείσου τὸ πλάτος· ὅπερ πάλαι, ἐξεβλήθη ὁ Ἀδάμ.

ΡΕίθροις αἱμάτων Μακάριοι, ἀνεστείλατε ῥεῖθρον, προσαγόμενον ποτὲ, δαίμοσι πᾶσιν ὄλεθρον, ἐπ' ἀπωλείᾳ προσαγόντων ἀνθρώπων. διὰ τοῦτο, μακαρίζεσθε ἀεί.

Θεοτοκίον.

ΜΕμυημένος ἐν Πνεύματι, Προφητῶν Θεοτόκε, ὁ περίδοξος χορὸς, τὸ ὑπὲρ νοῦν σου Μυστήριον, ποικιλοτρόπως τοῦτο προχαράττει, ἱεροῖς ἐν συμβόλοις· ὧν τὸ πέρας, καθορῶμεν τηλαυγῶς.

Ἄλλος. Ἐλήλυθας, ἐκ Παρθένου.

ΤΟῦ κλίναντος, Οὐρανοὺς, καὶ βροτοῖς ὁμιλήσαντος, τὴν Κάραν ὑπέκλινας, τῇ δεξιᾷ σου Πανόλβιε. ἦ με περιφρέρητον, ἐν ταπεινώσει φυλάττων τὴν καρδίαν μου.

ΗἜρημος, σὲ πολίτην ἡ ἄβατος ἔσχηκε, μακάριε Πρόδρομε. ὅθεν βοῶ σοι· τὴν ἔρημον, πάσης θείας πράξεως, γεγενημένην ψυχήν μου πεποίησον.

ΝΟμον θεῖον, ἐκδικῶν παρανόμως ἀνῄρησαι· διὸ ἱκέτευσε, παρανομοῦντά με πάντοτε, καὶ δελεαζόμενον, ταῖς τῶν δαιμόνων ἀπάταις ἐπανόρθωσον.

ΔΕιμάμενος, σεαυτὸν τοῦ Δεσπότου ἀνάκτορον, πρὸς θεῖα σκηνώματα, νῦν μεταβέβηκας Πρόδρομε· ὧν τυχεῖν ἱκέτευε, τὸν σοὶ πανάγιον Οἶκον ἀνεγείραντα.

Θεοτοκίον.

ΕΠίβλεψον, ἐπ' ἐμὲ τὸν νοσοῦντα Πανάμωμε· καὶ λῦσον τὰ πάθη μου, τὰ χαλεπὰ καὶ δυσίατα· ὅπως μεγαλύνω σε, τὴν μεγαλύνασαν ἅπαν τὸ ἀνθρώπινον.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

ΤΗν ἀχλὺν τῆς ψυχῆς μου, Σωτήρ μου διασκεδάσας, τῷ φωτὶ τῶν ἐντολῶν σου καταύγασόν με, ὡς μόνος τῆς εἰρήνης Βασιλεύς.

Τροπάριον.

ΑΜαρτίας συνάπτω, ἀφρόνως ταῖς ἁμαρτίαις· καὶ ἀνανέωσις οὐκ ἔστιν ἐν τῷ θανάτῳ μου. οἴμοι πῶς ὀφθήσομαι Χριστῷ;

ΝΑυαγήσας ὡς πλοῖον, ἀπώλεσά μου τὸν φόρτον, ὃν μοι δέδωκας Οἰκτίρμον. καὶ νῦν πενόμενος κράζω· μὴ παρίδῃς με Χριστέ.

Μαρτυρικά.

ΩΣ τὴν δόξαν παριδόντες, τὴν κάτω καὶ πατουμένην, οὐρανίου Ἀθλοφόροι, κατηξιώθητε δόξης, συνυπάρχοντες Χριστῷ.

ΣΥμπαθείας τῆς πρὸς σάρκα, τὸν νοῦν χωρήσαντες πίστει, τὰς βασάνους οἰκειοῦσθε, ἐρωτικῶς Ἀθλοφόροι, οἰκειούμενοι Χριστῷ.

Θεοτοκίον.

ΔΑνιὴλ σε ὄρος μέγα, ἐν Πνεύματι ἐθεώρει Θεοτόκε· ἐξ οὗ λίθος, ἀποτμηθεὶς ἐκλεπτύνει, τῶν δαιμόνων τὰ γλυπτά.

Εἱρμὸς ἄλλος. Ὁ φωτισμός.

ΤΑῖς προχοαῖς, Ἰορδάνου τοῖς ῥείθροις, τῆς ἀφθαρσίας, Πρόδρομε Βαπτιστὰ, Χριστὸν δυσώπει, τὰς ἀναβλύσεις, τῶν παθῶν μου ξηρᾶναι· καὶ χειμάρρουν τρυφῆς κληρώσασθαι, καὶ τὴν τῶν Δικαίων τερπνὴν ἀγαλλίασιν.

ΗΔη θρηνῶ, καὶ συστέλλομαι φόβῳ καὶ ἀπορίᾳ, πάντοτε συνέχομαι ἐννοῶν μου, τὰ πεπραγμένα, καὶ τὴν μέλλουσαν δίκην, καὶ φρικώδη εὔσπλαγχνε Κύριε· φεῖσαί μου τοῦ σοῦ Βαπτιστοῦ παρακλήσεσι.

ΝΟμοθετῶν, τοῖς λαοῖς σωτηρίαν ἐν μεταγνώσει, Πρόδρομε πταισμάτων γενησομένην, μέσον τοῦ Νόμου καὶ τῆς χάριτος ἔστης. διὰ τοῦτο ἐκδυσωποῦμέν σε, τρόποις μετανοίας ἡμᾶς καταφαίδρυνον.

ΔΟίμοι καιρὸν, μετανοίας ῥαθύμως τὸν παρελθόντα, ὅλον δαπανήσαντα Εὐεργέτα· ἔχων εἰς τοῦτο, δυσωποῦντά σε Λόγε, Ἰωάννην τὸν μέγαν Πρόδρομον, καὶ τῆς μετανοίας παγκόσμιον Κήρυκα.

Θεοτοκίον.

ΕΠιβουλαῖς, καὶ ἐνέδραις τοῦ πλάνου ἐθανατώθην, Δέσποινα Πανάμωμε ζώωσόν με, ἡ τετοκυῖα τὴν Ζωὴν τῶν ἁπάντων, Θεοτόκε τὴν ἐνυπόστατον· ἵνα σε ὑμνῶ, εὐσεβῶς τὴν Πανάμωμον.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

ΒΥθῷ ἁμαρτημάτων, συνέχομαι Σωτὴρ, καὶ ἐν πελάγει τοῦ βίου χειμάζομαι. ἀλλ' ὥσπερ τὸν Ἰωνᾶν ἐκ τοῦ θηρὸς, κἀμὲ τῶν παθῶν ἀνάγαγε, καὶ διάσωσόν με.

Τροπάριον.

ΩΣ πάλαι Χαναναίᾳ, κραυγαζούσῃ σοι Σωτήρ· Υἱὲ Θεοῦ ἐλέησάς με οἴκτειρον. ψυχὴν γὰρ πάσχουσαν ἔχω ἐν δεινοῖς, καὶ μὴ ἑαυτὴν εἰς αἴσθησιν, βουλομένην νῦν ἐλθεῖν.

ΤΑράσσει με ἀμέτρων, κλυδώνιον παθῶν· ὡς τῇ θαλάσσῃ ποτὲ ἐπετίμησας, καὶ ἔσωσας τοὺς Ἁγίους Μαθητὰς, κἀμὲ Ἰησοῦ ἀνάγαγε, καὶ διάσωσόν με.

Μαρτυρικά.

ΕΞέστησαν Ἀγγέλων, ἀσώματοι χοροὶ, τὴν καρτερίαν ὑμῶν τὴν ἐν σώματι· καὶ ᾔνεσαν τὸν παρέχοντα ὑμῖν, σεπτοὶ Ἀθληταὶ, καὶ δύναμιν, καὶ καμάτων ἀμοιβήν.

ΡΑινόμενοι αἱμάτων, οἰκείων ταῖς ῥοαῖς, καὶ ὀφθαλμοὺς ἐκκεντούμενοι Μάρτυρες, πηγνύμενοι ὑπὸ κρύους χαλεποῦ, πρὸς θάλψιν ζωῆς μετέβητε, ἀνυμνοῦντες τὸν Χριστόν.

Θεοτοκίον.

ΩΣ τράπεζα τὸν Ἄρτον, χωρεῖς τὸν μυστικόν· ἐξ οὗ φαγόντες, οὐκ ἔτι λιμώττομεν, Πανύμνητε, οἱ εἰδότες σε Χριστοῦ, τοῦ πάντων Θεοῦ Γεννήτειραν, καὶ τροφὸν ὡς ἀληθῶς.

Εἱρμὸς ἄλλος. Ἐν ἀβύσσῳ πταισμάτων.

ΗΦωνὴ ἡ τὸν Λόγον κηρύξασα, πάντων τὰς φωνὰς προσδεξαμένη αἴτησαι, ἁμαρτιῶν συγχώρησιν, δωρηθῆναι τοῖς πίστει ὑμνοῦσί σε.

ΣΥντριβὴν τῆς ψυχῆς μου θεράπευσον, τῶν ἁμαρτιῶν τὸ φορτίον διάλυσον· καὶ παρ' ἐλπίδα σῶσόν με, ταῖς λιταῖς σου μακάριε Πρόδρομε.

ΙΗσοῦν ὃν χειρί σου ἐβάπτισας, Πρόδρομε ἱκέτευε, χειρός με ῥύσασθαι, τῆς ἁμαρτίας αἴροντα, πρὸς τὸν Ὕψιστον χεῖρας ἑκάστοτε.

ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Θεοτοκίον.

Νυσταγμῷ ἀμελείας συνέχομαι, ὕπνος ἁμαρτίας βαρεῖ τὴν καρδίαν μου, τῇ σῇ ἀγρύπνῳ Πάναγνε, μεσιτείᾳ ἐξέγειρον σῶσόν με.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Τὰ Χερουβὶμ μιμούμενοι, Παῖδες ἐν τῇ καμίνῳ, ἐχόρευον βοῶντες· εὐλογητὸς εἶ ὁ Θεός, ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες, ταῦτα πάντα διὰ τὰς ἁμαρτίας ἡμῶν, ὁ ὑπερύμνητος, καὶ δεδοξασμένος, εἰς πάντας τοὺς αἰῶνας. Τροπάριον.

Νόμους τοὺς σοὺς ἠθέτησα, ὑπήχθην τε ταῖς ἀλόγοις, ἐπιθυμίαις πράττων, τὰ μὴ ἀνήκοντα Χριστέ· ὅτι ἐματαιώθην ἐν τῇ ἀπονοίᾳ μου, ὥσπερ ἄλλος οὐδεὶς ἀνθρώπων ἐπὶ γῆς. μὴ οὖν ἐάσῃς με Σῶτερ, ἀπολέσθαι, διὰ φιλανθρωπίαν.

Ἐν ἀνομίαις Ἰησοῦ, ἰδοὺ ἐγὼ συνελήφθην· ὡς ὁ Δαβὶδ κραυγάζω, καὶ ὡς ἡ Πόρνη δακρύω. ἐπεὶ ὡς παραπικραίνων δοῦλος παρεπίκρανα, σὲ τὸν μόνον ὑπάρχοντα Θεὸν ἀγαθόν. μὴ οὖν ἐάσῃς με Σῶτερ, ἀπωλέσθαι, διὰ φιλανθρωπίαν. Μαρτυρικά.

Μαρτυρικῶς ἠγώνισαι, δῆμος τῶν Ἀθλοφόρων· μαρτυρικῶς ἐστέφθη, τῇ ζωηφόρῳ δεξιᾷ, ὅτι ἐν ἀληθείᾳ τὸν Θεὸν ἠγάπησε, τὸν τὰ πάντα πεποιηκότα λόγῳ. καὶ νῦν ἐν Οὐρανοῖς, χαίρων ἀπολαύει, τῆς θείας κληρουχίας.

Ὀφθαλμοὺς ἐκκεντούμενοι, καὶ ἀφαιρούμενοι χεῖρας, καὶ πόδας εὐθυδρόμως, πρὸς Οὐρανὸν οἱ εὐκλεεῖς, ἐστέλλοντο πορείας· καθυποσκελίζοντες, τὰς πορείας τοῦ μόνου πολεμήτορος. αὐτῶν ταῖς προσευχαῖς, σῶσον πάντας Λόγε, τοὺς σὲ δοξολογοῦντας.

Θεοτοκίον.

Τὰ Χερουβὶμ δοξάζουσι, τὰ Σεραφὶμ ἀνυμνοῦσι, Θρόνοι καὶ Ἐξουσίαι, καὶ Κυριότητες ἀεί, τὸν ὑπὲρ νοῦν σου Τόκον, Μαρία Πανύμνητε· ὅτι μόνη Θεὸν κυοφορεῖς σαρκί· ὃν αἴτησαι Ἁγνή, πάντας ἡμᾶς σωθῆναι, τοὺς πόθῳ σε τιμῶντας.

Ἄλλος. Ἀντίθεον πρόσταγμα.

Προῤῥίζους ἀξίνῃ σου τῆς μετανοίας, ἐκτίλας τοὺς σκώλοπας, τῆς ἐμπαθοῦς καρδίας μου, ἐμφύτευσον Πρόδρομε, θείαν ἀπάθειαν, φόβον τε ἁγνότατον Θεοῦ, πάσης κακίας ἀλλοτριοῦντά με.

Ῥοαῖς ὡς ἐβάπτισας τοῦ Ἰορδάνου, στεγάζοντα ὕδασι, τὰ ὑπερῷα Κύριον, αὐτὸν καθικέτευε, ὕδωρ δωρήσασθαι, θείας κατανύξεως ἀεί, τοῖς ὀφθαλμοῖς μου εὔδοξε Πρόδρομε.

Ὁ Κόσμου τὸν αἴροντα τὴν ἁμαρτίαν, Ἀμνὸν Θεοῦ Πρόδρομε, κηρύξας τοῦτον αἴτησαι, ἐρίφων τῆς μοίρας με δεῖξαι ἀλλότριον· καὶ τοῖς δεξιοῖς αὐτοῦ, καί με συναριθμῆσαι προβάτοις εὔδοξε.

Θεοτοκίον.

Στειρεύουσα φέρει σε νηδὺς Παρθένε, ἐγγάστριον φέρουσα, τὸν Λόγον σωματούμενον· ὃν θείοις σκιρτήμασιν ὁ μέγας Πρόδρομος, στείρας ὁ πανάγιος καρπός, ἐπέγνω χαίρων καὶ προσεκύνησεν.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Τὸν ἐν τῇ βάτῳ Μωσῇ, τῆς Παρθένου τὸ θαῦμα, ἐν Σιναίῳ τῷ ὄρει προτυπώσαντα ποτέ, ὑμνεῖτε εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Τροπάριον.

Ἵνα θεώσῃς ἡμᾶς, ἐσαρκώθης δι' οἶκτον. οὐ συνῆκα δὲ ὅλως, δουλωθεὶς ταῖς ἡδοναῖς. τῇ σῇ ἀγαθωσύνῃ, ἐπίστρεψόν με Χριστέ, ἡ πάντων σωτηρία.

Σὺ ὁ Ποιμὴν ὁ καλός, πλανηθεῖσαν εἰς ὄρη, παραβάσεως Λόγε, τὴν ἀθλίαν μου ψυχήν, ἐπίστρεψον καὶ σῶσον· μή με τελείως ἐχθρός, ὁ πλάνος καταπίῃ. Μαρτυρικά.

Στῶμεν ἀνδρείως ὁμοῦ, ἀνεβόων ἀλλήλοις, οἱ τερπνοὶ Ἀθλοφόροι, αἰκιζόμενοι δεινῶς. Χριστὸς ἰδοὺ προτείνει, τῆς νίκης τοὺς στεφάνους, εἰς πάντας τοὺς αἰῶνας.

Ἰσχυροτάταις νευραῖς, τῶν στεῤῥῶν ὑμῶν πόνων, ἀπεπνίξατε ὄφιν, τὸν βουλόμενον ὑμᾶς, δελεάσαι κακούργως· καὶ Παραδείσου τρυφῆς, ὤφθητε κληρονόμοι.

Θεοτοκίον.

Ἵνα θεώσῃ ἡμᾶς, ὁ Θεὸς ἐσαρκώθη, ἐξ ἁγνῶν σου αἱμάτων, καὶ ἐγένετο Βροτός, Παρθένε Θεοτόκε, ὃν ἐκδυσώπει ἀεί, ὑπὲρ τῶν σὲ τιμώντων.

Εἱρμὸς ἄλλος. Κάμινος ποτέ.

Δίδε δεξιάν, ἐμοὶ χαμαὶ κειμένῳ, ὁ δεξιὰν ἐκτείνας Πρόδρομε, καὶ λούσας τοῖς ὕδασι, τὸν ἀμόλυντον καὶ ῥῦσαί με, τοῦ μολυσμοῦ τοῦ σώματος, ὅλον ἀποκαθαίρων, τῇ μετανοίᾳ καὶ σῶσόν με.

Ἔχουσα ψυχή, καιρὸν τοῦ μεταγνῶναι, τῆς ἀμελείας τὸν βαθύτατον, ὕπνον ἀποτίναξον· καὶ σπουδαίως ἐπαγρύπνησον, βοῶσα τῷ Δεσπότῃ σου· Εὔσπλαγχνε οἴκτειρόν με, τοῦ Βαπτιστοῦ παρακλήσεσι.

Χείμαῤῥοι παθῶν, καὶ ὕδατα κακίας, ἕως ψυχῆς μου ἐπεισήλθοσαν, Μακάριε Πρόδρομε. σπεῦσον τάχος ἐξελέσθαι με, ὁ ποταμοῦ τοῖς ῥεύμασι, λούσας τῆς ἀπαθείας, τὸ γαληνότατον πέλαγος.

Οἴμοι τῷ πολλά, κακὰ πεποιηκότι. οἴμοι τῷ μόνῳ παροργίσαντι, Θεὸν τὸν Πανάγαθον. Βαπτιστὰ Χριστοῦ βοήθει μοι, καὶ βράβευσον πταισμάτων μου, λύσιν καὶ τῶν χρεῶν μου, ἀποκοπὴν μεσιτείαις σου.

Θεοτοκίον.

Ὕψιστον Θεόν, σαρκὶ ἀποτεκοῦσα, ἀπὸ κοπρίας με ἀνάστησον, παθῶν τῶν θλιβόντων με· καὶ δεινῶς ὅλον πτωχεύσαντα, ταῖς θείαις καταπλούτισον, Πάναγνε ἀρεταῖς με, ὅπως ὑμνῶ σε σωζόμενος.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Τῶν γηγενῶν τίς ἤκουσε τοιοῦτον; ἢ τίς ἑώρακε ποτέ, ὅτι Παρθένος εὑρέθη ἐν γαστρὶ ἔχουσα, καὶ ἀνωδίνως τὸ Βρέφος ἀποτεκοῦσα; τοιοῦτόν σου τὸ θαῦμα, καὶ σὲ Ἁγνή, Θεοτόκε μεγαλύνομεν.

Τροπάριον.

Ὢ πῶς φρικτὸν ὑπάρχει σου τὸ βῆμα, ἐν ᾧ κριθῆναι προσδοκῶ, καὶ οὐκ αἰσθάνομαι ὅλως, τοῦτο τὸ ἔμφοβον, ἐν ἀμελείᾳ τὸν πάντα διάγων χρόνον. ἐπίστρεψόν με μόνε Δημιουργέ, ὁ Μανασσῆν ἐπιστρέψας πλημμελήσαντα.

Στῆσον Χριστὲ τὰ ῥεύματα βοῶ σοι, τῶν ἀμετρήτων μου κακῶν· ὄμβρους δίδου μοι δακρύων, ἐναποπλύνοντας τὸν μολυσμόν, ὃν ὑπέστην ἐξ ἀφροσύνης· καὶ σῶσόν με ὁ σώσας, τὴν ἐκ ψυχῆς μετανοήσασαν, Πόρνην τῷ ἐλέει σου. Μαρτυρικά.

Ἡ φωταυγὴς τῶν θείων Ἀθλοφόρων, μνήμη ὡς Ἥλιος ἡμῖν, ἐξανατείλασα πᾶσι, τῆς γῆς τοῖς πέρασι φωταγωγεῖ. καὶ σκότος ἀποδιώκει τῆς Εἰδωλομανίας, καὶ τῶν παθῶν τῶν ψυχοφθόρων, τὸν ζόφον Θείῳ Πνεύματι.

Φάλαγξ σεπτή, στρατὸς τροπαιοφόρος, καὶ ἐκλεκτὴ παρεμβολή, δῆμος Ἁγίων Μαρτύρων, χορὸς μακάριος, χοροστασίαις συνήφθη τῶν Ἀσωμάτων. αὐτῶν Χριστὲ πρεσβείαις, πάντας ἡμᾶς τῆς σῆς Βασιλείας, μετόχους ποίησον.

Θεοτοκίον.

Φωτιστικαῖς αὐγαῖς τοῦ ἐκ Γαστρός σου, ἐξανατείλαντος ἡμῖν, καὶ ἀθείας τὴν νύκτα ἐξαφανίσαντος, Παρθενομῆτορ Μαρία, φώτισον πάντας τοὺς πίστει σε τιμῶντας, καὶ ἀφεγγοῦς λύτρωσαι σκότους, ἐν ὥρᾳ κατακρίσεως.

Ἄλλος. Ἀνάρχου Γεννήτορος.

Ἰλασμόν με λύτρωσαι, τῆς ἁμαρτίας Κύριε, ἀναμάρτητε μόνε καὶ πολυέλεε, ταῖς τοῦ Βαπτιστοῦ ἱκεσίαις, τοῦ σὲ παντὶ, κηρύξαντος Κόσμῳ, Ἀμνὸν Θεοῦ αἴροντα, τῶν ἀνθρώπων ἁμαρτήματα.

Ὡς ῥόδον ἡδύπνοον, ὡς εὔοσμον κυπάρισσον, ὡς ἀμάραντον κρίνον, ὡς μῦρον τίμιον, ἔχων σε Κυρίου Προφῆτα, τῆς τῶν ἐμῶν, ἔργων δυσωδίας, ἀχαῖς σου ῥυσθήσομαι, ὁ προστρέχων ἐν τῇ σκέπῃ σου.

Στειρεύειν ἀκάρπων με, Παμμάκαρ ἔργων ποίησον, ἀρετῶν εὐτεκνίαν ἀεὶ προσφέροντα, τέκνον με Κυρίου ποιῶν τε, καὶ κοινωνὸν Θείας Βασιλείας, καὶ τῆς ὁμηγύρεως, τῶν Ἁγίων ὁμοδίαιτον.

Ἡμῖν τοῖς ποθοῦσί σε, καὶ πόθῳ σε γεραίρουσι, καὶ τῷ Θείῳ Ναῷ σου περιχορεύουσι, δίδου οὐρανόθεν τὴν λύσιν, τῶν δυσχερῶν, Πρόδρομε Κυρίου· καὶ βίου διόρθωσιν, καὶ πταισμάτων ἀπολύτρωσιν. Θεῖον.

Φερόμενον ἅπαντα, τὸν φέροντα τῷ νεύματι, ἐν γαστρὶ προσεκύνεις τῆς Θεομήτορος· μεθ' ἧς ἐνδυσώπει Προφῆτα, τὴν ταπεινὴν, σώζεσθαι ψυχήν μου, πολλοῖς περιπίπτουσαν, καθ' ἡμέραν πλημμελήμασιν.

Εἰς τὸν στίχον τῶν Αἴνων, στιχηρὰ Κατανυκτικά.

Ἦχος β'.

Πάντας ὑπερβάλλω τῇ ἁμαρτίᾳ, τίνι μαθητεύσω τῇ μετανοίᾳ; ἐὰν στενάξω ὡς ὁ Τελώνης, νομίζω βαρεῖν τοὺς Οὐρανούς. ἐὰν δακρύσω καθὼς ἡ Πόρνη, μιαίνω τοῖς δάκρυσί μου τὴν γῆν. ἀλλὰ δός μοι τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, ὁ Θεὸς καὶ ἐλέησόν με.

Τὰς ἀνομίας μου πάριδε Κύριε, ὁ ἐκ Παρθένου τεχθεὶς· καὶ τὴν καρδίαν μου καθάρισον, Ναὸν αὐτὴν ποιῶν τοῦ Ἁγίου σου Πνεύματος· μή με ἐξουδενώσῃς ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

Μαρτυρικόν.

Τὸν Σταυρὸν τοῦ Χριστοῦ λαβόντες οἱ Ἅγιοι Μάρτυρες, ὅπλον ἀκαταγώνιστον, πᾶσαν τοῦ διαβόλου τὴν ἰσχὺν κατήργησαν· καὶ λαβόντες στέφος οὐράνιον, τεῖχος ἡμῖν γεγόνασιν, ὑπὲρ ἡμῶν αὐτῷ πρεσβεύοντες.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Μαρία Θεοτόκε, ὁ Ναὸς ὁ ἀκατάλυτος, μᾶλλον δὲ ὁ Ἅγιος, καθὼς βοᾷ ὁ Προφήτης· Ἅγιος ὁ Ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

## ΤΗ͂, ΤΡΙ΄ΤΗ, Ε΄ΣΠΕ΄ΡΑΣ.

Εἰς τὸν στίχον, στιχηρὰ Σταυρώσιμα. ἦχος δ'.

Ὅπλον ἀήττητον Χριστὲ, τὸν Σταυρόν σου ἡμῖν δέδωκας· καὶ ἐν τούτῳ νικῶμεν, τὰς προσβολὰς τοῦ ἀλλοτρίου.

Πάντοτε ἔχοντες Χριστὲ, τὸν Σταυρόν σου εἰς βοήθειαν, τὰς παγίδας τοῦ ἐχθροῦ, εὐχερῶς καταπατοῦμεν.

Μαρτυρικόν.

Ἔχοντες παῤῥησίαν, πρὸς τὸν Σωτῆρα Ἅγιοι, πρεσβεύσατε ἀπαύστως, ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν· ἄφεσιν πταισμάτων αἰτούμενοι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τὸν Ἀμνὸν καὶ Ποιμένα σε, ἐπὶ ξύλου ὡς ἔβλεψεν, ἡ Ἀμνὰς ἡ τεκοῦσα ἐπωδύρετο, καὶ μητρικῶς σοι ἐφθέγγετο· Υἱὲ ποθεινότατε, ταῦτά σοι ὁ ἀπειθὴς, δῆμος ἀνταποδίδωσιν, ὁ θαυμάτων σου, ἀπολαύσας μεγίστων; ἀλλὰ δόξα, τῇ ἀῤῥήτῳ σου καὶ θείᾳ, συγκαταβάσει φιλάνθρωπε.

Τῇ Τετάρτῃ πρωῒ, μετὰ τὴν α'. στιχολογίαν.

Κάθισμα Σταυρώσιμον. ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς, ἐκ τῆς κατάρας τοῦ Νόμου, τῷ τιμίῳ σου Αἵματι· τῷ Σταυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις. Σωτὴρ ἡμῶν δόξα σοι.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σὴν, ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Κατεπλάγη Ἰωσήφ.

Παρεστῶσα τῷ Σταυρῷ, ἡ παναμώμητος Ἀμνὰς, τοῦ Ἀμνοῦ καὶ λυτρωτοῦ, θρήνοις ἐκόπτετο δεινοῖς. καὶ ἀτενίζουσα ἔλεγεν ἐκπληττομένη· τί τοῦτο τὸ καινὸν καὶ ξένον θέαμα; γλυκύτατε Υἱὲ, πῶς φέρεις ταῦτα ἑκών; πῶς ὑπομένεις Σταύρωσιν ἑκούσιον, καὶ τὸν ἐπώδυνον θάνατον; δοξολογῶ σου, τὴν ὑπὲρ λόγον, Πλαστουργὲ συγκατάβασιν.

Μετὰ τὴν β'. στιχολογ. Κάθισμα. ἦχος δ'.

Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς, ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἀνελε τῷ Σταυρῷ σου, τοὺς ἡμᾶς πολεμοῦντας· γνώτωσαν πῶς ἰσχύει, ὀρθοδόξων ἡ Πίστις. πρεσβείαις τῆς Θεοτόκου μόνε φιλάνθρωπε.

Ὅμοιον.

Σταυρῷ σε προσήλωσαν οἱ Ἰουδαῖοι Σωτὴρ, δι' οὗ ἐκ τῶν ἐθνῶν ἡμᾶς, ἀνεκαλέσω ποτὲ, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἥπλωσας τὰς παλάμας, ἐν αὐτῷ τῇ βουλῇ σου· λόγχῃ δὲ τὴν πλευράν σου, κατεδέξω νυγῆναι, τῷ πλήθει τῶν οἰκτιρμῶν σου μόνε Φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον. Ὅμοιον.

Ἡ Ἄνυμφος Μήτηρ σου, ὡς ἐθεάσατο, Σταυρῷ σε ὑψούμενον, ὀδυρομένη πικρῶς, τοιαῦτα ἐφθέγγετο· τί τὸ καινὸν καὶ ξένον, καὶ παράδοξον θαῦμα; πῶς σε ἄνομος δῆμος, τῷ Σταυρῷ προσπηγνύει; τὸν μόνον σε Ζωοδότην, φῶς μου γλυκύτατον.

Τῇ Τετάρτῃ Κανὼν Σταυρώσιμος. Οὗ ἡ ἀκροστιχίς.

Ὁ Σταυρός ἐστιν ὅπλον εἰς σωτηρίαν. Ἰωσήφ.

Ὠδὴ α'. ἦχος δ'. Ὁ Εἱρμός.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραὴλ· σταυροτύποις »
Μωσέως χερσὶ, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ »
ἐρήμῳ ἐτροπώσατο. »

Τροπάριον.

Ὁ τείνας τὸν Οὐρανὸν ἐξέτεινας, ἐπὶ Σταυροῦ Ἰησοῦ, τὰς σὰς παλάμας ἔθνη τὰ μακρὰν, ἀπὸ σοῦ χρηματίσαντα, ὡς ἀγαθὸς καὶ εὔσπλαγχνος, περιφανῶς ἀγκαλιζόμενος.

Σταυρῷ με τῷ σῷ Χριστέ μου τείχισον, ὅπως μὴ γένωμαι, θήραμα λύκου Λόγε τὴν ἐμὴν, ἐκζητοῦντος ἀπώλειαν· καὶ καθ' ἑκάστην λόχευμοι, καὶ τὰς ἐνέδρας ἑτοιμάζοντος.

Μαρτυρικά.

ΤΟῖς πόνοις πόνου παντὸς τὸν προέξαρχον, κατηδαφίσατε· καὶ νῦν κληροῦσθε ἄπονον ζωήν, παύτα πόνον κουφίζοντες, ἐκ τῶν ψυχῶν Μακάριοι, καὶ τῶν σωμάτων ἡμῶν πάντοτε.

ΑΛύτοις δεσμοῖς ὑμεῖς ἐδήσατε, τὸν πολυμήχανον, διὰ Χριστὸν δεσμούμενοι Σοφοί, τὸν δεθέντα θελήματι, καὶ πᾶσαν πλάνην λύσαντα. ὅθεν ἀξίως μακαρίζεσθε.

Σταυροθεοτοκίον.

ΠΑρθένος μετὰ τὸν τόκον ἄφθορος, διαμεμένηκας, τὸν ὑψωθέντα Ἄχραντε Σταυρῷ, ὑπὲρ λόγον κυήσασα. ὅθεν πιστοί σε ἅπαντες, μεγαλοφώνως μακαρίζομεν.

Τῇ αὐτῇ ἡμέρᾳ, Ἕτερος Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου. Οὗ ἡ ἀκροστιχίς.

Ὠδὴ τετάρτη τῇ Θεοτόκῳ Κόρῃ.

Ὠδὴ α΄. Ἦχος δ΄. Θαλάσσης τὸ ἐρυθραῖον.

ὩΣ οὖσα καθαρωτέρα Πάναγνε, πάσης τῆς Κτίσεως, τὴν ἀκαθάρτοις πάθεσι δεινῶς, μολυνθεῖσαν καρδίαν μου, τῇ καθαρᾷ πρεσβείᾳ σου, Θεοκυῆτορ ἀποκάθαρον.

ΔΑκρύων καὶ στεναγμῶν με λύτρωσαι, ἀποκειμένων μοι, ἐν τῇ μελλούσῃ δίκῃ τῇ φρικτῇ, ἀπροσδέκτοις πρεσβείαις σου, Παρθενομῆτορ Ἄχραντε, ταῖς πρὸς τὸν Κτίστην καὶ Θεὸν ἡμῶν.

Ἡ Μόνη τῇ ὑπὲρ νοῦν κυήσει σου, ἐλευθερώσασα, ἐκ τῆς ἀρᾶς τὸ γένος τῶν βροτῶν, σαρκικοῖς ἀποτήμασι, δεδουλωμένον Πάναγνε, ταῖς ἱκεσίαις ἐλευθέρωσον.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

ΕὙφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.

Τροπάριον.

ὙΨούμενος ἐν Σταυρῷ, τοὺς κατενεχθέντας εἰς φθορὰν ὕψωσας· καὶ τὸν ἐχθρὸν ἔπτωσας, Δέσποτα Χριστὲ ὁ Θεὸς ἡμῶν.

ῬΟμφαίαι τοῦ δυσμενοῦς, σοῦ λογχευθέντος τὴν πλευρὰν ἤμβλυνται· καὶ ἡ Ἐδὲμ ἤνοικται, Λόγε τοῦ Πατρὸς ἐνυπόστατε.

Μαρτυρικά.

ΟἹ πύρινοι ποταμοί, τοὺς τῆς ἀπάτης ποταμοὺς ἔπαυσαν· καὶ τὴν πυρὰν ἔσβεσαν, τῆς πολυθεΐας οἱ Μάρτυρες.

ΣΤαυρούμενοι καὶ εἰς γῆν, τυμπανιζόμενοι Χριστοῦ Μάρτυρες, τὸν δυσμενῆ δράκοντα, ξίφει καρτερίας ἐσφάξατε.

Σταυροθεοτοκίον.

Ἡ Ἀμωμός σε Ἀμνάς, ἀναρτηθέντα ἐν Σταυρῷ βλέπουσα, ὀδυνηρῶς Δέσποτα, ἔκλαιεν ὑμνοῦσα τὸ κράτος σου.

Εἱρμὸς ἄλλος. Τῆς Θεοτόκου. Οὐκ ἐν σοφίᾳ.

ΤΗν ἀνωτέραν, Χερουβὶμ ἱκετεύουσα Δέσποινα, συμπτωθέντα μου τὸν νοῦν, ταῖς ἐπηρείαις τοῦ ὄφεως, παθῶν τῶν τοῦ σώματος, δεῖξον ἀνώτερον.

ἘΝ τῇ ἐτάσει, τῇ φρικτῇ ὅταν μέλλῃ με Κύριος, κατακρίνειν τὸν πολλά, ἡμαρτηκότα Παναμώμε, εὕρω ῥυομένην σε, τῆς καταδίκης με.

ΤΟῖς οἰκτιρμοῖς σου, τοὺς ἀσπλάγχνους μου τρόπους μετάβαλε, συμπαθείᾳ σου Χριστέ, ἀσυμπαθῆ με ὑπάρχοντα, σῶσον παρακλήσεσι, τῆς Κυησάσης σε.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

ἘΠαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία, ἐπὶ Σταυροῦ τὸν Ἥλιον τῆς δικαιοσύνης, ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα· δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάριον.

ἘΠαρθέντος σε ἐν Ξύλῳ ἐθελουσίως, κατανοῶν ὁ Ἥλιος, Ἥλιε τῆς δόξης, σκότος ἐνεδύσατο, καὶ πέτραι ἐρρήγνυντο, καὶ τὸ τοῦ Ναοῦ καταπέτασμα.

ΣΤαυρουμένου σου καὶ λόγχῃ ἐκκεντουμένου, ἡ στρεφομένη Κύριε ῥομφαία ἐδίδου, νῶτα τῇ κελεύσει σου, Λῃστῇ τῷ εὐγνώμονι, ἀνυμνολογοῦντι τὸ κράτος σου.

Μαρτυρικά.

ΤΕιχιζόμενοι τῷ ὅπλῳ τῷ τοῦ Σταυροῦ σου, οἱ Ἀθλοφόροι Κύριε, ἄτρωτοι τῷ βέλει, τῆς κακίας ὤφθησαν· καὶ τείχη κατέστρεψαν, εἰδωλομανίας ἀνίδρυτα.

ἹΕρεῖα ὥσπερ ἄμωμα καὶ θυσίαι, καὶ προσφοραὶ ὁλόκληροι τῷ δι᾽ εὐσπλαγχνίαν, Μάρτυρες πτωχεύσαντι, Κυρίῳ προσήχθητε, πόνων ἀμοιβὰς κομιζόμενοι.

Σταυροθεοτοκίον.

Ἡ Τὸν ἄχρονον ἐν χρόνῳ ἀποτεκοῦσα, καὶ Παρθενίαν ἄμωμον μόνη κεκτημένη, Ξύλῳ ἀναρτώμενον, ὡς ἔγνως τὸν Κύριον, πόνοις τὴν ψυχὴν κατεμέριζες.

Εἱρμὸς, ὁ αὐτός. Τῆς Θεοτόκου.

ἉΓιάσματος ὑπάρχουσα θεῖος Οἶκος, τοῦ κενωθέντος Ἄχραντε ἐπ᾽ εὐεργεσίᾳ, τοῦ ἰδίου πλάσματος· ψυχήν μου ἁγίασον, καὶ τὸν λογισμὸν φωταγώγησον.

ῬΥπιζόμενον τῇ λαίλαπι τῆς κακίας, τὸν λογισμόν μου Δέσποινα καὶ τῇ ἀμελείᾳ, ὅλον βυθιζόμενον, πρεσβείαις σου στήριξον, καὶ τῶν συμπτωμάτων ἐξάρπασον.

ΤΟ παλάτιον Παρθένε τοῦ Βασιλέως, τὸν Οὐρανὸν τὸν ἔμψυχον νῦν ἐκδυσωποῦσε, οἶκον τῆς Τριάδος με, εὐχαῖς σου ἀνάδειξον, σπήλαιον λῃστῶν χρηματίσαντα.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

ΣΥ Κύριέ μου Φῶς, εἰς τὸν Κόσμον ἐλήλυθας· φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Τροπάριον.

ΝΥγείσης σου πλευρᾶς, ἀφθαρσίας προχέεις μοι, ὦ Δέσποτα θεῖα ῥεῖθρα, τῷ πλευρᾶς παραιτέσει, εἰς φθορὰν ὀλισθήσαντι.

Ὁ Τίμιος Σταυρὸς, κατ᾽ ἐχθρῶν ἐστι τρόπαιον· ὃν δέδωκας ἡμῖν Λόγε, εἰς ψυχῶν σωτηρίαν, τοῖς πίστει ἀνυμνοῦσί σε.

Μαρτυρικά.

ΠΥρίνοις οἱ θνητοί, λειτουργοῖς νῦν συνήφθησαν· πῦρ ἔνυλον διελθόντες, τῶν μεγίστων βασάνων, ὡς Μάρτυρες ὑπέρλαμπροι.

ΛΥόμενον πολλοῖς, τὸ σαρκίον παθήμασι, τὴν ἄλυτον πρὸς τὸν Κτίστην, τῆς ψυχῆς ἐβεβαίου, τῶν Μαρτύρων διάθεσιν.

Σταυροθεοτοκίον.

Ὁ Μόνος ἀγαθὸς, ὑποδὺς Μήτραν ἄφθορον, σαρκούμενος καθωράθη, καὶ σταυρούμενος ὅπως, φθορᾶς ἡμᾶς λυτρώσηται.

Ἄλλος. Ἀσεβεῖς οὐκ ὄψονται.

Ἡ Ἀμνὰς ἡ τέξασα Ἀμνὸν τὸν τοῦ Θεοῦ, τὴν ἐμὴν ζώωσον ψυχήν, φαρμακευθεῖσαν δήγματι τῷ τοῦ ὄφεως· καὶ εἰς ὄρη Δέσποινα, πλανωμένην παραβάσεως.

ΤΗ θερμῇ πρεσβείᾳ σου, τῷ κρύει τῶν δεινῶν, πηγνυμένην μου τὴν ψυχήν, εἰς θερμὴν τοῦ Κτίσαντος, θείαν ἀγάπησιν, εὐσεβῶς συγκίνησον, Θεοτόκε Παναμώμητε.

Ἡ Καλὴ καὶ ἄμωμος Ἁγνὴ ἐν γυναιξί, τὴν ταλαιπωρόν μου ψυχήν, ἐμπαθῶν ὀρέξεων, νῦν ἐλευθέρωσον· καὶ ἁγνῶς βιώσαιμε, μεσιτείαις σου ἐνδόδωσον.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

ΘΥσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι· ἐκ δαιμόνων λύθρου κεκαθαρ-

μενὴ, τῷ δὶ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥάναντι Αἵματι.

Τροπάριον.

Ὁ Πάσης ἀωτάτης τιμῆς ὢν ἐπέκεινα, ἀτιμασθῆναι ὑπέσχου, ὅπως με κακίστως ἀτιμασθέντα, καὶ τιμήσῃς, καὶ Σταυρῷ διασώσῃς Φιλάνθρωπε.

Νεκρὸς μεῦ, χρηματίσας ἐν Ξύλῳ ὑψούμενος, τὸν νεκρωτὴν δὲ εἰργάσω, καὶ νεκρὸν καὶ πάσης πεπληρωμένον, νῦν ἀσχύνης, Ποιητά μου ὑμνῶ σου τὴν δύναμιν.

Μαρτυρικά.

Ἐτρώθη, τῷ τιτρώσκειν ὑμᾶς ὁ παμπόνηρος, ταῖς αὐηκέστοις βασάνοις, καὶ ποσὶν ὑμῶν καταβέβληται· καὶ ὁρᾶται, ὑπὸ πάντων γελώμενος Μάρτυρες.

Ἰάσεις, ἀναβλύζει Μαρτύρων τὰ λείψανα, κόνις κειμένη ἐν τάφῳ, ὡσεὶ κόνιν Δαίμονας διαλύει, καὶ ποικίλα, θεραπεύει σωμάτων νοσήματα.

Σταυροθεοτοκίον.

Ἡ Ἄλοισε, ὁ παράνομος δῆμος προσήλωσε· καὶ λύπης νῦν τῇ ῥομφαίᾳ, τὴν ἐμὴν καρδίαν σπαράττομαι, Ποιητά μου, ἡ Παρθένος ἐβόα δακρύουσα.

Εἱρμὸς, ὁ αὐτός.

Θανάτου, ἀναιρέτης ὁ Τόκος σου γέγονεν, ὡς τὴν θανόντων Παρθένε, καὶ ζωὴ καὶ λύτρωσις· διὰ τοῦτο, δυσωποῦσε, τὴν ψυχήν μου θανοῦσαν ἀνάστησον.

Ἔκτεινον, βοηθείας μοι χεῖρα Φιλάνθρωπε, ἐν τῷ πελάγει τοῦ βίου, κλυδωνιζομένῳ ταῖς ἱκεσίαις, τῆς Μητρός σου, καὶ τῶν ἄνω ἀπείρων Δυνάμεων.

Ἡ Χώρα, ἡ τὸν θεῖον βλαστήσασα ἄσταχυν, τὴν ἐκτακεῖσαν ψυχήν μου, καὶ λιμῷ τῶν θείων ἐκτηκομένην, μὴ παρίδῃς, ἀλλὰ θρέψον τοῦ Υἱοῦ σου ἐνθέοις χαρίσμασιν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι Παῖδες τῇ Περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον, ἢ τῇ φλογὶ, πυρπολούμενοι ἐκραύγαζον· Εὐλογημένος εἶ ἐν τῷ Ναῷ, τῆς δόξης σου Κύριε.

Τροπάριον.

Σταυροῦσαι θέλων, ἐπὶ Σταυροῦ γυμνὸς Ἀθάνατε, μόνε ὁ ἐνδύων νέφεσιν Οὐρανόν. καὶ τοὺς πάλαι τοὺς Προπάτορας, ἀπογυμνώσαντα, ἐπενδύεις ἀφθαρσίαν αἰώνιον.

Σταυρῷ ὑψώθης, καὶ ὁ πεσὼν Ἀδὰμ ἐγήγερται· λόγχῃ ἐκεντήθης Δέσποτα τὴν πλευρὰν, καὶ πληγὴν καιρίαν ἔλαβεν, ὁ πολυμήχανος. Εὐλογητὸν τὸ κράτος σου Κύριε.

Μαρτυρικά.

Ὡραιοτάτως, τῷ ὡραίῳ Λόγῳ ἑνούμενοι, Κόσμου παντελῶς, πανεύφημοι Ἀθληταὶ, ἐχωρίσθητε δεσμούμενοι, καὶ συντριβόμενοι, καὶ τὸν ἐχθρὸν ἀεὶ συμποδίζοντες.

Τείχη τῆς πλάνης, ἀναμοχλεύσει θείᾳ κατέαξαν, θείων παθημάτων, ὄντως οἱ Ἀθληταὶ, καὶ πιστοῖς τεῖχος ἐδείχθησαν, καὶ φυλακτήριον, τοῖς εὐσεβῶς αὐτοὺς μακαρίζουσι.

Σταυροθεοτοκίον.

Τὸν ἐν καμίνῳ, δρόσον ὀφθέντα Χριστὸν τὸν Θεὸν, Κόρη, μηδαμῶς δὲ φλέξαντα τὴν νηδὺν, τὴν σὴν βλέπουσα κρεμάμενον, ξύλῳ ἐδόξαζες, τὴν ὑπὲρ νοῦν αὐτοῦ συγκατάβασιν.

Εἱρμὸς, ὁ αὐτός.

Τὸ θεῖον ὄρος, ἐξ οὗ ὁ λίθος ἐκτέτμηται, Κόρη ὁ συντρίψας στήλας δαιμονικὰς, τῆς ψυχῆς μου τὰ ἰνδάλματα, καὶ τῆς καρδίας μου, τὴν λιθώδη ἀπέλασον πόρρωσιν.

Ὁ Υἱὸς ἐσαλεύθης, ὡς δεξαμένη ἐν τῇ μήτρᾳ σου Κόρη, τὸν προβλέψει γῆν καὶ τὰ ἐν αὐτῇ, ὅτε βούλεται σαλεύοντα. διό με στήριξον, ταῖς προσβολαῖς ἐχθροῦ σαλευόμενον.

Καταβαλοῦσα, τὸ σαρκικόν μου φρόνημα, ὅλον Θεοτόκε δεῖξον πνευματικὸν, ἀρεταῖς κατακοσμοῦσά με· ὃν ὁ παμπόνηρος, ἡδονῶν ἀκοσμίᾳ ἠμαύρωσε.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Χεῖρας ἐκπετάσας Δανιὴλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε· πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ, Παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τροπάριον.

Ἡλώσας παλάμας ἐν Σταυρῷ, χειρὸς ἁμάρτημα, ἀκρατοῦς Δέσποτα θέλων ἰάσασθαι· ἥλοις δὲ προσηλώθης ἅπαν νόημα, τοῦ Πρωτοπλάστου ἐξελὼν, ἐμπαθὲς Κύριε, μελῳδοῦντος· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ῥήγνυται χειρόγραφον τῆς σῆς νυγείσης, θείας Πλευρᾶς, τοῦ Πρωτοπλάστου Ἀδάμ. ῥανίσιν Αἵματος Δέσποτα, ἁγιάζεται τὰ σύμπαντα, εὐχαριστείας ἐν φωναῖς ἀεὶ κραυγάζοντα· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Μαρτυρικά.

Ἵσταντο ἐν μέσῳ τοῦ πυρὸς, ὡς δροσιζόμενοι, οὐ φλογιζόμενοι, οἱ πανᾴδιμοι Μάρτυρες, καὶ τὴν Παίδων ἀναμέλποντες, ἐν συμφωνίᾳ μυστικῇ, τὴν θείαν ὄντως ᾠδὴν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀδίσακτον φέροντες πυρσὸν, τῆς προαιρέσεως· σκότει κολάσεων, οὐ παρετράπητε Μάρτυρες. ἀλλ' ἐνθέως δυναμούμενοι, ἐπανεδράμετε, πρὸς φῶς βοῶντες ἄδυτον· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Θεοτοκίον.

Νεκρούμενον βλέπουσα Χριστὸν, καὶ τὸν νεκρώσαντα βροτοὺς, νεκροῦντα ἐχθρὸν, ἡ πολυύμνητος Δέσποινα, ὡς Δεσπότην ὕμνει κλαίουσα, καὶ τὸ μακρόθυμον αὐτοῦ, ἀποθαυμάζουσα ἀνεβόα· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Εἱρμὸς, ὁ αὐτός.

Ὡραῖον ἐκύησας καρπὸν, ἐξ οὗ ὁ θάνατος φαγὼν ἀπώλετο· διὸ κραυγάζω σοι Δέσποινα, τῷ καρπῷ τῆς ἁμαρτίας με, θανατωθέντα δολερῶς, ζώωσον μέλποντα· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Κοίμησον κινήσεις ἐμπαθεῖς, τῆς διανοίας μου τῇ ἀκοιμήτῳ σου, πρεσβείᾳ Πανάγνε Δέσποινα, καὶ ἀνάστησον ἐξ ὕπνου με, τῆς ῥᾳθυμίας μελῳδεῖν ἐγρηγορήσει ψυχῇ· Εὐλογεῖτε, πάντα τὰ ἔργα, Κυρίου τὸν Κύριον.

Οὐκ ἔξεις ταλαίπωρε ψυχὴ, ἐκεῖ συνήγορον, κατηγορήσης σου, τῆς φαύλης πράξεως ἄμετρα. διὰ τοῦτο μετανόησον, καὶ συνεργὸν πρὸς τὸ καλὸν, τὴν μόνην Ἄχραντον προσλαμβάνου. μόνη γὰρ πέλει βροτῶν καταφύγιον.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας, τὰς διεστώσας φύσεις. διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.

Ἰδοὺ ἡ ζωὴ κρεμαμένη, ἐπὶ Σταυροῦ πᾶσιν ὡράθη· Ἥλιος δὲ τοῦτο μὴ φέρων, ἀκτῖνας παύει, καὶ γῆ σαλεύεται, καὶ λογισμοὶ στηρίζονται, ἐπ' εὐσεβείᾳ καὶ σεμνότητι.

Ὢ Πῶς σε ὁ ἄνομος δῆμος, τὸν Νομοδότην κατακρίνει, Ξύλῳ Ἰησοῦ μου τεθνάναι, ζωὴν τῶν ὅλων ὄντα καὶ Κύριον. καὶ διὰ Πάθους ἅπασι, βροτοῖς παρέχοντα ἀπάθειαν.

Μαρτυρικόν.

Στόμασιν ὑμῶν Θεολόγοις, ἀνεκηρύξατε πάνσοφοι, Σαρκωσιν τοῦ Λόγου ἐν μέσῳ, παρανομούν-

τῶν ἐχθρῶν Πανεύφημοι· καὶ ἱερῶς ἀθλήσαντες, νίκης στεφάνοις κατεστέφθητε.

Ἡμεροφαεῖς ὡς ἀστέρες, πᾶσαν τὴν Κτίσιν φρυκτωρεῖτε, ἄθλων ἱερῶν ἀναλάμψει, καὶ ἰαμάτων θείαις λαμπρότησι· καὶ τῶν παθῶν σκεδάζετε, νύκτα βαθεῖαν Θεῖοι Μάρτυρες. Θεοτοκίον.

Φώτισον Ἁγνὴ τὴν ψυχήν μου, τῇ ἁμαρτίᾳ σκοτισθεῖσαν, λῦσον τῶν κακῶν μου τὰ νέφη, φωτὸς νεφέλη ἡ σκοτιζόμενον, Ἥλιον πάλαι βλέψασα, ἐν τῷ σταυροῦσθαι τὸν Ἀθάνατον. Τῆς Θεοτόκου, ὁ αὐτός.

Ῥῆξον τὰ δεσμὰ τῶν κακῶν μου, τῇ θείᾳ λόγχῃ τοῦ Υἱοῦ σου. λῦσον τὴν ἀθλίαν ψυχήν μου, πεπεδημένην καὶ κινδυνεύουσαν, καὶ τῇ ἀγάπῃ πρόσδησον, Παρθενομῆτορ τοῦ Θεοῦ ἡμῶν.

Ἡ τῶν Οὐρανῶν πλατυτέρα, τὴν στενωθεῖσάν μου καρδίαν, πάσῃ προσβολῇ ἐναντίᾳ, πρὸς ἀπαθείας πλάτος ἐξάγαγε, διὰ στενῆς ὁδεύοντά με, ἐνδυναμοῦσα τρίβου πάντοτε.

Ἵνα δοξάζω σε Παρθένε, τὴν ἀληθῶς δεδοξασμένην, πάσης ἀδοξίας με ῥῦσαι, τῆς ἁμαρτίας, καὶ δόξης μέτοχον, ἐπουρανίου ποίησον, τὸν προσφυγόντα τῷ ἐλέει σου.

Εἰς τὸν στίχον τῶν Αἴνων, στιχηρὰ Σταυρώσιμα. ἦχος δ'.

Τεῖχος ἡμῖν γένοιτο ὁ Σταυρός σου, Ἰησοῦ Σωτὴρ ἡμῶν. ἄλλην γὰρ ἐλπίδα οἱ πιστοὶ οὐκ ἔχομεν, εἰμὴ σὲ τὸν ἐν αὐτῷ σαρκὶ προσηλωθέντα, καὶ παρέχοντα ἡμῖν τὸ μέγα ἔλεος.

Ἔδωκας σημείωσιν, τοῖς φοβουμένοις σε Κύριε, τὸν Σταυρόν σου τὸν τίμιον, ἐν ᾧ ἐθριάμβευσας, τὰς ἀρχὰς τοῦ σκότους, καὶ τὰς ἐξουσίας, καὶ ἐπανήγαγες ἡμᾶς εἰς τὴν ἀρχαίαν μακαριότητα. διό σου τὴν φιλάνθρωπον, οἰκονομίαν δοξάζομεν, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν. Μαρτυρικόν.

Πῶς ὑμῶν οὐ θαυμάσωμεν, τοὺς ἀγῶνας Ἅγιοι Μάρτυρες; ὅτι σῶμα θνητὸν περικείμενοι, τοὺς ἀσωμάτους ἐχθροὺς ἐτροπώσατε. οὐκ ἐφόβησαν ὑμᾶς τῶν Τυράννων αἱ ἀπειλαί. οὐ κατέπτηξαν ὑμᾶς τῶν βασάνων αἱ προσβολαί. ὄντως ἀξίως παρὰ Χριστοῦ ἐδοξάσθητε, καὶ ταῖς ψυχαῖς ἡμῶν αἰτεῖσθε τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

Ἐν Σταυρῷ σε τεινόμενον, καὶ τοῖς ἥλοις πηγνύμενον, καὶ πλευρὰν τῇ λόγχῃ σε τιτρωσκόμενον, κατανοοῦσα ἡ Μήτηρ σου, θρηνοῦσα ἐκραύγαζεν· οἴμοι Τέκνον ποθεινόν, πῶς σε δῆμος ὁ ἄνομος, ἐθανάτωσε, τὴν ζωὴν τοῖς ἐν Ἅδῃ χορηγοῦντα; ἀλλ' ἀνάστηθι συντόνως, χαροποιῶν οὓς ἠγάπησας.

## ΤΗ͂Ι ΤΕΤΑΡΤΗ, ΕΣΠΕΡΑΣ.

Εἰς τὸν στίχον, στιχηρὰ Ἀποστολικά. ἦχος πλ. α'.

Μαθηταὶ τοῦ Σωτῆρος, Μυστηρίων αὐτόπται γενόμενοι, τὸν μὴ θεωρούμενον, καὶ ἀρχὴν μὴ ἔχοντα, ἐκηρύξατε λέγοντες· Ἐν ἀρχῇ ἦν ὁ Λόγος. οὐκ ἐκτίσθητε πρὸ τῶν Ἀγγέλων, οὐκ ἐμάθετε παρὰ ἀνθρώπων, ἀλλ' ἐκ τῆς ἄνωθεν σοφίας. διὸ παρρησίαν ἔχοντες, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τοὺς Ἀποστόλους Κυρίου, μελῳδικῶς ἐν ᾠδαῖς εὐφημήσωμεν. ἐνδυσάμενοι γὰρ τὴν τοῦ Σταυροῦ πανοπλίαν, τὴν τῶν Εἰδώλων πλάνην κατήργησαν, καὶ νικηφόροι ἀνεδείχθησαν στεφανῖται. ὧν ταῖς πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς. Μαρτυρικόν.

Ἀκορέστῳ διαθέσει ψυχῆς, Χριστὸν οὐκ ἀρνησάμενοι Ἅγιοι Μάρτυρες, οἵτινες τοὺς δεινοὺς καὶ διαφόρους αἰκισμούς, παθημάτων ὑπεμείνατε. τῶν Τυράννων τὰ θράση κατηδαφίσατε, ἀκλινῆ καὶ ἄτρωτον τὴν πίστιν φυλάξαντες, εἰς Οὐρανοὺς μετέστητε. ὅθεν καὶ παρρησίας τυχόντες πρὸς αὐτόν, αἰτήσασθε δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Κεχαριτωμένη Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ὅτι ἐπεφάνη σοι ὁ Βασιλεὺς τῆς δόξης, καὶ ἐπεσκίασέ σοι τὸ Παναγιον Πνεῦμα· ὡς παρρησίαν ἔχουσα, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῇ Πέμπτῃ πρωΐ, μετὰ τὴν α'. στιχολογίαν

Καθίσμ. Ἀποστολικά. ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Ὡς αὐτόπτας τοῦ Λόγου, καὶ ὑπηρέτας Χριστοῦ, τοὺς σοφοὺς Ἀποστόλους εὐφημήσωμεν, ἐν ᾠδαῖς πνευματικαῖς, καὶ ὕμνοις ἅπαντες πιστοί. τὸν Χριστὸν γὰρ ἐκτενῶς, καθικετεύουσιν αὐτοί, ὑπὲρ ἡμῶν τῶν ὑμνούντων, τὴν ἱερὰν αὐτῶν μνήμην, καὶ προσκυνούντων τὰ λείψανα.

Τοὺς Ἀποστόλους συμφώνως εὐφημήσωμεν, ὡς κηρύξαντας πᾶσι πιστοῖς τὴν ἄψευστον, καὶ ὀρθόδοξον τοῦ Κυρίου διδαχήν, καὶ ἐκδιώξαντας, τὴν τῶν αἱρέσεων ἀχλύν, καὶ φωτισμὸν πνευματικόν, ἐκλάμψαντας ἐν τῷ Κόσμῳ, τὴν χάριν τὴν τῶν δογμάτων, καὶ δυσωποῦντας τοῦ σωθῆναι ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ἀπειρόγαμε Νύμφη καὶ Ἀειπάρθενε, σὺν τοῖς θείοις Αὐτόπταις εὐφημουμένη σε. ὅτι ἐν σοὶ ὁ Δυνατός, μεγαλεῖα ἐποίησεν, ὁ Υἱός σου καὶ Θεός, καὶ πρὸ αἰώνων ἐκ Πατρός, τῇ μήτρᾳ σου ἐνοικήσας, εὐδόκησε γεννηθῆναι, ἵνα ἐκ πλάνης σώσῃ τὸ γένος ἡμῶν.

Μετὰ τὴν β'. στιχολογ. Καθίσμ. Ἀποστολικά. ἦχος πλ. α'.

Τὸν συνάναρχον Λόγον.

Τοὺς Ἀποστόλους ἐν ὕμνοις εὐφημήσωμεν, ὡς αὐτόπτας τοῦ Λόγου, καὶ Θείους Κήρυκας, καὶ τῶν ἐθνῶν πνευματικούς, σαγηνευτὰς ὡς ἀληθῶς, ὅτι προσήγαγον ἡμᾶς, εἰς τὴν ἐπίγνωσιν Χριστοῦ, ῥυσάμενοι ἐκ τῆς πλάνης, τὸ γένος τὸ τῶν ἀνθρώπων, καὶ Βασιλείας κατηξίωσαν.

Μαθηταὶ τοῦ Σωτῆρος Θεῖοι Ἀπόστολοι, οἱ σωτήριον λόγον ἐγκατασπείραντες, εἰς τὰ πέρατα τῆς γῆς, καὶ καταυγάσαντες, τοὺς ἐν σκότει καὶ σκιᾷ, καθημένους τὴν ἐμήν, φωτίσατε σκοτισθεῖσαν, ψυχὴν παθῶν ἀμαυρώσει, ταῖς ἱκεσίαις ἡμῶν πάνσοφοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τῶν ἐν σοὶ τὰς ἐλπίδας Παρθένε ἄχραντε, ἐκ ψυχῆς κεκτημένων σκέπη ὑπάρχουσα· καὶ ἡμᾶς ἐκ πειρασμῶν καὶ περιστάσεων, καὶ κινδύνων χαλεπῶν ἐλευθέρωσον Ἁγνή, πρεσβεύουσα τῷ Υἱῷ σου, σὺν τοῖς αὐτοῦ Ἀποστόλοις· καὶ σῶσον πάντας τοὺς ὑμνοῦντάς σε.

Τῇ Πέμπτῃ Κανὼν τῶν Ἁγίων Ἀποστόλων.

ᾨδὴ α'. ἦχος πλ. α'. Ὁ Εἱρμός.

Ἵππον καὶ ἀναβάτην εἰς θάλασσαν ἐρυθράν, ὁ συντρίβων πολέμους, ἐν ὑψηλῷ βραχίονι, Χριστὸς ἐξετίναξεν, Ἰσραὴλ δὲ ἔσωσεν, ἐπινίκιον ὕμνον ᾄδοντα.

Τροπάριον.

Ἔλαμψιν πρωτοδότως τὴν φωτοδότιδα, τοῦ σαρκὶ ὁμιλῆσαι, βροτοῖς καταξιώσαντος, πλουτήσαντες ἔνδοξοι, τῆς ψυχῆς μου λύσατε, πάντα ζόφον Θεῖοι Ἀπόστολοι.

Τείνας καθάπερ βέλη τὸ Θεῖον τόξον ὑμᾶς, εἰς τὸν σύμπαντα Κόσμον, ἀπέστειλεν Ἀπόστολοι, τὰ βέλη συντρίβοντας, τοῦ Βελίαρ ἅπαντα, καὶ ἰωμένους πιστῶν τὰ τραύματα.

Ἔχοντες τὴν Σοφίαν αὐτὴν Διδάσκαλον, ἐσοφίσατε πάντα, Ἀπόστολοι τὰ πέρατα. διό με φωτίσατε, τοῦ δυσμενοῦς ἅπασαν, πανουργίαν ἀποκρουόμενοι.

Θεοτοκίον.

Μόνη εὐλογημένη Θεοχαρίτωτε, εὐλογίας ἀνθρώπων, τὸ γένος χαριτώσασα, Χριστὸν καθικέτευε, σὺν τοῖς Θείοις Ἄρξασι, Ἀποστόλοις ἐλεηθῆναι ἡμᾶς.

Ἕτερος Κανὼν τοῦ Ἁγίου Νικολάου. Οὗ ἡ ἀκροστιχίς. Πέμπτον προσάξω σοι Νικόλαε μέλος. Ἰωσήφ.

Ὠδὴ α΄. ἦχος πλ. α΄. Ἵππον καὶ ἀναβάτην.

Πίστει καὶ πόθῳ Πάτερ, οἰκειωθεὶς τῷ Θεῷ, τὰ πανάγια τούτου ἐπλήρωσας θελήματα. δι' ὧν ἐχρημάτισας, κατὰ πάντα Ἅγιος, Θεοφόρε Πάτερ Νικόλαε.

Ἔχοντές σε προστάτην πρὸς τὸν Οἰκτίρμονα, περιστάσεσι Μάκαρ, καὶ θλίψεσι κλονούμενοι, πρὸς σὲ καταφεύγομεν· δίδου χεῖρα σώζουσαν, ἀπὸ πάσης ἡμᾶς στενώσεως.

Μύρων Ἀρχιερέα Χριστός σε ἔχρισεν, εὐωδίαις θαυμάτων, ἡμᾶς εὐωδιάζοντα. ὅθεν δυσωπούμενός σε, δυσωδίας λύτρωσαι, ἁμαρτίας ἡμᾶς Νικόλαε.

Θεοτοκίον.

Πάλαι τῶν Προφητῶν σε χορὸς ἐκάλεσεν, ὄρος Θεῖον Παρθένε, καὶ Πύλην ἀδιόδευτον. ὅθεν δυσωποῦμέν σε, μετανοίας πύλας, Παρθενομῆτορ ἡμῖν ὑπάνοιξον.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Ὁ πήξας ἐπ' οὐδενὸς τὴν γῆν τῇ προστάξει σου, καὶ μετεωρήσας ἀσχέτως βρίθουσαν, ἐπὶ τὴν ἀσάλευτον Χριστὲ, πέτραν τῶν ἐντολῶν σου, τὴν Ἐκκλησίαν σου στερέωσον, μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Τροπάριον.

Ὁ σάρκα ὑπερβολῇ πτωχεύσας χρηστότητος, δι' αὐτὸν πτωχεύσαντας κατεπλούτισεν, ἔνδοξοι Ἀπόστολοι ὑμᾶς, χαρίσμασι παντοίοις, καταφωτίζοντας τὰ πέρατα, θείαις καὶ σεπταῖς ἐπιγνώσεσιν.

Ἐπλήγην τῷ ἰοβόλῳ ὄφεως δήγματι, καὶ τραυματισθεῖσαν καρδίαν κέκτημαι. ὅθεν σοι βοῶ τῷ δι' ἐμὲ, Χριστὲ τραυματισθέντι, τῶν Ἀποστόλων σου δεήσεσιν, ἴασαι καὶ σῶσόν με δέομαι.

Σαγήνῃ τῶν πρεσβειῶν ὑμῶν Παμμακάριστοι, ἐκ βυθοῦ κακίας τοῦ πολεμήτορος, καὶ ἐκ τρικυμίας λογισμῶν, παθῶν τε ψυχοφθόρων, ἀναγαγόντες με προσάξατε, τῷ Θεῷ τῶν ὅλων σωζόμενον.

Θεοτοκίον.

Τὸν ὄμβρον ἡ δεξαμένη τὸν ἐπουράνιον, σὺν τοῖς Ἀποστόλοις τοῦτον ἱκέτευε, στῆσαί μου τοὺς ὄμβρους τῶν παθῶν, τὸ πέλαγος ξηρᾶναι τῆς ἁμαρτίας μου, καὶ σῶσαί με, τὸν εἰλικρινῶς σε δοξάζοντα.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Τὰ βέλη τοῦ πονηροῦ ἀπήμβλυνας Ὅσιε, ταῖς ἀντιτυπίαις τῶν θείων πόνων σου· ἀλλὰ ταῖς πρεσβείαις σου σοφὲ, τῆς τούτου κακουργίας καὶ ἐπηρείας διατήρησον, μέγιστε ἀτρώτους Νικόλαε.

Ὁ βίον Ἀγγελικὸν ἐν γῇ ἐνδειξάμενος, νῦν σὺν τοῖς Ἀγγέλοις ἀεὶ παρίστασαι, θρόνῳ τῆς Τριάδος ζοφερῶν, ἡμῖν ἁμαρτημάτων καὶ πειρασμῶν, λύσιν αἰτούμενος, Πάτερ Ἱεράρχα Νικόλαε.

Νόσους μου τὰς ἀμαυρώσεις πάσας ἀπέλασον, σοῦ ταῖς σελασφόροις αὐγαῖς Νικόλαε, κόπασον τὸν σάλον τῶν παθῶν, κυβέρνησόν με Πάτερ, πρὸς ἀπαθείας ὅρμον δέομαι· ὅπως ἐν αἰνέσει δοξάζω σε.

Θεοτοκίον.

Παρέστης ἐκ δεξιῶν Χριστοῦ ὡς Βασίλισσα, προσωτοῖς χρυσέοις Θεοχαρίτωτε, περιβεβλημένη ἀληθῶς, ἡμῖν τὴν Βασιλείαν τῶν Οὐρανῶν, τῇ μεσιτείᾳ σου, Κόρη προξενοῦσα τοῖς δούλοις σου.

Ὠδὴ δ΄. Τὴν θείαν ἐννοήσας σου κένωσιν.

Ἡ θύρα Ἰησοῦς ὁ Θεὸς ἡμῶν, καθυπανοίξας τὴν αὐτοῦ, τοῖς Ἀποστόλοις ἐπίγνωσιν, πᾶσι τοῖς ἔθνεσι θύραν, διήνοιξε τοῖς τούτων διδάγμασιν.

Υἱὲ Θεοῦ Υἱοὺς κατὰ μέθεξιν, τοῦ οὐρανίου σου Πατρὸς, τοὺς Ἀποστόλους ἀνέδειξας, ταῖς παρακλήσεσι τούτων, Υἱοὺς φωτὸς ἡμᾶς πάντας ποίησον.

Οἱ θρόνων ἐπὶ δώδεκα μέλλοντες, σὺν τῷ Κριτῇ καὶ Βασιλεῖ, δεδοξασμένως καθέζεσθαι, τῆς φοβερᾶς καὶ φρικτῆς με, Ἀπόστολοι λυτρώσασθε Κρίσεως.

Θεοτοκίον.

Τοῦ θείου Κιβωτὲ ἁγιάσματος, ἁγίασόν μου τὴν ψυχὴν, τὸν λογισμὸν φωταγώγησον, διαπαντὸς δυσωποῦσα, Χριστὸν σὺν Ἀποστόλοις σωθῆναί με.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Ῥεόντων ἀντηλλάξω τὰ μέλλοντα, ὧν κληρονόμους καὶ ἡμᾶς, εὐχαῖς ἁγίαις σου ποίησον, πειρατηρίων παντοίων, λυτρούμενος τοῦ βίου Νικόλαε.

Ὁ μύρων προεδρεύσας Νικόλαε, πάσας αἰσθήσεις τῆς ἐμῆς, καρδίας μύρισον Ἅγιε, πάθη δυσώδη ἐκ ταύτης, εὐχαῖς σου ἐκδιώκων ἑκάστοτε.

Συντρίψας τοῦ ἐχθροῦ μηχανήματα, τοὺς ὁρατοὺς ἡμῶν ἐχθροὺς, καὶ ἀοράτους Νικόλαε, διηνεκῶς πολεμοῦντας, τελείᾳ ἀφανίᾳ παράπεμψον.

Θεοτοκίον.

Ἁγία Θεοτόκε βοήθει μοι, ταῖς ἡδοναῖς διηνεκῶς, βυθιζομένῳ τοῦ σώματος, καὶ ῥαθυμίας ἐν κλίνῃ, ἀεὶ κατακειμένῳ καὶ στένοντι.

Ὠδὴ ε΄. Ὁ ἀναβαλλόμενος.

Οἱ Πνευματορρήτορες σοφοὶ Ἀπόστολοι, ἐν ὑπερῴῳ, πυρὸς ἐν εἴδει, τὸ Πνεῦμα τὸ Ἅγιον, αὐτοῖς προσφοιτῆσαν, φρικτῶς καθυπεδέξαντο.

Βέλη ἐκλεκτὰ ὑμᾶς, Χριστὸς ἀπέστειλε, συνθλῶντας βέλη τῆς πονηρίας. διό με ἰάσασθε, τετραυματισμένον, τοῦ δυσμενοῦς τοῖς βέλεσιν.

Οἱ καταστρεψάμενοι, τῆς ἀσεβείας τὴν γῆν, καταστραφεῖσαν ταῖς πλημμελείαις, τὴν ἐμὴν διάνοιαν, δρόσῳ ἰαμάτων, Ἀπόστολοι ἰάσασθε.

Θεοτοκίον.

Μὴ καταδικάσῃς με, μὴ ἀπορρίψῃς με, τοῦ σοῦ προσώπου, ἐκδυσωπεῖ σε, ἡ ἁγνῶς Τεκοῦσά σε, καὶ τῶν Ἀποστόλων ὁ δῆμος Πολυέλεε.

Τοῦ Ἁγίου, ὁ αὐτός.

Ξόανα κατέαξας, εἰδώλων Ἅγιε, βουλὰς ἀπράκτους, αἱρετιζόντων, ἔδειξας Νικόλαε, καὶ ἀπαγομένους, πρὸς θάνατον ἐξήρπασας.

Ὤρθρισας πρὸς Κύριον, ἐκ βρέφους Ὅσιε, καὶ ταῖς ἐκεῖθεν φωτοχυσίαις, ὅλως κατηγλαΐσθης· διὸ τῆς ψυχῆς μου, τὰ νέφη ἀποδίωξον.

ΣΕ' καθικετεύομεν, Πάτερ Νικόλαε, τῇ ὥρᾳ ταύτῃ ἐν μέσῳ πάντων, γενοῦ τῶν καλούντων σε, τὰ πρὸς σωτηρίαν, διδοὺς ἡμῖν αἰτήματα. Θεοτοκίον.

ΟΑ' Απειρονόητος, Θεοχαρίτωτε, περιοχῶ σε σωματοφόρος, γενόμενος ἔχηκε, βροτοὺς ἀπαλλάττων, περιεχούσης θλίψεως.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

ΜΑινομένῳ κλύδωνι, ψυχοφθόρῳ Δέσποτα Χριστὲ, τῶν παθῶν τὴν θάλασσαν κατεύνασον, καὶ ἐκ φθορᾶς, ἀνάγαγέ με ὡς Εὔσπλαγχνος.

Τροπάριον.

ΝΕκρουμένην ἔστησας, τῆς κακίας σῆψιν τῶν Ἐθνῶν, τὰς ψυχὰς Φιλάνθρωπε τῷ ἅλατι, τῶν διδαχῶν, τῶν ἱερῶν Ἀποστόλων σου.

ΤΟ'ν βυθὸν ἐπίστασαι, τῶν κακῶν μου Δέσποτα Χριστὲ, δός μοι χεῖρα σῶσόν με φιλάνθρωπε, ταῖς προσευχαῖς, τῶν ἱερῶν Ἀποστόλων σου.

ΚΡιτὰ δικαιότατε, ἐν ἡμέρᾳ δίκης φοβερᾶς, τῆς φρικτῆς με ῥῦσαι κατακρίσεως, τῶν εὐκλεῶν, Ἀποστόλων σου δεήσεσι. Θεοτοκίον.

ΤΟ'ν ἀπεγνωσμένον με, ἀπὸ πλήθους τῶν ἀνομιῶν, σωτηρίας Κύριε ἀξίωσον, τῶν Μαθητῶν, καὶ τῆς Μητρός σου δεήσεσιν. Τοῦ Ἁγίου, ὁ αὐτός.

ΙΛεων ἀπέργασαι, τὸν Δεσπότην σου ταῖς προσευχαῖς, πᾶσι τοῖς τιμῶσί σε Νικόλαε· ὅπως ἡμῖν λύσιν πταισμάτων δωρήσηται.

ΝΟσημάτων λύτρωσαι, καὶ σκανδάλων τῶν βιωτικῶν, πειρασμῶν καὶ θλίψεων Νικόλαε, τοὺς πρεσβείαν, σὲ κεκτημένους πρὸς Κύριον.

ΙΑτρόν σε ἄριστον, ὁ Δεσπότης ἔδειξε Χριστός. διὸ τὰ νοσήματα θεράπευσον, τῶν εὐσεβῶς, Νικόλαε προσιόντων σοι. Θεοτοκίον.

ΚΥοφόρος ἄνανδρος, Θεομῆτορ πέφυκας Ἁγνή· διὰ τοῦτο πίστει ἱκετεύω σε, ψυχῆς ἐμῆς, τὴν ῥαθυμίαν ἀπέλασον. Ὠδὴ ζ'. Ὁ ὑπερυψούμενος.

ΟΥ'περυψούμενος, τῶν Πατέρων Κύριος, ὑμᾶς ὑπερύψωσε, καὶ πᾶσαν κατέῤῥαξεν, ἐχθροῦ τὴν δυναστείαν, Μαθηταὶ Χριστοῦ Θεόπται.

ΡΥ'πον τῆς κακίας μου, ῥείθροις κατανύξεως, ὑμῶν παρακλήσεσιν, Ἀπόστολοι πλύνατε, διδάσκοντες κραυγάζειν· ὁ Θεὸς εὐλογητὸς εἶ.

ΠΥρὶ θείου Πνεύματος, ὕλην κατεφλέξατε, πάσης ματαιότητος. διό φλογιζόμενόν με, λυτρώσασθε γεέννης, Μαθηταὶ Θεοῦ τοῦ Λόγου. Θεῖον.

ΗΤῆς καταπτώσεως, τοῦ Ἀδὰμ ἀνόρθωσις, ἔγειρον πεσόντα με, κακίας πρὸς βάραθρα, πρεσβείαις σου Παρθένε, καὶ τῶν Θείων Ἀποστόλων.

Τοῦ Ἁγίου, ὁ αὐτός.

ΟΛος ἀνακείμενος, τῷ Θεῷ Νικόλαε, ὅλον με διάσωσον, τοῦ βίου τοῖς πάθεσιν, ἀθλίως καθ' ἑκάστην, περιπίπτοντα Θεόφρον.

ΛΑμπτὴρ διαυγέστατε, τὸν νοῦν μου καταύγασον, παθῶν ἀμαυρότησι, ἀεὶ σκοτιζόμενον, καὶ δίδου εὐσχημόνως, παροδεύειν ἐν τῷ βίῳ.

ΑΠαν ἀνοιγόμενον, κατ' ἐμοῦ Νικόλαε, εὐχαῖς σου ἀπόφραξον, στόμα πονηρότατον· καὶ ῥῦσαι ὁρατῶν με, δυσμενῶν καὶ ἀοράτων. Θεοτοκίον.

ΕΚ σοῦ ἡμῖν ἔλαμψεν, ἀνέσπερος Ἥλιος, νεφέλη ὁλόφωτε, Χριστὸς ὁ Θεὸς ἡμῶν, φωτίζων τοὺς ἐν σκότει, τῆς ἀγνοίας Θεοτόκε. Ὠδὴ η'. Ὁ Εἱρμός.

ΣΟὶ τῷ Παντουργῷ, ἐν τῇ καμίνῳ Παῖδες, παγκόσμιον πλέξαντες, χορείαν ἔμελπον· πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

ΣΥ' τὰς νοητὰς, τῶν Ἀποστόλων Λόγε, νεφέλας ἐξήπλωσας, ἐπιῤῥεύσας ἡμῖν, ὄμβρους πανσόφων, καὶ θείων διδαγμάτων, καὶ καταρδεύσας, ἡμᾶς εἰς τοὺς αἰῶνας.

ΟΙ' περικαλλεῖς, τῆς Ἐκκλησίας στῦλοι, οἱ ταύτην βαστάζοντες, Πίστεως δόγμασι, σεσαθρωμένην, ψυχῆς μου τὴν οἰκίαν, θείᾳ τεχνουργίᾳ στηρίξατε Θεόπται.

ΣΤεῦξον ψυχὴ, καὶ ὀχετοὺς δακρύων, ἐξ ὅλης προσάγαγε, καρδίας κράζουσα· μόνε Οἰκτίρμον, σῶσόν με ἱλάσθητί μοι, ταῖς τῶν Μαθητῶν σου, πρεσβείαις εὐπροσδέκτοις. Θεοτοκίον.

ΣΙὼν ἐκλεκτὴ, τοῦ Βασιλέως Πόλις, τῆς ἄνω πολίτην με, ποίησον Πόλεως, μετὰ τῶν Θείων Μαθητῶν δυσωποῦσα, Ἄχραντε Παρθένε, τὸν ἄχρονον Υἱόν σου.

Τοῦ Ἁγίου, ὁ αὐτός.

ΜΥ'ρων γεγονὼς, Ἀρχιεράρχης μέγας, ψυχῆς μου Νικόλαε, αἰσθήσεις μύρισον· ὅπως ἐκφύγω, παθῶν τὴν δυσωδίαν, καὶ τοῦ Παρακλήτου, εἰσδέξωμαι τὴν χάριν.

ΕΣτησας σοφὲ, τῆς σῆς ἁγίας γλώσσης, τοῖς ῥεύμασι ῥεύματα, Ἀρείου δύσφημα. ὅθεν βοῶ σοι· τὴν ῥύσιν τῶν παθῶν μου, ξήρανον εὐχαῖς σου, Νικόλαε Παμμάκαρ.

ΛΥ'τρωσαι ἡμᾶς, ἁμαρτιῶν εὐχαῖς σου, δαιμόνων κακώσεως, Ἐθνῶν ἁλώσεως, πάντων ἀνθρώπων, πονηροτάτης βλάβης· ἵνα σε ὡς ῥύστην, ἡμῶν εὐφημῶμεν. Τριαδικόν.

ΟΙ' τριαδικῶς, τὴν Μοναρχίαν πίστει, ἀπαύστως δοξάζοντες, ἀναβοήσωμεν· Πάτερ καὶ Λόγε, καὶ Παναγίον Πνεῦμα, σὲ ὑμνολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

ΣΑ'ρκα δι' ἡμᾶς, ἐκ σοῦ Θεὸς φορέσας, Ἁγνήν σε πανάμωμον, παντὸς τοῦ γένους ἡμῶν, θείαν Παρθένε δεικνύει προστασίαν, ὅθεν σὲ ὑμνοῦμεν, πιστοὶ μεγαλοφώνως. Ὠδὴ θ'. Ὁ Εἱρμός.

ΗΣαΐα χόρευε, ἡ Παρθένος ἔσχεν ἐν γαστρὶ, καὶ ἔτεκεν Υἱὸν τὸν Ἐμμανουὴλ, Θεόν τε καὶ Ἄνθρωπον. ἀνατολὴ ὄνομα αὐτῷ. ὃν μεγαλύνοντες, τὴν Παρθένον μακαρίζομεν. Τροπάριον.

ΟΥ'ρανοὶ κατάστεροι, ἀγλαΐαις θείων ἀρετῶν, ἐδείχθητε νοητῶς, μέσον τὸν Χριστὸν, ὡς Ἥλιον ἔχοντες· καὶ τὸ τῆς γῆς, πλήρωμα Σοφοὶ, κατενεώσατε. διὰ τοῦτο μακαρίζεσθε.

ΤΟῦ Χριστοῦ τὰ στίγματα, ἐν τῷ θείῳ σώματι ὑμῶν, ὡς κόσμον παμπρεπῆ, φέροντες Σοφοὶ, τὴν καταπονεῖσάν μου, δαιμονικοῖς, βέλεσι ψυχὴν, ταῖς πρὸς τὸν Κύριον, μεσιτείαις θεραπεύσατε.

ΛΑ'κκῳ κατωτάτῳ με, ἁμαρτίας κείμενον Χριστὲ, καὶ ῥαθυμίας δεινῆς, ὕπνῳ τὴν ψυχὴν, ἐπιβαρυνόμενον, διὰ τῶν σῶν, Λόγε Μαθητῶν, ὥσπερ τὸν Λάζαρον, ἐξεγείρας σῶσον Κύριε.

Θεοτοκίον.

ΤΗ'ς ψυχῆς μου εὔθυνον, τὰς πορείας Λόγε τοῦ Θεοῦ, πρὸς τρίβους τῶν ἐντολῶν, σοῦ τῶν ἀπλανῶν, ἔχων τὴν Τεκοῦσάν σε, δυσωποῦσαν Ἄχραντον Ἁγνὴν, καὶ τοὺς πανσόφους σου, Ἀποστόλους πολυέλεε.

Τοῦ Ἁγίου, ὁ αὐτός.

ΙΕ'ράρχης ἔνθεος, χρηματίσας πάσας τοῦ Χριστοῦ, ἐφύλαξας ἐντολάς. ὅθεν τῶν πιστῶν, φύλαξ

θεῖος γέγονας, ἀπὸ πάσης τούτους σωτηρῶν, Πάτερ Νικόλαε, ἐπηρείας καὶ κακώσεως.

Ὡς ποτὲ διέθρεψας, ἀποροῦσαν ἄρτου ἐν λιμῷ, τὴν Πόλιν σου ὡς καλός, Ὅσιε Ποιμήν, ὡσαύτως διάθρεψον, τὴν ψυχήν μου, ἄρτῳ νοητῷ, Πάτερ Νικόλαε, σὲ προστάτην κληρωσαμένην.

Σὲ τὸν μέγαν Ἥλιον, τὸν ἐν ὕψει κείμενον ἀεί, τῆς Ἐκκλησίας Χριστοῦ, Ὅσιε Ποιμήν, πιστῶς ἱκετεύομεν, σελασφόροις λάμψεσι φωτός, σκότος ἀπέλασον, ἁμαρτίας τῶν ψυχῶν ἡμῶν.

Ἤγγικεν ὡς γέγραπται, ἡ ἡμέρα ἡ περιφανής, τῆς παρουσίας Χριστοῦ, ἄγρυπνε ψυχή. ἀπόθου τὸ ῥᾴθυμον, καὶ προθύμως βόησον Χριστῷ· Κύριε σῶσόν με, Νικολάου παρακλήσεσι. Θεοτοκίον.

Φαεινὴν λυχνίαν σε, ὁ Προφήτης ἔβλεψεν Ἁγνή, λαμπάδιον νοητόν, φέρουσαν Χριστόν· δι' οὗ ἐφωτίσθημεν, οἱ ἐν σκότει κείμενοι κακῶν, σὲ μακαρίζοντες, Θεοτόκε Ἀειπάρθενε.

Εἰς τὸν στίχον τῶν Αἴνων, στιχηρὰ Ἀποστολικά. ἦχος πλ. α'.

Μαθηταὶ τοῦ Σωτῆρος, Μυστηρίων αὐτόπται γενόμενοι, τὸν μὴ θεωρούμενον καὶ ἀρχὴν μὴ ἔχοντα, ἐκηρύξατε λέγοντες· Ἐν ἀρχῇ ἦν ὁ Λόγος. οὐκ ἐκτίσθητε πρὸ τῶν Ἀγγέλων· οὐκ ἐμάθετε παρὰ ἀνθρώπων, ἀλλ' ἐκ τῆς ἄνωθεν Σοφίας. διὸ παρρησίαν ἔχοντες, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τοὺς Ἀποστόλους Κυρίου, μελῳδικῶς ἐν ᾠδαῖς ἀνευφημήσωμεν. ἐνδυσάμενοι γὰρ τὴν τοῦ Σταυροῦ πανοπλίαν, τὴν τῶν Εἰδώλων πλάνην κατήργησαν, καὶ νικηφόροι ἀνεδείχθησαν στεφανῖται. ὧν ταῖς πρεσβείαις, ὁ Θεὸς ἐλέησον ἡμᾶς. Μαρτυρικά.

Ἐν ταῖς βασάνοις ὄντες οἱ Ἅγιοι, ἀγαλλόμενοι ἀνεβόων· συναλλάγματα ἡμῖν ἐστι, ταῦτα πρὸς τὸν Δεσπότην. ἀντὶ γὰρ τῶν ἐπανισταμένων μωλώπων τῷ σώματι, φωτεινὸν ἔνδυμα ἐν τῇ Ἀναστάσει ἐπανθήσει ἡμῖν· ἀντὶ δεσμωτηρίων ὁ Παράδεισος· καὶ ἀντὶ τῆς μετὰ τῶν κακούργων καταδίκης, ἡ μετὰ Ἀγγέλων διαγωγή. εὐχαῖς αὐτῶν Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν. Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἡ Προεκλελεγμένη εἰσάκουσον τῆς φωνῆς ἡμῶν, καὶ δώρησαι τὰ αἰτήματα ταῖς ψυχαῖς ἡμῶν. λύτρωσαι ἡμᾶς παθῶν καὶ τῶν ὀδυνῶν, διὰ τῶν Ἀποστόλων, πάντα δυναμένη ὡς Μήτηρ Θεοῦ.

---

## ΤῊ ΠΕΜΠΤῌ ἙΣΠΕΡΑΣ.

Εἰς τὸν στίχον στιχηρὰ Σταυρώσιμα, ἦχος πλ. β'.

Ὁ Σταυρός σου Κύριε, ζωὴ καὶ ἀντίληψις ὑπάρχει τῷ Λαῷ σου· καὶ ἐπ' αὐτῷ πεποιθότες, σὲ τὸν σταυρωθέντα σαρκί, Θεὸν ἡμῶν ὑμνοῦμεν· ἐλέησον ἡμᾶς.

Ὁ Σταυρός σου Κύριε, Παράδεισον ἤνοιξε τῷ γένει τῶν ἀνθρώπων· καὶ ἐκ φθορᾶς λυτρωθέντες, σὲ τὸν σταυρωθέντα σαρκί, Θεὸν ἡμῶν ὑμνοῦμεν· ἐλέησον ἡμᾶς. Μαρτυρικόν.

Οἱ Μάρτυρές σου Κύριε, οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου. ταῖς αὐτῶν πρεσβείαις ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Τριήμερος ἀνέστης Χριστέ.

Παρίστατο τῷ ξύλῳ ποτέ, καιρῷ τῷ τῆς Σταυρώσεως, ἡ Παρθένος, σὺν Παρθένῳ Μαθητῇ, καὶ κλαίουσα ἐβόα· οἴμοι πῶς πάσχεις πάντων, Χριστὲ ὑπάρχων ἡ ἀπάθεια;

Τῇ Παρασκευῇ πρωΐ, μετὰ τὴν α'. στιχολ. Καθίσμ. Σταυρώσιμα. ἦχος πλ. β'.

Σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον. ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε. καὶ ξύλου σωτηρίας γευσάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν ἐλευθερίας ἐτύχομεν, πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Μόνον ἐπάγη τὸ ξύλον Χριστὲ τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθησαν τοῦ θανάτου Κύριε. ὃν γὰρ κατέπιε πόθῳ ὁ Ἅδης, ἀπέλυσε τρόμῳ. ἔδειξας ἡμῖν τὸ σωτήριόν σου Ἅγιε, καὶ δοξολογοῦμέν σε Υἱὲ Θεοῦ ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Ἐλπὶς τοῦ Κόσμου ἀγαθή.

Ἡ Μόνη ἄμωμος Ἀμνάς, Θεοτόκε Παρθένε, τὸν ἐξ αἱμάτων σου ἁγνῶν, σαρκωθέντα ὁρῶσα, κρεμάμενον ἐθελουσίως ἐν Σταυρῷ, ἐκραύγαζες Κόρη, ἐν δάκρυσι πικροῖς· Υἱέ μου ἀνεξίκακε, ὑμνῶ σου τὴν φρικτὴν πᾶσαν οἰκονομίαν.

Μετὰ τὴν β'. στιχολογ. Καθίσμ. Σταυρώσιμον. ἦχος πλ. β'.

Ὁ Σταυρός σου Κύριε ἡγίασται. ἐν αὐτῷ γὰρ γίνονται ἰάματα, τοῖς ἀσθενοῦσιν ἐν ἁμαρτίαις. δι' αὐτοῦ σοι προσπίπτομεν, ἐλέησον ἡμᾶς.

Κύριε κατέκριναν σε Ἰουδαῖοι θανάτῳ, τὴν ζωὴν τῶν ἁπάντων. οἱ τὴν Ἐρυθρὰν ῥάβδῳ πεζεύσαντες, Σταυρῷ σε προσήλωσαν. καὶ οἱ ἐκ πέτρας μέλι θηλάσαντες, χολήν σοι προσήνεγκαν. ἀλλ' ἑκὼν ὑπέμεινας, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῆς δουλείας τοῦ ἐχθροῦ· Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Ἐλπὶς τοῦ Κόσμου ἀγαθή.

Παρισταμένη τῷ Σταυρῷ, ἡ Παρθένος καὶ Μήτηρ, τοῦ ἀνδρὸς πάθους ἐξ αὐτῆς, ὑπὲρ νοῦν Σαρκωθέντος, ἐκραύγαζε δακρυρροοῦσα μητρικῶς· οὐ φέρω σε νεκρὸν κρεμάμενον ὁρᾶν, πνοὴν τὸν παρεχόμενον, τοῖς ζῶσιν ἐπὶ γῆς, ὦ Υἱὲ καὶ Θεέ μου.

Τῇ Παρασκευῇ, Κανὼν Σταυρώσιμος.

Ὠδὴ α'. ἦχος πλ. β'. Ὁ Εἱρμός.

Κύματι θαλάσσης, τὸν κρύψαντα πάλαι, διώκτην Τύραννον, ὑπὸ γῆν ἔκρυψαν, τῶν σεσωσμένων οἱ Παῖδες. ἀλλ' ἡμεῖς ὡς αἱ νεάνιδες, τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Τροπάριον.

Πάθει σου τιμίῳ, τὴν ἀτιμασθεῖσαν, φύσιν ἐτίμησας, τῆς ἀνθρωπότητος. διὸ τιμῶντές σε φόβῳ, μεγαλύνομεν τὸ κράτος σου, καὶ πιστῶς δοξάζομεν. ἐνδόξως γὰρ δεδόξασται.

Αἱματί σου Λόγε, αἱμάτων ἀδίκων, χύσιν ἀνέστειλας, καὶ ἀπεκάθηρας, ῥύπου κακίας τὴν φύσιν, τῶν ἀνθρώπων Παντοδύναμε. διό σε δοξάζομεν, σῳζόμενοι τῷ κράτει σου. Μαρτυρικά.

Θῆρας αἱμοβόρους, ἐνίκησεν ὄντως, ἡ ἀξιέπαινος, Μαρτύρων ἔνστασις. πυρὸς ὑπέταξε φύσιν, δροσισμῷ ἐνθέου χάριτος. καὶ σφοδρὸν κλυδώνιον, πολυθεΐας ἔπαυσεν.

Ὄμβροις τῶν αἱμάτων, ὀμβρήματα πλάνης, ἀποξηράναντες, ὄμβροις ἰάσεων, ἐποχετεύετε Κόσμῳ, καὶ φλογμὸν παθῶν διώκετε, ἀθείας Μάρτυρες. ἐντεῦθεν μακαρίζεσθε.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

Σταυροθεοτοκίον.

Κάλλος ἐν τῷ πάσχειν, ὡραῖον ἐν κάλλει, οὐκ εἶδος ἔχοντα, ἡ Ἀπειρόγαμος, κατανοοῦσά σε Κόρη, τῶν πιστῶν τὸ ἐγκαλλώπισμα, μητρικῶς ἠλάλαζε, καὶ πόθῳ σε ἐδόξαζε.

Τῇ αὐτῇ ἡμέρᾳ, Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον. Οὗ ἡ ἀκροστιχίς.

Κατὰ Ἀλφάβητον. Ἦχος καὶ Εἱρμὸς, ὁ αὐτός.

Ἄχραντε Παρθένε, Κεχαριτωμένη, Μαρία ἔνδοξε, τῆς χαρᾶς πρόξενε, τοὺς ὑμνητάς σου ἐνθέως, θείαις χάρισι χαρίτωσον· ὅπως χαριστήριον, ᾠδὴν σοι ἀναπέμψωμεν.

Βαβαὶ Θεοτόκε, τῶν σῶν Μυστηρίων. τῶν ποιημάτων γὰρ, ἐδείχθης Δέσποινα. ὃν οὐ τολμᾷ ἀτενίσαι, τῶν Ἀγγέλων τὰ Στρατεύματα, ἐν ἀγκάλαις φέρουσα. διό σε μακαρίζομεν.

Γένος βροτῶν ἅπαν, φθορᾷ τοῦ θανάτου, καταδεδίκασται, τῇ τῆς Προμήτορος, τῇ ἀπογεύσει τοῦ ξύλου. διὰ σοῦ δὲ ἀνακέκληται, ὡς ζωὴν τεκούσης σου, Ἁγνὴ τὴν ἀδιάφθορον.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἡ Κτίσις κατιδοῦσα, ἐν τῷ Κρανίῳ κρεμάμενον, θαμβητικῶς συνείχετο. οὐκ ἔστιν Ἅγιος, πλὴν σοῦ Κύριε κραυγάζουσα.

Σὲ τὸν ἐπὶ ὑδάτων, κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως, ἐν ξύλῳ ὑψωθέντα, καὶ τὴν πλευρὰν ὀρυττόμενον, κατανοῶν ὁ Ἥλιος, συνεσκοτίζετο, πάντων φωτισμὸν γινώσκων σε.

Τετρωταῖς σου τοῖς ἥλοις, Μακρόθυμε, ὁ Παραδείσῳ πάλαι, τρώσας Ἀδὰμ κακοῦργος. καὶ πληγωθεὶς ἀνιάτρευτος, εἰς τὸν αἰῶνα ἔμεινε· πιστοὶ δὲ εὕρομεν, πάντων τῶν τραυμάτων ἴασιν.

Μαρτυρικά.

Ὅτε χορὸς Ἀγγέλων, ἑώρακε Μαρτύρων τὰς ἀγέλας, ὑπὲρ Ἀμνοῦ τυθέντος, συγκοπτομένας ἐθαύμαζε, πῶς δυσμενεῖς οἱ ἔνυλοι, ἀΰλους ἔτρεπον, νίκης στέφος κομιζόμενοι.

Σθένος ἐνδεδυμένοι, οἱ Ἅγιοι τοῦ ἐν ἰσχύϊ μόνου, τὰ πάντα δυναμοῦντος, τῷ δυσμενεῖ συνεπλέκοντο, καὶ τὴν αὐτοῦ ἀνίσχυρον, ἐπάτουν δύναμιν, στέφος ἐκ Θεοῦ δεχόμενοι. Σταυροθεοτοκίον.

Σὺ τὸν ἐκ σοῦ τεχθέντα, ὡς ἔβλεψας τιτρωσκόμενον λόγχῃ, ἐτρώθης τὴν καρδίαν, Ὑπεραγία πανάμωμε, καὶ θαμβουμένη ἔλεγες· τί σοι ἀπέδωκε, τέκνον δῆμος ὁ παράνομος;

Τῆς Θεοτόκου, ὁ αὐτός.

Δόλῳ με δελεάσας, θεώσεως ἐχθρὸς τῷ πόθῳ πάλαι, ἐν Ἐδὲμ Θεομῆτορ, εἰς γῆν ἐρπύσας συνέτριψεν· ἀλλ' ὁ Χριστὸς οἰκτείρας με, ἐκ τῆς νηδύος σου, σάρκα προσλαβὼν ἀνέπλασεν.

Ἐλύθη τῆς κατάρας, τῆς ἔκπαλαι ἡ δίκη Θεομῆτορ, ἐν τῇ σῇ μεσιτείᾳ. ἐπιφανεὶς γάρ σοι Κύριος, πᾶσαν ἀφθόνως ἔλυσεν, ὡς ὑπεράγαθος, πᾶσιν εὐλογίαν Πάναγνε.

Ζωῆς ὡράθης Πύλη, Προφήτῃ πρὶν Ἰεζεκιὴλ Κόρη, ἣν ὁ Κύριος μόνος, σεσαρκωμένος διώδευσε, καὶ κεκλεισμένη Πάναγνε, ἡ πύλη ἔμεινας· σὺ τῶν γηγενῶν καλλώπισμα.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν, προορῶν Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα· σὺ Δυναστῶν διέκοψας, κράτος Ἀγαθὲ, ὁμιλῶν τοῖς ἐν Ἅδῃ, ὡς Παντοδύναμος. Τροπάρια.

Ἐκτεταμένης χειρὸς Κύριε, ἀκρατὲς ἀναιρῶν, πρὸς τὴν τοῦ ξύλου γεῦσιν, νεκρὸς ἐν Ξύλῳ Δέσποτα, σῶσαι βουληθεὶς, ἐκ πλευρᾶς ἀποστάζεις, δεσμώταις ἄφεσιν.

Παθεῖν ἠνέσχου Ὑπεράγαθε, ὅπως λύσῃς ἡμᾶς, παθῶν τῆς ἀλογίας. χολῆς ἐγεύσω βρύων μοι, θεῖον γλυκασμόν. ἐνεκρώθης ζωήν μοι, παρέχων Δέσποτα.

Μαρτυρικά.

Τὸ πῦρ τῆς θείας ἀγαπήσεως, ἐν ψυχῇ λογικῇ, προσφέροντες ἐμφρόνως, παρανομούντων ἔσβεσαν, καὶ φωτιστικαὶ, οἱ Χριστοῦ Ἀθλοφόροι, λαμπάδες ὤφθησαν.

Οἱ θεῖοι φίλοι τοῦ Παντάνακτος, σαρκικῆς ἑαυτοὺς, χωρίσαντες φιλίας, πρὸς ἅπασαν ἐχώρησαν, βάσανον στεῤῥῶς· καὶ νικήσαντες, ὄντως ἐστεφανώθησαν. Σταυροθεοτοκίον.

Ἐκτός σε πάθους ἀπεκύησα, καὶ πῶς βλέπω σε υἱὲ, Πάθει προσομιλοῦντα; πῶς φέρεις τοῦτο ἔκραζεν, ἄναρχε Υἱὲ, ἡ Παρθένος; δοξάζω σου τὸ μακρόθυμον. Τῆς Θεοτόκου, ὁ αὐτός.

Ἡ ἐκλεκτή τε καὶ ὑπέρτιμος, ἐκ πασῶν γενεῶν, ἀναφανεῖσα μόνη, ἡ ἀρεταῖς ἐκλάμψασα, Ἄχραντε Σεμνὴ, τοὺς σὲ ὑμνολογοῦντας, αἴγλῃ σου λάμπρυνον.

Θεὸν σαρκὶ Παρθένε τέτοκας, ἐξ ἁγνῶν σου σεμνὴ, αἱμάτων Θεομῆτορ, Σωτῆρα τὸν λυτρούμενον, πάντας ἐκ δεσμῶν, ἀνυμνοῦντάς σε Κόρη Θεοχαρίτωτε.

Ἱερουργεῖ τῷ θείῳ τόκῳ σου, Θεοτόκε Ἁγνὴ, ἡ τῶν ἀΰλων φύσις· καὶ τῶν βροτῶν τὸ σύστημα, πόθῳ σὲ ὑμνεῖ. ἀλλὰ σοῦ τῇ ἐλλάμψει, ἡμᾶς καταύγασον.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Πρὸς σὲ ὀρθρίζω, τὸν δι' εὐσπλαγχνίαν, σεαυτὸν τῷ πεσόντι κενώσαντα ἀτρέπτως, καὶ μέχρι Παθῶν, ἀπαθῶς ὑποκύψαντα Λόγε Θεοῦ, τὴν εἰρήνην παράσχου μοι φιλάνθρωπε.

Τροπάρια.

Νεκρὸς ὁρᾶσαι, ἐπὶ τοῦ Κρανίου, ὁ νεκρώσας τὸν Ἅδην, τῷ Πάθει τῆς σαρκός σου· καὶ εἶδος Χριστὲ, οὐδὲ κάλλος σὺ ἔχεις κρεμάμενος, καλλωπίσαι με θέλων ὡς φιλάνθρωπος.

Ἀδὰμ τοῦ πρώτου, ἐξηλῶσαι θέλων, ἐμπαθεῖς διαθέσεις, τοῖς ἥλοις προσηλοῦσαι· καὶ λόγχῃ τρωθεὶς, τὴν φλογίνην ῥομφαίαν, κωλύεις Χριστὲ μὴ κωλύειν τὴν εἴσοδον τοῖς δούλοις σου.

Μαρτυρικά.

Ἰχνηλατοῦντες, Πάθη τοῦ Δεσπότου, οἱ χοροὶ τῶν Μαρτύρων, ἐν ξύλῳ προσηλοῦνται, καὶ χεῖρας ὁμοῦ ἀφαιροῦνται, καὶ πόδας πρὸς τρίβον σεπτοῦ, μαρτυρίου ἐνθέως εὐθυνόμενοι.

Νοῒ τελείῳ, νῦν τὸν ἀλαζόνα, ἐπαιρόμενον θράσος, καθείλετε τελείως, ταπεινωθέντες ἐν μιμήσει, τοῦ πάντας ὑψώσαντος, ταπεινώσει καρδίας Χριστομάρτυρες. Σταυροθεοτοκίον.

Ἐκ ῥίζης Κόρη, Ἰεσσαὶ βλαστήσασα, καὶ ὡς ἄνθος προσφέρεις, τὸν φυτουργὸν τοῦ Κόσμου, παραφυάδας ξηράναντα, θείῳ φυτῷ τοῦ Σταυροῦ, ὃν σαρκὶ κατεδέξατο ὡς εὔσπλαγχνος.

Εἱρμὸς ἄλλος. Θεοφανείας σου Χριστέ.

Κλίμαξ φανεῖσα τυπικῶς, τῷ Ἰακὼβ πρὸς ὕψος ἐπηρμένη, τοῦ σοῦ Θεονύμφευτε μεμήνυται, τόκου τὸ ὄντως ἐξαίσιον. διὰ σοῦ γὰρ ὄντως Θεὸς, ἡμῖν

ὡμίλησε, τῇ συγκαταβάσει τῇ θείᾳ, καὶ τὴν ζωὴν παρέσχε βροτοῖς.

Λελυτρωμένοι διὰ σοῦ, τῆς Μητρικῆς λύπης Θεοκυῆτορ, θυμηδίας ἔμπλεοι γεγόναμεν, εὐφροσύνην πᾶσι κυήσασα, καὶ παγκόσμιον χαρμοσύνην. διὸ Πανύμνητε, τοὺς σοὺς ὑμνολόγους, κινδύνων ταῖς σαῖς πρεσβείαις διαφύλαξον.

Θεοτοκίον.

Μυσταγωγούμενος τὴν σήν, θεοπτικῶς ὁ Μωϋσῆς Εἰκόνα, προεώρα βάτον ἀκατάφλεκτον, τῷ πυρὶ Παρθένε παναμώμε. ἐν σοὶ γὰρ ὁ Πλαστουργὸς οἰκῶν οὐκ ἔφλεξε, σὲ τὴν ἀνωτέραν, ἁπάντων τῶν ποιημάτων Θεονύμφευτε.

Ὠδὴ ϛʹ. Ὁ Εἱρμός.

Συνεσχέθη, ἀλλ᾽ οὐ κατεσχέθη, στέρνοις κητῴοις Ἰωνᾶς. σοῦ γὰρ τὸν τύπον φέρων, τοῦ Παθόντος καὶ ταφῇ δοθέντος, ὡς ἐκ θαλάμου τοῦ θηρὸς ἀνέθορε. προσεφώνει δὲ τῇ κουστωδίᾳ· οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ, ἔλεον αὐτοῖς ἐγκατελίπατε.

Τροπάριον.

Ἐναλλάττων, χεῖρας προετύπου, πάλαι τὸν Σταυρὸν ὁ Ἰακώβ, ἐπευλογῶν τοὺς παῖδας. ὅθεν Ὕψιστε ἐν τούτῳ φαίνων, ἀρᾶς τῆς πάλαι λύεις τὸ ἀνθρώπινον, καὶ πηγάζεις νῦν τὴν εὐλογίαν, τοῖς εὐλογοῦσί σε, μόνε Εὐλογητέ, καὶ Δημιουργὲ καὶ Ὑπεράγαθε.

Σοῦ τὸ Πάθος, προτυπῶν ὁ μέγας, Λόγε Μωϋσῆς ἀνύψοι, χαλκοῦν τὸν ὄφιν πάλαι, ἐξαιρούμενος τοὺς καθορῶντας, τοῦ ἰοβόλου δήγματος τῶν ὄφεων. καὶ γὰρ Δέσποτα σοῦ σταυρωθέντος, βλάβης τοῦ ὄφεως, ἅπαντες οἱ πιστοί, τοῦ θεοστυγοῦς ἀπελυτρώθημεν.

Μαρτυρικά.

Ὥσπερ ἄλλου, πάσχοντες οἱ θεῖοι, πάλαι καὶ σεπτοὶ Ἀθληταί, διέκειντο ἀθλοῦντες, προορώμενοι τὰς ἀντιδόσεις, τὰς αἰωνίους καὶ τὴν ἀγαλλίασιν. ταῖς εὐχαῖς αὐτῶν Χριστὲ Οἰκτίρμον, τοὺς ἀνυμνοῦντάς σε, λύτρωσαι πειρασμῶν, καὶ ἁμαρτιῶν καὶ περιστάσεων.

Τοὺς χειμάρρους, ἔπαυσαν τῆς πλάνης, ῥείθροις αἱμάτων οἱ σεπτοί, καὶ θεῖοι Ἀθλοφόροι, καὶ πηγαὶ πιστοῖς θεογνωσίας, βλύζουσαι ὕδωρ, ὄντως ἀνεδείχθησαν. ταῖς εὐχαῖς αὐτῶν Σωτὴρ τοῦ Κόσμου, ὄμβρισον ἄφεσιν, ἅπασι καὶ ζωήν, καὶ τὸν ἱλασμὸν καὶ μέγα ἔλεος.

Σταυροθεοτοκίον.

Τὸν Ποιμένα, πάντων καὶ Δεσπότην, ξύλῳ ὁρῶσα ἡ Ἀμνάς, ἐναπῃωρημένον, θρηνῳδοῦσα μητρικῶς ἐβόα· τί τοῦτο τέκνον τὸ καινὸν Μυστήριον; πῶς ἀθάνατος τὸ κατ᾽ οὐσίαν ὑπάρχων, θάνατον δέδεξαι; τοὺς βροτοὺς θέλων, ἐκ φθορᾶς ἀπολυτρώσασθαι.

Τῆς Θεοτόκου, ὁ αὐτός.

Νομικοί σε, τύποι Θεοτόκε, καὶ αἱ προρρήσεις σαφῶς, τῶν Προφητῶν ἐδήλουν, τεξομένην τὸν τοῦ Κόσμου ῥύστην, καὶ εὐεργέτην τῆς ἁπάσης Κτίσεως. τὸν πολυμερῶς, καὶ πολυτρόπως, εὐεργετήσαντα, τοὺς πίστει τε καὶ στοργῇ, Δέσποινα Ἁγνὴ δοξολογοῦντάς σε.

Ξενωθέντας, πάλαι ἐξ ἀπάτης, τοῦ ἀνθρωποκτόνου ἐχθροῦ, Θεοῦ τοὺς Πρωτοπλάστους, τῆς τρυφῆς τοῦ Παραδείσου μόνη, Θεογεννῆτορ αὖθις ἐπανήγαγες, πρὸς Παράδεισον, ἀποτεκοῦσα Σωτῆρα Κύριον, Σταύρωσιν καὶ Ταφήν, θείᾳ ἐξουσίᾳ ὑπομείναντα.

Ὁ Βουλήσει, θείᾳ καὶ δυνάμει, δημιουργικῇ τοῦ Πατρός, τὰ πάντα ἐκ μὴ ὄντων, συστησάμενος Ἁγνὴ προῆλθεν, ἐκ σῆς νηδύος, Λόγος ἐνυπόστατος, καὶ τοὺς ἐν τῷ σκότει τῆς ἀγνοίας, τὸ πρὶν ὑπάρχοντας, λάμψεσι θεϊκαῖς, Δέσποινα Ἁγνή, φαιδρῶς κατεστράψεν.

Ὠδὴ ζʹ. Ὁ Εἱρμός.

Ἄφραστον θαῦμα, ὁ ἐν καμίνῳ ῥυσάμενος, τοὺς ὁσίους Παῖδας ἐκ φλογός, ἐν τάφῳ νεκρός, ἄπνους κατατίθεται, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Τροπάριον.

Ὅτε Σταυρῷ σε, δῆμος Ἑβραίων κατέκρινε, θεωροῦσα ἔφριξεν ἡ Γῆ, Ἥλιος τὸ φῶς τὸ ἴδιον ἔπαυσε, καὶ οἱ ἐν σκότει, φῶς εἶδον μελῳδοῦντες· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὕβριν ὑπέστης, καλάμῳ Σῶτερ τυπτόμενος· καὶ ἀκάνθαις, οἷα Βασιλεύς, βουλήσει Χριστέ, ὁ Θεὸς στεφόμενος, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Μαρτυρικά.

Δεσμεῖσθε πᾶσαν, τοῦ διαβόλου Πανεύφημοι, τὴν ἀπάτην λύοντες σαφῶς· φέρετε ποινάς, καὶ θάνατον ἄδικον, ζωὴν ποθοῦντες τὴν ἄνω καὶ βοῶντες· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἔστητε μέσον, φλογὸς πανεύφημοι Μάρτυρες, τὴν ἀπάτην φλέγοντες σαφῶς. καὶ τῷ δροσισμῷ τῆς ἐνθέου χάριτος, μὴ φλογισθέντες βοᾶτε μελῳδοῦντες· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Σταυροθεοτοκίον.

Σταυροῦσαι θέλων, ἡ Θεοτόκος ἐκραύγαζε· καὶ ὁρῶσα ἄναρχε Υἱέ, λύπῃ τὴν ψυχήν, νῦν καταβαπτίζομαι. θνήσκεις παρέχων, ζωὴν τοῖς μελῳδοῦσι· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Τῆς Θεοτόκου, ὁ αὐτός.

Πεποικιλμένην, σὲ κεκτημένην διάχρυσον, Θεομῆτορ κόσμον εὐπρεπῆ, ἔστερξεν ὁ σός, Υἱός τε καὶ Κύριος, εἰς σωτηρίαν ἡμῶν τῶν σοὶ βοώντων· ὁ Καρπός σου Ἁγνὴ εὐλογημένος.

Ῥόδον ἐν μέσῳ, τῶν ἀκανθῶν εὑρὼν Ἄχραντε, ὁ Δεσπότης ἔπλησεν ἡμᾶς, ὀσμαῖς σου τερπναῖς, χαρίτων τοῦ Πνεύματος, τοὺς καθαρᾷ καρδίᾳ μελῳδοῦντας· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Σύμβολα πάντες, θεῖοι Προφῆται θεώμενοι, τοῦ σοῦ θείου Τόκου εὐκλεῶς, ἐβόων Ἁγνή, Παρθένε Πανύμνητε· ὁ Θεὸς ὁ πάντων Κτίστης ἐλεύσεται ἐκ σοῦ, Λυτρωτὴς καὶ Σωτὴρ τῶν σὲ ὑμνούντων.

Ὠδὴ ηʹ. Ὁ Εἱρμός.

Ἔκστηθι φρίττων Οὐρανέ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς. ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται· ὃν Παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Τροπάριον.

Πίνεις Ποτήριον Χριστέ, ὃ ἐπεθύμησας, διὰ Πάθους τοῦ Σταυροῦ, πηγάς μοι προχέων ἀφέσεως, ἐκ ζωηφόρου Πλευρᾶς, τῷ διὰ πλευρᾶς θανατωθέντι. ὑμνῶν σε ἀναμέλπω· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὅτε σε ἄνομος λαός, μέσον κατέκρινε, σταυρωθῆναι Ἰησοῦ, ἀνόμων ζωοδότα Κύριε, διεδονήθη ἡ γῆ, καὶ πάντες ἀνέμελπον ἐν φόβῳ· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μαρτυρικά.

Τίμιος ἔναντι Θεοῦ, ὑμῶν ὁ θάνατος, ἀπεφάνθη Ἀθληταί. πολλοῖς γὰρ ὁμιλοῦντες πάθεσι, Πάθους σεπτοῦ κοινωνοί, βοῶντες ἐδείχθητε ἐμφρόνως· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὄντως οὐ σαρκικὰ ὑμῶν, τὰ ὅπλα Μάρτυρες, πρὸς παράταξιν ἐχθρῶν, ἐλπὶς δὲ πίστις καὶ ἀλήθεια. δι᾽ ὧν τυχόντες Θεοῦ, Ἀγγέλων χοροῖς συναριθμεῖσθε, βοῶντες τῷ Δεσπότῃ· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Σταυροθεοτοκίον.

Ὕψιστε ἄναρχε Υἱέ, φέρεις ἐμπτύσματα, καὶ ὀνείδη καὶ Σταυρόν, καλάμῳ παικτικῶς τυπτόμενος, ἡ Θεοτόκος ἐβόα· δοξάζω τὴν σὴν μακροθυμίαν. ἣν Παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Θεοτόκου, ὁ αὐτός.

Τῷ Θεολήπτῳ Δανιήλ, νῦν προτεθέασαι, ἀλατόμητον ὄρος. ἐκ σοῦ γὰρ Κόρη λίθος τέτμηται, Χριστὸς ὁ μόνος Θεός, Παρθένε ἄνευ χειρὸς ἀνθρώπου. ὃν παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ὕμνοις τὸν Τόκον σου Ἁγνή, ἀεὶ δοξάζουσιν, αἱ τῶν ἄνω Στρατιαί. καὶ σὲ δὲ Κόρη Ἀειπάρθενε, χαρμονικῶς σὺν ἡμῖν, ὡς Θεομήτορα ἀνυμνοῦσιν. ἣν παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Φέγγουσα ταῖς μαρμαρυγαῖς, τοὺς σὲ φρονοῦντας, νῦν Θεοτόκον ἀληθῆ, Μαρία φωταυγεῖς ἀπείργασαι, φωτογεννῆτορ Ἁγνή. φωτὸς γὰρ σὺ σκηνὴ ὤφθης Παρθένε, τοῖς πίστει σοι βοῶσι· χαῖρε εὐλογημένη, καὶ δεδοξασμένη, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Μὴ ἐποδύρου μου Μῆτερ, καθορῶσα ἐν τάφῳ, ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς συνέλαβες Υἱόν. ἀναστήσομαι γὰρ καὶ δοξασθήσομαι, καὶ ὑψώσω ἐν δόξῃ, ἀπαύστως ὡς Θεός, τοὺς ἐν πίστει καὶ πόθῳ σὲ μεγαλύνοντας.

Τροπάριον.

Ἵνα τὸν βρώσει φθαρέντα, ἐνηδόνῳ τοῦ ξύλου, μόνε Σωτὴρ ὡς ἀγαθός, λυτρώσῃ τῆς φθορᾶς, σταυρωθῆναι σαρκί, θανατωθῆναί τε, κατεδέξω ὑμνοῦμεν, ἀπαύστως Ἰησοῦ, τὴν πολλήν σου εὐσπλαγχνίαν καὶ δυναστείαν σου.

Πῶς ὑπέστης ὀδύνας, ἐν Σταυρῷ ἡπλωμένος, τῶν ὀδυνῶν τῶν χαλεπῶν, ἐξαίρων με Σωτήρ; πῶς ἀκάνθαις στεφθείς, πάσας ἀνέσπασας τῶν παθῶν τὰς ἀκάνθας; πῶς ὄξος ποτισθείς, εὐφροσύνης κρατῆρα ἡμῖν ἐκέρασας.

Μαρτυρικά.

Στενοχωρούμενοι πάντες, καὶ εἱρκταῖς ὁμιλοῦντες, καὶ μεληδὸν οἱ Ἀθληταὶ τεμνόμενοι δεινῶς, καὶ τροχοῖς ἀπηνῶς κατατεινόμενοι, καὶ βορὰ τοῖς θηρίοις διδόμενοι Χριστόν, τὸν ἁπάντων Δεσπότην, οὐκ ἐξηρνήσασθε.

Σταυροθεοτοκίον.

Ἡλιακῶν λαμπηδόνων, πλειοτέρως ἐκλάμπει, τῶν Ἀθλητῶν ἡ παμφαής, καὶ εὔσημος μνήμη, καὶ ψυχὰς εὐσεβῶν φωτίζει πάντοτε, καὶ διώκει τὸ σκότος, παθῶν καὶ πειρασμῶν, καὶ δαιμόνων σκεδάζει, ζόφον βαθύτατον.

Φέρεις τὸν φέροντα πάντα, καὶ κατέχεις ὡς Βρέφος, ἐν ταῖς χερσὶ τὸν ἐκ χειρός, ῥυσάμενον ἡμᾶς, πολεμίου ἐχθροῦ, Ἄχραντε Δέσποινα· καὶ ὁρᾷς ἐπὶ ξύλου, ὑψούμενον Σταυροῦ, τὸν ἐκ βόθρου κακίας, ἡμᾶς ῥυσάμενον.

Τῆς Θεοτόκου, ὁ αὐτός.

Χαρᾶς ἡμῖν αἰωνίου, καὶ ζωῆς ἀνεδείχθης, ὑπερφυῶς Θεογεννῆτορ πρόξενος Ἁγνή, τὸν Σωτῆρα ἡμῶν κυοφορήσασα, τῶν ἐν πίστει ἀπαύστως, ὑμνούντων σε ἀεί, καὶ τιμώντων τὴν ἄχραντον νῦν Εἰκόνα σου.

Ψάλλων Δαβὶδ σὸς Προπάτωρ, κιβωτόν σε προέφη, συμβολικῶς τοῦ θείου Μάννα, ἁγίασμα τὸ Ἁγνή. Θεὸν Λόγον μόνη καὶ γὰρ ἐχώρησας, τὸν ἐν κόλποις Πατρῴοις ὀχούμενον ἀεί, Θεοτόκε διό σε ὕμνοις δοξάζομεν.

Ὡς ἀληθῶς ὑπερτέρα, πάσης Κτίσεως ἔφυς. τὸν γὰρ Θεὸν τῶν ποιημάτων τέτοκας Ἁγνή. διό σε προστάτιν ἔχομεν Δέσποινα, καὶ ἐλπίδα βεβαίαν, καὶ τεῖχος ὀχυρόν. Ὀρθοδόξων τὸ κέρας, κατ᾽ ἐχθρῶν ὕψωσον.

Εἰς τὸν στίχον τῶν Αἴνων, στιχηρὰ Σταυρώσιμα.

ἦχος πλ. β΄.

Ἐν τῷ Σταυρῷ τὴν ἐλπίδα κέκτημαι, καὶ ἐν αὐτῷ καυχώμενος βοῶ· φιλάνθρωπε Κύριε, τὴν ἀλαζονείαν κατάβαλε, τῶν μὴ ὁμολογούντων σε, Θεὸν καὶ Ἄνθρωπον.

Οἱ τῷ Σταυρῷ τειχιζόμενοι, τῷ ἐχθρῷ ἀντιτασσόμεθα, μὴ δειλιῶντες τὰς αὐτοῦ μεθοδείας καὶ ἐνέδρας. ὡς γὰρ ὑπερήφανος κατήργηται, καὶ καταπεπάτηται, τῇ δυνάμει τοῦ ἐν ξύλῳ προσπαγέντος Χριστοῦ.

Μαρτυρικόν.

Κύριε, ἐν τῇ μνήμῃ τῶν Ἁγίων σου, πᾶσα ἡ Κτίσις ἑορτάζει. οἱ Οὐρανοὶ ἀγάλλονται σὺν τοῖς Ἀγγέλοις, καὶ ἡ γῆ εὐφραίνεται σὺν τοῖς ἀνθρώποις. αὐτῶν ταῖς παρακλήσεσιν, ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Σταυροθεοτοκίον.

Ἐπάγην μὲν ὡς ἄνθρωπος, ἐν ξύλῳ καὶ νενέκρωμαι, καὶ ἐν τάφῳ, κατετέθην ὡς θνητός· ἀλλ᾽ ὡς Θεὸς ἐν δόξῃ, Μῆτερ Ἁγνὴ Παρθένε, πάλιν ἀνίσταμαι τριήμερος.

## ΤΗ͂Ι ΠΑΡΑΣΚΕΥΗ͂Ι ἙΣΠΕ΄ΡΑΣ.

Στιχηρὰ Μαρτυρικά. ἦχος πλ. δ΄.

Μάρτυρες Κυρίου, ἱκετεύσατε τὸν Θεὸν ἡμῶν, καὶ αἰτήσασθε ταῖς ψυχαῖς ἡμῶν, πλῆθος οἰκτιρμῶν, καὶ τὸν ἱλασμὸν τῶν πολλῶν παραπτωμάτων δεόμεθα.

Οἱ Μάρτυρές σου Κύριε, ἐπιλαθόμενοι τῶν ἐν τῷ βίῳ, καταφρονήσαντες καὶ τῶν βασάνων, διὰ τὴν μέλλουσαν ζωήν, ταύτης κληρονόμοι ἀνεδείχθησαν. ὅθεν καὶ Ἀγγέλοις συναγάλλονται. αὐτῶν ταῖς ἱκεσίαις, δώρησαι τῷ λαῷ σου τὸ μέγα ἔλεος.

Εἴτις ἀρετὴ καὶ εἴτις ἔπαινος, πρέπει τοῖς Ἁγίοις. ξίφεσι γὰρ ἔκλιναν τοὺς αὐχένας, διὰ σὲ τὸν κλίναντα Οὐρανοὺς καὶ καταβάντα. ἐξέχεαν τὸ αἷμα αὐτῶν, διὰ σὲ τὸν κενώσαντα ἑαυτόν, καὶ μορφὴν δούλου λαβόντα. ἐταπεινώθησαν ἕως θανάτου, τὴν πτωχείαν σου μιμούμενοι. ὧν ταῖς εὐχαῖς, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὸ πρῶτον τοῦ ἤχου.

Τῷ Σαββάτῳ πρωΐ, μετὰ τὴν α΄. στιχολ. Καθίσμ.

Μαρτυρικά. ἦχος πλ. δ΄.

Φωστῆρες νοεροί, ἀνεδείχθητε Ἅγιοι Μάρτυρες. τὴν γὰρ ἀχλὺν τῆς πλάνης κατηργήσατε διὰ τῆς Πίστεως, τὰς ψυχικὰς ὑμῶν λαμπάδας ἐφαιδρύνατε, καὶ τῷ Νυμφίῳ μετὰ δόξης συνεισήλθετε, εἰς τὸν οὐράνιον νυμφῶνα. καὶ νῦν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἕτερον. Τὸ προσταχθὲν μυστικῶς.

Δι' ἐγκρατείας τῶν παθῶν τὰς πυριφλέκτους, ἀποτεφρώσαντες μορφὰς καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ οἱ Μάρτυρες ἔλαβον τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶντες καὶ μετὰ τέλος θαυματουργεῖν. ὄντως θαῦμα παράδοξον, ὅτι ὀστέα γυμνά, ἐκβλύζουσιν ἰάματα. δόξα τῷ μόνῳ Θεῷ ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ Σταύρωσιν ὑπομείνας Ἀγαθέ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ Ἔγερσιν δείξας ὡς Θεός, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου. δεῖξον τὴν φιλανθρωπίαν σου Ἐλεῆμον. δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Ἕτερα Καθίσματα. ἦχος πλ. δ'.

Τὸ προσταχθὲν μυστικῶς.

Προφῆται Μάρτυρες Χριστοῦ καὶ Ἱεράρχαι, οἱ τὸν ἀγῶνα τὸν καλὸν εὐσεβοφρόνως, καὶ νομίμως τελέσαντες, καὶ ἀπειληφότες, στεφάνους ἀμαραντίνους παρὰ Θεοῦ, ἀπαύστως ἐκδυσωπεῖτε ὑπὲρ ἡμῶν, τὴν αὐτοῦ ἀγαθότητα· ὅπως δωρήσηται ἡμῖν, πταισμάτων τὴν συγχώρησιν, ὡς Θεὸς εὐδιάλλακτος.

Νεκρώσιμον Ὅμοιον.

Τοὺς μεταστάντας εὐσεβῶς ἐκ τῶν προσκαίρων, ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν μετὰ δικαίων, συναρίθμησον Δέσποτα τούτους ἀναπαύων, ἐν τόποις ἑορταζόντων, καὶ ἐν τρυφῇ, ἀλήκτῳ τοῦ Παραδείσου ὡς ἀγαθός, τὰ ἑκούσια πταίσματα, καὶ τὰ ἀκούσια αὐτῶν, δι' ἄκραν ἀγαθότητα, συγχωρήσας φιλάνθρωπε.

Νεκρώσιμον.

Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε Δημιουργέ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου. ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ καὶ πλάστῃ, καὶ Θεῷ ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Σὲ καὶ τεῖχος καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεόν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία.

Λέγε πρῶτον τὸν Κανόνα τοῦ Ἁγίου τῆς Μονῆς εἶτα τὸν παρόντα.

Τῷ Σαββάτῳ, Κανὼν εἰς πάντας τοὺς Ἁγίους.

Οὗ ἡ ἀκροστιχίς.

Τῆς Ὀκτωήχου τῆς νέας θεῖον τέλος.

Πόνοι δὲ Ἰωσήφ.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ὁ Εἱρμός.

” Ἄσωμεν τῷ Κυρίῳ, τῷ διαγαγόντι τὸν λαὸν
” αὐτοῦ, ἐν ἐρυθρᾷ θαλάσσῃ, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Τροπάριον.

Τίμιοι μαργαρῖται, ὤφθητε τὸν στέφανον φαιδρύνοντες, τῆς σεπτῆς Ἐκκλησίας, Ἀθλοφόροι Χριστοῦ γενναιότατοι.

Ἤστραψαν τῶν δογμάτων, καὶ τῶν ἀρετῶν θείαις λαμπρότησιν, οἱ σοφοὶ Ἱεράρχαι, καὶ πιστῶν τὰς καρδίας ἐφώτισαν.

Σὲ τὸν ἐν τοῖς Προφήταις, καὶ ἐν τοῖς Ὁσίοις θαυμαζόμενον, ἱκετεύομεν Λόγε, ταῖς αὐτῶν ἡμᾶς σῶσον δεήσεσιν.

Ὅταν κρίσιν δικαίαν, ἔλθῃς τοῦ ποιῆσαι δικαιότατε, ἀκατάκριτον Λόγε, τότε δεῖξον κἀμὲ τὸν ἀνάξιον.

Θεοτοκίον.

Κύριον τετοκυῖαν, Γυναικῶν χορός σε ἐπιστάμενος, σοῦ ὀπίσω Παρθένε, ἐναθλήσας αὐτῷ ἀπενήνεκται.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Ὁ στερεώσας λόγῳ τοὺς Οὐρανούς, καὶ τὴν γῆν
” ἑδράσας ἐπὶ ὑδάτων πολλῶν, στερέωσόν με πρὸς ”
” ὕμνον, τῆς δοξολογίας σου Κύριε.

Τροπάριον.

Τὰς μυστηρικὰς θυσίας οἱ Ἀθληταί, στερροτάτῃ γνώμῃ ἀποσεισάμενοι, θυσία καθαρωτάτη, Λόγῳ τῷ τυθέντι γεγόνασιν.

Ἀνανεοῦντες λόγοις ἱερουργοῖς, τοὺς παλαιωθέντας παντοίοις παθήμασι, τοῦ ἀναπλάσαντος Κόσμον, θεῖοι Μαθηταὶ ἀπεφάνθητε.

Ἡ τοῖς Προφήταις πρότερον, προφανῶς δεδομένη χάρις, τοῦ Παναγίου Πνεύματος, τοὺς Ἀσκητὰς ἐπ' ἐσχάτων, θείων χαρισμάτων ἐνέπλησεν.

Χοροῖς ἁγίοις σύνταξον ὡς Θεός, τοὺς πιστῶς τοῦ βίου μεταχωρήσαντας, καὶ Παραδείσου πολίτας, ποίησον δι' ἄφατον ἔλεος.

Θεοτοκίον.

Ὁ μηδαμοῦ χωρούμενος Ἰησοῦς, ἀστενοχωρήτως τὴν σὴν κατῴκησεν, ἡγιασμένην γαστέρα, Ἄχραντε Παρθένε Πανάμωμε.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ Μυστή- ”
” ριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου ”
τὴν Θεότητα.

Τροπάριον.

Τελέσαντες τὸ στάδιον, τὸ τῆς μαρτυρίας ζέοντι πνεύματι, Ἀθληταὶ Θεομακάριστοι, τὴν ὑλώδη πλάνην κατεφλέξατε.

Τοὺς Ὁσίους σου Κύριε, καὶ τοὺς Ἱεράρχας λαμπρῶς ἐδόξασας· τούτων θείαις παρακλήσεσι, κοινωνόν με δόξης τῆς σῆς ποίησον.

Ἡ τοῦ θείου ἐπίπνοια, Πνεύματος Προφήτας καταλαμπρύνασα, Γυναιξὶν ἰσχὺν δεδώρηται, τοῦ ἐχθροῦ ὀλέσαι τὰ φρυάγματα.

Συγχορεύειν ἀξίωσον, πᾶσι τοῖς Ἁγίοις, οὓς περ μετέστησας, Ὑπεράγαθε οἰκέτας σου, ἐν σκηναῖς Ἁγίων δυσωπούμενος.

Θεοτοκίον.

Νόμου θείου τὸν πάροχον, φύσεως νομίμων ἄνευθεν τέτοκας, ἀναπλάττοντα Πανάμωμε, τῶν βροτῶν τὴν φύσιν ὀλισθήσασαν.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύριε, καὶ τῷ
” βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην παρά- ”
” σχου ἡμῖν φιλάνθρωπε. ”

Τροπάριον.

Ἔφερον πληγὰς τῆς σαρκὸς οἱ θεῖοι Μάρτυρες· καὶ διὰ τοῦτο τὰς πληγὰς ἡμῶν, ἀεὶ ἰῶνται, τραυματίζοντες τοὺς δαίμονας.

Ἅγιοι Θεοῦ, Ἱεράρχαι ἱκετεύσατε, μετὰ πάντων τῶν Ὁσίων Χριστόν, ἁμαρτημάτων δωρηθῆναι ἡμῖν ἄφεσιν.

Σάρκα αἰκισμοῖς, καὶ ἀσκήσει δαπανήσασαι, Γυναῖκες Ὅσιαι Φιλάνθρωπε, τῶν ἐν ἐλπίσιν ἀγαθῶν κατηξιώθησαν.

Θάνατον ἐλθών, τῷ θανάτῳ σου Ἀθάνατε, τοὺς θανέντας ἐπ' ἐλπίδι ζωῆς, πιστούς σου δούλους, ὡς φιλάνθρωπος ἀνάπαυσον.

Θεοτοκίον.

Ἔπαυσας Ἁγνή, Προπατόρων τὸ κατάκριμα, τὸν τοὺς πάντας δικαιώσαντα, σαρκὶ τεκοῦσα Ἰησοῦν, τὸν μόνον Κύριον.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Ἱλάσθητί μοι Σωτήρ· πολλαὶ γὰρ αἱ ἀνομίαι μου. καὶ ”
” ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι. πρὸς σὲ γὰρ ”
ἐβόησα· καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Τροπάριον.

Ἰσχὺν ὑμῶν σεπτοῖς, ψυχῶν ἰᾶσθε νοσήματα, καὶ σηπεδόνας ἀεί, σωμάτων ἐξαίρετε, κατατραυματίζοντες, πονηρῶν δαιμόνων, τὴν πληθὺν Ἅγιοι Μάρτυρες.

Ὁ τῶν Ὁσίων χορός, Ἱεραρχῶν τε ὁ σύλλογος, καὶ Γυναικῶν ἱερῶν, ὁ θεῖος κατάλογος, στεῤῥῶς ἐναθλήσαντες, ἐν ἐπουρανίοις, ἀπολαύσεις ἐκληρώσαντο.

Νεκρώσαντες Ἀσκηταί, τὴν σάρκα ζωῆς ἐτύχετε· ποιμάναντες δὲ καλῶς, Κυρίου τὸ ποίμνιον, Ἱεράρχαι πάνσοφοι, ἀθανάτου δόξης, μετὰ τέλος ἠξιώθητε.

Τῶν ζώντων Λόγε ζωή, καὶ τῶν θανόντων ἀνάπαυσις, ὑπάρχων τοὺς ἐξ ἡμῶν, τῷ θείῳ σου νεύματι, μεταστάντας δούλους σου, Ἀβραὰμ ἐν κόλποις, τοῦ θεράποντός σου σκήνωσον. Θεοτοκίον.

Ἐσκήνωσεν ἐπὶ σοί, Πατρὸς Ἁγνὴ τὸ ἀπαύγασμα· καὶ ταῖς ἀΰλοις αὐγαῖς, αὐτοῦ τῆς Θεότητος τὸ σκότος διέλυσε, τῆς πολυθεΐας, καὶ τὸν Κόσμον κατεφώτισε.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Παῖδες Θεοσεβεῖς ἐν Βαβυλῶνι, εἰκόνι χρυσῇ οὐ προσεκύνησαν. ἀλλ᾽ ἐν μέσῳ καμίνου, πυρὸς δροσιζόμενοι, τὴν ᾠδὴν ἀνέμελπον λέγοντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τροπάριον.

Λύσαντες τὸν φραγμὸν τῆς δυσσεβείας, δεσμοῖς ἱεροῖς ὑμῶν πανεύφημοι, τῶν ἐγκλημάτων φορτία ἐσκορπίσατε, καὶ βοῶντες Μάρτυρες σώσατε· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὄμβροις τῶν ἱερῶν ὑμῶν αἱμάτων, αἱρέσεων πῦρ ἐναπεσβέσατε· καὶ φωτὶ Ἱεράρχαι σοφοὶ κατεφλέξατε, δυσσεβείας πλάνης ζιζάνια, καὶ τῶν πιστῶν τὰς ψυχὰς κατεφωτίσατε.

Σάρκα οἱ Ἀσκηταὶ δι᾽ ἐγκρατείας, νεκρώσαντες ζῶσι μετὰ θάνατον. Προφητῶν τε δικαίων χορὸς καὶ κατάλογος, Γυναικῶν ἀθλήσασαι δεδόξασται. αὐτῶν πρεσβείαις Χριστὲ κινδύνων ῥῦσαι ἡμᾶς.

Πάντων τῶν ἐπ᾽ ἐλπίδι κοιμηθέντων, ζωῆς τὰς ψυχὰς Χριστὲ ἀνάπαυσον, παρορῶν τὰ ἐν βίῳ αὐτῶν πλημμελήματα, διὰ τὴν πολλὴν εὐσπλαγχνίαν σου, εὔσπλαγχνε μόνε Σωτήρ, ὁ τῶν Πατέρων Θεός.

Θεοτοκίον.

Ὅλη ὡς καθαρὰ καθυπεδέξω, ἐν μήτρᾳ τὸν Λόγον σωματούμενον. ἀλλ᾽ αὐτὸν ἐκδυσώπει, καθάραι πταισμάτων με, καὶ ψυχῆς καὶ σώματος Πανάγνε, τὸν ἐπὶ σοὶ καθαρᾷ, πίστει προσερχόμενον.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Οἱ Θεοῤῥήμονες Παῖδες, ἐν τῇ καμίνῳ σὺν τῷ πυρὶ καὶ τὴν φλόγα, καταπατοῦντες ὑπέψαλλον· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τροπάριον.

Ναοὺς εἰδώλων καθείλετε ἀθλοῦντες, καὶ ἑαυτοὺς τῆς Τριάδος, Θείους Ναοὺς ἐδομήσασθε, Ἀθλοφόροι Κυρίου, Ἀγγέλων συνόμιλοι.

Οἱ Ἱερεῖς σου Χριστὲ δικαιοσύνην, ἐνδεδυμένοι Ὅσιοι, τοῖς ἀπ᾽ αἰῶνος ἀγάλλονται, σοῦ τὸ κάλλος ὁρῶντες, τὸ θεῖον τρανώτερον.

Ἱεροτάτων πρεσβείαις Προφητῶν σου, καὶ Γυναικῶν ἀοιδίμων, τῶν ἀπ᾽ αἰῶνος δικαίων τε, τὰ ἐλέη σου Λόγε, τῷ Κόσμῳ σου δώρησαι.

Δικαιοκρίτα, ἡνίκα μέλλεις κρῖναι, οὓς ἐξ ἡμῶν προσελάβου, ἀκατακρίτους συντήρησον, παραβλέψας τὰ τούτων ἐγκλήματα Δέσποτα.

Θεοτοκίον.

Ἐπιφανεῖσα Παρθένε τῆς ψυχῆς μου, τὰ σκοτεινότατα νέφη, τῷ φωτισμῷ σου ἀπέλασον, ἡ τῆς δικαιοσύνης, τεκοῦσα τὸν Ἥλιον.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Σὲ τὴν ἀπειρόγαμον, Θεοῦ Μητέρα καὶ Παρθένον, σὲ τὴν ὑπὲρ νοῦν κυήσασαν, διὰ λόγου τὸν ὄντως Θεόν, τὴν ὑψηλοτέραν τῶν ἀχράντων Δυνάμεων, ἀσιγήτοις δοξολογίαις μεγαλύνομεν.

Τροπάριον.

Ἵσταντο οἱ Μάρτυρες, πρὸ τῶν ἀδίκων κριτηρίων, πᾶσαν ἀδικίαν, χάριτι τοῦ Χριστοῦ κατακρίνοντες, τοὺς ὑπ᾽ αὐτῆς κεκρατημένους ἐλέγχοντες, καὶ στεφάνους δικαιοσύνης κομιζόμενοι.

Ὤφθητε ὡς οἴακες, τῆς Ἐκκλησίας τὰς ὁλκάδας, πάσας εὐσεβῶς ἰθύναντες, εἰς λιμένα Θεοῦ ἐντολῶν, πάντες Ἱεράρχαι, καὶ Ποιμένες μακάριοι. διὰ τοῦτο ὡς κυβερνήτας ὑμᾶς σέβομεν.

Στῖφος ἱκετεύει σε, τῶν Προφητῶν καὶ τῶν Ὁσίων, σύλλογος Γυναίων Κύριε, ἀθλησάντων λαμπρότατα, καὶ διαπρεψάντων ἐν ἀσκήσει φιλάνθρωπε, δυσωπεῖσε, τοὺς οἰκτιρμούς σου ἡμῖν δώρησαι.

Ἧς κατηξιώθησαν τιμῆς, καὶ δόξης αἰωνίου, ἅπαντες Χριστὲ οἱ Ἅγιοι, τοὺς πιστῶς ἐκδημήσαντας βίου τοῦ ματαίου, μετασχεῖν καταξίωσον Ἐλεῆμον, ταῖς ἱκεσίαις τῶν Ἁγίων σου. Θεοτοκίον.

Φέρουσα τὸ πλήρωμα, τῶν ἀγαθῶν ταῖς σαῖς ἀγκάλαις, πλήρωσον ἡμῶν Πανάμωμε, τὰς ἐντεύξεις τῶν δούλων σου, καὶ τὰς πρὸς Θεὸν ἡμῶν πορείας κατεύθυνον, ἐναρέτως ἐνδυναμοῦσα πολιτεύεσθαι.

Εἰς τοὺς Αἴνους, στιχηρὰ Μαρτυρικά. ἦχος πλ. δ΄.

Μεγάλως ἠγωνίσασθε Ἅγιοι, τὰς βασάνους τῶν ἀνόμων, ὑπομείναντες γενναίως, καὶ Χριστὸν ὁμολογοῦντες, ἐναντίον Βασιλέων. καὶ πάλιν μεταστάντες ἐκ τοῦ βίου, δυνάμεις ἐνεργεῖτε ἐν τῷ Κόσμῳ, καὶ ἀσθενεῖς θεραπεύετε, ἐκ τῶν παθῶν αὐτῶν Ἅγιοι· πρεσβεύοντες, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μάρτυρες Χριστοῦ οἱ ἀήττητοι, οἱ νικήσαντες τὴν πλάνην, τῇ δυνάμει τοῦ Σταυροῦ, ἀπελαύετε τὴν χάριν, αἰωνίως τῆς ζωῆς. Τυράννων, ἀπειλὰς οὐκ ἐπτοήθητε. βασάνοις, αἰκιζόμενοι εὐφραίνεσθε· καὶ νῦν τὰ αἵματα ὑμῶν γέγονεν, ἰάματα ταῖς ψυχαῖς ἡμῶν. πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τὸν θώρακα τῆς Πίστεως, ἐνδυσάμενοι καλῶς, καὶ τῷ τύπῳ τοῦ Σταυροῦ, καθοπλίσαντες ἑαυτούς, στρατιῶται εὐσθενεῖς ἀνεδείχθητε, τοῖς Τυράννοις ἀνδρείως ἀντικατέστητε, καὶ διαβόλου τὴν πλάνην κατηδαφίσατε. νικηταὶ γενόμενοι, τῶν στεφάνων ἠξιώθητε, πρεσβεύοντες ἀεὶ ὑπὲρ ἡμῶν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἐν τῷ Παρθένε Ἁγία Θεοτόκε, τῇ σκέπῃ σου προστρέχω· οἶδα ὅτι τεύξομαι τῆς σωτηρίας. δύνασαι γὰρ Ἁγνὴ βοηθῆσαί μοι.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΚΑΝΩ'Ν ΠΑΡΑΚΛΗΤΙΚΟ'Σ ΕΙ'Σ ΤΗ'Ν ΥΠΕΡΑΓΙ'ΑΝ ΘΕΟΤΟ'ΚΟΝ.

Ψαλλόμενος εἰς τὸν Ὄρθρον, μετὰ τῶν Κανόνων τῶν δοξολογουμένων Ἁγίων.

### Ὠδὴ α΄. ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν, καὶ τὴν Αἰγυπτίαν μοχθηρίαν διαφυγών, ὁ Ἰσραηλίτης ἀνεβόα· τῷ Λυτρωτῇ καὶ Θεῷ ἡμῶν ᾄσωμεν. **Τροπάριον.**

Πολλοῖς συνεχόμενος πειρασμοῖς, πρὸς σὲ καταφεύγω, σωτηρίαν ἐπιζητῶν. ὦ Μῆτερ τοῦ Λόγου καὶ Παρθένε, τῶν δυσχερῶν καὶ δεινῶν με διάσωσον.

Παθῶν με ταράττουσι προσβολαί, πολλῆς ἀθυμίας, ἐμπιπλῶσαί μου τὴν ψυχήν· εἰρήνευσον Κόρη τῇ γαλήνῃ, τῇ τοῦ Υἱοῦ καὶ Θεοῦ σου πανάμωμε. **Δόξα.**

Σωτῆρα τεκοῦσάν σε καὶ Θεόν, δυσωπῶ Παρθένε, λυτρωθῆναί με τῶν δεινῶν. σοὶ γὰρ νῦν προσφεύγων ἀνατείνω, καὶ τὴν ψυχὴν καὶ τὴν διάνοιαν. **Καὶ νῦν.**

Νοσοῦντα τὸ σῶμα καὶ τὴν ψυχήν, ἐπισκοπῆς θείας, καὶ προνοίας τῆς παρὰ σοῦ, ἀξίωσον μόνη Θεομῆτορ, ὡς ἀγαθὴ ἀγαθοῦ τε λοχεύτρια.

### Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας, δομῆτορ σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα μόνε φιλάνθρωπε. **Τροπάριον.**

Προστασίαν καὶ σκέπην, ζωῆς ἐμῆς τίθημι, σὲ Θεογεννῆτορ· Παρθένε σύ με κυβέρνησον, πρὸς τὸν λιμένα σου, τῶν ἀγαθῶν ἡ αἰτία, τῶν πιστῶν τὸ στήριγμα μόνη πανύμνητε.

Ἱκετεύω Παρθένε, τὸν ψυχικὸν τάραχον, καὶ τῆς ἀθυμίας, τὴν ζάλην διασκεδάσαι μου. σὺ γὰρ Θεόνυμφε, τὸν Ἀρχηγὸν τῆς γαλήνης, τὸν Χριστὸν ἐκύησας Θεοκυριάριστε. **Δόξα.**

Εὐεργέτην τεκοῦσα, τὸν τῶν καλῶν αἴτιον, τῆς εὐεργεσίας τὸν πλοῦτον, πᾶσιν ἀνάβλυσον. πάντα γὰρ δύνασαι, ὡς δυνατὸν ἐν ἰσχύϊ, τὸν Χριστὸν κυήσασα μόνη Πανύμνητε. **Καὶ νῦν.**

Χαλεπαῖς ἀῤῥωστίαις, καὶ νοσεροῖς πάθεσιν, ἐξεταζομένῳ Παρθένε, σύ μοι βοήθησον. τῶν ἰαμάτων γάρ, ἀνελλιπῆ σε γινώσκω, Θησαυρὸν πανάμωμε τὸν ἀδαπάνητον.

### Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Εἰσακήκοα Κύριε, τῆς οἰκονομίας σου τὸ Μυστήριον· κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα. **Τροπάριον.**

Τῶν παθῶν μου τὸν τάραχον, ἡ τὸν κυβερνήτην τεκοῦσα Κύριον, καὶ τὸν κλύδωνα κατεύνασον, τῶν ἐμῶν πταισμάτων Θεονύμφευτε.

Εὐσπλαγχνίας τὴν Ἄβυσσον, ἐπικαλουμένῳ τῆς σῆς παράσχου μοι, ἡ τὸν εὔσπλαγχνον κυήσασα, καὶ Σωτῆρα πάντων τῶν ὑμνούντων σε. **Δόξα.**

Ἀπολαύοντες Πάναγνε, τῶν σῶν δωρημάτων σοὶ χαριστήριον, ἀναμέλπομεν ἐφύμνιον, οἱ γινώσκοντές σε Θεομήτορα. **Καὶ νῦν.**

Οἱ ἐλπίδα καὶ στήριγμα, καὶ τῆς σωτηρίας τεῖχος ἀκράδαντον, κεκτημένοι σε Πανύμνητε, δυσχερείας πάσης ἐκλυτρούμεθα.

### Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Φώτισον ἡμᾶς, τοῖς προστάγμασί σου Κύριε, καὶ τῷ βραχίονί σου τῷ ὑψηλῷ, τὴν σὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε. **Τροπάριον.**

Ἔμπλησον Ἁγνή, εὐφροσύνης τὴν ζωὴν ἡμῶν, τὴν σὴν ἀκήρατον διδοῦσα χαράν, τῆς εὐφροσύνης ἡ γεννήσασα τὸν αἴτιον.

Λύτρωσαι ἡμᾶς, ἐκ κινδύνων Θεοτόκε Ἁγνή, ἡ αἰωνίαν τεκοῦσα λύτρωσιν, καὶ τὴν εἰρήνην τὴν πάντα νοῦν ὑπερέχουσαν. **Δόξα.**

Λῦσον τὴν ἀχλύν, τῶν πταισμάτων μου Θεόνυμφε, τῷ φωτισμῷ τῆς σῆς λαμπρότητος, ἡ φῶς τεκοῦσα τὸ θεῖον καὶ προαιώνιον. **Καὶ νῦν.**

Ἴασαι Ἁγνή, τῆς ψυχῆς μου τὴν ἀσθένειαν, ἐπισκοπῆς σου ἀξιώσασα· καὶ τὴν ὑγείαν, τῇ πρεσβείᾳ σου παράσχου μοι.

### Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν, ἡ ζωή μου ἐπλήσθη, καὶ ἡ ψυχή μου τῷ Ἅδῃ προσήγγισε. καὶ δέομαι ὡς Ἰωνᾶς, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε. **Τροπάριον.**

Θανάτου καὶ τῆς φθορᾶς ὡς ἔσωσεν, ἑαυτὸν ἐκδεδωκὼς τῷ Θανάτῳ, τὴν τῇ φθορᾷ, καὶ θανάτῳ μου φύσιν, κατασχεθεῖσαν Παρθένε δυσώπησον, τὸν Κύριόν σου καὶ Υἱόν, τῆς ἐχθρῶν κακουργίας με ῥύσασθαι.

Προστάτιν σε τῆς ζωῆς ἐπίσταμαι, καὶ φρουρὰν ἀσφαλεστάτην Παρθένε, τῶν πειρασμῶν, διαλύουσαν ὄχλον, καὶ ἐπηρείας δαιμόνων ἐλαύνουσαν. καὶ δέομαι διαπαντός, ἐκ φθορᾶς τῶν παθῶν μου ῥυσθῆναί με. **Δόξα.**

Ὡς τεῖχος καταφυγῆς κεκτήμεθα, καὶ ψυχῶν σε παντελῆ σωτηρίαν, καὶ πλατυσμόν, ἐν ταῖς θλίψεσι Κόρη, καὶ τῷ φωτισμῷ σου ἀεὶ ἀγαλλόμεθα. ὦ Δέσποινα καὶ νῦν ἡμᾶς, τῶν παθῶν καὶ κινδύνων διάσωσον. **Καὶ νῦν.**

Ἐν κλίνῃ νῦν ἀσθενῶν κατάκειμαι, καὶ οὐκ ἔστιν ἴασις τῇ σαρκί μου. ἀλλ' ἡ Θεόν, καὶ Σωτῆρα τοῦ Κόσμου, καὶ τὸν λυτῆρα τῶν νόσων κυήσασα· σοῦ δέομαι τῆς ἀγαθῆς, ἐκ φθορᾶς νοσημάτων ἀνάστησον.

**Κοντάκιον. ἦχος β΄. Τὰ ἄνω ζητῶν.**

Πρεσβεία θερμή, καὶ τεῖχος ἀπροσμάχητον, ἐλέους πηγή, τοῦ Κόσμου καταφύγιον, ἐκτενῶς βοῶμέν σοι· Θεοτόκε Δέσποινα πρόφθασον. καὶ ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, ἡ μόνη ταχέως προστατεύουσα.

### Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Οἱ ἐκ τῆς Ἰουδαίας, καταντήσαντες Παῖδες, ἐν Βαβυλῶνι ποτέ, τῇ πίστει τῆς Τριάδος, τὴν φλόγα τῆς καμίνου, κατεπάτησαν ψάλλοντες· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ. **Τροπάριον.**

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας Σῶτερ οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου, κατῴκισας τῷ Κόσμῳ, ἣν προστάτιν ἀνέδειξας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θελητὴν τοῦ ἐλέους, ὃν ἐγέννησας Μῆτερ Ἁγνή, δυσώπησον, ῥυσθῆναι τῶν πταισμάτων, ψυχῆς τε μολυσμάτων, τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ. **Δόξα.**

Σωμάτων μαλακίας, καὶ ψυχῶν ἀῤῥωστίας Θεογεννήτρια, τῶν πόθῳ προσιόντων, τῇ σκέπῃ σου τῇ

θεῖε, θεραπεύειν ἀξίωσον, ἡ τὸν Σωτῆρα Χριστὸν, ἡμῖν ἀποτεκοῦσα. Καὶ νῦν.

Θησαυρὸν σωτηρίας, καὶ πηγὴν ἀφθαρσίας τὴν σὲ κυήσασαν, καὶ πύργον ἀσφαλείας, καὶ θύραν μετανοίας, τοῖς κραυγάζουσιν ἔδειξας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ. Ὠδὴ η΄. Ὁ Εἱρμός.

Τὸν Βασιλέα τῶν Οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. Τροπάριον.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους, μὴ παρίδῃς Παρθένε ὑμνοῦντας, καὶ ὑπερυψοῦντάς σε Κόρη εἰς αἰῶνας.

Τῶν ἰαμάτων τὸ δαψιλὲς ἐπιχέεις, τοῖς πιστῶς ὑμνοῦσί σε Παρθένε, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας. Δόξα.

Τὰς ἀσθενείας μου τῆς ψυχῆς ἰατρεύεις, καὶ σαρκὸς τὰς ὀδύνας Παρθένε, ἵνα σε δοξάζω, εἰς πάντας τοὺς αἰῶνας. Καὶ νῦν.

Τῶν πειρασμῶν σὺ τὰς προσβολὰς ἐκδιώκεις, καὶ παθῶν τὰς ἐφόδους Παρθένε. ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Κυρίως Θεοτόκον, σὲ ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι Παρθένε Ἁγνή, σὺν ἀσωμάτοις χορείαις, σὲ μεγαλύνοντες. Τροπάριον.

Ῥοῦν μου τῶν δακρύων, μὴ ἀποποιήσῃς, ἡ τὸ παντὸς ἐκ προσώπου πᾶν δάκρυον, ἀφῃρηκότα Παρθένε, Χριστὸν κυήσασα.

Χαρᾶς μου τὴν καρδίαν, πλήρωσον Παρθένε, ἡ τῆς χαρᾶς δεξαμένη τὸ πλήρωμα, τῆς ἁμαρτίας τὴν λύπην ἐξαφανίσασα. Δόξα.

Φωτός σου ταῖς ἀκτῖσι, λάμπρυνον Παρθένε, τὸ ζοφερὸν τῆς ἀγνοίας διώκουσα, τοὺς εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλοντας. Καὶ νῦν.

Κακώσεως ἐν τόπῳ, τῷ τῆς ἀσθενείας, ταπεινωθέντα Παρθένε θεράπευσον, ἐξ ἀρρωστίας εἰς ῥῶσιν μετασκευάζουσα.

# ΕΤΕΡΟΣ ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΕΙΣ ΤΗΝ ΥΠΕΡΑΓΙΑΝ ΘΕΟΤΟΚΟΝ.

Ποίημα τοῦ Βασιλέως Κυροῦ Θεοδώρου Δούκα τοῦ Λασκάρεως.

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσά ποτε, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν. Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα. Τροπάριον.

Τῶν λυπηρῶν ἐπαγωγαὶ χειμάζουσι, τὴν ταπεινήν μου ψυχήν, καὶ συμφορῶν νέφη, τὴν ἐμὴν καλύπτουσι, καρδίαν Θεονύμφευτε· ἀλλ' ἡ φῶς τετοκυῖα, τὸ θεῖον καὶ προαιώνιον, λάμψον μοι τὸ φῶς τὸ χαρμόσυνον.

Ἐκ τῶν ἀμετρήτων ἀναγκῶν καὶ θλίψεων, καὶ ἐξ ἐχθρῶν δυσμενῶν, καὶ συμφορῶν βίου, λυτρωθεὶς Πανάχραντε, τῇ κραταιᾷ δυνάμει σου, ἀνυμνῶ μεγαλύνω, τὴν ἄμετρόν σου συμπάθειαν, καὶ τὴν εἰς ἐμὲ σου παράκλησιν.

Νῦν πεποιθὼς ἐπὶ τὴν σὴν κατέφυγον, ἀντίληψιν κραταιάν, καὶ πρὸς τὴν σὴν σκέπην, ὁλοψύχως ἔδραμον· καὶ γόνυ κλίνω Δέσποινα, καὶ θρηνῶ καὶ στενάζω. μή με παρίδῃς τὸν ἄθλιον, τῶν Χριστιανῶν καταφύγιον.

Οὐ σιωπήσω τοῦ βοᾷν τρανώτατα, τὰ μεγαλεῖα τὰ σά. εἰ μὴ γὰρ σὺ Κόρη, πάντοτε προΐστασο· ὑπὲρ ἐμοῦ πρεσβεύουσα, τῷ Υἱῷ καὶ Θεῷ σου, τίς ἐκ τοσούτου με κλύδωνος, καὶ δεινῶν κινδύνων ἐρρύσατο.

Διάσωσον ἀπὸ κινδύνων, τοὺς δούλους σου Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν, εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος καὶ προστασίαν.

Ἐπίβλεψον ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν, τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος. Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος, ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας, δομῆτορ σύ με στερέωσον, ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε. Τροπάριον.

Ἀπορήσας ἐκ πάντων, ὀδυνηρῶς κράζω σοι· πρόφθασον θερμὴ προστασία, καὶ σὴν βοήθειαν, δός μοι τῷ δούλῳ σου, τῷ ταπεινῷ καὶ ἀθλίῳ, τῷ τὴν σὴν ἀντίληψιν, ἐπιζητοῦντι θερμῶς.

Ἐθαυμάστωσας ὄντως, νῦν ἐπ' ἐμοὶ Δέσποινα, τὰς εὐεργεσίας σου Κόρη, καὶ τὰ ἐλέη σου. ὅθεν δοξάζω σε, καὶ ἀνυμνῶ καὶ γεραίρω, τὴν πολλὴν καὶ ἄμετρον κηδεμονίαν σου.

Καταιγίς με χειμάζει, τῶν συμφορῶν Δέσποινα, καὶ τῶν λυπηρῶν τρικυμίαι καταποντίζουσιν· ἀλλὰ προφθάσασα, χεῖρά μοι δὸς βοηθείας, ἡ θερμὴ ἀντίληψις καὶ προστασία μου.

Ἀληθῆ Θεοτόκον, ὁμολογῶ Δέσποινα, σὲ τὴν τοῦ θανάτου, τὸ κράτος ἐξαφανίσασαν. ὡς γὰρ φυσίζωος, ἐκ τῶν δεσμῶν τῶν τοῦ Ἅδου, πρὸς ζωὴν ἀνήγαγες, εἰς γῆν με ῥεύσαντα.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Σύ μου ἰσχὺς Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ Πατρικοὺς κόλπους μὴ λιπὼν, καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος. διὸ σὺν τῷ Προφήτῃ, Ἀββακούμ σοι κραυγάζω· τῇ δυνάμει σου δόξα φιλάνθρωπε. Τροπάριον.

Καὶ ποῦ λοιπὸν, ἄλλην εὑρήσω ἀντίληψιν; ποῦ προσφύγω; ποῦ δὲ καὶ σωθήσομαι; τίνα θερμὴν ἕξω βοηθόν; θλίψεσι τοῦ βίου, καὶ ζάλαις οἴμοι κλονούμενος· εἰς σὲ μόνην ἐλπίζω, καὶ θαρρῶ καὶ καυχῶμαι, καὶ προστρέχω τῇ σκέπῃ σου σῶσόν με.

Τὸν ποταμὸν, τὸν γλυκερὸν τοῦ ἐλέους σου, τὸν πλουσίαις, δωρεαῖς δροσίσαντα, τὴν παναθλίαν καὶ ταπεινὴν, Πάναγνε ψυχήν μου, τῶν συμφορῶν καὶ τῶν θλίψεων, καμίνῳ φλογισθεῖσαν, μεγαλύνω κηρύττω, καὶ προστρέχω τῇ σκέπῃ σου σῶσόν με.

Σὲ τὴν Ἁγνὴν, σὲ τὴν Παρθένον καὶ ἄσπιλον, μόνην φέρω, τεῖχος ἀπροσμάχητον, καταφυγὴν, σκέπην κραταιὰν, ὅπλον σωτηρίας. μή με παρίδῃς τὸν ἄσωτον, ἐλπὶς ἀπηλπισμένων, ἀσθενῶν συμμαχία, θλιβομένων χαρὰ καὶ ἀντίληψις.

Πῶς ἐξειπεῖν, σοῦ κατ' ἀξίαν δυνήσομαι, τοὺς ἀμέτρους οἰκτιρμοὺς, ὦ Δέσποινα, τοὺς τὴν

ἐμὴν, πάντοτε ψυχὴν, δεινῶς θλιβομένην, ὡς ὕδωρ περικυκλώσαντας; Ἀλλ᾽ ὢ τῆς σῆς προνοίας, καὶ τῆς εὐεργεσίας, ἧς ἀφρόνως ὁ τάλας ἀπώλεσα.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ ε´. Ὁ Εἱρμός.

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον; ἀλλ᾽ ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι.

Τροπάριον.

Εὐχαρίστως βοῶ σοι· χαῖρε Μητροπάρθενε, χαῖρε Θεόνυμφε. χαῖρε θεία σκέπη, χαῖρε ὅπλον, καὶ τεῖχος ἀπόρθητον. χαῖρε προστασία, καὶ βοηθὲ καὶ σωτηρία, τῶν εἰς σὲ προστρεχόντων ἐκ πίστεως.

Οἱ μισοῦντές με μάτην, βέλεμνα καὶ ξίφη, καὶ λάκκον ηὐτρέπισαν, καὶ ἐπιζητοῦσι, τὸ πανάθλιον σῶμα σπαράξαι μου, καὶ καταβιβάσαι, πρὸς γῆν Ἁγνὴ ἐπιζητοῦσιν. ἀλλ᾽ ἐκ τούτων προφθάσασα σῶσόν με.

Τί σοι δῶρον προσάξω, τῆς εὐχαριστίας, ἀνθ᾽ ὧνπερ ἀπήλαυσα, τῶν σῶν δωρημάτων, καὶ τῆς σῆς ἀμετρήτου χρηστότητος; τοιγαροῦν δοξάζω, ὑμνολογῶ καὶ μεγαλύνω, σοῦ τὴν ἄφατον πρός με συμπάθειαν.

Ἀληθῆ Θεοτόκον, πάντες ἐπιγνόντες σε πάναγνε Δέσποινα, τὸν ἐκ σοῦ τεχθέντα, Θεὸν Λόγον εἰδότες κηρύττομεν, ἐν δυσὶν οὐσίαις, θελητικαῖς αὐτεξουσίαις, ὑπὲρ λόγον καὶ νόμον τῆς φύσεως.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ ϛ´. Ὁ Εἱρμός.

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγγελῶ μου τὰς θλίψεις, ὅτι κακῶν, ἡ ζωή μου ἐπλήσθη, καὶ ἡ ψυχή μου τῷ Ἅδῃ προσήγγισε. καὶ δέομαι ὡς Ἰωνᾶς, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Τροπάριον.

Τὰ νέφη τῶν λυπηρῶν ἐκάλυψαν, τὴν ἀθλίαν μου ψυχὴν καὶ καρδίαν, καὶ σκοτασμὸν, ἐμποιοῦσί μοι Κόρη· ἀλλ᾽ ἡ γεννήσασα φῶς τὸ ἀπρόσιτον, ἀπέλασον ταῦτα μακρὰν, τῇ ἐμπνεύσει τῆς θείας πρεσβείας σου.

Παράκλησιν ἐν ταῖς θλίψεσιν οἶδα, καὶ τῶν νόσων ἰατρόν σε γινώσκω, καὶ παντελῆ συντριμμὸν τοῦ θανάτου, καὶ ποταμὸν τῆς ζωῆς ἀνεξάντλητον, καὶ πάντων τῶν ἐν συμφοραῖς, ταχεινὴν καὶ ὀξεῖαν ἀντίληψιν.

Οὐ κρύπτω σου τὸν βυθὸν τοῦ ἐλέους, καὶ τὴν βρύσιν τῶν ἀπείρων θαυμάτων, καὶ τὴν πηγὴν, τὴν ἀέναον ὄντως, τῆς πρὸς ἐμὲ συμπαθείας σου Δέσποινα. ἀλλ᾽ ἅπασιν ὁμολογῶ, καὶ βοῶ καὶ κηρύττω καὶ φθέγγομαι.

Ἐκύκλωσαν αἱ τοῦ βίου με ζάλαι, ὥσπερ μέλισσαι κηρίον Παρθένε, καὶ τὴν ἐμὴν, κατασχοῦσαι καρδίαν, κατατιτρώσκουσι βέλει τῶν θλίψεων, ἀλλ᾽ εὕροιμί σε βοηθὸν, καὶ διώκτην καὶ ῥύστιν πανάχραντε.

Διάσωσον ἀπὸ κινδύνων, Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ ζ´. Ὁ Εἱρμός.

Παῖδες Ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν φλόγα θαρσαλαίως, καὶ εἰς δρόσον τὸ πῦρ μετέβαλον βοῶντες· εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Τροπάριον.

Ὡς ἡ τεκοῦσα Θεοτόκε, σκοτισθέντα με νυκτὶ ἁμαρτημάτων, φωταγώγησον σὺ, φωτὸς οὖσα δοχεῖον, τὸ καθαρὸν καὶ ἄμωμον, ἵνα πόθῳ σε δοξάζω.

Σκέπη γενοῦ καὶ προστασία, καὶ ἀντίληψις, καὶ καύχημα Παρθένε, γυμνωθέντι μοι νῦν, ἁπάσης βοηθείας, ἀβοηθήτων δύναμις, καὶ ἐλπὶς ἀπηλπισμένων.

Ὅλῃ ψυχῇ καὶ διανοίᾳ, καὶ καρδίᾳ σε καὶ χείλεσι δοξάζω, ἀπολαύσας τῶν σῶν, μεγάλων χαρισμάτων. ἀλλ᾽ ὢ τῆς σῆς χρηστότητος, καὶ ἀπείρων σου θαυμάτων.

Βλέψον ἱλέῳ ὄμματί σου, καὶ ἐπίσκεψαι τὴν κάκωσιν ἣν ἔχω, καὶ δεινῶν συμφορῶν, καὶ βλάβης καὶ κινδύνων, καὶ πειρασμῶν με λύτρωσαι, ἀμετρήτῳ σου ἐλέει.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ η´. Ὁ Εἱρμός.

Τὸν ἐν ὄρει, ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ, τόκον τὸν τῆς Ἀειπαρθένου, τῷ Μωϋσῇ μυστήριον γνωρίσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάριον.

Διὰ σπλάγχνα, ἐλέους σου Παρθένε, μὴ παρίδῃς σεμνὴ ποντούμενόν με σάλῳ, βιωτικῶν κυμάτων· ἀλλὰ δίδου μοι, χεῖρα βοηθείας, καταπονουμένῳ, κακώσεσι τοῦ βίου.

Περιστάσεις, καὶ θλίψεις καὶ ἀνάγκαι, εὕροσάν με, Ἁγνὴ καὶ συμφοραὶ τοῦ βίου, καὶ πειρασμοί με πάντοθεν ἐκύκλωσαν, ἀλλὰ πρόστηθί μοι, καὶ ἀντιλαβοῦ μου, τῇ κραταιᾷ σου σκέπῃ.

Ἐν ταῖς ζάλαις, ἐφεύρωσε λιμένα, ἐν ταῖς λύπαις, χαρὰν καὶ εὐφροσύνην, καὶ ἐν ταῖς νόσοις ταχεινὴν βοήθειαν. καὶ ἐν τοῖς κινδύνοις, ῥύστιν καὶ προστάτιν, ἐν τοῖς πειρατηρίοις.

Χαῖρε θρόνε, πυρίμορφε Κυρίου. χαῖρε θεία, καὶ μαννοδόχε στάμνε. χαῖρε χρυσῆ λυχνία, λαμπὰς ἄσβεστε. χαῖρε τῶν Παρθένων, δόξα καὶ μητέρων, ὡράϊσμα καὶ κλέος.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Ὠδὴ θ´. Ὁ Εἱρμός.

Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανὸς, καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεὸς, ὤφθη τοῖς ἀνθρώποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐρυχωροτέρα τῶν Οὐρανῶν. διό σε Θεοτόκε, Ἀγγέλων καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσι.

Τροπάριον.

Πρὸς τίνα καταφύγω ἄλλην Ἁγνή; ποῦ προσδράμω λοιπὸν καὶ σωθήσομαι; ποῦ πορευθῶ; ποίαν δὲ ἐφεύρω καταφυγήν; ποίαν θερμὴν ἀντίληψιν; ποίαν ἐν ταῖς θλίψεσι βοηθόν; εἰς σὲ μόνην ἐλπίζω, εἰς σὲ μόνην καυχῶμαι, καὶ ἐπὶ σὲ θαῤῥῶν κατέφυγον.

Οὐκ ἔστιν ἀριθμήσασθαι δυνατὸν, μεγαλεῖα τὰ σὰ Θεονύμφευτε, καὶ τὸν βυθὸν, τὸν ἀνεξερεύνητον ἐξειπεῖν, τῶν ὑπὲρ νοῦν θαυμάτων σου, τῶν τετελεσμένων διηνεκῶς, τοῖς πόθῳ σε τιμῶσι, καὶ πίστει προσκυνοῦσιν, ὡς ἀληθῆ Θεοῦ λοχεύτριαν.

Ἐν ὕμνοις εὐχαρίστοις δοξολογῶ, καὶ γεραίρω τὸ ἄμετρον ἔλεος, καὶ τὴν πολλὴν, δύναμίν σου πᾶσιν ὁμολογῶ, καὶ τὰς εὐεργεσίας σου, ἃς ὑπερεκένωσας εἰς ἐμὲ, κηρύττω, μεγαλύνω, ψυχῇ τε καὶ καρδίᾳ, καὶ λογισμῷ καὶ γλώσσῃ πάντοτε.

Τὴν δέησίν μου δέξαι τὴν πενιχρὰν, καὶ κλαυθμὸν μὴ παρίδῃς καὶ δάκρυα, καὶ στεναγμόν· ἀλλ᾽ ἀντιλαβοῦ μου ὡς ἀγαθὴ, καὶ τὰς αἰτήσεις πλήρωσον. δύνασαι γὰρ πάντα ὡς παντοσθενὴς, Δεσπότου Θεοῦ Μήτηρ, εἰ νεύσεις ἔτι μόνον, πρὸς τὴν ἐμὴν οἰκτρὰν ταπείνωσιν.

Διάσωσον ἀπὸ κινδύνων. Ἐπίβλεψον ἐν εὐμενείᾳ.

Τέλος τῶν Παρακλητικῶν Ἀκολουθιῶν
τῆς ὅλης Ἑβδομάδος.



ΔΗΜΟΣΙΑ ΚΕΝΤΡΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ

# ΑἹ ΛΟΙΠΑῚ ἈΚΟΛΟΥΘΊΑΙ ΤΩ͂Ν ΔΕΣΠΟΤΙΚΩ͂Ν ἙΟΡΤΩ͂Ν

## ΕἸΣ ΤῊΝ ἙΟΡΤῊΝ ΤΩ͂Ν ΒΑΪ́ΩΝ.

Τῷ Σαββάτῳ Ἑσπέρας, ἐν τῷ μεγάλῳ Ἑσπερινῷ. Μετὰ τὸν προοιμιακὸν Ψαλμὸν, ἡ συνήθης Στιχολογία. Τὸ Μακάριος ἀνήρ. Τὸ Κάθισμα ὅλον. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχ. ι. καὶ ψάλλομεν τὰ παρόντα Ἰδιόμελα στιχηρά.

Δευτεροῦντες αὐτά. Ἦχος πλ. β΄.

ΣΗμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, ἡμᾶς συνήγαγε. καὶ πάντες αἴροντες, τὸν Σταυρόν σου λέγομεν· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ἦχος ὁ αὐτός.

ΟἝχων θρόνον Οὐρανὸν, καὶ ὑποπόδιον τὴν γῆν, ὁ τοῦ Θεοῦ Πατρὸς λόγος, καὶ Υἱὸς συναΐδιος, ἐπὶ πώλου ἀλόγου, ἐπετρίασε σήμερον, ἐν Βηθανίᾳ ἐλθών. ὅθεν Παῖδες Ἑβραίων, κλάδους χερσὶ κατέχοντες εὐφήμουν φωνῇ· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, Βασιλεὺς τοῦ Ἰσραήλ.

Ἦχος ὁ αὐτός.

ΔΕῦτε καὶ ἡμεῖς σήμερον, πᾶς ὁ νέος Ἰσραὴλ, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, μετὰ τοῦ Προφήτου Ζαχαρίου ἐκβοήσωμεν· χαῖρε σφόδρα θύγατερ Σιὼν, κήρυσσε θύγατερ Ἱερουσαλὴμ. ὅτι ἰδοὺ ὁ Βασιλεύς σου, ἔρχεταί σοι πραῢς καὶ σώζων, καὶ ἐπιβεβηκὼς ἐπὶ πῶλον ὄνου, υἱὸν ὑποζυγίου. ἑόρταζε τὰ τῶν παίδων, κλάδους χερσὶ κατέχουσα εὐφήμησον· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, Βασιλεὺς τοῦ Ἰσραήλ.

Ἦχος ὁ αὐτός.

ΤΗν κοινὴν Ἀνάστασιν, τὴν σὴν προτυπούμενος ἡμῖν, ἤγειρας θανόντα τῇ προστάξει σου, τὸν ἄπνουν Λάζαρον, τὸν φίλον Ἀγαθὲ ἐκ τοῦ μνήματος, τεταρταῖον ὀδωδότα. ὅθεν καὶ τῷ πώλῳ ἐπιβὰς συμβολικῶς, ὥσπερ ἐπ' ὀχήματος φερόμενος, τὰ ἔθνη τεκμαιρόμενος Σωτήρ. ὅθεν καὶ τὴν αἴνεσιν προσφέρει, ὁ ἠγαπημένος Ἰσραὴλ, ἐκ στομάτων θηλαζόντων, καὶ νηπίων ἀκάκων, καθορώντων σε Χριστὲ, εἰσερχόμενον εἰς τὴν Ἁγίαν Πόλιν, πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα.

Ἦχος ὁ αὐτός.

ΠΡὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν, καὶ προσῆλθον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ, λέγοντες αὐτῷ· Κύριε, ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα; ὁ δὲ ἀπέστειλεν αὐτούς· ἀπέλθετε εἰς τὴν ἀπέναντι Κώμην, καὶ εὑρήσετε ἄνθρωπον, κεράμιον ὕδατος βαστάζοντα. ἀκολουθήσατε αὐτῷ, καὶ τῷ οἰκοδεσπότῃ εἴπατε· ὁ Διδάσκαλος λέγει, πρὸς σὲ ποιῶ τὸ Πάσχα, μετὰ τῶν Μαθητῶν μου.

Δόξα, τὸ πρῶτον. Σήμερον ἡ χάρις.

Καὶ νῦν. Πάλιν τὸ αὐτό. Εἴσοδος. Φῶς ἱλαρόν.

Προκείμενον. Ὁ Κύριος ἐβασίλευσεν.

Εἶτα τὰ Ἀναγνώσματα. Ἀνάγνωσμα Α΄. Γενέσεως τὸ Ἀνάγνωσμα.

ΕΚάλεσεν Ἰακὼβ τοὺς Υἱοὺς αὐτοῦ, καὶ εἶπε· Συνάχθητε, ἵνα ἀναγγείλω ὑμῖν, τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν. Ἀθροίσθητε καὶ ἀκούσατε Υἱοὶ Ἰακώβ· ἀκούσατε Ἰσραὴλ τοῦ Πατρὸς ὑμῶν. Ἰούδα, σὲ αἰνέσουσιν οἱ Ἀδελφοί σου, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου. προσκυνήσουσί σοι οἱ Υἱοὶ τοῦ Πατρός σου. Σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ Υἱέ μου ἀνέβης. ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, καὶ ὡς σκύμνος, τίς ἐγερεῖ αὐτόν; Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται. καὶ αὐτὸς προσδοκία ἐθνῶν. Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τῆς ἀμπέλου, τὸν πῶλον τῆς ὄνου αὐτοῦ. πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. Χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ, ἢ γάλα. Κεφ. μθ΄. ι.

Ἀνάγνωσμα Β΄. Προφητείας Σοφονίου.

ΤΑδε λέγει Κύριος· χαῖρε σφόδρα θύγατερ Σιὼν, κήρυσσε θύγατερ Ἱερουσαλήμ· εὐφραίνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου θύγατερ Ἱερουσαλήμ. Περιεῖλε Κύριος τὰ ἀδικήματά σου, λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου. Βασιλεύσει Κύριος ἐν μέσῳ σου· οὐκ ὄψει κακὰ οὐκέτι. Ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ τῇ Ἱερουσαλὴμ Κύριος· θάρσει Σιὼν, μὴ παρείσθωσαν αἱ χεῖρές σου. Κύριος ὁ Θεός σου ἐν σοὶ δυνατὸς σῶσαί σε· ἐπάξει ἐπὶ σὲ εὐφροσύνην, καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ, καὶ εὐφρανθήσεται ἐπὶ σοὶ ἐν τέρψει, ὡς ἐν ἡμέρᾳ ἑορτῆς. Καὶ συνάξει τοὺς συντετριμμένους. οὐαὶ, τίς ἔλαβεν ἐπ' αὐτὴν ὀνειδισμόν; ἰδοὺ ἐγὼ ποιῶ ἐν σοὶ, ἕνεκεν σοῦ λέγει Κύριος, ἐν τῷ καιρῷ ἐκείνῳ. καὶ σώσω τὴν ἐκπεπιεσμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι, καὶ θήσομαι αὐτοὺς εἰς καύχημα, καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ. Κεφ. γ΄. 14.

Ἀνάγνωσμα Γ΄. Προφητείας Ζαχαρίου.

ΤΑδε λέγει Κύριος· χαῖρε σφόδρα θύγατερ Σιὼν, κήρυσσε θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ Βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων· αὐτὸς πρᾶος, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον. Καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραὶμ, καὶ ἵππον ἐξ Ἱερουσαλήμ. καὶ ἐξολοθρευθήσεται τόξον πολεμικὸν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν. καὶ κατάρξει ὑδάτων ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως διεκβολῶν γῆς. Καὶ σὺ ἐν αἵματι διαθήκης σου ἐξαπέστειλας τοὺς δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ. Καθίσεσθε ἐν ὀχυρώματι δέσμιοι τῆς συναγωγῆς· καὶ ἀντὶ μιᾶς ἡμέρας παροικίας σου, διπλᾶ Κεφ. θ΄. 9.



ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνταποδώσω σοι, λέγει Κύριος. Διότι ἐνέτεινά σε ἐμαυτῷ Ἰούδα ὡς τόξον, ἔπλησα τὸν Ἐφραΐμ. καὶ ἐξεγερῶ τὰ τέκνα σου Σιών, ἐπὶ τὰ τέκνα τῶν Ἑλλήνων. καὶ ψηλαφήσω σε, ὡς ῥομφαίαν μαχητοῦ. Καὶ Κύριος ὀφθήσεται ἐπ' αὐτούς, καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολὶς αὐτοῦ. καὶ Κύριος ὁ Θεὸς ὁ Παντοκράτωρ ἐν σάλπιγγι σαλπιεῖ, καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ. Καὶ Κύριος Παντοκράτωρ ὑπερασπιεῖ αὐτῶν.

Εἰς τὴν Λιτήν, στιχηρὰ ἰδιόμελ. ἦχος α΄.

ΤΟ Παναγιον Πνεῦμα, τὸ καὶ τοὺς Ἀποστόλους διδάξαν, λαλεῖν ἑτέραις ξέναις γλώσσαις· αὐτὸ τοὺς Παῖδας τῶν Ἑβραίων τοὺς ἀπειροκάκους, προτρέπεται κραυγάζειν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος, Βασιλεὺς τοῦ Ἰσραήλ.

Ἦχος ὁ αὐτός.

Ο Συνάναρχος, καὶ συναΐδιος Υἱὸς καὶ Λόγος τοῦ Πατρός, ἐπὶ πῶλον ἀλόγου, ἦλθε σήμερον καθεζόμενος, ἐπὶ τὴν Πόλιν Ἱερουσαλήμ. ὃν τὰ Χερουβὶμ μετὰ δέους, ἀτενίσαι οὐ δύνανται. Παῖδες ἀνευφήμησαν, μετὰ Βαΐων καὶ κλάδων, τὸν αἶνον μυστικῶς ἀναμέλποντες· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, τῷ ἐλθόντι σῶσαι ἐκ πλάνης, ἅπαν τὸ γένος ἡμῶν.

Ἦχος ὁ αὐτός.

ΠΡὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, ἡ φωνή σου ἠκούσθη Κύριε, εἰς τὰ βάθη τοῦ Ἅδου. ὅθεν καὶ τὸν Λάζαρον τετραήμερον ἤγειρας. οἱ δὲ Παῖδες τῶν Ἑβραίων ἔκραζον· Ὡσαννὰ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἦχος β΄.

ΕΙσερχόμενος Κύριε εἰς τὴν Ἁγίαν Πόλιν, ἐπὶ πῶλον καθήμενος, ἔσπευδες ἐλθεῖν ἐπὶ τὸ Πάθος, ἵνα πληρώσῃς νόμον καὶ Προφήτας. οἱ δὲ Παῖδες τῶν Ἑβραίων, τῆς Ἀναστάσεως τὴν νίκην προμηνύοντες, ὑπήντων σοι μετὰ κλάδων, καὶ Βαΐων λέγοντες· εὐλογημένος εἶ Σωτήρ, ἐλέησον ἡμᾶς.

Ἦχος β΄.

ΔΟξα σοι Χριστέ, τῷ ἐν ὑψίστοις καθημένῳ ἐπὶ τοῦ Θρόνου, καὶ νῦν προσδοκωμένῳ, μετὰ τοῦ τιμίου σου Σταυροῦ. διὸ εὐφραίνεται θυγάτηρ Σιών, ἀγάλλονται τὰ ἔθνη τῆς γῆς, κλάδους κατέχουσι Παῖδες, χιτῶνας οἱ Μαθηταί, καὶ πᾶσα ἡ Οἰκουμένη, ἐδιδάχθη τοῦ βοᾶν σοι· εὐλογημένος εἶ Σωτήρ. ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. ἦχος γ΄.

ΠΡὸ ἓξ ἡμερῶν, τοῦ γενέσθαι τὸ Πάσχα, ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν, ἀνακαλέσασθαι τὸν τεθνεῶτα, τετραήμερον Λάζαρον, καὶ προκηρύξαι τὴν Ἀνάστασιν. ὑπήντησαν αὐτῷ καὶ αἱ γυναῖκες, Μάρθα καὶ Μαρία, Ἀδελφαὶ τοῦ Λαζάρου, ἀνεβόωσαν πρὸς αὐτόν· Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ἡμῶν ὁ ἀδελφός. τότε λέγει πρὸς αὐτάς· οὐ προεῖπον ὑμῖν, ὁ πιστεύων εἰς ἐμέ, κἂν ἀποθάνῃ ζήσεται; ὑποδείξατέ μοι, ποῦ τεθείκατε αὐτόν. καὶ ἐβόα πρὸς αὐτόν, ὁ Κτίστης τῶν ἁπάντων· Λάζαρε δεῦρο ἔξω.

Καὶ αἱ συνήθως εὐχαὶ ἐν τῷ Νάρθηκι.

Εἰς τὸν στίχον στιχηρὰ Ἰδιόμελα, ἦχος πλ. δ΄.

ΧΑῖρε, καὶ εὐφραίνου πόλις Σιών, τέρπου καὶ ἀγάλλου ἡ Ἐκκλησία τοῦ Θεοῦ. ἰδοὺ γὰρ ὁ Βασιλεύς σου παραγέγονεν ἐν δικαιοσύνῃ, ἐπὶ πῶλον καθεζόμενος, ὑπὸ Παίδων ἀνυμνούμενος· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος εἶ, ὁ ἔχων πλῆθος οἰκτιρμῶν, ἐλέησον ἡμᾶς.

Ἦχος ὁ αὐτός.

Στίχ. Ἐκ στόματος νηπίων καὶ θηλαζόντων.

ΗΛθεν ὁ Σωτὴρ σήμερον ἐπὶ τὴν Πόλιν Ἱερουσαλήμ, πληρῶσαι τὴν Γραφήν. καὶ πάντες ἔλαβον ἐν ταῖς χερσὶ Βάϊα· τοὺς δὲ χιτῶνας, ὑπεστρώννυον αὐτῷ· γινώσκοντες· ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν· ᾧ τὰ Χερουβὶμ βοᾷ ἀπαύστως· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. εὐλογημένος εἶ, ὁ ἔχων πλῆθος οἰκτιρμῶν, ἐλέησον ἡμᾶς.

Στίχ. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστόν.

Ἦχος ὁ αὐτός.

Ο Τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ, ἐπέβης ἐπὶ πῶλον, δαβιτικῶς Ἀγαθέ, καὶ Παῖδες σὲ ἀνύμνουν θεοπρεπῶς. Ἰουδαῖοι ἐβλασφήμουν παρανόμως. τὸ ἀκάθεκτον τῶν ἐθνῶν, ἡ καθέδρα τοῦ πώλου προετύπου, ἐξ ἀπιστίας, εἰς πίστιν μεταποιούμενον. δόξα σοι Χριστέ, ὁ μόνος ἐλεήμων καὶ φιλάνθρωπος.

Δόξα, ἦχος πλ. β΄.

ΣΗμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, ἡμᾶς συνήγαγε. καὶ πάντες αἴροντες, τὸν Σταυρόν σου λέγομεν· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Καὶ νῦν. Πάλιν τὸ αὐτό. Νῦν Ἀπολύεις.

Τὸ Τρισάγιον, καὶ τὰ λοιπὰ ὡς συνήθως.

Καὶ λέγομεν τὸ Τροπάριον, ἤγουν Ἀπολυτίκιον, ἐκ δευτέρου. ἦχος α΄.

ΤΗν κοινὴν Ἀνάστασιν, πρὸ τοῦ σοῦ Πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον Χριστὲ ὁ Θεός. ὅθεν καὶ ἡμεῖς ὡς οἱ Παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ νικητῇ τοῦ θανάτου βοῶμεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις. εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Ἕτερον, λεγόμενον ἅπαξ, ἦχος δ΄.

ΣΥνταφέντες σοι διὰ τοῦ Βαπτίσματος Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν τῇ Ἀναστάσει σου, καὶ ἀνυμνοῦντες κράζομεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Τὰ αὐτὰ καὶ εἰς τό, Θεὸς Κύριος.

Ἐν ᾧ μετὰ τὴν συνήθως στιχολ. α΄. Κάθισμ. ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

ΜΕτὰ κλάδων νοητῶς, κεκαθαρμένοι τὰς ψυχάς, ὡς οἱ Παῖδες τὸν Χριστόν, ἀνευφημήσωμεν πιστῶς, μεγαλοφώνως κραυγάζοντες τῷ Δεσπότῃ· εὐλογημένος εἶ Σωτήρ, ὁ εἰς τὸν Κόσμον ἐλθών, τοῦ σῶσαι τὸν Ἀδάμ, ἐκ τῆς ἀρχαίας ἀρᾶς, πνευματικῶς γενόμενος φιλάνθρωπε, νέος Ἀδάμ, ὡς ηὐδόκησας. ὁ πάντα Λόγε, πρὸς τὸ συμφέρον, οἰκονομήσας δόξα σοι.

Ἕτερον Κάθισμ. ἦχος δ΄. Ἐπεφάνης σήμερον.

ΤΕταρταῖον Λάζαρον ἐκ τοῦ μνημείου, ἀναστήσας Κύριε, πάντας ἐδίδαξας βοᾶν, μετὰ Βαΐων καὶ κλάδων σοι· εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Εἰς τὴν β΄. στιχολογ. Κάθισμα. ἦχος

Κατεπλάγη Ἰωσήφ.

ΕΠὶ φίλῳ σου Χριστέ, δάκρυα ῥαίνεις μυστικῶς, καὶ ἐγείρεις ἐκ νεκρῶν, Λάζαρον κείμενον θνητόν· ἐν ᾧ συμπάθειαν ἔδειξας φιλανθρώπως. μαθόντα δὲ τὴν σήν, παρουσίαν Σωτήρ, τὰ πλήθη τῶν βρεφῶν ἐξῆλθον σήμερον, ἐν ταῖς χερσὶ κατέχοντα Βάϊα, τὸ Ὡσαννά σοι κραυγάζοντα. εὐλογημένος εἶ, ὅτι τὸν Κόσμον, εἰς τὸ σῶσαι ἐλήλυθας.

Ἕτερον Κάθισ. ἦχος α΄. Τοῦ λίθου σφραγισθέντος.

ΑΓνέσατε συμφώνως, οἱ λαοὶ καὶ τὰ ἔθνη. ὁ γὰρ Βασιλεὺς τῶν Ἀγγέλων, ἐπέβη νῦν τῷ πώλῳ,

καὶ ἔρχεται θέλων ἐν Σταυρῷ, πατάξαι τοὺς ἐχθροὺς ὡς δυνατός. διὰ τοῦτο καὶ οἱ Παῖδες, μετὰ Βαΐων κράζουσι τὸν ὕμνον· δόξα σοι τῷ ἐλθόντι νικητῇ. δόξα σοι τῷ Σωτῆρι Χριστῷ. δόξα σοι τῷ εὐλογημένῳ μόνῳ Θεῷ ἡμῶν.

Εἶτα ὁ Πολυέλεος. Καὶ μετὰ τὸν Πολυέλεον, Κάθισμα, ἦχος πλ. δ'. Τὸ προσαχθὲν μυστικῶς.

Ὁ Ἐπὶ Θρόνου Χερουβὶμ καὶ ἐπὶ πώλου, ἐπικαθίσας δι᾽ ἡμᾶς, καὶ πρὸς τὸ Πάθος, τὸ ἑκούσιον φθάσας, σήμερον ἀκούει, τῶν Παίδων ἀναφωνούντων τὸ Ὡσαννά, τῶν ὄχλων ἀναβοώντων Υἱὲ Δαβὶδ, σπεῦσον σῶσαι οὓς ἔπλασας, εὐλογημένε Ἰησοῦ. εἰς τοῦτο γὰρ ἐλήλυθας, ὅπως γνῶμεν τὴν δόξαν σου.

Δόξα, καὶ νῦν. Πάλιν τὸ αὐτό.

Ἀνάγνωσιν δὲ ποιοῦμεν εἰς τὸ κατὰ Ἰωάννην, τὰ περὶ τῆς Ἑορτῆς. Λόγον ξέ. καὶ ξς'.

Οἱ Ἀναβαθμοὶ, τὸ ά. Ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον, ἦχος δ'.

Ἐκ στόματος νηπίων καὶ θηλαζόντων.

Στίχ. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστόν.

Τὸ, Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἤγγισεν ὁ Ἰησοῦς.

Ἀνάστασιν Χριστοῦ, οὐ λέγομεν. ἀλλ᾽ εὐθὺς τὸν Ν'.

Δόξα, ἦχος β'.

Σήμερον ὁ Χριστὸς εἰσέρχεται ἐν πόλει Βηθανίᾳ, ἐν πώλῳ καθήμενος, τὴν ἀλογίαν λύων, τῶν ἐθνῶν τὴν κάκιστον, πάλαι κεχερσωμένην.

Καὶ νῦν. Πάλιν τὸ αὐτό.

Εἶτα, στίχ. Ἐλέησόν με ὁ Θεὸς, ἦχος πλ. β'.

Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος, ἡμᾶς συνήγαγε. καὶ πάντες αἴροντες τὸν Σταυρόν σου λέγομεν· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὅτι δὲ ἀσπάζονται οἱ Ἀδελφοὶ τὸ Εὐαγγέλιον, διανέμει ὁ Ἡγούμενος τὰ Βαΐα.

Ὁ Κανὼν, Ποίημα τοῦ Κυρίου Κοσμᾶ. Οὗ ἡ ἀκροστιχίς· Ὡσαννὰ Χριστὸς εὐλογημένος Θεός.

Καὶ λέγομεν τοὺς Εἱρμοὺς ἀνὰ δύο.

Τὰ δὲ Τροπάρια ἀνὰ δ'. ἢ ἀνὰ ς'. ὅτε εἰσὶ δύο.

Ἔχουσιν οἱ δύο χοροὶ Καταβασίαν τοὺς Εἱρμούς.

Ὠδὴ ά. ἦχος δ'. Ὁ Εἱρμός.

Ὤφθησαν, αἱ πηγαὶ τῆς ἀβύσσου νοτίδος ἄμοιροι· καὶ ἀνεκαλύφθη θαλάσσης, κυμαινούσης τὰ θεμέλια, τῇ καταιγίδι νεύματι. ταύτης γὰρ ἐπετίμησας, περιούσιον λαὸν δὲ ἔσωσας, ᾄδοντα· ἐπινίκιον ὕμνον σοι Κύριε.

Στόματος, ἐκ νηπίων ἀκάκων, καὶ θηλαζόντων αἶνον, τῶν σῶν οἰκετῶν κατηρτίσω, καταλῦσαι τὸν ἀντίπαλον, καὶ ἐκδικῆσαι Πάθει Σταυροῦ, τὴν πτῶσιν τοῦ πάλαι Ἀδὰμ, διὰ ξύλου ἀναστῆσαι, τοῦτον δὲ ᾄδοντα· ἐπινίκιον ὕμνον σοι Κύριε.

Ἄγνεσιν, Ἐκκλησία ὁσίων, τῷ ἐνοικοῦντι Σιὼν, σοὶ Χριστὲ προσφέρει ἐν σοὶ δὲ, Ἰσραὴλ τῷ ποιητῇ αὐτοῦ, χαίρει καὶ ὄρη, ἔθνη ἀντίτυπα λιθοκάρδια, ἐκ προσώπου σου ἠγαλλιάσαντο, ᾄδοντα· ἐπινίκιον ὕμνον σοι Κύριε.

Καὶ πάλιν οἱ δύο χοροὶ τὸν Εἱρμὸν Καταβασίαν.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Νάουσαν ἀκρότομον, προστάγματι σῷ, στερεὰν ἐθήλασε πέτραν, Ἰσραηλίτης λαός. ἡ δὲ πέτρα σὺ Χριστὲ, ὑπάρχεις καὶ ζωή. ἐν ᾗ ἐστερεώθη, ἡ Ἐκκλησία κράζουσα· Ὡσαννὰ εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Νεκρὸν τετραήμερον, προστάγματι σῷ, ἐκ νεκάδων συντρομος, Ἅδης ἀφῆκε Λάζαρον. ἡ Ἀνάστασις Χριστέ. σὺ γὰρ καὶ ζωή, ἐν ᾧ ἐστερεώθη, ἡ Ἐκκλησία κράζουσα· Ὡσαννὰ εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Ἄσατε λαοὶ, θεοπρεπῶς ἐν Σιὼν, καὶ εὐχὴν ἀπόδοτε, Χριστῷ ἐν Ἱερουσαλὴμ, αὐτὸς ἔρχεται ἐν δόξῃ μετὰ κηρείας. ἐν ᾧ ἐστερεώθη ἡ Ἐκκλησία κράζουσα· Ὡσαννὰ εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Ἡ Ὑπακοή. ἦχος πλ. β'.

Μετὰ κλάδων ὑμνήσαντες πρότερον, μετὰ ξύλων συνέλαβον ὕστερον, οἱ ἀγνώμονες Χριστὸν, Ἰουδαῖοι τὸν Θεόν. ἡμεῖς δὲ πίστει ἀμεταθέτῳ, ἀεὶ τιμῶντες ὡς εὐεργέτην, διαπαντὸς βοήσωμεν αὐτῷ· Εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Εἶτα Ἀναγινώσκομεν τὸν Λόγον τοῦ Κυρίου Ἀνδρέου Κρήτης. Ὠδὴ δ'. Ὁ Εἱρμός.

Χριστὸς ὁ ἐρχόμενος ἐμφανῶς Θεὸς ἡμῶν, ἥξει καὶ οὐ χρονιεῖ, ἐξ ὄρους κατασκίου δασέος. Κόρης τικτούσης ἀπειράνδρου, Προφήτης πάλαι φησί. διὸ πάντες βοῶμεν· δόξα τῇ δυνάμει σου Κύριε.

Ρηξάτω εὐφροσύνην κραταιὰν ἐπ᾽ ἔλεον, ὄρη καὶ πάντες βουνοὶ, καὶ ξύλα τοῦ δρυμοῦ ἐπικροτησάτω. Χριστὸν αἰνεῖτε ἔθνη. καὶ τοῦτον πάντες λαοὶ, ἐπαινοῦντες βοᾶτε· δόξα τῇ δυνάμει σου Κύριε.

Ἰσχὺν ὁ βασιλεύων τῶν αἰώνων Κύριος, ἐνδεδυμένος ἥξει. τῆς τούτου ὡραιότητός τε καὶ δόξης, ἀσύγκριτος ὑπάρχει, εὐπρέπεια ἐν Σιών. διὸ πάντες βοῶμεν· Δόξα τῇ δυνάμει σου Κύριε.

Σπιθαμῇ ὁ μετρήσας Οὐρανὸν, δρακὶ δὲ γῆν, Κύριος πάρεστι. Σιὼν γὰρ ἐξελέξατο, ἐν αὐτῇ δὲ οἰκεῖν καὶ βασιλεύειν, ᾑρέτισε τὸν λαὸν τὸν ἐν πίστει βοῶντα· δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ έ. Ὁ Εἱρμός.

Τὴν Σιὼν ἐπ᾽ ὄρους ἀνάβηθι, ὁ Εὐαγγελιζόμενος, καὶ τὴν Ἱερουσαλὴμ ὁ κηρύσσων, ἐν ἰσχύϊ ὕψωσον φωνήν. δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ, εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ, καὶ Σωτήριον ἔθνεσιν.

Ὁ Ἐν τοῖς ὑψίστοις καθήμενος, ἐπὶ τῶν Χερουβὶμ, Θεὸς, καὶ ἐφορῶν ταπεινὰ, αὐτὸς ἔρχεται ἐν δόξῃ μετὰ κηρείας, καὶ πληρωθήσεται τὰ πάντα, θεϊκῆς αἰνέσεως αὐτοῦ. εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ, καὶ Σωτήριον ἔθνεσιν.

Σιὼν Θεοῦ ὄρος τὸ Ἅγιον, καὶ Ἱερουσαλὴμ, κύκλῳ τοὺς ὀφθαλμούς σου ἆρον, καὶ ἴδε συνηγμένα τέκνα σου ἐν σοί. ἰδοὺ γὰρ ἥκασι μακρόθεν, προσκυνῆσαι τῷ Βασιλεῖ σου. εἰρήνη ἐπὶ τὸν Ἰσραὴλ, καὶ Σωτήριον ἔθνεσιν.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Ἐβόησαν, ἐν εὐφροσύνῃ δικαίων τὰ πνεύματα· νῦν τῷ Κόσμῳ, διαθήκη καινὴ διατίθεται. καὶ ῥαντίσματι, καινουργείσθω λαὸς θείου Αἵματος.

Ὑπόδεξαι, Ἰσραὴλ τοῦ Θεοῦ τὸ Βασίλειον, καὶ ὁ βαίνων, ἐν τῷ σκότει τὸ φῶς θεασάσθω μέγα. καὶ ῥαντίσματι, καινουργείσθω λαὸς θείου Αἵματος.

Λελυμένους, τοὺς δεσμίους Σιὼν ἐξαπόστειλον, καὶ ἐκ λάκκου, ἀγνωσίας ἀνύδρου ἐξάγαγε. καὶ ῥαντίσματι, καινουργείσθω λαὸς θείου Αἵματος.

Κοντάκιον Ἰδιόμελον, ἦχος πλ. β'.

Τῷ Θρόνῳ ἐν Οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς, ἐποχούμενος Χριστὲ ὁ Θεὸς, τῶν Ἀγγέλων τὴν

αἴνεσιν, καὶ τῶν Παίδων ἀνύμνησιν προσεδέξω βοώντων σοι· Εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Ὁ Οἶκος.

Ἐπειδὴ Ἅδην ἔδησας Ἀθάνατε, καὶ θάνατον ἐνέκρωσας, καὶ Κόσμον ἀνέστησας, Βαΐοις τὰ νήπια ἀνευφήμουν σε Χριστὲ ὡς νικητὴν, κραυγάζοντά σοι σήμερον· Ὡσαννὰ τῷ Υἱῷ Δαβίδ. οὐκέτι γάρ φησι σφαγήσονται βρέφη, διὰ τὸ βρέφος Μαριάμ· ἀλλ᾽ ὑπὲρ πάντων νηπίων, καὶ πρεσβυτῶν, μόνος σταυροῦται. οὐκέτι καθ᾽ ἡμῶν χωρήσει τὸ ξίφος· ἡ σὴ γὰρ πλευρὰ νυγήσεται λόγχῃ. ὅθεν ἀγαλλόμενοι, φαμέν· Εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Τὸ Συναξάριον.

Στίχ. Πώλῳ καθίσας, ὁ λόγῳ τείνας πόλον,
Ῥοπὰς ἐκζητῶν, λῦσαι τῆς ἀλογίας.

Τῇ αὐτῇ ἡμέρᾳ, τὴν περιφανῆ καὶ ὑπέρλαμπρον Ἑορτὴν τῶν Βαΐων ἑορτάζομεν δι᾽ αἰτίαν τοιαύτην. μετὰ τὸ ἐγερθῆναι τὸν Λάζαρον ἐκ νεκρῶν, πολλοὶ κατιδόντες τὸ γεγονὸς, ἐπίστευον εἰς τὸν Χριστόν. καὶ δὴ κυροῦται ψῆφος τῇ τῶν Ἰουδαίων συναγωγῇ, τόν τε Χριστὸν, καὶ αὐτὸν ἀποκτεῖναι τὸν Λάζαρον. Φεύγει τοίνυν ὁ Ἰησοῦς, χώραν τῇ κακίᾳ διδούς· οἱ δὲ Ἰουδαῖοι ἐν τῇ Ἑορτῇ τοῦ Πάσχα ἀποκτεῖναι τοῦτον μελέτην ἔθεντο. καὶ χρόνου τῇ φυγῇ δοθέντος συχνοῦ· πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα φησὶν, ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς. Κἀκεῖσε ἀρίστου γενομένου, συνήσθιεν αὐτῷ καὶ ὁ Λάζαρος. Ἡ δὲ ἀδελφὴ αὐτοῦ Μαρία τοῖς ποσὶ τοῦ Χριστοῦ τὸ μύρον κατέχεε. Καὶ τῇ ἐπαύριον, στέλλει τοὺς Μαθητὰς αὐτοῦ ἄξοντας τὴν ὄνον, καὶ τὸν πῶλον. καὶ δὴ ὁ ἔχων θρόνον τὸν Οὐρανὸν, ἐπιβεβηκὼς τῷ πώλῳ, εἰσῄει τὴν Ἱερουσαλήμ. οἱ δὲ Παῖδες τῶν Ἑβραίων, καὶ αὐτοὶ ὑπέρριπτον αὐτῷ τὰ ἱμάτια· καὶ κλάδους φοινίκων, τοὺς μὲν κόπτοντες, ἄλλους δὲ ταῖς χερσὶ περιφέροντες, ἐβόων αὐτὸν προπέμποντες· Ὡσαννὰ τῷ Υἱῷ Δαβίδ· Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Βασιλεὺς τοῦ Ἰσραήλ. τοῦτο δὲ γέγονε, τὰς ἐκείνων γλώσσας κινήσαντος τοῦ Παναγίου Πνεύματος, εἰς αἶνον καὶ εὐφημίαν Χριστοῦ. ἐδήλουν δὲ διὰ τῶν Βαΐων, οἱονεὶ τῶν κλάδων, (Βαΐον γὰρ παρ᾽ Ἑβραίοις ὁ ἁπαλὸς κλάδος λέγεται,) τὴν κατὰ θανάτου τοῦ Χριστοῦ νίκην. Εἰωθὸς γὰρ ἦν, τοὺς νικητὰς ἀγώνων, ἢ πολέμων τινῶν, κλάδοις δένδρων ἀειθαλλῶν, ἐν ταῖς ἐπινικίοις προπομπαῖς τιμᾶσθαι καὶ περιάγεσθαι. Ὑπεσήμαινε δὲ ὁ πῶλος, τὸν ἐξ ἐθνῶν ἡμᾶς λαὸν, ἐφ᾽ οὗ κεκαθηκὼς ὁ Χριστὸς καὶ ἐπαναπαυθεὶς, τροπαιοῦχος νικητὴς, καὶ Βασιλεύς τε πάσης τῆς γῆς ἀνηγόρευται. Περὶ ταύτης τῆς Ἑορτῆς καὶ ὁ Προφήτης ἔλεγε Ζαχαρίας· χαῖρε σφόδρα θύγατερ Σιών. ἰδοὺ ὁ Βασιλεύς σου ἔρχεταί σοι πραῢς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον ὄνου, υἱὸν ὑποζυγίου· καὶ ὁ Δαβὶδ πάλιν περὶ τῶν Παίδων· ἐκ στόματος νηπίων καὶ θηλαζόντων, κατηρτίσω αἶνον. ἀλλ᾽ εἰσιόντος φησὶ τοῦ Χριστοῦ, ἐσείσθη πᾶσα Ἱεροσόλυμα, καὶ εἰς ἄμυναν οἱ ὄχλοι ὑπὸ τῶν Ἀρχιερέων διερεθισθέντες, ἐσκόπουν αὐτὸν ἀνελεῖν· ὁ δ᾽ ἐλάνθανε κρυπτόμενος. καὶ φαινόμενος, διὰ παραβολῶν ἐλάλει αὐτοῖς. Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ Χριστὲ ὁ Θεὸς ἡμῶν, νικητὰς ἡμᾶς τῶν παραλόγων παθῶν ποίησον· καὶ τὴν σὴν ἐναργῆ κατὰ θανάτου νίκην, τήν φαιδράν σου, καὶ ζωηφόρον Ἀνάστασιν ἰδεῖν καταξίωσον, καὶ ἐλέησον ἡμᾶς.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Ὁ διασώσας ἐν πυρὶ, τοὺς Ἀβραμιαίους σου Παῖδας, καὶ τοὺς Χαλδαίους ἀνελὼν, οὓς ἀδίκως δικαίους ἐνήδρευσαν· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Γουνυπετοῦντες οἱ λαοὶ, καὶ σὺν Μαθηταῖς γεγηθότες, μετὰ Βαΐων ὡσαννὰ, τῷ Υἱῷ Δαβὶδ ἔκραζον· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ἡ ἀπειρόκακος πληθὺς, ἔτι νηπιάζουσα φύσις, θεοπρεπῶς σε Βασιλεῦ, Ἰσραὴλ καὶ Ἀγγέλων ἀνύμνησεν. ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Μετὰ Βαΐων σε Χριστὲ, κλάδοις ἐπεκρότει τὰ πλήθη, εὐλογημένος ὁ ἐλθὼν, Βασιλεὺς τῶν αἰώνων· ἐβόα δέ· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Εὐφράνθητι Ἱερουσαλὴμ, πανηγυρίσατε οἱ ἀγαπῶντες Σιών. ὁ βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας, Κύριος τῶν Δυνάμεων ἦλθεν. εὐλαβείσθω πᾶσα ἡ γῆ, ἐκ προσώπου αὐτοῦ καὶ βοάτω· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Νέον πῶλον ἐπιβεβηκὼς, ὁ Βασιλεύς σου Σιὼν, ἐπέστη Χριστός. τὴν γὰρ ἀλόγιστον εἰδώλων πλάνην λῦσαι, καὶ τὴν ἀκάθεκτον ὁρμὴν ἀναστεῖλαι, πάντων ἐθνῶν παραγέγονεν, εἰς τὸ μέλπειν· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὁ Θεός σου, χαῖρε Σιὼν, σφόδρα ἐβασίλευσεν, εἰς τοὺς αἰῶνας Χριστός. οὗτος ὡς γέγραπται, πραῢς καὶ σώζων, δίκαιος λυτρωτὴς ἡμῶν ἦλθεν, ἐπὶ πώλου, ἵππειον θράσος ὀλέσαι ἐχθρῶν, μὴ βοώντων· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Σπανίζεται θείων περιβόλων, τὸ παράνομον συνέδριον, ἀπειθῶν. τὸν προσευχῆς, Θεοῦ ἐπείπερ οἶκον, σπήλαιον ἀπειργάσατο λῃστῶν, ἐκ καρδίας τὸν Λυτρωτὴν ἀπωσάμενοι. ᾧ βοῶμεν· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν. συστήσατε ἑορτὴν, καὶ ἀγαλλόμενοι, δεῦτε μεγαλύνωμεν Χριστὸν, μετὰ Βαΐων καὶ κλάδων, ὕμνοις κραυγάζοντες· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου, Σωτῆρος ἡμῶν.

Ἔθνη ἵνα τί, ἐφρυάξατε γραφεῖς; καὶ ἱερεῖς τί κενὰ, ἐμελετήσατε; τίς οὗτος εἰπόντες ᾧ παῖδες, μετὰ Βαΐων καὶ κλάδων, ὕμνοις κραυγάζουσιν· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου, Σωτῆρος ἡμῶν.

Οὗτος ὁ Θεὸς, ᾧ παρόμοιος οὐδεὶς, δικαίαν πᾶσαν ὁδὸν ἐξευρὼν, δέδωκε τῷ ἠγαπημένῳ Ἰσραήλ· μετὰ δὲ ταῦτα, ἀνθρώποις συναναστραφεὶς ὀφθείς· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου, Σωτῆρος ἡμῶν.

Σκάνδαλα τρίβου, τί ἐχόμενα ἡμῖν, τιθέατι ἀπειθεῖς, πόδες ὀξεῖς ὑμῶν, Αἷμα διεκχέαι Δεσπότου. ἀλλ᾽ ἀναστήσεται πάντως, σῶσαι τοὺς κράζοντας· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου, Σωτῆρος ἡμῶν.

Ἐξαποστειλάριον.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν.

Ἐκ τρίτου, εἰς τὸν ἦχον τοῦ ὕψους τῆς Ὀκτωήχου, τὸ αὐτὸ, καὶ μόνον λέγομεν.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς τοὺς Αἴνους, ἱςῶμεν ςίχ. ς'. καὶ ψάλλομεν ςιχηρὰ ἰδιόμελα τὰ δ'. τετάρτως, δευτεροῦντες τὰ δύο ςιχηρὰ ἰδιόμελα, ἦχος δ'.

Ὁ Πλεῖςος ὄχλος Κύριε, ἐςρώννυον ἐν τῇ ὁδῷ, τὰ ἱμάτια αὐτῶν. ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων καὶ ἐβάςαζον. οἱ προάγοντες δὲ, καὶ οἱ ἀκολουθοῦντες, ἔκραζον λέγοντες· Ὡσαννὰ τῷ Υἱῷ Δαβὶδ, εὐλογημένος εἶ ὁ ἐλθὼν, καὶ πάλιν ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Ἦχος ὁ αὐτός.

Μέλλοντός σου εἰσιέναι, εἰς τὴν Ἁγίαν Πόλιν Κύριε, τὰ κλάδη τῶν φυτῶν, οἱ λαοὶ ἐβάςαζον, σὲ ὑμνοῦντες τὸν τῶν ὅλων Δεσπότην, ὁρῶντές σε ἐπὶ πώλου καθήμενον, ὡς ἐπὶ τῶν Χερουβὶμ ἐθεώρουν. καὶ διὰ τοῦτο οὕτως ἐβόων· Ὡσαννὰ ἐν τοῖς ὑψίςοις, εὐλογημένος εἶ ὁ ἐλθὼν, καὶ πάλιν ἐρχόμενος, ἐν ὀνόματι Κυρίου. Ἦχος ὁ αὐτός.

Ἐξέλθετε ἔθνη, ἐξέλθετε καὶ λαοὶ, καὶ θεάσασθε σήμερον, τὸν Βασιλέα τῶν Οὐρανῶν, ὡς ἐπὶ θρόνου ὑψηλοῦ, ἐπὶ πώλου εὐτελοῦς, τὴν Ἱερουσαλὴμ προσεπιβαίνοντα. γενεὰ Ἰουδαίων ἄπιςε καὶ μοιχαλὶς, δεῦρο θέασαι, ὃν εἶδεν Ἡσαΐας ἐν σαρκὶ δι' ἡμᾶς παραγενόμενον, πῶς νυμφεύεται ὡς σώφρονα, τὴν νέαν Σιὼν, καὶ ἀποβάλλεται τὴν κατάκριτον Συναγωγήν. ὡς ἐν ἀφθάρτῳ δὲ γάμῳ καὶ ἀμιάντῳ, ἀμίαντοι συνέδραμον, εὐφημοῦντες οἱ ἀπειρόκακοι Παῖδες. μεθ' ὧν ὑμνοῦντες βοήσωμεν, ὕμνον τὸν Ἀγγελικόν· Ὡσαννὰ ἐν τοῖς ὑψίςοις, τῷ ἔχοντι τὸ μέγα ἔλεος.

Ἦχος ὁ αὐτός.

Τὴν κοινὴν Ἀνάςασιν, πρὸ τοῦ ἑκουσίου Πάθους σου, εἰς πίςωσιν πάντων, προευδειξάμενος Χριςὲ ὁ Θεὸς, τὸν μὲν Λάζαρον ἐν Βηθανίᾳ, τῇ κραταιᾷ δυνάμει σου, τετραήμερον νεκρὸν ἀνέςησας. καὶ τυφλοῖς μὲν τὸ βλέπειν, ὡς φωτοδότης ἐδωρήσω Σωτήρ. καὶ εἰς τὴν Πόλιν τὴν ἁγίαν, μετὰ τῶν σῶν Μαθητῶν εἰσῆλθες, καθήμενος ἐπὶ πώλου ὄνου, τὰ τῶν Προφητῶν ἐκπληρῶν κηρύγματα, ὡς ἐπὶ τῶν Χερουβὶμ ἐποχούμενος. καὶ παῖδες Ἑβραίων, μετὰ κλάδων καὶ Βαΐων προϋπήντουν σοι. διὸ καὶ ἡμεῖς, κλάδους ἐλαιῶν βαςάζοντες καὶ Βαΐα, εὐχαρίςως σοι βοῶμεν· Ὡσαννὰ ἐν τοῖς ὑψίςοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου. Δόξα, καὶ νῦν. ἦχος πλ. β'.

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν. καὶ προσῆλθον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ, λέγοντες αὐτῷ· Κύριε, ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα; ὁ δὲ ἀπέςειλεν αὐτούς· ἀπέλθετε εἰς τὴν ἀπέναντι Κώμην, καὶ εὑρήσετε ἄνθρωπον, κεράμιον ὕδατος βαςάζοντα. ἀκολουθήσατε αὐτῷ, καὶ τῷ Οἰκοδεσπότῃ εἴπατε· ὁ Διδάσκαλος λέγει, πρὸς σὲ ποιῶ τὸ Πάσχα, μετὰ τῶν Μαθητῶν μου.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Καὶ ἡ Λιτὴ ἔξω τοῦ Μοναςηρίου, καὶ ἡ Κατήχησις.

Εἰς τὴν Λειτουργίαν, Ἀντίφωνα.

Ἀντίφωνον Α'. ἦχος β'.

Στίχ. α'. Ἠγάπησα ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. β'. Περιέχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. γ'. Θλίψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα Κυρίου. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Δόξα, καὶ νῦν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον Β'.

Στίχ. α'. Ἐπίςευσα, διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθείς.

Στίχ. β'. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.

Στίχ. γ'. Ποτήριον Σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.

Στίχ. δ'. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.

Δόξα, καὶ νῦν. Ὁ Μονογενὴς Υἱὸς, καὶ Λόγος.

Ἀντίφωνον Γ'.

Στίχ. α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Τὴν κοινὴν Ἀνάςασιν.

Στίχ. β'. Εἰπάτω δὴ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθός.

Τὴν κοινὴν Ἀνάςασιν.

Στίχ. γ'. Εἰπάτω δὴ οἶκος Ἀαρὼν, ὅτι ἀγαθός.

Τὴν κοινὴν Ἀνάςασιν.

Στίχ. δ'. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι.

Τὴν κοινὴν Ἀνάςασιν.

Εἴσοδος. Ὁ Ἱερεύς. Σοφία ὀρθοί.

Ὁ Λαός· Τὸ Εἰσοδικόν.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Τὴν κοινὴν Ἀνάςασιν.

Δόξα· Συνταφέντες σοι διὰ τοῦ Βαπτίσματος.

Καὶ νῦν. τὸ Κοντάκιον.

Τῷ Θρόνῳ ἐν Οὐρανῷ. Τὸ Τρισάγιον.

Προκείμενον τοῦ Ἀποςόλου. ἦχος δ'.

Εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

Στίχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Πρὸς Φιλιππησίους Ἐπιςολῆς Παύλου.

Ἀδελφοὶ, χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ, χαίρετε. Τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις. ὁ Κύριος ἐγγύς· μηδὲν μεριμνᾶτε. Κεφ. δ'. 4.
ἀλλ' ἐν παντὶ τῇ προσευχῇ καὶ τῇ δεήσει, μετὰ εὐχαριςίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν. Καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν ἐν Χριςῷ Ἰησοῦ. Τὸ λοιπὸν ἀδελφοὶ, ὅσα ἐςὶν ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴτις ἀρετὴ, καὶ εἴτις ἔπαινος, ταῦτα λογίζεσθε, Ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἠκούσατε, καὶ εἴδετε ἐν ἐμοὶ, ταῦτα πράσσετε. καὶ ὁ Θεὸς τῆς εἰρήνης, ἔςαι μεθ' ὑμῶν.

Ἀλληλουϊάριον, ἦχος α'.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Στίχ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ Σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Εὐαγγέλιον κατὰ Ἰωάννην.

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα ἦλθεν ὁ Ἰησοῦς.

Καὶ καθ' ἑξῆς ἡ Θεία Λειτουργία τοῦ Χρυσοςόμου.

Κοινωνικόν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ἀλληλούϊα.

Εἰς τὴν Τράπεζαν, παράκλησις τοῖς Ἀδελφοῖς.

Ἐσθίομεν γὰρ ἰχθύας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

# ΕΙ'Σ ΤΗ'Ν ΖΩΗΦΟ'ΡΟΝ Α'ΝΑ'ΣΤΑΣΙΝ ΤΟΥ' ΚΥΡΙ'ΟΥ.

## Τῇ Α'γίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ ΠΑ'ΣΧΑ, ΠΡΩΙ'.

ΔΟ'ξα τῇ Α'γίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τροπάριον, ἦχος πλ. α΄.

ΧΡιστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Καὶ ἡμεῖς τὸ αὐτὸ ὁμοίως μετὰ μέλους. Λέγεται δὲ τοῦτο τρίτον παρὰ τοῦ Ἱερέως, καὶ τρίτον παρ' ἡμῶν.

Εἶθ' οὕτως ὁ Ἱερεὺς λέγει τοὺς στίχους.

Καθ' ἕνα δὲ στίχον, καὶ ἡμεῖς τὸ Τροπάριον.

στίχ. α΄. Α'ναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

στίχ. β΄. Ω'ς ἐκλείπει καπνὸς, ἐκλειπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός.

στίχ. γ΄. Ο'ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν.

στίχ. δ΄. Α'ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Δόξα. Χριστὸς ἀνέστη. Καὶ νῦν, τὸ αὐτό.

Εἶτα ὁ Ἱερεὺς γεγονωτέρᾳ φωνῇ.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν θανάτῳ θάνατον πατήσας.

Καὶ ἀνοιγομένων τῶν Πυλῶν, εἰσοδεύει, προπορευομένων τῶν λαμπάδων, προπορευομένου τότε Προεστῶτος, καὶ τῶν Α'δελφῶν ψαλλόντων.

Καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

Εἰσερχομένου δὲ τοῦ Ἱερέως ἐν τῷ Βήματι, ποιεῖ Συναπτὴν μεγάλην, μεθ' ἣν Ἐκφωνεῖ.

Ο'τι πρέπει σοι πᾶσα δόξα.

Κανὼν, Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ω'δὴ α΄. ἦχος α΄. Ο' Εἱρμός.

ΑΝαστάσεως ἡμέρα, λαμπρυνθῶμεν Λαοὶ, Πάσχα Κυρίου Πάσχα. ἐκ γὰρ θανάτου πρὸς ζωὴν, καὶ ἐκ γῆς πρὸς Οὐρανὸν, Χριστὸς ὁ Θεὸς, ἡμᾶς διεβίβασεν, ἐπινίκιον ᾄδοντας.

ΚΑθαρθῶμεν τὰς αἰσθήσεις, καὶ ὀψόμεθα, τῷ ἀπροσίτῳ φωτὶ τῆς Α'ναστάσεως, Χριστὸν ἐξαστράπτοντα, καὶ χαίρετε φάσκοντα, τρανῶς ἀκουσόμεθα, ἐπινίκιον ᾄδοντες.

ΟΥ'ρανοὶ μὲν ἐπαξίως εὐφραινέσθωσαν, γῆ δὲ ἀγαλλιάσθω, ἑορταζέτω δὲ Κόσμος, ὁρατός τε ἅπας καὶ ἀόρατος· Χριστὸς γὰρ ἐγήγερται, εὐφροσύνη αἰώνιος.

Καταβασία. Α'ναστάσεως ἡμέρα.

Συναπτὴ μικρὰ παρὰ τοῦ Ἱερέως ἐντὸς τοῦ Α'γίου Βήματος, καθὼς ἔφημεν, καὶ Ἐκφώνησις.

Ο'τι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία.

Ω'δὴ γ΄. Ο' Εἱρμός.

ΔΕῦτε πόμα πίωμεν καινὸν, οὐκ ἐκ πέτρας ἀγόνου τερατουργούμενον, ἀλλ' ἀφθαρσίας πηγὴν, ἐκ τάφου ὀμβρήσαντος Χριστοῦ, ἐν ᾧ στερεούμεθα.

ΝΥ'ν πάντα πεπλήρωται φωτὸς, Οὐρανός τε καὶ γῆ καὶ τὰ καταχθόνια. Ἑορταζέτω γοῦν πᾶσα Κτίσις, τὴν Ἔγερσιν Χριστοῦ, ἐν ᾗ ἐστερέωται.

ΧΘὲς συνεθαπτόμην σοι Χριστὲ, συνεγείρομαι σήμερον ἀναστάντι σοι. συνεσταυρούμην σοι χθὲς, αὐτός με συνδόξασον Σωτὴρ, ἐν τῇ Βασιλείᾳ σου.

Καταβασία. Δεῦτε πόμα πίωμεν καινόν.

Μετὰ τὴν Συναπτὴν, Ἐκφώνησις.

Ο'τι σὺ εἶ ὁ Θεὸς ἡμῶν.

Ἡ Ὑπακοὴ, ἦχος δ΄.

ΠΡολαβοῦσαι τὸν Ὄρθρον αἱ περὶ Μαριὰμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Α'γγέλου· τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε καὶ τῷ Κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον. ὅτι ὑπάρχει Θεοῦ Υἱὸς, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

Καὶ Α'νάγνωσις εἰς τὸν Θεολόγον.

Ω'δὴ δ΄. Ο' Εἱρμός.

ἘΠὶ τῆς θείας φυλακῆς, ὁ Θεηγόρος Α'ββακοὺμ, στήτω μεθ' ἡμῶν καὶ δεικνύτω, φαεσφόρον Ἄγγελον, διαπρυσίως λέγοντα· σήμερον Σωτηρία τῷ Κόσμῳ, ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

ἌΡσεν μὲν ὡς διανοῖξαν, τὴν παρθενεύουσαν νηδὺν, πέφηνε Χριστὸς ὡς βροτὸς δὲ, ἀμνὸς προσηγόρευται, ἄμωμος δὲ ὡς ἄγευστος, κηλῖδος τὸ ἡμέτερον Πάσχα, καὶ ὡς Θεὸς ἀληθὴς, τέλειος λέλεκται.

Ω'Σ ἐνιαύσιος ἀμνὸς, ὁ εὐλογούμενος ἡμῖν, στέφανος Χριστὸς ἑκουσίως, ὑπὲρ πάντων τέθυται, Πάσχα τὸ καθαρτήριον. καὶ αὖθις ἐκ τοῦ τάφου ὡραῖος, δικαιοσύνης ἡμῖν ἔλαμψεν Ἥλιος.

Ο' Θεοπάτωρ μὲν Δαβὶδ, πρὸ τῆς σκιώδους κιβωτοῦ, ἥλατο σκιρτῶν· ὁ Λαὸς δὲ τοῦ Θεοῦ ὁ Ἅγιος, τὴν τῶν συμβόλων ἔκβασιν, ὁρῶντες εὐφρανθῶμεν ἐνθέως· ὅτι ἀνέστη Χριστὸς ὡς παντοδύναμος.

Καταβασία. Ἐπὶ τῆς θείας φυλακῆς, ὁ Θεηγόρος.

Ἐκφώνησις. Ο'τι ἀγαθὸς, καὶ φιλάνθρωπος Θεός.

Ω'δὴ ε΄. Ο' Εἱρμός.

ὈΡθρίσωμεν ὄρθρου βαθέος, καὶ ἀντὶ μύρου τὸν ὕμνον προσοίσωμεν τῷ Δεσπότῃ· καὶ Χριστὸν ὀψόμεθα, δικαιοσύνης Ἥλιον, πᾶσι ζωὴν ἀνατέλλοντα.

ΤΗ'ν ἄμετρόν σου εὐσπλαγχνίαν, οἱ ταῖς τοῦ ᾅδου σειραῖς, συνεχόμενοι δεδορκότες, πρὸς τὸ φῶς ἠπείγοντο Χριστὲ, ἀγαλλομένῳ ποδὶ, Πάσχα κροτοῦντες αἰώνιον.

ΠΡοσέλθωμεν λαμπαδηφόροι, τῷ προϊόντι Χριστῷ, ἐκ τοῦ μνήματος ὡς νυμφίῳ, καὶ συνεορτάσωμεν, ταῖς φιλεόρτοις τάξεσι, Πάσχα Θεοῦ τὸ Σωτήριον.

Καταβασία. Ο'ρθρίσωμεν ὄρθρου βαθέος.

Ἐκφώνησις. Ο'τι ἡγίασται, καὶ δεδόξασται τὸ πάντιμον.

Ω'δὴ ς΄. Ο' Εἱρμός.

ΚΑτῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς, καὶ συνέτριψας μοχλοὺς αἰωνίους, κατόχους πεπεδημένων Χριστὲ, καὶ τριήμερος, ὡς ἐκ κήτους Ἰωνᾶς, ἐξανέστης τοῦ τάφου.

Φυλάξας τὰ σήμαντρα σῶα Χριστὲ, ἐξηγέρθης τοῦ τάφου, ὁ τὰς κλεῖς τῆς Παρθένου μὴ λυμηνάμενος, ἐν τῷ τόκῳ σου, καὶ ἀνέῳξας ἡμῖν, Παραδείσου τὰς πύλας.

Σῶτερ μου τὸ ζῶντε καὶ ἄθυτον, ἱερεῖον ὡς Θεὸς, σεαυτὸν ἑκουσίως, προσαγαγὼν τῷ Πατρὶ, συναγέστησας, παγγενῆ τὸν Ἀδὰμ, ἀναστὰς ἐκ τοῦ τάφου.

Καταβασία. Κατῆλθες ἐν τοῖς κατωτάτοις τῆς γῆς.

Ἐκφώνησις. Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης.

Κοντάκιον, ἦχος πλ. δ'.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες Ἀθάνατε, ἀλλὰ τοῦ Ἅδου καθεῖλες τὴν δύναμιν· καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ Θεὸς, γυναιξὶ Μυροφόροις φθεγξάμενος χαίρετε· καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος, ὁ τοῖς πεσοῦσι παρέχων Ἀνάστασιν.

Ὁ Οἶκος.

Τὸν πρὸ Ἡλίου Ἥλιον δύναντα ποτὲ ἐν τάφῳ, προέφθασαν πρὸς ὄρθρον, ἐκζητοῦσαι ὡς ἡμέραν Μυροφόροι κόραι, καὶ πρὸς ἀλλήλας ἐβόων· ὦ φίλαι, δεῦτε τοῖς ἀρώμασιν ὑπαλείψωμεν, Σῶμα ζωηφόρον καὶ τεθαμμένον, σάρκα ἀνιστῶσαν τὸν παραπεσόντα Ἀδὰμ κείμενον ἐν τῷ μνήματι. ἄγωμεν, σπεύσωμεν ὥσπερ οἱ Μάγοι, καὶ προσκυνήσωμεν, καὶ προσκομίσωμεν τὰ μύρα ὡς δῶρα, τῷ μὴ ἐν σπαργάνοις, ἀλλ' ἐν σινδόνι ἐνειλημένῳ· καὶ κλαύσωμεν, καὶ κράξωμεν· ὦ Δέσποτα, ἐξεγέρθητι, ὁ τοῖς πεσοῦσι παρέχων Ἀνάστασιν.

Συναξάριον τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα.

Στίχ. Χριστὸς κατελθὼν πρὸς πάλην Ἅδου μόνος·
Πολλὰ λαβὼν τῆς νίκης ἀνῆλθε σκῦλα.

Τῇ Ἁγίᾳ καὶ Μεγάλῃ Κυριακῇ τοῦ Πάσχα, αὐτὴν τὴν ζωηφόρον Ἀνάστασιν ἑορτάζομεν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἣν δὴ καὶ Πάσχα προσαγορεύομεν, ὅπερ τῇ Ἑβραίων διαλέκτῳ, Διάβασις ἑρμηνεύεται. αὕτη γάρ ἐστιν ἡ ἡμέρα, καθ' ἣν ὁ Θεὸς ἀρχῆθεν τὸν Κόσμον ἐκ τοῦ μὴ ὄντος παρήγαγε. κατ' αὐτὴν τὴν ἡμέραν καὶ τὸν Ἰσραηλίτην Λαὸν, τῆς Ἐρυθρᾶς διαβιβάσας, ἐκ τῶν τοῦ Φαραὼ ἀφαρπάζει χειρῶν. ἐν ταύτῃ πάλιν ἐξ Οὐρανοῦ καταβὰς, τῇ μήτρᾳ τῆς Παρθένου ἐνῴκησε. Καὶ νῦν τὸ ἀνθρώπινον σύμπαν τῶν τοῦ Ἅδου ἁρπάσας πυθμένων, εἰς Οὐρανοὺς ἀνεβίβασε, καὶ πρὸς τὸ ἀρχαῖον ἀξίωμα ἤγαγε τῆς ἀφθαρσίας. πλὴν καταβὰς εἰς Ἅδην, οὐ πάντας ἀνέστησεν, ἀλλ' ὅσοι πιστεῦσαι αὐτῷ ᾑρετίσαντο· τὰς δὲ ψυχὰς τῶν ἀπ' αἰῶνος Ἁγίων βιαίως κρατουμένας παρὰ τοῦ Ἅδου ἠλευθέρωσε, καὶ πᾶσι δέδωκε πρὸς οὐρανοὺς ἀνιέναι. διὰ τοῦτο γεγηθότες ὑπερφυῶς μετὰ λαμπρότητος τὴν Ἀνάστασιν ἑορτάζομεν, τὴν χαρὰν εἰκονίζοντες, ἣν ἡ φύσις ἡμῶν διὰ σπλάγχνα ἐλέους Θεοῦ ἐπλούτησεν. ὡσαύτως δὲ καὶ τὴν τῆς ἔχθρας κατάλυσιν, καὶ τὴν μετὰ Θεοῦ ἕνωσιν, καὶ αὐτῶν τῶν Ἀγγέλων ἀποδεικνῦντες, τὸν συνήθη διαπραττόμεθα Ἀσπασμόν. Ἡ δὲ τοῦ Κυρίου Ἀνάστασις γέγονεν οὕτω. τῶν στρατιωτῶν φυλασσόντων τὸν Τάφον, περὶ μέσον νυκτὸς, σεισμὸς γίνεται. κατελθὼν γὰρ Ἄγγελος, τὸν λίθον τῆς τοῦ μνημείου θύρας ἀφίστησιν. ἀναθεωροῦντες τοίνυν οἱ φύλακες, φεύγουσι, καὶ πάροδος ἐντεῦθεν ταῖς Γυναιξὶ γίνεται, περὶ τὸ τοῦ Σαββάτου ὀψὲ, οἱονεὶ, περὶ τὸ μέσον τῆς τοῦ Σαββάτου νυκτός. καὶ πρῶτον μὲν ἡ Ἀνάστασις τῇ τοῦ Θεοῦ Μητρὶ γνώριμος γίνεται, ἀπεναντίας καθημένῃ τοῦ Τάφου, ὥς φησιν ὁ Ματθαῖος, σὺν τῇ Μαγδαληνῇ. ἀλλ' ἵνα μὴ ἡ Ἀνάστασις ἀμφιβάλλοιτο διὰ τὴν πρὸς τὴν Μητέρα οἰκείωσιν, οἱ Εὐαγγελισταί φασι, πρῶτον φαίνεται τῇ Μαγδαληνῇ Μαρίᾳ. αὕτη καὶ τὸν ἐν τῷ λίθῳ Ἄγγελον εἶδε, καὶ παρακύψασα πάλιν τοὺς ἔνδον ὁρᾷ· οἳ δὴ καὶ τὴν τοῦ Κυρίου Ἀνάστασιν καταγγέλλουσιν. ἠγέρθη γάρ φασιν, οὐκ ἔστιν ὧδε. ἴδε ὁ τόπος ὅπου ἔθηκαν αὐτόν. τρέχει οὖν, ταῦτα ἀκούσασα, καὶ πρὸς τοὺς διαπύρους τῶν Μαθητῶν, Πέτρον καὶ Ἰωάννην ἔρχεται, καὶ τὴν Ἀνάστασιν τούτοις εὐαγγελίζεται. ὑποστρεφούσης δὲ ταύτης μετὰ τῆς ἄλλης Μαρίας, ὑπήντησεν αὐταῖς ὁ Χριστὸς, λέγων· Χαίρετε. ἔδει γὰρ τὸ φῦλον πρῶτον ἀκοῦσαν, ἐν λύπαις τέξῃ τέκνα, αὐτὸ τοῦτο πρῶτον καὶ τὴν χαρὰν ἐνωτίσασθαι. αἱ δὲ τῷ πόθῳ νικώμεναι, προσέρχονται, καὶ τῶν ἀχράντων αὐτοῦ ποδῶν ἅπτονται, ἀκριβέστερον γνῶναι βουλόμεναι. οἱ δὲ Ἀπόστολοι πρὸς τὸν Τάφον γίνονται. καὶ ὁ μὲν Πέτρος παρακύψας μόνον περὶ τὸ μνημεῖον, ἀπῆλθεν· ὁ δὲ Ἰωάννης, ἔνδον γίνεται, καὶ περιεργότερον βλέπει, τῆς τε σινδόνος ἅπτεται, καὶ τοῦ Σουδαρίου. πάλιν δὲ ἡ Μαγδαληνὴ περὶ Ὄρθρον ἥκει μεθ' ἑτέρων γυναικῶν τὰ ὁραθέντα πιστώσασθαι ἀκριβέστερον. περὶ δὲ τὰ ἔξω ἑστῶσα, ὠδύρετο· ἔνδον δὲ τοῦ Τάφου παρακύψασα, ὁρᾷ δύο Ἀγγέλους ἀστράπτοντας τῇ λαμπρότητι, καὶ ὥσπερ ἐπιτιμῶντας αὐτὴν, καὶ λέγοντας· Γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν, τὸν ἐσταυρωμένον; ἠγέρθη, οὐκ ἔστιν ὧδε. καὶ εὐθέως ἀνέστησαν ἔμφοβοι, ἰδοῦσαι τὸν Κύριον. διὸ ἐκείνη στραφεῖσα ὄπισθεν, βλέπει τὸν Χριστὸν ἑστῶτα. κηπουρὸν δὲ εἶναι αὐτὸν οἰηθεῖσα, ὅτι ἐν τῷ κήπῳ τὸ μνῆμα ἦν, λέγει· Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι ποῦ ἔθηκας αὐτὸν, κἀγὼ αὐτὸν ἀρῶ; αὖθις δὲ πρὸς τοὺς Ἀγγέλους μεταστάσης, ὁ Σωτὴρ, Μαρία, φησὶ, πρὸς τὴν Μαγδαληνήν. ἡ δὲ, τῆς γλυκείας καὶ συνήθους τοῦ Χριστοῦ αἰσθομένη φωνῆς, ἅψασθαι αὐτοῦ ἤθελεν. ὁ δὲ λέγει· μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου, καθὼς αὐτὴ λογίζῃ, ἔτι ἄνθρωπόν με εἶναι ὑπολαμβάνουσα. πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς, ὅσα τε εἶδες καὶ ἤκουσας. Καὶ τοῦτο μὲν ἡ Μαγδαληνὴ πράσσει. Ἐπιφωσκούσης δὲ πάλιν ἡμέρας, περὶ τὸν Τάφον σὺν ταῖς λοιπαῖς γίνεται. αἱ δὲ περὶ Ἰωάνναν καὶ Σαλώμην, ἀνατείλαντος τοῦ Ἡλίου ἦλθον, καὶ ἁπλῶς εἰπεῖν, ἐν διαφόροις ἡ περὶ τὸν Τάφον τῶν γυναικῶν ἔλευσις γέγονεν. ἐν αἷς ἦν καὶ ἡ Θεοτόκος. αὕτη γάρ ἐστιν ἣν Ἰωσῆ λέγει Μαρίαν τὸ Εὐαγγέλιον. Τοῦ Ἰωσὴφ δὲ ἦν Υἱὸς οὗτος ὁ Ἰωσῆς. ἐν ἀδήλῳ μέν τοι ἐστὶν ὁποίᾳ ὥρᾳ Ἀνέστη ὁ Κύριος. τινὲς μὲν γὰρ ἐν πρώτῃ ἀλεκτρυόνων ᾠδῇ λέγουσιν· ἄλλοι, ὅτε ὁ σεισμὸς γέγονε, καὶ διαφόρως ἕτεροι. Τούτων δὲ οὕτω γεγενημένων, ἰδού τινες τῶν ἀπὸ τῆς Κουστωδίας ἐλθόντες, ἀπήγγειλαν τοῖς Ἀρχιερεῦσι τὰ διαπεπραγμένα. οἱ δὲ, ἀργυρίοις τούτους δεξιωσάμενοι πείθουσιν ἀνειπεῖν, ὡς οἱ Μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες, ἔκλεψαν αὐτόν. κατὰ δὲ τὴν Ἑσπέραν τῆς παρούσης ἡμέρας τῶν Μαθητῶν εἰς ἓν ἀθροισθέντων, διὰ τὸν Ἰουδαϊκὸν φόβον, καὶ τῶν θυρῶν ἀσφαλῶς κεκλεισμένων, εἴσεισι πρὸς αὐτοὺς ὁ Χριστὸς, ὅτι ἐν ἀφθάρτῳ ἦν Σώματι, καὶ τὴν εἰρήνην τὸ σύνηθες τούτοις εὐαγγελίζεται. οἱ δὲ τοῦτον ἰδόντες, ὑπερβαλλόντως ἐχάρησαν, καὶ διὰ τοῦ ἐμφυσήματος, τελεώτερον, τὴν τοῦ Παναγίου Πνεύματος ἐνέργειαν δέχονται. Πῶς δὲ τριήμερος ἡ τοῦ Κυρίου

Ἀνάστασις; γίνωσκε οὕτως. ἡ Ἑσπέρα τῆς πέμπτης, καὶ ἡ ἡμέρα τῆς Παρασκευῆς, οὕτω γὰρ τὸ νυχθήμερον οἱ Ἑβραῖοι μετροῦσιν, ἡμέρα μία. τῆς Παρασκευῆς πάλιν ἡ νύξ, καὶ τὸ Σάββατον ὅλον, ἕτερον νυχθήμερον· ἰδοὺ ἡμέρα δευτέρα. πάλιν ἡ τοῦ Σαββάτου νύξ, καὶ ἡ τῆς Κυριακῆς ἡμέρα. (ἀπὸ μέρους γὰρ τῆς ἀρχῆς τὸ ὅλον καταλαμβάνεται.) ἄλλο νυχθήμερον. ἰδοὺ καὶ ἡμέρα τρίτη. ἢ καὶ οὕτως. Τρίτη ὥρα τῆς Παρασκευῆς ἐσταύρωται ὁ Χριστὸς, εἶτα ἀπὸ ἕκτης ὥρας ἕως ἐννάτης, σκότος ἐγένετο. τοῦτο νύκτα νόησον. ἰδοὺ ἀπὸ τρίτης ἕως ἐννάτης, ἓν νυχθήμερον. εἶτα πάλιν μετὰ τὸ σκότος, ἡμέρα, καὶ ἡ νὺξ τῆς Παρασκευῆς, ἰδοὺ δύο νυχθήμερα. ἡ ἡμέρα τοῦ Σαββάτου, καὶ ἡ νὺξ αὐτοῦ πάλιν, ἰδοὺ τρία νυχθήμερα. εἰ δὲ εἰς τὴν τρίτην ἐπαγγειλάμενος εὐεργετῆσαι ἡμᾶς ὁ Σωτὴρ, συντομώτερον διεπράξατο τὴν εὐεργεσίαν, καὶ οὕτω χάρις αὐτῷ καὶ δόξα, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὸ, Ἀνάστασιν Χριστοῦ θεασάμενοι.

Ὡσαύτως καὶ τὸ, Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ Τάφου.

Εἰς γ'. Ὠδὴ ζ'. Ὁ Εἱρμός.

Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος, γενόμενος ἄνθρωπος, πάσχει ὡς θνητὸς, καὶ διὰ Πάθους τὸ θνητὸν ἀφθαρσίας ἐνδύει εὐπρέπειαν, ὁ μόνος εὐλογητὸς, τῶν Πατέρων Θεὸς, καὶ ὑπερένδοξος.

Γυναῖκες μετὰ μύρων θεόφρονες, ὀπίσω σου ἔδραμον. ὃν δὲ ὡς θνητὸν, μετὰ δακρύων ἐζήτουν, προσεκύνησαν χαίρουσαι ζῶντα Θεὸν, καὶ Πάσχα τὸ μυστικὸν, σοῖς Χριστὲ Μαθηταῖς εὐηγγελίσαντο.

Θανάτου ἑορτάζομεν νέκρωσιν, ᾅδου τὴν καθαίρεσιν, ἄλλης βιοτῆς, τῆς αἰωνίου ἀπαρχὴν, καὶ σκιρτῶντες ὑμνοῦμεν τὸν αἴτιον, τὸν μόνον εὐλογητὸν, τῶν Πατέρων Θεὸν καὶ ὑπερένδοξον.

Ὡς ὄντως ἱερὰ καὶ πανέορτος, αὕτη ἡ σωτήριος, νὺξ καὶ φωταυγὴς, τῆς λαμπροφόρου ἡμέρας, τῆς Ἐγέρσεως οὖσα προάγγελος, ἐν ᾗ τὸ ἄχρονον φῶς, ἐκ τάφου σωματικῶς πᾶσιν ἐπέλαμψεν.

Καταβασία. Ὁ παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ἐκφώνησις. Εἴη τὸ κράτος τῆς Βασιλείας σου.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Αὕτη ἡ κλητὴ καὶ ἁγία ἡμέρα, ἡ μία τῶν Σαββάτων, ἡ Βασιλὶς καὶ Κυρία, ἑορτῶν Ἑορτὴ, καὶ Πανήγυρις ἐστὶ πανηγύρεων, ἐν ᾗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Δεῦτε τοῦ καινοῦ τῆς ἀμπέλου γεννήματος, τῆς θείας εὐφροσύνης, ἐν τῇ ἐπισήμῳ ἡμέρᾳ, τῆς Ἐγέρσεως, Βασιλείας τοῦ Χριστοῦ κοινωνήσωμεν, ὑμνοῦντες αὐτὸν, ὡς Θεὸν εἰς τοὺς αἰῶνας.

Ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου Σιὼν, καὶ ἴδε· ἰδοὺ γὰρ ἥκασί σοι, θεοφεγγεῖς ὡς φωστῆρες, ἐκ δυσμῶν καὶ βοῤῥᾶ, καὶ θαλάσσης καὶ ἑῴας τὰ τέκνα σου, ἐν σοὶ εὐλογοῦντα, Χριστὸν εἰς τοὺς αἰῶνας.

Πάτερ Παντοκράτορ, καὶ Λόγε καὶ Πνεῦμα, Τρισὶν ἑνιζομένη, ἐν ὑποστάσεσι Φύσις, ὑπερούσιε καὶ ὑπέρθεε, εἰς σὲ βεβαπτίσμεθα, καὶ σὲ εὐλογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία. Αὕτη ἡ κλητὴ, καὶ ἁγία ἡμέρα.

Ἐκφώνησις. Ὅτι ηὐλόγηται.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Φωτίζου φωτίζου, ἡ Νέα Ἱερουσαλήμ. ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε. χόρευε νῦν καὶ ἀγάλλου Σιών. Σὺ δὲ Ἁγνὴ, τέρπου Θεοτόκε, ἐν τῇ Ἐγέρσει τοῦ Τόκου σου.

Ὢ θείας, ὢ φίλης, ὢ γλυκυτάτης σου φωνῆς. μεθ' ἡμῶν ἀψευδῶς γὰρ, ἐπηγγείλω ἔσεσθαι, μέχρι τερμάτων αἰῶνος Χριστέ. ἣν οἱ πιστοὶ, ἄγκυραν ἐλπίδος, κατέχοντες ἀγαλλόμεθα.

Ὢ Πάσχα τὸ μέγα καὶ ἱερώτατον Χριστέ. ὢ Σοφία καὶ Λόγε, τοῦ Θεοῦ καὶ δύναμις. δίδου ἡμῖν ἐκτυπώτερον, σοῦ μετασχεῖν, ἐν τῇ ἀνεσπέρῳ, ἡμέρᾳ τῆς Βασιλείας σου.

Καταβασία. Φωτίζου φωτίζου, ἡ Νέα Ἱερουσαλήμ.

Ἐκφώνησις. Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις.

Ἐξαποστειλάριον αὐτόμελον ἦχ. γ'.

Σαρκὶ ὑπνώσας ὡς θνητὸς, ὁ Βασιλεὺς καὶ Κύριος, τριήμερος ἐξανέστης, Ἀδὰμ ἐγείρας ἐκ φθορᾶς, καὶ καταργήσας θάνατον, Πάσχα τῆς ἀφθαρσίας τοῦ Κόσμου σωτήριον.

Εἰς τοὺς Αἴνους, τὸ Πᾶσα πνοή.

Εἰς ἦχον α'. ἱστῶμεν δὲ στίχους δ'. καὶ ψάλλομεν στιχηρὰ Ἀναστάσιμα. ἦχος α'.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις.

Ὑμνοῦμέν σου Χριστὲ, τὸ Σωτήριον Πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάστασιν.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος.

Ὁ Σταυρὸν ὑπομείνας, καὶ τὸν θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε, ὡς μόνος παντοδύναμος.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν Τυμπάνῳ καὶ Χορῷ.

Ὁ Τὸν ᾅδην σκυλεύσας, καὶ τὸν ἄνθρωπον ἀναστήσας, τῇ Ἀναστάσει σου Χριστὲ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ ὑμνεῖν καὶ δοξάζειν σε.

Στίχ. Αἰνεῖτε αὐτὸν ἐν Κυμβάλοις εὐήχοις.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστὲ, ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί. ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας Σταυρόν. ἀνέστης ἐκ τάφου, ὡς ἐκ παστάδος προελθὼν, ἵνα σώσῃς τὸν Κόσμον· Κύριε δόξα σοι.

Εἶτα τὰ παρόντα στιχηρὰ μετὰ τῶν στίχων αὐτῶν.

Ἦχος πλ. α'.

Στίχ. Ἀναστήτω ὁ Θεὸς καὶ διασκορπισθήτωσαν.

Πάσχα ἱερὸν ἡμῖν σήμερον ἀναδέδεικται, Πάσχα καινὸν Ἅγιον, Πάσχα μυστικὸν, Πάσχα πανσεβάσμιον, Πάσχα Χριστὸς ὁ λυτρωτὴς, Πάσχα ἄμωμον, Πάσχα μέγα, Πάσχα τῶν πιστῶν, Πάσχα τὸ πύλας ἡμῖν τοῦ Παραδείσου ἀνοῖξαν, Πάσχα πάντας ἁγιάζον πιστούς.

Στίχ. Ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν.

Δεῦτε ἀπὸ θέας γυναῖκες Εὐαγγελίστριαι, καὶ τῇ Σιὼν εἴπατε· δέχου παρ' ἡμῶν, χαρᾶς Εὐαγγέλια, τῆς Ἀναστάσεως Χριστοῦ. τέρπου χόρευε καὶ ἀγάλλου Ἱερουσαλήμ, τὸν Βασιλέα Χριστὸν, θεασαμένη ἐκ τοῦ μνήματος, ὡς Νυμφίον προερχόμενον.

Στίχ. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοί.

Αἱ Μυροφόροι γυναῖκες, ὄρθρου βαθέος, ἐπιστᾶσαι πρὸς τὸ μνῆμα τοῦ Ζωοδότου· εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, καὶ αὐτὸς προσφθεγξάμενος, αὐταῖς οὕτως ἔλεγε· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τί θρηνεῖτε τὸν ἄφθαρτον ἐν τῇ φθορᾷ; ἀπελθοῦσαι κηρύξατε τοῖς αὐτοῦ Μαθηταῖς.

Στίχ. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ Κύριος.

Πάσχα τὸ τερπνὸν, Πάσχα Κυρίου Πάσχα, Πάσχα πανσεβάσμιον ἡμῖν ἀνέτειλε, Πάσχα ἐν χαρᾷ, ἀλλήλους περιπτυξώμεθα. ὢ Πάσχα λύτρον

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

λύπης. καὶ γὰρ ἐκ τάφου σήμερον, ὥσπερ ἐκ παστοῦ ἐκλάμψας Χριστὸς, τὰ γύναια χαρᾶς ἔπλησε λέγων· κηρύξατε Ἀποστόλοις.

Δόξα, καὶ νῦν, ἦχος ὁ αὐτός.

Ἀναστάσεως ἡμέρα, καὶ λαμπρυνθῶμεν τῇ πανηγύρει, καὶ ἀλλήλους περιπτυξώμεθα. εἴπωμεν ἀδελφοὶ, καὶ τοῖς μισοῦσιν ἡμᾶς, συγχωρήσωμεν πάντα τῇ Ἀναστάσει, καὶ οὕτω βοήσωμεν· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, Θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Εἶτα τὸ, Χριστὸς ἀνέστη, ἐκ τρίτου, καὶ ψάλλομεν τοῦτο πολλάκις ἄχρις οὗ ἀσπάσωνται οἱ ἀδελφοὶ ἀλλήλους. ὁ δὲ Ἀσπασμὸς γίνεται οὕτω.

Λαμβάνει ὁ Ἱερεὺς τὸ Ἅγιον Εὐαγγέλιον, καὶ ἵσταται πρὸ τῶν Θυρῶν τοῦ Ἁγίου Βήματος· ὁ δὲ Καθηγούμενος ἐλθὼν καὶ ἀσπασάμενος τὸ Ἅγιον Εὐαγγέλιον καὶ τὸν Ἱερέα, λαμβάνει ἐκ τῶν χειρῶν αὐτοῦ τὸ Ἅγιον Εὐαγγέλιον, καὶ ἵσταται ἐκ δεξιῶν τοῦ Ἱερέως. Εἶτα οἱ Ἀδελφοὶ πάντες κατὰ τὴν τάξιν αὐτῶν, ἀσπάζονται πρῶτον τὸ Ἅγιον Εὐαγγέλιον, εἶτα τὸν Ἱερέα, καὶ τὸν Καθηγούμενον, καὶ ἵστανται κἀκεῖνοι ἔνθα τύχωσι, καὶ ἀσπάζονται ἀλλήλους. Μετὰ γοῦν τὸν Ἀσπασμὸν ἀναγινώσκεται ὁ Κατηχητικὸς Λόγος τοῦ Χρυσοστόμου παρὰ τοῦ Ἡγουμένου, ἢ τοῦ Ἐκκλησιάρχου. ἵστανται δὲ οἱ Ἀδελφοὶ ἅπαντες καὶ ἐπακροῶνται τῆς Ἀναγνώσεως.

Τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου. Λόγος Κατηχητικὸς εἰς τὴν Ἁγίαν καὶ λαμπροφόρον ἡμέραν τῆς ἐνδόξου καὶ σωτηριώδους Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Ἀναστάσεως.

Εὐλόγησον Δέσποτα.

Εἴτις εὐσεβὴς καὶ φιλόθεος, ἀπολαυέτω τῆς καλῆς ταύτης καὶ λαμπρᾶς Πανηγύρεως. Εἴτις δοῦλος εὐγνώμων, εἰσελθέτω χαίρων εἰς τὴν χαρὰν τοῦ Κυρίου αὐτοῦ. Εἴτις ἔκαμε νηστεύων, ἀπολαυέτω νῦν τὸ δηνάριον. Εἴτις ἀπὸ τῆς πρώτης ὥρας εἰργάσατο, δεχέσθω σήμερον τὸ δίκαιον ὄφλημα. Εἴτις μετὰ τὴν τρίτην ἦλθεν, εὐχαρίστως ἑορτασάτω. Εἴτις μετὰ τὴν ἕκτην ἔφθασε, μηδὲν ἀμφιβαλλέτω· καὶ γὰρ οὐδὲν ζημιοῦται. Εἴτις ὑστέρησεν εἰς τὴν ἐννάτην, προσελθέτω μηδὲν ἐνδοιάζων. Εἴτις εἰς μόνην ἔφθασε τὴν ἑνδεκάτην, μὴ φοβηθῇ τὴν βραδύτητα· Φιλότιμος γὰρ ὢν ὁ Δεσπότης, δέχεται τὸν ἔσχατον, καθάπερ καὶ τὸν πρῶτον. Ἀναπαύει τὸν τῆς ἑνδεκάτης, ὡς τὸν ἐργασάμενον ἀπὸ τῆς πρώτης. Καὶ τὸν ὕστερον ἐλεεῖ, καὶ τὸν πρῶτον θεραπεύει. κἀκείνῳ δίδωσι, καὶ τούτῳ χαρίζεται. καὶ τὰ ἔργα δέχεται, καὶ τὴν γνώμην ἀσπάζεται, καὶ τὴν πρᾶξιν τιμᾷ, καὶ τὴν πρόθεσιν ἐπαινεῖ. Οὐκοῦν εἰσέλθετε πάντες εἰς τὴν χαρὰν τοῦ Κυρίου ἡμῶν. Καὶ πρῶτοι καὶ δεύτεροι τὸν μισθὸν ἀπολαύετε. Πλούσιοι καὶ πένητες, μετ᾽ ἀλλήλων χορεύσατε. Ἐγκρατεῖς καὶ ῥᾴθυμοι, τὴν ἡμέραν τιμήσατε. Νηστεύσαντες καὶ μὴ νηστεύσαντες, εὐφράνθητε σήμερον. Ἡ Τράπεζα γέμει, τρυφήσατε πάντες. Ὁ μόσχος πολὺς, μηδεὶς ἐξέλθῃ πεινῶν. Πάντες ἀπολαύετε τοῦ συμποσίου τῆς πίστεως· Πάντες ἀπολαύσατε τοῦ πλούτου τῆς χρηστότητος. Μηδεὶς θρηνείτω πενίαν· ἐφάνη γὰρ ἡ κοινὴ Βασιλεία. Μηδεὶς ὀδυρέσθω πταίσματα· συγγνώμη γὰρ ἐκ τοῦ τάφου ἀνέτειλε. Μηδεὶς φοβείσθω θάνατον· ἠλευθέρωσε γὰρ ἡμᾶς τοῦ Σωτῆρος ὁ Θάνατος. Ἔσβεσεν αὐτὸν ὑπ᾽ αὐτοῦ κατεχόμενος. Ἐσκύλευσε τὸν ᾅδην, ὁ κατελθὼν εἰς τὸν ᾅδην. Ἐπίκρανεν αὐτὸν, γευσάμενος τῆς σαρκὸς αὐτοῦ. καὶ τοῦτο προλαβὼν Ἠσαΐας, ἐβόησεν· Ὁ ᾅδης φησὶν ἐπικράνθη, συναντήσας σοι κάτω. Ἐπικράνθη, καὶ γὰρ κατηργήθη. Ἐπικράνθη· καὶ γὰρ ἐνεπαίχθη. Ἐπικράνθη· καὶ γὰρ ἐνεκρώθη. Ἐπικράνθη· καὶ γὰρ καθῃρέθη. Ἐπικράνθη· καὶ γὰρ ἐδεσμεύθη. Ἔλαβε σῶμα, καὶ Θεῷ περιέτυχεν. Ἔλαβε γῆν, καὶ συνήντησεν Οὐρανῷ. Ἔλαβεν ὅπερ ἔβλεπε, καὶ πέπτωκεν ὅθεν οὐκ ἔβλεπε. Ποῦ σου θάνατε τὸ κέντρον; ποῦ σου ᾅδη τὸ νῖκος; Ἀνέστη Χριστὸς, καὶ σὺ καταβέβλησαι. Ἀνέστη Χριστὸς, καὶ πεπτώκασι δαίμονες. Ἀνέστη Χριστὸς, καὶ χαίρουσιν Ἄγγελοι. Ἀνέστη Χριστὸς, καὶ ζωὴ πολιτεύεται. Ἀνέστη Χριστὸς, καὶ νεκρὸς οὐδεὶς ἐπὶ μνήματος. Χριστὸς γὰρ ἐγερθεὶς ἐκ νεκρῶν, ἀπαρχὴ τῶν κεκοιμημένων ἐγένετο. Αὐτῷ ἡ δόξα, καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Εἶτα λέγεται Τροπάριον τοῦ Ἁγίου.

Ἡ τοῦ στόματός σου καθάπερ πυρσός.

Ἐκτενὴς παρὰ τοῦ Ἱερέως, καὶ Ἀπόλυσις.

Λιτὴ δὲ ἐν ταύτῃ τῇ ἡμέρᾳ οὐ γίνεται.

Περὶ τῶν Ὡρῶν τῆς μεγάλης Κυριακῆς, καὶ τῆς ὅλης Ἑβδομάδος τῆς Διακαινησίμου.

Δεῖ εἰδέναι, ὅτι ἀπὸ ταύτης τῆς ἡμέρας τῆς Ἁγίας καὶ μεγάλης Κυριακῆς τοῦ Πάσχα, μέχρι τοῦ Σαββάτου τῆς Διακαινησίμου, αἱ Ὧραι καὶ τὰ Ἀπόδειπνα, οὕτω ψάλλονται.

Μετὰ τὸν εὐλογητὸν, Χριστὸς Ἀνέστη ἐκ νεκρῶν.

Ἐκ γ΄. εἶτα.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον. τὸν Σταυρόν σου Χριστὲ προσκυνοῦμεν, καὶ τὴν Ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ Ἁγίαν Ἀνάστασιν. Ἰδοὺ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ Κόσμῳ. διαπαντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας δι᾽ ἡμᾶς, Θανάτῳ θάνατον ὤλεσεν.

Ἐκ Τρίτου.

Προλαβοῦσαι τὸν Ὄρθρον αἱ περὶ Μαριὰμ, καὶ 7.
εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου· τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα. δράμετε καὶ τῷ Κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον. ὅτι ὑπάρχει Θεοῦ Υἱὸς, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

Τοῦτο Ἅπαξ.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες Ἀθάνατε, ἀλλὰ τοῦ ᾅδου καθεῖλες τὴν δύναμιν. καὶ ἀνέστης ὡς νικητὴς Χριστὲ ὁ Θεὸς, Γυναιξὶ Μυροφόροις φθεγξάμενος χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος. ὁ τοῖς πεσοῦσι παρέχων Ἀνάστασιν.

Καὶ τοῦτο Ἅπαξ.

Ἐν τάφῳ σωματικῶς, ἐν ᾅδου δὲ μετὰ ψυχῆς ὡς Θεὸς, ἐν Παραδείσῳ δὲ μετὰ Λῃστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστὲ, μετὰ Πατρὸς καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος.

Δόξα.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης Βασιλικῆς, ἀναδέδεικται λαμπρότερος Χριστὲ ὁ τάφος σου· ἡ πηγὴ τῆς ἡμῶν Ἀναστάσεως.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε. διὰ σοῦ γὰρ δέδοται ἡ χαρὰ Θεοτόκε τοῖς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν γυναιξὶν, ὑπάρχεις πανάμωμε Δέσποινα.

Τὸ, Κύριε ἐλέησον μ΄. Δόξα, καὶ νῦν.

Τὴν τιμιωτέραν. καὶ λέγεται, στίχ. Δι' εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν. Καὶ πάλιν ὁμοίως τό, Χριστὸς ἀνέστη, ἐκ γ΄. καὶ τὰ λοιπά. Τελοῦνται δὲ ἡ τοιαύτη Ἀκολουθία, ἐν ταῖς Ὥραις, καὶ ἐν τοῖς Ἀποδείπνοις, καὶ ἐν τῷ Μεσονυκτικῷ.

Ἡ δὲ τῆς Λειτουργίας Ἀκολουθία γίνεται ταχύτερον, καὶ ψάλλομεν τὰ παρόντα Ἀντίφωνα.

Ἀντίφωνον Α΄. ἦχος β΄.

Στίχ. α΄. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. β΄. Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. γ΄. Εἴπατε τῷ Θεῷ ὡς φοβερὰ τὰ ἔργα σου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Στίχ. δ΄. Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Δόξα, καὶ νῦν.

Ὁμοῦ οἱ δύο Χοροὶ ὑψηλοτέρᾳ φωνῇ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον Β΄. ἦχος β΄.

Στίχ. α΄. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστάς.

Στίχ. β΄. Ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστάς.

Στίχ. γ΄. Τοῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστάς.

Στίχ. δ΄. Ἐξομολογησάσθωσάν σοι Λαοί.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστάς.

Δόξα, καὶ νῦν, ἦχος πλ. β΄.

Ὁμοῦ οἱ δύο Χοροί.

Ὁ Μονογενὴς Υἱὸς τοῦ Λόγος καὶ Θεοῦ.

Ἀντίφωνον Γ΄. ἦχος πλ. α΄.

Στίχ. α΄. Ἀναστήτω ὁ Θεός.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν.

Στίχ. β΄. Ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν.

Στίχ. γ΄. Οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοί.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν.

Στίχ. δ΄. Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν.

Καὶ γίνεται εἴσοδος, καὶ Ἐκφωνεῖ ὁ Διάκονος εἰ ἔστιν· εἰ δ' οὔ, ὁ Ἱερεύς. Σοφία ὀρθοί.

Καὶ ἡμεῖς τὸ Εἰσοδικόν.

Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ.

Καὶ ψάλλομεν τὸ Τροπάριον.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν.

Ἡ Ὑπακοή. Προλαβοῦσαι τὸν Ὄρθρον.

Δόξα, καὶ νῦν. Τὸ Κοντάκιον.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες Ἀθάνατε.

Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Προκείμενον τοῦ Ἀποστόλου. ἦχος πλ. δ΄.

Αὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Στίχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ὁ Ἀπόστολος.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Τὸν μὲν πρῶτον Λόγον ἐποιησάμην περὶ πάντων, Κεφ. α. 1
ὦ Θεόφιλε, ὧν ἤρξατο ὁ Ἰησοῦς ποιεῖν τε καὶ διδάσκειν, ἄχρι ἧς ἡμέρας ἐντειλάμενος τοῖς Ἀποστόλοις διὰ Πνεύματος Ἁγίου, οὓς ἐξελέξατο, ἀνελήφθη. Οἷς καὶ παρέστησεν ἑαυτὸν ζῶντα μετὰ τὸ παθεῖν αὐτόν, ἐν πολλοῖς τεκμηρίοις δι' ἡμερῶν τεσσαράκοντα, ὀπτανόμενος αὐτοῖς, καὶ λέγων τὰ περὶ τῆς Βασιλείας τοῦ Θεοῦ. Καὶ συναυλιζόμενος παρήγγειλεν αὐτοῖς, ἀπὸ Ἱεροσολύμων μὴ χωρίζεσθαι, ἀλλὰ περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρός, ἣν ἠκούσατέ μου. Ὅτι Ἰωάννης μὲν ἐβάπτισεν ὕδατι, ὑμεῖς δὲ βαπτισθήσεσθε ἐν Πνεύματι Ἁγίῳ, οὐ μετὰ πολλὰς ταύτας ἡμέρας. Οἱ μὲν οὖν συνελθόντες, ἐπηρώτων αὐτόν, λέγοντες· Κύριε εἰ ἐν τῷ χρόνῳ τούτῳ ἀποκαθιστάνεις τὴν βασιλείαν τῷ Ἰσραήλ; Εἶπε δὲ πρὸς αὐτούς· Οὐχ ὑμῶν ἐστι γνῶναι χρόνους, ἢ καιρούς, οὓς ὁ Πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ. Ἀλλὰ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ Ἁγίου Πνεύματος ἐφ' ὑμᾶς· Καὶ ἔσεσθέ μοι μάρτυρες, ἔν τε Ἱερουσαλήμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ, καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς.

Ἀλληλούϊα, ἦχος δ΄.

Σὺ Κύριε ἀναστὰς οἰκτειρήσεις τὴν Σιών.

Στίχ. Ἐξ Οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος.

Εὐαγγέλιον κατὰ Ἰωάννην.

Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος.

Τέλος. Διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο.

Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Χρυσοστόμου.

Κοινωνικόν. Σῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε.

Ἀντὶ δὲ τοῦ, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον. Καὶ τοῦ, Εὐλογήσω τὸν Κύριον. Χριστὸς ἀνέστη. Ὡσαύτως καὶ ἀντὶ τοῦ, Ὑψώσατε ὁ Θεός μου. Εἰς τὴν Τράπεζαν γίνεται παράκλησις τοῖς ἀδελφοῖς μεγάλη εἰς πάντα. Ἐν ᾗ ὕστερον, Χριστὸς ἀνέστη, ἐκ γ΄. Καὶ ὕψωται ὁ ἄρτος παρὰ τοῦ Κελλαρίτου. Λαμβάνει προσφορὰν ὁλόκληρον, καὶ τίθησιν ἐν τῷ Παναγιαρίῳ. Καὶ λαβὼν τὴν ἐξ ἔθους συγχώρησιν, λαμβάνει τὸν ἄρτον ἐν ταῖς χερσὶν αὐτοῦ, Καὶ ὑψοῖ αὐτὸν ἀπὸ τοῦ Δίσκου μικρόν, καὶ Ἐκφωνεῖ, λέγων· Χριστὸς ἀνέστη. Καὶ ἡμῶν ἀνταποκρινομένων τό, Ἀληθῶς ἀνέστη. Εἶτα αὖθις ἐκεῖνος χαράττει Σταυρὸν μετὰ τοῦ ἄρτου, λέγων· Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον Ἔγερσιν. Καὶ ἡμεῖς τό, Χριστὸς ἀνέστη, ἐκ γ΄. εἶτα τὴν Ὑπακοήν, καὶ τὸ Κοντάκιον, καὶ ἀσπαζόμεθα τὸν ἄρτον. Ὕστερον δὲ Χριστὸς ἀνέστη, ἐκ γ΄. καὶ ὁ στίχος. Οὐκ ἐσθίομεν δὲ τὸν ἄρτον, ἀλλ' αὐτὸν ὑψοῦμεν καθ' ἑκάστην μέχρι τοῦ Σαββάτου τῆς Διακαινησίμου. Εἶτα κλῶμεν καὶ ἐσθίομεν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΤΗ͂͂͂Ι Δʹ. ΕΣΠΈΡΑΣ ΤΗ͂Σ ϛʹ. ἙΒΔΟΜΆΔΟΣ,

## ἙΟΡΤΆΖΟΜΕΝ ΤῊΝ ἈΝΆΛΗΨΙΝ ΤΟΥ͂ ΚΥΡΊΟΥ ΚΑΙ῾ ΘΕΟΥ͂ ΚΑΙ῾ ΣΩΤΗ͂ΡΟΣ ἩΜΩ͂Ν ἸΗΣΟΥ͂ ΧΡΙΣΤΟΥ͂.

Ἐν τῷ μεγάλῳ Ἑσπερινῷ. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ιʹ. καὶ ψάλλομεν ἰδιόμ. εʹ.

Δευτεροῦντες αὐτά. ἦχος πλ. βʹ.

Ὁ Κύριος ἀνελήφθη εἰς Οὐρανούς, ἵνα πέμψῃ τὸν Παράκλητον τῷ Κόσμῳ. οἱ Οὐρανοὶ ἡτοίμασαν τὸν θρόνον αὐτοῦ, νεφέλαι τὴν ἐπίβασιν αὐτοῦ. Ἄγγελοι θαυμάζουσιν, ἄνθρωπον ὁρῶντες ὑπεράνω αὐτῶν. ὁ Πατὴρ ἐκδέχεται, ὃν ἐν κόλποις ἔχει συναΐδιον. τὸ Πνεῦμα τὸ Ἅγιον κελεύει πᾶσι τοῖς Ἀγγέλοις αὐτοῦ· ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν. πάντα τὰ ἔθνη κροτήσατε χεῖρας. ὅτι ἀνέβη Χριστός, ὅπου ἦν τὸ πρότερον.

Δίς.

Κύριε τῇ σῇ Ἀναλήψει, ἐξεπλάγησαν τὰ Χερουβίμ, θεωρήσαντά σε τὸν Θεόν, ἐπὶ νεφελῶν ἀνερχόμενον, τὸν ἐπ᾽ αὐτῶν καθεζόμενον. καὶ δοξάζομέν σε, ὅτι χρηστὸν τὸ ἔλεός σου, δόξα σοι.

Ἐν τοῖς ὄρεσι τοῖς Ἁγίοις, θεωροῦντές σου τὰς ὑψώσεις Χριστέ, τὸ ἀπαύγασμα τῆς δόξης τοῦ Πατρός, ἀνυμνοῦμέν σου τὴν φωτοειδῆ τοῦ προσώπου μορφήν· προσκυνοῦμέν σου τὰ Παθήματα· τιμῶμεν τὴν Ἀνάστασιν· τὴν ἔνδοξον Ἀνάληψιν δοξάζοντες. ἐλέησον ἡμᾶς.

Δίς.

Κύριε οἱ Ἀπόστολοι ὡς εἶδόν σε, ἐν νεφέλαις ἐπαιρόμενον, ὀδυρμοῖς δακρύων, Ζωοδότα Χριστὲ κατηφείας πληρούμενοι, θρηνοῦντες ἔλεγον· Δέσποτα μὴ ἐάσῃς ἡμᾶς ὀρφανούς, οὓς δι᾽ οἶκτον ἠγάπησας δούλους σου ὡς εὔσπλαγχνος· ἀλλ᾽ ἀπόστειλον ὡς ὑπέσχου ἡμῖν τὸ Παναγιόν σου Πνεῦμα, φωταγωγοῦν τὰς ψυχὰς ἡμῶν.

Δίς.

Κύριε τῆς οἰκονομίας πληρώσας τὸ μυστήριον, παραλαβὼν τοὺς σοὺς Μαθητάς, εἰς τὸ ὄρος τῶν Ἐλαιῶν ἀνελάμβανες· καὶ ἰδοὺ τὸ στερέωμα τοῦ Οὐρανοῦ παρῆλθες, ὁ δι᾽ ἐμὲ πτωχεύσας κατ᾽ ἐμέ. καὶ ἀναβὰς ὅθεν οὐκ ἐχωρίσθης, τὸ Παναγιόν σου Πνεῦμα ἐξαπόστειλον, φωτίζον τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Ἦχος ὁ αὐτός.

Τῶν κόλπων τῶν Πατρικῶν μὴ χωρισθεὶς γλυκύτατε Ἰησοῦ, καὶ τοῖς ἐπὶ γῆς ὡς ἄνθρωπος συναναστραφείς, σήμερον ἐπ᾽ ὄρους τῶν Ἐλαιῶν ἀνελήφθης ἐν δόξῃ. καὶ τὴν πεσοῦσαν φύσιν ἡμῶν συμπαθῶς ἀνυψώσας, τῷ Πατρὶ συνεκάθισας. ὅθεν αἱ οὐράνιαι τῶν Ἀσωμάτων τάξεις, τὸ θαῦμα ἐκπληττόμεναι, ἐξίσταντο θάμβει, καὶ τρόμῳ συνεχόμεναι, τὴν σὴν φιλανθρωπίαν ἐμεγάλυνον. μεθ᾽ ὧν καὶ ἡμεῖς οἱ ἐπὶ γῆς, τὴν πρὸς ἡμᾶς σου συγκατάβασιν, καὶ τὴν ἀφ᾽ ἡμῶν Ἀνάληψιν δοξολογοῦντες, ἱκετεύομεν, λέγοντες· ὁ τοὺς Μαθητὰς καὶ τὴν τεκοῦσάν σε Θεοτόκον, χαρᾶς ἀπείρου πλήσας ἐν τῇ σῇ Ἀναλήψει· καὶ ἡμᾶς ἀξίωσον, τῶν ἐκλεκτῶν σου τῆς χαρᾶς, εὐχαῖς αὐτῶν, διὰ τὸ μέγα σου ἔλεος.

Εἴσοδος. Προκείμενον τῆς ἡμέρας.

Καὶ εὐθὺς τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· ἔσται ἐν ταῖς ἐσχάταις ἡμέ- βʹ. 2.
ραις, ἐμφανὲς τὸ ὄρος τοῦ Κυρίου, καὶ ὁ οἶκος τοῦ Κεφ.
Θεοῦ ἐπ᾽ ἄκρων τῶν ὀρέων. καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ᾽ αὐτῷ πάντα τὰ ἔθνη, καὶ πορεύσονται Λαοὶ πολλοί, καὶ ἐροῦσι· Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ· καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· πορεύεσθε, περιέλθετε διὰ Κεφ.
τῶν πυλῶν μου. σκευάσατε τὴν ὁδόν μου, καὶ ὁδο- ξβʹ.
ποιήσατε τῷ Λαῷ μου, καὶ τοὺς λίθους ἐκ τῆς ὁδοῦ διαρ-
ρίψατε, καὶ ἐξάρατε σύσσημον εἰς τὰ ἔθνη. Ἰδοὺ γὰρ 10.
ὁ Κύριος ἐποίησεν ἀκουστὸν ἕως ἐσχάτου τῆς γῆς. εἴπατε τῇ θυγατρὶ Σιών· Ἰδοὺ ὁ Σωτήρ σου παραγέγονεν, ἔχων τὸν ἑαυτοῦ μισθὸν μετ᾽ αὐτοῦ, καὶ τὸ ἔργον αὐτοῦ πρὸ προσώπου αὐτοῦ. Καὶ καλέσει αὐτὸν Λαὸν ἅγιον, λελυτρωμένον ὑπὸ Κυρίου· Σὺ δὲ κληθήσῃ ἐπιζητουμένη πόλις, καὶ οὐκ ἐγκαταλελειμμένη. Τίς
οὗτος ὁ παραγενόμενος· ἐξ Ἐδώμ; ἐρύθημα ἱματίων Κεφ.
αὐτοῦ ἐκ Βοσόρ; οὗτος ὡραῖος ἐν στολῇ αὐτοῦ, βίᾳ μετὰ ξγʹ. 2.
ἰσχύος πολλῆς. ἐγὼ διαλέγομαι δικαιοσύνην καὶ κρίσιν σωτηρίου. Διατί σου ἐρυθρὰ τὰ ἱμάτια, καὶ τὰ ἐνδύματά σου, ὡς ἀπὸ πατητοῦ ληνοῦ, πλήρους καταπεπατημένου; ληνὸν ἐπάτησα μονώτατος, καὶ τῶν ἐθνῶν οὐκ
ἔστιν ἀνὴρ μετ᾽ ἐμοῦ. Τὸν ἔλεον Κυρίου ἐμνήσθην, τὰς Ἐδ. 7.
ἀρετὰς Κυρίου ἀναμνήσω, τὴν αἴνεσιν Κυρίου ἐπὶ πᾶσιν οἷς ἡμῖν ἀνταποδίδωσι. Κύριος κριτὴς ἀγαθὸς τῷ οἴκῳ Ἰσραήλ. Ἐπάγει ἡμῖν κατὰ τὸν ἔλεον αὐτοῦ, καὶ κατὰ τὸ πλῆθος τῆς δικαιοσύνης αὐτοῦ. Καὶ εἶπεν· οὐχὶ Λαός μου ἐστὲ τέκνα, καὶ οὐ μὴ ἀθετήσωσι; καὶ ἐγένετο αὐτοῖς εἰς σωτηρίαν. Ἐκ πάσης θλίψεως αὐτῶν, οὐ πρέσβυς, οὐδὲ Ἄγγελος, ἀλλ᾽ αὐτὸς ὁ Κύριος ἔσωσεν αὐτούς, διὰ τὸ ἀγαπᾶν αὐτούς, καὶ φείδεσθαι αὐτῶν. αὐτὸς ἐλυτρώσατο αὐτούς, καὶ ἀνέλαβεν αὐτούς, καὶ ὑπερύψωσεν αὐτοὺς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος.

Προφητείας Ζαχαρίου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· ἰδοὺ ἡμέρα ἔρχεται Κυρίου, Κεφ.
καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ιδʹ. 4.
ἐπὶ τὸ ὄρος τῶν Ἐλαιῶν, τὸ κατέναντι Ἱερουσαλήμ, ἐξ ἀνατολῶν Ἡλίου. Καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐξελεύσεται ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. ἐν θέρει, καὶ ἐν ἔαρι ἔσται οὕτω. Καὶ ἔσται Κύριος εἰς Βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἕν. Κυκλῶν πᾶσαν τὴν γῆν, καὶ τὴν ἔρημον ἀπὸ Γαβαὰ ἕως Ῥεμβών, κατὰ νότον Ἱερουσαλήμ. καὶ ὑψωθήσεται, καὶ ἐπὶ τοῦ τόπου μενεῖ, ἀπὸ τῆς

πύλης Βενιαμὶν, ἕως τοῦ τόπου τῆς πύλης τῆς πρώτης, ἕως τῆς πύλης τοῦ Γομὸρ, καὶ ἕως τοῦ πύργου Ἀναμεὴλ, καὶ ἕως τοῦ πύργου τῶν Γωνιῶν, καὶ ἕως τῶν ὑπολυνίων τοῦ Βασιλέως. Καὶ κατοικήσουσιν ἐν αὐτῇ, καὶ ἀνάθεμα οὐκ ἔσται ἔτι, καὶ κατοικήσει Ἱερουσαλὴμ πεποιθότως.

Εἰς τὴν Λιτὴν, στιχηρὰ ἰδιόμελα. ἦχος α'.

Ἀνελθὼν εἰς Οὐρανοὺς, ὅθεν καὶ κατῆλθες, μὴ ἐάσῃς ἡμᾶς ὀρφανοὺς Κύριε. ἐλθέτω σου τὸ Πνεῦμα, φέρον εἰρήνην τῷ Κόσμῳ. δεῖξον τοῖς Υἱοῖς τῶν ἀνθρώπων, ἔργα δυνάμεώς σου, Κύριε φιλάνθρωπε.

Ὁ αὐτός.

Ἀνῆλθες Χριστὲ πρὸς τὸν ἄναρχον Πατέρα σου, ὁ τῶν ἀπεριγράπτων αὐτοῦ κόλπων μὴ χωρισθείς. καὶ προσθήκην αἱ δυνάμεις τῇ αἰνέσει τοῦ Τρισαγίου οὐκ ἐδέξαντο· ἀλλ᾽ ἕνα Υἱὸν, καὶ μετὰ τὴν ἐνανθρώπησιν ἐγνώρισάν σε Κύριε, μονογενῆ τοῦ Πατρός. ἐν πλήθει τῶν οἰκτιρμῶν, ἐλέησον ἡμᾶς. Ὁ αὐτός.

Οἱ Ἄγγελοί σου Κύριε, τοῖς Ἀποστόλοις ἔλεγον· ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν Οὐρανόν; οὗτός ἐστι Χριστὸς ὁ Θεὸς, ὁ ἀναληφθεὶς ἀφ᾽ ὑμῶν εἰς τὸν οὐρανόν. οὕτως ἐλεύσεται πάλιν, ὃν τρόπον ἐθεάσασθε αὐτὸν, πορευόμενον εἰς τὸν οὐρανόν. λατρεύσατε αὐτῷ ἐν ὁσιότητι καὶ δικαιοσύνῃ.

Ἦχος δ'.

Ὅτε παραγέγονας ἐπὶ τὸ ὄρος Χριστὲ τῶν Ἐλαιῶν, Πατρὸς ἐπιτελέσαι τὴν εὐδοκίαν, ἐξέστησαν οἱ οὐράνιοι Ἄγγελοι, καὶ ἔφριξαν οἱ καταχθόνιοι. παρίσταντο δὲ οἱ Μαθηταὶ μετὰ χαρᾶς ἔντρομοι, ὡς ἐλάλεις αὐτοῖς. ὡς θρόνος δὲ ἡτοίμαστο ἐξ ἐναντίας νεφέλη προσμένουσα. πύλας δὲ ὁ Οὐρανὸς διαπετάσας τῷ κάλλει ἐφαίνετο, καὶ ἡ γῆ τοὺς κρυπτῆρας ἀνακαλύπτει, Ἀδὰμ τὴν κατάβασιν ὡς γνωσθῆναι, καὶ τὴν αὖθις ἀνάβασιν. ἀλλ᾽ ἴχνη μὲν ὑψοῦτο ὡς χειρὸς, στόματα δὲ μεγάλα ηὐλόγει ὡς ἠκούετο. νεφέλη ὑπελάμβανε, καὶ Οὐρανὸς ἔνδον σε ὑπεδέξατο. ἔργον τοῦτο Κύριε, εἰργάσω, μέγα καὶ παράδοξον, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Ἦχος ὁ αὐτός.

Τὴν καταβᾶσαν φύσιν τοῦ Ἀδὰμ, εἰς τὰ κατώτερα μέρη τῆς γῆς ὁ Θεὸς, καινοποιήσας σεαυτῷ, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας, ἀνήγαγες σήμερον. ὡς ἀγαπήσας γὰρ συνεκάθισας· ὡς συμπαθήσας δὲ ἥνωσας σαυτῷ. ὡς ἑνώσας συνέπαθες, ὡς ἀπαθὴς παθὼν καὶ συνεδόξασας. ἀλλ᾽ οἱ Ἀσώματοι, τίς ἐστιν οὗτος ἔλεγον, ὁ ὡραῖος ἀνήρ; ἀλλ᾽ οὐκ ἄνθρωπος μόνον, Θεὸς δὲ καὶ Ἄνθρωπος, τὸ συναμφότερον τὸ φαινόμενον. ὅθεν ἔξαλλοι Ἄγγελοι, ἐν στολαῖς περιίπτάμενοι τῶν Μαθητῶν. οἱ μὲν Ἄγγελοι ἑστῶτες, ἄνδρες ἐβόων Γαλιλαῖοι, ὃς ἀφ᾽ ὑμῶν πεπόρευται, οὗτος Ἰησοῦς Ἄνθρωπος Θεὸς, Θεάνθρωπος πάλιν ἐλεύσεται, κριτὴς ζώντων καὶ νεκρῶν· πιστοῖς δὲ δωρούμενος ἁμαρτιῶν συγχώρησιν, καὶ τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Ὅτε ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς, τῶν Μαθητῶν ὁρώντων, αἱ νεφέλαι ὑπελάμβανόν σε μετὰ σαρκός. πύλαι ἐπήρθησαν αἱ οὐράνιαι· ὁ χορὸς τῶν Ἀγγέλων ἔχαιρεν ἐν ἀγαλλιάσει· αἱ ἀνώτεραι Δυνάμεις ἔκραζον λέγουσαι· ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης. οἱ δὲ Μαθηταὶ ἐκπληττόμενοι ἔλεγον· μὴ χωρισθῇς ἡμῶν ὁ ποιμὴν ὁ καλός· ἀλλὰ πέμψον ἡμῖν τὸ Πνεῦμά σου τὸ Πανάγιον, τὸ ὁδηγοῦν, καὶ στηρίζον τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Ἦχος ὁ αὐτός.

Κύριε τὸ Μυστήριον τὸ ἀπὸ τῶν αἰώνων κεκρυμμένον, καὶ ἀπὸ γενεῶν πληρώσας ὡς ἀγαθὸς, ἦλθες μετὰ τῶν Μαθητῶν σου ἐν τῷ ὄρει τῶν Ἐλαιῶν, ἔχων τὴν Τεκοῦσάν σε τὸν ποιητὴν καὶ πάντων δημιουργόν. τὴν γὰρ ἐν τῷ Πάθει σου μητρικῶς πάντων ὑπεραλγήσασαν, ἔδει καὶ τῇ δόξῃ τῆς σαρκός σου, ὑπερβαλλούσης ἀπολαῦσαι χαρᾶς. ἧς καὶ ἡμεῖς μετασχόντες, τῇ εἰς Οὐρανοὺς ἀνόδῳ σου Δέσποτα, τὸ μέγα σου ἔλεος, τὸ εἰς ἡμᾶς γεγονὸς δοξάζομεν.

Εἰς τὸν στίχον, στιχηρὰ ἰδιόμελα, ἦχος β'.

Ἐτέχθης ὡς αὐτὸς ἠθέλησας, ἐφάνης ὡς αὐτὸς ἐβουλήθης· ἔπαθες σαρκὶ ὁ Θεὸς ἡμῶν· ἐκ νεκρῶν ἀνέστης, πατήσας τὸν θάνατον· Ἀνελήφθης ἐν δόξῃ ὁ τὰ σύμπαντα πληρῶν· καὶ ἀπέστειλας ἡμῖν Πνεῦμα Θεῖον, τοῦ ἀνυμνεῖν καὶ δοξάζειν σου τὴν Θεότητα.

Στίχ. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.

Ἀναλαμβανομένου σου Χριστὲ, εἰς τὸ ὄρος τῶν Ἐλαιῶν, αἱ Δυνάμεις ὁρῶσαι ἑτέρα τῇ ἑτέρᾳ ἐβόων· τίς ἐστιν οὗτος; καὶ φησὶ πρὸς αὐτάς· οὗτός ἐστιν ὁ κραταιὸς καὶ δυνάστης· οὗτός ἐστιν ὁ δυνατὸς ἐν πολέμῳ· οὗτός ἐστιν ἀληθῶς ὁ Βασιλεὺς τῆς δόξης. καὶ ἵνα τί αὐτοῦ ἐρυθρὰ τὰ ἱμάτια; ἐκ Βοσὸρ ἥξει, ὅπερ ἐστὶ τῆς σαρκός. αὐτὸς δὲ ὡς Θεὸς, ἐν δεξιᾷ καθίσας τῆς μεγαλωσύνης, ἀπέστειλας ἡμῖν τὸ Πνεῦμα τὸ Ἅγιον, ἵνα ὁδηγήσῃ, καὶ σώσῃ τὰς ψυχὰς ἡμῶν.

Στίχ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Ἀνελήφθης ἐν δόξῃ, ἐν τῷ ὄρει τῶν Ἐλαιῶν, Χριστὲ ὁ Θεὸς, ἐνώπιον τῶν σῶν Μαθητῶν. καὶ ἐκάθισας ἐν δεξιᾷ τοῦ Πατρὸς, ὁ τὰ σύμπαντα πληρῶν τῇ θεότητι. καὶ ἀπέστειλας αὐτοῖς Πνεῦμα τὸ Ἅγιον, τὸ φωτίζον, καὶ στηρίζον, καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. ἦχος πλ. β'.

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, τοῦ ἀνυψῶσαι τὴν πεσοῦσαν εἰκόνα τοῦ Ἀδὰμ, καὶ ἀποστεῖλαι Πνεῦμα Παράκλητον, τοῦ ἁγιάσαι τὰς ψυχὰς ἡμῶν.

Τροπάριον. ἦχος δ'.

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητὰς, τῇ ἐπαγγελίᾳ τοῦ Ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ Κόσμου. Ἐκ γ'.

Τὸ αὐτὸ, καὶ εἰς τὸ, Θεὸς Κύριος.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. Κάθισμ. ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

Ἀγγέλων θαυμαζόντων, τῆς ἀνόδου τὸ ξένον, καὶ Μαθητῶν ἐκπληττομένων, τὸ φρικτὸν τῆς ἐπάρσεως, ἀνῆλθες μετὰ δόξης ὡς Θεὸς, καὶ πύλαι σοι ἐπήρθησαν Σωτήρ. διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐθαύμαζον βοῶσαι· δόξα τῇ καταβάσει σου Σωτήρ. δόξα τῇ Βασιλείᾳ σου. δόξα τῇ Ἀναλήψει σου μόνε Φιλάνθρωπε. Δίς.

Μετὰ τὴν β'. Στιχολ. Κάθισμα. ἦχος γ'.

Τὴν ὡραιότητα.

Ὁ Προαιώνιος, Θεὸς καὶ ἄναρχος, ἣν περ ἀνείληφε, φύσιν ἀνθρώπειον, θεοποιήσας μυστικῶς, σήμερον ἀνελήφθη. Ἄγγελοι προτρέχοντες, Ἀποστόλοις ἐδείκνυον, τοῦτον πορευόμενον, εἰς Οὐρανοὺς μετὰ δόξης πολλῆς. αὐτῷ δὲ προσκυνήσαντες ἔλεγον· δόξα Θεῷ τῷ ἀναληφθέντι.

Μετὰ

Μετὰ τὸν Πολυέλεον. Κάθισμα, ἦχος πλ. ά.

Τὸν συνάναρχον Λόγον.

Κατελθὼν οὐρανόθεν εἰς τὰ ἐπίγεια, καὶ τὴν κάτω κειμένην ἐν τῇ τοῦ Ἅδου φρουρᾷ, συναναστήσας ὡς Θεός, ἀδαμιαίαν μορφήν, τῇ Ἀναλήψει σου Χριστὲ εἰς Οὐρανοὺς ἀναγαγών, τῷ Θρόνῳ τῷ Πατρικῷ σου, συγκάθεδρον ἀπειργάσω, ὡς ἐλεήμων καὶ Φιλάνθρωπος. Δίς.

Οἱ Ἀναβαθμοί, τὸ Α΄. Ἀντίφωνον τοῦ δ΄. Ἤχου.

Προκείμενον. ἦχος δ΄.

Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος.

Στίχ. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.

Πᾶσα πνοή.

Εὐαγγέλιον, Ἑωθινὸν Γ΄. Ἐκ τοῦ κατὰ Μάρκον.

Ἀναστὰς ὁ Ἰησοῦς, πρωῒ πρώτῃ Σαββάτου.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν΄.

Δόξα, ἦχος β΄. Ταῖς τῶν Ἀποστόλων.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Εἶτα στίχ. Ἐλέησόν με ὁ Θεός.

[illegible]ψάλλομεν τὸ παρὸν ἰδιόμελον, ἦχος πλ. β΄.

Σήμερον ἐν οὐρανοῖς αἱ ἄνω Δυνάμεις, τὴν ἡμετέραν φύσιν θεώμεναι, θαυμάζουσαι τοῦ ξένου τρόπου τὴν ἄνοδον, διηπόρουν ἀλλήλαις λέγουσαι· τίς οὗτος ὁ παραγενόμενος; βλέπουσαι δὲ τὸν οἰκεῖον Δεσπότην, τὰς οὐρανίους πύλας αἴρειν διεκελεύοντο. μεθ' ὧν ἀπαύστως ὑμνήσωμεν, τὸν μετὰ σαρκὸς ἐκεῖθεν πάλιν ἐρχόμενον, ὡς κριτὴν τῶν ἁπάντων, καὶ Θεὸν παντοδύναμον.

Οἱ Κανόνες, ὁ πλ. ά. μετὰ τῶν Εἱρμῶν εἰς η΄.

Καὶ ὁ δ΄. εἰς ς΄. Ἰωάννου Μοναχοῦ.

Ὠδὴ ά. ἦχος πλ. ά. Ὁ Εἱρμός.

Τῷ Σωτῆρι Θεῷ, τῷ ἐν θαλάσσῃ Λαὸν, ποσὶν ἀβρόχοις ὁδηγήσαντι, καὶ Φαραὼ πανστρατιᾷ καταποντίσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Ἄσωμεν πάντες Λαοί, τῷ ἐπὶ ὤμων Χερουβίμ, ἀναληφθέντι μετὰ δόξης Χριστῷ, καὶ συγκαθίσαντι ἡμᾶς ἐν δεξιᾷ τοῦ Πατρός, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Τὸν μεσίτην Θεοῦ, καὶ ἀνθρώπων Χριστόν, χοροὶ Ἀγγέλων θεασάμενοι, μετὰ σαρκὸς ἐν ὑψίστοις ἐξεπλήττοντο· συμφώνως δὲ ἀνέμελπον, ὕμνον ἐπινίκιον.

Τῷ ὀφθέντι Θεῷ, ἐπὶ τοῦ ὄρους Σινᾶ, καὶ νόμον δόντι τῷ θεόπτῃ Μωσῇ, τῶν Ἐλαιῶν ἐκ τοῦ ὄρους ἀναληφθέντι σαρκί, αὐτῷ πάντες ᾄσωμεν, ὅτι δεδόξασται.

Θεοτοκίον.

Ἄχραντε Μῆτερ Θεοῦ, τὸν σαρκωθέντα ἐκ σοῦ, καὶ ἐκ τῶν κόλπων τοῦ Γεννήτορος, μὴ ἐκφοιτήσαντα Θεόν, ἀπαύστως πρέσβευε, ἐκ πάσης περιστάσεως, σῶσαι οὓς ἔπλασεν.

Ἕτερος Κανὼν τοῦ Κυρίου Ἰωσήφ. οὗ ἡ ἀκροστιχίς.

Κατὰ Ἀλφάβητον.

Ὠδὴ ά. ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Ἀνέστης τριήμερος, ὁ κατὰ φύσιν ἀθάνατος, καὶ ὤφθης τοῖς ἕνδεκα, καὶ πᾶσι τοῖς Μαθηταῖς· καὶ ἀνέδραμες, Χριστὲ πρὸς τὸν Πατέρα, νεφέλῃ ὀχούμενος, ὁ τοῦ παντὸς Ποιητής.

Βοᾷ ἐμφανέστατα, ψάλλων Δαβὶδ ὁ Θεόπνευστος· ἀνέβη ὁ Κύριος, πρὸς τὰ οὐράνια, ἐν ἀλαλαγμῷ, καὶ σάλπιγγος ἠχήσει, καὶ πρὸς τὸν ἀρχίφωτον, Πατέρα ἔφθασεν.

Γηράσαντα Κύριε, Κόσμον πολλοῖς ἁμαρτήμασι, καινίσας τῷ Πάθει σου, καὶ τῇ Ἐγέρσει σου, ἀνελήλυθας, ὀχούμενος νεφέλῃ, πρὸς τὰ ἐπουράνια. δόξα τῇ δόξῃ σου.

Θεοτοκίον.

Δεσπότην ἐκύησας, πάντων Παναμώμε Δέσποινα, τὸν Πάθος ἑκούσιον καταδεξάμενον, ἀνελθόντα δέ, πρὸς τὸν αὐτοῦ Πατέρα· ὅνπερ οὐ κατέλιπε, σάρκα εἴληφεν.

Καταβασία.

Θείῳ καλυφθεὶς ὁ βραδύγλωσσος γνόφῳ,
Ἐρρητόρευσε τὸν θεόγραφον νόμον·
Ἰλὺν γὰρ ἐκτινάξας ὄμματος νόου,
Ὁρᾷ τὸν Ὄντα, καὶ μυεῖται Πνεύματος·
Γνῶσιν γεραίρων, ἐνθέοις τοῖς ᾄσμασιν.

Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Δυνάμει τοῦ Σταυροῦ σου Χριστέ, στερέωσόν μου τὴν διάνοιαν, εἰς τὸ ὑμνεῖν καὶ δοξάζειν σου, τὴν σωτήριον Ἀνάληψιν.

Ἀνῆλθες ζωοδότα Χριστέ, πρὸς τὸν Πατέρα καὶ ἀνύψωσας, ἡμῶν τὸ γένος φιλάνθρωπε, τῇ ἀφάτῳ εὐσπλαγχνίᾳ σου.

Αἱ τάξεις τῶν Ἀγγέλων Σωτήρ, βροτείαν φύσιν θεασάμεναι, συνανιοῦσάν σοι ἀπαύστως, ἐκπληττόμεναι ἀνύμνουν σε.

Ἐξίσταντο Ἀγγέλων χοροί, Χριστὲ ὁρῶντες μετὰ σώματος, ἀναληφθέντα καὶ ἀνύμνουν, τὴν Ἁγίαν σου Ἀνάληψιν.

Τὴν φύσιν τῶν ἀνθρώπων Χριστέ, φθορᾷ πεσοῦσαν ἐξανέστησας, καὶ τῇ Ἀνόδῳ σου ὕψωσας, καὶ σαυτῷ ἡμᾶς ἐδόξασας. Θεοτοκίον.

Ἱκέτευε ἀπαύστως Ἁγνή, τὸν προελθόντα ἐκ λαγόνων σου, ῥυσθῆναι πλάνης διαβόλου, τοὺς ὑμνοῦντάς σε Μητέρα Θεοῦ.

Ἄλλος. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ἐπάρατε πύλας Οὐρανίους, ἰδοὺ παραγέγονε Χριστός, ὁ Βασιλεὺς τῆς Κτίσεως, σῶμα φορέσας γήϊνον, ταῖς ἀνωτέραις ἔλεγον, Δυνάμεσιν αἱ κατώτεραι.

Ζητήσας Χριστὲ τὸν πλανηθέντα, ἀπάτῃ τοῦ ὄφεως Ἀδάμ, ὡς τοῦτον ἐνδυσάμενος, ἀνῆλθες καὶ ἐκάθισας, ἐκ δεξιῶν ὡς σύνθρονος, Πατρὸς ὑμνούντων Ἀγγέλων σου.

Ἡ Γῆ ἑορτάζει καὶ χορεύει, ἀγάλλεται καὶ ὁ Οὐρανός, τῇ Ἀναλήψει σήμερον, τοῦ Ποιητοῦ τῆς Κτίσεως, τοῦ προφανῶς ἑνώσαντος, τὰ διεστῶτα βουλήματι.

Καταβασία.

Ἔρρηξε γαστρὸς ἠτεκνωμένης πέδας,
Ὕβριν τε δυσκάθεκτον εὐτεκνουμένης,
Μόνη προσευχὴ τῆς Προφήτιδος πάλαι,
Ἄννης φερούσης Πνεῦμα συντετριμμένον,
Πρὸς τὸν δυνάστην καὶ Θεὸν τῶν γνώσεων.

Κάθισμα, ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐπιβὰς ἐν νεφέλαις τῶν Οὐρανῶν, καταλείψας εἰρήνην τοῖς ἐπὶ γῆς, ἀνῆλθες καὶ ἐκάθισας, τοῦ Πατρὸς δεξιόθεν, ὡς ὁμοούσιος τούτῳ, ὑπάρχων καὶ Πνεύματι. ἐν σαρκὶ γὰρ ὤφθης, ἀλλ' ἄτρεπτος ἔμεινας. ὅθεν ἀναμένεις, συντελείας τὸ πέρας, τοῦ κρῖναι ἐρχόμενος, ἐπὶ γῆς Κόσμον ἅπαντα. δικαιοκρίτα Κύριε, φεῖσαι τῶν ψυχῶν ἡμῶν, τῶν πταισμάτων ἄφεσιν δωρούμενος, ὡς Θεὸς ἐλεήμων τοῖς δούλοις σου. Δίς.

Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Εἰσακήκοα Κύριε τὴν ἀκοήν, τῆς δυναστείας τοῦ Σταυροῦ σου, ὡς Παράδεισος ἠνοίγη δι' αὐτοῦ, καὶ ἐβόησα· δόξα τῇ δυνάμει σου Κύριε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἈΝελήφθης ἐν δόξῃ, ὁ τῶν Ἀγγέλων Βασιλεύς, τὸν Παράκλητον ἡμῖν ἐκ τοῦ Πατρὸς ἀποστελῶν. διὸ βοῶμεν· δόξα Χριστὲ τῇ Ἀναλήψει σου.

ὩΣ ἀνῆλθεν ὁ Σωτὴρ πρὸς τὸν Πατέρα σαρκὶ, κατεπλάγησαν αὐτῷ, αἱ τῶν Ἀγγέλων στρατιαὶ, καὶ ἐβόησαν· δόξα Χριστὲ τῇ Ἀναλήψει σου.

ΑἹ τῶν Ἀγγέλων δυνάμεις, ταῖς ἀνωτέραις ἐβόων· πύλας ἄρατε Χριστῷ, τῷ ἡμετέρῳ Βασιλεῖ· ὃν ἀνυμνοῦμεν ἅμα, σὺν Πατρὶ καὶ τῷ Πνεύματι.

Θεοτοκίον.

Ἡ Παρθένος ἔτεκε, καὶ τὰ μητέρων οὐκ ἔγνω· ἀλλὰ Μήτηρ μένει, Παρθένος δὲ διέμεινεν. ἣν ἀνυμνοῦντες, χαῖρε Θεοτόκε κραυγάζομεν.

Ἄλλος. Ὁ καθήμενος ἐν δόξῃ.

ἸΗσοῦς ὁ ζωοδότης, προσλαβὼν οὓς ἠγάπησεν, Ἐλαιῶν εἰς ὄρος, ἄνεισι καὶ τούτους εὐλόγησε· καὶ τοὺς Πατρῴους νεφέλῃ ἐποχούμενος, κόλπους ἔφθασεν, οὓς οὐδαμῶς καταλέλοιπεν.

ΚΟσμος ὅλος ἑορτάζει, ὁρατὸς καὶ ἀόρατος, ἐν ἀγαλλιάσει. Ἄγγελοι σκιρτῶσι καὶ ἄνθρωποι, δοξολογοῦντες ἀπαύστως τὴν Ἀνάληψιν, τῇ σαρκὶ ἑνωθείσης ἡμῖν ἀγαθότητι.

ΛΥσας κράτος τοῦ θανάτου, ὡς ἀθάνατος Κύριος, τὴν ἀθανασίαν, πᾶσιν ἐδωρήσω φιλάνθρωπε· καὶ ἀνελήφθης ἐν δόξῃ, καθορώντων σου, τῶν σεπτῶν Μαθητῶν Ἰησοῦ παντοδύναμε.

Θεοτοκίον.

ΜΑκαρία ἡ κοιλία, σοῦ Πανάμωμε γέγονε· τὸν γὰρ τὴν κοιλίαν, ᾅδου παραδόξως κενώσαντα, ἀνερμηνεύτως χωρῆσαι κατηξίωσαι· ὃν ἱκέτευε, σῶσαι ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

Καταβασία.

ἌΝαξ ἀνάκτων, οἷος ἐξ οἵου μόνος,
Λόγος προελθὼν, Πατρὸς ἐξ ἀναιτίου.
Ἰσοσθενές σου Πνεῦμα τοῖς Ἀποστόλοις,
Νημερτὲς ἐξέπεμψας ὡς εὐεργέτης.
Ἄδουσι δόξα τῷ κράτει σου Κύριε.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

ὈΡθρίζοντες βοῶμέν σοι Κύριε· σῶσον ἡμᾶς. σὺ γὰρ εἶ Θεὸς ἡμῶν. ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

ΠΛηρώσας εὐφροσύνης τὰ σύμπαντα, Ἐλεῆμον, ταῖς ἄνω Δυνάμεσι, μετὰ σαρκὸς ἐπεδήμησας.

ἈΓγέλων αἱ δυνάμεις αἰρόμενον, σὲ ἰδοῦσαι, τὰς πύλας ἐκραύγαζον, τῷ Βασιλεῖ ἡμῶν ἄρατε.

ἈΠόστολοι ἰδόντες ὑψούμενον, τὸν Σωτῆρα, ἐν τρόμῳ ἐκραύγαζον· τῷ Βασιλεῖ ἡμῶν δόξα σοι.

Θεοτοκίον.

ΠΑρθένον μετὰ τόκον ὑμνοῦμέν σε, Θεοτόκε. σὺ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ τῷ Κόσμῳ ἐκύησας.

Ἄλλος. Ἐξέστη τὰ σύμπαντα.

ΝΕκρώσας τὸν θάνατον, τῷ σῷ θανάτῳ Κύριε, λαβὼν οὓς ἠγάπησας ἀνῆλθες, τοῦ Ἐλαιῶνος εἰς ὄρος Ἅγιον· κἀκεῖθεν ἀνέδραμες Χριστὲ, πρὸς τὸν σὸν Γεννήτορα, τῇ νεφέλῃ ἐποχούμενος.

ΞΕνη σου ἡ Γέννησις, ξένη σου ἡ Ἀνάστασις, ξένη καὶ φρικτή σου ζωοδότα, ἡ ἐκ τοῦ ὄρους Θεία Ἀνάληψις. ἣν ἐξεικονίζων Ἠλίου, τέθριππος ἀνήρχετο, ἀνυμνῶν σε Φιλάνθρωπε.

ὈΡῶσιν ἐφθέγγοντο, τοῖς Ἀποστόλοις Ἄγγελοι· ἄνδρες Γαλιλαῖοι, τί θαμβεῖσθε, τῇ Ἀναλήψει τοῦ ζωοδότου Χριστοῦ; οὗτος ἥξει πάλιν ἐπὶ γῆς, κρῖναι Κόσμον ἅπαντα, ὡς κριτὴς δικαιότατος.

Θεοτοκίον.

ΠΑρθένον φυλάξασά σε, μετὰ τὸν τόκον ἄφθορον, ἄνεισι Χριστὸς πρὸς τὸν Πατέρα, Θεογεννῆτορ. ὃν οὐ κατέλιπεν, εἰ καὶ σάρκα εἴληφεν ἐκ σοῦ, ἔννουν τε καὶ ἔμψυχον, διὰ ἔλεος ἄφατον.

Καταβασία.

ΛΥτήριον κάθαρσιν ἀμπλακημάτων,
Πυρίπνοον δέξασθε Πνεύματος δρόσον,
Ὦ τέκνα φωτόμορφα τῆς Ἐκκλησίας.
Νῦν ἐκ Σιὼν γὰρ ἐξελήλυθε νόμος,
Ἡ γλωσσοπυρσόμορφος Πνεύματος χάρις.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

ἘΚύκλωσέ με ἄβυσσος, ταφή μοι τὸ κῆτος ἐγένετο· ἐγὼ δὲ ἐβόησα, πρὸς σὲ τὸν φιλάνθρωπον, καὶ ἔσωσέ με ἡ δεξιά σου Κύριε.

ἘΣκίρτησαν Ἀπόστολοι, ὁρῶντες μετάρσιον σήμερον, τὸν Κτίστην αἰρόμενον, ἐλπίδι τοῦ Πνεύματος, καὶ φόβῳ ἔκραζον· δόξα τῇ Ἀνόδῳ σου.

ἘΠέστησαν οἱ Ἄγγελοι, βοῶντες Χριστὲ τοῖς Μαθηταῖς σου· ὃν τρόπον κατίδετε, Χριστὸν ἀνερχόμενον, σαρκὶ ἐλεύσεται, δίκαιος πάντων κριτής.

ὩΣ εἶδόν σε Σωτὴρ ἡμῶν, Δυνάμεις αἱ οὐράνιαι, εἰς ὕψος αἰρόμενον σύσσωμον, ἐκραύγαζον λέγουσαι· μεγάλη Δέσποτα ἡ φιλανθρωπία σου.

Θεοτοκίον.

ΒΑτον σε ἀκατάφλεκτον, καὶ Ὄρος καὶ Κλίμακα ἔμψυχον, καὶ Πύλην Οὐράνιον, ἀξίως δοξάζομεν, Μαρία ἔνδοξε, ὀρθοδόξων καύχημα.

Ἄλλος. Τὴν θείαν ταύτην καὶ πάντιμον.

ῬΑνάτωσαν ἡμῖν ἄνωθεν, νεφέλαι εὐφροσύνην αἰώνιον. Χριστὸς νεφέλῃ γὰρ, ὡς Χερουβὶμ ἐποχούμενος, πρὸς τὸν αὐτοῦ Πατέρα ἄνεισι σήμερον.

ΣΑρκὸς φανεὶς ὁμοιώματι, τὰ πρώην διεστῶτα συνήγαγες, εἰς ἓν Φιλάνθρωπε, καὶ ἀνελήφθης ὁρώντων σου, τῶν Μαθητῶν Οἰκτίρμον πρὸς τὰ οὐράνια.

ΤΙ ἐρυθρὰ τὰ ἱμάτια, σαρκὸς τοῦ ἑνωθέντος παχύτητι; Ἅγιοι Ἄγγελοι, Χριστὸν ὁρῶντες ἐφθέγγοντο, Πάθους τιμίου θεῖα, φέροντα σύμβολα.

Θεοτοκίον.

ὙΜνοῦμεν Κόρη τὴν Σύλληψιν, ὑμνοῦμέν σου τὴν ἄρρητον Γέννησιν, δι᾽ ἧς ἐρρύσθημεν, καταφθορᾶς καὶ κακώσεως, καὶ ζοφερᾶς τοῦ Ἅδου, Ἁγνὴ καθείρξεως.

Καταβασία.

ἹΛασμὸς ἡμῖν Χριστὲ καὶ Σωτηρία,
Ὁ Δεσπότης ἔλαμψας ἐκ τῆς Παρθένου·
Ἵν᾽ ὡς Προφήτην θηρὸς ἐκ θαλαττίου,
Στέρνων Γωνᾶν τῆς φθορᾶς διαρπάσῃς,
Ὅλον τὸν Ἀδὰμ παγγενῆ πεπτωκότα.

Κοντάκιον Ἰδιόμελον. Ἦχος πλ. β΄.

ΤΗν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς Οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε· Ἐγώ εἰμι μεθ᾽ ὑμῶν, καὶ οὐδεὶς καθ᾽ ὑμῶν.

Ὁ Οἶκος.

ΤΑ τῆς γῆς ἐπὶ τῆς γῆς καταλιπόντες, τὰ τῆς τέφρας τῷ χοῒ παραχωροῦντες, δεῦτε ἀνανήψωμεν, καὶ εἰς ὕψος ἐπάρωμεν, ὄμματα καὶ νοήματα. πετάσωμεν τὰς ὄψεις ὁμοῦ καὶ τὰς αἰσθήσεις, ἐπὶ τὰς Οὐρανίους πύλας οἱ θνητοὶ, νομίσωμεν εἶναι τοῦ Ἐλαιῶνος εἰς ὄρος, καὶ ἀτενίζειν τῷ λυτρουμένῳ, ἐπὶ νεφέλης ἐποχουμένῳ. ἐκεῖθεν γὰρ ὁ Κύριος εἰς Οὐρανοὺς



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἀνέδραμεν, ἐκεῖ καὶ ὁ φιλόδωρος τὰς δωρεὰς διένειμε τοῖς Ἀποστόλοις αὐτοῦ, καλέσας ὡς Πατήρ, καὶ στηρίξας αὐτοὺς, ὁδηγήσας ὡς Υἱὸς, καὶ λέξας πρὸς αὐτούς· οὐ χωρίζομαι ὑμῶν. Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Συναξάριον.

Στίχ. Ἐκ δεξιᾶς καθίσας Πατρικῆς Λόγε,
Πίστιν Μαθηταῖς βεβαιοτέραν δείξας.

ΤΗ͂Ι αὐτῇ ἡμέρᾳ, τῇ Πέμπτῃ τῆς ἕκτης Ἑβδομάδος μετὰ τὸ Πάσχα, τὴν Ἀνάληψιν ἑορτάζομεν τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Ἐπειδὴ γὰρ τοῖς Μαθηταῖς συνὼν πρὸ τοῦ παθεῖν, τὴν τοῦ Παναγίου Πνεύματος ἐπηγγείλατο παρουσίαν, εἰπών· Συμφέρει, ἵνα ἀπέλθω. ἐὰν γὰρ ἐγὼ μὴ ἀπέλθω, ὁ Παράκλητος οὐκ ἐλεύσεται. Καὶ πάλιν· Ὅταν δὲ ἔλθῃ ἐκεῖνος, διδάξει ὑμᾶς πᾶσαν τὴν ἀλήθειαν. Μετὰ τὸ ἐκ νεκρῶν ἀναστῆναι, ἐν ἡμέραις τεσσαράκοντα αὐτοῖς ὀπτανόμενος, οὐκ ἀεὶ, ἀλλ' ἐκ διαλειμμάτων, συνεσθίων τε αὐτοῖς καὶ πίνων, βεβαιοτέραν τὴν Ἀνάστασιν παριστῶν. Τὸ τελευταῖον πολλὰ περὶ τῆς τοῦ Θεοῦ Βασιλείας ἐπαγγειλάμενος, παρήγγειλε τούτοις ἀπὸ Ἱερουσαλὴμ μὴ χωρίζεσθαι, ἀλλ' ἐκεῖσε μένοντας, τὴν τοῦ Παναγίου Πνεύματος παρουσίαν ἐκδέχεσθαι, βαπτισθησομένους καὶ δι' αὐτοῦ. Ἐν ὕδατι γὰρ καὶ μόνῳ ἦσαν βαπτισθέντες τὸ πρότερον ὑπὸ Ἰωάννου, (κἂν ὕστερον ὁ Ἐπιφάνιος Κύπρου ἱστόρησεν, ὅτι ὁ μὲν Θεολόγος Ἰωάννης τὴν Θεοτόκον βαπτίζει, ὁ Πέτρος δὲ, καὶ αὐτὸς πάλιν τοὺς τῶν Ἀποστόλων λοιπούς.) Παρήγγειλε δὲ αὐτοῖς μένειν εἰς Ἱερουσαλὴμ, ἵνα ἐκεῖσε πρῶτον τὸ κήρυγμα τοῦ Εὐαγγελίου βεβαιωθῇ, μήπως εἰς ἀλλοτρίους ἀπιόντες τόπους, ἀχρείως διαβάλλοιντο. καὶ ὅτι ἔχρῃν καθάπερ εἴ τινας στρατιώτας ἐντεῦθεν παρασκευασθῆναι τοῖς ὅπλοις τοῦ Πνεύματος, καὶ οὕτως εἰς μάχην χωρῆσαι τοῖς ἐχθροῖς τοῦ Χριστοῦ. Ἐπεὶ δ' ὁ καιρὸς ἐπέστη τῆς Ἀναλήψεως, ἐξάγει μὲν αὐτοὺς ἐπὶ τὸ Ὄρος τῶν Ἐλαιῶν. (καλεῖται δὲ οὕτως, ὅτι πλείσταις ἐλαίαις κατάφυτον ἦν) καὶ διαλεγόμενος αὐτοῖς περὶ τῆς εἰς τὰ πέρατα αὐτοῦ ἀνακηρύξεως. Ἔτι δὲ καὶ περὶ τῆς ἀκαταλύτου αὐτοῦ Βασιλείας, τῆς ἐν τῷ μέλλοντι, ἐπειδὴ κἀκείνους τὰ δέοντα ἐρωτᾷν μέλλοντας ἑώρα, (παρούσης ἐκεῖσε καὶ τῆς Ἀχράντου αὐτοῦ Μητρός.) ἐφίστησιν Ἀγγέλους αὐτοῖς, τὴν εἰς Οὐρανοὺς Ἄνοδον ὑποδείξοντας. Καὶ δὴ βλεπόντων, ἐπήρθη ἐκ τοῦ μέσου αὐτῶν, νεφέλης ἐκεῖνον ὑπολαβούσης. Καὶ οὕτως ὑπὸ τῶν Ἀγγέλων παραπεμπόμενος, διακελευομένων ἀλλήλοις, τὴν τῶν οὐρανίων θυρῶν ἔπαρσιν, καὶ καταπληττομένων τὸ τῶν Αἱμάτων τῆς σαρκὸς αὐτοῦ ἐρυθρόν· ἀνέβη καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Πατρὸς, θεώσας τὴν σάρκα, καὶ θαῤῥῶ λέγειν, ποιήσας ταύτην ὁμόθεον. δι' ἧς ἡμεῖς κατηλλάγημεν, τῆς ἀρχαίας ἔχθρας διαλυθείσης. Τοῖς μέντοι Ἀποστόλοις Ἄγγελοι ἐν εἴδει ἀνδρῶν ἐπέστησαν λέγοντες· Ἄνδρες Γαλιλαῖοι, τί ἑστήκατε καταπληττόμενοι, καὶ εἰς Οὐρανὸν ἀτενίζοντες; οὗτος ὃν βλέπετε μετὰ σαρκὸς Θεὸν τὸν Ἰησοῦν, οὕτως ἐλεύσεται πάλιν, μετὰ σαρκὸς δηλαδὴ, πλὴν οὐχ ὡς πρότερον πενιχρῶς τε καὶ ἡσυχῇ, ἀλλὰ μετὰ δόξης μεγάλης, καθὼς νῦν ὁρᾶτε ὑπὸ Ἀγγέλων παραπεμπόμενον. Τότε οἱ Ἀπόστολοι τῷ ἀτενίζειν ἀποκαμόντες, ὑπέστρεψαν ἀπὸ τοῦ Ὄρους τῶν Ἐλαιῶν. (ἔγγιστα δὲ τοῦτό ἐστι τῆς Ἱερουσαλὴμ, δισχιλίοις τεσσαράκοντα ποδῶν βήμασι διέχον αὐτῆς.) τοῦτο γάρ ἐστιν ἡ τοῦ Σαββάτου ὁδός. οὕτω δὲ νενομοθέτηται τῷ Μωϋσῇ ἐπὶ τοσούτοις βήμασι τῷ Σαββάτῳ περιπατεῖν. Ὅτιπερ καὶ ἡ Σκηνὴ τοῦ Μαρτυρίου, τοσούτοις βήμασι ποδῶν ὑπῆρχεν ἀφισταμένη τῆς τῶν Ἰουδαίων παρεμβολῆς. Ἔξω γὰρ ἐκεῖσε καὶ ἐν Σαββάτῳ ἀπιέναι τινὰ προσκυνήσοντας, καὶ μὴ πλέον τὴν πορείαν ἐκτείνειν. διὰ τοῦτο ἐκλήθη καὶ Σαββάτου ὁδός. Δοκεῖ δέ τισιν ἐντεῦθεν, ὅτι καὶ ἡ τοῦ Χριστοῦ Ἀνάληψις, ἐν Σαββάτῳ ἐγένετο· ὅπερ τέως ἀπίθανον. Ὑποστρέψαντες δὲ οἱ Ἀπόστολοι, ἀνέβησαν ἐν τῷ ὑπερῴῳ, ἐν ᾧ ἦσαν καταμένοντες, σὺν ταῖς Μυροφόροις Γυναιξὶ, καὶ τῇ τοῦ Λόγου Μητρὶ, νηστείᾳ, καὶ προσευχῇ, καὶ δεήσει σχολάζοντες, καὶ τὴν ἐπιφοίτησιν τοῦ Παναγίου Πνεύματος ἐκδεχόμενοι, ὡς ἡ ὑπόσχεσις. Ὁ ἀναληφθεὶς ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

ὉΕν καμίνῳ πυρὸς, τοὺς ὑμνολόγους σώσας Παῖδας, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. ”

ὉΕν νεφέλῃ φωτὸς, ἀναληφθεὶς καὶ σώσας Κόσμον, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν. ”

ἘΠὶ τῶν ὤμων Χριστὲ, τὴν πλανηθεῖσαν ἄρας φύσιν, ἀναληφθεὶς τῷ Θεῷ, καὶ Πατρὶ προσήγαγες.

ὉΑνελθὼν ἐν σαρκὶ, πρὸς τὸν ἀσώματον Πατέρα, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

ΤΗν νεκρωθεῖσαν ἡμῶν, τῇ ἁμαρτίᾳ φύσιν ἄρας, τῷ σῷ ἰδίῳ Πατρὶ, Σῶτερ προσήγαγες.

Θεοτοκίον.

ὉΕκ Παρθένου τεχθεὶς, ἣν Θεοτόκον ἀπειργάσω, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

ΦΩτεινὴ σε φῶς ὑπάρχοντα, ὑπέλαβε νεφέλη Χριστὲ, ἀπὸ τῆς γῆς ὑπὲρ νοῦν, ἀναλαμβανόμενον, καὶ ἐπουράνιοι, δῆμοι ᾔνεσαν, σὺν Ἀποστόλοις λέγοντες· ὁ Θεὸς εὐλογητὸς εἶ.

ΧΕῖρας ἅπαντες γηθόμενοι κροτήσωμεν, τῇ Ἀναλήψει Χριστοῦ, καὶ ἀλαλάξωμεν· ἀνέβη ὁ Κύριος ἐν φωνῇ σάλπιγγος, καὶ ἐκάθισεν, ἐκ δεξιῶν ὡς σύνθρονος, τοῦ Πατρὸς εἰς τοὺς αἰῶνας.

ΨΑλλων πάλαι Μωϋσῆς ὁ μέγας ἔκραζε· προσκυνησάτωσαν, ἀνερχομένῳ Χριστῷ, οὐράνιοι Ἄγγελοι, ὡς τοῦ παντὸς Βασιλεῖ· ᾧ κραυγάζομεν· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

ὮΘαυμάτων παραδόξων, πῶς ἐχώρησας Θεὸν ἀχώρητον, Θεοχαρίτωτε, τὸν σάρκα πτωχεύσαντα, καὶ μετὰ δόξης πολλῆς, εἰς οὐράνια, ἀναληφθέντα σήμερον, καὶ ζωώσαντα ἀνθρώπους.

Καταβασία.

ΣΥμφωνον ἐθρόησεν ὀργάνων μέλος,
Σέβειν τὸ χρυσότευκτον ἄψυχον βρέτας.
Ἡ τοῦ Παρακλήτου δὲ φωσφόρος χάρις,
Σεβασμιάζει τοῦ βοᾶν· Τριὰς μόνη,
Ἰσοσθενὲς ἄναρχε, εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

ΤΟν ἐκ Πατρὸς πρὸ αἰώνων, γεννηθέντα Υἱὸν καὶ Θεὸν, καὶ ἐπ' ἐσχάτων τῶν χρόνων, σαρκωθέντα ἐκ Παρθένου Μητρὸς, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. ”

ΤΟν ἐν δυσὶ ταῖς οὐσίαις, ἀναπτάντα ζωοδότην Χριστὸν, εἰς Οὐρανοὺς μετὰ δόξης, καὶ Πατρὶ συγκαθεζόμενον, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΤΟ͂ν ἐκ δουλείας τὴν Κτίσιν, τῶν εἰδώλων λυτρωσάμενον, καὶ παραστήσαντα ταύτην, ἐλευθέραν τῷ ἰδίῳ Πατρί, σὲ Σωτὴρ ὑμνοῦμεν, καὶ σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

ΤΟ͂ν τῇ αὐτοῦ καταβάσει, καθελόντα τὸν ἀντίπαλον, καὶ τῇ αὐτοῦ ἀναβάσει, ἀνυψώσαντα τὸν ἄνθρωπον, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

ΤΩ͂ν Χερουβὶμ ὑπερτέρα, ἀνεδείχθης Θεοτόκε Ἁγνή, ἐν τῇ γαστρί σου τὸν τούτοις, ἐποχούμενον βαστάσασα· ὃν σὺν Ἀσωμάτοις, βροτοὶ δοξολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας. Ἄλλος. Παῖδας εὐαγεῖς.

ὬΦθησαν οἱ Νόες Ἀποστόλοις, ἐν τῇ Ἀναλήψει, καὶ ἐφθέγγοντο· τί ἐνατενίζοντες, ἵστασθε θαμβούμενοι; οὗτος ὁ ἀνερχόμενος εἰς τὰ οὐράνια, ἐλεύσεται καὶ πάλιν τοῦ κρῖναι, τοὺς ἐν γῇ ἀνθρώπους, κριτὴς ὑπάρχων μόνος.

ΔΩ͂μεν τῷ Θεῷ μεγαλωσύνην, αἰνέσεως συμφωνίᾳ ἀλαλάξωμεν. ᾄσωμεν χορεύσωμεν, χεῖράς τε κροτήσωμεν. ἀνέβη ὁ Θεὸς ἡμῶν, εἰς Οὐρανοὺς ἀπὸ γῆς. Ἀγγέλων Ἀρχαγγέλων ὑμνούντων, τοῦτον ὡς Δεσπότην, καὶ ποιητὴν τῶν ὅλων.

ἨΡθη ὑπεράνω τῶν Ἀγγέλων, ἡ φύσις ἡμῶν ἡ πάλαι ἔκπτωτος, καὶ Θρόνῳ ἐνίδρυται, θείῳ ὑπὲρ ἔννοιαν. δεῦτε πανηγυρίσωμεν, καὶ ἀνακράξωμεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

ἸΔοὺ ὁ Υἱός σου Θεοτόκε, σκυλεύσας Σταυρῷ αὐτοῦ τὸν θάνατον, ἀνέστη τριήμερος, καὶ τοῖς Μαθηταῖς αὐτοῦ, ἐμφανισθεὶς ἀνέδραμε πρὸς τὰ οὐράνια. μεθ᾽ οὗ σε προσκυνοῦντες ὑμνοῦμεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Καταβασία.

ΛΥει τὰ δεσμά, καὶ δροσίζει τὴν φλόγα,
Ὁ τρισοφεγγὴς τῆς Θεαρχίας τύπος.
Ὑμνοῦσι Παῖδες, εὐλογεῖ δὲ τὸν μόνον,
Σωτῆρα καὶ παντουργὸν ὡς εὐεργέτην,
Ἡ δημιουργηθεῖσα σύμπασα Κτίσις.

Ὠδὴ Θ΄. Ὁ Εἱρμός.

99 ΣΕ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν
93 χρόνῳ τὸν ἄχρονον, ἀφράστως κυήσασαν, οἱ πι-
95 στοὶ ὁμοφρόνως μεγαλύνομεν.

ΣΕ τὸν λυτρωτὴν τοῦ Κόσμου Χριστὸν τὸν Θεόν, οἱ Ἀπόστολοι βλέποντες, ἐνθέως ὑψούμενον, μετὰ δέους σκιρτῶντες ἐμεγάλυνον.

ΣΟῦ τὴν θεωθεῖσαν σάρκα ὁρῶντες Χριστέ, ἐν τῷ ὕψει οἱ Ἄγγελοι, ἀλλήλοις διένευον· ἀληθῶς οὗτός ἐστιν ὁ Θεὸς ἡμῶν.

ΣΕ τῶν Ἀσωμάτων τάξεις Χριστὲ ὁ Θεός, ἐν νεφέλαις αἰρόμενον, ἰδοῦσαι ἐκραύγαζον· τῷ τῆς δόξης Βασιλεῖ πύλας ἄρατε.

ΣΕ τὸν καταβάντα ἕως ἐσχάτου τῆς γῆς, καὶ τὸν ἄνθρωπον σώσαντα, καὶ τῇ ἀναβάσει σου ἀνυψώσαντα, ὕμνοις μεγαλύνομεν. Θεοτοκίον.

ΧΑῖρε Θεοτόκε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ὃν ἐκύησας σήμερον, ἐκ γῆς ἀνιπτάμενον, σὺν Ἀγγέλοις ὁρῶσα ἐμεγάλυνες.

Ἄλλος. Ἅπας γηγενής. Μεγαλυνάριον.

ἌΓγελοι τὴν Ἄνοδον τοῦ Δεσπότου, ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης ἐπήρθη ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Ὢ Τῶν δωρεῶν, τῶν ὑπὲρ κατάληψιν· ὢ Μυστηρίου φρικτοῦ. πάντων ὁ δεσπόζων γάρ, ἐκ γῆς ἀπαίρων πρὸς τὰ οὐράνια, τοῖς Μαθηταῖς ἀπέστειλε, Πνεῦμα τὸ Ἅγιον, τὸ φωτίσαν, τούτων τὴν διάνοιαν, καὶ πυρίνους τελέσαν ἐν χάριτι.

Ἄγγελοι τὴν Ἄνοδον.

ΣΤίφη Μαθητῶν, ὁ Κύριος ἔφησεν, ὑμεῖς καθίσατε, εἰς Ἱεροσόλυμα, κἀγὼ ἐκπέμψω ὑμῖν Παράκλητον, ἄλλον Πατρὶ τὸν σύνθρονον, κἀμοῦ ὁμότιμον, ὡς ὁρᾶτε ἀναλαμβανόμενον, καὶ νεφέλῃ φωτὸς ἐποχούμενον. Ἄγγελοι τὴν Ἄνοδον.

ἩΡθη ἐμφανῶς ἡ μεγαλοπρέπεια, ἄνωθεν τῶν Οὐρανῶν, τοῦ σαρκὶ πτωχεύσαντος, καὶ συνεδρίᾳ Πατρὸς τετίμηται, φύσις ἡμῶν ἡ ἔκπτωτος, πανηγυρίσωμεν, καὶ συμφώνως, πάντες ἀλαλάξωμεν, καὶ κροτήσωμεν χεῖρας γηθόμενοι. Θεοτοκίον.

ΦΩ͂ς τὸ ἐκ φωτός, ἐκλάμψαν Παναμώμε, ἐκ σοῦ ἀνέτειλε, καὶ τὴν ἀμαυρότητα, τῆς ἀθεΐας πᾶσαν διέλυσε, καὶ τοὺς νυκτὶ καθεύδοντας ἐφωταγώγησε· διὰ τοῦτο, πάντες κατασχέως σε, εἰς αἰῶνας ἀεὶ μακαρίζομεν. Καταβασία.

ΧΑίροις Ἄνασσα Μητροπάρθενον κλέος.
Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα,
Ῥητρεῦον οὐ σθένει σε μέλπειν ἀξίως.
Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν Τόκον νοεῖν.
Ὅθεν σε συμφώνως δοξάζομεν.

Ἐξαποστειλάριον, αὐτόμελον.

ΤΩ͂ν Μαθητῶν ὁρώντων σε ἀνελήφθης, Χριστὲ πρὸς τὸν Πατέρα συνεδριάζων, Ἄγγελοι προτρέχοντες ἐκραύγαζον· ἄρατε πύλας ἄρατε· ὁ Βασιλεὺς γὰρ ἀνῆλθε, πρὸς τὴν ἀρχίφωτον δόξαν. Ἐκ γ΄.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν, στιχηρὰ προσόμοια. ἦχος α΄.

Τῶν οὐρανίων Ταγμάτων.

ἈΓγελικῶς οἱ ἐν Κόσμῳ, πανηγυρίσωμεν, τῷ ἐπὶ Θρόνου δόξης, Θεῷ ἐποχουμένῳ, κραυγάζοντες τὸν ὕμνον· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ οὐράνιος, ὁ συναΐδιος Λόγος, Ἅγιος εἶ, καὶ τὸ Πνεῦμα τὸ Πανάγιον. Δίς.

ΟἹ Ἀρχηγοὶ τῶν Ἀγγέλων, κατανοοῦντες Σωτῆρος, τὸ τῆς Ἀνόδου ξένον, διηπόρουν ἀλλήλοις· τίς ἡ θέα αὕτη; ἄνθρωπος μέν, τῇ μορφῇ ὁ ὁρώμενος, ὡς δὲ Θεὸς ὑπεράνω τῶν Οὐρανῶν, μετὰ Σώματος ἀνέρχεται.

ΟἹ Γαλιλαῖοι ὁρῶντες ἀναληφθέντα σε, ἀπὸ τοῦ Ἐλαιῶνος, μετὰ Σώματος Λόγε, ἤκουον Ἀγγέλων βοώντων αὐτοῖς· τί ἑστήκατε βλέποντες; οὕτως ἐλεύσεται πάλιν μετὰ σαρκός, καθ᾽ ὃν τρόπον ἐθεάσασθε.

Δόξα, καὶ νῦν. ἦχος β΄.

ἘΤέχθης ὡς αὐτὸς ἠθέλησας, ἐφάνης ὡς αὐτὸς ἠβουλήθης. ἔπαθες σαρκὶ ὁ Θεὸς ἡμῶν. ἐκ νεκρῶν ἀνέστης, πατήσας τὸν θάνατον. ἀνελήφθης ἐν δόξῃ ὁ τὰ σύμπαντα πληρῶν. καὶ ἀπέστειλας ἡμῖν Πνεῦμα Θεῖον, τοῦ ἀνυμνεῖν καὶ δοξάζειν σου τὴν Θεότητα.

Δοξολογία Μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν, ψάλλομεν τὰ παρόντα Ἀντίφωνα.

Ἀντίφωνον Α΄. ἦχος β΄.

Στίχ. Α΄. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Στίχ. Β΄. Ὅτι Κύριος ὕψιστος φοβερὸς Βασιλεύς.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Στίχ. Γ΄. Ὑπέταξας Λαοὺς ἡμῖν καὶ ἔθνη.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου.
Δόξα, καὶ νῦν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον Β΄. ἦχος β΄.

Στίχ. Α΄. Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ.

Στίχ. Β΄. Ὁ Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ.

Στίχ. Γ΄. Ὅτι ἰδοὺ οἱ Βασιλεῖς τῆς γῆς συνήχθησαν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ.

Δόξα, καὶ νῦν. Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος.

Ἀντίφωνον Γ΄. ἦχος δ΄.

Στίχ. Α΄. Ἀκούσατε ταῦτα πάντα τὰ ἔθνη.

Ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητὰς τῇ ἐπαγγελίᾳ τοῦ Ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ Κόσμου.

Στίχ. Β΄. Τὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Ἀνελήφθης ἐν δόξῃ.

Στίχ. Γ΄. Κλινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν Ψαλτηρίῳ τὸ πρόβλημά μου.

Ἀνελήφθης ἐν δόξῃ.

Εἰσοδικόν. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Ἀνελήφθης ἐν δόξῃ.

Δόξα, καὶ νῦν. Τὸ Κοντάκιον.

Τὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε· Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Προκείμενον τοῦ Ἀποστόλου. ἦχος βαρύς.

Ὑψώθητι ἐπὶ τοὺς Οὐρανοὺς ὁ Θεός.

Στίχ. Ἑτοίμη ἡ καρδία μου ὁ Θεός.

Ὁ Ἀπόστολος.

Τὸν μὲν πρῶτον λόγον ἐποιησάμην περὶ πάντων.

Τέλος. Σαββάτου ἔχον ὁδόν.

Ἀλληλούϊα, ἦχος β΄. Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας.

Στίχ. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ.

Εὐαγγέλιον Ἑωθινὸν ς΄. Ἐκ τοῦ κατὰ Λουκᾶν.

Τῷ καιρῷ ἐκείνῳ, ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν.

Κοινωνικόν. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. Ἀλληλούϊα.

## ΕἸΣ ΤΗ͂Ν ΚΥΡΙΑΚΗ͂Ν ΤΗ͂Σ ἉΓΙ͂ΑΣ ΠΕΝΤΗΚΟΣΤΗ͂Σ.

Ἐν τῷ Μικρῷ Ἑσπερινῷ, ἡ συνήθης Στιχολογία. Εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι΄. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελ. τὰ γ΄. Πρώτως, Δευτεροῦντες τὸ α΄. Εἶτα τὰ ε΄. Δευτέρως, δευτεροῦντες τὸ πρῶτον.

Ἦχος Α΄.

Πεντηκοστὴν ἑορτάζομεν, καὶ Πνεύματος ἐπιδημίαν, καὶ προθεσμίαν ἐπαγγελίας, καὶ ἐλπίδος συμπλήρωσιν, καὶ τὸ μυστήριον ὅσον, ὡς μέγα τε καὶ σεβάσμιον. διὸ βοῶμέν σοι· Δημιουργὲ τοῦ παντὸς Κύριε δόξα σοι.

Δίς. Ὁ αὐτός.

Γλώσσαις ἀλλογενῶν, ἐκαινούργησας Χριστὲ τοὺς σοὺς Μαθητάς· ἵνα δι' αὐτῶν σε κηρύξωσι τὸν ἀθάνατον Λόγον καὶ Θεόν, τὸν παρέχοντα ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ὁ αὐτός.

Πάντα χορηγεῖ τὸ Πνεῦμα τὸ Ἅγιον. βρύει Προφητείας· Ἱερέας τελειοῖ· ἀγραμμάτους Σοφίαν ἐδίδαξεν· Ἁλιεῖς Θεολόγους ἀνέδειξεν. ὅλον συγκροτεῖ τὸν θεσμὸν τῆς Ἐκκλησίας. ὁμοούσιε καὶ ὁμόθρονε τῷ Πατρὶ καὶ τῷ Υἱῷ, Παράκλητε δόξα σοι.

Ἦχος Β΄.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον. εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες. αὕτη γὰρ ἡμᾶς ἔσωσεν.

Δίς. Ὁ αὐτός.

Ἐν τοῖς Προφήταις ἀνήγγειλας ἡμῖν ὁδὸν σωτηρίας, καὶ ἐν Ἀποστόλοις ἔλαμψε Σωτὴρ ἡμῶν ἡ χάρις τοῦ Πνεύματός σου. σὺ εἶ Θεὸς πρῶτος, σὺ καὶ μετὰ ταῦτα, καὶ εἰς τοὺς αἰῶνας σὺ εἶ ὁ Θεὸς ἡμῶν.

Ὁ αὐτός.

Ἐν ταῖς αὐλαῖς σου ὑμνήσωμεν τὸν Σωτῆρα τοῦ Κόσμου, καὶ κλίναντες γόνυ προσκυνήσωμεν τὴν ἀήττητον δύναμιν. ἐν ἑσπέρᾳ καὶ πρωῒ καὶ μεσημβρίᾳ, καὶ ἐν παντὶ καιρῷ εὐλογήσωμεν Κύριε.

Ὁ αὐτός.

Ἐν ταῖς αὐλαῖς σου Κύριε, οἱ πιστοὶ τὸ γόνυ τῆς ψυχῆς καὶ τοῦ σώματος ὑποκλίναντες, ἀνυμνοῦμέν σε τὸν ἄναρχον Πατέρα, καὶ τὸν συνάναρχον Υἱόν, καὶ τὸ συναΐδιον καὶ Πανάγιον Πνεῦμα, τὸ φωτίζον, καὶ ἁγιάζον τὰς ψυχὰς ἡμῶν.

Ὁ αὐτός.

Τριάδα ὁμοούσιον ὑμνολογήσωμεν, Πατέρα καὶ Υἱὸν σὺν Ἁγίῳ Πνεύματι. οὕτω γὰρ ἐκήρυξαν πάντες οἱ Προφῆται, καὶ Ἀπόστολοι μετὰ Μαρτύρων.

Δόξα, καὶ νῦν, ἦχος πλ. δ΄. Λέοντος Δεσπότου.

Δεῦτε λαοὶ τὴν τρισυπόστατον Θεότητα προσκυνήσωμεν, Υἱὸν ἐν τῷ Πατρὶ σὺν Ἁγίῳ Πνεύματι. Πατὴρ γὰρ ἀχρόνως ἐγέννησεν Υἱόν, συναΐδιον καὶ σύνθρονον, καὶ Πνεῦμα Ἅγιον ἦν ἐν τῷ Πατρί, σὺν Υἱῷ δοξαζόμενον. μία Δύναμις, μία Οὐσία, μία Θεότης, ἣν προσκυνοῦντες πάντες λέγομεν· Ἅγιος ὁ Θεός, ὁ τὰ πάντα δημιουργήσας δι' Υἱοῦ, συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Ἅγιος ἰσχυρός, δι' οὗ τὸν Πατέρα ἐγνώκαμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεδήμησεν ἐν Κόσμῳ. Ἅγιος ἀθάνατος, τὸ Παράκλητον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον. Τριὰς Ἁγία δόξα σοι.

Εἴσοδος, τό, Φῶς ἱλαρόν.

Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Ἀριθμῶν τὸ Ἀνάγνωσμα.

Εἶπε Κύριος πρὸς Μωϋσῆν· Συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραήλ, οὓς σὺ αὐτὸς οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι τοῦ λαοῦ, καὶ Γραμματεῖς αὐτῶν. καὶ ἄξεις αὐτοὺς εἰς τὴν Σκηνὴν τοῦ μαρτυρίου, καὶ στήσονται ἐκεῖ μετὰ σοῦ. Καὶ καταβήσομαι, καὶ λαλήσω ἐκεῖ μετὰ σοῦ. Καὶ ἀφελῶ ἀπὸ τοῦ Πνεύματος τοῦ ἐπὶ σοί, καὶ ἐπιθήσω ἐπ' αὐτούς, καὶ συναντιλήψονται μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ, καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος. Καὶ συνήγαγε Μωϋσῆς ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν Πρεσβυτέρων τοῦ Κεφ. ια΄. 16

Ἐξαποστειλάριον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

ΤΟ Παναγιον Πνεῦμα, τὸ προϊὸν ἐκ τοῦ Πατρὸς, καὶ δι' Υἱοῦ ἐνδημῆσαν, τοῖς ἀγραμμάτοις Μαθηταῖς, τοὺς σὲ Θεὸν ἐπιγνόντας, σῶσον, ἁγίασον πάντας. Δίς.

Ἕτερον Ὅμοιον.

ΦΩ͂ς ὁ Πατὴρ, Φῶς ὁ Λόγος, Φῶς καὶ τὸ Ἅγιον Πνεῦμα· ὅπερ ἐν γλώσσαις πυρίναις, τοῖς Ἀποστόλοις ἐπέμφθη. καὶ δι' αὐτοῦ πᾶς ὁ Κόσμος φωταγωγεῖται, Τριάδα σέβειν Ἁγίαν.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοὴ, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν τὰ παρόντα Ἰδιόμ. ἦχος δ'.

Δευτεροῦντες αὐτά.

ΠΑράδοξα σήμερον, εἶδον τὰ Ἔθνη πάντα ἐν Πόλει Δαβὶδ, ὅτε τὸ Πνεῦμα κατῆλθε τὸ Ἅγιον, ἐν πυρίναις γλώσσαις, καθὼς ὁ Θεηγόρος Λουκᾶς ἀπεφθέγξατο. φησὶ γὰρ συνηγμένων τῶν Μαθητῶν τοῦ Χριστοῦ, ἐγένετο ἦχος, καθάπερ φερομένης βιαίας πνοῆς, καὶ ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι· καὶ πάντες ἤρξαντο φθέγγεσθαι, ξένοις ῥήμασι, ξένοις δόγμασι, ξένοις διδάγμασι, τῆς Ἁγίας Τριάδος. Ὁ αὐτός.

ΤΟ Πνεῦμα τὸ Ἅγιον, ἦν μὲν ἀεὶ, καὶ ἔστι καὶ ἔσται· οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ' ἀεὶ Πατρὶ καὶ Υἱῷ συντεταγμένον, καὶ συναριθμούμενον. ζωὴ, καὶ ζωοποιοῦν, φῶς, καὶ φωτὸς χορηγόν· αὐτάγαθον, καὶ πηγὴ ἀγαθότητος. δι' οὗ Πατὴρ γνωρίζεται, καὶ Υἱὸς δοξάζεται, καὶ παρὰ πάντων γινώσκεται· μία δύναμις, μία σύνταξις, μία προσκύνησις, τῆς Ἁγίας Τριάδος. Ὁ αὐτός.

ΤΟ Πνεῦμα τὸ Ἅγιον, φῶς καὶ ζωὴ καὶ ζῶσα πηγὴ νοερά· Πνεῦμα Σοφίας, Πνεῦμα συνέσεως· ἀγαθὸν, εὐθὲς, νοερὸν, ἡγεμονεῦον, καθαῖρον τὰ πταίσματα. Θεὸς, καὶ θεοποιοῦν, πῦρ ἐκ πυρὸς προϊὸν, λαλοῦν ἐνεργοῦν διαιροῦν τὰ χαρίσματα. δι' οὗ Προφῆται ἅπαντες, καὶ Θεοῦ Ἀπόστολοι, μετὰ Μαρτύρων ἐστέφθησαν. ξένον ἄκουσμα· ξένον θέαμα· πῦρ διαιρούμενον, εἰς νομὰς χαρισμάτων.

Δόξα, καὶ νῦν. ἦχος πλ. β'.

ΒΑσιλεῦ Οὐράνιε, Παράκλητε τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν, καὶ ζωῆς χορηγὸς· ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλίδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Δοξολογία Μεγάλη.

Τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς, ἤγουν.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἶτα Ἐκτενὴς, καὶ ποιεῖ ὁ Ἱερεὺς ἀπόλυσιν οὕτως.

Ὁ Ἐν εἴδει πυρίνων γλωσσῶν οὐρανόθεν καταπέμψας τὸ Παναγιον Πνεῦμα ἐπὶ τοὺς Ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου αὐτοῦ Μητρὸς, τῶν Ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Καὶ λαβόντες ὁ Ἱερεὺς συγχώρησιν, ἀπερχόμεθα πάντες.

Εἰς τὴν Λειτουργίαν, λέγομεν τὰ Ἀντίφωνα ταῦτα.

Ἀντίφωνον Α'. ἦχος β'.

ΟἹ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ· ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα, καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Οὐκ εἰσὶ λαλιαὶ, οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς Οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Δόξα. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Καὶ νῦν. Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον Β'. ἦχος β'.

Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

Σῶσον ἡμᾶς Παράκλητε ἀγαθὲ, ψάλλοντάς σοι· Ἀλληλούϊα.

Ἐξαποστείλαι σοι βοήθειαν ἐξ Ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου.

Σῶσον ἡμᾶς Παράκλητε.

Μνησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. Σῶσον ἡμᾶς Παράκλητε.

Δόξα. Σῶσον ἡμᾶς Παράκλητε.

Καὶ νῦν. ἦχος πλ. β'. Γεγονωτέρᾳ φωνῇ.

Ὁ Μονογενὴς Υἱὸς, καὶ Λόγος τοῦ Θεοῦ.

Ἀντίφωνον Γ'. ἦχος πλ. δ'.

Κύριε ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ Βασιλεὺς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Τὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ, καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ὅτι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Ζωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν εἰς αἰῶνα αἰῶνος.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Εἴσοδος. Ὁ Ἱερεύς. Σοφία Ὀρθοί.

Ὁ Λαὸς τὸ Εἰσοδικόν.

Ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου, ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν.

Δόξα, καὶ νῦν. τὸ Κοντάκιον, ἦχος πλ. δ'.

ὍΤε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν Ἔθνη ὁ Ὕψιστος· ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, εἰς ἑνότητα πάντας ἐκάλεσε. καὶ συμφώνως δοξάζομεν τὸ Παναγιον Πνεῦμα.

Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Τὸ Προκείμενον τοῦ Ἀποστόλου. ἦχος πλ. δ'.

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

Στίχ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἡ Πράξις. Ἐν τῷ συμπληροῦσθαι τὴν ἡμέραν τῆς Πεντηκοστῆς.

Τέλος. Τὰ μεγαλεῖα τοῦ Θεοῦ.

Ἀλληλούϊα. ἦχος α'.

Τῷ Λόγῳ Κυρίου οἱ Οὐρανοὶ ἐστερεώθησαν.

Στίχ. Ἐξ Οὐρανοῦ ἐπέβλεψεν ὁ Κύριος.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Τῇ ἐσχάτῃ ἡμέρᾳ τῇ μεγάλῃ τῆς Ἑορτῆς.

Κοινωνικόν. Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.



ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# Τῌ͂ ΚΥΡΙΑΚῌ͂ ΕΣΠΕΡΑΣ
# ΤΗ͂Σ ΑΓΙΑΣ ΠΕΝΤΗΚΟΣΤΗ͂Σ.

**Σημαίνει ταχύτερον διὰ τὴν τῆς Γονυκλισίας Ἀκολουθίαν.**

Μετὰ τὸν Εὐλογητόν, λέγει ὁ ταχθεὶς Μοναχὸς τὸν Προοιμιακὸν Ψαλμόν. Εἶτα ὁ Διάκονος εἰ ἔστιν, εἰ δὲ ὁ Ἱερεὺς ποιεῖ συναπτήν.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος Κόσμου, εὐσταθείας τῶν Ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν.

Ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, καὶ ἀπεκδεχομένου τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν κλινόντων τὰς καρδίας αὐτῶν ἐνώπιον Κυρίου, καὶ τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἐνισχυθῆναι ἡμᾶς πρὸς τελείωσιν εὐαρεστήσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ καταπεμφθῆναι πλούσια τὰ ἐλέη αὐτοῦ ἐφ' ἡμᾶς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ δεχθῆναι τὴν Γονυκλισίαν ἡμῶν, ὡς θυμίαμα ἐνώπιον αὐτοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν χρηζόντων τῆς παρ' αὐτοῦ βοηθείας, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης.

Ὁ Ἱερεὺς, Ἐκφώνως.

Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ψάλλομεν τὸ, Κύριε ἐκέκραξα, καὶ ἱστῶμεν στίχ. ϛʹ. καὶ ψάλλομεν στιχηρὰ ἰδιόμ. ἦχος δʹ.

Παράδοξα σήμερον, εἶδον τὰ Ἔθνη πάντα ἐν Πόλει Δαβὶδ, ὅτε τὸ Πνεῦμα κατῆλθε τὸ Ἅγιον, ἐν πυρίναις γλώσσαις, καθὼς ὁ Θεηγόρος Λουκᾶς ἀπεφθέγξατο. φησὶ γὰρ συνηγμένων τῶν Μαθητῶν τοῦ Χριστοῦ, ἐγένετο ἦχος καθάπερ φερομένης βιαίας πνοῆς, καὶ ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι· καὶ πάντες ἤρξαντο φθέγγεσθαι, ξένοις ῥήμασι, ξένοις δόγμασι, ξένοις διδάγμασι, τῆς Ἁγίας Τριάδος. Δίς.

Ὁ αὐτός.

Τὸ Πνεῦμα τὸ Ἅγιον, ἦν μὲν ἀεὶ, καὶ ἔστι καὶ ἔσται, οὔτε ἀρξάμενον, οὔτε παυσόμενον, ἀλλ' ἀεὶ Πατρὶ καὶ Υἱῷ συντεταγμένον, καὶ συναριθμούμενον. ζωὴ, καὶ ζωοποιοῦν· φῶς, καὶ φωτὸς χορηγόν· αὐτάγαθον, καὶ πηγὴ ἀγαθότητος. δι' οὗ Πατὴρ γνωρίζεται, καὶ Υἱὸς δοξάζεται, καὶ παρὰ πάντων γινώσκεται· μία δύναμις, μία σύνταξις, μία προσκύνησις τῆς Ἁγίας Τριάδος. Δίς.

Ὁ αὐτός.

Τὸ Πνεῦμα τὸ Ἅγιον, φῶς καὶ ζωὴ, καὶ ζῶσα πηγὴ νοερά· Πνεῦμα Σοφίας, Πνεῦμα Συνέσεως· ἀγαθὸν, εὐθὲς, νοερὸν, ἡγεμονεῦον, καθαῖρον τὰ πταίσματα. Θεὸς, καὶ θεοποιοῦν, πῦρ ἐκ πυρὸς προϊὸν. λαλοῦν, ἐνεργοῦν, διαιροῦν τὰ χαρίσματα. δι' οὗ Προφῆται ἅπαντες, καὶ Θεοῦ Ἀπόστολοι, μετὰ Μαρτύρων ἐστέφθησαν. ξένον ἄκουσμα· ξένον θέαμα· πῦρ διαιρούμενον εἰς νομὰς χαρισμάτων. Δίς.

Δόξα, καὶ νῦν. ἦχος πλ. βʹ.

Βασιλεῦ Οὐράνιε, παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγὸς, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον ἀγαθὲ τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος μετὰ τοῦ Θυμιατοῦ. τὸ, φῶς ἱλαρόν.

Προκείμενον, ἦχος βαρύς.

Τίς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ὁ ποιῶν θαυμάσια μόνος.

Στίχ. αʹ. Ἐγνώρισας ἐν τοῖς λαοῖς τὴν δύναμίν σου.

Τίς Θεὸς μέγας.

Στίχ. βʹ. Καὶ εἶπα, νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου.

Τίς Θεὸς μέγας.

Στίχ. γʹ. Ἐμνήσθην τῶν ἔργων Κυρίου, ὅτι μνησθήσομαι ἀπὸ τῆς ἀρχῆς τῶν θαυμασίων σου.

Καὶ αὖθις. Τίς Θεὸς μέγας ὡς ὁ Θεὸς ἡμῶν.

Εἶτα λέγει ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ἡμῶν κλινόντων τὰ γόνατα ἐπὶ γῆς, καὶ ἀσκεπῶν ὄντων, ἀναγινώσκει ὁ Ἱερεὺς τὰς Εὐχὰς ἀπὸ τοῦ Βήματος μεγαλοφώνως, εἰς ἐπήκοον πάντων.

Ἄχραντε, ἀμίαντε, ἄναρχε, ἀόρατε, ἀκατάληπτε, ἀνεξιχνίαστε, ἀναλλοίωτε, ἀνυπέρβλητε, ἀμέτρητε, ἀνεξίκακε Κύριε, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ ποιήσας τὸν Οὐρανὸν καὶ τὴν Γῆν, καὶ τὴν Θάλασσαν, καὶ πάντα τὰ δημιουργηθέντα ἐν αὐτοῖς. ὁ πρὸ τοῦ αἰτεῖσθαι τοῖς πᾶσι τὰς αἰτήσεις παρέχων· σοῦ δεόμεθα, καὶ σὲ παρακαλοῦμεν Δέσποτα φιλάνθρωπε, τὸν Πατέρα τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· τοῦ δι' ἡμᾶς τοὺς ἀνθρώπους, καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντος ἐκ τῶν Οὐρανῶν, καὶ σαρκωθέντος ἐκ Πνεύματος Ἁγίου, καὶ Μαρίας τῆς Ἀειπαρθένου καὶ ἐνδόξου Θεοτόκου· ὃς πρότερον μὲν λόγοις διδάσκων, ὕστερον δὲ καὶ ἔργοις ὑποδεικνὺς, ἡνίκα τὸ σωτήριον ὑφίστατο Πάθος, παρέχει ἡμῖν ὑπογραμμὸν τοῖς ταπεινοῖς καὶ ἁμαρτωλοῖς, καὶ ἀναξίοις δούλοις σου, δεήσεις προσφέρειν ἐν αὐχένος καὶ γονάτων κλίσεσιν, ὑπὲρ τῶν ἰδίων ἁμαρτημάτων, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων. Αὐτὸς οὖν πολυέλεε καὶ φιλάνθρωπε, ἐπάκουσον ἡμῶν ἐν ᾗ ἂν ἡμέρᾳ ἐπικαλεσώμεθά σε. ἐξαιρέτως δὲ ἐν τῇ ἡμέρᾳ ταύτῃ τῆς Πεντηκοστῆς, ἐν ᾗ μετὰ τὸ ἀναληφθῆναι τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν εἰς τοὺς Οὐρανοὺς, καὶ καθεσθῆναι ἐν δεξιᾷ σοῦ τοῦ Θεοῦ καὶ Πατρὸς, κατέπεμψε τὸ Ἅγιον Πνεῦμα ἐπὶ τοὺς Ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους· ὃ καὶ ἐκάθισεν ἐφ' ἕνα ἕκαστον αὐτῶν, καὶ ἐπλήσθησαν ἅπαντες τῆς ἀκενώτου χάριτος αὐτοῦ, καὶ ἐλάλησαν ἑτέραις γλώσσαις τὰ μεγαλεῖά σου, καὶ προεφήτευσαν. Νῦν οὖν δεο-

μένων, ἐπάκουσον ἡμῶν, καὶ μνήσθητι ἡμῶν τῶν ταπεινῶν καὶ κατακρίτων, καὶ ἐπίστρεψον τὴν αἰχμαλωσίαν τῶν ψυχῶν ἡμῶν, τὴν οἰκείαν συμπάθειαν ἔχων ὑπὲρ ἡμῶν πρεσβεύουσαν. Δέξαι ἡμᾶς προσπίπτοντάς σοι, καὶ βοῶντας τό, ἡμάρτομεν, ἐπὶ σὲ ἐπερρίφημεν ἐκ μήτρας, ἀπὸ γαστρὸς Μητρὸς ἡμῶν Θεὸς ἡμῶν σὺ εἶ. Ἀλλ᾽ ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν, γεγυμνώμεθα τῆς σῆς βοηθείας, ἐστερήμεθα ἀπὸ πάσης ἀπολογίας. ἀλλὰ θαρροῦντες τοῖς οἰκτιρμοῖς σου, κράζομεν· ἁμαρτίας νεότητος ἡμῶν, καὶ ἀγνοίας μὴ μνησθῇς, καὶ ἐκ τῶν κρυφίων ἡμῶν καθάρισον ἡμᾶς. Μὴ ἀποῤῥίψῃς ἡμᾶς εἰς καιρὸν γήρως· ἐν τῷ ἐκλείπειν τὴν ἰσχὺν ἡμῶν, μὴ ἐγκαταλίπῃς ἡμᾶς. Πρὶν ἡμᾶς εἰς τὴν γῆν ἀποστρέψαι, ἀξίωσον πρὸς σὲ ἐπιστρέψαι, καὶ πρόσχες ἡμῖν ἐν εὐμενείᾳ καὶ χάριτι. Ἐπιμέτρησον τὰς ἀνομίας ἡμῶν τοῖς οἰκτιρμοῖς σου. ἀντίθες τὴν ἄβυσσον τῶν οἰκτιρμῶν σου, τῷ πλήθει τῶν πλημμελημάτων ἡμῶν. ἐπίβλεψον ἐξ ὕψους ἁγίου σου Κύριε, ἐπὶ τὸν λαόν σου τὸν περιεστῶτα, καὶ ἀπεκδεχόμενον τὸ παρὰ σοῦ πλούσιον ἔλεος. ἐπίσκεψαι ἡμᾶς ἐν τῇ χρηστότητί σου. ῥῦσαι ἡμᾶς ἐκ τῆς καταδυναστείας τοῦ Διαβόλου. ἀσφάλισαι τὴν ζωὴν ἡμῶν, τοῖς Ἁγίοις καὶ Ἱεροῖς Νόμοις σου. Ἀγγέλῳ πιστῷ φύλακι παρακατάθου τὸν λαόν σου. πάντας ἡμᾶς συνάγαγε εἰς τὴν Βασιλείαν σου. δὸς συγγνώμην τοῖς ἐλπίζουσιν ἐπὶ σέ. ἄφες αὐτοῖς, καὶ ἡμῖν τὰ ἁμαρτήματα. καθάρισον ἡμᾶς τῇ ἐνεργείᾳ τοῦ Ἁγίου σου Πνεύματος. διάλυσον τὰς καθ᾽ ἡμῶν μηχανὰς τοῦ ἐχθροῦ.

Ἐπισυνάπτει καὶ ταύτην τὴν Εὐχήν.

Εὐλογητὸς εἶ Κύριε, Δέσποτα Παντοκράτορ, ὁ φωτίσας τὴν ἡμέραν τῷ φωτὶ τῷ ἡλιακῷ, καὶ τὴν νύκτα φαιδρύνας ταῖς αὐγαῖς τοῦ πυρός· ὁ τὸ μῆκος τῆς ἡμέρας διελθεῖν ἡμᾶς καταξιώσας, καὶ προσεγγίσαι ταῖς ἀρχαῖς τῆς νυκτός, ἐπάκουσον τῆς δεήσεως ἡμῶν, καὶ παντὸς τοῦ λαοῦ σου, καὶ πᾶσιν ἡμῖν συγχώρησον τὰ ἑκούσια καὶ τὰ ἀκούσια ἁμαρτήματα. Πρόσδεξαι τὰς Ἑσπερινὰς ἡμῶν ἱκεσίας, καὶ κατάπεμψον τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ τῶν οἰκτιρμῶν σου ἐπὶ τὴν κληρονομίαν σου. Τείχισον ἡμᾶς Ἁγίοις Ἀγγέλοις σου. ὅπλισον ἡμᾶς ὅπλοις δικαιοσύνης σου. περιχαράκωσον ἡμᾶς τῇ ἀληθείᾳ σου. φρούρησον ἡμᾶς τῇ δυνάμει σου. ῥῦσαι ἡμᾶς πάσης περιστάσεως, πάσης ἐπιβουλῆς τοῦ ἀντικειμένου. παράσχου δὲ ἡμῖν καὶ τὴν παροῦσαν Ἑσπέραν, σὺν τῇ ἐπερχομένῃ νυκτί, τελείαν, ἁγίαν, εἰρηνικήν, ἀναμάρτητον, ἀσκανδάλιστον, ἀφαντασίαστον, καὶ πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν, πρεσβείαις τῆς Ἁγίας Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων, τῶν ἀπ᾽ αἰῶνός σοι εὐαρεστησάντων. Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου.

Ἐκφώνως ὁ Ἱερεύς.

Σὸν γάρ ἐστι τὸ ἐλεεῖν, καὶ σώζειν ἡμᾶς Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

Ὁ Διάκονος.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς.

Κύριε Παντοκράτορ.

Ἐλέησον ἡμᾶς ὁ Θεός.

Καὶ τὰ λοιπά.

Εἶτα ὁ Ἱερεὺς τὴν Ἐκφώνησιν.

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος.

Εἶτα ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι κλίναντες τὰ γόνατα τοῦ Κυρίου δεηθῶμεν.

Ὁ Ἱερεὺς ἐπεύχεται Μεγαλοφώνως.

Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν σὴν εἰρήνην δεδωκὼς τοῖς ἀνθρώποις, καὶ τὴν τοῦ Παναγίου Πνεύματος δωρεάν, ἔτι τῷ βίῳ καὶ ἡμῖν συμπαρών, εἰς κληρονομίαν ἀναφαίρετον τοῖς πιστοῖς ἀεὶ παρέχων. Ἐμφανέστερον δὲ ταύτην τὴν χάριν τοῖς σοῖς Μαθηταῖς καὶ Ἀποστόλοις σήμερον καταπέμψας, καὶ τὰ τούτων χείλη πυρίναις στομώσας γλώσσαις· δι᾽ ὧν πᾶν γένος ἀνθρώπων τὴν θεογνωσίαν ἰδίᾳ διαλέκτῳ εἰς ἀκοὴν ὠτίου δεξάμενοι, φωτὶ τοῦ Πνεύματος ἐφωτίσθημεν, καὶ τῆς πλάνης ὡς ἐκ σκότους ἀπηλλάγημεν, καὶ τῇ τῶν αἰσθητῶν καὶ πυρίνων γλωσσῶν διανομῇ, καὶ ὑπερφυεῖ ἐνεργείᾳ τὴν εἰς σὲ Πίστιν ἐμαθητεύθημεν, καὶ σὲ θεολογεῖν σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι ἐν μιᾷ Θεότητι καὶ δυνάμει καὶ ἐξουσίᾳ κατηυγάσθημεν. Σὺ οὖν τὸ ἀπαύγασμα τοῦ Πατρός, ὁ τῆς Οὐσίας καὶ τῆς Φύσεως αὐτοῦ ἀπαράλλακτος καὶ ἀμετακίνητος χαρακτήρ, ἡ πηγὴ τῆς σοφίας καὶ τῆς χάριτος, διάνοιξον κἀμοῦ τοῦ ἁμαρτωλοῦ τὰ χείλη, καὶ δίδαξόν με πῶς δεῖ, καὶ ὑπὲρ ὧν χρὴ προσεύχεσθαι. Σὺ γὰρ εἶ ὁ γινώσκων τὸ πολὺ τῶν ἁμαρτιῶν μου πλῆθος· ἀλλ᾽ ἡ σὴ εὐσπλαγχνία νικήσει τούτων τὸ ἄμετρον. Ἰδοὺ γὰρ φόβῳ παρίσταμαί σοι, εἰς τὸ πέλαγος τοῦ ἐλέους σου τὴν ἀπόγνωσιν ἀποῤῥίψας τῆς ψυχῆς μου. Κυβέρνησόν μου τὴν ζωήν, ὁ πᾶσαν ῥήματι τὴν Κτίσιν ἀῤῥήτῳ Σοφίας δυνάμει κυβερνῶν, ὁ εὔδιος τῶν χειμαζομένων λιμήν· καὶ γνώρισόν μοι ὁδόν, ἐν ᾗ πορεύσομαι. Πνεῦμα Σοφίας σου τοῖς ἐμοῖς παράσχου διαλογισμοῖς· Πνεῦμα Συνέσεως τῇ ἀφροσύνῃ μου δωρούμενος. Πνεῦμα Φόβου σου τοῖς ἐμοῖς ἐπισκίασον ἔργοις· καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· Καὶ Πνεύματι ἡγεμονικῷ τὸ τῆς διανοίας μου στήριξον ὀλισθηρόν· Ἵνα καθ᾽ ἑκάστην ἡμέραν τῷ Πνεύματί σου τῷ ἀγαθῷ πρὸς τὸ συμφέρον ὁδηγούμενος, καταξιωθῶ ποιεῖν τὰς ἐντολάς σου, καὶ τῆς σῆς ἀεὶ μνημονεύειν ἐνδόξου καὶ ἐρευνητικῆς τῶν πεπραγμένων ἡμῖν παρουσίας. Καὶ μὴ παρίδῃς με τοῖς φθειρομένοις τοῦ Κόσμου τούτου συναπατᾶσθαι τερπνοῖς, ἀλλὰ τῶν μελλόντων ὀρέγεσθαι τῆς ἀπολαύσεως ἐνίσχυσον θησαυρῶν. Σὺ γὰρ εἶπας Δέσποτα, ὅτι περ ὅσα ἄν τις αἰτήσηται ἐν τῷ ὀνόματί σου, ἀκωλύτως παρὰ τοῦ σοῦ λαμβάνει συναϊδίου Θεοῦ καὶ Πατρός. Διὸ κἀγὼ ὁ ἁμαρτωλός, ἐν τῇ ἐπιφοιτήσει τοῦ Ἁγίου σου Πνεύματος, τὴν σὴν ἱκετεύω ἀγαθότητα, ὅσα ηὐξάμην ἀπόδος μοι εἰς σωτηρίαν. Ναὶ Κύριε, ὁ πάσης εὐεργεσίας πλουσιοπάροχος δοτὴρ ἀγαθός. ὅτι σὺ εἶ ὁ διδοὺς ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα. Σὺ εἶ ὁ συμπαθής, ὁ ἐλεήμων, ὁ ἀναμαρτήτως γεγονὼς τῆς σαρκὸς ἡμῶν κοινωνός, καὶ τοῖς κάμπτουσι πρὸς σὲ γόνυ, ἐπικαμπτόμενος φιλευσπλάγχνως, ἱλασμός τε γενόμενος τῶν ἁμαρτιῶν ἡμῶν. Δὸς δὴ Κύριε τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου· ἐπάκουσον ἡμῶν ἐξ Οὐρανοῦ Ἁγίου σου. ἁγίασον αὐτοὺς τῇ δυνάμει τῆς σωτηρίου δεξιᾶς σου. Σκέπασον αὐτοὺς ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. μὴ παρίδῃς τὰ ἔργα τῶν χειρῶν σου. Σοὶ μόνῳ ἁμαρτάνομεν, ἀλλὰ καὶ σοὶ μόνῳ λατρεύομεν. Οὐκ οἴδαμεν προσκυνεῖν Θεῷ ἀλλοτρίῳ, οὐδὲ διαπετάζειν πρὸς ἕτερον Θεὸν τὰς ἑαυτῶν Δέσποτα χεῖρας. ἄφες ἡμῖν τὰ παραπτώματα, καὶ προσδεχόμενος ἡμῶν τὰς

γονυπετεῖς δεήσεις, ἔκτεινον πᾶσιν ἡμῖν χεῖρα βοηθείας. Πρόσδεξαι τὴν Εὐχὴν πάντων ὡς θυμίαμα δεκτὸν, ἀναλαμβανόμενον ἐνώπιον τῆς σῆς ὑπεραγάθου Βασιλείας.

Ἐπισυνάπτει καὶ ταύτην τὴν Εὐχήν.

Κύριε Κύριε, ὁ ῥυσάμενος ἡμᾶς ἀπὸ παντὸς βέλους πετομένου ἡμέρας, ῥῦσαι ἡμᾶς καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. Πρόσδεξαι θυσίαν Ἑσπερινὴν, τὰς τῶν χειρῶν ἡμῶν ἐπάρσεις. Καταξίωσον δὲ ἡμᾶς καὶ τὸ νυκτερινὸν στάδιον ἀμέμπτως διελθεῖν ἀπειράστους κακῶν. Καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ταραχῆς καὶ δειλίας τῆς ἐκ τοῦ Διαβόλου ἡμῖν προσγινομένης. Χάρισαι ταῖς ψυχαῖς ἡμῶν κατάνυξιν, καὶ τοῖς λογισμοῖς ἡμῶν μέριμναν, τῆς ἐν τῇ φοβερᾷ καὶ δικαίᾳ σου κρίσει ἐξετάσεως. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ νέκρωσον τὰ μέλη ἡμῶν τὰ ἐπὶ τῆς γῆς, ἵνα καὶ ἐν τῇ καθ᾽ ὕπνον ἡσυχίᾳ ἐμφαιδρυνώμεθα τῇ θεωρίᾳ τῶν κριμάτων σου. Ἀπόστησον δὲ ἀφ᾽ ἡμῶν πᾶσαν φαντασίαν ἀπρεπῆ, καὶ ἐπιθυμίαν βλαβεράν. Διανάστησον δὲ ἡμᾶς ἐν τῷ καιρῷ τῆς Προσευχῆς, ἐστηριγμένους ἐν τῇ πίστει, καὶ προκόπτοντας ἐν τοῖς παραγγέλμασί σου.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης.

Ἐκφώνως ὁ Ἱερεύς.

Εὐδοκίᾳ, καὶ χάριτι τοῦ Μονογενοῦς σου Υἱοῦ, μεθ᾽ οὗ εὐλογητὸς εἶ, σὺν τῷ Παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα τὸ, Καταξίωσον Κύριε.

Μετὰ δὲ τοῦτο, λέγει ὁ Διάκονος.

Ἔτι, καὶ ἔτι κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν.

Καὶ ὁ Ἱερεὺς τὴν Εὐχήν.

Ἡ Ἀενάως βρύουσα ζωτικὴ καὶ φωτιστικὴ πηγὴ, ἡ συναΐδιος τοῦ Πατρὸς δημιουργικὴ δύναμις· ὁ πᾶσαν τὴν οἰκονομίαν διὰ τὴν τῶν βροτῶν σωτηρίαν ὑπερκάλλως πληρώσας, Χριστὲ ὁ Θεὸς ἡμῶν· ὁ θανάτου δεσμοὺς ἀλύτους, καὶ κλεῖθρα Ἅδου διαρρήξας, πονηρῶν δὲ πνευμάτων πλήθη καταπατήσας· ὁ προσαγαγὼν ἑαυτὸν ἄμωμον ὑπὲρ ἡμῶν ἱερεῖον, τὸ Σῶμα δοὺς τὸ ἄχραντον εἰς θυσίαν, τὸ πάσης ἁμαρτίας ἀψαυστόν τε καὶ ἄβατον, καὶ διὰ τῆς φρικτῆς ταύτης, καὶ ἀνεκδιηγήτου ἱερουργίας, ζωὴν ἡμῖν αἰώνιον χαρισάμενος· Ὁ εἰς Ἅδου καταβὰς, καὶ μοχλοὺς αἰωνίους συντρίψας, καὶ τοῖς κάτω καθημένοις ἄνοδον ὑποδείξας, τὸν δὲ ἀρχέκακον, καὶ βύθιον Δράκοντα θεοσόφῳ δελεάσματι ἀγκιστρεύσας, καὶ σειραῖς ζόφου δεσμεύσας ἐν ταρτάρῳ, καὶ πυρὶ ἀσβέστῳ, καὶ σκότῳ ἐξωτέρῳ διὰ τῆς ἀπειροδυνάμου σου κατασφαλισάμενος ἰσχύος· Ἡ μεγαλώνυμος Σοφία τοῦ Πατρός· ὁ τοῖς ἐπηρεαζομένοις μέγας ἐπίκουρος φανεὶς, καὶ φωτίσας τοὺς ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένους. Σὺ δόξης ἀενάου Κύριε, καὶ Πατρὸς ὑψίστου Υἱὲ ἀγαπητὲ, ἀΐδιον Φῶς ἐξ ἀϊδίου φωτός· Ἥλιε δικαιοσύνης, ἐπάκουσον ἡμῶν δεομένων σου· καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου, τῶν προκεκοιμημένων Πατέρων καὶ Ἀδελφῶν ἡμῶν, καὶ τῶν λοιπῶν συγγενῶν κατὰ σάρκα, καὶ πάντων τῶν οἰκείων τῆς Πίστεως, περὶ ὧν καὶ τὴν μνήμην ποιούμεθα νῦν. Ὅτι ἐν σοὶ πάντων τὸ κράτος, καὶ ἐν τῇ χειρί σου κατέχεις πάντα τὰ πέρατα τῆς γῆς. Δέσποτα Παντοκράτορ, Θεὲ Πατέρων, καὶ Κύριε τοῦ ἐλέους, γένους θνητοῦ τε καὶ ἀθανάτου, καὶ πάσης φύσεως ἀνθρωπίνης Δημιουργὲ, συνισταμένης τε καὶ πάλιν λυομένης, ζωῆς τε καὶ τελευτῆς, τῆς ἐνταῦθα διαγωγῆς, καὶ τῆς ἐκεῖθεν μεταστάσεως. Ὁ χρόνους μετρῶν τοῖς ζῶσι, καὶ καιροὺς θανάτου ἱστῶν, κατάγων εἰς Ἅδου καὶ ἀνάγων, δεσμεύων ἐν ἀσθενείᾳ, καὶ ἀπολύων ἐν δυναστείᾳ. Ὁ τὰ παρόντα χρησίμως οἰκονομῶν, καὶ τὰ μέλλοντα λυσιτελῶς διοικῶν. Ὁ τοὺς θανάτου κέντρῳ πληγέντας Ἀναστάσεως εὐφραίνων ἐλπίσιν. Αὐτὸς Δέσποτα τῶν ἁπάντων, ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς, καὶ τῶν ἐν θαλάσσῃ μακράν· Ὁ καὶ ἐν ταύτῃ τῇ ἐσχάτῃ, καὶ μεγάλῃ, καὶ σωτηρίῳ ἡμέρᾳ τῆς Πεντηκοστῆς Ἑορτῇ, τὸ Μυστήριον τῆς Ἁγίας καὶ ὁμοουσίου, καὶ συναϊδίου, καὶ ἀδιαιρέτου, καὶ ἀσυγχύτου Τριάδος ὑποδείξας ἡμῖν· καὶ τὴν ἐπιφοίτησιν καὶ παρουσίαν τοῦ Ἁγίου καὶ ζωοποιοῦ σου Πνεύματος, ἐν εἴδει πυρίνων γλωσσῶν, ἐπὶ τοὺς Ἁγίους σου Ἀποστόλους ἐκχέας· καὶ Εὐαγγελιστὰς αὐτοὺς θέμενος τῆς εὐσεβοῦς ἡμῶν Πίστεως, καὶ ὁμολογητὰς, καὶ Κήρυκας τῆς ἀληθοῦς ἀναδείξας Θεολογίας. Ὁ καὶ ἐν αὐτῇ τῇ παντελείῳ Ἑορτῇ καὶ σωτηριώδει, ἱλασμοὺς μενοῦν ἱκεσίους, ὑπὲρ τῶν κατεχομένων ἐν Ἅδου καταξιώσας δέχεσθαι, μεγάλας τε παρέχων ἡμῖν ἐλπίδας, ἄνεσιν τοῖς κατεχομένοις τῶν κατεχόντων αὐτοὺς ἀνιαρῶν, καὶ παραψυχὴν παρὰ σοῦ καταπέμπεσθαι. Ἐπάκουσον ἡμῶν τῶν ταπεινῶν, καὶ σῶν οἰκετῶν δεομένων σου, καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου τῶν προκεκοιμημένων, ἐν τόπῳ φωτεινῷ, ἐν τόπῳ χλοερῷ, ἐν τόπῳ ἀναψύξεως, ἔνθα ἀπέδρα πᾶσα ὀδύνη, λύπη, καὶ στεναγμός. Καὶ κατάταξον τὰ Πνεύματα αὐτῶν ἐν σκηναῖς Δικαίων, καὶ εἰρήνης καὶ ἀνέσεως ἀξίωσον αὐτούς. Ὅτι οὐχ οἱ νεκροὶ αἰνέσουσί σε Κύριε, οὐδὲ οἱ ἐν Ἅδῃ ἐξομολόγησιν παρρησιάζονται προσφέρειν σοι· ἀλλ᾽ ἡμεῖς οἱ ζῶντες εὐλογοῦμέν σε καὶ ἱκετεύομεν, καὶ τὰς ἱλαστηρίους εὐχὰς καὶ θυσίας προσάγομέν σοι ὑπὲρ τῶν ψυχῶν αὐτῶν.

Ἐπισυνάπτει καὶ ταύτην τὴν Εὐχήν.

Ὁ Θεὸς ὁ Μέγας καὶ αἰώνιος, ὁ Ἅγιος καὶ φιλάνθρωπος, ὁ καταξιώσας ἡμᾶς καὶ ἐν ταύτῃ τῇ ὥρᾳ στῆναι ἐνώπιον τῆς ἀπροσίτου σου Δόξης, εἰς ὕμνον καὶ αἶνον τῶν θαυμασίων σου· ἱλάσθητι ἡμῖν τοῖς ἀναξίοις δούλοις σου, καὶ παράσχου χάριν τοῦ μετὰ συντετριμμένης καρδίας ἀμετεωρίστως προσενεγκεῖν σοι τὴν Τρισάγιον Δοξολογίαν, καὶ τὴν εὐχαριστίαν τῶν μεγάλων σου δωρεῶν, ὧν ἐποίησας καὶ ποιεῖς πάντοτε εἰς ἡμᾶς. Μνήσθητι Κύριε τῆς ἀσθενείας ἡμῶν, καὶ μὴ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀλλὰ ποίησον μέγα ἔλεος μετὰ τῆς ταπεινώσεως ἡμῶν. Ἵνα τὸ τῆς ἁμαρτίας σκότος διαφυγόντες, ἐν ἡμέρᾳ δικαιοσύνης περιπατήσωμεν· Καὶ ἐνδυσάμενοι τὰ ὅπλα τοῦ φωτὸς, ἀνεπιβουλεύτως διατελέσωμεν ἀπὸ πάσης ἐπηρείας τοῦ πονηροῦ, καὶ μετὰ παρρησίας δοξάσωμεν ἐπὶ πᾶσι σὲ τὸν μόνον ἀληθινὸν καὶ φιλάνθρωπον Θεόν. Σὸν γὰρ ὡς ἀληθῶς καὶ μέγα ὄντως Μυστήριον, Δέσποτα τῶν ἁπάντων καὶ Ποιητὰ, ἥτε πρόσκαιρος λύσις τῶν σῶν κτισμάτων, καὶ ἡ μετὰ ταῦτα συνάφεια καὶ ἀνάπαυσις ἡ εἰς αἰῶνας. Σοὶ χάριν ἐπὶ πᾶσιν ὁμολογοῦμεν ἐπὶ ταῖς εἰσόδοις ἡμῶν, ταῖς εἰς τὸν Κόσμον τοῦτον, καὶ ταῖς ἐξόδοις· αἳ τὰς ἐλπίδας ἡμῶν τῆς Ἀναστάσεως καὶ τῆς ἀκηράτου ζωῆς, διὰ τῆς σῆς ἀψευδοῦς

ἐπαγγελίας προμνηστεύονται, ἧς ἀπολαύσαιμεν ἐν τῇ δευτέρᾳ μελλούσῃ παρουσίᾳ σου. Σὺ γὰρ εἶ καὶ τῆς Ἀναστάσεως ἡμῶν Ἀρχηγός, καὶ τῶν βεβιωμένων ἀδέκαστος καὶ φιλάνθρωπος Κριτής, καὶ τῆς μισθαποδοσίας Δεσπότης καὶ Κύριος. Ὁ καὶ κοινωνήσας ἡμῖν παραπλησίως σαρκὸς καὶ αἵματος διὰ συγκατάβασιν ἄκραν· καὶ τῶν ἡμετέρων ἀδιαβλήτων παθῶν, ἐν τῷ ἑκουσίως εἰς πεῖραν καταστῆναι, προσλαβόμενος σπλάγχνα οἰκτιρμῶν, ἐν ᾧ πέπονθας πειρασθεὶς αὐτός, τοῖς πειραζομένοις ἡμῖν γενόμενος αὐτεπάγγελτος βοηθός· διὸ καὶ συνήγαγες ἡμᾶς εἰς τὴν ἀπάθειαν. Δέξαι οὖν, Δέσποτα, δεήσεις καὶ ἱκεσίας ἡμετέρας, καὶ ἀνάπαυσον πάντας τοὺς Πατέρας ἑκάστου, καὶ Μητέρας, καὶ Ἀδελφούς, καὶ Ἀδελφάς, καὶ Τέκνα, καὶ εἴ τι ἄλλο ὁμογενὲς καὶ ὁμόφυλον, καὶ πάσας τὰς προαναπαυσαμένας ψυχὰς ἐπ' ἐλπίδι Ἀναστάσεως ζωῆς αἰωνίου. καὶ κατάταξον τὰ πνεύματα αὐτῶν, καὶ τὰ ὀνόματα ἐν Βίβλῳ ζωῆς, ἐν κόλποις Ἀβραάμ, καὶ Ἰσαάκ, καὶ Ἰακώβ, ἐν χώρᾳ ζώντων, εἰς Βασιλείαν Οὐρανῶν, ἐν Παραδείσῳ τρυφῆς, διὰ τῶν φωτεινῶν Ἀγγέλων σου εἰσάγων ἅπαντας εἰς τὰς Ἁγίας σου μονάς. Συνέγειρον καὶ τὰ σώματα ἡμῶν ἐν ἡμέρᾳ, ᾗ ὥρισας, κατὰ τὰς ἁγίας σου καὶ ἀψευδεῖς ἐπαγγελίας. Οὐκ ἔστιν οὖν, Κύριε, τοῖς δούλοις σου θάνατος, ἐκδημούντων ἡμῶν ἀπὸ τοῦ σώματος, καὶ πρὸς σὲ τὸν Θεὸν ἐνδημούντων· ἀλλὰ μετάστασις ἀπὸ τῶν λυπηροτέρων ἐπὶ τὰ χρηστότερα καὶ θυμηδέστερα, καὶ ἀνάπαυσις καὶ χαρά. Εἰ δὲ καί τι ἡμάρτομεν εἰς σέ, ἵλεως γενοῦ ἡμῖν τε καὶ αὐτοῖς. διότι οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου ἐνώπιόν σου, οὐδ' ἂν μία ἡμέρα ἡ ζωὴ αὐτοῦ ἐστιν, εἰμὴ μόνος σὺ ὁ ἐπὶ γῆς φανεὶς ἀναμάρτητος, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, δι' οὗ πάντες ἐλπίζομεν ἐλέους τυχεῖν, καὶ ἀφέσεως ἁμαρτιῶν. Διὰ τοῦτο ἡμῖν τε, καὶ αὐτοῖς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός, ἄνες, ἄφες, συγχώρησον τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, τὰ ἐν γνώσει καὶ ἐν ἀγνοίᾳ, τὰ πρόδηλα, τὰ λανθάνοντα, τὰ ἐν πράξει, τὰ ἐν διανοίᾳ, τὰ ἐν λόγῳ, τὰ ἐν πάσαις ἡμῶν ταῖς ἀναστροφαῖς καὶ τοῖς κινήμασι. Καὶ τοῖς μὲν προλαβοῦσιν ἐλευθερίαν καὶ ἄνεσιν δώρησαι· ἡμᾶς δὲ τοὺς περιεστῶτας εὐλόγησον, τέλος ἀγαθὸν καὶ εἰρηνικὸν παρεχόμενος ἡμῖν τε, καὶ παντὶ τῷ λαῷ σου· καὶ ἐλέους σπλάγχνα καὶ φιλανθρωπίας διανοίγων ἡμῖν ἐν τῇ φρικτῇ καὶ φοβερᾷ σου παρουσίᾳ, καὶ τῆς Βασιλείας σου ἀξίους ἡμᾶς ποίησον.

Ἐπισυνάπτει καὶ ταύτην τὴν Εὐχήν.

Ὁ Θεὸς ὁ μέγας καὶ ὕψιστος, ὁ μόνος ἔχων ἀθανασίαν, φῶς οἰκῶν ἀπρόσιτον· ὁ πᾶσαν τὴν Κτίσιν ἐν σοφίᾳ δημιουργήσας· ὁ διαχωρήσας ἀναμέσον τοῦ φωτός, καὶ ἀναμέσον τοῦ σκότους, καὶ τὸν Ἥλιον θέμενος εἰς ἐξουσίαν τῆς ἡμέρας, Σελήνην δὲ καὶ Ἀστέρας εἰς ἐξουσίαν τῆς νυκτός· ὁ καταξιώσας ἡμᾶς τοὺς ἁμαρτωλοὺς καὶ ἐπὶ τῆς παρούσης ἡμέρας προφθάσαι τὸ πρόσωπόν σου ἐν ἐξομολογήσει, καὶ τὴν ἑσπερινήν σοι λατρείαν προσαγαγεῖν. Αὐτὸς φιλάνθρωπε Κύριε, κατεύθυνον τὴν προσευχὴν ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου, καὶ πρόσδεξαι αὐτὴν εἰς ὀσμὴν εὐωδίας. Παράσχου δὲ ἡμῖν τὴν παροῦσαν ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα εἰρηνικήν. ἔνδυσον ἡμᾶς ὅπλα φωτός. ῥῦσαι ἡμᾶς ἀπὸ φόβου νυκτερινοῦ, καὶ ἀπὸ παντὸς πράγματος ἐν σκότει διαπορευομένου. καὶ δώρησαι ἡμῖν τὸν ὕπνον, ὃν εἰς ἀνάπαυσιν τῇ ἀσθενείᾳ ἡμῶν ἐδωρήσω, πάσης διαβολικῆς φαντασίας ἀπηλλαγμένον. Ναὶ Δέσποτα τῶν ἁπάντων, τῶν ἀγαθῶν Χορηγέ· ἵνα καὶ ἐν ταῖς κοίταις ἡμῶν κατανυγόμενοι, μνημονεύωμεν καὶ ἐν νυκτὶ τοῦ παναγίου ὀνόματός σου· καὶ τῇ μελέτῃ τῶν σῶν ἐντολῶν καταυγαζόμενοι, ἐν ἀγαλλιάσει ψυχῆς διανιστῶμεν πρὸς δοξολογίαν τῆς σῆς ἀγαθότητος, δεήσεις καὶ ἱκεσίας τῇ σῇ εὐσπλαγχνίᾳ προσάγοντες ὑπὲρ τῶν ἰδίων ἁμαρτιῶν, καὶ παντὸς τοῦ λαοῦ σου. Ὃν ταῖς πρεσβείαις τῆς Ἁγίας Θεοτόκου ἐν ἐλέει ἐπίσκεψαι.

Ὁ Διάκονος.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον, καὶ διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου.

Ἐκφώνως ὁ Ἱερεύς.

Σὺ γὰρ εἶ ἡ ἀνάπαυσις τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος.

Πληρώσωμεν τὴν Ἑσπερινήν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον.

Τὴν Ἑσπέραν πᾶσαν τελείαν, ἁγίαν.

Ἄγγελον εἰρήνης πιστόν, ὁδηγόν.

Συγγνώμην, καὶ ἄφεσιν τῶν ἁμαρτιῶν.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης.

Ἐκφώνως ὁ Ἱερεύς.

Ὅτι ἀγαθός, καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν.

Ὁ Ἱερεύς. Εἰρήνη πᾶσι.

Ὁ Λαός. Καὶ τῷ Πνεύματί σου.

Ὁ Διάκονος.

Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Ὁ Λαός. Σοὶ Κύριε.

Καὶ ὁ Ἱερεὺς εὔχεται τὴν Εὐχὴν ταύτην Μυστικῶς.

Κύριε ὁ Θεὸς ἡμῶν, ὁ κλίνας Οὐρανούς, καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ Κριτῇ οἱ σοὶ δοῦλοι τὰς ἑαυτῶν ἔκλιναν κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας. οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν. οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ὥραν τε καὶ Ἑσπέραν, καὶ τὴν ἐπιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργείας, καὶ διαλογισμῶν ματαίων, καὶ ἐνθυμήσεων πονηρῶν.

Εἶτα Ἐκφωνεῖ.

Εἴη τὸ κράτος τῆς Βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ψάλλομεν τὰ ἰδιόμ. τοῦ στίχου. ἦχος γ΄.

Νῦν εἰς σημεῖον τοῖς πᾶσιν, ἐμφανῶς αἱ γλῶσσαι γεγόνασιν. Ἰουδαῖοι γάρ, ἐξ ὧν κατὰ σάρκα Χριστὸς ἀπιστίᾳ νοσήσαντες, θείας ἐξέπεσον χάριτος· καὶ τοῦ θείου φωτὸς οἱ ἐξ ἐθνῶν ἠξιώθημεν, στηριχθέντες τοῖς λόγοις τῶν Μαθητῶν, φθεγγο-

μένων τὴν δόξαν τοῦ εὐεργέτου τῶν ὅλων Θεοῦ. μεθ᾽ ὧν καρδίας σὺν τοῖς γόνασι κλίναντες, ἐν πίστει προσκυνήσωμεν τῷ Ἁγίῳ Πνεύματι, στηριχθέντες Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Στίχ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός.

Νῦν τὸ Παράκλητον Πνεῦμα, ἐπὶ πᾶσαν σάρκα ἐκκέχυται. Ἀποστόλων γὰρ χορείας ἀρξάμενον, ἐξ αὐτῶν κατὰ μέθεξιν, τοῖς πιστοῖς τὴν χάριν ἐφήπλωσε, καὶ πιστοῦται αὐτοῦ τὴν κραταιὰν ἐπιφοίτησιν, ἐν πυρίνῳ τῷ εἴδει τοῖς Μαθηταῖς διανέμον τὰς γλώσσας εἰς ὑμνῳδίαν, καὶ δόξαν Θεοῦ. διὸ τὰς καρδίας νοερῶς ἐλλαμπόμενοι, ἐν πίστει στηριχθέντες τῷ Ἁγίῳ Πνεύματι, δυσωποῦμεν σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου.

Νῦν περιβάλλονται κράτος, οἱ Χριστοῦ ἀφ᾽ ὕψους Ἀπόστολοι. ἐγκαινίζει γὰρ αὐτοὺς ὁ Παράκλητος, ἐν αὐτοῖς καινιζόμενος, μυστικῇ καινότητι γνώσεως. ἣν ταῖς ξέναις φωναῖς, καὶ ὑψηγόροις κηρύττοντες, τὴν ἀΐδιον Φύσιν τε καὶ ἁπλῆν, τρισυπόστατον σέβειν τοῦ εὐεργέτου τῶν ὅλων Θεοῦ ἡμᾶς ἐδίδαξαν. διὸ φωτισθέντες τοῖς ἐκείνων διδάγμασι, Πατέρα προσκυνήσωμεν, σὺν Υἱῷ καὶ Πνεύματι, δυσωποῦντες σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. ἦχος πλ. δ΄.

Λέοντος Δεσπότου.

Δεῦτε λαοί, τὴν Τρισυπόστατον Θεότητα προσκυνήσωμεν, Υἱὸν ἐν τῷ Πατρί, σὺν Ἁγίῳ Πνεύματι. Πατὴρ γὰρ ἀχρόνως ἐγέννησεν Υἱόν, συναΐδιον καὶ σύνθρονον, καὶ Πνεῦμα Ἅγιον ἦν ἐν τῷ Πατρί, σὺν Υἱῷ δοξαζόμενον. μία Δύναμις, μία Οὐσία, μία Θεότης, ἣν προσκυνοῦντες πάντες λέγομεν· Ἅγιος ὁ Θεός, ὁ τὰ πάντα δημιουργήσας δι᾽ Υἱοῦ, συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Ἅγιος ἰσχυρός, δι᾽ οὗ τὸν Πατέρα ἐγνώκαμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐπεδήμησεν ἐν Κόσμῳ. Ἅγιος ἀθάνατος, τὸ Παράκλητον Πνεῦμα, τὸ ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ ἐν Υἱῷ ἀναπαυόμενον. Τριὰς Ἁγία δόξα σοι.

Εἶτα τό, Νῦν ἀπολύεις. Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν.

Τὸ Ἀπολυτίκιον τῆς Ἑορτῆς, ἐκ τρίτου.

Εἶτα ὁ Ἱερεὺς ποιεῖ ἀπόλυσιν οὕτως.

Ὁ ἐκ τῶν πατρικῶν κόλπων κενώσας ἑαυτόν, καὶ τὴν ἡμετέραν ὅλην ἀνθρωπίνην προσλαβόμενος φύσιν, καὶ θεώσας αὐτήν· μετὰ δὲ ταῦτα εἰς Οὐρανοὺς αὖθις ἀνελθών, καὶ ἐν δεξιᾷ καθίσας τοῦ Θεοῦ καὶ Πατρός, τό, τε θεῖον, καὶ Ἅγιον, καὶ ὁμοούσιον, καὶ ὁμοδύναμον, καὶ ὁμόδοξον, καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς Ἁγίους αὐτοῦ Μαθητὰς καὶ Ἀποστόλους, καὶ διὰ τούτου φωτίσας μὲν αὐτούς, δι᾽ αὐτῶν δὲ πᾶσαν τὴν Οἰκουμένην, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου Ἁγίας αὐτοῦ Μητρός, τῶν Ἁγίων ἐνδόξων, Πανευφήμων, Θεοκηρύκων, καὶ Πνευματοφόρων Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς διὰ τὴν ἑαυτοῦ ἀγαθότητα.

Καὶ λαβὼν ὁ Ἱερεὺς συγχώρησιν, ἀπερχόμεθα πάντες.

# ΤΕΛΟΣ.

ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## ΑΡΧΗ ΣΥΝ ΘΕΩ ΑΓΙΩ,

# ΤΗΣ ΟΚΤΩΗΧΟΥ.

### ΤΩ ΣΑΒΒΑΤΩ ΕΣΠΕΡΑΣ.

Εἰς τό, Κύριε ἐκέκραξα, Στιχηρὰ Ἀναστάσιμα.

Ἦχος α΄.

ΤΑΣ Ἑσπερινὰς ἡμῶν εὐχάς, πρόσδεξαι Ἅγιε Κύριε· καὶ παράσχου ἡμῖν, ἄφεσιν ἁμαρτιῶν, ὅτι μόνος εἶ ὁ δείξας, ἐν Κόσμῳ τὴν Ἀνάστασιν.

ΚΥκλώσατε Λαοὶ Σιών, καὶ περιλάβετε αὐτήν, καὶ δότε δόξαν ἐν αὐτῇ, τῷ ἀναστάντι ἐκ νεκρῶν, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν.

ΔΕῦτε Λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστόν, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν Ἀνάστασιν, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ, τὸν Κόσμον λυτρωσάμενος.

Ἕτερα Στιχηρά, Ἀνατολίου Πατριάρχου.

ΕΥφράνθητε Οὐρανοί, σαλπίσατε τὰ θεμέλια τῆς Γῆς, βοήσατε τὰ Ὄρη εὐφροσύνην. Ἰδοὺ γὰρ ὁ Ἐμμανουὴλ τὰς ἁμαρτίας ἡμῶν, τῷ Σταυρῷ προσήλωσε, καὶ ζωὴν ὁ διδούς, θάνατον ἐνέκρωσε, τὸν Ἀδὰμ ἀναστήσας ὡς φιλάνθρωπος.

ΤΟν σαρκὶ ἑκουσίως, σταυρωθέντα δι' ἡμᾶς, παθόντα καὶ ταφέντα, καὶ ἀναστάντα ἐκ νεκρῶν, ὑμνήσωμεν λέγοντες· στήριξον ὀρθοδοξίᾳ τὴν Ἐκκλησίαν σου Χριστέ, καὶ εἰρήνευσον τὴν ζωὴν ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

ΤΩ ζωοδόχῳ σου τάφῳ, παρεστῶτες οἱ ἀνάξιοι, δοξολογίαν προσφέρομεν, τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν. ὅτι Σταυρὸν κατεδέξω, καὶ θάνατον ἀναμάρτητε, ἵνα τῷ Κόσμῳ δωρήσῃ, τὴν Ἀνάστασιν ὡς φιλάνθρωπος.

ΤΟν τῷ Πατρὶ συνάναρχον, καὶ συναΐδιον Λόγον, τὸν ἐκ Παρθενικῆς νηδύος, προελθόντα ἀφράστως, καὶ Σταυρὸν καὶ θάνατον, δι' ἡμᾶς ἑκουσίως καταδεξάμενον, καὶ ἀναστάντα ἐν δόξῃ, ὑμνήσωμεν λέγοντες· ζωοδότα Κύριε δόξα σοι, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΤΗν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν Ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα. Αὕτη γὰρ ἀνεδείχθη Οὐρανός, καὶ Ναὸς τῆς Θεότητος. Αὕτη τὸ μεσότειχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ Βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες, τῆς Πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν, τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω Λαὸς τοῦ Θεοῦ. καὶ γὰρ αὐτὸς πολεμήσει, τοὺς ἐχθροὺς ὡς Παντοδύναμος.

Εἰς τὸν Στίχον, Στιχηρά.

ΤΩ Πάθει σου Χριστέ, παθῶν ἠλευθερώθημεν, καὶ τῇ Ἀναστάσει σου, ἐκ φθορᾶς ἐλυτρώθημεν, Κύριε δόξα σοι.

Ἕτερα Στιχηρὰ κατ' Ἀλφάβητον.

ΑΓαλλιάσθω ἡ Κτίσις, Οὐρανοὶ εὐφραινέσθωσαν, χεῖρας κροτείτω τὰ Ἔθνη μετ' εὐφροσύνης. Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, τῷ Σταυρῷ προσήλωσε τὰς ἁμαρτίας ἡμῶν, καὶ τὸν θάνατον νεκρώσας, ζωὴν ἡμῖν ἐδωρήσατο. πεπτωκότα τὸν Ἀδάμ, παγγενῆ ἀναστήσας ὡς φιλάνθρωπος.

ΒΑσιλεὺς ὑπάρχων Οὐρανοῦ, καὶ γῆς ἀκατάληπτε, ἑκὼν ἐσταύρωσαι διὰ φιλανθρωπίαν. Ὃν ὁ Ἅδης συναντήσας κάτωθεν ἐπικράνθη, καὶ Δικαίων ψυχαὶ δεξάμεναι ἠγαλλιάσαντο. Ἀδὰμ δὲ ἰδών σε τὸν Κτίστην ἐν τοῖς καταχθονίοις ἀνέστη. Ὢ τοῦ θαύματος· πῶς θανάτου ἐγεύσατο ἡ τῶν ἁπάντων ζωή. ἀλλ' ἢ ὡς ἠβουλήθη, Κόσμον φωτίσαι, κραυγάζοντα, καὶ λέγοντα· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

ΓΥναῖκες Μυροφόροι, μύρα φέρουσαι, μετὰ σπουδῆς καὶ ὀδυρμοῦ, τὸν τάφον σου κατέλαβον· καὶ μὴ εὑροῦσαι τὸ ἄχραντον Σῶμά σου, παρὰ δὲ τοῦ Ἀγγέλου μαθοῦσαι, τὸ καινὸν καὶ παράδοξον θαῦμα, τοῖς Ἀποστόλοις ἔλεγον· Ἀνέστη ὁ Κύριος, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΙΔοὺ πεπλήρωται ἡ τοῦ Ἡσαΐου πρόρρησις. Παρθένος γὰρ ἐγέννησας, καὶ μετὰ τόκον ὡς πρὸ τόκου διέμεινας. Θεὸς γὰρ ἦν ὁ τεχθείς, διὸ καὶ φύσεις ἐκαινοτόμησεν. ἀλλ' ὦ Θεομῆτορ, ἱκεσίας σῶν δούλων, σῷ Τεμένει προσφερομένας σοι μὴ παρίδῃς. ἀλλ' ὡς τὸν εὔσπλαγχνον σαῖς ἀγκάλαις φέρουσα, σοῖς ἱκέταις σπλαγχνίσθητι, καὶ πρέσβευε σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τροπάρ.

ΤΟῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου Σῶμα, ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ Κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ δυνάμεις τῶν Οὐρανῶν ἐβόων σοι ζωοδότα· δόξα τῇ Ἀναστάσει σου Χριστέ, δόξα τῇ Βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

Θεοτοκίον.

ΤΟῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ. ἐδείχθης πλατυτέρα τῶν Οὐρανῶν βαστάσασα τὸν Κτίστην σου. δόξα τῷ ἐνοικήσαντι ἐν σοί. δόξα τῷ προελθόντι ἐκ σοῦ. δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

### ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΪ,

Ἐν τῷ Μεσονυκτικῷ, Κανὼν Τριαδικός.

Οὗ ἡ Ἀκροστιχίς.

Μίαν σε μέλπω τὴν Τρισήλιον φύσιν.

Ποίημα Μητροφάνους.

Ὠδὴ α΄. Σοῦ ἡ τροπαιοῦχος δεξιά.

ΜΙαν τρισυπόστατον ἀρχήν, τὰ Σεραφὶμ ἀσιγήτως δοξάζουσιν, ἄναρχον, ἀΐδιον, ποιητικὴν ἁπάντων, ἀκατάληπτον, ἣν καὶ πᾶσα γλῶσσα, πιστῶς γεραίρει τοῖς ᾄσμασιν.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἵνα τοῖς ἀνθρώποις ἐφικτὴν, τὴν τρισλαμπῆ σου δηλώσῃς Θεότητα, πλάσας πρὶν τὸν Ἄνθρωπον, κατὰ τὴν σὴν Εἰκόνα διεμόρφωσας, νοῦν αὐτῷ καὶ λόγον, καὶ πνεῦμα δοὺς ὡς Φιλάνθρωπος.

Ἄνωθεν δεικνὺς Μοναδικὸν, Θεαρχικαῖς ἐν τρισὶν Ὑποστάσεσι, κράτος Πάτερ ἔφησας, τῷ ἰσουργῷ Υἱῷ σου καὶ τῷ Πνεύματι· δεῦτε καταβάντες, αὐτῶν τὰς γλώσσας συγχέωμεν.

Θεοτοκίον.

Νοῦς μὲν ὁ ἀγέννητος Πατὴρ, εἰκονικῶς τοῖς σοφοῖς προηγόρευται· Λόγος δὲ συνάναρχος, ὁ συμφυὴς Υἱὸς, καὶ Πνεῦμα Ἅγιον, τὸ ἐν τῇ Παρθένῳ, τοῦ Λόγου κτίσαν τὴν Σάρκωσιν.

Ὠδὴ γ'. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Σὺ πάλαι σαφῶς τῷ Ἀβραὰμ, ὡς ὤφθης Τρισυπόστατος, Μοναδικός τε φύσει Θεότητος, Θεολογίας τὸ ἀκραιφνέστατον, τυπικῶς ἐνέφηνας, καὶ πιστῶς ὑμνοῦμέν σε, τὸν Μονάρχην Θεὸν καὶ Τρισήλιον.

Ἐκ σοῦ γεννηθεὶς θεοπρεπῶς, ἀρρήτως Πάτερ ἔλαμψε, φῶς ἐκ φωτὸς Υἱὸς ἀπαράλλακτος, καὶ Πνεῦμα θεῖον φῶς ἐκπεπόρευται, καὶ μιᾶς Θεότητος, αἴγλην Τρισυπόστατον, προσκυνοῦμεν πιστῶς καὶ δοξάζομεν.

Μονὰς ἡ Τριὰς ὑπερφυῶς, ἀρρήτως ὑπὲρ ἔννοιαν, ταῖς νοεραῖς οὐσίαις δοξάζεται, ταῖς τρισαγίαις φωναῖς ἀσίγητον, ἐκβοώσαις αἴνεσιν· αἷς συμφώνως ὑμνεῖται, καὶ ἡμῖν Τρισυπόστατος Κύριος.

Θεοτοκίον.

Ἐκ σοῦ χρονικῶς ἄνευ σπορᾶς, προῆλθεν ὁ ὑπέρχρονος, ὁμοιωθεὶς ἡμῖν ὁ ἀνείδεος, καὶ μίαν φύσιν καὶ Κυριότητα, τοῦ Πατρὸς ἐδίδαξε, καὶ Υἱοῦ καὶ Πνεύματος, Θεοτόκε· διό σε δοξάζομεν.

Κάθισμα Τριαδικόν. Τὸν τάφον σου Σωτήρ.

Πατέρα καὶ Υἱὸν, προσκυνήσωμεν πάντες, καὶ Πνεῦμα τὸ εὐθὲς, καὶ ἰσότιμον δόξῃ, Τριάδα τὴν ἄκτιστον, καὶ Ὑπέρθεον δύναμιν· ἣν δοξάζουσι, τῶν Ἀσωμάτων αἱ τάξεις· ταύτην σήμερον, καὶ γηγενεῖς μετὰ φόβου, πιστῶς εὐφημήσωμεν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁδήγησον ἡμᾶς, ἐν ὁδῷ μετανοίας, ἐκκλίνοντας ἀεὶ, πρὸς κακῶν ἀνοδίας, καὶ τὸν ὑπεράγαθον, παροργίζοντας Κύριον, ἀπειρόγαμε, εὐλογημένη Μαρία, καταφύγιον, ἀπεγνωσμένων ἀνθρώπων, Θεοῦ ἐνδιαίτημα.

Ὠδὴ δ'. Ὅρος σε τῇ χάριτι.

Λάμψον μοι Θεαρχία τρισήλιε λάμψεσι, σῶν θεουργῶν μαρμαρυγῶν, τοῖς τῆς καρδίας ὀφθαλμοῖς, τὸ κάλλος φαντάζεσθαι, τῆς ὑπὲρ νοῦν θεαρχικῆς σου λαμπρότητος, καὶ φωτουργοῦ καὶ γλυκείας μεθέξεως.

Πρότερον Οὐρανοὺς ἐστερέωσας Κύριε, καὶ πᾶσαν δύναμιν αὐτῶν, τῷ Λόγῳ σου τῷ παντουργῷ, καὶ Πνεύματι στόματος, τῷ συμφυεῖ. μεθ' ὧν δεσπόζεις τοῦ σύμπαντος, ἐν τρισλαμπεῖ Μοναρχίᾳ Θεότητος.

Ὡς ἔπλασας κατ' εἰκόνα με σὴν καὶ ὁμοίωσιν, θεαρχική, παντουργική, Τριὰς ἀσύγχυτε Μονὰς, συνέτισον, φώτισον, πρὸς τὸ ποιεῖν τὸ θέλημά σου τὸ Ἅγιον, τὸ ἀγαθὸν ἐν ἰσχύϊ καὶ τέλειον.

Θεοτοκίον.

Τέτοκας τῆς Τριάδος τὸν ἕνα Πανάχραντε, θεαρχικώτατον Υἱὸν, σωματωθέντα δι' ἡμᾶς, ἐκ σοῦ καταυγάζοντα, τοὺς γηγενεῖς τῆς τρισηλίου Θεότητος, τῷ ἀνεσπέρῳ φωτὶ καὶ ταῖς λάμψεσιν.

Ὠδὴ ε'. Ὁ φωτίσας τῇ ἐλλάμψει.

Ἡ τὸν πρῶτον τῶν Ἀγγέλων ἀμέσως διάκοσμον, ἀπροσίτοις τοῦ σοῦ κάλλους, ἀκτῖσιν ἐκλάμπουσα, ταῖς σαῖς αἴγλαις φώτισον, Τριὰς ἡ μοναρχικωτάτη, τοὺς Ὀρθοδόξως σε μέλποντας.

Νῦν ἡ φύσις ἑνικὴ Θεαρχία τρισήλιε, ἀνυμνεῖ σε, ἣν οὐσίωσας δι' ἀγαθότητα, τῶν πταισμάτων λύτρωσιν, καὶ πειρασμῶν ἐξαιτουμένη, καὶ τῶν δεινῶν καὶ τῶν θλίψεων.

Τὸν Πατέρα, καὶ Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον, μίαν φύσιν, καὶ Θεότητα πίστει δοξάζομεν, μεριστὴν ἀμέριστον, ἕνα Θεὸν τῆς ἀοράτου, καὶ ὁρωμένης τε Κτίσεως.

Θεοτοκίον.

Ῥήσεις πᾶσαι Προφητῶν προδιέγραψαν Ἄχραντε, τὸν σὸν Τόκον, τὸν ἀπόρρητον καὶ ἀνερμήνευτον· ὃν ἡμεῖς ἐγνώκαμεν, μυσταγωγὸν τῆς ἑνιαίας, καὶ τρισηλίου Θεότητος.

Ὠδὴ ς'. Ἐκύκλωσεν ἡμᾶς.

Ἰσόρροπον τὴν δύναμιν ὡς ἔχουσα, Τριὰς ἡ ὑπερούσιος, ἐν ταυτότητι θελήσεως Μονὰς, πέφυκας ἁπλῆ, καὶ ἀδιαίρετος. σὺ οὖν ἡμᾶς, ἐν τῇ δυνάμει σου περιφρούρησον.

Δίς.

Σὺ πάντας τοὺς αἰῶνας τῇ βουλήσει σου, ὡς ἀγαθὴ ὑπέστησας, ἐξ οὐκ ὄντων ἀκατάληπτε Τριάς· εἶτα καὶ τὸν ἄνθρωπον διέπλασας. ἀλλὰ καὶ νῦν, ἐκ πάσης ῥῦσαί με περιστάσεως.

Θεοτοκίον.

Ἡλίου τοῦ ἀδύτου οἶκος γέγονας, τοῦ κτίσαντος καὶ τάξαντος, τοὺς Φωστῆρας τοὺς μεγάλους πανσθενῶς, Ἄχραντε Παρθένε Θεονύμφευτε. ἀλλὰ καὶ νῦν, τῆς τῶν παθῶν με ῥῦσαι ζοφώσεως.

Κάθισμα Τριαδικόν. Τὸν τάφον σου Σωτήρ.

Τριάδα τὴν σεπτὴν, καὶ ἀμέριστον φύσιν, προσώποις ἐν τρισὶ, τεμνομένην ἀτμήτως, καὶ μένουσαν ἀμέριστον, κατ' οὐσίαν Θεότητος, προσκυνήσωμεν, οἱ γηγενεῖς μετὰ φόβου, καὶ δοξάσωμεν, ὡς Ποιητὴν καὶ Δεσπότην, Θεὸν ὑπεράγαθον.

Θεοτοκίον.

Κυβέρνησον Ἁγνὴ, τὴν ἀθλίαν ψυχήν μου, καὶ οἴκτειρον αὐτὴν, ὑπὸ πλήθους πταισμάτων, βυθῷ ὀλισθαίνουσαν, ἀπωλείας πανάμωμε· καὶ ἐν ὥρᾳ με, τῇ φοβερᾷ τοῦ θανάτου, σὺ ἐξάρπασον, κατηγορούντων δαιμόνων, καὶ πάσης κολάσεως.

Ὠδὴ ζ'. Σὲ νοητὴν Θεοτόκε κάμινον.

Λόγε Θεοῦ, συμφυὲς ἀπαύγασμα, τοῦ Παντοκράτορος Θεοῦ, ὡς ὑπέχου τὴν παρὰ σοῦ, θεουργὸν ἐνοίκησιν, ποίησον ὡς Εὔσπλαγχνος, σὺν τῷ Πατέρι σου, καὶ τῷ Πνεύματι, καὶ φοβερὸν, τοῖς δαίμοσί με δεῖξον καὶ πάθεσι.

Δίς.

Ἵνα τῆς σῆς, εὐσπλαγχνίας Δέσποτα, δείξῃς τὸ πέλαγος ἡμῖν, τὸν Υἱόν σου πρὸς τὴν ἡμῶν, πέμψας ταπεινότητα, αὖθις ἀνεμόρφωσας, πρὸς τὴν ἀρχαίαν λαμπρότητα. ἀλλὰ καὶ νῦν, τῷ Θείῳ με συνέτισον Πνεύματι.

Θεοτοκίον.

Ὁ Χερουβὶμ, Θρόνῳ ἐποχούμενος, καὶ τῶν ἁπάντων Βασιλεὺς, ἐν γαστρί σου Παρθενικῇ, ᾤκησε Πανάχραντε, πάντας ἐκλυτρούμενος, ἐκ τῆς φθορᾶς ὡς φιλάνθρωπος. ἀλλὰ καὶ νῦν, ταῖς σαῖς παρεσβείαις με περιφρούρησον.

Ὠδὴ η'. Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος.

Νεύματι θεουργικῷ Κύριε πάντων, Τρισυπόστατε καὶ Παντοκράτορ, Οὐρανοὺς ἐξέτεινας ὡσεὶ δέῤῥιν, εἶτα καὶ γῆς, ἀπῃώρησας τὸ βάθος πανσθενεῖ σου δρακί. διὸ καὶ τοὺς δούλους σου κραταίωσον, τῇ ἀγάπῃ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ πίστει τῇ σῇ φιλάνθρωπε· ἵνα σε δοξάζωμεν πόθῳ εἰς αἰῶνας. Δίς.

Φώτισον θεαρχικὸν φῶς τοὺς ὑμνοῦντας, τὸ τρισήλιον φῶς τοῖς προσώποις, ἑνιαῖον αὖθις δὲ τῇ οὐσίᾳ, καὶ πρὸς τὰς σὰς, φωτοδότιδας ἀκτῖνας ἐπιβλέπειν ἀεί. δι' ὧν χορτασθήσομαι τὴν δόξαν σου, τὴν γλυκεῖαν, καὶ φωτεργὸν καὶ πανόλβιον, καὶ ὑπερυψοῦσε, πιστῶς εἰς τοὺς αἰῶνας. Θεοτοκίον.

Ὕψωσεν εἰς Οὐρανοὺς τὴν τῶν ἀνθρώπων, προσλαβόμενος φύσιν ἀτρέπτως, ὁ Υἱός σου Πάναγνε Θεοτόκε, ὑπερβολῇ ἀγαθότητος, ῥυσάμενος τῆς πάλαι φθορᾶς. ᾧ καὶ εὐχαρίστως ἀναμέλπομεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Τύπον τῆς ἁγνῆς λοχείας σου.

Σῶσον ὁ Σωτὴρ τῆς Κτίσεως, τῆς αἰσθητῆς καὶ νοουμένης τοὺς δούλους σου, τῆς τῶν δυσμενῶν ἐπιβολῆς καὶ κακώσεως, Παναγία Τριὰς ὁμοούσιε· καὶ φρούρει τὴν σὴν ποίμνην, διαπαντὸς ἀνεπιβούλευτον. Δίς.

Ἵνα τὸν βυθὸν τὸν ἄπειρον, τῆς οὐσιώδους δείξῃς σου ἀγαθότητος, δέδωκας ἡμῖν, ἐπαγγελίας τρισήλιε, καὶ Μονάρχα Θεὲ Παντοδύναμε, σωστικὰς τοῖς σοῖς δούλοις· ἃς ἐκπληρῶσαι καταξίωσον.

Θεοτοκίον.

Νεῦσον ταῖς ἡμῶν δεήσεσιν, ὁ ἐν τρισὶ θεαρχικαῖς Ὑποστάσεσι, μόνος εἷς Θεὸς ἀληθινὸς πιστευόμενος. καὶ παράσχου τοῖς δούλοις παράκλησιν, πρεσβείαις τῆς Ἀχράντου, καὶ Πανυμνήτου Θεομήτορος.

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν α'. Στιχ. Καθίσματα.

Τὸν τάφον σου Σωτὴρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, Γυναιξὶ τὴν Ἀνάστασιν. σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην, σοὶ προσπίπτομεν, τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν. Δόξα.

Σταυρῷ προσηλωθεὶς, ἑκουσίως οἰκτίρμον, ἐν μνήματι τεθεὶς, ὡς θνητὸς Ζωοδότα, τὸ κράτος συνέτριψας, Δυνατὲ τῷ Θανάτῳ σου. σὲ γὰρ ἔφριξαν, οἱ πυλωροὶ οἱ τοῦ Ἅδου, σὺ συνήγειρας τοὺς ἀπ' αἰῶνος θανέντας, ὡς μόνος φιλάνθρωπος. Καὶ νῦν. Θεοτοκίον.

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες. Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα. σὲ γὰρ ἔχομεν, ἁμαρτωλοὶ προστασίαν, σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην Πανάμωμον.

Μετὰ τὴν β'. Στιχολ. Καθίσματα.

Τοῦ λίθου σφραγισθέντος.

Γυναῖκες πρὸς τὸ μνῆμα, παρεγένοντο ὄρθριαι, καὶ Ἀγγελικὴν ὀπτασίαν, θεασάμεναι ἔτρεμον. ὁ τάφος ἐξήστραπτε ζωήν· τὸ θαῦμα κατέπληττεν αὐτάς. διὰ τοῦτο ἀπελθοῦσαι, τοῖς Μαθηταῖς ἐκήρυττον τὴν Ἔγερσιν. τὸν Ἅδην ἐσκύλευσε Χριστὸς, ὡς μόνος κραταιὸς καὶ δυνατὸς, καὶ φθαρέντας συνήγειρε πάντας, τὸν τῆς κατακρίσεως φόβον, λύσας δυνάμει Σταυροῦ. Δόξα.

Ἐν τῷ Σταυρῷ προσηλωθεὶς, ἡ ζωὴ τῶν ἁπάντων, καὶ ἐν νεκροῖς λογισθεὶς, ὁ ἀθάνατος Κύριος, ἀνέστης τριήμερος Σωτὴρ, καὶ ἤγειρας Ἀδὰμ ἐκ τῆς φθορᾶς. διὰ τοῦτο αἱ Δυνάμεις τῶν Οὐρανῶν ἐβόων σοι Ζωοδότα· δόξα τοῖς σοῖς Παθήμασι Χριστέ· δόξα τῇ Ἀναστάσει σου· δόξα τῇ συγκαταβάσει σου, μόνε Φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον. Τὸν τάφον σου Σωτήρ.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων. Σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Μετὰ τὸν Ἄμωμον, ἡ Ὑπακοή.

Ἡ τοῦ Λῃστοῦ μετάνοια τὸν Παράδεισον ἐσύλησεν· ὁ δὲ θρῆνος τῶν Μυροφόρων τὴν χαρὰν ἐμήνυσεν. ὅτι ἀνέστης Χριστὲ ὁ Θεὸς, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον Α'.

Ἐν τῷ θλίβεσθαί με, εἰσάκουσόν μου τῶν ὀδυνῶν, Κύριε σοὶ κράζω.

Τοῖς ἐρημικοῖς, ἄπαυστος ὁ θεῖος πόθος ἐγγίνεται, Κόσμου οὖσι τοῦ ματαίου ἐκτός.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τιμὴ καὶ δόξα, ὥσπερ Πατρὶ, πρέπει ἅμα καὶ Υἱῷ. διὰ τοῦτο ᾄσωμεν τῇ Τριάδι μονοκρατορίαν.

Ἀντίφωνον Β'.

Εἰς τὰ ὄρη τῶν σῶν, ὑψώσας με νόμων, ἀρεταῖς ἐκλάμπρυνον, ὁ Θεὸς ἵνα ὑμνῶ σε.

Δεξιᾷ σου χειρὶ λαβὼν σὺ Λόγε, φύλαξόν με, φρούρησον, μὴ πῦρ με φλέξῃ τῆς ἁμαρτίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ἡ Κτίσις καινουργεῖται, παλινδρομοῦσα εἰς τὸ πρῶτον. ἰσοσθενὲς γάρ ἐστι Πατρὶ, καὶ Λόγῳ.

Ἀντίφωνον Γ'.

Ἐπὶ τοῖς εἰρηκόσι μοι, ὁδεύσωμεν εἰς τὰς αὐλὰς τοῦ Κυρίου, ηὐφράνθη μου τὸ πνεῦμα, συγχαίρει ἡ καρδία.

Ἐπὶ οἶκον Δαβὶδ, φόβος μέγας. ἐκεῖ γὰρ θρόνων ἐκτεθέντων, κριθήσονται ἅπασαι, αἱ Φυλαὶ τῆς γῆς καὶ Γλῶσσαι.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τιμὴν προσκύνησιν, δόξαν καὶ κράτος, ὡς Πατρί τε ἄξιον, καὶ τῷ Υἱῷ δεῖ προσφέρειν. μονὰς γάρ ἐστιν ἡ Τριὰς τῇ φύσει, ἀλλ' οὐ προσώποις.

Προκείμενον.

Νῦν ἀναστήσομαι λέγει Κύριος.

Στίχ. Τὰ λόγια Κυρίου, λόγια ἁγνά.

Πᾶσα πνοή. Εὐαγγέλιον τὸ Ἑωθινόν.

Ἀνάστασιν Χριστοῦ, καὶ ὁ Ν'. Κανὼν ὁ Ἀναστάσιμος.

Ὠδὴ α'. Ἦχος α'. Ὁ Εἱρμός.

Σοῦ ἡ τροπαιοῦχος δεξιὰ, θεοπρεπῶς ἐν ἰσχύϊ δεδόξασται. αὕτη γὰρ Ἀθάνατε, ὡς πανσθενὴς ὑπεναντίους ἔθραυσε, τοῖς Ἰσραηλίταις, ὁδὸν βυθοῦ καινουργήσασα.

Τροπάριον.

Ὁ χερσὶν ἀχράντοις ἐκ χοὸς, θεουργικῶς κατ' ἀρχὰς διαπλάσας με, χεῖρας διεπέτασας ἐν τῷ Σταυρῷ, ἐκ γῆς ἀνακαλούμενος, τὸ φθαρέν μου σῶμα, ὃ ἐκ Παρθένου προσείληφας.

Νέκρωσιν ὑπέστη δι' ἐμὲ, καὶ τὴν ψυχὴν τῷ θανάτῳ προδίδωσιν, ὁ ἐμπνεύσει θείᾳ ψυχήν μοι ἐνθεὶς, καὶ λύσας αἰωνίων δεσμῶν, καὶ συναναστήσας, τῇ ἀφθαρσίᾳ ἐδόξασε.

Θεοτοκίον.

Χαῖρε ἡ τῆς χάριτος πηγή, Χαῖρε ἡ κλίμαξ, καὶ πύλη οὐράνιος. Χαῖρε ἡ λυχνία, καὶ στάμνος χρυσῆ, καὶ ὄρος ἀλατόμητον, ἡ τὸν Ζωοδότην Χριστὸν, τῷ Κόσμῳ κυήσασα.

ΔΗΜΟΤΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ ΒΕΡΟΙΑΣ
Δημοτική Κεντρική Βιβλιοθήκη Βέροιας

Ἕτερος Κανὼν Σταυροαναστάσιμος.

Χριστὸς γεννᾶται.

Χριστὸς Θεοῖ με σαρκούμενος· Χριστός με ἀνυψοῖ ταπεινούμενος· Χριστὸς ἀπαθῆ ἐργάζεται, πάσχων ὁ Ζωοδότης, φύσει σαρκός. ὅθεν ἀναμέλπω, χαριστήριον ᾠδὴν, ὅτι δεδόξασαι.

Χριστὸς ὑψοῖ με σταυρούμενος· Χριστὸς συνανιστᾷ με νεκρούμενος· Χριστός μοι ζωὴν χαρίζεται. ὅθεν ἐν εὐφροσύνῃ, χεῖρας κροτῶν, ᾄδω τῷ Σωτῆρι, ἐπινίκιον ᾠδὴν, ὅτι δεδόξασαι.

Θεοτοκίον.

Θεὸν Παρθένε συνέλαβες, Χριστὸν ἐν παρθενίᾳ δὲ τέτοκας, ἐκ σοῦ σαρκωθέντα Πάναγνε, ἕνα τῇ ὑποστάσει Μονογενῆ, ἐν δυσὶν οὐσίαις, γνωριζόμενον Υἱὸν, ὅτι δεδόξασαι.

Ἕτερος Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου.

Σοῦ ἡ τροπαιοῦχος δεξιά.

Ποίαν σοι ἐπάξιον ᾠδὴν, ἡ ἡμετέρα προσοίσει ἀσθένεια; εἰμὴ τὴν χαρμόσυνον, ἣν Γαβριὴλ ἡμᾶς ἐμυσταγώγησε. Χαῖρε Θεοτόκε, Παρθένε Μήτηρ Ἀνύμφευτε.

Τῇ Ἀειπαρθένῳ καὶ Μητρὶ, τοῦ Βασιλέως τῶν ἄνω Δυνάμεων, ἐκ καθαρωτάτης καρδίας πιστοὶ, πνευματικῶς βοήσωμεν· Χαῖρε Θεοτόκε, Παρθένε Μήτηρ Ἀνύμφευτε.

Θεοτοκίον.

Ἄπειρος ἡ Ἄβυσσος τῆς σῆς, ἀκαταλήπτου κυήσεως Πάναγνε. πίστει ἀδιστάκτῳ οὖν, εἰλικρινῶς προσφερόμενοί σοι λέγοντες· Χαῖρε Θεοτόκε, Παρθένε Μήτηρ Ἀνύμφευτε.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Ὁ Μόνος εἰδὼς τῆς τῶν βροτῶν, οὐσίας τὴν ἀσθένειαν, καὶ συμπαθῶς αὐτὴν μορφωσάμενος, περίζωσόν με ἐξ ὕψους δύναμιν, τοῦ βοᾶν σοι· Ἅγιος, ὁ Ναὸς ὁ ἔμψυχος, τῆς ἀχράντου σου δόξης Φιλάνθρωπε.

Τροπάριον.

Θεός μου ὑπάρχων Ἀγαθὲ, πεσόντα κατῳκτείρησας, καὶ καταβῆναι πρός με ηὐδόκησας, ἀνύψωσάς με διὰ Σταυρώσεως, τοῦ βοᾶν σοι Ἅγιος· ὁ τῆς δόξης Κύριος, ὁ ἀνείκαστος ἐν ἀγαθότητι.

Ζωὴ ἐνυπόστατος Χριστὲ, ὑπάρχων καὶ φθαρέντα με, ὡς συμπαθὴς Θεὸς ἐνδυσάμενος, εἰς χοῦν θανάτου καταβὰς Δέσποτα, τὸ θνητὸν διέρρηξας, καὶ νεκροὺς τριήμερος, ἀναστὰς ἀφθαρσίαν ἠμφίασας.

Θεοτοκίον.

Θεὸν συλλαβοῦσα ἐν Γαστρὶ, Παρθένε διὰ Πνεύματος, τοῦ Παναγίου ἔμεινας ἄφλεκτος. ἐπεὶ σὲ βάτος τῷ νομοθέτῃ Μωσῇ, φλεγομένην ἄκαυστα, σαφῶς προεμήνυσε, τὴν τὸ πῦρ δεξαμένην τὸ ἄστεκτον.

Εἱρμὸς ἄλλος. Τῷ πρὸ τῶν αἰώνων.

Τῷ ἐπὶ τῶν ὤμων, τὸ πλανώμενον πρόβατον ἄραντι, καὶ καθελόντι διὰ ξύλου, τὴν αὐτοῦ ἁμαρτίαν, Χριστῷ τῷ Θεῷ βοήσωμεν· ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Τῷ ἀναγαγόντι, τὸν Ποιμένα τὸν μέγαν ἐξ Ἅδου Χριστὸν, καὶ τῇ αὐτοῦ Ἱεραρχίᾳ, διὰ τῶν Ἀποστόλων, σαφῶς τὰ Ἔθνη ποιμάναντι, ἐν ἀληθείᾳ, καὶ Θείῳ πιστοὶ, Πνεύματι λατρεύσωμεν.

Θεοτοκίον.

Τῷ ἐκ τῆς Παρθένου, σαρκωθέντι ἀσπόρως βουλήσει Υἱῷ, καὶ τὴν τεκοῦσαν μετὰ τόκον, Θείῃ δυναστείᾳ, Ἁγνὴν Παρθένον φυλάξαντι, τῷ ἐπὶ πάντων βοῶμεν Θεῷ· Ἅγιος εἶ Κύριε.

Ἄλλος. Ὁ μόνος εἰδὼς τῆς τῶν βροτῶν.

Νεφέλην σε κούφην ἀψευδῶς, Παρθένε ὀνομάζομεν, προφητικαῖς ἑπόμενοι ῥήσεσιν. ἐλήλυθε γὰρ ἐπὶ σοὶ Κύριος, καθελεῖν Αἰγύπτια, πλάνης χειροποίητα, καὶ φωτίσαι τοὺς ταῦτα λατρεύοντας.

Σὲ ἐσφραγισμένην ἀληθῶς, χορὸς Προφητικὸς, πηγήν τε κεκλεισμένην πύλην ὠνόμασε, τῆς Παρθενίας τῆς σῆς Πανύμνητε, τηλαυγῶς τὰ σύμβολα, ἡμῖν διαγράφοντα, ἣν ἐφύλαξας καὶ μετὰ γέννησιν.

Νοῦν τὸν ὑπερούσιον ἰδεῖν, ὡς θέμις ἀξιούμενος, ὁ Γαβριὴλ Παρθένε παναμώμητε, περιχαρῆ σοι φωνὴν ἐκόμισε, τὴν τοῦ Λόγου σύλληψιν, ἐμφανῶς μηνύουσαν, καὶ τὸν ἄφραστον τόκον κηρύττουσαν.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ὄρος σε τῇ χάριτι τῇ θείᾳ κατάσκιον, προβλεπτικοῖς ὁ Ἀββακοὺμ, κατανοήσας ὀφθαλμοῖς, ἐκ σοῦ ἐξελεύσεσθαι, τοῦ Ἰσραὴλ προανεφώνει τὸν Ἅγιον, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Τροπάριον.

Τίς οὗτος Σωτὴρ ὁ ἐξ Ἐδὼμ ἀφικόμενος, στεφηφορῶν ἐξ ἀκανθῶν, πεφοινιγμένος τὴν στολὴν, ἐν ξύλῳ κρεμάμενος; τοῦ Ἰσραὴλ ὑπάρχει οὗτος ὁ Ἅγιος, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ἴδετε Λαὸς τῶν ἀπειθῶν, καὶ αἰσχύνθητε. ὃν ὡς κακοῦργον γὰρ ὑμεῖς, ἀναρτηθῆναι ἐν Σταυρῷ, Πιλάτῳ ᾐτήσασθε, φρενοβλαβῶς, θανάτου λύσας τὴν δύναμιν, θεοπρεπῶς ἐξανέστη τοῦ μνήματος.

Θεοτοκίον.

Ξύλου σε Παρθένε τῆς ζωῆς ἐπιστάμεθα· οὐ γὰρ τῆς βρώσεως καρπὸς, θανατηφόρος τοῖς βροτοῖς, ἐκ σοῦ ἀνεβλάστησεν, ἀλλὰ ζωῆς τῆς ἀϊδίου ἀπόλαυσις, εἰς σωτηρίαν ἡμῶν τῶν ὑμνούντων σε.

Εἱρμὸς ἄλλος. Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί.

Τίς οὗτος ὡραῖος ἐξ Ἐδὼμ, καὶ τούτου τὸ ἐρύθημα, τῶν ἱματίων ἐξ ἀμπέλου Βοσώρ; ὡραῖος ὅτι Θεὸς, ὡς βροτὸς δὲ Αἵματι σαρκὸς, τὴν στολὴν πεφοινιγμένος, ᾧ μελῳδοῦμεν πιστοί· δόξα τῇ δυνάμει σου Κύριε.

Χριστὸς τῶν μελλόντων ἀγαθῶν, φανεὶς Ἀρχιερεὺς ἡμῶν, τὴν ἁμαρτίαν διεσκέδασε, καὶ δείξας ξένην ὁδὸν, τῷ ἰδίῳ Αἵματι, εἰς κρείττονα καὶ τελειοτέραν, εἰσέδραμε δὲ σκηνὴν, πρόδρομος ἡμῶν εἰς τὰ ἅγια.

Θεοτοκίον.

Τῆς Εὔας τὴν πάλαι ὀφειλὴν, ἀπήτησας Πανύμνητε, τῷ δι' ἡμᾶς φανέντι νέῳ Ἀδάμ· ἑνώσας γὰρ ἑαυτὸν ἐξ Ἁγνῆς Συλλήψεως, σάρκα νοερὰν ἐμψυχωμένην, ἐκ σοῦ προῆλθε Χριστὸς, εἷς τὸ συναμφότερον Κύριος.

Ἄλλος, τῆς Θεοτόκου. Ὄρος σε τῇ χάριτι.

Ἄκουε θαυμάτων Οὐρανὲ, ἐνωτίζου δὲ ἡ Γῆ, ὅτι Θυγάτηρ χοϊκοῦ, τοῦ πεπτωκότος μὲν Ἀδάμ, Θεοῦ ἐχρημάτισε, τοῦ ἑαυτῆς Δημιουργοῦ τε λοχεύτρια, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Ὑμνοῦμεν τὸ μέγα, καὶ φρικτόν σου Μυστήριον. ὑπερκοσμίους γὰρ λαθὼν, ταξιαρχίας ἐπὶ σὲ, ὁ ὢν καταβέβηκεν, ὡς ὑετὸς ὁ ἐπὶ πόκον Πανύμνητε, εἰς σωτηρίαν ἡμῶν καὶ ἀνάπλασιν.

Θεοτοκίον.

Αἰτίων Ἁγία Θεοτόκε Πανύμνητε, ἡ προσδοκία τῶν Ἐθνῶν, καὶ σωτηρία τῶν πιστῶν, ἐκ σοῦ ἀνατέταλκεν, ὁ Λυτρωτὴς, καὶ ζωοδότης καὶ Κύριος. ὃν ἐκδυσώπει σωθῆναι τοὺς δούλους σου.

Ὠδὴ ε´. Ὁ Εἱρμός.

Ὁ Φωτίσας τῇ ἐλλάμψει τῆς σῆς παρουσίας Χριστέ, καὶ φαιδρύνας τῷ Σταυρῷ σου τοῦ Κόσμου τὰ πέρατα, τὰς καρδίας φώτισον φωτί, τῆς σῆς θεογνωσίας, τῶν ὀρθοδόξως ὑμνούντων σε.

Τροπάριον.

Τὸν Ποιμένα τῶν προβάτων, τὸν μέγαν καὶ Κύριον, Ἰουδαῖοι διὰ ξύλου Σταυροῦ ἐθανάτωσαν· ἀλλ᾽ αὐτὸς ὡς πρόβατα νεκρούς, ἐν Ἅδῃ τεθαμμένους, κράτους θανάτου ἐρρύσατο.

Τῷ Σταυρῷ σου τὴν εἰρήνην εὐαγγελισάμενος, καὶ κηρύξας αἰχμαλώτοις Σωτήρ μου τὴν ἄφεσιν, τὸν κρατοῦντα ἤσχυνας Χριστέ, γυμνὸν ἠπορημένον, δείξας τῇ θείᾳ Ἐγέρσει σου.

Θεοτοκίον.

Τὰς αἰτήσεις τῶν πιστῶν αἰτουμένων Πανύμνητε, μὴ παρίδῃς· ἀλλὰ δέχου, καὶ ταύτας προσάγαγε, τῷ Υἱῷ σου Ἄχραντε Θεῷ, τῷ μόνῳ εὐεργέτῃ. σὲ γὰρ προστάτιν κεκτήμεθα.

Ἄλλος. Θεὸς ὢν Εἰρήνης.

Ὢ Πλοῦτος καὶ βάθος σοφίας Θεοῦ, τοὺς σοφοὺς ὁ δρασσόμενος Κύριος, τῆς τούτων πανουργίας, ἐλυτρώσατο ἡμᾶς. παθὼν γὰρ ἑκουσίως, σαρκὸς ἐξ ἀσθενείας, ἐξ ἰδίας ἰσχύος, ζωοποιὸς νεκρὸς ἐγήγερται.

Θεὸς ὢν ἑνοῦται, σαρκὶ δι᾽ ἡμᾶς, καὶ σταυροῦται καὶ θνήσκει καὶ θάπτεται, καὶ αὖθις ἐξανίσταται, καὶ ἄνεισι φαιδρῶς, σαρκὶ σὺν τῇ ἰδίᾳ, Χριστὸς πρὸς τὸν Πατέρα, μεθ᾽ ἧς ἥξει καὶ σώσει, τοὺς εὐσεβῶς αὐτῷ λατρεύοντας.

Θεοτοκίον.

Ἁγίων Ἁγία Παρθένε Ἁγνή, τῶν Ἁγίων τὸν Ἅγιον τέτοκας, τὸν πάντας ἁγιάζοντα, Χριστὸν τὸν λυτρωτήν. διό σε Βασιλίδα, καὶ Δέσποιναν ἁπάντων, ὡς Μητέρα τοῦ Κτίστου, τῶν ποιημάτων καταγγέλλομεν.

Ἄλλος, τῆς Θεοτόκου. Ὁ Φωτίσας τῇ ἐλλάμψει.

Εὐφραίνονται Οὐρανῶν αἱ Δυνάμεις ὁρῶσαί σε, ἀγάλλονται σὺν αὐτοῖς τῶν βροτῶν τὰ συστήματα. τῷ γὰρ τόκῳ ἥνωνται τῷ σῷ, Παρθένε Θεοτόκε, ὃν ἐπαξίως δοξάζομεν.

Κινείσθωσαν πᾶσαι γλῶσσαι βρότειαι καὶ ἔννοιαι, πρὸς ἔπαινον τοῦ βροτῶν, ἀληθῶς καλλωπίσματος, ἡ Παρθένος πάρεστι σαφῶς, δοξάζουσα τοὺς πιστούς, ταύτης ὑμνοῦντας τὰ θαύματα.

Δοξάζεται ὕμνος ἅπας σοφῶν, καὶ ἐγκώμιον, τῇ Παρθένῳ, καὶ Μητρὶ τοῦ Θεοῦ προσφερόμενος· τῆς γὰρ δόξης γέγονεν, αὕτη Ναὸς τῆς ὑπερθέου· ἣν ἐπαξίως δοξάζομεν.

Ὠδὴ ς´. Ὁ Εἱρμός.

Ἐκύκλωσεν ἡμᾶς ἐσχάτη ἄβυσσος, οὐκ ἔστιν ὁ ῥυόμενος. ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. σῶσον τὸν λαόν σου ὁ Θεὸς ἡμῶν. σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων, καὶ ἐπανόρθωσις.

Τροπάριον.

Τῷ πταίσματι τοῦ Πρωτοπλάστου Κύριε, δεινῶς ἐτραυματίσθημεν· τῷ δὲ μώλωπι ἰάθημεν τῷ σῷ, ᾧ ὑπὲρ ἡμῶν ἐτραυματίσθης Χριστέ. σὺ γὰρ ἰσχὺς τῶν ἀσθενούντων, καὶ ἐπανόρθωσις.

Ἀνήγαγες ἡμᾶς ἐξ Ἅδου Κύριε, τὸ κῆτος χειρωσάμενος, τὸ παμφάγον παντοδύναμε, τῷ σῷ κράτει καθελὼν αὐτοῦ τὴν δύναμιν. σὺ γὰρ ζωή, καὶ φῶς ὑπάρχεις, καὶ ἡ ἀνάστασις.

Θεοτοκίον.

Εὐφραίνονται ἐν σοὶ Παρθένε Ἄχραντε, τοῦ γένους οἱ Προπάτορες, τὴν Ἐδὲμ ἀπολαβόντες διὰ σοῦ, ἣν ἐκ παραβάσεως ἀπώλεσαν. σὺ γὰρ Ἁγνή, καὶ πρὸ τοῦ τόκου, καὶ μετὰ γέννησιν.

Ἄλλος. Σπλάγχνων Ἰωνᾶν.

Νοῦς ὢν ἀπαθής, καὶ ἄυλος μίγνυται, Χριστὸς ὁ Θεὸς τῷ ἀνθρωπίνῳ νοΐ, μεσιτεύοντι, θείᾳ φύσει, σαρκός τε παχύτητι. καὶ ὅλῳ μοι ἀτρέπτως, ὅλος ἥνωται, ἵνα σωτηρίαν ὅλῳ μοι, τῷ πεσόντι, ὀρέξῃ σταυρούμενος.

Πίπτει πτερνισθείς, Ἀδὰμ καὶ συντρίβεται, ἐλπίδι ψευσθεὶς πάλαι θεώσεως· ἀλλ᾽ ἀνίσταται, τῇ ἑνώσει τοῦ Λόγου θεούμενος· καὶ Πάθει τὴν ἀπάθειαν κομίζεται· Θρόνῳ ὡς Υἱὸς δοξάζεται, συνεδρεύων Πατρί τε, καὶ Πνεύματι.

Θεοτοκίον.

Κόλπων οὐκ ἐκστάς, ἀνάρχου Γεννήτορος, ἐν κόλποις Ἁγνῆς Κόρης αὐλίζεται, καὶ καθίσταται, ὁ Ἀμήτωρ Ἀπάτωρ σαρκούμενος, ὁ τῆς δικαιοσύνης βασιλεύων Θεός. τούτου ἀγενεαλόγητος, ἡ φρικτὴ γενεὰ καὶ ἀπόρρητος.

Ἄλλος. Ἐκύκλωσεν ἡμᾶς.

Παρίστανται δουλοπρεπῶς τῷ Τόκῳ σου, αἱ Τάξεις αἱ οὐράνιαι, ἐκπληττόμεναι ἀξίως τὸ τῆς σῆς, ἀσπόρου λοχείας Ἀειπάρθενε. σὺ γὰρ Ἁγνή, καὶ πρὸ τοῦ τόκου, καὶ μετὰ γέννησιν.

Ἐσάρκωται ὁ πρὶν ὑπάρχων ἄσαρκος, ὁ Λόγος ἐκ σοῦ Πανάγνε, ὁ τὰ σύμπαντα βουλήματι ποιῶν, ὁ τῶν Ἀσωμάτων τὰ στρατεύματα, παραγαγὼν, ἐκ τοῦ μὴ ὄντος, ὡς παντοδύναμος.

Νενέκρωται ἐχθρὸς τῷ ζωηφόρῳ σου, καρπῷ Θεοχαρίτωτε, καὶ πεπάτηται ὁ Ἅδης προφανῶς, καὶ οἱ ἐν δεσμοῖς ἠλευθερώθημεν. διὸ βοῶ· τὰ πάθη λῦσον τὰ τῆς καρδίας μου.

Κοντάκιον. Ὅταν ἔλθῃς ὁ Θεός.

Ἐξανέστης ὡς Θεὸς ἐκ τοῦ τάφου ἐν δόξῃ, καὶ Κόσμον συνανέστησας, καὶ ἡ φύσις τῶν βροτῶν ὡς Θεόν σε ἀνύμνησε, καὶ θάνατος ἠφανίσθη, καὶ ὁ Ἀδὰμ χορεύει Δέσποτα, καὶ ἡ Εὔα νῦν ἐκ τῶν δεσμῶν λυτρουμένη, χαίρει κράζουσα· Σὺ εἶ ὁ πᾶσι παρέχων Χριστὲ τὴν Ἀνάστασιν.

Ὁ Οἶκος.

Τὸν Ἀναστάντα τριήμερον ἀνυμνήσωμεν, ὡς Θεὸν παντοδύναμον, καὶ πύλας τοῦ ᾅδου συντρίψαντα, καὶ τοὺς ἀπ᾽ αἰῶνος ἐκ τάφου ἐγείραντα, Μυροφόροις ὀφθέντα καθὼς ηὐδόκησε, πρώταις ταύταις τὸ Χαίρετε φήσας, καὶ Ἀποστόλοις χαρὰν μηνύων, ὡς μόνος Ζωοδότης. ὅθεν πίστει αἱ Γυναῖκες, Μαθηταῖς σύμβολα νίκης εὐαγγελίζονται. καὶ ᾅδης στενάζει, καὶ θάνατος ὀδύρεται, καὶ Κόσμος ἀγάλλεται, καὶ πάντες συγχαίρουσι. Σὺ γὰρ παρέσχες πᾶσι Χριστὲ τὴν Ἀνάστασιν.

Ὠδὴ ζ´. Ὁ Εἱρμός.

Σὲ νοητήν, Θεοτόκε Κάμινον, κατανοοῦμεν οἱ πιστοί. ὡς γὰρ Παῖδας ἔσωσε τρεῖς, ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον, ἐν τῇ γαστρί σου ἀνέπλασεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Τροπάριον.

Ἔφριξε Γῆ, ἀπεστράφη Ἥλιος, καὶ συνεσκότασε τὸ φῶς, διεῤῥάγη τὸ τοῦ Ναοῦ, θεῖον καταπέτασμα. πέτραι δὲ ἐσχίσθησαν. διὰ Σταυροῦ γὰρ ἦρται ὁ δίκαιος ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Σὺ γεγονώς, ὡσεὶ ἀβοήθητος, καὶ τραυματίας ἐν νεκροῖς, ἑκουσίως τὸ καθ᾽ ἡμᾶς, ὁ ὑπερυψούμενος πάντας ἠλευθέρωσας, καὶ κραταιᾷ χειρὶ συνανέστησας ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Θεοτοκίον.

Χαῖρε πηγή, ἀειζώου νάματος, χαῖρε Παράδεισε τρυφῆς, χαῖρε τεῖχος τὸ τῶν πιστῶν, χαῖρε

ἀπειρόγαμε, χαῖρε ἡ παγκόσμιος χαρὰ, δι᾽ ἧς ἡμῖν ἐξανέτειλεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ἄλλος. Οἱ παῖδες εὐσεβείᾳ συντραφέντες.

ΠΑλαι μὲν κατηράθη, τῷ τοῦ Ἄβελ φοινιχθεῖσα αἵματι, ἀδελφοκτόνῳ γῆ χειρί· Θεοῤῥύτῳ δέ σου Αἵματι, εὐλογεῖται ῥαντισθεῖσα, καὶ σκιρτῶσα βοᾷ· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

ΘΡηνείτω Ἰουδαίων, ὁ ἀντίθεος Λαὸς, τὸ τόλμημα τῆς ἀναιρέσεως Χριστοῦ· τὰ δὲ Ἔθνη εὐφραινέσθωσαν, καὶ κροτείτωσαν τὰς χεῖρας καὶ βοάτωσαν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

ΙΔὼ ταῖς Μυροφόροις ἐξαστράπτων, ἀνεβόα Ἄγγελος· τῆς Ἀναστάσεως Χριστοῦ, δεῦτε ἴδετε τὰ σύμβολα, τὰς σινδόνας καὶ τὸν τάφον, καὶ βοήσατε· ὁ τῶν Πατέρων, Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Τῆς Θεοτόκου. Σὲ νοητὴν.

ΣΕ Ἰακὼβ Θεοτόκε κλίμακα, προφητικῶς κατανοεῖ. διὰ σοῦ γὰρ ἐπὶ τῆς γῆς, ὁ ὑπερυψούμενος, ὤφθη τοῖς ἀνθρώποις τε, συναναστραφῆ ὡς ηὐδόκησεν, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

ΧΑῖρε Σεμνὴ τοῦ Ἀδὰμ τὸ κώδιον, ἐκ σοῦ προῆλθεν ὁ Ποιμὴν, ἐνδυσάμενος ἀληθῶς, ὁ ὑπερυψούμενος, ὅλον με τὸν ἄνθρωπον, δι᾽ εὐσπλαγχνίαν ἀκατάληπτον, ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

ΝΕος Ἀδὰμ, ἐξ ἁγνῶν αἱμάτων σου, ὁ προαιώνιος Θεὸς, ἐσχημάτισεν ἀληθῶς· ὅνπερ νῦν ἱκέτευε, τὸν παλαιωθέντα με, ἀνακαινίσαι κραυγάζοντα· ὁ αἰνετὸς τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Ὁ Εἱρμός.

ΕΝ καμίνῳ Παῖδες Ἰσραὴλ, ὡς ἐν χωνευτηρίῳ, τῷ κάλλει τῆς εὐσεβείας, καθαρώτερον χρυσοῦ, ἀπέστιλβον λέγοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάριον.

Ο Βουλήσει ἅπαντα ποιῶν, ὁ καὶ μετασκευάζων, ἐκτρέπων σκιὰν θανάτου εἰς αἰώνιον ζωὴν, τῷ Πάθει σου Λόγε Θεοῦ, σὲ ἀπαύστως, πάντα τὰ ἔργα, ὡς Κύριον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ΣΥ καθεῖλες σύντριμμα Χριστὲ, καὶ τὴν ταλαιπωρίαν, ἐν πύλαις καὶ ὀχυρώμασι, τοῦ Ἅδου ἀναστὰς ἐκ τάφου τριήμερος. σὲ ἀπαύστως, πάντα τὰ ἔργα, ὡς Κύριον ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

ΤΗν ἀσπόρως, καὶ ὑπερφυῶς, ἐξ ἀστραπῆς τῆς θείας, τεκοῦσαν τὸν Μαργαρίτην, τὸν πολύτιμον Χριστὸν, ὑμνήσωμεν λέγοντες· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος. Θαύματος ὑπερφυοῦς.

ΔΕῦτε Λαοὶ προσκυνήσωμεν τὸν τόπον, ἐν ᾧ ἔστησαν ἄχραντοι πόδες, καὶ ἐν ξύλῳ θεῖαι Χριστοῦ, παλάμαι ζωοποιοὶ, ἐξετάθησαν εἰς πάντων σωτηρίαν βροτῶν, καὶ τάφον ζωῆς κυκλοῦντες μέλψωμεν· Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

ΗΛεγκται τῶν Θεοκτόνων Ἰουδαίων, ἡ παράνομος συκοφαντία. ὃν γὰρ πλάνον ἔφησαν, ἐξηγέρθη ὡς δυνατὸς, μυκτηρίσας τῶν ἀνόμων τὰ σφραγίσματα. διὸ γεγηθότες ἀναμέλψωμεν· Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

ΤΡισὶν ἐν ἁγιασμοῖς θεολογοῦντες, τῆς μιᾶς Κυριότητος δόξαν, Σεραφὶμ τὰ ἄχραντα, μετὰ δέους δουλοπρεπῶς, Τρισυπόστατον δοξάζουσι Θεότητα, μεθ᾽ ὧν καὶ ἡμεῖς, εὐσεβοῦντες ἀναμέλψωμεν· Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος, τῆς Θεοτόκου. Ἐν καμίνῳ Παῖδες Ἰσραήλ.

ΤΗν παστάδα τὴν φωτοειδῆ, ἐξ ἧς ὁ τῶν ἁπάντων Δεσπότης, ὥσπερ νυμφίος προελήλυθε Χριστὸς, ὑμνήσωμεν ἅπαντες ἐκβοῶντες· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας.

ΧΑῖρε Θρόνε ἔνδοξε Θεοῦ, πιστῶν χαῖρε τὸ τεῖχος· δι᾽ ἧς φῶς τοῖς ἐν σκότει, ἐξανέτειλε Χριστὸς, τοῖς σὲ μακαρίζουσι, καὶ βοῶσι· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

ΣΩτηρίας αἴτιον ἡμῖν, τὸν Κύριον τεκοῦσα, ἱκέτευε ὑπὲρ πάντων, τῶν βοώντων ἐκτενῶς, Παρθένε πανύμνητε· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

ΤΥπον τῆς ἁγνῆς λοχείας σου, πυρπολουμένη Βάτος ἔδειξεν ἄφλεκτος. καὶ νῦν καθ᾽ ἡμῶν, τῶν πειρασμῶν ἀγριαίνουσαν, κατασβέσαι αἰτοῦμεν τὴν κάμινον· ἵνα σε Θεοτόκε, ἀκαταπαύστως μεγαλύνωμεν.

Τροπάριον.

ΩΠῶς ὁ Λαὸς ὁ ἄνομος, ὁ ἀπειθὴς καὶ πονηρὰ βουλευσάμενος, τὸν ἀλάστορα καὶ ἀσεβῆ ἐδικαίωσε· τὸν δὲ δίκαιον ξύλῳ κατέκρινε, τὸν Κύριον τῆς δόξης· ὃν ἐπαξίως μεγαλύνομεν.

ΣΩτερ ὁ Ἀμνὸς ὁ ἄμωμος, ὁ τὴν τοῦ Κόσμου ἁμαρτίαν ἀράμενος, σὲ δοξάζομεν τὸν ἀναστάντα τριήμερον, σὺν Πατρί τε καὶ τῷ Θείῳ σου Πνεύματι· καὶ Κύριον τῆς δόξης, θεολογοῦντες μεγαλύνομεν.

Θεοτοκίον.

ΣΩσον τὸν Λαόν σου Κύριε, ὅνπερ ἐκτήσω τῷ τιμίῳ σου Αἵματι· κατ᾽ ἐχθρῶν ἰσχὺν τῷ Βασιλεῖ χαριζόμενος· καὶ ταῖς σαῖς Ἐκκλησίαις φιλάνθρωπε, βραβεύων τὴν εἰρήνην, τῆς Θεοτόκου ταῖς ἐντεύξεσι.

Ἄλλος. Μυστήριον ξένον.

ΔΕδόξασαι τῇ ἀποῤῥήτῳ δυνάμει σου, ὁ Σταυρός σου Κύριε. σοῦ γὰρ τὸ ἀσθενὲς, ὑπὲρ δύναμιν πᾶσιν ἐδείχθη. δι᾽ οὗ δυνατοὶ μὲν, καταβέβληνται εἰς γῆν, καὶ πτωχοὶ πρὸς Οὐρανὸν ἀνακομίζονται.

ΝΕνέκρωται ὁ ἀμειδὴς ἡμῶν Θάνατος. ἐκ νεκρῶν ἀνάστασιν, σὺ γὰρ ἐπιφανεὶς, τοῖς ἐν Ἅδῃ Χριστὲ ἐδωρήσω. διὸ ὡς ζωήν σε καὶ ἀνάστασιν, καὶ φῶς τὸ ἐνυπόστατον, ὑμνοῦντες μεγαλύνομεν.

Η Ἄναρχος φύσις καὶ ἀπερίγραπτος, ἐν τρισὶ γνωρίζεται, μόναις Θεαρχικαῖς Ὑποστάσεσι, μία Θεότης Πατρὶ, Υἱῷ τε, καὶ Πνεύματι, ἐφ᾽ ᾗ ὁ θεόφρων Βασιλεὺς, πεποιθὼς σώζεται.

Ἄλλος, τῆς Θεοτόκου. Τύπον τῆς Ἁγνῆς λοχείας σου.

ΡΙζης ἐκ Δαβὶδ ἐβλάστησας, προφητικῶς Παρθένε καὶ Θεοπάτορος· ἀλλὰ καὶ Δαβὶδ, ὡς ἀληθῶς σὺ ἐδόξασας, ὡς τεκοῦσα τὸν προφητευόμενον, τὸν Κύριον τῆς δόξης· ὃν ἐπαξίως μεγαλύνομεν.

ΑΠας ἐγκωμίων Πάναγνε, νόμος ἡττᾶται τῷ μεγέθει τῆς δόξης σου· ἀλλὰ Δέσποινα, παρ᾽ ἱκετῶν ἀναξίων σου, ἐξ εὐνοίας δέ σοι προσφερόμενον, πρόσδεχου Θεοτόκε, μετ᾽ εὐμενείας τὸ ἐφύμνιον.

ΩΤῶν ὑπὲρ νοῦν θαυμάτων σου· σὺ γὰρ Παρθένε μόνη ὑπὲρ τὸν Ἥλιον, πᾶσι δέδωκας, κατανοεῖν τὸ

καινότατον, θαῦμα Πανάγνε τῆς σῆς γεννήσεως, τὸ τῆς ἀκαταλήπτου. διό σε πάντες μεγαλύνομεν.

Εἰς τοὺς Αἴνους. Στιχηρὰ Ἀναστάσιμα.

Ὑμνοῦμέν σου Χριστὲ, τὸ Σωτήριον Πάθος, καὶ δοξάζομέν σου τὴν Ἀνάστασιν.

Ὁ Σταυρὸν ὑπομείνας, καὶ τὸν Θάνατον καταργήσας, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, εἰρήνευσον ἡμῶν τὴν ζωὴν Κύριε, ὡς μόνος παντοδύναμος.

Ὁ τὸν ᾍδην σκυλεύσας, καὶ τὸν Ἄνθρωπον ἀναστήσας, τῇ Ἀναστάσει σου Χριστὲ, ἀξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε.

Τὴν θεοπρεπῆ σου συγκατάβασιν δοξάζοντες, ὑμνοῦμέν σε Χριστέ. ἐτέχθης ἐκ Παρθένου, καὶ ἀχώριστος ὑπῆρχες τῷ Πατρί. ἔπαθες ὡς ἄνθρωπος, καὶ ἑκουσίως ὑπέμεινας Σταυρόν. ἀνέστης ἐκ τοῦ τάφου, ὡς ἐκ παστάδος προελθὼν, ἵνα σώσῃς τὸν Κόσμον. Κύριε δόξα σοι.

Ἕτερα Ἀνατολικά.

Ὅτε προσηλώθης τῷ ξύλῳ τοῦ Σταυροῦ, τότε ἐνεκρώθη τὸ κράτος τοῦ ἐχθροῦ. ἡ Κτίσις ἐσαλεύθη τῷ φόβῳ σου, καὶ ὁ ᾍδης ἐσκυλεύθη τῷ κράτει σου. τοὺς νεκροὺς ἐκ τῶν τάφων ἀνέστησας, καὶ τῷ Λῃστῇ τὸν Παράδεισον ἤνοιξας. Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ὀδυρόμεναι μετὰ σπουδῆς, τὸ μνῆμά σου κατέλαβον αἱ τίμιαι Γυναῖκες· εὗρουσαι δὲ τὸν τάφον ἀνεῳγμένον, καὶ μαθοῦσαι παρὰ τοῦ Ἀγγέλου τὸ καινὸν, καὶ παράδοξον θαῦμα, ἀπήγγειλαν τοῖς Ἀποστόλοις, ὅτι ἀνέστη ὁ Κύριος, δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Τὴν τῶν Παθῶν θείαν μωλώπωσιν, σοῦ προσκυνοῦμεν Χριστὲ ὁ Θεὸς, καὶ τὴν ἐν τῇ Σιὼν δεσποτικὴν ἱερουργίαν, τὴν ἐν τέλει τῶν αἰώνων, θεοφανῶς γεγενημένην. τοὺς γὰρ ἐν σκότει καθεύδοντας, ὁ Ἥλιος ἐφώτισας τῆς δικαιοσύνης, πρὸς ἀνέσπερον χειραγωγῶν ἔλλαμψιν. Κύριε δόξα σοι.

Τὸ φιλοτάραχον γένος τῶν Ἰουδαίων, ἐνωτίσασθε· ποῦ εἰσιν οἱ Πιλάτῳ προσελθόντες; εἴπωσιν οἱ φυλάσσοντες στρατιῶται. ποῦ εἰσὶν αἱ σφραγῖδες τοῦ μνήματος; ποῦ μετετέθη ὁ ταφείς; ποῦ ἐπράθη ὁ ἄπρατος; πῶς ἐσυλήθη ὁ θησαυρός; τί συκοφαντεῖτε τὴν Ἔγερσιν τοῦ Σταυρωθέντος, παράνομοι Ἰουδαῖοι; ἀνέστη ὁ ἐν νεκροῖς ἐλεύθερος, καὶ παρέχει τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοί.

Διὰ βρώσεως ἐξήγαγε, τοῦ Παραδείσου ὁ ἐχθρὸς τὸν Ἀδάμ· διὰ Σταυροῦ δὲ τὸν Λῃστὴν, ἀντεισήγαγε Χριστὸς ἐν αὐτῷ· μνήσθητί μου κράζοντα, ὅταν ἔλθῃς, ἐν τῇ Βασιλείᾳ σου.

Προσκυνῶ σου τὰ Παθήματα, δοξολογῶ καὶ τὴν Ἀνάστασιν· σὺν τῷ Ἀδὰμ καὶ τῷ Λῃστῇ, μετὰ φωνῆς ἀναβοῶ σοι λαμπρᾶς· μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς, ἐν τῇ Βασιλείᾳ σου.

Ἐσταυρώθης Ἀναμάρτητε, καὶ ἐν Μνημείῳ κατετέθης ἑκών· ἀλλ' ἐξανέστης ὡς Θεὸς, συνεγείρας ἑαυτῷ τὸν Ἀδάμ· μνήσθητί μου κράζοντα, ὅταν ἔλθῃς, ἐν τῇ Βασιλείᾳ σου.

Τὸν ναόν σου τὸν τοῦ Σώματος, τῇ τριημέρῳ ἀναστήσας ταφῇ, σὺν τῷ Ἀδὰμ τοὺς ἐξ Ἀδὰμ, ἐξανέστησας Χριστὲ ὁ Θεός· μνήσθητί μου κράζοντας, ὅταν ἔλθῃς, ἐν τῇ Βασιλείᾳ σου.

Μυροφόροι ἦλθον κλαίουσαι, ἐπὶ τὸ μνῆμά σου Χριστὲ ὁ Θεὸς, λίαν πρωῒ καὶ ἐν λευκοῖς, εὗρον Ἄγγελον καθήμενον, τί ζητεῖτε κράζοντα; ἐξανέστη Χριστὸς· μὴ θρηνεῖτε λοιπόν.

Οἱ Ἀπόστολοί σου Κύριε, ἐπὶ τὸ ὄρος οὗ ἐτάξω αὐτοῖς, παραγενόμενοι Σωτὴρ, σὲ ἰδόντες προσεκύνησαν· οὓς καὶ ἐξαπέστειλας, εἰς τὰ Ἔθνη, διδάσκειν, καὶ βαπτίζειν αὐτούς. Δόξα.

Τὸν Πατέρα προσκυνήσωμεν, καὶ τὸν Υἱὸν δοξολογήσωμεν, καὶ τὸ Πανάγιον ὁμοῦ, πάντες Πνεῦμα ἀνυμνήσωμεν, κράζοντες καὶ λέγοντες· Παναγία Τριὰς, σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν Μητέρα σου προσάγει σοι, εἰς ἱκεσίαν ὁ Λαός σου Χριστέ. ταῖς παρακλήσεσιν αὐτῆς, τοὺς οἰκτιρμούς σου δὸς ἡμῖν Ἀγαθέ· ἵνα σε δοξάζωμεν, τὸν ἐκ τάφου ἡμῖν ἀνατείλαντα.

ΤΕΛΟΣ τοῦ Πρώτου Ἤχου.

Τέχνη μελουργὸς, τοὺς ἀγαθοῖσα κρότους,
Πρώτην νέμει σοι τάξιν· ὢ τῆς ἀξίας.
Ἦχος ὁ Πρῶτος Μουσικῇ κληθεὶς τέχνῃ,
Πρῶτος παρ' ἡμῶν εὐλογείσθω τοῖς λόγοις.
Τὰ πρῶτα πρῶτε τῶν καλῶν λαχὼν φέρεις,
Πρωτεῖα νίκης πανταχοῦ πάντων ἔχεις.

## ΤΩι ΣΑΒΒΑΤΩι ΕΣΠΕΡΑΣ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ Ἀναστάσιμα.

Ἦχος Β'.

Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα, τὸν Θεὸν Λόγον σαρκωθέντα, ἐκ Παρθένου Μαρίας, δεῦτε προσκυνήσωμεν. Σταυρὸν γὰρ ὑπομείνας, τῇ ταφῇ παρεδόθη, ὡς αὐτὸς ἠθέλησε. καὶ ἀναστὰς ἐκ νεκρῶν, ἔσωσέ με τὸν πλανώμενον ἄνθρωπον.

Χριστὸς ὁ Σωτὴρ ἡμῶν, τὸ καθ' ἡμῶν χειρόγραφον προσηλώσας, τῷ Σταυρῷ ἐξήλειψε, καὶ τοῦ θανάτου τὸ κράτος κατήργησε. προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον Ἔγερσιν.

Σὺν Ἀρχαγγέλοις ὑμνήσωμεν, Χριστοῦ τὴν Ἀνάστασιν. αὐτὸς γὰρ λυτρωτής ἐστι, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν. καὶ ἐν δόξῃ φοβερᾷ, καὶ κραταιᾷ δυνάμει, πάλιν ἔρχεται, κρῖναι Κόσμον ὃν ἔπλασε.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

Σὲ τὸν σταυρωθέντα καὶ ταφέντα, Ἄγγελος ἐκήρυξε Δεσπότην, καὶ ἔλεγε ταῖς Γυναιξί· δεῦτε ἴδετε, ὅπου ἔκειτο ὁ Κύριος. ἀνέστη γὰρ καθὼς εἶπεν ὡς Παντοδύναμος. διό σε προσκυνοῦμεν τὸν μόνον ἀθάνατον, Ζωοδότα Χριστὲ, ἐλέησον ἡμᾶς.

Ἐν τῷ Σταυρῷ σου κατήργησας, τὴν τοῦ ξύλου κατάραν· ἐν τῇ Ταφῇ σου ἐνέκρωσας, τοῦ θανάτου τὸ κράτος· ἐν δὲ τῇ Ἐγέρσει σου, ἐφώτισας τὸ γένος τῶν ἀνθρώπων. διὰ τοῦτό σοι βοῶμεν· εὐεργέτα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἠνοίγησάν σοι Κύριε, φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾍδου ἰδόντες σε ἔπτηξαν. πύλας γὰρ χαλκᾶς συνέτριψας, καὶ μοχλοὺς σιδηροὺς συνέθλασας· καὶ ἐξήγαγες ἡμᾶς ἐκ σκότους, καὶ σκιᾶς θανάτου, καὶ τοὺς δεσμοὺς ἡμῶν διέρρηξας.

Τὸν σωτήριον ὕμνον ᾄδοντες, ἐκ στομάτων ἀναμέλψωμεν· δεῦτε πάντες ἐν Οἴκῳ Κυρίου, προσπέσωμεν λέγοντες· ὁ ἐπὶ ξύλου σταυρωθεὶς, καὶ ἐκ νεκρῶν ἀναστὰς, καὶ ὢν ἐν κόλποις τοῦ Πατρὸς, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δόξα, καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου, τῆς χάριτος ἐλθούσης. ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκες, καὶ Παρθένος ἔμεινας·

ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτειλεν Ἥλιος. ἀντὶ Μωϋσέως, Χριστός, ἡ Σωτηρία τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρά.

Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτήρ, ἅπασαν ἐφώτισε τὴν Οἰκουμένην· καὶ ἀνεκαλέσω τὸ ἴδιον πλάσμα· Παντοδύναμε Κύριε δόξα σοι.

Τὰ κατ' Ἀλφάβητον.

Διὰ ξύλου Σῶτερ κατήργησας, τὴν τοῦ ξύλου κατάραν, κράτος θανάτου τῇ ταφῇ σου ἐνέκρωσας· ἐφώτισας δὲ τὸ γένος ἡμῶν τῇ Ἐγέρσει σου. διὸ βοῶμέν σοι· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἐν τῷ Σταυρῷ Χριστὲ φανεὶς καθηλωμένος, ἠλλοίωσας κάλλος κτισμάτων. καὶ τὸ μὲν ἀπάνθρωπον στρατιῶται δεικνύμενοι, λόγχῃ πλευράν σου ἐκέντησαν. Ἑβραῖοι δὲ σφραγίσαι τάφον ᾐτήσαντο, τὴν σὴν ἐξουσίαν οὐκ ἐπιστάμενοι. ἀλλ' ὁ δι' οἶκτον σπλάγχνων σου, καταδεξάμενος ταφήν, καὶ τριήμερος ἀναστάς, Κύριε δόξα σοι.

Ζωοδότα Χριστέ, ἑκουσίως Πάθος ὑποστὰς διὰ θνητούς, ἐν Ἅδῃ δὲ κατελθὼν ὡς δυνατός, τοὺς ἐκεῖ τὴν ἔλευσιν μένοντας τὴν σήν, ἀφαρπάσας ὡς ἐκ χειρὸς κραταιοῦ, Παράδεισον ἀνθ' Ἅδου, οἰκεῖν δεδώρησαι. διὸ καὶ ἡμῖν τοῖς δοξάζουσι, τὴν σὴν τριήμερον Ἔγερσιν, δώρησαι ἱλασμὸν ἁμαρτιῶν, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὢ θαύματος καινοῦ, πάντων τῶν πάλαι θαυμάτων. τίς γὰρ ἔγνω Μητέρα, ἄνευ ἀνδρὸς τετοκυῖαν, καὶ ἐν ἀγκάλαις φέρουσαν, τὸν ἅπασαν τὴν Κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν· ὃν ὡς Βρέφος Πανάγνε, σαῖς ὠλέναις βαστάσασα, καὶ μητρικὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν σὲ τιμώντων, τοῦ οἰκτειρῆσαι, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον.

Ὅτε κατῆλθες πρὸς τὸν Θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς Θεότητος. ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Θεοτοκίον.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα, τὰ σά Θεοτόκε Μυστήρια. τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδής, Θεὸν τεκοῦσα ἀληθινόν. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

## Τῌ ΚΥΡΙΑΚῌ ΠΡΩΪ.

Εἰς τὸ Μεσονυκτικόν, Κανὼν Τριαδικός.

Οὗ ἡ ἀκροστιχίς.

Τὸ Τριαδὸν ὑμνῶ, τῆς Θεαρχίας σέλας.

Ὠδὴ α'. Ἐν βυθῷ κατέστρωσε ποτέ.

Τὴν τριττὴν καὶ μίαν ἀρχικήν, Φύσιν τῆς Θεότητος, ᾀσματικῶς ἀνυμνήσωμεν λέγοντες· τοῦ ἐλέους πέλαγος ἀνεξάντλητον, οὐσιῶδες ὡς ἔχουσα, σὲ τοὺς προσκυνοῦντας, φρούρησον, καὶ σῶσον ὡς φιλάνθρωπος.

Ὁ Πηγὴ καὶ ῥίζα πεφυκώς, ὁ Πατὴρ ὡς αἴτιος, τῆς ἐν Υἱῷ καὶ Ἁγίῳ σου Πνεύματι, συμφυοῦς Θεότητος, τὸ τρισήλιον τῇ καρδίᾳ μου πήγασον, σέλας, καὶ μεθέξει λάμπρυνον, τῆς θεουργοῦ ἐλλάμψεως.

Τριφεγγὴς Μονὰς Θεαρχική, πᾶσαν διασκέδασον, ἁμαρτιῶν καὶ παθῶν μου τὴν ζόφωσιν, φωτεινῶν ἀκτίνων σου, γλυκυτάταις ἐν μετουσίαις, καὶ ποίησον, σοῦ τῆς ἀπροσίτου δόξης με ναόν, καὶ σκηνὴν ἄχραντον.

Θεοτοκίον.

Ῥῦσαι τὸν πρὶν τῆς φύσεως ἡμῶν, πεπονθυίας ἄτοπον, καὶ πρὸς φθορὰν ὀλισθησάσης Ἄχραντε, σαρκωθεὶς ἐν Μήτρᾳ σου, ὁ Θεὸς Λόγος, φιλανθρώπως ἀνέτειλε, καὶ τὴν Θεαρχίαν, τρίφωτον ἡμᾶς ἐμυσταγώγησεν.

Ὠδὴ γ'. Ἐν πέτρᾳ με τῆς Πίστεως.

Ἰσότητι τῆς φύσεως Θεαρχία, ὁμότιμον δοξάζω σε τοῖς προσώποις. ζωὴ γὰρ ἐκ ζωῆς σὺ προελθοῦσα, ἀρρεύστως πέφυκας, εἷς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν Ἅγιος, πλὴν σοῦ Κύριε.

Ὑ τάξεις τὰς ἀΰλους καὶ οὐρανίους, ὑπέστησας ὡς ἔσοπτρα τοῦ σοῦ κάλλους Τριὰς ἡ ἀδιαίρετος Μοναρχία, ὑμνεῖν ἀπαύστως σε· Τριὰ καὶ νῦν ἡμῶν, ἐκ πηλίνου στόματος, δέξαι τὴν αἴνεσιν.

Στερέωσον τῆς Πίστεως ἐν τῇ Πέτρᾳ, καὶ πλάτυνον ἀγάπης σου τῷ πελάγει, καρδίαν καὶ διάνοιαν τῶν σῶν δούλων, Μονὰς Τρισήλιε. σὺ γὰρ Θεὸς ἡμῶν, ἐφ' ᾧπερ ἐλπίζοντες, μὴ αἰσχυνθείημεν.

Θεοτοκίον.

Ὁ πᾶσαν πρὶν ὑπόστασιν οὐσιώσας, τῆς Κτίσεως ἐν μήτρᾳ σου οὐσιώθη, ἀπείρῳ ἀγαθότητι Θεοτόκε, καὶ Φῶς τρισήλιον, πᾶσιν ἀνέτειλε, τῆς μιᾶς Θεότητος, καὶ Κυριότητος.

Κάθισμα.

Ὅτε κατ' ἀρχὰς τὸν Ἀδὰμ διέπλασας Κύριε, τότε τῷ Λόγῳ σου τῷ ἐνυποστάτῳ ἐβόησας Εὔσπλαγχνε· ποιήσωμεν κατὰ τὴν ἡμετέραν ὁμοίωσιν. τὸ δὲ Πνεῦμα τὸ Ἅγιον συμπαρῆν δημιουργόν. διὸ βοῶμέν σοι· Ποιητὰ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὅτε πρὸς ἡμᾶς ὁ Θεὸς ἐλθεῖν κατηξίωσε, τότε σου Πανάγνε, τὴν καθαρωτάτην νηδὺν ἐγκατῴκησε, καὶ ἔσωσε διὰ σοῦ τῶν ἀνθρώπων τὸ φύραμα, χαρισάμενος ἅπασι Βασιλείαν Οὐρανῶν. διὸ βοῶμέν σοι· Θεοτόκε Ἁγνὴ χαῖρε Δέσποινα.

Ὠδὴ δ'. Ὑμνῶ σε ἀκοῇ.

Νοεῖν σε, οὐδὲ τάξεις ἄϋλοι ἐξισχύουσι τῶν Ἀγγέλων, Τριὰς μονὰς ἄναρχε· ἀλλ' οὖν ἡμεῖς πηλίνῃ γλώττῃ, τὴν σὴν οὐσιώδη ἀγαθότητα, καὶ ἀνυμνοῦμεν πίστει, καὶ δοξάζομεν.

Ὑπάρχων, Πλαστουργὸς τῆς φύσεως, Παντοκράτωρ τῆς τῶν ἀνθρώπων, πᾶσαν ἐμὴν βλέπεις νῦν, ὡς πανδερκὴς ἀδυναμίαν· διὸ κατοικτείρησον τὸν δοῦλόν σου, καὶ πρὸς ζωὴν βελτίστην ἐπανάγαγε.

Μονὰς, ἀρχικὴ ἀσύγχυτε, τρία πρόσωπα ἀνυμνοῦμεν, ὡς ἰδικῶς ἔχοντα, καὶ μεριστῶς τὰς Ὑποστάσεις· ἀλλ' οὖν ἡνωμένα καὶ ἀμέριστα, ἐν τῇ βουλῇ, καὶ δόξῃ, καὶ Θεότητι.

Θεοτοκίον.

Ναόν σε, καθαρὸν καὶ ἄχραντον, Ἀειπάρθενε Θεοτόκε, ὁ Παντουργὸς εὕρηκε, μόνην σαφῶς ἐκ τοῦ αἰῶνος, ἐν ᾧ κατοικήσας ἀνεμόρφωσε, τὴν τῶν ἀνθρώπων φύσιν ὡς φιλάνθρωπος.

Ὠδὴ ε'. Ὁ φωτισμὸς τῶν ἐν σκότει.

Ὡς ὁλικῶς ἐπὶ πάντα τὰ ὄντα τῆς σῆς προνοίας, τὰς εἰρηνοδώρους ἁπλῶν ἀκτῖνας, καὶ σωτηρίους Βασιλεῦ τῆς εἰρήνης, φρούρησόν με ἐν τῇ εἰρήνῃ σου. σὺ γὰρ εἶ ζωή, καὶ εἰρήνη τοῦ σύμπαντος.

Τῷ Μωϋσῇ ἐν τῇ βάτῳ ὡς ὤφθης, πυρὸς ἐν εἴδει, Ἄγγελος ἐκλήθης Πατρὸς ὁ Λόγος, τὴν πρὸς ἡμᾶς σου προδηλῶν παρουσίαν, δι' ἧς πᾶσι σαφῶς ἀνήγγειλας, κράτος Θεαρχίας μιᾶς τρισυποστάτου.

Η Φυσικὴν συναΐδιον δόξαν προβαλλομένη, μοναρχικωτάτη Τριὰς Ἁγία, τοὺς ἀνυμνοῦντας ὀρθοδόξως σε πίστει, τῆς σῆς δόξης ἰδεῖν ἀξίωσον, ἄναρχον καὶ μίαν αἴγλην τὴν τρισήλιον.

Θεοτοκίον.

Συνεκτικὸς κατ᾽ οὐσίαν ὑπάρχων ὁ Θεὸς Λόγος, πάντων τῶν αἰώνων ἐν τῇ Γαστρί σου, Παρθενομῆτορ συνεχέθη ἀφράστως, τοὺς ἀνθρώπους ἀνακαλούμενος, πρὸς τὸ ἑνικὸν τῆς μιᾶς κυριότητος.

Ὠδὴ ϛ΄. Ἐν ἀβύσσῳ πταισμάτων.

Θελητὰ τοῦ ἐλέους ἐλέησον, τοὺς εἰς σὲ πιστεύοντας Θεὲ Τρισήλιε· καὶ τῶν πταισμάτων λύτρωσαι, καὶ παθῶν καὶ κινδύνων τοὺς δούλους σου. Δίς.

Ἐν ἀφάτῳ πελάγει χρηστότητος, τὴν ἀπερινόητον τῆς σῆς ἐλλάμψεως, καὶ τρισλαμποῦς Θεότητος, φωτοδότιδα αἴγλην μοι βράβευσον.

Θεοτοκίον.

Ἀπορρήτως Παρθένε ὁ Ὕψιστος, Ἄνθρωπος ἐγένετο, ἐκ σοῦ τὸν ἄνθρωπον, ὁλικῶς ἐνδυσάμενος, καὶ φωτὶ τρισλαμπεῖ με κατηύγασε.

Κάθισμα. Εὐσπλαγχνίας ὑπάρχουσα.

Εὐσπλαγχνίας τὸ πέλαγος ἡμῖν ὑφαπλώσας, ὑπόδεξαι ἡμᾶς Ἐλεῆμον. βλέψον εἰς Λαὸν τὸν σὲ δοξάζοντα, δέξαι τὰς ᾠδὰς τῶν αἰτουμένων σε, Τριὰς μονὰς ἄναρχε· εἰς σὲ γὰρ ἐλπίζομεν, τὸν τῶν ὅλων Θεὸν, τῶν πταισμάτων δοῦναι τὴν συγχώρησιν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Εὐσπλαγχνίας κυήσασα πηγὴν, συμπαθὴς σὺ ὑπάρχεις ἀγαθὴ Θεοτόκε. σὺ γὰρ τῶν πιστῶν μόνη ἀντίληψις, σὺ τῶν λυπουμένων ἡ παράκλησις. διό σοι νῦν ἅπαντες, ἐν πίστει προσπίπτομεν, εὑρεῖν λύσιν δεινῶν, οἱ πλουτοῦντες μόνην σε βοήθειαν.

Ὠδὴ ζ΄. Εἰκόνος χρυσῆς.

Ῥυθμίζεις ἀεὶ, τῶν Ἀγγέλων στρατιὰς πρὸς ἀτρεψίαν, μόνος ὑπάρχων ἀναλλοίωτος, ὁ τρισυπόστατος Κύριος. δεῖξον οὖν κἀμοῦ τὴν καρδίαν, ἀπερίτρεπτον πάντοτε, πρὸς τὸ δοξάζειν σε θερμῶς, καὶ ἀνυμνεῖν εὐσεβῶς. Δίς.

Χοροὶ νοεροὶ, τῶν ἀΰλων οὐσιῶν ταῖς σαῖς ἀκτῖσι, Θεὲ Μονάρχα, καὶ Τρισήλιε, καταυγαζόμενοι γίνονται, θέσει δευτερεύοντα φῶτα, ὧν κἀμοὶ ταῖς ἐλλάμψεσι, καὶ μετουσίαις δεῖξον φῶς, ὡς Φωτουργὸς Τρισλαμπής.

Θεοτοκίον.

Ἰθύνειν ἡμᾶς, καὶ ὑψοῦν πρὸς Οὐρανὸν μὴ διαλίπῃς τοὺς σὲ φιλοῦντας, ὁ δι᾽ ἄφατον φιλανθρωπίαν γενόμενος, Ἄνθρωπος ἐν μήτρᾳ Παρθένου, καὶ θεώσας τὸν Ἄνθρωπον, καὶ Θρόνῳ δόξης τῷ Πατρὶ συγκαθεζόμενος.

Ὠδὴ η΄. Ἐπταπλασίως κάμινον.

Ἀπρόσιτε Τριὰς, συναΐδιε συνάναρχε Θεαρχία, ἡ ἀπαράλλακτος ἐν πᾶσι, πλὴν τῶν φωσφόρων ἰδιοτήτων, πᾶσαν πονηρὰν κατάργησον, τῶν ἀντικειμένων βουλὴν, καὶ ἐνόχλησιν τῶν Δαιμόνων, ἀβλαβῆ τηρῶν με, ἀεὶ Κύριε πάντων. Δίς.

Σοφῶς καὶ πανσθενῶς, Ἀπερίγραπτε Τρισήλιε Μοναρχία, ἡ ὑποστήσασα τὸν Κόσμον, καὶ συντηροῦσα ἐν ἀλωβήτῳ τάξει παντελεῖ, ἐνοίκησον τῇ ἐμῇ καρδίᾳ, ὑμνεῖν καὶ δοξάζειν σε ἀσιγήτως, σὺν χοροῖς Ἀγγέλων, εἰς πάντας τοὺς αἰῶνας.

Σοφία τοῦ Πατρὸς, ἀκατάληπτε ἀνέκφραστε Θεοῦ Λόγε, τὴν ἀμετάβλητόν σου φύσιν οὐκ ἀλλοιώσας, τὴν τῶν ἀνθρώπων φύσιν, συμπαθῶς ἀνέλαβες, καὶ τὴν ἑνιαίαν Τριάδα ἐδίδαξας πάντας σέβειν, ὡς κυριαρχίαν ἁπάντων τῶν αἰώνων.

Ὠδὴ θ΄. Ἡ τὸν πρὸ Ἡλίου φωστῆρα.

Ἐκ φωτὸς ἀνάρχου, συνάναρχος Υἱὸς, φῶς ἐξανέτειλε, καὶ συμφυὲς φῶς Πνεῦμα ἐκπεπόρευται, ἀπορρήτως, θεοπρεπῶς, ἀρρεύστου τῆς Γεννήσεως, πιστευομένης ἅμα δὲ, καὶ τῆς ἀφράστου Ἐκπορεύσεως.

Λάμψον ταῖς καρδίαις, Τρισήλιε Θεότης τῶν ὑμνούντων σε, τῷ τρισλαμπεῖ φωτισμοῦ, καὶ δὸς σύνεσιν, τοῦ ἐν πᾶσι κατανοεῖν, καὶ πράττειν τὸ σὸν θέλημα, τὸ ἀγαθὸν καὶ τέλειον, καὶ μεγαλύνειν, καὶ δοξάζειν σε.

Ἄπειρος τῇ φύσει, ὑπάρχων ὡς Θεὸς, ἄπειρον πέλαγος τῶν οἰκτιρμῶν, ὡς ἔχων κατῳκτείρησας, Τριὰς πρώην· οὕτω καὶ νῦν, οἰκτείρησον τοὺς δούλους σου, καὶ τῶν πταισμάτων λύτρωσαι, καὶ πειρασμῶν, καὶ περιστάσεων. Θεοτοκίον.

Σῶσόν με Θεέ μου, παντοίας ἐπηρείας καὶ κακώσεως, ὁ ἐν τρισὶ προσώποις ἀνυμνούμενος, ἀνεκφράστως μοναδικῶς, Θεὸς καὶ παντοδύναμος· καὶ τὴν σὴν ποίμνην φύλαττε, τῆς Θεοτόκου ταῖς ἐντεύξεσι.

## ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ,

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν πρώτην Στιχολογίαν Καθίσματα.

Ὁ Εὐσχήμων Ἰωσὴφ, ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου Σῶμα, σινδόνι καθαρᾷ εἱλήσας καὶ ἀρώμασιν, ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο. ἀλλὰ τριήμερος ἀνέστης Κύριε, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Δόξα.

Ταῖς Μυροφόροις Γυναιξὶ, παρὰ τὸ μνῆμα ἐπιστὰς, ὁ Ἄγγελος ἐβόα· τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια· Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος. ἀλλὰ κραυγάσατε, ἀνέστη ὁ Κύριος, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Σταυροθεοτοκίον.

Ὑπερδεδοξασμένη ὑπάρχεις Θεοτόκε Παρθένε, ὑμνοῦμέν σε· διὰ γὰρ τοῦ Σταυροῦ τοῦ Υἱοῦ σου, κατεβλήθη ὁ ᾅδης, καὶ ὁ Θάνατος τέθνηκε, νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν, τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν. διὸ εὐχαριστοῦντες δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Μετὰ τὴν β΄. Στιχολογ. Καθίσμ. Ἀναστάσιμα.

Τὸν λίθον τοῦ μνήματος, σφραγισθῆναι μὴ κωλύσας, τὴν πέτραν τῆς Πίστεως, ἀναστὰς παρέσχες πᾶσι, Κύριε δόξα σοι. Δόξα.

Τῶν Μαθητῶν σου ὁ χορὸς, σὺν Μυροφόροις Γυναιξὶν, ἀγάλλεται συμφώνως. κοινὴν γὰρ ἑορτὴν σὺν αὐτοῖς ἑορτάζομεν, εἰς δόξαν καὶ τιμὴν τῆς σῆς Ἀναστάσεως. καὶ δι᾽ αὐτῶν φιλάνθρωπε Κύριε, τῷ Λαῷ σου παράσχου τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ Ἅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ Θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν. διὸ ἀνυμνοῦντες βοῶμεν· εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας δόξα σοι.

Μετὰ τὸν Ἄμωμον. Ἡ Ὑπακοή.

Μετὰ τὸ Πάθος πορευθεῖσαι ἐν τῷ μνήματι, πρὸς τὸ μυρίσαι τὸ Σῶμά σου αἱ Γυναῖκες,

Χριστὲ

Χριστὲ ὁ Θεός. εἶδον Ἀγγέλους ἐν τῷ τάφῳ, καὶ ἐξέστησαν. φωνῆς γὰρ ἤκουον ἐξ αὐτῶν, ὅτι ἀνέστη ὁ Κύριος, δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοί, Ἀντίφωνον Α'.

ΕΝ τῷ Οὐρανῷ τὰ ὄμματα, ἐκπέμπω μου τῆς καρδίας, πρὸς σὲ Σωτήρ· σῶσόν με σῇ ἐπιλάμψει.

Ἐλέησον ἡμᾶς τοὺς πταίοντάς σοι πολλά, καθ' ἑκάστην ὥραν, ὦ Χριστέ μου· καὶ δὸς πρὸ τέλους τρόπους, τοῦ μετανοεῖν σοι.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ βασιλεύειν πρέπει, τὸ ἁγιάζειν, τὸ κινεῖν τὴν κτίσιν. Θεὸς γάρ ἐστιν, ὁμοούσιος Πατρὶ καὶ Λόγῳ.

Ἀντίφωνον Β'.

Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, τίς ἱκανὸς σῶος φυλαχθῆναι ἐκ τοῦ ἐχθροῦ, ἅμα καὶ ἀνθρωποκτόνου;

Τοῖς ὀδοῦσιν αὐτῶν, μὴ παραδῷς Σῶτερ τὸν σὸν δοῦλον. λέοντος τρόπον, κατ' ἐμοῦ κινοῦνται, καὶ γὰρ οἱ ἐχθροί μου.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ζωαρχία καὶ γέρας. πάντα γὰρ τὰ κτιστά, ὡς Θεὸς ὢν δυναμοῖ, συντηρεῖ ἐν Πατρί, δι' Υἱοῦ δέ.

Ἀντίφωνον Γ'.

Οἱ πεποιθότες ἐπὶ Κύριον, ἐοίκασιν Ὄρει τῷ Ἁγίῳ, οἳ οὐδαμῶς σαλεύονται, προσβολαῖς τοῦ Βελίαρ.

Ἐν ἀνομίαις χεῖρας αὐτῶν, μὴ ἐκτεινάτωσαν οἱ θείως ζῶντες· οὐ γὰρ ἐᾷ Χριστός, τῇ ῥάβδῳ τὸν κλῆρον αὐτοῦ.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, προσπηγάζει πᾶσα σοφία. ἔνθεν χάρις Ἀποστόλοις, καὶ τοῖς ἄθλοις καταστέφονται Μάρτυρες, καὶ Προφῆται ὁρῶσι.

Προκείμενον.

Ἐξεγέρθητι Κύριε ὁ Θεός μου.

Στίχ. Κύριε ὁ Θεός μου ἐπὶ σοὶ ἤλπισα.

Πᾶσα πνοή. Εὐαγγέλιον τὸ Ἑωθινόν.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν'.

Κανὼν Ἀναστάσιμος. Ὠδὴ α'. Ὁ Εἱρμός.

Ἐν βυθῷ κατέστρωσε ποτέ, τὴν Φαραωνίτιδα, πανστρατιὰν ἡ ὑπέροπλος δύναμις. σαρκωθεὶς ὁ Λόγος δέ, τὴν παμμόχθηρον ἁμαρτίαν ἐξήλειψεν, ὁ δεδοξασμένος Κύριος. ἐνδόξως γὰρ δεδόξασται.

Τροπάριον.

Ὁ τοῦ Κόσμου Ἄρχων Ἀγαθέ, ᾧ ἀπεγραψάμεθα, τῇ ἐντολῇ τῇ σῇ μὴ πειθαρχήσαντες, τῷ Σταυρῷ σου νένικται. προσβαλὼν γάρ σοι ὡς θνητῷ περιπέπτωκε, τῷ τῆς ἐξουσίας κράτει σου, καὶ ἀσθενὴς διήλεγκται.

Λυτρωτὴς τοῦ γένους τῶν βροτῶν, καὶ τῆς ἀκηράτου ζωῆς ἀρχηγός, εἰς τὸν Κόσμον ἐλήλυθας. τῇ γὰρ Ἀναστάσει σου διεσπάραξας, τοῦ Θανάτου τὰ σπάργανα, ὃν δοξολογοῦμεν ἅπαντες. ἐνδόξως γὰρ δεδόξασται.

Θεοτοκίον.

Ὑπερτέρα πέφηνας Ἁγνή, πάσης ἀοράτου τε, καὶ ὁρατῆς Ἀειπάρθενε κτίσεως. τὸν γὰρ Κτίστην τέτοκας, ὡς ηὐδόκησε, σαρκωθῆναι ἐν Μήτρᾳ σου. ᾧ σὺν παρρησίᾳ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερος Κανὼν Σταυροαναστάσιμος. Οὗ ἡ ἀκροστιχίς.

Σὺν τοῖς Εἱρμοῖς.

Ἄδω τὸν αἶνον, τῷ φερεσβίῳ Λόγῳ.

Ἄτρεπτον ἀσυνήθη.

Δύναμις ἀσθενοῦσιν, ἀνάστασις πεσοῦσι, καὶ ἀφθαρσία τοῖς τεθνεῶσι γέγονας Χριστέ, τῆς σαρκὸς τῷ πάθει σου, ὅτι δεδόξασται.

Ὤκτειρε τὴν πεσοῦσαν, εἰκόνα, καὶ ἀνέστησε συντριβεῖσαν, ὁ πλαστουργὸς Θεὸς καὶ καινουργός, νεκρωθεὶς ὃ γέγονεν, ὅτι δεδόξασται.

Ἕτερος Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου. Οὗ ἡ ἀκροσ.

Ἄδω τὸν αἶνον, τῇ φερεσβίῳ Κόρῃ.

Ἄτρεπτον ἀσυνήθη.

Ἄϋλος πάλαι κλίμαξ, καὶ ξένως χερσωθεῖσα, ὁδὸς θαλάσσης, τὴν σὴν ἐδήλου γέννησιν Ἁγνή· ἣν ὑμνοῦμεν ἅπαντες, ὅτι δεδόξασται.

Δύναμις τοῦ Ὑψίστου, ὑπόστασις τελεία, Θεοῦ Σοφία, σωματωθεῖσα Ἄχραντε ἐκ σοῦ, τοῖς βροτοῖς ὡμίλησεν, ὅτι δεδόξασται.

Ὡς διὰ πύλης, ἀβάτου κεκλεισμένης, τῆς σῆς νηδύος, δικαιοσύνης Ἥλιος Ἁγνή, καὶ τῷ Κόσμῳ ἔλαμψεν, ὅτι δεδόξασται.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Ἐξηνθήσεν ἡ ἔρημος, ὡσεὶ κρίνον Κύριε, ἡ τῶν Ἐθνῶν στεῖρα οὖσα, Ἐκκλησία τῇ παρουσίᾳ σου, ἐν ᾗ ἐστερεώθη ἡ καρδία μου.

Τροπάριον.

Ἡ Κτίσις ἐν τῷ Πάθει σου, ἠλλοιοῦτο βλέπουσα, ἐν ἀτελεῖ προσχήματι, ὑπ' ἀνόμων μυκτηριζόμενον, τὸν ἑδράσαντα πάντα θείῳ νεύματι.

Ἐκ χοὸς κατ' εἰκόνα με, τῇ χειρί σου ἔπλασας, καὶ συντριβέντα πάλιν, εἰς χοῦν θανάτου δι' ἁμαρτίαν Χριστέ, συγκαταβὰς εἰς Ἅδην συνανέστησας.

Θεοτοκίον.

Τὰ τάγματα ἐξέστησαν, τῶν Ἀγγέλων Πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν, αἱ καρδίαι ἐπὶ τῷ Τόκῳ σου. διό σε Θεοτόκον πίστει σέβομεν.

Ἄλλος. Τόξον συνετρίβη δυνατῶν.

Ὁ πάντων ἐπέκεινα Χριστός, ἠλάττωται βραχύ, τῷ πάθει τῷ τῆς σαρκός, τῆς Ἀγγέλων φύσεως.

Νεκρὸς μετ' ἀνόμων λογισθείς, ἐκλάμπων Γυναιξί, στεφάνῳ δόξης Χριστέ, ὤφθης τῆς Ἐγέρσεως.

Ὁ αὐτός. Τῆς Θεοτόκου.

Ὁ Χρόνου ἐπέκεινα παντός, ὡς χρόνων Ποιητής, ἐκ σοῦ Παρθένε ἑκών, Βρέφος πεπλαστούργηται.

Νηδὺν πλατυτέραν Οὐρανῶν, ὑμνήσωμεν πιστοί, δι' ἧς Ἀδὰμ ἐν τοῖς Οὐρανοῖς, χαίρων πεπολίτευται.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ἐλήλυθας, ἐκ Παρθένου, οὐ Πρέσβυς, οὐκ Ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος, σεσαρκωμένος καὶ ἔσωσας, ὅλον με τὸν Ἄνθρωπον. διὸ κραυγάζω σοι· δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάριον.

Παρέστασαι, ὡς κριτὸς ὁ Θεός μου τῷ βήματι, οὐ κραυγάζων Δέσποτα, κρίσιν ἐξάγων τοῖς ἔθνεσιν, ἣν διὰ τοῦ Πάθους σου, τῇ Οἰκουμένῃ εἰργάσω σωτηρίαν Χριστέ.

Τῷ Πάθει σου, τοῦ ἐχθροῦ αἱ ῥομφαῖαι ἐξέλιπον· τῶν ὑπεναντίων δέ, ἐν τῇ εἰς Ἅδου καθόδῳ σου, Πόλεις καθῃρέθησαν, καὶ τοῦ Τυράννου τὸ θράσος καταβέβληται.

Θεοτοκίον.

Σὲ λιμένα, σωτηρίας καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα. σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.

Ἄλλος. Ἀκήκοα Κύριε.

Ἰδοῦσα ἐν ξύλῳ σε Χριστέ, παγέντα Παρθένος, ἡ ἀνωδίνως σὲ κυήσασα, τὰς μητρικὰς ὠδῖνας ὑπέμεινε.

Νενίκηται Θάνατος, νεκρὸς σκυλεύει Ἅδου τὰς πύλας. τοῦ παμφάγου γὰρ ῥαγέντος μοι, τὰ ὑπὲρ φύσιν πάντα δεδώρηται.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἰδοὺ ὑπερύψωται, τὸ θεῖον ὄρος οἴκου Κυρίου, ὑπεράνω τῶν Δυνάμεων, ἡ Θεομήτωρ ἐμφανέστατα.

Νομίμων τῆς φύσεως, Παρθένε ἄτερ μόνη τεκοῦσα, τὸν Δεσπόζοντα τῆς Κτίσεως, κατηξιώθης θείας κλήσεως.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων γέγονας Χριστὲ ὁ Θεός· διὰ σοῦ γὰρ Δέσποτα, τὴν πρὸς τὸν ἀρχίφωτον Πατέρα σου, ἐκ νυκτὸς ἀγνωσίας, προσαγωγὴν ἐσχήκαμεν.

Τροπάριον.

Ὡς Κέδρος Χριστὲ, τῶν ἐχθρῶν τὸ φρύαγμα συνέτριψας, ἑκουσίως Δέσποτα, ἐν τῇ κυπαρίσσῳ ὡς ηὐδόκησας, καὶ τῇ πεύκῃ καὶ κέδρῳ, σαρκὶ συνανυψούμενος.

Ἐν λάκκῳ Χριστὲ, κατωτάτῳ ἔθεντό σε ἄπνουν νεκρόν· ἀλλ' οἰκείῳ μώλωπι, ἐπιλελησμένους τραυματίας Σωτὴρ, τοὺς ἐν τάφοις ὑπνοῦντας, σαυτῷ συνεξανέστησας.

Θεοτοκίον.

Δυσώπει τὸν σὸν Υἱὸν, καὶ Κύριον Παρθένε Ἁγνὴ, αἰχμαλώτοις λύτρωσιν, τοῖς ἐξ ἐναντίας περιστάσεως, ἐπὶ σοὶ πεποιθόσιν, εἰρηνικὴν δωρήσασθαι.

Ἄλλος. Ὁ ἄνθραξ τῷ Ἡσαΐᾳ.

Νηστείαν ἀπαρνησάμενος, Ἀδὰμ γεύεται, θανατηφόρου τοῦ ξύλου ὁ πρότερος· ἀλλὰ τούτου τὴν ἁμαρτίαν ἐξαφανίζει, σταυρωθεὶς ὁ δεύτερος.

Τὴν φύσιν παθητὸς, καὶ θνητὸς γέγονας, ὁ ἀπαθὴς τῇ ἀΰλῳ Θεότητι, ἀφθαρτίσας νενεκρωμένους Χριστὲ, κευθμώνων Ἅδου ἐξανέστησας.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Νεφέλαι τῆς εὐφροσύνης, γλυκασμὸν ῥανάτε, τοῖς ἐπὶ γῆς, ὅτι παιδίον δέδοται, ὁ ὑπάρχων πρὸ τῶν αἰώνων, ἐκ τῆς Παρθένου σαρκωθεὶς Θεὸς ἡμῶν.

Τῷ βίῳ καὶ τῷ σαρκίῳ μου, τὸ φῶς ἔλαμψε, καὶ τὸ στυγνὸν τῆς ἁμαρτίας ἔλυσεν, ἐπ' ἐσχάτων ἐκ τῆς Παρθένου, ἄνευ σπορᾶς σωματωθεὶς ὁ Ὕψιστος.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

Ἐν ἀβύσσῳ πταισμάτων κυκλούμενος, τὴν ἀνεξιχνίαστον τῆς εὐσπλαγχνίας σου, ἐπικαλοῦμαι ἄβυσσον, ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

Τροπάριον.

Ὡς κακοῦργος ὁ Δίκαιος κέκριται, καὶ μετὰ ἀνόμων τῷ ξύλῳ προσήλωται, τοῖς ὑπευθύνοις ἄφεσιν, τῷ οἰκείῳ δωρούμενος Αἵματι.

Δι' ἑνὸς μὲν ἀνθρώπου τοῦ πρώτου Ἀδὰμ, πάλαι εἰς τὸν Κόσμον εἰσῆλθεν ὁ Θάνατος, καὶ δι' ἑνὸς Ἀνάστασις, τοῦ Υἱοῦ καὶ Θεοῦ πεφανέρωται.

Θκίον.

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαμένεις Παρθένος ἐμφαίνουσα, τῆς ἀληθοῦς Θεότητος, τοῦ Υἱοῦ καὶ Θεοῦ σου τὰ σύμβολα.

Ἄλλος. Ἦχου ῥημάτων δεήσεως.

Φύλακας ἔθου τῷ πταίσαντι, τὰ Χερουβὶμ τοῦ ξύλου τῆς ζωῆς· ἀλλ' ἰδόντα σε τὰς πύλας ἤνοιξαν. ὤφθης γὰρ ὁδοποιῶν, τῷ Λῃστῇ Παράδεισον.

Ἔρημος Ἅδης καὶ ἄπορος, διὰ θανάτου γέγονεν ἑνός· ὃν πολὺν γὰρ πλοῦτον ἐθησαύρισεν, εἷς ὑπὲρ πάντων ἡμῶν, ὁ Χριστὸς ἐκένωσε.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Φύσις ἀνθρώπων δουλεύουσα, τῇ ἁμαρτίᾳ Δέσποινα Ἁγνὴ, διὰ σοῦ ἐλευθερίας ἔτυχε. σὸς γὰρ Υἱὸς ὡς Ἀμνὸς, ὑπὲρ πάντων τέθυται.

Ἐπιβοώμεθα πάντες, σὲ τὴν ἀληθῆ Μητέρα τοῦ Θεοῦ, παροργίσαντας οἰκέτας λύτρωσαι. μόνη γὰρ πρὸς τὸν Υἱὸν, παῤῥησίαν κέκτησαι.

Κοντάκιον. Τὰ ἄνω ζητῶν.

Ἀνέστης Σωτὴρ, ἐκ τάφου παντοδύναμε, καὶ Ἅδης ἰδὼν, τὸ θαῦμα ἐξεπλήττετο, καὶ νεκροὶ ἀνίσταντο, καὶ ἡ Κτίσις ἰδοῦσα συγχαίρει σοι, καὶ ὁ Ἀδὰμ συναγάλλεται, καὶ Κόσμος Σωτήρ μου ἀνυμνεῖ σε ἀεί.

Ὁ Οἶκος.

Σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων, σὺ εἶ ἡ Ἀνάστασις πάντων, καὶ ἡ ζωὴ τῶν βροτῶν, καὶ πάντας συνανέστησας, τοῦ θανάτου τὸ κράτος Σωτὴρ σκυλεύσας, καὶ τοῦ Ἅδου τὰς πύλας συντρίψας Λόγε· καὶ οἱ θνητοὶ κατιδόντες τὸ θαῦμα ἐθαύμαζον, καὶ πᾶσα Κτίσις συγχαίρει ἐν τῇ σῇ Ἀναστάσει φιλάνθρωπε. διὸ καὶ πάντες δοξάζομεν, καὶ ὑμνοῦμεν τὴν σὴν συγκατάβασιν, καὶ Κόσμος Σωτήρ μου ἀνυμνεῖ σε ἀεί.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Ἀντίθεον πρόσταγμα παρανομοῦντος, Τυράννου μετάρσιον, τὴν φλόγα ἀνεῤῥίπισε· Χριστὸς δὲ ἐφήπλωσε θεοσεβέσι Παισὶ, δρόσον τὴν τοῦ Πνεύματος, ὁ ὢν εὐλογημένος, καὶ ὑπερένδοξος.

Τροπάριον.

Οὐκ ἔφερες Δέσποτα δι' εὐσπλαγχνίαν, θανάτῳ τὸν ἄνθρωπον, καθορᾶν τυραννούμενον· ἀλλ' ἦλθες καὶ ἔσωσας ἰδίῳ Αἵματι, Ἄνθρωπος γενόμενος, ὁ ὢν εὐλογημένος, καὶ ὑπερένδοξος.

Ἰδόντες σε ἔπτηξαν ἠμφιεσμένον, στολὴν ἐκδικήσεως, οἱ πυλωροὶ τοῦ Ἅδου Χριστέ. ἀγνώμονα τύραννον, οἰκέτην Δέσποτα· ἦλθες γὰρ χειρώσασθαι, ὁ ὢν εὐλογημένος, καὶ ὑπερένδοξος.

Θεοτοκίον.

Ἁγίων Ἁγίαν σε κατανοοῦμεν, ὡς μόνην κυήσασαν Θεὸν τὸν ἀναλλοίωτον, Παρθένε Ἀμόλυντε, Μῆτερ Ἀνύμφευτε. πᾶσι γὰρ ἐπήγασας πιστοῖς, τὴν ἀφθαρσίαν τῷ θείῳ Τόκῳ σου.

Ἄλλος. Ῥήτορες ἀνεδείχθησαν.

Ἔκρινε τὸν Προπάτορα πάλαι, ἐν τῇ Ἐδὲμ παρακοή· ἀλλ' ἑκουσίως ἐκρίθη, τῷ παραβάντι λύων τὸ ἔγκλημα· ὁ ὑπέρθεος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ἔσωσας τὸν τρωθέντα τῇ γλώσσῃ, τῷ ἰοβόλῳ ἐν Ἐδέμ. τὸ ἐθελούσιον δῆγμα, τῷ ἑκουσίῳ Πάθει ἰάσω γὰρ, ὁ ὑπέρθεος, τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Βαίνοντα ἐν σκιᾷ με θανάτου, ἀνεκαλέσω πρὸς τὸ φῶς, τὸν σκοτεινόμορφον Ἅδην, τῇ ἀστραπῇ βαλὼν τῆς Θεότητος· ὁ ὑπέρθεος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἑώρα ἐν νυκτὶ Ἰακὼβ μὲν, ὡς ἐν αἰνίγματι, Θεὸν σεσαρκωμένον, ἐκ σοῦ δὲ ἐν φρυκτωρίᾳ ὤφθη τοῖς μέλπουσιν· ὁ ὑπέρθεος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Σύμβολα τῆς ἐν σοὶ ἀποῤῥήτου, προκαταγγέλλων συμπλοκῆς, τῷ Ἰακὼβ προσπαλαίει, δι' ἧς ἑκὼν ἡνώθη ἀνθρώποις Ἁγνή· ὁ ὑπέρθεος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Βέβηλος ὁ μὴ ἕνα κηρύττων, τὸν τῆς Παρθένου σε Υἱὸν, τῆς Πανυμνήτου Τριάδος, καὶ ἀδιστάκτῳ γνώμῃ, καὶ γλώσσῃ βοῶν· ὁ ὑπέρθεος τῶν Πατέρων, Θεὸς καὶ ὑπερένδοξος.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Κάμινός ποτε, πυρὸς ἐν Βαβυλῶνι, τὰς ἐνεργείας διεμέριζε, τῷ θείῳ προστάγματι, τοὺς

Χαλδαίους καταφλέγουσα, τοὺς δὲ πιστοὺς δροσίζουσα ψάλλοντας· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τροπάριον.

ΑἼματι Χριστὲ, τῷ σῷ πεφοινιγμένην, τὴν τῆς Σαρκός σου καθορῶντα στολὴν, ἐν τρόμῳ ἐξίσταντο, τὴν πολλὴν μακροθυμίαν σου, τὰ τῶν Ἀγγέλων τάγματα κράζοντα· εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

ΣΥ'μου τὸ θνητὸν, ἐνέδυσας Οἰκτίρμον, ἀθανασίαν τῇ Ἐγέρσει σου. διὸ ἀγαλλόμενος, εὐχαρίστως ἀναμέλπει σοι, ὁ ἐκλεκτὸς Λαὸς Χριστὲ κράζων σοι· κατεπόθη ὄντως εἰς νῖκος ὁ θάνατος.

Θεοτοκίον.

ΣΥ' τὸν τοῦ Πατρὸς, ἀχώριστον ἐν μήτρᾳ, Θεανδρικῶς πολιτευσάμενον, ἀσπόρως συνέλαβες, καὶ ἀφράστως ἀπεκύησας, Θεογεννῆτορ Πάναγνε. ὅθεν σε σωτηρίαν, πάντων ἡμῶν ἐπιστάμεθα.

Ἄλλος. Γουδάλματος χυτοῦ.

ΩῬάθης ἐν Σταυρῷ καθηλούμενος, ὁ πλούσιος ἐν ἐλέει· ἑκὼν ἐτάφης δὲ, καὶ τριήμερος ἐξανέστης, καὶ ἐλυτρώσω πάντας τοὺς βροτοὺς Φιλάνθρωπε, πίστει μελῳδοῦντας· ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

ΛΥτρῶσαι τῆς φθορᾶς ὑπελθὼν τὰ καταχθόνια Θεοῦ Λόγε, ὅνπερ διέπλασας, δυνάμει Χριστέ μου θείᾳ, καὶ ἀφθαρτίσας, δόξης ἀϊδίου μέτοχον, τῆς σῆς ἀπειργάσω· ὑμνείτω κραυγάζοντα πᾶσα Κτίσις, καὶ ὑπερυψούτω Χριστὸν εἰς τοὺς αἰῶνας.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

ΩῬάθη ἐπὶ γῆς διὰ σοῦ, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, ὁ ἀγαθότητι ἀσύγκριτος καὶ δυνάμει. ᾧ μελῳδοῦντες πάντες οἱ πιστοὶ κραυγάζομεν· ἡ οὐσιωθεῖσα ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

ΚΥρίως σε Ἁγνὴν, καταγγέλλοντες δοξάζομεν Θεοτόκε. σὺ γὰρ τὸν ἕνα ἀπεκύησας, τῆς Τριάδος σεσαρκωμένον. ᾧ σὺν τῷ Πατρὶ, καὶ Πνεύματι πάντες μελῳδοῦμεν· ὑμνείτω τὸν Κύριον πᾶσα Κτίσις, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

ἈΝάρχου Γεννήτορος, Υἱὸς Θεὸς καὶ Κύριος, σαρκωθεὶς ἐκ Παρθένου ἡμῖν ἐπέφανε, τὰ ἐσκοτισμένα φωτίσαι, συναγαγεῖν τὰ ἐσκορπισμένα. διὸ τὴν πανύμνητον, Θεοτόκον μεγαλύνομεν.

Τροπάριον.

ΩῼΣ ἐν Παραδείσῳ φυτευθὲν, ἐν τῷ Κρανίῳ Σωτὴρ, τὸ τρισόλβιον ξύλον τοῦ σοῦ ἀχράντου Σταυροῦ, Αἵματι καὶ Ὕδατι θείῳ, ὡς ἐκ πηγῆς τῆς θείας πλευρᾶς σου, Χριστὲ ἀρδευόμενον, τὴν ζωὴν ἡμῖν ἐξεβλάστησε.

ΚΑθεῖλες δυνάστας, σταυρωθεὶς ὁ Παντοδύναμος, καὶ τὴν κάτω κειμένην ἐν τῇ τοῦ Ἅδου φρουρᾷ, φύσιν τῶν ἀνθρώπων ὑψώσας, τῷ Πατρικῷ ἐνίδρυσας Θρόνῳ· μεθ' ἧς σε ἐρχόμενον, προσκυνοῦντες μεγαλύνομεν.

ΜΟνάδα τρισάριθμον, Τριάδα ὁμοούσιον, ὀρθοδόξως ὑμνοῦντες πιστοὶ δοξάσωμεν, ἄτμητον ὑπέρθεον φύσιν, τρισοφεγγῆ, ἀνέσπερον αἴγλην, τὴν μόνην ἀκήρατον, τὴν τὸ φῶς ἡμῖν ἐκλάμψασαν.

Ἄλλος. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

ἘΝ μέσῳ τῶν καταδίκων, ὡς Ἀμνὸς ἀνηρτήθης, Χριστὲ ἐπὶ κρανίου τοῦ Σταυροῦ, λόγχῃ πλευρὰν ἐκκεντούμενος, τὴν ζωὴν ἐδωρήσω, ἡμῖν τοῖς χοϊκοῖς ὡς ἀγαθὸς, τοῖς ἐν πίστει τιμῶσι, τὴν θείαν σου Ἀνάστασιν.

ΤΟ'ν τῷ ἰδίῳ Θανάτῳ, τοῦ θανάτου τὸ κράτος, δυνάμει καταργήσαντα Θεὸν, πάντες πιστοὶ προσκυνήσωμεν, ὅτι τοὺς ἀπ' αἰῶνος, νεκροὺς συνεξανέστησε, καὶ τοῖς πᾶσι παρέχει, ζωὴν καὶ τὴν Ἀνάστασιν.

Ἄλλος. Ὅλος ὑπάρχεις ἔφεσις.

ῬΆβδος ἰσχύος δέδοται, φύσει τῇ σαθρᾷ, Λόγος Θεοῦ ἐν Μήτρᾳ σου Ἁγνὴ, καὶ ταύτην ἀνέστησε, πρὸς Ἅδην ὀλισθήσασαν. διό σε Πάναγνε, ὡς Θεοτόκον μεγαλύνομεν.

ἫΝ ᾑρετίσω Δέσποτα, δέξαι συμπαθῶς, πρέσβιν Μητέρα, σὴν ὑπὲρ ἡμῶν, καὶ σοῦ τῆς χρηστότητος, τὰ σύμπαντα πλησθήσονται. ἵνα σε ἅπαντες, ὡς εὐεργέτην μεγαλύνωμεν.

Εἰς τοὺς Αἴνους, Στιχηρὰ Ἀναστάσιμα.

ΠΆσα πνοὴ, καὶ πᾶσα Κτίσις σὲ δοξάζει Κύριε. ὅτι διὰ τοῦ Σταυροῦ τὸν θάνατον κατήργησας, ἵνα δείξῃς τοῖς Λαοῖς, τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ὡς μόνος Φιλάνθρωπος.

ΕἸπάτωσαν Ἰουδαῖοι, πῶς οἱ στρατιῶται ἀπώλεσαν, τηροῦντες τὸν Βασιλέα; διατί γὰρ ὁ λίθος οὐκ ἐφύλαξε τὴν πέτραν τῆς ζωῆς; ἢ τὸν ταφέντα δότωσαν, ἢ ἀναστάντα προσκυνησάτωσαν, λέγοντες σὺν ἡμῖν· δόξα τῷ πλήθει τῶν οἰκτιρμῶν σου, Σωτὴρ ἡμῶν δόξα σοι.

ΧΑίρετε Λαοὶ, καὶ ἀγαλλιᾶσθε· Ἄγγελος ἐκάθισεν εἰς τὸν λίθον τοῦ μνήματος. αὐτὸς ἡμᾶς εὐηγγελίσατο εἰπών· Χριστὸς ἀνέστη ἐκ νεκρῶν, ὁ Σωτὴρ τοῦ Κόσμου, καὶ ἐπλήρωσε τὰ σύμπαντα εὐωδίας. χαίρετε Λαοὶ, καὶ ἀγαλλιᾶσθε.

ἌΓγελος μὲν τὸ χαῖρε, πρὸ τῆς σῆς συλλήψεως Κύριε, τῇ Κεχαριτωμένῃ ἐκόμισεν· Ἄγγελος δὲ τὸν λίθον τοῦ ἐνδόξου σου μνήματος, ἐν τῇ σῇ Ἀναστάσει ἐκύλισεν. ὁ μὲν ἀντὶ τῆς λύπης, εὐφροσύνης σύμβολα μηνύων· ὁ δὲ ἀντὶ θανάτου, Δεσπότην ζωοδότην κηρύττων ἡμῖν. διὸ βοῶμέν σοι· Εὐεργέτα τῶν ἁπάντων Κύριε δόξα σοι.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

ἘῬῬάναν μύρα μετὰ δακρύων, ἐπὶ τὸ μνῆμά σου αἱ Γυναῖκες, καὶ ἐπλήσθη χαρᾶς τὸ στόμα αὐτῶν, ἐν τῷ λέγειν· ἀνέστη ὁ Κύριος.

ἈΙνεσάτωσαν ἔθνη καὶ Λαοὶ, Χριστὸν τὸν Θεὸν ἡμῶν, τὸν ἑκουσίως δι' ἡμᾶς Σταυρὸν ὑπομείναντα, καὶ ἐν τῷ Ἅδῃ τριημερεύσαντα· καὶ προσκυνησάτωσαν αὐτοῦ, τὴν ἐκ νεκρῶν Ἀνάστασιν, δι' ἧς πεφώτισται, πάντα τοῦ Κόσμου τὰ πέρατα.

ἘΣταυρώθης, ἐτάφης, Χριστὲ ὡς ἠβουλήθης, ἐσκύλευσας τὸν θάνατον, ὡς Θεὸς καὶ Δεσπότης, δωρούμενος τῷ Κόσμῳ ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

ὌΝτως παράνομοι, σφραγίσαντες τὸν λίθον, μείζονος ἡμᾶς θαύματος ἠξιώσατε. ἔχουσι τὴν γνῶσιν οἱ φύλακες· σήμερον προῆλθε τοῦ μνήματος, καὶ ἔλεγον· εἴπατε, ὅτι ἡμῶν κοιμωμένων, ἦλθον οἱ Μαθηταὶ, καὶ ἔκλεψαν αὐτόν. καὶ τίς κλέπτει νεκρὸν, μάλιστα δὲ καὶ γυμνόν; αὐτὸς ἀνέστη αὐτεξουσίως ὡς Θεὸς, καταλιπὼν καὶ ἐν τῷ τάφῳ τὰ ἐντάφια αὐτοῦ. δεῦτε ἴδετε Ἰουδαῖοι, πῶς οὐ διέῤῥηξε τὰς σφραγῖδας, ὁ τὸν θάνατον πατήσας, καὶ τῷ γένει τῶν ἀνθρώπων, τὴν ἀτελεύτητον ζωὴν δωρούμενος, καὶ τὸ μέγα ἔλεος.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοί.

Τὴν φωνήν σοι προσάγομεν, τοῦ Λῃστοῦ καὶ βοῶμέν σοι· Μνήσθητι ἡμῶν Σωτὴρ, ἐν τῇ Βασιλείᾳ σου.

Τὸν Σταυρόν σοι προσάγομεν, εἰς πταισμάτων συγχώρησιν, ὃν ὑπὲρ ἡμῶν κατεδέξω Φιλάνθρωπε.

Προσκυνοῦμέν σου Δέσποτα, τὴν Ταφὴν καὶ τὴν Ἔγερσιν, δι' ὧν ἐκ φθορᾶς ἐλυτρώσω, τὸν Κόσμον Φιλάνθρωπε.

Τῷ Θανάτῳ σου Κύριε, κατεπόθη ὁ θάνατος, καὶ τῇ Ἀναστάσει σου Σῶτερ, τὸν Κόσμον διέσωσας.

Οἱ ἐν σκότει καθεύδοντες, σὲ τὸ φῶς θεασάμενοι, ἐν τοῖς κατωτάτοις τοῦ Ἅδου, Χριστὲ ἐξανέστησαν.

Μυροφόροις ὑπήντησας, ἀναστὰς ἐκ τοῦ μνήματος, καὶ τοῖς Μαθηταῖς ἐπαγγεῖλαι, εἰπεῖν σου τὴν Ἔγερσιν. Δόξα.

Τὸν Πατέρα δοξάσωμεν, τὸν Υἱὸν προσκυνήσωμεν, πάντες καὶ τὸ Ἅγιον Πνεῦμα, πιστῶς ἀνυμνήσωμεν. Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Θρόνε πυρίμορφε, χαῖρε Νύμφη ἀνύμφευτε, χαῖρε ἡ Θεὸν τοῖς ἀνθρώποις, Παρθένε κυήσασα.

ΤΕΛΟΣ τοῦ Δευτέρου Ἤχου.

Κἂν δευτέραν εἴληφας ἐν τάξει θέσιν,
Ἀλλ' ἡδονὴ πρώτη σοι τοῦ μελιρρύτου.
Τὸ σὸν μελιχρὸν, καὶ γλυκύτατον μέλος,
Ὅσα πιαίνει, καρδίας τ' ἐνηδύνει.
Σειρῆνες ᾖδον δευτέρου πάντως μέλη.
Οὕτω πράως σοι ῥεῖ μελισταγὲς μέλος.

## ΤΩ͂ ΣΑΒΒΑΤΩ ἙΣΠΕΡΑΣ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ Ἀναστάσιμα.
Ἦχος Γ'.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτὴρ, θανάτου κράτος λέλυται, καὶ διαβόλου ἡ πλάνη κατήργηται, Γένος δὲ ἀνθρώπων πίστει σωζόμενον, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

Πεφώτισται τὰ σύμπαντα, τῇ Ἀναστάσει σου Κύριε, καὶ ὁ Παράδεισος πάλιν ἠνέῳκται, πᾶσα δὲ ἡ Κτίσις ἀνευφημοῦσά σε, ὕμνον σοι καθ' ἑκάστην προσφέρει.

Δοξάζω τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ τὴν δύναμιν, καὶ Πνεύματος Ἁγίου ὑμνῶ τὴν ἐξουσίαν, ἀδιαίρετον, ἄκτιστον Θεότητα, Τριάδα ὁμοούσιον, τὴν βασιλεύουσαν εἰς αἰῶνα αἰῶνος.

Ἕτερα Στιχηρὰ Ἀνατολικά.

Τὸν Σταυρόν σου τὸν Τίμιον, προσκυνοῦμεν Χριστὲ, καὶ τὴν Ἀνάστασίν σου, ὑμνοῦμεν καὶ δοξάζομεν· τῷ γὰρ μώλωπί σου, ἡμεῖς οἱ πάντες ἰάθημεν.

Ὑμνοῦμεν τὸν Σωτῆρα, τὸν ἐκ τῆς Παρθένου σαρκωθέντα· δι' ἡμᾶς γὰρ ἐσταυρώθη, καὶ τῇ τρίτῃ ἡμέρα ἀνέστη, δωρούμενος ἡμῖν τὸ μέγα ἔλεος.

Τοῖς ἐν Ἅδῃ καταβὰς, Χριστὸς εὐηγγελίσατο, θαρσεῖτε λέγων, νῦν νενίκηκα. Ἐγώ εἰμι ἡ Ἀνάστασις, ἐγὼ ὑμᾶς ἀνάξω, λύσας θανάτου τὰς πύλας.

Οἱ ἀναξίως ἑστῶτες, ἐν τῷ ἀχράντῳ σου Οἴκῳ, Ἑσπερινὸν ὕμνον ἀναμέλπομεν, ἐκ βαθέων κραυγάζοντες· Χριστὲ ὁ Θεὸς, ὁ φωτίσας τὸν Κόσμον, τῇ τριημέρῳ Ἀναστάσει σου, ἐξελοῦ τὸν Λαόν σου, ἐκ χειρὸς τῶν ἐχθρῶν σου Φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Πῶς μὴ θαυμάσωμεν, τὸν Θεανδρικόν σου Τόκον Πανσεβάσμιε; πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη Πανάμωμε, ἔτεκες Ἀπάτορα Υἱὸν ἐν σαρκὶ, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα Ἀμήτορα, μηδαμῶς ὑπομείναντα τροπὴν, ἢ φυρμὸν, ἢ διαίρεσιν· ἀλλ' ἑκατέρας οὐσίας τὴν ἰδιότητα σώαν φυλάξαντα. Διὸ Μητροπάρθενε Δέσποινα, αὐτὸν ἱκέτευε σωθῆναι, τὰς ψυχὰς τῶν ὀρθοδόξως, Θεοτόκον ὁμολογούντων σε.

Εἰς τὸν Στίχον, Στιχηρά.

Ὁ τῷ Πάθει σου Χριστὲ, ἀμαυρώσας τὸν Ἥλιον, καὶ τῷ φωτὶ τῆς σῆς Ἀναστάσεως, φαιδρύνας τὰ σύμπαντα, πρόσδεξαι ἡμῶν, τὸν Ἑσπερινὸν ὕμνον Φιλάνθρωπε.

Τὰ κατ' Ἀλφάβητον.

Ἡ ζωοδόχος σου Ἔγερσις Κύριε, τὴν Οἰκουμένην πᾶσαν ἐφώτισε, καὶ τὸ ἴδιον πλάσμα, φθαρὲν ἀνεκαλέσατο. Διὸ τῆς κατάρας τοῦ Ἀδὰμ, ἀπαλλαγέντες βοῶμεν· Παντοδύναμε Κύριε δόξα σοι.

Θεὸς ὑπάρχων ἀναλλοίωτος, σαρκὶ πάσχων ἠλλοίωσαι. Ὃν ἡ Κτίσις μὴ φέρουσα κρεμάμενον ὁρᾶν, τῷ φόβῳ ἐκλονεῖτο, καὶ στένουσα ὕμνει, τὴν σὴν μακροθυμίαν. Κατελθὼν ἐν Ἅδῃ δὲ τριήμερος ἀνέστης, ζωὴν τῷ Κόσμῳ δωρούμενος, καὶ τὸ μέγα ἔλεος.

Ἵνα τὸ γένος ἡμῶν, ἐκ τοῦ θανάτου Χριστὲ λυτρώσῃς, θάνατον ὑπέμεινας· καὶ τριήμερος ἐκ νεκρῶν ἀναστὰς, ἑαυτῷ συνανέστησας, τοὺς σὲ Θεὸν ἐπιγνόντας, καὶ Κόσμον ἐφώτισας, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ἀσπόρως ἐκ Θείου Πνεύματος, βουλήσει δὲ Πατρὸς, συνείληφας Υἱὸν τὸν τοῦ Θεοῦ, ἐκ Πατρὸς Ἀμήτορα πρὸ τῶν αἰώνων ὑπάρχοντα, δι' ἡμᾶς δὲ ἐκ σοῦ Ἀπάτορα γεγονότα, σαρκὶ ἀπεκύησας, καὶ βρέφος ἐγαλούχησας. Διὸ μὴ παύσῃ πρεσβεύειν, τοῦ λυτρωθῆναι κινδύνων τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον.

Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ. Ὁ Κύριος ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο, ἐκ κοιλίας Ἅδου ἐρρύσατο ἡμᾶς, καὶ παρέσχε τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε. Ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου, καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος Πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς Φιλάνθρωπος.

## ΤΗ͂ ΚΥΡΙΑΚΗ͂ ΠΡΩΪ.

Εἰς τὸ Μεσονυκτικὸν, Κανὼν Τριαδικός.
Οὗ ἡ ἀκροστιχίς.
Αἰνῶ Τριάς σε, τὴν μίαν Θεαρχίαν. Μητροφάνους.
Ὠδὴ α'. Ὁ τὰ ὕδατα πάλαι.

Ἀκατάληπτε μόνη Κυριαρχία, καὶ μία τριαδικὴ Θεαρχία, τριλαμποῦς αἴγλης με τῆς σῆς ἀξίωσον νῦν, ὅπως ἀνυμνήσω σε τὴν ὑμνουμένην ἀπαύστως, τρισαγίοις ᾄσμασιν, Ἀγγέλων στόμασιν.

Ἱερῶς τῶν Ἀΰλων πᾶσαι αἱ τάξεις ὑμνοῦσι, ποιητικὴν ὡς αἰτίαν, ἑνικὴν τρίφωτον ἀρχικωτάτην σαφῶς. Ἣν συμφώνως μέλψωμεν, τῶν ἀνθρώπων τὰ πλήθη, καὶ πιστῶς δοξάσωμεν, πηλίνοις στόμασι.

Νοῦν καὶ Λόγον καὶ Πνεῦμα οἱ Θεολόγοι προσφόρως, συμβολικῶς σε καλοῦσιν, ἀπαθῆ γέννησιν ἐξ ἀγεννήτου Πατρὸς, τοῦ Υἱοῦ σημαίνοντος, Θεὲ

Μονάρχα τῶν ὅλων, ἅμα καὶ τοῦ Πνεύματος θείαν Ἐκπόρευσιν.

Θεοτοκίον.

Ὡς φιλάνθρωπος φύσει, τὴν τῶν ἀνθρώπων οὐσίαν, προσειληφὼς Θεοῦ Λόγε, τὸ τρισσὸν ἔλαμψας μοναρχικώτατον φῶς, τῆς μιᾶς Θεότητος, δεδοξασμένην τοῖς πᾶσι, δείξας τὴν τεκοῦσάν σε Παρθένον Ἄχραντον.

Ὠδὴ γ΄. Ὁ ἐκ μὴ ὄντων τὰ πάντα.

Τριοστεῦσαι πάλαι τὸ ὕδωρ προστεταχώς, Ἠλίας ταῖς σχίδαξι, τυπικῶς παρενέφηνε, τὴν τριττὴν Ὑπόστασιν, τῆς ἑνιαίας Θεοῦ Κυριαρχίας.

Ῥόωδης φύσις ὑμνεῖ σε τῶν γηγενῶν, τὸν ἕνα καὶ τρίφωτον, Πλαστουργὸν ἀναλλοίωτον, καὶ βοᾷ σοι Δέσποτα· παντοδαπῆς με τροπῆς ῥῦσαι καὶ σῶσόν με.

Ἰσηγοροῦντες τοῖς λόγοις τῶν Προφητῶν, κλεινῶν Ἀποστόλων τε, καὶ Κηρύκων τῆς Πίστεως, ἰσουργὸν Τριάδα σε, δοξολογοῦμεν πιστοὶ Θεὲ τῶν ὅλων.

Θεοτοκίον.

Ἀπὸ τοῦ θρόνου κατῆλθε τοῦ ὑψηλοῦ, ὁ Χριστὸς τὸν ἄνθρωπον, ἀνυψῶν ὡς φιλάνθρωπος, διὰ σοῦ Παναχράντε, καὶ τὸ τρισήλιον φῶς ἔλαμψε πᾶσι.

Καθίσματα.

Ὁ Ὑπερούσιος καὶ μόνος Κύριος, Χριστὸς ἀπαύγασμα τοῦ προανάρχου Πατρός, καὶ Πνεῦμα τὸ θειότατον ἐλέησον τοὺς δούλους σου. πάντες γὰρ ἡμάρτομεν, ἀλλὰ σοῦ οὐκ ἀπέστημεν. ὅθεν δυσωποῦμέν σε, Τρισυπόστατε Κύριε, ὡς ἔχων ἐξουσίαν τὸ πλάσμα σου, σῶσον ἐκ πάσης περιστάσεως.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁ Ὑπερούσιος Θεὸς καὶ Κύριος, ἐκ σοῦ σεσάρκωται δι' ἀγαθότητα, τὸ καθ' ἡμᾶς οὐσιωθείς, καὶ μείνας ὅπερ πέφυκεν. ὅθεν καὶ Θεάνθρωπον τοῦτον σέβοντες Πανάγνε, σὲ τὴν Ἀπειρόγαμον Θεοτόκον κηρύττομεν, δοξάζοντες τὸ μέγιστον θαῦμα, τῆς σῆς ἀσπόρου κυήσεως.

Ὠδὴ δ΄. Ἔθου πρὸς ἡμᾶς.

Στέλεχος διττόν, ἐκ Πατρὸς ὡς ῥίζης ἐβλάστησεν, ὁ Υἱός, καὶ Πνεῦμα τὸ θεῖον, οἱ συμφυεῖς βλαστοὶ καὶ Θεόφυτοι, καὶ αὔθη συνάναρχα, ὡς τρία εἶναι φῶτα τῆς Θεότητος. Δίς.

Στῖφη νοερῶν, οὐσιῶν ἀπαύστως ὑμνοῦσί σε, τὸν ἀπερινόητον Θεόν, μεθ' ὧν ἡμεῖς δοξάζομεν λέγοντες· Τριὰς ὑπερούσιε, τοὺς σοὺς ἱκέτας σῶσον ὡς φιλάνθρωπος.

Θεοτοκίον.

Ἔθελξας ἡμᾶς, εἰς ἀγάπην σὴν Πολυέλεε, Λόγε τοῦ Θεοῦ, ὁ δι' ἡμᾶς, σωματωθεὶς ἀτρέπτως, καὶ τρίφωτον, τὴν μίαν Θεότητα μυσταγωγήσας· ὅθεν σε δοξάζομεν.

Ὠδὴ ε΄. Ὡς εἶδεν Ἡσαΐας.

Τὸν ἕνα Κυριάρχην εἰκονικῶς, ὡς εἶδεν Ἡσαΐας, Θεόν, ἐν τρισὶ προσώποις δοξολογούμενον, ἀκαταπαύστοις φωναῖς Σεραφίμ, ἀπεστάλη τοῦ κηρύξαι παρευθύς, τρίφωτον οὐσίαν, καὶ Μονάδα τρισήλιον. Δίς.

Ἡ πάντων ἀοράτων καὶ ὁρατῶν, τὴν φύσιν ἐξ οὐκ ὄντων τὸ πρίν, ὑποστησαμένη Μονὰς τρισήλιε, τοὺς ἕνα Θεόν σε πιστῶς, εὐφημοῦντας, ἐκ παντοίων πειρασμῶν, ἐκλυτρωσαμένη, τῆς σῆς δόξης ἀξίωσον.

Θεοτοκίον.

Νυμφῶνα φωτοφόρον καὶ καθαρόν, Παρθένε γεγονυῖαν Θεοῦ, ὑμνοῦμέν σε πόθῳ καὶ μακαρίζομεν· ἐκ σοῦ γὰρ ἐτέχθη Χριστός, ἐν οὐσίαις καὶ θελήσεσι διτταῖς, ὁ εἷς τῆς Τριάδος, καὶ τῆς δόξης ὢν Κύριος.

Ὠδὴ ς΄. Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν.

Μέτοικος ὑπάρχων ὁ Ἀβραάμ, κατηξιώθη τυπικῶς ὑποδέξασθαι, ἑνικὸν μὲν Κύριον, ἐν τρισὶν ὑποστάσεσιν, ὑπερούσιον, ἀνδρικαῖς δὲ μορφώσεσι. Δίς.

Ἴθυνον καρδίας σῶν οἰκετῶν, πρὸς φῶς τὸ ἀπρόσιτον, ὦ Τρισήλιε Κύριε, καὶ σῆς δόξης ἔλλαμψιν, παράσχου ταῖς ψυχαῖς ἡμῶν, τοῦ φαντάζεσθαι, τὸ σὸν κάλλος τὸ ἄρρητον.

Θεοτοκίον.

Ἄνοιξον τὰς πύλας μοι τοῦ φωτός, τοῦ κυηθέντος ἐκ νηδύος σου Ἄχραντε, ἵνα βλέπω τρίφωτον, ἀκτῖνα τῆς Θεότητος, καὶ δοξάζω σε, τὴν ὁλόφωτον Δέσποιναν.

Κάθισμα. Θείας Πίστεως.

Θείας φύσεως ὁμοουσίου, τὸ τρισήλιον ὑμνοῦμεν κράτος, καὶ τρισαγίαις φωναῖς ἐκβοήσωμεν· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ προάναρχος. Ἅγιος εἶ, ὁ Υἱὸς ὁ συνάναρχος, Πνεῦμα Ἅγιον, ὁ εἷς ἀμερὴς Θεὸς ἡμῶν, καὶ πάντων Ποιητὴς καὶ Φιλάνθρωπος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Θαῦμα μέγιστον, πῶς συνεχέθη, ὁ ἀχώρητος ἐν τῇ Γαστρί σου, καὶ ἐσαρκώθη καὶ ἐφάνη ὡς ἄνθρωπος, μὴ ὑπομείνας φυρμόν, ἢ διαίρεσιν τῆς Θεϊκῆς, καὶ ἀτρέπτου Θεότητος, Κόρη Πανάγνε. διὸ Θεοτόκον σε πιστῶς, κηρύττομεν ἀεί, καὶ δοξάζομεν.

Ὠδὴ ζ΄. Ὡς πάλαι τοὺς Ἀσεβεῖς.

Ναόν με δεῖξον τῆς σῆς, Θεότητος Δέσποτα, τῆς τριλαμποῦς ὅλον φωτεινόν, ἁμαρτητικῆς ἀμαυρώσεως δεινῆς, καὶ παθῶν ἀνώτερον, ταῖς φωτουργαῖς σου λάμψεσιν, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεότητος τὴν μορφήν, μίαν καταγγέλλομεν, ἐν τρισὶν ὑποστατικαῖς, καὶ διαιρεταῖς ἰδιότησι, Πατρός, καὶ Υἱοῦ, καὶ Πνεύματος. εὐλογητὸς εἶ κράζοντες, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἐφάνη τῷ Ἀβραάμ, Θεὸς Τρισυπόστατος, ἐν τῇ δρυῒ πάλαι τῇ Μαμβρῇ, τῆς φιλοξενίας μισθόν, τὸν Ἰσαὰκ αὐτῷ διδοὺς δι' ἔλεον· ὅνπερ καὶ νῦν δοξάζομεν, ὡς Θεὸν τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Ἐφάνη ἐπὶ τῆς γῆς, γενόμενος ἄνθρωπος, ὁ παντουργὸς ἀγαθοπρεπῶς, ἐκ παρθενικῆς καὶ ἀχράντου σου Γαστρός, καὶ ἡμᾶς ἐθέωσεν, εὐλογημένη Πανάγνε, Θεοτόκε Πανάχραντε.

Ὠδὴ η΄. Ἀστέκτῳ πυρὶ ἑνωθέντες.

Ἄναρχοι Πατρὸς ὡς ἐκ ῥίζης, Λόγος καὶ τὸ Πνεῦμα, συνανάρχως πεφυκότες, ὡς βλαστοὶ τῆς Ὑπερουσίου Θεαρχίας, ἔδειξαν τῆς Τριάδος, δόξαν μίαν τε καὶ δύναμιν, ἣν ὑμνοῦμεν πάντες, πιστοὶ εἰς τοὺς αἰῶνας. Δίς.

Ῥυθμίζεις ταῖς σαῖς φρυκτωρίαις, τάξεις οὐρανίους, ἀναμέλπειν ἀσιγήτως, τρισαγίοις ᾄσμασι θείοις, Πάτερ Λόγε σύμμορφε, καὶ τὸ Πνεῦμα τρίφωτον, κράτος καὶ ἰσόρροπον. ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Χρησμοὶ Προφητῶν τὸν σὸν Τόκον, πόρρωθεν ἰδόντες Θεοτόκε ἀνεφήμουν, ὡς ἀσπόρως καὶ ὑπερφυῶς, γεννηθέντα Δέσποινα, καὶ συμφώνως τοῦτον ὑμνοῦμεν ὡς Κύριον, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Καινὸν τὸ θαῦμα.

Ἰδεῖν τὴν δόξαν τὴν τρισολαμπῆ, αἱ θεοειδεῖς τῶν Ἀσωμάτων Τάξεις, σαφῶς αἰδέσιμα πτέρυξιν ἀφίενται ἄνω· ἀλλ' εὐλαβοῦνται σφόδρα τὸ ἀπρόσιτον φῶς, καὶ ὕμνον ἀπαύστως ἐκβοῶσι, τούτοις συμφώνως μοναδικὴ Τριάς σε δοξάζομεν. Δίς.

Ἁπλῆ-

Ἀπλέτῳ πόθῳ καὶ οἱ ἐπὶ γῆς, νοερὰν ψυχὴν ἐκ σοῦ λαβόντες, καὶ λογικήν, σὲ ὑμνοῦμεν Δέσποτα Θεὲ τῶν ἁπάντων, τὴν ἑνιαίαν φύσιν ἀληθῶς, καὶ τριττὴν προσώποις ἐξ ὅλης τῆς καρδίας. διὸ Οἰκτίρμον, ὡς πολυέλεος ἡμᾶς οἰκτείρον. Θεοτοκίον.

Ναόν με δεῖξον τῆς μοναρχικῆς, καὶ τρισφεγγοῦς σου Θεαρχίας φωτοειδῆ, καθαρῶς λατρεύειν σοι τῷ Κτίστῃ τῶν ὅλων, καὶ τῆς ἀφράστου δόξης νοερὸν θεωρόν, πρεσβείαις τῆς μόνης Θεοτόκου· ἣν ἐπαξίως, ὡς ὑπερένδοξον μεγαλύνομεν.

## Τῌ ΚΥΡΙΑΚῌ ΠΡΩΐ.

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν αʹ. Στιχολογίαν Καθίσματα Ἀναστάσιμα.

Χριστὸς ἐκ νεκρῶν ἐγήγερται, ἡ ἀπαρχὴ τῶν κεκοιμημένων, ὁ Πρωτότοκος τῆς Κτίσεως, καὶ Δημιουργὸς πάντων τῶν γεγονότων, τὴν καταφθαρεῖσαν φύσιν τοῦ γένους ἡμῶν, ἐν ἑαυτῷ ἀνεκαίνισεν. οὐκ ἔτι θάνατε κυριεύεις. ὁ γὰρ τῶν ὅλων Δεσπότης, τὸ κράτος σου κατέλυσε. Δόξα.

Σαρκὶ τοῦ θανάτου γευσάμενος Κύριε, τὸ πικρὸν τοῦ θανάτου ἐξέτεμες τῇ Ἐγέρσει σου, καὶ τὸν Ἄνθρωπον κατ' αὐτοῦ ἐνισχύσας, τῆς ἀρχαίας κατάρας τὴν ἧτταν ἀνακαλούμενος, ὁ ὑπερασπιστὴς τῆς ζωῆς ἡμῶν, Κύριε δόξα σοι. Καὶ νῦν. Θεοτοκίον.

Τὴν ὡραιότητα τῆς Παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· ποῖόν σοι ἐγκώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπορῶ, καὶ ἐξίσταμαι. διὸ ὡς προσετάγην βοῶ σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὴν βʹ. Στιχολογίαν, Καθίσματα. Τὴν ὡραιότητα τῆς παρθενίας σου.

Τὸ ἀναλλοίωτον, τὸ τῆς Θεότητος, καὶ τὸ ἑκούσιον, Πάθος σου Κύριε, εἰς ἑαυτὸν καταπλαγείς, ὁ Ἅδης ἐπωδύρετο. τρέμω τὴν τοῦ σώματος, μὴ φθαρεῖσαν ὑπόστασιν· βλέπω τὸν ἀόρατον, μυστικῶς πολεμοῦντά με. διὸ καὶ οὓς κατέχω κραυγάζουσι· δόξα Χριστὲ τῇ Ἀναστάσει σου. Δόξα.

Τὸ ἀκατάληπτον, τὸ τῆς Σταυρώσεως, καὶ ἀνερμήνευτον, τὸ τῆς Ἐγέρσεως, θεολογοῦμεν οἱ Πιστοί, ἀπόρρητον Μυστήριον. σήμερον γὰρ θάνατος, καὶ ὁ Ἅδης ἐσκύλευται, γένος δὲ ἀνθρώπινον ἀφθαρσίαν ἐνδέδυται. διὸ καὶ εὐχαρίστως κραυγάζομεν· δόξα Χριστὲ τῇ Ἀναστάσει σου. Καὶ νῦν. Θεοτοκίον.

Τὸν ἀκατάληπτον καὶ ἀπερίγραπτον, τὸν ὁμοούσιον Πατρὶ καὶ Πνεύματι, ἐν τῇ Γαστρί σου μυστικῶς, ἐχώρησας Θεομῆτορ. μίαν καὶ ἀσύγχυτον, τῆς Τριάδος ἐνέργειαν, ἔγνωμεν τῷ Τόκῳ σου, ἐν τῷ Κόσμῳ δοξάζεσθαι. διὸ καὶ εὐχαρίστως βοῶμέν σοι· Χαῖρε ἡ Κεχαριτωμένη.

Μετὰ τὸν Ἄμωμον. Ἡ Ὑπακοή.

Ἐκπλήττων τῇ ὁράσει, δροσίζων τοῖς ῥήμασιν, ὁ ἀστράπτων Ἄγγελος, ταῖς Μυροφόροις ἔλεγε· τὸν ζῶντα τί ζητεῖτε ἐν Μνήματι; ἠγέρθη κενώσας τὰ Μνήματα. τῆς φθορᾶς ἀλλοιωτήν, γνῶτε τὸν ἀναλλοίωτον. εἴπατε τῷ Θεῷ, ὡς φοβερὰ τὰ ἔργα σου· ὅτι τὸ γένος ἔσωσας τῶν ἀνθρώπων.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον Αʹ.

Τὴν αἰχμαλωσίαν Σιών, σὺ ἐξεῖλες ἐκ Βαβυλῶνος· κἀμὲ ἐκ τῶν παθῶν, πρὸς ζωὴν ἕλκυσον Λόγε.

Ἐν τῷ νότῳ οἱ σπείροντες δάκρυσιν ἐνθέοις, θερίζουσι στάχυας, ἐν χαρᾷ ἀειζωΐας. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ἀγαθοδωρία, ὡς Πατρὶ καὶ Υἱῷ συναστράπτει, ἐν ᾧ τὰ πάντα ζῇ καὶ κινεῖται. Ἀντίφωνον Βʹ.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον τῶν ἀρετῶν, μάτην κοπιῶμεν· τὴν δὲ ψυχὴν σκέποντος, οὐδεὶς ἡμῶν πορθεῖται τὴν Πόλιν.

Τοῦ καρποῦ τῆς Γαστρός, τῷ Πνεύματι Υἱοποιητοί σοι τῷ Χριστῷ, ὡς Πατρί, οἱ Ἅγιοι πάντοτε εἰσί. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἐνθεωρεῖται πᾶσα ἁγιότης σοφία, ὁσιοῖ πᾶσαν γὰρ Κτίσιν. αὐτῷ λατρεύσωμεν. Θεὸς γάρ, ὡς Πατρί τε, καὶ Λόγῳ. Ἀντίφωνον Γʹ.

Οἱ φοβούμενοι τὸν Κύριον, μακάριοι τρίβους βαδιοῦνται, τῶν ἐντολῶν φάγονται, ζωηρὰν γὰρ παγκαρπίαν.

Κύκλῳ τῆς τραπέζης σου εὐφράνθητι, καθορῶν σου Ποιμενάρχα, τὰ ἔγγονα φέροντα, κλάδους ἀγαθοεργίας. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ὁ πᾶς πλοῦτος τῆς δόξης, ἐξ οὗ χάρις, καὶ ζωὴ πάσῃ τῇ Κτίσει. σὺν Πατρὶ γὰρ ἀνυμνεῖται, καὶ τῷ Λόγῳ.

Προκείμενον.

Εἴπατε ἐν τοῖς ἔθνεσιν, ὅτι Κύριος ἐβασίλευσε.
Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.
Πᾶσα πνοή. Εὐαγγέλιον τὸ Ἑωθινόν.
Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Νʹ.

Κανὼν ὁ Ἀναστάσιμος. Ὠδὴ αʹ. Ὁ Εἱρμός.

Τὰ ὕδατα πάλαι νεύματι θείῳ, εἰς μίαν συναγωγὴν συναθροίσας, καὶ τεμὼν θάλασσαν Ἰσραηλίτῃ Λαῷ· οὗτος ὁ Θεὸς ἡμῶν δεδοξασμένος ὑπάρχει, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται. Τροπάρια.

Τὴν γῆν κατακρίνας τῷ παραβάντι ἱδρῶτος, φέρειν καρπὸν τὰς ἀκάνθας, ἀκανθῶν στέφανον ἐκ παρανόμου χειρός, οὗτος ὁ Θεὸς ἡμῶν, σωματικῶς δεδεγμένος, τὴν κατάραν ἔλυσεν, ὅτι δεδόξασται.

Νικητὴς τροπαιοῦχος κατὰ θανάτου ὁ Θάνατος, δεδοικὼς ἀνεδείχθη. παθητὴν σάρκα γὰρ ἐμψυχωμένην λαβών, οὗτος ὁ Θεὸς ἡμῶν, καὶ συμπλακεὶς τῷ Τυράννῳ, πάντας συνανέστησεν, ὅτι δεδόξασται.

Θεοτοκίον.

Ἀληθῆ Θεοτόκον, πάντα τὰ Ἔθνη δοξάζει σε, τὴν ἀσπόρως τεκοῦσαν. ὑποδὺς μήτραν γάρ, ἡγιασμένην τὴν σήν, οὗτος ὁ Θεὸς ἡμῶν, τὸ καθ' ἡμᾶς οὐσιώθη, καὶ Θεὸς καὶ Ἄνθρωπος, ἐκ σοῦ γεγένηται.

Ἕτερος Κανὼν Σταυροαναστάσιμος.

Ἆσμα καινόν.

Γένος βροτῶν Αἵματι Θείῳ, δεδουλωμένον Τυράννῳ φιλαμαρτήμονι, Χριστὸς ἐξηγόρασε, καὶ θεοποιήσας ἀνεκαίνισεν, ὅτι δεδόξασται.

Ὡς μὲν θνητὸς Θανάτου θέλων, ὁ τῆς Ζωῆς ταμιοῦχος Χριστὸς ἐγεύσατο· ὡς ὢν δὲ ἀθάνατος φύσει, τοὺς νεκροὺς ἐζωοποίησεν, ὅτι δεδόξασται.

Ἕτερος Κανὼν τῆς Θεοτόκου. Οὗ ἡ ἀκροστιχίς.
Ἄγω τρίτον μέλισμα, σοὶ Θεοτόκε.
Σὺν τοῖς Εἱρμοῖς. Ἆσμα καινόν.

Γόνυ κάμπτει ἅπασα φύσις, ἐπουρανίων Παρθένε, τῷ Σαρκωθέντι ἐκ σοῦ, σὺν τοῖς ἐπιγείοις τε, ἀξιοπρεπῶς τὰ καταχθόνια, ὅτι δεδόξασται.

ΑΝΕΜΗ Βιβλιοθήκη
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ω Συναλλαγμάτων τῶν ἐν σοί. ἀγαθῶν γὰρ ἀφθόνως παρεκτικὸς ὡς Θεός, Πνεῦμα Θεῖον δοὺς ἡμῖν, σάρκα ἐκ σοῦ Κόρη προσελάβετο, ὅτι δεδόξασαι.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Ὁ Ἐκ μὴ ὄντων τὰ πάντα παραγαγών, τῷ Λόγῳ κτιζόμενα, τελειούμενα Πνεύματι, Παντοκράτορ Δέσποτα, ἐν τῇ ἀγάπῃ τῇ σῇ στερέωσόν με.

Τροπάριον.

Διὰ Σταυροῦ σου ἠχρειώθη ὁ ἀσεβής· εἰργάσατο βόθρον γάρ, ὃν ὀρύξας εἰσπέπτωκε, ταπεινῶν ὑψώθη δέ, Χριστὲ τὸ κέρας, ἐν τῇ σῇ Ἀναστάσει.

Τῆς ἀσεβείας τὸ κήρυγμα τῶν ἐθνῶν, ὡς ὕδωρ ἐκάλυψε, τὰς θαλάσσας Φιλάνθρωπε. ἀναστὰς ἐκ τάφου γάρ, τὸ τῆς Τριάδος ἀπεκάλυψας φέγγος.

Θεοτοκίον.

Δεδοξασμένα λελάληνται περὶ σοῦ, ἡ Πόλις ἡ ἔμψυχος τοῦ ἀεὶ βασιλεύοντος. διὰ σοῦ γὰρ Δέσποινα, τοῖς ἐπὶ γῆς Θεὸς συναναστράφη.

Ἄλλος. Τόξον ἔθραυσας ἐχθροῦ.

Ῥύψις ἄχραντε Σταυρέ, εἰδωλικῶν ἐδείχθης σὺ καθαρμάτων. ὅτι Ἰησοῦς ὁ ὑπέρθεος, ἐν σοὶ χεῖρας ἐξεπέτασε.

Ἵνα πάντες οἱ πιστοί, τὸ ζωοδόχον Μνῆμα σὲ προσκυνῶμεν, τέθαπται ἐν σοί, καὶ ἐγήγερται Χριστός, ὄντως ὁ Θεὸς ἡμῶν.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ῥάβδος ῥίζης Ἰεσσαί, προφητικῶς βλαστήσασα ἡ Παρθένος, ἄνθος σε Χριστέ, ἐξανέτειλεν ἡμῖν. Ἅγιος εἶ Κύριε.

Ἵνα θείας κοινωνούς, τοὺς γηγενεῖς ἐργάσῃ ἐκ τῆς Παρθένου, σάρκα τὴν ἡμῶν, σὺ ἐπτώχευσας λαβών. Ἅγιος εἶ Κύριε.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ἔθου πρὸς ἡμᾶς, κραταιὰν ἀγάπησιν Κύριε· τὸν μονογενῆ γάρ σου Υἱόν, ὑπὲρ ἡμῶν εἰς θάνατον δέδωκας. διό σοι κραυγάζομεν εὐχαριστοῦντες· δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάριον.

Στίγματα Χριστέ, συμπαθῶς καὶ μώλωπας ὑπέμεινας, ὕβρεις ῥαπισμάτων καρτερῶν, καὶ μακροθύμως φέρων ἐμπτύσματα, δι' ὧν κατειργάσω μοι τὴν σωτηρίαν. δόξα τῇ δυνάμει σου Κύριε.

Σώματι θνητῷ, ἡ ζωὴ θανάτῳ ὡμίλησας, τῆς ταλαιπωρίας τῶν πτωχῶν, καὶ στεναγμοῦ πενήτων σου ἕνεκεν. καὶ φθείρας τὸν φθείραντα, δεδοξασμένε, πάντας συνανέστησας, μόνε Φιλάνθρωπε.

Θεοτοκίον.

Μνήσθητι Χριστέ, ἧς ἐκτήσω ποίμνης τῷ Πάθει σου, τῆς δεδοξασμένης σου Μητρός, τὰς συμπαθεῖς ἐντεύξεις δεξάμενος, καὶ ἐπισκεψάμενος, κεκακωμένην ῥῦσαι, τῇ δυνάμει σου Κύριε.

Ἄλλος. Τὸ ξένον, καὶ ἀπόρρητον.

Ὁ Πλάσας κατ' εἰκόνα σου, Φιλάνθρωπε τὸν ἄνθρωπον, καὶ νεκρωθέντα τῇ ἁμαρτίᾳ, διὰ τῆς παραβάσεως, σταυρωθεὶς ἐν Κρανίῳ διέσωσας.

Νεκροὺς μὲν οὓς κατέπιεν, ὁ θάνατος ἀπέδωκε. κατελύθη δέ, καὶ τὸ τοῦ ᾅδου φθοροποιὸν Βασίλειον, ἀναστάντος ἐκ τάφου σου Κύριε.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ὁ Στήσας ὄρη Δέσποτα, ζυγῷ τῆς θείας γνώσεως, λελατόμησαι ἐκ τῆς Παρθένου, λίθος χειρῶν ἄνευθεν. τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Νοσοῦσαν ἐθεράπευσας, ἡμῶν τὴν φύσιν Δέσποτα, δραστικώτατον ἐν τῇ Παρθένῳ, ταύτῃ ἑνώσας φάρμακον, τὴν σὴν ἄχραντον Λόγε Θεότητα.

Μερίς μου εἶ ὁ Κύριος, καὶ κλῆρος ἐπιπόθητος, ὁ ἑνώσας με ἐκ τῆς Παρθένου, Λόγε τῇ Ὑποστάσει σου, τῇ σαρκὶ χρηματίσας Ὑπόστασις.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Πρὸς σὲ ὀρθρίζω, τὸν τοῦ Παντὸς Δημιουργόν, τὴν ὑπερέχουσαν πάντα νοῦν εἰρήνην. διότι φῶς τὰ προστάγματά σου, ἐν οἷς με καθοδήγησον.

Τροπάριον.

Κριτῇ ἀδίκῳ, Ἑβραίων φθόνῳ, προδοθεὶς ὁ Παντεπόπτης, καὶ ἅπασαν δικαίως κρίνων τὴν γῆν, τὸν Ἀδὰμ τῆς πάλαι, ἐρρύσω κατακρίσεως.

Τὴν σὴν εἰρήνην, ταῖς Ἐκκλησίαις σου Χριστέ, τῇ ἀηττήτῳ δυνάμει τοῦ Σταυροῦ σου, ὁ ἐκ νεκρῶν ἀναστὰς παράσχου, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Σκηνὴ Ἁγία, καὶ πλατυτέρα Οὐρανῶν, ὡς τὸν ἐν πάσῃ ἀχώρητον τῇ Κτίσει, Λόγον Θεοῦ δεξαμένη, μόνη ἐδείχθης Ἀειπάρθενος.

Ἄλλος. Ἐπὶ τῆς γῆς ὁ ἀόρατος.

Λόγχη πλευρᾶς, ὦ Χριστέ μου νυγεῖσα, τὴν ἐκ πλευρᾶς ἀνθρωπίνης κτισθεῖσαν, ὀλέθρου πᾶσι βροτοῖς, γεγονυῖαν πρόξενον, τῆς κατάρας ἠλευθέρωσας.

Ἴσος Πατρί, κατ' Οὐσίαν ὑπάρχων, τὸν ἱερὸν ἐξανέστησας δόμον, τοῦ παναχράντου σου, καὶ πανσέπτου σώματος, ἐκ νεκρῶν Χριστὲ Σωτὴρ ἡμῶν.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Λόγος Θεοῦ, ὁ Υἱός σου Παρθένε, Δημιουργὸς Ἀδὰμ τοῦ πρωτοπλάστου, οὐ δημιούργημα, εἰ καὶ σάρκα ἔμψυχον, ἑαυτῷ ἐκ σοῦ διέπλασεν.

Ἴσος Πατρί, ὁ Υἱὸς τῆς Παρθένου, Λόγος Θεοῦ Ὑπόστασις τελεία, ἐν δύο Φύσεσιν, Ἰησοῦς ὁ Κύριος, Θεὸς τέλειος καὶ Ἄνθρωπος.

Ὠδὴ ς'. Ὁ Εἱρμός.

Ἄβυσσος ἐσχάτη ἁμαρτιῶν ἐκύκλωσέ με, καὶ ἐκλείπει τὸ Πνεῦμά μου· ἀλλ' ἐκτείνας Δέσποτα, σὸν ὑψηλὸν βραχίονα, ὡς τὸν Πέτρον με, Κυβερνῆτα διάσωσον.

Τροπάριον.

Ἄβυσσος ἐλέους, καὶ οἰκτιρμῶν ἐκύκλωσέ με, τῇ εὐσπλάγχνῳ καθόδῳ σου. σαρκωθεὶς γὰρ Δέσποτα, καὶ γεγονὼς ἐν δούλου μορφῇ ἐθεούργησας, καὶ σαυτῷ συνεδόξασας.

Νέκρωσιν ὑπέστη ὁ νεκρωτής, τὸν νεκρωθέντα ζωωθέντα θεώμενος. τῆς σῆς Ἀναστάσεως, ταῦτα Χριστὲ τὰ σύμβολα, καὶ τοῦ Πάθους σου, τοῦ ἀχράντου τὰ ἔπαθλα.

Θεοτοκίον.

Πάναγνε ἡ μόνη τοῦ Πλαστουργοῦ, καὶ τοῖς Ἀνθρώποις ὑπὲρ νοῦν μεσιτεύσασα, τὸν Υἱόν σου ἵλεων, τοῖς ἐπταικόσι δούλοις σου, καὶ ὑπέρμαχον χρηματίσαι δυσώπησον.

Ἄλλος. Ζηλώσεως.

Μωλώπων σὺ πειραθείς, ᾍδου τραυματίας, Πάθει Σταυροῦ συνανέστησας. ὅθεν σοι κραυγάζω ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Φιλάνθρωπε.

Ἀνοίγονταί σοι Χριστέ, φόβῳ πύλαι ᾍδου, σκῦλα ἐχθροῦ δὲ ἁρπάζονται. ὅθεν σοι Γυναῖκες ὑπήντησαν, ἀντὶ λύπης χαρὰν κομισάμεναι.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Μορφοῦται τὸ καθ' ἡμᾶς, ἐκ τῆς ἀκηράτου Κόρης, ὁ σχήματι ἄμοιρος, σχήματι ὑπάρξας καὶ πράγματι, μὴ τραπεὶς τὴν Θεότητα Ἄνθρωπος.

Ἀβύσσου ἁμαρτιῶν, καὶ τῆς καταιγίδος Πανάγνε, τῶν παθῶν ῥύσαί με· πέφυκας λιμὴν γὰρ καὶ ἄβυσσος, τῶν θαυμάτων, τοῖς πίστει σοι προστρέχουσι.

Κοντάκιον, ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἐξανέστης σήμερον, ἀπὸ τοῦ τάφου Οἰκτίρμον, καὶ ἡμᾶς ἐξήγαγες ἐκ τῶν πυλῶν τοῦ θανάτου. σήμερον Ἀδὰμ χορεύει, καὶ χαίρει Εὔα, ἅμα δὲ καὶ οἱ Προφῆται σὺν Πατριάρχαις, ἀνυμνοῦσιν ἀκαταπαύστως, τὸ θεῖον κράτος τῆς ἐξουσίας σου. Ὁ Οἶκος.

Ὁ Οὐρανὸς καὶ ἡ γῆ σήμερον χορευέτωσαν, καὶ Χριστὸν τὸν Θεὸν ὁμοφρόνως ὑμνείτωσαν, ὅτι τοὺς δεσμίους ἐκ τῶν τάφων ἀνέστησε. συγχαίρει πᾶσα ἡ Κτίσις, προσφέρουσα ἐπάξια ᾄσματα, τῷ πάντων Κτίστῃ καὶ Λυτρωτῇ ἡμῶν. ὅτι τοὺς βροτοὺς ἐξ ᾍδου σήμερον, ὡς Ζωοδότης συνανελκύσας, πρὸς Οὐρανοὺς συνανυψοῖ. καὶ καταῤῥάσσει τοῦ ἐχθροῦ τὰς ἐπάρσεις, καὶ πύλας τοῦ ᾍδου διαθλάττει, τῷ θείῳ κράτει τῆς ἐξουσίας αὐτοῦ. Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Ὡς πάλαι τοὺς εὐσεβεῖς τρεῖς Παῖδας ἐδρόσισας, ἐν τῇ φλογὶ τῇ Χαλδαϊκῇ, τῷ φωτιστικῷ τῆς Θεότητος πυρὶ, καὶ ἡμᾶς καταύγασον· Εὐλογητὸς εἶ κράζοντας, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τροπάριον.

Ἐῤῥάγη τὸ τοῦ Ναοῦ φαιδρὸν καταπέτασμα, ἐν τῷ Σταυρῷ τοῦ Δημιουργοῦ, καὶ τὴν ἐγκεκρυμμένην τῷ γράμματι δηλοῦν, τοῖς πιστοῖς ἀλήθειαν· Εὐλογητὸς εἶ κράζουσιν, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Νυγείσης σου τῆς πλευρᾶς, ῥανίδες Θεόῤῥυτοι, ζωοποιοῦ Αἵματος Χριστὲ, οἰκονομικῶς ἀποστάζουσαι εἰς γῆν, τοὺς ἐκ γῆς ἀνέπλασαν· Εὐλογητὸς εἶ κράζοντας, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τριαδικόν.

Τὸ Πνεῦμα τὸ ἀγαθὸν Πατρὶ συνδοξάσωμεν, καὶ τῷ Υἱῷ τῷ Μονογενεῖ, μίαν ἐν τρισὶ πιστοὶ σέβοντες Ἀρχὴν, καὶ μίαν Θεότητα· Εὐλογητὸς εἶ κράζοντες, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Σοβαρὸς ὁ Τύραννος.

Οὐ ψιλὸν ὁ Ἥλιος, ἐν Σταυρῷ κρεμάμενον ἄνθρωπον, ἀλλὰ Θεὸν σκοτίζεται, σεσαρκωμένον ὁρῶν, ᾧ καὶ ψάλλομεν· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἰσχυρὸν Θεότητι, δεδεγμένος ᾍδης ὁ δείλαιος, τῆς ἀφθαρσίας πάροχον, ψυχὰς Δικαίων βοώσας ἤμεσεν. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Θησαυρὸς πολύτιμος, εὐλογίας Πάναγνε πέφυκας, τοῖς καθαρᾷ καρδίᾳ σὲ ὁμολογοῦσι Θεογεννήτριαν. καὶ γὰρ ἐκ σοῦ σεσάρκωται, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ὁ τῆς Δόξης Κύριος, καὶ κρατῶν τῶν ἄνω Δυνάμεων, ὁ σὺν Πατρὶ καθήμενος, Παρθενικαῖς ταῖς χερσὶ φερόμενος. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Τμητὸς ὁ θάνατος, ἀλλὰ τοῦτόν σοι ὁμιλήσαντα, ἐκ τῆς Παρθένου ὤλεσας, Θεοϋπόστατος σὰρξ γενόμενος. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτόκον πάντες σε, τὸν Θεὸν κυήσασαν ἔγνωμεν· τὸν τῆς Τριάδος ἕνα γὰρ, σεσαρκωμένον ἐκ σοῦ γεγέννηκας. Εὐλογημένος Πάναγνε, ὁ Καρπὸς τῆς κοιλίας σου.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Ἀσπέκτῳ πυρὶ ἑνωθέντες, οἱ θεοσεβείᾳ προεστῶτες Νεανίαι, τῇ φλογὶ δὲ μὴ λωβηθέντες, θεῖον ὕμνον ἔμελπον· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Τροπάριον.

Ἐῤῥάγη Ναοῦ ἡ φαιδρότης, ὅτε ὁ Σταυρός σου ἐπάγη ἐν Κρανίῳ, καὶ ἡ Κτίσις συνεκλονεῖτο, φόβῳ ἀναμέλπουσα· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἀνέστης Χριστὲ ἐκ τοῦ τάφου, καὶ τὸν πεπτωκότα τῇ ἀπάτῃ, διὰ Ξύλου ἀνωρθώσω, θείᾳ δυνάμει κράζοντα, καὶ λέγοντα· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτοκίον.

Ναὸς τοῦ Θεοῦ ἀνεδείχθης, ἔμψυχον χωρίον Κιβωτός τε· τὸν Ποιητὴν τοῖς βροτοῖς γὰρ Θεογεννήτορ, Ἄχραντε κατήλλαξας, καὶ ἀξίως πάντα τὰ ἔργα ὑμνοῦμέν σε, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ἐνύλου φλόγα πυρός.

Ὁ Λόγος οὐ παθητός· ἀπαθὴς γὰρ τῇ Θεότητι· πάσχει σαρκὶ δὲ Θεὸς, ᾧ καὶ ψάλλομεν· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὑπνώσας μὲν ὡς θνητὸς, ἐξηγέρθης ὡς ἀθάνατος Σῶτερ, καὶ σῴζεις τοὺς μέλποντας· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Λατρεύομεν εὐσεβῶς, Τρισυπόστατον Θεότητα, ἑνιζομένην ἀπαύστως, καὶ ψάλλομεν· Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἠ Τάξεις τὰς νοερὰς, οἷα Μήτηρ ὑπεράρασα, καὶ πλησίον Θεοῦ χρηματίσασα. εὐλογοῦμεν Εὐλογημένη Παρθένε τὸν Τόκον σου, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Τὸ κάλλος τὸ φυσικὸν, ὡραιότερον ἀνέδειξας, ἐξαστράπτουσαν σάρκα Θεότητος. εὐλογοῦμεν Εὐλογημένη Παρθένε τὸν Τόκον σου, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Καινὸν τὸ θαῦμα, καὶ θεοπρεπές· τῆς Παρθένου γὰρ τὴν κεκλεισμένην πύλην, σαφῶς διοδεύει Κύριος, γυμνὸς τῇ εἰσόδῳ, καὶ σαρκοφόρος ὤφθη ἐν ἐξόδῳ Θεὸς, καὶ μένει ἡ πύλη κεκλεισμένη. ταύτην ἀφράστως ὡς Θεομήτορα μεγαλύνομεν. Τροπάριον.

Φρικτὸν ἰδέσθαι σὲ τὸν Ποιητὴν, ἐπὶ Ξύλου ἀναρτηθέντα Λόγε Θεοῦ, σαρκικῶς δὲ πάσχοντα, Θεὸν ὑπὲρ δούλων, καὶ ἐν μνημείῳ ἄπνουν κατακείμενον, νεκροὺς δὲ τοῦ ᾍδου λελυκότα. ὅθεν Χριστὲ, σὲ ὡς Παντοδύναμον μεγαλύνομεν.

Φθορᾶς θανάτου ἔσωσας Χριστὲ, τοὺς Προπάτορας, κατατεθεὶς ἐν τάφῳ νεκρός· καὶ ζωὴν ἐξελώθησας, νεκροὺς ἀναστήσας, χειραγωγήσας φύσιν τὴν βροτείαν πρὸς φῶς, καὶ θείαν ἐνδύσας ἀφθαρσίαν. ὅθεν πηγήν σε φωτὸς ἀειζώου μεγαλύνομεν. Θεοτοκίον.

Ναὸς, καὶ Θρόνος ὤφθης τοῦ Θεοῦ, ἐν ᾧ ᾤκησεν ὁ ἐν ὑψίστοις πέλων, τεχθεὶς ἀπειράνδρως Πάναγνε, σαρκὸς μὴ ἀνοίξας ὅλως σου πύλας. ὅθεν ταῖς ἀλήκτοις Σεμνὴ, λιταῖς σου τὰ φῦλα τῶν βαρβάρων, θᾶττον εἰς τέλος, τῷ Βασιλεῖ ἡμῶν καθυπόταξον.

Ἄλλος. Οἱ τῷ γλυκεῖ τοῦ ἀχράντου σου Τόκου.

Γέρας βροτοῖς, ἐξ ἀτίμου θανάτου, πᾶσιν ἐπήγασας. οὗ διὰ Σταυρώσεως Σῶτερ γευσάμενος, τῇ οὐσίᾳ τῇ θνητῇ, ἀφθαρσίαν μοι ἐδωρήσω, Χριστὲ ὁ Θεὸς ὡς φιλάνθρωπος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ἔσωσάς με ἀναστὰς ἐκ τοῦ τάφου, Χριστὲ καὶ ὑψώσας, καὶ Πατρὶ προσήγαγες τῷ σῷ Γεννήτορι, δεξιᾷ τε τῇ αὐτοῦ συνεκάθισας, διὰ σπλάγχνα ἐλέους σου Κύριε.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Κόρος τῶν σῶν ἐφυμνίων Παρθένε, τοῖς εὐσεβέσι πιστοῖς, ὅλως οὐ προσγίνεται· πόθῳ γὰρ πόθον ἀεὶ θεῖον, καὶ πνευματικὸν προσλαμβάνοντες, ὡς Μητέρα Θεοῦ μεγαλύνουσιν.

Ἔθου ἡμῖν ἀκαταίσχυντον πρέσβιν, τὴν σὲ Τεκοῦσαν Χριστέ· ταύτης ταῖς ἐντεύξεσιν, ἵλεων νέμοις ἡμῖν, Πνεῦμα μεταδοτικὸν ἀγαθότητος, ἐκ Πατρὸς διὰ σοῦ προερχόμενον.

Εἰς τοὺς Αἴνους, Στιχηρὰ Ἀναστάσιμα.

Δεῦτε πάντα τὰ Ἔθνη, γνῶτε τοῦ φρικτοῦ μυστηρίου τὴν δύναμιν. Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐν ἀρχῇ Λόγος, ἐσταυρώθη δι' ἡμᾶς, καὶ ἑκὼν ἐτάφη, καὶ ἀνέστη ἐκ νεκρῶν, τοῦ σῶσαι τὰ σύμπαντα. αὐτὸν προσκυνήσωμεν.

Διηγήσαντο πάντα τὰ θαυμάσια, οἱ φύλακές σου Κύριε· ἀλλὰ τὸ συνέδριον τῆς ματαιότητος, πληρῶσαν δώρων τὴν δεξιὰν αὐτῶν, κρύπτειν ἐνόμιζον τὴν Ἀνάστασίν σου, ἣν ὁ Κόσμος δοξάζει· ἐλέησον ἡμᾶς.

Χαρᾶς τὰ πάντα πεπλήρωται, τῆς Ἀναστάσεως τὴν πεῖραν εἰληφότα. Μαρία γὰρ ἡ Μαγδαληνὴ ἐπὶ τὸ μνῆμα ἦλθεν, εὗρεν Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τοῖς ἱματίοις ἐξαστράπτοντα, καὶ λέγοντα· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ ἔστιν ὧδε, ἀλλ' ἐγήγερται, καθὼς εἶπε, προάγων ἐν τῇ Γαλιλαίᾳ.

Ἐν τῷ φωτί σου Δέσποτα, ὀψόμεθα φῶς Φιλάνθρωπε. ἀνέστης γὰρ ἐκ τῶν νεκρῶν, σωτηρίαν τῷ γένει τῶν ἀνθρώπων δωρούμενος. ἵνα σε πᾶσα Κτίσις δοξολογῇ, τὸν μόνον ἀναμάρτητον, ἐλέησον ἡμᾶς.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

Ὕμνον ἑωθινὸν, αἱ Μυροφόροι Γυναῖκες, τὰ δάκρυα προσέφερον Κύριε. ὀσμὰς γὰρ ἀρωμάτων κατέχουσαι, τὸ Μνῆμά σου κατέλαβον, τὸ ἄχραντόν σου Σῶμα μυρίσαι σπουδάζουσαι. Ἄγγελος καθήμενος ἐπὶ τὸν λίθον, αὐταῖς εὐηγγελίσατο· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; τὸν θάνατον γὰρ πατήσας, ἀνέστη ὡς Θεὸς, παρέχων πᾶσι τὸ μέγα ἔλεος.

Ἐξαστράπτων Ἄγγελος ἐπὶ τὸ Μνῆμά σου τὸ ζωοποιὸν ταῖς Μυροφόροις ἔλεγεν· ἐκένωσε τοὺς τάφους ὁ Λυτρωτὴς, ἐσκύλευσε τὸν Ἅδην, καὶ ἀνέστη τριήμερος, ὡς μόνος Θεὸς καὶ Παντοδύναμος.

Εἰς τὸ Μνῆμα σε ἐπεζήτησεν, ἐλθοῦσα τῇ μιᾷ τῶν Σαββάτων, Μαρία ἡ Μαγδαληνή· μὴ εὑροῦσα δὲ ὠλοφύρετο, κλαυθμῷ βοῶσα· οἴμοι Σωτήρ μου, πῶς ἐκλάπης πάντων Βασιλεῦ; ζεῦγος δὲ ζωηφόρων Ἀγγέλων, ἔνδοθεν τοῦ μνημείου ἐβόα· Τί κλαίεις ὦ Γύναι; κλαίω φησὶν, ὅτι ἦραν τὸν Κύριόν μου τοῦ τάφου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. αὐτὴ δὲ στραφεῖσα ὀπίσω, ὡς κατεῖδέ σε, εὐθέως ἐβόα· ὁ Κύριός μου, καὶ ὁ Θεός μου, δόξα σοι.

Ἑβραῖοι συνέκλεισαν ἐν τῷ τάφῳ τὴν ζωὴν, Ληστὴς δὲ ἀνέῳξεν ἐν τῇ γλώσσῃ τὴν τρυφὴν, κραυγάζων, καὶ λέγων· ὁ μετ' ἐμοῦ δι' ἐμὲ σταυρωθεὶς, συνεκρέματό μοι ἐπὶ τοῦ ξύλου, καὶ ἐφαίνετό μοι ἐπὶ τοῦ Θρόνου, τῷ Πατρὶ συγκαθήμενος. αὐτὸς γάρ ἐστι Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοί.

Ἀθετήσαντα Χριστὲ τὴν ἐντολήν σου, τὸν Προπάτορα Ἀδὰμ τοῦ Παραδείσου ἐξώρισας· τὸν δὲ Ληστὴν Οἰκτίρμον, ὁμολογήσαντά σε ἐν Σταυρῷ, ἐν αὐτῷ εἰσῴκισας κράζοντα· Μνήσθητί μου Σωτὴρ, ἐν τῇ Βασιλείᾳ σου.

Ἁμαρτήσαντας ἡμᾶς, τῇ τοῦ θανάτου κατεδίκασας ἀρᾷ, ὁ Ζωοδότης καὶ Κύριος. ἐν δὲ τῷ Σώματί σου, ἀναμαρτήτως Δέσποτα παθὼν, τοὺς θνητοὺς ἐζώωσας κράζοντας· Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ Βασιλείᾳ σου.

Ἀναστὰς ἐκ τῶν νεκρῶν, συνεξανέστησας ἡμᾶς ἐκ τῶν παθῶν, τῇ Ἀναστάσει σου Κύριε· τοῦ δὲ θανάτου πᾶσαν τὴν δυναστείαν, ὤλεσας Σωτήρ. διὰ τοῦτο πίστει σοι κράζομεν· Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ Βασιλείᾳ σου.

Τῇ τριημέρῳ σου ταφῇ, τοὺς ἐν τῷ Ἅδῃ νεκρωθέντας ὡς Θεὸς, ζωοποιήσας συνήγειρας· καὶ ἀφθαρσίαν πᾶσιν ὡς ἀγαθὸς ἐπήγασας ἡμῖν, τοῖς ἐν πίστει κράζουσι πάντοτε· Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ Βασιλείᾳ σου.

Ταῖς Μυροφόροις Γυναιξὶ, πρώταις ἐφάνης, ἀναστὰς ἐκ τῶν νεκρῶν, Σωτὴρ βοήσας τὸ Χαίρετε· καὶ δι' αὐτῶν τοῖς φίλοις, τὴν σὴν μηνύεις Ἔγερσιν Χριστέ. διὰ τοῦτο πίστει κραυγάζομεν· Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ Βασιλείᾳ σου.

Ἐν τῷ Ὄρει Μωϋσῆς, χεῖρας ἁπλώσας, προετύπου τὸν Σταυρὸν, τὸν Ἀμαλὴκ τροπωσάμενος· Ἡμεῖς δὲ πίστει τοῦτον, κατὰ Δαιμόνων ὅπλον κραταιὸν, εἰληφότες πάντες κραυγάζομεν· Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ Βασιλείᾳ σου.

Δόξα.

Τὸν Πατέρα καὶ Υἱὸν, καὶ Πνεῦμα Ἅγιον ὑμνήσωμεν πιστοὶ, ἕνα Θεὸν, ἕνα Κύριον, ὡς ἐξ ἑνὸς Ἡλίου· τρισολαμπὴς γάρ ἐστιν ἡ Τριὰς, καὶ φωτίζει πάντας τοὺς κράζοντας· Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ Βασιλείᾳ σου.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε ἡ Πύλη τοῦ Θεοῦ, δι' ἧς διῆλθε, σαρκωθεὶς ὁ Πλαστουργὸς, ἐσφραγισμένην φυλάξας σε. Χαῖρε Νεφέλη κούφη, τὸν θεῖον ὄμβρον φέρουσα Χριστόν. Χαῖρε κλῖμαξ καὶ Θρόνε Οὐράνιε. Χαῖρε Ὄρος σεπτὸν, πῖον, ἀλατόμητον.

ΤΕΛΟΣ τοῦ Τρίτου Ἤχου.

Εἰ καὶ Τρίτος σὺ, πλὴν πρὸς ἀνδρικοὺς πόνους,
Σύνεγγυς εἴ πως τοῦ προάρχοντος Τρίτε.
Ἄκομψος, ἁπλοῦς, ἀνδρικὸς πάνυ Τρίτε,
Πέφηνας ὄντως, καὶ σὲ τιμῶμεν Τρίτε.
Πλήθους κατάρχων, ἰσαρίθμους σοὶ Τρίτε,
Πλήθει προσήκεις προσφυῶς ἡρμοσμένῳ.

## ΤΩ͂ ΣΑΒΒΑΤΩ͂, ἙΣΠΕΡΑΣ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ Ἀναστάσιμα. Ἦχος Δ.

Τὸν ζωοποιόν σου Σταυρὸν, ἀπαύστως προσκυνοῦντες Χριστὲ ὁ Θεὸς, τὴν τριήμερόν σου Ἀνάστασιν δοξάζομεν. δι' αὐτῆς γὰρ ἀνεκαίνισας, τὴν καταφθαρεῖσαν τῶν ἀνθρώπων φύσιν Παντοδύναμε· καὶ τὴν εἰς Οὐρανοὺς ἄνοδον, καθυπέδειξας ἡμῖν, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

Τοῦ ξύλου τῆς παρακοῆς, τὸ ἐπιτίμιον ἔλυσας Σωτὴρ, τῷ ξύλῳ τοῦ Σταυροῦ ἑκουσίως προσηλω-

θεὶς, καὶ εἰς ᾍδου κατελθὼν Δυνατὲ, τοῦ θανάτου τὰ δεσμὰ, ὡς Θεὸς διέῤῥηξας. Διὸ προσκυνοῦμεν τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, ἐν ἀγαλλιάσει βοῶντες· Παντοδύναμε Κύριε δόξα σοι.

Πύλας ᾍδου συνέτριψας Κύριε, καὶ τῷ σῷ θανάτῳ, τοῦ θανάτου τὸ βασίλειον ἔλυσας. Γένος δὲ τὸ ἀνθρώπινον ἐκ φθορᾶς ἠλευθέρωσας, ζωὴν καὶ ἀφθαρσίαν τῷ Κόσμῳ δωρησάμενος, καὶ τὸ μέγα ἔλεος.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

Δεῦτε ἀνυμνήσωμεν Λαοὶ, τὴν τοῦ Σωτῆρος τριήμερον Ἔγερσιν, δι' ἧς ἐλυτρώθημεν τῶν τοῦ ᾍδου ἀλύτων δεσμῶν, καὶ ἀφθαρσίαν καὶ ζωὴν πάντες ἐλάβομεν κράζοντες· Ὁ σταυρωθεὶς καὶ ταφεὶς καὶ ἀναστὰς, σῶσον ἡμᾶς τῇ Ἀναστάσει σου, μόνε Φιλάνθρωπε.

Ἄγγελοι, καὶ Ἄνθρωποι Σωτὴρ, τὴν σὴν ὑμνοῦσι τριήμερον Ἔγερσιν, δι' ἧς κατηυγάσθη τῆς Οἰκουμένης τὰ πέρατα, καὶ τῆς δουλείας τοῦ ἐχθροῦ, πάντες ἐλυτρώθημεν κράζοντες· Ζωοποιὲ παντοδύναμε Σωτὴρ, σῶσον ἡμᾶς τῇ Ἀναστάσει σου, μόνε Φιλάνθρωπε.

Πύλας χαλκᾶς συνέτριψας, καὶ μοχλοὺς συνέθλασας Χριστὲ ὁ Θεὸς, καὶ Γένος Ἀνθρώπων πεπτωκὸς ἀνέστησας. Διὰ τοῦτο συμφώνως βοῶμεν· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Κύριε ἡ ἐκ Πατρός σου γέννησις, ἄχρονος ὑπάρχει καὶ ἀΐδιος, ἡ ἐκ Παρθένου σάρκωσις, ἄφραστος ἀνθρώποις, καὶ ἀνερμήνευτος. καὶ ἡ εἰς ᾍδου κάθοδος, φοβερὰ Διαβόλῳ, καὶ τοῖς Ἀγγέλοις αὐτοῦ. Θάνατον γὰρ πατήσας, τριήμερος Ἀνέστης, ἀφθαρσίαν παρέχων ἀνθρώποις, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁ διὰ σὲ Θεοπάτωρ Προφήτης Δαβὶδ, μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖά σοι ποιήσαντι· παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου. σὲ γὰρ Μητέρα πρόξενον ζωῆς ἀνέδειξεν, ὁ Ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεὸς, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα, φθαρεῖσαν τοῖς πάθεσι· καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρὼν, πρόβατον τοῖς ὤμοις ἀναλαβὼν, τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι, ταῖς Οὐρανίαις συνάψῃ Δυνάμεσι, καὶ σώσῃ Θεοτόκε τὸν Κόσμον, Χριστὸς, ὁ ἔχων τὸ μέγα καὶ πλούσιον ἔλεος.

Εἰς τὸν Στίχον, Στιχηρά.

Κύριε ἀνελθὼν ἐν τῷ Σταυρῷ, τὴν προγονικὴν ἡμῶν κατάραν ἐξήλειψας· καὶ κατελθὼν ἐν τῷ ᾍδῃ, τοὺς ἀπ' αἰῶνος δεσμίους ἠλευθέρωσας, ἀφθαρσίαν δωρούμενος, τῶν ἀνθρώπων τῷ Γένει. διὰ τοῦτο ὑμνοῦντες δοξάζομεν, τὴν ζωοποιὸν, καὶ σωτήριόν σου Ἔγερσιν.

Τὰ κατ' Ἀλφάβητον.

Κρεμάμενος ἐπὶ Ξύλου μόνε Δυνατὲ, πᾶσαν κτίσιν ἐσάλευσας. Τεθεὶς ἐν τάφῳ δὲ, τοὺς κατοικοῦντας ἐν τάφοις ἀνέστησας, ἀφθαρσίαν καὶ ζωὴν δωρούμενος τῷ γένει τῶν Ἀνθρώπων. διὸ ὑμνοῦντες δοξάζομεν, τὴν τριήμερόν σου Ἔγερσιν.

Λαὸς παράνομος Χριστὲ, σὲ προδοὺς τῷ Πιλάτῳ, σταυρωθῆναι κατεδίκασεν, ἀγνώμων περὶ τὸν Εὐεργέτην φανείς. ἀλλ' ἑκὼν ὑπέμεινας ταφὴν, αὐτεξουσίως ἀνέστης τριήμερος, ὡς Θεὸς δωρούμενος ἡμῖν, ἀτελεύτητον ζωὴν, καὶ τὸ μέγα ἔλεος.

Μετὰ δακρύων Γυναῖκες, καταλαβοῦσαι τὸ Μνῆμα, σὲ ἐπεζήτησαν. μὴ εὑροῦσαι δὲ, ὀλοφυρόμεναι μετὰ κλαυθμοῦ βοῶσαι ἔλεγον· οἴμοι Σωτὴρ ἡμῶν, Βασιλεῦ τῶν ἁπάντων, πῶς ἐκλάπης; ποῖος δὲ τόπος κατέχει τὸ ζωηφόρον Σῶμά σου; Ἄγγελος δὲ πρὸς αὐτὰς ἀπεκρίνατο· μὴ κλαίετε φησὶν, ἀλλ' ἀπελθοῦσαι κηρύξατε, ὅτι ἀνέστη ὁ Κύριος, παρέχων ἡμῖν ἀγαλλίασιν, ὡς μόνος Εὔσπλαγχνος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Νεῦσον παρακλήσεσι σῶν ἱκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα. σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα, μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι. σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ, καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον.

Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀποῤῥίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεὸς, δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον Μυστήριον, διὰ σοῦ Θεοτόκε τοῖς ἐπὶ γῆς πεφανέρωται. Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος. δι' οὗ ἀναστήσας τὸν Πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

## ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ΠΡΩΪ.

Ἐν τῷ Μεσονυκτικῷ, Κανὼν Τριαδικός.

Οὗ ἡ ἀκροστιχίς.

Τέταρτος ὕμνος τῷ Θεῷ. Μητροφάνους.

Ὠδὴ α΄. Θαλάσσης τὸ ἐρυθραῖον.

Τριάδα Θεαρχικὴν δοξάσωμεν, ταῖς ὑποστάσεσι, μοναδικὴν δὲ φύσιν τῶν τριῶν, συναΐδιον σύνθρονον· ἣν δυσωποῦντες λέγομεν· σῶσον τοὺς πίστει σε δοξάζοντας.

Ἐχρίσθη ὑπὸ Πατρὸς τῷ Πνεύματι ἀγαλλιάσεως, θεουργικῷ ἐλαίῳ ὁ Υἱὸς, καὶ βροτὸς ἐχρημάτισε, καὶ τῆς μιᾶς Θεότητος, τὸ Τρισυπόστατον ἐδίδαξε.

Τὸ κάλλος τῆς ἀπροσίτου δόξης σου, Μονὰς τρισήλιε, τὰ Σεραφὶμ οὐ φέροντα ὁρᾶν, συγκαλύπτονται πτέρυξι, καὶ τρισαγίοις ᾄσμασιν, ἀκαταπαύστως σε δοξάζουσι.

Θεοτοκίον.

Ἀφράστως τὸν Ποιητὴν γεγέννηκας τῶν ὅλων Πάναγνε, τῆς παλαιᾶς λυτρούμενον ἀρᾶς, τοὺς βροτοὺς, καὶ θανάτου φθορᾶς· καὶ διὰ σοῦ ἐπέγνωμεν, ἕνα Θεὸν τὸν Τρισυπόστατον.

Ὠδὴ γ΄. Οὐκ ἐν Σοφίᾳ.

Ῥώμην ἐξ ὕψους, τοῖς Ἁγίοις τὸ πρὶν Ἀποστόλοις σου, ὡς ἀπέστειλας Χριστὲ, παρὰ Πατρὸς τὸν Παράκλητον, τὴν μίαν ἐνέφηνας φύσιν τρισήλιον.

Ὢ Πατριάρχη, Ἀβραὰμ ὅτε ὤφθης ἐν σχήματι, ἀνδρικῷ Τριττὴ Μονὰς, τὸ ἀπαράλλακτον ἔδειξας, τῆς σῆς ἀγαθότητος, καὶ κυριότητος.

Ὁ χαρακτῆρσιν, ἐν τρισὶν εἷς Θεὸς πιστευόμενος, ἀπερίγραπτος σαφῶς, ἀπερινόητος ἅπασι, ῥῦσαι τὰς ψυχὰς ἡμῶν, ἐκ πάσης θλίψεως.

Θεοτοκίον.

Στοιχειωθέντες, τοῦ Υἱοῦ σου σοφαῖς εἰσηγήσεσιν, ἑνιαίαν καὶ τρισλαμπῆ, τὴν Θεαρχίαν δοξάζομεν, καὶ σὲ μακαρίζομεν τὴν Ἀειπάρθενον.

Κάθισμα, Τριαδικόν. Ταχὺ προκατάλαβε.

Τρισήλιε, ἄκτιστε, καὶ ὁμοούσιε, Μονὰς τρισυπόστατε, καὶ ἀκατάληπτε, τοὺς δούλους σου οἴκτειρον· σῶσον ἐκ τῶν κινδύνων, ὡς Θεὸς ἐλεήμων. σὲ γὰρ Κύριε μόνον, Λυτρωτὴν καὶ Δεσπότην, κεκτήμεθα βοῶντες· γενοῦ ἡμῖν ἵλεως.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Πολλαῖς περιστάσεσι, καὶ συμφοραῖς τῶν δεινῶν, Παρθένε κυκλούμενοι, καὶ πρὸς ἀπόγνωσιν, ἀεὶ περιπίπτοντες, μόνην σε Σωτηρίαν, καὶ Ἐλπίδα, καὶ Τεῖχος, ἔχομεν Θεοτόκε, καὶ πρὸς σὲ κατὰ χρέος, ἐν πίστει καὶ νῦν αἰτοῦμεν, σῶσον τοὺς δούλους σου,

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ὑπερούσιον Τριάδα, ἐν Μονάδι Θεότητος, καὶ Κυριαρχίαν, σὺν τοῖς Σεραφίμ σε δοξάζομεν, ὡς ἀδιαίρετον φύσιν, ὡς ἀπρόσιτον, ὡς ἰσόῤῥοπον, δόξῃ Θεὲ ἀκατάληπτε.

Μεριστὴν οὖσαν ἀφράστως, τοῖς Προσώποις Θεότητα, καὶ ταυτιζομένην, ἅμα τῇ μιᾷ Κυριότητι, ἀπεριόριστον μόνην, ἀπερίγραπτον, ἀνυμνοῦμέν σε, τὸν Ποιητὴν πάσης Κτίσεως.

Νοῦς ὁ ἄναρχος τὸν Λόγον, ἀποῤῥήτως γεγέννηκε, καὶ τὸ Θεῖον Πνεῦμα, τὸ ἰσοσθενὲς ἐκπεπόρευκε. καὶ διὰ τοῦτο Τριάδα ὁμοούσιον, τὸν Δεσπότην τῶν ὅλων Θεὸν καταγγέλλομεν.

Θεοτοκίον.

Ὀπτανόμενος τοῖς πάλαι, τυπικῶς προκατήγγειλε, τὴν ἐκ σοῦ Παρθένε, σάρκωσιν ὁ Λόγος. ἀλλ᾽ ὕστερον, ἐπιφανεὶς τοῖς Ἀνθρώποις κατ᾽ ἀλήθειαν, Τρισυπόστατον μίαν ἀρχὴν ἐφανέρωσε.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Συνεόντες ἐκ πίστεως, τῆς παντουργοῦ Θεότητος, μίαν μὲν ἀπρόσιτον οὐσίαν, τρεῖς δ᾽ Ὑποστάσεις ζωαρχικὰς συμφυεῖς, σέβομεν Πατέρα καὶ Υἱὸν, καὶ Πνεῦμα τὸ Ἅγιον, συναΐδιον ὕπαρξιν.

Τὸ σέλας Τρισήλιε, τῆς οὐσιώδους αἴγλης σου, λάμψον ἑνιαία μοι Θεότης, ἄκτιστε Φύσις, καὶ φωτουργαία Πηγὴ, πάσης φωτοδότιδος αὐγῆς· ἵνα κατοπτεύσωμαι, σοῦ τὸ κάλλος τὸ ἄῤῥητον.

Ὡς μόνον ὑπάρχοντα, Δημιουργὸν τοῦ σύμπαντος, καὶ συνεκτικὸν καὶ κυβερνήτην, πάνσοφον ὄντως, καὶ τῆς ζωῆς χορηγόν. ὅθεν καὶ βοῶμέν σοι πιστῶς· Δέσποτα Τρισήλιε, τοὺς ὑμνοῦντάς σε φρούρησον.

Θεοτοκίον.

Θεῶσαι βουλόμενος, τὸν πρὶν φθαρέντα ἄνθρωπον, ὁ δι᾽ ἀγαθότητα Παρθένε, πλάσας καὶ δείξας εἰκόνος θείαν μορφὴν, Ἄνθρωπος ἐγένετο ἐκ σοῦ, καὶ μίαν τρισάριθμον, Θεαρχίαν κατήγγειλεν.

Ὠδὴ ϛ΄. Ἐβόησε προτυπῶν.

Ἐνέφηνεν, ὁ Πατὴρ ἐκλαλῶν τὴν Υἱότητα, καὶ τὸ Πνεῦμα, τῷ Χριστῷ Βαπτισθέντι ὁρώμενον. διὰ τοῦτο μίαν, καὶ τριττὴν Θεαρχίαν δοξάζομεν.

Ὡς εἶδέ σε, τρισαγίαις φωναῖς ἀνυμνούμενον, Ἡσαΐας, ὑψηλοῦ ἐπὶ Θρόνου καθήμενον, τὴν τριττὴν ἐπέγνω, τῆς μιᾶς Θεαρχίας Ὑπόστασιν.

Μετάρσιον, Ὑψηλὲ Βασιλεῦ Τρισυπόστατε, τὴν καρδίαν καὶ ἡμῶν, τῶν σῶν δούλων ἀνάδειξον· ἵνα τῆς σῆς δόξης, θεωρῶμεν λαμπρῶς τὴν φαιδρότητα.

Θεοτοκίον.

Ἠξίωσε, μορφωθῆναι σαφῶς τὸ ἡμέτερον, ἐκ Παρθένου, ὁ Υἱὸς τοῦ Θεοῦ ὡς φιλάνθρωπος, καὶ τῆς θείας δόξης, κοινωνοὺς τοὺς ἀνθρώπους ἐποίησε.

Κάθισμα Τριαδικόν. Ταχὺ προκατάλαβε.

Πατέρα ἀγέννητον, τὸν δὲ Υἱὸν γεννητὸν, καὶ Πνεῦμα τὸ Ἅγιον, ἐκπορευτὸν ἐκ Πατρὸς, φρονοῦντες κηρύττομεν, ἄναρχον Βασιλείαν, καὶ Θεότητα μίαν. ἥνπερ δοξολογοῦντες, ὁμοφρόνως βοῶμεν· Τριὰς ὁμοούσιε σῶσον ἡμᾶς ὁ Θεός.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τὸν χρόνων ἐπέκεινα, καὶ πρὸ αἰώνων Θεὸν, ἐν χρόνῳ ἐκύησας, ὑπερφυῶς ἐν σαρκὶ, Θεάνθρωπον Ἄχραντε. ὅθεν σε Θεοτόκον, ἀληθῶς καὶ κυρίως, πάντες ὁμολογοῦντες, ἐκτενῶς σοι βοῶμεν· τῆς δόξης τῆς αἰωνίου πάντας ἀξίωσον.

Ὠδὴ ζ΄. Ἐν τῇ καμίνῳ Ἀβραμιαῖοι.

Τὰς τεταγμένας, ἐπουρανίους φύσεις, καὶ νοερὰς, τάξεις ὀρθοδόξως πάντες οἱ γηγενεῖς, ἐκμιμούμενοι δοξάζομεν, μίαν Θεότητα, ἐν τρισὶν ἰσουργοῖς Ὑποστάσεσι. Δίς.

Ῥήσεις Ἁγίων, Ὑποφητῶν σε πάλαι συμβολικῶς, ἕνα τῶν αἰώνων πάντων Δημιουργὸν, προεδήλωσαν ἀνέκφραστον, Θεὸν καὶ Κύριον, Θεαρχικαῖς ἐν τρισὶν Ὑποστάσεσιν. Θεοτοκίον.

Ὁ κατ᾽ οὐσίαν, ἀθεώρητος Λόγος, καὶ παντουργὸς, ὤφθης τοῖς ἀνθρώποις Ἄνθρωπος ἐξ Ἁγνῆς, Θεομήτορος τὸν Ἄνθρωπον, ἀνακαλούμενος, πρὸς μετουσίαν τῆς σῆς Θεότητος.

Ὠδὴ η΄. Χεῖρας ἐκπετάσας Δανιήλ.

Φῶς μοναδικὸν καὶ τριλαμπὲς, Οὐσία ἄναρχε, κάλλος ἀμήχανον, ἐν τῇ καρδίᾳ μου οἴκησον, καὶ ναὸν τῆς σῆς Θεότητος, φωτοειδῆ καὶ καθαρὸν, δεῖξόν με κράζοντα· εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον. Δίς.

Ἀπὸ τῶν ποικίλων μου παθῶν, Τριὰς ἀμέριστε, Μονὰς ἀσύγχυτε, καὶ τῆς ζοφώσεως λύτρωσαι, τῶν πταισμάτων καὶ καταύγασον, μαρμαρυγαῖς σου θεϊκαῖς· ἵνα φαντάζωμαι τὴν σὴν δόξαν, καὶ ἀνυμνῶ σε τῆς δόξης τὸν Κύριον. Θεοτοκίον.

Νοῦς μὲν ὁ ἀγέννητος Πατὴρ, καὶ Λόγος σύμμορφος, καὶ Πνεῦμα σύνθρονον, Οὐσία, Δύναμις, Ὕπαρξις, ὑπερούσιε, ἀνέκφραστε, μεγαλουργὲ Τριὰς Μονὰς, φρούρει τὴν ποίμνην σου, ταῖς πρεσβείαις, τῆς Θεοτόκου, ὡς φύσει φιλάνθρωπος.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ὅλην νῦν πρὸς σὲ, κινῶ τὴν καρδίαν μου, καὶ τὴν διάνοιαν, καὶ τὰς διαθέσεις δὲ, ψυχῆς ἁπάσας, καὶ τὰς τοῦ σώματος, τὸν Πλαστουργὸν, καὶ ῥύστην μου, Μονάρχα τρίφωτε, καὶ βοῶ σοι· σῶσόν με τὸν δοῦλόν σου, πειρασμῶν ἐκ παντοίων, καὶ θλίψεων. Δίς.

Ὕψωσον ἡμῶν, καὶ νοῦν καὶ διάνοιαν πρὸς σὲ τὸν Ὕψιστον, φώτισον σαῖς λάμψεσιν, ἀχράντοις Πάτερ, Λόγε, Παράκλητε, ὁ φῶς οἰκῶν ἀπρόσιτον τῆς δόξης Ἥλιε, Φωτοκράτορ, πάντοτε δοξάζειν σε, τὸν Μονάρχην Θεὸν τρισυπόστατον. Θεοτοκίον.

Σῶσον τοὺς εἰς σὲ, πιστεύοντας Κύριε, καὶ καταγγέλλοντας, ἄναρχον, ἀΐδιον, οὐσίαν μίαν, τρία δὲ Πρόσωπα, Θεαρχικὰ καὶ σύμμορφα σῆς Κυριότητος· καὶ τῆς θείας δόξης σου ἀξίωσον, ταῖς λιταῖς τῆς Ἁγνῆς Θεομήτορος.

## ΤῊ ΚΥΡΙΑΚῊ ΠΡΩΐ.

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν α΄. Στιχολογίαν Καθίσματα Ἀναστάσιμα.

Ἀναβλέψασαι τοῦ τάφου τὴν εἴσοδον, καὶ τὴν φλόγα τοῦ Ἀγγέλου μὴ φέρουσαι, αἱ Μυροφόροι

σὺν

σὺν τρόμῳ ἐξίσταντο λέγουσαι· Ἆρα ἐκλάπη ὁ τῷ Ληστῇ ἀνοίξας Παράδεισον; Ἆρα ἠγέρθη, ὁ καὶ πρὸ Πάθους κηρύξας τὴν Ἔγερσιν; ἀληθῶς Ἀνέστη Χριστὸς ὁ Θεός, τοῖς ἐν Ἅδῃ παρέχων ζωὴν καὶ Ἀνάστασιν. Κατεπλάγη Ἰωσήφ.

Ἑκουσίᾳ σου Βουλῇ, Σταυρὸν ὑπέμεινας Σωτήρ, καὶ ἐν μνήματι καινῷ, ἄνθρωποι ἔθεντο θνητοί, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον. ὅθεν δεσμευθεὶς ὁ ἀλλότριος, θάνατος δεινῶς ἐσκυλεύετο, καὶ οἱ ἐν Ἅδου ἅπαντες ἐκραύγαζον, τῇ ζωηφόρῳ Ἐγέρσει σου· Χριστὸς Ἀνέστη, ὁ ζωοδότης, μένων εἰς τοὺς αἰῶνας. Δόξα, καὶ νῦν. Θεοτοκίον.

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν, καὶ ἐλάμβανεν εἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλήψει σου Θεοτόκε. Βάτον ἐν πυρὶ ἀκατάφλεκτον. ῥάβδον Ἀαρὼν τὴν βλαστήσασαν. καὶ μαρτυρῶν ὁ Μνήστωρ σου καὶ φύλαξ, τοῖς Ἱερεῦσιν ἐκραύγαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει Παρθένος.

Μετὰ τὴν β'. Στιχολογ. Καθίσμ. Ἀναστάσιμον.

Ἀνέστης ὡς ἀθάνατος, ἀπὸ τοῦ Ἅδου Σωτήρ, συνήγειρας τὸν Κόσμον σου, τῇ Ἀναστάσει τῇ σῇ, Χριστὲ ὁ Θεὸς ἡμῶν. ἔθραυσας ἐν ἰσχύϊ, τοῦ θανάτου τὸ κράτος, ἔδειξας Ἐλεῆμον, τὴν Ἀνάστασιν πᾶσι. διό σε καὶ δοξάζομεν μόνε Φιλάνθρωπε.

Κατεπλάγη Ἰωσήφ.

Ἐκ τῶν ἄνω κατελθών, τῶν ὑψωμάτων Γαβριήλ, καὶ τῇ πέτρᾳ προσελθών, ἔνθα ἡ πέτρα τῆς ζωῆς, λευχειμονῶν ἀνεκραύγαζε ταῖς κλαιούσαις· Παύσασθε ὑμεῖς τῆς θρηνώδους κραυγῆς, ἔχουσαι ἀεὶ τὸ ἀσυμπάθητον. ὃν γὰρ ζητεῖτε κλαίουσαι, θαρσεῖτε, ὡς ἀληθῶς ἐξεγήγερται. διὸ βοᾶτε τοῖς Ἀποστόλοις, ὅτι ἀνέστη ὁ Κύριος.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Κατεπλάγησαν Ἁγνή, πάντες Ἀγγέλων οἱ χοροί, τὸ μυστήριον τῆς σῆς, κυοφορίας τὸ φρικτόν· πῶς ὁ τὰ πάντα συνέχων νεύματι μόνῳ, ἀγκάλαις ὡς βροτὸς ταῖς σαῖς συνέχεται, καὶ δέχεται ἀρχὴν ὁ προαιώνιος, καὶ γαλουχεῖται σύμπασαν, ὁ τρέφων πνοὴν ἀφάτῳ χρηστότητι· καὶ σὲ ὡς ὄντως, Θεοῦ Μητέρα, εὐφημοῦντες δοξάζουσι.

Μετὰ τὸν Ἄμωμον, Ἡ Ὑπακοή.

Τὰ τῆς σῆς παραδόξου Ἐγέρσεως, προδραμοῦσαι αἱ Μυροφόροι, τοῖς Ἀποστόλοις ἐκήρυττον Χριστέ, ὅτι ἀνέστης ὡς Θεός, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον Α'.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμμένοι.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι ἱεροκρυφίως.

Ἀντίφωνον Β'.

Ἐκέκραξά σοι Κύριε, θερμῶς ἐκ βάθους ψυχῆς μου, κἀμοὶ γενέσθω, πρὸς ὑπακοὴν τὰ θεῖά σου ὦτα.

Ἐπὶ τὸν Κύριον ἐλπίδα πᾶς τις κεκτημένος, ὑψηλότερός ἐστι, πάντων τῶν λυπούντων.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα ἀρδεύοντα, ἅπασαν τὴν Κτίσιν πρὸς ζωογονίαν.

Ἀντίφωνον Γ'.

Ἡ καρδία μου πρὸς σὲ Λόγε ὑψωθήτω, καὶ οὐδὲν θέλξει με τῶν Κόσμου τερπνῶν, πρὸς χαμαιζηλίαν.

Ἐπὶ τὴν Μητέρα αὐτοῦ ὡς ἔχει τὶς στοργήν, ἐπὶ τῷ Κυρίῳ, θερμότερον φίλτρον χρεωστοῦμεν.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, θεογνωσίας πλοῦτος, θεωρίας καὶ σοφίας. πάντα γὰρ ἐν τούτῳ τὰ πατρῷα δόγματα, ὁ Λόγος ἐκκαλύπτει.

Προκείμενον. Ἀνάστα Κύριε, βοήθησον ἡμῖν.

Στίχ. Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.

Πᾶσα πνοή. Εὐαγγέλιον τὸ Ἑωθινόν.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν'.

Κανὼν Ἀναστάσιμος. Ὠδὴ α'. Ὁ Εἱρμός.

Θαλάσσης τὸ Ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πεζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύναμιν, ἐν τῇ ἐρήμῳ ἐτροπώσατο. Τροπάριον.

Ὑψώθης τὴν ἡμετέραν ἔκπτωσιν ἐπανορθούμενος, ἐν τῷ ἀχράντῳ ξύλῳ τοῦ Σταυροῦ, τὴν ἐν ξύλῳ ἰώμενος, πανολεθρίαν Δέσποτα, ὡς ἀγαθὸς καὶ Παντοδύναμος.

Ἐν τάφῳ σωματικῶς, ἐν Ἅδου δὲ μετὰ ψυχῆς, ὡς Θεός· ἐν Παραδείσῳ δὲ μετὰ Ληστοῦ, καὶ ἐν θρόνῳ ὑπῆρχες Χριστέ, μετὰ Πατρός, καὶ Πνεύματος, πάντα πληρῶν ὁ ἀπερίγραπτος. Θεοτοκίον.

Ἀσπόρως τῷ τοῦ Πατρὸς βουλήματι, ἐκ θείου Πνεύματος, τὸν τοῦ Θεοῦ συνείληφας Υἱόν, καὶ σαρκὶ ἀπεκύησας, τὸν ἐκ Πατρὸς Ἀμήτορα, καὶ δι' ἡμᾶς ἐκ σοῦ Ἀπάτορα.

Ἕτερος Κανὼν Σταυροαναστάσιμος.

Ἀνοίξω τὸ στόμα μου.

Ἰάσω τὸ σύντριμμα, τῆς Ἀνθρωπότητος Κύριε, τῷ θείῳ σου Αἵματι, ἀνασκευάσας αὐτήν, καὶ συνέτριψας, Δυνάστην ἐν ἰσχύϊ, τὸν πάλαι συντρίψαντα, σοῦ τὸ Πλαστούργημα.

Νεκρῶν ἐξανάστασις, διὰ νεκρώσεως γέγονας. ἰσχὺς γὰρ ἀφῄρηται τῆς θανατώσεως, ὁμιλήσασα ζωῇ τῇ αἰωνίῳ, τῷ πάντων Δεσπόζοντι σεσαρκωμένῳ Θεῷ. Θεοτοκίον.

Ὡραῖος ὑπέρτερος, τῶν οὐρανίων Δυνάμεων, ὁ θεῖός σου γέγονεν, οἶκος ὁ ἔμψυχος, ἡ ἐν μήτρᾳ σε βαστάσασα Παρθένος, τὸ ὄρος τὸ ἅγιον, σοῦ τοῦ Θεοῦ ἡμῶν.

Ἕτερος Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Οὗ ἡ ἀκροστιχίς.

Τέταρτος Ὕμνος τῇ πανκλεεῖ Κόρῃ.

Σὺν τοῖς Εἱρμοῖς. Τριστάτας κραταιούς.

Ἐσείσθησαν Λαοί, ἐταράχθησαν Ἔθνη, Βασιλεῖαι κραταιαὶ δέ, ἔκλιναν Ἁγνὴ ἐκ τοῦ φόβου τοῦ Τόκου σου. ἦλθε γὰρ ὁ Βασιλεύς μου, καὶ καθεῖλε τὸν Τύραννον, καὶ τὸν Κόσμον φθορᾶς ἐλυτρώσατο.

Τὸ σκήνωμα αὐτοῦ, ὁ οἰκῶν ἐν Ὑψίστοις, τοῖς βροτοῖς συγκαταβάς, ἡγίασε Χριστός, καὶ ἀσάλευτον ἔδειξε. μόνη γὰρ μετὰ τὸν τόκον, Παρθενίας κειμήλιον, ἡ τὸν Κτίστην τεκοῦσα διέμεινε.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Εὐφραίνεται ἐπὶ σοί, ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· Σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα. Τροπάριον.

Τὸ ξύλον τὸ τῆς ζωῆς, ἡ νοητὴ καὶ ἀληθὴς Ἄμπελος, ἐπὶ Σταυροῦ κρέμαται, πᾶσιν ἀμβροσίαν πηγάζουσα.

Ὡς μέγας, ὡς φοβερὸς, ὡς τὸ τοῦ Ἅδου καθελὼν φρύαγμα, καὶ ὡς Θεὸς ἄφθαρτος, νῦν σωματικῶς ἐξεγήγερται.

Θεοτοκίον.

Σὺ μόνη τοῖς ἐπὶ γῆς, τῶν ὑπὲρ φύσιν ἀγαθῶν πρόξενος, Μήτηρ Θεοῦ γέγονας. ὅθεν σοι τὸ χαῖρε προσάγομεν.

Ἄλλος. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Ἰοῦ ἀναμεστούμενος ὁ Ὄφις, ὀδόντας ἐνέπειρε Σωτὴρ· οὓς Παντοκράτορ Δέσποτα, ἥλοις χειρῶν σου ἔθλασας. ὅτι οὐκ ἔστιν Ἅγιος, Ἁγίων πλὴν σου φιλάνθρωπε.

Ὡράθης Φιλάνθρωπε βουλήσει, ἐν τάφῳ νεκρὸς ζωοποιὸς, καὶ πύλας ἀνεπέτασας, Ἅδου τὰς ἀπ' αἰῶνος ψυχαῖς· ὅτι οὐκ ἔστιν Ἅγιος, Ἁγίων πλὴν σου φιλάνθρωπε.

Θεοτοκίον.

Ἀνήροτος ἄρουρα ὡράθης, τὸν στάχυν τεκοῦσα τῆς ζωῆς, τὸν πᾶσι τοῖς μετέχουσιν, ἀθανασίας πρόξενον, τὸν ἐν Ἁγίοις Ἅγιον, ἁγίως ἀναπαυόμενον.

Ἄλλος, τῆς Θεοτόκου. Ἀφ' ὕψους κατῆλθες.

Ῥύπτεται βροτῶν ἡ οὐσία, διὰ σοῦ ὁμιλήσασα, ἀσέκτῳ θείῳ πυρὶ, ὡς ἐγκρυφίας Πάναγνε Παρθένε ἐν σοὶ, ἄρτος ἐξοπτηθεῖσα, τῷ καὶ σὲ ἀλώβητον διαφυλάξαντι.

Τίς αὕτη ἡ ὄντως πλησίον τοῦ Θεοῦ, ὡς ὑπερβᾶσα ἅπαντα, τὰ τῶν Ἀγγέλων τάγματα; ἡ μόνη ἐν τῷ κάλλει τῆς Παρθενίας, οἷα Μήτηρ λάμπουσα τοῦ Παντοκράτορος.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία, ἐπὶ Σταυροῦ τὸν Ἥλιον τῆς δικαιοσύνης, ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα· δόξα τῇ δυνάμει σου Κύριε.

Τροπάριον.

Ἀνελήλυθας τὰ πάθη μου θεραπεύσων, ἐπὶ Σταυροῦ τῷ Πάθει τῆς ἀχράντου σαρκός σου, ἣν ἑκὼν ἐφόρεσας. διό σοι κραυγάζομεν· δόξα τῇ δυνάμει σου Κύριε.

Ἀναμάρτητος ὁ θάνατος γενόμενος, ζωοποιοῦ τε Σώματος τοῦ σοῦ ἐπαξίως, Δέσποτα νενέκρωται. ἡμεῖς δὲ βοῶμέν σοι· δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκύησας ὦ Παρθένε, καὶ μετὰ τόκον ὤφθης παρθενεύουσα πάλιν. ὅθεν ἀσιγήτοις φωναῖς, τὸ χαῖρέ σοι Δέσποινα, πίστει ἀδιστάκτῳ κραυγάζομεν.

Ἄλλος. Τὴν ἀνεξιχνίαστον.

Νενομοθετημένος ὢν Ἰσραὴλ, σὲ Χριστὲ τὸν νομοθετήσαντα, Θεὸν οὐκ ἔγνω· ἀλλ' ὡς ἄνομον Σταυρῷ, παρανομῶν προσεπήγνυεν, ὁ νομοθεσίας ἀνάξιος.

Ἡ τεθεωμένη σου Σῶτερ Ψυχὴ, Ἅδου θησαυροὺς προνομεύσασα, τὰς ἀπ' αἰῶνος, συνανέστησε ψυχάς· τὸ ζωηφόρον Σῶμα δὲ, πᾶσιν ἀφθαρσίαν ἐπήγασε.

Θεοτοκίον.

Σὲ τὴν Ἀειπάρθενον καὶ ἀληθῆ, πάντες Θεοτόκον δοξάζομεν, ἣν προετύπου, τῷ Θεόπτῃ Μωϋσῇ, ἀκαταφλέκτως Πάναγνε, Βάτος τῷ πυρὶ ὁμιλήσασα.

Ἄλλος, τῆς Θεοτόκου. Ὁ καθήμενος ἐν δόξῃ.

Συναπεγράφη ἀνθρώποις, ὁραθεὶς ὁ ἀόρατος, ἐν μορφῇ ὑπάρχων, τῆς ἀκαταλήπτου Θεότητος, καὶ μορφωθεὶς ἐκ σοῦ Κόρη τὸ ἀλλότριον, τοὺς εἰδότας σε, σώζει Ἁγνὴν Θεομήτορα.

Ὑπεδέξατο ἐν ὕλῃ, ἡ Παρθένος τὸν ἄϋλον, ἐν μεθέξει ὕλης, Βρέφος ἐξ αὐτῆς χρηματίσαντα. ὅθεν ἐν δύο οὐσίαις εἷς γνωρίζεται, σαρκοφόρος Θεὸς, καὶ Βροτὸς ὑπερούσιος.

Μετὰ τόκον σε Παρθένον, ὁ Παρθένον οἰκήσας σε, καὶ τεχθεὶς ἀπόρως, Λόγος καὶ Θεὸς διεσώσατο· καὶ ἐν τῷ τίκτειν Παρθένον διεφύλαξεν, ὡς Δεσπότης καὶ Δημιουργὸς πάσης Κτίσεως.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Σὺ Κύριέ μου φῶς, εἰς τὸν Κόσμον ἐλήλυθας· Φῶς Ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.

Τροπάριον.

Σὺ Κύριε πρὸς γῆν, συμπαθῶς κατελήλυθας· σὺ ὕψωσας τὴν πεσοῦσαν, τῶν ἀνθρώπων οὐσίαν, ἐν Ξύλῳ ἀναρτώμενος.

Σὺ ἦρας μου Χριστὲ, τῶν πταισμάτων τὸ ἔγκλημα· σὺ ἔλυσας τὰς ὀδύνας, τοῦ θανάτου οἰκτίρμων, τῇ θείᾳ Ἀναστάσει σου.

Θεοτοκίον.

Σὲ ὅπλον ἄρραγες, κατ' ἐχθρῶν προβαλλόμεθα· σὲ ἄγκυραν καὶ ἐλπίδα, τῆς ἡμῶν σωτηρίας, Θεόνυμφε κεκτήμεθα.

Ἄλλος. Ἐξέστη τὰ σύμπαντα.

Ἐδέξατο ὅλον σε, Ἅδης ὁ ἄφρων στόματι. Ξύλῳ γὰρ παγέντα σε ἀθροίσας, λόγχῃ νυγέντα, ἄπνουν τὸν ζῶντα Θεὸν, ψιλὸν ἐλογίσατο βροτόν· ἔγνω πειραθεὶς δὲ σοῦ, τὴν ἰσχὺν τῆς Θεότητος.

Λυθέντα Φιλάνθρωπε, σοῦ τὸν Ναὸν τοῦ Σώματος, τάφος μερισάμενος καὶ Ἅδης, ἄκοντες ἄμφω δίκας εἰσπράττονται· ὁ μὲν τῶν Ἁγίων σου ψυχὰς, σώματα δὲ ἕτερος, συνεκπέμπων Ἀθάνατε.

Θεοτοκίον.

Ἰδοὺ νῦν πεπλήρωται, ἡ τοῦ Προφήτου πρόῤῥησις. σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεὸν, καὶ τέτοκας ἄχρονον Υἱὸν· πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύουσα.

Ἄλλος, τῆς Θεοτόκου. Νῦν ἀναστήσομαι.

Οἶκον τῆς δόξης σε ὄρος Θεοῦ, ἅγιον Ἁγνὴ, νύμφην παστάδα, Ναὸν ἁγιάσματος, ὁ Υἱὸς ὁ τοῦ Θεοῦ, ἐν σοὶ οἰκήσας, καὶ Παράδεισον τρυφῆς, ἀΐδιον ἡμῖν εἰργάσατο.

Σάρκα ἐξ αἵματος Παρθενικοῦ, εἴληφας Χριστὲ, ἄσπορον, ἄχραντον, καὶ ἐνυπόστατον, λογικὴν καὶ νοερὰν ἐμψυχωμένην, ἐνεργῆ θελητικὴν, αὐτοδέσποτον καὶ αὐτεξούσιον.

Τύραννον φρόνημα Παρθενικὴ, ᾔχμασε γαστήρ. Βρέφος ἀσπίδων γὰρ τρώγλην ψυχόλεθρον, ἐξηράνισε χειρὶ, καὶ ἀποστάτην ἀλαζόνα καθελὼν, τῶν πιστῶν τοῖς ποσὶν ὑπέταξε.

Ὠδὴ ϛ'. Ὁ Εἱρμός.

Ὕσωσοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι' οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Τροπάριον.

Ἀνῆλθες, ἐν Σταυρῷ δυναστείαν ζωσάμενος, καὶ συμπλακεὶς τῷ Τυράννῳ, ὡς Θεὸς ἐξ ὕψους κατέῤῥαξας, τὸν Ἀδὰμ δὲ, ἀηττήτῳ παλάμῃ ἀνέστησας.

Ἀνέστης, ἐξαρπάζων ὡραῖος ἐκ τάφου Χριστὲ, καὶ διεσκέδασας πάντας, τοὺς ἐχθροὺς τῇ θείᾳ σου δυναστείᾳ, καὶ τὰ πάντα, ὡς Θεὸς εὐφροσύνης ἐπλήρωσας.

Θεοτοκίον.

Ὢ θαῦμα τῶν ἁπάντων θαυμάτων καινότερον, ὅτι Παρθένος ἐν μήτρᾳ, τὸν τὰ σύμπαντα περιέποντα, ἀπειράνδρως, συλλαβοῦσα οὐκ ἐστενοχώρησε.

Ἄλλος. Ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης.

Διήνοιξε φάρυγγα ὁ Ἅδης, καὶ καταπέπωκέ με, καὶ ψυχὴν ἐπλάτυνεν ὁ ἄφρων· ἀλλ' ὁ Χριστὸς καταβὰς ἀνήγαγε, τὴν ζωήν μου ὡς φιλάνθρωπος.

Ἑάλω ὁ θάνατος θανάτῳ· ὁ γὰρ θανὼν ἀνέστη, ἀφθαρσίαν μοι δεδωρημένος· ἐμφανισθεὶς Γυναιξὶ προσφθέγγεται, τὴν χαρὰν δὲ ὁ ἀθάνατος.

Θεοτοκίον.

Ἄστεκτη Θεότητος χωρίον, ἡ καθαρὰ νηδύς σου ἀναδέδεικται, ὦ Θεοτόκε· ἣν ἀδεῶς, Οὐρανῶν τὰ τάγματα, ἀτενίσαι οὐ δεδύνηνται.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Πάλαι μὲν ἠπάτησεν ὁ Ὄφις, καὶ ἐθανάτωσέ με, διὰ τῆς Προμήτορός μου Εὔας· νῦν δὲ Ἁγνή, διὰ σοῦ ὁ πλάσας με, ἐκ φθορᾶς ἀνεκαλέσατο.

Ἄβυσσός σε Ἄβυσσον ἀρρήτως, τῆς εὐσπλαγχνίας Κόρη, ἐκλεκτὴν ἀνέδειξε θαυμάτων· καὶ γὰρ ἐκ σοῦ, ἀστραπὴ Θεότητος, Μαργαρίτης Χριστὸς ἔλαμψε.

Κοντάκιον. Ἐπεφάνης σήμερον.

Ὁ Σωτὴρ καὶ ῥύστης μου ἀπὸ τοῦ τάφου, ὡς Θεὸς ἀνέστησεν, ἐκ τῶν δεσμῶν τοὺς γηγενεῖς, καὶ πύλας Ἅδου συνέτριψε, καὶ ὡς Δεσπότης ἀνέστη τριήμερος.

Ὁ Οἶκος.

Τὸν ἀναστάντα ἐκ νεκρῶν Χριστὸν τὸν Ζωοδότην, τριήμερον ἐκ τάφου, καὶ πύλας τοῦ θανάτου σήμερον συνθλάσαντα τῇ δυνάμει τῇ αὐτοῦ, τὸν Ἅδην τε νεκρώσαντα, καὶ τὸ κέντρον τοῦ θανάτου συντρίψαντα, καὶ τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ ἐλευθερώσαντα, ὑμνήσωμεν πάντες οἱ γηγενεῖς, εὐχαρίστως βοῶντες αἶνον ἐκτενῶς. αὐτὸς γὰρ ὡς μόνος κραταιὸς Θεὸς καὶ Δεσπότης, ἀνέστη τριήμερος.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Ἐν τῇ Καμίνῳ Ἀβραμιαῖοι Παῖδες τῇ Περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον, ἢ τῇ φλογὶ, πυρπολούμενοι ἐκραύγαζον· Εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Τροπάριον.

Πρὸς ἀφθαρσίαν ἡ ἀνθρωπότης ἀνακέκληται, θείῳ λυσαμένη Αἵματι τοῦ Χριστοῦ, εὐχαρίστως ἀναμέλπουσα· Εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου Κύριε.

Ὡς ζωηφόρος, ὡς Παραδείσου ὡραιότερος, ὄντως καὶ παστάδος πάσης Βασιλικῆς, ἀναδέδεικται λαμπρότερος Χριστὲ ὁ τάφος σου, ἡ πηγὴ τῆς ἡμῶν ἀναστάσεως.

Θεοτοκίον.

Τὸ τοῦ Ὑψίστου ἡγιασμένον θεῖον σκήνωμα, χαῖρε· διὰ σοῦ γὰρ δέδοται ἡ χαρά, Θεοτόκε τοῖς κραυγάζουσιν· Εὐλογημένη σὺ ἐν Γυναιξὶν, ὑπάρχεις παναμώμε Δέσποινα.

Ἄλλος. Οὐκ ἐλάτρευσαν τῇ Κτίσει.

Ἐταπείνωσας ἐν ξύλῳ ἀναρτώμενος ὄμμα μετέωρον, καὶ ἐπηρμένην ὀφρὺν, εἰς γῆν καταβέβληκας, σώσας τὸν ἄνθρωπον, ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Τῇ δυνάμει σου τὸ κέρας ἡμῶν ὕψωσον, τῶν λατρευόντων σοι, ὁ ἀναστὰς ἐκ νεκρῶν, καὶ Ἅδου κενώσας πρὶν, τὸν πολυάνθρωπον, πλοῦτον Δέσποτα, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Τριαδικόν.

Ῥήσεσι θείαις ἑπόμενοι, δοξάζομεν μίαν Θεότητα, ὥσπερ λαμπάσι τρισὶν, ἀσύγχυτον, ἄτμητον, αἴγλην ἀνέσπερον, τὴν φωτίζουσαν, πᾶσαν τὴν Κτίσιν ψάλλουσαν, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος, τῆς Θεοτόκου. Νέοι τρεῖς ἐν Βαβυλῶνι.

Ἕλκει με πρὸς ὑμνῳδίαν, πόθος τοῦ παρθενικοῦ, τὸ πῦρ τὸ ἐγκάρδιον, βοᾶν τῇ Μητρὶ καὶ Παρθένῳ· Εὐλογημένη Κύριος, μετὰ σοῦ τῶν δυνάμεων.

Ὑπερτέρα τῶν Κτισμάτων ὤφθης, ὡς τὸν Ποιητὴν, τεκοῦσα καὶ Κύριον. διό σοι βοῶ Θεοτόκε· Εὐλογημένη Κύριος, μετὰ σοῦ τῶν δυνάμεων.

Τριαδικόν.

Κυριότητά σε μίαν σέβων ἐν ἁγιασμοῖς, τρισὶν ἀδιαίρετον, ὕμνῳ τρισυπόστατε φύσις· εὐλογημένη κράζων σοι, ἡ τὸ πᾶν διϊθύνουσα.

Ὠδὴ η΄. Ὁ Εἱρμός.

Χεῖρας ἐκπετάσας Δανιὴλ, Λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμενοι, οἱ εὐσεβείας ἐρασταὶ Παῖδες κραυγάζοντες· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τροπάριον.

Χεῖρας ἐκπετάσας ἐν Σταυρῷ, τὰ ἔθνη ἅπαντα ἐπισυνήγαγες, καὶ μίαν ἔδειξας Δέσποτα, Ἐκκλησίαν ἀνυμνοῦσάν σε, τοῖς ἐπὶ γῆς καὶ οὐρανοῦ, συμφώνως ψάλλουσιν· Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Λευχείμων ὡράθη Γυναιξὶ, τῷ ἀπροσίτῳ φωτὶ τῆς Ἀναστάσεως, καταστραπτόμενος Ἄγγελος· τί τὸν ζῶντα ἐν τῷ τάφῳ βοῶν, ἐπιζητεῖτε ὡς θνητόν; ὄντως ἠγέρθη Χριστὸς, ᾧ βοῶμεν· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Θεοτοκίον.

Σὺ μόνη ἐν πάσαις γενεαῖς, Παρθένε Ἄχραντε, Μήτηρ ἐδείχθης Θεοῦ. σὺ τῆς Θεότητος γέγονας, ἐνδιαίτημα Παναμώμε, μὴ φλογισθεῖσα τῷ πυρὶ, τοῦ ἀπροσίτου φωτός. ὅθεν πάντες σὲ εὐλογοῦμεν Μαρία Θεόνυμφε.

Ἄλλος. Παῖδας εὐαγεῖς ἐν τῇ Καμίνῳ.

Τὴν ἄδικον βλέπουσα σφαγήν σου, ἡ Κτίσις κατηφιῶσα ἐπωδύρετο· γῆς ταρασσομένης γὰρ, ζόφον ὡς ἱμάτιον, μελεμβαφὲς ὁ Ἥλιος περιεβάλλετο. ἡμεῖς δέ σε ἀπαύστως ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ὁ συγκαταβάς μοι μέχρις Ἅδου, καὶ πᾶσιν ὁδοποιήσας τὴν Ἀνάστασιν, αὖθις ἀναβέβηκας, ἄρας με ἐπ' ὤμων σου, καὶ τῷ Πατρὶ προσήγαγες· ὅθεν κραυγάζω σοι· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τριαδικόν.

Νοῦν πρῶτον, καὶ αἴτιον ἁπάντων, Πατέρα μόνον ἀναίτιον δοξάζομεν, Λόγον τε τὸν ἄναρχον, Πνεῦμα τὸ Παράκλητον, ἕνα Θεὸν καὶ Κύριον, καὶ Ποιητὴν τοῦ παντός· Τριάδα συμφυῆ προσκυνοῦντες, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος, τῆς Θεοτόκου. Λυτρωτὰ τοῦ παντός.

Ἐκ πλευρᾶς τοῦ Ἀδὰμ πλαστουργήσας σε, ἐκ τῆς σῆς Παρθενίας σεσάρκωται, ὁ τῶν ἁπάντων Κύριος, ὃν ὑμνοῦντες βοῶμεν· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ἐν Σκηνῇ Ἀβραὰμ ἐθεάσατο, τὸ ἐν σοὶ Θεοτόκε μυστήριον· τὸν γὰρ Υἱόν σου ἄσαρκον, ὑπεδέξατο μελλόντων· πάντα τὰ ἔργα, εὐλογεῖτε ὑμνεῖτε τὸν Κύριον.

Ἰσαρίθμους Τριάδος διέσωσε, τὸ τῆς σῆς Παρθενίας προχάραγμα· ἐν γὰρ παρθένοις σώμασι, κατεπάτουν τὴν φλόγα, Κόρη βοῶντες· εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Λίθος ἀχειρότμητος Ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνά-

ψας τὰς διεστώσας φύσεις. διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν. Τροπάριον.

Ὅλον με ἀνείληφας ὅλως, ἐν συναφείᾳ ἀσυγχύτῳ, ὅλος μοι διδοὺς ὁ Θεός μου, τὴν σωτηρίαν διὰ τοῦ Πάθους σου· ὃ ἐν Σταυρῷ ὑπέμεινας, σωματικῶς δι᾽ εὐσπλαγχνίαν πολλήν.

Οἱ σοὶ Μαθηταὶ καθορῶντες, ἀνεῳγμένον σου τὸν τάφον, καὶ τὰς θεοφόρους σινδόνας, κεκενωμένας τῇ Ἀναστάσει σου, σὺν τῷ Ἀγγέλῳ ἔλεγον· ὄντως ἐγήγερται ὁ Κύριος. Τριαδικόν.

Μονάδα μὲν Θείας Οὐσίας, ἀλλ᾽ Ὑποστάσεων Τριάδα, πάντες οἱ πιστοὶ προσκυνοῦντες, ἐν ἀσυγχύτοις ταῖς Ὑποστάσεσιν, ἰσοθεῆ ὁμότιμον, ταύτην σεβοῦντες μεγαλύνομεν.

Εἱρμὸς ἄλλος. Ἅπας γηγενής.

Δόλῳ τῆς Ἐδέμ, ἑρπύσας ὁ ὄφις με, εἷλεν αἰχμάλωτον. πρὸς τὴν τοῦ Κρανίου δὲ, κρατίστην πέτραν τοῦτον ἠδάφισεν, ὁ Παντοκράτωρ Κύριος, καθάπερ νήπιον· τῆς τρυφῆς δὲ, αὖθίς μοι τὴν εἴσοδον, διὰ ξύλου Σταυροῦ ἀνεπέτασεν.

Ἔθου κραταιὰ, ἐχθροῦ ὀχυρώματα, νῦν εἰς ἐρήμωσιν. τῇ παναλκεστάτῃ δὲ, χειρὶ τὸν πλοῦτον τούτου διήρπασας, ἐκ κενεώνων Ἅδου με, συναναστήσας Χριστέ. καὶ τὸν πάλαι, ἄμετρα καυχώμενον, ὡς γελοῖον παιζόμενον ἔδειξας.

Ἴθι τοῦ πτωχοῦ, Λαοῦ σου τὴν κάκωσιν ἐπισκεψόμενος. τῇ συμπαθεστάτῃ δὲ, καὶ κραταιᾷ σου χειρὶ δυνάμωσον, τὸν Σταυροφόρον Ἄνακτα, κατὰ βλασφήμων ἐχθρῶν, ἐξελέσθαι, σοῦ τὴν περιούσιον, κληρουχίαν Χριστὲ ὡς φιλάνθρωπος.

Ἄλλος, τῆς Θεοτόκου. Κρυπτὸν Θεῖον.

Ὁρῶμεν ὡς κρίνόν σε τῇ ἀλουργίδι, βεβαμμένην Ἄχραντε, τοῦ Θείου Πνεύματος, τῶν ἀκανθῶν ἐν μέσῳ ἐκλάμπουσαν, καὶ εὐωδίας πληροῦσαν, τοὺς σὲ γνησίως μεγαλύνοντας.

Ῥεῦσιν προσλαβόμενος βροτείαν φύσιν, ἐκ τῆς σῆς Πανάμωμε, Γαστρὸς ὁ Ἄφθαρτος, ἐν ἑαυτῷ ἀνέδειξεν ἄρρευστον δι᾽ εὐσπλαγχνίαν. διό σε ὡς Θεοτόκον μεγαλύνομεν.

Ἡ Πάντων Δεσπόζουσα τῶν ποιημάτων, τῷ Λαῷ σου δώρησαι τὰ νίκης τρόπαια, τὸν δυσμενῆ τεθεῖσα ὑπόσπονδον τῇ Ἐκκλησίᾳ· ἵνα σε ὡς Θεοτόκον μεγαλύνωμεν.

Εἰς τοὺς Αἴνους. Στιχηρὰ Ἀναστάσιμα.

Ὁ Σταυρὸν ὑπομείνας καὶ θάνατον, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, Παντοδύναμε Κύριε, δοξάζομέν σου τὴν Ἀνάστασιν.

Ἐν τῷ Σταυρῷ σου Χριστὲ, τῆς ἀρχαίας κατάρας ἠλευθέρωσας ἡμᾶς, καὶ ἐν τῷ Θανάτῳ σου, τὸν τὴν φύσιν ἡμῶν τυραννήσαντα, διάβολον κατήργησας· ἐν δὲ τῇ Ἐγέρσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας. διὸ βοῶμέν σοι· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Τῷ σῷ Σταυρῷ Χριστὲ Σωτὴρ, ὁδήγησον ἡμᾶς ἐπὶ τὴν ἀλήθειάν σου· καὶ ῥῦσαι ἡμᾶς, τῶν παγίδων τοῦ ἐχθροῦ. ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀνάστησον ἡμᾶς πεσόντας τῇ ἁμαρτίᾳ· ἐκτείνας τὴν χεῖρά σου, Φιλάνθρωπε Κύριε, τῇ πρεσβείᾳ τῶν Ἁγίων σου.

Τῶν Πατρικῶν σου κόλπων, μὴ χωρισθεὶς Μονογενὲς Λόγε τοῦ Θεοῦ, ἦλθες ἐπὶ γῆς διὰ φιλανθρωπίαν, Ἄνθρωπος γενόμενος ἀτρέπτως, καὶ Σταυρὸν καὶ θάνατον ὑπέμεινας σαρκὶ, ὁ ἀπαθὴς τῇ Θεότητι. ἀναστὰς δὲ ἐκ νεκρῶν, ἀθανασίαν παρέσχες τῷ γένει τῶν ἀνθρώπων, ὡς μόνος Παντοδύναμος.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

Θάνατον καταδέξω σαρκὶ, ἡμῖν ἀθανασίαν πραγματευσάμενος Σωτήρ· καὶ ἐν τάφῳ ᾤκησας, ἵνα ἡμᾶς τοῦ Ἅδου ἐλευθερώσῃς, συναναστήσας ἑαυτῷ· παθὼν μὲν ὡς Ἄνθρωπος, ἀλλ᾽ ἀναστὰς ὡς Θεός. διὰ τοῦτο βοῶμεν· δόξα σοι Ζωοδότα Κύριε, μόνε Φιλάνθρωπε.

Πέτραι ἐσχίσθησαν Σωτὴρ, ὅτε ἐν τῷ Κρανίῳ ὁ Σταυρός σου ἐπάγη. ἔφριξαν Ἅδου Πυλωροὶ, ὅτε ἐν τῷ Μνημείῳ ὡς θνητὸς κατετέθης. καὶ γὰρ τοῦ θανάτου καταργήσας τὴν ἰσχὺν, τοῖς τεθνεῶσι πᾶσιν ἀφθαρσίαν παρέσχες, τῇ Ἀναστάσει σου Σωτήρ. Ζωοδότα Κύριε δόξα σοι.

Ἐπεθύμησαν Γυναῖκες, ἰδεῖν σου τὴν Ἀνάστασιν Χριστὲ ὁ Θεός. ἦλθε προλαβοῦσα Μαρία ἡ Μαγδαληνὴ, εὗρε τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, καὶ τὸν Ἄγγελον καθεζόμενον, καὶ λέγοντα· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; ἀνέστη ὡς Θεὸς, ἵνα σώσῃ τὰ σύμπαντα.

Ποῦ ἐστιν Ἰησοῦς, ὃν ἐλογίσασθε φυλάττειν; εἴπατε Ἰουδαῖοι· ποῦ ἐστιν, ὃν ἐθήκατε ἐν τῷ μνήματι, τὸν λίθον σφραγίσαντες; δότε τὸν νεκρὸν, οἱ τὴν ζωὴν ἀρνησάμενοι. δότε τὸν ταφέντα, ἢ πιστεύσατε τῷ ἀναστάντι. κἂν ὑμεῖς σιγήσητε τοῦ Κυρίου τὴν Ἔγερσιν, οἱ λίθοι κεκράξονται, μάλιστα ὁ ἀποκυλισθεὶς ἐκ τοῦ Μνήματος. Μέγα σου τὸ ἔλεος, μέγα τὸ Μυστήριον τῆς Οἰκονομίας σου, Σωτὴρ ἡμῶν δόξα σοι.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοί.

Διὰ ξύλου ὁ Ἀδὰμ, Παραδείσου γέγονεν ἄποικος· διὰ ξύλου δὲ Σταυροῦ, ὁ Λῃστὴς Παράδεισον ᾤκησεν. ὁ μὲν γὰρ γευσάμενος, ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος· ὁ δὲ συσταυρούμενος, Θεὸν ὡμολόγησε τὸν κρυπτόμενον. Μνήσθητί μου βοῶν, ἐν τῇ Βασιλείᾳ σου.

Ὑψωθεὶς ἐν τῷ Σταυρῷ, καὶ τοῦ Θανάτου λύσας τὴν δύναμιν, καὶ ἐξαλείψας ὡς Θεὸς, τὸ καθ᾽ ἡμῶν χειρόγραφον Κύριε. Λῃστοῦ τὴν μετάνοιαν, καὶ ἡμῖν παράσχου μόνε Φιλάνθρωπε, τοῖς πίστει λατρεύουσι, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ βοῶσί σοι· Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ Βασιλείᾳ σου.

Τὸ χειρόγραφον ἡμῶν, ἐν τῷ Σταυρῷ τῇ λόγχῃ διέρρηξας. καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς, τὸν ἐκεῖσε Τύραννον ἔδησας, ῥυσάμενος ἅπαντας, ἐκ δεσμῶν τοῦ Ἅδου τῇ Ἀναστάσει σου. δι᾽ ἧς ἐφωτίσθημεν, Φιλάνθρωπε Κύριε, καὶ βοῶμέν σοι· Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ Βασιλείᾳ σου.

Ὁ Σταυρωθεὶς καὶ Ἀναστὰς, ὡς δυνατὸς ἐκ τάφου τριήμερος· καὶ τὸν Πρωτόπλαστον Ἀδὰμ, ἐξαναστήσας μόνε Ἀθάνατε· κἀμὲ εἰς μετάνοιαν, ἐπίστρεψαι Κύριε καταξίωσον, ἐξ ὅλης καρδίας μου, καὶ ἐν θερμῇ τῇ πίστει ἀεὶ κραυγάζειν σοι· Μνήσθητί μου Σωτὴρ, ἐν τῇ Βασιλείᾳ σου.

Δι᾽ ἡμᾶς ὁ ἀπαθὴς, παθητὸς ἐγένετο Ἄνθρωπος· καὶ ἑκουσίως ἐν Σταυρῷ, προσηλωθεὶς ἡμᾶς συνανέστησε. διὸ καὶ δοξάζομεν, σὺν τῷ Σταυρῷ, τὸ Πάθος, καὶ τὴν Ἀνάστασιν· δι᾽ ὧν ἀνεπλάσθημεν, δι᾽ ὧν καὶ σῳζόμεθα ἀνακράζοντες· Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ Βασιλείᾳ σου.

Τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ τὸ τοῦ Ἅδου κράτος σκυλεύσαντα, καὶ ὁραθέντα Γυναιξὶ, Μυροφό-

ροις λέγοντα χαίρετε· πιστοὶ δυσωπήσωμεν, ἐκ φθορᾶς λυτρώσασθαι τὰς ψυχὰς ἡμῶν, κραυγάζοντες πάντοτε, Λῃστοῦ τοῦ εὐγνώμονος, τὴν φωνὴν πρὸς αὐτόν· Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ Βασιλείᾳ σου. Δόξα.

ΤΟν Πατέρα καὶ Υἱόν, καὶ τὸ Πνεῦμα πάντες τὸ Ἅγιον, ὁμοφρόνως οἱ Πιστοί, δοξολογεῖν ἀξίως ἀξιώμεθα, Μονάδα Θεότητος, ἐν τρισὶν ὑπάρχουσαν Ὑποστάσεσιν, ἀσύγχυτον μένουσαν, ἁπλῆν, ἀδιαίρετον, καὶ ἀπρόσιτον· δι' ἧς ἐκλυτρούμεθα τοῦ πυρὸς τῆς κολάσεως.

Καὶ νῦν. Θεοτοκίον.

ΤΗν Μητέρα σου Χριστέ, τὴν ἐν σαρκὶ ἀσπόρως τεκοῦσάν σε, καὶ Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον μείνασαν ἄφθορον, αὐτήν σοι προσάγομεν, εἰς πρεσβείαν Δέσποτα Πολυέλεε. πταισμάτων συγχώρησιν, δώρησαι πάντοτε τοῖς βοῶσί σοι· Μνήσθητι καὶ ἡμῶν, ἐν τῇ Βασιλείᾳ σου.

ΤΕΛΟΣ τοῦ Τετάρτου Ἤχου.

Πανηγυριστής, καὶ χορευτὴς ὤν, φέρεις
Τέταρτον εὖχος μυστικωτάτῃ κρίσει.
Σὺ τοὺς χορευτὰς δεξιούμενος πλάττεις,
Φωνὰς βραβεύεις, καὶ κροτῶν ἐν κυμβάλοις.
Σὲ τὸν Τέταρτον Ἦχον, ὡς εὐφωνίας
Πλήρη, χορευτῶν εὐλογοῦσι τὰ στίφη.

## ΤΩ͂ ΣΑΒΒΑ΄ΤΩ, ΕΣΠΕ΄ΡΑΣ.

Εἰς τό, Κύριε ἐκέκραξα, Στιχηρὰ Ἀναστάσιμα.

Ἦχος πλ. α΄.

ΔΙὰ τοῦ τιμίου σου Σταυροῦ Χριστέ, Διάβολον ᾔσχυνας· καὶ διὰ τῆς Ἀναστάσεώς σου, τὸ κέντρον τῆς ἁμαρτίας ἤμβλυνας· καὶ ἔσωσας ἡμᾶς ἐκ τῶν πυλῶν τοῦ θανάτου. δοξάζομέν σε Μονογενές.

ΟΤὴν Ἀνάστασιν διδοὺς, τῷ γένει τῶν ἀνθρώπων, ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη. ἔφριξαν τοῦτον οἱ Ἄρχοντες τοῦ Ἅδου, καὶ ἐπήρθησαν πύλαι ὀδυνηραί· εἰσελήλυθε γὰρ ὁ Βασιλεὺς τῆς δόξης Χριστός. λέγων τοῖς ἐν δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύπτεσθε.

ΜΕγα θαῦμα· ὁ τῶν ἀοράτων Κτίστης, διὰ φιλανθρωπίαν, σαρκὶ παθὼν, ἀνέστη ὁ Ἀθάνατος. Δεῦτε Πατριαὶ τῶν Ἐθνῶν, τοῦτον προσκυνήσωμεν. τῇ γὰρ αὐτοῦ εὐσπλαγχνίᾳ ἐκ πλάνης ῥυσθέντες, ἐν τρισὶν Ὑποστάσεσιν, ἕνα Θεὸν ὑμνεῖν μεμαθήκαμεν.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

ΕΣπερινὴν προσκύνησιν, προσφέρομέν σοι τῷ ἀνεσπέρῳ φωτί, τῷ ἐπὶ τέλει τῶν αἰώνων, ὡς ἐν ἐσόπτρῳ διὰ σαρκὸς, λάμψαντι τῷ Κόσμῳ, καὶ μέχρις Ἅδου κατελθόντι, καὶ τὸ ἐκεῖσε σκότος λύσαντι, καὶ τὸ φῶς τῆς Ἀναστάσεως τοῖς ἔθνεσι δείξαντι. Φωτοδότα Κύριε δόξα σοι.

ΤΟν Ἀρχηγὸν τῆς σωτηρίας ἡμῶν, Χριστὸν δοξολογήσωμεν· αὐτοῦ γὰρ ἐκ νεκρῶν ἀναστάντος, Κόσμος ἐκ πλάνης σέσωσται. Χαίρει χορὸς Ἀγγέλων, φεύγει Δαιμόνων πλάνη· Ἀδὰμ πεσὼν ἀνίσταται· Διάβολος καταργεῖται.

ΟἹ τῆς κουστωδίας ἐνηχοῦντο ὑπὸ τῶν παρανόμων, καλύψατε Χριστοῦ τὴν Ἔγερσιν, καὶ λάβετε ἀργύρια, καὶ εἴπατε, ὅτι ἡμῶν κοιμωμένων, ἐκ τοῦ μνημείου ἐσυλήθη ὁ νεκρός. τίς εἶδε, τίς ἤκουσε νεκρὸν κλαπέντα ποτέ; μάλιστα ἐσμυρνισμένον καὶ γυμνὸν, καταλιπόντα, καὶ ἐν τῷ τάφῳ τὰ ἐντάφια αὐτοῦ; μὴ πλανᾶσθε Ἰουδαῖοι. μάθετε τὰς ῥήσεις τῶν Προφητῶν, καὶ γνῶτε, ὅτι αὐτός ἐστιν ἀληθῶς, ὁ Λυτρωτὴς τοῦ Κόσμου καὶ Παντοδύναμος.

ΚΥριε ὁ τὸν Ἅδην σκυλεύσας, καὶ τὸν θάνατον πατήσας, Σωτὴρ ἡμῶν, ὁ φωτίσας τὸν Κόσμον, τῷ Σταυρῷ τῷ τιμίῳ, ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΕΝ τῇ ἐρυθρᾷ θαλάσσῃ, τῆς Ἀπειρογάμου Νύμφης εἰκὼν διεγράφη ποτέ. ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος· ἐνθάδε Γαβριὴλ ὑπηρέτης τοῦ θαύματος. τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ· νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀσπόρως ἡ Παρθένος. ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ, ἔμεινεν ἄβατος· ἡ Ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουὴλ, ἔμεινεν ἄφθορος. ὁ ὤν, καὶ προών, καὶ φανεὶς ὡς ἄνθρωπος, Θεὸς ἐλέησον ἡμᾶς.

Εἰς τὸν Στίχον, Στιχηρά.

ΣΕ τὸν σαρκωθέντα Σωτῆρα Χριστὸν, καὶ τῶν Οὐρανῶν μὴ χωρισθέντα, ἐν φωναῖς ᾀσμάτων μεγαλύνομεν· ὅτι Σταυρὸν καὶ θάνατον κατεδέξω, διὰ τὸ γένος ἡμῶν, ὡς φιλάνθρωπος Κύριος. σκυλεύσας Ἅδου πύλας, τριήμερος ἀνέστης, σώζων τὰς ψυχὰς ἡμῶν.

Τὰ κατ' Ἀλφάβητον.

ΝΥγείσης σου τῆς πλευρᾶς Ζωοδότα, κρουνοὺς ἀφέσεως, πᾶσιν ἐξέβλυσας, ζωῆς καὶ σωτηρίας, σαρκὶ δὲ θάνατον κατεδέξω, ἀθανασίαν ἡμῖν δωρούμενος. οἰκήσας τάφῳ δὲ, ἡμᾶς ἠλευθέρωσας, συναναστήσας ἑαυτῷ ἐνδόξως ὡς Θεός. διὰ τοῦτο βοῶμεν· Φιλάνθρωπε Κύριε δόξα σοι.

ΞΈνη σου ἡ Σταύρωσις, καὶ ἡ εἰς Ἅδου κάθοδος Φιλάνθρωπε ὑπάρχει. σκυλεύσας γὰρ αὐτὸν, καὶ τοὺς πάλαι δεσμίους, συναναστήσας ἑαυτῷ, ἐνδόξως ὡς Θεός, τὸν Παράδεισον ἀνοίξας, ἀπολαβεῖν τοῦτον ἠξίωσας. Διὸ καὶ ἡμῖν τοῖς δοξάζουσι τὴν σὴν τριήμερον Ἔγερσιν, δώρησαι ἱλασμὸν ἁμαρτιῶν, Παραδείσου οἰκήτορας καταξιῶν, ὡς μόνος εὔσπλαγχνος.

ΟΔι' ἡμᾶς σαρκὶ Πάθος δεξάμενος, καὶ τριήμερος ἐκ νεκρῶν ἀναστάς, τῆς σαρκὸς ἡμῶν τὰ πάθη θεράπευσον, καὶ ἀνάστησον, ἐκ πταισμάτων χαλεπῶν, Φιλάνθρωπε, καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΝΑὸς καὶ Πύλη ὑπάρχεις, Παλάτιον, καὶ Θρόνος τοῦ Βασιλέως, Παρθένε Πάνσεμνε· δι' ἧς ὁ Λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον.

ΤΟν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοί, καὶ προσκυνήσωμεν. ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

Θεοτοκίον.

ΧΑῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος. χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ. χαῖρε ἀχείμαστε λιμὴν, καὶ ἀπειρόγαμε, ἡ τεκοῦσα ἐν σαρκὶ, τὸν Ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν τόκον σου.

## ΤΗ͂ι ΚΥΡΙΑΚΗ͂ι ΠΡΩΐ'.

Εἰς τὸ Μεσονυκτικὸν, Κανὼν Τριαδικός.

Οὗ ἡ ἀκροστιχίς.

Κανὼν ὁ πέμπτος φωτὶ τῷ Τρισηλίῳ.

Ὠδὴ α'. Ἵππον καὶ ἀναβάτην.

ΚΡάτος τῆς ἑνιαίας, καὶ τρισηλίου μορφῆς, ἀνυμνοῦντες βοῶμεν· τὸν νοῦν ἡμῶν καταύγασον, Θεὲ Παντοδύναμε, καὶ πρὸς τὴν σὴν Δέσποτα, μετεώρισον δόξαν ἄφραστον.

ΑΝωσε τῶν Ἀγγέλων διάκοσμοι νοεροὶ, ἀσιγήτως ὑμνοῦσιν ἐν τρισαγίοις ᾄσμασι, Μονάδα τρισάριθμον, καὶ Τριάδα σύμμορφον, ὑπερούσιον παντοδύναμον.

ΝΈκταρ τῆς σῆς ἀγάπης, γλυκύτατον φωτουργὸν, τῇ ψυχῇ μου παράσχου, Τριὰς Μονὰς ἀρχίφωτε, καὶ θείαν κατάνυξιν, καθαρτικὴν Δέσποτα, πολυέλεε πάσης Κτίσεως. Θεοτοκίον.

ΩΣπερ ἐπὶ τὸν πόκον κατῆλθεν ἀψοφητὶ, οὐρανόθεν Παρθένε ὁ ὑετὸς ἐν μήτρᾳ σου ὁ Θεὸς, καὶ ἔσωσε ξηρανθεῖσαν ἅπασαν τῶν Ἀνθρώπων τὴν φύσιν Ἄχραντε.

Ὠδὴ γ'. Ὁ πήξας ἐπ' οὐδενός.

ΝΟήσας τὰς νοερὰς οὐσίας ὑπέστησας, ὑμνῳδοὺς ἀπαύστως τῆς σῆς Θεότητος, τρίφωτε Θεὲ, καὶ παντουργέ. ἀλλὰ καὶ τῶν πηλίνων, καὶ γηγενῶν δέξαι τὴν δέησιν, καὶ τὴν ἱκεσίαν ὡς εὔσπλαγχνος.

ΟΠάσης κατὰ φύσιν τροπῆς ἀπαράδεκτος, τοῖς ἀλλοιουμένοις ἡμῖν καὶ μέλπουσι, τὴν ἀνεξιχνίαστον πηγὴν, τῆς σῆς ἀγαθωσύνης, πλημμελημάτων δὸς συγχώρησιν, καὶ τὴν σωτηρίαν ὡς εὔσπλαγχνος.

ΠΑτέρα, καὶ τὸν Υἱὸν, καὶ Πνεῦμα δοξάζομεν, ἐν ἀπαραλλάκτῳ μορφῇ Θεότητος, σὲ τὸν ἑνικὸν καὶ τριλαμπῆ Κύριον τῶν ἁπάντων, ὡς οἱ Προφῆται καὶ Ἀπόστολοι, παρὰ σοῦ σαφῶς ἐδιδάχθησαν.

Θεοτοκίον.

ΕΦάνης τῷ Μωϋσῇ, ἐν βάτῳ ὡς Ἄγγελος, βουλῆς τῆς μεγάλης τοῦ Παντοκράτορος, τὴν σὴν ἐκ Παρθένου προδηλῶν, Σάρκωσιν, Θεοῦ Λόγε, δι' ἧς ἡμᾶς μετεστοιχείωσας, καὶ πρὸς Οὐρανοὺς ἀνεβίβασας.

Κάθισμα. Τὸν συνάναρχον Λόγον.

ΕΛεήμων ὑπάρχεις Τριὰς ἀμέριστε· ἐλεεῖς γὰρ τοὺς πάντας, ὡς παντοδύναμος, καὶ πανοικτίρμων συμπαθὴς, καὶ Πολυέλεος. διὸ προσφεύγομεν πρὸς σὲ, οἱ ἁμαρτήμασι πολλοῖς, βαρούμενοι κεκραγότες· ἱλάσθητι τοῖς σοῖς δούλοις, καὶ ῥῦσαι πάντας πάσης κολάσεως.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

ΠΑναγία Παρθένε ἡμᾶς ἐλέησον, τοὺς προσφεύγοντας πίστει εἰς σὲ τὴν εὔσπλαγχνον, καὶ αἰτουμένους τὴν θερμήν σου νῦν ἀντίληψιν. δύνασαι γὰρ ὡς ἀγαθὴ, τοὺς πάντας σῴζειν ὡς οὖσα, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, ταῖς μητρικαῖς σου πρεσβείαις, ἀεὶ χρωμένη Θεοχαρίτωτε.

Ὠδὴ δ'. Τὴν θείαν ἐννοήσας σου κένωσιν.

ΜΥεῖται τῆς μιᾶς κυριότητος, τὸ τριφαὲς ὁ Δανιὴλ, Χριστὸν κριτὴν θεασάμενος, πρὸς τὸν Πατέρα ἰόντα, καὶ Πνεῦμα τὸ προφαῖνον τὴν ὅρασιν.

Δίς.

ΠΗλίνοις τοὺς ὑμνοῦντάς σε στόμασι, τὸν ὑπερούσιον Θεὸν, τριαδικὸν ὑποστάσεσι, Μοναδικόν τε τῇ φύσει, τῆς δόξης τῶν Ἀγγέλων ἀξίωσον.

Θεοτοκίον.

ΤΟ ὄρος τὸ δασὺ, καὶ κατάσκιον, ὃ εἶδε πρὶν ὁ Ἀββακοὺμ, ἐξ οὗ προῆλθεν ὁ Ἅγιος, τὸν δυσθεώρητον τόκον, ἐδήλου σῆς Παρθένε συλλήψεως.

Ὠδὴ ε'. Ὁ ἀναβαλλόμενος.

ΟΔι' ἀγαθότητα κτίσας τὸν Ἄνθρωπον, καὶ κατ' εἰκόνα τὴν σὴν ποιήσας, ἐν ἐμοὶ κατοίκησον, Τρίφωτε Θεέ μου, ὡς ἀγαθὸς καὶ εὔσπλαγχνος.

ΣΥμε καθοδήγησον Μονὰς τρισήλιε, πρὸς τρίβους θείας τῆς σωτηρίας, καὶ τῆς σῆς ἐλλάμψεως πλήρωσον ὡς φύσει, Θεὸς ἀπειροδύναμος.

ΦΩς τὸ ἀδιαίρετον τῆς μιᾶς φύσεως, μεμερισμένον τοῖς χαρακτῆρσι, τριλαμπὲς, ἀνέσπερον, τὴν ἐμὴν καρδίαν, καταύγασον ταῖς αἴγλαις σου. Θεοτοκίον.

ΩΣ κατεῖδε πάλαι σε, Ἁγνὴ Παναχράντε, ὁ Ὑποφήτης, βλέπουσαν πύλην, πρὸς τὸ φῶς τὸ ἄδυτον, ἀθύσσε ἐπέγνω Θεοῦ κατοικητήριον.

Ὠδὴ ς'. Μαινομένην κλύδωνι.

ΤΡιφαὴς ὑπάρχουσα, Θεαρχία ὑποστατικῶς, ἑνιαία πέφυκας, ὡς σύμμορφος, καὶ ἰσουργὸς, καὶ κατ' οὐσίαν, καὶ βούλησιν. Δίς.

ΙΚανῶς ἐδήλωσεν ὁ Προφήτης, ᾄδων τῷ Πατρὶ, σῷ φωτὶ ὀψόμεθα τῷ Πνεύματι, φῶς τὸν Υἱὸν, ἕνα Θεὸν τὸν τρισήλιον. Θεοτοκίον.

ΤΩν πταισμάτων λύτρωσιν, καὶ κινδύνων, Δέσποτα Θεὲ, ἑνικὲ καὶ τρίφωτε κατάπεμψον, τοῖς ὑμνηταῖς, πρεσβείαις τῆς Θεομήτορος.

Κάθισμα, Τριαδικόν. Τὸν συνάναρχον Λόγον.

ΤΟ τρισήλιον σέλας δοξολογήσωμεν, καὶ ἁπλῆν τὴν Τριάδα νῦν προσκυνήσωμεν, ὅτι ἐφώτισεν ἡμᾶς, καὶ ἠλέησε, καὶ ἐρρύσατο φθορᾶς, τὸ γένος ἅπαν τῶν βροτῶν, λυτρώσασα ἐκ τῆς πλάνης, εἰδώλων πάντα τὸν Κόσμον, καὶ Βασιλείαν ἡμῖν παρέσχετο.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

ΑΠορήσας ἐκ πάντων πρὸς σὲ κατέφυγον, τὴν ἐλπίδα ἁπάντων, καὶ τὸ προσφύγιον, ἁμαρτωλῶν καὶ ταπεινῶν, κράζων τὸ ἥμαρτον· ἀλλ' ἐπιμένω τοῖς χείροσιν, ἀναισθήτων ὁ ἄθλιος. ἐλέησόν με πρὸ τέλους, ἐπίστρεψόν με καὶ ῥῦσαι, πάσης κολάσεως τὸν ἀνάξιον.

Ὠδὴ ζ'. Ὁ ὑπερυψούμενος.

ΩΣ ἔλεος ἄβυσσον, κεκτημένος Κύριε, καὶ πέλαγος ἄπειρον, οἰκτίρμον ἐλέησον, τοὺς ἐν ᾄσμασι ὑμνοῦντάς σε, τριλαμπῆ Θεὸν τῶν ὅλων. Δίς.

ΤΟν ἀπερινόητον, ἑνικὸν καὶ τρίφωτον, Θεόν σε καὶ Κύριον, ὑμνοῦντες βοῶμέν σοι· παράσχου τοῖς σοῖς δούλοις, ἱλασμὸν ἁμαρτημάτων. Θεοτοκίον.

ΡΆδαμνον ἐβλάστησας, τῷ Πατρὶ συνάναρχον, ἄνθος τῆς Θεότητος, βλαστὸν συναΐδιον, Παρθένε τὸν διδοῦντα, τὴν ζωὴν πᾶσιν ἀνθρώποις.

Ὠδὴ η'. Σοὶ τῷ Παντουργῷ.

ΙΝα τῆς μιᾶς ἀνακαλύψῃς πάλαι, σαφῶς Κυριότητος, τριττὴν Ὑπόστασιν, ὤφθης Θεέ μου, ἐν σχήματι ἀνθρώπων, Ἀβραὰμ ὑμνοῦντι σὸν κράτος ἑνιαῖον. Δίς.

ΣΥ με πρὸς τὰς σὰς Θεουργικὰς ἀκτῖνας, δέρκειν καταξίωσον, φῶς τὸ ἀπρόσιτον, Πάτερ Οἰκτίρμον, καὶ Λόγε, καὶ τὸ Πνεῦμα, τοῦ ἀρεστεῖν σοι ἀεὶ Κύριε πάντων.

Θεοτοκίον.

ΗΣτραψας ἡμῖν τῆς τρισηλίου δόξης, τὸν ἕνα Πανύμνητε Χριστὸν τὸν Κύριον, πάντας μυοῦντα, τὴν μίαν Θεαρχίαν, ἐν τρισὶ προσώποις, ὑμνεῖν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἡσαΐα χόρευε.

Ἀλλ' εἰ καὶ βρότειαι, κατ' ἀξίαν ἄναρχε Μονὰς, οὐ σθένουσιν ὑμνεῖν· πλὴν ὡς ἐφικτὸν, τολμῶντες ἐκ πίστεως, Θεαρχικὴ σύνθρονε Τριὰς, δόξαν προσφέρομεν, τῷ σῷ κράτει, καὶ τὴν αἴνεσιν. Δίς.

Ἰσορρόπως δόξῃ σε, τὸν Μονάρχην τρίφωτον Θεὸν, δοξάζει τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, ἀσιγήτοις ἐν στόμασι. μεθ' ὧν ἡμᾶς, τοὺς ἁμαρτωλοὺς, πρόσδεξαι Κύριε, τὸ σὸν κράτος μεγαλύνοντας.

Θεοτοκίον.

Ὡς ἁγνὴ, καὶ ἄμωμος, καὶ Παρθένος τέτοκας Υἱὸν, λυτρούμενον ἡμᾶς, ἀπὸ πειρασμῶν, Θεὸν ἀναλλοίωτον. ἀλλὰ καὶ νῦν ἄφεσιν ἡμῖν, τῶν παραπτώσεων, τοῦτον δοῦναι καθικέτευε.

## ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΪ.

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν α'. Στιχολογ. Καθίσμ. Ἀναστάσιμα. Τὸν συνάναρχον Λόγον.

Τὸν Σταυρὸν τοῦ Κυρίου ἐγκωμιάσωμεν, τὴν Ταφὴν τὴν ἁγίαν ὕμνοις τιμήσωμεν, καὶ τὴν Ἀνάστασιν αὐτοῦ ὑπερδοξάσωμεν. Ὅτι συνήγειρε νεκροὺς, ἐκ τῶν μνημάτων ὡς Θεὸς, σκυλεύσας κράτος Θανάτου, καὶ ἰσχὺν Διαβόλου, καὶ τοῖς ἐν Ἅδῃ φῶς ἀνέτειλε. Δόξα.

Κύριε νεκρὸς προσηγορεύθης, ὁ νεκρώσας τὸν θάνατον, ἐν μνήματι ἐτέθης, ὁ κενώσας τὰ μνήματα, ἄνω στρατιῶται τὸν τάφον ἐφύλαττον, κάτω τοὺς ἀπ' αἰῶνος νεκροὺς ἐξανέστησας. Παντοδύναμε, καὶ ἀκατάληπτε Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Ἅγιον Ὄρος, καὶ Θεοβάδιστον. Χαῖρε ἔμψυχε Βάτε, καὶ ἀκατάφλεκτε. Χαῖρε ἡ μόνη πρὸς Θεὸν Κόσμου γέφυρα, ἡ μετάγουσα θνητοὺς πρὸς τὴν αἰώνιον ζωήν. Χαῖρε ἀκήρατε Κόρη, ἡ ἀπειράνδρως τεκοῦσα, τὴν σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Μετὰ τὴν β'. Στιχολ. Καθίσμ. Ἀναστάσιμα.

Κύριε μετὰ τὴν τριήμερόν σου Ἀνάστασιν, καὶ τὴν τῶν Ἀποστόλων προσκύνησιν, ὁ Πέτρος ἐβόα σοι· Γυναῖκες ἀπετόλμησαν, κἀγὼ ἐδειλίασα. Λῃστὴς ἐθεολόγησε, κἀγὼ ἠρνησάμην σε. ἆρα καλέσεις με τοῦ λοιποῦ Μαθητήν; ἢ πάλιν δείξεις με ἁλιέα βυθοῦ; ἀλλὰ μετανοοῦντά με δέξαι ὁ Θεὸς, καὶ σῶσόν με. Δόξα.

Κύριε ἐν μέσῳ σε προσήλωσαν, οἱ παράνομοι τῶν καταδίκων, καὶ λόγχῃ τὴν πλευράν σου ἐξεκέντησαν, ὦ ἐλεῆμον. Ταφὴν δὲ κατεδέξω, ὁ λύσας Ἅδου τὰς πύλας, καὶ ἀνέστης τριήμερος. ἔδραμον Γυναῖκες ἰδεῖν σε, καὶ ἀπήγγειλαν Ἀποστόλοις τὴν Ἔγερσιν. ὑπερυψούμενε Σωτὴρ, ὃν ὑμνοῦσιν Ἄγγελοι, εὐλογημένε Κύριε δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Ἀπειρόγαμε νύμφη Θεογεννήτρια, ἡ τῆς Εὔας τὴν λύπην χαροποιήσασα, ἀνυμνοῦμεν οἱ πιστοὶ, καὶ προσκυνοῦμέν σε, ὅτι ἀνήγαγες ἡμᾶς, ἐκ τῆς ἀρχαίας ἀρᾶς· καὶ νῦν δυσώπει ἀπαύστως, Πανύμνητε Παναγία, εἰς τὸ σωθῆναι ἡμᾶς.

Μετὰ τὸν Ἄμωμον. Ἡ Ὑπακοή.

Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι, καὶ θεϊκῇ Ἐγέρσει τὴν ψυχὴν φωτιζόμεναι, αἱ Μυροφόροι τοῖς Ἀποστόλοις εὐηγγελίζοντο· ἀναγγείλατε ἐν τοῖς Ἔθνεσι τὴν Ἀνάστασιν τοῦ Κυρίου, συνεργοῦντος τοῖς θαύμασι, καὶ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον Α'.

Ἐν τῷ θλίβεσθαί με, Δαβιτικῶς ᾄδω σοι Σωτήρ μου· ῥῦσαί μου τὴν ψυχὴν ἐκ γλώσσης δολίας.

Τοῖς ἐρημικοῖς ζωὴ μακαρία ἐστὶ, θείῳ ἔρωτι πτερουμένοις. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, περικρατεῖται πάντα τὰ ὁρατά τε σὺν τοῖς ἀοράτοις. αὐτοκρατὲς γὰρ ὂν, τῆς Τριάδος ἓν ἐστὶν ἀψευδῶς. Ἀντίφωνον Β'.

Εἰς τὰ ὄρη ψυχὴ ἄρθωμεν, δεῦρο ἐκεῖσε, ὅθεν βοήθεια ἥκει.

Δεξιά σου χεὶρ κἀμὲ Χριστὲ ἱπταμένη, σκαιωρίας πάσης περιφυλαξάτω. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, θεολογοῦντες φῶμεν· σὺ εἶ Θεὸς, ζωὴ, ἔρως, φῶς, νοῦς, σὺ χρηστότης, σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας. Ἀντίφωνον Γ'.

Ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς τὰς αὐλὰς προσβῶμεν Κυρίου, χαρᾶς πολλῆς πλησθεὶς, εὐχὰς ἀναπέμπω.

Ἐπὶ οἶκον Δαβὶδ, τὰ φοβερὰ τελεσιουργεῖται. πῦρ γὰρ ἐκεῖ φλέγον, ἅπαντα αἰσχρὸν νοῦν.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ζωαρχικὴ ἀξία· ἐξ οὗ πᾶν ζῶον ἐμψυχοῦται, ὡς ἐν Πατρὶ, ἅμα τε καὶ Λόγῳ.

Προκείμενον. Ἀνάστηθι Κύριε ὁ Θεός μου.

Στίχ. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ.

Πᾶσα πνοή. Εὐαγγέλιον τὸ Ἑωθινόν.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν'.

Κανὼν ὁ Ἀναστάσιμος. Ὠδὴ α'. Ὁ Εἱρμός.

Ἵππον καὶ ἀναβάτην εἰς θάλασσαν ἐρυθράν, ὁ συντρίβων πολέμους ἐν ὑψηλῷ βραχίονι, Χριστὸς ἐξετίναξεν, Ἰσραὴλ δὲ ἔσωσεν· ἐπινίκιον ὕμνον ᾄδοντα.

Τροπάριον.

Σὲ ἡ ἀκανθοφόρος Ἑβραίων συναγωγὴ, στοργὴν εὐεργέτα πρὸς σὲ φυλάξασα, μητρικὴν, Χριστὲ ἐστεφάνωσε, τὸν Γεννάρχην λύοντα, τῆς ἀκάνθης τὸ ἐπιτίμιον.

Ἤγειράς με πεσόντα τῷ βόθρῳ ἐπικλιθεὶς, ζωοδότα ἀπτώτως, καὶ τῆς ἐμῆς δυσώδους φθορᾶς, Χριστὲ ἀνασχόμενος, ἀπειράστως θείας οὐσίας, μύρῳ με εὐωδίασας.

Θεοτοκίον.

Λέλυται ἡ κατάρα, ἡ λύπη πέπαυται· ἡ γὰρ εὐλογημένη, καὶ Κεχαριτωμένη, πιστοῖς χαρὰν ἐξανέτειλεν, εὐλογίαν πᾶσιν ἀνθηφοροῦσα, Χριστὸν τοῖς πέρασι.

Ἕτερος Κανὼν Σταυροαναστάσιμος.

Τῷ Σωτῆρι Θεῷ.

Τῷ βουλήσει Σταυρῷ, προσηλωθέντι σαρκὶ, καὶ τῆς ἀρχαίας ἀποφάσεως, τὸν διὰ ξύλου πεσόντα ἐλευθερώσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Τῷ ἐκ τάφου νεκρῷ, ἐξαναστάντι Χριστῷ, καὶ τὸν πεσόντα συνεγείραντι, καὶ συνεδρείᾳ Πατρικῇ κατακοσμήσαντι, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

Θεοτοκίον.

Ἄχραντε Μήτηρ Θεοῦ, τὸν σαρκωθέντα ἐκ σοῦ, καὶ ἐκ τῶν κόλπων τοῦ Γεννήτορος, μὴ ἐκφοιτήσαντα, Θεὸν ἀπαύστως πρέσβευε, πάσης περιστάσεως, σῶσαι οὓς ἔπλασε.

Ἕτερος Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Οὗ ἡ ἀκροστιχίς.

Φῶς ἡ τεκοῦσα, φώτισόν με Παρθένε.

Ἵππον, καὶ ἀναβάτην.

Φῶς τὸ κατασκηνῶσαν ἐν σοὶ Πανάχραντε, καὶ φωτίσαν τὸν Κόσμον μαρμαρυγαῖς θεότητος·

Χριστὸν ἐνδυσώπησον, φωτισθῆναι ἅπαντας, τοὺς ὑμνοῦντάς σε Μητροπάρθενε.

Ὡς ὡραϊζομένη τῷ κάλλει τῶν ἀρετῶν, ἡ Κεχαριτωμένη, καλλοποιὸν εὐπρέπειαν, τῇ αἴγλῃ τοῦ Πνεύματος, ὑπεδέξω Πανάγνε, τὸν τὰ σύμπαντα καλλωπίσαντα.

Σὲ πάλαι προτυποῦσα, ἡ Βάτος ἡ ἐν Σινᾶ, οὐκ ἐφλέχθη Παρθένε, τῷ πυρὶ ὁμιλήσασα. Παρθένος γὰρ τέτοκας, καὶ Παρθένος ἔμεινας, ὑπὲρ ἔννοιαν Μητροπάρθενε.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Ὁ πήξας ἐπ' οὐδενὸς τὴν γῆν τῇ προστάξει σου, καὶ μετεωρίσας ἀσχέτως βρίθουσαν, ἐπὶ τὴν ἀσάλευτον Χριστὲ, πέτραν τῶν ἐντολῶν σου, τὴν Ἐκκλησίαν σου στερέωσον, μόνε ἀγαθὲ καὶ φιλάνθρωπε.

Τροπάριον.

Χολὴν μὲν οἱ ἐκ πέτρας τὸ μέλι θηλάσαντες, τῷ ἐν τῇ ἐρήμῳ τερατουργήσαντι, σοὶ προσενηνόχασι Χριστὲ, ὄξει δ' ἀντὶ τοῦ Μάννα, εὐεργεσίαν σοι ἠμείψαντο, Παῖδες Ἰσραὴλ οἱ ἀγνώμονες.

Οἱ πάλαι φωτοειδεῖ νεφέλῃ σκεπόμενοι, τὴν ζωὴν ἐν τάφῳ Χριστὲ κατέθεντο· ἀλλ' αὐτεξουσίως ἀναστὰς, πᾶσι πιστοῖς παρέχεις, τὴν μυστικῶς ἐπισκιάζουσαν, ἄνωθεν τοῦ Πνεύματος ἔλλαμψιν.

Θεοτοκίον.

Σὺ Μήτηρ Θεοῦ ἀσυνδυάστως γεγένησαι, τοῦ ἐξ ἀκηράτου Πατρὸς ἐκλάμψαντος, ἄνευθεν ὠδίνων μητρικῶν. ὅθεν σε Θεοτόκον, σεσαρκωμένον γὰρ ἐκύησας, Λόγον ὀρθοδόξως κηρύττομεν.

Ἄλλος. Δυνάμει τοῦ Σταυροῦ σου Χριστέ.

Ἀνέστης ἐκ τοῦ τάφου Χριστὲ, φθορᾶς θανάτου λυτρωσάμενος, τοὺς ἀνυμνοῦντας Ζωοδότα, τὴν ἑκούσιόν σου Σταύρωσιν.

Μυρίσαι σου τὸ Σῶμα Χριστὲ, αἱ Μυροφόροι κατεπείγοντο, καὶ μὴ εὑροῦσαι ὑπέστρεφον, ἀνυμνοῦσαί σου τὴν Ἔγερσιν.

Θεοτοκίον.

Ἱκέτευε ἀπαύστως Ἁγνὴ, τὸν σαρκωθέντα ἐκ λαγόνων σου, ῥυσθῆναι πλάνης Διαβόλου, τοὺς ὑμνοῦντάς σε Παρθένε Ἁγνή.

Ἄλλος, τῆς Θεοτόκου. Ὁ πήξας ἐπ' οὐδενός.

Ἡ Κλίμαξ, ἣ πρὸς ἡμᾶς κατέβη ὁ Ὕψιστος, τὴν φθαρεῖσαν φύσιν ἐπανορθώσασθαι, σὺ ἀριδηλότατα Σεμνὴ, πᾶσι νῦν καθωράθης. διὰ σοῦ γὰρ ὁ ὑπεράγαθος, Κόσμῳ ὁμιλῆσαι ηὐδόκησε.

Τὸ πάλαι προορισθὲν Παρθένε μυστήριον, καὶ πρὸ τῶν αἰώνων προγινωσκόμενον, τῷ πάντα γινώσκοντι Θεῷ, χρόνων νῦν ἐπ' ἐσχάτων, ἐν τῇ νηδύϊ σου Πανάμωμε, πέρας εἰληφὸς ἀναδέδεικται.

Ἐλύθη ἡ τῆς ἀρᾶς τῆς πάλαι κατάκρισις, σοῦ τῇ μεσιτείᾳ Παρθένε ἄχραντε. ἐπὶ σοὶ γὰρ Κύριος ὀφθεὶς, πᾶσι τὴν εὐλογίαν, ὡς ὑπεράγαθος ἀνέβλυσε, μόνη τῶν βροτῶν ἐγκαλλώπισμα.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Τὴν Θείαν ἐννοήσας σου κένωσιν, προβλεπτικῶς ὁ Ἀββακοὺμ, Χριστὲ ἐν τρόμῳ ἐβόα σοι· εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου ἐλήλυθας.

Τροπάριον.

Τῆς Μερρᾶς τὰ πικρότατα νάματα, ὡς ἐν εἰκόνι προτυπῶν, τὸν ἄχραντόν σου Σταυρὸν Ἀγαθὲ, τῆς ἁμαρτίας νεκροῦντα, τὴν γεῦσιν διὰ ξύλου ἐγλύκανας.

Σταυρὸν κατὰ τοῦ ξύλου τῆς γνώσεως, κατὰ γλυκείας ἡδονῆς, χολὴν Σωτήρ μου προσίεσαι, κατὰ φθορᾶς δὲ θανάτου, τὸ Αἷμά σου τὸ θεῖον ἐξέχεας.

Θεοτοκίον.

Ἐκτὸς μὲν συναφείας συνέλαβες, ἀδιαφθόρως ἐν γαστρὶ, καὶ πρὶν ὠδινῆσαι τέτοκας· καὶ μετὰ τόκον Παρθένος, Θεὸν σαρκὶ τεκοῦσα πεφύλαξαι.

Ἄλλος. Εἰσακήκοα τὴν ἀκοήν.

Ὡς ἐπάγη ἐπὶ γῆς, ἐν τῷ Κρανίῳ ὁ Σταυρὸς, συνετρίβησαν μοχλοὶ, καὶ πυλωροὶ αἰώνιοι, καὶ ἐβόησαν· δόξα τῇ δυνάμει σου Κύριε.

Ὡς κατῆλθεν ὁ Σωτὴρ, πρὸς τοὺς δεσμίους ὡς θνητὸς, συνανέστησαν αὐτῷ, οἱ ἀπ' αἰῶνος θανέντες, καὶ ἐβόησαν· δόξα τῇ δυνάμει σου Κύριε.

Θεοτοκίον.

Ἡ Παρθένος ἔτεκε, καὶ τὰ Μητέρων οὐκ ἔγνω· ἀλλὰ Μήτηρ μὲν ἐστι, Παρθένος δὲ διέμεινεν. ἣν ἀνυμνοῦντες, Χαῖρε Θεοτόκε κραυγάζομεν.

Ἄλλος, τῆς Θεοτόκου. Τὴν θείαν ἐννοήσας σου.

Καρδίᾳ νῷ, ψυχῇ τε, καὶ στόματι, ὁμολογῶν πανευσεβῶς, σὲ Θεοτόκον κυρίως Ἁγνὴ, τὴν σωτηρίαν καρποῦμαι, καὶ σώζομαι Παρθένε πρεσβείαις σου.

Ὁ κτίσας ἐκ μὴ ὄντων τὰ σύμπαντα, ἐκ σοῦ κτισθῆναι τῆς Ἁγνῆς, ὡς εὐεργέτης ηὐδόκησε, πρὸς σωτηρίαν τῶν πίστει, καὶ πόθῳ σε ὑμνούντων Πανάμωμε.

Ὑμνοῦσι τὸν σὸν Τόκον Πανάμωμε, οἱ ὑπερκόσμιοι Χοροὶ, τῇ σωτηρίᾳ γηθόμενοι, τῶν ἀληθῆ Θεοτόκον, φρονούντων σε Παρθένε ἀμόλυντε.

Σὲ ῥάβδον Ἠσαΐας ὠνόμασεν, ἐξ ἧς ἐβλάστησεν ἡμῖν, ὡραῖον ἄνθος Χριστὸς ὁ Θεὸς, πρὸς σωτηρίαν τῶν πίστει, καὶ πόθῳ προστρεχόντων τῇ σκέπῃ σου.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, πρὸς σὲ ὀρθρίζω, καὶ σοὶ κραυγάζω· τὴν ψυχήν μου φώτισον, τὴν ἐσκοτισμένην, Χριστὲ ὡς μόνος εὔσπλαγχνος.

Τροπάριον.

Ὁ τῆς δόξης Κύριος, ἐν ἀδοξίας μορφῇ, ἐπὶ τοῦ ξύλου ἠτιμωμένος, ἑκουσίως κρέμαται, τὴν θείαν μοι δόξαν, ἀφράστως προμηθούμενος.

Σύ με μετημφίασας, πρὸς ἀφθαρσίαν Χριστὲ, φθορᾶς θανάτου ἀδιαφθόρως, τῇ σαρκὶ γευσάμενος, καὶ ἐξανατείλας τοῦ μνήματος τριήμερος.

Θεοτοκίον.

Σὺ δικαιοσύνην τε, καὶ ἀπολύτρωσιν, ἡμῖν τεκοῦσα Χριστὸν ἀσπόρως, ἐλευθέραν ἔδρασας, ἀρᾶς Θεοτόκε, τὴν φύσιν τοῦ Προπάτορος.

Ἄλλος. Ὀρθρίζοντες βοῶμέν σοι Κύριε.

Ἐξέτεινας τὰς χεῖρας Σωτὴρ ἡμῶν, ἐπὶ τοῦ ξύλου, πάντας προσκαλούμενος, πρὸς ἑαυτὸν ὡς Φιλάνθρωπος.

Ἐσκύλευσας τὸν Ἅδην Σωτὴρ ἡμῶν, τῇ Ταφῇ σου, καὶ τῇ Ἀναστάσει σου, χαρᾶς τὰ πάντα ἐπλήρωσας.

Θεοτοκίον.

Παρθένον μετὰ Τόκον ὑμνοῦμέν σε, Θεοτόκε. σὺ γὰρ τὸν Θεὸν Λόγον, σαρκὶ τῷ Κόσμῳ ἐκύησας.

Ἄλλος, τῆς Θεοτόκου.
Ὁ ἀναβαλλόμενος, φῶς ὡς ἱμάτιον.

Ἅπαντες Προφῆταί σε, σαφῶς προήγγειλαν, γενησομένην Θεοῦ Μητέρα, Θεοτόκε πάνσεμνε. μόνη γὰρ εὑρέθης Ἁγνὴ, τελείως ἄμωμος.

Φωτεινὴν νεφέλην σε, τοῦ ζῶντος ὕδατος, ἡμῖν τὸν ὄμβρον τῆς ἀφθαρσίας, τὸν Χριστὸν ὀμβρήσασαν, τοῖς ἀπεγνωσμένοις, Σεμνὴ ἐπιγινώσκομεν.

Ὡς πλησίον ὅλην σε, καλὴν καὶ ἄμωμον, ἐσφραγισμένην τῇ Παρθενίᾳ, καθαρῶς ἠγάπησεν, ὁ ἐν σοὶ σκηνώσας Θεὸς, ὡς μόνος εὔσπλαγχνος.

Ὠδὴ ϛʹ. Ὁ Εἱρμός.

Μαινομένην κλύδωνι, ψυχοφθόρῳ, Δέσποτα Χριστέ, τῶν παθῶν τὴν θάλασσαν κατεύνασον, καὶ ἐκ φθορᾶς ἀνάγαγέ με ὡς εὔσπλαγχνος.

Τροπάριον.

Εἰς φθορὰν κατώλισθεν, ὁ Γενάρχης, Δέσποτα Χριστέ, παρηκόου βρώσεως γευσάμενος, καὶ πρὸς ζωὴν ἀνῆκται διὰ τοῦ Πάθους σου.

Ἡ Ζωὴ κατῴκησας, πρὸς τὸν Ἅδην, Δέσποτα Χριστέ, καὶ φθορὰ τῷ φθείραντι γενόμενος, διὰ φθορᾶς ἐπήγασας τὴν Ἀνάστασιν. Θεοτοκίον.

Ἡ Παρθένος ἔτεκε, καὶ τεκοῦσα ἔμεινεν Ἁγνή, ἐν χερσὶ τὸν φέροντα τὰ σύμπαντα, ὡς ἀληθῶς Παρθένος Μήτηρ βαστάσασα.

Ἄλλος. Ἐκύκλωσέ με ἄβυσσος.

Ἐξέτεινας παλάμας σου, συνάγων μακρὰν διεστῶτα σου, ἐθνῶν τὰ συστήματα, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῷ ζωηφόρῳ Σταυρῷ σου ὡς φιλάνθρωπος.

Ἐσκύλευσας τὸν θάνατον, καὶ πύλας τοῦ Ἅδου συνέτριψας· Ἀδὰμ δὲ ὁ δέσμιος, λυθεὶς ἀνεβόα σοι· διέσωσέ με ἡ δεξιά σου Κύριε. Θεοτοκίον.

Βάτον σε ἀκατάφλεκτον, καὶ Ὄρος καὶ Κλίμακα ἔμψυχον, καὶ Πύλην οὐράνιον, ἀξίως δοξάζομεν, Μαρία ἔνδοξε, Ὀρθοδόξων καύχημα.

Ἄλλος, τῆς Θεοτόκου. Μαινομένην κλύδωνι.

Τοῦ παντὸς ὁ αἴτιος, καὶ τὸ εἶναι πᾶσι παρέχων, ὡς αἰτίαν ἔσχηκε σαρκούμενος, τὸ καθ' ἡμᾶς, σὲ Θεομῆτορ Πανάμωμε.

Ἰαμάτων Δέσποινα, ψυχοτρόφων βρύουσαν πηγήν, τοῖς πιστῶς προστρέχουσι τῇ σκέπῃ σου, τῇ ἀληθεῖ, γινώσκομέν σε Πανάμωμε.

Σωτηρίας αἴτιον, Ζωοδότην τέτοκας ἡμῖν, αἰωνίαν λύτρωσιν δωρούμενον, τοῖς ἀληθῆ, σὲ Θεοτόκον κηρύττουσι.

Κοντάκιον, ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Πρὸς τὸν Ἅδην Σωτήρ μου συγκαταβέβηκας, καὶ τὰς πύλας συντρίψας ὡς Παντοδύναμος, τοὺς θανέντας ὡς Κτίστης συνεξανέστησας, καὶ θανάτου τὸ κέντρον Χριστὲ συνέτριψας, καὶ Ἀδὰμ τῆς κατάρας ἐῤῥύσω φιλάνθρωπε. διὸ πάντες σοι κράζομεν· σῶσον ἡμᾶς Κύριε. Ὁ Οἶκος.

Ἀκούσασαι Γυναῖκες τοῦ Ἀγγέλου τὰ ῥήματα, ἀπεβάλοντο τὸν θρῆνον, προχαρεῖς γενόμεναι, καὶ σύντρομοι τὴν Ἀνάστασιν ἔβλεπον, καὶ ἰδοὺ Χριστὸς προσήγγισεν αὐταῖς, λέγων τό, χαίρετε. θαρσεῖτε, ἐγὼ τὸν Κόσμον νενίκηκα, καὶ τοὺς δεσμίους ἐῤῥυσάμην. σπουδάσατε οὖν πρὸς τοὺς Μαθητάς, ἀπαγγέλλουσαι αὐτοῖς, ὅτι προάγω ὑμᾶς ἐν τῇ Πόλει Γαλιλαίᾳ τοῦ κηρύξαι. Διὸ πάντες σοι κράζομεν· σῶσον ἡμᾶς Κύριε.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

„ Ὑπερυψούμενος τῶν Πατέρων Κύριος, τὴν φλόγα
„ κατέσβεσε, τοὺς Παῖδας ἐδρόσισε, συμφώνως
„ μελῳδοῦντας· ὁ Θεὸς εὐλογητὸς εἶ.

Σάρκα περιθέμενος, ὡς ἀγκίστρῳ δέλεαρ, τῇ θείᾳ δυνάμει σου, τὸν ὄφιν καθείλκυσας, ἀνάγων τοὺς βοῶντας· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὁ τῆς Γῆς τὴν ἄπλετον, οὐσιώσας σύστασιν, ἐν τάφῳ καλύπτεται, σαρκὶ ὁ ἀχώρητος. ᾧ πάντες μελῳδοῦμεν· ὁ Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Μίαν μὲν ὑπόστασιν, ἐν δυσὶ ταῖς φύσεσι, Πανάμωμε τέτοκας, Θεὸν σωματούμενον. ᾧ πάντες μελῳδοῦμεν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος. Ὁ ἐν καμίνῳ πυρός.

Ὁ διὰ ξύλου Σταυροῦ, τὴν τῶν εἰδώλων λύσας πλάνην· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁ ἀναστὰς ἐκ νεκρῶν, καὶ τοὺς ἐν Ἅδῃ συνεγείρας· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ὁ ἐκ Παρθένου τεχθείς, καὶ Θεοτόκον ταύτην δείξας· εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος, τῆς Θεοτόκου. Ὁ ὑπερυψούμενος.

Ὁ ἀπερίγραπτος, διαμείνας ἄτρεπτος, σαρκὶ καθ' ὑπόστασιν, ὤφθη ὡς εὔσπλαγχνος, ἐν σοὶ τῇ Παναγίᾳ, ὁ μόνος εὐλογημένος.

Νύμφην σε Πανάμωμον, Θεοτόκε Δέσποινα, συμφώνως δοξάζομεν, καὶ Θρόνον τοῦ Κτίστου σου. ᾧ πάντες μελῳδοῦμεν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Μήτηρ τοῦ Παντάνακτος, ἁγνισθεῖσα Πνεύματι, Παρθένε γεγένησαι, τοῦ σὲ πλαστουργήσαντος. ᾧ πάντες μελῳδοῦμεν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἔσωσέ με Κύριος, Θεομῆτορ Ἄχραντε, σαρκὸς περιβόλαιον, ἐκ σοῦ περιθέμενος. ᾧ πάντες μελῳδοῦμεν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Σοὶ τῷ Παντουργῷ, ἐν τῇ καμίνῳ Παῖδες, παγκόσμιον πλέξαντες, χορείαν ἔμελπον· πάντα τὰ ἔργα, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Τροπάριον.

Σὺ τὸ θελητόν, τοῦ σωτηρίου Πάθους, ἀπηύξω ποτήριον, ὥσπερ ἀβούλητον. δύο θελήσεις, δυσὶ γὰρ καταλλήλως, φέρεις ταῖς οὐσίαις, Χριστὲ εἰς τοὺς αἰῶνας.

Σοῦ τοῦ Παντουργοῦ, τῇ καταβάσει Ἅδης, Χριστὲ καταγέλαστος, γεγονὼς ἤμεσε, πάντας τοὺς πάλαι, τῇ πλάνῃ νεκρωθέντας, σὲ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Σὲ τὴν ὑπὲρ νοῦν, Θεανδρικῶς τῷ Λόγῳ, τεκοῦσαν τὸν Κύριον, καὶ Παρθενεύουσαν, πάντα τὰ ἔργα, Παρθένε εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Τὸν ἐκ Πατρὸς πρὸ αἰώνων.

Τὸν ἐν Σταυρῷ ἑκουσίως, τὰς παλάμας ἐκπετάσαντα, καὶ τὰ δεσμὰ τοῦ θανάτου διαῤῥήξαντα, Χριστὸν τὸν Θεόν, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ὡς Νυμφίον ἐκ τάφου, ἀνατείλαντα Χριστὸν τὸν Θεόν, καὶ Μυροφόροις ὀφθέντα, καὶ χαρὰν αὐταῖς φθεγξάμενον, Ἱερεῖς ὑμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

Τῶν Χερουβὶμ ὑπερτέρα, ἀνεδείχθης Θεοτόκε Ἁγνή, ἐν τῇ Γαστρί σου τὸν τούτοις ἐποχούμενον βαστάσασα· ὃν σὺν Ἀσωμάτοις, βροτοὶ δοξολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος, τῆς Θεοτόκου. Σοὶ τῷ Παντουργῷ.

Πέπαυται τὰ νῦν, ἡ Προπατόρων λύπη, χαρὰν δεξαμένης σου τῆς Θεομήτορος. ὅθεν ἀπαύστως, ὑμνοῦμέν σε Παρθένε, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄδει σὺν ἡμῖν, τῶν Ἀσωμάτων δῆμος, Παρθένε τὸν τόκον σου τὸν ἀκατάληπτον, μίαν χορείαν, συστάμενοι σὺν πόθῳ, καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Ῥεῖθρον διαυγὲς ἀθανασίας Κόρη, ἐκ σοῦ ἐξελήλυθεν ὁ πάντων Κύριος, ῥύπον ἐκπλύνων, τῶν πίστει σε ὑμνούντων, καὶ ὑπερυψούντων εἰς πάντας τοὺς αἰῶνας.

Θ Εῖον ἀληθῶς, καὶ φωτοφόρον Θρόνον, καὶ Πλάκα τῆς χάριτος, ὁμολογοῦμέν σε, Λόγον Παρθένε, Πατρὸς ὡς δεξαμένην. ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Η 'Σαΐα χόρευε, ἡ Παρθένος ἔσχεν ἐν Γαστρὶ, καὶ ἔτεκεν Υἱὸν τὸν Ἐμμανουὴλ, Θεόν τε καὶ Ἄνθρωπον. Ἀνατολὴ ὄνομα αὐτῷ. ὃν μεγαλύνοντες, τὴν Παρθένον μακαρίζομεν.

Τροπάριον.

Τ Ὸν πεσόντα ἄνθρωπον, ἀνεδέξω Δέσποτα Χριστὲ, ἐκ μήτρας Παρθενικῆς, ὅλον συναφθείς· μόνος ἁμαρτίας δὲ μὴ μετασχὼν, ὅλον ἐκ φθορᾶς, σὺ ἠλευθέρωσας, τοῖς ἀχράντοις σου Παθήμασι.

Θ Εοῤῥύτῳ Αἵματι, κενωθέντι Δέσποτα Χριστὲ, ἐκ τῆς ἀχράντου πλευρᾶς, καὶ ζωοποιοῦ, θυσία μὲν πέπαυται, εἰδωλική· πᾶσα δὲ ἡ γῆ, σοὶ τῆς αἰνέσεως, τὴν θυσίαν ἀναφέρομεν.

Θεοτοκίον.

Ο Υ̓ Θεὸν ἀσώματον, οὐδὲ πάλιν ἄνθρωπον ψιλὸν, προσήγαγεν ἡ Ἁγνὴ, Κόρη καὶ σεμνὴ, ἀλλ' Ἄνθρωπον τέλειον, καὶ ἀψευδῆ, τέλειον Θεόν· ὃν μεγαλύνομεν, σὺν Πατρί τε, καὶ τῷ Πνεύματι.

Ἄλλος. Σὲ τὴν ὑπὲρ νοῦν.

Σ Ὲ τὸν ἐν Σταυρῷ τὰ Πάθη δεξάμενον, καὶ θανάτῳ συντρίψαντα, τοῦ Ἅδου τὴν δύναμιν, οἱ πιστοὶ ὀρθοδόξως μεγαλύνομεν.

Σ Ὲ τὸν ἀναστάντα ἐκ τάφου τριήμερον, καὶ τὸν Ἅδην σκυλεύσαντα, καὶ Κόσμον φωτίσαντα, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

Θεοτοκίον.

Χ Αῖρε Θεοτόκε Μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ὃν ἐκύησας, αἴτησαι πταισμάτων τὴν ἄφεσιν, δωρηθῆναι τοῖς πίστει ἀνυμνοῦσί σε.

Ἄλλος, τῆς Θεοτόκου. Ἡσαΐα χόρευε.

Ε Ξ ἁγνῶν αἱμάτων σου, ἐτυρώθη σὰρξ ὑπερφυῶς, τῷ πάντων Δημιουργῷ καὶ Μονογενεῖ, Υἱῷ τοῦ Γεννήτορος, οὐκ ἐξ ἀνδρὸς, ἀλλὰ δὲ σπορᾶς, ἔννους καὶ ἔμψυχος, Θεοτόκε Ἀειπάρθενε.

Ν Εμομένην ἔστησας, τοῦ θανάτου ἄσχετον ὁρμὴν, γεννήσασα σαρκικῶς, ὄντως ὑπὲρ νοῦν, Ζωὴν τὴν αἰώνιον, ἧ προσβαλὼν, στόματι πικρῷ, Ἅδης κατήργηται, Παναγία Μητροπάρθενε.

Ε Ν Θρόνῳ καθήμενος, ὁ Υἱός σου τῷ Δεσποτικῷ, χρυσαῖς σε ἐν κροσσωτοῖς, θείαις ἀρεταῖς, φαιδρῶς διαλάμπουσαν, ἐκ δεξιῶν ἔστησεν αὐτοῦ, νέμων τὰ ἄξια, ὡς Μητρί σοι Παναμώμητε.

Εἰς τοὺς Αἴνους, Στιχηρὰ Ἀναστάσιμα.

Κ Ύριε, ἐσφραγισμένου τοῦ τάφου, ὑπὸ τῶν παρανόμων, προῆλθες ἐκ τοῦ μνήματος, καθὼς ἐτέχθης ἐκ τῆς Θεοτόκου. οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης, οἱ ἀσώματοί σου Ἄγγελοι· οὐκ ᾔσθοντο πότε ἀνέστης, οἱ φυλάσσοντές σε στρατιῶται. ἀμφότερα γὰρ ἐσφράγισται τοῖς ἐρευνῶσι. πεφανέρωται δὲ τὰ θαύματα, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸ Μυστήριον· ὃ ἀνυμνοῦσιν, ἀπόδος ἡμῖν ἀγαλλίασιν, καὶ τὸ μέγα ἔλεος.

Κ Ύριε, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας, καὶ δεσμὰ διαῤῥήξας, τοῦ μνήματος ἀνέστης, καταλιπὼν σου τὰ ἐντάφια, εἰς μαρτύριον τῆς ἀληθοῦς τριημέρου ταφῆς σου, καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ, ὁ ἐν σπηλαίῳ τηρούμενος. μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτὴρ, ἐλέησον ἡμᾶς.

Κ Ύριε, αἱ Γυναῖκες ἔδραμον ἐπὶ τὸ μνῆμα, τοῦ ἰδεῖν σε τὸν Χριστὸν, τὸν δι' ἡμᾶς παθόντα· καὶ προσελθοῦσαι, εὗρον Ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τῷ φόβῳ κυλισθέντα, καὶ πρὸς αὐτὰς ἐβόησε λέγων· ἀνέστη ὁ Κύριος, εἴπατε τοῖς Μαθηταῖς, ὅτι ἀνέστη ἐκ νεκρῶν, ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

Κ Ύριε, ὥσπερ ἐξῆλθες ἐσφραγισμένου τοῦ τάφου, οὕτως εἰσῆλθες, καὶ τῶν θυρῶν κεκλεισμένων πρὸς τοὺς Μαθητάς σου, δεικνύων αὐτοῖς τὰ τοῦ σώματος Πάθη, ἅπερ κατεδέξω Σωτὴρ μακροθυμήσας. ὡς ἐκ σπέρματος Δαβὶδ, μώλωπας ὑπήνεγκας· ὡς Υἱὸς δὲ τοῦ Θεοῦ, Κόσμον ἠλευθέρωσας. μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτὴρ, ἐλέησον ἡμᾶς.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

Κ Ύριε, ὁ Βασιλεὺς τῶν αἰώνων, καὶ Ποιητὴς τῶν ἁπάντων, ὁ δι' ἡμᾶς Σταύρωσιν, καὶ Ταφὴν σαρκὶ καταδεξάμενος, ἵνα ἡμᾶς τοῦ Ἅδου ἐλευθερώσῃς πάντας. σὺ εἶ ὁ Θεὸς ἡμῶν, ἐκτός σου ἄλλον οὐκ οἴδαμεν.

Κ Ύριε, τὰ ὑπερλάμποντά σου θαύματα, τίς διηγήσεται; ἢ τίς ἀναγγελεῖ τὰ φρικτά σου Μυστήρια; ἐνανθρωπήσας γὰρ δι' ἡμᾶς, ὡς αὐτὸς ἠθέλησας, τὸ κράτος ἐφανέρωσας τῆς δυνάμεώς σου. ἐν γὰρ τῷ Σταυρῷ σου, τῷ Λῃστῇ Παράδεισον ἤνοιξας, καὶ ἐν τῇ Ταφῇ σου, τοὺς μοχλοὺς τοῦ Ἅδου συνέτριψας, καὶ ἐν τῇ Ἀναστάσει σου τὰ σύμπαντα ἐπλούτισας. Εὔσπλαγχνε δόξα σοι.

Μ Υροφόροι Γυναῖκες, τὸν τάφον σου καταλαβοῦσαι, λίαν πρωῒ, ἐπεζήτουν σε μυρίσαι τὸν ἀθάνατον Λόγον καὶ Θεὸν, καὶ τοῦ Ἀγγέλου τοῖς ῥήμασιν ἐνηχηθεῖσαι, ὑπέστρεφον ἐν χαρᾷ, τοῖς Ἀποστόλοις μηνῦσαι ἐμφανῶς· ὅτι ἀνέστης ἡ ζωὴ τῶν ἁπάντων, καὶ παρέχεις τῷ Κόσμῳ ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Τ Οῦ Θεοδέγμονος τάφου, πρὸς τοὺς Ἰουδαίους οἱ φύλακες ἔλεγον· ὢ τῆς ὑμῶν ματαιόφρονος συμβουλῆς. φυλάττειν τὸν ἀπερίγραπτον δοκιμάσαντες, μάτην ἐκοπιάσατε. κρύψαι τὴν Ἀνάστασιν τοῦ σταυρωθέντος βουλόμενοι, τρανῶς ἐφανερώσατε. ὢ τοῦ ὑμῶν ματαιόφρονος συνεδρίου. τί πάλιν κρύψαι συμβουλεύεσθε, ὃ οὐ κρύπτεται; μᾶλλον δὲ παρ' ἡμῶν ἀκούσατε, καὶ πιστεῦσαι θελήσατε τῶν γινομένων τὴν ἀλήθειαν, Ἄγγελος ἀστραπηφόρος οὐρανόθεν κατελθὼν, τὸν λίθον ἀπεκύλισεν, οὗ τῷ φόβῳ νεκρώσει συνεσχέθημεν. καὶ φωνήσας ταῖς κραταιόφροσι Μυροφόροις, ἔλεγε Γυναιξίν· οὐχ ὁρᾶτε τῶν φυλάκων τὴν νέκρωσιν, καὶ τῶν σφραγίδων τὴν διάλυσιν, τοῦ Ἅδου τε τὴν κένωσιν; τί τὸν τὸ νῖκος τοῦ Ἅδου καταργήσαντα, καὶ τοῦ θανάτου τὸ κέντρον συντρίψαντα, ὡς θνητὸν ἐπιζητεῖτε; εὐαγγελίσασθε δὲ, ταχὺ πορευθεῖσαι, τοῖς Ἀποστόλοις τὴν Ἀνάστασιν, ἀφόβως κραυγάζουσαι· ὄντως ἀνέστη ὁ Κύριος, ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοί.

Ο Λῃστὴς ἐν τῷ Σταυρῷ, Θεὸν εἶναί σε πιστεύσας Χριστὲ, ὡμολόγησέ σε εἰλικρινῶς ἐκ καρδίας· μνήσθητί μου Κύριε βοῶν, ἐν τῇ Βασιλείᾳ σου.

Τ Ὸν ἐν τῷ ξύλῳ τοῦ Σταυροῦ, ζωὴν ἀνθήσαντα τῷ γένει ἡμῶν, καὶ ξηράναντα τὴν ἐκ τοῦ ξύλου κατάραν, ὡς Σωτῆρα καὶ Δημιουργὸν, συμφώνως ὑμνήσωμεν.

Τ Ω͂Ι θανάτῳ σου Χριστὲ, θανάτου ἔλυσας τὴν δύναμιν, καὶ συνήγειρας τοὺς ἀπ' αἰῶνος θανέντας, σὲ ὑμνοῦντας τὸν ἀληθινὸν Θεὸν, καὶ Σωτῆρα ἡμῶν.

Ε 'Πὶ τὸ μνῆμά σου Χριστὲ, παραγενόμεναι Γυναῖκες σεμναὶ, ἐπεζήτουν σε Ζωοδότα μυρίσαι· καὶ ὤφθη ταύταις Ἄγγελος βοῶν· ἀνέστη ὁ Κύριος.

Σταυρωθέντος σου Χριστέ, ἐν μέσῳ δύο καταδίκων Λῃστῶν, ὁ μὲν εἷς βλασφημῶν σε, κατεκρίθη δικαίως· ὁ δὲ ἄλλος σὲ ὁμολογῶν, Παράδεισον ᾤκησε.

Τῶν Ἀποστόλων τὸν χορὸν, παραγενόμεναι Γυναῖκες σεμναὶ, ἀνεβόησαν· ὁ Χριστὸς ἀνέστη. ὡς Δεσπότην καὶ Δημιουργὸν, αὐτὸν προσκυνήσωμεν.

Δόξα.

Τριὰς ἀμέριστε Μονὰς, ἡ παντουργὸς καὶ Παντοδύναμος, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Ἅγιον Πνεῦμα. σὲ ὑμνοῦμεν τὸν ἀληθινὸν Θεὸν, καὶ Σωτῆρα ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε ἔμψυχε Ναὲ Θεοῦ, καὶ Πύλη ἀδιόδευτε. χαῖρε ἄφλεκτε, καὶ πυρίμορφε Θρόνε. χαῖρε Μήτηρ τοῦ Ἐμμανουὴλ, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

ΤΕΛΟΣ τοῦ πλ. Αʹ. Ἤχου.

Θρηνῳδὸς εἶ σὺ, καὶ φιλοικτίρμων ἄγαν,
Ἀλλ' εἰς τὰ πολλὰ καὶ χορεύεις εὐρύθμως.
Ὁ μυστικὸς νοῦς, ὃν ἐγνώρισε τέχνη,
Τίς ἡ παρεκλίνουσα κλῆσις πλαγίων;
Πέμπτου σε τάξις, ἀλλὰ πρῶτον τοῦ μόνου,
Ἔχει σε, καὶ λέγει σε πρῶτε πλαγίων.

## ΤΩ͂Ι ΣΑΒΒΑ'ΤΩι ΕʹΣΠΕ'ΡΑΣ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ Ἀναστάσιμα.

Ἦχος πλ. Βʹ.

Νίκην ἔχων Χριστὲ, τὴν κατὰ τοῦ Ἅδου, ἐν τῷ Σταυρῷ ἀνῆλθες, ἵνα τοὺς ἐν σκότει θανάτου καθημένους, συναναστήσῃς σεαυτῷ, ὁ ἐν νεκροῖς ἐλεύθερος· ὁ πηγάζων ζωὴν ἐξ οἰκείου φωτὸς, Παντοδύναμε Σωτὴρ, ἐλέησον ἡμᾶς.

Σήμερον ὁ Χριστὸς θάνατον πατήσας, καθὼς εἶπεν ἀνέστη, καὶ τὴν ἀγαλλίασιν τῷ Κόσμῳ ἐδωρήσατο. ἵνα πάντες κραυγάζοντες τὸν ὕμνον, οὕτως εἴπωμεν· ἡ πηγὴ τῆς ζωῆς, τὸ ἀπρόσιτον φῶς, Παντοδύναμε Σωτὴρ, ἐλέησον ἡμᾶς.

Σὲ Κύριε τὸν ὄντα ἐν πάσῃ τῇ Κτίσει, ἁμαρτωλοὶ ποῦ φύγωμεν; ἐν τῷ Οὐρανῷ; αὐτὸς κατοικεῖς. ἐν τῷ Ἅδῃ; ἐπάτησας θάνατον. εἰς τὰ βάθη τὰ τῆς Θαλάσσης; ἐκεῖ ἡ χείρ σου Δέσποτα. πρὸς σὲ καταφεύγομεν, σοὶ προσπίπτοντες ἱκετεύομεν· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐλέησον ἡμᾶς.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

Ἐν τῷ Σταυρῷ σου Χριστὲ καυχώμεθα, καὶ τὴν Ἀνάστασίν σου, ὑμνοῦμεν καὶ δοξάζομεν. Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σου ἄλλον οὐκ οἴδαμεν.

Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ. Σταυρὸν γὰρ ὑπομείνας, Θανάτῳ θάνατον ὤλεσε.

Δόξα τῇ δυνάμει σου Κύριε, ὅτι κατήργησας τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου. ἀνεκαίνισας ἡμᾶς διὰ τοῦ Σταυροῦ σου, δωρούμενος ἡμῖν, ζωὴν καὶ ἀφθαρσίαν.

Ἡ Ταφή σου Κύριε, τὰ δεσμὰ τοῦ Ἅδου συντρίψασα διέῤῥηξεν· ἡ ἐκ νεκρῶν Ἀνάστασίς σου, τὸν Κόσμον ἐφώτισε· Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς Μονογενὴς, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθεὶς· φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς. οὐκ εἰς δυάδα προσώπων τεμνόμενος· ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. αὐτὸν ἱκέτευε, Σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρά.

Τὴν Ἀνάστασίν σου Χριστὲ Σωτὴρ, Ἄγγελοι ὑμνοῦσιν ἐν Οὐρανοῖς· καὶ ἡμᾶς τοὺς ἐπὶ γῆς καταξίωσον, ἐν καθαρᾷ καρδίᾳ σὲ δοξάζειν.

Τὰ κατὰ Ἀλφάβητον.

Πύλας συντρίψας χαλκᾶς, καὶ μοχλοὺς τοῦ Ἅδου συνθλάσας, ὡς Θεὸς Παντοδύναμος, γένος ἀνθρώπων πεπτωκὸς ἀνέστησας. διὰ τοῦτο καὶ ἡμεῖς συμφώνως βοῶμεν· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Ῥύσεως ἡμᾶς τῆς πάλαι Χριστὸς, ἐπανορθῶσαι θέλων, Σταυρῷ προσπήγνυται, καὶ τάφῳ τέθειται· ὃν Μυροφόροι Γυναῖκες, μετὰ δακρύων ζητοῦσαι, θρηνοῦσαι ἔλεγον· οἴμοι Σωτὴρ τῶν ἁπάντων, πῶς κατεδέξω τάφῳ οἰκῆσαι; οἰκήσας δὲ θέλων, πῶς ἐκλάπης; πῶς μετετέθης; ποῖος δὲ τόπος τὸ σὸν ζωηφόρον κατέκρυψε Σῶμα; ἀλλὰ Δέσποτα, ὡς ὑπέσχου, ἡμῖν ἐμφάνηθι, καὶ παῦσον ἀφ' ἡμῶν τὸν ὀδυρμὸν τῶν δακρύων. θρηνούσαις δὲ αὐταῖς, Ἄγγελος πρὸς αὐτὰς ἀπεβόησε· τῶν θρήνων παυσάμεναι, τοῖς Ἀποστόλοις εἴπατε· ὅτι ἀνέστη ὁ Κύριος, τῷ Κόσμῳ δωρούμενος ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Σταυρωθεὶς ὡς ἠβουλήθης Χριστὲ, καὶ τὸν θάνατον τῇ Ταφῇ σου σκυλεύσας, τριήμερος ἀνέστης, ὡς Θεὸς μετὰ δόξης, τῷ Κόσμῳ δωρούμενος, ἀτελεύτητον ζωὴν, καὶ τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁ Ποιητὴς καὶ Λυτρωτής μου Πάναγνε, Χριστὸς ὁ Κύριος, ἐκ τῆς σῆς νηδύος προελθὼν, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε. διό σοι Πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως, τὸ χαῖρε τοῦ Ἀγγέλου. χαῖρε Δέσποινα, προστασία καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον.

Ἀγγελικαὶ δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου Σῶμα. ἐσκύλευσας τὸν Ἅδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Θεοτοκίον.

Ὁ τὴν εὐλογημένην καλέσας σου Μητέρα, ἦλθες ἐπὶ τὸ Πάθος ἑκουσίᾳ βουλῇ, λάμψας ἐν τῷ Σταυρῷ, ἀναζητῆσαι θέλων τὸν Ἀδὰμ, λέγων τοῖς Ἀγγέλοις· συγχάρητέ μοι, ὅτι εὑρέθη ἡ ἀπολλυμένη δραχμή. ὁ πάντα σοφῶς οἰκονομήσας δόξα σοι.

## ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ΠΡΩΙ͂,

Εἰς τὸ Μεσονυκτικὸν, Κανὼν Τριαδικός.

Οὗ ἡ ἀκροστιχίς.

Τὸν ἕκτον ὕμνον προσφέρω σοι Θεότης.

Ὠδὴ αʹ. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Τρεῖς Ὑποστάσεις ὑμνοῦμεν Θεαρχικὰς, ἑνιαίας φύσεως, ἀπαράλλακτον μορφὴν, ἀγαθὸν φιλάνθρωπον Θεὸν, τῶν πταισμάτων ἱλασμὸν ἡμῖν δωρούμενον.

Ὁ Ὑπερούσιος μόνος καὶ τρισλαμπὴς, χαρακτῆρσι Κύριος, ἐν Θεότητι μιᾷ, πεφυκὼς συνέτισον ἡμᾶς, καὶ ἀξίωσον τῆς σῆς θείας ἐλλάμψεως.

ΝΥμφοστολήσας ὁ Παῦλος τὴν ἐξ Ἐθνῶν, Ἐκκλησίαν ἔφασκε, τρισυπόστατον Θεόν, προσκυνεῖν ἐδίδαξεν ἐξ οὗ, καὶ δι' οὗπερ, καὶ ἐν ᾧ τὰ πάντα γέγονεν.

Θεοτοκίον.

ΕΚ τῆς Γαστρός σου προῆλθεν ὁ νοητός, Θεοτόκε Ἥλιος, καὶ κατηύγασεν ἡμᾶς, τριφαοῦς Θεότητος αὐγαῖς. ὃν ὑμνοῦντες εὐσεβῶς, σὲ μακαρίζομεν.

Ὠδὴ γ'. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

ΚΟσμήσας τρίφωτε Θεέ, Τάξεις τὰς οὐρανίους, κατεσκεύασας μέλπειν, τρισαγίαις σε φωναῖς. δέξαι μεθ' ὧν καὶ ἡμᾶς, ἀνυμνοῦντας σοῦ τὴν ἀγαθότητα.

ΤΗν μόνην ἄτρεπτον τριττήν, σύμμορφον ἑνιαίαν, Θεαρχίαν ὑμνοῦντες, λιτάζομέν σε θερμῶς, ἁμαρτημάτων πολλῶν, καταπέμψαι, νῦν ἡμῖν συγχώρησιν.

ΟΝοῦς ὁ ἄναρχος Πατήρ, σύμμορφε Θεοῦ Λόγε, καὶ τὸ Πνεῦμα τὸ θεῖον, τὸ ἀγαθὸν καὶ εὐθές, τοὺς ἀνυμνοῦντας πιστῶς, τὸ σὸν κράτος, φρούρησον ὡς εὔσπλαγχνος.

Θεοτοκίον.

ΝΟμὴν ἀνέστειλε φθορᾶς, Ἄνθρωπος κατ' οὐσίαν γεγονὼς ὁ Θεός μου, ἐν τῇ μήτρα σου Ἁγνή, καὶ τοὺς Γενάρχας τῆς πρίν, καταδίκης μόνος ἠλευθέρωσε.

Καθίσματα. Τὴν ὑπὲρ ἡμῶν.

ΔΕσποτα Θεέ, ἐπίβλεψον οὐρανόθεν, ἴδε τὴν ἡμῶν ταπείνωσιν ὡς Οἰκτίρμων, καὶ σπλαγχνίσθητι φιλάνθρωπε πανάγαθε. οὐδαμόθεν γὰρ ἐλπίζομεν, συγχωρήσεως τυχεῖν, τῶν κακῶν ὧν ἡμάρτομεν. διὸ γενοῦ μεθ' ἡμῶν, καὶ οὐδεὶς καθ' ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΔΕσποινα Ἁγνή, ἐπίβλεψον Θεοτόκε, ἴδε τῶν ἡμῶν τραυμάτων τὰς ἀλγηδόνας, καὶ σπλαγχνίσθητι Πανάχραντε, καὶ ἴασαι τοῦ συνειδότος τὸν καύσωνα, τῷ σῷ ἐλέει δροσίζουσα, καὶ βοῶσα τοῖς δούλοις σου· ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Ὠδὴ δ'. Χριστός μου Δύναμις.

ΥΨοῦ διάνοιαν, Μονὰς ἡ τρίφωτος, καὶ ψυχὴν καὶ καρδίαν σῶν ὑμνητῶν, θᾶττον ἀνάβίβασον· καὶ τῆς ἐλλάμψεως τῆς σῆς, καὶ λαμπρότητος ἀξίωσον.

ΜΕτασχημάτισον, καὶ μεταμόρφωσον, ἐκ κακίας με πάσης πρὸς ἀρετήν, μόνε ἀσχημάτιστε, καὶ ἀναλλοίωτε Τριάς, ταῖς σαῖς αἴγλαις καταλάμπρυνον.

ΝΟήσας πρότερον, σοφῶς ὑπέστησας, τῶν Ἀγγέλων τὰς τάξεις λειτουργικάς, τῆς σῆς ἀγαθότητος, ἡ τρισυπόστατος Μονάς, μεθ' ὧν δέξαι μου τὴν αἴνεσιν.

Θεοτοκίον.

ΟΦύσει ἄκτιστος, Θεὸς ἀΐδιος, τὴν κτιστὴν τῶν Ἀνθρώπων προσειληφώς, φύσιν ἀνεμόρφωσεν, ἐν τῇ ἁγίᾳ σου Γαστρί, Θεοτόκε Ἀειπάρθενε.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου Ἀγαθέ.

ΝΟοῦντες φύσιν Θεαρχικήν, προνοητικὴν καὶ σωστικήν, πάντων ὑπάρχουσαν Δέσποτα, τρίφωτόν τε μίαν πρὸς σὲ ὀρθρίζομεν, συγχώρησιν αἰτοῦντες τῶν παραπτώσεων.

ΠΑτὴρ ὁ ἄναρχος καὶ Θεός, καὶ ὁ συναΐδιος Υἱός, Πνεῦμα τὸ Ἅγιον στήριξον, μοναρχικωτάτη Τριὰς τοὺς σοὺς ὑμνητάς, καὶ πάσης ἐπηρείας ῥῦσαι καὶ θλίψεως.

ΡΥθμίζων λάμψεσι θεουργοῖς, καὶ πρὸς εὐαρέστησιν τῆς σῆς, τρισυποστάτου Θεότητος, Ἥλιε τῆς δόξης καθοδηγοῦν με ἀεί, καὶ θείας Βασιλείας μέτοχον ποίησον.

Θεοτοκίον.

ΟΠάντα φέρων καὶ συντηρῶν, τῇ παντοδυνάμῳ σου χειρί, Λόγε Θεοῦ ἀναλλοίωτε, φρούρει καὶ συντήρει τοὺς σὲ δοξάζοντας, πρεσβείαις τῆς τεκούσης σε Θεομήτορος.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

ΣΟφίαν καὶ σύνεσιν, Θεαρχία τριφαής, τοῖς ὑμνηταῖς σου δώρησαι· καὶ τοῦ κάλλους ἀκτῖσι τοῦ φωτουργοῦ, τῆς σῆς ἀγαθότητος, καταλάμπεσθαι πάντας καταξίωσον.

Δίς.

ΦΩς τὸ ἀδιαίρετον, κατ' οὐσίαν τρισλαμπές, παντοκρατὲς ἀπρόσιτον, τὰς καρδίας καταύγασον τῶν πιστῶς, αἰνούντων τὸ κράτος σου, καὶ πρὸς θείαν ἀγάπην ἀναπτέρωσον.

Θεοτοκίον.

ΕΝ σοὶ κατεσκήνωσεν, Ἀειπάρθενε σαφῶς, ὁ συνοχεὺς καὶ Κύριος, τῶν ἁπάντων καὶ μίαν τρισολαμπῆ, μορφὴν τῆς Θεότητος, προσκυνεῖν τοὺς ἀνθρώπους εἰσηγήσατο.

Κάθισμα. Τριαδικόν. Τὴν ὑπὲρ ἡμῶν.

ΠΑτερ καὶ Υἱὲ σὺν Πνεύματι τῷ Ἁγίῳ, βλέψον εἰς ἡμᾶς τοὺς πίστει σε προσκυνοῦντας, καὶ δοξάζοντας τὸ κράτος σου Εὔσπλαγχνε, σὺ τοῖς πταίουσιν οἱ πήλινοι. ἄλλον γὰρ πλὴν σου οὐκ οἴδαμεν. καὶ βόησον τοῖς ὑμνοῦσί σε· ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΒΛέψον εἰς ἡμᾶς Πανύμνητε Θεοτόκε, λάμψον φωτισμὸν καρδίαις ἐσκοτισμέναις, καὶ καταύγασον τὴν ποίμνην σου Πανάχραντε. ὅσα γὰρ θέλεις, καὶ δύνασαι, ὡς Μήτηρ οὖσα τοῦ Κτίστου σου. καὶ βόησον τοῖς αἰτοῦσί σε· ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

Ὠδὴ ζ'. Δροσοβόλον μὲν τὴν κάμινον.

ΡΩμαλέαν μοι διάνοιαν πρυτάνευσον, τρίφωτε χαρακτῆρσι Μονάς, τοῦ φυλάττειν σου, καὶ τηρεῖν τὰς θείας ἐντολάς, καὶ πάντοτε ψάλλειν σοι πιστῶς· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

ΩΣ ταυτότητι τῆς φύσεως ὑμνούμενος, ἀφράστως Ἑνιαῖος Θεός, τοῖς Προσώποις δὲ τῆς Τριάδος φέρων ἀριθμόν, συντήρησον ἅπαντας ἡμᾶς, ἀπὸ ποικίλων πειρασμῶν, καὶ περιστάσεων.

ΣΥμφυῆ καὶ συναΐδιον δοξάζομεν, ἔφασκε κατ' οὐσίαν Θεόν, ἰδιότησιν ἀσυγχύτως ὑποστατικαῖς, Τριὰς τὸ διάφορον ἁπλῶς, προβαλλομένην ἐν μορφῇ, ἀπαραλλάκτῳ σαφῶς.

Θεοτοκίον.

ΟΘεὸς ὁ Ὑπερούσιος προσείληφεν, Ἄχραντε ἐκ γαστρός σου ἁγνῆς, τὸ ἡμέτερον φιλανθρώπως φύραμα σαφῶς, καὶ πάντας ἐδίδαξε βοᾶν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

ΙΛασμὸν τῶν πταισμάτων θᾶττον παράσχου μοι, καὶ παθῶν πολυτρόπων τὴν ἀπολύτρωσιν, σύμμορφε Τριάς, καὶ Μονὰς τρισυπόστατε, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

ΘΕλητὴς τοῦ ἐλέους καταγγελλόμενος, ὡς Θεὸς ἐλεήμων πάντας ἐλέησον, τρίφωτε Μονάς, καὶ Τριὰς Ὑπεράγαθε, τοὺς δοξολογοῦντας, τὴν σὴν ἀγαθωσύνην.

ΕΚ φωτὸς ἀϊδίου φῶς συναΐδιον, τοῦ Πατρὸς γεννηθέντα, Λόγον σὺν Πνεύματι, τῷ ἐκπορευτῷ φωτὶ πίστει δοξάζομεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

ΙΑτρὸν τοῖς Ἀνθρώποις Ἄχραντε τέτοκας, παντοδύναμον Λόγον Χριστὸν τὸν Κύριον, τῆς προγονι-

κῆς πληγῆς πάντας ἰώμενον, τοὺς ὑπερυψοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ Θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

ΟΡᾶν αἱ τάξεις Χερουβὶμ Δέσποτα, κάλλους τοῦ σοῦ τὴν δόξαν, οὐ δυνάμεναι πτέρυξι, κατακαλυπτόμεναι ἀπαύστως τερπτὸν, ὕμνον ἀναβοῶσι, τὸ τρισυπόστατον, τῆς σῆς Θεαρχίας ἑνικῆς, κράτος δοξάζουσαι.

ΤΑῖς σαῖς ἐλλάμψεσιν ἄδυτε Ἥλιε, σῶν οἰκετῶν παράσχου ταῖς καρδίαις καὶ φώτισον, τὰς ψυχὰς καὶ λύτρωσαι πταισμάτων πολλῶν, μόνε Παντελεῆμον, καὶ Τρισυπόστατε, καὶ τῆς ἀκηράτου σου ζωῆς ἡμᾶς ἀξίωσον.

ΗΦῶς ὁμότιμον καὶ τρισήλιον, καὶ φωτουργὸν Θεότης πεφυκυῖα καταύγασον, τοὺς πιστῶς σε μέλποντας, καὶ τῆς ζοφερᾶς, ῥῦσαι κακοπραγίας, καὶ καταξίωσον, τῶν φωτεινοτάτων σου Σκηνῶν, ὡς ὑπεράγαθος.

Θεοτοκίον.

ΣΟφῶς τὸν Ἄνθρωπον πρὶν διέπλασεν, ὁ σὸς Υἱὸς Παρθένε, καὶ φθαρέντα ἀνέπλασε, διὰ σοῦ Πανύμνητε, καὶ Θείου φωτὸς αἴγλης τῆς ἀνεσπέρου, πάντας ἐπλήρωσε, τοὺς σὲ Θεοτόκον, ἀληθῆ Πίστει δοξάζοντας.

## ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΙ.

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν α'. Στιχολογίαν, Καθίσματα Ἀναστάσιμα.

ΤΟῦ Τάφου ἀνεῳγμένου, τοῦ Ἅδου ὀδυρομένου, ἡ Μαρία ἐβόα, πρὸς τοὺς κεκρυμμένους Ἀποστόλους· ἐξέλθετε οἱ τοῦ ἀμπελῶνος Ἐργάται, κηρύξατε τὸν τῆς Ἀναστάσεως λόγον. ἀνέστη ὁ Κύριος, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Δόξα.

ΚΥριε παρίστατο τῷ Τάφῳ σου Μαρία ἡ Μαγδαληνὴ, καὶ ἔκλαιε βοῶσα· καὶ Κηπουρόν σε νομίζουσα, ἔλεγε· ποῦ ἔκρυψας τὴν αἰώνιον ζωήν; ποῦ ἔθηκας τὸν ἐπὶ Θρόνου Χερουβίμ; οἱ γὰρ τοῦτον φυλάσσοντες, ἀπὸ τοῦ φόβου ἀπενεκρώθησαν. ἢ τὸν Κύριόν μου δότε μοι, ἢ σὺν ἐμοὶ κραυγάσατε· ὁ ἐν νεκροῖς, καὶ τοὺς νεκροὺς ἀναστήσας δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

ΠΡοϊστορεῖ ὁ Γεδεὼν τὴν σύλληψιν, καὶ ἑρμηνεύει ὁ Δαβὶδ τὸν τόκον σου Θεοτόκε. κατέβη γὰρ ὡς ὑετὸς ἐπὶ πόκον, ὁ Λόγος ἐν τῇ Γαστρί σου, καὶ ἐβλάστησας ἄνευ σπορᾶς, Γῆ Ἁγία, τοῦ Κόσμου τὴν σωτηρίαν, Χριστὸν τὸν Θεὸν ἡμῶν ἡ Κεχαριτωμένη.

Μετὰ τὴν β'. Στιχολογίαν Καθίσματα Ἀναστάσιμα.

ΗΖωὴ ἐν τῷ Τάφῳ ἀνέκειτο, καὶ σφραγὶς ἐν τῷ λίθῳ ἐπέκειτο· ὡς Βασιλέα ὑπνοῦντα στρατιῶται ἐφύλαττον Χριστόν. καὶ τοὺς ἐχθροὺς αὐτοῦ ἀορασίᾳ πατάξας, ἀνέστη ὁ Κύριος. Δόξα.

ΠΡοϊστορεῖ ὁ Ἰωνᾶς τὸν τάφον σου, καὶ ἑρμηνεύει Συμεὼν τὴν Ἔγερσιν τὴν ἔνθεον, ἀθάνατε Κύριε. κατέβης γὰρ ὡσεὶ νεκρὸς ἐν τῷ Τάφῳ, ὁ λύσας Ἅδου τὰς πύλας. ἀνέστης δὲ ἄνευ φθορᾶς ὡς Δεσπότης, τοῦ Κόσμου εἰς σωτηρίαν, Χριστὲ ὁ Θεὸς ἡμῶν, φωτίσας τοὺς ἐν σκότει.

Καὶ νῦν. Θεοτοκίον.

ΘΕοτόκε Παρθένε, ἱκέτευε τὸν Υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν Σταυρῷ, καὶ ἀναστάντα ἐκ νεκρῶν, Χριστὸν τὸν Θεὸν ἡμῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὸν Ἄμωμον, Ἡ Ὑπακοή.

ΤΩ, ἑκουσίῳ καὶ ζωοποιῷ σου Θανάτῳ Χριστὲ, πύλας τοῦ Ἅδου συντρίψας ὡς Θεὸς, ἤνοιξας ἡμῖν τὸν πάλαι Παράδεισον· καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἐρρύσω ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον Α'.

ΕΝ τῷ Οὐρανῷ, τοὺς ὀφθαλμούς μου αἴρω, πρὸς σὲ Λόγε, οἰκτείρησόν με, ἵνα ζῶ σοι.

ΕΛέησον ἡμᾶς τοὺς ἐξουθενημένους, καταρτίζων εὔχρηστα, σκεύη σου Λόγε. Δόξα, καὶ νῦν.

ΑΓίῳ Πνεύματι, παναιτία σωστική αἰτία, εἴ τινι τούτων κατ' ἀξίαν πνεύσει, τάχει ἐξαίρει τῶν τῆς γῆς, πτεροῖ, αὔξει, τάττει ἄνω. Ἀντίφωνον Β'.

ΕΙ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν, οὐδεὶς ἡμῶν ἀντισχεῖν ἠδύνατο, ἐχθροῦ πάλαισμα. οἱ νικῶντες γὰρ ἔνθεν ὑψοῦνται.

ΤΟῖς ὀδοῦσιν αὐτῶν, μή μου ληφθήτω ἡ ψυχὴ, ὡς στρουθίον Λόγε. οἴμοι, πῶς μέλλω τῶν ἐχθρῶν ῥυσθῆναι, φιλαμαρτήμων ὑπάρχων.

Δόξα, καὶ νῦν.

ΑΓίῳ Πνεύματι, ἐκθέωσις τοῖς πᾶσιν, εὐδοκία, σύνεσις, εἰρήνη, καὶ ἡ εὐλογία. ἰσουργὸν γὰρ τῷ Πατρί ἐστι, καὶ Λόγῳ. Ἀντίφωνον Γ'.

ΟΙ πεποιθότες ἐπὶ Κύριον, ἐχθροῖς φοβεροὶ, καὶ πᾶσι θαυμαστικοί. ἄνω γὰρ ὁρῶσιν.

ΕΝ ἀνομίαις χεῖρας αὐτῶν, ὁ τῶν Δικαίων κλῆρος, ἐπίκουρόν σε ἔχων, Σῶτερ οὐκ ἐκτείνει.

Δόξα, καὶ νῦν.

ΑΓίῳ Πνεύματι, τὸ κράτος ἐπὶ πάντων, ὅπερ αἱ ἄνω Στρατηγίαι προσκυνοῦσι, σὺν πάσῃ πνοῇ τῶν κάτω. Προκείμενον.

Κύριε, ἐξέγειρον τὴν δυναστείαν σου, καὶ ἐλθὲ εἰς τὸ σῶσαι ἡμᾶς.

Στίχ. Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες.

Πᾶσα πνοή. Εὐαγγέλιον τὸ Ἑωθινόν.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν'.

Κανὼν Ἀναστάσιμος. Ὠδὴ α'. Ὁ Εἱρμός.

ΩΣ ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ, ἐν Ἀβύσσῳ ἴχνεσι, τὸν διώκτην Φαραὼ, καθορῶν ποντιζόμενον Θεῷ, ἐπινίκιον ᾠδὴν ἐβόα ᾄσωμεν.

Τροπάριον.

ΕΚτεταμένας παλάμας ἐπὶ Σταυροῦ, πατρικῆς ἐπλήρωσας, εὐδοκίας Ἀγαθὲ, Ἰησοῦ τὰ σύμπαντα. διὸ, ἐπινίκιον ᾠδὴν σοὶ πάντες ᾄσωμεν.

ΦΟβῳ σοι ὡς θεραπαινὶς ἡ τελευτὴ, προσαχθεῖσα πρόσεισι, τῷ Δεσπότῃ τῆς ζωῆς, δι' αὐτῆς βραβεύοντι ἡμῖν, ἀτελεύτητον ζωὴν, καὶ τὴν Ἀνάστασιν.

Θεοτοκίον.

ΤΟν ἑαυτῆς δεξαμένη Δημιουργὸν, ὡς αὐτὸς ἠθέλησεν, ἐξ ἀσπόρου σου Γαστρὸς, ὑπὲρ νοῦν σαρκούμενον Ἁγνὴ, τῶν κτισμάτων ἀληθῶς, ἐδείχθης Δέσποινα.

Ἕτερος Κανὼν Σταυροαναστάσιμος.

Κύματι Θαλάσσης.

ΒΗματι Πιλάτου, παρίσταται θέλων, ἀνόμων κρίματι, ὥσπερ κριτὸς ὁ Κριτής. καὶ ἐκ χειρὸς ἀδικίας, εἰς τὸ πρόσωπον ῥαπίζεται, ὁ Θεὸς ὃν φρίττουσιν, ἡ Γῆ, καὶ τὰ Οὐράνια.

ΗΠλωσας τὰς θείας, παλάμας σου Σῶτερ, ἐν τῷ ἀχράντῳ σου, καὶ ζωηφόρῳ Σταυρῷ, καὶ συνηγάγω τὰ Ἔθνη, εἰς ἐπίγνωσίν σου Δέσποτα, προσκυνοῦντα Κύριε, τὴν ἔνδοξόν σου Σταύρωσιν.

Σταυροθεοτοκίον.

Ἔστατο δακρύων, πηγὰς ἀφιεῖσα, ἡ ὑπεράμωμος ἐν τῷ Σταυρῷ σου Σωτὴρ, τὰς ἐκ πλευρᾶς σου ῥανίδας, τῶν Αἱμάτων καθορῶσα Χριστὲ, καὶ τὴν σὴν ἀνείκαστον συμπάθειαν δοξάζουσα.

Ἕτερος Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Οὗ ἡ ἀκροστιχίς.

Μῆτερ Θεοῦ, τὴν ἄφθονόν μοι δὸς χάριν.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Μεταλαβοῦσα ἡ Εὔα τῆς τοῦ φυτοῦ, παρηκόου βρώσεως, ἐπεισάγει τὴν ἀράν· ἀλλ' αὐτὴν διέλυσας Ἁγνὴ, εὐλογίας ἀπαρχὴν Χριστὸν κυήσασα.

Ἡ Μαργαρίτην τῆς θείας ἐξ ἀστραπῆς, τὸν Χριστὸν κυήσασα, τῶν παθῶν μου τὴν ἀχλὺν, καὶ πταισμάτων τάραχον Ἁγνὴ, διασκέδασον φωτὶ τῆς σῆς λαμπρότητος.

Τὴν τῶν Ἐθνῶν προσδοκίαν ὁ Ἰακὼβ, τὸν ἐκ σοῦ σαρκούμενον, προεώρα μυστικῶς, νοεροῖς τοῖς ὄμμασι Θεὸν, τὸν ῥυσάμενον ἡμᾶς τῇ μεσιτείᾳ σου.

Ἐκλελοιπότων Ἀρχόντων ἐκ τῆς φυλῆς, τοῦ Ἰούδα Πάναγνε, ὁ Υἱός σου καὶ Θεὸς, προελθὼν Ἡγούμενος τῆς γῆς, τῶν περάτων ἀληθῶς νῦν ἐβασίλευσεν.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Οὐκ ἔστιν Ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας, τῶν πιστῶν σου ἀγαθὲ, καὶ στερεώσας ἡμᾶς, ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας σου.

Τροπάριον.

Θεὸν σταυρούμενον σαρκὶ, καθορῶσα ἡ Κτίσις, διελύετο φόβῳ· ἀλλὰ τῇ συνεκτικῇ, παλάμῃ τοῦ δι' ἡμᾶς, σταυρωθέντος κραταιῶς συνείχετο.

Θανάτῳ θάνατος λυθεὶς, κεῖται δείλαιος ἄπνους· τῆς Ζωῆς γὰρ μὴ φέρων, τὴν ἔνθεον προσβολὴν, νεκροῦται ὁ ἰσχυρὸς, καὶ δωρεῖται πᾶσιν ἡ Ἀνάστασις.

Θεοτοκίον.

Τοῦ Θείου τόκου σου Ἁγνὴ, πᾶσαν φύσεως τάξιν, ὑπερβαίνει τὸ θαῦμα· Θεὸν γὰρ ὑπερφυῶς, συνέλαβες ἐν γαστρὶ, καὶ τεκοῦσα μένεις Ἀειπάρθενος.

Ἕτερος Σταυροαναστάσιμος. Σὲ τὸν ἐπὶ ὑδάτων.

Τάφῳ τριημερεύσας, ἀνέστησας ζωοποιῷ Ἐγέρσει, τοὺς πρὶν θανατωθέντας· καὶ καταδίκης λυόμενοι, χαρμονικῶς ἠγάλλοντο· ἰδοὺ ἡ λύτρωσις, ἦλθες Κύριε κραυγάζοντες.

Δόξα τῇ σῇ Ἐγέρσει, Σωτὴρ ἡμῶν· ὅτι ἡμᾶς ἐξ Ἅδου, καὶ φθορᾶς τοῦ θανάτου, ἐρρύσω ὡς Παντοδύναμος, καὶ μελῳδοῦντες λέγομεν· οὐκ ἔστιν Ἅγιος, πλήν σου Κύριε φιλάνθρωπε.

Θεοτοκίον.

Σὲ τὸν ἐκ σοῦ Τεχθέντα, ὡς ἔβλεψας τιτρωσκόμενον λόγχῃ, ἐτρώθης τὴν καρδίαν, Ὑπεραγία Πανάμωμε· καὶ θαμβουμένη ἔλεγες· τίς σοι ἀπέδωκε Τέκνον, δῆμος ὁ παράνομος;

Ἄλλος, τῆς Θεοτόκου. Οὐκ ἔστιν Ἅγιος ὡς σύ.

Ῥευστήν μου σάρκα καὶ θνητὴν, Πάναγνε Θεομῆτορ, ἐκ Γαστρός σου ἀφράστως, προσλαβὼν ὁ Ἀγαθὸς, καὶ ἀφθαρτίσας αὐτὴν, αἰωνίως ἑαυτῷ συνέδησε.

Θεὸν σαρκούμενον ἐκ σοῦ, καθορῶντες Παρθένε, ἐξεπλήττοντο φόβῳ, τῶν Ἀγγέλων οἱ χοροί· καὶ ὡς Μητέρα Θεοῦ, ἀσιγήτοις ὕμνοις σε γεραίρουσιν.

Ἐξέστη ὄρος νοητὸν, βλέπων σε ὁ Προφήτης, Δανιὴλ ἐξ οὗ λίθος, ἐτμήθη ἄνευ χειρῶν, καὶ τῶν Δαιμόνων βωμοὺς, Θεομῆτορ, κραταιῶς συνέτριψεν.

Οὐ σθένει λόγος σε βροτῶν, οὔτε γλῶσσα Παρθένε, εὐφημῆσαι ἀξίως· ἐκ σοῦ γὰρ ἄνευ σπορᾶς, ὁ Ζωοδότης Χριστὸς, σαρκωθῆναι Πάναγνε ηὐδόκησε.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Χριστός μου δύναμις, Θεὸς καὶ Κύριος, ἡ σεπτὴ Ἐκκλησία θεοπρεπῶς, μέλπει ἀνακράζουσα· ἐκ διανοίας καθαρᾶς, ἐν Κυρίῳ ἑορτάζουσα.

Τροπάριον.

Τὸ ξύλον ἤνθησε, Χριστὲ τῆς ὄντως ζωῆς· ὁ Σταυρὸς γὰρ ἐπάγη καὶ ἀρδευθεὶς, Αἵματι καὶ Ὕδατι, ἐξ ἀκηράτου σου πλευρᾶς, τὴν ζωὴν ἡμῖν ἐβλάστησεν.

Οὐκέτι ὄφις μοι, ψευδῶς τὴν θέωσιν, ὑποβάλλει· Χριστὸς γὰρ ὁ θεουργὸς, τῆς ἀνθρώπων φύσεως, νῦν ἀκωλύτως τὴν τρίβον, τῆς ζωῆς μοι ἀνεπέτασεν.

Θεοτοκίον.

Ὡς ὄντως ἄφθεγκτα, καὶ ἀκατάληπτα, τὰ τῆς σῆς Θεοτόκε θεοπρεποῦς, πέφυκε κυήσεως, τοῖς ἐπὶ Γῆς, καὶ Οὐρανοῦ, Ἀειπάρθενε Μυστήρια.

Ἄλλος. Σταυροαναστάσιμος.

Τὴν ἐν Σταυρῷ σου Θείαν κένωσιν.

Τὸν τίμιον Σταυρόν σου σέβομεν, καὶ τοὺς Ἥλους Χριστὲ, καὶ τὴν Ἁγίαν Λόγχην, σὺν τῷ Καλάμῳ, Στέφανον τὸν ἐξ ἀκανθῶν· δι' ὧν ἐκ τῆς τοῦ Ἅδου φθορᾶς ἐρρύσθημεν.

Τάφος Σωτήρ σε ὑπεδέξατο, ἑκουσίως νεκρὸν, ὑπὲρ ἡμῶν ὀφθέντα· ἀλλ' οὐδαμῶς δεδύνηται Λόγε κατασχεῖν· ὡς Θεὸς γὰρ ἀνέστης, σῴζων τὸ γένος ἡμῶν.

Θεοτοκίον.

Θεοκυῆτορ Ἀειπάρθενε, ἡ Σωτῆρα Χριστὸν βροτοῖς ἀποτεκοῦσα, κινδύνων καὶ κολάσεων, λύτρωσαι ἡμᾶς, τοὺς προσφεύγοντας πίστει, τῇ θείᾳ σκέπῃ σου.

Ἄλλος, τῆς Θεοτόκου. Χριστός μου δύναμις.

Ὑμνοῦμεν Ἄχραντε, σὲ τὴν Πανάμωμον, διὰ σοῦ οἱ σωθέντες καὶ εὐσεβῶς, μέλποντες κραυγάζομεν· Εὐλογημένη ἡ Θεὸν, Ἀειπάρθενε κυήσασα.

Τὸ φῶς τὸ ἄδυτον, Παρθένε τέτοκας, τοῖς ἐν σκότει τοῦ βίου διὰ σαρκὸς, φαῖνον Παμμακάριστε· καὶ τοῖς ὑμνοῦσί σε χαρὰν, Ἀειπάρθενε ἐπήγασας.

Ἡ Χάρις ἤνθησεν, ὁ νόμος πέπαυται, διὰ σοῦ Παναγία· σὺ γὰρ Ἁγνὴ, τέτοκας τὸν Κύριον, τὸν παρεχόμενον ἡμῖν, Ἀειπάρθενε τὴν ἄφεσιν.

Νεκρόν με ἔδειξε, φυτοῦ ἀπόγευσις, τῆς ζωῆς δὲ τὸ ξύλον ἐκ σοῦ φανὲν, Πάναγνε ἀνέστησε, καὶ Παραδείσου τῆς τρυφῆς, κληρονόμον με κατέστησε.

Ὠδὴ ε'. Ὁ Εἱρμός.

Τῷ θείῳ φέγγει σου Ἀγαθὲ, τὰς τῶν ὀρθριζόντων σοι ψυχὰς, πόθῳ καταύγασον δέομαι· σὲ εἰδέναι Λόγε Θεοῦ, τὸν ὄντως Θεὸν, ἐκ ζόφου τῶν πταισμάτων ἀνακαλούμενον.

Τροπάριον.

Ὑποχωρεῖ μοι τὰ Χερουβὶμ, νῦν καὶ ἡ φλογίνη ῥομφαία, Δέσποτα, νῶτά μοι δίδωσι· σὲ ἰδόντα Λόγε Θεοῦ, τὸν ὄντως Θεὸν, λῃστῇ ὁδοποιήσαντα τὸν Παράδεισον.

Οὐκ ἔτι δέδοικα τὴν εἰς γῆν, Δέσποτα Χριστὲ ὑποστροφήν· σὺ γὰρ ἐκ γῆς με ἀνήγαγες, ἐπιλελησμένον δι' εὐσπλαγχνίαν πολλὴν, πρὸς ὕψος ἀφθαρσίας τῇ Ἀναστάσει σου.

Θεοτοκίον.

Τοὺς Θεοτόκον σε ἐκ ψυχῆς, Δέσποινα τοῦ Κόσμου Ἀγαθὴ, ὁμολογοῦντας διάσωσον· σὲ γὰρ προστασίαν ἀκαταμάχητον κεκτήμεθα, τὴν ὄντως Θεογεννήτριαν.

Ἕτε

Ἕτερος Σταυροαναστάσιμος. Θεοφανείας σου Χριστέ.

Βρώσει τοῦ ξύλου ἐν Ἐδέμ, ἀπατηθεὶς εἰς φθορὰν κατώλισθεν, ὁ Γενάρχης παρακούσας Κύριε, ἐντολῆς τῆς σῆς Ὑπεράγαθε· ἀλλὰ τοῦτον διὰ Σταυροῦ πάλιν ἀνήγαγες, εἰς τὸ πρῶτον κάλλος, ὑπήκοος τῷ Πατρὶ Σῶτερ γενόμενος.

Τῷ σῷ Θανάτῳ Ἀγαθέ, τὸ τοῦ θανάτου ἠφάνισαι κράτος, καὶ πηγὴ ζωῆς ἡμῖν ἀνέβλυσε, καὶ ἀθανασία δεδώρηται. διὰ τοῦτό σου τὴν Ταφήν, καὶ τὴν Ἀνάστασιν Πίστει προσκυνοῦμεν· δι᾽ ἧς ὡς Θεός, Κόσμον πάντα κατεφώτισας. Θεοτοκίον.

Ὁ Κατοικῶν ἐν Οὐρανοῖς, καὶ Ποιητὴς τῶν ἁπάντων Κύριος, ἐν τῇ σῇ Πανάμωμε κατῴκησεν, ἀποῤῥήτως μήτρᾳ δοξάσας σε, ὑπερτέραν τῶν Οὐρανῶν, ἁγιωτέραν τε Ταγμάτων ἀΰλων. διὸ νῦν οἱ ἐπὶ γῆς σὲ μακαρίζομεν.

Ἄλλος, τῆς Θεοτόκου. Τῷ Θείῳ φέγγει σου Ἀγαθέ.

Ἁγνείᾳ λάμψασα τηλαυγῶς, Θεῖον ἐνδιαίτημα τοῦ Δεσπότου Πανύμνητε γέγονας. σὺ γὰρ μόνη Μήτηρ ἐδείχθης Θεοῦ, ἀγκάλαις ὥσπερ βρέφος τοῦτον βαστάσασα.

Φοροῦσα κάλλος τὸ νοητόν, τῆς ὡραιοτάτης σου ψυχῆς, Νύμφη Θεοῦ ἐχρημάτισας, κατεσφραγισμένη τῇ Παρθενίᾳ Σεμνή· καὶ φέγγει τῆς Ἁγνείας Κόσμον φαιδρύνουσα.

Θρηνείτω σύστημα δυσσεβῶν, τῶν μὴ κηρυττόντων σε διαῤῥήδην Ἁγνὴν Θεομήτορα. σὺ γὰρ Πύλη Θείου φωτὸς ἐδείχθης ἡμῖν, τὸν ζόφον τῶν πταισμάτων διασκεδάζουσα.

Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Τοῦ βίου τὴν Θάλασσαν, ὑψουμένην καθορῶν, τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λιμένι σου προσδραμών, βοῶ σοι· ἀνάγαγε, ἐκ φθορᾶς τὴν ζωήν μου Πολυέλεε. Τροπάριον.

Σταυρούμενος Δέσποτα, τοῖς μὲν ἥλοις τὴν ἀράν, τὴν καθ᾽ ἡμῶν ἐξήλειψας· τῇ δὲ λόγχῃ νυττόμενος τὴν πλευράν, Ἀδὰμ τὸ χειρόγραφον, διαῤῥήξας, τὸν Κόσμον ἠλευθέρωσας.

Ἀδὰμ κατενήνεκται, δι᾽ ἀπάτης πτερνισθείς, πρὸς τὸ τοῦ ᾍδου βάραθρον· Ἀλλ᾽ ὁ φύσει Θεός τε καὶ συμπαθής, κατῆλθες πρὸς ἔρευναν, καὶ ἐπ᾽ ὤμων βαστάσας συνανέστησας. Θεοτοκίον.

Ἡ Πανάγνος Δέσποινα, ἡ τεκοῦσα τοῖς βροτοῖς, τὸν Κυβερνήτην Κύριον, τῶν παθῶν μου τὸν ἄστατον καὶ δεινόν, κατεύνασον τάραχον, καὶ γαλήνην παράσχου τῇ καρδίᾳ μου.

Ἕτερος Σταυροαναστάσιμος. Συνεχέθη, ἀλλ᾽ οὐ κατεσχέθη.

Χριστοκτόνος, καὶ προφητοκτόνος, ἔφυ Ἑβραίων ἡ πληθύς. ὡς γὰρ Προφήτας πάλαι, ἀληθείας ὄντας, μυστικὰς ἀκτῖνας, κτεῖναι οὐκ ἐδεδοίκει· οὕτω καὶ νῦν τὸν Κύριον, ὃν ἐκήρυττον ἐκεῖνοι τότε, φθόνῳ βαλλόμενοι ἔκτειναν· ἀλλ᾽ ἡμῖν γέγονε, ζωὴ αὐτοῦ ἡ νέκρωσις.

Συνεχέθης, ἀλλ᾽ οὐ κατεσχέθης, Σῶτερ ἐν τῷ Μνήματι. εἰ γὰρ καὶ ἑκουσίως, ἀπεγεύσω τοῦ θανάτου Λόγε, ἀλλ᾽ ἀνέστης ὡς Θεὸς ἀθάνατος, συνεγείρας τοὺς δεσμίους τοὺς ἐν ᾍδῃ· καὶ χαρὰν Γυναιξὶν ἀντὶ τῆς λύπης, τῆς πρὶν ἀνταλλαξάμενος.

Σταυροθεοτοκίον.

Ἀτιμοῦσιν, καὶ ἔκλειπον ὤφθη, εἶδος σαρκὸς παρὰ βροτοῖς, ἐν τῷ καιρῷ τοῦ Πάθους. τῆς Θεότητος καὶ γὰρ οὐσία, ὡραῖος κάλλει τῷ Δαβὶδ ἐδείκνυσο. ἀλλὰ ῥάβδωσον τῆς Βασιλείας, ἐχθρῶν συντρίψας ἰσχύν, ἔλεγεν ἡ Ἁγνή, ὦ Υἱέ μου καὶ Θεέ, Τάφου ἀνάστηθι.

Ἄλλος, τῆς Θεοτόκου. Τοῦ βίου τὴν Θάλασσαν.

Ὁ Μέγας προέγραψεν, ἐν Προφήταις Μωϋσῆς, σὲ Κιβωτὸν καὶ Τράπεζαν, καὶ Λυχνίαν καὶ Στάμνον συμβολικῶς, σημαίνων τὴν Σάρκωσιν, τὴν ἐκ σοῦ τοῦ Ὑψίστου Μητροπάρθενε.

Νεκροῦται ὁ θάνατος, καταργεῖται καὶ φθορά, τὸ τοῦ Ἀδὰμ κατάκριμα, τῷ καρπῷ σου ὦ Δέσποινα προσβαλών· ζωὴν γὰρ ἐγέννησας, ἐκ φθορᾶς λυτρουμένην τοὺς ὑμνοῦντάς σε.

Ὁ Νόμος ἠθέτησε, καὶ παρῆλθεν ἡ σκιά, τῆς ὑπὲρ νοῦν καὶ ἔννοιαν, ἐκφανθείσης μοι χάριτος τῆς ἐκ σοῦ, Παρθένε κυήσεως, τοῦ Θεοῦ καὶ Σωτῆρος Πολυΰμνητε.

Κοντάκιον. Τὴν ὑπὲρ ἡμῶν.

Τῇ ζωαρχικῇ παλάμῃ τοὺς τεθνεῶτας, ἐκ τῶν ζοφερῶν κευθμώνων ὁ Ζωοδότης, ἀναστήσας ἅπαντας Χριστὸς ὁ Θεός, τὴν Ἀνάστασιν ἐβράβευσε, τῷ βροτείῳ φυράματι. ὑπάρχει γὰρ πάντων Σωτήρ, Ἀνάστασις, καὶ Ζωή, καὶ Θεὸς τοῦ παντός. Ὁ Οἶκος.

Τὸν Σταυρὸν καὶ τὴν Ταφήν σου Ζωοδότα, ἀνυμνοῦμεν οἱ πιστοί, καὶ προσκυνοῦμεν. Ὅτι τὸν ᾍδην ἔδησας Ἀθάνατε, ὡς Θεὸς Παντοδύναμος, καὶ νεκροὺς συνανέστησας, καὶ πύλας τοῦ ᾍδου συνέτριψας, καὶ κράτος τοῦ θανάτου καθεῖλες ὡς Θεός. Διὸ οἱ γηγενεῖς δοξολογοῦμέν σε πόθῳ, τὸν Ἀναστάντα, καὶ καθελόντα ἐχθροῦ τὸ κράτος τοῦ πανώλους, καὶ πάντας ἀναστήσαντα, τοὺς ἐπὶ σοὶ πιστεύσαντας, καὶ Κόσμον λυτρωσάμενον ἐκ τῶν βελῶν τοῦ ὄφεως, καὶ ὡς μόνον δυνατόν, ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ λυτρωσάμενον ἡμᾶς. Ὅθεν ἀνυμνοῦμεν εὐσεβῶς τὴν Ἀνάστασίν σου, δι᾽ ἧς ἔσωσας ἡμᾶς ὡς Θεὸς τοῦ παντός.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Δροσοβόλον μὲν τὴν Κάμινον εἰργάσατο, Ἄγγελος τοῖς Ὁσίοις Παισί· τοὺς Χαλδαίους δὲ καταφλέγον πρόσταγμα Θεοῦ, τὸν Τύραννον ἔπεισε βοᾶν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τροπάριον.

Ὀδυρόμενος τῷ Πάθει σου ὁ Ἥλιος, ζόφον περιεβάλλετο, καὶ ἐν ἡμέρᾳ ἐπὶ πᾶσαν Δέσποτα τὴν γῆν, τὸ φῶς συνεσκότασε βοῶν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἠμφιάσατο Χριστὲ τῇ καταβάσει σου, φέγγος τὰ καταχθόνια. ὁ Προπάτωρ δὲ θυμηδίας ἔμπλεως ὀφθείς, χαρᾷ ὢν ἐσκίρτησε βοῶν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Διὰ σοῦ Μήτηρ Παρθένε φῶς ἀνέτειλε, πάσῃ τῇ Οἰκουμένῃ φαιδρόν· τὸν γὰρ Κτίστην σὺ τῶν ἁπάντων τέτοκας Θεόν. ὃν αἴτησαι Πάναγνε ἡμῖν, καταπεμφθῆναι τοῖς Πιστοῖς τὸ μέγα ἔλεος.

Ἕτερος Σταυροαναστάσιμος. Ἄφραστον θαῦμα.

Ὢ Ξένου τρόπου, τὸν Ἰσραὴλ ὁ ῥυσάμενος, ἐκ δουλείας τῆς τοῦ Φαραώ, σταυροῦται ἑκὼν ὑπ᾽ αὐτοῦ, καὶ λύει σειρὰς ἀμπλακημάτων. ᾧ Πίστει μελῳδοῦμεν· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Σὲ τὸν Σωτῆρα, ἐν τῷ Κρανίῳ ἐσταύρωσαν, παρανόμων παῖδες ἀσεβεῖς, τὸν πύλας χαλκᾶς, καὶ μοχλοὺς συνθλάσαντα, εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Εὔας τῆς πάλαι, ἐλευθερίαν κυήσασα, τῆς κατάρας λύεις τὸν Ἀδάμ, Παρθένε Ἁγνή. διὸ

μετ᾽

μετ' Ἀγγέλων σε, σὺν τῷ Υἱῷ σου ὑμνοῦμεν, καὶ βοῶμεν· Λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ἄλλος, τῆς Θεοτόκου. Δροσοβόλον μὲν τὴν κάμινον.

Νεανίας τρεῖς ἡ Κάμινος οὐκ ἔφλεξε, γεννήσεώς σου προτυποῦσα τὴν σήν. τὸ γὰρ θεῖον πῦρ σε μὴ φλέξαν, ᾤκησεν ἐν σοί· καὶ πάντας ἐδίδαξε βοᾶν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Μακαρίζουσι τὰ πέρατα σὲ Πανάγνε, Μῆτερ ὡς προεφήτευσας, φωτιζόμενα φωτοβόλοις λάμψεσι ταῖς σαῖς, καὶ χάριτι μέλποντα βοᾶν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὀλεθρίως μὲν ὀδόντας μοι ἐνέπειρεν, Ὄφις ὁ πονηρότατος· ἀλλ' αὐτοὺς ὁ σὸς Θεομῆτορ ἔθλασεν Υἱός· ἰσχὺν δέ μοι δέδωκε βοᾶν· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἰλαστήριον τῆς φύσεως σὺ πέφυκας, μόνη Θεομακάριστε. τὸν ἐπ' ὤμων γὰρ Χερουβὶμ καθήμενον Θεόν, ἀγκάλαις βαστάζουσα βοᾷς· Εὐλογητὸς εἶ ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Ἐκ φλογὸς τοῖς Ὁσίοις δρόσον ἐπήγασας, καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας. ἅπαντα γὰρ δρᾷς, Χριστὲ μόνῳ τῷ βούλεσθαι. σὲ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Τροπάριον.

Ἰουδαίων τὸν πάλαι Προφητοκτόνον λαόν, Θεοκτόνον ὁ φθόνος νῦν ἀπειργάσατο, σὲ ἐπὶ Σταυροῦ ἀναρτήσαντα Λόγε Θεοῦ. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Οὐρανίους ἀψῖδας οὐ καταλέλοιπας, καὶ εἰς Ἅδου φοιτήσας, ὅλον συνήγειρας, κείμενον Χριστὲ ἐν σαπρίᾳ τὸν ἄνθρωπον· σὲ ὑπερυψοῦντα, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐκ φωτὸς φωτοδότην Λόγον συνέλαβες, καὶ τεκοῦσα ἀφράστως τοῦτον δεδόξασαι. Πνεῦμα γὰρ ἐν σοὶ Κόρη θεῖον ἐσκήνωσεν. ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος Σταυροαναστάσιμος. Ἔκστηθι φρῖττων Οὐρανέ.

Ἐφριξε πᾶσα ἀκοή, ὅπως ὁ Ὕψιστος, ἑκὼν ἦλθεν ἐπὶ γῆς, τοῦ Ἅδου τὴν ἰσχὺν χειρώσασθαι, διὰ Σταυροῦ καὶ ταφῆς, καὶ πάντας διεγεῖραι κραυγάζειν· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Πέπαυται Ἅδου Τυραννίς, καὶ τὸ Βασίλειον, ἐξηδένωται λοιπόν. Σταυρῷ γὰρ ἐπὶ Γῆς πηγνύμενος, ὁ ἐπὶ πάντων Θεός, τὴν τούτου δυναστείαν καθεῖλεν. ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὢ τῆς ἀφάτου σου Χριστέ, φιλανθρωπότητος, καὶ ἀρρήτων ἀγαθῶν· ἐμὲ γὰρ καθορῶν ὀλλύμενον, ἐν τῇ τοῦ Ἅδου φρουρᾷ, τὰ Πάθη ὑπομείνας ἐρρύσω. Διό σε εὐλογοῦμεν τὸν τῶν ὅλων Δεσπότην, καὶ ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος, τῆς Θεοτόκου. Ἐκ φλογὸς τοῖς Ὁσίοις.

Ἰαχρύσῳ ἐσθῆτι ὥσπερ Βασίλισσαν, ὁ Υἱός σου λαμπρυνῶν αἴγλῃ τοῦ Πνεύματος, σὲ ἐκ δεξιῶν αὐτοῦ ἔστησε Πανάγνε. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Ὁ θελήματι μόνῳ Κόσμον πηξάμενος, ἐξ ἀχράντου σου μήτρας σάρκα δανείζεται, ἄνωθεν αὐτὴν ἀναπλάσαι βουλόμενος. ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Συναφείας τοῦ Λόγου πρός με τὸν Ἄνθρωπον, ἐνδιαίτημα θεῖον Πανάγνε πέφυκας, λάμψασα σαφῶς Παρθενίας λαμπρότησιν. Ὅθεν σε ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Χρυσαυγής σε Λυχνία προδιετύπωσε, δεξαμένην ἀφράστως φῶς τὸ ἀπρόσιτον, γνώσει τῇ αὐτοῦ καταυγάζων τὰ σύμπαντα. Ὅθεν σε ὑμνοῦμεν, Ἁγνή εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα. διὰ σοῦ δὲ Πανάγνε ὡράθη βροτοῖς, Λόγος σεσαρκωμένος. ὃν μεγαλύνοντες, σὺν ταῖς οὐρανίαις Στρατιαῖς σὲ μακαρίζομεν.

Τροπάριον.

Παθῶν ἀμέτοχος σὺ διέμεινας, Λόγε Θεοῦ σαρκί, προσομιλήσας τοῖς Πάθεσιν. ἀλλὰ λύεις τῶν παθῶν τὸν Ἄνθρωπον, πάθεσι χρηματίσας, πάθος Σωτὴρ ἡμῶν. μόνος γὰρ ὑπάρχεις ἀπαθής, καὶ Παντοδύναμος.

Φθορὰν θανάτου καταδεξάμενος, διαφθορᾶς ἐτήρησας τὸ Σῶμά σου ἄγευστον. ἡ δὲ σὴ ζωοποιός, καὶ θεία ψυχή, Δέσποτα ἐν τῷ Ἅδῃ οὐ καταλέλειπται· ἀλλ' ὥσπερ ἐξ ὕπνου ἀναστάς, ἡμᾶς συνήγειρας.

Τριαδικόν.

Θεὸν Πατέρα, Υἱὸν συνάναρχον, πάντες βροτοὶ ἐν χείλεσιν ἁγνοῖς μεγαλύνομεν, τὴν δὲ ἄρρητον καὶ ὑπερένδοξον, Πνεύματος Παναγίου δύναμιν σέβομεν. μόνη γὰρ ὑπάρχεις παντοσθενής, Τριὰς ἀχώριστος.

Ἕτερος Σταυροαναστάσιμος. Μὴ ἐποδύρου μου Μῆτερ.

Εἰ καὶ ἐν τάφῳ κατῆλθες, ὡς θνητὸς Ζωοδότα· ἀλλὰ τοῦ Ἅδου τὴν ἰσχύν, διέλυσας Χριστέ, συνεγείρας νεκρούς, οὓς καὶ συγκατέπιε. καὶ Ἀνάστασιν πᾶσι παρέχεις ὡς Θεός, τοῖς ἐν Πίστει καὶ πόθῳ, σὲ μεγαλύνουσιν.

Ἀγαλλιάσθω ἡ Κτίσις, καὶ ἀνθείτω ὡς κρίνον. ὁ γὰρ Χριστὸς ἐκ τῶν νεκρῶν; ἠγέρθη ὡς Θεός· ποῦ σου θάνατε νῦν τὸ κέντρον; κραζόμεν· ποῦ σου Ἅδη τὸ νῖκος; καθεῖλέ σε εἰς γῆν, ὁ ὑψώσας τὸ κέρας ἡμῶν ὡς Εὔσπλαγχνος.

Σταυροθεοτοκίον.

Φέρεις τὸν φέροντα πάντα, καὶ κατέχεις ὡς βρέφος, ἐν ταῖς χερσὶ τὸν ἐκ χειρός, ῥυόμενον ἡμᾶς, πολεμίου ἐχθροῦ, Ἄχραντε Δέσποινα· καὶ ὁρᾷς ἐπὶ ξύλου, ὑψούμενον Σταυροῦ, τὸν ἐκ βόθρου κακίας, ἡμᾶς ὑψώσαντα.

Ἄλλος, τῆς Θεοτόκου. Θεὸν ἀνθρώποις ἰδεῖν.

Ἀστὴρ ἐκλάμπων αὐγαῖς Θεότητος, ἐξ Ἰακὼβ τοῖς ζόφῳ κρατουμένοις ἀνέτειλε, διὰ σοῦ νῦν Πανάγνε Χριστὸς ὁ Θεός, Λόγος σεσαρκωμένος, ᾧ φωτιζόμενοι, σὺν ταῖς Οὐρανίαις Στρατιαῖς, σὲ μακαρίζομεν.

Ῥωσθεὶς δυνάμει τῇ σῇ καὶ χάριτι, σοὶ τὴν ᾠδὴν προθύμως ἐκ καρδίας ἀνέθηκα. Ἀλλὰ ταύτην πρόσδεξαι Παρθένε Ἁγνή, χάριν ἀντιδιδοῦσα, σοῦ τὴν πολύφωτον, ἐκ τῶν ἀκηράτων θησαυρῶν, Θεομακάριστε.

Ἱστὸς ἐδείχθης σαφῶς Θεότητος, ἐν ᾧ στολὴν τοῦ σώματος ὁ Λόγος ἐξύφανε, θεουργήσας τὴν ἐμὴν Παρθένε μορφήν· ἥνπερ ἐνδεδυμένος πάντας διέσωσε, τοὺς ἐκ διανοίας καθαρᾶς, σὲ μεγαλύνοντας.

Νεκροῖς Ἀνάστασις νῦν δεδώρηται, διὰ τῆς σῆς ἀφράστου, καὶ ἀρρήτου κυήσεως, Θεοτόκε Πανάγνε. Ζωὴ γὰρ ἐκ σοῦ, σάρκα περικειμένη, πᾶσιν ἐξέλαμψε, καὶ τὸ τοῦ θανάτου ἀμειδές, σαφῶς διέλυσε.



ΑΝΕΜΗ ΨΗΦΙΑΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

Εἰς τοὺς Αἴνους, Στιχηρὰ Ἀναστάσιμα.

Ὁ Σταυρός σου Κύριε, Ζωὴ καὶ Ἀνάστασις ὑπάρχει τῷ Λαῷ σου· καὶ ἐπ' αὐτῷ πεποιθότες, σὲ τὸν ἀναστάντα Θεὸν ἡμῶν ὑμνοῦμεν, ἐλέησον ἡμᾶς.

Ἡ Ταφή σου Δέσποτα, Παράδεισον ἤνοιξε τῷ γένει τῶν Ἀνθρώπων· καὶ ἐκ φθορᾶς λυτρωθέντες, σὲ τὸν ἀναστάντα Θεὸν ἡμῶν ὑμνοῦμεν, ἐλέησον ἡμᾶς.

Σὺν Πατρὶ, καὶ Πνεύματι, Χριστὸν ἀνυμνήσωμεν, τὸν ἀναστάντα ἐκ νεκρῶν· καὶ πρὸς αὐτὸν ἐκβοῶμεν· σὺ Ζωὴ ὑπάρχεις ἡμῶν, καὶ Ἀνάστασις, ἐλέησον ἡμᾶς.

Τριήμερος ἀνέστης Χριστὲ, ἐκ τάφου καθὼς γέγραπται, συνεγείρας τὸν Προπάτορα ἡμῶν· διό σε καὶ δοξάζει, τὸ γένος τῶν Ἀνθρώπων, καὶ ἀνυμνεῖ σου τὴν Ἀνάστασιν.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

Κύριε μέγα, καὶ φοβερὸν ὑπάρχει, τῆς σῆς Ἀναστάσεως τὸ Μυστήριον. οὕτω γὰρ προῆλθες ἐκ τοῦ τάφου, ὡς Νυμφίος ἐκ παστάδος· Θανάτῳ θάνατον λύσας, ἵνα τὸν Ἀδὰμ ἐλευθερώσῃς. ὅθεν ἐν Οὐρανοῖς Ἄγγελοι χορεύουσι, καὶ ἐπὶ γῆς Ἄνθρωποι δοξάζουσι, τὴν εἰς ἡμᾶς γενομένην, εὐσπλαγχνίαν σου Φιλάνθρωπε.

Ὦ Παράνομοι Ἰουδαῖοι, ποῦ εἰσὶν αἱ σφραγῖδες, καὶ τὰ ἀργύρια, ἃ ἐδώκατε τοῖς στρατιώταις, οὐκ ἐκλάπη ὁ Θησαυρὸς, ἀλλὰ ἀνέστη ὡς δυνατός· αὐτοὶ δὲ κατῃσχύνθητε, ἀρνησάμενοι Χριστὸν, τὸν Κύριον τῆς δόξης, τὸν παθόντα, καὶ ταφέντα, καὶ ἀναστάντα ἐκ νεκρῶν· αὐτὸν προσκυνήσωμεν.

Σφραγισθέντος τοῦ Μνήματος, πῶς ἐσυλήθητε Ἰουδαῖοι, φύλακας καταστήσαντες, καὶ σημεῖα θέντες; τῶν θυρῶν κεκλεισμένων, προῆλθεν ὁ Βασιλεύς. ἢ ὡς νεκρὸν παραστήσατε, ἢ ὡς Θεὸν προσκυνήσατε, σὺν ἡμῖν μελῳδοῦντες· δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ Ἀναστάσει σου.

Τὸ ζωοδόχον σου Μνῆμα, αἱ Μυροφόροι Γυναῖκες, ὀδυρόμεναι κατέλαβον Κύριε· καὶ μύρα βαστάζουσαι, τὸ Σῶμά σου τὸ ἄχραντον μυρίσαι ἐπεζήτουν. εὗρον δὲ φωτοφόρον Ἄγγελον, ἐν τῷ λίθῳ καθήμενον, καὶ πρὸς αὐτὰς φθεγγόμενον, καὶ λέγοντα· τί δακρύετε τὸν ἐκ πλευρᾶς πηγάσαντα τῷ Κόσμῳ τὴν ζωήν; τί ἐπιζητεῖτε ὥσπερ θνητὸν ἐν μνήματι τὸν ἀθάνατον; δραμοῦσαι δὲ μᾶλλον, ἀπαγγείλατε τοῖς αὐτοῦ Μαθηταῖς, τῆς αὐτοῦ ἐνδόξου Ἀναστάσεως, τὴν παγκόσμιον χαρμονήν. ἐν ᾗ καὶ ἡμᾶς Σωτὴρ φωτίσας, δώρησαι ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοί.

Μνήσθητί μου, ὁ Θεὸς ὁ Σωτήρ μου, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου, καὶ σῶσόν με, ὡς μόνος φιλάνθρωπος.

Διὰ ξύλου, τὸν Ἀδὰμ ἀπατηθέντα, διὰ ξύλου Σταυροῦ πάλιν ἔσωσας, Λῃστὴν βοῶντα· Μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Τὸν ἐν ξύλῳ, τοῦ Σταυροῦ προσηλωθέντα, καὶ τὸν Κόσμον ἐκ πλάνης ῥυσάμενον, συμφώνως πάντες, Χριστὸν ἀνυμνήσωμεν.

Ἅδου πύλας, καὶ μοχλοὺς συντρίψας Ζωοδότα, ἀνέστησας ἅπαντας, Σωτὴρ βοῶντας· δόξα τῇ Ἐγέρσει σου.

Μνήσθητί μου, ὁ τὸν θάνατον σκυλεύσας, τῇ Ταφῇ σου, καὶ τῇ Ἀναστάσει σου, χαρᾶς τὰ πάντα, πληρώσας ὡς Εὔσπλαγχνος.

Μυροφόροι, ἐν τῷ μνήματι ἐλθοῦσαι, τοῦ Ἀγγέλου κραυγάζοντος ἤκουον· Χριστὸς ἀνέστη, φωτίσας τὰ σύμπαντα.

Δόξα.

Τὸν Πατέρα, καὶ Υἱὸν δοξολογοῦμεν, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον λέγοντες· Τριὰς Ἁγία, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ Ἀῤῥήτως, ἐπ' ἐσχάτων συλλαβοῦσα, καὶ τεκοῦσα τὸν Κτίστην τὸν ἴδιον, Παρθένε σῶζε, τοὺς σὲ μεγαλύνοντας.

ΤΕΛΟΣ τοῦ πλ. Β'. Ἤχου.

Ἔκτος μελῳδὸς, ἀλλ' ὑπέρπρωτος πέλεις,
Ὁ Δεύτερος σὺ, τῶν μελῶν δευτερεύων.
Τὰς ἡδονὰς σὺ διπλοσυνθέτους φέρεις,
Τοῦ Δευτέρου πῶς δευτερεύων δευτέρως.
Σὲ τὸν μελιχρὸν, τὸν γλυκὺν, τὸν τέττιγα,
Τὸν ἐν πλαγίοις Δεύτερον, τίς οὐ φιλεῖ;

---

## ΤΩ͂ ΣΑΒΒΑ͂ΤΩ, ἙΣΠΕ͂ΡΑΣ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ Ἀναστάσιμα.

Ἦχος Βαρύς.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, τῷ συντρίψαντι Θανάτου τὸ κράτος, καὶ φωτίσαντι Ἀνθρώπων τὸ γένος, μετὰ τῶν Ἀσωμάτων κραυγάζοντες· Δημιουργὲ, καὶ Σωτὴρ ἡμῶν δόξα σοι.

Σταυρὸν ὑπέμεινας Σωτὴρ, καὶ Ταφὴν δι' ἡμᾶς· Θανάτῳ δὲ ὡς Θεὸς, Θάνατον ἐνέκρωσας. Διὸ προσκυνοῦμεν τὴν τριήμερόν σου Ἀνάστασιν· Κύριε δόξα σοι.

Ἀπόστολοι ἰδόντες τὴν Ἔγερσιν τοῦ Δημιουργοῦ, ἐθαύμαζον βοῶντες, τὴν αἴνεσιν τὴν Ἀγγελικήν. αὕτη ἡ δόξα τῆς Ἐκκλησίας, οὗτος ὁ πλοῦτος τῆς Βασιλείας. ὁ παθὼν δι' ἡμᾶς, Κύριε δόξα σοι.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

Κἂν συνελήφθης Χριστὲ, ὑπὸ ἀνόμων ἀνδρῶν, ἀλλὰ σύ μου εἶ Θεὸς, καὶ οὐκ αἰσχύνομαι. Ἐμαστίχθης τὸν νῶτον, οὐκ ἀρνοῦμαι. Σταυρῷ προσηλώθης, καὶ οὐ κρύπτω. εἰς τὴν Ἔγερσίν σου καυχῶμαι. ὁ γὰρ Θάνατός σου ζωή μου· Παντοδύναμε, καὶ φιλάνθρωπε, Κύριε δόξα σοι.

Δαβιτικὴν προφητείαν ἐκπληρῶν, Χριστὸς μεγαλειότητα, ἐν Σιὼν τὴν οἰκείαν Μαθηταῖς ἐξεκάλυψεν· αἰνετὸν δεικνὺς ἑαυτὸν, καὶ δοξαζόμενον ἀεὶ, σὺν Πατρί τε, καὶ Πνεύματι Ἁγίῳ. πρότερον μὲν ἄσαρκον ὡς Λόγον, ὕστερον δὲ δι' ἡμᾶς σεσαρκωμένον. καὶ νεκρωθέντα ὡς ἄνθρωπον, καὶ ἀναστάντα κατ' ἐξουσίαν ὡς φιλάνθρωπον.

Κατῆλθες ἐν τῷ Ἅδῃ Χριστὲ, ὡς ἠβουλήθης, ἐσκύλευσας τὸν Θάνατον, ὡς Θεὸς καὶ Δεσπότης, καὶ ἀνέστης τριήμερος, συναναστήσας τὸν Ἀδὰμ, ἐκ τῶν τοῦ Ἅδου δεσμῶν καὶ τῆς φθορᾶς, κραυγάζοντα, καὶ λέγοντα· δόξα τῇ Ἀναστάσει σου, μόνε φιλάνθρωπε.

Ἐν τάφῳ κατετέθης ὡς ὁ ὑπνῶν Κύριε, καὶ ἀνέστης τριήμερος, ὡς δυνατὸς ἐν ἰσχύϊ, συναναστήσας τὸν Ἀδὰμ, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ὡς Παντοδύναμος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Μήτηρ μὲν ἐγνώσθης ὑπὲρ φύσιν Θεοτόκε· ἔμεινας δὲ Παρθένος ὑπὲρ λόγον καὶ ἔννοιαν. καὶ τὸ θαῦμα τοῦ Τόκου σου, ἑρμηνεῦσαι γλῶσσα οὐ δύναται· παραδόξου γὰρ οὔσης τῆς συλλήψεως Ἁγνὴ, ἀκατάληπτός ἐστιν ὁ τρόπος τῆς κυήσεως. ὅπου γὰρ βούλεται

Θεός, νικᾶται φύσεως τάξις. Διόσε πάντες Μητέρα τοῦ Θεοῦ γινώσκοντες, δεόμεθά σου ἐκτενῶς πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρά.

Ἀνέστης ἐκ τοῦ Τάφου Σωτὴρ τοῦ Κόσμου, καὶ συνήγειρας τοὺς ἀνθρώπους; σὺν τῇ σαρκί σου. Κύριε δόξα σοι. Τὰ κατ' Ἀλφάβητον.

Τὸν ἀναστάντα ἐκ νεκρῶν, καὶ φωτίσαντα πάντα, δεῦτε προσκυνήσωμεν. ἐκ τῆς τοῦ Ἅδου γὰρ Τυραννίδος, ἡμᾶς ἠλευθέρωσε, διὰ τῆς αὐτοῦ τριημέρου Ἐγέρσεως, ζωὴν ἡμῖν δωρησάμενος, καὶ τὸ μέγα ἔλεος.

Ὑπὸ τὸν Ἅδην κατελθὼν Χριστέ, Θάνατον ἐσκύλευσας· καὶ τριήμερος ἀναστάς, ἡμᾶς συναναστήσας, δοξάζοντας τὴν σὴν παντοδύναμον Ἔγερσιν, Κύριε φιλάνθρωπε.

Φοβερὸς ὤφθης Κύριε, ἐν Τάφῳ κείμενος ὡς ὁ ὑπνῶν· Ἀναστὰς δὲ τριήμερος ὡς δυνατός, τὸν Ἀδὰμ συναναστήσας, κραυγάζοντα· δόξα τῇ Ἀναστάσει σου, μόνε φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὑπὸ τὴν σὴν Δέσποινα σκέπην, πάντες οἱ γηγενεῖς· προσπεφευγότες βοῶμεν σοι· Θεοτόκε ἡ ἐλπὶς ἡμῶν, ῥῦσαι ἡμᾶς ἐξ ἀμέτρων πταισμάτων, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν. Ἀπολυτίκιον.

Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον, ἠνέῳξας τῷ Λῃστῇ τὸν Παράδεισον. τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες, καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας· ὅτι ἀνέστης Χριστὲ ὁ Θεός, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Θεοτοκίον.

Ὡς τῆς ἡμῶν Ἀναστάσεως θησαύρισμα, τοὺς ἐπὶ σοὶ πεποιθότας Πανύμνητε, ἐκ λάκκου καὶ βυθοῦ πταισμάτων ἀνάγαγε. σὺ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ ἔσωσας, τεκοῦσα τὴν σωτηρίαν. ἡ πρὸ τόκου Παρθένος, καὶ ἐν τόκῳ Παρθένος, καὶ μετὰ τόκον πάλιν μένεις Παρθένος.

---

## ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ΠΡΩΐ.

Ἐν τῷ Μεσονυκτικῷ. Κανὼν Τριαδικός.

Οὗ ἡ ἀκροστιχίς.

Αἰνῶ Τριάς σε, τὴν Μοναρχικὴν Φύσιν.

Ὠδὴ α΄. Νάρκισσε σου πρὸς γεώδη.

Ἀνοιξόμεν τὸ στόμα, τὸ νοερὸν τῆς καρδίας, καὶ χείλη τὰ ἔνυλα, πρὸς αἴνεσίν σου τρίφωτε, μία Θεότης ἁπάντων, ᾄδειν σοι ᾠδὴν φωτουργὲ χαριστήριον.

Ἵνα τὸ ὑπερβάλλον, τῆς σῆς χρηστότητος δείξῃς, διέπλασας ἄνθρωπον, Τριὰς ἀπειροδύναμε, μόνον εἰκόνα πηλίνην, σοῦ τῆς ἀρχικῆς, πλαστουργὲ Κυριότητος.

Νοῦς ὁ ἄναρχος Λόγον, συναϊδίως γεννήσας, καὶ Πνεῦμα συνάναρχον, ἐκλάμψας κατηξίωσεν, ἕνα Θεὸν κατ' οὐσίαν, σύμμορφον ἡμᾶς, προσκυνεῖν Τρισυπόστατον. Θεοτοκίον.

Ὤφθης ἐπὶ τῆς Βάτου, τῷ Μωϋσῇ Θεοῦ Λόγε, ὡς πῦρ καθαρτήριον, μὴ φλέγον δὲ τὸ σύνολον, τὴν ἐκ Παρθένου προτυπῶν σου, σάρκωσιν δι' ἧς, τοὺς βροτοὺς ἀνεμόρφωσας.

Ὠδὴ γ΄. Ὁ κατ' ἀρχὰς τοὺς Οὐρανούς.

Τὸν ἑνικὸν καὶ τριλαμπῆ, καὶ παντουργόν σε Δέσποτα, ἀνυμνοῦντες τῶν ἁμαρτιῶν, καὶ τῶν πειρασμῶν αἰτοῦμεν λύτρωσιν, ἀπειροδύναμε Θεέ. μὴ οὖν παρίδῃς τοὺς πίστει, σοῦ τὴν ἀγαθότητα δοξάζοντας.

Ῥ'Ἀδαμνος ὤφθης ἐκ Πατρός, ὡς ἀπὸ ῥίζης ἀνάρχου, Θεὸς Λόγος καὶ ἰσοσθενής, σὺν τῷ συμφυεῖ καὶ Θείῳ Πνεύματι. καὶ διὰ τοῦτο οἱ Πιστοί, Τριαδικὴν τοῖς προσώποις, μίαν Κυριότητα δοξάζομεν.

Ἰσοκλεῆ καὶ συμφυῆ, τὴν Τρισυπόστατον φύσιν, ἀμερίστως καὶ διαιρετῶς, καὶ μοναρχικὴν Τριάδα, πάντες σε, δοξολογοῦμεν οἱ πιστοί, καὶ προσκυνοῦντες αἰτοῦμεν, τῶν πλημμελημάτων τὴν συγχώρησιν.

Θεοτοκίον.

Ἀναλλοιώτως τοῖς βροτοῖς, ὁμοιωθεὶς κατὰ πάντα, Θεοῦ Λόγε, Κόρης ἐξ Ἁγνῆς, προῆλθες σαφῶς, καὶ πᾶσιν ἔδειξας, τὴν Θεαρχίαν τριλαμπῆ, καὶ ἑνικὴν τῇ οὐσίᾳ, τῶν ἀπαραλλάκτων Ὑποστάσεων.

Κάθισμα Τριαδικόν. Ὁ δι' ἐμὲ ἀναχούμενος.

Ἡμαρτηκότας ἐλέησον, Τριὰς Ἁγία τοὺς δούλους σου, καὶ δέξαι μετανοοῦντάς σοι εὔσπλαγχνε, καὶ συγχωρήσεως ἀξίωσον.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὰς κακωθείσας ψυχὰς ἡμῶν, ταῖς ἁμαρτίαις, ἀγάθυνον, Πάναγνε Θεοτόκε, καὶ λύτρωσαι πταισμάτων, τοὺς σὲ ὑμνοῦντας Θεονύμφευτε.

Ὠδὴ δ΄. Ὁ Πατρικοὺς κόλπους μὴ λιπών.

Συνεκτικὴ τρίφωτε Μονάς, θεαρχικὴ καὶ σωστικὴ τῶν ὅλων, τοὺς σοὺς ὑμνῳδοὺς νῦν περιφρούρησον, καὶ σῶσον ἐκ θλίψεως, καὶ παθῶν, καὶ πάσης κακώσεως.

Σημαντικῶν λέξεων τῆς σῆς, ἀκαταλήπτου τριφαοῦς Θεότητος, ἀποροῦντες ἀνυμνοῦμέν σε, φιλάνθρωπε Κύριε, καὶ δοξάζομέν σου τὴν δύναμιν.

Ἐπὶ τῆς Γῆς ὡς ἐν Οὐρανοῖς, σὺν Ἀσωμάτων τοῖς χοροῖς, Μονὰς καὶ Τριὰς ἀμερίστως σε μερίζομεν, καὶ πόθῳ δοξάζομεν, ὡς τῶν ὄντων πάντων δεσπόζουσαν. Θεοτοκίον.

Τῆς Πατρικῆς δόξης οὐκ ἐκστάς, εἰς τὴν ἡμῶν ἐσχατιὰν κατῆλθες ἑκών, σαρκωθεὶς ὁ ὑπερούσιος, καὶ πάντας ἀνύψωσας, πρὸς τὴν Θείαν δόξαν ὡς εὔσπλαγχνος. Ὠδὴ ε΄. Ὀρθρίζοντες.

Ἡ Ἀρχίφωτος φύσις, Τριὰς τοῖς χαρακτῆρσι, καὶ Μονὰς ἐν βουλήσει, καὶ δόξῃ, καὶ τιμῇ, κραταίωσον ἡμᾶς, εἰς τὴν σὴν ἀγάπησιν. Δίς.

Νοῦν, καὶ Λόγον, καὶ Πνεῦμα, τὴν μίαν Θεαρχίαν, καὶ Τρισήλιον φύσιν, δοξάζοντες αἰτοῦμεν, ῥυσθῆναι πειρασμῶν, καὶ παντοίων θλίψεων.

Θεοτοκίον.

Μορφωθεὶς Θεοῦ Λόγε, τὴν φύσιν τῶν ἀνθρώπων, ἐξ Ἁγίας Παρθένου, Τριάδα ἐν Μονάδι, ἐδίδαξας ὑμνεῖν, σύμμορφον καὶ σύνθρονον.

Ὠδὴ ϛ΄. Ναυτιῶντα σάλῳ.

Ὁμοδόξῳ κράτει, τὴν Μοναρχικὴν Θεαρχίαν, τρισὶν Ὑποστάσεσι πεφυκυῖαν, ἀπαραλλάκτως ἀλλήλαις δοξάζομεν· τὴν διαφορὰν ἐχούσαις μόνην, τῆς ὑπαρκτικῆς ἑκάστης Ἰδιότητος. Δίς.

Νοεραί σε τάξεις, τῶν Ἀγγελικῶν διακόσμων, αἰνοῦσι Τρισήλιε Μοναρχία. μεθ' ὧν καὶ ἡμεῖς ἐν πηλίνοις στόμασιν, ὡς ποιητικὴν ἁπάντων μόνην, ἀνυμνολογοῦμεν, καὶ πιστῶς δοξάζομεν. Θεοτοκίον.

Ἀπορρήτῳ λόγῳ, Λόγος γεννηθεὶς ἐξ Ἡλίου; Πατρὸς ἄλλος Ἥλιος, πρὸ αἰώνων, ἐκ τῆς Παρθένου ἐσχάτως ἀνέτειλε, καὶ Μοναδικὸν τρισὶ προσώποις, τὸν ἀπερινόητον Θεὸν ἐδίδαξε.

Κάθισμα Τριαδικόν. Πυρὸς φωτεινότερον.

Τριὰς Ὁμοούσιε, Μονὰς Τρισυπόστατε, ἐλέησον οὓς ἔπλασας ἀθάνατε, καταφλέγουσα κακίας τῶν πταιόντων, καὶ φωτίζουσα καρδίας τῶν ὑμνούντων, τὴν εὐσπλαγχνίαν σου, ὁ Θεὸς ἡμῶν δόξα σοι.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Πρὸς φωτεινότερον, φωτὸς ἐνεργέστερον, τὸ ἔλεος τῆς χάριτός σου Δέσποινα· καταφλέγον ἁμαρτίας τῶν ἀνθρώπων, καὶ δροσίζον διανοίας τῶν ὑμνούντων, τὰ μεγαλεῖά σου Θεοτόκε Πανάμωμε.

ᾨδὴ ζ΄. Οἱ ἐν καμίνῳ τοῦ πυρός.

Ῥήσεσι Θείων Προφητῶν, πειθαρχοῦντες ἕνα σε μόνον, Θεὸν τῶν ὅλων δοξάζομεν, ἐν τρισὶ χαρακτῆρσιν, οὕτω βοῶντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Δίς.

Χοϊκοῖς χείλεσιν ἡμεῖς, σὺν ἀΰλοις Τάξεσιν ὕμνοις, Τριὰς Ἁγία σε μέλπομεν, ἐν Μονάδι οὐσίας ἀναβοῶντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

Ἵνα ὁ πλάσας τὸν Ἀδάμ, ἀναπλάσῃ Πάναγνε πάλιν, ἐκ σοῦ σαφῶς ἐνηνθρώπησε, τοὺς ἀνθρώπους θεώσας, οὕτω βοῶντας· Εὐλογημένος Πάναγνε, ὁ Καρπὸς τῆς κοιλίας σου.

ᾨδὴ η΄. Ἄφλεκτος πυρί.

Κρατεῖς τοῦ παντός, ἡ τριττὴ καὶ ἑνιαία, Κυριαρχία ἄναρχε, καὶ διιθύνεις Οὐρανὸν καὶ τὴν Γῆν. διό με φίλτρῳ τῷ σῷ, καταθελγόμενον ἀεί, φύλαξον ψάλλειν σοι· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡλίου βολαῖς, τρισλαμπέσι καταυγασθῆναι, φωτουργικαῖς ἀξίωσον, τῶν ὑμνῳδούντων σου τὰς καρδίας, καὶ νῦν, ὁρᾶν τὸ κάλλος τὸ σόν, Τριὰς Μονὰς ὡς ἐφικτόν, δώρησαι πάντοτε, πάντων τῶν πίστει πρεπούσῃ, τὴν σὴν μεγαλωσύνην, ἀνυμνολογούντων εἰς πάντας τοὺς αἰῶνας.

Ναόν με τῆς σῆς, τριφαοῦς ποίησον αἴγλης, Ἀγαθουργὲ φιλάνθρωπε, καὶ μετουσίας καὶ μεθέξεως, ἀπρόσιτον τοῖς ἐχθροῖς, τοῖς ἀοράτοις καὶ σαρκός, πάθεσι Δέσποτα, δεῖξον Μονάρχα Θεέ μου, καὶ Κύριε τῆς δόξης, σοῦ ὑμνολογεῖν σε εἰς πάντας τοὺς αἰῶνας. Θκίον.

Φῶς θεαρχικόν, ἐκ Γαστρός σου ἀνατεῖλαν, Παρθενομῆτορ Ἄχραντε, πάντα τὸν Κόσμον τρισηλίῳ φωτί, κατηύγασε καὶ τὴν Γῆν, καθάπερ ἄλλον Οὐρανὸν ἔδειξε ψάλλουσαν· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ᾨδὴ θ΄. Μήτηρ Θεοῦ, καὶ Παρθένος.

Ὑψηγορεῖν, καὶ ὑμνεῖν ἀξίωσε, ὃν ἐν ὑψίστοις ἀπαύστως, Σεραφὶμ ἀνυμνοῦσι, οὐκ ἐξισχύομεν οἱ πήλινοι. πλὴν ὡς Δεσπότην τῶν ὅλων τολμῶντες, καὶ φιλανθρωπότατον Θεὸν μεγαλύνομεν.

Σωματικῆς ἀλγηδόνος λύτρωσαι, καὶ ψυχικῆς ἐμπαθείας, τοὺς ὑμνῳδούς σου, μοναδικὴ Τριὰς ἀχώριστε, καὶ διαφυλάττεσθαι ἀτρώτους, ἐκ πάντων τῶν βιωτικῶν πειρατηρίων ἀξίωσον.

Ἰσοσθενὴς Θεαρχία τρισήλιε, προϊσχομένη τὸ κράτος, ἀπαράλλακτον κάλλος, τῆς οὐσιώδους ἀγαθότητος, δὸς τῶν πταισμάτων τὴν λύσιν σοῖς δούλοις, καὶ τῶν πειρασμῶν καὶ παθῶν ἀπολύτρωσιν. Θκίον.

Νοῦν καὶ ψυχὴν καὶ σαρκὸς τὸ φύραμα, προσειληφὼς Θεοτόκε, ἐκ σῆς Μήτρας ἀχράντου, ὁ Θεὸς Λόγος κατ' ἀλήθειαν Ἄνθρωπος ὤφθη· καὶ θείας οὐσίας, κοινωνὸν τὸν ἄνθρωπον, σαφῶς ἀπέφηνε.

## ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΪ.

Μετὰ τὴν α΄. Στιχολογ. Καθίσματα Ἀναστάσιμα.

Ἡ Ζωὴ ἐν τῷ τάφῳ ἀνέκειτο, καὶ σφραγὶς ἐν τῷ λίθῳ ἐπέκειτο· ὡς Βασιλέα ὑπνοῦντα, στρατιῶται ἐφύλαττον Χριστόν. καὶ Ἄγγελοι ἐδόξαζον, ὡς Θεὸν ἀθάνατον. Γυναῖκες δὲ ἐκραύγαζον· ἀνέστη ὁ Κύριος, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος. Δόξα.

Τῇ τριημέρῳ Ταφῇ σου σκυλεύσας τὸν θάνατον, καὶ φθαρέντα τὸν ἄνθρωπον, τῇ ζωηφόρῳ Ἐγέρσει σου, ἀναστήσας Χριστὲ ὁ Θεός, ὡς Φιλάνθρωπος, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν, καὶ ἀναστάντα Χριστὸν τὸν Θεόν, καὶ καθελόντα τοῦ θανάτου τὸ κράτος, ἀπαύστως ἱκέτευε, Θεοτόκε Παρθένε, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Μετὰ τὴν β΄. Στιχολ. Καθίσμ. Ἀναστάσιμα.

Ἐσφραγισμένου τοῦ μνήματος, ἡ Ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός· καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης, ἡ πάντων Ἀνάστασις· Πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος. Δόξα.

Ἐπὶ τὸ μνῆμα ἔδραμον Γυναῖκες, μετὰ δακρύων μῦρα φέρουσαι, καὶ στρατιωτῶν φυλασσόντων σε τὸν τῶν ὅλων Βασιλέα, ἔλεγον πρὸς ἑαυτάς· τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον; ἀνέστη ὁ μεγάλης βουλῆς Ἄγγελος, πατήσας τὸν θάνατον· Παντοδύναμε Κύριε δόξα σοι. Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε Κεχαριτωμένη Θεοτόκε Παρθένε, λιμὴν καὶ προστασία τοῦ γένους τῶν ἀνθρώπων. ἐκ σοῦ γὰρ ἐσαρκώθη ὁ Λυτρωτὴς τοῦ Κόσμου. μόνη γὰρ ὑπάρχεις, Μήτηρ καὶ Παρθένος, ἀεὶ εὐλογημένη, καὶ δεδοξασμένη. πρέσβευε Χριστῷ τῷ Θεῷ, εἰρήνην δωρήσασθαι, πάσῃ τῇ Οἰκουμένῃ.

Μετὰ τὸν Ἄμωμον, Ἡ Ὑπακοή.

Ὁ ἡμετέραν μορφὴν ἀναλαβών, καὶ ὑπομείνας Σταυρὸν σωματικῶς, σῶσόν με τῇ Ἀναστάσει σου, Χριστὲ ὁ Θεὸς ὡς φιλάνθρωπος.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον Α΄.

Τὴν αἰχμαλωσίαν Σιών, ἐκ πλάνης ἐπιστρέψας, κἀμὲ Σωτὴρ ζώωσον, ἐξαίρων δουλοπαθείας.

Ἐν τῷ νότῳ ὁ σπείρων θλίψεις, νηστείας μετὰ δακρύων, οὗτος χαρᾶς δρέψεται, δράγματα ἀειζωοτροφίας. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πηγὴ τῶν θείων θησαυρισμάτων, ἐξ οὗ Σοφία, Σύνεσις, φόβος· αὐτῷ αἴνεσις, δόξα, τιμή, καὶ κράτος.

Ἀντίφωνον Β΄.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον τὸν τῆς ψυχῆς, μάτην κοπιῶμεν, πλὴν γὰρ αὐτοῦ, οὐ πρᾶξις, οὐ λόγος τελεῖται.

Τοῦ καρποῦ τῆς Γαστρὸς οἱ Ἅγιοι Πνεύματι κινήτως, ἀναβλαστοῦσι πατρῷα δόγματα υἱοθεσίας.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὰ σύμπαντα τὸ εἶναι ἔχει· πρὸ πάντων γὰρ Θεός, τῶν ὅλων Κυριότης, φῶς ἀπρόσιτον, Ζωὴ τῶν πάντων.

Ἀντίφωνον Γ΄.

Οἱ φοβούμενοι τὸν Κύριον, ὁδοὺς ζωῆς εὑρόντες, νῦν καὶ ἀεὶ μακαρίζονται, δόξῃ ἀκηράτῳ.

Κύκλῳ τῆς τραπέζης σου, ὡς στελέχη βλέπων τὰ ἔγγονά σου, χαῖρε, εὐφραίνου, προσάγων ταῦτα, τῷ Χριστῷ Ποιμενάρχα. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, βυθὸς χαρισμάτων, πλοῦτος δόξης, κριμάτων βάθος μέγα· ὁμόδοξον Πατρὶ καὶ Υἱῷ· λατρευτὸν γάρ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Προκείμενον. Ἀνάστηθι Κύριε ὁ Θεός μου.
Στίχ. Ἐξομολογήσομαί σοι Κύριε.
Πᾶσα πνοή. Εὐαγγέλιον τὸ Ἑωθινόν.
Ἀνάστασιν Χριστοῦ. Ὁ Ν'. Καὶ οἱ Κανόνες.

Κανὼν Ἀναστάσιμος. Ὠδὴ α'. Ὁ Εἱρμός.

Νεύσει σου πρὸς γεώδη, ἀντιτυπίαν μετήχθη, ἡ πρὶν ἀδιάχυτος, ὑδάτων φύσις Κύριε· ὅθεν ἀβρόχως πεζεύσας, ᾄδει Ἰσραὴλ σοι ᾠδὴν ἐπινίκιον.

Τροπάριον.

Κέκριται τοῦ θανάτου, ἡ τυραννὶς διὰ ξύλου, ἀδίκῳ θανάτῳ σου, κατακριθέντος Κύριε· ὅθεν ὁ Ἄρχων τοῦ σκότους, σοῦ μὴ κατισχύσας, δικαίως ἐκβέβληται.

Ἅδης σοι προσπελάσας, καὶ τοῖς ὀδοῦσι μὴ σθένων, συντρίψαι τὸ Σῶμά σου, τὰς σιαγόνας τέθλασται· ὅθεν Σωτὴρ τὰς ὀδύνας, λύσας τοῦ θανάτου, ἀνέστης τριήμερος.

Θεοτοκίον.

Λέλυνται αἱ ὀδύναι, αἱ τῆς Προμήτορος Εὔας· ὀδύνας λαθοῦσα γάρ, ἀπειρογάμως τέτοκας· ὅθεν σαφῶς Θεοτόκον, Πάναγνε εἰδότες σε, πάντες δοξάζομεν.

Ἕτερος Κανὼν Σταυροαναστάσιμος. Πόντῳ ἐκάλυψε.

Τὸ πηγὰς ἡμῖν, ἐν Σταυρῷ ἀνέβλυσεν, ὁ Σωτὴρ ζωηφόρους, ἐκ τῆς αὐτοῦ νυγείσης πλευρᾶς· ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

Τάφον οἰκήσας, καὶ ἀναστὰς τριήμερος, ἀφθαρσίαν παρέχειν, ἀπεκδοχὴν Χριστὸς τοῖς θνητοῖς· ᾄσωμεν αὐτῷ, ὅτι δεδόξασται.

Θεοτοκίον.

Μόνη Παρθένος, καὶ μετὰ Τόκον ἐδείχθης· τὸν γὰρ Κτίστην τοῦ Κόσμου, σεσαρκωμένον τέτοκας. Χαῖρέ σοι διὸ πάντες κραυγάζομεν.

Ἕτερος Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.
Κατὰ Ἀλφάβητον. Νεύσει σου πρὸς γεώδη.

Ἄβυσσον ἡ τεκοῦσα, τῆς εὐσπλαγχνίας Παρθένε, ψυχήν μου καταύγασον, τῇ φωτοφόρῳ λάμψει σου· ὅπως ἀξίως ὑμνήσω, τῶν σῶν θαυμασίων τὴν ἄβυσσον.

Βέλει τῆς ἁμαρτίας, κατατρωθέντας ὁ Λόγος, ἡμᾶς θεασάμενος, ὡς Εὐεργέτης ᾤκτειρεν· ὅθεν ἀφράστως ἑνοῦται, Πάναγνε σαρκί, τῇ ἐκ σοῦ ὁ Ὑπέρθεος.

Γέγονε τῷ θανάτῳ, καταχεθεῖσα ἡ φύσις, φθαρτὴ καὶ ἐπίκηρος, ἡ τῶν ἀνθρώπων Πάναγνε· σὺ δὲ Ζωὴν συλλαβοῦσα, ταύτην ἐκ φθορᾶς, πρὸς ζωὴν ἐπανήγαγες.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Κατ' ἀρχὰς τοὺς Οὐρανούς, Παντοδυνάμῳ σου Λόγῳ, στερεώσας Κύριε Σωτήρ, καὶ τῷ Παντουργῷ καὶ Θείῳ Πνεύματι, πᾶσαν τὴν δύναμιν αὐτῶν· ἐν ἀσαλεύτῳ με πέτρᾳ, τῆς ὁμολογίας σου στερέωσον.

Τροπάριον.

Σὺ ἀνελθὼν ἐπὶ ξύλου, ὑπὲρ ἡμῶν ὀδυνᾶσαι, ἑκουσίως Εὔσπλαγχνε Σωτήρ, καὶ φέρεις πληγὴν εἰρήνης πρόξενον, καὶ σωτηρίαν τοῖς πιστοῖς· δι' ἧς τῷ σῷ Ἐλεῆμον, πάντες κατηλλάγημεν Γεννήτορι.

Σύ με καθάρας τῆς πληγῆς, τὸν τῇ ψυχῇ τετρωμένον, δρακοντίῳ δήγματι Χριστέ· καὶ ἔδειξας φῶς ἐν σκότει, πάλαι μοι κατῳκισμένῳ καὶ φθορᾷ· διὰ Σταυροῦ γὰρ εἰς Ἅδην, καταβεβηκώς με συνανέστησας.

Θεοτοκίον.

Τῆς ἀπειράνδρου σου Μητρός, ταῖς ἱκεσίαις τῷ Κόσμῳ, τὴν εἰρήνην βράβευσον Σωτήρ, καὶ τῷ Βασιλεῖ τὴν νίκην δώρησαι, κατὰ βαρβάρων δυσμενῶν, καὶ τῆς ἀφράστου σου δόξης, τοὺς δοξολογοῦντάς σε ἀξίωσον.

Ἕτερος Σταυροαναστάσιμος.
Ὁ Οὐρανοὺς τῷ Λόγῳ στερεώσας.

Ὁ ἐν Σταυρῷ τὰ Πάθη ὑπομείνας, καὶ τῷ Λῃστῇ τὸν Παράδεισον ἀνοίξας, ὡς Εὐεργέτης καὶ Θεός, στερέωσόν μου τὸν νοῦν, εἰς τὸ θέλημά σου μόνε Φιλάνθρωπε.

Ὁ ἀναστὰς τριήμερος ἐκ τάφου, καὶ τὴν ζωὴν τῷ Κόσμῳ ἀνατείλας, ὡς Ζωοδότης, καὶ Θεός, στερέωσόν μου τὸν νοῦν, εἰς τὸ θέλημά σου μόνε Φιλάνθρωπε.

Θεοτοκίον.

Ἡ τὸν Θεὸν ἀσπόρως συλλαβοῦσα, καὶ τῆς ἀρᾶς τὴν Εὔαν ῥυσαμένη, Παρθενομῆτορ Μαριάμ, δυσώπησον τὸν ἐκ σοῦ σαρκωθέντα Θεόν, σῶσαι τὴν ποίμνην σου.

Ἄλλος, τῆς Θεοτόκου. Ὁ κατ' ἀρχὰς τοὺς Οὐρανούς.

Δράκων ἑρπύσας ἐξ Ἐδέμ, ἐμὲ θεώσεως πόθῳ, δελεάσας ἔρριψεν εἰς γῆν· ἀλλ' ὁ συμπαθὴς καὶ φύσει Εὔσπλαγχνος, κατοικτειρήσας θεουργεῖ, ἐν τῇ Γαστρί σου σκηνώσας, καὶ ὁμοιωθείς μοι Μητροπάρθενε.

Εὐλογημένος ὁ καρπός, τῆς σῆς κοιλίας Παρθένε, Θεοτόκε πάντων ἡ χαρά· χαρὰν γὰρ παντὶ τῷ Κόσμῳ τέτοκας, καὶ εὐφροσύνην ἀληθῶς, διασκεδάζουσαν λύπην, τὴν τῆς ἁμαρτίας Θεονύμφευτε.

Ζωὴν αἰώνιον καὶ φῶς, Θεογεννῆτορ Παρθένε, καὶ εἰρήνην τέτοκας ἡμῖν, τὴν τὸν παλαιὸν ἀνθρώπων πόλεμον, πρὸς τὸν Πατέρα καὶ Θεόν, καταπραΰνασαν πίστει, καὶ ὁμολογίᾳ τῇ τῆς χάριτος.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

Ὁ Πατρικοὺς κόλπους μὴ λιπών, καὶ καταβὰς ἐπὶ τῆς γῆς Χριστὲ ὁ Θεός, τὸ Μυστήριον ἀκήκοα τῆς οἰκονομίας σου· καὶ ἐδόξασά σε μόνε Φιλάνθρωπε.

Τροπάριον.

Τὸν ἑαυτοῦ νῶτον δεδωκώς, ὁ ἐκ Παρθένου σαρκωθεὶς εἰς μάστιγας, δούλου πταίσαντος, αἰκίζεται Δεσπότης ἀνεύθυνος, διαλύων μου τὰ ἐγκλήματα.

Παρεστηκὼς βήματι Κριτῶν, παρανομούντων ὡς κριτὸς εὐθύνεται, καὶ ῥαπίζεται πηλίνῃ χειρί, ὁ πλάσας τὸν ἄνθρωπον, ὡς Θεός, καὶ κρίνων δικαίως τὴν γῆν.

Θεοτοκίον.

Ὡς ἀληθῶς Μήτηρ τοῦ Θεοῦ, τὸν Ποιητήν σου καὶ Υἱὸν ἱκέτευε, πρὸς σωτήριον ἰθῦναί με λιμένα, Πανάμωμε, τοῦ αὐτοῦ ἐνδόξου θελήματος.

Ἕτερος Σταυροαναστάσιμος. Κατανοῶν ὁ Προφήτης.

Ὁ μὴ εἰδὼς ἁμαρτίαν, καὶ διὰ ταύτην γεγονώς Κύριε, ὃ οὐκ ἦσθα, μορφῶσαι λαβὼν τὸ ἀλλότριον, ἵνα σώσῃς τὸν Κόσμον, καὶ κτείνῃς δελεάσας τὸν Τύραννον.

Ἐπὶ Σταυροῦ ἀνηρτήθης, καὶ τοῦ Προπάτορος Ἀδὰμ ἔλυσας ἁμαρτίαν· ὅτι πάντας τοῦ σῶσαι, τοὺς Χριστέ σου ἐλήλυθας.

Θεοτοκίον.

Σὺ γεννηθεὶς ἐκ Παρθένου, θνήσκεις, ζωοῖς δὲ τὸν Ἀδὰμ γνώμῃ τὸν πλανηθέντα· καὶ γὰρ κατέπτηξε θάνατος τὴν ἰσχύν σου· ὅτι πάντας τοῦ σῶσαι, τοὺς φθαρέντας ἐλήλυθας.

Ἄλλος, τῆς Θεοτόκου. Ὁ Πατρικοὺς κόλπους.

Ἡ ἐκλεκτὴ ὅλη καὶ καλή, ἀναφανεῖσα τῷ Θεῷ πρὸ Κτίσεως, τῇ λαμπρότητι Πανύμνητε, τῆς φωτοχυσίας σου, τοὺς ὑμνοῦντάς σε καταφαίδρυνον.

Θεὸν βροτοῖς τέτοκας Ἁγνή, σεσαρκωμένον ἐξ ἁγνῶν αἱμάτων σου, τὸν λυτρούμενον πταισμά-

των πολλῶν, τοὺς πόθῳ γεραίροντας, καὶ ὑμνοῦντάς σε Μητροπάρθενε.

Ἱερουργεῖ φύσις λογική, τῷ ἀνατείλαντι ἐκ σοῦ Πανύμνητε, τὸ Μυστήριον τὸ ἄφραστον τῆς κυοφορίας σου, μυηθεῖσα νῦν Παμμακάριστε.

### Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Νὺξ ἀφεγγὴς τοῖς ἀπίστοις Χριστέ, τοῖς δὲ πιστοῖς φωτισμός, ἐν τῇ τρυφῇ τῶν θείων λόγων σου. διὰ τοῦτο πρὸς σὲ ὀρθρίζω, καὶ ἀνυμνῶ σου τὴν Θεότητα.

Τροπάριον.

Ὑπὲρ σῶν δούλων πιπράσκῃ Χριστέ, καὶ ῥαπισμὸν καρτερεῖς, ἐλευθερίας πρόξενον, τοῖς μελῳδοῦσι· πρὸς σὲ ὀρθρίζω, καὶ ἀνυμνῶ σου τὴν Θεότητα.

Τῇ θεϊκῇ σου δυνάμει Χριστέ, δι' ἀσθενείας σαρκός, τὸν ἰσχυρὸν κατέβαλες, καὶ νικητὴν με θανάτου, Σῶτερ, δι' Ἀναστάσεως ἀνέδειξας.

Θεοτοκίον.

Θεὸν ἐγέννησας Μῆτερ Ἁγνή, σεσαρκωμένον ἐκ σοῦ θεοπρεπῶς Πανύμνητε. ἐπεὶ οὐκ ἔγνως ἄρρενος εὐνήν, ἀλλ' ἐξ Ἁγίου κύεις Πνεύματος.

Ἕτερος, Σταυροαναστάσιμος. Κύριε ὁ Θεός μου.

Ὅτε ἐν τοῖς ἀνόμοις λογισθείς, ὑψώθης ἐν τῷ Κρανίῳ, φωστῆρες ἐκρύπτοντο, καὶ διεκλονεῖτο ἡ Γῆ, καὶ Ναοῦ φαιδρότης ἐρράγη, Ἑβραίων δηλοῦσα τὴν ἔκπτωσιν.

Σὲ τὸν ἐξανελόντα τοῦ Τυράννου πᾶσαν τὴν δυναστείαν, ἰσχύϊ Θεότητος, τῆς ἀκαταλήπτου σου, καὶ νεκροὺς τῇ σῇ Ἀναστάσει ἐγείραντα, ὕμνοις δοξάζομεν.

Θεοτοκίον.

Μῆτερ τοῦ Βασιλέως καὶ Θεοῦ, Πανύμνητε Θεοτόκε, τοῖς Πίστει καὶ πόθῳ σε, ὕμνοις εὐφημοῦσιν ἀεί, ἱλασμὸν ταῖς σαῖς ἱκεσίαις, τῶν παραπτωμάτων κατάπεμψον.

Εἱρμὸς ὁ αὐτός. Τῆς Θεοτόκου.

Κλίμακα θεωρήσας Ἰακώβ, πρὸς ὕψος ἐστηριγμένην, εἰκόνα μεμύηται τῆς Ἀπειρογάμου σου. διὰ σοῦ γὰρ Θεός, ἀνθρώποις ὡμίλησε, Πανάγνε Δέσποινα.

Λύτρωσιν αἰωνίαν διὰ σοῦ, Παρθένε νῦν εὑρηκότες, προθύμως βοῶμέν σοι, τὸ Χαῖρε Θεόνυμφε· καὶ τῷ σῷ φωτὶ γεγηθότες Πανύμνητε, ὕμνοις σε μέλπομεν.

Ὤκησέ σε ὁ Νυμφίος ἀκανθῶν, ἐν μέσῳ κρίνον Παρθένε, εὑρὼν διαλάμπουσαν ἁγνείας στιλπνότητι, καὶ φωτὶ τῷ τῆς Παρθενίας Πανάμωμε, Νύμφην προσήκατο.

### Ὠδὴ ς΄. Ὁ Εἱρμός.

Ναυτιῶντα σάλῳ, τῶν βιωτικῶν μελημάτων, συμπλόοις ποντούμενον ἁμαρτίαις, καὶ ψυχοφθόρῳ θηρὶ προσεῤῥιπτόμενον, ὡς ὁ Ἰωνᾶς Χριστὲ βοῶ σοι· ἐκ θανατηφόρου με βυθοῦ ἀνάγαγε.

Τροπάριον.

Ἐμνημόνευόν σου, αἱ κατακλεισθεῖσαι, τῷ Ἅδῃ ψυχαί, καὶ ἐκλείπουσαι τῶν Δικαίων, καὶ παρὰ σοῦ σωτηρίαν προσηύχοντο· ἣν διὰ Σταυροῦ Χριστὲ παρέσχες, τοῖς καταχθονίοις, ἐπιβὰς ὡς εὔσπλαγχνος.

Πρὸς τὸν ἔμψυχόν σου, καὶ ἀχειροποίητον δόμον, λυθέντα Παθήμασιν, ἐπιβλέψαι πάλιν, χορὸς Ἀποστόλων ἀπήλπισεν· ἀλλ' ὑπὲρ ἐλπίδα προσκυνήσας, ἀνεγηγερμένον πανταχοῦ ἐκήρυξε.

Θεοτοκίον.

Τοῦ ἀφράστου Τόκου, σοῦ τῆς Παναμώμου τὸν τρόπον, Παρθένε Θεόνυμφε, τοῦ δι' ἡμᾶς, τίς ἑρμηνεῦσαι ἀνθρώπων δυνήσεται; ὅτι ὁ Θεὸς ἀπεριγράπτως, Λόγος ἑνωθείς σοι, Σὰρξ ἐκ σοῦ ἐγένετο.

Ἕτερος, Σταυροαναστάσιμος. Ὁ Ἰωνᾶς ἐκ κοιλίας.

Ἐν τῷ Σταυρῷ ὑψωθεὶς Σωτὴρ ἑκουσίως, τὸ τοῦ ἐχθροῦ ᾐχμαλώτευσας κράτος. ἐν τούτῳ προσηλώσας, τῆς ἁμαρτίας Ἀγαθὲ τὸ χειρόγραφον.

Ἐκ τῶν νεκρῶν ἀναστὰς Σωτὴρ ἐξουσίᾳ, συνήγειρας τῶν ἀνθρώπων τὸ γένος, ζωὴν καὶ ἀφθαρσίαν, δωρησάμενος ἡμῖν ὡς Φιλάνθρωπος.

Θεοτοκίον.

Ὃν ἔτεκες Θεοτόκε ἀνερμηνεύτως Θεὸν ἡμῶν, δυσωποῦσα μὴ παύσῃ, ῥυσθῆναι ἐκ κινδύνων, τοὺς ὑμνοῦντάς σε Ἁγνὴ Ἀειπάρθενε.

Ἄλλος, τῆς Θεοτόκου. Ναυτιῶντα σάλῳ.

Νομικοί σε τύποι, καὶ τῶν Προφητῶν αἱ προῤῥήσεις, σαφῶς προεμήνυον, τεξομένην τὸν Εὐεργέτην Ἁγνὴ πάσης Κτίσεως, τὸν πολυμερῶς, καὶ πολυτρόπως, εὐεργετηκότα τοὺς πιστῶς ὑμνοῦντάς σε.

Ξενωθέντα πάλαι, ἐξ ἐπιβουλῆς βροτοκτόνου, Ἀδὰμ τὸν πρωτόπλαστον, τῆς ἐνθέου τοῦ Παραδείσου τρυφῆς Ἀπειρόγαμε, αὖθις ἐπανήγαγες τεκοῦσα, τὸν ἐκ παραβάσεως ἡμᾶς ῥυσάμενον.

Ὁ βουλήσει θείᾳ, δημιουργικῇ τε δυνάμει, τὸ πᾶν συστησάμενος, ἐκ μὴ ὄντων, ἐκ τῆς Γαστρός σου Ἁγνή, προελήλυθε· καὶ τοὺς ἐν τῷ σκότει τοῦ θανάτου, θεαρχικωτάταις ἀστραπαῖς κατέλαμψε.

Κοντάκιον. Οὐκ ἔτι φλογίνη ῥομφαία.

Οὐκ ἔτι τὸ κράτος τοῦ θανάτου, ἰσχύσει κατέχειν τοὺς βροτούς· Χριστὸς γὰρ κατῆλθε συντρίβων, καὶ λύων τὰς δυνάμεις αὐτοῦ. Δεσμεῖται ὁ Ἅδης, Προφῆται συμφώνως ἀγάλλονται· ἐπέστη λέγοντες Σωτὴρ τοῖς ἐν πίστει. ἐξέρχεσθε οἱ Πιστοὶ εἰς τὴν Ἀνάστασιν.

Ὁ Οἶκος.

Ἔτρεμε κάτωθεν τὰ καταχθόνια σήμερον, ὁ Ἅδης, καὶ ὁ θάνατος τὸν ἕνα τῆς Τριάδος, ἡ Γῆ ἐκλονεῖτο, πυλωροὶ δὲ Ἅδου ἰδόντες σε ἔπτηξαν. ἡ Κτίσις δὲ πᾶσα σὺν τοῖς Προφήταις, χαίρουσα ψάλλει σοι, ἐπινίκιον ᾠδὴν τῷ Λυτρωτῇ ἡμῶν Θεῷ, τῷ καταλύσαντι νῦν θανάτου τὴν δύναμιν. ἀλαλάξωμεν, καὶ βοήσωμεν τῷ Ἀδὰμ, καὶ τοῖς ἐξ Ἀδάμ· ξύλον τοῦτον εἰσήγαγεν. ἐξέρχεσθε οἱ Πιστοὶ εἰς τὴν Ἀνάστασιν.

### Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Κάμινον Παῖδες πυρίφλεκτον πάλαι, δροσοβολοῦσαν ὑπέδειξαν, ἕνα Θεὸν ἀνυμνοῦντες, καὶ λέγοντες· ὁ ὑπερυψούμενος τῶν Πατέρων Θεός, καὶ ὑπερένδοξος.

Τροπάριον.

Ξύλῳ νεκροῦται Ἀδὰμ ἑκουσίως, παρακοὴν ἐργασάμενος, ὑπακοῇ δὲ Χριστοῦ ἀναπέπλασται· δι' ἐμὲ σταυροῦται γάρ, ὁ Υἱὸς τοῦ Θεοῦ ὁ ὑπερένδοξος.

Σὲ ἀναστάντα Χριστὲ ἐκ τοῦ τάφου, ἡ Κτίσις πᾶσα ἀνύμνησε. σὺ γὰρ ζωὴν τοῖς ἐν Ἅδῃ ἐξήνθησας, τοῖς νεκροῖς Ἀνάστασιν, τοῖς ἐν σκότει τὸ φῶς, ὁ ὑπερένδοξος.

Θεοτοκίον.

Χαῖρε Θυγάτηρ Ἀδὰμ τοῦ φθαρέντος· Χαῖρε ἡ μόνη Θεόνυμφος· Χαῖρε δι' ἧς ἡ φθορὰ ἐξωστράκισται, ἡ Θεὸν κυήσασα· ὃν δυσώπει Ἁγνή, σωθῆναι πάντας ἡμᾶς.

Ἕτερος, Σταυροαναστάσιμος. Οἱ ἐν καμίνῳ τοῦ πυρός.

Ὁ ἐν τῷ ξύλῳ τοῦ Σταυροῦ, ἁμαρτίας κέντρον ἀμβλύνας, καὶ τῆς Ἀδὰμ παραβάσεως τὸ χειρόγραφον λύσας, λόγχῃ πλευρᾶς σου. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὁ τὴν πλευρὰν διανυγείς, καὶ ῥανίσιν Αἵματος θείου, τὴν Γῆν καθάρας τοῖς αἵμασι, τῆς εἰ-

δωλο-

δωλομανίας καταχρανθεῖσαν. Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. Θεοτοκίον.

ΤΟν πρὸ Ἡλίου φωτισμὸν, ἀνατέλλεις Κόσμῳ Θεοκυῆτορ, Χριστὸν τοῦ σκότους ῥυσάμενον, καὶ φωτίζοντα πάντας θεογνωσίᾳ· Εὐλογητὸς εἶ κράζοντας, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ἄλλος, τῆς Θεοτόκου. Κάμινον Παῖδες.

ΠΕποικιλμένον διάχρυσον Κόσμον, σὲ κεκτημένην ἠγάπησεν, ὁ Πλαστουργός σου Παρθένε καὶ Κύριος, ὁ ὑπερυψούμενος, τῶν Πατέρων Θεὸς, καὶ ὑπερένδοξος.

ΡΥπτεται Κόρη τὸν ἄνθρακα πάλαι, ὁ Ἡσαΐας δεξάμενος, συμβολικῶς τὸν σὸν Τόκον θεώμενος, τὸν ὑπερυψούμενον, τῶν Πατέρων Θεὸν, καὶ ὑπερένδοξον.

ΣΥμβολα πάλαι τοῦ Θείου σου Τόκου, Θεῖοι Προφῆται θεώμενοι, χαρμονικῶς ἀνυμνοῦντες ἐκραύγαζον· ὁ ὑπερυψούμενος, τῶν Πατέρων Θεὸς, καὶ ὑπερένδοξος. Ὠδὴ η΄. Ὁ Εἱρμός.

ἌΦλεκτος πυρὶ, ἐν Σινᾶ προσομιλοῦσα, βάτος Θεὸν ἐγνώρισε, τῷ βραδυγλώσσῳ καὶ δυσήχῳ Μωσεῖ· καὶ Παῖδας ζῆλος Θεοῦ, τρεῖς ἀναλώτους ἐν πυρὶ, ὑμνῳδοὺς ἔδειξε. πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τριαδικόν.

ἌΧραντος Ἀμνὸς, λογικὸς ὑπὲρ τοῦ Κόσμου, σφαγιασθεὶς κατέπαυσε, τὰ κατὰ Νόμον προσφερόμενα, καθάρας τοῦτον χωρὶς, παραπτωμάτων ὡς Θεὸς, εἰς ἀεὶ κράζοντα· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ἌΦθαρτος οὐκ οὖσα πρὸ Πάθους, ἡ ληφθεῖσα ὑπὸ τοῦ Κτίστου σὰρξ ἡμῶν, μετὰ τὸ Πάθος καὶ τὴν Ἔγερσιν, ἀπρόσιτος τῇ φθορᾷ κατεσκευάσθη, καὶ θνητοὺς καινουργεῖ κράζοντας· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

ΣΟῦ τὸ καθαρὸν, καὶ Παναμώμον Παρθένε, τὸ ῥυπαρὸν καὶ ἔμμυσον, τῆς Οἰκουμένης ἀπεκάθηρε, καὶ γέγονας τῆς ἡμῶν πρὸς τὸν Θεὸν καταλλαγῆς αἰτία Πάναγνε. πάντα τὰ ἔργα διὸ σε, Παρθένε εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἕτερος, Σταυρικός. Τὸν μόνον ἄναρχον.

ΤΟν ὑπομείναντα, ἑκουσίως τὰ Πάθη, καὶ ἐν Σταυρῷ προσηλωθέντα βουλήσει, καὶ λύσαντα τὰς τοῦ Ἅδου δυνάμεις, ὑμνεῖτε Ἱερεῖς, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΤΟν καταργήσαντα, τοῦ θανάτου τὸ κράτος, καὶ ἀναστάντα ἐκ τοῦ Τάφου ἐν δόξῃ, καὶ σώσαντα τῶν ἀνθρώπων τὸ γένος, ὑμνεῖτε Ἱερεῖς, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον.

ΤΟν μόνον Εὔσπλαγχνον, καὶ προαιώνιον Λόγον, τὸν ἐπ᾽ ἐσχάτων ἐκ Παρθένου τεχθέντα, καὶ λύσαντα τὴν ἀρχαίαν κατάραν, ὑμνεῖτε Ἱερεῖς, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος, τῆς Θεοτόκου. Ἄφλεκτος πυρί.

ΤΩ φέγγει τοῦ σοῦ Τοκετοῦ τὴν Οἰκουμένην, ξενοπρεπῶς ἐφώτισας, Θεογεννῆτορ. τὸν γὰρ ὄντως Θεὸν, ἀγκάλαις φέρεις ταῖς σαῖς, καταλαμπρύνοντα πιστοὺς τοὺς ἀεὶ κράζοντας· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΥΜνοῦμεν Ἁγνὴ, εὐσεβῶς τὴν σὴν Γαστέρα, τὴν τὸν Θεὸν χωρήσασαν, ἀνερμηνεύτως σωματούμενον, τὸν δόντα πᾶσι πιστοῖς, Θεογνωσίας φωτισμὸν, τοῖς ἀεὶ κράζουσι· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΦΩτός σου ταῖς μαρμαρυγαῖς, τοὺς σὲ ὑμνοῦντας φωτοειδεῖς ἀπέργασαι, Φωτογεννῆτορ Θεοτόκε Ἁγνή. φωτὸς γὰρ ὤφθης σκηνὴ, καταφαιδρύνουσα φωτὶ τοὺς ἀεὶ κράζοντας· πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

ΜΗ τῆς φθορᾶς διὰ πεῖραν κυοφορήσασα, καὶ Παντεχνήμονι Λόγῳ, Σάρκα δανείσασα, Μῆτερ Ἀπείρανδρε, Παρθένε Θεοτόκε, Δοχεῖον τοῦ ἀστέκτου, Χωρίον τοῦ ἀπείρου, Πλαστουργοῦ σου σὲ μεγαλύνομεν.

Τριαδικόν.

ΟΙ τῇ Θεότητι πάθη προσαρμόζοντες, ἐπιστομίζεσθε πάντες ἀλλοτριόφρονες. Κύριον δόξης γὰρ, σαρκὶ ἐσταυρωμένον, ἀσταύρωτον δὲ φύσει, τῇ θείᾳ ὡς ἐν δύο, ἕνα φύσεσι μεγαλύνομεν.

ΟΙ τῶν σωμάτων τὴν Ἔγερσιν ἀθετήσαντες, πρὸς τὸ Χριστοῦ πορευθέντες, μνῆμα διδάχθητε. ὅτι νενέκρωται, καὶ ἐγήγερται πάλιν, ἡ Σὰρξ τοῦ Ζωοδότου, εἰς πίστωσιν ἐσχάτης, Ἀναστάσεως, ἣν ἐλπίζομεν.

Τριαδικόν.

ΟΥ Θεοτήτων Τριάδα, ἀλλ᾽ Ὑποστάσεων, οὐδὲ Μονάδα Προσώπων, ἀλλὰ Θεότητος σέβοντες, τέμνομεν, τοὺς ταύτην διαιροῦντας, συγχέομεν δὲ πάλιν, τοὺς σύγχυσιν τολμῶντας, κατὰ ταύτης, ἣν μεγαλύνομεν.

Ἕτερος Σταυροαναστάσιμος.

Μήτηρ Θεοῦ, καὶ Παρθένος.

ΦΩς ἐκ φωτὸς, Πατρικῆς ἀπαύγασμα δόξης, ἀχρόνως ἐκλάμψαν, ὡς ἐν σκότει τῷ βίῳ, τῷ ἀνθρωπίνῳ Χριστὸς ἔλαμψε, καὶ τὸ διῶκον ἀπήλασε σκότος· ὃν ἀκαταπαύστως οἱ πιστοὶ μεγαλύνομεν.

ΠΑθη σαρκὸς, καὶ ἰσχὺν Θεότητος, ἐν Χριστῷ καθορῶντες, οἱ φρονοῦντες τὴν μίαν σύνθετον φύσιν, αἰσχυνέσθωσαν. ὁ γὰρ αὐτὸς, ὡς μὲν ἄνθρωπος θνήσκει, ὡς δὲ τοῦ παντὸς Δημιουργὸς, ἐξανίσταται.

Θεοτοκίον.

ΠΛὴν σοῦ Θεὸν, οὐ γινώσκω ἕτερον, ἡ Ἐκκλησία βοᾷ σοι, ἐξ Ἐθνῶν με ἀπίστων, οἰκείαν Νύμφην ἐκλεξάμενος. δίδου οὖν Λόγε πιστοῖς σωτηρίαν, σοῦ τῆς Κυησάσης, πρεσβείαις ὡς Εὔσπλαγχνος.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

ΧΑρᾶς ἡμῖν αἰωνίου πρόξενος, καὶ εὐφροσύνης ἐδείχθης Ἀειπάρθενε Κόρη, τὸν Λυτρωτὴν κυοφορήσασα, τὸν ἀληθείᾳ, καὶ Πνεύματι Θείῳ, τοὺς αὐτὸν τιμῶντας, ὡς Θεὸν ἐκλυτρούμενον.

ΨΑλλων Δαβὶδ, σὸς Προπάτωρ Πάναγνε, σὲ Κιβωτὸν ὀνομάζει, ἁγιάσματος θείου, ὑπερφυῶς Θεὸν χωρήσασαν, τὸν ἐν Πατρῴοις καθήμενον κόλποις· ὃν ἀκαταπαύστως οἱ πιστοὶ μεγαλύνομεν.

ΩΣ ἀληθῶς ὑπερτέρα πέφυκας, πάσης τῆς Κτίσεως Κόρη· τὸν γὰρ Κτίστην τῶν ὅλων, σωματικῶς ἡμῖν ἐγέννησας. ὅθεν ὡς Μήτηρ τοῦ μόνου Δεσπότου, φέρεις κατὰ πάντων ἀρχικῶς τὸ ἐκνίκημα.

Εἰς τοὺς Αἴνους, Στιχηρὰ Ἀναστάσιμα.

ἈΝέστη Χριστὸς ἐκ νεκρῶν, λύσας θανάτου τὰ δεσμά. εὐαγγελίζου Γῆ χαρὰν μεγάλην· αἰνεῖτε Οὐρανοὶ Θεοῦ τὴν δόξαν.

ἈΝάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν Ἅγιον Κύριον, Ἰησοῦν τὸν μόνον ἀναμάρτητον.

Χριστοῦ τὴν Ἀνάστασιν, προσκυνοῦντες οὐ παυόμεθα· αὐτὸς γὰρ ἡμᾶς ἔσωσεν ἐκ τῶν ἀνομιῶν ἡμῶν. Ἅγιος Κύριος Ἰησοῦς, ὁ δείξας τὴν Ἀνάστασιν.

Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν; δι' ἡμᾶς Θεὸς ἐν ἀνθρώποις· διὰ τὴν καταφθαρεῖσαν φύσιν, ὁ Λόγος Σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· πρὸς τοὺς ἀχαρίστους ὁ Εὐεργέτης, πρὸς τοὺς αἰχμαλώτους ὁ Ἐλευθερωτής, πρὸς τοὺς ἐν σκότει καθημένους, ὁ Ἥλιος τῆς Δικαιοσύνης. ἐπὶ τὸν Σταυρὸν ὁ Ἀπαθής, ἐπὶ τὸν Ἅδην τὸ Φῶς, ἐπὶ τὸν θάνατον ἡ Ζωή, ἡ Ἀνάστασις διὰ τοὺς πεσόντας, πρὸς ὃν βοήσωμεν· ὁ Θεὸς ἡμῶν δόξα σοι.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

Πύλας Ἅδου συνέτριψας Κύριε, καὶ θανάτου τὸ κράτος κατήργησας, τῇ κραταιᾷ δυνάμει σου, καὶ συνήγειρας νεκροὺς, τοὺς ἀπ' αἰῶνος ἐν σκότει καθεύδοντας, τῇ θείᾳ καὶ ἐνδόξῳ Ἀναστάσει σου, ὡς Βασιλεὺς τοῦ παντὸς, καὶ Θεὸς Παντοδύναμος.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, καὶ εὐφρανθῶμεν ἐν τῇ Ἀναστάσει αὐτοῦ· ὅτι συνήγειρε νεκροὺς, ἐκ τῶν τοῦ Ἅδου ἀλύτων δεσμῶν, καὶ ἐδωρήσατο τῷ Κόσμῳ ὡς Θεὸς, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Ἐξαστράπτων Ἄγγελος, ἐν τῷ λίθῳ ἐκάθητο, τοῦ Ζωοδόχου μνήματος· καὶ Γυναιξὶ Μυροφόροις εὐηγγελίζετο λέγων· ἀνέστη ὁ Κύριος, καθὼς προεῖπεν ὑμῖν· ἀπαγγείλατε τοῖς Μαθηταῖς αὐτοῦ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν· τῷ δὲ Κόσμῳ παρέχει, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Τί ἀπεδοκιμάσατε τὸν λίθον τὸν ἀκρογωνιαῖον, ὦ παράνομοι Ἰουδαῖοι; οὗτός ἐστιν ὁ Λίθος, ὃν ἔθετο ὁ Θεὸς ἐν Σιών, ὁ ἐκ πέτρας πηγάσας ἐν ἐρήμῳ τὸ ὕδωρ, καὶ ἡμῖν ἀναβλύζων ἐκ τῆς πλευρᾶς αὐτοῦ ἀθανασίαν. οὗτός ἐστιν ὁ Λίθος, ὁ ἐξ Ὄρους Παρθενικοῦ ἀποτμηθεὶς, ἄνευ θελήματος ἀνδρὸς, ὁ Υἱὸς τοῦ Ἀνθρώπου, ὁ ἐρχόμενος ἐπὶ τῶν νεφελῶν τοῦ Οὐρανοῦ, πρὸς τὸν Παλαιὸν τῶν ἡμερῶν, καθὼς εἶπε Δανιήλ· καὶ αἰώνιος αὐτοῦ ἡ Βασιλεία.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοί.

Ὡραῖος ἦν καὶ καλὸς εἰς βρῶσιν, ὁ ἐμὲ θανατώσας καρπός. Χριστός ἐστι τὸ ξύλον τῆς ζωῆς, ἐξ οὗ φαγὼν οὐ θνήσκω, ἀλλὰ βοῶ σὺν τῷ Λῃστῇ· μνήσθητί μου Κύριε, ἐν τῇ Βασιλείᾳ σου.

Ἐν τῷ Σταυρῷ ὀφθεὶς Οἰκτίρμον, τοῦ Ἀδὰμ τὸ χειρόγραφον, τῆς πάλαι ἁμαρτίας ἐξήλειψας, καὶ ἔσωσας ἐκ πλάνης, ἅπαν τὸ γένος τῶν βροτῶν. ὅθεν ἀνυμνοῦμέν σε, Εὐεργέτα Κύριε.

Προσήλωσας ἐν Σταυρῷ Οἰκτίρμον, τὰς ἡμῶν ἁμαρτίας Χριστὲ, καὶ διὰ τοῦ σοῦ Θανάτου, τὸν θάνατον ἐνέκρωσας, ἐγείρας τοὺς τεθνεῶτας ἐκ νεκρῶν. ὅθεν προσκυνοῦμέν σου, τὴν σεπτὴν Ἀνάστασιν.

Ἐξέχεε τὸν ἰὸν ὁ ὄφις, ἀκοαῖς ταῖς τῆς Εὔας ποτέ· Χριστὸς δὲ ἐν τῷ ξύλῳ τοῦ Σταυροῦ, ἐπήγασε τῷ Κόσμῳ τῆς ζωῆς τὸν γλυκασμόν. μνήσθητί μου Κύριε ἐν τῇ Βασιλείᾳ σου.

Ἐν μνήματι ὡς θνητὸς ἐτέθης, ἡ ζωὴ τῶν ἁπάντων Χριστὲ, καὶ ἔθλασας τοῦ Ἅδου τοὺς μοχλοὺς, καὶ ἀναστὰς ἐν δόξῃ τριήμερος, ὡς δυνατὸς, πάντας κατεφώτισας. δόξα τῇ Ἐγέρσει σου.

Ὁ Κύριος ἀναστὰς τριήμερος ἐκ νεκρῶν, ἐδωρήσατο εἰρήνην τὴν ἰδίαν τοῖς Μαθηταῖς, καὶ τούτους εὐλογήσας, ἐξαπέστειλεν εἰπών· πάντας προσαγάγετε εἰς τὴν Βασιλείαν μου. Δόξα.

Φῶς ὁ Πατὴρ, Φῶς ὁ Υἱὸς καὶ Λόγος, Φῶς τὸ Πνεῦμα τὸ Ἅγιον. ἀλλ' ἓν Φῶς τὰ τρία. εἷς γὰρ Θεὸς ἐν τρισὶ μὲν Προσώποις, μιᾷ δὲ Φύσει, καὶ Ἀρχῇ, ἄτμητος ἀσύγχυτος, πέλων προαιώνιος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκύησας τὸν Υἱὸν, καὶ Λόγον τοῦ Πατρὸς, ἐν σαρκὶ ἐπὶ γῆς, ὡς οἶδε Θεοτόκε ὁ αὐτός. διὸ Παρθενομῆτορ, οἱ θεωθέντες διὰ σοῦ, χαῖρέ σοι κραυγάζομεν, τῶν Χριστιανῶν ἡ ἐλπίς.

ΤΕΛΟΣ τοῦ Βαρέος Ἤχου.

Ὁ πληκτικῆς φάλαγγος οἰκεῖον μέλος,
Ὁ τοῦ Βαρέος σὺ, κλῆσιν εἰληφὼς φέρεις.
Ἦχον τὸν ἁπλοῦν τὸν Βαρὺς ἐπώνυμον,
Ὁ τοὺς λογισμοὺς ἐν βοαῖς μισῶν, φιλεῖ.
Ἀνδρῶν δὲ ἄσματα, δευτερότερά τε βρέμεις.
Ποικίλος δὲ ὤν, ὁ ἁπλοῦς ἔχεις φίλους.

## ΤΩ͂ ΣΑΒΒΑ΄ΤΩ, ΕΣΠΕ΄ΡΑΣ.

Εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ Ἀναστάσιμα.

Ἦχος πλ. Δ΄.

Ἑσπερινὸν ὕμνον, καὶ λογικὴν λατρείαν, σοὶ Χριστὲ προσφέρομεν, ὅτι ηὐδόκησας, τοῦ ἐλεῆσαι ἡμᾶς, διὰ τῆς Ἀναστάσεως.

Κύριε Κύριε, μὴ ἀπορρίψῃς ἡμᾶς ἀπὸ τοῦ προσώπου σου· ἀλλ' εὐδόκησον, τοῦ ἐλεῆσαι ἡμᾶς, διὰ τῆς Ἀναστάσεως.

Χαῖρε Σιὼν Ἁγία, Μήτηρ τῶν Ἐκκλησιῶν, Θεοῦ κατοικητήριον. Σὺ γὰρ ἐδέξω πρώτη ἄφεσιν ἁμαρτιῶν, διὰ τῆς Ἀναστάσεως.

Ἕτερα Στιχηρὰ, Ἀνατολικά.

Ὁ ἐκ Θεοῦ Πατρὸς Λόγος, πρὸ τῶν αἰώνων γεννηθεὶς, ἐπ' ἐσχάτων δὲ τῶν χρόνων, ὁ αὐτὸς ἐκ τῆς Ἀπειρογάμου σαρκωθεὶς, βουλήσει Σταύρωσιν θανάτου ὑπέμεινε, καὶ τὸν πάλαι νεκρωθέντα Ἄνθρωπον ἔσωσε, διὰ τῆς ἑαυτοῦ Ἀναστάσεως.

Τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, δοξολογοῦμεν Χριστὲ, δι' ἧς ἠλευθέρωσας Ἀδαμιαῖον γένος, ἐκ τῆς τοῦ Ἅδου τυραννίδος· καὶ ἐδωρήσω τῷ Κόσμῳ ὡς Θεὸς, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Δόξα σοι Χριστὲ Σωτὴρ, Υἱὲ Θεοῦ Μονογενὲς, ὁ προσπαγεὶς ἐν τῷ Σταυρῷ, καὶ ἀναστὰς ἐκ τάφου τριήμερος.

Σὲ δοξάζομεν Κύριε, τὸν ἑκουσίως δι' ἡμᾶς, Σταυρὸν ὑπομείναντα· καὶ σὲ προσκυνοῦμεν, Παντοδύναμε Σωτὴρ, μὴ ἀπορρίψῃς ἡμᾶς ἀπὸ τοῦ Προσώπου σου, ἀλλ' ἐπάκουσον, καὶ σῶσον ἡμᾶς, διὰ τῆς Ἀναστάσεώς σου Φιλάνθρωπε.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Ὁ Βασιλεὺς τῶν Οὐρανῶν διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη. ἐκ Παρθένου γὰρ Ἁγνῆς, Σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως. εἷς ἐστιν Υἱὸς διπλοῦς τὴν Φύσιν, ἀλλ' οὐ τὴν Ὑπόστασιν. διὸ τέλειον αὐτὸν Θεὸν, καὶ τέλειον Ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν. ὃν ἱκέτευε Μήτηρ Ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν Στίχον, Στιχηρά.

Ἀνῆλθες ἐπὶ Σταυροῦ, Ἰησοῦ ὁ καταβὰς ἐξ Οὐρανοῦ. ἦλθες ἐπὶ θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος.

πρὸς τοὺς ἐν σκότει τὸ Φῶς τὸ ἀληθινὸν, πρὸς τοὺς πεσόντας ἡ πάντων Ἀνάστασις. ὁ Φωτισμὸς, καὶ ὁ Σωτὴρ ἡμῶν δόξα σοι.

Τὰ κατὰ Ἀλφάβητον.

ΧΡιστὸν δοξολογήσωμεν, τὸν Ἀναστάντα ἐκ νεκρῶν. ψυχὴν καὶ σῶμα γὰρ ἀναλαβὼν, τῷ Πάθει ἀπ᾽ ἀλλήλων διέτεμε, τῆς ἀχράντου μὲν ψυχῆς ἐν Ἅδου κατελθούσης, ὃν καὶ ἐσκύλευσε· τάφῳ δὲ διαφθορὰν, οὐκ εἶδε τὸ Ἅγιον Σῶμα, τοῦ Λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν.

ΨΑλμοῖς καὶ ὕμνοις δοξολογοῦμεν Χριστὲ, τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν, δι᾽ ἧς ἡμᾶς ἠλευθέρωσας, τῆς τυραννίδος τοῦ Ἅδου· καὶ ὡς Θεὸς ἐδωρήσω, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

ὮΔέσποτα τῶν ἁπάντων, ἀκατάληπτε Ποιητὰ Οὐρανοῦ καὶ γῆς, διὰ Σταυροῦ παθὼν, ἐμοὶ ἀπάθειαν ἐπήγασας. ταφὴν δὲ καταδεξάμενος, καὶ ἀναστὰς ἐν δόξῃ, συναναστήσας τὸν Ἀδὰμ, χειρὶ παντοδυνάμῳ. Δόξα τῇ σῇ τριημέρῳ Ἐγέρσει, δι᾽ ἧς δεδώρησαι ἡμῖν, τὴν αἰώνιον ζωὴν, καὶ ἱλασμὸν ἁμαρτιῶν, ὡς μόνος Εὔσπλαγχνος.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ἈΝύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκὶ, Μήτηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε· ἡ πᾶσι χορηγοῦσα, καθαρισμὸν τῶν πταισμάτων. νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

Ἀπολυτίκιον.

ἘΞ ὕψους κατῆλθες ὁ Εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν, ἡ Ζωὴ καὶ ἡ Ἀνάστασις ἡμῶν, Κύριε δόξα σοι.

Θεοτοκίον.

ὉΔι᾽ ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ Σταύρωσιν ὑπομείνας Ἀγαθέ· ὁ Θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ Ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς οὓς ἔπλασας τῇ χειρί σου, δεῖξον τὴν φιλανθρωπίαν σου Ἐλεῆμον. δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον, πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον Σωτὴρ ἡμῶν, Λαὸν ἀπεγνωσμένον.

## ΤΗ͂Ι ΚΥΡΙΑΚΗ͂Ι ΠΡΩΐ.

Εἰς τὸ Μεσονυκτικὸν, Κανὼν Τριαδικός.

Οὗ ἡ ἀκροστιχίς.

Τριὰς μονὰς σῶζόν με τὸν σὸν Οἰκέτην.

Ὠδὴ α'. Ἁρματηλάτην Φαραώ.

ΤΩ͂ τρισηλίῳ Βασιλεῖ καὶ Πρυτάνει, καὶ προμηθεῖ τοῦ παντὸς, καὶ ἀγαθῷ μόνῳ, φυσικῶς ὑπάρχοντι, καὶ ἑνιαίαν ἔχοντι, τῆς Θεότητος δόξαν, Θεῷ Μονάρχῃ προσπίπτομεν, ὕμνον τὸν τρισάγιον ᾄδοντες.

ῬΉσεις τὰς θείας, καὶ χρησμοὺς τοὺς ἄνωθεν, μεμυημένοι σαφῶς, Θεαρχικὴν φύσιν, ἑνικὴν δοξάζομεν, ἀΐδιον συνάναρχον, ἐν τρισὶ τοῖς προσώποις, Πατρὶ Υἱῷ, καὶ τῷ Πνεύματι, δημιουργικὴν παντοδύναμον.

ἹΕρομύστης Ἀβραὰμ γενόμενος, ἱεροτύπως τὸ πρὶν, τὸν Ποιητὴν πάντων, καὶ Θεὸν καὶ Κύριον, τρισὶ μὲν Ὑποστάσεσιν, ὑπεδέξατο χαίρων, καὶ τῶν τριῶν Ὑποστάσεων, κράτος ἑνιαῖον ἐγνώρισε.

Θεοτοκίον.

ἈΠειρογάμως τὸν Χριστὸν ἐκύησας, τὸν καθ᾽ ἡμᾶς δι᾽ ἡμᾶς, εἰληφότα φύσιν, Πάναγνε, καὶ ἄτρεπτον, κατ᾽ ἄμφω διαμείναντα, ὃν δυσώπει ἀπαύστως, ἁμαρτιῶν μοι δωρήσασθαι, καὶ τῶν πειρασμῶν ἀπολύτρωσιν.

Ὠδὴ γ'. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

ΣΕ τὸν ἀπρόσιτον Θεὸν, καὶ Βασιλέα τῆς δόξης, ἐπὶ Θρόνου Ἡσαΐας κατεῖδεν, ὑψηλοῦ καὶ Χερουβὶμ, καὶ Σεραφὶμ δοξάζοντα, ἀκαταπαύστοις ὕμνοις, Μοναδικὸν Τρισυπόστατον.

ΜΌνον Πατρόθεν ὡς ἐκ Νοῦ, γεγεννημένον τὸν Λόγον, καὶ τὸ Πνεῦμα προελθὸν ἀποῤῥήτως, καταλλήλοις λογισμοῖς, καὶ γραφικοῖς διδάγμασι, κατειληφότες ἕνα, Θεὸν τρισήλιον σέβομεν.

ὉὪν ἀγέννητος Πατὴρ, καὶ τῆς ἰδίας οὐσίας, τὸ ἀπαύγασμα γεννήσας ἀῤῥεύστως, τὸν Υἱὸν Φῶς ἐκ φωτὸς, ἐκπορευτῶς προβάλλεται, συμφυὲς φῶς τὸ Πνεῦμα, τὸ παντουργὸν καὶ ὁμότιμον.

Θεοτοκίον.

ΝΑὸς ἐδείχθης καθαρὸς, Παρθενομῆτορ Μαρία, τοῦ τὰ πάντα πανσθενῶς καὶ πανσόφως, ὑποστήσαντος Χριστοῦ, καὶ τάξαντος καὶ φέροντος· οὗ ἐξιλεώσαιμοι, ταῖς μητρικαῖς σου δεήσεσι.

Κάθισμα Τριαδικόν. Τὸ προσταχθὲν μυστικῶς.

ΤῊς τρισηλίου καὶ σεπτῆς Τελεταρχίας, τὰς δυναστείας οἱ πιστοὶ νῦν εὐφημοῦμεν, ὅτι νεύματι μόνῳ τὸ Πᾶν συνέστησε, τὰς ἄνω Χοροστασίας Ἀγγελικὰς, τὰς κάτω Ἱεραρχίας Ἐκκλησιῶν, τοῦ κραυγάζειν τό, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Θεὲ Ὑπεράγαθε, δόξα ὕμνος τῷ κράτει σου.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

ΤΟν ἀναλλοίωτον Θεὸν ἡ Τετοκυῖα, ἀλλοιουμένην εἰς ἀεὶ τῇ ἁμαρτίᾳ, ταῖς προσβολαῖς τοῦ δολίου, καὶ τῇ ῥᾳθυμίᾳ, στερέωσον τὴν καρδίαν μου Ἀγαθὴ, πρεσβείαις ταῖς μητρικαῖς σου· ὅπως κἀγὼ, εὐχαρίστως δοξάζω σε, Θεογεννῆτορ Μαριάμ· ἐλέησον τὴν ποίμνην σου, ἣν ἐκτήσω Πανάμωμε.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς Κύριε.

ἈΝατολὴ, ἐπιφανεῖσα Θεότητος, τοῖς ἐν σκότει, πᾶσαν διεσκέδασε, τὴν ἀφεγγῆ, νύκτα τῶν παθῶν, καὶ δικαιοσύνης, τὸν Ἥλιον ἐξανέτειλεν, ἁπλοῦν μὲν κατ᾽ οὐσίαν, τριλαμπῆ δὲ προσώποις. ὃν ὑμνοῦμεν ἀεὶ καὶ δοξάζομεν.

ΣΕραφικοῖς, στόμασι τὸν ἀνυμνούμενον, τοῖς πηλίνοις χείλεσι δοξάζομεν, μοναδικὸν καὶ τριαδικὸν, Κύριον τῆς δόξης, τῇ Φύσει καὶ Ὑποστάσεσι. βοῶντες· ὦ Παντάναξ, τοῖς σοῖς δούλοις παράσχου, τῶν ποικίλων πταισμάτων συγχώρησιν.

ΣΥνεκτικὴ, πάντων τῶν ὄντων ἀόρατε, Πανοικτίρμον, Εὔσπλαγχνε φιλάνθρωπε, Τριὰς σεπτὴ, καὶ Θεαρχικὴ, μή μου ἐπιλήσῃ, τοῦ σοῦ οἰκέτου τὸ σύνολον· μηδὲ διασκεδάσῃς, ἣν διέθου σοῖς δούλοις, διαθήκην δι᾽ ἄφατον ἔλεος.

Θεοτοκίον.

ὩΡαίαν σε, Πάναγνε μόνην εὑράμενος, ἐξ αἰῶνος, Λόγος ὁ προάναρχος, τὴν Ἰακὼβ, Κόρη καλλονὴν, καὶ ἐν σοὶ σκηνώσας, δι᾽ εὐσπλαγχνίαν ἀνέπλασε, τὴν φύσιν τῶν ἀνθρώπων· ὃν δυσώπει ἀπαύστως, ἀπὸ πάσης ῥυσθῆναί με θλίψεως.

Ὠδὴ ε'. Ἵνα τί με ἀπώσω.

ΣΥναΐδια τρία, Πρόσωπα δοξάζομεν, ἕνα δὲ Κύριον, σὲ τὴν θείαν φύσιν, διαιροῦντες, ἁπλῶς καὶ συνάπτοντες, καὶ πιστῶς βοῶμεν· Θεαρχικὴ Τριὰς Ἁγία, τοὺς σοὺς δούλους ἐκ θλίψεως λύτρωσαι.

ὈΔύρομαι σφόδρα, διὰ τὴν ἀσθένειαν τῆς διανοίας μου, πῶς μὴ θέλων πάσχω, τὴν ἀβούλητον

ὄντως ἀλλοίωσιν, διὰ τοῦτο κράζω· Ζωαρχικὴ Τριὰς Ἁγία, τῶν καλῶν ἐν τῇ στάσει με σύνταξον.

Νυσταγμῷ βαρυνθέντα, τῷ τῆς ἁμαρτίας μου, καὶ συνωθούμενον, πρὸς θανάτου ὕπνον, ὡς φιλάνθρωπος καὶ Ὑπεράγαθος, καὶ Παντελεήμων, Θεαρχικὴ Τριὰς Ἁγία, κατοικτείρησον καὶ διανάστησον.

Θεοτοκίον.

Μητροπάρθενε Κόρη, πάναγνε παναμώμε Θεοχαρίτωτε, ταῖς σαῖς ἱκεσίαις, τὸν Υἱὸν καὶ Θεόν σου καὶ Κύριον, ἐξιλέωσαί μοι, καὶ τῶν παθῶν καὶ τῶν πταισμάτων, τὸν σὸν δοῦλον ἐκλύτρωσαι τάχιον.

Ὠδὴ ς'. Ἱλάσθητί μοι Σωτήρ.

Ἐπουρανίων Νοῶν, ταξιαρχίας μιμούμενοι, μοναρχικὴ τοῦ παντός, Τριὰς ὑπερούσιε, τρισαγίοις ᾄσμασι, σὲ δοξολογοῦμεν, τοῖς πηλίνοις ἡμῶν στόμασι.

Τὸν κατ' εἰκόνα τὴν σήν, τὸν ἄνθρωπον διαπλάσαντα, καὶ ἐξ οὐκ ὄντων τὸ πᾶν, σοφῶς ὑποστήσαντα, Θεὸν Τρισυπόστατον, προσκυνῶ καὶ σέβω, καὶ ὑμνῶ, καὶ μεγαλύνω σε.

Ὁ Παντοκράτωρ Θεός, καὶ μόνος ἀπερινόητος, ἐνοίκησον ἐν ἐμοί, δι' ἄφατον ἔλεος, τρισήλιε Δέσποτα, καὶ καταύγασόν με, καὶ συνέτισον ὡς Εὔσπλαγχνος.

Θεοτοκίον.

Ναὸς ἐδείχθης Θεοῦ, τοῦ ἀχωρήτου Πανάχραντε, Ναὸν κἀμὲ τῆς αὐτοῦ, δεῖξον θείας χάριτος, Παναγία Δέσποινα, ταῖς σαῖς ἱκεσίαις, καὶ συντήρησον ἀλώβητον.

Κάθισμα Τριαδικόν. Τὸ προσταχθὲν μυστικῶς.

Πατέρα ἄναρχον πιστοί, Υἱὸν συνάναρχον, καὶ Πνεῦμα Θεῖον ἀληθῶς ὁμολογοῦμεν ἀσυγχύτως, ἀτρέπτως καὶ ἀναλλοιώτως, Τριάδα ἁπλῆν Ἁγίαν καὶ συμφυῆ· βοῶντες σὺν τοῖς Ἀγγέλοις, Ἅγιος εἶ, Πάτερ, Υἱὲ σὺν τῷ Πνεύματι, τῷ Παναγίῳ καὶ σεπτῷ· ἐλέησον οὓς ἔπλασας, κατ' εἰκόνα σου Δέσποτα.

Δόξα, καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Εὐχαριστοῦμέν σοι ἀεὶ Θεοτόκε, καὶ μεγαλύνομεν Ἁγνή, καὶ προσκυνοῦμεν, ἀνυμνοῦντες τὸν Τόκον σου Κεχαριτωμένη· βοῶντες ἀκαταπαύστως, σῶσον ἡμᾶς, Παρθένε Παντελεῆμον ὡς ἀγαθή, καὶ δαιμόνων ἐξάρπασον, λογοθεσίου φοβεροῦ, ἐν ὥρᾳ τῆς ἐτάσεως, μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

Ὠδὴ ζ'. Θεοῦ συγκατάβασιν.

Σοφίᾳ ἀρρήτῳ σου, καὶ τῷ πελάγει τῆς ἀγαθότητος, δωρεὰν τὸν σὸν δοῦλον, ἠλεημένον ἀνάδειξόν με, καὶ νῦν, καθάπερ πάλαι, καὶ ῥῦσαι κακώσεως, Τριὰς Μονὰς ὁ Θεός, ἁμαρτιῶν καὶ παθῶν.

Ὁ Νοῦς ὁ ἀγέννητος, Πατὴρ καὶ Λόγος ὁ γεννηθεὶς ἐξ αὐτοῦ, καὶ τὸ Πνεῦμα τὸ Θεῖον, ἀκαταλήπτως ἐκπορευτὸν πεφυκός, Θεὲ Μονάρχα Τρισήλιε ψάλλω σοι· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Νενέκρωμαι Πάναγνε, τῆς ἁμαρτίας πιὼν τὸ φάρμακον, καὶ προστρέχω σοι πίστει, τῇ τετοκυίᾳ τὸν Ἀρχηγὸν τῆς ζωῆς· ταῖς σαῖς πρεσβείαις τὸν δοῦλόν σου ζώωσον, καὶ πειρασμῶν καὶ παθῶν λύτρωσαι μόνη Ἁγνή.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ὁ Φῶς ὑπάρχων ἄδυτον, τριλαμπὲς καὶ τρισήλιον, καὶ μοναρχικόν, μονοκρατὲς ἁπλούστατον, Θεὸς ἀκατάληπτος, καὶ μονοκράτωρ Κύριος, νῦν τὴν σκοτεινὴν καὶ ζοφεράν μου καρδίαν, καταύγασον καὶ δεῖξον, φωταυγῆ καὶ φωσφόρον, ὑμνεῖν σε καὶ δοξάζειν, εἰς πάντας τοὺς αἰῶνας.

Ἱερωτάταις πτέρυξι, Σεραφὶμ οἱ Θειότατοι, πρόσωπα καὶ πόδας, ἀβλαβῶς καλύπτουσι, τὴν δόξαν οὐ φέροντες, τοῦ ἀμηχάνου κάλλους σου, ἀγαθαρχικὴ, Θεαρχικὴ Μοναρχία, Τριὰς Ὑπεραγία· πλὴν ἡμεῖς ἀνυμνεῖν σε, τολμῶμεν καὶ δοξάζειν, πιστῶς εἰς τοὺς αἰῶνας.

Τριαρχίαν ἄναρχον, πανσθενῆ καὶ πανάγαθον, τελεταρχικήν, ἀγαθουργὸν ἀόριστον, αἰτίαν ἀναίτιον, ποιητικὴν ἀΐδιον, προνοητικήν, καὶ σωστικὴν τῶν ἁπάντων, Μονάδα κατ' οὐσίαν, καὶ Τριάδα προσώποις, δοξάζω σε Θεέ μου, πιστῶς εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἐπὶ τῆς γῆς ἀνέτειλεν, ὁ ἀνέσπερος Ἥλιος, διὰ τῆς ἐκ σοῦ, Παρθενικῆς γεννήσεως, Πανάχραντε Δέσποινα, καὶ τοὺς βροτοὺς ἀπήλλαξε, τῆς εἰδωλικῆς, καὶ ζοφερᾶς σκοτομήνης. διὸ καὶ νῦν με μᾶλλον, τῆς αὐτοῦ θεαρχίας, καταύγασον ταῖς αἴγλαις, καὶ φρούρει τὸν σὸν δοῦλον.

Ὠδὴ θ'. Ἔφριξε ἐπὶ τούτῳ ὁ Οὐρανός.

Τὴν πάντων Βασιλίδα καὶ παντουργόν, ὑπεράρχιον φύσιν ὑπέρχρονον, ζωαρχικήν, εὔσπλαγχνον φιλάνθρωπον ἀγαθήν, ἐναρχικὴν Τριάδα σε, νῦν δοξολογοῦντες ἁμαρτιῶν, συγχώρησιν αἰτοῦμεν, τῷ Κόσμῳ τὴν εἰρήνην, καὶ Ἐκκλησίαις τὴν ὁμόνοιαν.

Δίς.

Ἡ Μία Κυριότης καὶ τριλαμπής, ἑνικὴ Θεαρχία, τρισήλιε, τοὺς ὑμνητάς, πρόσδεξαι τοὺς σοὺς ἀγαθοπρεπῶς, καὶ τῶν πταισμάτων λύτρωσαι, καὶ τῶν πειρασμῶν καὶ τῶν δυσχερῶν. καὶ θᾶττον τὴν εἰρήνην, παράσχου φιλανθρώπως, ταῖς Ἐκκλησίαις, καὶ τὴν ἕνωσιν.

Θεοτοκίον.

Νηδὺν Χριστὲ Σωτήρ μου Παρθενικήν, ἐνοικήσας ἐφάνης τῷ Κόσμῳ σου, θεανδρικῶς, ἄτρεπτος ἀσύγχυτος ἀληθῶς, καὶ καθυπέχου πάντοτε, μετὰ τῶν σῶν δούλων εἶναι σαφῶς. διὸ τῆς σὲ Τεκούσης, πρεσβείαις τὴν εἰρήνην, πάσῃ τῇ ποίμνῃ σου πρυτάνευσον.

## ΤΗ ΚΥΡΙΑΚΗ ΠΡΩΪ.

Εἰς τὸν Ὄρθρον. Μετὰ τὴν α'. Στιχολογίαν, Καθίσματα Ἀναστάσιμα.

Ἀνέστης ἐκ νεκρῶν, ἡ Ζωὴ τῶν ἁπάντων, καὶ Ἄγγελος φωτός, ταῖς Γυναιξὶν ἐβόα· Παύσασθε τῶν δακρύων, τοῖς Ἀποστόλοις εὐαγγελίσασθε· κράξατε ἀνυμνοῦσαι, ὅτι ἀνέστη Χριστὸς ὁ Κύριος, ὁ εὐδοκήσας σῶσαι ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Δόξα. Τὴν Σοφίαν καὶ Λόγον.

Ἀνέστας ἐκ τοῦ τάφου ὡς ἀληθῶς, ταῖς ὁσίαις προσέταξας Γυναιξί, κηρύξαι τὴν Ἔγερσιν, Ἀποστόλοις ὡς γέγραπται· καὶ δρομαῖος ὁ Πέτρος, ἐπέστη τῷ μνήματι, καὶ τὸ φῶς ἐν τῷ τάφῳ, ὁρῶν κατεπλήττετο. Ὅθεν καὶ κατεῖδε, τὰ ὀθόνια μόνα. οὐδεὶς γὰρ βλέπειν διώκεται, ἐν νυκτὶ τὰ προκείμενα. καὶ πιστεύσας ἐβόησε· δόξα σοι Χριστὲ ὁ Θεός, ὅτι σῴζεις ἅπαντας Σωτὴρ ἡμῶν· τοῦ Πατρὸς γὰρ ὑπάρχεις ἀπαύγασμα.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Τὴν Οὐράνιον Πύλην καὶ κιβωτόν, τὸ πανάγιον Ὄρος, τὴν φωταυγῆ, Νεφέλην ὑμνήσωμεν, τὴν Οὐράνιον Κλίμακα, τὸν λογικὸν Παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς Οἰκουμένης ὅλης, τὸ μέγα

Κειμήλιον. ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ Κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων. διὰ τοῦτο βοῶμεν αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν Πανάγιον Τόκον σου.

Μετὰ τὴν β΄. Στιχολ. Καθισμ. Ἀναστάσιμον.

Ἄνθρωποι τὸ μνῆμά σου Σωτὴρ ἐσφραγίσαντο, Ἄγγελος τὸν λίθον ἐκ τῆς θύρας ἀπεκύλισε. Γυναῖκες ἐθεάσαντο, ἐγηγερμένον ἐκ νεκρῶν, καὶ αὗται εὐηγγελίσαντο, τοῖς Μαθηταῖς σου ἐν Σιών· ὅτι ἀνέστης ἡ Ζωὴ τῶν ἁπάντων, καὶ διελύθη τὰ δεσμὰ τοῦ θανάτου. Κύριε δόξα σοι. Δόξα.

Τὰ Μύρα τῆς ταφῆς, αἱ Γυναῖκες κομίσασαι, φωνῆς Ἀγγελικῆς, ἐκ τοῦ τάφου ἤκουον· παύσασθε τῶν δακρύων, καὶ ἀντὶ λύπης χαρὰν κομίσασθε. κράξατε ἀνυμνοῦσαι, ὅτι ἀνέστη Χριστὸς ὁ Κύριος, ὁ εὐδοκήσας σῶσαι ὡς Θεὸς, τὸ γένος τῶν ἀνθρώπων.

Καὶ νῦν. Θεοτοκίον.

Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη πᾶσα ἡ Κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ Ἀνθρώπων τὸ γένος, ἡγιασμένε Ναὲ, καὶ Παράδεισε λογικὲ, Παρθενικὸν καύχημα. ἐξ ἧς Θεὸς ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. Τὴν γὰρ σὴν Μήτραν, θρόνον ἐποίησε· καὶ τὴν σὴν Γαστέρα πλατυτέραν Οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ Κτίσις, δόξα σοι.

Μετὰ τὸν Ἄμωμον. Ἡ Ὑπακοή.

Αἱ Μυροφόροι τοῦ Ζωοδότου ἐπιστᾶσαι τῷ μνήματι, τὸν Δεσπότην ἐζήτουν, ἐν νεκροῖς τὸν ἀθάνατον. καὶ χαρᾶς Εὐαγγέλια ἐκ τοῦ Ἀγγέλου δεξάμεναι, τοῖς Ἀποστόλοις ἐμήνυον· ὅτι ἀνέστη Χριστὸς ὁ Θεὸς, παρέχων τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Οἱ Ἀναβαθμοί. Ἀντίφωνον Α΄.

Ἐκ νεότητός μου, ὁ ἐχθρός με πειράζει, ταῖς ἡδοναῖς φλέγει με. ἐγὼ δὲ πεποιθὼς, ἐν σοὶ Κύριε, τροποῦμαι τοῦτον.

Οἱ μισοῦντες Σιὼν, γενηθήτωσαν δὴ, πρὶν ἐκσπασθῆναι, ὡς χόρτος. συγκόψει γὰρ Χριστὸς αὐχένας αὐτῶν τομῇ βασάνων. Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, τὸ ζῆν τὰ πάντα, φῶς ἐκ φωτὸς Θεὸς μέγας, σὺν Πατρὶ ὑμνοῦμεν αὐτὸ, καὶ τῷ Λόγῳ. Ἀντίφωνον Β΄.

Ἡ Καρδία μου τῷ φόβῳ σου σκεπέσθω, ταπεινοφρονοῦσα, μὴ ὑψωθεῖσα, ἀποπέσῃ ἐκ σοῦ Πανοικτίρμον.

Ἐπὶ τὸν Κύριον ὁ ἐσχηκὼς ἐλπίδα, οὐ δώσει τότε, ὅτε πυρὶ τὰ πάντα κρινεῖ, καὶ κολάσει.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, πᾶς τις θεῖος βλέπει καὶ προλέγει, τερατουργεῖ ὕψιστα, ἐν Τρισὶν ἕνα Θεὸν μέλπων. εἰ γὰρ καὶ τριλαμπεῖ, μοναρχεῖ τὸ Θεῖον.

Ἀντίφωνον Γ΄.

Ἐκέκραξά σοι Κύριε, πρόσχες κλῖνόν μοι τὸ οὖς σου βοῶντι· καὶ κάθαρον, πρὶν ἆρής με ἀπὸ τῶν ἐνθένδε.

Ἐπὶ τὴν Μητέρα αὐτοῦ, γῆν δύνων πᾶς αὖθις ἀναλύσει, τοῦ λαβεῖν βασάνους, ἢ γέρα τῶν βεβιωμένων.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, Θεολογία Μονὰς Τρισαγία· ὁ Πατὴρ γὰρ ἄναρχος, ἐξ οὗ ἔφυ ὁ Υἱὸς ἀχρόνως, καὶ τὸ Πνεῦμα σύμμορφον σύνθρονον, ἐκ Πατρὸς συνεκλάμψαν. Ἀντίφωνον Δ΄.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἅμα; ἐν τούτῳ γὰρ Κύριος, ἐπηγγείλατο ζωὴν αἰώνιον.

Τοῦ ἐνδύματος αὐτοῦ, ὁ τὰ κρίνα τοῦ ἀγροῦ κοσμῶν, κελεύει, μὴ δεῖν φροντίζειν.

Δόξα, καὶ νῦν.

Ἁγίῳ Πνεύματι, εὐσεβεῖ αἰτίᾳ, πάντα ἔχεται εἰρηνοβραβεύτως. Θεὸς τοῦτο γάρ ἐστι, Πατρί τε καὶ Υἱῷ ὁμοούσιον Κυρίως.

Προκείμενον. Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα.

Στίχ. Αἴνει ἡ ψυχή μου τὸν Κύριον.

Πᾶσα πνοή. Εὐαγγέλιον τὸ Ἑωθινόν.

Ἀνάστασιν Χριστοῦ θεασάμενοι. Ὁ Ν΄.

Κανὼν ὁ Ἀναστάσιμος. Ὠδὴ α΄. Ὁ Εἱρμός.

Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα ποτὲ, Μωσαϊκὴ Ῥάβδος, σταυροτύπως πλήξασα, καὶ διελοῦσα θάλασσαν, Ἰσραὴλ δὲ φυγάδα, πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα.

Τροπάριον.

Τὴν Παντοδύναμον Χριστοῦ Θεότητα, πῶς μὴ θαυμάσωμεν; ἐκ μὲν παθῶν πᾶσι, τοῖς πιστοῖς ἀπάθειαν, καὶ ἀφθαρσίαν βλύζουσαν· ἐκ πλευρᾶς δὲ ἁγίας, πηγὴν ἀθάνατον στάζουσαν, καὶ ζωὴν ἐκ τάφου ἀΐδιον.

Ὡς εὐπρεπὴς ταῖς Γυναιξὶν ὁ Ἄγγελος, νῦν ἐπεφάνισται, καὶ τηλαυγῆ φέρων, τῆς ἐμφύτου σύμβολα, ἀΰλου καθαρότητος, τῇ μορφῇ δὲ μηνύων, τὸ φέγγος τῆς Ἀναστάσεως, κράζων, ἐξηγέρθη ὁ Κύριος.

Θεοτοκίον.

Δεδοξασμένα περὶ σοῦ λελάληνται, ἐν γενεαῖς γενεῶν, ἡ τὸν Θεὸν Λόγον, ἐν Γαστρὶ χωρήσασα, Ἁγνὴ δὲ διαμείνασα, Θεοτόκε Παρθένε. διό σε πάντες γεραίρομεν, τὴν μετὰ Θεὸν προστασίαν ἡμῶν.

Ἕτερος Κανὼν Σταυροαναστάσιμος.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

Ἐπήρθησαν πύλαι ὀδυνηραὶ, καὶ ἔφριξαν Ἅδου καθορῶντες οἱ πυλωροὶ, ἐν τοῖς κατωτάτοις τὸν ἐν ὕψει, τῆς τῶν ἁπάντων ἐπέκεινα φύσεως.

Ἐξέστησαν τάξεις Ἀγγελικαὶ, ὁρῶσαι ἐν Θρόνῳ, ἱδρυμένην τῷ Πατρικῷ, τὴν ἔκπτωτον φύσιν τῶν Ἀνθρώπων, τὴν καθειργμένην ἐν τοῖς κατωτάτοις τῆς γῆς.

Θεοτοκίον.

Τάξεις σε Ἀγγέλων, καὶ τῶν βροτῶν, ἀνύμφευτε Μῆτερ, εὐφημοῦσιν ἀνελλιπῶς. τὸν Κτίστην γὰρ τούτων ὥσπερ βρέφος, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Ἕτερος Κανὼν εἰς τὴν Ὑπεραγίαν Θεοτόκον.

Κατὰ Ἀλφάβητον. Ἄσωμεν τῷ Κυρίῳ.

Ἄχραντε Θεοτόκε, ἡ σεσαρκωμένον τὸν ἀΐδιον, καὶ ὑπέρθεον Λόγον, ὑπὲρ φύσιν τεκοῦσα, ὑμνοῦμέν σε.

Βότρυν σε ζωηφόρον, τὸν τῆς παγκοσμίου ἀποστάζοντα, γλυκασμὸν σωτηρίας, ἡ Παρθένος Χριστὲ ἀπεκύησε.

Γένος Ἀδαμιαῖον, πρὸς τὴν ὑπὲρ νοῦν μακαριότητα, διὰ σοῦ ἀνηγμένον, Θεοτόκε ἀξίως δοξάζει σε. Ὠδὴ γ΄. Ὁ Εἱρμός.

Ὁ στερεώσας κατ' ἀρχὰς, τοὺς Οὐρανοὺς ἐν συνέσει, καὶ τὴν Γῆν ἐπὶ ὑδάτων ἑδράσας, ἐν τῇ πέτρᾳ με Χριστὲ, τῆς Ἐκκλησίας στήριξον· ὅτι οὐκ ἔστι πλὴν σοῦ, Ἅγιος μόνε Φιλάνθρωπε.

Τροπάριον.

Κατακριθέντα τὸν Ἀδὰμ, τῇ γεύσει τῆς ἁμαρτίας, τῆς Σαρκός σου τὸ σωτήριον Πάθος, ἐδι-



ΑΝΟΙΚΤΗ ΒΙΒΛΙΟΘΗΚΗ

καίωσας Χριστέ. αὐτὸς γὰρ οὐχ ὑπεύθυνος τῆς τοῦ θανάτου πείρας, πέφηνας ὁ ἀναμάρτητος.

Τῆς Ἀναστάσεως τὸ φῶς, ἐξέλαμψε τοῖς ἐν σκότει, τοῦ θανάτου καὶ σκιᾷ καθημένοις, ὁ Θεός μου Ἰησοῦς, καὶ τῇ αὐτοῦ Θεότητι, τὸν ἰσχυρὸν δεσμεύσας, τούτου τὰ σκεύη διήρπασε. Θεοτοκίον.

Τῶν Χερουβίμ, καὶ Σεραφίμ, ἐδείχθης ὑψηλοτέρα, Θεοτόκε· σὺ γὰρ μόνη ἐδέξω, τὸν ἀχώρητον Θεόν, ἐν σῇ Γαστρὶ ἀμόλυντε. διὸ πιστοὶ σὲ πάντες, ὕμνοις Ἁγνὴ μακαρίζομεν.

Ἄλλος. Σταυροαναστάσιμος. Οὐρανίας ἁψῖδος.

Ἀπειθήσαντα πρώην τῇ ἐντολῇ Κύριε, τοῦ πεποιηκότος με ὄντως σὺ ἀπεξένωσας· ὃν μορφωσάμενος, ὑπακούων τε παθὼν, σεαυτῷ οἰκείωσας διὰ Σταυρώσεως.

Ὁ Σοφία τὰ πάντα προεγνωκὼς Κύριε, καὶ τῇ σῇ συνέσει, συμπήξας τὰ ὑποχθόνια, οὐκ ἀπηξίωσας, συγκαταβάσει σου Λόγε, τοῦ Θεοῦ ἀναστῆσαι τὸν κατ᾽ εἰκόνα σου. Θεοτοκίον.

Ἐνοικήσας Παρθενῷ σωματικῶς Κύριε, ὤφθης τοῖς ἀνθρώποις, ὡς ἔπρεπε Θεανθρώπῳ σε, ἣν καὶ ἀνέδειξας, ὡς ἀληθῶς Θεοτόκον, καὶ πιστῶν βοήθειαν, μόνε Φιλάνθρωπε.

Ἄλλος, τῆς Θεοτόκου. Σὺ εἶ τὸ στερέωμα.

Δὸς ἡμῖν βοήθειαν, ταῖς ἱκεσίαις σου Πανάγνε, τὰς προσβολὰς, ἀποκρουομένη, τῶν δεινῶν περιστάσεων.

Ὕπαρ τῆς προμήτορος, σὺ ἐπανόρθωσις γέγονας, τὸν Ἀρχηγὸν, τῆς ζωῆς τῷ Κόσμῳ, Θεοτόκε κυήσασα.

Ὢ σου δυναστείαν με, ἡ ἀληθῶς Θεὸν Πανάγνε, τὴν τοῦ Πατρὸς, ἐν σαρκὶ τεκοῦσα, ἐνυπόστατον δύναμιν. Ὠδὴ δ΄. Ὁ Εἱρμός.

Σύ μου ἰσχὺς Κύριε, σύ μου καὶ Δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ Πατρικοὺς κόλπους μὴ λιπὼν, καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμενος. διὸ σὺν τῷ Προφήτῃ, Ἀββακοὺμ σοὶ κραυγάζω· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε. Τροπάριον.

Σὺ δυσμενῆ, ὄντα με λίαν ἠγάπησας, σὺ κενώσει, ξένῃ καταβέβηκας, ἐπὶ τῆς γῆς, εὔσπλαγχνε Σωτὴρ, τῆς ἐσχατιᾶς μου τὴν ὕβριν μὴ ἀπαξιώσας, καὶ μείνας ἐν τῷ ὕψει, τῆς ἀφράστου σου δόξης, τὸν πρὶν ἠτιμωμένον ἐδόξασας.

Τίς καθορᾶν, Δέσποτα νῦν οὐκ ἐξίσταται, διὰ Πάθους θάνατον λυόμενον, διὰ Σταυροῦ, φεύγουσαν φθορὰν, καὶ διὰ θανάτου, τὸν Ἅδην πλούτου κενούμενον; τῆς θείας δυναστείας, σοῦ τοῦ Ἐσταυρωμένου, τὸ ἐξαίσιον ἔργον Φιλάνθρωπε. Θεοτοκίον.

Σὺ τῶν Πιστῶν, καύχημα πέλεις Ἀνύμφευτε, σὺ Προστάτις, σὺ καὶ καταφύγιον, Χριστιανῶν τεῖχος καὶ λιμήν. πρὸς γὰρ τὸν Υἱόν σου, ἐντεύξεις φέρεις Πανάμωμε, καὶ σῴζεις ἐκ κινδύνων, τοὺς ἐν πίστει καὶ πόθῳ, Θεοτόκον Ἁγνὴν σε γινώσκοντας.

Ἄλλος. Σταυροαναστάσιμος. Εἰσακήκοα Κύριε.

Τῷ Σταυρῷ σε προσήλωσαν, οἱ τῶν παρανόμων Παῖδες Φιλάνθρωπε, δι᾽ οὗ ἔσωσας ὡς εὔσπλαγχνος, τοὺς δοξάζοντάς σου τὰ Παθήματα.

Ἀναστὰς ἐκ τοῦ μνήματος, πάντας συνανέστησας τοὺς ἐν Ἅδῃ νεκροὺς, καὶ ἐφώτισας ὡς εὔσπλαγχνος, τοὺς δοξάζοντάς σου τὴν Ἀνάστασιν. Θεῖον.

Τὸν Θεὸν ὃν ἐκύησας, Ἄχραντε Μαρία, τοῦτον δυσώπησον, τοῖς ἱκέταις σου δωρήσασθαι, τῶν πλημμελημάτων τὴν συγχώρησιν.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

Ἡ τὸν στάχυν βλαστήσασα, τὸν ζωοποιὸν ἀνήροτος ἄρουρα, τὸν παρέχοντα τῷ Κόσμῳ ζωὴν, Θεοτόκε σῷζε τοὺς ὑμνοῦντάς σε.

Θεοτόκον σε Πανάγνε, οἱ πεφωτισμένοι πάντες γινώσκομεν. τὸν γὰρ Ἥλιον ἐκύησας, τῆς Δικαιοσύνης Ἀειπάρθενε.

Ἱλασμὸν ἡμῖν δώρησαι, τῶν ἀγνοημάτων ὡς ἀναμάρτητος, καὶ εἰρήνευσον τὸν Κόσμον σου, ὁ Θεὸς πρεσβείαις τῆς Τεκούσης σε.

Ὠδὴ ε΄. Ὁ Εἱρμός.

Ἵνα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότος τὸν δείλαιον; ἀλλ᾽ ἐπίστρεψόν με, καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομαι. Τροπάριον.

Περιθέσθαι ὑπέσχου, χλαῖναν πρὸ τοῦ Πάθους σου Σῶτερ παιζόμενος, τὴν τοῦ Πρωτοπλάστου, περιστέλλων ἀσχήμονα γύμνωσιν, καὶ γυμνὸς παγῆναι, ἐν τῷ Σταυρῷ ἀπαμφιάζων, τὸν χιτῶνα Χριστὲ τῆς νεκρώσεως.

Ἐκ χοὸς τοῦ Θανάτου, σὺ τὴν πεπτωκυῖάν μου ἀνῳκοδόμησας, ἀναστὰς οὐσίαν, καὶ ἀγήρῳ Χριστὲ κατεσκεύασας, ἀναδείξας πάλιν, Βασιλικὴν ὥσπερ εἰκόνα, ἀφθαρσίας φωτὶ ἀπαστράπτουσαν. Θεῖον.

Μητρικὴν παῤῥησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη Πανάγνε, συγγενοῦς προνοίας, τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα. ὅτι σὲ καὶ μόνην, Χριστιανοὶ πρὸς τὸν Δεσπότην, ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ἄλλος. Σταυροαναστάσιμος. Φώτισον ἡμᾶς.

Ὁδήγησον ἡμᾶς, τῇ δυνάμει τοῦ Σταυροῦ σου Χριστέ. δι᾽ αὐτοῦ γάρ σοι προσπίπτομεν, τὴν σὴν εἰρήνην παράσχου ἡμῖν Φιλάνθρωπε.

Κυβέρνησον ἡμῶν, τὴν ζωὴν νῦν ὁ Θεὸς ἡμῶν, τῶν ὑμνούντων σου τὴν Ἔγερσιν· καὶ τὴν εἰρήνην παράσχου ἡμῖν φιλάνθρωπε. Θεοτοκίον.

Δυσώπησον Ἁγνὴ, τὸν Υἱόν σου, καὶ Θεὸν ἡμῶν, Ἀπειρόγαμε Μαρία σεμνὴ, τοῦ καταπέμψαι ἡμῖν τοῖς πιστοῖς τὸ μέγα ἔλεος.

Ἄλλος, τῆς Θεοτόκου. Ὀρθρίζοντες.

Κατεύνασον τὸν ἄστατον, κλύδωνα τῶν παθῶν μου, ἡ Θεὸν κυήσασα, τὸν Κυβερνήτην καὶ Κύριον.

Λατρεύουσι τῷ τόκῳ σου, Ἄχραντε Θεοτόκε, Ἀγγέλων τὰ τάγματα, καὶ τῶν βροτῶν τὰ συστήματα.

Μαρία Θεοτόκε ἀνύμφευτε, τὰς ἐλπίδας τῶν ἐχθρῶν ματαίωσον, καὶ τοὺς ὑμνοῦντάς σε εὔφρανον.

Ὠδὴ ϛ΄. Ὁ Εἱρμός.

Ἱλάσθητί μοι Σωτὴρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν, ἀνάγαγε δέομαι· πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Τροπάριον.

Διὰ ξύλου κραταιῶς, καθεῖλέ με ὁ ἀρχέκακος, αὐτὸς δὲ ἀναρτηθεὶς, Χριστὲ κραταιότερον, Σταυρῷ καταβέβληκας, δειγματίσας τοῦτον, τὸν πεσόντα δὲ ἀνέστησας.

Σὺ φώτειρας τὴν Σιὼν, ἐξανατείλας τοῦ μνήματος, καινὴν ἀντὶ παλαιᾶς, πλέσας ὡς εὔσπλαγχνος, τῷ Θείῳ σου Αἵματι. καὶ νῦν βασιλεύεις, ἐν αὐτῇ εἰς τοὺς αἰῶνας Χριστέ. Θεοτοκίον.

Ῥυσθείημεν τῶν δεινῶν, πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογεννήτορ Ἁγνὴ, καὶ τύχοιμεν Πανάγνε, τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως, Σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.



Δημόσια Κεντρική Βιβλιοθήκη Βεροίας

Ἄλλος. Σταυροαναστάσιμος. Τὴν δέησιν ἐκχεῶ.

ΠΑλάμαις ἐν τῷ Σταυρῷ ἐξήπλωσας, ἰατρεύων τὴν ἀκρατῶς ταθεῖσαν, ἐν τῇ Ἐδέμ, χεῖρα τοῦ Πρωτοπλάστου, καὶ τῆς ἰδίας χολῆς ἀντεγεύσω Χριστέ, καὶ ἔσωσας ὡς δυνατός, τοὺς δοξάζοντάς σου τὰ Παθήματα.

ΘΑνάτῳ ὁ Λυτρωτὴς ἐγεύσατο, τῆς ἀρχαίας ἀποφάσεως ὅπως, καὶ τῆς φθορᾶς, τὸ Βασίλειον λύσῃ, καὶ τοῖς ἐν Ἅδου φοιτήσας ἀνέστη Χριστός· καὶ ἔσωσεν ὡς κραταιός, τοὺς ὑμνοῦντας αὐτοῦ τὴν Ἀνάστασιν.

Θεοτοκίον.

ΜΗ παύσῃ ὑπὲρ ἡμῶν πρεσβεύουσα, τῷ Υἱῷ σου Θεοτόκε Παρθένε· ὅτι πιστῶν, στήριγμα σὺ ὑπάρχεις, καὶ τῇ ἐλπίδι τῇ σῇ κραταιούμεθα· καὶ πόθῳ σὲ καὶ τὸν ἐκ σοῦ, σαρκωθέντα ἀφράστως δοξάζομεν.

Ἄλλος. τῆς Θεοτόκου. Χιτῶνά μοι παράσχου.

ΝΑόν σε τοῦ Θεοῦ, καὶ Κιβωτόν, καὶ Παστάδα ἔμψυχον, καὶ Πύλην Οὐράνιον, Θεοτόκε οἱ πιστοὶ καταγγέλλομεν.

ΞΟάνων καταλύτης ὡς Θεός, γεγονὼς ὁ Τόκος σου, Μαρία Θεόνυμφε, προσκυνεῖται σὺν Πατρὶ καὶ τῷ Πνεύματι.

ὉΛόγος τοῦ Θεοῦ σὲ τοῖς βροτοῖς, Θεοτόκε ἔδειξεν, Οὐράνιον Κλίμακα· διὰ σοῦ γὰρ πρὸς ἡμᾶς καταβέβηκε.

Κοντάκιον. Ὡς ἀπαρχὰς τῆς φύσεως.

ἘΞαναστὰς τοῦ μνήματος, τοὺς τεθνεῶτας ἤγειρας, καὶ τὸν Ἀδὰμ ἀνέστησας. καὶ ἡ Εὔα χορεύει ἐν τῇ σῇ Ἀναστάσει. καὶ Κόσμου τὰ πέρατα πανηγυρίζουσι, τῇ ἐκ νεκρῶν Ἐγέρσει σου Πολυέλεε.

Ὁ Οἶκος.

ΤΑ τοῦ Ἅδου σκυλεύσας Βασίλεια, καὶ νεκροὺς ἀναστήσας μακρόθυμε, Γυναιξὶ Μυροφόροις συναντήσας, ἀντὶ λύπης χαρὰν κομισάμενος. καὶ Ἀποστόλοις σου ἐμήνυσας, τὰ τῆς νίκης σύμβολα, Σωτήρ μου ζωοδότα, καὶ τὴν Κτίσιν ἐφώτισας φιλάνθρωπε. διὰ τοῦτο καὶ Κόσμος συγχαίρει, τῇ ἐκ νεκρῶν Ἐγέρσει σου Πολυέλεε.

Ὠδὴ ζ. Ὁ Εἱρμός.

ΘΕοῦ συγκατάβασιν, τὸ πῦρ ᾐδέσθη ἐν Βαβυλῶνι ποτέ. διὰ τοῦτο οἱ Παῖδες, ἐν τῇ Καμίνῳ ἀγαλλομένῳ ποδί, ὡς ἐν λειμῶνι χορεύοντες ἔψαλλον· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Τροπάριον.

ἩΕὔδοξος κένωσις, ὁ θεῖος πλοῦτος τῆς σῆς πτωχείας Χριστέ, καταπλήττει Ἀγγέλους, Σταυρῷ ὁρῶντάς σε καθηλούμενον, διὰ τὸ σῶσαι τοὺς πίστει κραυγάζοντας· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

ΤΗ θείᾳ καθόδῳ σου, φωτὸς ἐπλήσθη τὰ καταχθόνια, καὶ τὸ σκότος ἠλάθη, τὸ πρὶν διώκον. ὅθεν ἀνέστησαν, οἱ ἀπ' αἰῶνος δεσμῶται κραυγάζοντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

ἉΠάντων μὲν Κύριον, ἑνὸς δὲ μόνου μονογενοῦς Υἱοῦ, ὀρθοδόξως Πατέρα, θεολογοῦντές σε καταγγέλλομεν, καὶ εὖ εἰδότες σοῦ ἐκπορευόμενον, Πνεῦμα εὐθές, συμφυές, καὶ συναΐδιον.

Ἄλλος. Σταυροαναστάσιμος. Οἱ ἐκ τῆς Ἰουδαίας.

ΣΩτηρίαν εἰργάσω, μέσον τῆς Οἰκουμένης Χριστέ, προφητικῶς βοῶμεν. ὑψωθεὶς γὰρ ἐν ξύλῳ, πάντας ἀνεκαλέσω τοὺς ἐν πίστει κραυγάζοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

ἈΝαστὰς ἐκ τοῦ τάφου, ὡς ἐξ ὕπνου Οἰκτίρμον, Κόσμον συνήγειρας. ἡ Κτίσις ἐπιστώθη, διὰ τῶν Ἀποστόλων κηρυττόντων τὴν Ἔγερσιν, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

ἸΣουργὸς τῷ Τεκόντι, ἰσοδύναμος Λόγος, καὶ συναΐδιος, ἐν μήτρᾳ τῆς Παρθένου, Πατρὸς τῇ εὐδοκίᾳ, πλαστουργεῖται, καὶ Πνεύματος, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Τῆς Θεοτόκου. Ὁ αὐτός.

ΠΑρθενικῆς ἐκ Νηδύος, σαρκωθεὶς ἐπεφάνης εἰς σωτηρίαν ἡμῶν. διό σου τὴν Μητέρα, εἰδότες Θεοτόκον, ὀρθοδόξως κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

ῬΆβδος ἔφυς Παρθένε, Ἰεσσαὶ ἐκ τῆς ῥίζης ἡ Παμμακάριστος, καρπὸν ἀνθηφοροῦσα, σωτήριον τοῖς πίστει, τῷ Υἱῷ σου κραυγάζουσιν· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

ΣΟφίας ἔμπλησον πάντας, καὶ δυνάμεως θείας ἡ ἐνυπόστατος, Σοφία τοῦ Ὑψίστου, διὰ τῆς Θεοτόκου, τοὺς ἐν πίστει σοι ψάλλοντας· ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η. Ὁ Εἱρμός.

ἙΠταπλασίως Κάμινον, τῶν Χαλδαίων ὁ Τύραννος, τοῖς Θεοσεβέσιν, ἐμμανῶς ἐξέκαυσε, δυνάμει δὲ κρείττονι, περισωθέντας τούτους ἰδών, τῷ Δημιουργῷ, καὶ Λυτρωτῇ ἀνεβόα· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάριον.

ΤΗς Ἰησοῦ Θεότητος, ἡ ὑπέρθεος δύναμις, ἐν τοῖς καθ' ἡμᾶς, θεοπρεπῶς ἐξέλαμψε. σαρκὶ γὰρ γευσάμενος, ὑπὲρ παντὸς θανάτου Σταυροῦ, ἔλυσε τοῦ Ἅδου τὴν ἰσχύν. ὃν ἀπαύστως, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ὉΣταυρωθεὶς ἐγήγερται, ὁ μεγάλαυχος πέπτωκεν, ὁ καταπεσών, καὶ συντριβεὶς ἀνώρθωται, φθορὰ ἐξωστράκισται, καὶ ἀφθαρσία ἐξήνθησεν. ὑπὸ τῆς ζωῆς γάρ, τὸ θνητὸν κατεπόθη· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τριαδικόν.

ΤΡισσοφαῆ Θεότητα, ἑνιαίαν ἐκλάμπουσαν, αἴγλην ἐκ μιᾶς, τρισυποστάτου φύσεως, Γεννήτορα ἄναρχον, ὁμοφυᾶ τε Λόγον Πατρός, καὶ συμβασιλεῦον, ὁμοούσιον Πνεῦμα· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Σταυροαναστάσιμος. Νικηταὶ Τυράννου.

ΤΟν ἐπὶ τοῦ Ξύλου, χεῖράς μοι ἐκτείναντα τῷ γυμνωθέντι, προσκαλούμενόν με, τῇ αὐτοῦ εὐσχήμονι θάλψαι γυμνώσει, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

ΤΟν ἐκ κατωτάτου, Ἅδου με ὑψώσαντα τὸν πεπτωκότα, καὶ τῇ ὑψιθρόνῳ, δόξῃ τοῦ Γεννήτορος τετιμηκότα, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον.

Θεοτοκίον.

ΤΟῦ Ἀδὰμ Παρθένε, τοῦ παραπεσόντος μὲν ὤφθης Θυγάτηρ, τοῦ Θεοῦ δὲ Μήτηρ, τοῦ ἀνακαινίσαντός μου τὴν οὐσίαν, ὃν ὑμνοῦμεν πάντα τὰ ἔργα ὡς Κύριον, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος, τῆς Θεοτόκου. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

ΤΩν ἐναντίων τὰς θελκτικάς, καὶ φλογώδεις, καθ' ἡμῶν κατάσβεσον βολίδας· ὅπως σὲ ὑμνῶμεν Ἁγνὴ εἰς τοὺς αἰῶνας.

ὙΠερφυῶς τὸν Δημιουργὸν καὶ Σωτῆρα, Θεὸν Λόγον τέτοκας Παρθένε· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ΦΩτιστικῶς σε καὶ χρυσαυγῆ τὸ σκηνῶσαν, ἐν σοὶ φῶς ἀπρόσιτον Παρθένε, ἔδειξε λαμπάδα εἰς πάντας τοὺς αἰῶνας.



Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὠδὴ θ΄. Ὁ Εἱρμός.

Ἐξέστη ἐπὶ τούτῳ ὁ Οὐρανός, καὶ τῆς Γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεός, ὤφθη τοῖς ἀνθρώποις σωματικῶς· καὶ ἡ Γαστήρ σου γέγονεν, εὐρυχωροτέρα τῶν Οὐρανῶν. διό σε Θεοτόκε, Ἀγγέλων καὶ Ἀνθρώπων, Ταξιαρχίαι μεγαλύνουσι.

Τροπάριον.

Τῇ Θείᾳ καὶ ἀνάρχῳ φύσει ἁπλοῦς, πεφυκὼς συνετέθης προσλήψει σαρκός, ἐν σεαυτῷ, ταύτην ὑποστήσας Λόγε Θεοῦ· καὶ πεπονθὼς ὡς ἄνθρωπος, ἔμεινας ἐκτός, πάθους ὡς Θεός. διό σε ἐν οὐσίαις, δυσὶν ἀδιαιρέτως, καὶ ἀσυγχύτως μεγαλύνομεν.

Πατέρα κατ' οὐσίαν τὴν Θείαν, ὡς δὲ φύσει γενόμενος Ἄνθρωπος, ἔφης Θεόν, Ὕψιστε τοῖς δούλοις συγκατιών, ἐξαναστὰς τοῦ μνήματος, χάριτι Πατέρα τῶν γηγενῶν, τιθεὶς τὸν κατὰ φύσιν, Θεόν τε καὶ Δεσπότην· μεθ' οὗ σε πάντες μεγαλύνομεν.

Θεοτοκίον.

Ὡράθης, ὦ Παρθένε Μήτηρ Θεοῦ, ὑπὲρ φύσιν τεκοῦσα ἐν σώματι, τὸν Ἀγαθόν, Λόγον ἐκ καρδίας τῆς ἑαυτοῦ, ὃν ὁ Πατὴρ ἠρεύξατο, πάντων πρὸ αἰώνων ὡς Ἀγαθός· ὃν νῦν καὶ τῶν σωμάτων, ἐπέκεινα νοοῦμεν, εἰ καὶ τὸ σῶμα περιβέβληται.

Ἄλλος. Ἔφριξε πᾶσα ἀκοή.

Θεοῦ σε φύσει τὸν Υἱόν, συλληφθέντα ἐν γαστρὶ ἐπιστάμεθα, τῆς Θεομήτορος, καὶ γεγονότα δι' ἡμᾶς Ἄνθρωπον· καὶ καθορῶντες ἐν Σταυρῷ, τῇ φύσει μὲν πάσχοντα τῆς ἀνθρωπότητος, ἀπαθῆ δὲ ὡς Θεὸν διαμείναντα.

Λέλυται σκότος ἀμειδές· ἐκ τοῦ Ἅδου γὰρ ἀνέτειλεν Ἥλιος, δικαιοσύνης Χριστός, τῆς γῆς φωτίζων πάντα τὰ πέρατα, λάμπων Θεότητος αὐγαῖς· Οὐράνιος ἄνθρωπος, Θεὸς ἐπίγειος· ὃν ἐν φύσεσι διτταῖς μεγαλύνομεν.

Θεοτοκίον.

Ἔντεινε καὶ κατευοδοῦ, καὶ Βασίλευε Υἱὲ Θεομήτορος, Ἰσμαηλίτην λαόν, καθυποτάττων τὸν πολεμοῦντα ἡμᾶς, φιλευσεβοῦντι Βασιλεῖ, ὡς ὅπλον ἀνίκητον ἐπαγομένῳ σοι, σὺν τῇ λόγχῃ τὸν Σταυρὸν χαριζόμενος.

Ἄλλος, τῆς Θεοτόκου. Κυρίως Θεοτόκον.

Χαρᾶς καὶ εὐφροσύνης, πλήρης σου ἡ μνήμη, τοῖς προσιοῦσιν ἰάματα βρύουσα, καὶ εὐσεβῶς Θεοτόκον σὲ καταγγέλλουσι.

Ψαλμοῖς σε ἀνυμνοῦμεν, Κεχαριτωμένη, καὶ ἀσιγήτως τὸ Χαῖρέ σοι κράζομεν. σὺ γὰρ ἐπήγασας πᾶσι τὴν ἀγαλλίασιν.

Ὡραῖος Θεοτόκε, ἔφυ ὁ Καρπός σου, οὐχὶ φθορᾶς, τοῖς μετέχουσι πρόξενος, ἀλλὰ ζωῆς τοῖς ἐν πίστει σὲ μεγαλύνουσιν.

Εἰς τοὺς Αἴνους. Στιχηρὰ Ἀναστάσιμα.

Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης, ὑπὸ Πιλάτου κρινόμενος, ἀλλ' οὐκ ἀπελήφθης τοῦ Θρόνου, τῷ Πατρὶ συγκαθεζόμενος· καὶ ἀναστὰς ἐκ νεκρῶν τὸν Κόσμον ἠλευθέρωσας, ἐκ τῆς δουλείας τοῦ ἀλλοτρίου, ὡς Οἰκτίρμων καὶ Φιλάνθρωπος.

Κύριε, εἰ καὶ ὡς νεκρὸν ἐν μνημείῳ, Ἰουδαῖοί σε κατέθεντο, ἀλλ' ὡς Βασιλέα ὑπνοῦντα, στρατιῶταί σε ἐφύλαττον· καὶ ὡς ζωῆς Θησαυρόν, σφραγῖδι ἐσφραγίσαντο. ἀλλὰ ἀνέστης, καὶ παρέσχες, ἀφθαρσίαν ταῖς ψυχαῖς ἡμῶν.

Κύριε, ὅπλον κατὰ τοῦ Διαβόλου, τὸν Σταυρόν σου ἡμῖν δέδωκας. φρίττει γὰρ καὶ τρέμει, μὴ φέρων καθορᾶν αὐτοῦ τὴν δύναμιν, ὅτι νεκροὺς ἀνιστᾷ, καὶ θάνατον κατήργησε. διὰ τοῦτο προσκυνοῦμεν, τὴν Ταφήν σου, καὶ τὴν Ἔγερσιν.

Ὁ Ἄγγελός σου Κύριε, ὁ τὴν Ἀνάστασιν κηρύξας, τοὺς μὲν φύλακας ἐφόβησε, τὰς δὲ Γυναῖκας ἐφώνησε λέγων· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; ἀνέστη Θεὸς ὤν, καὶ τῇ Οἰκουμένῃ ζωὴν ἐδωρήσατο.

Ἕτερα Στιχηρά, Ἀνατολικά.

Ἔπαθες διὰ Σταυροῦ, ὁ ἀπαθὴς τῇ Θεότητι· ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῆς δουλείας τοῦ ἐχθροῦ. καὶ ἀθανατίσας, ζωοποιήσῃς ἡμᾶς Χριστὲ ὁ Θεός, διὰ τῆς Ἀναστάσεώς σου Φιλάνθρωπε.

Προσκυνῶ καὶ δοξάζω, καὶ ἀνυμνῶ Χριστέ, τὴν σὴν ἐκ τάφου Ἀνάστασιν· δι' ἧς ἠλευθέρωσας ἡμᾶς, ἐκ τῶν τοῦ Ἅδου ἀλύτων δεσμῶν· καὶ ἐδωρήσω τῷ Κόσμῳ ὡς Θεός, ζωὴν αἰώνιον, καὶ τὸ μέγα ἔλεος.

Τὸ ζωοδόχον σου μνῆμα, φρουροῦντες παράνομοι, σὺν τῇ κουστωδίᾳ ἐσφραγίσαντο τοῦτο· σὺ δὲ ὡς Ἀθάνατος Θεός, καὶ Παντοδύναμος, ἀνέστης τριήμερος.

Πορευθέντος σου ἐν πύλαις Ἅδου Κύριε, καὶ ταύτας συντρίψαντος, ὁ αἰχμάλωτος οὕτως ἐβόα· τίς ἐστιν οὗτος, ὅτι οὐ καταδικάζεται ἐν τοῖς κατωτάτοις τῆς Γῆς, ἀλλὰ καὶ ὡς σκηνὴν κατέλυσε τοῦ θανάτου τὸ δεσμωτήριον; ἐδεξάμην αὐτὸν ὡς θνητόν, καὶ τρέμω ὡς Θεόν. Παντοδύναμε ἐλέησον ἡμᾶς.

Εἰς τὴν Λειτουργίαν, οἱ Μακαρισμοί.

Μνήσθητι ἡμῶν, Χριστὲ Σωτὴρ τοῦ Κόσμου, ὥσπερ τοῦ Λῃστοῦ, ἐμνήσθης ἐπὶ ξύλου· καὶ καταξίωσον πάντας μόνε Οἰκτίρμον, τῆς οὐρανίου Βασιλείας σου.

Ἄκουε Ἀδάμ, καὶ χαῖρε σὺν τῇ Εὔᾳ, ὅτι ὁ γυμνώσας, πρὶν τοὺς ἀμφοτέρους, καὶ δι' ἀπάτης λαβὼν ἡμᾶς αἰχμαλώτους, ἐν τῷ Σταυρῷ Χριστοῦ κατήργηται.

Ξύλῳ προσπαγείς, Σωτὴρ ἡμῶν βουλήσει, ξύλου τὸν Ἀδάμ, κατάρας ἐλυτρώσω, ἀποδιδοὺς ὡς οἰκτίρμων τὸ κατ' εἰκόνα, καὶ Παραδείσου τὴν κατοίκησιν.

Σήμερον Χριστός, ἀνέστη ἐκ τοῦ τάφου, πᾶσι τοῖς πιστοῖς, παρέχων ἀφθαρσίαν· καὶ τὴν χαρὰν ἐγκαινίζει ταῖς Μυροφόροις, μετὰ τὸ Πάθος, καὶ τὴν Ἔγερσιν.

Χαίρετε σοφαί, Γυναῖκες Μυροφόροι, πρῶται τὴν Χριστοῦ, Ἀνάστασιν ἰδοῦσαι· καὶ τοῖς αὐτοῦ ἀπαγγείλασαι Ἀποστόλοις, παντὸς τοῦ Κόσμου τὴν ἀνάκλησιν.

Φίλοι τοῦ Χριστοῦ, Ἀπόστολοι φανέντες, σύνθρονοι αὐτοῦ, ἐσόμενοι τῇ δόξῃ, ἐν παῤῥησίᾳ αὐτῷ ἡμᾶς παραστῆναι, ὡς Μαθηταὶ αὐτοῦ πρεσβεύσατε.

Δόξα.

Ἄναρχε Τριάς, ἀμέριστε Οὐσία, σύνθρονε Μονάς, ὁμότιμε τῇ δόξῃ, ἡ ὑπεράρχιος φύσις, καὶ Βασιλεία, σῶζε τοὺς πίστει ἀνυμνοῦντάς σε.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε τοῦ Θεοῦ, εὐρύχωρον χωρίον· Χαῖρε κιβωτέ, τῆς Νέας Διαθήκης· Χαῖρε ἡ ἔγχρυσος Στάμνος, ἐξ ἧς τὸ Μάννα, πᾶσιν ἐδόθη τὸ οὐράνιον.

## ΤΕΛΟΣ τοῦ πλ. δ΄. Ἤχου.

Ἤχων σφραγὶς Τέταρτε σὺ τῶν πλαγίων,
Ὡς ἐν σεαυτῷ πᾶν καλὸν μέλος φέρων.
Ἀνδρωθεὶς σὺ τοὺς κρότους τῶν ᾀσμάτων,
Ἤχων κορωνίς, ὡς ὑπάρχων, καὶ τέλος.
Ὡς ἄκρον ἐν φθόγγοις τε, καὶ φωνῶν στάσει,
Ἄκρον σε φωνῆς δὶς σὲ καλῶ, καὶ Τέλος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ἈΡΧῊ ἈΝΑΣΤΑΣΊΜΩΝ ἘΞΑΠΟΣΤΕΙΛΑΡΊΩΝ,

## ΚΑῚ ΤΩ͂Ν ἙΩΘΙΝΩ͂Ν ἸΔΙΟΜΈΛΩΝ, ΤΩ͂Ν ΙΑ΄.

Εἰσὶ δὲ τὰ μὲν Ἑωθινά, Λέοντος τοῦ Σοφωτάτου Βασιλέως. Τὰ δὲ Ἐξαποστειλάρια, τοῦ Υἱοῦ αὐτοῦ Κωνσταντίνου Βασιλέως.

Ἐξαποστειλάριον Α΄.

Τοῖς Μαθηταῖς συνέλθωμεν, ἐν ὄρει Γαλιλαίας, πίστει Χριστὸν θεάσασθαι, λέγοντα ἐξουσίαν, λαβεῖν τῶν ἄνω, καὶ κάτω. μάθωμεν πῶς διδάσκει, βαπτίζειν εἰς τὸ ὄνομα, τοῦ Πατρὸς Ἔθνη πάντα, καὶ τοῦ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος, καὶ συνεῖναι, τοῖς Μύσταις ὡς ὑπέσχετο, ἕως τῆς συντελείας.

Θεοτοκίον.

Τοῖς Μαθηταῖς συνέχαιρες, Θεοτόκε Παρθένε, ὅτι Χριστὸν ἑώρακας, ἀναστάντα ἐκ τάφου, τριήμερον καθὼς εἶπεν· οἷς καὶ ὤφθη διδάσκων, καὶ φανερῶν τὰ κρείττονα, καὶ βαπτίζειν κελεύων, ἐν τῷ Πατρί, καὶ Υἱῷ, καὶ Πνεύματι τοῦ πιστεύειν, αὐτοῦ ἡμᾶς τὴν Ἔγερσιν, καὶ δοξάζειν σε Κόρη.

Ἑωθινὸν Α΄. Ἦχος Α΄.

Εἰς τὸ ὄρος τοῖς Μαθηταῖς ἐπειγομένοις, διὰ τὴν χαμόθεν ἔπαρσιν, ἐπέστη ὁ Κύριος. καὶ προσκυνήσαντες αὐτόν, καὶ τὴν δοθεῖσαν ἐξουσίαν πανταχοῦ διδαχθέντες, εἰς τὸν ὑπ' Οὐρανὸν ἐξαπεστέλλοντο, κηρῦξαι τὴν ἐκ νεκρῶν Ἀνάστασιν, καὶ τὴν εἰς Οὐρανοὺς ἀποκατάστασιν. οἷς καὶ συνδιαιωνίζειν, ὁ ἀψευδὴς ἐπηγγείλατο, Χριστὸς ὁ Θεός, καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἐξαποστειλάριον Β΄.

Τὸν λίθον θεωρήσασαι, ἀποκεκυλισμένον, αἱ Μυροφόροι ἔχαιρον. εἶδον γὰρ Νεανίσκον, καθήμενον ἐν τῷ τάφῳ, καὶ αὐτὸς ταύταις ἔφη· ἰδοὺ Χριστὸς ἐγήγερται, εἴπατε σὺν τῷ Πέτρῳ, τοῖς Μαθηταῖς· ἐν τῷ ὄρει φθάσατε Γαλιλαίας, ἐκεῖ ὑμῖν ὀφθήσεται, ὡς προεῖπε τοῖς φίλοις.

Θεοτοκίον.

Ἄγγελος μὲν ἐκόμισε, τῇ Παρθένῳ τὸ Χαῖρε, πρὸ τῆς Χριστοῦ συλλήψεως· Ἄγγελος δὲ τὸν λίθον, ἐκύλισε τοῦ τάφου. ἀντὶ λύπης ὁ μὲν γάρ, χαρᾶς ἀφράστου σύμβολα· ὁ δὲ ἀντὶ θανάτου, σὲ χορηγόν, τῆς ζωῆς κηρύττων, καὶ μεγαλύνων, καὶ λέγων τὴν Ἀνάστασιν, Γυναιξί, καὶ τοῖς Μύσταις.

Ἑωθινὸν Β΄. Ἦχος Β΄.

Μετὰ μύρων προσελθούσαις, ταῖς περὶ τὴν Μαριὰμ Γυναιξί, καὶ διαπορουμέναις πῶς ἔσται αὐταῖς τυχεῖν τοῦ ἐφετοῦ· ὡράθη ὁ λίθος μετηρμένος, καὶ θεῖος Νεανίας, καταστέλλων τὸν θόρυβον αὐτῶν τῆς ψυχῆς. ἠγέρθη γάρ φησιν, Ἰησοῦς ὁ Κύριος. διὸ κηρύξατε τοῖς Κήρυξιν αὐτοῦ Μαθηταῖς, εἰς τὴν Γαλιλαίαν δραμεῖν· καὶ ὄψεσθαι αὐτόν, ἀναστάντα ἐκ νεκρῶν, ὡς Ζωοδότην καὶ Κύριον.

Ἐξαποστειλάριον Γ΄.

Ὅτι Χριστὸς ἐγήγερται, μήτις διαπιστείτω. ἐφάνη τῇ Μαρίᾳ γάρ, ἔπειτα καθωράθη, τοῖς εἰς ἀγρὸν ἀπιοῦσι. Μύσταις δὲ πάλιν ὤφθη, ἀνακειμένοις ἕνδεκα, οὓς βαπτίζειν ἐκπέμψας· εἰς Οὐρανούς, ὅθεν καταβεβήκει ἀνελήφθη, ἐπικυρῶν τὸ κήρυγμα, πλήθεσι τῶν Σημείων.

Θεοτοκίον.

Ὁ ἀνατείλας Ἥλιος, ἐκ παστοῦ ὡς Νυμφίος, ἀπὸ τοῦ τάφου σήμερον, καὶ τὸν Ἅδην σκυλεύσας, καὶ θάνατον καταργήσας· σὲ Τεκούσης πρεσβείαις, φῶς ἡμῖν ἐξαπόστειλον, φῶς φωτίζον καρδίας, καὶ τὰς ψυχάς, φῶς βαδίζειν ἅπαντας ἐμβιβάζον, ἐν τρίβοις προσταγμάτων σου, καὶ ὁδοῖς τῆς εἰρήνης.

Ἑωθινὸν Γ΄. Ἦχος Γ΄.

Τῆς Μαγδαληνῆς Μαρίας, τὴν τοῦ Σωτῆρος εὐαγγελιζομένης, ἐκ νεκρῶν Ἀνάστασιν, καὶ ἐμφάνειαν, διαπιστοῦντες οἱ Μαθηταί, ὠνειδίζοντο τὸ τῆς καρδίας σκληρόν. ἀλλὰ τοῖς σημείοις καθοπλισθέντες, καὶ θαύμασι, πρὸς τὸ κήρυγμα ἀπεστέλλοντο. καὶ σὺ μὲν Κύριε, πρὸς τὸν ἀρχίφωτον ἀνελήφθης Πατέρα. οἱ δὲ ἐκήρυττον πανταχοῦ τὸν λόγον, τοῖς θαύμασι πιστούμενοι. διὸ οἱ φωτισθέντες δι' αὐτῶν, δοξάζομέν σου τὴν ἐκ νεκρῶν Ἀνάστασιν, Φιλάνθρωπε Κύριε.

Ἐξαποστειλάριον Δ΄.

Ταῖς ἀρεταῖς ἀστράψαντες, ἴδωμεν ἐπιστάντας, ἐν ζωηφόρῳ Μνήματι, ἄνδρας ἐν ἀστραπτούσαις, ἐσθήσεσι Μυροφόροις, κλινούσαις εἰς γῆν ὄψιν· τοῦ Οὐρανοῦ Δεσπόζοντος, Ἔγερσιν διδαχθῶμεν, καὶ πρὸς ζωήν, ἐν μνημείῳ δράμωμεν σὺν τῷ Πέτρῳ, καὶ τὸ πραχθὲν θαυμάσαντες, μείνωμεν Χριστὸν βλέψαι.

Θεοτοκίον.

Τὸ χαίρετε φθεγξάμενος, διήμειψα τὴν λύπην, τῶν Προπατόρων Κύριε, τὴν χαρὰν ἀντεισάγων, Ἐγέρσεως σου ἐν Κόσμῳ. ταύτης οὖν Ζωοδότα, διὰ τῆς Κυησάσης σε, φῶς φωτίζον καρδίας, φῶς οἰκτιρμῶν, τῶν σῶν ἐξαπόστειλον τοῦ βοᾶν σοι· Φιλάνθρωπε, Θεάνθρωπε, δόξα τῇ σῇ Ἐγέρσει.

Ἑωθινὸν Δ΄. Ἦχος Δ΄.

Ὄρθρος ἦν βαθύς, καὶ αἱ Γυναῖκες ἦλθον ἐπὶ τὸ μνῆμά σου Χριστέ· ἀλλὰ τὸ Σῶμα οὐχ εὑρέθη τὸ ποθούμενον αὐταῖς. διὸ ἀπορουμέναις, οἱ ταῖς ἀστραπτούσαις ἐσθήσεσιν ἐπιστάντες, τί τὸν ζῶντα μετὰ τῶν νεκρῶν ζητεῖτε, ἔλεγον; ἠγέρθη ὡς προεῖπε. τί ἀμνημονεῖτε τῶν ῥημάτων αὐτοῦ; οἷς πεισθεῖσαι, τὰ ὁραθέντα ἐκήρυττον. ἀλλ' ἐδόκει λῆρος τὰ Εὐαγγέλια. οὕτως ἦσαν ἔτι νωθεῖς οἱ Μαθηταί. ἀλλ' ὁ Πέτρος ἔδραμε, καὶ ἰδὼν ἐδόξασέ σου, πρὸς ἑαυτὸν τὰ θαυμάσια.

Ἐξαποστειλάριον Ε΄.

Ἡ Ζωὴ καὶ ὁδὸς Χριστός, ἐκ νεκρῶν τῷ Κλεόπᾳ, καὶ τῷ Λουκᾷ συνώδευσεν· οἷσπερ καὶ ἐπεγνώσθη, εἰς Ἐμμαοὺς κλῶν τὸν ἄρτον. ὧν ψυχαὶ καὶ καρδίαι, καιόμεναι ἐτύγχανον, ὅτε τούτοις ἐλάλει ἐν τῇ ὁδῷ, καὶ γραφαῖς ἡρμήνευεν, ἃ ὑπέστη. μεθ' ὧν ἠγέρθη κράξωμεν, ὤφθη τε καὶ τῷ Πέτρῳ.

Θεοτοκίον.

Ὑμνῶ σου τὸ ἀμέτρητον, ἔλεος Ποιητά μου, ὅτι σαυτὸν ἐκένωσας, τοῦ φορέσαι καὶ σῶσαι, φύσιν βροτῶν κακωθεῖσαν. καὶ Θεὸς ὢν ἐγένου, ἐκ τῆς Ἁγνῆς

Θεο-

Δημόσια Κεντρική Βιβλιοθήκη Σερρών

Θεόπαιδος, κατ' ἐμὲ τοῦ γενέσθαι, καὶ κατελθεῖν, μέχρις Ἅδου, θέλων με τοῦ σωθῆναι, πρεσβείαις τῆς τεκούσης σε, Δέσποτα πανοικτίρμον.

Ἑωθινὸν Ε'. Ἦχος πλ. Α'.

Ὢ Τῶν σοφῶν σου κριμάτων Χριστέ, πῶς Πέτρῳ μὲν τοῖς ὀθονίοις μόνοις, ἔδωκας ἐννοῆσαί σου τὴν Ἀνάστασιν. Λουκᾷ δὲ καὶ Κλεόπα συμπορευόμενος ὡμίλεις, καὶ ὁμιλῶν οὐκ εὐθέως ἑαυτὸν φανεροῖς. διὸ καὶ ὀνειδίζῃ, ὡς μόνος παροικῶν ἐν Ἱερουσαλήμ, καὶ μὴ μετέχων τῶν ἐν τέλει βουλευμάτων αὐτῆς. ἀλλ' ὁ πάντα πρὸς τὸ τοῦ πλάσματος συμφέρον οἰκονομῶν, καὶ τὰς περὶ σοῦ προφητείας ἀνέπτυξας. καὶ ἐν τῷ εὐλογεῖν τὸν ἄρτον, ἐγνώσθης αὐτοῖς· ὧν καὶ πρὸ τούτου αἱ καρδίαι, πρὸς γνῶσίν σου ἀνεφλέγοντο. οἳ καὶ τοῖς Μαθηταῖς συνηθροισμένοις, ἤδη τρανῶς ἐκήρυττόν σου τὴν Ἀνάστασιν, δι' ἧς ἐλέησον ἡμᾶς.

Ἐξαποστειλάριον ς'.

Δεικνύων ὅτι Ἄνθρωπος, Σῶτερ εἶ κατ' οὐσίαν, ἐν μέσῳ στὰς ἐδίδασκες, ἀναστὰς ἐκ τοῦ τάφου, καὶ βρώσεως συμμετέσχες, βάπτισμα μετανοίας. εὐθὺς δὲ πρὸς οὐράνιον ἀνελήφθης Πατέρα, καὶ Μαθηταῖς, πέμπειν τὸν Παράκλητον ἐπηγγείλω. ὑπέρθεε, Θεάνθρωπε, δόξα τῇ σῇ Ἐγέρσει.

Θεοτοκίον.

Ὁ Ποιητὴς τῆς Κτίσεως, καὶ Θεὸς τῶν ἁπάντων, σάρκα βροτείαν ἔλαβεν, ἐξ ἀχράντων αἱμάτων, σοῦ Παναγία Παρθένε· καὶ τὴν φθαρεῖσαν πᾶσαν, τὴν φύσιν ἐκαινούργησε, πάλιν ὡς πρὸ τοῦ τόκου, καταλιπὼν, μετὰ τόκον. ὅθεν πιστῶς σε πάντες, ἀνευφημοῦμεν κράζοντες· Χαῖρε Δέσποινα Κόσμου.

Ἑωθινὸν ς'. Ἦχος πλ. Β'.

Ἡ Ὄντως εἰρήνη σὺ Χριστέ, πρὸς Ἀνθρώπους Θεοῦ, εἰρήνην τὴν σὴν διδοὺς, μετὰ τὴν Ἔγερσιν Μαθηταῖς, ἐμφόβους ἔδειξας αὐτοὺς, δόξαντας πνεῦμα ὁρᾶν. ἀλλὰ κατέστειλας τὸν τάραχον αὐτῶν τῆς ψυχῆς, δείξας τὰς χεῖρας καὶ τοὺς πόδας σου. πλὴν ἀπιστούντων ἔτι, τῇ τῆς τροφῆς μεταλήψει, καὶ διδαχῶν ἀναμνήσει, διήνοιξας αὐτῶν τὸν νοῦν, τοῦ συνιέναι τὰς γραφάς. οἷς καὶ τὴν Πατρικὴν ἐπαγγελίαν καθυποσχόμενος, καὶ εὐλογήσας αὐτοὺς, διέστης πρὸς Οὐρανόν. διὸ σὺν αὐτοῖς προσκυνοῦμέν σε, Κύριε δόξα σοι.

Ἐξαποστειλάριον Ζ'.

Ὅτι ἦραν τὸν Κύριον, τῆς Μαρίας εἰπούσης, ἐπὶ τὸν τάφον ἔδραμον, Σίμων Πέτρος, καὶ ἄλλος Μύστης Χριστοῦ, ὃν ἠγάπα. ἔτρεχον δὲ οἱ δύο, καὶ εὗρον τὰ ὀθόνια, ἔνδον κείμενα μόνα, καὶ κεφαλῆς, ἦν δὲ τὸ Σουδάριον χωρὶς τούτων. διὸ πάλιν ἡσύχασαν τὸν Χριστὸν ἕως εἶδον.

Θεοτοκίον.

Μεγάλα καὶ παράδοξα, δι' ἐμὲ κατειργάσω, Χριστέ μου πολυέλεε· ἐκ Παρθένου γὰρ Κόρης, ἐτέχθης ἀνερμηνεύτως, καὶ Σταυρὸν κατεδέξω, καὶ θάνατον ὑπομείνας, ἐξανέστης ἐν δόξῃ, καὶ τὴν ἡμῶν, φύσιν ἠλευθέρωσας τοῦ θανάτου. δόξα Χριστὲ τῇ δόξῃ σου, δόξα τῇ σῇ δυνάμει.

Ἑωθινὸν Ζ'. Ἦχος Βαρύς.

Ἰδοὺ σκοτία καὶ πρωΐ, καὶ τί πρὸς τὸ μνημεῖον Μαρία ἕστηκας, πολὺ σκότος ἔχουσα ταῖς φρεσίν; ὑφ' οὗ ποῦ τέθειται ζητεῖς ὁ Ἰησοῦς. ἀλλ' ὅρα τοὺς συντρέχοντας Μαθητάς, πῶς τοῖς ὀθονίοις καὶ τῷ σουδαρίῳ, τὴν Ἀνάστασιν ἐτεκμήραντο, καὶ ἀνεμνήσθησαν τῆς περὶ τούτου γραφῆς. μεθ' ὧν καὶ δι' ὧν, καὶ ἡμεῖς πιστεύσαντες, ἀνυμνοῦμέν σε τὸν ζωοδότην Χριστόν.

Ἐξαποστειλάριον Η'.

Τὸ Ἀγγέλους βλέψασα, ἔνδοθεν τοῦ μνημείου, Μαρία ἐξεπλήττετο, καὶ Χριστὸν ἀγνοοῦσα, ὡς κηπουρὸν ἐπηρώτα· Κύριε ποῦ τὸ Σῶμα, τοῦ Ἰησοῦ μου τέθεικας; κλήσει δὲ τοῦτον γνοῦσα, εἶναι αὐτὸν, τὸν Σωτῆρα ἤκουσε· μή μου ἅπτου. πρὸς τὸν Πατέρα ἄπειμι, εἰπὲ τοῖς ἀδελφοῖς μου.

Θεοτοκίον.

Τριάδος Κόρη τέτοκας, ἀπορρήτως τὸν ἕνα, διπλοῦν τῇ φύσει πέλοντα, καὶ διπλοῦν ἐνεργείᾳ, καὶ ἕνα τῇ Ὑποστάσει. τοῦτον οὖν ἐκδυσώπει, ἀεὶ ὑπὲρ τῶν πίστει σε, προσκυνούντων, ἐκ πάσης ἐπιβουλῆς, τοῦ ἐχθροῦ λυτρωθῆναι· ὅτι πάντες, πρὸς σὲ νῦν καταφεύγομεν, Δέσποινα Θεοτόκε.

Ἑωθινὸν Η'. Ἦχος πλ. Δ'.

Τὰ τῆς Μαρίας δάκρυα, οὐ μάτην χέονται θερμῶς. ἰδοὺ γὰρ κατηξίωται, καὶ διδασκόντων Ἀγγέλων, καὶ τῆς ὄψεως τῆς σῆς, ὦ Ἰησοῦ. ἀλλ' ἔτι πρόσγεια φρονεῖ, οἷα γυνὴ ἀσθενής. διὸ καὶ ἀποπέμπεται, μὴ προσψαῦσαί σοι Χριστέ· ἀλλ' ὅμως κήρυξ πέμπεται τοῖς σοῖς Μαθηταῖς. οἷς Εὐαγγέλια ἔφερε, τὴν πρὸς τὸν πατρῷον κλῆρον ἄνοδον ἀπαγγέλλουσα. Μεθ' ἧς ἀξίωσον καὶ ἡμᾶς, τῆς ἐμφανείας σου, Δέσποτα Κύριε.

Ἐξαποστειλάριον Θ'.

Συγκεκλεισμένων Δέσποτα, τῶν θυρῶν ὡς εἰσῆλθες, τοὺς Ἀποστόλους ἔπλησας, Πνεύματος Παναγίου, εἰρηνικῶς ἐμφυσήσας, οἷς δεσμεῖν τε καὶ λύειν, τὰς ἁμαρτίας εἴρηκας· καὶ ὀκτὼ μεθ' ἡμέρας τὴν σὴν πλευρὰν, τῷ Θωμᾷ ὑπέδειξας, καὶ τὰς χεῖρας. μεθ' οὗ βοῶμεν, Κύριος, καὶ Θεὸς σὺ ὑπάρχεις.

Θεοτοκίον.

Τὸν σὸν Υἱὸν ὡς ἔβλεψας, ἀναστάντα ἐκ τάφου, τριήμερον Θεόνυμφε, Παναγία Παρθένε, ἅπασαν θλῖψιν ἀπέθου, ἣν ὑπέστης ὡς Μήτηρ, ὅτε κατεῖδες πάσχοντα, καὶ χαρᾶς ἐμπλησθεῖσα, σὺν τοῖς αὐτοῦ, Μαθηταῖς γεραίρουσα τοῦτον ὕμνοις. διὸ τοὺς Θεοτόκον σε, νῦν κηρύττοντας σῶζε.

Ἑωθινὸν Θ'. Ἦχος πλ. Α'.

Ὡς ἐπ' ἐσχάτων τῶν χρόνων, οὔσης ὀψίας Σαββάτων, ἐπιστὰς τοῖς φίλοις Χριστέ· καὶ θαύματι θαῦμα βεβαιοῖς, τῇ κεκλεισμένῃ εἰσόδῳ τῶν θυρῶν, τὴν ἐκ νεκρῶν σου Ἀνάστασιν. ἀλλ' ἔπλησας χαρᾶς τοὺς Μαθητάς, καὶ Πνεύματος Ἁγίου μετέδωκας αὐτοῖς, καὶ ἐξουσίαν εἴρηκας ἀφέσεως ἁμαρτιῶν· καὶ τὸν Θωμᾶν οὐ κατέλιπες τῷ τῆς ἀπιστίας καταβαπτίζεσθαι κλύδωνι. διὸ παράσχου καὶ ἡμῖν, γνῶσιν ἀληθῆ, καὶ ἄφεσιν πταισμάτων, εὔσπλαγχνε Κύριε.

Ἐξαποστειλάριον Ι'.

Τιβεριάδος θάλασσα, σὺν παισὶ Ζεβεδαίου, Ναθαναὴλ τῷ Πέτρῳ τε, σὺν δυσὶν ἄλλοις πάλαι, καὶ Θωμᾶν εἶχε πρὸς ἄγραν. οἳ Χριστοῦ τῇ προστάξει, ἐν δεξιοῖς χαλάσαντες, πλῆθος εἷλκον ἰχθύων. ὃν Πέτρος γνοὺς, πρὸς αὐτὸν ἐνήχετο, οἷς τὸ τρίτον, φανεὶς, καὶ ἄρτον ἔδειξε, καὶ ἰχθὺν ἐπ' ἀνθράκων.

Θεοτοκίον.

Τὸν ἀναστάντα Κύριον, τριήμερον ἐκ τοῦ τάφου, Παρθένε καθικέτευε, ὑπὲρ τῶν σὲ ὑμνούντων, καὶ πόθῳ μακαριζόντων. σὲ γὰρ ἔχομεν πάντες, καταφυγὴν σωτήριον, καὶ μεσίτιν πρὸς τοῦτον. κλῆρος γὰρ

σός,

στὸς, καὶ οἰκέται πέλομεν Θεοτόκε, καὶ πρὸς τὴν σὴν ἀντίληψιν, ἅπαντες ἀφορῶμεν.

Ἑωθινὸν Ι. Ἦχος πλ. Β'.

ΜΕτὰ τὴν εἰς Ἅδου κάθοδον, καὶ τὴν ἐκ νεκρῶν Ἀνάστασιν, ἀθυμοῦντες ὡς εἰκὸς, ἐπὶ τῷ χωρισμῷ σου Χριστὲ οἱ Μαθηταὶ, πρὸς ἐργασίαν ἐτράπησαν. καὶ πάλιν πλοῖα καὶ δίκτυα, καὶ ἄγρα οὐδαμοῦ. ἀλλὰ σὺ Σῶτερ ἐμφανισθεὶς, ὡς Δεσπότης πάντων, δεξιοῖς τὰ δίκτυα κελεύεις βαλεῖν. καὶ ἦν ὁ λόγος ἔργον εὐθὺς, καὶ πλῆθος τῶν ἰχθύων πολὺ, καὶ δεῖπνον ξένον ἕτοιμον ἐν γῇ. οὗ μετασχόντων τότε σου τῶν Μαθητῶν, καὶ ἡμᾶς νῦν νοητῶς καταξίωσον ἐντρυφῆσαι, φιλάνθρωπε Κύριε.

Ἐξαποστειλάριον ΙΑ'.

ΜΕτὰ τὴν θείαν Ἔγερσιν, τρεῖς τῷ Πέτρῳ φιλεῖς με, πυθόμενος ὁ Κύριος, τῶν ἰδίων Προβάτων, προβάλλεται Ποιμενάρχην. ὃς ἰδὼν ὃν ἠγάπα, ὁ Ἰησοῦς ἑπόμενον, ἤρετο τὸν Δεσπότην· οὗτος δὲ τί; ἐὰν θέλω ἔφησε μένειν τοῦτον, ἕως καὶ πάλιν ἔρχομαι, τί πρὸς σὲ φίλε Πέτρε; Θεοτοκίον.

Ὢ Φοβερὸν μυστήριον, ὢ παράδοξον θαῦμα. διὰ θανάτου θάνατος, παντελῶς ἠφανίσθη. τίς οὖν μὴ ἀνυμνήσει σου, καὶ τίς μὴ προσκυνήσει σου, τὴν Ἀνάστασιν Λόγε, καὶ τὴν ἁγνὴν, ἐν σαρκὶ τεκοῦσάν σε Θεοτόκον; ἧς ταῖς πρεσβείαις ἅπαντας, λύτρωσαι τῆς γεέννης.

Ἑωθινὸν ΙΑ'. Ἦχος πλ. Δ'.

ΦΑνερῶν ἑαυτὸν τοῖς Μαθηταῖς σου Σωτὴρ, μετὰ τὴν Ἀνάστασιν, Σίμωνι δέδωκας τὴν τῶν προβάτων νομὴν, εἰς ἀγάπης ἀντέκτισιν, τὴν τοῦ ποιμαίνειν φροντίδα αἰτῶν. διὸ καὶ ἔλεγες· εἰ φιλεῖς με Πέτρε, ποίμαινε τὰ ἀρνία μου· ποίμαινε τὰ πρόβατά μου. ὁ δὲ εὐθέως ἐνδεικνύμενος τὸ φιλόστοργον, περὶ τοῦ ἄλλου Μαθητοῦ ἐπυνθάνετο. ὧν ταῖς πρεσβείαις Χριστὲ, τὴν ποίμνην σου διαφύλαττε, ἐκ λύκων λυμαινομένων αὐτήν.

# ΔΟΞΑΣΤΙΚΑ' ΕΙ'Σ ΔΙΑΦΟ'ΡΟΥΣ Α'ΓΙ'ΟΥΣ.

**Τὰ παρόντα Ἰδιόμελα Δοξαστικὰ ἐτυπώσαμεν ἐδῶ κάτωθεν, ὡς ὁρᾷς ὦ Ἀναγνῶστα, ἐπειδὴ ἀνίσως καὶ κανὰς διὰ μερικὴν ἰδίαν εὐλάβειάν του θέλῃ νὰ ἑορτάσῃ, καὶ νὰ δοξολογήσῃ κανένα Ἅγιον, καὶ τὸ Δοξαστικόν του δὲν εὑρίσκεται εἰς τὸν δρόμον τοῦ Ἀνθολογίου, ἰδοὺ ὁποῦ τὸ εὑρίσκει τυπωμένον ἐνταῦθα, κατὰ τὴν τάξιν τοῦ καθ' ἑνὸς Ἁγίου, ἢ Ἁγίων ὅπως ἂν τύχῃ.**

## ΕΙ'Σ Α'ΠΟ'ΣΤΟΛΟΝ.

Δόξα, ἦχος πλ. δ'.

ἈΠόστολε τοῦ Σωτῆρος Πανεύφημε, τὸ δοχεῖον τῆς Πίστεως, Υἱὲ παρακλήσεως, ἡ γαλήνη τῶν χειμαζομένων, ἀπαύστως ἐν τῇ μνήμῃ σου παῤῥησίαν ἔχων, ἱκέτευε ἐν εἰρήνῃ φυλαχθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν. Θκίον.

## ΕΙ'Σ Α'ΠΟΣΤΟ'ΛΟΥΣ.

Δόξα, ἦχος πλ. δ'.

ἩΝ διήλθετε Κτίσιν φωτίσαντες, οἱ τοῦ Σωτῆρος Μαθηταὶ, τὴν πλάνην τῶν Εἰδώλων ὡς ὕλην καταφλέξαντες, τοῖς διδάγμασιν ὑμῶν, τὰ Ἔθνη ἐξ ἀγνωσίας βυθοῦ, πρὸς τὴν θείαν γνῶσιν σαγηνεύσαντες ἐσώσατε. καὶ νῦν πρεσβεύσατε Χριστῷ, ὅπως ἵλεως γενήσεται ἡμῖν, ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Καὶ νῦν. Θεοτοκίον.

## ΕΙ'Σ ΠΡΟΦΗ'ΤΗΝ.

Δόξα, ἦχος πλ. β'.

Π[...]οφῆτα Κήρυξ Χριστοῦ, τοῦ Θρόνου τῆς μεγαλωσύ[...] παρίστα[...] οὐδέποτε χωρίζῃ, καὶ ἑκάστῳ ἀσθενοῦντι ἀεὶ [...] νὴν εὐλογ[...] ἐν τοῖς ὑψίστοις λειτουργῶν, τὴν Οἰκουμένην [...] πανταχοῦ δοξαζόμενος. αἴτησαι ἱλασμὸν ταῖς ψυχαῖ[ς ἡμῶ]ν. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙ'Σ ΠΡΟΦΗ'ΤΑΣ.

[Δό]ξα, ἦχος πλ. δ'.

ΤΟὺς πρὶν [...] τοῦ Λόγου Προαγγείλαντας, τὴν παρουσίαν [...] εὐφημήσωμεν. οὗτοι γὰρ τῆς Τριάδος τῷ φωτὶ ἐμπνευσθέντες, τοῖς πᾶσιν ἀνεκήρυξαν Χριστὸν σαρκὶ τικτόμενον, Θεὸν Ἐμμανουὴλ, ἐκ Παρθένου Κόρης ἐν Πόλει Δαβίδ. ὧν τὰς ἐκβάσεις θεώμενοι, συμφώνως αὐτοὺς μακαρίσωμεν, ὡς πρεσβευτὰς τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν. Θκίον.

## ΕΙ'Σ ΜΑ'ΡΤΥΡΑ.

Δόξα, ἦχος δ'.

ΠΡὸ τοῦ τιμίου Σταυροῦ σου φοβερὸς ὁ θάνατος τοῖς ἀνθρώποις· μετὰ τὸ ἔνδοξον Πάθος, φοβερὸς ὁ ἄνθρωπος τῷ θανάτῳ. οὕτως ἐνίσχυσεν ὁ Ἀθλοφόρος, οὕτω κατήργησε πᾶσαν τοῦ ἐχθροῦ τὴν δύναμιν. αὐτοῦ ταῖς πρεσβείαις Χριστὲ, σῶσον τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙ'Σ ΜΑ'ΡΤΥΡΑΣ.

Δόξα, ἦχος γ'.

ΓΕνναῖοι Μάρτυρες ἀληθείας, ὑμᾶς οὐ βία τυραννικὴ, οὐ θωπεία ἀπατηλὴ, οὐ μελῶν ἐκκοπαὶ, οὐδὲ θανάτου ἀπειλαὶ, τῆς πρὸς τὸ θεῖον ἀγάπης χωρίσαι δεδύνηνται. διὸ παῤῥησίαν ἔχοντες πρὸς Χριστὸν τὸν ἐπὶ πάντων Θεὸν, ταύτην ἀμοιβὴν τῶν ἀλγεινῶν βασάνων, αἰτήσασθε παρὰ Χριστοῦ λαβεῖν εὐχαῖς ἡμῶν, τὸ μέγα ἔλεος. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙ'Σ ΙΕΡΑ'ΡΧΗΝ.

Δόξα, ἦχος πλ. β'.

ΕΥ͂ δοῦλε ἀγαθὲ καὶ πιστὲ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ. σὺ καὶ τὸ βάρος τῆς ἡμέρας ἐβάστασας, σὺ καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας, καὶ τοῖς μετὰ σὲ

ἐλθοῦσιν οὐκ ἐφθόνησας, διὸ πύλησοι Οὐρανῶν ἠνέῳκται, εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, καὶ πρέσβευε ὑπὲρ ἡμῶν Ἅγιε. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙΣ ΙΕΡΑΡΧΑΣ.

Δόξα, ἦχος πλ. β΄.

Ἄνθρωποι τοῦ Θεοῦ, καὶ πιστοὶ θεράποντες, λειτουργοὶ Κυρίου, ἄνδρες ἐπιθυμιῶν, σκεύη ἐκλογῆς, στῦλοι, καὶ στηρίγματα τῆς Ἐκκλησίας, Βασιλείας κληρονόμοι, μὴ παρασιωπήσητε τοῦ βοᾷν ὑπὲρ ἡμῶν πρὸς Κύριον. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙΣ ΙΕΡΟΜΑΡΤΥΡΑ.

Δόξα, ἦχος πλ. δ΄.

Ἐν Ἱερεῦσι καὶ Μάρτυσι διαπρέψας Ὅσιε, πιστὸς ἀνεδείχθης Ποιμὴν, τοῦ Χριστοῦ πιὼν τὸ Ποτήριον. διὸ ἐν ἑκατέροις εὐαρεστήσας αὐτῷ τῷ Χριστῷ, πρέσβευε ὑπὲρ πάντων ἡμῶν, σὺν τοῖς ἄνω Λειτουργοῖς, ἐν φωτὶ νῦν αὐλιζόμενος. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙΣ ΙΕΡΟΜΑΡΤΥΡΑΣ.

Δόξα, ἦχος πλ. β΄.

Ἱερεῖς ἐννομώτατοι, μέχρι τέλους ἐχρηματίσατε Παμμακάριστοι· ἱερουργοῦντες γὰρ τὰ θεῖα καὶ ἄρρητα Μυστήρια, τὸ αἷμα ἐξεχέατε ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, καὶ θύματα εὐπρόσδεκτα αὐτῷ προσήχθητε. διὸ παρρησίαν ἔχοντες, αὐτῷ ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν πίστει ἐκτελούντων ὑμῶν τὴν θείαν μνήμην· καὶ τοὺς αὐτὴν γεραίροντας, ῥυσθῆναι πειρασμῶν, καὶ παντοίων κινδύνων καὶ περιστάσεων. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙΣ ΟΣΙΟΝ.

Δόξα, ἦχος πλ. β΄.

Ὅσιε Πάτερ, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων σου. διὸ ἐν τοῖς οὐρανοῖς, εὗρες μισθὸν τῶν καμάτων σου. τῶν δαιμόνων ὤλεσας τὰς φάλαγγας, τῶν Ἀγγέλων ἔφθασας τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζήλωσας. παρρησίαν ἔχων πρὸς τὸν Κύριον, εἰρήνην αἴτησαι ταῖς ψυχαῖς ἡμῶν. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙΣ ΟΣΙΟΥΣ.

Δόξα, ἦχος β΄.

Ὠχειρωμένοι τὸν νοῦν γνώσει θείᾳ, Πατέρες Ἅγιοι, τὰ παρερχόμενα παρήλθετε, μηδὲν θαυμάσαντες τῶν φθειρομένων. ἐν μὲν θλίψεσι, μεγαλόφρονες καὶ γενναιότατοι, ἐν δὲ ἀσκήσει καὶ εὐθυμίᾳ, ταπεινοὶ καὶ μέτριοι. καὶ τοῦ παρόντος βίου τὸ ἄστατον πέλαγος σοφῶς διαπεράσαντες, εἰς εὔδιον λιμένα ἐφθάσατε, Χριστὸν ἱκετεύσατε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙΣ ΟΣΙΟΜΑΡΤΥΡΑ.

Δόξα, ἦχος α΄.

Τὸν γενναῖον Ἀθλητὴν καὶ Ὁσιομάρτυρα, τὸν ὑπὲρ τῆς εὐσεβείας καλῶς ἀγωνισάμενον, δεῦτε λαοὶ ὑμνήσωμεν λέγοντες· χαίροις ὁ στεῤῥὸς τῆς Πίστεως πρόμαχος, κατὰ τοὺς Προφήτας καὶ Ἀποστόλους. χαίροις ὁ τῶν καμνόντων ἀχείμαστος λιμήν. χαίροις τὸ ἡμέτερον καύχημα, καὶ τῆς Οἰκουμένης ἀγαλλίαμα. ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙΣ ΟΣΙΟΜΑΡΤΥΡΑΣ.

Δόξα, ἦχος πλ. δ΄.

Τὸν Ἰσάγγελον βίον πολιτευσάμενοι, πόνοις ἀσκητικοῖς, Πατέρες Ὅσιοι, ἐγκρατείᾳ τὸ σῶμα δουλαγωγήσαντες, καθυπετάξατε τῷ πνεύματι. ἐργάται γενόμενοι τῶν ἐντολῶν τοῦ Κυρίου, τὸ ἀρχέτυπον κάλλος τῆς Εἰκόνος ἐφυλάξατε. καὶ ἀθλητικοὺς ἀγῶνας, ἐκ τῶν ἀσκητικῶν ἱδρώτων διηνύσατε. καὶ διπλοῖς στεφάνοις κατακοσμηθέντες, ἐκτενῶς τὸν Σωτῆρα ἱκετεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙΣ ΓΥΝΑΙΚΑ ΜΑΡΤΥΡΑ.

Δόξα, ἦχος β΄.

Ἐν Πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν Ὄρει Ἁγίῳ αὐτοῦ, ἐκεῖ κατεσκήνωσεν ἡ Ἁγία, τὴν λαμπάδα ἄσβεστον τηρήσασα. ἀκούσωμεν τῆς Παρθένου ἐγκώμιον. ὦ Παρθενία Ναὸς Θεοῦ. ὦ Παρθενία Μαρτύρων δόξα. ὦ Παρθενία Ἀγγέλων σύμμετοχε. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙΣ ΓΥΝΑΙΚΑΣ ΜΑΡΤΥΡΑΣ.

Δόξα, ἦχος πλ. β΄.

Ἐκ δεξιῶν τοῦ Σωτῆρος παρέστησαν αἱ Παρθένοι, καὶ Ἀθλοφόροι, καὶ Μάρτυρες, περιβεβλημέναι ταῖς ἀρεταῖς τὸ ἀήττητον, καὶ πεποικιλμέναι ἐλαίῳ τῆς ἁγνείας, καὶ τῷ αἵματι τῆς ἀθλήσεως. καὶ βοῶσαι πρὸς αὐτὸν, ἐν ἀγαλλιάσει τὰς λαμπάδας κατέχουσαι· εἰς ὀσμὴν μύρου σου ἐδράμομεν Χριστὲ ὁ Θεός, ὅτι τετρώμεθα τῆς σῆς ἀγάπης ἡμεῖς. μὴ χωρίσῃς ἡμᾶς Νυμφίε ἐπουράνιε. αὐτῶν ταῖς ἱκεσίαις κατάπεμψον ἡμῖν, Παντοδύναμε Σωτὴρ τὰ ἐλέη σου. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙΣ ΟΣΙΑΝ ΓΥΝΑΙΚΑ.

Δόξα, ἦχος δ΄.

Ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις, καθὼς ὁ Ἀπόστολος διδάσκει. ἐν προσευχαῖς γὰρ καὶ δάκρυσι Μῆτερ Ὁσία, τῶν πολλῶν πταισμάτων τὸ πέλαγος ἐξήρανας· καὶ τὸ τέλος εὐπρόσδεκτον τῷ Κυρίῳ, διὰ τῆς μετανοίας προσήγαγες. καὶ ἐν τούτῳ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν. Θεοτοκίον.

## ΕΙΣ ΟΣΙΑΣ ΓΥΝΑΙΚΑΣ

Δόξα, ἦχος α΄.

Μετὰ τῶν ἄνω Ταγμάτων συνηυθμ[illegible]ε εὐ[illegible]δοξοι, τὰ ἐπίγεια λιποῦσαι· κα[illegible]τήσασθε, Χριστὸν ποθήσασαι, Ὅσιαι πάνσεμνοι, τὰ οὐραν[illegible] αἰτοῦσαι ἡμῖν, τὸ μέγα ἔλεος.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ΕΥΑΓ.

# ΕΥ'ΑΓΓΕ'ΛΙΑ ΕΩΘΙΝΑ'

## Α'ΝΑΣΤΑ'ΣΙΜΑ, ΤΑ' ΙΑ'.

### Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ματθαῖον Α'.

Κεφ. κή. 16. ΤΩ͂ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα Μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν, προσεκύνησαν αὐτῷ, οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς, ἐλάλησεν αὐτοῖς λέγων· ἐδόθη μοι πᾶσα ἐξουσία ἐν Οὐρανῷ, καὶ ἐπὶ Γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος. Διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν. καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος. Ἀμήν.

### Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον Β'.

Κεφ. ιϛ'. 1. ΤΩ͂ καιρῷ ἐκείνῳ, διαγενομένου τοῦ Σαββάτου Μαρία ἡ Μαγδαληνὴ, καὶ Μαρία Ἰακώβου, καὶ Σαλώμη ἠγόρασαν ἀρώματα, ἵνα ἐλθοῦσαι ἀλείψωσι τὸν Ἰησοῦν. Καὶ λίαν πρωῒ τῆς μιᾶς Σαββάτων ἔρχονται ἐπὶ τὸ μνημεῖον, ἀνατείλαντος τοῦ Ἡλίου, καὶ ἔλεγον πρὸς ἑαυτάς· τίς ἀποκυλίσει ἡμῖν τὸν λίθον ἐκ τῆς θύρας τοῦ μνημείου; Καὶ ἀναβλέψασαι, θεωροῦσιν ὅτι ἀποκεκύλισται ὁ λίθος· ἦν γὰρ μέγας σφόδρα. Καὶ εἰσελθοῦσαι εἰς τὸ μνημεῖον, εἶδον νεανίσκον καθήμενον ἐν τοῖς δεξιοῖς, περιβεβλημένον στολὴν λευκὴν, καὶ ἐξεθαμβήθησαν. Ὁ δὲ λέγει αὐταῖς· μὴ ἐκθαμβεῖσθε. Ἰησοῦν ζητεῖτε τὸν Ναζαρηνὸν τὸν ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος, ὅπου ἔθηκαν αὐτόν. Ἀλλ' ὑπάγετε, εἴπατε τοῖς Μαθηταῖς αὐτοῦ, καὶ τῷ Πέτρῳ, ὅτι προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν. Ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. Καὶ ἐξελθοῦσαι ταχὺ, ἔφυγον ἀπὸ τοῦ μνημείου. εἶχε δὲ αὐτὰς τρόμος καὶ ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπον· ἐφοβοῦντο γάρ.

### Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Μάρκον Γ'.

ΤΩ͂ καιρῷ ἐκείνῳ, Ἀναστὰς ὁ Ἰησοῦς πρωῒ Κεφ. ιϛ'. 9.
πρώτῃ Σαββάτου, ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια. Ἐκείνη πορευθεῖσα, ἀπήγγειλε τοῖς μετ' αὐτοῦ γενομένοις, πενθοῦσι καὶ κλαίουσι. Κἀκεῖνοι ἀκούσαντες ὅτι ζῇ, καὶ ἐθεάθη ὑπ' αὐτῆς, ἠπίστησαν. Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανερώθη ἐν ἑτέρᾳ μορφῇ, πορευομένοις εἰς ἀγρόν. Κἀκεῖνοι ἀπελθόντες, ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις ἐπίστευσαν. Ὕστερον, ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα, ἐφανερώθη, καὶ ὠνείδισε τὴν ἀπιστίαν αὐτῶν καὶ σκληροκαρδίαν, ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον οὐκ ἐπίστευσαν. Καὶ εἶπεν αὐτοῖς· πορευθέντες εἰς τὸν Κόσμον ἅπαντα, κηρύξατε τὸ Εὐαγγέλιον πάσῃ τῇ Κτίσει. Ὁ πιστεύσας καὶ βαπτισθεὶς, σωθήσεται· ὁ δὲ ἀπιστήσας, κατακριθήσεται. Σημεῖα δὲ τοῖς πιστεύσασι ταῦτα παρακολουθήσει. ἐν τῷ ὀνόματί μου δαιμόνια ἐκβαλοῦσι· γλώσσαις λαλήσουσι καιναῖς· ὄφεις ἀροῦσι· κἂν θανάσιμόν τι πίωσιν, οὐ μὴ αὐτοὺς βλάψῃ. ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσι, καὶ καλῶς ἕξουσιν. Ὁ μὲν οὖν Κύριος μετὰ τὸ λαλῆσαι αὐτοῖς, ἀνελήφθη εἰς τὸν Οὐρανὸν, καὶ ἐκάθισεν ἐκ δεξιῶν τοῦ Θεοῦ. Ἐκεῖνοι δὲ ἐξελθόντες, ἐκήρυξαν πανταχοῦ, τοῦ Κυρίου συνεργοῦντος, καὶ τὸν λόγον βεβαιοῦντος, διὰ τῶν ἐπακολουθούντων σημείων. Ἀμήν.

### Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν Δ'.

ΤΗ͂ μιᾷ τῶν Σαββάτων, ὄρθρου βαθέος, ἦλ-
θον γυναῖκες ἐπὶ τὸ μνῆμα, φέρουσαι ἃ ἡτοί- Κεφ. κδ'. 1.
μασαν ἀρώματα, καί τινες σὺν αὐταῖς. Εὗρον δὲ τὸν λίθον ἀποκεκυλισμένον ἀπὸ τοῦ μνημείου. Καὶ εἰσελθοῦσαι, οὐχ εὗρον τὸ σῶμα τοῦ Κυρίου Ἰησοῦ. Καὶ ἐγένετο ἐν τῷ διαπορεῖσθαι αὐτὰς περὶ τούτου, καὶ ἰδοὺ ἄνδρες δύο ἐπέστησαν αὐταῖς ἐν ἐσθήσεσιν ἀστραπτούσαις. Ἐμφόβων δὲ γενομένων αὐτῶν, καὶ κλινουσῶν τὸ πρόσωπον εἰς τὴν γῆν, εἶπον πρὸς αὐτάς· τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; Οὐκ



Δημόσια Κεντρική Βιβλιοθήκη

… ἀλλ᾽ ἠγέρθη. μνήσθητε ὡς ἐλάλησεν … τι ὢν ἐν τῇ Γαλιλαίᾳ, λέγων· Ὅτι δεῖ τὸν Υἱὸν τοῦ Ἀνθρώπου παραδοθῆναι εἰς χεῖρας ἀνθρώπων ἁμαρτωλῶν, καὶ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστῆναι. Καὶ ἐμνήσθησαν τῶν ῥημάτων αὐτοῦ. Καὶ ὑποστρέψασαι ἀπὸ τοῦ μνημείου, ἀπήγγειλαν ταῦτα πάντα τοῖς ἕνδεκα, καὶ πᾶσι τοῖς λοιποῖς. Ἦσαν δὲ ἡ Μαγδαληνὴ Μαρία, καὶ Ἰωάννα, καὶ Μαρία Ἰακώβου, καὶ αἱ λοιπαὶ σὺν αὐταῖς, αἳ ἔλεγον πρὸς τοὺς Ἀποστόλους ταῦτα. Καὶ ἐφάνησαν ἐνώπιον αὐτῶν, ὡσεὶ λῆρος τὰ ῥήματα αὐτῶν, καὶ ἠπίστουν αὐταῖς. Ὁ δὲ Πέτρος ἀναστὰς, ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας, βλέπει τὰ ὀθόνια κείμενα μόνα· καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός.

## Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν Ε´.

Κεφ. κδ. 12. Τῷ καιρῷ ἐκείνῳ, ὁ Πέτρος ἀναστὰς, ἔδραμεν ἐπὶ τὸ μνημεῖον, καὶ παρακύψας, βλέπει τὰ ὀθόνια κείμενα μόνα· καὶ ἀπῆλθε, πρὸς ἑαυτὸν θαυμάζων τὸ γεγονός. Καὶ ἰδοὺ, δύο ἐξ αὐτῶν ἦσαν πορευόμενοι ἐν αὐτῇ τῇ ἡμέρᾳ, εἰς Κώμην ἀπέχουσαν σταδίους ἑξήκοντα ἀπὸ Ἱερουσαλὴμ, ᾗ ὄνομα Ἐμμαούς. Καὶ αὐτοὶ ὡμίλουν πρὸς ἀλλήλους περὶ πάντων τῶν συμβεβηκότων τούτων. Καὶ ἐγένετο ἐν τῷ ὁμιλεῖν αὐτοὺς καὶ συζητεῖν, καὶ αὐτὸς ὁ Ἰησοῦς ἐγγίσας, συνεπορεύετο αὐτοῖς. Οἱ δὲ ὀφθαλμοὶ αὐτῶν ἐκρατοῦντο τοῦ μὴ ἐπιγνῶναι αὐτόν. Εἶπε δὲ πρὸς αὐτούς· τίνες οἱ λόγοι οὗτοι, οὓς ἀντιβάλλετε πρὸς ἀλλήλους περιπατοῦντες, καὶ ἐστὲ σκυθρωποί; Ἀποκριθεὶς δὲ ὁ εἷς, ᾧ ὄνομα Κλεόπας, εἶπε πρὸς αὐτόν· σὺ μόνος παροικεῖς ἐν Ἱερουσαλὴμ, καὶ οὐκ ἔγνως τὰ γενόμενα ἐν αὐτῇ ἐν ταῖς ἡμέραις ταύταις; Καὶ εἶπεν αὐτοῖς· ποῖα; οἱ δὲ εἶπον αὐτῷ· τὰ περὶ Ἰησοῦ τοῦ Ναζωραίου, ὃς ἐγένετο ἀνὴρ Προφήτης, δυνατὸς ἐν ἔργῳ καὶ λόγῳ ἐναντίον τοῦ Θεοῦ, καὶ παντὸς τοῦ Λαοῦ. Ὅπως τε παρέδωκαν αὐτὸν οἱ Ἀρχιερεῖς, καὶ οἱ Ἄρχοντες ἡμῶν εἰς κρίμα θανάτου, καὶ ἐσταύρωσαν αὐτόν. Ἡμεῖς δὲ ἠλπίζομεν, ὅτι αὐτός ἐστιν ὁ μέλλων λυτροῦσθαι τὸν Ἰσραήλ. ἀλλάγε σὺν πᾶσι τούτοις, τρίτην ταύτην ἡμέραν ἄγει σήμερον, ἀφ᾽ οὗ ταῦτα ἐγένετο. Ἀλλὰ καὶ γυναῖκές τινες ἐξ ἡμῶν ἐξέστησαν ἡμᾶς, γενόμεναι ὄρθριαι ἐπὶ τὸ μνημεῖον. Καὶ μὴ εὑροῦσαι τὸ σῶμα αὐτοῦ, ἦλθον λέγουσαι, καὶ ὀπτασίαν Ἀγγέλων ἑωρακέναι, οἳ λέγουσιν αὐτὸν ζῆν. Καὶ ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτω, καθὼς καὶ αἱ Γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον. Καὶ αὐτὸς εἶπε πρὸς αὐτούς· ὦ ἀνόητοι, καὶ βραδεῖς τῇ καρδίᾳ, τοῦ πιστεύειν ἐπὶ πᾶσιν, οἷς ἐλάλησαν οἱ Προφῆται. Οὐχὶ ταῦτα ἔδει παθεῖν τὸν Χριστὸν, καὶ εἰσελθεῖν εἰς τὴν δόξαν αὐτοῦ; Καὶ ἀρξάμενος ἀπὸ Μωσέως, καὶ ἀπὸ πάντων τῶν Προφητῶν, διηρμήνευεν αὐτοῖς ἐν πάσαις ταῖς Γραφαῖς τὰ περὶ ἑαυτοῦ. Καὶ ἤγγισαν εἰς τὴν Κώμην, οὗ ἐπορεύοντο· καὶ αὐτὸς προσεποιεῖτο πορρωτέρω πορεύεσθαι. Καὶ παρεβιάσαντο αὐτὸν, λέγοντες· μεῖνον μεθ᾽ ἡμῶν, ὅτι πρὸς ἑσπέραν ἐστὶ, καὶ κέκλικεν ἡ ἡμέρα. καὶ εἰσῆλθε τοῦ μεῖναι σὺν αὐτοῖς. Καὶ ἐγένετο ἐν τῷ κατακλιθῆναι αὐτὸν μετ᾽ αὐτῶν, λαβὼν τὸν ἄρτον εὐλόγησε, καὶ κλάσας ἐπεδίδου αὐτοῖς. Αὐτῶν δὲ διηνοίχθησαν οἱ ὀφθαλμοὶ, καὶ ἐπέγνωσαν αὐτόν· καὶ αὐτὸς ἄφαντος ἐγένετο ἀπ᾽ αὐτῶν. Καὶ εἶπον πρὸς ἀλλήλους· οὐχὶ ἡ καρδία ἡμῶν καιομένη ἦν ἐν ἡμῖν, ὡς ἐλάλει ἡμῖν ἐν τῇ ὁδῷ, καὶ ὡς διήνοιγεν ἡμῖν τὰς Γραφάς; Καὶ ἀναστάντες αὐτῇ τῇ ὥρᾳ, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ, καὶ εὗρον συνηθροισμένους τοὺς ἕνδεκα, καὶ τοὺς σὺν αὐτοῖς, λέγοντας· ὅτι ἠγέρθη ὁ Κύριος ὄντως, καὶ ὤφθη Σίμωνι. Καὶ αὐτοὶ ἐξηγοῦντο τὰ ἐν τῇ ὁδῷ, καὶ ὡς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου.

## Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Λουκᾶν ς´.

Τῷ καιρῷ ἐκείνῳ, Ἀναστὰς ὁ Ἰησοῦς ἐκ νεκρῶν, ἔστη ἐν μέσῳ τῶν Μαθητῶν αὐτοῦ, καὶ λέγει αὐτοῖς· εἰρήνη ὑμῖν. Πτοηθέντες δὲ, καὶ ἔμφοβοι γενόμενοι, ἐδόκουν πνεῦμα θεωρεῖν. Καὶ εἶπεν αὐτοῖς· τί τεταραγμένοι ἐστὲ, καὶ διὰ τί διαλογισμοὶ ἀναβαίνουσιν ἐν ταῖς καρδίαις ὑμῶν; Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, ὅτι αὐτὸς ἐγώ εἰμι. Ψηλαφήσατέ με, καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπὼν, ἐπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας. Ἔτι δὲ ἀπιστούντων αὐτῶν ἀπὸ τῆς χαρᾶς, καὶ θαυμαζόντων, εἶπεν αὐτοῖς· ἔχετέ τι βρώσιμον ἐνθάδε; Οἱ δὲ ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, καὶ ἀπὸ μελισσίου κηρίου. Καὶ λαβὼν, ἐνώπιον αὐτῶν ἔφαγεν. Εἶπε δὲ αὐτοῖς· οὗτοι οἱ λόγοι οὓς ἐλάλησα πρὸς ὑμᾶς, ἔτι ὢν σὺν ὑμῖν, ὅτι δεῖ πληρωθῆναι πάντα τὰ γεγραμμένα ἐν τῷ Νόμῳ Μωσέως, καὶ Προφήταις, καὶ Ψαλμοῖς περὶ ἐμοῦ. Τότε διήνοιξεν αὐτῶν τὸν νοῦν τοῦ συνιέναι τὰς Γραφάς. Καὶ εἶπεν αὐτοῖς· ὅτι οὕτω γέγραπται, καὶ οὕτως ἔδει παθεῖν τὸν Χριστὸν, καὶ ἀναστῆναι ἐκ νεκρῶν τῇ τρίτῃ ἡμέρᾳ. Καὶ κηρυχθῆναι ἐπὶ τῷ ὀνόματι αὐτοῦ μετάνοιαν, καὶ ἄφεσιν ἁμαρτιῶν εἰς πάντα τὰ Ἔθνη, ἀρξάμενον ἀπὸ Ἱερουσαλήμ. Ὑμεῖς δέ ἐστε μάρτυρες τούτων. Καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὴν ἐπαγγελίαν τοῦ Πατρός μου ἐφ᾽ ὑμᾶς. ὑμεῖς δὲ καθίσατε ἐν τῇ Πόλει Ἱερουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους. Ἐξήγαγε δὲ αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν, καὶ ἐπάρας τὰς χεῖρας αὐτοῦ, εὐλόγησεν αὐτούς. Καὶ ἐγένετο ἐν τῷ εὐλογεῖν αὐτὸν αὐτοὺς, διέστη ἀπ᾽ αὐτῶν, καὶ ἀνεφέρετο εἰς τὸν Οὐρανόν. Καὶ αὐτοὶ προσκυνήσαντες αὐτὸν, ὑπέστρεψαν εἰς Ἱερουσαλὴμ μετὰ χαρᾶς μεγάλης. Καὶ ἦσαν διαπαντὸς ἐν τῷ Ἱερῷ, αἰνοῦντες, καὶ εὐλογοῦντες τὸν Θεόν. Ἀμήν. Κεφ. κδ. 3

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

## Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννου Ζ'.

Κεφ. κ. 1. Τῇ μιᾷ τῶν Σαββάτων Μαρία ἡ Μαγδαληνὴ ἔρχεται πρωΐ, σκοτίας ἔτι οὔσης, εἰς τὸ μνημεῖον· καὶ βλέπει τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. Τρέχει οὖν, καὶ ἔρχεται πρὸς Σίμωνα Πέτρον, καὶ πρὸς τὸν ἄλλον Μαθητὴν, ὃν ἐφίλει ὁ Ἰησοῦς, καὶ λέγει αὐτοῖς· ἦραν τὸν Κύριον ἐκ τοῦ μνημείου, καὶ οὐκ οἴδαμεν ποῦ ἔθηκαν αὐτόν. Ἐξῆλθεν οὖν ὁ Πέτρος, καὶ ὁ ἄλλος Μαθητὴς, καὶ ἤρχοντο εἰς τὸ μνημεῖον. Ἔτρεχον δὲ οἱ δύο ὁμοῦ· καὶ ὁ ἄλλος Μαθητὴς προέδραμε τάχιον τοῦ Πέτρου, καὶ ἦλθε πρῶτος εἰς τὸ μνημεῖον, καὶ παρακύψας, βλέπει κείμενα τὰ ὀθόνια· οὐ μέντοι εἰσῆλθεν. Ἔρχεται οὖν Σίμων Πέτρος ἀκολουθῶν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸ μνημεῖον, καὶ θεωρεῖ τὰ ὀθόνια κείμενα, καὶ τὸ σουδάριον, ὃ ἦν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, οὐ μετὰ τῶν ὀθονίων κείμενον, ἀλλὰ χωρὶς, ἐντετυλιγμένον εἰς ἕνα τόπον. Τότε οὖν εἰσῆλθε καὶ ὁ ἄλλος Μαθητὴς, ὁ ἐλθὼν πρῶτος εἰς τὸ μνημεῖον, καὶ εἶδε, καὶ ἐπίστευσεν. Οὐδέπω γὰρ ᾔδεισαν τὴν γραφὴν, ὅτι δεῖ αὐτὸν ἐκ νεκρῶν ἀναστῆναι. Ἀπῆλθον οὖν πάλιν πρὸς ἑαυτοὺς οἱ Μαθηταί.

## Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννου Η'.

Κεφ. κ. 11. Τῷ καιρῷ ἐκείνῳ, Μαρία εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω· ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον. Καὶ θεωρεῖ δύο Ἀγγέλους ἐν λευκοῖς, καθεζομένους ἕνα πρὸς τῇ κεφαλῇ, καὶ ἕνα πρὸς τοῖς ποσὶν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· Γύναι, τί κλαίεις; Λέγει αὐτοῖς· ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. Καὶ ταῦτα εἰποῦσα, ἐστράφη εἰς τὰ ὀπίσω, καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα· καὶ οὐκ ᾔδει ὅτι ὁ Ἰησοῦς ἐστι. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, τί κλαίεις; τίνα ζητεῖς; ἐκείνη δοκοῦσα ὅτι ὁ Κηπουρός ἐστι, λέγει αὐτῷ· Κύριε, εἰ σὺ ἐβάστασας αὐτὸν, εἰπέ μοι ποῦ ἔθηκας αὐτὸν, κἀγὼ αὐτὸν ἀρῶ. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μαρία· στραφεῖσα ἐκείνη, λέγει αὐτῷ· Ῥαββουνὶ, ὃ λέγεται Διδάσκαλε. Λέγει αὐτῇ ὁ Ἰησοῦς· μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου. Πορεύου δὲ πρὸς τοὺς Ἀδελφούς μου, καὶ εἰπὲ αὐτοῖς· ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν. Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς Μαθηταῖς, ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

## Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννου Θ'.

Κεφ. κ. 19. Οὔσης ὀψίας τῇ ἡμέρᾳ ἐκείνῃ, τῇ μιᾷ τῶν Σαββάτων, καὶ τῶν θυρῶν κεκλεισμένων, ὅπου ἦσαν οἱ Μαθηταὶ συνηγμένοι διὰ τὸν φόβον τῶν Ἰουδαίων, ἦλθεν ὁ Ἰησοῦς, καὶ ἔστη εἰς τὸ μέσον, καὶ λέγει αὐτοῖς· Εἰρήνη ὑμῖν. Καὶ τοῦτο εἰπὼν, ἔδειξεν αὐτοῖς τὰς χεῖρας, καὶ τὴν πλευρὰν αὐτοῦ. Ἐχάρησαν οὖν οἱ Μαθηταὶ, ἰδόντες [illegible] Εἶπεν οὖν αὐτοῖς, ὁ Ἰησοῦς πάλιν· Ε[illegible] Καθὼς ἀπέσταλκέ με ὁ Πατὴρ, κἀγὼ πέμπω ὑμᾶς. Καὶ τοῦτο εἰπὼν, ἐνεφύσησε, καὶ λέγει αὐτοῖς· Λάβετε Πνεῦμα Ἅγιον· Ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας, ἀφίενται αὐτοῖς· ἄν τινων κρατῆτε, κεκράτηνται. Θωμᾶς δὲ, εἷς ἐκ τῶν δώδεκα, ὁ λεγόμενος Δίδυμος, οὐκ ἦν μετ' αὐτῶν, ὅτε ἦλθεν ὁ Ἰησοῦς. Ἔλεγον οὖν αὐτῷ οἱ ἄλλοι Μαθηταί· Ἑωράκαμεν τὸν Κύριον. Ὁ δὲ εἶπεν αὐτοῖς· Ἐὰν μὴ ἴδω ἐν ταῖς χερσὶν αὐτοῦ τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὸν δάκτυλόν μου εἰς τὸν τύπον τῶν ἥλων, καὶ βάλω τὴν χεῖρά μου εἰς τὴν πλευρὰν αὐτοῦ, οὐ μὴ πιστεύσω. Καὶ μεθ' ἡμέρας ὀκτὼ, πάλιν ἦσαν ἔσω οἱ Μαθηταὶ αὐτοῦ, καὶ Θωμᾶς μετ' αὐτῶν. Ἔρχεται ὁ Ἰησοῦς τῶν θυρῶν κεκλεισμένων, καὶ ἔστη εἰς τὸ μέσον, καὶ εἶπεν· Εἰρήνη ὑμῖν. Εἶτα λέγει τῷ Θωμᾷ· Φέρε τὸν δάκτυλόν σου ὧδε, καὶ ἴδε τὰς χεῖράς μου· καὶ φέρε τὴν χεῖρά σου, καὶ βάλε εἰς τὴν πλευράν μου, καὶ μὴ γίνου ἄπιστος, ἀλλὰ πιστός. Καὶ ἀπεκρίθη ὁ Θωμᾶς, καὶ εἶπεν αὐτῷ· ὁ Κύριός μου, καὶ ὁ Θεός μου. Λέγει αὐτῷ ὁ Ἰησοῦς· ὅτι ἑώρακάς με, πεπίστευκας; μακάριοι οἱ μὴ ἰδόντες, καὶ πιστεύσαντες. Πολλὰ μὲν οὖν καὶ ἄλλα σημεῖα ἐποίησεν ὁ Ἰησοῦς ἐνώπιον τῶν Μαθητῶν αὐτοῦ, ἃ οὐκ ἔστι γεγραμμένα ἐν τῷ Βιβλίῳ τούτῳ. Ταῦτα δὲ γέγραπται, ἵνα πιστεύσητε, ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ· καὶ ἵνα πιστεύοντες, ζωὴν ἔχητε ἐν τῷ ὀνόματι αὐτοῦ.

## Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννου Ι'.

Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, Κεφ. κα. 1
ἐπὶ τῆς θαλάσσης τῆς Τιβεριάδος· ἐφανέρωσε δὲ οὕτως. Ἦσαν ὁμοῦ Σίμων Πέτρος, καὶ Θωμᾶς ὁ λεγόμενος Δίδυμος, καὶ Ναθαναὴλ ὁ ἀπὸ Κανᾶ τῆς Γαλιλαίας, καὶ οἱ τοῦ Ζεβεδαίου, καὶ ἄλλοι ἐκ τῶν Μαθητῶν αὐτοῦ δύο. Λέγει αὐτοῖς Σίμων Πέτρος· ὑπάγω ἁλιεύειν. Λέγουσιν αὐτῷ· ἐρχόμεθα καὶ ἡμεῖς σὺν σοί. Ἐξῆλθον, καὶ ἀνέβησαν εἰς τὸ πλοῖον εὐθὺς, καὶ ἐν ἐκείνῃ τῇ νυκτὶ ἐπίασαν οὐδέν. Πρωΐας δὲ ἤδη γενομένης, ἔστη ὁ Ἰησοῦς εἰς τὸν Αἰγιαλόν· οὐ μέντοι ᾔδεισαν οἱ Μαθηταὶ, ὅτι Ἰησοῦς ἐστι. Λέγει οὖν αὐτοῖς ὁ Ἰησοῦς· παιδία, μήτι προσφάγιον ἔχετε; ἀπεκρίθησαν αὐτῷ, οὔ. Ὁ δὲ εἶπεν αὐτοῖς· βάλετε εἰς τὰ δεξιὰ μέρη τοῦ πλοίου τὸ δίκτυον, καὶ εὑρήσετε. Ἔβαλον οὖν, καὶ οὐκ ἔτι αὐτὸ ἑλκύσαι ἴσχυσαν ἀπὸ τοῦ πλήθους τῶν ἰχθύων. Λέγει οὖν ὁ Μαθητὴς ἐκεῖνος, ὃν ἠγάπα ὁ Ἰησοῦς τῷ Πέτρῳ· ὁ Κύριός ἐστι. Σίμων οὖν Πέτρος ἀκούσας ὅτι ὁ Κύριός ἐστι, τὸν ἐπενδύτην διεζώσατο, (ἦν γὰρ γυμνὸς,) καὶ ἔβαλεν ἑαυτὸν εἰς τὴν θάλασσαν. Οἱ δὲ ἄλλοι Μαθηταὶ τῷ πλοιαρίῳ ἦλθον· οὐ γὰρ ἦσαν μακρὰν ἀπὸ τῆς γῆς, ἀλλ' ὡς ἀπὸ πηχῶν διακοσίων, σύ-

[illegible] ῶν τῶν ἰχθύων. Ὡς οὖν ἀπέβησαν εἰς [illegible] λέπουσιν ἀνθρακιὰν κειμένην, ϗ ὀψάριον ἐπικείμενον, ϗ ἄρτον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· ἐνέγκατε ἀπὸ τῶν ὀψαρίων, ὧν ἐπιάσατε νῦν. Ἀνέβη Σίμων Πέτρος, ϗ εἵλκυσε τὸ δίκτυον ἐπὶ τῆς γῆς μεστὸν ἰχθύων μεγάλων ἑκατὸν πεντήκοντα τριῶν· ϗ τοσούτων ὄντων, οὐκ ἐσχίσθη τὸ δίκτυον. Λέγει αὐτοῖς ὁ Ἰησοῦς· δεῦτε ἀριστήσατε. Οὐδεὶς δὲ ἐτόλμα τῶν Μαθητῶν ἐξετάσαι αὐτόν, σὺ τίς εἶ; εἰδότες ὅτι ὁ Κύριός ἐστιν. Ἔρχεται οὖν ὁ Ἰησοῦς, ϗ λαμβάνει τὸν ἄρτον, καὶ δίδωσιν αὐτοῖς, καὶ τὸ ὀψάριον ὁμοίως. Τοῦτο ἤδη τρίτον ἐφανερώθη ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην ΙΑ΄.

Κεφ. κα΄. 15. Τῷ καιρῷ ἐκείνῳ, ἐφανέρωσεν ἑαυτὸν ὁ Ἰησοῦς τοῖς Μαθηταῖς αὐτοῦ, ἐγερθεὶς ἐκ νεκρῶν, ϗ λέγει τῷ Σίμωνι Πέτρῳ· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με πλεῖον τούτων; Λέγει αὐτῷ· ναὶ Κύριε, σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· βόσκε τὰ ἀρνία μου. Λέγει αὐτῷ πάλιν δεύτερον· Σίμων Ἰωνᾶ, ἀγαπᾷς με; Λέγει αὐτῷ· ναὶ Κύριε· σὺ οἶδας ὅτι φιλῶ σε. Λέγει αὐτῷ· ποίμαινε τὰ πρόβατά μου. Λέγει αὐτῷ τὸ τρίτον· Σίμων Ἰωνᾶ, φιλεῖς με; Ἐλυπήθη ὁ Πέτρος ὅτι εἶπεν αὐτῷ τὸ τρίτον, φιλεῖς με· ϗ εἶπεν αὐτῷ· Κύριε, σὺ πάντα οἶδας, σὺ γινώσκεις ὅτι φιλῶ σε. Λέγει αὐτῷ ὁ Ἰησοῦς· βόσκε τὰ πρόβατά μου. Ἀμὴν ἀμὴν λέγω σοι, ὅτε ἦς νεώτερος, ἐζώννυες σεαυτόν, καὶ περιεπάτεις ὅπου ἤθελες· ὅταν δὲ γηράσῃς, ἐκτενεῖς τὰς χεῖράς σου, ϗ ἄλλος σε ζώσει, ϗ οἴσει ὅπου οὐ θέλεις. Τοῦτο δὲ εἶπε, σημαίνων ποίῳ θανάτῳ δοξάσει τὸν Θεόν. ϗ τοῦτο εἰπών, λέγει αὐτῷ, ἀκολούθει μοι. Ἐπιστραφεὶς δὲ ὁ Πέτρος, βλέπει τὸν Μαθητὴν ὃν ἠγάπα ὁ Ἰησοῦς ἀκολουθοῦντα, ὃς ϗ ἀνέπεσεν ἐν τῷ Δείπνῳ ἐπὶ τὸ στῆθος αὐτοῦ, ϗ εἶπε· Κύριε, τίς ἐστιν ὁ παραδιδούς σε; Τοῦτον ἰδὼν ὁ Πέτρος, λέγει τῷ Ἰησοῦ· Κύριε, οὗτος δὲ τί; Λέγει αὐτῷ ὁ Ἰησοῦς· ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; σὺ ἀκολούθει μοι. Ἐξῆλθεν οὖν ὁ λόγος οὗτος εἰς τοὺς Ἀδελφούς, ὅτι ὁ Μαθητὴς ἐκεῖνος οὐκ ἀποθνήσκει· ϗ οὐκ εἶπεν αὐτῷ ὁ Ἰησοῦς, ὅτι οὐκ ἀποθνήσκει· ἀλλ᾽ ἐὰν αὐτὸν θέλω μένειν ἕως ἔρχομαι, τί πρὸς σέ; Οὗτός ἐστιν ὁ Μαθητὴς ὁ μαρτυρῶν περὶ τούτων, ϗ γράψας ταῦτα. ϗ οἴδαμεν ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ. Ἔστι δὲ καὶ ἄλλα πολλά, ὅσα ἐποίησεν ὁ Ἰησοῦς, ἅτινα ἐὰν γράφηται καθ᾽ ἕν, οὐδὲ αὐτὸν οἶμαι τὸν Κόσμον χωρῆσαι τὰ γραφόμενα Βιβλία. Ἀμήν.

## ΑΠΟΣΤΟΛΟΣ ΕΙΣ ΚΟΙΜΗΘΕΝΤΑΣ.

Προκείμενον, ἦχος πλ. β΄.

Ἡ ψυχὴ αὐτοῦ ἐν ἀγαθοῖς αὐλισθήσεται.

Στίχ. Πρὸς σὲ Κύριε κεκράξομαι.

Πρὸς Θεσσαλονικεῖς Α΄. Ἐπιστολῆς.

Ἀδελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν περὶ τῶν κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς ϗ οἱ λοιποὶ οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν, ὅτι Ἰησοῦς ἀπέθανε καὶ ἀνέστη, οὕτω καὶ ὁ Θεὸς τοὺς κοιμηθέντας διὰ τοῦ Ἰησοῦ, ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου, ὅτι ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς κοιμηθέντας. Ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ, καταβήσεται ἀπ᾽ Οὐρανοῦ· καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον. Ἔπειτα ἡμεῖς οἱ ζῶντες οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα. ϗ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Ἀλληλούϊα.

Μακάριος ὃν ἐξελέξω, ϗ προσελάβου Κύριε.

Εἰς τὴν Λειτουργίαν.

Εὐαγγέλιον, ἐκ τοῦ κατὰ Ἰωάννην.

Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους· Ἀμήν, ἀμὴν λέγω ὑμῖν, Κε. ε.
ὅτι ὁ τὸν λόγον μου ἀκούων, καὶ πιστεύων τῷ πέμψαντί με, ἔχει ζωὴν αἰώνιον, καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν. Ἀμήν, ἀμὴν λέγω ὑμῖν, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν, ὅτε οἱ νεκροὶ ἀκούσονται τῆς φωνῆς τοῦ Υἱοῦ τοῦ Θεοῦ· καὶ οἱ ἀκούσαντες ζήσονται. Ὥσπερ γὰρ ὁ Πατὴρ ἔχει ζωὴν ἐν ἑαυτῷ, οὕτως ἔδωκε καὶ τῷ Υἱῷ ζωὴν ἔχειν ἐν ἑαυτῷ· καὶ ἐξουσίαν ἔδωκεν αὐτῷ, καὶ κρίσιν ποιεῖν. ὅτι Υἱὸς Ἀνθρώπου ἐστί, μὴ θαυμάζετε τοῦτο. ὅτι ἔρχεται ὥρα, ἐν ᾗ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται τῆς φωνῆς αὐτοῦ, καὶ ἐκπορεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς Ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς Ἀνάστασιν κρίσεως. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ᾽ ἐμαυτοῦ οὐδέν. Καθὼς ἀκούω, κρίνω· καὶ ἡ κρίσις ἡ ἐμὴ δικαία ἐστίν· ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με Πατρός.

Τέλος τῶν Εὐαγγελίων.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

# ΠΑΣΧΑΛΙΟΝ ΣΥΝ ΘΕΩ ΑΓΙΩ.

**Ἀρχόμενον ἀπὸ τοῦ ͵αψος΄. Ἔτους, μέχρι τοῦ ͵αωιή.**

ΒΙΣΕΚΤΟΣ.

1776. ͵αψος΄. 7284. ζσπδ΄. Ἰνδικτ. θ΄. Ἡλίου Κύκλ. δ΄.
Σελήνης Κύκλοι ζ΄. Θεμέλιον Σελήνης κ΄.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. έ. Κρεωφαγ. ἡμέρ. μδ΄. Τὸ Τριῴδ. ἄρχετ. Γαννουαρ. κγ΄. ἦχος ά. Ἑωθιν. ά. Ἡ Ἀποκρία, Φεβρ. ζ΄. Τοῦ Εὐαγγελισ. τῇ ε΄. τῆς ε΄. Ἑβδομ. Νομικὸν Φάσκα, Μαρτ. κζ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίου γ΄.
Τῆς Ἀναλήψεως, Μαΐου ιβ΄. Τῆς Πεντηκ. Μαΐου κβ΄. Τῶν Ἁγίων Πάντων, Μαΐου κθ΄. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλων, ἡμέρ. λ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. δ΄.

---

1777. ͵αψοζ΄. 7285. ζσπέ. Ἰνδικτ. ί. Ἡλίου Κύκλ. έ.
Σελήνης Κύκλοι ή. Θεμέλιον Σελήνης ά.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. ζ΄. Κρεωφαγ. ἡμέρ. νζ΄. Τὸ Τριῴδ. ἄρχετ. Φεβρ. έ. ἦχος δ΄. Ἑωθ. δ΄. Ἡ Ἀποκρ. Φεβρ. ιθ΄. Τοῦ Εὐαγγελισ. τῇ ζ΄. τῆς δ΄. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. ιέ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίου ιϛ΄.
Τῆς Ἀναλήψεως, Μαΐου κέ. Τῆς Πεντηκ. Ἰουνίου δ΄. Τῶν Ἁγίων Πάντων, Ἰουν. ιά. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. ιζ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. έ.

---

1778. ͵αψοή. 7286. ζσπϛ΄. Ἰνδικτ. ιά. Ἡλίου Κύκλ. ϛ΄.
Σελήνης Κύκλοι θ΄. Θεμέλιον Σελήνης ιβ΄.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γενν. ἡμέρ. Κυριακ. Κρεωφ. ἡμέρ. μθ΄. Τὸ Τριῴδ. ἄρχετ. Γαννουαρ. κή. ἦχος ά. Ἑωθιν. ά. Ἡ Ἀποκρ. Φεβρ. ιά. Τοῦ Εὐαγγελισ. τῇ Κυριακ. τῆς έ. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. δ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίου ή.
Τῆς Ἀναλήψεως Μαΐου ιζ΄. Τῆς Πεντηκ. Μαΐου κζ΄. Τῶν Ἁγίων Πάντων, Ἰουν. γ΄. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. κέ. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. ϛ΄.

---

1779. ͵αψοθ΄. 7287. ζσπζ΄. Ἰνδικτ. ιβ΄. Ἡλίου Κύκλ. ζ΄.
Σελήνης Κύκλοι ί. Θεμέλιον Σελήνης κγ΄.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. β΄. Κρεωφαγ. ἡμέρ. μά. Τὸ Τριῴδ. ἄρχετ. Γαννουαρ. κ΄. ἦχος ά. Ἑωθιν. ά. Ἡ Ἀποκρ. Φεβρ. γ΄. Τοῦ Εὐαγγελισμ. τῇ ἁγίᾳ καὶ μεγάλῃ β΄. Νομικὸν Φάσκα, Μαρτ. κδ΄.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου λά.
Τῆς Ἀναλήψ. Μαΐου θ΄. Τῆς Πεντηκοστ. Μαΐου ιθ΄. Τῶν Ἁγίων Πάντων, Μαΐου κϛ΄. Ἡ Νηστ. τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. λγ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. ζ΄.

---

ΒΙΣΕΚΤΟΣ.

1780. ͵αψπ΄. 7288. ζσπή. Ἰνδικτ. ιγ΄. Ἡλίου Κύκλ. ή.
Σελήνης Κύκλοι ιά. Θεμέλιον Σελήνης δ΄.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. γ΄. Κρεωφαγ. ἡμέρ. ξ΄. Τὸ Τριῴδ. ἄρχετ. Φεβρ. ή. ἦχος πλ. ά. Ἑωθ. έ. Ἡ Ἀποκρ. Φεβρ. κβ΄. Τοῦ Εὐαγγελισ. τῇ δ΄. τῆς δ΄. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. ιβ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίου ιθ΄.
Τῆς Ἀναλήψ. Μαΐου κή. Τῆς Πεντηκοστ. Ἰουνίου ζ΄. Τῶν Ἁγίων Πάντων, Ἰουν. ιδ΄. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. ιδ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. β΄.

---

1781. ͵αψπά. 7289. ζσπθ΄. Ἰνδικτ. ιδ΄. Ἡλίου Κύκλ. θ΄.
Σελήνης Κύκλοι ιβ΄. Θεμέλιον Σελήνης ιέ.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. έ. Κρεωφαγ. ἡμέρ. μέ. Τὸ Τριῴδ. ἄρχετ. Γαννουαρ. κδ΄. ἦχος πλ. δ΄. Ἑωθιν. ιά. Ἡ Ἀποκρ. Φεβρ. ζ΄. Τοῦ Εὐαγγελ. τῇ έ. τῆς ε΄. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. ά.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίου δ΄.
Τῆς Ἀναλήψ. Μαΐου ιγ΄. Τῆς Πεντηκ. Μαΐου κγ΄. Τῶν Ἁγ. Πάντων, Μαΐου λ΄. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. κθ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. γ΄.

---

1782. ͵αψπβ΄. 7290. ζσϟ΄. Ἰνδικτ. ιέ. Ἡλίου Κύκλ. ί.
Σελήνης Κύκλοι ιγ΄. Θεμέλιον Σελήνης κϛ΄.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. ϛ΄. Κρεωφαγ. ἡμέρ. λζ΄. Τὸ Τριῴδ. ἄρχετ. Γαννουαρ. ιϛ΄. ἦχος ά. Ἑωθιν. ά. Ἡ Ἀποκρ. Γαννουαρ. λ΄. Τοῦ Εὐαγγελισ. τῇ ἁγίᾳ καὶ μεγάλῃ ϛ΄. Νομικὸν Φάσκα Μαρτ. κά.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου κζ΄.
Τῆς Ἀναλήψεως, Μαΐου έ. Τῆς Πεντηκ. Μαΐου ιέ. Τῶν Ἁγ. Πάντων, Μαΐου κβ΄. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. λζ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. δ΄.

---

1783. ͵αψπγ΄. 7291. ζσϟά. Ἰνδικτ. ά. Ἡλίου Κύκλ. ιά.
Σελήνης Κύκλοι ιδ΄. Θεμέλιον Σελήνης ζ΄.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. ζ΄. Κρεωφαγ. ἡμέρ. νζ΄. Τὸ Τριῴδ. ἄρχετ. Φεβρ. έ. ἦχος πλ. ά. Ἑωθιν. έ. Ἡ Ἀποκρ. Φεβρ. ιθ΄. Τοῦ Εὐαγγελ. τῇ ζ΄. τῆς δ΄. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. θ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίου ιϛ΄.
Τῆς Ἀναλήψεως, Μαΐου κέ. Τῆς Πεντηκ. Ἰουνίου δ΄. Τῶν Ἁγίων Πάντων, Ἰουν. ιά. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. ιζ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. έ.

---

ΒΙΣΕΚΤΟΣ.

1784. ͵αψπδ΄. 7292. ζσϟβ΄. Ἰνδικτ. β΄. Ἡλίου Κύκλ. ιβ΄.
Σελήνης Κύκλοι ιέ. Θεμέλιον Σελήνης ιή.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γενν. ἡμέρ. Κυριακ. Κρεωφ. ἡμέρ. μβ΄. Τὸ Τριῴδ. ἄρχετ. Γαννουαρ. κά. ἦχος πλ. δ΄. Ἑωθιν. ιά. Ἡ Ἀποκρ. Φεβ. δ΄. Τοῦ Εὐαγγελισ. τῇ ἁγίᾳ καὶ μεγάλῃ β΄. Νομικὸν Φάσκα, Μαρτ. κθ΄.
Τὸ Ἅγιον Πάσχα, Μαρτίου λά.
Τῆς Ἀναλήψ. Μαΐου θ΄. Τῆς Πεντηκοστ. Μαΐου ιθ΄. Τῶν Ἁγ. Πάντων, Μαΐου κϛ΄. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. λγ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. ζ΄.

---

1785. ͵αψπέ. 7293. ζσϟγ΄. Ἰνδικτ. γ΄. Ἡλίου Κύκλ. ιγ΄.
Σελήνης Κύκλοι ιϛ΄. Θεμέλιον Σελήνης κθ΄.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. γ΄. Κρεωφαγ. ἡμέρ. ξά. Τὸ Τριῴδ. ἄρχετ. Φεβρ. θ΄. ἦχος πλ. ά. Ἑωθιν. έ. Ἡ Ἀποκρ. Φεβρ. κγ΄. Τοῦ Εὐαγγελισ. τῇ γ΄. τῆς δ΄. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. ιζ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίου κ΄.
Τῆς Ἀναλήψεως, Μαΐου κθ΄. Τῆς Πεντηκ. Ἰουνίου ή. Τῶν Ἁγίων Πάντων, Ἰουν. ιέ. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποσ. ἡμέρ. ιγ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. Κυρ.

1786. αψπϛ΄. 7294. ζσϞδ΄. Ἰνδικτ. δ΄. Ἡλίου Κύκλ. ιδ΄. Σελήνης Κύκλοι ιζ΄. Θεμέλιον Σελήνης ί.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. δ΄. Κρεωφαγ. ἡμέρ. νγ΄. Τὸ Τριῴδ. ἄρχετ. Φεβρ. ά. ἦχος ά. Ἑωθινὸν ά. Ἡ Ἀποκρ. Φεβρ. ιέ. Τοῦ Εὐαγγελ. τῇ δ΄. τῆς έ. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. έ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ιβ΄.
Τῆς Ἀναλήψ. Μαΐῳ κά. Τῆς Πεντηκοσ. Μαΐῳ λά. Τῶν Ἁγ. Πάντων, Ἰουν. ζ΄. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. κά. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. β΄.

1787. αψπζ΄. 7295. ζσϞέ. Ἰνδικτ. έ. Ἡλίου Κύκλ. ιέ. Σελήνης Κύκλοι ιή. Θεμέλιον Σελήνης κά.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. έ. Κρεωφαγ. ἡμέρ. λή. Τὸ Τριῴδ. ἄρχετ. Ἰανν. ιζ΄. ἦχος ά. Ἑωθινὸν ά. Ἡ Ἀποκρ. Ἰανν. λά. Τοῦ Εὐαγγελισμ. τῇ ἁγίᾳ, καὶ μεγάλῃ έ. Νομικὸν Φάσκα, Μαρτ. κέ.
Τὸ Ἅγιον Πάσχα, Μαρτίῳ κή.
Τῆς Ἀναλήψ. Μαΐῳ ϛ΄. Τῆς Πεντηκοσ. Μαΐῳ ιϛ΄. Τῶν Ἁγ. Πάντων, Μαΐῳ κγ΄. Ἡ Νηστεία τῶν Ἁγ. Ἀποστόλ. ἡμέρ. λϛ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. γ΄.

ΒΙΣΕΚΤΟΣ.
1788. αψπή. 7296. ζσϞϛ΄. Ἰνδικτ. ϛ΄. Ἡλίου Κύκλ. ιϛ΄. Σελήνης Κύκλοι ιθ΄. Θεμέλιον Σελήνης β΄.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. ϛ΄. Κρεωφαγ. ἡμέρ. νή. Τὸ Τριῴδ. ἄρχετ. Φεβρ. ϛ΄. ἦχος πλ. ά. Ἑωθ. έ. Ἡ Ἀποκρ. Φεβρ. κ΄. Τοῦ Εὐαγγελ. τῷ Σαββάτ. τῆς δ΄. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. ιγ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ιϛ΄.
Τῆς Ἀναλήψεως, Μαΐῳ κέ. Τῆς Πεντηκοσ. Ἰουν. δ΄. Τῶν Ἁγ. Πάντων, Ἰουν. ιά. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. ιζ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. έ.

1789. αψπθ΄. 7297. ζσϞζ΄. Ἰνδικ. ζ΄. Ἡλίου Κύκλοι ιζ΄. Σελήνης Κύκλοι ά. Θεμέλιον Σελήνης ιγ΄.
Ἡ Παραμ. τῶν Χριστ. Γενν. ἡμέρ. Κυριακ. Κρεωφαγ. ἡμέρ. μθ΄. Τὸ Τριῴδ. ἄρχετ. Ἰαννουαρ. κή. ἦχος ά. Ἑωθ. ά. Ἡ Ἀποκρ. Φεβ. ιά. Τοῦ Εὐαγγελ. τῇ Κυριακῇ τῆς έ. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. β΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ή.
Τῆς Ἀναλήψ. Μαΐῳ ιζ΄. Τῆς Πεντηκοσ. Μαΐῳ κζ΄. Τῶν Ἁγ. Πάντων, Ἰουν. γ΄. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποσ. ἡμέρ. κέ. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. παρασκ.

1790. αψϞ΄. 7298. ζσϞή. Ἰνδικτ. ή. Ἡλίου Κύκλ. ιή. Σελήνης Κύκλοι β΄. Θεμέλιον Σελήνης κδ΄.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. β΄. Κρεωφαγ. ἡμέρ. λδ΄. Τὸ Τριῴδ. ἄρχετ. Ἰανν. ιγ΄. ἦχος πλ. δ΄. Ἑωθιν. ιά. Ἡ Ἀποκρ. Ἰανν. κζ΄. Τοῦ Εὐαγγελ. τῇ β΄. τῆς Διακαινησ. Νομικὸν Φάσκα, Μαρτ. κβ΄.
Τὸ Ἅγιον Πάσχα, Μαρτίῳ κδ΄.
Τῆς Ἀναλήψ. Μαΐῳ β΄. Τῆς Πεντηκοσ. Μαΐῳ ιβ΄. Τῶν Ἁγ. Πάντων, Μαΐῳ ιθ΄. Ἡ Νηστεία τῶν Ἁγ. Ἀποσ. ἡμέρ. μ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. Σαββ.

1791. αψϞά. 7299. ζσϞθ΄. Ἰνδικ. θ΄. Ἡλίου Κύκλ. ιθ΄. Σελήνης Κύκλοι γ΄. Θεμέλιον Σελήνης έ.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. γ΄. Κρεωφαγ. ἡμέρ. νδ΄. Τὸ Τριῴδ. ἄρχετ. Φεβρ. β΄. ἦχος πλ. ά. Ἑωθ. έ. Ἡ Ἀποκρ. Φεβρ. ιϛ΄. Τοῦ Εὐαγγελ. τῇ γ΄. τῆς έ. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. ί.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ιγ΄.
Τῆς Ἀναλήψ. Μαΐῳ κβ΄. Τῆς Πεντηκοσ. Ἰουνίῳ ά. Τῶν Ἁγ. Πάντων, Ἰουνίῳ ή. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποσ. ἡμέρ. κ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. Κυριακ.

ΒΙΣΕΚΤΟΣ.
1792. αψϞβ΄. 7300. ζτ΄. Ἰνδικ. ί. Ἡλίου Κύκλ. κ΄. Σελήνης Κύκλοι δ΄. Θεμέλιον Σελήνης ιϛ΄.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. δ΄. Κρεωφαγ. ἡμέρ. μϛ΄. Τὸ Τριῴδ. ἄρχετ. Ἰαννουαρ. κέ. ἦχος ά. Ἑωθιν. ά. Ἡ Ἀποκρ. Φεβρ. ή. Τοῦ Εὐαγγελ. τῇ έ. τῆς ϛ΄. Ἑβδομ. Νομικὸν Φάσκα, Μαρτ. λ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ δ΄.
Τῆς Ἀναλήψ. Μαΐῳ ιγ΄. Τῆς Πεντηκοσ. Μαΐῳ κγ΄. Τῶν Ἁγ. Πάντων, Μαΐῳ λ΄. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. κθ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. γ΄.

1793. αψϞγ΄. 7301. ζτά. Ἰνδικτ. ιά. Ἡλίου Κύκλ. κά. Σελήνης Κύκλοι έ. Θεμέλιον Σελήνης κζ΄.
Ἡ Παραμ. τῶν Χριστοῦ Γενν. ἡμέρ. Παρασ. Κρεωφαγ. ἡμέρ. ξέ. Τὸ Τριῴδ. ἄρχ. Φεβρ. ιγ΄. ἦχος ά. Ἑωθ. έ. Ἡ Ἀποκρ. Φεβρ. κζ΄. Τοῦ Εὐαγγελ. τῇ Παρασκ. τῆς γ΄. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. ιή.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ κδ΄.
Τῆς Ἀναλήψεως, Ἰουν. β΄. Τῆς Πεντηκοσ. Ἰουνίῳ ιβ΄. Τῶν Ἁγ. Πάντων, Ἰουν. ιθ΄. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. θ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. δ΄.

1794. αψϞδ΄. 7302. ζτβ΄. Ἰνδικτ. ιβ΄. Ἡλίου Κύκλ. κβ΄. Σελήνης Κύκλοι ϛ΄. Θεμέλιον Σελήνης θ΄.
Ἡ Παραμ. τῶν Χριστοῦ Γενν. ἡμέρ. Σαββ. Κρεωφαγ. ἡμέρ. ν΄. Τὸ Τριῴδ. ἄρχετ. Ἰανν. κθ΄. ἦχος πλ. δ΄. Ἑωθιν. ιά. Ἡ Ἀποκρ. Φεβρ. ιβ΄. Τοῦ Εὐαγγελ. τῷ Σαββ. τῆς έ. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. ζ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ θ΄.
Τῆς Ἀναλήψ. Μαΐῳ ιή. Τῆς Πεντηκοσ. Μαΐῳ κή. Τῶν Ἁγ. Πάντων, Ἰουνίῳ δ΄. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. κδ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. έ.

1795. αψϞέ. 7303. ζτγ΄. Ἰνδικτ. ιγ΄. Ἡλίου Κύκλ. κγ΄. Σελήνης Κύκλοι ζ΄. Θεμέλιον Σελήνης κ΄.
Ἡ Παραμ. τῶν Χριστοῦ Γενν. ἡμέρ. Κυριακ. Κρεωφαγ. ἡμέρ. μβ΄. Τὸ Τριῴδ. ἄρχ. Ἰανν. κά. ἦχος ά. Ἑωθ. ά. Ἡ Ἀποκρ. Φεβρ. δ΄. Τοῦ Εὐαγγελισ. τῇ Κυριακῇ τῶν Βαΐων. Νομικὸν Φάσκα, Μαρτ. κζ΄.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ά.
Τῆς Ἀναλήψεως, Μαΐῳ ί. Τῆς Πεντηκοσ. Μαΐῳ κ΄. Τῶν Ἁγ. Πάντων, Μαΐῳ κζ΄. Ἡ Νηστεία τῶν Ἁγ. Ἀποσ. ἡμέρ. λβ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. Παρασ.

ΒΙΣΕΚΤΟΣ.
1796. αψϞϛ΄. 7304. ζτδ΄. Ἰνδικτ. ιδ΄. Ἡλίου Κύκλ. κδ΄. Σελήνης Κύκλοι ή. Θεμέλιον Σελήνης ά.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. β΄. Κρεωφαγ. ἡμέρ. ξβ΄. Τὸ Τριῴδ. ἄρχεται, Φεβρ. ί. ἦχος πλ. ά. Ἑωθ. έ. Ἡ Ἀποκ. Φεβρ. κδ΄. Τοῦ Εὐαγγελ. τῇ γ΄. τῆς δ΄. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλ. ιέ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ κ΄.
Τῆς Ἀναλήψεως, Μαΐῳ κθ΄. Τῆς Πεντηκοσ. Ἰουνίῳ ή. Τῶν Ἁγίων Πάντων, Ἰουνίῳ ιέ. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλων, ἡμέραι ιγ΄. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. Κυριακῇ.

1797. αψϟζ'. 7305. ,ζτέ. Ἰνδικτ. ιέ. Ἡλίου Κύκλ. κέ.
Σελήνης Κύκλοι θ'. Θεμέλιον Σελήνης ιβ'.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. δ'. Κρεωφαγ. ἡμέρ. μϛ'. Τὸ Τριῴδ. ἄρχετ. Ἰαννουαρ. κέ. ἦχος πλ. δ'. Ἑωθ. ιά. Ἡ Ἀποκρ. Φεβρ. ή. Τοῦ Εὐαγγελ. τῇ δ'. τῆς ϛ'. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. δ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ έ.
Τῆς Ἀναλήψ. Μαΐῳ ιδ'. Τῆς Πεντηκοσ. Μαΐῳ κδ'. Τῶν Ἁγ. Πάντων, Μαΐῳ λά. Ἡ Νηστεία τῶν Ἁγ. Ἀποστόλ. ἡμέρ. κή. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. β'.

1798. αψϟή. 7306. ,ζτϛ'. Ἰνδικτ. ά. Ἡλίου Κύκλ. κϛ'.
Σελήνης Κύκλοι ί. Θεμέλιον Σελήνης κγ'.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. έ. Κρεωφαγ. ἡμέρ. λή. Τὸ Τριῴδ. ἄρχετ. Ἰαννουαρ. ιζ'. ἦχος ά. Ἑωθιν. ά. Ἡ Ἀποκρ. Ἰανν. λά. Τοῦ Εὐαγγελ. τῇ ἁγίᾳ καὶ μεγάλῃ έ. Νομικὸν Φάσκα, Μαρτ. κδ'.
Τὸ Ἅγιον Πάσχα, Μαρτίῳ κή.
Τῆς Ἀναλήψεως, Μαΐῳ ϛ'. Τῆς Πεντηκ. Μαΐῳ ιϛ'. Τῶν Ἁγ. Πάντων, Μαΐῳ κγ'. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. λϛ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. γ'.

1799. αψϟθ'. 7307. ,ζτζ'. Ἰνδικ. β'. Ἡλίου Κύκλ. κζ'.
Σελήνης Κύκλοι ιά. Θεμέλιον Σελήνης δ'.
Ἡ Παραμ. τῶν Χριστοῦ Γενν. ἡμέρ. Παρασκ. Κρεωφαγ. ἡμέρ. νή. Τὸ Τριῴδ. ἄρχ. Φεβ. ϛ'. ἦχος πλ. ά. Ἑωθ. έ. Ἡ Ἀποκρ. Φεβρ. κ'. Τοῦ Εὐαγγελισ. τῇ Παρασκ. τῆς δ'. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. ιβ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ιζ'.
Τῆς Ἀναλήψεως, Μαΐῳ κϛ'. Τῆς Πεντηκ. Ἰουνίῳ έ. Τῶν Ἁγ. Πάντων, Ἰουν. ιβ'. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. ιϛ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. δ'.

ΒΙΣΕΚΤΟΣ.

1800. αω'. 7308. ,ζτή. Ἰνδικτ. γ'. Ἡλίου Κύκλ. κή.
Σελήνης Κύκλοι ιβ'. Θεμέλιον Σελήνης ιέ.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γενν. ἡμέρ. Σαββ. Κρεωφαγ. ἡμέρ. ν'. Τὸ Τριῴδ. ἄρχετ. Ἰανν. κθ'. ἦχος ά. Ἑωθ. ά. Ἡ Ἀποκρ. Φεβρ. ιβ'. Τοῦ Εὐαγγελ. τῇ Κυριακῇ τῆς έ. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. ά.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ή.
Τῆς Ἀναλήψεως Μαΐῳ ιζ'. Τῆς Πεντηκ. Μαΐῳ κζ'. Τῶν Ἁγίων Πάντων, Ἰουν. γ'. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποσ. ἡμέρ. κέ. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. Παρασκ.

1801. αωά. 7309. ,ζτθ'. Ἰνδικτ. δ'. Ἡλίου Κύκλ. ά.
Σελήνης Κύκλοι ιγ'. Θεμέλιον Σελήνης κϛ'.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. β'. Κρεωφαγ. ἡμέρ. λδ'. Τὸ Τριῴδ. ἄρχετ. Ἰανν. ιγ'. ἦχος πλ. δ'. Ἑωθιν. ιά. Ἡ Ἀποκρ. Ἰανν. κζ'. Τοῦ Εὐαγγελ. τῇ β'. τῆς Διακαιν. Νομικὸν Φάσκα, Μαρτ. κά.
Τὸ Ἅγιον Πάσχα, Μαρτίῳ κδ'.
Τῆς Ἀναλήψ. Μαΐῳ β'. Τῆς Πεντηκοσ. Μαΐῳ ιβ'. Τῶν Ἁγ. Πάντων, Μαΐῳ ιθ'. Ἡ Νηστ. τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. μ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. Σαββ.

1802. αωβ'. 7310. ,ζτί. Ἰνδικτ. έ. Ἡλίου Κύκλ. β'.
Σελήνης Κύκλοι ιδ'. Θεμέλιον Σελήνης ζ'.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. γ'. Κρεωφαγ. ἡμέρ. νδ'. Τὸ Τριῴδ. ἄρχετ. Φεβρ. β'. ἦχος πλ. ά. Ἑωθιν. έ. Ἡ Ἀποκρ. Φεβρ. ιϛ'. Τοῦ Εὐαγγελισ. τῇ γ'. τῆς έ. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. θ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ιγ'.
Τῆς Ἀναλήψ. Μαΐῳ κβ'. Τῆς Πεντηκος. Ἰουνίῳ ά. Τῶν Ἁγίων Πάντων, Ἰουν. ή. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποσ. ἡμέρ. κ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. Κυριακ.

1803. αωγ'. 7311. ,ζτιά. Ἰνδικτ. ϛ'. Ἡλίου Κύκλ. ϛ'.
Σελήνης Κύκλοι ιέ. Θεμέλιον Σελήνης ιή.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. δ'. Κρεωφαγ. ἡμέρ. μϛ'. Τὸ Τριῴδ. ἄρχετ. Ἰαννουαρ. κέ. ἦχος ά. Ἑωθ. ά. Ἡ Ἀποκρ. Φεβρ. ή. Τοῦ Εὐαγγελισ. τῇ δ'. τῆς ϛ'. Ἑβδομ. Νομικὸν Φάσκα Μαρτ. κθ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ έ.
Τῆς Ἀναλήψεως, Μαΐῳ δ'. Τῆς Πεντηκ. Μαΐῳ ιδ'. Τῶν Ἁγ. Πάντων, Μαΐῳ λά. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. κή. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. β'.

ΒΙΣΕΚΤΟΣ.

1804. αωδ'. 7312. ,ζτιβ'. Ἰνδικτ. ζ'. Ἡλίου Κύκλ. δ'.
Σελήνης Κύκλοι ιϛ'. Θεμέλιον Σελήνης κθ'.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. έ. Κρεωφαγ. ἡμέρ. ξέ. Τὸ Τριῴδ. ἄρχετ. Φεβρ. ιγ'. ἦχος πλ. ά. Ἑωθιν. έ. Ἡ Ἀποκρ. Φεβρ. κζ'. Τοῦ Εὐαγγελισ. τῇ ϛ'. τῆς γ'. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. ιζ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ κδ'.
Τῆς Ἀναλήψεως, Ἰουνίῳ β'. Τῆς Πεντηκ. Ἰουνίῳ ιβ'. Τῶν Ἁγ. Πάντων, Ἰουν. ιθ'. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. θ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. δ'.

1805. αωέ. 7313. ,ζτιγ'. Ἰνδικτ. ή. Ἡλίου Κύκλ. έ.
Σελήνης Κύκλοι ιζ'. Θεμέλιον Σελήνης ί.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. ζ'. Κρεωφαγ. ἡμέρ. ν'. Τὸ Τριῴδ. ἄρχετ. Ἰανν. κθ'. ἦχος πλ. δ'. Ἑωθιν. ιά. Ἡ Ἀποκρ. Φεβρ. ιβ'. Τοῦ Εὐαγγελ. τῷ Σαββ. τῆς έ. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπριλλ. έ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ θ'.
Τῆς Ἀναλήψεως, Μαΐῳ ιή. Τῆς Πεντηκ. Μαΐῳ κή. Τῶν Ἁγίων Πάντων, Ἰουν. δ'. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. κδ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. έ.

1806. αωϛ'. 7314. ,ζτιδ'. Ἰνδικτ. θ'. Ἡλίου Κύκλ. ϛ'.
Σελήνης Κύκλοι ιή. Θεμέλιον Σελήνης κά.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γενν. ἡμέρ. Κυριακ. Κρεωφ. ἡμέρ. μβ'. Τὸ Τριῴδ. ἄρχετ. Ἰαννουαρ. κά. ἦχος ά. Ἑωθιν. ά. Ἡ Ἀποκρ. Φεβ. δ'. Τοῦ Εὐαγγελισμ. τῇ ἁγίᾳ καὶ μεγάλῃ β'. Νομικὸν Φάσκα, Μαρτίῳ κέ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ά.
Τῆς Ἀναλήψεως, Μαΐῳ ί. Τῆς Πεντηκοσ. Μαΐῳ κ'. Τῶν Ἁγ. Πάντων, Μαΐῳ κζ'. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. λβ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. ϛ'.

1807. αωζ'. 7315. ,ζτιέ. Ἰνδικτ. ί. Ἡλίου Κύκλ. ζ'.
Σελήνης Κύκλοι ιθ'. Θεμέλιον Σελήνης β'.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. β'. Κρεωφαγία, ἡμέρ. νέ. Τὸ Τριῴδ. ἄρχεται, Φεβρ. γ'. ἦχος πλ. ά. Ἑωθιν. έ. Ἡ Ἀποκρέα, Φεβρ. ιζ'. Τοῦ Εὐαγγελισμοῦ, τῇ β'. τῆς έ. Ἑβδομάδ. Νομικὸν Φάσκα, Ἀπριλλίῳ ιγ'.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ιδ'.
Τῆς Ἀναλήψεως, Μαΐῳ κγ'. Τῆς Πεντηκοσ. Ἰουνίῳ β'. Τῶν Ἁγίων Πάντων, Ἰουνίῳ θ'. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλων, ἡμέρ. ιθ'. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρα Σαββάτῳ.

Βιβλιοθήκη Θεολογ

ΒΙΣΕΚΤΟΣ.

1808. αωή. 7316. ζτιϛ´. Ἰνδικτ. ιά. Ἡλίου Κύκλ. ή.
Σελήνης Κύκλοι ά. Θεμέλιον Σελήνης ιδ´.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. δ´. Κρεωφαγ. ἡμέρ. μϛ´. Τὸ Τελῴδ. ἄρχετ. Ἰανν. κέ. ἦχος πλ. δ´. Ἑωθιν. ιά. Ἡ Ἀπόκρ. Φεβρ. ή. Τοῦ Εὐαγγελισ. τῇ δ´. τῆς ϛ´. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπρίλλ. β´.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ έ.
Τῆς Ἀναλήψ. Μαΐῳ ιδ´. Τῆς Πεντηκοσ. Μαΐῳ κδ´. Τῶν Ἁγ. Πάντων, Μαΐῳ λά. Ἡ Νηστεία τῶν Ἁγ. Ἀποστόλ. ἡμέρ. κή. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. β´.

1809. αωθ´. 7317. ζτιζ´. Ἰνδικ. ιβ´. Ἡλίου Κύκλ. θ´.
Σελήνης Κύκλοι β´. Θεμέλιον Σελήνης κέ.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. έ. Κρεωφαγ. ἡμέρ. λή. Τὸ Τελῴδ. ἄρχετ. Ἰανν. ιζ´. ἦχος ά. Ἑωθινὸν ά. Ἡ Ἀπόκρ. Ἰανν. λά. Τοῦ Εὐαγγελισμ. τῇ ἁγίᾳ, καὶ μεγάλῃ έ. Νομικὸν Φάσκα, Μαρτ. κβ´.
Τὸ Ἅγιον Πάσχα, Μαρτίῳ κή.
Τῆς Ἀναλήψ. Μαΐῳ ϛ´. Τῆς Πεντηκοσ. Μαΐῳ ιϛ´. Τῶν Ἁγ. Πάντων, Μαΐῳ κγ´. Ἡ Νηστεία τῶν Ἁγ. Ἀποστόλ. ἡμέρ. λϛ´. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. γ´.

1810. αωί. 7318. ζτιή. Ἰνδικτ. ιγ´. Ἡλίου Κύκλ. ί.
Σελήνης Κύκλοι γ´. Θεμέλιον Σελήνης ϛ´.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. ϛ´. Κρεωφαγ. ἡμέρ. νή. Τὸ Τελῴδ. ἄρχετ. Φεβρ. ϛ´. ἦχος πλ. ά. Ἑωθιν. έ. Ἡ Ἀπόκρ. Φεβρ. κ´. Τοῦ Εὐαγγελ. τῇ ϛ´. τῆς δ´. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπρίλλ. ί.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ιζ´.
Τῆς Ἀναλήψεως, Μαΐῳ κϛ´. Τῆς Πεντηκοσ. Ἰουν. έ. Τῶν Ἁγ. Πάντων, Ἰουν. ιβ´. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. ιϛ´. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. δ´.

1811. αωιά. 7319. ζτιθ´. Ἰνδικ. ιδ´. Ἡλίου Κύκλοι ιά.
Σελήνης Κύκλοι δ´. Θεμέλιον Σελήνης ιζ´.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. ζ´. Κρεωφαγ. ἡμέρ. μγ´. Τὸ Τελῴδ. ἄρχετ. Ἰαννουαρ. κβ´. ἦχος ά. Ἑωθ. ά. Ἡ Ἀπόκρ. Φεβ. έ. Τοῦ Εὐαγγελ. τῷ Σαββάτ. τοῦ Λαζάρου, Νομικὸν Φάσκα, Μαρτ. λ´.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ β´.
Τῆς Ἀναλήψ. Μαΐῳ ιά. Τῆς Πεντηκοσ. Μαΐῳ κά. Τῶν Ἁγ. Πάντων, Μαΐῳ κή. Ἡ Νηστεία τῶν Ἁγ. Ἀποσ. ἡμέρ. λά. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. έ.

ΒΙΣΕΚΤΟΣ.

1812. αωιβ´. 7320. ζτκ´. Ἰνδικτ. ιέ. Ἡλίου Κύκλ. ιβ´.
Σελήνης Κύκλοι έ. Θεμέλιον Σελήνης κή.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. β´. Κρεωφαγ. ἡμέρ. ξβ´. Τὸ Τελῴδ. ἄρχεται, Φεβρ. ί. ἦχος πλ. ά. Ἑωθιν. έ. Ἡ Ἀπόκρ. Φεβρ. κδ´. Τοῦ Εὐαγγελισ. τῇ β´. τῆς δ´. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπρίλλ. ιή.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ κά.
Τῆς Ἀναλήψ. Μαΐῳ λ´. Τῆς Πεντηκοσ. Ἰουνίῳ θ´. Τῶν Ἁγ. Πάντων, Ἰουν. ιϛ´. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποσ. ἡμέρ. ιβ´. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. ζ´.

1813. αωιγ´. 7321. ζτκά. Ἰνδικ. ά. Ἡλίου Κύκλοι ιγ´.
Σελήνης Κύκλοι ϛ´. Θεμέλιον Σελήνης θ´.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. [illegible] Κρεωφαγ. ἡμέρ. νδ´. Τὸ Τελῴδ. ἄρχετ. Φεβρ. β´. ἦχος ά. Ἑωθ. ά. Ἡ Ἀπόκρ. Φεβρ. ιϛ´. Τοῦ Εὐαγγελ. τῇ γ´. τῆς έ. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπρίλλ. ζ´.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ιγ´.
Τῆς Ἀναλήψ. Μαΐῳ κβ´. Τῆς Πεντηκοσ. Ἰουνίῳ ά. Τῶν Ἁγ. Πάντων, Ἰουνίῳ ή. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποσ. ἡμέρ. κ´. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. Κυριακ.

1814. αωιδ´. 7322. ζτκβ´. Ἰνδικ. β´. Ἡλίου Κύκλ. ιδ´.
Σελήνης Κύκλοι ζ´. Θεμέλιον Σελήνης κ´.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. δ´. Κρεωφαγ. ἡμέρ. λθ´. Τὸ Τελῴδ. ἄρχετ. Ἰανν. ιή. ἦχος πλ. δ´. Ἑωθιν. ιά. Ἡ Ἀπόκρ. Φεβρ. ά. Τοῦ Εὐαγγελισ. τῇ ἁγίᾳ, καὶ μεγάλῃ δ´. Νομικὸν Φάσκα, Μαρτ. κζ´.
Τὸ Ἅγιον Πάσχα, Μαρτίῳ κθ´.
Τῆς Ἀναλήψ. Μαΐῳ ζ´. Τῆς Πεντηκοσ. Μαΐῳ ιζ´. Τῶν Ἁγ. Πάντων, Μαΐῳ κδ´. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. λέ. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. β´.

1815. αωιέ. 7323. ζτκγ´. Ἰνδικτ. γ´. Ἡλίου Κύκλ. ιέ.
Σελήνης Κύκλοι ή. Θεμέλιον Σελήνης ά.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. έ. Κρεωφαγ. ἡμέρ. νθ´. Τὸ Τελῴδ. ἄρχετ. Φεβρ. ζ´. ἦχος πλ. ά. Ἑωθιν. έ. Ἡ Ἀπόκρ. Φεβρ. κά. Τοῦ Εὐαγγελισ. τῇ έ. τῆς δ´. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπρίλλ. ιέ.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ιή.
Τῆς Ἀναλήψεως, Μαΐῳ κζ´. Τῆς Πεντηκοσ. Ἰουν. ϛ´. Τῶν Ἁγ. Πάντων, Ἰουν. ιγ´. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. ιέ. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. γ´.

ΒΙΣΕΚΤΟΣ.

1816. αωιϛ´. 7324. ζτκδ´. Ἰνδικτ. δ´. Ἡλίου Κύκλ. ιϛ´.
Σελήνης Κύκλοι θ´. Θεμέλιον Σελήνης ιβ´.
Ἡ Παραμ. τῶν Χριστοῦ Γενν. ἡμέρ. Σαββ. Κρεωφαγ. ἡμέρ. ν´. Τὸ Τελῴδ. ἄρχετ. Ἰανν. κθ´. ἦχος ά. Ἑωθ. ά. Ἡ Ἀπόκρ. Φεβρ. ιβ´. Τοῦ Εὐαγγελ. τῷ Σαββάτ. τῆς έ. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπρίλλ. δ´.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ θ´.
Τῆς Ἀναλήψ. Μαΐῳ ιή. Τῆς Πεντηκοσ. Μαΐῳ κή. Τῶν Ἁγ. Πάντων, Ἰουνίῳ δ´. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποστόλ. ἡμέρ. κδ´. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. έ.

1817. αωιζ´. 7325. ζτκέ. Ἰνδικτ. έ. Ἡλίου Κύκλ. ιζ´.
Σελήνης Κύκλοι ί. Θεμέλιον Σελήνης κγ´.
Ἡ Παραμ. τῶν Χριστ. Γενν. ἡμέρ. Κυρ. Κρεωφ. ἡμέρ. λέ. Τὸ Τελῴδ. ἄρχ. Ἰανν. ιδ´. ἦχος πλ. δ´. Ἑωθ. ιά. Ἡ Ἀπόκρ. Ἰανν. κή. Τοῦ Εὐαγγ. τῇ ἁγίᾳ, καὶ μεγάλῃ Κυριακ. τοῦ Πάσχα. Νομικὸν Φάσκα, Μαρτ. κδ´.
Τὸ Ἅγιον Πάσχα, Μαρτίῳ κέ.
Τῆς Ἀναλήψεως, Μαΐῳ γ´. Τῆς Πεντηκ. Μαΐῳ ιγ´. Τῶν Ἁγ. Πάντων, Μαΐῳ κ´. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποσ. ἡμέρ. λθ´. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. Παρασ.

1818. αωιή. 7326. ζτκϛ´. Ἰνδικτ. ϛ´. Ἡλίου Κύκλ. ιή.
Σελήνης Κύκλοι ιά. Θεμέλιον Σελήνης δ´.
Ἡ Παραμονὴ τῶν Χριστοῦ Γεννῶν, ἡμέρ. β´. Κρεωφαγ. ἡμέρ. νέ. Τὸ Τελῴδ. ἄρχεται, Φεβρ. γ´. ἦχος πλ. ά. Ἑωθ. έ. Ἡ Ἀπόκρ. Φεβρ. ιζ´. Τοῦ Εὐαγγελ. τῇ β´. τῆς έ. Ἑβδομ. Νομικὸν Φάσκα, Ἀπρίλλ. ιγ´.
Τὸ Ἅγιον Πάσχα, Ἀπριλλίῳ ιδ´.
Τῆς Ἀναλήψεως, Μαΐῳ κγ´. Τῆς Πεντηκοσ. Ἰουν. β´. Τῶν Ἁγ. Πάντων, Ἰουνίῳ θ´. Ἡ Νηστεία τῶν Ἁγίων Ἀποσ. ἡμέρ. ιθ´. Καὶ ἡ μνήμη αὐτῶν, ἡμέρ. Σαββ.

ΤΕΛΟΣ.









ΔΗΜΟΣΙΕΣ ΒΙΒΛΙΟΘΗΚΕΣ
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας